Migne, Jacques Pau

PATROLOGIÆ

CURSUS COMPLETUS,

SEU BIBLIOTHECA UNIVERSALIS, INTEGRA, UNIFORMIS, COMMODA, ŒCONOMICA,

OMNIUM SS. PATRUM, DOCTORUM SCRIPTORUMQUE ECCLESIASTICORUM,

SIVE LATINORUM, SIVE GRÆCORUM,

QUI AB ÆVO APOSTOLICO AD ÆTATEM INNOCENTII III (ANN. 1216) PRO LATINIS, ET AD CONCILII FLORENTINI TEMPORA (ANN. 1439) PRO GRÆCIS FLORUERUNT :

RECUSIO CHRONOLOGICA

OMNIUM QUÆ EXSTITERE MONUMENTORUM CATHOLICÆ TRADITIONIS PER QUINDECIM PRIORA ECCLESIÆ SÆCULA,

JUXTA EDITIONES ACCURATISSIMAS, INTER SE CUMQUE NONNULLIS CODICIBUS MANUSCRIPTIS COLLATAS, PERQUAM DILIGENTER CASTIGATA ; DISSERTATIONIBUS, COMMENTARIIS VARIISQUE LECTIONIBUS CONTINENTER ILLUSTRATA ; OMNIBUS OPERIBUS POST AMPLISSIMAS EDITIONES QUÆ TRIBUS NOVISSIMIS SÆCULIS DEBENTUR ABSOLUTAS, DETECTIS AUCTA ; INDICIBUS ORDINARIIS VEL ETIAM ANALYTICIS, SINGULOS SIVE TOMOS, SIVE AUCTORES ALICUJUS MOMENTI SUBSEQUENTIBUS, DONATA ; CAPITULIS INTRA IPSUM TEXTUM RITE DISPOSITIS, NECNON ET TITULIS SINGULARUM PAGINARUM MARGINEM SUPERIOREM DISTINGUENTIBUS SUBJECTAMQUE MATERIAM SIGNIFICANTIBUS, ADORNATA ; OPERIBUS CUM DUBIIS, TUM APOCRYPHIS, ALIQUA VERO AUCTORITATE IN ORDINE AD TRADITIONEM ECCLESIASTICAM POLLENTIBUS, AMPLIFICATA ;

DUCENTIS ET QUADRAGINTA INDICIBUS SUB OMNI RESPECTU, SCILICET, ALPHABETICO, CHRONOLOGICO, ANALYTICO, ANALOGICO, STATISTICO, SYNTHETICO, ETC., OPERA, RES ET AUCTORES EXHIBENTIBUS, ITA UT NON SOLUM STUDIOSO, SED NEGOTIIS IMPLICATO, ET SI FORTE SINT, PIGRIS ETIAM ET IMPERITIS PATEANT OMNES SS. PATRES, LOCUPLETATA ; SED PRÆSERTIM DUOBUS IMMENSIS ET GENERALIBUS INDICIBUS, ALTERO SCILICET RERUM, QUO CONSULTO, QUIDQUID NON SOLUM TALIS TALISVE PATER, VERUM ETIAM UNUSQUISQUE PATRUM, ABSQUE ULLA EXCEPTIONE, IN QUODLIBET THEMA SCRIPSERIT, UNO INTUITU CONSPICIATUR ; ALTERO SCRIPTURÆ SACRÆ, EX QUO LECTORI COMPERIRE SIT OBVIUM QUINAM PATRES ET IN QUIBUS OPERUM SUORUM LOCIS SINGULOS SINGULORUM LIBRORUM SCRIPTURÆ VERSUS, A PRIMO GENESEOS USQUE AD NOVISSIMUM APOCALYPSIS, COMMENTATI SINT :

EDITIO ACCURATISSIMA, CÆTERISQUE OMNIBUS FACILE ANTEPONENDA, SI PERPENDANTUR CHARACTERUM NITIDITAS, CHARTÆ QUALITAS, INTEGRITAS TEXTUS, CORRECTIONIS PERFECTIO, OPERUM RECUSORUM TUM VARIETAS TUM NUMERUS, FORMA VOLUMINUM PERQUAM COMMODA SIBIQUE IN TOTO PATROLOGIÆ DECURSU CONSTANTER SIMILIS, PRETII EXIGUITAS, PRÆSERTIMQUE ISTA COLLECTIO UNA, METHODICA ET CHRONOLOGICA, SEXCENTORUM FRAGMENTORUM OPUSCULORUMQUE HACTENUS HIC ILLIC SPARSORUM, VEL ETIAM INEDITORUM, PRIMUM AUTEM IN NOSTRA BIBLIOTHECA, EX OPERIBUS ET MSS. AD OMNES ÆTATES, LOCOS, LINGUAS FORMASQUE PERTINENTIBUS, COADUNATORUM, ET EX INNUMERIS OPERIBUS TRADITIONEM CATHOLICAM CONFLANTIBUS, OPUS UNICUM MIRABILITER EFFICIENTIUM.

SERIES GRÆCA POSTERIOR

IN QUA PRODEUNT PATRES, DOCTORES SCRIPTORESQUE ECCLESIÆ GRÆCÆ AB ÆVO PHOTIANO AD CONCILII USQUE FLORENTINI TEMPORA, ET AMPLIUS, NEMPE MORTEM CARDINALIS BESSARIONIS.

ACCURANTE J.-P. MIGNE,

Bibliothecæ cleri universæ,

SIVE CURSUUM COMPLETORUM IN SINGULOS SCIENTIÆ ECCLESIASTICÆ RAMOS EDITORE.

PATROLOGIA, AD INSTAR IPSIUS ECCLESIÆ, IN DUAS PARTES DIVIDITUR, ALIAM NEMPE LATINAM, ALIAM GRÆCO-LATINAM. AMBÆ PARTES JAM INTEGRE EXARATÆ SUNT. LATINA, 222 VOLUMINIBUS MOLE SUA STANS, 1110 FRANCIS VENIT : GRÆCA DUPLICI EDITIONE TYPIS MANDATA EST. PRIOR GRÆCUM TEXTUM UNA CUM VERSIONE LATINA LATERALI COMPLECTITUR, ET 104 VOLUMINA IN 109 TOMIS, PRO PRIMA SERIE, NON EXCEDIT. POSTERIOR VERSIONEM LATINAM TANTUM EXHIBET, IDEOQUE INTRA 55 VOLUMINA RETINETUR. SECUNDA SERIES GRÆCO-LATINA AD 58 VOLUMINA TANTUM ATTINGIT ; DUM HUJUS VERSIO MERE LATINA 29 VOLUMINIBUS EST ABSOLUTA. UNUMQUODQUE VOLUMEN GRÆCO-LATINUM 8, UNUMQUODQUE MERE LATINUM 5 FRANCIS SOLUMMODO EMITUR : UTROBIQUE VERO, UT PRETII HUJUS BENEFICIO FRUATUR EMPTOR, COLLECTIONEM INTEGRAM, SIVE LATINAM, SIVE GRÆCAM COMPARET NECESSE ERIT ; SECUS ENIM CUJUSQUE VOLUMINIS AMPLITUDINEM NECNON ET DIFFICULTATES VARIA PRETIA ÆQUABUNT. IDEO, SI QUIS TANTUM EMAT LICET INTEGRE, SED SEORSIM, COLLECTIONEM GRÆCO-LATINAM, VEL EAMDEM EX GRÆCO LATINE VERSAM, TUM QUODQUE VOLUMEN PRO 9 VEL PRO 6 FRANCIS SOLUM OBTINEBIT. ISTÆ CONDITIONES POSTERIORI PATROLOGIÆ LATINÆ SERIEI, PATRES AB INNOCENTIO III AD CONCILIUM TRIDENTINUM EXHIBENTI, APPLICABUNTUR. PATROLOGIA QUÆ MANUSCRIPTIS IN BIBLIOTHECIS ORBIS UNIVERSI QUIESCENTIBUS CONSTABIT, NECNON PATROLOGIA ORIENTALIS, CONDITIONIBUS SPECIALIBUS SUBJICIENTUR, ET IN TEMPORE SUO ANNUNTIABUNTUR, SI TEMPUS EAS TYPIS MANDANDI NOBIS NON DEFUERIT.

PATROLOGIÆ GRÆCÆ TOMUS CXLVI.

NICEPHORUS CALLISTUS.

EXCUDEBATUR ET VENIT APUD J.-P. MIGNE, EDITOREM,
IN VIA DICTA *THIBAUD*, OLIM *D'AMBOISE*, PROPE PORTAM LUTETIÆ PARISIORUM VULGO *D'ENFER* NOMINATAM, SEU *PETIT-MONTROUGE*, NUNC VERO INTRA MŒNIA PARISINA.

1865

TRADITIO CATHOLICA.

SÆCULUM XIV. ANNI 1332-1335.

ΝΙΚΗΦΟΡΟΥ

ΚΑΛΛΙΣΤΟΥ

ΤΟΥ ΞΑΝΘΟΠΟΥΛΟΥ

ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΙΣΤΟΡΙΑΣ

ΒΙΒΛΙΑ ΙΗ'.

NICEPHORI CALLISTI

XANTHOPULI

ECCLESIASTICÆ HISTORIÆ

LIBRI XVIII.

ACCURANTE ET DENUO RECOGNOSCENTE J.-P. MIGNE,
BIBLIOTHECÆ CLERI UNIVERSÆ,
SIVE
CURSUUM COMPLETORUM IN SINGULOS SCIENTIÆ ECCLESIASTICÆ RAMOS EDITORE.

TOMUS SECUNDUS.

VENEUNT 3 VOLUMINA 33 FRANCIS GALLICIS.

EXCUDEBATUR ET VENIT APUD J.-P. MIGNE EDITOREM,
IN VIA DICTA *THIBAUD*, OLIM *D'AMBOISE*, PROPE PORTAM LUTETIÆ PARISIORUM VULGO *D'ENFER* NOMINATAM, SEU *PETIT-MONTROUGE*, NUNC VERO INTRA MŒNIA PARISINA.

1865

TRADITIO CATHOLICA.

SÆCULUM XIV. ANNI 1332-1335.

ELENCHUS

AUCTORUM ET OPERUM QUI IN HOC TOMO CXLVI CONTINENTUR

Parisiis. — Ex Typis J.-P. MIGNE

ΝΙΚΗΦΟΡΟΥ ΚΑΛΛΙΣΤΟΥ

ΞΑΝΘΟΠΟΥΛΟΥ

ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΙΣΤΟΡΙΑΣ

ΤΟΜΟΣ Η'.

—

NICEPHORI CALLISTI

XANTHOPULI

ECCLESIASTICÆ HISTORIÆ

TOMUS VIII.

—

ΚΕΦΑΛ. Α'.

A

Ἀνακεφαλαίωσις τῶν προῤῥηθέντων καὶ ὧν ἐν τῷ παρόντι διαληψόμεθα.

Ὅσα μὲν δὴ τῷ ἰσαποστόλῳ γεγένηται Κωνσταντίνῳ, πρὶν ἐς ἀντίπαλον κριθῆναι μοῖραν Λικινίῳ τῷ δυσσεβεῖ, ἄχρι δὴ καὶ εἰς τὴν Βύζαντος οἰκοδομήν τε καὶ ἐπὶ τὸ κρεῖττον ἀλλοίωσιν, ταῦτά ἐστιν· ἐπεὶ δὲ τῶν λίαν ἀτόπων ἔμοιγε κρίνεται, τὴν οὕτω περιφανῆ βασιλείαν, καὶ τὴν τῆς εὐσεβείας ὡς ἂν τις εἴποι κρηπῖδα καὶ κορωνίδα, τῷ τῶν δυσσεβεστάτων τυράννων καταλόγῳ σύμμικτον οὖσαν ἐᾷν (τοῦτο δὲ πάντως ἐξ ἀναγκαίου συνέβαινεν), οὐκ ἀνήσω μὴ διελεῖν ταύτην ὡς ἐγχωροῦν, καὶ ἰδίῳ τόμῳ συμπεριγράψαι, περιφανῆ τε οὖσαν καὶ τὸ ὑπερφέρον προβεβλημένην ἐφ' ἅπασι. Καὶ τοίνυν ὅσα μὲν προδιείληπται τοῖς τῶν τυράννων χρόνοις ἐγκαταμεμιγμένα, ὡς οἷόν τ' ἐπιδραμοῦμαι τῷ λόγῳ (B) τόν τε πατέρα καὶ γένεσιν καὶ ἀνατροφὴν, καὶ ὡς ἐπὶ τὴν ἀρχὴν κατέστη, ἐκδιηγούμενος· εἶτα ὡς καὶ τῆς παλαιτέρας κατάρχει Ῥώμης, καὶ κατ' οὐρανὸν τὸ νικοποιὸν τρόπαιον ἐθεᾶτο, δι' οὗ καὶ τῶν ἀλιτηρίων τυράννων περιεγένετο· ἔπειτα ὡς τοῦ θείου ἐν Ῥώμῃ κατηξιώθη λούτρου· καὶ ὅσα ὑπὲρ Χριστιανῶν καὶ τῶν ἐκκλησιῶν διεπράξατο· καὶ τίσι νομοθεσίαις ὑπὲρ ἡμῶν κεχρημένος, τὰ ἡμέτερα ὡς τάχος ἐπιδοῦναι παρεσκευάσατο· ἔτι δὲ καὶ ὡς Λικίνιος αὐτῷ τελευταῖος διέφθαρτο· καὶ τέλος, ὡς Βυζάντιον χειρωσάμενος, τοὺς ἐν αὐτῷ ἀπελαύνει λῃστὰς, καὶ τὴν ἐν αὐτῷ ἐπώνυμον πόλιν μεγαλοπρεπῶς ἀνιστᾷ, νεώς τε καὶ οἴκοις ἐμβόλοις τε καὶ (C) ἀγάλμασιν, ὕδασί τε καὶ δημοσίοις ἄλλοις διαρκῶς ἀγλαΐσας ἔσωθέν τε καὶ ἔξωθεν. Ταῦτα μὲν οὖν, ἅτ' εἰς πλάτος εἰρημένα, ἐπιδραμεῖται αὖθις ὁ λόγος· τὰ δ' ἐφεξῆς πλατύτερον διεξέλθοι· τὰ κατὰ τὸν δυσσεβέστατον δηλαδὴ Ἄρειον, καὶ τὴν ἐν Νικαίᾳ

528 CAPUT I.

Repetitio eorum quæ dicta sunt, et dicendorum propositio.

Res gestæ apostolis ipsis comparandi Constantini, postquam hostiliter cum impio Licinio bello est congressus, usque ad conditum atque in ampliorem urbem redactum Byzantium, sic se habent. Quandoquidem vero admodum absurdum mihi esse videtur, tam illustrem imperii administrationem, veræque in Deum pietatis, ut ita dicam, fundamentum simul et fastigium, impiissimorum tyrannorum catalogo et historiæ ita insertam (quod quidem necessario prorsus factum est) relinquere, facere non possum quin eam, quoad ejus fieri potest, ab illis sejunctam proprio persequar libro : cum scilicet tam ampla sit, et rebus omnibus excellens. Quapropter quæ antea tyrannorum temporibus conjuncta exposui, quam potero brevissime oratione perstringam, de patre nimirum ejus, de nativitate, de educatione, quomodo ad rerum administrationem pervenerit; mox etiam veteris Romæ imperium consecutus sit : ut triumphale victoriæ signum in cœlo conspexerit, per quod etiam exitiales et exsecrandos illos tyrannos devicit; deinde quomodo divino Romæ lavacro sit ablutus; quæ pro Christianis et Ecclesiis ipse peregerit; quibus constitutionibus pro religione nostra promulgatis effecerit, ut res nostræ brevi magna
529 acceperint incrementa; ut postremum Licinium attriverit; denique Byzantio capto, prædonibusque inde pulsis, cognominem sibi urbem magnifice excitarit, eamdemque sacris et profanis ædibus, porticibus, projectis, statuis, aquis aliisque publicis intra et extra mœnia ædificiis exornarit. Hisce omnibus, quæ antehac latius sunt ex-

plicata, breviter repetitis, quæ sequuntur fusius commemorabimus : res scilicet impiissimi Arii, primamque œcumenicam et universalem Nicænam synodum; et uberem, qui tum floruerunt, divinorum virorum proventum; quæ gentes, et quomodo professionem fidei nostræ susceperint, Arianorum post synodum improbitate rejecta; quæ Antiochiæ, Tyri, Æliæ, Alexandriæ et Constantinopoli contra Eustathium et Athanasium veræ pietatis illustratorem acta sint. Deinceps de rebus beatæ Helenæ, quomodo ea Hierosolymis pretiosam venerandamque Domini crucem invenerit, quibus rebus ibi pulcherrime sacrosancta excoluerit loca, et quomodo tandem diem suum obierit. Multa præterea alicubi inserentur, videlicet de Melitianis, tum de Asterio et Marcello, de Novatianis; et quomodo Arius crepuerit, libello prius verioris pietatis exhibito. Post hæc omnia felicissimam Constantini mortem magnificasque et tali principe dignas exsequias, qui innumera deinde miracula et prodigia ediderit, referemus. Sedenim manum operi admoventes commode id tali initio ordiemur.

A πρώτην οἰκουμενικὴν σύνοδον· τήν τε φορὰν τῶν τηνικαῦτα διαλαμψάντων θείων ἀνδρῶν, καὶ ὅσα τῶν ἐθνῶν καὶ ὅπως τὴν ἡμετέραν πίστιν ἠσπάσαντο· τὴν μετὰ τὴν σύνοδον τῶν Ἀρειανῶν δυστροπίαν· ὅσα τε ἐν Ἀντιοχείᾳ, Τύρῳ τε καὶ Αἰλίᾳ, Ἀλεξανδρείᾳ τε καὶ τῇ Κωνσταντίνου αὐτῇ διεπράξαντο κατά τε Εὐσταθίου καὶ Ἀθανασίου τοῦ τῆς εὐσεβείας λαμπτῆρος. Εἶτα τὰ κατὰ τὴν μακαρίαν Ἑλένην, ὡς εἰς Ἱεροσόλυμα γενομένη, τὸν τίμιον ἀνεῦρε τοῦ Κυρίου σταυρόν· ὅσοις τε καλοῖς τοὺς θείους ἐκείνους ἐσέμνυνε τόπους· καὶ οἵῳ τέλει καὶ αὐτὴ ἐχρήσατο. Πολλὰ δὲ καὶ ἕτερα ἐν τῷ μεταξὺ διαλήψεται περί τε τῶν Μελιτιανῶν, Ἀστερίου τε, καὶ Μαρκέλλου, καὶ Ναυατιανῶν· καὶ ὡς διεῤῥάγη Ἄρειος, πρότερον λίβελλον δῆθεν εὐσεβείας δούς.
B Ἐπὶ δὲ πᾶσι τούτοις περὶ τοῦ μακαριστοῦ τέλους διαλήψεται Κωνσταντίνου· καὶ ὡς περιφανῶς τῆς ἀνηκούσης κηδείας τετύχηκε, θαυμάτων καὶ μυρίων τεράτων γενόμενος αὐτουργός. Χεῖρα δ' ἐπιβάλλων τῷ ἔργῳ, ἐντεῦθεν ποιήσομαι τὴν ἀρχήν.

CAPUT II.

Brevis commemoratio rerum apostolis æqualis Constantini, a nativitate ejus usque ad imperii initium.

Divo Constantino pater fuit Constans, cui Proceri (1), ab aliquibus etiam Chlori seu Virentis cognomen impositum. Illustri is admodum loco natus, genus ad imperatorum familiam retulit. Claudii enim, qui ante Diocletianum et Aurelianum ipsum Romæ imperavit, ex filia nepotem fuisse constat. Posteaquam autem Persæ, Sarmatæ et insuper Parthi, Varacho concitante, adversus Romanos bellum movere : Diocletianus, qui tum imperium obtinebat, Constantem oratorem (2) ad Barbaros componendæ pacis gratia misit. Hic ex Occidentalibus in Orientem profectus, **530** ad locum cui Drepani nomen erat, appulit. Ibi hospes, comitatus ejus et cohortis regiæ splendore captus, filiam ei suam vivida et nubili jam ætate puellam subjicit. Constans, amoris concubitusque mercedem, pallium mulieri, regia purpura intextum atque exornatum, donat; et puellæ patrem, quod illa procreatura esset, tollere atque educare jubet; novum id et admirandum quiddam fore arbitratus, ex eo quod cum puella dormiens, in occidente, circum ipsum lectum, solem illucescentem se vidisse in cubiculo, dixit. Cæterum legatione sua rite defunctus, domum rediit, ibique egit. Interea Diocletianus, postquam ad imperium pervenerat, quarto administrationis ejus anno, Maximianum Herculium socium sibi imperii asciverat. Constans vero et Maximinus Gallerius Cæsarum insignibus decorati sunt. Maximus quidem Galleriam Diocletiani, Constans vero Procerus Theodoram Herculii

ΚΕΦΑΛ. Β'.

Ἐπιτομὴ τῶν κατὰ τὸν ἰσαπόστολον Κωνσταντῖνον γεγενημένων ἀπὸ γενέσεως ἕως οὗ ἄρξειεν.

Τῷ θείῳ Κωνσταντίνῳ πατὴρ Κώνστας ἦν, ᾧ Πανύπερτος ἐπώνυμον, πρός τινων δὲ καὶ Χλωρὸς κατωνόμαστο. Οὗτος τῶν εὖ γεγονότων ὤν, εἰς βα-
C σιλείαν τὸ γένος ἀνέφερε. Κλαυδίου καὶ γὰρ θυγατριδοῦς ἐγνωρίζετο· ὃς πρινὴ Διοκλητιανὸν καὶ τὸν πρὸ αὐτοῦ Αὐρήλιον εἰς τὴν ἀρχὴν παριέναι, τὴν βασιλείαν ἐν Ῥώμῃ διεῖπεν. Ἐπεὶ δὲ Πέρσαι, Σαρμάται δ' ἐπὶ τούτοις καὶ Πάρθοι κατὰ Ῥωμαίων κεκίνηντο, Οὐαράχου αὐτοὺς ἐρεθίζοντος, Διοκλητιανὸς δ' ἦν τηνικαῦτα τὰ Ῥωμαίων σκῆπτρα διαχειρίζων· πρέσβιν τὸν Κώνσταντα ἔπεμπε τὴν εἰρήνην καταστησόμενον. Ἐξ Ἑσπέρας δ' ἐς τὴν Ἕω γενόμενος, ἐπὶ χῶρον, ὃς Δρέπανον ἐκαλεῖτο, κατασκηνοῖ. Ἐνταῦθ' ὁ ξεναγὸς τὴν βασιλικὴν δορυφορίαν ἰδών, ὑποβάλλει αὐτῷ τὸ θυγάτριον, ἀκμάζον καὶ ὥραν ἤδη γάμου προβεβλημένον. Κώνστας δὲ μισθὸν τῶν φίλτρων ἐδίδου πέπλον τι βασιλικῇ πορφύρᾳ διηνθισμένον· φυλάττειν δὲ καὶ τὸ
D τεχθὲν παρηγγύα τῷ τῆς κόρης πατρί· καινὸν γάρ τι ἔσεσθαι ὑπενόει, οἷς συγκαθεύδων τῇ γυναικὶ κατὰ τὴν ἑσπέραν, περὶ τὴν εὐνὴν ἔλεγεν ἰδεῖν ἔνδον περιλάμψαι τὸν ἥλιον. Καὶ ὁ μὲν τὰ τῆς πρεσβείας καλῶς διαθέμενος καὶ ἐπανήκων, οἴκοι διῆγε. Χρόνῳ δὲ τῷ μέσῳ Διοκλητιανὸς εἰς τὴν ἀρχὴν παρελθών, τῷ τετάρτῳ τῆς ἡγεμονίας ἔτει, Μαξιμιανὸν τὸν Ἑρκούλλιον συνάρχειν αἱρεῖται. Κώνστας δὲ καὶ Μαξιμῖνος ὁ Γαλλέριος ταῖς Καισαρικαῖς ταινίαις ἀναγορεύονται, ὁ μὲν τὴν Διοκλητιανοῦ θύγατρα γήμας, ὁ Μαξιμῖνος, Γαλλερίαν ὄνομα, Κώνστας δὲ ὁ Πανύπερτος Θεοδώραν τὴν τοῦ Ἑρκουλ-

(1) Alii ex filia Crispi, qui fuit frater Claudii, patre Eutropio genitum tradunt.
(2) « Constans dicere solitus fuit, opes publicas melius a privatis pluribus haberi, quam intra unum principis claustrum reservari. » Eutrop.

λίου παῖδα εἰς λέχους κοινωνίαν λαβών· καὶ ἄμφω δὲ ἃς εἶχον πρότερον γαμετάς, τῇ πρὸς τοὺς κρατοῦντας στοργῇ ἀπέλιπον. Ὁ μὲν οὖν Κώνστας Βρεταννίας ἦρχε καὶ Ἄλπεων καὶ τῶν ἄνω τε Γαλλιῶν· δυσέμβολα δὲ ταῦτα χωρία τε καὶ δυσπρόσοδα. Χρόνου δ' ἥκοντος πρέσβεις καὶ αὐτὸς ἐς ἣν ἐστάλη πρεσβείαν ἔπεμπεν, ἄνδρας γένει διαφανεῖς. Ἐπεὶ δὲ καὶ οὗτοι κατὰ τὸ Δρέπανον γένοιντο, τῇ οἰκίᾳ ἐπιξενοῦνται τῆς τοῦ Κωνσταντίνου μητρός. Παίζων δ' ὁ παῖς, πρός τινος τῶν πρέσβεων παρωξύνετο· καὶ ἀσχάλλων τοῖς εἰρημένοις, οὐ καθεκτῶς εἶχε τῇ μητρὶ ἐπίδακρυς προσιών. Ἡ δ' Ἑλένη τὸ περὶ τὴν παῖδα δρᾶμα προῆγεν εἰς μέσον· ὡς βασιλικὸς μὲν εἴη σκύμνος ὁ παῖς· ἀληθῆ δὲ πίστιν παρεῖχε τοῖς λόγοις ὅ τε τοῦ παιδὸς χαρακτὴρ ἀκραιφνῶς τὸν Κώνσταντα διαγράφων, ἔτι δὲ καὶ ὃν ἡ πορφύρα πέπλος ἐπέχρωσε τῆς θίβης ἐξαγαγοῦσα. Ὡς δὲ κἀκεῖνοι τὸ πρὸς βουλῆς τῷ Κώνσταντι ἐκπληρώσαντες ἐπανῆκον, τά τε ἄλλα τῆς πρεσβείας κατέλεγον, προσετίθουν δὲ καὶ τὰ κατὰ τὸν παῖδα Κωνσταντῖνον· ὡς ὡραῖόν τε καὶ εὐφυὲς μειράκιον εἴη· σκιρτήματα δὲ βασιλικὰ διαδείκνυσι, καὶ σχεδὸν ὅλον αὐτοῦ τὸν τύπον ἀκραιφνῶς ἀναμάξαιτο. Κώνστας δὲ μετάπεμπτον εὐθὺς ἐποίει τὸν παῖδα σὺν τῇ μητρί. Ἐπεὶ δὲ μή τι πάθοι ὁ παῖς καὶ ἡ μήτηρ διὰ τὸ ζηλότυπον τῆς γυναικὸς ὑφεώρα, τὸ κατὰ τὴν Ἑλένην ὥσπερ ἐχρῆν διῳκήσας, τὸν παῖδα πολλῷ ὕστερον κατὰ τὴν Νικομήδους ἀνέπεμπε Διοκλητιανῷ. Καὶ ὁ μὲν οἷά τι ἐνέχυρον τοῖς βασιλείοις διέτριβε, δομέστικος προχειρισθεὶς τῶν σχολῶν· γενναῖα δὲ χειρὸς ἔργα διαπραξάμενος, ἐθείαζε μὲν τὰ Χριστιανῶν ἠρέμα· ἤχθετο δὲ τῇ πολλῇ τῶν κρατούντων δεισιδαιμονίᾳ, καὶ ὅτι τῇ πολλῇ ἐφήδοντο τῶν μαρτύρων σφαγῇ. Ὡς δὲ καὶ μαγγανείαις δή τισιν αὐτὸν μόνον τῆς ὅλης ἀρχῆς ἐγκρατῆ γενέσθαι, καὶ τὴν τῶν εἰδώλων θρησκείαν ἐκ μέσου ποιεῖν οἱ περὶ Διοκλητιανὸν εὕρισκον, εἰς φθόνον ἀνεῤῥιπίζοντο· καὶ δόλῳ τὸν ἐκείνου φόνον ἦσαν ἐμμελετῶντες. Ὁ γνοὺς Κωνσταντῖνος, πρὸς τὸν πατέρα διέβαινεν. Ἐπεὶ δ' ἐν τελευταίαις τὸν πατέρα κατειλήφει ἀναπνοαῖς, ἤδη δὲ καὶ ἐς διαθήκας ηὐτρέπιστο· ἐκείνῳ οἷα δὴ τὰ Χριστιανῶν ἑλομένῳ τὸ κράτος ἐφίει, τοὺς ἐκ τῶν γνησίων σπερμάτων τῆς Θεοδώρας παρωσάμενος παῖδας· αὐτὸς οἰκείαις χερσὶ κατὰ Βρεταννίαν τὸν βασιλικὸν στέφανον αὐτῷ περιθείς, ἓξ μὲν καὶ πεντήκοντα ζήσας ἐνιαυτούς, τρεῖς δὲ καὶ εἴκοσι τούτων ἡγεμονεύσας, λιμὴν ἄκλυστος τοῖς εὐσεβεῖν ᾑρημένοις γενόμενος. Καὶ ὁ μὲν Κωνσταντῖνος οὕτω τὴν ἀρχὴν ἀναζώννυται, τῆς διακοσιοστῆς ἑβδομηκοστῆς πέμπτης ἀρχομένης Ὀλυμπιάδος· ὅπερ ἐστὶ κόσμου ἔτος πεντακισχιλιοστὸν ὀκτακοσιοστὸν πέμπτον καὶ δέκατον.

A filiam uxorem duxit : cum quidem uterque quam antea habuerat conjugem, propter eam quam erga imperatores gerebant animi affectionem et propensionem, repudiasset. Constanti Britannia, Alpes et Gallia superior provincia obvenit, aditu et accessu difficiles regiones. Annis aliquot intercedentibus, quo ipse antea legatus missus fuerat, oratores quoque ire jubet, viros genere claros. Cæterum et illi, cum Drepanum delati essent, hospitio matris Constantini excipiuntur. Ubi puer ludens, ab uno oratorum ad animi acerbitatem per objurgationem est commotus. Cujus verba ille ægre impatienterque ferens, lacrymis profusis ad matrem querelam defert. Tum illa rem omnem de puero in medium producit, regii asseverans sanguinis esse. Et verba B ea facile confirmabant, cum pueri facies, quæ Constantis vultum apprime referebat, tum purpura illi infecta vestis, quam ex arca mulier protulit. Atque ii quoque legatione ex Constantis sententia confecta, in patriam reversi, cum alias muneris sui res illi exposuere, tum de puero etiam Constanti retulere, formosum eum ingeniosumque adolescentulum gestus edere regios, et vultum constitutionemque ejus fere omnem egregie referre. Quam ob causam Constans filium statim una cum matre ad se adducendum curavit. **531** Cum vero metueret ne quid vel puero vel matri ab uxore sua per zelotypiam et conjugalem æmulationem accideret, Helenæ ipsi, sicuti decebat, C prospexit, puerum autem aliquanto post Nicomediam ad Diocletianum misit. Ibi ille in imperatorio palatio, perinde atque pignus quoddam degebat, domesticus scholarum creatus. Et fortia manu peragens facinora, Christianorum sacra sensim et occulte est complexus, et imperatores, qui tantopere vanæ superstitioni dediti essent, et plurima martyrum cæde oblectarentur, detestatus. Porro ut incantationibus divinationibusque quibusdam Diocletianus cognovit, ipsum Constantinum solum summa rerum et imperio potiturum, idolorumque cultum sublaturum, odio erga eum est accensus, consiliumque occidendi ejus cepit. Qua re comperta, Constantinus ad patrem se contulit : quem jam supremum prope trahentem spiritum, et circa D testamentum condendum occupatum reperit; in quo illi Christianorum religionem consectanti, imperium potestatemque suam reliquit : reliquis, quos ex Theodora susceperat liberis, præteritis; ipse quoque manibus suis, in Britannia coronam imperialem ei imposuit, quinquaginta et sex ætatis, tribus vero et viginti imperii exactis annis (1); cum quidem omnibus, qui veram pietatem colendam statuissent tutus et tranquillus fuisset portus et perfugium. Eo modo Constantinus paternum est consecutus imperium, ducentesima septuagesima quinta ineunte olympiade : qui annus est a mundo condito quinquies millesimus octingentesimus quintus decimus.

(1) 19 ut Cæsar, 4 ut Augustus. Apud alios chronicos scriptores invenio olympiadem 272, annum mundi conditi 4271, annum Domini 310. Bibliander ponit annum mundi conditi 4289 et annum Domini 311.

CAPUT III.

Ut Constantinus tyrannos vicerit, et Christianam amplexus sit religionem.

Diocletianus autem et Maximianus, viginti annis in imperio administrando completis, propter certas causas, et quod dura quædam perpessi essent, potestatem eam sua sponte sibi ipsis abrogarunt. Qualia autem vel contra nos, vel etiam pro nobis proposuerint edicta, et quot martyrum millibus strenue pro Christi nomine decertantibus, ipsi simul et Maximinus successor eorum necis causa exstiterint, **532** plenissime a nobis paulo ante est explicatum. Maxentius porro Romæ, et Maximinus Nicomediæ, hic in Oriente, ille in Occidente, tyrannidem exercentes, eisdem detinebantur studiis, civium subditorum bona diripientes, matrimonia aliena violantes, et cædes innumeras quolibet prope die subornantes. Adversus hos, oppressorum legationibus pluribus excitus e Galliis Constantinus, primum Maxentio ad urbem Romam bellum intulit. Quo tempore aleam Martis prælio adversus eum experturus, paternum invocavit Deum. Et derepente in cœlo salutiferum crucis signum longius distentum, orientem versus, meridiano tempore, splendore solem ipsum superante, apparuit: circum quod, in orbem, stellis itidem, ut in cruce, litterarum Latinarum formam referentibus, inscriptio hisce verbis est visa, *In hoc vince:* quod signum confestim ex auro et lapillis pretiosis, ad militaris vexilli instar, fieri curavit: et simul Maxentium fortissime devicit, in ponte submersum, et Romam in potestatem suam recepit. Deinde deorum simulacra comminuens, in cinerem redegit, eorumdemque delubra solo æquavit. Mox, manibus ipse suis, Servatori in Palatio Romæ templum sarculo descripsit et excitavit. Leges pro Christianis tulit, aliaque magno studio pro nobis egit, quæ paulo ante recensuimus. Et cum eum morbus invasisset, et medici infantum sanguine id malum discuti purgarique posse renuntiarent, abhorruit resiluitque ab eo facinore Deo charissimus imperator, luctu et ejulatu matrum permotus. Intercedit nox, et principes apostolorum se ei spectandos exhibent, Romanæque urbis antistitem accersere jubent, piscinam apud eum esse ostendentes, cujus lavacro ablutum illum salvum subito et incolumem fore dicunt. Advenit ille, quæ opus sunt refert, imperatorem baptizat: et morbus ipse aquis innatat, squamarum in morem, non ab oculis, verum a carne ipsa decidentium. Itaque ille melius habet, usque adeo ut miraretur ipse, isne esset, qui antea fuerat Constantinus.

A

ΚΕΦΑΛ. Γ'.

Ὡς τῶν τυράννων περιεγένετο Κωνσταντῖνος, καὶ ὡς τὴν Χριστιανῶν ἠσπάσατο πίστιν.

Διοκλητιανὸς δὲ καὶ Μαξιμιανὸς ἔτος που εἰκοστὸν διανύσαντες τῇ ἀρχῇ, ἑκόντες ταύτης ἐξίσταντο. Ἐπὶ τίσι δ' αἰτίαις, καὶ τίνα πεπονθότες δεινὰ, τίνα τε προγράμματα καθ' ἡμῶν καὶ ὑπὲρ ἡμῶν ἐνεστήσαντο, καὶ ὅσοις τὸν ὑπὲρ Χριστοῦ ἀγῶνα διενεγκεῖν κατέστησαν πρόξενοι, αὐτοί τε καὶ ὁ μετ' αὐτοὺς Μαξιμῖνος, φθάνει τε μικρὸν ὄπισθεν καὶ πρὸς λεπτὸν εἰρημένον. Μαξέντιος δ' ἐν Ῥώμῃ καὶ Μαξιμῖνος ἐν Νικομηδείᾳ τυραννοῦντες, ὁ μὲν κατὰ τὴν Ἕω, ὁ δ' ἐν Ἑσπέρᾳ, τὰ ἴσα πράττοντες ἦσαν· ἁρπαγαῖς χρώμενοι, γάμους διορύττοντες ἀλλοτρίους, καὶ φόνον ἄπειρον καθεκάστην ὡς εἰ-
B
πεῖν κεραννύντες· καθ' ὧν ἐκ πρεσβείας πολλῶν τῶν Γαλλιῶν κινηθεὶς Κωνσταντῖνος, πρῶτα μὲν κατὰ Μαξεντίου ἐπιστρατεύει ἐν Ῥώμῃ· ὁπηνίκα δὴ συῤῥαγῆναι μέλλων πρὸς μάχην ἐκείνῳ, τὸν πατρῷον ἐπεκαλεῖτο Θεόν. Αἴφνης δ' ἐν οὐρανῷ τὸ σωτήριον τοῦ σταυροῦ ἐπιφαίνεται ὅπλον κατ' ἀνατολὰς, ἐπὶ μήκιστον διῆκον, ἐν ἡμέρᾳ μέσῃ ὑπεραστράπτον τῇ αἴγλῃ τὸν ἥλιον. Ἶρις δὲ περιθέουσα κύκλῳ ἐκ τῶν ἴσων ἄστρων πρὸς γραμμάτων χαρακτῆρα ῥυθμιζομένων Ῥωμαϊστὶ, *Ἐν τούτῳ νίκα*, ὑπέγραφεν· ὃ αὐτίκα ἐκ χρυσοῦ καὶ λίθων πολυτελῶν διασκευάσας, Μαξέντιόν τε κατὰ κράτος ἐνίκα κατὰ τῆς γεφύρας διαφθαρέντα, καὶ τῆς Ῥώμης εἶχε τὸ κράτος. Ἐντεῦθεν τὰ μὲν εἴδωλα εἰς λεπτὴν
C
διετίθει κόνιν, καὶ τοὺς ἐκείνων νεὼς εἰς ἔδαφος ἔβαλλεν· αὐτὸς δὲ οἰκείαις χερσὶ τῷ Σωτῆρι νεὼν ἐν τοῖς κατὰ Ῥώμην ἀνακτόροις τῇ σκαλίδι διέγραφε καὶ ἀνίστα· καὶ νόμους ὑπὲρ Χριστιανῶν ἐτίθει, καὶ τἄλλα κατεσπουδασμένως ὑπὲρ ἡμῶν ἔπραττεν, ὅσα δὴ μικρὸν ἄνωθεν διελάβομεν. Καὶ νόσος μὲν ἐκείνῳ ἐπέσκηπτεν· αἵμασι δὲ νηπίων ἐκκαθαίρεσθαι τὴν νόσον ἰατρῶν παῖδες διήγγελον. Ἀλλ' ἀπηγόρευε τὴν πρᾶξιν ὁ θεοφιλὴς βασιλεὺς, μητρικῶν ἡττώμενος θρήνων. Νὺξ ἐπὶ τούτοις ἐπῄει· καὶ οἱ κορυφαῖοι τῶν ἀποστόλων ὀπτάνονται, τὸν τῆς Ῥώμης μεταστέλλεσθαι ἱερέα παρεγγυώμενοι· παρ' ᾧ κολυμβήθραν εἶναι, ᾗ λουσάμενον, ἀθρόον ἐξάντη γενέσθαι τῆς νόσου. Καὶ ὁ μὲν ἧκε· καὶ ὅσα ἦν εἰκὸς ἐπειπὼν, ἐβάπτιζε. Καὶ ἡ μὲν νόσος
D
τῷ ὕδατι ἐπεπόλαζεν, ὡσεὶ λεπίδες οὐκ ἀπ' ὀφθαλμῶν, ἀλλ' αὐτῶν σαρκῶν ἀποπίπτουσαι. Ὁ δὲ ῥᾴων ἦν· καὶ ἐπὶ τόσον ὡς καὶ θαυμάζειν εἰ ἐκεῖνος ὢν ὁ πρώην ἐτύγχανε Κωνσταντῖνος.

Postea Judæorum turba exsistit, qui imperatoris matrem adeuntes, Constantini quidem ab idolorum cultu defectionem laudant et admirantur, sed transitionem ejus ad Christum valde arguunt et criminantur. **533** Et litteræ ea de re ab Helena ad filium datæ. At ille firmis nixus fundamentis effecit, ut illi ipsi Judæi cum Sylvestro Romanæ *urbis episcopo congrediantur* sermonesque confe-

Ἐντεῦθεν Ἰουδαίων στῖφος ἐγείρονται· καὶ τῇ τοῦ βασιλέως προσιόντες μητρὶ, τὴν μὲν τῶν εἰδώλων τοῦ Κωνσταντίνου ἀποστροφὴν δι' αἰδοῦς εἶχον· τὴν δ' ἐπὶ Χριστὸν μετάθεσιν καὶ σφόδρα κατητιῶντο· καὶ γραφαὶ τῆς Ἑλένης προήγοντο. Ὁ δ' ἐρηρεισμένος στεῤῥῶς, ἐς διάλογον ἐκείνους καθίστα Σιλβέστρῳ τῷ τῆς Ῥώμης ἀρχιερεῖ· καὶ πολὺς κατ' ἐκείνων ῥέων, τὸ κράτος ἠνέγκατο.

Ἔπειτα Μαξιμίνῳ εἰς μάχην ἧκε, τὸ σταυρικὸν A τρόπαιον ἐπαγόμενος· καθ' οὗ βάλλειν ἐκεῖνος κελεύων, διώλλυτο. Ἐπεὶ δ' ἐκεῖνος ἐκ τοῦ μέσου ἐγίνετο, εἰς μέγα τε τὰ Χριστιανῶν ἤρετο, ἐγκαίνιά τε ἁπανταχοῦ εἰρήνης ἐκ Θεοῦ πρυτανευομένης συνεκροτεῖτο· καὶ τἄλλα ὅσα ἦν εἰκὸς ἐπὶ τοιαύταις πραγμάτων οἰκονομίαις. Ἐντεῦθεν διατάξεις ἔγγραφοί τε καὶ ἄγραφοι ὅσα δὴ προσῆκε Χριστιανοῖς ἐπιτάττουσαι· ναῶν οἰκοδομαί τε καὶ μεταπλάσεις πρὸς τὸ εὐρύτερόν τε καὶ εὐπρεπέστερον· καὶ νόμοι λάτραις Θεοῦ ἀτέλειαν εἰσηγούμενοι, ἄνεσίν τε, καὶ πολυτελεῖς ἐπιχορηγοῦντες τὰς δωρεὰς, τοῖς ἱεροῖς καὶ θείοις τεμένεσι· συνόδους τε καὶ συνελεύσεις ἐς ταυτὸ πιστῶν διατάξεις συναθροίζουσαι· ἕτεραι τὸ σύμπνουν ταῖς ἐκκλησίαις λατρεύουσαι. B

... rant. Atque is magna eloquentiæ vi cum illis agens, facile eos convincit. Mox cum Maximino prælio congressus, tropæum crucis inferri in hostem jubet: adversus quod cum ille jacula emittere juberet, victus succumbit. Quo e medio sublato, magis etiam res Christianorum sunt auctæ. Itaque encænia, innovatarumque rerum feriæ, tranquillitate ubique a Deo concessa, celebratæ, aliaque omnia peracta quæ in ejuscemodi mutationibus et Dei dispositionibus fieri receptum est. Sub hæc constitutiones scriptæ et non scriptæ, quæ pro eo atque deceret res Christianorum ordinarent, editæ. Templa quædam de integro constructa, quædam in ampliorem decentioremque formam mutata. Leges latæ, immunitatem ministris Dei conferentes, libertatemque et magnificas donationes templis sacrisque ædibus largientes; aliæ præterea, synodos et conventus fidelium in unum cogentes, atque item aliæ concordiam Ecclesiarum conciliantes.

Εἶχε μὲν οὖν οὕτω ταῦτα· Λικίνιος δ' ἐπ' ἀδελφῇ Κωνσταντίᾳ γαμβρὸς ὢν Κωνσταντίνῳ, καὶ τὴν Ἕω διέπειν κατὰ τὴν Νικομήδειαν κελευσθεὶς, ἥκιστα τὸν τῆς ἀρχῆς ὄγκον διενεγκὼν, ἐπανάστασιν τῷ εὐεργέτῃ ἐκμελετᾷ, καὶ τὴν ἄμυναν ἐδείκνυ, λάθρα ὧν αὐτὸς ἐραστὴς ἦν, κτείνων Χριστιανοὺς, καὶ πολλοὺς ἐκ τούτων τῷ τῶν μαρτύρων καταλέγων χορῷ. Ὡς δὲ παραινῶν, συμβουλεύων, καὶ δεδιττόμενος, οὐδαμῶς ἑώρα πειθήνιον Κωνσταντῖνος, τὸν ἐν Χρυσοπόλει Βιθυνιακὸν τὸ τελευταῖον ἐκείνῳ συνεῤῥήγνυτο πόλεμον. Καὶ εἰς χεῖρας μὲν ἧκε τῷ Κωνσταντίνῳ καταστρατηγηθεὶς ὁ Λικίνιος· φειδοῦς δὲ ὅμως καὶ οὕτως ἐτύγχανε· καὶ ἡ τῶν Θετταλῶν ἦν αὐτῷ εἰς φρουράν. Ἐπεὶ δὲ κἀκεῖσε νεωτερίζων ἡλίσκετο, αὐτὸς ἐφ' ἑαυτὸν τὸ ξίφος C ἕλκει· καὶ δὴ πελέκει ἀναιρεθεὶς, τέλος μὲν ἑαυτῷ, στάσιν δὲ τῇ τυραννίδι καὶ τῇ τῶν εἰδώλων λατρείᾳ ἐποίει.

Atque hæc quidem tum ad eum modum se habebant. Licinius autem (1), qui Constantiam Constantini sororem in matrimonio habebat, Orientemque ad Nicomediam cum imperio administrare jussus erat, quod magnitudinem imperii moderate perferre non posset, rebellionem exitiumque adversus eum, a quo summa acceperat beneficia, molitur: conatumque suum, occulte Christianos, quorum ille magnus amator erat, occidens, ac multos ex eis in rationem martyriorum referens, declarat. Apud quem cum Constantinus neque cohortando, neque suadendo, neque adeo territando, ut a cœpto desisteret, aliquid efficeret, postremo bello eum aggressus, ad Chrysopolim Bithyniæ prælium cum eo committit. In quo superatus ille, in potestatem quidem Constantini pervenit: vitam, victore donante, recipit, et Thessalonicæ sub custodia servatur: ubi vero tum quoque ad novas res respectare deprehensus est, ipse in seipsum ferrum pertraxit (2). Quam ob rem securi percussus, sibi ipsi quidem vitæ finem, tyrannidi vero et idololatriæ bellicum motum creavit.

ΚΕΦΑΛ. Δ'.

Περὶ τῆς ἀνεγέρσεως Κωνσταντινουπόλεως καὶ τῶν ἐν αὐτῇ· ὅπως τε τὰ Χριστιανῶν ἐπέδωκε, καὶ περὶ τῆς εὐσεβείας καὶ ἀρετῆς καὶ νομοθεσίας τοῦ ἁγίου Κωνσταντίνου.

Τοῖς δὲ κατὰ Λικίνιον καλῶς ἀπαντήσασι, καὶ D πόλιν εἰς ὄνομα ἑαυτῷ ἀνιστᾷν διεσκόπει. Καὶ δὴ Βυζαντίοις ἀγρίοις δή τισι καθεστῶσι, καὶ βαρβάρῳ ξίφει τὰ μεγάλα φυσῶσι, καταστὰς εἰς διαφορὰν, πολέμου νόμῳ νικᾷ· καὶ τὸ ἐκ παλαιοῦ φρούριον εἰς ἔδαφος καταστρέψας, μεγαλοπρεπῆ συνεισενεγκὼν εἰσφορὰν, τὴν μεγάλην ἐγείρει πόλιν, οὐδέν τι λιπὼν τῶν, ὅσα ταύτης εἰς περιφάνειαν· οἴκους τε δειμάμενος ἐκφανεῖς, ἔκ τε Ῥώμης καὶ τῶν ἐθνῶν, ἀλλαχοῦ τοὺς οἰκήσοντας

534 CAPUT IV.

De conditu urbis Constantinopolitanæ, ædificiisque ejus: et ut res Christianorum auctæ sint, et de pietate, virtute, ac constitutionibus sancti Constantini.

Rebus contra Licinium prospere gestis, urbem quoque ut sub nomine suo condat, circumspicit. Byzantii quidam erant sævi admodum, armisque sibi barbaro more plurimum arrogantes. Hos armis adortus, belli jure vincit: eorumque vetusto castello diruto, ingentibusque et magnificis tributis comportatis, magnam construit urbem, nihil prorsus rerum omnium quæ ad eam illustrandam spectarent, omittens, ædes præclaras struens, ex ipsa Roma aliisque populis incolas eo alliciens:

(1) Licinium imperii socium Constantinus primum in Pannonia, deinde in Macedonia, rursum in Thracia, postremo in Asia vicit, fugavit, et per deditionem cepit: litterarum acerrimum hostem, Dacia oriundum, parentibus armentariis. Unde ei etiam Armentarii cognomen inditum.

(2) Cavit Constantinus, Licinio cædendo, ne idem is tentaret quod Maximianus Herculius imperio, quod deposuerat, repetendo fecerat.

circum equestrem, porticus, projecta, aquæductus, fontes, statuas, imagines, et quæcunque essent præcipuæ artis opera, fieri eoque comportari, ut splendida ornataque redderet omnia, curans. Ad hæc, templa Deo, apostolis et martyribus, et maximam illam porphyretici marmoris columnam construens, in qua statuam quoque suam collocavit, in polo seu vertice mundi crucem infixam manu tenentem. Quo ille symbolo indicavit, virtute invicti ejus tropæi et signi terram omnem et mare ipsum a se esse subactum. In regione etiam ea quæ Sosthenium dicitur, et in trajectu, ex apparitione archangeli Michaelis, templa condidit, aliaque plura opera perfecit, quæ illius divina mente et prudentia atque etiam in rebus omnibus magnificentia digna erant. De cognomine ei urbe dicitur, non longe ab Ilio, circa Græcorum navalem stationem, eam illum excitare cœpisse: quod autem noctu oraculo divino admonitus, circum Byzantium, e regione Chalcedoni exstruere jussus esset, responso ei morem gerentem, amplis ita mœnibus ibi circumdedisse, rebusque omnibus et ornamentis atque honoribus præcipuis Romæ parem exstruxisse, curiam atque senatum, sumptus, tesseras frumentarias, dignitatisque genus omne, imperatoria prorsus munificentia civibus largitum esse; atque ita omnibus rebus rite atque ordine dispositis, Constantinopolim et Novam Romam appellasse, **535** eademque cum illa potestate, eisdem moribus atque institutis, eisdemque legibus esse jussisse, et insuper imperatricem urbem declarasse, populorum omnium qui Romanum imperium agnoscentes, septentrionem, austrum et solem orientem versus, et quod in medio est mare colunt, ab eis quæ ad Istrum exstructæ sunt urbibus, et ab Epidamno, quæ non longe ab Ionio sinu est sita, usque ad Cyrenem et proximam Libyam, per totum, quod dicitur, boreale clima et regionem arctoam; et urbem eam condi cœpisse, a mundo creato quinquies millesimo octingentesimo vicesimo quinto, imperii ejus decimo: absolutam autem prorsus esse, ejusdem imperii vicesimo octavo anno, qui incidit in conditi mundi annum quinquies millesimum octingentesimum quadragesimum tertium, sive, ut alii tradunt, tricesimum octavum. De ea illud quoque memoriæ est proditum (1), ut imperator ipse pedibus, hastam manu tenens, ambitum mœniaque ejus definiens circumiit: quod comitibus ejus ulterius quam conveniret, pomeria urbis proferre videretur, quemdam ex eis ad eum accessisse atque rogasse, Quo usque tandem, here? illumque diserte respondisse: Eo usque, dum qui me præcedit ductor, constiterit. Unde satis constabat, cœlestem quampiam ei præiisse virtutem, quæ eum, quod fieri deberet,

A μετεστέλλετο· ἱππόδρομόν τε καὶ ἐμβόλους καὶ ταμεῖα ὑδάτων, καὶ κρήνας, ἀγάλματα καὶ πᾶν τι τῶν, ὅσα χειρὸς ἐξαισίας, ἐκόμιζέ τε καὶ κατεκόσμει, διαφανῆ καθιστῶν. Νεὼς ἐπὶ τούτοις Θεῷ ἀνίστα, καὶ ἀποστόλοις καὶ μάρτυσι· καὶ τὸν μέγιστον πορφυροῦν κίονα, ἐν ᾧ καὶ ἴδιον ἀνδριάντα ἐπῆγεν, ἐπὶ πόλῳ σταυρὸν ἐμπεπηγότα διακατέχοντα. Οἷς παρεδήλου, ὡς γῆ τε αὐτῷ καὶ θάλαττα δεδούλωται πᾶσα τῇ δυνάμει τοῦ ἀηττήτου τροπαίου. Καὶ κατὰ τὸν ὃς καλεῖται χῶρος Σωσθένιον ἐν τῷ ἀνάπλῳ, νεὼν ἐξ ἐπιφανείας τοῦ ἀρχαγγέλου ἀνίστη· καὶ ἄλλ' ἄττα, ἄξιά γε τῆς ἐκείνου καὶ φρενὸς καὶ θείας συνέσεως, ἔτι δὲ καὶ τοῦ ἐφ' ἅπασι μεγαλοπρεποῦς διεπράττετο. Λέγεται μέντοι περὶ τῆς B ἐπωνύμου αὐτῷ πόλεως, ὡς κατὰ τὴν Ἴλιον περὶ τὸ τῶν Ἑλλήνων ναύσταθμον ἐπιβάλλειν πρότερον αὐτὴν ἀνιστᾷν· τοῦ δὲ Θεοῦ χρήσαντος νύκτωρ, κατὰ τὸ Βυζάντιον ἀντικρὺ Χαλκηδόνος, ἐγείρειν αὐτὴν, τῷ χρησμῷ πεισθέντα, τείχεσι μεγάλοις περιβαλεῖν, ὁμότιμόν τε τῇ Ῥώμῃ πρεσβείοις πᾶσιν οἰκοδομῆσαι, βουλευτήριόν τε καὶ σύγκλητον, καὶ δαπάνην, καὶ σιτηρέσια, καὶ φιλοτιμίαν ἄλλην αὐταρκεστάτην βασιλικῶς τοῖς οἰκήτορσι διανεῖμαι. Φιλοκάλως δ' ἅπαντα τὰ κατ' αὐτὴν διαθέμενος, Νέαν Ῥώμην Κωνσταντινούπολιν κατωνόμασεν, ἴσα τ' ἐκείνῃ κρατεῖν, καὶ οἰκονομεῖν, καὶ θεμιστεύειν ἐδίδου· καὶ βασιλίδα τῶν πόλεων ἀνηγόρευε, τῶν, ὅσοι τὴν Ῥωμαίων ὑπήκοον γινώσκουσι, πρὸς ἄρκτον καὶ νότον καὶ ἀνίσχοντα ἥλιον, καὶ τὰ ἐν μέσῳ C πελάγη, ἐκ τῶν παρὰ τὸν Ἴστρον πόλεων, καὶ Ἐπιδάμνου τῆς πρὸς τῷ Ἰονίῳ κόλπῳ μέχρι Κυρήνης, καὶ τῶν τῇδε Λιβύων, παρὰ τὸ βόρειον καλούμενον κλίμα. Καὶ ἄρξασθαί γε τῆς οἰκοδομῆς κατὰ τὸ πεντακισχιλιοστὸν ὀκτακοσιοστὸν πέμπτον καὶ εἰκοστὸν ἔτος τοῦ κόσμου, τῆς δὲ ἀρχῆς αὐτοῦ δέκατον· τελέσαι δὲ ταύτην παντάπασι κατὰ τὸ εἰκοστὸν ὄγδοον αὐτοῦ τῆς ἀρχῆς· ὅπερ ἐστὶ κόσμου ἔτος πεντακισχιλιοστὸν ὀκτακοσιοστὸν μγʹ, ὡς δ' ἕτεροι, ͵εωλη'. Καὶ τοῦτο δὲ περὶ ταύτης ἱστορεῖται, ὡς τὸν ταύτης περίβολον ὁριζόμενον, βάδην περιιέναι τὸν βασιλέα δόρυ κατέχοντα τῇ χειρί· ἐπεὶ δὲ τοῖς ἑπομένοις ἐδόκει μεῖζον ἢ προσῆκε τὸ μέτρον ἐκτείνειν, προσελθεῖν τε αὐτῷ τινα καὶ διαπυνθάνεσθαι, Ἕως D ποῦ, δέσποτα; τὸν δὲ διαῤῥήδην ἀποκρινάμενον φάναι, Ἕως ἂν ὁ ἔμπροσθεν ὁδηγῶν με στῇ. Ἐπίδηλον δὲ ἄρα ἦν, ὡς δύναμις αὐτοῦ τις οὐρανία προηγεῖτο, τοῦ πραττομένου διδάσκαλος. Οὕτω δὲ μεγαλοπρεπῶς ἱδρυσάμενον, ἅλμα Ῥώμαν ὀνομάσαι αὐτὴν, ὃ τῇ Ῥωμαίων γλώττῃ τὴν ἔνδοξον ὑπαινίσσεται. Ὑπὲρ δὲ τῆς εὐσεβείας ὁ Κωνσταντῖνος ἀεί τι πονῶν διετέλει· καὶ οὐκ ἐν τῷ Βυζαντίῳ, ἀλλὰ καὶ ἁπανταχοῦ τῆς γῆς, περικαλλεῖς ἀνίστη νεώς. Διαφερόντως δ' ἐν ταῖς μητροπόλεσι τοῦθ' ἑωρᾶτο ποιῶν· ὥσπερ ἐν τῇ κατὰ Νικομήδειαν τῶν Βιθυνῶν ἐπαρχίᾳ· καὶ ἐν τῇ πρὸς Ὀρόντην Ἀντιοχείᾳ, καὶ τῇ

(1) Si scilicet aut intra tredecimum annum perfecta, aut quinto imperii ejus anno ædificari cœpta esset. Justinianus Constantinopolim novam Romam, Deo propitio, melioribus quam veterem conditam esse auguriis censet, l. *Deo auctore*. C. *De veter. jure enucl.*

πρεσβυτέρᾳ Ῥώμῃ, καὶ ἐν αὐτῇ Ἱερουσαλὴμ· περὶ ἧς μικρὸν ὕστερον τὰ αὐτῷ εἰργασμένα διέλθω. Ἐπεὶ δὲ αὐτῷ πάντα κατὰ γνώμην προὐχώρει, καλῶς δέ οἱ αὐτῷ καὶ τὰ τῶν ἀλλοφύλων συνέβαινε, τῶν τε πορρωτέρω καὶ σύνεγγυς νόμῳ πολέμου καὶ σπονδαῖς ἐξημερουμένων, βαθεῖα εἰρήνη τοῖς Ῥωμαίων ἐπεχόρευε πράγμασιν ἔτεσιν ἤδη συχνοῖς· καὶ ἡ κατὰ Χριστὸν πίστις ἁπανταχοῦ τῆς γῆς διεσπείρετο, ὡς καὶ πολλὰ τῶν ἀγρίων ἐθνῶν ἀσπάσασθαι τὰ ἡμέτερα· πολιτεία τε ὑπερφέρουσα ἔν τε ταῖς ἐκκλησίαις καὶ πλήθεσι δήμων καὶ ἐν αὐτοῖς τοῖς ὄρεσιν ὑπερήστραπτεν, ἄρτι τῶν μοναχῶν ὑποφυομένων· ἔτι δὲ μαρτύρων καὶ ὁμολογητῶν διασωζομένων, καὶ ἱερέων ἀποστολικοῖς χαρίσμασι καὶ θαύμασι καὶ ἁπλότητι βίου διαπρεπόντων, ὧν ἔτι περιόντων, τὴν οὐράνιον ἦν πολιτείαν ὁρᾷν ἐπὶ γῆς, καθεκάστην καὶ διὰ πάντων ἀεὶ τῆς θρησκείας ἐπιδιδούσης, τοῦ Κωνσταντίνου πᾶσαν εἰσάγοντος τὴν σπουδὴν, ὥστε καθεστάναι τοῖς ὅλοις, αὔξειν τε ταύτην καὶ εἰς μέγεθος ἥκειν· καὶ δι' αὐτὸν, τὰ τοῦ Χριστιανισμοῦ ἐν σταθερᾷ καὶ ἀταράχῳ γαλήνῃ, καὶ ἐν βαθείᾳ καθειστήκει εἰρήνῃ· καὶ ἁπλῶς εἰπεῖν, τηνικάδε χορείας καὶ θυμηδίας ἦσαν ἔμπλεω τὰ ἡμέτερα· τὰ δὲ τῶν ἐναντίων εἰς τὴν ἐναντίαν μετεχώρει ἀηδίαν τε καὶ κατήφειαν.

instrueret. Eam tam magnifice fundatam, almam quoque Romam vocavit, quod verbum Romanis gloria præclaram significat. Constantinus sane nunquam non pro Christiana pietate aliquid agens, non Byzantii tantum, sed et ubique terrarum, pulcherrima ædificavit templa, potissimumque in metropolitanis sedibus, sicuti Nicomediæ in Bithynia provincia, Antiochiæ ad Orontem, in veteri Roma, et Hierosolymis ipsis. De quibus, quæ ibi opera perfecerit, postea dicemus. Cum vero res omnes ei ex sententia cederent, etiam apud exteras nationes, finitimas simul et longinquiores, vel jure belli vel fœderibus pactis pacatas: altissima annis pluribus pax et tranquillitas in orbe Romano floruit, et professio fidei Christianæ ubique terrarum est propagata. Multæ quoque feræ nationes sacra nostra sunt complexæ: et mirificum vitæ institutum in ecclesiis, et apud multitudinem ipsam, denique in montibus etiam et solis locis resplenduit, **536** quod nuper admodum monachi pullulare cœpissent, et quod martyres adhuc et confessores superstites essent, sacerdotesque insuper apostolicis donis et miraculis, vitæque simplicitate vigerent. Per quos cœlestem prorsus vitam in terris cernere erat, religione ipsa in dies semper et in rebus omnibus augmenta sua capiente: et Constantino studio omni in hoc incumbente, ut apud omnes ea ubique confirmata stabiliretur, et ad ampliorem magnitudinem excresceret: utque per ipsum, adjuvante Deo, Christianismus in serena certaque tranquillitate et altissima pace consisteret. Atque ut simpliciter dicam, ea tempestate res nostræ lætissimæ, jucundissimæ et florentissimæ fuere: adversarii autem contra in tristitia, summissione et mœrore summo vixere.

ΚΕΦΑΛ. Ε'.

Περὶ τῆς Ἀρείου πρὸς Ἀλέξανδρον φιλονεικίας· καὶ περὶ Μελιτίου· καὶ ὅθεν καὶ ὅπως καὶ δι' ἃς αἰτίας ἡ ἔρις ἐγένετο.

Καίπερ δὴ οὕτω τῆς θρησκείας εὐδοκιμούσης, καὶ οὕτως ἀγομένης, τὴν τοιαύτην εἰρήνην ἐμφύλιός τις πόλεμος ἀνεῤῥίπισεν. Ἐριστικαὶ γάρ τινες λέσχαι καὶ διαλέξεις, πρόφασιν ἔχουσαι τὴν εὐσέβειαν, καὶ τὴν τελείαν τοῦ θείου εὕρεσιν, τὰ πρὶν ἀνεξέταστα ὑπὸ ζήτησιν ἦγον, κἀντεῦθεν καὶ τὰς ἐκκλησίας ἐτάραττον. Ὁ γὰρ τοῦ γένους ἡμῶν ἀλάστωρ, ὁ παμπόνηρος καὶ παλαμναῖος ἐχθρὸς, οὕτω τὴν ἐκκλησιαστικὴν ὁλκάδα ἐξ οὐρίων τῷ θείῳ πνεύματι φερομένην ὁρῶν, καὶ κυβερνωμένην ὑπὸ τοῦ τῶν ὅλων Δεσπότου, οὐκ ἀνεκτῶς εἶχεν. Ἐν δεινῷ δ' ἐποιεῖτο εἰ μὴ καταδῦσαι ταύτην παρασκευάσαιεν, οὕτως ἀκλύστως τῶν πονηρῶν ὑπερνηχομένην δογμάτων. Ὡς γὰρ εἶδε τὴν Ἑλληνικὴν διαπτυομένην τερθρείαν, εἰς προὖπτόν τε τὰς ἐκείνου φωραθείσας πάγας, καὶ ἐπ' ἀκριβὲς διελεγχομένας, καὶ τὴν μὲν κτίσιν οὐκέτι σεβομένην ὡς πρότερον, τὸν δὲ ταύτης ποιητὴν ὡς χρεὼν ὑμνούμενόν τε καὶ προσκυνούμενον· ἀπεῖπε μὲν τὸ προφανῶς οὕτω κατὰ Θεοῦ ἀναῤῥιπίζειν αὖθις τὸν πόλεμον· μέτεισι δὲ τὸ πρᾶγμα λίαν ὑπούλως καὶ δολερῶς. Εὑρὼν γάρ τινας, τὴν μὲν τῶν Χριστιανῶν πίστιν ἀσπαζομένους, τύφῳ δὲ καὶ τῇ διακένῳ

CAPUT V.

De Arii cum Alexandro contentione: de Melitio: unde et quomodo, et per quas causas et occasiones ea contentio exstiterit.

Religio nostra cum in tanta esset gloria et flore, pacem et quietem tantam intestinum turbavit bellum. Nugæ namque et disputationes contentiosæ, veram pietatem perfectamque divini numinis cognitionem prætexentes, de quibus antea inquisitum non fuerat, ea in quæstionem deduxerunt, eaque re ingentes turbas in ecclesiis concitarunt. Siquidem generis nostri pestis, improbusque prorsus et exitiosus hostis, navim ecclesiasticam tam placide secundis ventis ferri et ab universitatis hujus Deo gubernari videns, ferre id non potuit, et grave molestumque sibi esse putavit, nisi submergendam eam curaret quæ tam securum citra pravorum dogmatum fluctus et procellas teneret cursum. Ut enim Græcæ superstitionis præstigias proculcari, dolososque laqueos ejus in apertum protrahi et manifesto argui atque convinci, et creaturam quidem (ut antehac) amplius non coli, Creatorem vero ejus, sicuti convenit, laudibus vehi et adorari animadvertit: apertum rursum contra Deum movere bellum posthabuit, et dolo rem clandestine admodum et fraudulenter aggressus est. Repertis namque quibusdam, qui Christianam

quidem profiterentur fidem, **537** arrogantia autem inanique vanæ gloriæ ambitione et dominandi cupiditate quasi intemperiis quibusdam agerentur, eis ipsis veluti instrumentis adinventionis fraudisque suæ utens, alio quodam modo rem in priorem reduxit errorem et seductionem, ut conditor scilicet rerum omnium Deus, creaturis ipsis exæquatus et connumeratus, creatura rursus quemadmodum antea adoraretur, cultusque divinus adorationi illius similis fieret. Verum unde, quove modo et per quem zizania hæc sata sint, re altius repetita, ut potero, exponam.

A τῆς δόξης φιλοτιμίᾳ καὶ φιλαρχίᾳ βεβακχευμένους, καὶ οἷά τισιν ὀργάνοις τῆς σφετέρας τέχνης καὶ ἐπινοίας χρησάμενος, ἕτερον τρόπον εἰς τὴν προτέραν ἐπανήγαγε πλάνην, τὸν δημιουργὸν τῶν ὅλων Θεὸν συγκαταλέξαι τοῖς κτίσμασιν· ὡς ἴσον εἶναι τῇ ἐκείνου προσκυνήσει, τὴν κτίσιν πάλιν προσκυνεῖσθαι ὥσπερ τὸ πρότερον· ποῦ δὲ καὶ ὅπως καὶ διὰ τίνος ὑπέσπειρε τὰ ζιζάνια, ἐγὼ ἄνωθεν ὡς οἷόν τε ἀναλαβὼν, διηγήσομαι.

Alexandriæ, quæ primaria et præcipua inter Ægypti, Thebaidis et Libyæ urbes civitas est, amplissima sane et populosissima, post Theonam, ut antea diximus, Petrus eximius veræ pietatis propugnator, Ecclesiam gubernavit: qui certaminis sacri cursu splendide sub impiis tyrannis peracto, Achillam brevi habuit successorem. Atque huic ecclesiæ clavo dirigendo Alexander suffectus est, apostolicæ doctrinæ generosus defensor: qui in ea, quam diximus, tranquillitate et pace divinis institutionibus quotidie ecclesiam exhilaravit. Ea tempestate Arius quidam erat, in rationem quidem illa sacri ordinis relatus, sed qui jam inde ab initio studium suum super dogmate suo satis declaraverat. Melitio namque novas res molienti primum adhæsit: atque eo relicto, se postea ad divinum, quem diximus, Petrum contulit, a quo etiam diaconus est factus: sed ab eodem rursum Ecclesia exactus, eo quod Petrus Melitium sectatoresque ejus excommunicavit, et baptismum ejus non admisit (1), propter nonnullas quidem causas, potissimum autem quod ille persecutionis periculo non perlato, cultum divinum abjurarit et dæmonibus sacrificarit. Ejus quippe rei gratia depositus, neque aliam quampiam ob causam, quæ probari aut defendi posset, ab Ecclesia proscriptus Melitius, injuria se affectum esse dictitans, conviciis et maledictis Petrum proscidit. Et cum sectatores multos haberet, hæresiarcham se et ducem eorum constituit: et episcopali dignitate sibi arrogata, in oppido Lyco (2), quod ad Ægyptum est, quæcunque sunt episcopalis muneris, citra pudorem timoremque omnem peregit, Petro prorsus præ se contempto. Itaque una cum aliis Melitio faventibus, Arius quoque quiescere nolens, in Petrum est invectus. **538** Ubi vero Petrus, accepta martyrii corona, vitæ cursum finiit, ab Achilla successore ejus Arius veniam impetravit: et rursum diaconi ministerio fungi permissus, postea in presbyterorum quoque ordinem est allectus. Apud Alexandrum quoque, proximum ab Achilla episcopum, honesto loco fuit; et quod cavillationum dialecticarum non imperitus, atque in ejusmodi disciplinis probe exercitatus esset, Scripturarum interpretatio credita ei fuerat. Enimvero cum non

Ἐν Ἀλεξανδρείᾳ, πόλις δὲ αὕτη μεγίστη καὶ πολυάνθρωπος, τὴν ἡγεμονίαν τῶν πρὸς Αἰγύπτῳ καὶ Θήβαις καὶ Λιβύῃ περιφανῶς ἔχουσα, μετὰ B Θεωνᾶν, ὡς εἴρηται, Πέτρος ὁ τῆς εὐσεβείας ἀγωνιστὴς, τοὺς τῆς ἐκκλησίας ἐγκεχείριστο οἴακας· οὗ τὸν ἀγῶνα λαμπρῶς ἐπὶ τῶν δυσσεβῶν τυράννων διηνυκότος, Ἀχιλλᾶς μετ' ὀλίγον ἐπὶ τῶν ἱερῶν πηδαλίων καθῆστο· ὃν Ἀλέξανδρος διεδέχετο, τῶν ἀποστολικῶν δογμάτων γενναίως ὑπερμαχῶν· ὃς ἐπὶ τῆς μνημονευθείσης εἰρήνης διάγων, δόγμασι θείοις καὶ διδασκαλίαις ὁσημέραι τὴν Ἐκκλησίαν ἐφαίδρυνεν. Ἄρειος δέ τις κατ' ἐκείνους τοὺς χρόνους, τῷ μὲν ἱερῷ καταλόγῳ συναριθμούμενος, ἀρχῆθεν δὲ περὶ τὸ δόγμα σπουδὴν ἐνδεικνύμενος, πρῶτα μὲν νεωτερίζοντι Μελιτίῳ συνέπραττε· τοῦτον δὲ καταλείψας, τῷ εἰρημένῳ θείῳ προσιὼν Πέτρῳ, χειροτονεῖται διάκονος· καὶ παρ' αὐτοῦ πάλιν τῆς Ἐκκλησίας ἐκβέβληται· καθότι Πέτρου Μελίτιον C καὶ τοὺς ἐκείνου σπουδαστὰς ἐκκηρύξαντος, καὶ τὸ ἐκείνου βάπτισμα μὴ προσιεμένου· καὶ δι' ἄλλας μὲν αἰτίας, μάλιστα δ' ὅτι τὴν τοῦ διωγμοῦ πεῖραν οὐκ ἐνεγκὼν, τὸ σέβας ἐξομοσάμενος ἐπιθύει· οὗ χάριν καθαιρεθεὶς, καὶ δι' οὐδεμίαν ἄλλην αἰτίαν εὔλογον τῆς Ἐκκλησίας ἀποῤῥαγεὶς, ὁ Μελίτιος ἄδικα μὲν πάσχειν ἔλεγε, καὶ ἐλοιδορεῖτο τὸν Πέτρον κακηγορῶν· πολλοὺς δὲ τοὺς ἑπομένους ἔχων, αἱρεσιάρχης καθίστατο· ἀνθήπτετο δὲ τῆς ἐπισκοπῆς· Λυκὼ δὲ ἦν αὕτη ἡ πρὸς Αἴγυπτον· καὶ τὰ τῇ ἱερωσύνῃ ἐφειμένα ἀδεῶς ἔπραττεν, ἐν δευτέρῳ τὸν Πέτρον τιθέμενος· ἐπέσκηπτεν οὖν Πέτρῳ σὺν ἄλλοις καὶ Ἄρειος τοῖς κατὰ Μελίτιον γινομένοις, καὶ ἠρεμεῖν ἥκιστα ἤθελεν. Ἐπεὶ δὲ Πέτρος μαρτυρίῳ ἐστεφάνου τὸν τοῦ βίου δρόμον, τὸν μετ' ἐκεῖ- D νον Ἀχιλλᾶν, συγγνώμην Ἄρειος ᾔτει, καὶ πάλιν διακονεῖν ἐπετρέπετο. Ἔπειτα δὲ καὶ τοῦ πρεσβυτερίου ἠξίωται. Διὰ τιμῆς δὲ καὶ ὁ μετ' Ἀχιλλᾶν Ἀλέξανδρος ἦγεν αὐτόν. Λέσχης δὲ διαλεκτικῆς οὐκ ἄμοιρος ὢν, ἐλέγετο γὰρ καὶ τῶν τοιούτων μαθημάτων εἶναι ἐν πείρᾳ, τὴν τῶν Γραφῶν ἑρμηνείαν πεπίστευτο. Καί γε μὴ φέρων τὸν Ἀλέξανδρον ἐπὶ τοῦ θρόνου ὁρᾷν, ὑπόψηφος γὰρ καὶ οὗτος ἐτύγχανεν, εἰς ἔριδάς τινας καὶ μάχας ὑπούλως ἐχώρει. Καὶ ἐπεὶ μὴ πρὸς τὸν βίον Ἀλεξάνδρου ἀντιλέγειν, οὐδέ τινα συκοφαντίαν ἐκ τοῦ ῥᾴστου εἶχεν ὑφαίνειν, τέως μὲν ἡσυχίαν ἦγεν ἐν τούτοις· τοῖς γε μὴν

(1) Hoc est, non passus est eum sacramentum baptismi administrare.

(2) « Deinde Ptolemais, et Panopolis, ac Veneris oppidum iterum: et in Libyco Lycon, ubi montes finiunt Thebaidem. » Plin. lib. V, cap. 9.

ὀρθοδόξως ἐκείνῳ λεγομένοις ἐπ' ἐκκλησίας ἀντι- A τείνειν διεπειρᾶτο. Ὁ μὲν γὰρ ἐπίσκοπος ὁμότιμον ἔλεγε τῷ Πατρὶ τὸν Υἱὸν, καὶ τῆς αὐτῆς οὐσίας εἶναι ἐκείνῳ, καὶ κατὰ πάντα ὅμοιον τῷ γεγεννηκότι Πατρὶ, κατὰ τὴν τῶν θείων Γραφῶν παράδοσιν. Ἄρειος δὲ ὁ τῶν πρεσβυτέρων ἡγούμενος, τῷ λόγῳ τῆς ἀληθείας ἄντικρυς διὰ μάχης ἰὼν, κτίσμα καὶ ποίημα τὸν Υἱὸν εἶναι τοῦ Πατρὸς προσηγόρευε, καὶ εἰς ἀτόπους δόξας ἐξεκυλίετο· ἐξ οὐκ ὄντων τε γεγεννῆσθαι, καὶ εἶναί ποτε χρόνον ὅτε οὐκ ἦν· καὶ αὐτεξουσιότητι γνώμης κακίας καὶ ἀρετῆς δεκτικὸν ὑπάρχειν, δυσσεβῶς ἐδογμάτιζε· καὶ ἄλλα τοιαῦτα ὅσα ἦν εἰκὸς τὸν ἐπὶ τοιούτοις συνιστάμενον ἐπὶ διαλέξεις καὶ συζητήσεις χωρεῖν. Καὶ γὰρ οἰόμενος τὸν ἐπίσκοπον τὸ τοῦ Λίβυος Σαβελλίου συνιστᾷν δόγμα, εἰς τὸ κατὰ διάμετρον ἐναντίον τῇ B ἀντιλογίᾳ ἐξέκλινε· πολλούς τε πρὸς τὸν νεωτερισμὸν τοῦ δόγματος ὑπεσύρετο, καὶ ἐπὶ σμικροῦ σπινθῆρος μεγάλη καὶ διαέριος ἀνήπτετο φλόξ. Ἐκ γὰρ τῆς Ἀλεξάνδρου τὸ δόγμα τὴν ἀρχὴν ἐσχηκὸς, Αἴγυπτόν τε καὶ Λιβύην καὶ τὴν ἄνω Θηβαΐδα διέτρεχεν· ἤδη δὲ καὶ τῶν ἄλλων ἐπαρχιῶν καὶ πόλεων ἥπτετο. Ἀμφηρίστου δὲ τῆς ζητήσεως οὔσης, πείθειν Ἀλέξανδρος ἐπειρᾶτο· ἤδη γὰρ οὐκ ὀλίγοι τῶν ἐπισκόπων, καὶ τῶν ἐκ τοῦ κλήρου δὲ πλεῖστοι, καλῶς λέγειν τὸν Ἄρειον διετείνοντο, καὶ τῆς ἐκείνου δόξης ἀντελαμβάνοντο. Ἐπεὶ δὲ μὴ συνέβαινον ἀλλήλοις, μᾶλλον μὲν οὖν καὶ κορυβαντιῶν Ἄρειος ἀναφανδὸν ἐκήρυττε τὴν ἀσέβειαν, ἀπεκήρυξε μὲν καὶ τῶν ἱερατικῶν ἐξήλασε καταλόγων αὐτόν τε C καὶ οἳ συνέπραττον αὐτῷ κληρικοὶ ὁ Ἀλέξανδρος. Συνέπραττον δὲ ἐκ μὲν τῆς ἐν Ἀλεξανδρείᾳ παροικίας πρεσβύτεροι μὲν Ἀειθαλᾶς καὶ Ἀχιλλᾶς, Καρπώνης τε καὶ Σαρμάτης, καὶ Ἄρειος ἕτερος· διάκονοι δὲ Εὐζώϊος καὶ Μακάριος, Ἰούλλιος, Ληνᾶς καὶ Ἑλλάδιος πολλὴν καὶ τοῦ λαοῦ μοῖραν ἀποτεμόμενοι. Τοῖς μὲν οὖν ὁμοίως χρῆναι περὶ Θεοῦ πιστεύειν ἐνομίζετο δεῖν τῷ ἀρχιερεῖ· οἷς δὲ, οἷα δὴ συμβαίνειν εἴωθε τοῖς πολλοῖς, εἰς οἶκτον ἦσαν ἐκεῖνοι, ὡς ἠδικημένοι, καὶ τῆς Ἐκκλησίας ἀκρίτως ἐκβεβλημένοι.

bene ferret Alexandrum episcopi dignitatem obtinere, quod non rite is quoque neque ordine lectus esset, dissidia adversus eum latenter et contentiones movit. Cumque non haberet quod in vita moribusque Alexandri carperet, neque per sycophantiam facile quidquam confingere posset, ea quidem in parte quietus fuit : quæ vero ille in ecclesia pro concione recte pieque doceret, in eis repugnare illi instituit. Episcopus namque, Filium cum Patre ὁμότιμον, hoc est, ejusdem honoris, atque ejusdem substantiæ, æqualemque per omnia eidem qui eum genuit, esse, ex divinarum Scripturarum sententia et traditione docuit. Arius autem inter presbyteros primas tenens, verboque veritatis prorsus repugnans, creaturam facturamque Patris Filium vocavit, in absurdas opiniones provolutus. Ex non exsistentibus siquidem genitum esse : et fuisse aliquando tempus cum non fuerit, meraque sententiæ et arbitrii libertate vitii et virtutis capacem esse : aliaque ejuscemodi censuit, quæ opinari eum par erat, qui sibi de hujus generis rebus disserendum atque inquirendum esse constituisset. Et cum existimaret episcopum Libyci Sabellii dogma asserere, contendendi et adversandi studio in errorem ex diametro illi contrarium decidit. Sane quidem permultos ad novas ejus dogmatis res pertraxit, et ex parvi igniculi scintilla ingens est et altum exortum incendium. Ab Alexandria enim doctrina hæc progressa, Ægyptum, Libyam et superiorem Thebaidem percurrit, mox etiam ad alias provincias et urbes pervenit. Quæstione talijam in controversiam vocata, Alexander dissuadere eam est conatus. Sed jam non pauci episcopi et plurimi ex clero recte dicere Arium affirmabant, sententiamque ejus complectentes comprobabant. Postquam autem inter se non consenserunt, seu potius Arius furiis correptus propalam impietatem docuit, **539** Alexander illum, et cum eo qui partes ejus sequerentur, clericos omnes excommunicavit et sacro ordine movit. Sentiebant porro cum eo in Alexandrina parœcia, Aithalas, Achillas, Carpones, Sarmates, et alter Arius, presbyteri : et Euzoius, Macarius, Julius, Menas et Helladius, diaconi, multam etiam populi partem secum trahentes. In quo, alii idem sibi de Deo sentiendum atque credendum esse quod episcopus arbitraretur, putabant; alii vero, sicuti multis evenire consuevit, istos miserabantur, velut injuria affectos, et indicta causa ab Ecclesia proscriptos.

D Εἰσὶ δὲ οἵ φασι τῆς τοιαύτης ἔριδος πρὸ Ἀρείου ἕτερον ἄρξασθαι, Ἀλέξανδρον ὄνομα, τὴν δευτέραν τάξιν μετ' Ἄρειον ἔχοντα, Βαύκαλιν ὄνομα· καλεῖσθαι δ' οὕτω, διὰ τὸ σαρκὸς ὑπερτραφοῦς ὄγκον ὑπὸ τῶν μεταφρένων αὐτοῦ σεσωρευμένον ἄγγους ὀστρακίνου ἐκμιμεῖσθαι σχῆμα· ὅπερ οὖν *βαυκάλας* ἐπιχωρίως Ἀλεξανδρεῖς εἰώθασιν ὀνομάζειν. Τὰ δεύτερα δὲ σχόντα τῆς λειτουργίας, τῆς αἰτίας ἄρξαι, ἐξ ἧς ἡ διαφορὰ Ἀλεξάνδρῳ καὶ Ἀρείῳ ἔπειτα συνεῤῥάγη, καὶ τὴν τοῦ ὁμοουσίου ἀνακήρυξιν ἐντεῦθεν γενέσθαι. Τῷ γὰρ προτιμηθῆναι τὸν Ἄρειον μὴ φέρων ὁ Βαύκαλις, τὸν περὶ τὸ δόγμα ἐπῆγε νεωτερισμὸν ἐκείνῳ. Ἀλέξανδρος δὲ

Sunt qui dicunt, contentionis hujus alium, ante Arium, auctorem fuisse, Alexandrum, secundo ab Ario loco presbyterum, Baucalim cognomine : qui nomen id adeptus fuerat, ex supercrescentis carnis pondere in dorso ejus collecto, testacei vasis forma, quod Alexandrini vernaculo sermone *baucalam* nominare solent : hunc, inquam, secundas in ministerio sacro ferentem, dissensionis causam exstitisse putant : unde postea inter Alexandrum et Arium contentio commota, et τοῦ ὁμοουσίου, hoc est *consubstantialis*, promulgatio exorta sit. Quod namque Baucalis prælatum sibi honore Arium ægre ferret, novationem dogmatis istius

illi ascripsit. Alexander vero episcopus, utrumque a contentione abducere volens, ad disputationes sermonumque collationes eos invitavit, persuasione potius quam violenta jussione controversiam sopire conducibilius esse ducens. Et cum multoties disputando congressi essent, sicuti fieri assuevit, contentione inter quospiam mota, episcopus nunc huic, nunc illi benevole et commode adhæsit : postremo vero tandem et ipse coæternum et consubstantialem Patri Filium, ita uti antea semper senserat, disertis verbis pronuntiavit, Ariumque idem sentire jussit. Quod ubi ille, ut faceret, in animum inducere non potuit, sacris ædibus est ab eo ejectus.

A θέλων παύειν τῆς ἔριδος ἄμφω, εἰς ἅμιλλαν λόγων ἐκάλει, πειθοῖ μᾶλλον ἢ βίᾳ λῦσαι τὸ ἀμφίβολον ᾑρημένος. Καὶ συνεδρίων γεγενημένων πολλῶν, οἷα δῆτα φιλεῖ τῆς ἔριδος ἑκατέρωθεν αἰρομένης, ποτὲ μὲν τούτῳ, ἄλλοτε δ' ἐκείνῳ εὐφυῶς προσέκειτο ὁ ἐπίσκοπος· τέλος δὲ καὶ αὐτὸς, συναΐδιον καὶ ὁμοούσιον τῷ Πατρὶ τὸν Υἱὸν, ὥσπερ καὶ ἄνωθεν εἶχε δόξης, τρανῶς ἀνεκήρυττε, καὶ Ἄρειον τὰ ἴσα φρονεῖν ἐκέλευεν. Ὡς δ' οὐκ ἔπειθε, τῶν ἱερῶν περιβόλων τέλος ἐξήλαυνε.

540 CAPUT VI.

Qui ea tempestate magnarum urbium fuerint episcopi: et de episcopis qui ab initio Byzantii ecclesiam rexerunt.

Eo tempore Romanæ Ecclesiæ Sylvester præfuit, Miltiadis successor, qui post Marcellinum egregie in persecutione ipsa certamine defunctum, sacri muneris suscepit administrationem. Alexandriæ autem post Theonam et Petrum, Achillas, ac deinde quem dixi Alexander, ecclesiasticam tenuit præfecturam; Antiochiæ, Tyranno in ecclesiastico ministerio Vitalis suffectus, pace primum ecclesiis reddita. Is a tyrannis ecclesiam dirutam denuo excitavit, cujus structuram reliquam Philogonius perfecit, qui ex causidico episcopus factus illi successit, Liciniique temporibus, uti virum fortem decet, ardorem æmulationemque suam pro vera pietate ostendit. Porro Hierosolymis post Hermonem Macario sacrum munus creditum, digno tali nomine viro, ut qui omnibus bonis et ornamentis floruerit. Constantinopoli vero, post Metrophanem, Probi imperatoris fratris filium, Alexandro sacrorum cura sorte cesserat. Verum enimvero hoc loco faciendum mihi omnino videtur, ut altius ab ipsis apostolis repetitos Byzantios episcopos recenseam, et veluti sacram quamdam inscriptionem historiæ huic adjiciam.

Andreas, Domini apostolus, Thraciam, Macedoniam et Euxinum, provincias sortitus, Byzantii Christum prædicavit. Et cum a Zeuxippo, tyrannidem tum ibidem tenente, ad cædem quæreretur, Argyropolim transiit, atque ibi biennium conventus agens, permultos ad Christi fidem pertraxit. Cæterum sacra eo loco fundata æde, et Stachy apostolo episcopo ordinato, Sinopen concessit. Stachys sacro eo munere annis sedecim administrato, ibidem sepultus, Onesimum habuit successorem. Onesimus quatuordecim annos ecclesiam eam gubernavit, eique Polycarpus subrogatus, qui decem et octo annis munere suo cum laude functus, Plutarcho id reliquit. Hic non minus quam sedecim annis ecclesiæ præfuit, eamque moriens Sedecioni concessit : quo post annos novem defuncto, Diogenes quindecim annis eam rexit. Illi Eleutherius suffectus, qui septem annis episcopali munere obito, Felicem habuit successorem. Felix quinque annis sedem episcopalem

ΚΕΦΑΛ. Ϛ'.

Τίνες τηνικαῦτα τῶν μεγάλων πόλεων ἦσαν ἐπίσκοποι· καὶ περὶ τῶν ἀρχῆθεν ἐπισκόπων τοῦ B *Βυζαντίου.*

Κατὰ τοῦτον δὲ τὸν χρόνον τῆς μὲν Ῥωμαίων Ἐκκλησίας Σίλβεστρος τὰς ἡνίας εἶχε, Μιλτιάδην διαδεξάμενος, ὃς μετὰ Μαρκελλῖνον τὸν ἐν τῷ διωγμῷ καλῶς διαγωνισάμενον, τῇ ἱερωσύνῃ διέπρεπε· τὴν δ' Ἀλεξάνδρου μετὰ Θεωνᾶν καὶ Πέτρον Ἀχιλλᾶς· εἶτα ὁ προῤῥηθεὶς Ἀλέξανδρος τὴν θείαν ἡγεμονίαν διεῖπε· τῆς δ' Ἀντιόχου μετὰ Τύραννον Βιτάλιος τὴν διακονίαν ἐγκεχείριστο, τῆς ἐκκλησιαστικῆς ἀρξάμενος εἰρήνης· καὶ τὴν ὑπὸ τῶν τυράννων καταλυθεῖσαν ἐκκλησίαν ἀνήγειρεν· ὃν Φιλογόνιος ὁ ἀπὸ δικολόγου ἐπίσκοπος γεγονὼς διαδεξάμενος, τὰ λείποντα τῇ οἰκοδομῇ ἐπετίθει, κἀν τοῖς Λικινίου καιροῖς, τὸν ὑπὲρ εὐσεβείας ζῆλον ἀνδρικῶς C διεδείκνυ. Τῶν δὲ Ἱεροσολύμων μετὰ Ἕρμωνα Μακάριος τὴν λειτουργίαν ἐνεπιστεύετο, ἄξιος τῆς ἐπικλήσεως ὁ ἀνὴρ, καὶ πᾶσιν ἀβρυνόμενος ἀγαθοῖς. Τῆς δὲ Κωνσταντίνου μετὰ Μητροφάνην τὸν ἀδελφόπαιδα Πρόβου τοῦ βασιλέως Ἀλέξανδρος τὴν ἱερὰν ἐκληροῦτο ἀρχήν. Ἐνταῦθα δὲ γενομένῳ, προὔργου δοκεῖ μοι ἄνωθεν ἐκ τῶν ἀποστόλων, τοὺς τοῦ Βυζαντίου ἐπισκόπους διαλαβεῖν, καὶ ὡς πρόγραμμά τι θεῖον τῇ ἱστορίᾳ ἐνθεῖναι.

Ἀνδρέας γὰρ ὁ τοῦ Κυρίου ἀπόστολος, τὰ περὶ Θρᾴκην καὶ Μακεδονίαν καὶ τὸν Εὔξεινον κλῆρον λαχὼν, ἐπεὶ ἐν Βυζαντίῳ γενόμενος ἐκήρυττε τὸν Χριστὸν, ὑπὸ Ζευξίππου τοῦ τηνικάδε τυραννοῦντος ζητούμενος, ἐν Ἀργυροπόλει μετέβαινε· καὶ χρόνον D διετῆ ἐκεῖσε συνάγων, πολλοὺς ἐπεσπᾶτο πίστει τῇ εἰς Χριστόν. Θυσιαστήριον τοίνυν τῷ τόπῳ ἐδράσας, καὶ τὸν ἀπόστολον Στάχυν ἐκεῖσε χειροτονήσας ἐπίσκοπον, εἰς Σινώπην ἀπαίρει. Ὃς τῇ λειτουργίᾳ ἔτη ις' παραμείνας, καὶ ταφεὶς ἐκεῖσε, Ὀνήσιμον ἔσχε διάδοχον· ὃν τέσσαρα πρὸς τοῖς δέκα ἔτεσι διαγεγονότα Πολύκαρπος διεδέξατο. Δεκαοκτὼ δ' ἔτη τῇ διακονίᾳ καὶ οὗτος ἐμπρέψας, Πλουτάρχῳ ταύτης ἐξίσταται. Καὶ οὗτος δὲ οὐχ ἧττον ἢ ις' διαγεγονὼς, Σεδεκίωνι τοῦ θρόνου παραχωρεῖ· οὗ μετὰ θ' ἔτος Διογένης πεντεκαίδεκα ἔτη ἱερατεύει. Μεθ' ὃν Ἐλευθέριος· ὃς ζ' ἔτη ἱερατεύσας, Φήλικα διάδοχον ἔσχε. Πέντε δὲ καὶ οὗτος διακονησάμενος, Πολυκάρπῳ μεταδίδωσι τῆς λειτουργίας. Οἳ δὴ πάντες διὰ τὰς τῶν ἀπίστων ἐφόδους, τῷ διειλημμένῳ

εὐκτηρίῳ τοῦ ἀποστόλου τὰς συνάξεις ἐπεποίηντο. A Ἔπειτα Ἀθηνόδωρος τὴν λειτουργίαν ἐλάμβανεν· ὃς ἔτη δʹ ἱερατεύσας, ἐκκλησίαν ἑτέραν ἀνίστησιν ἐν τόπῳ ἐπιλεγομένῳ Ἐλαία· κἀκεῖ τὴν σύναξιν ἐποιεῖτο· ὃν οἶκον ἐς ὕστερον ὁ μέγας Κωνσταντῖνος ἐγείρει περιφανῶς. Τοῦτον Εὐζώϊος διαδέχεται ἔτη ϛʹ· ὃν Λαυρέντιος ἐπὶ ἔτη ἕνδεκα· μεθ' ὃν Ἀλύπιος, τρία πρὸς τοῖς δέκα ἱερασάμενος· οὗ μετὰ τελευτὴν Περτίναξ ὑπατικὸς ἐπίσκοπος γίνεται. Πλούσιος δὲ σφόδρα γενόμενος, ἑτέραν ἐκκλησίαν ἐγείρει πρὸς θάλασσαν, ἐν τόπῳ, ᾧ Συκαῖ κλῆσις ἦν, Εἰρήνην τὸν οἶκον προσαγορεύσας. Ὃν δὴ τόπον Χριστιανοὶ τῷ συνεχεῖ καὶ καλλίστῳ τῶν οἰκοδομημάτων εἰς πόλεως σχῆμα μετεσκευάσαντο. Οὗ χάριν καὶ ὁ πολὺς τὴν ἀρετὴν Κωνσταντῖνος τείχεσι B καλλίστοις τὸν τόπον ἐτίμα· ἐν ᾗ τῆς Εἰρήνης ἐκκλησίᾳ πρῶτος μετὰ Περτίνακα ἔτη ἐννέα ἐπισκοπήσαντα Ὀλυμπιανὸς ἐπὶ ἕνδεκα ἔτεσι τὸν θρόνον λαμβάνει. Τούτου δὲ διάδοχος Μάρκος ἦν ἔτη ιγʹ· μετὰ δὲ τοῦτον Κυριλλιανὸς ἔτη ιϛʹ· καὶ τοῦτον δὲ Κωνσταντῖνος διαδέχεται ἔτη ζ. Οὗτος τῷ πρώτῳ τῆς ἱερατείας ἔτει ἔνδον τοῦ Βυζαντίου κατὰ τὸ βόρειον μέρος νεὼν ἀνιστᾷ, Εὐφημίᾳ τῇ μάρτυρι τὸ τέμενος ἀναθεὶς, τηνικάδε τὸ μαρτύριον ἀγωνισαμένῃ· οὗ δὴ καὶ τὸ λεῖπον διανύσας τοῦ βίου, Τίτον διάδοχον κατελίμπανεν· οὗ ἐπὶ εʹ καὶ λʹ καὶ μικρόν τι πρὸς τὴν ἱερατείαν τελέσαντος, Δομέτιος ὁ ἀδελφὸς Πρόβου τοῦ βασιλέως, ἐπὶ τῶν τῆς Ἐκκλησίας οἰάκων καθῆστο. Τοῦτον δὲ Πρόβος ὁ υἱὸς διεδέχετο· ὧν ὁ μὲν δʹ πρὸς τοῖς εἴκοσι, Πρόβος δὲ C τὰ ἡμίση τούτων, διήνυον. Τὸν δὲ Πρόβον ὁ ἀδελφὸς αὐτοῦ Μητροφάνης διεδέχετο· ὃς ἐπὶ ἔτη δέκα καλῶς τὴν ἱερωσύνην κοσμήσας διέπρεπεν. Ἐφ' οὗ δὴ καὶ ὁ ἀεισέβαστος Κωνσταντῖνος τὴν ἐπώνυμον αὐτῷ περιφανῶς ἀνεγείρει πόλιν. Μεθ' ὃν Ἀλέξανδρος τῆς ἱερατικῆς ἠξιοῦτο καθέδρας, ἀποστολικοῖς χαρίσμασι λαμπρυνόμενος. Καὶ τὰ μὲν τῶν ἐπισκόπων ἐν τούτοις.

tenuit, eamque ad Polycarpum transmisit. **541** Qui sane omnes, propter infidelium incursiones, in eo quod memoravimus Apostoli oratorio synaxes et conventus celebrarunt. Deinceps Athenodorus, functione ecclesiastica suscepta, quatuor eam annis obtinuit, ecclesiamque aliam, in loco cui nomen erat Olea (1), construxit, ibique synaxim peregit. Eam ædem postea Constantinus Magnus splendidissime auxit et ornavit. Athenodori successor Euzoius, sex annis episcopatum gessit: cui Laurentius succedens, undecim annis Ecclesiæ præfuit. Post hunc Alypius tredecim annis sacrum magistratum administravit. Istius successor Pertinax, vir consularis, novem annis episcopalem dignitatem obtinuit: qui cum locupletior esset, ecclesiam aliam ad mare, in loco quem Ficos (2) nominabant, excitavit, eamque Pacem appellavit. Eum locum Christiani perpulchris et continuis ædificiis in oppidi formam redegerunt. Quapropter eum etiam mœnibus eximiis, magna virtutis gloria pollens Constantinus est dignatus. Post Pertinacem, qui primus in hoc Pacis templo episcopatum administraverat annis novem, Olympianus undecim annis sacrorum antistes fuit: rursum post hunc Marcus, annis tredecim. Post Marcum Cyrillianus, sedecim: post Cyrillianum Constantinus, septem. Hic primo episcopatus sui anno, intra Byzantium in parte septentrionali templum ædificavit, atque id Euphemiæ martyri, quæ tum sacrum peregerat certamen, consecravit. Ad quod templum reliquo vitæ tempore transacto, episcopale munus Tito reliquit, qui id supra triginta et quinque annos administratum, ad Dometium Probi imperatoris fratrem transmisit. Atque huic Probus filius successit. Et Dometius antistitis honorem viginti quatuor, Probus duodecim annos gessit, cujus Metrophanes frater successor fuit. Hic annis decem cum ingenti laude episcopale ministerium cohonestavit. Sub quo etiam Constantinus semper Augustus, cognominem sibi urbem magnifice condidit. Metrophanis porro successor fuit Alexander, apostolicis donis præclarus. Hæc de episcopis.

Τότε δ' οὖν ὁ τῆς Ἀλεξανδρείας Ἀλέξανδρος, τὸν Ἄρειον ὁρῶν τῷ τῆς φιλαρχίας οἴστρῳ πυρούμενον, ἰδίᾳ τε συνάγοντα, καὶ πολὺν τὸν σάλον D ἐξερευγόμενον, γράφει μὲν καὶ τοῖς τῶν ἐκκλησιῶν ἡγεμόσι τὴν βλασφημίαν ἐκείνου. Δήλην δὲ ταύτην καὶ τοῖς κατὰ πόλεις ἐτίθει πιστοῖς. Ἐγὼ δὲ καὶ μέρη τῶν ἐκείνου ἐπιστολῶν ἐνθήσω τῇ συγγραφῇ· ἵν' ἅμα μὲν τἀληθῆ συγγράφειν, καὶ μηδέν τι πλάττειν, δοκοίημεν· καὶ ἄλλας δ' ἐπὶ ταύταις ἐροῦμεν, ὡς ἄν γε τῇ ἀληθείᾳ συνᾴδωσι, καὶ τὸ σαφὲς τῇ ἱστορίᾳ ἔχωσι παριστᾶν.

Sed enim Alexandriæ episcopus Alexander, cum Arium videret dominandi furore flagrantem, privatim illegitimos conventus agere, et turbam motumque ingentem concitare, non modo ad sacros ecclesiarum præfectos, verum etiam ad fideles passim in urbibus omnes, **542** de blasphemia ejus publicitus litteras dedit. Ex quibus partes certas operi huic intexam, ut mihi verior narratio rerum constet et nemini confingere quidquam videar. Adjiciam præterea alias, quæ veritati erunt consonæ, historiamque omnem dilucidiorem reddere poterunt.

ΚΕΦΑΛ. Ζʹ.

Ἐπιστολὴ Ἀλεξάνδρου τοῦ Ἀλεξανδρείας πρὸς τὸν Κωνσταντίνου πόλεως Ἀλέξανδρον διὰ τοὺς περὶ Ἄρειον.

Πρὸς μὲν οὖν τὸν ὁμώνυμον αὐτῷ τῆς Κωνσταντίνου Ἀλέξανδρον τάδε ἔγραφεν ὁ τῆς Ἀλεξανδρείας

CAPUT VII.

Epistola Alexandri Alexandrini episcopi ad Alexandrum Constantinopolitanum episcopum, de Arianis.

Alexander itaque iste Alexandrinus, ad cognominem sibi Alexandrum Constantinopolitanum hæc

(1) Olea, Constantinopolis regio.

(2) Item, Fici.

scripsit : « Reverendissimo et unanimi fratri Alexandro, Alexander in Domino salutem. Pravorum hominum, qui dominandi libidine et pecuniæ cupiditate ducuntur, institutum, semper quæ ampliores eis esse videntur, insidiatur ecclesiis : qui vario sane prætextu pietatem ecclesiasticam invadere solent. Siquidem tanquam stimulis quibusdam, ab eo qui in illis efficax est, diabolo, ad propositam sibi voluptatem incitati, religione omni projecta, judicii Dei timorem proculcant. De quibus necessitas mihi imposita est, multa ab eis passo, ut ad pietatem vestram scribam, ut ejusmodi homines caveatis, et ne quis eorum se in parœcias et ecclesias vestras subinsinuare audeat, provideatis. Instructi enim sunt per simulationem et dissimulationem, ad fraudem et seductionem, impostores isti, ut sive per se ipsos, seu per litteras, per assentationem et venditationem falsam arte quadam compositas, transversos agant simplicem atque sinceram fidem consectantes homines. Quandoquidem Arius et Achillas, conjuratione nuper facta, Coluthi (1) dominandi cupiditatem, longe etiam deterius quam ipse ille, sunt æmulati. Ille namque accusatione adversus hos ipsos instituta, maligni consilii sui aliquem reperit prætextum. Isti vero, æruscationem illius sub Christi nomine susceptam videntes, Ecclesiæ amplius subjecti esse non sustinuerunt : sed exstructis sibi ipsis latronum speluncis, continuos ibi peragentes conventus, diu noctuque se in calumniis adversum Christum et nos excogitatis, meditando exercent, atque omnes pias et apostolicas sententias reprehendentes, **543** Judaico prorsus more, Christi persecutricem instituunt officinam, divinitatem Salvatoris nostri pernegantes, omnibusque eum parem esse docentes, et voces salutiferæ ejus œconomiæ et administrationis nostraque causa abjectionis colligentes, congerere ex illis impietatis suæ dogma contendunt, verbaque divinitatis initio carentis et ineffabilis apud Patrem gloriæ ejus aversantur. Quapropter impiam Græcorum et Judæorum de Christo opinionem corroborantes, laudem ab illis, quam maxime possunt, venantur : omnia ea quibus illis ludibrio sumus, subornantes atque procurantes, seditionesque et persecutiones quotidie contra nos excitantes : et cum judicia adversus nos, impudicis mulierculis, quas ipsi dolose seduxerunt, intervenientibus instituentes, tum Christianismum ad obtrectationem traducentes, ex eo quod turpiter per plateas et vicos omnes juvenculæ eorum discurrant. Quin etiam indissolubilem Christi tunicam, quam ne carnifices quidem illi dividere voluerunt, scindere ipsi ausi sunt. Itaque nos ea quæ moribus improbisque conatibus illorum congruunt, licet sero propter rei ignorationem, adhibentes remedia, communi-

Ἀλέξανδρος· « Τῷ τιμιωτάτῳ ἀδελφῷ καὶ ὁμοψύχῳ Ἀλεξάνδρῳ Ἀλέξανδρος ἐν Κυρίῳ χαίρειν. Ἡ φίλαρχος τῶν μοχθηρῶν ἀνθρώπων τε καὶ φιλάργυρος πρόθεσις, ταῖς δοκούσαις ἀεὶ μείζοσι παροικίαις πέφυκεν ἐπιβουλεύειν, διὰ ποικίλης προφάσεως τῶν τοιούτων ἐπιτιθεμένων τῇ ἐκκλησιαστικῇ εὐσεβείᾳ. Οἰστρηλατούμενοι γὰρ ὑπὸ τοῦ ἐν αὐτοῖς ἐνεργοῦντος διαβόλου εἰς τὴν προκειμένην αὐτοῖς ἡδονὴν, πάσης εὐλαβείας ἀποσκιρτήσαντες, πατοῦσι τὸν τῆς κρίσεως τοῦ Θεοῦ φόβον. Περὶ ὧν ἀναγκαῖον ἦν μοι τῷ πάσχοντι δηλῶσαι τῇ ὑμετέρᾳ εὐλαβείᾳ, ἵνα φυλάττησθε τοὺς τοιούτους, μή τις αὐτῶν τολμήσῃ καὶ ταῖς ὑμετέραις παροικίαις ἐπιβῆναι. Ἱκανοὶ γὰρ ὑποκρίνεσθαι πρὸς ἀπάτην οἱ γόητες ἤτοι δι' ἑαυτῶν, ἢ διὰ γραμμάτων ψευδῶς κεκομψευμένων, δυναμένων ἀφαρπάσαι τὸν ἁπλῇ πίστει καὶ ἀκεραίᾳ προσεσχηκότα. Ἄρειος οὖν καὶ Ἀχιλλᾶς, συνωμοσίαν ἔναγχον ποιησάμενοι, τὴν Κολούθου φιλαρχίαν πολὺ χεῖρον ἢ ἐκεῖνος ἐζήλωσαν. Ὁ μὲν γὰρ αὐτοῖς τούτοις ἐγκαλῶν, τῆς ἑαυτοῦ μοχθηρᾶς προθέσεως εὗρε πρόφασιν· οἱ δὲ τὴν ἐκείνου θεωροῦντες Χριστεμπορίαν, οὐκέτι τῆς Ἐκκλησίας ὑποχείριοι μένειν ἐκαρτέρησαν· ἀλλ' ἑαυτοῖς σπήλαια λῃστῶν οἰκοδομήσαντες, ἀδιαλείπτους ἐν αὐτοῖς ποιοῦντες συνόδους, νύκτωρ τε καὶ μεθημέραν ἐν ταῖς κατὰ Χριστοῦ καὶ ἡμῶν διαβολαῖς ἀσκούμενοι, οἱ πάσης τῆς εὐσεβοῦς ἀποστολικῆς δόξης κατηγοροῦντες, Ἰουδαϊκῷ προσχήματι Χριστομάχον συνεκρότησαν ἐργαστήριον, τὴν θεότητα τοῦ Σωτῆρος ἡμῶν ἀρνούμενοι, καὶ τοῖς πᾶσιν ἴσον εἶναι κηρύσσοντες· πᾶσάν τε αὐτοῦ τῆς σωτηρίου οἰκονομίας καὶ δι' ἡμᾶς ταπεινώσεως φωνὴν ἐκλεξάμενοι, ἐξ αὐτῶν συναγείρειν πειρῶνται τῆς ἀσεβείας αὐτῶν τὸ κήρυγμα, τῆς ἀρχῆθεν θεότητος αὐτοῦ καὶ παρὰ τῷ Πατρὶ δόξης ἀλέκτου τοὺς λόγους ἀποστρεφόμενοι. Τὴν γοῦν Ἑλλήνων καὶ Ἰουδαίων ἀσεβῆ δόξαν περὶ Χριστοῦ κρατύνοντες, τὸν παρ' αὐτοῖς ἔπαινον ὡς ἔνι μάλιστα θηρῶνται, πάντα μὲν ὅσα καθ' ἡμῶν παρ' αὐτοῖς γελᾶται πραγματευόμενοι, στάσεις δὲ ἡμῖν καθ' ἡμέραν καὶ διωγμοὺς ἐπεγείροντες· καὶ τοῦτο μὲν, δικαστήρια συγκροτοῦντες δι' ἐντυχίας γυναικαρίων ἀτάκτων ἃ ἠπάτησαν, τοῦτο δὲ, τὸν Χριστιανισμὸν διασύροντες, ἐκ τοῦ περιτροχάζειν πᾶσαν ἀγυιὰν ἀσέμνως τὰς παρ' αὐτοῖς νεωτεροποιίας. Ἀλλὰ καὶ τὸν ἄρρηκτον τοῦ Χριστοῦ χιτῶνα, ὃν οἱ δήμιοι διελεῖν οὐκ ἐβουλεύσαντο, αὐτοὶ σχίσαι ἐτόλμησαν. Ἡμεῖς μὲν οὖν ἃ καὶ τῷ βίῳ αὐτῶν καὶ τῇ ἀνοσίῳ ἀπιχειρήσει, διὰ τὸ λανθάνειν, βραχέως ἐπιστήσαντες, παμψηφεὶ τῆς προσκυνούσης Χριστοῦ τὴν θεότητα Ἐκκλησίας ἐξηλάσαμεν· ἐπεχείρησαν δὲ περιδρομαῖς χρώμενοι καθ' ἡμῶν, παρεκβαίνειν πρὸς τοὺς ὁμόφρονας ἡμῶν συλλειτουργοὺς, σχήματι μὲν εἰρήνης καὶ ἀξιώσεως ἀξιῶσιν ὑποκρινόμενοι, τὸ δ' ἀληθὲς, συναρπάσαι. Τινὰς αὐτῶν εἰς τὴν ἰδίαν νόσον διὰ τὴν χρηστολογίαν

(1) « Et Coluthus quædam perversa docebat, sed non duravit ejus hæresis : nam statim disparuit. » Epiphan. *contra Ariomanitas*.

σπουδάζοντες, καὶ στωμυλώτερα γράμματα παρ' A αὐτῶν αἰτοῦντες, ἵνα παραναγινώσκοντες αὐτὰ τοῖς ὑπ' αὐτῶν ἠπατημένοις, ἀμετανοήτους ἐφ' οἷς ἐσφάλησαν κατασκευάζωσιν, ἐπιτριβομένους εἰς ἀσέβειαν, ὡς συμψήφους αὐτοῖς καὶ ὁμόφρονας ἔχοντες ἐπισκόπους. Οὐχ ἅπερ γοῦν πονηρῶς παρ' ἡμῖν ἐδίδαξαν καὶ διεπράξαντο, ὁμολογοῦσιν αὐτοὶ, δι' ἃ καὶ ἐξώσθησαν· ἀλλ' ἢ σιωπῇ ταῦτα παραδιδόασιν, ἢ πεπλασμένοις λόγοις καὶ ἐγγράφοις ἐπισκιάζοντες, ἀπατῶσι. Πιθανωτέραις γοῦν καὶ βωμολοχικαῖς ὁμιλίαις τὴν φθοροποιὸν αὐτῶν διδασκαλίαν ἐπικρύπτοντες, συναρπάζουσι τὸν εἰς ἀπάτην ἐκκείμενον, οὐκ ἀπεχόμενοι καὶ τοῦ παρὰ πᾶσι συκοφαντεῖν τὴν ἡμετέραν εὐσέβειαν. Ὅθεν καὶ συμβαίνει τοῖς γράμμασιν αὐτῶν τινας ὑπογράφοντας, εἰς ἐκκλησίαν εἰσδέχεσθαι, μεγίστης διαβο- B λῆς ὑποκειμένης, ὡς οἶμαι, τοῖς τοῦτο τολμῶσι συλλειτουργοῖς, τῷ μήτε τὸν ἀποστολικὸν κανόνα τοῦτο συγχωρεῖν, ἀλλὰ καὶ ὑπεκκαίειν τὴν ἐπ' αὐτοῖς διαβολικὴν κατὰ Χριστοῦ ἐνέργειαν. Δι' ἃ δὴ καὶ οὐδὲν μελλήσας, ἀγαπητοὶ, δηλῶσαι ὑμῖν τὴν τῶν τοιούτων ἀπιστίαν ἐμαυτὸν διανέστησα. »

bus suffragiis nostris, illos ab ea quæ divinitatem Christi adorat Ecclesia proscripsimus. Consilium quoque ceperunt, ut nos fraudulenter circumveniant, ad consentientes nobis collegas furtim transire, sub obtentu pacis atque unionis, deprecationem quidem præ se ferentes, re ipsa vero aliquos ex illis in contagionem morbi sui pertrahere per blandiloquentiam satagentes, et ut captiosis argutisque ab eis acceptis litteris, habeant, quas a se in fraudem abductis perperam legant : eosque impietati jam assuefactos, prorsus a pœnitentia et fuga errorum, quibus sunt seducti, abstrahant, perinde atque suffragantes sibi et consentientes haberent episcopos. Non illi sane, quæ apud nos male et docuerunt et egerunt (quam ob rem etiam excommunicati sunt), confitentur, sed aut silentio ea committunt, aut confictis atque compositis verbis et scriptis adumbrantes tegunt, hominesque decipiunt, atque ad persuadendum comparatis insidiosisque sermonibus pestiferam suam occultantes doctrinam, seductioni et fraudi expositos abripiunt. **544** Sed et pietatem quoque nostram, passim apud omnes sycophantice carpere non omittunt. Quapropter illud evenit, cum nonnulli litteris eorum subscribant, ut in Ecclesiam illi recipiantur : et collegæ, qui id permittere audent, ut equidem puto, gravi calumniæ crimine non careant : qui scilicet non solum id faciunt, quod apostolicus canon eis non permittit, verum etiam diabolicam, quæ in illis est, contra Christum efficaciam succendunt et augent. Eam ob causam nihil cunctatus, dilecti, meipsum excitavi, ut talium hominum vobis ostenderem infidelitatem. »

Ἔπειτα κατὰ μέρος τὰς ἐκείνων βλασφημίας ἐκ- C τίθησι, καὶ ἀνθίσταται ταύταις τὰ ἐκ τῶν θείων εἰς πλάτος παράγων Γραφῶν, ἀπελέγχων αὐτῶν τὴν δυσσέβειαν· καὶ τοῦ πρόσω πολὺ προϊὼν, ἐπάγει· « Πολλὰ λέγειν ἔχων, ἀγαπητοὶ, παρέρχομαι, φορτικὸν εἶναι νομίσας διὰ πλειόνων διδασκάλους ὁμόφρονας ὑπομιμνήσκειν. Αὐτοὶ γὰρ ὑμεῖς θεοδίδακτοί ἐστε, οὐκ ἀγνοοῦντες, ὡς ἡ διδασκαλία αὕτη, Ἐβίωνός ἐστι καὶ Ἀρτεμᾶ καὶ τοῦ Σαμοσατέως Παύλου· ὧν τῆς ἀσεβείας τὴν τρύγα ἐῤῥοφηκότες, νῦν ἡμῖν ἐξ οὐκ ὄντων ἐπεφύησαν τὰ ἐκείνων κεκρυμμένως μοσχεύματα, Ἄρειός τε καὶ Ἀχιλλᾶς, καὶ ἡ τῶν σὺν αὐτοῖς πονηρευομένων σύνοδος, καὶ οὐκ οἶδ' ὅπως ἐν Συρίᾳ χειροτονηθέντες ἐπίσκοποι τρεῖς· περὶ ὧν ἡ κρίσις τῇ ὑμετέρᾳ ἀνακείσθω δοκιμασίᾳ. »

Deinde blasphemias illorum singillatim exponit, eisque copiose ex divinis Scripturis refutationes objicit, impietatem ipsorum redarguens : et longius stylo progressus, infert : « Multa, dilecti, cum dicere possem, prætereo : molestæ arrogantiæ esse ducens, eadem sentientes doctores, pluribus admonere. Nam vos ipsi a Deo docti estis, minime ignorantes, doctrinam hanc Ebionis ipsius, et Artemæ (1), et Pauli Samosateni esse, quorum isti impietatis fæcibus haustis, nobis nunc, ex non exsistentibus, illorum clam vivi radices producunt; Arius nimirum ipse et Achillas, et quod cum eis est malignantium conciliabulum : et tres præterea illi in Syria nescio quo modo creati episcopi, de quibus judicium arbitrio vestro permittimus. »

D

Ἔπειτα διασαφήσας περὶ τῶν ταπεινοτέρων λέξεων τῆς Γραφῆς, ἃς ἐπικτήτους ὁ Σωτὴρ δι' ἡμᾶς ἀνεδέξατο διὰ τὴν κένωσιν καὶ τὸ σωτήριον πάθος· ὡσαύτως δὲ καὶ ὅσαι τὴν ἀνωτάτω ἀρχὴν καὶ θεότητα, τήν τε φυσικὴν αὐτοῦ δόξαν τε καὶ θεότητα διελθὼν καὶ φιλοσοφήσας, ἐπιφέρει λέγων· « Καὶ τί λοιπὸν ἔτι θαυμαστὸν ὃ μέλλω γράφειν, ἀγαπητοὶ, εἰ τὰς κατ' ἐμοῦ ψευδεῖς διαβολὰς, καὶ τοῦ εὐσεβεστάτου λαοῦ ἡμῶν ἐκθήσομαι; Οἱ γὰρ κατὰ τῆς θεότητος τοῦ Υἱοῦ τοῦ Θεοῦ παραταξάμενοι οὐδὲ τὰς καθ' ἡμῶν ἀχαρίστους παροινίας παραιτοῦνται λέγειν· οἵ γε οὐδὲ τῶν ἀρχαίων τινὰς συγκρίνειν ἑαυτοῖς ἀξιοῦσιν οὐδὲ οἷς ἡμεῖς ἐκ παίδων

Deinceps declaratis summissioribus Scripturæ vocibus, quas Salvator ascititias nostra causa per exinanitionem salutaremque passionem suscepit, itidemque eis locis relatis atque expositis, quibus extra initium omne principium ac deitas, naturalisque gloria et divinitas ejus exprimitur, hæc prosequitur : « Quis vero quod scripturus sum mirabitur, dilecti, si contra me et piissimam plebem nostram ementitas eorum calumnias exposuero? Qui etenim adversus divinitatem Filii Dei aciem struere ausi sunt, contra nos quoque ingrata probra et convicia dicere non verentur. Qui etiam ex veteribus nullos esse dignos putant, qui cum

(1) Hic etiam Artemon supra dictus.

eis conferantur : neque eis æquari se patiuntur, quibus nos a pueris præceptoribus usi sumus : sed ne ex omnibus quidem qui passim sunt, collegis et presbyteris, quemquam ipsis comparari volunt, solos se sapientes, possessionum contemptores, et dogmatum repertores esse jactantes : ut quibus unis revelatum sit quod nemini omnium qui sub sole sunt hominum in mentem venerit. **545** O tumorem impium, et furorem immensum ! o opinionem insanam, et Satanicum plane sensum ! »

Sub hæc aliis quibusdam memoratis, et dogmate fidei eorum fusius exposito, circa finem epistolæ hæc adjicit : « Hosce igitur anathematis fulmine, de fidelium fratrum consensu, ictos, nemo vestrum recipiat, neque vel dicta vel scripta eorum sustineat. Qui enim mentiri omnia consuevere, impostores, veritatem certe non proloquentur. Urbes illi circumeunt, nihil aliud agentes quam ut amicitiæ obtentu per hypocrisim et adulationem litteras dent et accipiant, quibus seducant, ab ips's jam deceptas paucas mulierculas peccatis oneratas, » et quæ sequuntur. « Hosce itaque talia contra Christum ausos, et qui Christianismum cum publice ad populum traducunt, tum in judiciis magno studio et contentione probris manifestis exagitant ; qui persecutionem temporibus pacatis, quantum in eis situm est, adversus nos concitant : qui ineffabile Christi nativitatis mysterium enervant : hosce, dilecti, aversantes, unanimi nobiscum consensu et suffragio, calculis quoque vestris furibundam eorum audaciam jugulate, exemplo collegarum nostrorum qui indignati sunt et litteras contra eos ad me dederunt, libelloque damnationis subscripserunt : quæ omnia per filium meum Appionem archidiaconum misi per Ægyptum omnem, Thebaidem, Libyam, Pentapolim, Syriam, Lyciam, Pamphyliam, Asiam, Cappadociam et alias circumcirca regiones. Ad horum sane exemplum, a vobis etiam eum confirmatum iri, persuasum habeo. Multum quidem certe opis a me in eos qui ab illis sunt detrimento affecti, est collatum : sed illud maximum fuerit depellendorum a seducta plebe malorum auxilium, si collegarum nostrorum (1) concordi consensu illa persuasa, ad pœnitentiam decurrere studuerit. Salutate vos invicem, ejus quæ apud nos est consentientis fraternitatis nomine. Valere vos in Domino opto, dilecti. Utinam fructum aliquem vestrorum tantopere Christi amantium animorum percipiam. »

Deinde anathemate excommunicatos in epistola recenset, quos et nos supra retulimus. In eamdem sententiam (2), Philogonio Antiochiæ, Eustathio Berrhœæ in Syria, atque aliis etiam aliarum Ecclesiarum antistitibus scripsit, quos apostolicam doctrinam comprobare sciebat. **546** Arius porro neque ipse sibi cessandum esse putavit. Quapro-

(1) Scriptum hoc integrum reperitur apud *Theodoritum Eccles. histor.* lib. I, cap. 4.

A ὡμιλήσαμεν διδασκάλοις ἐξισοῦσθαι ἀνέχονται· ἀλλ' οὐδὲ τῶν νῦν πανταχοῦ συλλειτουργῶν τινα εἰς μέτρον ἡγοῦνται, μόνοι σοφοὶ καὶ ἀκτήμονες καὶ δογμάτων εὑρεταὶ λέγοντες εἶναι, καὶ αὐτοῖς ἀποκεκαλύφθαι μόνοις, ἅπερ οὐδενὶ τῶν ὑπὸ τὸν ἥλιον ἑτέρῳ πέφυκεν ἐλθεῖν εἰς ἔννοιαν. Ὢ ἀνοσίου τύφου καὶ ἀμέτρου μανίας, καὶ μελαγχολικῆς δόξης καὶ σατανικοῦ φρονήματος! »

Εἰπὼν δὲ καὶ ἄλλα καὶ τὸ δόγμα τῆς αὐτοῦ πίστεως πλατύτερον διεκθέμενος, περὶ τὸ τέλος τῆς ἐπιστολῆς καὶ ταῦτα ἐπάγει· « Τούτους οὖν ἀναθεματισθέντας ὑπὸ τῆς ἀδελφότητος μηδεὶς ὑμῶν δεχέσθω, μηδὲ ἀνασχέσθω τῶν λεγομένων ἢ γρα-
B φομένων ὑπ' αὐτῶν. Πάντα γὰρ οἱ γόητες ψεύδονται· ἀλήθειαν οὐ μὴ λαλήσωσι· περιέρχονται γὰρ τὰς πόλεις, οὐδὲν ἕτερον σπουδάζοντες, ἢ τῷ τῆς φιλίας προσχήματι δι' ὑποκρίσεως καὶ κολακείας γράμματα διδόναι καὶ λαμβάνειν· πρὸς τὸ πλανᾷν ὑπὸ τούτων τὰ δι' αὐτῶν ἠπατημένα ὀλίγα γυναικάρια σεσωρευμένα ἁμαρτίαις. Καὶ τὰ ἑξῆς. Τούτους οὖν τοὺς τοσαῦτα κατὰ Χριστοῦ τολμήσαντας, τοὺς τὸν Χριστιανισμὸν τοῦτο μὲν δημοσίᾳ σύροντας, τοῦτο δὲ ἐπὶ δικαστηρίων ἐπιδεικτικῶς φιλοτιμουμένους, τοὺς διωγμὸν ἡμῖν ἐν εἰρήνῃ τὸ ὅσον ἐπὶ αὐτοῖς ἐπεγείραντας, τοὺς τὸ ἄῤῥητον μυστήριον τῆς Χριστοῦ γεννήσεως ἐκνευρίσαντας· τούτους ἀποστραφέντες, ἀγαπητοὶ καὶ ὁμόψυχοι, σύμψη-
C φοι γένεσθε κατὰ τῆς μανιώδους αὐτῶν τόλμης, καθ' ὁμοιότητα τῶν ἀγανακτησάντων συλλειτουργῶν ἡμῶν, καὶ ἐπιστειλάντων μοι κατ' αὐτῶν, καὶ τῷ τόμῳ συνυπογραψάντων· ἃ καὶ διεπεμψάμην διὰ τοῦ Υἱοῦ μου Ἀπίωνος καὶ ἀρχιδιακόνου, τοῦτο μὲν πάσης Αἰγύπτου καὶ Θηβαΐδος, τοῦτο δὲ Λιβύης καὶ Πενταπόλεως καὶ Συρίας, καὶ ἔτι Λυκίας καὶ Παμφυλίας, Ἀσίας τε καὶ Καππαδοκίας, ὧν καὶ τῶν ἄλλων περιχώρων καθ' ὁμοιότητα καὶ παρ' ὑμῖν δέξασθαι πέποιθα. Πολλῶν γάρ μοι βοηθημάτων πρὸς τοὺς βλαβέντας πεπορισμένων, καὶ τοῦτο εὕρηται λυσιφάρμακον τοῦ ὑπ' αὐτῶν ἀπατηθέντος λαοῦ, πειθομένων, καὶ ταῖς τῶν συλλειτουργῶν ἡμῶν συγκαταθέσεσιν εἰς μετάνοιαν ἔρχεσθαι διὰ τούτου σπουδαζόντων. Ἀσπάσασθε ἀλλή-
D λους ἐν τῇ παρ' ἡμῶν ἀδελφότητι. Ἐῤῥῶσθαι ὑμᾶς ἐν Κυρίῳ εὔχομαι, ἀγαπητοί. Ὀναίμην ὑμῶν τῆς φιλοχρίστου ψυχῆς. »

Εἶτα τοὺς ἀναθεματισθέντας τῇ ἐπιστολῇ καταλέγει, οὓς καὶ ἡμεῖς ἄνωθεν διελάβομεν. Τὰ δ' αὐτὰ καὶ Φιλογονίῳ καὶ Εὐσταθίῳ, ὧν ὁ μὲν Ἀντιοχείας, Εὐστάθιος δὲ τῆς ἐν Συρίᾳ Βεῤῥοίας ἡγεῖτο, ἐπέστελλε, καὶ τοῖς ἄλλοις τῶν ἐκκλησιῶν ἡγεμόσιν, οὓς ᾔδει τοῖς ἀποστολικοῖς συνηγοροῦντας διδάγμασιν. Ὅ γε μὴν Ἄρειος, οὐδ' αὐτὸς ἡσυχίαν ἄγειν

(2) Cap. 5 eod.

ᾑρεῖτο· ἀναγκαῖον δ' ᾤετο τὴν εὔνοιαν προφθάνειν τῶν ἐπισκόπων· καὶ πρεσβεύων ἔγραφεν ὡς ἐπίστευε· καὶ ἐξήτει δῆθεν εἰ μὲν ὀρθῶς πιστεύοι, κἀκείνους κυροῦν· Ἀλεξάνδρῳ τε δηλοῦν μὴ κατ' αὐτοῦ τε καὶ τῶν περὶ αὐτὸν χαλεπαίνειν· εἰ δ' οὖν, καλῶς ἐθέλειν διδάσκεσθαι ὃν χρὴ τρόπον πιστεύειν. Καὶ οὐ μικρῶς γε ὤνησε τὸ τοιοῦτο τοῖς περὶ Ἄρειον· τῆς γὰρ τοιαύτης δόξης τοῖς ἁπανταχοῦ σχεδὸν ἐπισκόποις διασπαρείσης, κοινὴ πᾶσι ζήτησις ἦν. Οἱ μὲν οὖν μηδαμῶς προσίεσθαι τοὺς περὶ Ἄρειον Ἀλεξάνδρῳ ἐπέστελλον, πρὶν τὴν ἑαυτῶν ἀποκηρύξωσι βλασφημίαν· οἱ δὲ τοὐναντίον μᾶλλον, ἀντιποιεῖσθαι ὡς εὐσεβῶν καὶ μηδὲν περὶ τὴν πίστιν νεωτεριζόντων. Ὁ γοῦν Ἀλέξανδρος, ὁρῶν πολλοὺς τῶν τηνικαῦτα ἐν σχήματι σεμνότητος τοὺς περὶ Ἄρειον συλλαμβανομένους, καὶ ἄλλους διερεθίζοντας, Ἀλέξανδρον πείθειν εἰσδέχεσθαι Ἄρειον, καὶ μάλιστα τὸν Νικομηδείας Εὐσέβιον, ἄνδρα ἐλλόγιμον, ἑκατέραν τε παιδείαν εἰς ἄκρον ἀσκήσαντα, τιμῆς τε πλείστης ἐν τοῖς βασιλείοις εὐμοιροῦντα, περὶ γὰρ τὴν Νικομήδειαν οἱ πρὸ Διοκλητιανοῦ τὴν διατριβὴν εἶχον, διεγείρεται· καὶ πάλιν οὐκ ἀνῄει γράφων, μὴ εἰς κοινωνίαν αὐτοὺς δέχεσθαι· λίαν δὲ τοῖς γράμμασι καὶ τοῦ τῆς Νικομηδείας Εὐσεβίου καθήπτετο· ἃ δὲ ἔγραφεν, ἦσαν ταῦτα.

ΚΕΦΑΛ. Η'.

Ἑτέρα ἐπιστολὴ τοῦ αὐτοῦ καθολικὴ, ἀποκηρύττουσα Ἄρειον· καθαπτομένη δὲ καὶ τοῦ Νικομηδείας Εὐσεβίου.

«Τοῖς ἀγαπητοῖς καὶ τιμιωτάτοις συλλειτουργοῖς τοῖς ἁπανταχοῦ τῆς καθολικῆς Ἐκκλησίας Ἀλέξανδρος ἐν Κυρίῳ χαίρειν. Ἑνὸς σώματος ὄντος τῆς καθολικῆς Ἐκκλησίας, ἐντολῆς τε οὔσης ἐν ταῖς θείαις Γραφαῖς τηρεῖν τὸν σύνδεσμον τῆς ὁμονοίας καὶ εἰρήνης, ἀκόλουθόν ἐστι γράφειν ἡμᾶς καὶ σημαίνειν ἀλλήλοις τὰ παρ' ἑκάστοις γινόμενα· ἵνα εἴτε πάσχει εἴτε χαίρει ἓν μέλος, ἢ συμπάσχωμεν ἢ συγχαίρωμεν ἀλλήλοις. Ἐν τῇ ἡμετέρᾳ τοίνυν παροικίᾳ ἐξῆλθον νῦν ἄνδρες παράνομοι καὶ Χριστομάχοι, διδάσκοντες ἀποστασίαν· ἣν εἰκότως ἄν τις πρόδρομον τοῦ Ἀντιχρίστου νομίσειε καὶ καλέσειε. Καὶ ἐβουλόμην μὲν σιωπῇ παραδοῦναι τὸ τοιοῦτον, ἵν' ἴσως ἐν τοῖς ἀποστάταις μόνοις ἀναλωθῇ τὸ κακὸν, καὶ μὴ εἰς ἑτέρους τόπους διαβὰν, ῥυπώσῃ τινῶν ἀκεραίων τὰς ἀκοάς· ἐπειδὴ δὲ Εὐσέβιος ὁ νῦν ἐν τῇ Νικομηδείᾳ, νομίσας ἐπ' αὐτοῦ κεῖσθαι τὰ τῆς Ἐκκλησίας, ὅτι καταλείψας τὴν Βηρυτὸν, καὶ ἐποφθαλμίσας τῇ Ἐκκλησίᾳ Νικομηδέων, οὐκ ἐκδεδίκηται τὰ κατ' αὐτὸν, προΐσταται καὶ τούτων τῶν ἀποστατῶν, καὶ γράφειν ἐπεχείρησε πανταχοῦ, συνιστῶν αὐτοὺς, ἵνα μὴ ἴσως ὑποσύρῃ τινὰς ἀγνοοῦντας εἰς τὴν ἐσχάτην καὶ Χριστομάχον αἵρεσιν, ἀνάγκην ἔσχον, εἰδὼς τὸ ἐν τῷ νόμῳ γεγραμμένον, μηκέτι μὲν σιωπῆσαι, ἀναγγεῖλαι δὲ πᾶσιν ὑμῖν, ἵνα γινώσκητε τούς τε ἀποστάτας γε-

A pter necessitate quadam ductus, occupare episcoporum benevolentiam voluit : et culpam deprecans, de fide sua ad eos scripsit, simulque petiit, si recte quidem crederet, ut et ipsi auctoritate sua id confirmarent, et Alexandro ne sibi suisque molestiam exhiberet, significarent ; sin minus, ut quemadmodum credendum esset, rite doceretur. Nec parum ea res Arii partibus profuit. Opinione namque tali ubique fere apud episcopos vulgata, communis omnium de eo quæstio fuit. Itaque alii ad Alexandrum scripserunt, nequaquam prius Arium recipiendum esse quam solenniter blasphemiæ suæ nuntium remisisset, alii contra illum ut pium et nihil in fidei doctrina novantem potius defenderunt. Alexander porro, cum cerneret multos B tum, per speciem sanctimoniæ et gravitatis, Arianos ad se admittere : multos etiam instigare, ut ipse ad recipiendum in gratiam Arium persuaderetur : maxime vero Eusebium Nicomediensem, virum præclarum, atque in utraque disciplina summe versatum, et in imperiali palatio plurimum honoratum (siquidem Nicomediæ, qui ante Diocletianum fuere principes, imperatorum domicilium constituerant) seipsum excitat, atque illis rescribit, Arianos se ad communionem non recepturum. Admodum autem litteris suis Nicomediensem Eusebium pertrinxit, quæ sic habent.

CAPUT VIII.

C *Alia ejusdem epistola publice universis scripta, in qua Arius excommunicatur: in qua etiam Eusebius Nicomediæ episcopus perstringitur.*

« Charissimis (1) et reverendissimis, qui ubique sunt, per catholicam Ecclesiam, collegis, Alexander in Domino salutem. Cum corpus unum sit ipsa catholica Ecclesia, præceptumque exstet in divinis litteris, ut vinculum concordiæ et pacis retineamus, peræquum est ut aliis alii invicem, quæ apud quosque accidunt, perscribamus, ut sive doleat seu lætetur membrum unum, ipsi inter nos vel condoleamus vel congratulemur. In Ecclesia sane nostra exsurrexerunt nunc viri iniqui et Christi inimici, defectionem docentes, **547** quam recte quivis præcursorem Antichristi existimaverit atque dixerit. Constitueram equidem id silentio com-D mittere, ut forte inter solos desertores malum hoc consumeretur, neque in loca alia progressum, simplicium quorumdam aures contaminaret. Quandoquidem vero Eusebius, qui nunc Nicomediæ est, in se Ecclesiæ res sitas esse existimans (quoniam in eum, quod Beryto relicta, oculis cupiditatis in Nicomediensem Ecclesiam adjectis, eam assectatus est, legitime vindicatum non est), patrocinari desertoribus istis, et ad loca quævis scribere, eos commendans, cœpit, ne forte ignorantes aliquos in extremam et Christi inimicam hæresim pertrahat, necesse habeo, id quod in lege scriptum est memoria tenens, amplius non silere, sed vobis

(1) Socrates. *Eccles. histor.* lib. I, cap. 6.

rem eam omnibus annuntiare, ut et defectores ipsos atque inauspicata eorum verba cognoscatis: et cum Eusebius scripserit, animum ad litteras ejus non attendatis. Dudum namque malevolentiam suam tempore occultatam, nunc tandem per hos renovare volens, præ se fert ille quidem tanquam pro his scribat, revera autem pro seipso id se studiose facere declarat. Et desertores quidem sunt, Arius, Achillas, Aithales, Carpones, alter Arius, Sarmates, Euzoius, Lucius, Julianus, Menas, Helladius, Caius, et cum eis Secundus et Theonas, aliquando episcopi dicti. Quæ vero contra Scripturas adinventa docent, hæc sunt: Non semper Deus pater erat, sed erat cum Deus pater non erat: non semper igitur Dei Verbum erat, sed ex non exsistentibus factum est. Qui enim erat Deus, eum qui non erat, ex non exsistente fecit. Itaque aliquando erat tempus, cum non erat, siquidem creatura et factura est Filius. Neque vero similis substantia est Patri, neque verum et naturale Verbum Patris est, neque etiam vera sapientia ejus: sed unus quidem ex creatis et factis est, abusive autem Verbum et Sapientia factus. Et ipse in proprio seu nativo Dei Verbo, et in Dei Sapientia est, in qua et omnia et ipsum quoque fecit Deus. Propterea etiam mutationi et alterationi natura obnoxius est, sicuti omnia quoque rationalia. Peregrinum quoque et alienum segregatumque est Verbum a substantia Dei. Et inenarrabilis est Pater Filio: neque enim perfecte cernere potest Verbum Patrem, neque perfecte et certo eum cognoscere.
548 Etenim suam ipsius quoque substantiam, uti est, Filius non novit: propter nos namque factus est, ut nos per eum, veluti instrumentum, crearet Deus: neque is substitisset, nisi nos Deus creare voluisset. Rogavit igitur eos quidam, Possetne Verbum Dei mutari, sicuti diabolus mutatus est? atque illi respondere non reformidarunt, Posse: mutabilis enim naturæ esse, generationi et mutationi obnoxium. Hæc dicentes, atque his impudenter sese venditantes Arianos, sectatoresque eorum, nos quidem cum Ægyptiis et vicinis Libycis fere centum numero episcopis, conventu acto, anathemate jugulavimus. Eusebius vero receptos complexus est, qui mendacium veritati et impietatem pietati commiscere studet. Sed non prævalebit: vincit enim veritas. Nulla enim est communio luci cum tenebris, nulla concordia Christo cum Belial. Quis enim unquam audivit talia? quis ad rem tam peregrinam et insolentem, eam audiens, non obstupescit auresque obturat, ne verborum istorum sordes auditum pertingant? Quis Joannem audiens dicentem, *In principio erat Verbum*, non damnat hosce asserentes, Erat aliquando tempus cum non erat? Aut quis audiens in Evangelio, *Unigenitus Filius*, et, *Per ipsum facta sunt omnia*, non aversabitur sonantes, unum esse creaturarum Filium? Quomodo vero par esse eis potest, quæ per ipsum facta sunt? aut quomodo

A νομένους καὶ τὰ τῆς αἱρέσεως αὐτῶν δύστηνα ῥήματα· καὶ ἐὰν γράφῃ Εὐσέβιος, μὴ πρόσχητε. Τὴν πάλαι γὰρ αὐτοῦ κακόνοιαν τὴν χρόνῳ σιωπηθεῖσαν νῦν διὰ τούτων ἀνανεῶσαι βουλόμενος, σχηματίζεται μὲν ὡς ὑπὲρ τούτων γράφων, ἔργῳ δὲ δείκνυσιν, ὡς ὅτι ὑπὲρ ἑαυτοῦ σπουδάζων τοῦτο ποιεῖ. Οἱ μὲν οὖν ἀποστάται εἰσὶν Ἄρειος, Ἀχιλλᾶς, Ἀειθαλὴς, καὶ Καρπώνης, καὶ ἕτερος Ἄρειος, καὶ Σαρμάτης, καὶ Εὐζώϊος, καὶ Λούκιος, καὶ Ἰουλιανὸς, καὶ Μηνᾶς, καὶ Ἑλλάδιος, καὶ Γάϊος, καὶ σὺν αὐτοῖς Σεκοῦνδος καὶ Θεωνᾶς οἱ ποτὲ λεχθέντες ἐπίσκοποι. Ποῖα δὲ παρὰ τὰς Γραφὰς ἐφευρόντες λαλοῦσιν, ἔστι ταῦτα. Οὐκ ἀεὶ ὁ Θεὸς πατὴρ ἦν, ἀλλ' ἦν ὅτε ὁ Θεὸς πατὴρ οὐκ ἦν· οὐκ ἀεὶ οὖν ἦν ὁ τοῦ Θεοῦ Λόγος, ἀλλ' ἐξ οὐκ ὄντων γέγονεν. Ὁ γὰρ ὢν Θεὸς
B τὰ μὴ ὄντα ἐκ τοῦ μὴ ὄντος πεποίηκε. Διὸ καὶ ἦν ποτὲ ὅτε οὐκ ἦν. Κτίσμα γάρ ἐστι καὶ ποίημα ὁ Υἱός. Οὔτε δὲ ὅμοιος κατ' οὐσίαν τῷ Πατρί ἐστιν, οὔτε ἀληθινὸς, καὶ φύσει τοῦ Πατρὸς Λόγος ἐστίν· οὔτε ἀληθινὴ σοφία αὐτοῦ ἐστίν· ἀλλ' εἷς μὲν τῶν ποιημάτων καὶ γεννητῶν ἐστι· καταχρηστικῶς δὲ Λόγος καὶ σοφία γενόμενος. Καὶ αὐτὸς δὲ, ἐν τῷ ἰδίῳ τοῦ Θεοῦ Λόγῳ καὶ τῇ ἐν τῷ Θεῷ σοφίᾳ ἐστίν· ἐν ᾗ καὶ τὰ πάντα καὶ αὐτὸν πεποίηκεν ὁ Θεός. Διὸ καὶ τρεπτός ἐστι καὶ ἀλλοιωτὸς τὴν φύσιν, ὡς καὶ πάντα τὰ λογικά. Ξένος τε καὶ ἀλλότριος καὶ ἀπεσχοινισμένος ἐστὶν ὁ Λόγος τῆς τοῦ Θεοῦ οὐσίας· καὶ ἄῤῥητός ἐστιν ὁ Πατὴρ τῷ Υἱῷ· οὔτε γὰρ τελείως ὁρᾷν δύναται τὸν Πατέρα ὁ Λόγος, οὔτε τε-
C λείως καὶ ἀκριβῶς γινώσκει αὐτόν. Καὶ γὰρ ἑαυτοῦ τὴν οὐσίαν οὐκ οἶδεν ὁ Υἱὸς ὡς ἔστι. Δι' ἡμᾶς γὰρ πεποίηται, ἵνα ἡμᾶς δι' αὐτοῦ ὡς δι' ὀργάνου κτίσῃ ὁ Θεός. Καὶ οὐκ ἂν ὑπέστη, εἰ μὴ ἡμᾶς ὁ Θεὸς ἠθέλησε ποιῆσαι. Ἠρώτησε γοῦν τις αὐτοὺς, εἰ δύναται ὁ τοῦ Θεοῦ Λόγος τραπῆναι, ὡς ὁ διάβολος ἐτράπη· καὶ οὐκ ἐφοβήθησαν εἰπεῖν, Ναὶ δύναται· τρεπτῆς γὰρ φύσεώς ἐστι, γεννητὸς καὶ τρεπτὸς ὑπάρχων. Ταῦτα λέγοντας τοὺς περὶ Ἄρειον καὶ ἐπὶ τούτοις ἀναισχυντοῦντας, αὐτούς τε καὶ τοὺς συνακολουθήσαντας αὐτοῖς, ἡμεῖς μὲν μετὰ τῶν κατ' Αἴγυπτον ἐπισκόπων καὶ τῆς Λιβύης ἐγγὺς ἑκατὸν ὄντων συνελθόντες ἀνεθεματίσαμεν· οἱ δὲ περὶ Εὐσέβιον προσεδέξαντο σπουδάζοντες συγκαταμῖξαι τὸ ψεῦδος τῇ ἀληθείᾳ, καὶ τῇ εὐσεβείᾳ τὴν
D ἀσέβειαν. Ἀλλ' οὐκ ἰσχύσουσι· νικᾷ γὰρ ἡ ἀλήθεια. Καὶ οὐδεμία ἔστι κοινωνία φωτὶ πρὸς σκότος, οὐδὲ συμφώνησις Χριστῷ πρὸς Βελίαρ. Τίς γὰρ ἤκουσε πώποτε τοιαῦτα; ἢ τίς νῦν ἀκούων οὐ ξενίζεται, καὶ τὰς ἀκοὰς βύει, ὑπὲρ τοῦ μὴ τὸν ῥύπον τούτων τῶν ῥημάτων ψαῦσαι τῆς ἀκοῆς; Τίς ἀκούων Ἰωάννου λέγοντος, *Ἐν ἀρχῇ ἦν ὁ Λόγος*, οὐ καταγινώσκει τούτων λεγόντων, Ἦν ποτὲ ὅτε οὐκ ἦν; Ἢ τίς ἀκούων ἐν τῷ Εὐαγγελίῳ, *Ὁ μονογενὴς Υἱὸς*, καὶ, *Δι' αὐτοῦ ἐγένετο τὰ πάντα*, οὐ μισήσει τούτους φθεγγομένους, ὅτι εἷς ἐστι τῶν ποιημάτων ὁ Υἱός; Πῶς δὲ δύναται ἴσος εἶναι τῶν δι' αὐτοῦ γενομένων; ἢ πῶς μονογενὴς ὁ τοῖς πᾶσι κατ' ἐκείνους συναριθμούμενος; Πῶς δὲ ἐξ οὐκ ὄντων ἂν εἴη τοῦ Πατρὸς λέγοντος, *Ἐξηρεύξατο ἡ καρδία*

μου λόγον ἀγαθόν, καὶ, *Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε*; Ἢ πῶς ἀνόμοιος τῇ οὐσίᾳ τοῦ Πατρὸς ὁ ὢν εἰκὼν τελεία καὶ ἀπαύγασμα τοῦ Πατρὸς, καὶ λέγων, *Ὁ ἐμὲ ἑωρακὼς ἑώρακε τὸν Πατέρα*; Πῶς δὲ, εἰ Λόγος καὶ σοφία ἐστὶν ὁ Υἱὸς τοῦ Θεοῦ, ἦν ποτὲ ὅτε οὐκ ἦν; Ἴσον γάρ ἐστιν αὐτοὺς λέγειν ἄλογον καὶ ἄσοφόν ποτε τὸν Θεόν. Πῶς δὲ τρεπτὸς ἢ ἀλλοιωτὸς ὁ λέγων δι' ἑαυτοῦ, *Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοὶ*, καὶ, *Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν*; διὰ δὲ τοῦ προφήτου, *Ἴδετέ με ὅτι ἐγώ εἰμι, καὶ οὐκ ἠλλοίωμαι*; Εἰ δὲ καὶ ἐπ' αὐτόν τις τὸν Πατέρα τὸ ῥητὸν δύναται ἀναφέρειν, ἀλλ' ἁρμοδιώτερον ἂν εἴη περὶ τοῦ Λόγου νῦν λεγόμενον· ὅτι καὶ γενόμενος ἄνθρωπος οὐκ ἠλλοίωται· ἀλλ' ὡς ὁ Ἀπόστολος, *Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας*. Τί δὲ ἄρα εἰπεῖν αὐτοὺς ἔπεισεν, ὅτι δι' ἡμᾶς γέγονε, καίτοι τοῦ Παύλου γράφοντος, *Δι' ὃν τὰ πάντα, καὶ δι' οὗ τὰ πάντα*; Περὶ μὲν οὖν τοῦ βλασφημεῖν αὐτοὺς, ὅτι οὐκ οἶδεν ὁ Υἱὸς τὸν Πατέρα, οὐ δεῖ θαυμάζειν· ἅπαξ γὰρ προθέμενοι Χριστομαχεῖν, παραχρούονται καὶ τὰς φωνὰς αὐτοῦ τοῦ Κυρίου λέγοντος, *Καθὼς γινώσκει με ὁ Πατὴρ, κἀγὼ γινώσκω τὸν Πατέρα*. Εἰ μὲν οὖν ἐκ μέρους γινώσκει ὁ Πατὴρ τὸν Υἱὸν, δηλονότι καὶ ὁ Υἱὸς ἐκ μέρους γινώσκει τὸν Πατέρα· εἰ δὲ τοῦτο λέγειν οὐ θέμις, οἶδε δὲ τελείως ὁ Πατὴρ τὸν Υἱὸν, δῆλον ὅτι καθὼς γινώσκει ὁ Πατὴρ τὸν ἑαυτοῦ Λόγον, οὕτω καὶ ὁ Λόγος γινώσκει τὸν ἑαυτοῦ Πατέρα, οὗ καί ἐστι Λόγος.

A unigenitus, qui, juxta eorum sententiam, omnibus connumeratur? Quomodo porro ex non exsistentibus sit, cum Pater dicat, *Eructavit cor meum verbum bonum* [1]: et, *Ex utero ante Luciferum genui te* [2]? Quomodo dissimilis sit substantiæ Patris, qui est imago perfecta, et splendor Patris: quique dicit, *Qui me videt, videt Patrem* [3]? Quomodo, si verbum et sapientia est, Filius Dei, erat aliquando tempus cum non erat? Perinde enim est, atque si dicant, irrationalem et insipientem aliquando Deum. Quomodo mutationi aut alterationi subjectus est, qui per se ipse dicit, *Ego in Patre, et Pater in me* [4]: et, *Ego et Pater unum sumus* [5]? Per Prophetam vero: *Videte me, quod ego sum, et non mutor* [6]. Etiamsi enim in Patrem dictum hoc B referri queat, commodius tamen rectiusque in præsentia de Verbo dicatur: quod etiamsi homo factum, non tamen est mutatum: **549** sed sicuti Apostolus inquit *Jesus Christus heri et hodie, idem et in sæcula* [7]. Quid vero eis, ut dicerent, suasit, propter nos factum esse, cum Paulus scribat: *Propter quem omnia, et per quem omnia* [8]? De blasphemia quidem eorum illa, quod Filius non noverit Patrem, non est quod miremur. Cum enim semel Christum oppugnare hostiliter constituerint, fraudulenter et calumniose etiam voces ejus depravant, dicentis: *Sicut cognoscit me Pater, et ego cognosco Patrem* [9]. Si igitur ex parte Pater cognoscit Filium, videlicet et Filius ex parte cognoscit Patrem. Sin hoc dicere nefas est, et Pater perfecte novit Filium: certum est et manifestum, quemadmodum Pater novit Verbum suum, ita etiam Verbum novit Patrem suum, cujus etiam est Verbum.

« Καὶ ταῦτα λέγοντες καὶ ἀναπτύσσοντες τὰς C θείας Γραφὰς, πολλάκις ἀνετρέψαμεν αὐτούς· καὶ πάλιν ὡς χαμαιλέοντες μετεβάλλοντο, φιλονεικοῦντες εἰς ἑαυτοὺς ἐφελκύσαι τὸ γεγραμμένον· *Ὅταν ἔλθῃ ὁ ἀσεβὴς εἰς βάθος κακῶν, καταφρονεῖ*. Πολλαὶ γοῦν αἱρέσεις πρὸ αὐτῶν γεγόνασιν, αἵτινες πλέον τοῦ δέοντος τολμήσασαι πεπτώκασιν εἰς ἀφροσύνην. Οὗτοι δὲ διὰ πάντων αὐτῶν τῶν ῥημάτων ἐπιχειρήσαντες ταῖς ἀναιρέσεσι τῆς τοῦ Λόγου θεότητος, ἐδικαίωσαν ἐξ ἑαυτῶν ἐκείνας, ὡς ἐγγύτεροι τοῦ Ἀντιχρίστου γενόμενοι. Διὸ καὶ ἀπεκηρύχθησαν ἀπὸ τῆς Ἐκκλησίας, καὶ ἀνεθεματίσθησαν. Λυπούμεθα μὲν οὖν ἐπὶ τῇ ἀπωλείᾳ τούτων, καὶ μάλιστα ὅτι μαθόντες καὶ αὐτοί ποτε τὰ τῆς Ἐκκλησίας, νῦν ἀπεπήδησαν· οὐ ξενιζόμεθα δέ· τοῦτο D γὰρ καὶ Ὑμέναιος καὶ Φιλητὸς πεπόνθασι, καὶ πρὸ αὐτῶν Ἰούδας ἀκολουθήσας τῷ Σωτῆρι, ὕστερον δὲ προδότης καὶ ἀποστάτης γενόμενος. Καὶ περὶ τούτων δὲ αὐτῶν οὐκ ἀδίδακτοι μεμενήκαμεν· ἀλλ' ὁ μὲν Κύριος προείρηκε, *Βλέπετε μή τις ὑμᾶς πλανήσῃ· πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες, Ἐγώ εἰμι· καὶ ὁ καιρὸς ἤγγικε, καὶ πολλοὺς πλανήσουσι. Μὴ πορευθῆτε ὀπίσω αὐτῶν*· ὁ δὲ Παῦλος μαθὼν ταῦτα παρὰ

« Atque equidem nos hæc disserentes, et divinas Scripturas explicantes, sæpenumero eos convicimus: sed rursus veluti chamæleontes mutati sunt, certamine quodam in se pertrahere contendentes illud quod scriptum est [10]: *Impius cum venerit in profundum malorum, contemnit*. Verum enimvero multæ ante eos exstitere hæreses, quæ longe plura quam deceret aut oporteret tentare ausæ, in stultitiam decidere. Isti vero omnibus verbis suis abolere Verbi divinitatem aggressi, justitiæ illas laude, præ ut ipsi sunt, ornavere, quippe Antichristo propinquiores. Quapropter etiam ab Ecclesia proscripti, et anathemati subjecti sunt. Dolemus quidem nos perditionem et interitum eorum, et maxime, quod et ipsi aliquando sacra mysteria Ecclesiæ didicerint et nunc ab eis desciverint. Non miramur tamen, qui nihil novi accidere eis scimus. Idem enim etiam Hymenæo et Phileto evenit, et ante eos Judæ Servatoris primum sectatori, postea vero proditori et desertori. Et de his ipsis nobis non desunt documenta et præcepta, sed ipsemet Dominus prædixit [11]: *Videte ne quis vos seducat: multi enim venient in nomine meo, dicentes, Ego sum, et tempus prope est, et multos seducent, ne sequamini eos.* Et Pau-

[1] Psal. XLIV, 2. [2] Psal. CIX, 3. [3] Joan. XIV, 9. [4] Joan. X, 38. [5] ibid. 30. [6] Malach. III, 6. [7] Hebr. XIII, 8. [8] I Cor. I. [9] Joan. X. [10] Prov. XVIII, 3. [11] Matth. XXIV, 4-6.

lus eadem a Servatore edoctus scripsit [1], quod in extremis temporibus deficient quidam a fide sanio:e, intendentes spiritibus erroris, et doctrinis dæmoniorum, aversantium veritatem. Itaque cum et Servator atque Dominus noster Jesus Christus per se nobis præceperit, et per Apostolum de istis significaverit, **550** rite sane ordine nos, qni auribus ipsi nostris impietatem illorum audivimus, eos, sicuti antea diximus, anathemati subjecimus, et alienos prorsus ab Ecclesia et fide catholica declaravimus. Idque propterea pietati vestræ, charissimi atque reverendissimi collegæ, significavimus, ut neque ex eis quemquam, si per temeritatem ad vos accedere ausi fuerint, suscipiatis : neque Eusebio, aut alii cuipiam de eis scribenti, credatis. Convenit enim vobis, ut Christianis, omnes qui contra Christum vel dicunt, vel sentiunt, veluti Dei hostes, et animarum pestes, aversari, et ne salutatione quidem dignari, ne quando scilicet participes peccatorum eorum flamus : sicuti beatus annuntiavit Joannes. Salutem, dicite, qui apud vos sunt fratribus ; vos, qui mecum sunt, salvere jubent. »

Hæ litteræ ad loca omnia perlatæ, majorem etiam contentionem pepererc, malumque propter dissidendi studium adauxere. Qui enim Alexandro sunt suffragati, eis subscripsere ; alii autem contra eas venere, in primis vero Eusebius Nicomediensis in contrariam sententiam est raptus, quod admodum se in eis perstrictum esse intellexerat. Permulti autem partes ejus sequebantur. Atque is crebras ad Alexandrum dedit litteras ut Arianos, quæstione posthabita, reciperet : quem ad hoc maxime litteris suis excitans induxit Arius. Ex quibus aliqua historiæ inseram, ut simul et participes ejus impietatis manifesti flant et Alexandri fides, qui nihil perperam contra eos statuerit, ostendatur. Scribit igitur ad Eusebium Nicomediensem Arius in hæc verba :

CAPUT IX.

Quibus de rebus Arius ad Eusebium Nicomediæ episcopum scripserit.

Desideratissimo domino, viro Dei, fideli, orthodoxo, Eusebio, Arius, qui injuste persecutionem ab Alexandro papa, propter omnia vincentem veritatem, quam et tu propugnas, patitur, in Domino salutem. Proficiscente Nicomediam patre meo Ammonio, recte me facturum esse putavi, si per ipsum te compellarem, **551** simulque insitam tibi charitatem, et quam erga fratres propter Deum et Christum ejus geris affectionem, admonerem; magnopere persequi me et oppugnare, omnemque adversum nos funem movere episcopum, ut nos perinde atque sine Deo homines urbe ejiciat, propterea quod non comprobamus voces ejus, publicitus dicentis : Semper Deus, semper Filius : simul Pater, simul Filius : coexsistit ingenito Dei Filius (1),

[1] II Tim. IV.

(1) Ingenito Filius Deo.

τοῦ Σωτῆρος, ἔγραψεν, ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως τῆς ὑγιαινούσης προσέχοντες πνεύμασι πλάνης καὶ διδασκαλίαις δαιμονίων ἀποστρεφομένων τὴν ἀλήθειαν. Τοῦ τοίνυν Σωτῆρος καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ αὐτοῦ παραγγέλλοντος, καὶ διὰ τοῦ Ἀποστόλου σημάναντος περὶ τῶν τοιούτων, ἀκολούθως ἡμεῖς αὐτήκοοι τῆς ἀσεβείας αὐτῶν γενόμενοι, ἀνεθεματίσαμεν, καθὰ προείπομεν, τοὺς τοιούτους, ἀποδείξαντες αὐτοὺς ἀλλοτρίους τῆς καθολικῆς Ἐκκλησίας τε καὶ πίστεως. Ἐδηλώσαμεν δὲ καὶ τῇ ὑμετέρᾳ θεοσεβείᾳ, ἀγαπητοὶ καὶ τιμιώτατοι συλλειτουργοὶ, ἵνα μήτε τινὰς ἐξ αὐτῶν, εἰ προπετεύσαιντο καὶ πρὸς ὑμᾶς ἐλθεῖν, προσδέξησθε, μήτε Εὐσεβίῳ ἢ ἑτέρῳ τινὶ γράφοντι περὶ αὐτῶν πεισθῆτε· πρέπει γὰρ ὑμᾶς, ὡς Χριστιανοὺς ὄντας, πάντας τοὺς κατὰ Χριστοῦ λέγοντάς τε καὶ φρονοῦντας ὡς θεομάχους καὶ φθορέας τῶν ψυχῶν ἀποστρέφεσθαι, καὶ μηδὲ κἂν χαίρειν τοῖς τοιούτοις λέγειν, ἵνα μή ποτε καὶ ταῖς ἁμαρτίαις αὐτῶν κοινωνοὶ γενώμεθα, ὡς παρήγγειλεν ὁ μακάριος Ἰωάννης. Προσείπατε τοὺς παρ' ὑμῖν ἀδελφούς· ὑμᾶς οἱ σὺν ἐμοὶ προσαγορεύουσιν. »

Ταῦτα τὰ γράμματα ἁπανταχοῦ φοιτῶντα μείζονα τὴν ἔριν ἐποίουν, καὶ τὸ κακὸν ἐκ φιλονεικίας ἐπικρατέστερον ἦν. Οἱ μὲν γὰρ σύμψηφοι γενόμενοι, προσυπέγραφον· οἱ δὲ καὶ ἀντέλεγον· μάλιστα δ' Εὐσέβιος ὁ Νικομηδείας, καὶ πρὸς ἀντιπάθειαν ὥρμα· ὅτιπερ κἀν τοῖς γράμμασι πολλὴν αὐτοῦ εἶναι τὴν καταφορὰν ἐπυνθάνετο· πολλοὶ δ' αὐτῷ συνιόντες ὑπήκουον. Ἀλεξάνδρῳ δ' ἐκεῖνος συχνῶς ἐπέστελλεν, ἵνα τοὺς περὶ Ἄρειον δέξηται τὸ ζήτημα παρωσαμένῳ. Ἐνῆγε δὲ αὐτὸν Ἄρειος μάλιστα παραθήγων τοῖς γράμμασιν· ὧν τινα καὶ τῇ ἱστορίᾳ ἐντάξω, ὡς ἂν καὶ οἱ κοινωνοῦντες τῆς ἀσεβείας κατάδηλοι γένωνται, πιστὸς δὲ καὶ Ἀλέξανδρος δόξοι, μὴ ψευδῆ κατ' αὐτῶν συστησάμενος. Γράφει οὖν Ἄρειος τῷ Νικομηδείας Εὐσεβίῳ πρὸς λέξιν οὕτω·

ΚΕΦΑΛ. Θ'.

Περὶ ὧν Ἄρειος τῷ Νικομηδείας ἔγραψεν Εὐσεβίῳ.

Κυρίῳ ποθεινοτάτῳ ἀνθρώπῳ Θεοῦ, πιστῷ, ὀρθοδόξῳ, Εὐσεβίῳ, Ἄρειος ὁ διωκόμενος ὑπὸ Ἀλεξάνδρου τοῦ πάππα ἀδίκως διὰ τὴν πάντα νικῶσαν ἀλήθειαν, ἧς καὶ σὺ ὑπερασπίζῃ, ἐν Κυρίῳ χαίρειν. Τοῦ Πατρός μου Ἀμμωνίου ἐρχομένου εἰς τὴν Νικομήδειαν, εὔλογον ὀφειλόμενον προσαγορεῦσαί σε ἐφάνη δι' αὐτοῦ· ὁμοῦ τε καὶ ὑπομνῆσαι τὴν ἔμφυτόν σου ἀγάπην καὶ διάθεσιν, ἣν ἔχεις πρὸς τοὺς ἀδελφοὺς διὰ τὸν Θεὸν καὶ τὸν Χριστὸν αὐτοῦ· ὅτι μεγάλως ἡμᾶς ἐκπορθεῖ καὶ ἐκδιώκει, καὶ πάντα κάλων κινεῖ καθ' ἡμῶν ὁ ἐπίσκοπος· ὥστε ἐκδιῶξαι ἡμᾶς ἐκ τῆς πόλεως ὡς ἀνθρώπους ἀθέους· ἐπειδὴ οὐ συμφωνοῦμεν αὐτῷ δημοσίᾳ λέγοντι, Ἀεὶ Θεὸς, ἀεὶ Υἱός· ἅμα Πατὴρ, ἅμα Υἱός. Συνυπάρχει ἀγεννήτως ὁ Υἱὸς τῷ Θεῷ. Ἀει-

γενής ἐστιν, ἀγεννητογεννής ἐστιν. Οὔτε ἐπινοίᾳ A οὔτε ἀτόμῳ τινὶ προάγει ὁ Θεὸς τοῦ Υἱοῦ. Ἀεὶ Υἱὸς, ἀεὶ Χριστός. Ἐξ αὐτοῦ ἐστι τοῦ Θεοῦ Υἱός. Καὶ ἐπειδὴ Εὐσέβιος ὁ ἀδελφός σου ἐν Καισαρείᾳ, καὶ Θεόδοτος, καὶ Παυλῖνος, καὶ Ἀθανάσιος, καὶ Γρηγόριος, καὶ Ἀέτιος, καὶ πάντες οἱ κατὰ τὴν ἀνατολὴν λέγουσιν, ὅτι προϋπάρχει ὁ Θεὸς τοῦ Υἱοῦ ἀνάρχως, ἀνάθεμα ἐγένοντο· δίχα μόνου Φιλογονίου καὶ Ἑλλανίκου καὶ Μακαρίου, ἀνθρώπων αἱρετικῶν ἀκατηχήτων, τὸν Υἱὸν λεγόντων οἱ μὲν ἐρυγὴν, οἱ δὲ προβολὴν, οἱ δὲ συναγέννητον. Καὶ τούτων τῶν ἀσεβῶν οὐδὲ ἀκοῦσαι δυνάμεθα, κἂν μυρίους θανάτους ἐπαπειλῶσιν ἡμῖν οἱ αἱρετικοί. Ἡμεῖς δὲ τί λέγομεν καὶ φρονοῦμεν, καὶ ἐδιδάξαμεν καὶ διδάσκομεν; Ὅτι ὁ Υἱὸς οὐκ ἔστιν ἀγέννητος, οὐδὲ μέρος ἀγέννητον κατ' οὐδένα τρόπον, οὔτε ἐξ ὑποκειμένου B τινός· ἀλλ' ὅτι θελήματι καὶ βουλῇ ὑπέστη πρὸ χρόνων καὶ αἰώνων, πλήρης Θεὸς μονογενὴς· ἀναλλοίωτος καὶ πρὶν γεννηθῇ, ἤτοι κτισθῇ, ἢ ὁρισθῇ, ἢ θεμελιωθῇ, οὐκ ἦν. Ἀγέννητος γὰρ οὐκ ἦν. Διωκόμεθα δὲ, ὅτι εἴπαμεν, Ἀρχὴν ἔχει ὁ Υἱὸς, ὁ δὲ Θεὸς ἄναρχός ἐστι· διὰ τοῦτο διωκόμεθα· καὶ ὅτι εἴπαμεν ὅτι ἐξ οὐκ ὄντων ἐστίν. Οὕτως δὲ εἴπαμεν, καθότι οὐ μέρος Θεοῦ ἐστιν, οὐδὲ ἐξ ὑποκειμένου τινός· διὰ τοῦτο διωκόμεθα· λοιπὸν σὺ οἶδας. Ἐῤῥῶσθαί σε ἐν Κυρίῳ εὔχομαι, μεμνημένον τῶν θλίψεων ἡμῶν, συλλουκιανιστὰ ἀληθῆς Εὐσέβιε. »

A semper genitus est, ab ingenito genitus est, neque cogitatione neque momento aliquo præcedit Deus Filium, semper Deus, semper Filius, semper Christus, ex ipso Deo est Filius. Et propterea quod Eusebius frater tuus Cæsariensis, et Theodotus, et Paulinus, et Athanasius, et Gregorius, et Aetius, et Orientales omnes dicunt, Deum qui sine principio est, præexsistere Filio, anathema facti sunt: excepto solo Philogonio et Hellanico et Macario hæreticis, nulliusque doctrinæ hominibus. Ex quibus Filium quidam eructationem, aliqui germen, nonnulli coingenitum dicunt. Quorum impietatem ne audire quidem possimus, etiamsi mille mortis cruciatus nobis minentur atque intentent hæretici. Nos vero quid dicimus et sentimus, docuimus et B docemus? Quod Filius non est ingenitus, neque pars ingenita ullo prorsus modo, neque ex subjecto quopiam: sed quod voluntate et consilio substiterit ante tempora et sæcula, plenus Deus unigenitus, immutabilis: et priusquam gigneretur, aut crearetur, aut designaretur, aut fundaretur, non fuerit: ingenitus enim non erat. Affligimur autem quod diximus, principium habere Filium, Deum autem esse absque principio: propterea, inquam, persecutionem patimur, et quod diximus, ex non exsistentibus eum esse. Idque ita diximus, quod neque pars Dei, neque ex subjecto quopiam est: hanc ob causam affligimur. Reliquum ipse nosti. Valere te in Domino, memoremque tribulationum nostrarum esse opto, Collucianista (1) vere, pie Eusebie. »

Οἱ μέντοι καταλεγέντες ἦσαν Εὐσέβιος μὲν ὁ C Καισαρείας τῆς Παλαιστίνης ἐπίσκοπος, ὁ Παμφίλου λεγόμενος· Λαοδικείας δὲ ἦν ὁ Θεόδοτος· Παυλῖνος δὲ τῇ Τυρίων ἐπεσκόπει· τὴν δ' Ἀνάζαρβον διεῖπεν ὁ Ἀθανάσιος· Βηρυτοῦ δὲ Γρηγόριος ἦν· Λυδῶν δὲ, ἣ νῦν καλεῖται Διόσπολις, ὁ Ἀέτιος. Οὗτοι μὲν ἦσαν οἱ συμφωνοῦντες Ἀρείῳ· τῆς δ' ἐναντίας ἐκάλει μοίρας τὸν τῆς Ἀντιόχου Φιλογόνιον, Ἑλλάνικόν τε τὸν Τριπόλεως, καὶ τὸν Ἱεροσολύμων Μακάριον, οὓς συκοφαντῶν, αἱρετικοὺς ὀνομάζει· οἳ συναΐδιον καὶ προαιώνιον, ὁμότιμόν τε καὶ ὁμοούσιον τῷ Πατρὶ Θεῷ τὸν Υἱὸν ἐδογμάτιζον. Ἐκ δὴ ταύτης κινηθεὶς τῆς γραφῆς, πολλοὺς μὲν καὶ ἄλλους ἠρέθιζε, τὸν ἰὸν τῆς αἱρέσεως ἐξεμῶν ὁ Εὐσέβιος. Οἷα δὲ Παυλίνῳ τῆς Τυρίων Ἐκκλησίας ἡγουμένῳ γέγραφεν, ἀκούειν χρεών. D

C Porro qui hic enumerantur, sunt: Eusebius, Cæsareæ Palæstinæ episcopus, qui dicitur Pamphili: Theodotus Laodiceæ, Paulinus Tyri, Athanasius Anazarbi, Gregorius Beryti, Aetius Lydæ, quæ nunc Diospolis vocatur: hi Arianarum partium fuere. Adversarum autem nominat Philogonium Antiochenum, **552** Hellanicum Tripolitanum et Macarium Hierosolymitanum, quos sycophantice hæreticos vocat, quod coæternum et antesæcularem, ejusdemque honoris et ejusdem substantiæ cum Patre Filium esse docuerunt. Hoc scripto permotus Eusebius, cum plures alios venenum hæresis evomens incitavit, tum ad Paulinum Tyriæ Ecclesiæ antistitem litteras dedit, quas audire convenit.

ΚΕΦΑΛ. Ι'.

Οἷα ὁ Νικομηδείας Εὐσέβιος Παυλίνῳ τῷ Τυρίων ἐπισκόπῳ ἐπέστειλε.

« Τῷ δεσπότῃ μου Παυλίνῳ Εὐσέβιος ἐν Κυρίῳ χαίρειν. Οὔτε ἡ τοῦ δεσπότου μου Εὐσεβίου σπουδὴ ὑπὲρ τοῦ ἀληθοῦς λόγου παρεσιωπήθη, ἀλλ' ἔφθασεν ἕως καὶ ἡμῶν, οὔτε ἡ σοῦ σιωπὴ ἐπὶ τούτῳ, δέσποτα. Καὶ ὅσον ἀκόλουθον, ἐπὶ μὲν τῷ δεσπότῃ μου Εὐσεβίῳ ηὐφράνθημεν· ἐπὶ σοὶ δὲ λυπούμεθα, στοχαζό-

CAPUT X.

Quæ Eusebius idem Paulino Tyrio episcopo scripserit.

Domino meo Paulino Eusebius in Domino salutem. Neque egregium domini mei Eusebii pro verbo veritatis (2), de quo ad nos est renuntiatum, studium: neque tuum eadem de re silentium, domine, tacitum apud nos est. Itaque pro eo atque convenit, de domino quidem meo Eusebio læta-

(1) Collucianistam Eusebium vocat, quasi condiscipulum, qui secum Lucianum presbyterum Antiochenum martyrem, sacras litteras Antiochiæ docentem, audierit.

(2) Eusebium Pamphili Cæsariensem antistitem intelligit.

mur : de te autem dolemus, tanti viri silentio causam nostram damnari existimantes. Quapropter te, qui nosti prudenti viro minime omnium convenire, ut aliena et absurda sentiat veritatemque obticeat, hortor, ut spiritu mentem tuam ad scribendum redintegrante, scribere tandem de rebus iis incipias quæ et tibi et auditoribus futuræ sunt utiles : præcipue, si consentanea Scripturæ, vestigiis verborum et sententiarum ejus insistens, scribere animum induxeris. Neque enim duo ingenita audivimus, neque unum in duo divisum, sed neque corporeum quid perpessioni obnoxium didicimus aut credidimus, domine : verum unum quidem ingenitum : unum vero ab ipso vere, non autem ex substantia ejus factum, prorsus naturæ ingeniti non particeps : neque quod ex substantia ejus sit, sed factum plane sit, aliud natura atque virtute, ad perfectam similitudinem affectionis et virtutis factoris ipsius factum. Cujus principium non verbo tantum inenarrabile, sed neque mente, non dico hominum, sed eorum, quæ supra homines sunt, omnium, comprehensibile esse credimus. Proindeque non nostris ipsorum rationibus freti, sed sacræ Scripturæ auctoritatibus edocti, dicimus, conditum esse et fundatum et genitum substantia, **553** et immutabili atque inenarrabili natura et similitudine ad factorem ipsum, sicuti ipse dicit Dominus : *Deus creavit me in initio viarum ejus, ante omnes colles gignit me* [1]. Si vero ex ipso, hoc est, ab ipso erat, ceu pars ejus, aut ex defluxu substantiæ, non jam creatus neque fundatus esse diceretur : id quod ipse quoque, domine, profecto non ignoras. Quod enim ex ingenito exsistat, conditum jam ab alio, vel a seipso, fundatumve non sit, utpote ab initio ingenitum exsistens. Si vero genitum id esse dicatur, indicium quoddam de se præbeat, veluti ex paterna substantia genitum, et quod eamdem habeat ex eo naturam, scimus quod non de eo solo genitum esse, Scriptura, verum etiam de aliis, illi per omnia natura dissimilibus, loquitur. Nam et de hominibus dicit [2] : *Filios genui et exaltavi, ipsi autem spreverunt me*. Et, *Deum qui genuit te, dereliquisti* [3]. Et in aliis quid dicit? *Qui genuit guttas roris* [4] : non naturam ex natura, sed cujuslibet rei quæ generatur, ex voluntate ejus, generationem deducens. Nihil enim est ex substantia ejus, verum omnia voluntate ejus, pro se quodque, genita sunt, sicuti genita sunt. Atque ille quidem Deus, hæc vero ad similitudinem ejus ratione sua similia futura, et tamen omnia ex Deo. Quæ tu accepta et elaborata, pro ea quæ tibi divinitus adest gratia, ad dominum meum Alexandrum perscribe. Persuasum enim habeo, si ad hominem scripseris, te eum permoturum esse. Saluta omnes in Domino. Valentem te, et pro nobis orantem, divina gratia conservet, domine. »

A μενοι τὴν σιωπὴν ἀνδρὸς τοσούτου ἧτταν ἡμῶν εἶναι. Διὸ παρακαλῶ σε, εἰδότα ὡς ἀπρεπὲς ἀνδρὶ φρονίμῳ ἀλλοῖα φρονεῖν, καὶ σιωπᾶν τἀληθῆ, ἀνασκευάσαντι τῷ πνεύματι τὸν λογισμὸν, περὶ τὸ γράφειν ἄρχου λυσιτελοῦντος καὶ σοὶ καὶ τοῖς ἀκούουσί σου· μάλισθ' ὅταν κατ' ἀκολουθίαν τῆς Γραφῆς καὶ τοῖς ἴχνεσι τῶν λόγων αὐτῆς καὶ τῶν βουλημάτων ἐθέλοις γράφειν. Οὔτε γὰρ δύο ἀγέννητα ἀκηκόαμεν, οὔτε ἓν εἰς δύο διῃρημένον, οὐδὲ σωματικόν τι πεπονθὸς (1) μεμαθήκαμεν ἢ πεπιστεύκαμεν, δέσποτα· ἀλλ' ἓν μὲν τὸ ἀγέννητον· ἓν δὲ τὸ ὑπ' αὐτοῦ ἀληθῶς καὶ ἐκ τῆς οὐσίας αὐτοῦ γεγονὸς, καθόλου τῆς φύσεως τῆς ἀγεννήτου μετέχον, ὡς οὐκ ἂν ἐκ τῆς οὐσίας αὐτοῦ, ἀλλὰ γεγονὸς ὁλοσχερῶς, ἕτερον τῇ φύσει καὶ δυνάμει πρὸς τελείαν B ὁμοιότητα διαθέσεώς τε καὶ δυνάμεως τοῦ πεποιηκότος γενόμενον. Οὗ τὴν ἀρχὴν οὐ λόγῳ μόνον ἀδιήγητον, ἀλλὰ καὶ ἐννοίᾳ, οὐκ ἀνθρώπῳ μόνον, ἀλλὰ καὶ τῶν ὑπὲρ ἀνθρώπους, πάντων εἶναι ἀκατάληπτον πεπιστεύκαμεν· καὶ ταῦτα, οὐχὶ λογισμοὺς ἑαυτῶν ὑποτιθέμενοι, ἀλλ' ἀπὸ τῆς ἁγίας Γραφῆς μεμαθηκότες, λέγομεν κτιστὸν εἶναι, καὶ θεμελιωτὸν, καὶ γεννητὸν τῇ οὐσίᾳ, καὶ τῇ ἀναλλοιώτῳ καὶ ἀῤῥήτῳ φύσει καὶ τῇ ὁμοιότητι πρὸς τὸν πεποιηκότα μεμαθήκαμεν, ὡς αὐτὸς ὁ Κύριός φησιν· *Ὁ Θεὸς ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ· πρὸ δὲ πάντων βουνῶν γεννᾷ με*. Εἰ δὲ ἐξ αὐτοῦ, τοῦτ' ἔστιν, ἀπ' αὐτοῦ ἦν, ὡς ἂν μέρος αὐτοῦ ἢ ἐξ ἀποῤῥοίας τῆς οὐσίας, οὐκ ἂν ἔτι κτιστὸν, οὐδὲ θεμελιωτὸν εἶναι ἐλέγετο· οὐδὲ αὐτὸς ἀγνοεῖς, κύριε, ἀληC θῶς· τὸ γὰρ ἐκ τοῦ ἀγεννήτου ὑπάρχον κτιστὸν ἔτι ὑφ' ἑτέρου ἢ αὐτοῦ, ἢ θεμελιωτὸν, οὐκ ἂν εἴη, ἐξαρχῆς ἀγέννητον ὑπάρχον. Εἰ δὲ τὸ γεννητὸν αὐτοῦ λέγεσθαι ὑπόφασίν (2) τινα παρέχει, ὡς ἂν ἐκ τῆς οὐσίας τῆς πατρικῆς αὐτὸν γεγονότα, καὶ ἔχειν ἐκ τούτου τῆς φύσεως τὴν ταυτότητα, γινώσκομεν ὡς οὐ περὶ αὐτοῦ μόνου τὸ γεννητὸν εἶναί φησιν ἡ Γραφὴ, ἀλλὰ καὶ ἐπὶ τῶν ἀνομοίων αὐτῷ κατὰ πάντα τῇ φύσει. Καὶ γὰρ καὶ ἐπ' ἀνθρώπων φησὶν, *Υἱοὺς ἐγέννησα καὶ ὕψωσα· αὐτοὶ δέ με ἠθέτησαν*· καὶ, *Θεὸν τὸν γεννήσαντά σε ἐγκατέλιπες*. Καὶ ἐν ἑτέροις τί φησιν; *Ὁ τετοκὼς βώλους δρόσου*· οὐ τὴν φύσιν ἐκ τῆς φύσεως διηγούμενος, ἀλλὰ τὴν ἐφ' ἑκάστῳ τῶν γενομένων ἐκ τοῦ βουλήD ματος αὐτοῦ γένεσιν· οὐδὲ γάρ ἐστιν ἐκ τῆς οὐσίας αὐτοῦ· πάντα δὲ βουλήματι αὐτοῦ γενόμενα, ἕκαστον ὡς καὶ ἐγένετο· ὁ μὲν γὰρ Θεὸς, τὰ δὲ πρὸς ὁμοιότητα αὐτοῦ λόγῳ ὅμοια ἐσόμενα· πάντα δὲ ἐκ τοῦ Θεοῦ. Ἅπερ λαβὼν καὶ ἐξεργασάμενος, κατὰ τὴν προσοῦσάν σοι θεόθεν χάριν, γράψαι τῷ δεσπότῃ μου Ἀλεξάνδρῳ σπούδασον. Πεπίστευκα γὰρ ὡς, εἰ γράψεις αὐτῷ, ἐντρέψεις αὐτόν. Πάντας πρόσειπε τοὺς ἐν Κυρίῳ. Ἐῤῥωμένον σε, καὶ ὑπὲρ ἡμῶν εὐχόμενον, ἡ θεία χάρις διαφυλάττοι σε, δέσποτα. »

[1] Prov. VIII, 22. [2] Isa. I, 2. [3] Deut. XXXII, 18. [4] Job. XXXVIII, 28.

(1) Hoc est, diminutionem, decrementum.

(2) Alii habent ὑπόβασιν.

ΚΕΦΑΛ. ΙΑ'.

Περὶ τῶν ὑπὲρ Ἀρείου συνόδων· καὶ περὶ τῆς τὴν οἰκουμένην διαλαβούσης συγχύσεως διὰ τοῦτον.

Τοιαῦτα καὶ οὗτοι ἔγραφον πρὸς τὸν κατὰ τῆς ἀληθείας ὁπλιζόμενοι πόλεμον. Ὡς δὲ πολλὰ γράφοντες ἥκιστα πείθειν τὸν Ἀλέξανδρον εἶχον, χαλεπαίνοντες ἦσαν ὡς ὑβρισμένοι· καὶ σπουδὴν ἐτίθεντο τὸ Ἀρείου κρατῦναι δόγμα. Καὶ δὴ ἐν τῇ Βιθυνῶν τὸ τῆς ἀσεβείας συγκροτήσαντες ἐργαστήριον, τοῖς ἀνὰ τὴν οἰκουμένην οἱ περὶ Εὐσέβιον ἐπισκόποις ἔγραψαν, Ἄρειόν τε καὶ τοὺς μετ' αὐτοῦ κοινωνίας ἀξιοῦν· εἶναι γὰρ αὐτοῖς ἐῤῥωμένην τὴν περὶ τὸ δόγμα δόξαν· καὶ Ἀλέξανδρον δὲ ταυτὸ τοῦτο δρᾶσαι παρασκευάζειν. Ὡς δὲ οὐδὲν ἧττον τὸ σπούδασμα παρὰ γνώμην ἐξέβαινεν, B Ἀλεξάνδρου τοῖς ἅπαξ κατ' Ἀρείου δεδογμένοις ἐμμένοντος, ἀπειπὼν Ἄρειος, πρεσβείαν ἔστελλε Παυλίνῳ τε καὶ Εὐσεβίῳ τῷ Παμφίλου, καὶ Πατροφίλῳ τῷ Σκυθοπόλεως, καὶ περὶ ἐκείνους συστήματι, ἐπιτετράφθαι οἱ καὶ τοῖς ἀμφ' αὐτὸν, τὸν περὶ αὐτὸν ὡς πρότερον ἐκκλησιάζειν λαὸν, οἷα δὴ καὶ τὴν τῶν πρεσβυτέρων τάξιν ἐκ πολλοῦ ἔχοντα, ἔθους ἐκ παλαιοῦ κρατήσαντος ἕνα μὲν εἶναι τὸν κατὰ πάντων ἐπίσκοπον, τοὺς δὲ πρεσβυτέρους ἰδίας τὰς ἐκκλησίας ἔχειν, καὶ τὸν λαὸν ἐκεῖσε συνάγοντας ἐκδιδάσκειν. Οἱ δὲ δέχονται τὴν πρεσβείαν· καὶ ἐν Παλαιστίνῃ μεθ' ἑτέρων γενόμενοι, τὴν Ἀρείου αἴτησιν ἐκπληροῦσιν, ἐγγράφως διαταξάμενοι συνάγειν μὲν ὡς πρότερον Ἄρειον, Ἀλεξάνδρῳ γε μὴν ὑποκεῖσθαι· C δεῖσθαι δὲ καὶ ἀντιβολεῖν τῆς ἐκείνου κατατυγχάνειν εἰρήνης τε καὶ ἑνώσεως. Καὶ ἄλλη δ' ἐν Αἰγύπτῳ σύνοδος ὑπὲρ τούτων συνίστατο. Συνέπραττε δὲ αὐτῷ καὶ Μελίτιος καὶ οἱ περὶ αὐτὸν, οἱ τῆς Ἐκκλησίας πρὸ βραχέος σχισθέντες, καὶ τὰ μέγιστα συνελαμβάνοντο, ἅτε δὴ καὶ οὗτοι κακῶς πρὸς Ἀλέξανδρον διακείμενοι. Τίς δὲ ὁ Μελίτιος οὗτος φθάνομεν εἰρηκότες. Τοῖς δὲ κατ' Αἴγυπτον καὶ ταῖς ἁπανταχοῦ ἐκκλησίαις διασπαρείσης τῆς αἱρέσεως, ἔρις ἐν ἑκάστοις ἄμαχος ἀνηγείρετο. Ὁ δὲ κοινὸς ὄχλος κρίνων ἦν τὰ τοιαῦτα· καὶ ἐπ' ἀγορᾶς προὔκειντο, τῶν μὲν τοῖσδε, τῶν δ' ἐκείνοις προστιθεμένων καὶ ἐπικλινομένων. Τραγῳδία τε καὶ γέλως ἄντικρυς τὰ δρώμενα ἦσαν. Οὐ γὰρ ἀλλόγλωσσοι ταῖς ἐκκλησίαις ἐπεστράτευον, ἀλλ' ὁμοδίαιτοι καὶ D ὁμόφυλοι κατ' ἀλλήλων ὡπλίζοντο, ταῖς γλώσσαις οἷα δόρασι χρώμενοι· καὶ ὑπ' ἀλλήλων κατησθίοντο ἕκαστοι. Εἰς τοσοῦτον δ' ἀτοπίας προέβη τὸ πρᾶγμα, ὡς δημοσίᾳ ἐν καταγέλωτι τὰ τοῦ Χριστιανισμοῦ ἐκκεῖσθαι. Νεανικῶς γὰρ διαπληκτιζόμενοι, πρέσβεις ἔστελλον, ὁποῖον τῶν μερῶν μείζονα περιαθροίσει τὸν σύλλογον. Γράμματα δ' ἐναντία παρ' ἑκάστοις ἐπέμποντο, ὡς πλεῖστα καὶ Ἀλέξανδρον καὶ Ἄρειον ταῖς σφετέραις δόξαις συναγαγεῖν· ὡς ἐξ ἐκείνων καὶ τὰς ἑξῆς αἱρέσεις Ἀρειανῶν, Εὐνομιανῶν, καὶ ὅσων ἄλλων, τὴν πρόφασιν τῆς συστάσεως ἐσχηκέναι.

CAPUT XI.

De synodis pro Ario coactis, et de turba et confusione quæ orbem propter Arium invasit.

Talia et isti scripserunt, adversus veritatem bellum instituentes. Postquam autem diu multumque scribentes, persuadere Alexandro quod volebant non potuere, perinde atque injuria affecti essent, ægre id ferentes, magno studio in hoc incubuere ut Arii dogma obtineret. Et in Bithyniæ primaria urbe, impietatis instituta officina, Eusebius ad plerosque orbis Christiani episcopos litteras dedit, ut Arium sectatoresque ejus ad communionem admitterent. Sic enim futurum, ut ingentem de dogmate consequerentur gloriam, et Alexandro, ut idem faceret, auctores fierent. **554** Ut vero nihilo magis cœptum eorum ex sententia processit, quod Alexander in eis quæ semel decrevisset, constanter perseveraret, desperata ea re Arius internuntios ad Paulinum, et Eusebium Pamphili, et Patrophilum Scythopolitanum, et ad illorum collegium misit, ut sibi sectatoribusque suis populi sui in ecclesia cogendi, sicuti antea fecissent, potestas fieret, petens: quippe qui longo ipse jam tempore ordinem locumque suum inter presbyteros haberet, et ex consuetudine antiqua unus quidem omnibus præesset episcopus, presbyteri autem suas ipsi regerent ecclesias, atque in eis populum congregatum pro concione docerent. Illi, legationem hominis suscipiunt, et cum aliis in Palæstina convenientes, petitionemque ejus adimplentes, decretum in scriptum referunt: Arium quidem, ut antea, conventus cogere posse: Alexandro autem subditum esse, deprecarique et supplicare ei, quo in gratiam unionemque ejus pervenire posset, debere. Sed et alia quoque in Ægypto synodus hac de re acta. Ario Melitius etiam sectatoresque ejusdem faverunt, eumque maxime juverunt: qui et ipsi non ita pridem ab Ecclesia desciverant, et male erga Alexandrum animati erant. Quis autem Melitius iste fuerit, jam antea diximus. Cæterum hæresi hac per Ægyptum et alibi passim in ecclesiis vulgata, dissidium ubique implacabile excitatum est. Et vulgus judicium earum rerum sibi sumebat. Agebatur de his publice in foro, aliis ad hanc, aliis ad illam partem animi affectione inclinantibus. Eaque rerum facies risum prorsus tragicumque præbebat spectaculum. Siquidem non peregrini et advenæ Ecclesias oppugnabant, sed cives ac tribules quotidiana consuetudine inter se conjuncti, bellum intestinum gerebant, linguis pro hastis utentes, et seipsos invicem mordentes. In eam sane indignitatem res evasit, ut publice Christianismus ad locum et ludibrium omnibus expositus esset. Juveniliter namque inter se decertantes, legationes circummittebant, utra pars majorem ad se pertraheret hominum frequentiam. Et quamplurimæ epistolæ, inter se contrariæ, passim mittebantur ab eis qui vel Alexandrum vel Arium opinionibus suis assentiri cupiebant. **555** Unde deinceps, quæ secutæ sunt hæreses Arianorum, Eunomianorum, *et si quæ sunt aliæ*, dissidii et conflictationis occasionem sumpsere.

mur : de te autem dolemus, tanti viri silentio causam nostram damnari existimantes. Quapropter te, qui nosti prudenti viro minime omnium convenire, ut aliena et absurda sentiat veritatemque obticeat, hortor, ut spiritu mentem tuam ad scribendum redintegrante, scribere tandem de rebus iis incipias quæ et tibi et auditoribus futuræ sunt utiles : præcipue, si consentanea Scripturæ, vestigiis verborum et sententiarum ejus insistens, scribere animum induxeris. Neque enim duo ingenita audivimus, neque unum in duo divisum, sed neque corporeum quid perpessioni obnoxium didicimus aut credidimus, domine : verum unum quidem ingenitum : unum vero ab ipso vere, non autem ex substantia ejus factum, prorsus naturæ ingeniti non particeps : neque quod ex substantia ejus sit, sed factum plane sit, aliud natura atque virtute, ad perfectam similitudinem affectionis et virtutis factoris ipsius factum. Cujus principium non verbo tantum inenarrabile, sed neque mente, non dico hominum, sed eorum, quæ supra homines sunt, omnium, comprehensibile esse credimus. Proindeque non nostris ipsorum rationibus freti, sed sacræ Scripturæ auctoritatibus edocti, dicimus, conditum esse et fundatum et genitum substantia, **553** et immutabili atque inenarrabili natura et similitudine ad factorem ipsum, sicuti ipse dicit Dominus : *Deus creavit me in initio viarum ejus, ante omnes colles gignit me* [1]. Si vero ex ipso, hoc est, ab ipso erat, ceu pars ejus, aut ex defluxu substantiæ, non jam creatus neque fundatus esse diceretur : id quod ipse quoque, domine, profecto non ignoras. Quod enim ex ingenito exsistat, conditum jam ab alio, vel a seipso, fundatumve non sit, utpote ab initio ingenitum exsistens. Si vero genitum id esse dicatur, indicium quoddam de se præbeat, veluti ex paterna substantia genitum, et quod eamdem habeat ex eo naturam, scimus quod non de eo solo genitum esse, Scriptura, verum etiam de aliis, illi per omnia natura dissimilibus, loquitur. Nam et de hominibus dicit [2] : *Filios genui et exaltavi, ipsi autem spreverunt me.* Et, *Deum qui genuit te, dereliquisti* [3]. Et in aliis quid dicit ? *Qui genuit guttas roris* [4] : non naturam ex natura, sed cujuslibet rei quæ generatur, ex voluntate ejus, generationem deducens. Nihil enim est ex substantia ejus, verum omnia voluntate ejus, pro se quodque, genita sunt, sicuti genita sunt. Atque ille quidem Deus, hæc vero ad similitudinem ejus ratione sua similia futura, et tamen omnia ex Deo. Quæ tu accepta et elaborata, pro ea quæ tibi divinitus adest gratia, ad dominum meum Alexandrum perscribe. Persuasum enim habeo, si ad hominem scripseris, te eum permoturum esse. Saluta omnes in Domino. Valentem te, et pro nobis orantem, divina gratia conservet, domine. »

A μενοι τὴν σιωπὴν ἀνδρὸς τοσούτου ἧττας ἡμῶν εἶναι. Διὸ παρακαλῶ σε, εἰδότα ὡς ἀπρεπὲς ἀνδρὶ φρονίμῳ ἀλλοῖα φρονεῖν, καὶ σιωπᾷν τἀληθῆ, ἀνασκευάσαντι τῷ πνεύματι τὸν λογισμὸν, περὶ τὸ γράφειν ἄρχου λυσιτελοῦντα· καὶ σοὶ καὶ τοῖς ἀκούουσί σου· μάλισθ' ὅταν κατ' ἀκολουθίαν τῆς Γραφῆς καὶ τοῖς ἴχνεσι τῶν λόγων αὐτῆς καὶ τῶν βουλημάτων ἐθέλοις γράφειν. Οὔτε γὰρ δύο ἀγέννητα ἀκηκόαμεν, οὔτε ἓν εἰς δύο διῃρημένον, οὐδὲ σωματικόν τι πεπονθὸς (1) μεμαθήκαμεν ἢ πεπιστεύκαμεν, δέσποτα· ἀλλ' ἓν μὲν τὸ ἀγέννητον· ἓν δὲ τὸ ὑπ' αὐτοῦ ἀληθῶς καὶ ἐκ τῆς οὐσίας αὐτοῦ γεγονὸς, καθόλου τῆς φύσεως τῆς ἀγεννήτου μετέχον, ὡς οὐκ ἂν ἐκ τῆς οὐσίας αὐτοῦ, ἀλλὰ γεγονὸς ὁλοσχερῶς, ἕτερον τῇ φύσει καὶ δυνάμει πρὸς τελείαν B ὁμοιότητα διαθέσεώς τε καὶ δυνάμεως τοῦ πεποιηκότος γενόμενον. Οὗ τὴν ἀρχὴν οὐ λόγῳ μόνον ἀδιήγητον, ἀλλὰ καὶ ἐννοίᾳ, οὐκ ἀνθρώπῳ μόνον, ἀλλὰ καὶ τῶν ὑπὲρ ἀνθρώπους, πάντων εἶναι ἀκατάληπτον πεπιστεύκαμεν· καὶ ταῦτα, οὐχὶ λογισμοὺς ἑαυτῶν ὑποτιθέμενοι, ἀλλ' ἀπὸ τῆς ἁγίας Γραφῆς μεμαθηκότες, λέγομεν κτιστὸν εἶναι, καὶ θεμελιωτὸν, καὶ γεννητὸν τῇ οὐσίᾳ, καὶ τῇ ἀναλλοιώτῳ καὶ ἀῤῥήτῳ φύσει καὶ τῇ ὁμοιότητι πρὸς τὸν πεποιηκότα μεμαθήκαμεν, ὡς αὐτὸς ὁ Κύριός φησιν· *Ὁ Θεὸς ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ· πρὸ δὲ πάντων βουνῶν γεννᾷ με.* Εἰ δὲ ἐξ αὐτοῦ, τοῦτ' ἔστιν, ἀπ' αὐτοῦ ἦν, ὡς ἂν μέρος αὐτοῦ ἢ ἐξ ἀποῤῥοίας τῆς οὐσίας, οὐκ ἂν ἔτι κτιστὸν, οὐδὲ θεμελιωτὸν εἶναι ἐλέγετο· οὐδὲ αὐτὸς ἀγνοεῖς, κύριε, ἀλη- C θῶς· τὸ γὰρ ἐκ τοῦ ἀγεννήτου ὑπάρχον κτιστὸν ἔτι ὑφ' ἑτέρου ἢ αὐτοῦ, ἢ θεμελιωτὸν, οὐκ ἂν εἴη, ἐξαρχῆς ἀγέννητον ὑπάρχον. Εἰ δὲ τὸ γεννητὸν αὐτοῦ λέγεσθαι ὑπόφασίν (2) τινα παρέχει, ὡς ἂν ἐκ τῆς οὐσίας τῆς πατρικῆς αὐτὸν γεγονότα, καὶ ἔχειν ἐκ τούτου τῆς φύσεως τὴν ταυτότητα, γινώσκομεν ὡς οὐ περὶ αὐτοῦ μόνου τὸ γεννητὸν εἶναί φησιν ἡ Γραφὴ, ἀλλὰ καὶ ἐπὶ τῶν ἀνομοίων αὐτῷ κατὰ πάντα τῇ φύσει. Καὶ γὰρ καὶ ἐπ' ἀνθρώπων φησὶν, *Υἱοὺς ἐγέννησα καὶ ὕψωσα· αὐτοὶ δέ με ἠθέτησαν·* καὶ, *Θεὸν τὸν γεννήσαντά σε ἐγκατέλιπες.* Καὶ ἐν ἑτέροις τί φησιν; *Ὁ τετοκὼς βώλους δρόσου·* οὐ τὴν φύσιν ἐκ τῆς φύσεως διηγούμενος, ἀλλὰ τὴν ἐφ' ἑκάστῳ τῶν γενομένων ἐκ τοῦ βουλή- D ματος αὐτοῦ γένεσιν· οὐδὲ γάρ ἐστιν ἐκ τῆς οὐσίας αὐτοῦ· πάντα δὲ βουλήματι αὐτοῦ γενόμενα, ἕκαστον ὡς καὶ ἐγένετο· ὁ μὲν γὰρ Θεὸς, τὰ δὲ πρὸς ὁμοιότητα αὐτοῦ λόγῳ ὅμοια ἐσόμενα· πάντα δὲ ἐκ τοῦ Θεοῦ. Ἅπερ λαβὼν καὶ ἐξεργασάμενος, κατὰ τὴν προσοῦσάν σοι θεόθεν χάριν, γράψαι τῷ δεσπότῃ μου Ἀλεξάνδρῳ σπούδασον. Πεπίστευκα γὰρ ὡς, εἰ γράψεις αὐτῷ, ἐντρέψεις αὐτόν. Πάντας πρόσειπε τοὺς ἐν Κυρίῳ. Ἐῤῥωμένον σε, καὶ ὑπὲρ ἡμῶν εὐχόμενον, ἡ θεία χάρις διαφυλάττοι σε, δέσποτα. »

[1] Prov. VIII, 22. [2] Isa. I, 2. [3] Deut. XXXII, 18. [4] Job. XXXVIII, 28.

(1) Hoc est, diminutionem, decrementum.

(2) Alii habent ὑπόβασιν.

ΚΕΦΑΛ. ΙΑ'.

A

Περὶ τῶν ὑπὲρ Ἀρείου συνόδων· καὶ περὶ τῆς τὴν οἰκουμένην διαλαβούσης συγχύσεως διὰ τοῦτον.

Τοιαῦτα καὶ οὗτοι ἔγραφον πρὸς τὸν κατὰ τῆς ἀληθείας ὁπλιζόμενοι πόλεμον. Ὡς δὲ πολλὰ γράφοντες ἥκιστα πείθειν τὸν Ἀλέξανδρον εἶχον, χαλεπαίνοντες ἦσαν ὡς ὑβρισμένοι· καὶ σπουδὴν ἐτίθεντο τὸ Ἀρείου κρατῦναι δόγμα. Καὶ δὴ ἐν τῇ Βιθυνῶν τὸ τῆς ἀσεβείας συγκροτήσαντες ἐργαστήριον, τοῖς ἀνὰ τὴν οἰκουμένην οἱ περὶ Εὐσέβιον ἐπισκόποις ἔγραψαν, Ἀρειόν τε καὶ τοὺς μετ' αὐτοῦ κοινωνίας ἀξιοῦν· εἶναι γὰρ αὐτοῖς ἐῤῥωμένην τὴν περὶ τὸ δόγμα δόξαν· καὶ Ἀλέξανδρον δὲ ταυτὸ τοῦτο δρᾶσαι παρασκευάζειν. Ὡς δὲ οὐδὲν ἧττον τὸ σπούδασμα παρὰ γνώμην ἐξέβαινεν, Ἀλεξάνδρου τοῖς B ἅπαξ κατ' Ἀρείου δεδογμένοις ἐμμένοντος, ἀπειπὼν Ἄρειος, πρεσβείαν ἔστελλε Παυλίνῳ τε καὶ Εὐσεβίῳ τῷ Παμφίλου, καὶ Πατροφίλῳ τῷ Σκυθοπόλεως, καὶ περὶ ἐκείνους συστήματι, ἐπιτετράφθαι οἱ καὶ τοῖς ἀμφ' αὐτὸν, τὸν περὶ αὐτὸν ὡς πρότερον ἐκκλησιάζειν λαὸν, οἷα δὴ καὶ τὴν τῶν πρεσβυτέρων τάξιν ἐκ πολλοῦ ἔχοντα, ἔθους ἐκ παλαιοῦ κρατήσαντος ἕνα μὲν εἶναι τὸν κατὰ πάντων ἐπίσκοπον, τοὺς δὲ πρεσβυτέρους ἰδίας τὰς ἐκκλησίας ἔχειν, καὶ τὸν λαὸν ἐκεῖσε συνάγοντας ἐκδιδάσκειν. Οἱ δὲ δέχονται τὴν πρεσβείαν· καὶ ἐν Παλαιστίνῃ μεθ' ἑτέρων γενόμενοι, τὴν Ἀρείου αἴτησιν ἐκπληροῦσιν, ἐγγράφως διαταξάμενοι συνάγειν μὲν ὡς πρότερον Ἄρειον, Ἀλεξάνδρῳ γε μὴν ὑποκεῖσθαι· C δεῖσθαι δὲ καὶ ἀντιβολεῖν τῆς ἐκείνου κατατυγχάνειν εἰρήνης τε καὶ ἑνώσεως. Καὶ ἄλλη δ' ἐν Αἰγύπτῳ σύνοδος ὑπὲρ τούτων συνίστατο. Συνέπραττε δὲ αὐτῷ καὶ Μελίτιος καὶ οἱ περὶ αὐτὸν, οἱ τῆς Ἐκκλησίας πρὸ βραχέος σχισθέντες, καὶ τὰ μέγιστα συνελαμβάνοντο, ἅτε δὴ καὶ οὗτοι κακῶς πρὸς Ἀλέξανδρον διακείμενοι. Τίς δὲ ὁ Μελίτιος οὗτος φθάνομεν εἰρηκότες. Τοῖς δὲ κατ' Αἴγυπτον καὶ ταῖς ἁπανταχοῦ ἐκκλησίαις διασπαρείσης τῆς αἱρέσεως, ἔρις ἐν ἑκάστοις ἄμαχος ἀνηγείρετο. Ὁ δὲ κοινὸς ὄχλος κρίνων ἦν τὰ τοιαῦτα· καὶ ἐπ' ἀγορᾶς προὔκειντο, τῶν μὲν τοῖσδε, τῶν δ' ἐκείνοις προστιθεμένων καὶ ἐπικλινομένων. Τραγῳδία τε καὶ γέλως ἄντικρυς τὰ δρώμενα ἦσαν. Οὐ γὰρ ἀλλόγλωσσοι ταῖς ἐκκλησίαις ἐπεστράτευον, ἀλλ' ὁμοδίαιτοι καὶ D ὁμόφυλοι κατ' ἀλλήλων ὡπλίζοντο, ταῖς γλώσσαις οἷα δόρασι χρώμενοι· καὶ ὑπ' ἀλλήλων κατησθίοντο ἕκαστοι. Εἰς τοσοῦτον δ' ἀτοπίας προέβη τὸ πρᾶγμα, ὡς δημοσίᾳ ἐν καταγέλωτι τὰ τοῦ Χριστιανισμοῦ ἐκκεῖσθαι. Νεανικῶς γὰρ διαπληκτιζόμενοι, πρέσβεις ἔστελλον, ὁποῖον τῶν μερῶν μείζονα περιαθροίσει τὸν σύλλογον. Γράμματα δ' ἐναντία παρ' ἑκάστοις ἐπέμποντο. ὡς πλεῖστα καὶ Ἀλέξανδρον καὶ Ἄρειον ταῖς σφετέραις δόξαις συναγαγεῖν· ὡς ἐξ ἐκείνων καὶ τὰς ἑξῆς αἱρέσεις Ἀρειανῶν, Εὐνομιανῶν, καὶ ὅσων ἄλλων, τὴν πρόφασιν τῆς συστάσεως ἐσχηκέναι.

CAPUT XI.

De synodis pro Ario coactis, et de turba et confusione quæ orbem propter Arium invasit.

Talia et isti scripserunt, adversus veritatem bellum instituentes. Postquam autem diu multumque scribentes, persuadere Alexandro quod volebant non potuere, perinde atque injuria affecti essent, ægre id ferentes, magno studio in hoc incubuere ut Arii dogma obtineret. Et in Bithyniæ primaria urbe, impietatis instituta officina, Eusebius ad plerosque orbis Christiani episcopos litteras dedit, ut Arium sectatoresque ejus ad communionem admitterent. Sic enim futurum, ut ingentem de dogmate consequerentur gloriam, et Alexandro, ut idem faceret, auctores fierent. **554** Ut vero nihilo magis cœptum eorum ex sententia processit, quod Alexander in eis quæ semel decrevisset, constanter perseveraret, desperata ea re Arius internuntios ad Paulinum, et Eusebium Pamphili, et Patrophilum Scythopolitanum, et ad illorum collegium misit, ut sibi sectatoribusque suis populi sui in ecclesia cogendi, sicuti antea fecissent, potestas fieret, petens: quippe qui longo ipse jam tempore ordinem locumque suum inter presbyteros haberet, et ex consuetudine antiqua unus quidem omnibus præesset episcopus, presbyteri autem suas ipsi regerent ecclesias, atque in eis populum congregatum pro concione docerent. Illi, legationem hominis suscipiunt, et cum aliis in Palæstina convenientes, petitionemque ejus adimplentes, decretum in scriptum referunt: Arium quidem, ut antea, conventus cogere posse: Alexandro autem subditum esse, deprecarique et supplicare ei, quo in gratiam unionemque ejus pervenire posset, debere. Sed et alia quoque in Ægypto synodus hac de re acta. Ario Melitius etiam sectatoresque ejusdem faverunt, eumque maxime juverunt: qui et ipsi non ita pridem ab Ecclesia desciverant, et male erga Alexandrum animati erant. Quis autem Melitius iste fuerit, jam antea diximus. Cæterum hæresi hac per Ægyptum et alibi passim in ecclesiis vulgata, dissidium ubique implacabile excitatum est. Et vulgus judicium earum rerum sibi sumebat. Agebatur de his publice in foro, aliis ad hanc, aliis ad illam partem animi affectione inclinantibus. Eaque rerum facies risum prorsus tragicumque præbebat spectaculum. Siquidem non peregrini et advenæ Ecclesias oppugnabant, sed cives ac tribules quotidiana consuetudine inter se conjuncti, bellum intestinum gerebant, linguis pro hastis utentes, et seipsos invicem mordentes. In eam sane indignitatem res evasit, ut publice Christianismus ad locum et ludibrium omnibus expositus esset. Juveniliter namque inter se decertantes, legationes circummittebant, utra pars majorem ad se pertraheret hominum frequentiam. Et quamplurimæ epistolæ, inter se contrariæ, passim mittebantur ab eis qui vel Alexandrum vel Arium opinionibus suis assentiri cupiebant. **555** Unde deinceps, quæ secutæ sunt hæreses Arianorum, Eunomianorum, et si quæ sunt aliæ, dissidii et conflictationis occasionem sumpsere.

CAPUT XII.

Ut Constantinus audita Ecclesiæ contentione, Hosium Hispanum in Orientem miserit, ad concordiam inter dissidentes conciliandam.

Quæ contentio cum ad imperatoris quoque aulam pervenisset, non mediocriter, ea audita, laudatissimus permotus est atque indoluit princeps. Et gravi in animo concepto mœrore, propriam eam reputavit esse calamitatem. Confestim ergo flammam accensam exstinguere, et quam celerrime malorum fontem obturare studuit. Verebatur enim, quod nuper admodum religio vigere cœpisset, multos ejusmodi opinionum dissensione adductos, fidem aversaturos esse. Itaque litteris scriptis, et Arium et Alexandrum objurgans, vitio eis vertit quod, quæ latere potuerit, quæstionem in medium attulerint : et nimia ad contendendum inclinatione, ea perperam vulgarint, quæ neque movere, neque prorsus in animum admittere, aut certe, si admisissent, silentio tegere, neque ita inter sese dissidere, quamvis illis tum de dogmate non conveniret, debuissent. Omnium quippe maxime necessarium unum esse putavit, ut de divina providentia consentiamus, et omnes eamdem fidem servemus. Exquisite vero de ejusmodi rebus inquirere, secundarum esse partium. Quod si ambiguæ emergerent sententiæ, rectius eas in recessibus mentis tanquam in umbra, regi. Quapropter ut a talibus contentionis nugis alienissimi, idem sentirent, eos est cohortatus : ægre sibi esse quam maxime testatus, homines tales et urbes Orientales, quamvis usu publico id flagitante, ipsamque adeo Alexandriam, tanto sibi ejus dissidii impedimento objecto, visere.

A

ΚΕΦΑΛ. ΙΒ'.

Ὡς ἀκούσας τὴν τῆς Ἐκκλησίας ἔριν ὁ Κωνσταντῖνος, Ὅσιον τὸν Ἰσπανὸν εἰς τὴν ἕω ἀπέστειλεν εἰς διαλλαγὰς χωρῆσαι τοῖς στασιάζουσιν.

Ἐπεὶ δὲ ἡ ἔρις ἄχρι καὶ τῶν βασιλείων ἐφοίτα, οὐ μετρίως ἐδυσφόρησε διακούσας ὁ πανεύφημος βασιλεύς. Περιαλγὴς δὲ τὴν ψυχὴν γενόμενος, οἰκείαν ἐλογίσατο συμφοράν· καὶ παραχρῆμα σβέσαι τὴν ἀναπτομένην φλόγα σπουδὴν ἐποιεῖτο, καὶ τὴν τῶν κακῶν ὡς τάχος ἐμφράξαι πηγήν. Καὶ γὰρ ᾤετο προσφάτως ἤδη τῆς θρησκείας αὔξειν ἀρχομένης, πολλοὺς τῇ διαφωνίᾳ τῆς δόξης ἀποστραφῆναι τὴν πίστιν· καὶ γράφων, ἐν αἰτίαις ἐτίθει καὶ Ἄρειον καὶ Ἀλέξανδρον, ἐγκαλῶν, οἷς δυναμένην λαθεῖν B ζήτησιν ἦγον εἰς μέσον· καὶ τῇ ἄγαν τοῦ φιλονεικεῖν μετακλίσει, παράγειν ἃ μήτε κινεῖν ἔδει, μήτε τὴν ἀρχὴν ἐνθυμεῖσθαι· καὶ ἐνθυμηθέντας, σιωπῇ κρύπτειν· μηδ' οὕτως ἀλλήλων ἀποδιίστασθαι, εἰ καὶ τέως περί τε τοῦ δόγματος διαφέρονται. Τὸ γὰρ ἀναγκαῖον ἓν εἶναι, περὶ τῆς θείας προνοίας συμφωνεῖν πάντας, καὶ τὴν αὐτὴν τηρεῖν πίστιν. Τὸ δ' ἀκριβολογεῖν περὶ τῶν τοιούτων ἐν δευτέρῳ τίθεσθαι. Εἰ δὲ καὶ ἀμφίβολοι γένοιντο γνῶμαι, ἐν ἀπορρήτῳ τῆς διανοίας ἐπηλυγάζειν. Διά τοι καὶ τῆς περὶ τὰ τοιαῦτα λέσχης ὡς πορρωτέρω γενομένους, τὰ ἴσα φρονεῖν ὑπετίθει· ἄχθεσθαι γὰρ τοῖς τοιούτοις ὡς πλεῖστον· καί γε προὔργου τιθέμενον καὶ τὰς κατὰ τὴν ἕω πόλεις ἰδεῖν καὶ αὐτὴν Ἀλεξάνδρειαν τὴν τοιαύτην ἔριν καθίστασθαι ἐμποC δών.

Talia quædam objurgatione et suasione temperata, Alexandro et Ario sapientissimus scripsit imperator. Graviter etiam admodum tulit, quod audisset, quosdam in Oriente festum Paschæ diem non eodem tempore quo reliquos omnes Christianos, celebrare : eosque cum singulare quiddam sibi usurpare, atque a destinato receptæ ab aliis consuetudinis instituto recedere, tum ferias eas Judaico quodam more peragere : quapropter fieret ut tam lætus et festus Christianorum conventus obscuraretur, et dissensione depravaretur. Itaque consentientem statum Ecclesiis conciliare volens,
556 utraque in re inhibere mali currentem impetum, priusquam latius ad plures perveniret, et seditionem ad concordiam reducere studuit. Ejus rei gratia, virum et vita et doctrina insigni præditum, qui cum aliis in rebus præclarus esset, tum in tuenda fidei professione paulo antea magnam sibi gloriam comparasset, quique in maxima apud imperatorem veneratione et honore præcipuo esset, nomine Hosium, civitatis Cordubæ in Hispania episcopum, ex omnibus familiaribus suis delectum, cum litteris ad eos qui in Ægypto inter se dissidebant conciliandos et ad concordiam reducendos : et item ad eos qui in Oriente Ecclesiis aliis se *Paschali* die celebrando non accommodabant, ad

Τοιαῦτα δή τινα σύμμικτα μέμψει καὶ συμβουλῇ Ἀλεξάνδρῳ καὶ Ἀρείῳ ὁ πάνσοφος ἔγραφε βασιλεύς. Λίαν δὲ χαλεπῶς ἔφερε πυνθανόμενος, καί τινας κατὰ τὴν ἕω τὴν τοῦ Πάσχα ἑορτὴν μὴ ἐπὶ μιᾶς ἄγειν ἡμέρας, ὡς τοὺς ἄλλους ἅπαντας Χριστιανούς· διαφόρους δ' ἐντεῦθεν καθίστασθαι· καὶ τῷ ἀκοινωνήτῳ μὲν μὴ διίστασθαι, ἅτε δὲ Ἰουδαϊκώτερον ἐπιτελοῦντας αὐτὸ, συμβαίνειν τὸ φαιδρὸν τῆς πανηγύρεως ἀμαυροῦσθαι τῇ διχονοίᾳ καὶ καταβλάπτεσθαι. Καί γε τὸ ἀστασίαστον τῇ Ἐκκλησίᾳ πραγματευόμενος, ἐσπούδασε δι' ἀμφότερα προκαταλαβεῖν τὴν τοῦ κακοῦ ῥύμην, πρὶν εἰς πολλοὺς διαβῇ, καὶ τὸ στασιάζον συναγαγεῖν εἰς ὁμόνοιαν. Καὶ δή τινα τῶν ἀμφ' αὐτὸν βίῳ τε καὶ λόγῳ D διάσημον ἄνδρα εὑρών· διαβόητον μὲν κἀν τοῖς ἄλλοις, κἀν ταῖς ὑπὲρ τῆς πίστεως ὁμολογίαις μικρῷ πρόσθεν εὐδοκιμήσαντα· δι' αἰδοῦς δὲ καὶ ὅτι πλείστης ἦγε τιμῆς τοῦτον ὁ βασιλεύς· ὄνομα δ' ἐκείνῳ Ὅσιος ἦν· μιᾶς δὲ τῶν ἐν Ἰσπανίᾳ πόλεων τὴν ἐπισκοπὴν ἐκληροῦτο· Κουρδούβη δὲ ἐκαλεῖτο· τοῦτον μετὰ γραμμάτων τοῖς ἐν Αἰγύπτῳ στασιάζουσιν ἔπεμπε, καταλλάξαι τε καὶ εἰς ὁμόνοιαν ἀγαγεῖν· ἔτι δὲ καὶ τοῖς περὶ τὴν ἑορτὴν διαφερομένοις κατὰ τὴν ἕω τὴν συμφωνίαν βραβεῦσαι. Μέρος δὲ ὧν ἐπεφέρετο γραμμάτων, οὐκ ἂν δι' ὄχλου γένοιτο, εἴ γε τῇ συγγραφῇ παραθείημεν· τὸ γὰρ

πλῆρες Εὐσέβιος ἐν τῷ τρίτῳ τῶν πρὸς Κωνσταντῖνον βιβλίων ἀνέγραψεν. Ἔχει δὲ οὕτω·

A consentientes nobiscum cæremonias pertrahendos, misit. Litterarum earum partem aliquam non incommodum fuerit hoc loco inserere. Epistolam enim totam Eusebius libro tertio eorum quos de Constantino scripsit, de verbo ad verbum retulit. Cujus capita quædam sic habent:

ΚΕΦΑΛ. ΙΓ'.

Ἐπιστολὴ τοῦ θεοφιλοῦς βασιλέως, Ἀλεξάνδρῳ καὶ Ἀρείῳ πεμφθεῖσα.

« Νικητὴς Κωνσταντῖνος, μέγιστος, σεβαστὸς, Ἀλεξάνδρῳ καὶ Ἀρείῳ. Μανθάνω ἐκεῖθεν ὑπῆρχθαι τοῦ παρόντος ζητήματος τὴν καταβολήν. Ὅταν γὰρ σὺ, ὦ Ἀλέξανδρε, ἐζήτεις παρὰ τῶν πρεσβυτέρων μαθεῖν, τί δή ποτε νοεῖ ἕκαστος αὐτῶν ὑπέρ τινος τόπου τῶν ἐν νόμῳ γεγραμμένων· μᾶλλον δὲ ὑπέρ τινος ματαίου ζητήματος μέρους πυνθάνοιο· σύ τε, ὦ Ἄρειε, ὅπερ ἢ μήτε τὴν ἀρχὴν ἐνθυμηθῆναι, ἢ ἐνθυμηθέντα σιωπῇ παραδοῦναι προσῆκον ἦν, ἀπροόπτως ἐντέθεικας, τῆς ἐν ὑμῖν διχονοίας ἐγερθείσης, ἡ μὲν σύνοδος ἠρνήθη· ὁ δὲ ἁγιώτατος λαὸς εἰς ἀμφοτέρους σχισθεὶς, ἐκ τῆς τοῦ κοινοῦ σώματος ἁρμονίας ἐχωρίσθη· οὐκοῦν ἑκάτερος ὑμῶν ἐξ ἴσου τὴν γνώμην παρασχὼν, ὅπερ ἂν ὁ συνθεράπων ὑμῶν δικαίως παραινῇ, δέξασθε. Τί δὲ τοῦτό ἐστιν, οὔτε ἐρωτᾷν ὑπὲρ τῶν τοιούτων ἐξαρχῆς προσῆκον ἦν, οὔτε ἐρωτώμενον ἀποκρίνασθαι. Τὰς γὰρ τοιαύτας ζητήσεις, ὁπόσας οὐ νόμου τινὸς ἀνάγκη προστάττει, ἀλλ' ἀνωφελοῦς ἀργίας ἐρεσχελία προστίθησιν, εἰ καὶ φυσικῆς τινος γυμνασίας γένοιτο ἕνεκα, ὅμως ὀφείλομεν εἴσω τῆς διανοίας ἐγκλείειν, καὶ μὴ προχείρως εἰς δημοσίας συνόδους ἐκφέρειν, μηδὲ ταῖς πάντων ἀκοαῖς ἀπρονοήτως πιστεύειν. Πόσος γάρ ἐστιν ἕκαστος, ὥστε πραγμάτων οὕτω μεγάλων καὶ λίαν δυσχερῶν δύναμιν ἢ πρὸς τὸ ἀκριβὲς συνιδεῖν, ἢ κατ' ἀξίαν ἑρμηνεῦσαι; Εἰ δὲ καὶ τοῦτο ποιεῖν τις εὐχερῶς νομισθείη, πόσον μέρος τοῦ δήμου πείσει; Ἢ τίς ὃς ταῖς τῶν τοιούτων ἀκριβείαις ἔξω τῆς ἐπικινδύνου παρολισθήσεως ἀντισταίη; Οὐκοῦν ἐφεκτέον ἐν τοῖς τοιούτοις τὴν πολυλογίαν· ἵνα μήπως ἢ ἡμῶν ἀσθένεια τῆς φύσεως, τὸ προτεθὲν ἑρμηνεῦσαι μὴ δυνηθέντων, ἢ ἡ τῶν διδασκομένων ἀκροατῶν βραδυτέρα σύνεσις, πρὸς ἀκριβῆ τοῦ ῥηθέντος κατάληψιν ἐλθεῖν μὴ χωρησάντων, αὖθις ἐξ ἑκατέρου τούτων, ἢ βλασφημίας ἢ σχίσματος, εἰς ἀνάγκην ὁ δῆμος περισταίη. Διόπερ καὶ ἐρώτησις ἀπροφύλακτος, καὶ ἀπόκρισις ἀπρονόητος, τὴν ἴσην ἀλλήλαις ἐπιδιδότωσαν ἐφ' ἑκατέρῳ συγγνώμην. Οὐδὲ γὰρ ὑπὲρ τοῦ κορυφαίου τῶν ἐν τῷ νόμῳ παραγγελμάτων ἡμῖν ἐξήφθη πρόφασις, οὐδὲ καινή τις ὑμῖν ὑπὲρ τῆς τοῦ Θεοῦ θρησκείας αἵρεσις ἀντεισήχθη· ἀλλ' ἕνα καὶ τὸν αὐτὸν ἔχετε λογισμὸν, ὥσπερ τὸ τῆς κοινωνίας σύνθημα. Ὑμῶν γὰρ ἐν ἀλλήλοις ὑπὲρ μικρῶν καὶ λίαν ἐλαχίστων φιλονεικούντων, τοσοῦτον τὸν τοῦ Θεοῦ λαὸν ταῖς ὑμετέραις ἰθύνεσθαι φρεσὶν οὐ προσήκει διὰ τὸ διχονοεῖν· ἀλλ' οὔτε πρέπον οὔτε ὅλως θεμιτὸν εἶναι πιστεύεται. Ἵνα δὲ μικρῷ παραδείγματι τὴν ὑμετέραν σύνεσιν ὑπομνήσω, λέξω. Ἴστε δὴ καὶ τοὺς φιλοσόφους αὐτοὺς, ὡς ἑνὶ μὲν ἅπαντες δόγματι συντίθενται· πολλάκις δὲ ἔν τινι

CAPUT XIII.

Epistola Deum diligentis imperatoris, ad Alexandrum et Arium missa.

« Victor Constantinus, Maximus, Augustus, Alexandro et Ario. Quæstionis præsentis exordium a vobis isthinc exstitisse intelligo. Cum enim tu, Alexander, a presbyteris requireres quid quisque eorum sentiret de quodam loco legis, seu potius de cujusdam partis inani quæstione interrogares: et tu, Ari, quod vel prorsus in animum non admissum,
B vel certe admissum silentio mandatum oportuit, improvide respondendo exponeres, excitata inter vos dissensione, conventus quidem solemnis quibusdam denegatus, sanctissimus autem populus in partes scissus, communis corporis apta et consentiente unione excidit. Itaque uterque vestrum ex æquo sententiam animumque animadvertens, ad quod vos conservus et collega vester legitime ac juste cohortatus fuerit, id suscipiat. Quid vero hoc ipsum est? Neque interrogare de ejusmodi rebus a principio, neque interrogatum respondere, æquum erat. Ejuscemodi enim quæstiones, quas non aliqua legis et religionis nostræ necessitas injungit, sed inanes inutilis otii nugæ proferunt, etiamsi natu-
C ralis alicujus excercitationis gratia proponantur, tamen intra abdita mentis nostræ continere, 557
neque vel facile in publicos conventus producere, vel incaute omnium auribus credere debemus. Quotus enim quisque est qui res ita magnas et difficiles admodum aut certo perspicere, aut rite exponere queat? Quod si quis id sibi facere proclive esse ducat, cui parti plebis id persuadebit? Aut quis tandem erit, qui contra tales tantarum rerum argutias et subtilitates sine periculoso lapsu consistet? Quam ob rem inhibenda est in talibus disputatio longior, ne quo modo, si vel naturæ nostræ imbecillitas quod propositum sit exponere non valeat: vel discentium auditorum hebetius ingenium id quod exquisite dictum sit assequi non
D possit, in alterius istorum, blasphemiæ scilicet, aut schismatis atque dissidii, necessitatem populus incidat. Itaque et interrogatio incauta et responsio improvida æquam sibi invicem in utroque veniam concedant. Neque enim de præcipuo aliquo legis nostræ præcepto occasionem concertandi sumpsistis, neque novum aliquod a vobis de cultu Dei institutum est inductum, sed unam eamdemque habetis propositam rationem, sicuti communionis etiam tesseram. Et cum de rebus minimis inter vos contentiose decertetis, minime omnium decet, per dissensionem vos tantam populi Dei multitudinem pro arbitrio vestro ducere. Quod neque decorum, neque prorsus fas esse creditur. Sed enim, ut prudentiam vestram parvo

exemplo commonefaciam, non ignoratis sane, philosophis etiam ipsis de uno omnibus convenire dogmate, et persæpe eosdem de parte aliqua sententiarum aut brevium dictorum dissentire: sed enim etiam si scientiæ virtute discordent, corporis tamen unione inter se conspirant. Quod si hoc sic habet, quomodo non multo justius fuerit, vos, qui gionis instituto unanimes inter vos esse?

« Verum age, deliberatione majore consideremus, et cogitatione prolixiore quod dictum est animadvertamus, an recte propter paucas et vanas verborum inter vos rixas fratres fratribus adversentur, et solemnes conventus impia dissensione per vos segregentur, qui de parvis admodum et minime necessariis rebus mutua contentione decertatis. **558** Vulgaria hæc sunt, et puerilibus mentibus magis convenientia, quam sacrorum et prudentium virorum sapientiæ congruentia. Decedamus nostra sponte a diabolicis tentationibus. Magnus ipse Deus et Salvator omnium nostrum commune omnibus protulit lumen, per cujus providentiam, cœptum hoc mihi, illius longe potentioris famulo (1), ad finem debitum perducere permittite, ut per vos (2), illius populos, mea admonitione, ministerio et cohortationis contentione, ad conventus communionem reducam. Est enim, quemadmodum dixi, una quædam in vobis fides, una instituti vestri sententia, et legis ipsius præceptum, omnibus suis partibus in unum animæ propositum et voluntatem omnia concludit. Hoc ipsum quod vobis inter vos contentionem peperit, quandoquidem non ad totius legis vim refertur, nequaquam apud vos seditionem aliquam et secessionem faciat. Atque hæc dico, non ut omnino necessitatem vobis istam valde puerilem atque incautam, aut qualemcunque tandem quæstionem sopiendi imponam. Potest enim a vobis sincere solemnitas conventus retineri, et communio omnium servari, quamvis maxime in parte quapiam inter vos aliqua sit de re minima dissensio. Siquidem non omnibus nobis, in rebus quibusvis, eadem voluntas est, neque una apud nos natura aut sententia obtinet. Itaque de providentia divina una in vobis sit fides, una sententia, unus de Deo consensus. Ea vero quæ de minimis istis quæstionibus inter vos exquisite inquiritis, tametsi ad eamdem sententiam non deducantur, convenit intra cogitationem retinere atque in animi penetralibus conservare. Itaque facite ut ineffabile illud et præcipuum communis amicitiæ et charitatis sacramentum, et veritatis fides, Deique cultus, et religionis atque legis nostræ honor reverentia, constans et firma apud vos permaneant. Reddite ad mutuam charitatem et gratiam, reddite universo populo suos amplexus, et vos ipsi veluti animas vestras expiantes, rursus alter alterum agnoscite. Jucundior namque persæpe, post depositas inimicitias, reconciliatione

(1) Dei scilicet.

τῶν ἀποφάσεων μέρει διαφωνοῦσιν· εἰ καὶ τῇ τῆς ἐπιστήμης ἀρετῇ διαφωνοῦσι, τῇ μέντοι τοῦ σώματος ἑνώσει πάλιν εἰς ἀλλήλους συμπνέουσιν. Εἰ δὲ τοῦτό ἐστι, πῶς οὐ πολλῷ δικαιότερον ὑμᾶς τοῦ μεγάλου Θεοῦ θεράποντας καθεστῶτας ἐν τοιαύτῃ προαιρέσει θρησκείας, ὁμοψύχους ἀλλήλοις εἶναι; » magni Dei ministri constituti estis, in tantæ reli-

« Ἐπισκεψώμεθα δὲ λογισμῷ μείζονι, καὶ πλείονι συνέσει τὸ ῥηθὲν ἐνθυμηθῶμεν, εἴπερ ὀρθῶς ἔχει δι' ὀλίγας καὶ ματαίας ῥημάτων ἐν ὑμῖν φιλονεικίας ἀδελφοὺς ἀδελφοῖς ἀντικεῖσθαι, καὶ τὸ τῆς συνόδου τίμιον ἀσεβεῖ διχονοίᾳ χωρίζεσθαι δι' ὑμῶν, οἳ πρὸς ἀλλήλους ὑπὲρ μικρῶν οὕτω καὶ μηδαμῶς ἀναγκαίων φιλονεικεῖτε. Δημώδη ταῦτ' ἐστί· καὶ παιδικαῖς ἐννοίαις ἁρμόττοντα μᾶλλον ἢ τῇ τῶν ἱερέων καὶ φρονίμων συνέσει ἀνδρῶν προσήκοντα. Ἀποστῶμεν ἑκόντες τῶν διαβολικῶν πειρασμῶν. Ὁ μέγας Θεὸς καὶ Σωτὴρ ἡμῶν πάντων κοινὸν ἅπασι τὸ φῶς ἐξέτεινεν· ἐφ' οὗ τῇ προνοίᾳ ταύτην ἐμοὶ τῷ θεραπευτῇ τοῦ κρείττονος τὴν σπουδὴν εἰς τέλος ἐνεγκεῖν συγχωρήσατε· ὅπως δι' ὑμῶν τοὺς ἐκείνου δήμους ἐμῇ προσφωνήσει καὶ ὑπηρεσίᾳ καὶ νουθεσίας ἐνστάσει πρὸς τὴν τῆς συνόδου κοινωνίαν ἐπαναγάγοιμι. Ἐπειδὴ γάρ, ὡς ἔφην, μία τίς ἐστι πίστις ἐν ὑμῖν, καὶ μία τῆς καθ' ἡμᾶς αἱρέσεως σύνεσις, τό τε τοῦ νόμου παράγγελμα τοῖς δι' ἑαυτοῦ μέρεσιν εἰς μίαν ψυχῆς πρόθεσιν τὸ ὅλον συγκλείει, τοῦτο ὅπερ ὑμῖν ἐν ἀλλήλοις φιλονεικίαν ἤγειρεν, ἐπειδὴ μὴ πρὸς τὴν τοῦ παντὸς νόμου δύναμιν ἀνήκει, χωρισμόν τινα καὶ στάσιν ἐν ὑμῖν μηδαμῶς ἐμποιείτω. Καὶ λέγω ταῦτα, οὐχ ὡς ἀναγκάζων ὑμᾶς ἐξάπαντος τῇ λίαν εὐήθει καὶ οἱᾳδήποτέ ἐστιν ἐκείνῃ ζητήσει συντίθεσθαι. Δύναται γὰρ καὶ τὸ τῆς συνόδου τίμιον ὑμῖν ἀκέραιον φυλάττεσθαι, καὶ ἡ αὐτὴ κατὰ πάντων κοινωνία τηρεῖσθαι· κἂν τὰ μάλιστά τις ἐν μέρει πρὸς ἀλλήλους ὑπὲρ ἐλαχίστου διαφωνία γένηται· ἐπεὶ μηδὲ πάντες ἐν πᾶσι ταυτὸ βουλόμεθα· μηδὲ μία τις ἐν ὑμῖν φύσις ἢ γνώμη πολιτεύεται. Περὶ μὲν οὖν τῆς θείας προνοίας μία τις ἐν ὑμῖν ἔστω πίστις, μία σύνεσις, μία συνθήκη τοῦ κρείττονος· ἃ δὲ ὑπὲρ τῶν ἐλαχίστων τούτων ζητήσεων ἐν ἀλλήλοις ἀκριβολογεῖσθε, κἂν μὴ πρὸς μίαν γνώμην συμφέρηται, μένειν εἴσω λογισμῶν προσήκει τῷ τῆς διανοίας ἀποῤῥήτῳ τηρουμένῳ. Τὸ μέντοι τῆς κοινῆς φιλίας ἀπόῤῥητόν τε καὶ ἐξαίρετον, καὶ ἡ τῆς ἀληθείας πίστις, ἥ τε περὶ τὸν Θεὸν καὶ τὴν τοῦ νόμου θρησκείαν τιμὴ, μενέτω παρ' ὑμῖν ἀσάλευτος. Ἐπανέλθετε δὴ πρὸς τὴν ἀλλήλων φιλίαν τε καὶ χάριν. Ἀπόδοτε τῷ σύμπαντι λαῷ τὰς οἰκείας περιπλοκάς· ὑμεῖς τε αὐτοὶ, καθάπερ τὰς ἑαυτῶν ψυχὰς ἐκκαθάραντες, αὖθις ἀλλήλους ἐπίγνωτε. Ἡδίων γὰρ πολλάκις γίνεται φιλία μετὰ τὴν τῆς ἔχθρας ἀπόθεσιν, αὖθις εἰς καταλλαγὴν ἐπανελθοῦσα. Ἀπόδοτε οὖν μοι γαληνὰς μὲν ἡμέρας νύκτας δὲ ἀμερίμνους· ἵνα κἀμοί τις ἡδονὴ καθαροῦ φωτὸς καὶ βίου λοιπὸν ἥσυχος εὐφροσύνη σώ-

(2) Id est, vestra pace.

ζηται· εἰ δὲ μὴ, στένειν ἀνάγκη καὶ δακρύοις διόλου συνέχεσθαι, καὶ μηδὲ τὸν τοῦ ζῆν αἰῶνα πράως ὑφίστασθαι. Τῶν γάρ τοι τοῦ Θεοῦ λαῶν, τῶν συνθεραπόντων λέγω τῶν ἐμῶν, οὕτως ἀδίκως καὶ βλαβερᾷ πρὸς ἀλλήλους φιλονεικίᾳ κεχωρισμένων, ἐμὲ πῶς ἐγχωρεῖ τῷ λογισμῷ συνεστάναι λοιπόν; Ἵνα μηδὲ τῆς ἐπὶ τούτῳ λύπης τὴν ὑπερβολὴν αἴσθησθε, ἀκούσατε. Πρώην ἐπιστὰς τῇ Νικομηδέων πόλει, παραχρῆμα εἰς τὴν ἑῴαν ἠπειγόμην τῇ γνώμῃ· σπεύδοντι δέ μοι πρὸς ὑμᾶς ἤδη, καὶ τῷ πλείονι μέρει σὺν ὑμῖν ὄντι, ἡ τοῦδε τοῦ πράγματος ἀγγελία πρὸς τὸ ἔμπαλιν τὸν λογισμὸν ἀνεχαίτισεν· ἵνα μὴ τοῖς ὀφθαλμοῖς ὁρᾷν ἀναγκασθείην, ἃ μηδὲ ταῖς ἀκοαῖς προσίεσθαι δυνατὸν ἡγούμην. Ἀνοίξατε δή μοι λοιπὸν ἐν τῇ καθ' ὑμᾶς ὁμονοίᾳ τῆς ἑῴας τὴν ὁδὸν, ἣν ταῖς πρὸς ἀλλήλους φιλονεικίαις ἀπεκλείσατε· καὶ συγχωρήσατε θᾶττον ὑμᾶς τε ὁμοῦ καὶ τοὺς ἄλλους ἅπαντας δήμους ἐπιδεῖν χαίροντας, καὶ τὴν ὑπὲρ τῆς κοινῆς ἁπάντων ὁμονοίας καὶ ἐλευθερίας ὀφειλομένην χάριν ὑπερευφήμοις λόγων συνθήμασιν ὁμολογῆσαι τῷ κρείττονι. »

interveniente, fit amicitia. Reddite mihi quoque serenos dies et noctes securas, **559** ut mihi suavitas aliqua puræ lucis et tranquilla vitæ lætitia deinceps servetur. Quod si non sit, illa mihi necessitas incumbit, ut suspiriis et lacrymis totus extenuer, et neque vitæ hujus tempus placide sustineam. Si enim tot Dei populi, hoc est conservi mei, tam iniqua et detrimentosa inter se decertatione dissideant, quomodo fieri potest ut ipse deinceps animo consistam? Cæterum ut summum meum hac de re mœrorem amplius intelligatis, illud sic habete: nuper adeo, cum Nicomediæ essem, derepente, nescio quo urgente, in Orientem cogitavi. Et properantem me ad vos, cum majore jam ex parte vobiscum essem, nuntius hujus rei perculit, et consilium cœptumque meum disturbavit, meque retrocedere coegit, ne oculis conspicere cogerer quæ ne auribus quidem tolerare me posse judicavi. Aperite mihi, quæso, deinceps, per concordiam vestram, orientale iter, quod mutuis vestris contentionibus clausistis. Date mihi hoc, ut celeriter vos omnesque alios populos lætus videre, et pro communi omnium concordia et libertate, orationibus auspicatissimis faustissimisque verbis, debitam gratiam Deo agere possim. »

ΚΕΦΑΛ. ΙΔ'.

Περὶ τῆς ἐν Νικαίᾳ πρώτης οἰκουμενικῆς ἁγίας συνόδου· οἷα περὶ αὐτῆς ὁ Εὐσέβιος γράφει.

Ὁ μὲν οὖν βασιλεὺς τοιαῦτα συνέσεως ἔγραφε ῥήματα· ἐκράτει δ' οὖν ὅμως ἡ φιλονεικία, καὶ παρ' ἐλπίδας ἐχώρει τὸ πρᾶγμα, καὶ κρείττων ἦν ἡ ἔρις διαλλαγῶν. Οὔτε γὰρ ἡ τοῦ κρατοῦντος σπουδὴ, οὔτε ἡ τοῦ διακονησαμένου τοῖς γράμμασιν ἀρετὴ ἴσχυε· τοσοῦτον γὰρ εἶχον πείθεσθαι, ὥστε καὶ ἐπὶ μᾶλλον πρὸς ἄμυναν ἠρεθίζοντο· ὅθεν καὶ ἄπρακτος ἐπανῄει ὁ τὴν εἰρήνην βραβεῦσαι ἀπεσταλμένος. Ὁρῶν τοίνυν ὁ βασιλεὺς τὸ δεινὸν κορυφούμενον, τὴν πολυθρύλλητον ἐκείνην σύνοδον κατὰ τὴν ἐν Βιθυνίᾳ Νίκαιαν συνεκρότει, γράμμασι τοὺς ἁπανταχοῦ ἐπισκόπους εἰς ῥητὴν ἡμέραν μεταστελλόμενος. Ὀχήματά τε δημόσια τούτους ἦγον, ἵπποι καὶ ὀρεῖς καὶ ἡμίονοι· οὐκ αὐτοὺς δὲ μόνον, ἀλλὰ καὶ ὅσοι τούτοις πρὸς θεραπείαν συνείποντο· ἦσαν δὲ σχεδὸν ἐκ πασῶν ἐπαρχιῶν τε καὶ πόλεων, ὧν τάς τε κλήσεις, καὶ ὧν ἐπεσκόπουν πόλεων τὰς ὀνομασίας, ὁ πολὺς Ἀθανάσιος ἐν τῷ ἑαυτοῦ συνοδικῷ κατηρίθμησεν. Ἦσαν δὲ ἀρχιερεῖς ἀμφὶ τοῖς τριακοσίοις δέκα πρὸς τοῖς ὀκτώ. Οὐχ ἧττους δὲ ἦσαν καὶ ἱερεῖς καὶ διάκονοι συνεπόμενοι. Τῶν δ' ἀποστολικῶν θρόνων ἐκοινώνουν Ἀλέξανδρος μὲν ὁ Ἀλεξανδρείας τῆς πρὸς τῇ Μαρείᾳ λίμνῃ κειμένης· Εὐστάθιός τε, ἤδη τὴν πρὸς τῷ Ὀρόντῃ ἐπιτραπεὶς Ἀντιόχειαν. Φιλογονίου γὰρ ἄρτι τὴν πρὸς Θεὸν στειλαμένου, καὶ τὸν ἀμείνω βίον μετειληχότος, τοῦτον οἱ τῆς ἐπαρχίας ἀρχιερεῖς τε καὶ ἱερεῖς, ἔτι δὲ καὶ ὁ κοινὸς τοῦ Κυρίου λαὸς, βίαν πλείστην ἐπαγαγόντες, ἐκ Βεῤῥοίας ἐπὶ τὸν θρόνον ἀνείλκυσαν ἐπιπλεῖστον ἀπαγορεύοντα· ὁ φερώνυμός τε τῶν Ἱεροσολύμων Μακάριος· Ἰούλλιος δὲ ὁ Ῥώμης, καὶ ὁ τῆς Κωνσταντίνου Μητροφάνης. Ὁ μὲν ὁ Ῥώ-

CAPUT XIV.

De prima universali sancta Nicæna synodo, quæ de ea Eusebius scribat.

Et imperator quidem prudenter hæc ita scripsit. Dissidium autem magis invalescebat: res omnis præter spem in deterius vergebat, et contentio impotens reconciliationi locum non relinquebat. Neque enim tam pium imperatoris studium, neque excellens illius, qui litteras attulerat, virtus, quidquam effecit. Et tantum abest ut ad gratiam redintegrandam homines persuaderentur, ut amplius etiam ad vindictam sint excitati. Quapropter infectis rebus ad imperatorem rediit, qui ad pacem componendam missus fuerat, Hosius. Itaque imperator, malum id ad summum excrescere cernens, decantatissimam illam in Bithynia Nicænam synodum promulgat, et litteris locorum omnium episcopos ad constitutam diem eo evocat. Illos publica vehebant vehicula et jumenta, publici equi et muli; nec ipsos tantum, sed etiam qui eos ministerii gratia comitabantur. Convenere eo fere ex omnibus provinciis et urbibus Patres, **560** quorum nomina una cum urbibus, quibus episcopali administratione præfuerunt, magnus Athanasius in synodali suo libro recensuit. Episcopi fuere circiter trecenti decem et octo, nec pauciores sacerdotes et diaconi, eorum comites. Apostolicas sedes tum tenuere Alexandriæ ad lacum Mareoticum sitæ, Alexander: Antiochiæ ad Orontem ecclesia jam tum Eustathio commissa fuerat, Philogonio non ita pridem ad Deum recepto, et ad meliorem vitam translato. Hunc Eustathium, invitum admodum et reluctantem, vi plurima allata provinciales episcopi, sacerdotes, communisque Domini populus, ex Berrhœa ad eum thronum

pertraxerunt. Hierosolymis episcopatum gessit, suo respondens nomini, Macarius; Romæ Julius, Constantinopoli Alexander. Et Romanus antistes, propter ætatem decrepitam, Constantinopolitanus vero propter multam imbecillitatem, in sedibus suis remansere; sed eorum nomine bini presbyteri missi sunt, a Julio quidem Vitus et Vincentius, ab Alexandro autem duo alii, et vita et eruditione plurimum excellentes. Habebant ii ab illis mandatum et cautionem, ut in conventu locum illorum obtinerent, et quod ibi rite atque ordine actum decretumque esset, comprobarent. In synodo ea multi apostolicis donis pollebant: non pauci etiam, propter Christianam constanter obitam confessionem, stigmata et notas in carne circumferebant, præsertim ex episcopis, Paphnutius superioris Thebaidis, et Spyridon Cyprius Trimythuntis, et Hosius Cordubæ, et Jacobus Nisibis (sic enim Antiochia Mygdoniæ antea vocata est), qui etiam mortuos resuscitans in vitam reduxit et innumera alia miracula edidit: Meletius Sebastiæ, Basileus Amaseæ, Nicolaus Myrorum, Gregorius majoris Armeniæ, Paulus Neocæsareæ in Euphratis ripa conditæ; qui ambarum manuum usu, Licinii improbitate, ignito ferro venis atque nervis, quibus vis movendi inest, perustis, orbatus fuerat. Et alii, quibus partim alter oculus stridenti ferro ademptus erat, partim poplites dextri cauterio mutilati, pedes ad gradiendum inutiles reddiderant. Inter quos et Paphnutius Ægyptius fuit, de quo sicut et de Spyridone postea dicemus. Atque, ut simpliciter dicam, martyrum plane populus in unum convenit locum. **561** Adfuere ibi etiam plurimi alii, ex præstantibus et laicis, docti et eloquentes, in primisque sacrarum Litterarum, nec non profanarum quoque disciplinarum peritia præclari viri, alterutri parti momentum afferre alacriter parati.

A μης διὰ γῆρας βαθὺ, ὁ δὲ διὰ πολλὴν ἀσθένειαν ἀπελείφθησαν. Ἀντ' αὐτῶν δὲ κατὰ δύο πρεσβύτεροι διεπέμφθησαν· Ῥωμαῖοι μὲν Βίτων τε καὶ Βικέντιος· ἐκ δὲ Μητροφάνους ἕτεροι βίῳ καὶ λόγῳ πολλῷ διαφέροντες· ἐγγύην λαβόντες, τόν τ' ἐκείνων τόπον ἀναπληροῦν, καὶ τοῖς καλῶς πραττομένοις συνθέσθαι. Πολλοὶ δ' ἦσαν ἐκείνων ἀποστολικοῖς χαρίσμασι διαπρέποντες. Οὐκ ἐλάχιστοι δ' ἔτι ταῖς διὰ Χριστὸν ὁμολογίαις τὰ στίγματα τῇ σαρκὶ περιφέροντες· ἐκ μὲν τῶν ἐπισκόπων Παφνούτιος ἐκ τῆς ἄνω Θηβαΐδος, καὶ Σπυρίδων ὁ Κυπρίων τῆς Τριμυθούντων, καὶ Ὅσιος ὁ Κουρδούβης, καὶ Ἰάκωβος ὁ Νισίβεως (Μυγδονία δὲ τῆς Ἀντιοχείας ἡ Νίσιβις πρότερον ἐκαλεῖτο), ὃς καὶ νεκροὺς ἀνιστῶν, τοῖς ζῶσι συνέταττε, καὶ μυρία εἰργάζετο θαύματα·
B Μελέτιος ὁ Σεβαστουπόλεως· Βασιλεὺς ὁ τῶν Ἀμασέων· ὁ τῶν Μύρων Νικόλαος, καὶ ὁ τῆς μεγάλης Ἀρμενίας Γρηγόριος, καὶ Παῦλος ὁ Νεοκαισαρείας· ὄχθῃ δὲ τῇ τοῦ Εὐφράτου αὕτη παράκειται· ὃς ἄμφω τὼ χεῖρε πεπηρωμένος ἦν, τῶν κινητικῶν ὀργάνων διαθραυσθέντων πεπυρακτωμένῳ σιδήρῳ, προσβαλόντι τοῖς μέλεσι ταῖς Λικινίου κακοτροπίαις. Καὶ ἄλλοι, ὧν οἱ μὲν τῶν ὀφθαλμῶν θάτερον σίζοντι σιδήρῳ εἶχον πεπηρωμένον· οἱ δὲ τὰς τῶν γονάτων ἀγκύλας τὰς δεξιὰς ἀκινήτους τοῖς καυστῆρσιν ἐκέκτηντο. Ὧν μετεῖχε καὶ Παφνούτιος ὁ Αἰγύπτιος· περὶ οὗ καὶ Σπυρίδωνος ὕστερον ἐροῦμεν. Καὶ ἁπλῶς εἰπεῖν, μαρτύρων δῆμος ἦν εἰς ἓν συνιών. Πλεῖστοι δὲ καὶ ἄλλοι ἐκ διαφόρων ἦσαν καὶ
C ἐκ λαϊκῶν, ἀγαθοὶ καὶ νοεῖν καὶ λέγειν, ἐπίσημοί τε τῇ τε τῶν ἱερῶν βίβλων παιδείᾳ, καὶ τῇ ἔξω σοφίᾳ διαπρεπεῖς, ἑκατέροις μέρεσι πρόθυμοι διδόναι ῥοπήν.

De eis porro qui ibi convenere, Eusebius Palæstinus in tertio ad Constantinum libro hæc refert: « Ex Ecclesiis omnibus quæ per Europam, Libyam et Asiam omnem sunt, ministrorum Dei columnæ convenerunt in una oratoria æde, perinde atque a Deo amplificata: Syri et Cilices, Phœnices et Arabes, Palæstini eisque vicini Ægyptii, Thebæi, Libyes et qui a Mesopotamia venerant: quin et ex Perside episcopus aderat. Neque Scytha in eo choro desiderabatur. Pontus quoque, Asia, Phrygia et Pamphylia delectos suos et præcipuos viros eo miserant. Aderant quoque Thraces, Macedones, Achæi et Epirotæ. Quin et qui iis longinquiores remotioresque sunt, advenerant. Ab ipsis quoque Hispanis celeberrimus ille (1) una cum aliis ibi considebat. Imperatoriæ sane urbis antistes propter ætatem senilem aberat, sed presbyteri ejus præsentes vicem ejus implebant. Solus profecto et unus imperator Constantinus post sæcula condita, Christo Servatori suo, corona pacis vinculo contexta, de victoria contra hostes parta, ejuscemodi divinum gratiarum actionis consecravit donarium, et

Περὶ μέντοι τῶν συνεληλυθότων ἐν τῷ εἰς τὸν Κωνσταντῖνον τρίτῳ βιβλίῳ τάδε ὁ Παλαιστινὸς Εὐσέβιος ἱστορεῖ· « Τῶν γοῦν ἐκκλησιῶν ἁπασῶν, αἳ τὴν Εὐρώπην ἅπασαν, Λιβύην τε καὶ τὴν Ἀσίαν ἐπλήρουν, ὁμοῦ συνῆκτο τῶν τοῦ Θεοῦ λειτουργῶν τὰ ἀκροθίνια· εἷς τε οἶκος εὐκτήριος, ὥσπερ ἐκ Θεοῦ πλατυνόμενος, ἔνδον ἐχώρει κατὰ τὸ αὐτὸ Σύρους τε καὶ Κίλικας, Φοίνικάς τε καὶ Ἀραβίους, καὶ Παλαιστινούς· καὶ ἐπὶ τούτοις Αἰγυπτίους, Θη-
D βαίους, Λίβυας, τούς τε ἐκ Μέσης τῶν ποταμῶν ὁρμωμένους. Ἤδη δὲ καὶ Πέρσης ἐπίσκοπος τῇ συνόδῳ παρῆν. Οὔτε Σκύθης ἀπελιμπάνετο τῆς χορείας. Πόντος τε καὶ Ἀσία, Φρυγία τε καὶ Παμφυλία τοὺς παρ' αὐταῖς εἶχον ἐκκρίτους. Ἀλλὰ καὶ Θρᾷκες καὶ Μακεδόνες, Ἀχαιοί τε καὶ Ἠπειρῶται· τούτων τε οἱ ἔτι προσωτάτω οἰκοῦντες ἀπήντων· αὐτός τε Ἱσπανῶν ὁ πάνυ βοώμενος εἷς ἦν τοῖς πολλοῖς ἅμα συνεδρεύων. Τῆς δέ γε βασιλευούσης πόλεως ὁ μὲν προεστὼς διὰ γῆρας ὑστέρει· πρεσβύτεροι δὲ αὐτοῦ παρόντες, τὴν αὐτοῦ τάξιν ἐπλήρουν. Τοιοῦτον μόνος ἐξ αἰῶνος εἷς βασιλεὺς Κωνσταντῖνος Χριστῷ στέφανον δεσμῷ συνάψας εἰ-

(1) Hosius videlicet.

ρήνης τῷ αὐτοῦ Σωτῆρι τῆς κατ' ἐχθρῶν πολεμίων νίκης θεοπρεπὲς ἀνετίθει χαριστήριον, εἰκόνα χορείας ἀποστολικῆς ταύτην καθ' ἡμᾶς συστησάμενος. Ἐπεὶ κατ' ἐκείνους συνήχθη λόγος ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανὸν, ἄνδρες εὐλαβεῖς· ἐν οἷς ἐτύγχανον Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται, καὶ οἱ κατοικοῦντες Μεσοποταμίαν, Ἰουδαίαν τε καὶ Καππαδοκίαν, Πόντον καὶ τὴν Ἀσίαν, Φρυγίαν τε καὶ Παμφυλίαν, Αἴγυπτον καὶ τὰ μέρη τῆς Λιβύης τῆς κατὰ Κυρήνην, οἵ τε ἐπιδημοῦντες Ῥωμαῖοι, Ἰουδαῖοί τε καὶ προσήλυτοι, Κρῆτες καὶ Ἄραβες. Πλὴν ὅσον ἐκείνοις μὲν ὑστέρει τὸ μὴ ἐκ Θεοῦ λειτουργῶν συνεστάναι τοὺς ἅπαντας· ἐπὶ δὲ τῆς παρούσης χορείας ἐπισκόπων μὲν πλῆθος ἦν, τριακοσίων ὑπεραχοντίζουσα· ἑπομένων δὲ τούτοις πρεσβυτέρων καὶ διακόνων, ἀκολούθων τε πλειόνων, ὅσων ἑτέρων οὐδὲν ἦν ἀριθμός. Τῶν δὲ τοῦ Θεοῦ λειτουργῶν οἱ μὲν διέπρεπον σοφίας λόγῳ, οἱ δὲ βίου στεῤῥότητι καὶ καρτερίας ὑπομονῇ· οἱ δὲ τῷ μέσῳ τρόπῳ κατεκοσμοῦντο. Ἦσαν δὲ τούτων οἱ μὲν χρόνου μήκει τετιμημένοι, οἱ δὲ νεότητι καὶ ψυχῆς ἀκμῇ διαλάμποντες· οἱ δὲ ἄρτι παρελθόντες ἐπὶ τὸν τῆς λειτουργίας δρόμον. Οἷς δὴ πᾶσιν ὁ βασιλεὺς ἐφ' ἑκάστης ἡμέρας τὰ σιτηρέσια δαψιλῶς χορηγεῖσθαι διετάξατο. » Καὶ ὁ μὲν Εὐσέβιος ταῦτα.

ΚΕΦΑΛ. ΙΕ'.

Περὶ τῶν πρὸ τῆς συνόδου γεγενημένων· καὶ περὶ τῶν δύο φιλοσόφων τῶν παραδόξως πιστευσάντων Χριστῷ.

Τῇ δέ γε Ἀρείου δόξῃ πλεῖστοι προσέκειντο. Μάλιστα δ' αὐτὴν συνεκρότουν Εὐσέβιος ὁ τῆς Βηρυτοῦ μὲν πρότερον, εἶτα δὲ καὶ τῆς Νικομηδείας ἡγησάμενος· Θέογνίς τε ὁ Νικαεὺς, καὶ αὐτῆς Νικαίας ἐπίσκοπος ὢν, καὶ Μάρις Χαλκηδόνος τῆς ἐν Βιθυνίᾳ τὴν ἐπιτροπὴν ἔχων. Πρὸς οὓς γενναίως ἀντεφέρετο Ἀθανάσιος, τοῦ χοροῦ μὲν τῶν διακόνων ἐν Ἀλεξανδρείᾳ ἡγούμενος, σφόδρα δὲ τίμιος τῷ ἐπισκόπῳ Ἀλεξάνδρῳ ἦν, ἅτε δὴ λόγῳ καὶ ἀρετῇ σεμνυνόμενος· δεινὸς δ' ὢν διαλέγεσθαι, μέρος οὐκ ἐλάχιστον τῆς ἐν τῇ συνόδῳ βουλῆς ἦν· γνώριμός τε βασιλεῖ καὶ τοῖς ἀμφ' αὐτὸν ἐγένετο· ὧν χάριν πολὺν τὸν φθόνον τοῖς Ἀρειανοῖς ἐκίνησε κατ' αὐτοῦ, ὡς προϊούσης ἱστορίας δειχθήσεται. Πρὶν δ' εἰς κοινὸν ἐλθεῖν ἅπαντας, οἷα δὴ φιλεῖ γίνεσθαι, οἱ τῶν διαλέξεων ἔμπειροι ἅμιλλαν ἐποιοῦντο καὶ προαγῶνας λόγων ὑπὲρ ὧν δόξης εἶχον. Τινῶν δ' ἑλκομένων τῷ τῶν λόγων τερπνῷ, παρών τις τῶν ὁμολογητῶν λαϊκῶν, ἀκεραίῳ δὲ φρονήματι κεχασμένος, Τὸ καθ' ἡμᾶς, ἔλεγε, δόγμα, οὐ λόγων ἀπάτῃ καὶ διαλεκτικῇ μεθόδῳ οἱ ἐξαρχῆς αὐτόπται παρέδοσαν, γνώμῃ δὲ καὶ πίστει γυμνῇ, καὶ τοῖς ἀγαθοῖς τῶν ἔργων ἐναργῶς ἠδρασμένον. Καί γε τοῖς περὶ Ἄρειον συνεβούλευε μήτι νεωτερίζειν περὶ τὴν ἐξαρχῆς παραδοθεῖσαν πίστιν· ἀβασανίστως δὲ τὴν περὶ τὸ θεῖον σέβας προσίεσθαι δόξαν. Οἱ δὲ μὴ χρῆναι ἀντέλεγον δοκιμασίας δίχα ταῖς τῶν παλαιτέρων ἕπεσθαι δόξαις. Καὶ οἱ μὲν τὸν ὁμολογητὴν ἀποδοχῆς ἠξίουν·

A præclarum hoc apostolici chori apud nos exhibuit specimen. Quandoquidem ad exemplum illius conventus coactus est ex gentis omnis quæ sub cœlo est, viris religiosis, in quibus erant Parthi, et Medi, et Elamitæ, et Mesopotamiam incolentes, Judæam quoque, et Cappadociam, Pontum et Asiam, Phrygiam et Pamphyliam, Ægyptum et partes Libyæ quæ est circa Cyrenem, advenæ Romani, et Judæi et proselyti, Cretes et Arabes. Præterquam quod illic non omnes ex Dei ministris convenerant, in præsenti vero choro, episcoporum turba trecentorum numerum excessit. Qui vero eos comitati sunt, presbyterorum, diaconorum, acolythorum, aliorumque plurimorum, neque numerum inire erat.
B Inter eos autem Dei ministros alii quidem sapientiæ sermone, alii autem vitæ morumque firmitate, et patientiæ constantia enitebant : **562** alii rursum mediocribus dotibus ornati erant. Nonnulli porro ætate provectiore venerationem merebantur, nonnulli juvenilibus annis animorumque vigore florebant. Quidam etiam non ita dudum functionis suæ susceperant munus. Atque his omnibus quotidie imperator sumptus liberaliter præberi curaverat. » Hæc Eusebius.

CAPUT XV.

Quæ ante synodum sint acta : et de duobus philosophis qui præter omnium opinionem in Christum crediderunt.

C Plurimi sane Arii partibus addicti erant, maximeque opinionem ejus comprobabant : Eusebius olim Beryti, postea vero Nicomediæ antistes : Theognis Nicææ ipsius, et Maris Chalcedonis Bithyniæ, episcopi. Quibuscum fortiter congrediebatur Athanasius, inter diaconos Alexandriæ primarius, ipsique episcopo Alexandro percharus : quippe præclara doctrina et virtute præditus, et disputator gravis et acutus, non minima sane consilii synodi ejus pars, imperatori ipsi et familiaribus ejus egregie notus. Quamobrem magnum contra se Arianorum concitavit odium : sicuti historia procedente postea indicabimus. Prius autem quam omnes episcopi in publicum coirent conventum, pro eo atque fieri consuevit, qui artium disserendi periti erant
D homines, quasi præludentes certamina, de sententiis quas sequebantur et contentiones inibant. Et cum quidam disputationis voluptate longius producerentur, ex confessoribus laicis aliquis, simplici prudentia ornatus, qui ibi aderat, Doctrinam, inquit, nostram non verborum fraude aut disserendi aliqua arte primi ejus actores atque adeo spectatores prodidere (1), sententia et fide nuda bonisque operibus simpliciter et aperte fundatam. Arianis idem suasit, ne quid de fide ab initio tradita novarent, sed inexplorato sententiam de Numinis divini cultu complecterentur. At illi non oportere dixerunt, antiquorum, nisi inquisita re, recipere sen-

(1) Christus videlicet et apostoli ejus.

tentias. Verum nonnulli quidem consilium confessoris minime contemnendum esse judicarunt; nonnulli autem, quod vera eum dicere scirent, sermones cum eo tum non conseruerunt.

A οἱ δὲ τοῦ διαλόγου ἡσυχίαν τῳτέως ἦγον, τἀληθὲς διακούοντες.

Sed et multi ex Græcorum philosophis disputationibus se immiscuerunt: alii quidem, ut quænam esset religio nostra discerent, **563** alii vero quod indignarentur, per Christianismum nuper admodum ortum Græcæ superstitionis imposturas supprimi et perire. Atque ii professionem nostram in contentiosam controversiam trahebant, ut propter intestina dissidia pessum iret minusque vulgo grata esset. Horum quidam, arte dicendi sese ambitiose venditans, sacerdotibus nostris insultabat, et nugas ac deliramenta dicta eorum esse cum reprehensione objiciebat. Ejus tam arrogantem superbiam simplex quidam senex non ferens (creditur autem celebris ille et magnus Spyridon fuisse), cum eo disputatione est congressus. Et temerariis quidem ea res risui fuit: qui vero æquiores humanioresque erant, verebantur ne ab homine arte multa instructo, vir Græcarum disciplinarum prorsus expers, ludus fieret, et tamen dignitate tanta spectatum inhibere reformidabant. Itaque cum id ei permissum esset, In nomine Jesu Christi, philosophe, inquit, audi. Unus est Deus cœli et terræ, visibiliumque et invisibilium omnium conditor, qui universa hæc virtute Verbi producit et sustinet, et sanctitate Spiritus ejus stabilit et confirmat. Id Verbum, quod a nobis Filius Dei nominatur, errorem et seductionem humani generis miseratum, natum est ex muliere, et humanum substantialiter recepit corpus, mortuum etiam est pro nobis, et resurrexit. Et veniet primo quoque tempore, factorum cujusque quæsitor et judex. Hæc sic se habere, citra curiosam inquisitionem cognosces: ita credimus. Nec tu, quomodo hæc sint, quære: neque rationem eorum arguere aut explorare aude. Superant enim hæc rationem, et cognitionem omnem longe præcellunt. Et paululum conticescens: Credisne, inquit, hæc? responde. Ad hæc primum hianti ore consternatus philosophus, deinde, credere se, dixit: victumque esse statim professus, eadem quæ divinus ille senex sentiret, se quoque sentire constituit: atque ut et alii eumdem reciperent animum, operam dedit, jurejurando confirmans omnibus, non sine divino Numine religionem se complexum, sed arcana quadam vi ad sacra Christianorum traductum esse.

Πολλοί γε μὴν καὶ τῶν παρ' Ἕλλησι φιλοσόφων μετεῖχον τῆς διαλέξεως· οἱ μὲν ὅ τι ποτέ ἐστι τὸ ἡμέτερον μαθεῖν ἐφιέμενοι, οἱ δὲ παρῆσαν ἀσχάλλοντες, οἷς διὰ τὸν Χριστιανισμὸν ἑώρων προσφάτως ἄρτι τὴν Ἑλληνικὴν τερθρείαν ἀπολλυμένην. Καὶ εἰς ἔριδας τὸ ἡμέτερον ἔβαλον· ἵν' ὡς στασιάζον ἐναντίον καθίστηται, καὶ τοῖς πολλοῖς ἀπρόσδεκτον εἴη. Καί τις αὐτῶν ἐπὶ φιλοτιμίᾳ λόγων κομπάζων, καὶ τοῖς ἱερεῦσιν ἐπιτωθάζων, πολλὴν ἐκείνων κατηγόρει ἐρεσχελίαν. Οὕτινος τὸν τῦφον ἁπλοῦς τις B γέρων μὴ ἐνεγκὼν (λόγος δ' ἔχει τὸν πολὺν καὶ μέγαν εἶναι τοῦτον Σπυρίδωνα) εἰς ἅμιλλαν καταστῆναι λόγων. Καὶ τοῖς μὲν προπετέσι γέλως ἐδόκει· ὅσοι δ' ἦσαν ἐπιεικεῖς δι' αἰδοῦς ἐποιοῦντο μὴ ὑπ' ἀνδρὶ τεχνίτῃ γελοῖος ὁ γέρων φανείη, τέχνης τῆς Ἑλληνικῆς παντάπασιν ἄμοιρος ὤν· ἐπέχειν γὰρ εἰσάγαν ηὐλαβοῦντο τὸν ἄνδρα τοιοῦτον ὄντα. Ἐπεὶ δὲ εἴασαν, Ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ, φιλόσοφε, ἔλεγεν, ἄκουσον. Εἷς ἐστι Θεὸς οὐρανοῦ καὶ γῆς καὶ πάντων, ὅσα τε ὁρατὰ καὶ ὅσα ἀόρατα, δημιουργός· ὃς πάντα ταῦτα τῇ δυνάμει τοῦ λόγου παράγει, καὶ τῇ ἁγιωσύνῃ τοῦ ἐν αὐτῷ Πνεύματος ἑδραιοῖ. Οὗτος οὖν ὁ Λόγος, ὃν ἡμεῖς Υἱὸν Θεοῦ ὀνομάζομεν, τὸ ἀνθρώπινον τῆς πλάνης οἰκτείρας, τίκτεται μὲν ἐκ γυναικὸς, καὶ ἀνθρώπινον οὐσιοῦται σῶμα, καὶ θνήσκει ὑπὲρ ἡμῶν, καὶ ἀνίσταται· ἥξει δὲ ὅσον οὔπω C τῶν ἑκάστῳ πεπραγμένων ἐξεταστής. Ταῦτα γνώσει πολυπραγμοσύνης ἐκτός· οὕτω πιστεύομεν ἔχειν. Μὴ τοίνυν πῶς ταῦτα ζήτει, καὶ τὸν τρόπον ἐλέγχειν πειρῶ· ὑπὲρ γὰρ λόγον ταῦτα, καὶ γνῶσιν πᾶσαν ἐν δευτέρῳ τίθει. Καὶ μικρὸν ἐπισχὼν, Πιστεύεις ταῦτα; ἀπόκριναι, ἔφη. Ἐπὶ τούτοις ἀχανὴς γενόμενος ὁ φιλόσοφος, εἶτα πιστεύειν ἔλεγε· καὶ τὴν ἧτταν εὐθὺς ὡμολόγει· καὶ τὰ ἴσα δοξάζειν ᾑρεῖτο τῷ θείῳ πρεσβύτῃ· καὶ τοῖς ἄλλοις τὸν ἴσον τρόπον διατεθῆναι ἐσπούδαζε, πᾶσιν ἐπομνύμενος, μὴ ἄνευ θείας μοίρας ἐπὶ τὸ σέβας ἐλαύνεσθαι· ἀῤῥήτῳ δὲ βίᾳ ἐπὶ τὰ Χριστιανῶν μετατίθεσθαι.

Idem postea Alexandro episcopo Constantino accidisse dicunt. Vixdum post synodum Constantinus Byzantium venerat, cum quidam Græcorum philosophi accedentes, cum reprehenderunt, **564** quod se illegitimo religionis cultui dedisset, ac res divinas novasset, sacra alia quam majores ejus coluissent, et tot sæculorum tempora tulissent, sectatus. Et ut periculum eis de nova opinione facere, atque cum episcopo sermones conferre liceret, rogarunt. Atque ille, tametsi inexercitatus et artium disserendi imperitus, vitæque tantum integritate fretus (erat enim, ut vix alius quisquam, honestus *et bonus*) tamen imperatore jubente, colloquii

D Τὸ δ' αὐτό φασιν ὕστερον γενέσθαι τῷ Ἀλεξάνδρῳ τῷ τῆς Κωνσταντίνου προεδρεύειν λαχόντι. Ἄρτι γὰρ Κωνσταντίνου μετὰ τὴν σύνοδον παρελθόντος εἰς τὸ Βυζάντιον, τινὲς τῶν Ἑλλήνων προσιόντες τούτῳ φιλόσοφοι ὑπὸ μέμψιν ἐποιοῦντο, ὅτι μὴ προσηκούσῃ θρησκείᾳ ἐπιδίδωσιν ἑαυτὸν, καὶ ὡς νεωτερίζοι περὶ τὸ Θεῖον, τὸ δόξαν τοῖς προγόνοις πολιτεύεσθαι ᾑρημένος, καὶ οὓς ὁ μέγας αἰὼν ἐκ παλαιοῦ ἤνεγκε. Πεῖραν δὲ καὶ τῆς προσφάτου δόξης ᾔτουν λαβεῖν· καὶ τῷ ἐπισκόπῳ εἰς λόγους ἥκειν κατηντιβόλουν. Ὁ δὲ καίπερ ἀτριβὴς καὶ ἄπειρος ὢν τῶν τοιούτων λόγων, μόνῳ δὲ τῷ βιοῦν πεποιθὼς (ἐγένετο γὰρ εἴπερ τις καλός τε καὶ ἀγαθὸς), διαγωνι-

σασθαι πείθεται, τοῦ κρατοῦντος κελεύσαντος. Πολλῶν δ' ἐν ταυτῷ προσιόντων, ἕνα τὸν τῶν ἄλλων διαφορώτατον ἐπιλεγῆναι ᾔτει· τοὺς δ' ἄλλους ἐν ἡσύχῳ μένοντας ἀκροᾶσθαι. Ἑνὸς οὖν τὸν ἀγῶνα ἀναδεξαμένου, Ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ, Ἀλέξανδρος ἔλεγεν, ἐπιτάττω σοι μὴ λαλεῖν. Ὁ δὲ, ἅμα τῷ λόγῳ τὴν γλῶτταν δεθεὶς, ἄφωνος ἵστατο, διανεύων τοὺς ἄλλους, καὶ ἐκπληττόμενος τῷ πραχθέντι. Πιστεύειν δὲ σχηματίσας, καὶ τῶν δεσμῶν λυθεὶς, πείρᾳ τὴν τοῦ μυστηρίου ἐλάμβανε δύναμιν. Καὶ τὰ μὲν ὧδε ἔσχεν.

A congressum non detractavit. Et cum permulti philosophorum convenissent, ut ex omnibus alii præstantissimus unus ad disputandum deligeretur, aliique taciti et quieti sedentes auscultarent, petiit. Ita uni ad certamen progresso: In nomine Jesu Christi, Alexander inquit, tibi, ut ne loquare, impero. Atque ille una cum hoc verbo lingua ejus impedita obmutuit, eo, quod sibi acciderat, facto, reliquos per nutum admonens atque exterrens. Et cum signis manuumque gestu credere se significasset, cum lingua soluta simul vocem recuperavit. Sic scilicet ille experientia ipsa vim et documentum mysterii cepit. Atque hæc sic gesta.

ΚΕΦΑΛ. ΙϚʹ.

Ὡς εἰσῄει ὁ βασιλεὺς εἰς τὴν σύνοδον· καὶ δημηγορία αὐτοῦ πρὸς τὸν ἱερὸν ἐκεῖνον χορόν.

Ἐπεὶ δ' ὁ βασιλεὺς τὴν ἐπινίκιον ἑορτὴν τῆς κατὰ Λικινίου μάχης τελέσας, εἰς Νίκαιαν καὶ αὐτὸς ἀπήντα, μέγιστον ἐν τοῖς βασιλείοις οἶκον εὐτρεπίσας, βάθρα πολλὰ ἑκατέρωθεν παρεσκεύαζε, καὶ θρόνους ἀποχρῶντας τοῖς συνεληλυθόσι τῶν ἱερῶν ἀνδρῶν, συμπαρεκτεινομένοις τοῖς τοίχοις· καὶ δῆθ' ἑκάστῳ τὸ προσῆκον εὐτρεπίσας γέρας, εἰσιέναι κατὰ τάξιν πάντας ἐκέλευεν. Ἐπεὶ δ' ἐδόκει καὶ αὐτὸν τῆς βουλῆς κοινωνῆσαι, ἔσχατος σὺν ὀλίγοις κἀκεῖνος εἰσῄει, μέγεθος μὲν ἀξιάγαστον ἔχων, ὥρᾳ δὲ διαλάμπων φαιδρᾷ, ξένην δέ τινα καὶ ἐπιεικῶς τέρπουσαν τῷ προσώπῳ ἐπικαθημένην φέρων αἰδῶ. Ὑφειμένου δὲ τῇ ἀξίᾳ θρόνου τεθέντος, ὃς αὐτῷ κατεσκεύαστο, οὐ πρότερον ᾑρεῖτο καθῆσθαι, πρὶν ἂν πρὸς τῶν ἐπισκόπων ἐπιτραπείη. Τοσαύτη τις ἐπιείκεια συγκεκραμένη τῇ τῶν ἀνδρῶν εὐλαβείᾳ τῷ κρατοῦντι προσῆν. Καὶ δὴ ἐπὶ τὴν ἀρχὴν τοῦ συλλόγου προτραπεὶς ἐκαθέσθη· σὺν αὐτῷ δὲ ἅμα καὶ ὁ θεῖος ἐκεῖνος χορός. Ἡσύχου γοῦν καὶ ἀθορύβου γενομένης σιγῆς, πρῶτος ὁ τῆς Ἀντιόχου Εὐστάθιος ἐγκωμίοις λόγων τὴν βασιλικὴν ἐκείνην οἷά τισι νεοδρέπτοις ἄνθεσι περιέστεφε κεφαλὴν, καὶ τὸ περὶ τὰ θεῖα κατεσπουδασμένον ἐκείνῳ γεραίρων, ταῖς εὐφημίαις ἠμείβετο. Παραπλήσια δὲ καὶ ὁ Παμφίλου Εὐσέβιος διεπράττετο ἀναστάς· προσεφώνει μὲν γὰρ ἐκείνῳ τὸν αἰνετήριον· χαριστήριον δὲ δι' αὐτὸν καὶ τὸν ὕμνον ἀνετίθει Θεῷ. Τούτων δὲ παυσαμένων, καὶ αὖθις σιγῆς γενομένης, ὁ βασιλεὺς αὐτόθεν ἐκ καθέδρας τοῖς παραινετικοῖς ἐχρῆτο τῶν λόγων, προτρέπων αὐτοὺς εἰς ὁμόνοιαν· καὶ τὴν μὲν ἰδίᾳ ἑκάστῳ προσοῦσαν λύπην τό γε νῦν ἔχον ἐκέλευεν ἀμελεῖν· πολλοὶ γὰρ ἀντεγκαλοῦντες ἦσαν ἀλλήλοις, καὶ καιρὸν οἰόμενοι ἔχειν τὰ λυποῦντα διορθώσασθαι ὑπὲρ ὧν πρὸς ἀλλήλους διεπληκτίζοντο, βιβλία γράφοντες ἐνεχείριζον βασιλεῖ. Εὐχερῶς δὲ τούτου συμβαίνοντος, εἰς ῥητὴν ἡμέραν ἐκέλευεν ὕστερον διασκέπτεσθαι περὶ τούτων· ἐπὶ μέντοι τὸ περὶ τῆς πίστεως προκείμενον ἀρτίως χωρεῖν. Πολλοὶ δὲ, οἷς φίλον καὶ ἐπιπολὺ ἀπεχθάνεσθαι καί τινας αὖθις τῶν ἐπισκόπων ἐγράφοντο· καὶ ἐγγράφως καὶ ταῦτα βασιλεῖ ἔδοσαν. Οἷς πᾶσι δεσμὸν ἐπιθεὶς, καὶ τῷ σφραγιστῆρι δακτυ-

CAPUT XVI.

Ut imperator synodum ipsam ingressus sit: et oratio ejus, quam ad sacrum episcoporum ordinem habuit.

B Imperator ipse quoque, ubi festo die propter victoriam a Licinio reportatam peracto, Nicæam venit, maximum in imperiali palatio ædificium exornavit, et subsellia sediliaque satis multa, qui convenerant sacris viris, parietibus quoque productis, fieri curavit: et unicuique congruenti habito honore, ordine eos omnes ingredi jussit. Cum vero ei videretur ut et ipse in consilium prodiret, postremus omnium cum paucis ingressus est, digna prorsus admiratione corporis proceritate vultuque læto conspicuus, et novam quamdam gratam atque decentem, quæ in facie ejus insidebat, præferens veC nerationem. Et submissiore, quam amplitudo ejus ferret, throno, qui ei paratus fuerat, posito, non prius sibi considendum putavit quam id ei ab episcopis permitteretur. Tanta in imperatore humanitas cum reverentia qua viros illos prosequebatur, conjuncta inerat. Et tandem primus ipse in conventu admonitus consedit, et cum eo simul sacer ille chorus. **565** Ibi, cum altum esset silentium, primus Antiochenæ Ecclesiæ episcopus Eustathius, orationis laudibus, perinde atque recens decerptis floribus, imperiale illius caput exornavit, spectatumque divinis rebus curandis studium ejus legitimo honore et faustis omnibus compensavit. Itidem et Pamphili Eusebius assurgens egit: verba enim ad eum, quibus virtutes ejus laudibus vehe-D bat, fecit, et per eum gratiarum actiones et hymnos Deo sacravit. His finitis, silentio rursus facto, imperator ex ipsa cathedra exhortatione usus est, qua illos ad concordiam excitavit, et quem quisque privatim haberet dolorem, eum in præsentia postponere jussit. Permulti namque alius alium accusaverant: et tempus datum esse putantes quo quod cuique ægre esset averti curarique posset, de quibus rebus inter se confligebantur, de eis libellos imperatori obtulerant. Quos cum non gravate recepisset, ad certum diem postea de eis se deliberaturum dixit, atque in præsens, ad id quod de fide propositum esset, agendum, procedere jussit. Multi siquidem, qui libenter diutinas et acres etiam inimicitias gererent, episcopos quosdam crimina-

bantur, et querelas suas scriptas imperatori dabant. Quibus ille omnibus colligatis, sigillum annuli sui impressit, eosque diligenter servari præcepit. Post conventionem eam, dies constitutus cum venisset, libellos eos omnes in manibus tenens: Hæ, inquit, querelæ et accusationes magno illi Judici decidendæ remittuntur, statumque tempus extremi judicii sit dies: cui judici occulta etiam manifesta sunt. Mihi quidem homini, errori obnoxio, nefas esse videtur ecclesiasticorum virorum accusationes recipere et audire. Neque etiam omnino convenire puto, Dei ministros tales se præstare debere, ut vel a me vel ab alio judicentur. Si namque sacerdotum delicta plurimis innotescant, maxima præbetur eis offendiculi occasio, qui impune nullo timore peccare constituere. Quapropter agite, Christum æmulati, per mutuam veniam aliūs alii commissa remittamus. Oportere siquidem remitti ab eo debita, ille dicit, qui ipse gratiam delicti petat. His verbis dictis, libellos in conspectu eorum combussit, juratus, nihil se prorsus quæ in eis scripta essent legisse. **566** Addidit et illud: Si in episcopum incideret, alienum conjugium violantem, se purpura sua piaculum id obtecturum esse, ne tam fœdum facinus spectatoribus occasionem mali crearet.

Atque hæc quidem sic ante communem conventum acta. In consessu autem Patrum, oratione ad concordiam eos cohortans, de dogmatibus fidei consultare et sententias per suffragia dicere jussit. Quæ vero tum ad eos dixit in summa hæc sunt: « Gratias quidem, inquit, rerum omnium causa, sed hujus potissimum conventus nomine, ago Deo, Patres et fratres charissimi. Recte enim sic vos appello, quando hanc mihi communis Servator omnium nostrum, concessit gratiam, ut felicius etiam mihi quam votis optare sim ausus, res ceciderit. Tantam namque sacerdotum Dei in consilio et conventu uno frequentiam, illo concedente intueri, an non ingentis felicitatis loco habendum? sed pervelim vos omnes, eadem cogitantes, et animorum consensu in eadem sententia consistentes, videre. Rebus enim malisque adeo, quæ quis eloqui possit omnibus, longe deterius mihi esse duco, quod Ecclesiam Dei seditionibus inter se dissidentem et contrariis hostiliter sententiis conflictantem cerno. Quandoquidem autem (quod sane factum nollem) quæ ad me relata sunt omnibus jam innotuere, quo dolore animum meum perculsum esse putatis, cum seditionibus involutos esse vos audirem? Quod minime omnium a vobis factum oportuit, qui Dei ministri et pacis præcones designati estis. Quis jam aliis quieta consilia sequi persuadebit, quando vos tam hostiliter arma sumitis et inter vos depugnatis? Quam ob causam hanc sacram coegi synodum, qui imperator et conservus vester sum. Et hanc a vobis unam peto gratiam, quam cum a me vobis recipere, tum vos mihi dare est æquum, ut rebus quæ seditionem hanc peperere in medium prolatis, controversiisque quietis consiliis decisis, ad pacem, pro ea

λίῳ ὑποσημηνάμενος, ἀσφαλῶς τηρεῖν παρηγγύα. Μετὰ δὲ τὴν σύμβασιν, ἀφικομένης τῆς προθεσμίας, τὰ βιβλία παρόντων ἁπάντων ἐπὶ χεῖρας φέρων, Αὗται μὲν, ἔφη, αἱ κατηγορίαι τῷ μεγάλῳ ἐκείνῳ κριτῇ ἀνεῖνται, καὶ καιρὸς αὐταῖς ὁ τῆς ἐσχάτης κρίσεώς ἐστιν, ᾧ δῆλα καὶ τἀφανῆ καθίσταται· ἐμοὶ δὲ οὐ θέμις, ἀνθρώπῳ ἐφαμάρτῳ γε ὄντι, ἀνδρῶν ἱερέων κατηγορίας ἀναδέχεσθαι, καὶ εἰς ἀκρόασιν καθιστᾷν. Μηδὲ γὰρ ὅσιον ἔμοιγε χρῆναι λελόγισται, Θεοῦ λειτουργοὺς καθεστῶτας, τοιούτους ἑαυτοὺς παρέχειν, ὡς παρ' ἑτέρων ἢ ὑφ' ἡμῶν κρίνεσθαι. Τῶν γὰρ πλημμεληθέντων τοῖς ἱερεῦσι δήλων καθισταμένων τοῖς πλείστοις, πρόφασις σκανδάλου ἀνακύπτει πλείστη τοῖς ἀδεῶς ἁμαρτάνειν ἐθέλουσιν. Ἄγε οὖν Χριστὸν μιμησάμενοι, τῇ πρὸς ἀλλήλους συγγνώμῃ τὰ ἑαυτῶν θεραπεύσωμεν· ἀφιέναι γάρ φησι τὰ ὀφειλήματα δεῖν τὸν ἀφέσεως τυχεῖν ὀρεγόμενον. Ταῦτα λέγων, τὰ βιβλία παῤῥησίᾳ κατέκαυσεν, ἐπομνύμενος μηδὲν τῶν ἐγκειμένων τοῖς γράμμασιν ἀναγνῶναι. Προσετίθει δὲ τούτοις, ὡς εἴ γε καὶ ἐπισκόπῳ ἐνέτυχε γάμον ἀλλότριον διορύττοντι, συγκαλύψαι ἂν τῇ πορφυρίδι τὸ ἄγος, ἵνα μὴ τοὺς θεωμένους ἡ τῶν δρωμένων ὄψις εἰς βλάβης πρόφασιν περιστῇ.

Ταῦτα μὲν πρὸ τῆς κοινῆς συνελεύσεως· τότε δ' οὖν τοὺς πρὸς ὁμόνοιαν παρακλητικοὺς διελθὼν, περὶ τῶν δογμάτων τῆς πίστεως τὴν σκέψιν ποιεῖσθαι κατὰ γνώμην ἐπέτρεπεν. Ἃ δ' οὖν διελέγετο τούτοις, ὡς ἐν τύπῳ περιλαβεῖν, ἦσαν ταῦτα· « Χάριν μὲν εἰδέναι Θεῷ πάντων ἕνεκεν ἔλεγεν· οὐχ ἧττον δὲ τῷ παρόντι συλλόγῳ, ὦ φίλοι καὶ πατέρες καὶ ἀδελφοί· καλῶ γὰρ ὑμᾶς οὕτω, τοῦ κοινοῦ Σωτῆρος ἡμῶν ταῦτα χαρισαμένου. Καὶ πλέον γὰρ ἢ κατ' εὐχὴν ἔμοιγε περιέστη τὸ πρᾶγμα· τὸ γὰρ τοσούτους ἱερέας Θεοῦ, ἐς ταυτὸ συνδραμόντας ἀξιοῦσθαι ὁρᾷν, πόσου ἄν τις θείη; Ἀλλά γε βουλοίμην ἂν ἅπαντας ταῦτα μὲν θεᾶσθαι φρονοῦντας, συμφωνίᾳ δὲ ψυχῆς ἐπὶ μιᾶς ἑστάναι τῆς γνώμης. Παντὸς γὰρ ἔμοιγε χεῖρον, καὶ ὅσου ἄν τις εἴποι κακοῦ ἐπέκεινα κρίνω, τὴν Ἐκκλησίαν Θεοῦ ὁρᾷν στασιάζουσαν, καὶ εἰς ἀντιπάλους διακρίνεσθαι δόξας. Ὁπηνίκα τοίνυν, ὥς γε μὴ ὤφελε, καταφανῆ ἅ μοι προσηγγέλη ἐγένετο, πῶς δοκεῖτε δέδηγμαι, τὴν ψυχὴν στασιάζειν πεπυσμένος ὑμᾶς; οὓς ἥκιστά γε προσῆκε, Θεοῦ λειτουργοὺς καὶ βραβευτὰς εἰρήνης καθεστηκότας. Τίς γὰρ ἂν τοὺς ἄλλους πείσειεν ἠρεμεῖν, ὑμῶν οὕτω διὰ μάχης ἰόντων καὶ κατ' ἀλλήλων ὁπλιζομένων; Ἔνθεν τοι καὶ τὴν ἱερὰν ὑμῶν συνεκρότησα σύνοδον, βασιλεύς τε ὢν καὶ συνθεράπων ὑμέτερος. Καί γε μίαν αἰτῶ χάριν, ἥν ἐμέ τε λαβεῖν, καὶ ὑμᾶς πάντως δοῦναι δίκαιον· τὴν δὲ εἶναι τὰ τὴν στάσιν γεννήσαντα ἐπὶ μέσου προθεῖναι, καὶ τὴν ἀμφισβήτησιν ἡσυχῇ διαλυσαμένους, εἰς εἰρήνην κατὰ τὴν ἑνοῦσαν ὑμῖν χάριν ἄγειν πάντας, καὶ τὸ ἀστασίαστον τῷ δόγματι ἐπιχορηγῆσαι· ἵνα σύναμα τοσούτῳ θείῳ στρατῷ καὶ κατὰ τοῦ φθονεροῦ δαίμονος κοινὸν ἀναστήσω τὸ τρόπαιον· ὃς τῶν παλαμναίων τυράννων ἐκποδὼν ὡς τάχος

γεγενημένων, οἳ τὰ φίλα ἐκείνῳ ἦσαν διαπραττόμενοι, ἀμηχανήσας, τὸν ἐμφύλιον τουτονὶ πόλεμον ἂν ἐῤῥίπισε, νεμεσῶν ἀεὶ καὶ τοῖς ἡμετέροις ἐπιτιθέμενος ἀγαθοῖς. Διὸ δέομαι ὡς Θεοῦ παρόντος, ἕκαστος διαῤῥίψας εἴ τι ἄχθος ἐντριβὲν ἔχει, τῷ τῆς κοινῆς ὁμονοίας προσίτω καλῷ. Μηδὲ γὰρ ἂν τὰ κοινὰ καλῶς ἔχειν οἰέσθω τις, τῶν καθ' ὑμᾶς οὕτως ἐν στάσεσι καθεστώτων καὶ διχονοίαις. Καὶ γὰρ ἂν εἴη δεινὸν καὶ τῶν ἄγαν ἀτόπων, εἰ τῶν πολεμίων οὕτω καταλυθέντων, οὐδενὸς δ' ἔτι ἀντιτείνειν τολμῶντος, ὑμᾶς κατ' ἀλλήλων ὁπλίζεσθαι· καὶ τοῦτό γε εἰς ἡδονὴν καθεστάναι τῶν πολεμίων καὶ εἴρωνα γέλωτα· καὶ ταῦτα περὶ θείων διαλεγομένους πραγμάτων, οἷς ἡ τοῦ Πνεύματος διδασκαλία διαῤῥήδην εἰσηγεῖται τὸ ποιητέον. Ἥ τε γὰρ τῶν ἱερῶν Εὐαγγελίων γραφὴ, τά τε τῶν ἀποστόλων θεόπνευστα ῥήματα, πρὸς ἐπὶ τούτοις δὲ καὶ προφητῶν ἀρχαῖα θεσπίσματα σαφῶς ἃ χρῆναι περὶ Θεοῦ λέγειν τε καὶ φρονεῖν ἡμᾶς ἐκδιδάσκουσι. Καὶ τοίνυν τὴν ἔριν ὡς ποῤῥωτέρω βαλόντες, ἣ τὸν ἱερὸν τοῦτον πόλεμον ἀνηρέθισε, τοῖς θεοῤῥήτοις διδάγμασι τῶν ἀμφηρίστων τὴν λύσιν ζητήσωμεν. Καί γε ῥᾳδία, ὥς γε οἶμαι, ἐσεῖται ἡ εὕρεσις, εἴπερ βουλοίμεθα. »

quæ vobis inest gratia, cunctos redigatis, et doctrinæ concordiam reducatis Sic enim futurum est, ut ego cum tam frequenti et sacro cœtu vestro, contra invidum dæmonem commune statuam tropæum, qui pestiferis illis tyrannis, quorum opera in rebus omnibus est ex sententia usus, quam celerrime e medio sublatis, rerum suarum satagens, intestinum hoc commovit bellum, invidens semper et rebus nostris prosperis imminens. Quod ego vos, tanquam Deo præsente, oro, **567** ut pro se quisque, ea quæ animum ejus angit molestia abjecta, se ad communis concordiæ commodum adjungat. Neque enim quisquam vestrum putet rempublicam rite administrari posse, si vos ita seditionibus et dissidiis digladiabimini. Et profecto grave admodum et absurdum fuerit, hostibus jam victis cum nemo contra niti audeat, vos armis inter vos contendere, causamque inimicis ea re præbere voluptatis et ironici subdolique risus, idque de rebus divinis disserentes, quos doctrina Spiritus aperte quid sit faciendum docet. Sacrorum namque Evangeliorum scriptura, et apostolorum divinitus inspirata verba, ad hæc prisca quoque prophetarum oracula, manifeste nos quæ de Deo et dicere et sentire oporteat, erudiunt. Itaque, quæ sacrum hoc bellum excitavit, contentione quam longissime missa facta, divinis doctrinis controversiarum inquiramus decisionem; quod sane commodum nobis et inventu facile erit, si voluerimus. »

ΚΕΦΑΛ. ΙΖ'.

Περὶ ὧν ἡ σύνοδος ὥρισε· καὶ περὶ τοῦ ἁγίου συμβόλου.

Ταῦτα δὲ καὶ τὰ τούτοις παραπλήσια οἷα παῖς φιλοπάτωρ τοῖς ἱερεῦσιν ὡς πατράσι προσφέρων, τὴν ἀποστολικὴν συμφωνίαν ἐπραγματεύετο. Ἐπισυνείρων δὲ καὶ ἄλλα, ἑξῆς περὶ τοῦ δόγματος ἀνακινεῖν ἐπέτρεπε τὴν διάλεξιν. Καὶ παρήγετο μὲν εἰς μέσον ὁ Ἄρειος· καὶ τῶν ἐκείνῳ προβαλλομένων ἀκριβὴς ἡ βάσανος ἦν· ἐφυλάττοντό γε μὴν προπετῆ τὴν ψῆφον ἐπὶ θάτερον ἄγειν. Οἷα δ' ἐν τῷ τρίτῳ πρὸς Κωνσταντῖνον βιβλίῳ καὶ περὶ τούτων φησὶν ὁ Εὐσέβιος, χρεὼν διελθεῖν. « Πλείστων δὴ τῶν ὑφ' ἑτέρῳ τάγματι προτεινομένων, πολλῆς τε ἀμφιλογίας τὰ πρῶτα συνισταμένης, ἀνεξικάκως ἐπηκροᾶτο ὁ βασιλεὺς τῶν πάντων, σχολῇ τε εὐτόνῳ τὰς προτάσεις ὑπεδέχετο· ἐν μέρει τε ἀντιλαμβανόμενος τῶν παρ' ἑκατέρου τάγματος λεγομένων, ἠρέμα συνῆγε τοὺς φιλονείκως ἐνισταμένους· πραέως τε ποιούμενος τὰς πρὸς ἕκαστον ὁμιλίας, ἑλληνίζων τε τῇ φωνῇ, ὅτι μηδὲ ταύτης ἀμαθῶς εἶχε, γλυκύτερός τις ἦν καὶ ἡδὺς, τοὺς μὲν συμπείθων, τοὺς δὲ καὶ σιωπῶν τῷ λόγῳ, τοὺς δ' εὖ λέγοντας ἐπαινῶν, πάντας τε εἰς ὁμόνοιαν ἐλαύνων, ὁμογνώμονάς τε καὶ ὁμοδόξους αὐτοὺς ἐπὶ τοῖς ἀμφισβητουμένοις ἅπασιν ἐπιτοαυτὸ κατεστήσατο· ὡς ὁμοφώνως μὲν κρατῆσαι τὴν πίστιν, τῆς δὲ σωτηρίου ἑορτῆς τὸν αὐτὸν παρὰ τοῖς πᾶσιν ὁμολογηθῆναι καιρόν. Ἐκυροῦτό τε ἤδη καὶ ἐγγράφως δι' ὑποσημειώσεως ἑκάστου τὰ κοινῇ δεδογμένα. »

CAPUT XVIII.

De quibus rebus synodus decreta fecerit, et de sancto fidei nostræ symbolo.

Hæc illi, aut certe hisce similia, veluti pius filius, ad episcopos, tanquam patres, dixit. Alia quoque addidit, quibus disputationem de doctrina moveri permisit, apostolicam concordiam inducere studens. Et productus est in medium Arius, atque de eis quæ ab ipso in quæstionem deducta fuerant, diligens et accurata disquisitio facta. In primis vero cavebatur ne temere atque præcipitanter in alterutram partem sententiæ proferrentur. Quæ porro hisce de rebus in tertio ad Constantinum libro Eusebius memoret, referenda censui. « Plurimis sane argumentis a parte altera prolatis, ac multa primum disputatione hinc et inde instituta, patienter admodum omnia audivit imperator, et intenta diligentia propositas quæstiones sustinuit: seorsimque deinde quæ ab utraque afferebantur parte excipiens, paulatim eos qui ardore contentionis acrius ferebantur, conciliavit, et placide cum unoquoque agens, atque Græco sermone utens, quod et hujus imperitus non esset, suavem et jucundum se exhibuit. Et his quidem persuadens, illis vero sermone silentium imponens, nec non recta dicentes laudans, **568** omnes autem ad concordiam excitans, in eamdem opinionem et sententiam de rebus in controversiam deductis omnibus omnes perduxit, ita ut in professione eadem fidei consentirent, et eodem tempore omnes se salutiferum festum celebraturos profiterentur. Decreta quoque communia in scriptum relata, et uniuscujusque subscriptione roborata. »

Hæc propterea hic inserui, ut professionis fidei testimonium etiam ab hostium confessione momentum et pondus aliquod habeat, ne quis objicere aut cavillari queat, idiotas et indoctos prorsus fuisse, qui eam in scriptum retulere. « Eorum enim, inquit Eusebius, qui Nicææ convenerunt, servorum Dei, alii quidem præcelluerunt sapientiæ sermone, alii vitæ gravitate. » Et imperator ipse præsens, omnes ita ad concordiam producens, consentientes effecit. Sedenim professio fidei a trecentis decem et octo episcopis in scriptum relata, atque ab eisdem et simul a sapientissimo Constantino adnotationibus confirmata, quæ etiam nunc Ecclesiis olim tradita obtinet, de verbo ad verbum sic habebat: « Credimus in unum Deum, Patrem omnipotentem, visibilium et invisibilium omnium factorem. Et in unum Dominum Jesum Christum, Filium Dei, genitum ex Patre, unigenitum: hoc est, ex substantia Patris: Deum de Deo, lumen de lumine, Deum verum de Deo vero, genitum, non factum; consubstantialem Patri, per quem omnia facta sunt. Qui propter nos homines, et propter nostram salutem, descendit, et incarnatus est, homo factus et passus, et resurrexit tertia die. Ascendit in cœlos, et venturus est judicare vivos et mortuos. Et in Spiritum sanctum. Qui autem dicunt, fuisse aliquando tempus cum non esset, aut non fuisse priusquam genitus esset, aut ex non exsistentibus factum esse, aut ex alia subsistentia vel substantia fuisse, aut creatum, aut mutationi alterationive obnoxium: eos anathemate ferit catholica et apostolica Ecclesia Dei. » Ad hunc modum omnibus inter se convenit, ut consubstantialem Patri Filium esse decernerent et sanam fidem complecterentur.

569 CAPUT XVIII.

De episcopis qui per dissidium contra decretum synodi pugnarunt: et quæ contra eos ipsumque Arium synodus et ipse imperator constituerunt.

At pauci admodum Arii laudarunt opinionem. Paulo post tamen et ipsi fidem eam approbarunt (excepto Secundo et Theona) qui etiam ὁμοουσίου, *consubstantialis*, vocem reprehenderunt. Erant autem hi: Eusebius Nicomediæ, Theognis Nicææ, Maris Chalcedonis, Theonas Marmaricæ, Secundus Ptolemaidis, Menophantus Ephesi, Patrophilus Scythopolis, Narcissus Neroniadis (quæ secundæ Ciliciæ civitas est, nunc Irenopolis vocata), episcopi. Dicebant namque ὁμοούσιον esse quod ex aliquo sit per partitionem, aut per germinationem, aut per fluxum. Ac per fluxum quidem, ut paterni liberi; per germinationem, ut ex radicibus surculus; per partitionem autem, ut ex massa aurea ramenta duo vel tria. At quia juxta nullam talium modorum rationem ex Patre Filius esset, propterea editam fidei professionem rejicere instituerunt. Et cum ὁμοουσίου vocem prorsus non receperunt, tam subscribere decreto ei, quo dignitas presbyteri Ario est abrogata, noluerunt. Quæ res synodo causam præbuit ut Arium atque una omnes qui

Ταῦτα δὲ παρεθέμην, ἵν' ἡ μαρτυρία τῆς πίστεως καὶ παρὰ τῶν ἐχθρῶν ἔχοι τὸ βέβαιον· μηδέ τις κατηγορεῖν ἔχοι, ὡς ἰδιῶται ἦσαν, καὶ μηδὲν ἐπιστάμενοι οἱ ἐκθέμενοι. « Τούτων γὰρ, φησὶν ὁ Εὐσέβιος, τῶν ἐν Νικαίᾳ Θεοῦ λειτουργῶν οἱ μὲν διέπρεπον σοφίας λόγῳ, οἱ δὲ βίου στεῤῥότητι· » καὶ ὅτι ὁ βασιλεὺς παρὼν, πάντας εἰς ὁμόνοιαν ἄγων, ὁμοδόξους κατέστησεν. Ἡ γε μὴν παρὰ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἐξενεχθεῖσα πίστις, ἣ καὶ ταῖς ἐκκλησίαις μέχρι καὶ νῦν ἐκδέδοται πολιτευομένη, ἀσφαλισθεῖσα ταῖς γραφαῖς τῶν ἐπισκόπων, καὶ Κωνσταντίνου τοῦ θεοσόφου βασιλέως, εἶχεν ἐπὶ λέξεως οὕτως· « Πιστεύομεν εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα, πάντων ὁρατῶν καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ, γεννηθέντα ἐκ τοῦ Πατρὸς, μονογενῆ· τουτέστιν ἐκ τῆς οὐσίας τοῦ Πατρός· Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ· γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρὶ, δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ἐν τῷ οὐρανῷ καὶ τὰ ἐν τῇ γῇ· τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, κατελθόντα καὶ σαρκωθέντα, ἐνανθρωπήσαντα, παθόντα καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ· ἀνελθόντα εἰς τοὺς οὐρανοὺς, καὶ ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς· καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον. Τοὺς δὲ λέγοντας, Ἦν ποτὲ ὅτε οὐκ ἦν, ἢ, Οὐκ ἦν πρὶν γεννηθῆναι, ἢ, Ἐξ οὐκ ὄντων ἐγένετο, ἢ, Ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας φάσκοντας εἶναι, ἢ κτιστὸν, ἢ τρεπτὸν, ἢ ἀλλοιωτὸν τὸν Υἱὸν τοῦ Θεοῦ, τούτους ἀναθεματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ τοῦ Θεοῦ Ἐκκλησία. » Οὕτως ἅπαντες ἀλλήλοις συνέβησαν· καὶ ὁμοούσιον εἶναι τῷ Πατέρι τὸν Υἱὸν ἐψηφίσαντο, καὶ τὸ ὑγιὲς τῆς πίστεως κατησπάσαντο.

ΚΕΦΑΛ. ΙΗ'.

Περὶ τῶν στασιασάντων ἐπισκόπων κατὰ τοῦ δόγματος· καὶ ὅσα κατά τε Ἀρείου καὶ αὐτῶν ἡ σύνοδος καὶ ὁ βασιλεὺς ἐψηφίσαντο.

Ὀλίγοι δέ τινες τὴν Ἀρείου ἐπῄνουν δόξαν· μετὰ βραχὺ δὲ καὶ οὗτοι συνέθεντο, πλὴν Σεκούνδου καὶ Θεωνᾶ, οἳ καὶ ἐν αἰτίας τὴν τοῦ ὁμοουσίου λέξιν ἐτίθεντο. Ἦσαν δὲ οὗτοι, Εὐσέβιος ὁ Νικομηδείας, Θέογνις ὁ Νικαίας, Μάρις ὁ Χαλκηδόνος, Θεωνᾶς ὁ Μαρμαρικῆς, Σεκοῦνδος ὁ Πτολεμαΐδος, Μηνόφαντος ὁ Ἐφέσου, ὁ Σκυθοπολίτης Πατρόφιλος, ὁ Νερωνιάδος Νάρκισσος (Κιλικίας δ' ἐν τῇ δευτέρᾳ ἡ Νερωνιάς ἐστιν, ἣ νῦν Εἰρηνούπολις ὀνομάζεται). Ἔλεγον γὰρ ὁμοούσιον εἶναι, ὃ ἔκ τινός ἐστι κατὰ μερισμὸν, ἢ κατὰ προβολὴν, ἢ κατὰ ῥεῦσιν· καὶ κατὰ μὲν ῥεῦσιν, ὡς οἱ πατρικοὶ παῖδες· κατὰ προβολὴν δὲ, ὡς ἐκ ῥιζῶν βλάστημα· κατὰ μερισμὸν δὲ, ὡς βώλου χρυσίδες δύο ἢ τρεῖς. Ὧν κατ' οὐδένα τρόπον εἶναι ἐκ Πατρὸς τὸν Υἱόν· καὶ διὰ τοῦτο μὴ συντίθεσθαι τῇ ὑπαγορευθείσῃ πίστει ἐνίσταντο. Τὸ παράπαν δὲ μὴ δεξάμενοι τὴν τοῦ ὁμοουσίου λέξιν, τῇ Ἀρείου καθαιρέσει ὑπογράψαι οὐκ ἤθελον. Διόπερ ἡ μὲν σύνοδος Ἄρειον καὶ τοὺς ὁμόφρονας ἐκείνῳ ὑπέλαβεν ἀναθέματι ἐκκηρύξασα, καὶ μὴ ἐπιβαίνειν Ἀλεξανδρείας ἐθέσπιζε τούτων

μηδένα. Οὐ μὴν δὲ ἀλλὰ καὶ τὰς λέξεις αὐτοῦ τῆς αἱρέσεως ἀνεθεμάτισε· καὶ τὸ βιβλίον δὲ ὁ κατὰ τῆς εὐσεβείας συντάξας ἐπέγραψε *Θάλειαν*· οὗ ὁ χαρακτὴρ, ὡς ἐκ γραφῆς ἐπυθόμην, ἀφελής τις ἦν καὶ διαλελυμένος, ἐοικὼς τοῖς Σωτάδου τοῦ ποιητοῦ ᾄσμασι· καὶ εἴ τι δὲ αὐτοῦ καὶ τῶν ὁμοφρόνων αὐτοῦ εὑρίσκοιτο σύγγραμμα, δαπάνην πυρὶ καταλείπεσθαι, ὡς μήτι αὐτῶν ὑπόμνημα τῆς αἱρέσεως τῷ ἑξῆς βίῳ ἐμφέρεσθαι· θάνατον δ' εἶναι ζημίαν ἐνομοθέτει, εἴ τις φωραθείη τι κατακρύπτων ἐκείνων, καὶ μὴ θᾶττον ἐμπίπρησι. Πολλὰς δ' ἐπιστολὰς ὁ βασιλεὺς κατὰ πόλεις ἔπεμπε κατά τε Ἀρείου καὶ τῶν τὰ ἴσα φρονούντων ἐκείνῳ. Εὐσέβιον δὲ καὶ Θέογνιν τῶν ἰδίων ἐφυγάδευε πόλεων. Τῇ δὲ Νικομηδείᾳ ἔχεσθαι τῆς ὀρθῆς πίστεως παρηγγύα, ἣν οἱ τριακόσιοι παρέδοσαν· καὶ ἐπισκόπους προχειρίζειν ἑτέρους, ὀρθὰ φρονεῖν ᾑρημένους· βυθοῖς δὲ λήθης Εὐσεβίου παραδοῦναι τὴν μνήμην. Οἷς δ' ἐπιχειρεῖν γένοιτο τὰ ἐκείνων ἢ φρονεῖν ἢ ἐπαινεῖν, κολάζειν σφόδρα ἠπείλει. Οἷς δὴ γράμμασι καὶ ἄλλως ἀπηχθημένον εἶναι ἐδήλου Εὐσέβιον, ὡς πρότερον Λικινίῳ συμφρονοῦντα. Κατὰ δὴ ταῦτα τὰ γράμματα οὐ μόνον ἠλάθησαν, ἀλλὰ καὶ ἑτέρους ἔσχον ἐπὶ τῶν οἰκείων θρόνων. Ἀντὶ γὰρ Εὐσεβίου Ἀμφίων τὴν Νικομήδους ἐλάμβανε, Χρηστὸς δὲ τὴν Νικαίας· καὶ ἄμφω δὲ τῶν εὐσεβούντων μάλιστα ἦσαν. Εἰδέναι δὲ χρὴ ὡς Εὐσέβιος καὶ Θέογνις καὶ οἱ περὶ αὐτοὺς πρότερον μὲν τῇ συνόδῳ πίστεως διδασκαλίαν ἰδίαν ὑπαγορεύσαντες ἔδοσαν, ἣν, ὡς κίβδηλον καὶ ἀσεβείας μεστὴν, διέῤῥηξαν· πολλοῦ δ' ἐντεῦθεν ταράχου ἀναχυθέντος, καὶ πάντων τῷ προδήλῳ τῆς ἀσεβείας κατ' αὐτῶν κινουμένων, τὰ μὲν πρῶτα Ἄρειον καὶ αὐτὸν ἀναθέματι καθυπέβαλον, πλὴν Σεκούνδου καὶ Θεωνᾶ· ὑπογράψαι μέντοι τῇ αὐτοῦ καθαιρέσει οὐκ ἠβουλήθησαν, καίπερ τῇ τῆς πίστεως ἐκθέσει καθυπογράψαντες, κἂν ὑπούλως καὶ οὐκ εἰλικρινῶς μετὰ τὴν ἐξορίαν ἐπανελθόντες, ὡς προϊόντες δηλώσομεν. Μαρτυρήσει δὲ καὶ αὐτὰ τὰ παρ' αὐτῶν γεγενημένα τοῖς τῆς εὐσεβείας προβόλοις, καὶ ὅσα περὶ τούτων κατέλιπον· ἃ δὴ καὶ ἐκθήσομαι. Ὅ γε μὴν Εὐσέβιος ἕτερος, ὁ Παμφίλου τὴν προσωνυμίαν κεκληρωμένος, τῇ συνόδῳ παρών, ἀμφιβάλλων ἦν καὶ διασκεπτόμενος, εἴ γε δέον τῷ ἐκτεθέντι ὅρῳ στοιχεῖν· καὶ μικρὸν ἐπισχὼν, συνῄνεσέ τε, καὶ τῇ χειρὶ ἐπεσφράγιζε· καὶ τῇ σφετέρᾳ ἐκκλησίᾳ αἰτιωμένῃ τὸν ὅρον ἔπεμπεν, ἐν ᾧ καὶ τὴν τοῦ ὁμοουσίου λέξιν διασαφεῖ· ἵνα μή τινι δι' ὑπονοίας γένηται, ἅτε δὴ ἐμβραδύνας, ὡς ἀτημελήτως καὶ ὡς ἔτυχε τὰ τοῦ ὅρου ὑπέγραφε.

ejus adhærerent sententiæ, excommunicatos anathemati subjiceret, ac ne quis eorum Alexandriam ingredi auderet, sanciret. Voces etiam hæresis ejus anathematizavit, et librum quem ille contra pietatem compositum *Thaliam* inscripserat, quasi floridum et viridantem, cujus stylus et elocutio, sicuti ex scripto ipso cognovi, simplex et dissoluta, Sotadisque poetæ cantilenis persimilis fuit; ac præterea, si quod aliud ejus aut sectatorum ejus inveniretur scriptum, ut id igni mandaretur edixit. Quin capite quoque Constantinus sanxit, si quis quidquam eorum pressum occultasse, nec statim exussisse compertus esset. Multas insuper epistolas per urbes passim contra Arium et qui sectæ ejus erant, misit. Eusebium et Theognidem sedibus suis exegit, et Nicomedienses ad complectendam a trecentis proditam rectam fidem, aliosque episcopos qui recte sentirent legendos, Eusebiumque (1) oblivioni mandandum, est hortatus. **570** Qui vero cum Ario sensuri aut opinionem ejus laudaturi essent, in eos se graviter animadversurum esse, est minitatus. Quibus litteris etiam significavit, aliam ob causam invisum sibi Eusebium esse, ut qui antea Licinii partes secutus fuerit. Itaque non solum illi sunt proscripti, sed alii quoque in eorum locum lecti. Pro Eusebio enim Nicomediæ Amphion, pro Theognide autem Nicææ Chrestus, episcopi facti, ambo sincerioris pietatis quam maxime studiosi. Illud scire oportet, Eusebium et Theognidem, quique præterea factionis ejus erant alios, fidei suæ doctrinam in scriptum relatam seorsim synodo obtulisse, eamque ut adulterinam et impietatis plenam discerptam esse. Quam ob causam, quod ingens turba excitata, atque omnes propter manifestam impietatem adversus eos commoti essent, ipsi quoque, præter Secundum et Theonam, Arium quidem anathemati (2) subjicere, exauctorationique illius subscribere nolentes, fidei professioni subscripserunt: quod tamen simulanter et insincere fecerunt, ab exsilio reversi, sicut postea ostendemus. Testificabuntur id quoque res eorum adversus pietatis defensores actæ, et quæ ipsi de rebus his reliquerunt scripta, quæ itidem recensebo. Eusebius sane alter, cui Pamphili cognomen inditum, adfuit et ipse concilio, dubiusque etiam atque etiam secum consideravit an promulgatæ fidei professioni assentiri deberet: atque aliquantulum assensione retenta, eam tandem approbavit et subscriptione sua confirmavit: Ecclesiæ quoque suæ quærenti professionem et definitionem eam misit, in qua vocem quoque τοῦ ὁμοουσίου declarat, ne cui suspectus fieret tanquam tardius aut neglectim, nulla adhibita cura, illi subscripsisset.

(1) Eusebius Nicomediensis ad Constantinum imperatorem, manu vestem suam quam gestabat demonstrans, dicere est ausus: « Etiamsi hæc me inspiciente rupta dividatur, non tamen ejusdem substantiæ esse dixerim utrumque: Εἰ τοῦτο τὸ ἱμάτιον ἐμοῦ θεωμένου διαιρεθείη, οὔποτ' ἂν φαίην τῆς αὐτῆς οὐσίας ἑκάτερον. » Qua blasphemia permotus Constantinus, eo proclivius in proscriptionem ejus consensit. » (Sozom. lib. II, cap. 21).

(2) Καθαιρέσει, *abrogationi*, *abdicationi*, *degradationi*.

571 CAPUT XIX.

Quæ de Paschate et hæresiarcha Melitio synodus decreverit, et de sacris divinisque canonibus. Item quid Paphnutius confessor suaserit.

Fidei dogmate rite atque ordine confirmato, rursum convenere ac de sacris Paschæ feriis disceptarunt. Placuitque omnibus ut eodem tempore ab omnibus festus is dies celebraretur. Tertio porro congressu, de eo quem antea diximus, Melitio hæresiarcha, ejusque sectatoribus atque rebus per eum in Ægypto novatis, inquisitum atque decretum, ut omnes illi Lyci essent, nudum episcopatus nomen retinentes, et ne cui eorum postea imponendæ manus potestas esset. Quos autem antea manuum impositione dignati essent, ut illi in ministerio suo, quod sortiti fuerant, permanerent quidem, et absque metu omni communicarent, dignitate autem et honore ab aliis cujuscunque Ecclesiæ ministris secundas ferrent : atque ut in defunctorum locum deinceps recens apud eos cooptati subrogarentur, si quidem suffragio digni viderentur, episcopo Alexandrino legente, ipsi vero legendi arbitrio suo potestatem non haberent. Ac recte sane et commode hoc sic synodus constituit, ut Melitii sectatorumque ejus temeritas atque celeritas manuum imponendarum compesceretur. Tam præfracta namque audacia fuit Melitius, ut persecutionis temporibus cum fugeret atque latitaret, manus imponendæ potestatem, ad celeberrimum illum Petrum martyrem pertinentem, sibi raperet atque vindicaret. Quare illud evenit, ut tantopere schisma et factio ejus per Ægyptum invalesceret.

Iis ita peractis, moribus conformandis concilium leges postremo tulit viginti (1) : canones nominare solent. De quibus cum consultaretur, reliquis quidem constituendum esse visum est (2), ut quicunque sacrum aliquod sortiti essent ministerium, præter quam lectores, de cætero cum uxoribus suis non concumberent, quas ante initum sacrum magistratum duxissent. Solus autem Paphnutius, superiorum Thebarum episcopus, de quo antea nobis facta est mentio, intercessione sua rem eam impedivit : veneratione dignum esse matrimonium, neque castitate et pudicitia sua id carere dicens; legitimumque insuper jus ejus subjiciens, synodum rogavit ut legem eam non perferret : gravem enim utrisque, sacerdotibus scilicet et conjugibus eorum, atque etiam fortasse vitæ parum pudicæ causam fore. **572** Quapropter, inquit, pro eo atque antiquitus servari solitum est, deinceps quoque obtinere oportet, ut qui sacerdotalem susceperint dignitatem cælibes, postea quoque a conjugio abstineant; qui vero uxore ducta in ordinem sacrum cooptati sint, ut a conjugibus suis non separentur. Hæc Paphnutio (3),

ΚΕΦΑΛ ΙΘ'.

Ὅσα περὶ τοῦ Πάσχα καὶ τοῦ αἱρεσιάρχου Μελιτίου ἡ σύνοδος ἀπεφήνατο· καὶ περὶ τῶν ἱερῶν καὶ θείων κανόνων. Τί ὁ ὁμολογητὴς Παφνούτιος ἐβουλεύσατο.

Καλῶς δὲ κυρωθέντος τοῦ δόγματος, αὖθις συνελθόντες, τὰ περὶ τῆς τοῦ Πάσχα ἑορτῆς διεσκέπτοντο. Καὶ ἐδόκει πᾶσι, κατὰ τὸν αὐτὸν ἐπιτελεῖν καιρὸν πάντας τὴν ἑορτήν. Τρίτῃ δὲ συνελεύσει καὶ τὰ κατὰ τὸν πρόσθεν ῥηθέντα Μελίτιον τὸν αἱρεσιάρχην καὶ τοὺς περὶ αὐτὸν ἐξητάζοντο, καὶ τὰ δι' αὐτὸν ἐν Αἰγύπτῳ συμβάντα καὶ νεωτερισθέντα. Καὶ δεῖν ἐδόκει πάντας ἐν τῇ Λυκῷ διατρίβειν, μόνον ἐπισκοπῆς γυμνὸν ὄνομα ἔχοντας· μὴ ἐξεῖναι δὲ αὐτοῖς εἰσέπειτα χεῖρας ἐπιτιθέναι τινί. Οὓς μέντοι φθάσαντες χειροθεσίας ἠξίωσαν, μένειν ᾗ ἔλαχον λειτουργίᾳ, καὶ ἀδεῶς κοινωνεῖν· ταῖς γε μὴν τιμαῖς δευτέρους εἶναι τῶν ἐν ἑκάστῃ παροικίᾳ καὶ ἐκκλησίᾳ κεκληρωμένων. Εἰ δέ τις φθάσει τελευτήσας, τῶν πρὸ αὐτῶν ταῖς τιμαῖς ἐπαναλαμβάνειν, εἰ ψήφῳ τέως ἄξιος φαίνοιτο, τοῦ τε Ἀλεξανδρείας ἐπισκόπου ἐπιχειροτονοῦντος· μὴ αὐτοὺς δὲ ἐπιλέγεσθαι οὓς ἂν ἐθέλωσι· καλὸν δὲ καὶ δίκαιον τοῦτο τῇ συνόδῳ ἐδέδοκτο, τὸ προπετὲς καὶ ἕτοιμον εἰς χειροθεσίας Μελιτίου καὶ τῶν περὶ αὐτὸν ἐπιστομιζούσῃ. Τοσοῦτος γὰρ ἦν αὐθαδείᾳ χρώμενος, ὡς καὶ τὰς διαφερούσας Πέτρῳ τῷ ἀοιδίμῳ μάρτυρι χειροθεσίας ἀφαρπάζειν καὶ ὑφ' ἑαυτὸν ποιεῖν, ὁπηνίκα τὸν διωγμὸν φεύγων ἦν ἐκεῖνος, καὶ διὰ τοῦτο κρυπτόμενος. Οὗ χάριν καὶ ἐπιπολὺ τὸ κατ' αὐτὸν σχίσμα ἐν Αἰγύπτῳ ἐκράτησεν.

Ἔπειτα ἡ σύνοδος καὶ τὸν βίον ἐπανορθοῦσα, τὸ τελευταῖον καὶ νόμους ἐκτίθησιν εἴκοσιν, οὓς κανόνας εἰωθὸς ὀνομάζειν. Βουλευομένων δὲ περὶ τούτων, τοῖς μὲν ἄλλοις δεῖν ἐδόκει πάντας τοὺς ἱερᾶσθαι λαχόντας, δίχα μόνων ἀναγνωστῶν, μὴ τουλοιποῦ ταῖς ἑαυτῶν γαμεταῖς συγκαθεύδειν, ἃς πρὶν τῆς ἀξίας τυχεῖν ἔσχον· Παφνούτιος δὲ ἐκ τῶν ἄνω Θηβῶν, οὗ μικρῷ πρόσθεν ἐμνήσθην, ἀναστὰς διεκώλυε, τίμιον εἶναι τὸν γάμον ἀποκαλῶν· μὴ ἀμοιρεῖν δὲ σωφροσύνης καὶ τὸν ἔννομον ὑποτιθέμενος· καὶ τῆς συνόδου ἐδεῖτο τοῦτον τὸν νόμον ἀπαγορεύειν· ἐν χαλεπῷ γὰρ εἶναι καὶ ἀμφοτέροις, αὐτοῖς τε καὶ γαμεταῖς. Ἴσως γὰρ αἴτιος ὁ νόμος οὗτος τοῦ μὴ σωφρονεῖν γένοιτο. Ὅθεν ἔμοιγε δεῖν ἔλεγε κατὰ τὸ ἔκπαλαι κρατῆσαν ἔθος τοὺς μὲν ὑποδύντας ἱερωσύνην ἀγάμους μὴ τουλοιποῦ αἱρεῖσθαι γαμεῖν· τούς γε μὴν μετὰ συζυγίαν τούτου ἠξιωμένους τῶν γαμετῶν μὴ χωρίζεσθαι. Τοιαῦτα Παφνουτίου εἰσηγουμένου, ἡ σύνοδος ἔστεργε· καὶ ταῦτ' ἀπείρου γάμου παντάπασιν ὄντος. Καὶ περὶ μὲν τούτου, τῇ γνώμῃ τῶν ᾐρημένων ἐάσασα, οὐδὲν εἴρηκε· περὶ δὲ τῶν ἄλλων, ὡς αὐτῇ καλὸν εἶναι ἐδόκει, νόμους ἔθετο, καθ' οὓς προσήκει τὰ κατὰ

(1) 22 reperiuntur apud Rufinum *Ecclesiast. historiæ* lib. X, cap. 6.

(2) Socrat. lib. I, cap. 11, *Hist. Eccles.*

(3) In sententiam Paphnutii istam Honorii et Theodosii AA. lex est scripta, l. *Eum qui*. C. De episc. et cler., quæ hodie quoque in Orientalibus Ecclesiis servatur.

τὴν Ἐκκλησίαν φέρεσθαι. Καὶ πρόκεινταί γε πᾶσι· καὶ εἴ τῳ φίλον ἐντυγχάνειν, ῥᾴδιόν ἐστιν.

A qui uxorem nunquam duxisset, suadente, synodus comprobavit; atque de hac re, quam arbitrio cujuslibet reliquit, nihil sanxit. De aliis autem, ut ei est visum, rite atque ordine leges tulit, ad quarum præscriptum convenit res ecclesiasticas geri. Quæ sane leges propositæ omnibus sunt, et a quovis, si velit, facile legi possunt.

ΚΕΦΑΛ. Κ'.

Ὅτι καὶ Ἀκέσιον τὸν τῶν Ναυατιανῶν ἐπίσκοπον ὁ βασιλεὺς εἰς τὴν σύνοδον μετεστείλατο.

Ὁ δὲ θεοφιλὴς βασιλεὺς, τῆς κοινῆς προμηθούμενος ὁμονοίας, καὶ Ἀκέσιον τὸν τῶν Ναυατιανῶν ἐπίσκοπον εἰς τὴν σύνοδον μετεστέλλετο, καὶ τὸν τῆς συνόδου ὅρον περί τε τοῦ δόγματος καὶ τῆς ἑορτῆς ὑπεδείκνυ. Ἠρώτα τε εἰ καὶ αὐτῷ τὰ δόξαντα καὶ τοῖς ἐπισκόποις βεβαιωθέντα καλά γε εἶναι δοκεῖ· τὸν δ' ἐπαινέσαντα, μηδέν τι καινὸν ὁρίσασθαι φάναι. Καὶ αὐτὸν γὰρ οὕτω ἄνωθεν εἰληφέναι τὸ δόγμα, καὶ οὕτω δὴ ἑορτάζειν. Ὁ δὲ βασιλεὺς, Τί οὖν οὕτω δοξάζων, πῶς τοῦ σὺν ἡμῖν κοινωνεῖν πορρωτέρω γίνῃ; Καὶ ὃς τὴν κατὰ Ναυάτον καὶ Κορνήλιον τὸν Ῥώμης διαφορὰν ὑπεμίμνησκε κατὰ Δέκιον· ὅτιπερ τοὺς μετὰ τὸ βάπτισμα ἁμαρτόντας τὴν πρὸς θάνατον ἁμαρτίαν, καὶ ἐπιθύσαντας, θείων μυστηρίων ἀπηξίου τῆς κοινωνίας. Θεοῦ γὰρ εἶναι τῆς ἐξουσίας ἔλεγε μόνου, καὶ οὐχ ἱερέων, πρυτανεύειν τούτοις τὴν ἄφεσιν. Ὁ δὲ βασιλεὺς ὡς τάχος ὑπέφερε· Θὲς, ὦ Ἀκέσιε, κλίμακα, καὶ μόνος εἰς οὐρανοὺς ἀνάβηθι. Ταῦτα δ' εἰπεῖν τὸν κρατοῦντα, μὴ τὸν Ἀκέσιον ἐπαινοῦντα, ἀλλ' ὅτιπερ ἀναμάρτητον ἑαυτὸν τάχα ἐνόμιζε. Καὶ τὰ μὲν κατὰ τὴν σύνοδον οὕτω προὔβη, ὡς ἐν συντόμῳ εἰπεῖν· ἐγὼ δ' οὐκ ὀκνήσω τἀσφαλὲς πρυτανεύων τοῖς γεγραμμένοις, μὴ καὶ ἃ περὶ τοῦ δόλου τῶν Ἀρειομανιτῶν Εὐστάθιος καὶ Ἀθανάσιος τῆς εὐσεβείας οἱ πρόβολοι γεγράφασι διελθεῖν· ὅσα τε αὐτὸς ὁ Παμφίλου Εὐσέβιος περὶ τῶν δοξάντων τῇ συνόδῳ τῇ ἰδίᾳ γέγραφεν ἐκκλησίᾳ· ἔτι δὲ τὰ ὁρισθέντα πᾶσι Πατράσι κοινῶς· πρὸς δὲ καὶ ὅσα ὁ θεοφιλὴς Κωνσταντῖνος τοῖς ἁπανταχοῦ μὴ παροῦσι τῶν ἐπισκόπων περί τε τοῦ δόγματος καὶ τοῦ Πάσχα, καὶ Ἀρείου, καὶ τῶν περὶ Ἄρειον, ἔτι δὲ καὶ περὶ τοῦ Νικομηδείας γέγραφεν Εὐσεβίου. Γένοιτο γὰρ ἂν ἐκ τούτων μᾶλλον δῆλα τὰ τῇ συνόδῳ πραχθέντα. Καὶ πρότερόν γε τὰ Εὐσταθίου τοῦ τῆς Ἀντιοχείας ἐκθήσομαι· ἐν οἷς τήν τε τῶν Ἀρειανῶν βλασφημίαν ἐλέγχει, καὶ τὰ πραχθέντα ἀναδιδάσκει· καὶ τὴν ῥῆσιν ἑρμηνεύει, τὴν, *Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ.* Γράφει δὲ οὕτω·

CAPUT XX.

Quod etiam Acesium Novatianorum episcopum imperator in synodum acciverit.

Cæterum imperator Dei amantissimus, de communi concordia sollicite cogitans, Acesium quoque Novatianorum episcopum ad concilium evocavit, eique et de fidei dogmate et de die festo decretum synodi ostendit, interrogavitque adeo eum an ea recte sic ab episcopis essent constituta. Qui B cum ea laudasset, neque novi quidquam definitum esse dixisset, se enim et idem dogma fidei a majoribus accepisse, et nunquam aliter Paschæ festum celebrasse, imperator, Qui igitur, inquit, cum in eadem sis nobiscum sententia, a communione nostra tantopere abhorres? Ibi ille dissidii quod inter Novatum et Cornelium Romanæ urbis episcopum sub Decio imperatore fuit, meminit; Novatum videlicet, eos qui post baptismum peccatum ad mortem patrassent, ac diis sacrificassent, a communione divinorum mysteriorum rejecisse, solius Dei, et non sacerdotum potestatem eam esse dictitans, talibus hominibus remissionem delicti concedere. Ad quem ex tempore imperator: Scalas, inquit, admove, Acesi, et solus in cœlos ascende. C Quo dicto, non Acesium ille laudavit, sed potius quod immunem a peccatis se forte existimavit esse, perstrinxit. Ac res quidem concilii, sicuti brevissime exposuimus, sunt gestæ. Mihi vero grave aut molestum non fuerit, ad fidem dictorum certius confirmandam, **573** quæ de dolo furentium Arianorum Eustathius et Athanasius veræ pietatis propugnacula scripserunt, allegare, quæ item Eusebius Pamphili de synodi constitutionibus suæ significavit Ecclesiæ, præterea quæ a Patribus universis sunt communiter decreta, denique quæ Deo charus Constantinus ad quoscunque absentes episcopos de fidei dogmate, de Paschate, de Ario ejusque sectatoribus, et de ipso Eusebio Nicomediensi scripsit. Ex iis enim maxime synodi acta D cognoscentur. Et primum Eustathii Antiocheni episcopi verba exponam, quibus Arianorum blasphemiam redarguit, et rem gestam docet: atque insuper dictum illud, *Dominus creavit me ab initio viarum suarum*, interpretatur. Qui sic scribit.

ΚΕΦΑΛ. ΛΑ'.

Οἷα Εὐστάθιος ὁ Ἀντιοχείας καὶ Ἀθανάσιος ὁ Ἀλεξανδρείας, οἱ τῆς εὐσεβείας πρόβολοι, περὶ τῶν ἐν τῇ συνόδῳ πραχθέντων ἱστόρησαν.

« Βαδιῶ δ' ἐντεῦθεν ἐπὶ τὰ πεπραγμένα. Τί οὖν; Ἐπειδὴ διὰ ταῦτα σύνοδος εἰς τὴν Νίκαιαν ἀφικνεῖται μεγίστη, μήτι γε καὶ ἑβδομήκοντα τὸν ἀριθμὸν ὁμόσε συναχθέντων. Τὸ γὰρ σαφὲς διὰ τοὺς τῆς πολυανδρίας ὄχλους οὐχ οἷός τέ εἰμι γράφειν,

CAPUT XXI.

Qualia Eustathius Antiochenus, et Athanasius Alexandrinus, episcopi, veræ pietatis propugnatores, de synodi actis historiæ monumenta prodiderint.

« Ad rem ipsam, ut gesta est, progredior. Quid igitur est? Postquam eas ob causas Nicææ synodus coacta est maxima (convenerunt enim eo ducenti et septuaginta fere præterea episcopi; certum enim numerum, propter tantam multitudinis tur-

-liam, referre nequeo, neque id adeo magno studio sum scrutatus), ubi de fidei ratione est quæsitum, perinde atque manifestum argumentum atque indicium blasphemiæ, Eusebii scriptum est productum, quod in præsentia omnium lectum, cum varium auditoribus motum propter perversam depravationem, tum auctori ipsi probrum attulit maximum. Posteaquam autem conatus fraudulentus Eusebii manifesto est deprehensus, et scriptum iniquissimum in conspectu omnium discerptum, ex composito nonnulli pacificationis nomen præ se ferentes, effecerunt, ut qui optime sententias dicere soliti fuerant, silerent. Ariani vero, metuentes ne tam frequentis concilii decreto damnati relegarentur, priores ipsi sententia sua abrogatum dogma anathemate jugularunt; et consentientibus annotationibus professioni fidei manibus ipsi suis subscripserunt, et episcopatibus per ambitionem et circumcursationem maximam manus plerorumque prensantes, qui pœnitentiam potius agere debuissent, retentis; postea, nunc quidem clandestine, **574** nunc autem propalam damnatas docuere opiniones et variis ea in re usi sunt argumentis et insidiis. Et cum pangere vellent zizaniorum plantas, ab hominibus peritis sibi metuentes, eos, a quibus deprehendi poterant, devitarunt, et alios veræ pietatis præcones atque professores fraudulenter expugnarunt. Non credimus autem, impios atque sine Deo homines divino numine unquam fore superiores. Etiamsi enim rursus invalescant, rursum tamen vincentur, juxta grandiloquum et gravem prophetam Isaiam, etc. »

A ἐπειδὴ μὴ πάντη τοῦτο περισπουδάστως ἀνίχνευον. Ὡς δὲ ἐζητεῖτο τῆς πίστεως ὁ τρόπος, ἐναργὴς μὲν ἔλεγχος τὸ γράμμα τῆς Εὐσεβίου προὐβάλλετο βλασφημίας· ἐπὶ πάντων δὲ ἀναγνωσθὲν, αὐτίκα συμφορὰν μὲν ἀστάθμητον τῆς ἐκτροπῆς ἕνεκα τοῖς αὐτηκόοις προξενεῖ· αἰσχύνην δ' ἀνήκεστον τῷ γράψαντι παρεῖχεν. Ἐπειδὴ δὲ τὸ ἐργαστήριον τῶν ἀμφὶ τὸν Εὐσέβιον σαφῶς ἑάλω, τοῦ παρανόμου γράμματος διαῤῥαγέντος ὑπ' ὄψει πάντων ὁμοῦ, τινὲς ἐκ συσκευῆς τοὔνομα προβαλλόμενοι τῆς εἰρήνης, κατεσίγησαν μὲν ἅπαντας τοὺς ἄριστα λέγειν εἰωθότας· οἱ δὲ Ἀρειομανῖται δείσαντες μήποτε ἄρα τοσαύτης συνόδου ἐν τούτῳ συγκεκροτημένης ἐξοστρακισθεῖεν, ἀναθεματίζουσι μὲν προπηδήσαντες τὸ ἀπηγορευμένον δόγμα· συμ- B φώνοις δὲ γράμμασιν αὐτοχειρίᾳ ὑπέγραψαν. Τῶν δὲ προεδριῶν διὰ πλείστης ὅσης περιδρομῆς κρατήσαντες, δέον αὐτοὺς ὑπόπτωσιν λαμβάνειν, ποτὲ μὲν λεληθότως, ποτὲ δὲ προφανῶς τὰς ἀποψηφισθείσας πρεσβεύουσι δόξας, διαφόροις ἐπιβουλεύοντες τοῖς ἐλέγχοις. Βουλόμενοι δὲ παγιῶσαι τὰ ζιζανιώδη φυτουργήματα, δεδοικότες τοὺς ἐπιγνώμονας, ἐκκλίνουσι τοὺς ἐφόρους· καὶ ταύτῃ τοὺς τῆς Εὐσεβείας κήρυκας ἐκπολεμοῦσιν. Οὐχ οὕτως δὲ πιστεύομεν, ὡς ἀνθρώπους ἀθέους δύνασθαι κρατῆσαι πώποτε τοῦ θείου. Κἂν γὰρ πάλιν ἰσχύσωσι, καὶ πάλιν ἡττηθήσονται, κατὰ τὸν σεμνόφωνον προφήτην Ἡσαΐαν. »

Hæc magnus ille Eustathius. Qui vero eo vel C virtute vel pietatis æmulatione inferior non est, celebratissimus Athanasius, ad Afros scribens, hæc infert: « Episcopi qui convenerant, cum abolere ab Arianis excogitatas impietatis voces illas (ex non existentibus creaturam esse et facturam Filium, et, Erat aliquando tempus cum non erat, et quod mutabilis sit naturæ), atque eas quæ ex professo in Scripturis sunt promulgare vellent, quod scilicet ex Deo Filius natura unigenitus est Verbum, virtus, sapientia sola Patris, Deus verus, ut Joannes dixit; et ut Paulus scripsit, resplendescentia gloriæ, et expressa imago subsistentiæ Patris [1], Eusebiani a propria insanæ opinionis persuasione transversim acti, inter se sunt collocuti: Pactum feriamus, nam et nos ex Deo sumus. Unus enim est Deus, ex D quo omnia; et vetera præterierunt, ecce nova facta sunt omnia [2], ex Deo autem omnia. In mentem quoque eis venit, quod in *Pastore* scriptum est; Primum omnium crede, unum esse Deum, qui omnia creaverit et perfecerit, atque e nihilo in substantiam deduxerit. At episcopi, ubi versutiam illorum atque impietatis malignam fraudem animadverterunt, dilucidandum esse, quod ex Deo dicitur, rati, ex substantia (1) Dei esse Filium scri-

Ὁ μὲν οὖν πολὺς Εὐστάθιος ταῦτα· ὁ δὲ τὴν ἀρετὴν οὐχ ἧττον, ἢ καὶ τὸν ὑπὲρ εὐσεβείας ζῆλον πολυύμνητος Ἀθανάσιος, Ἄφροις ἐπιστέλλων, καὶ ταῦτα διέξεισι· «Τῶν γὰρ συνελθόντων ἐπισκόπων βουλομένων τὰς μὲν παρὰ τῶν Ἀρειανῶν ἐφευρεθείσας τῆς ἀσεβείας λέξεις ἀνελεῖν, τὸ, Ἐξ οὐκ ὄντων, καὶ τὸ λέγειν κτίσμα καὶ ποίημα τὸν Υἱόν· καὶ τὸ, Ἦν ποτὲ ὅτε οὐκ ἦν· καὶ ὅτι τρεπτῆς ἐστι φύσεως· τὰς δὲ τῶν Γραφῶν ὁμολογουμένας γράψαι· ὅτι τε ἐκ τοῦ Θεοῦ ὁ Υἱὸς φύσει μονογενής ἐστι Λόγος, δύναμις, σοφία μόνη τοῦ Πατρὸς, Θεὸς ἀληθινὸς, ὡς εἶπεν ὁ Ἰωάννης, καὶ ὡς ἔγραψεν ὁ Παῦλος, ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς τοῦ Πατρὸς ὑποστάσεως· οἱ περὶ Εὐσέβιον ὑπὸ τῆς ἰδίας κακοδοξίας ἑλκόμενοι, διελάλουν ἀλλήλοις· Συνθώμεθα· καὶ γὰρ καὶ ἡμεῖς ἐκ τοῦ Θεοῦ ἐσμεν· εἷς γὰρ Θεὸς, ἐξ οὗ τὰ πάντα· καὶ τὰ ἀρχαῖα παρῆλθεν· ἰδοὺ γέγονε τὰ πάντα καινά· τὰ δὲ πάντα ἐκ τοῦ Θεοῦ. Ἐλογίζοντο γὰρ καὶ τὸ ἐν τῷ *Ποιμένι* γραφέν· Πρῶτον πάντων πίστευσον, ὅτι εἷς ἐστιν ὁ Θεὸς, ὁ τὰ πάντα κτίσας καὶ καταρτίσας, καὶ ποιήσας ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι. Ἀλλ' οἱ ἐπίσκοποι θεωρήσαντες τὴν κακουργίαν ἐκείνων καὶ τὴν τῆς ἀσεβείας κακοτεχνίαν, λευκότερον εἰρήκασι τὸ ἐκ τοῦ Θεοῦ, καὶ ἔγραψαν ἐκ τῆς οὐσίας τοῦ Θεοῦ

[1] Hebr. I, 3. [2] II Cor. V, 17.

(1) Οὐσία, substantia sive essentia dicitur: et hoc illo significantius est verbum. Ego vero in vertendo pro *essentiæ* substantiæ verbo uti malui, propter *consubstantialis* verbum, Ecclesiæ etiamnum usitatissimum.

εἶναι τὸν Υἱόν· ἵνα τὰ μὲν κτίσματα διὰ τὸ μὴ ἀφ' **A** ἑαυτῶν χωρὶς αἰτίου εἶναι, ἀλλ' ἀρχὴν ἔχειν τοῦ γίνεσθαι, λέγηται ἐκ τοῦ Θεοῦ, ὁ δὲ Υἱὸς μόνος, ἀΐδιος, ἐκ τῆς τοῦ Πατρὸς οὐσίας. Τοῦτο γὰρ ἴδιον μονογενοῦς καὶ ἀληθινοῦ Λόγου Πατρός. Καὶ περὶ μὲν τοῦ γεγράφθαι ἐκ τῆς οὐσίας πρόφασις ἦν αὕτη· πάλιν δὲ τῶν ἐπισκόπων ἐρωτώντων τοὺς δοκοῦντας ὀλίγους, εἰ λέγοιεν τὸν Υἱὸν οὐ κτίσμα, ἀλλὰ δύναμιν, σοφίαν τε μόνην τοῦ Πατρός· καὶ εἰκόνα ἀΐδιον ἀπαράλλακτον κατὰ πάντα τοῦ Πατρὸς, καὶ Θεὸν ἀληθινὸν, κατελήφθησαν οἱ περὶ Εὐσέβιον διανεύοντες ἀλλήλοις, ὅτι καὶ ταῦτα φθάνει καὶ εἰς ἡμᾶς· καὶ γὰρ καὶ ἡμεῖς εἰκὼν καὶ δόξα τοῦ Θεοῦ λεγόμεθα· καὶ περὶ ἡμῶν εἴρηται, Ἀεὶ γὰρ ἡμεῖς οἱ ζῶντες, καὶ, Δυνάμεις πολλαί εἰσι· καὶ, Ἐξῆλθε πᾶσα ἡ δύναμις τοῦ Θεοῦ ἐκ **B** τῆς Αἰγύπτου. Ἡ δὲ κάμπη καὶ ἡ ἀκρὶς λέγεται δύναμις μεγάλη· καὶ, Κύριος τῶν δυνάμεων ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ. Ἀλλὰ καὶ τὸ ἰδίους ἡμᾶς εἶναι τοῦ Θεοῦ ἔχομεν οὐχ ἁπλῶς· ἀλλ' ὅτι καὶ ἀδελφοὺς ἡμᾶς ἐκάλεσεν. Εἰ δὲ καὶ Θεὸν ἀληθινὸν λέγουσι τὸν Υἱὸν, οὐ λυπεῖ ἡμᾶς· γενόμενος γὰρ ἀληθινός ἐστιν. Αὕτη ἡ τῶν Ἀρειανῶν ἐφθαρμένη διάνοια. Ἀλλὰ καὶ ἐνταῦθα οἱ ἐπίσκοποι θεωρήσαντες ἐκεῖνο τὸ δόλιον, συνήγαγον ἐκ τῶν Γραφῶν τὸ ἀπαύγασμα, τήν τε πηγὴν, καὶ ποταμὸν, καὶ χαρακτῆρα πρὸς τὴν ὑπόστασιν· καὶ τὸ, *Ἐν τῷ φωτί σου ὀψόμεθα φῶς*[1]· καὶ τὸ, *Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν*· καὶ λευκότερον λοιπὸν καὶ συντόμως ἔγραψαν ὁμοούσιον τῷ Πατρί. Καὶ τοῦτο **C** ἐγίνωσκεν Εὐσέβιος ὁ γενόμενος ἐπίσκοπος τῆς Καισαρείας, ὅτι ἄγραφοί εἰσιν αἱ λέξεις. Ἐλέγχεται δὲ παρ' αὐτῶν ματαίως· ἐξ ἀγράφων γὰρ κἀκεῖνοι ἀσεβοῦντες ἦσαν. Ἄγραφα δὲ τὸ, Ἐξ οὐκ ὄντων· καὶ τὸ, Ἦν ποτε ὅτε οὐκ ἦν, αἰτιῶνται· διὰ τοῦτο ἐξ ἀγράφων μετ' εὐσεβείας νοουμένων λέξεων κατεκρίθησαν. Αὐτοὶ μὲν γὰρ ὡς ἐκ κοπρίας εὑρόντες ἐλάλησαν ἀληθῶς ἀπὸ γῆς· οἱ δὲ ἐπίσκοποι οὐχ ἑαυτοῖς εὑρόντες τὰς λέξεις, ἀλλ' ἐκ τῶν Πατέρων ἔχοντες τὴν μαρτυρίαν, οὕτως ἔγραψαν. Ἐπίσκοποι γὰρ ἀρχαῖοι πρὸ ἐτῶν ἐγγύς που ἑκατὸν τριάκοντα τῆς τε μεγάλης Ῥώμης καὶ τῆς ἡμετέρας πόλεως ᾐτιάσαντο τοὺς ποίημα λέγοντας τὸν Υἱὸν, καὶ μὴ ὁμοούσιον τῷ Πατρί. Καὶ τοῦτο **D** ἐγίνωσκεν Εὐσέβιος ὁ γενόμενος ἐπίσκοπος τῆς Καισαρείας· πρότερον μὲν οὖν συντρέχων τῇ Ἀρειανῇ αἱρέσει· ὕστερον δὲ ὑπογράψας ἐν αὐτῇ τῇ Νικαίᾳ συνόδῳ, ἔγραψε τοῖς ἰδίοις διαβεβαιούμενος, ὅτι καὶ τῶν παλαιῶν τινας λογίους καὶ ἐπιφανεῖς ἐπισκόπους συγγραφέας ἔγνωμεν ἐπὶ τῆς τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ θεότητος τῷ τοῦ ὁμοουσίου χρησαμένους ὀνόματι. Οὗτοι μὲν οὖν κατακρύψαντες τὴν νόσον, ἔδεισαν γὰρ τῶν ἐπισκόπων τὸ πλῆθος,

A pserunt: ut creaturæ quidem, quod a seipsis absque auctore substantiam non capiant, sed principium creationis suæ ex Deo habeant, sic ex Deo esse perhibeantur: Filius autem solus æternus, ex substantia Patris esse dicatur. Hoc etenim peculiare et proprium unigeniti et veri Verbi Patris. Ac scriptionis quidem ejus quæ est, ex substantia Patris, occasio et causa hæc fuit. Episcopis porro rursus paucos, ut tum videbantur, illos interrogantibus, an Filium dicerent non creaturam, sed virtutem sapientiamque solam Patris, **575** atque imaginem sempiternam, non variantem, et similem per omnia Patri et Deo vero, deprehensi sunt Eusebiani sibi invicem innuere atque dicere, hæc in nos quoque cadere, quod et nos imago et gloria Dei dicamur. **B** Ac de nobis illud dictum esse, Semper enim nos et qui vivimus; et, Virtutes multæ sunt: et, Exivit omnis virtus Dei ex Ægypto; et, Erucam atque locustam dici virtutem magnam; et, Dominus virtutum nobiscum, susceptor noster Deus Jacob. Sed et peculiares nos Dei esse, non simpliciter dici, verum fratres etiam vocari. Quod si verum quoque Deum Filium dicant, nihil nos id perturbat: cum enim factus sit, verus est. Hæc sane est Arianorum perversa sententia. Quapropter episcopi etiam, dolo eo perspecto, ex Scripturis collegerunt, resplendescentiam, fontem, fluvium, expressam imaginem substantiæ: et, *In lumine tuo videbimus lumen*[1]: et, *Ego et Pater unum sumus*, luculentiusque **C** deinceps et compendiosius scripserunt, consubstantialem Patri. Quæ verba Scripturæ non esse, Eusebius Cæsariensis episcopus novit (1): sed ab eis stulte reprehenduntur. Præter Scripturam enim et ipsi impietatis auctores erant (2). Minime namque Scripturæ verba sunt, Ex non exsistentibus; et, Fuit aliquando tempus, cum non esset. Itaque illi verbis non ex Scriptura quidem petitis, sed pie tamen inventis, convicti sunt et damnati. Ipsi siquidem veluti e stercore erutis vocibus, plane e terra locuti sunt. Episcopi autem non ipsi sibi verba confingentes, sed Patrum de eis testimonium habentes, ea in scripto suo usurparunt. Veteres enim episcopi ante annos prope centum et triginta, et in magna Roma, et in nostra urbe eos repreben- **D** derunt, qui Filium creaturam, et non consubstantialem Patri esse dixerunt. Id quod cognitum est Eusebio Cæsareæ episcopo, qui prius quidem Arianæ fuit sectator hæresis: postea vero ipsi Nicænæ subscribens synodo, ad suos litteras dedit, et comprobavit, et priscis quoque doctos quosdam et præclaros episcopos et scriptores in Patris et Filii divinitate nomine τοῦ ὁμοουσίου esse usos. Isti igitur, morbo suo suppresso, quod tantam episco-

[1] Psal. xxxv, 10.

(1) Eusebii mentio hic non fit apud Theodoretum, cap. 8, lib. 1, *Historiæ suæ ecclesiasticæ*.

(2) Stulte Ariani verba catholicorum, *ex substantia Patris*, et *consubstantialis*, quod in Scripturis non inveniantur, reprehendunt, cum Arianarum præstigiarum nec voces, nec sententiæ in eisdem reperiantur.

porum multitudinem metuerent, in ea quæ decreta sunt, pedibus ierunt, propheticam in se reprehensionem pertrahentes. Nam **576** et ad eos hujus universi Deus exclamat : *Populus iste labiis me honorat, corde autem longe abest a me*[1], Theonas porro et Secundus, quod idem facere nollent, ab omnibus, suffragiis consentientibus, sunt excommunicati, ut qui Arii blasphemiam veritati evangelicæ anteferrent. » Hæc Athanasius.

CAPUT XXI.

Epistola Eusebii Pamphili ad Ecclesiam suam, acta synodi exponens.

Sed enim quæ etiam Eusebius Pamphili ex ipsa Nicæa ad quosdam Arianos qui proditionem non injuria ei objecerant, scripserit, audire convenit (1). Ea sane rabiem quoque eorum manifesto arguunt. Rectius autem consilium intentionemque ejus epistola ipsa indicabit, quæ sic habet : « Quæ de ecclesiastica fidei professione in frequenti synodo Nicææ celebrata sint acta, aliunde etiam credibile est vos cognovisse : quod fama plerumque certam accuratamque rerum gestarum commemorationem præcurrere solita sit. Cæterum ne rumoribus hujusmodi rei veritas aliter ad vos quam est acta, perferatur, necessario vobis misimus, primum a nobis propositam de fide scripturam, deinde etiam alteram, quam ad voces nostras accessionibus quibusdam adjectis ediderunt. Scriptum sane nostrum in præsentia Deo dilecti imperatoris nostri recitatum, ac recte probeque conceptum esse judicatum, ad hunc se habet modum : Professio fidei a nobis exposita, sicuti eam a decessoribus nostris episcopis, atque in prima rerum sacrarum institutione, et cum sacrum subiimus lavacrum, accepimus, et sicuti ex divinis didicimus Scripturis, atque simul et in presbyterio et in ipso episcopatu professi sumus et docuimus, ea est talis : Credimus in unum Deum, Patrem omnipotentem, rerum omnium visibilium et invisibilium factorem. Et in unum Dominum Jesum Christum, Dei Verbum, Deum de Deo, lumen de lumine, **577** vitam de vita, Filium unigenitum, primogenitum omnis creaturæ, ante omnia sæcula ex Patre genitum, per quem et omnia facta sunt; qui propter nostram salutem incarnatus, et inter homines versatus, et passus est : et ressurrexit tertia die, et ascendit ad Patrem, venturus rursum in gloria ad judicandum vivos et mortuos. Credimus etiam in Spiritum sanctum : horum quemque esse et subsistere credentes, Patrem vere Patrem, et Filium vere Filium, et Spiritum sanctum vere Spiritum sanctum, quemadmodum et Dominus noster discipulos suos ad prædicandi munus mittens, inquit : *Euntes, docete omnes gentes, baptizantes eos in nomen Patris et Filii et Spiritus*

A τοῖς ἐκτεθεῖσι συνέθεντο, τὴν προφητικὴν κατηγορίαν ἐπισπασάμενοι. Βοᾷ δὲ καὶ πρὸς αὐτοὺς ὁ τῶν ὅλων Θεός, *Ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ· τῇ δὲ καρδίᾳ πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ*. Θεωνᾶς δὲ καὶ Σεκοῦνδος τοῦτο δρᾶσαι μὴ βουληθέντες, παρὰ πάντων συμφώνως ἀπεκηρύχθησαν, ὡς τὴν Ἀρείου βλασφημίαν τῆς εὐαγγελικῆς προτεθεικότες διδασκαλίας. » Ταῦτα καὶ Ἀθανάσιος.

ΚΕΦΑΛ. ΚΒ'.

Ἐπιστολὴ Εὐσεβίου τοῦ Παμφίλου πρὸς τὴν κατ' αὐτὸν ἐκκλησίαν, τὰ κατὰ τὴν σύνοδον διεξιοῦσα.

Οἷα δὲ καὶ ὁ Παμφίλου Εὐσέβιος αὐτόθεν ἐκ Νικαίας πρός τινας ἔγραψεν Ἀρειανούς, προδοσίαν ὡς B εἰκὸς ἐγκαλοῦντας, ἀκούειν χρεών. Ἔλεγχος δ' ἐναργὴς καὶ τῆς ἐκείνου λύττης ἐστίν. Ἄμεινον δὲ τὸν οἰκεῖον σκοπὸν ἡ ἐπιστολὴ δείξει. Ἔχει δὲ οὕτω· « Τὰ περὶ τῆς ἐκκλησιαστικῆς πίστεως πραγματευθέντα κατὰ τὴν μεγάλην σύνοδον τὴν ἐν Νικαίᾳ συγκροτηθεῖσαν εἰκὸς μὲν ὑμᾶς καὶ ἄλλοθεν μεμαθηκέναι, τῆς φήμης προτρέχειν εἰωθυίας τὸν περὶ τῶν πραττομένων ἀκριβῆ λόγον· ἀλλ' ἵνα μὴ ἐκ τοιαύτης ἀκοῆς τὸ τῆς ἀληθείας ἑτεροίως ὑμῖν ἀπαγγέληται, ἀναγκαίως διεπεμψάμεθα ὑμῖν πρῶτον τὴν ὑφ' ἡμῶν προταθεῖσαν παρὰ τῆς πίστεως γραφήν. Ἔπειτα τὴν δευτέραν, ἣν ταῖς ἡμετέραις φωναῖς προσθήκας ἐπιβαλόντες, ἐκδεδώκασι. Τὸ μὲν οὖν παρ' ἡμῶν γράμμα, ἐπὶ παρουσίᾳ τοῦ θεοφιλοῦς C ἡμῶν βασιλέως ἀναγνωσθὲν εὖ τε ἔχειν καὶ δοκίμως ἀποφανθὲν, τοῦτον ἔχει τὸν τρόπον· Ἡ ὑφ' ἡμῶν ἐκτεθεῖσα πίστις, καθὼς παρελάβομεν ὑπὸ τῶν πρὸ ἡμῶν ἐπισκόπων, καὶ ἐν τῇ πρώτῃ κατηχήσει, καὶ ὅτε τὸ λοῦτρον ἐλαμβάνομεν, καθὼς ἀπὸ τῶν θείων Γραφῶν μεμαθήκαμεν· καὶ ὡς ἐν αὐτῷ τῷ πρεσβυτερίῳ καὶ ἐν αὐτῇ ἐπισκοπῇ ἐπιστεύομέν τε καὶ ἐδιδάσκομεν. Ἔστι δὲ αὕτη· Πιστεύομεν εἰς ἕνα Θεὸν, Πατέρα παντοκράτορα, τὸν τῶν ἁπάντων ὁρατῶν τε καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν τὸν τοῦ Θεοῦ Λόγον, Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς, ζωὴν ἐκ ζωῆς, Υἱὸν μονογενῆ, πρωτότοκον πάσης κτίσεως, πρὸ πάντων τῶν αἰώνων ἐκ τοῦ Πατρὸς γεγεννημένον, δι' οὗ καὶ ἐγένετο τὰ πάντα· τὸν διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθέντα, καὶ ἐν D ἀνθρώποις πολιτευσάμενον, καὶ παθόντα καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀνελθόντα πρὸς τὸν Πατέρα, καὶ ἥξοντα πάλιν ἐν δόξῃ, κρῖναι ζῶντας καὶ νεκρούς. Πιστεύομεν καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον· τούτων ἕκαστον εἶναι καὶ ὑπάρχειν πιστεύοντες Πατέρα ἀληθινῶς Πατέρα, καὶ Υἱὸν ἀληθινῶς Υἱὸν, καὶ Πνεῦμα ἅγιον ἀληθινῶς Πνεῦμα ἅγιον· καθὰ καὶ ὁ Κύριος ἡμῶν ἀποστέλλων εἰς τὸ κήρυγμα τοὺς ἑαυτοῦ μαθητὰς, εἶπε· *Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος*. Περὶ ὧν καὶ διαβεβαιούμεθα οὕτως

[1] Isa. XXIX, 13.

(1) Theodoret. lib. I, cap. 11 et 12.

ἔχειν καὶ οὕτως φρονεῖν, καὶ πάλαι οὕτως ἐσχηκέναι, καὶ μέχρι θανάτου ὑπὲρ ταύτης συνίστασθαι τῆς πίστεως, ἀναθεματίζοντες πᾶσαν ἄθεον αἵρεσιν.

« Ταῦτα ἀπὸ καρδίας καὶ ψυχῆς πεφρονηκέναι, ἐξ οὗπερ ἴσμεν ἑαυτοὺς, καὶ νῦν φρονεῖν τε καὶ λέγειν ἐξ ἀληθείας, ἐπὶ τοῦ Θεοῦ τοῦ παντοκράτορος, καὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μαρτυρόμεθα· δεικνύναι ἔχοντες καὶ δι' ἀποδείξεως, καὶ πείθειν ὑμᾶς, ὅτι καὶ τοὺς παρεληλυθότας χρόνους οὕτως ἐπιστεύομέν τε καὶ ἐκηρύσσομεν. Ταύτης ὑφ' ἡμῶν ἐκτεθείσης τῆς πίστεως, οὐδεὶς παρῆν ἀντιλογίας τόπος. Ἀλλ' αὐτός τε πρῶτος ὁ θεοφιλέστατος ἡμῶν βασιλεὺς, ὀρθότατα περιέχειν αὐτὴν ἐμαρτύρησεν. Οὕτω τε καὶ αὐτὸν φρονεῖν συνωμολόγησε, καὶ ταύτῃ τοὺς πάντας συγκατατιθέναι· ὑπογράφειν τε τοῖς δόγμασι καὶ συμφωνεῖν τούτους αὐτοῖς παρεκελεύσατο, ἑνὸς μόνου προσεγγραφέντος ῥήματος τοῦ ὁμοουσίου· ὃ καὶ αὐτὸ ἡρμήνευσε λέγων, ὅτι μὴ κατὰ σωμάτων πάθη λέγοιτο ὁμοούσιος, οὔτε κατὰ διαίρεσιν, οὔτε κατὰ ἀποτομὴν ἐκ τοῦ Πατρὸς ὑποστῆναι. Μηδὲ γὰρ δύνασθαι τὴν ἄϋλον καὶ νοερὰν καὶ ἀσώματον φύσιν σωματικόν τι πάθος ὑφίστασθαι· θείοις δὲ καὶ ἀποῤῥήτοις λόγοις προσήκει τὰ τοιαῦτα νοεῖν. Καὶ ὁ μὲν σοφώτατος καὶ εὐσεβέστατος ἡμῶν βασιλεὺς τὰ τοιαῦτα διεφιλοσόφει· οἱ δὲ προφάσει τῆς τοῦ ὁμοουσίου προσθήκης ἑτέραν ἔκδοσιν πίστεως πεποιήκασιν (ἣν μικρῷ πρόσθεν κἀγὼ παρεθέμην τῇ ἱστορίᾳ). Ἧς δὴ καὶ ὑπαγορευθείσης, ὅπως εἴρηται, αὐτοῖς τὸ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς, καὶ τὸ τῷ Πατρὶ ὁμοούσιον οὐκ ἀνεξέταστον αὖθις κατελιμπάνομεν· ἐρωτήσεις γὰρ καὶ ἀποκρίσεις ἐντεῦθεν ἀνεκινοῦντο. Ἐβασανίζετο δὲ ὁ λόγος τῆς διανοίας τῶν εἰρημένων. Καὶ δὴ τὸ ἐκ τῆς οὐσίας ὡμολογεῖτο πρὸς αὐτῶν, δηλωτικὸν εἶναι τοῦ ἐκ τοῦ Πατρὸς μὲν εἶναι, οὐ μὴν ὡς μέρος ὑπάρχειν τοῦ Πατρός. Ταύτῃ καὶ ἡμῖν καλῶς ἔχειν ἐδόκει συγκατατίθεσθαι τῇ διανοίᾳ, τῆς εὐσεβοῦς διδασκαλίας ὑπαγορευούσης ἐκ τοῦ Πατρὸς εἶναι τὸν Υἱὸν, οὐ μὴν μέρος αὐτοῦ τῆς οὐσίας τυγχάνειν. Διόπερ τῇ διανοίᾳ καὶ αὐτοὶ συντιθέμεθα· οὐδὲ τὴν φωνὴν παραιτούμεθα τοῦ τῆς εἰρήνης σκοποῦ πρὸ ὀφθαλμῶν ἡμῶν κειμένου· καὶ τοῦ μὴ τῆς ὀρθῆς ἐκπεσεῖν διανοίας. Κατὰ ταυτὰ δὲ καὶ τὸ, Γεννηθέντα, καὶ οὐ ποιηθέντα, κατεδεξάμεθα· ἐπειδὴ τὸ ποιηθὲν κοινὸν εἶναι ἔφασκον πρόσρημα τῶν λοιπῶν κτισμάτων τῶν διὰ τοῦ Υἱοῦ γενομένων, ὧν οὐδὲν ὅμοιον ἔχειν τὸν Υἱόν. Διὸ δὴ μὴ εἶναι αὐτὸν ποίημα τοῖς δι' αὐτοῦ γενομένοις ἐμφερές· κρείττονος δὲ ἢ κατὰ πᾶν

sancti [1]. Quæ sic se habere, et nos sic sentire, sic etiam olim obtinuisse, nosque adeo de tali fidei professione usque ad mortem decertaturos esse, etiam atque etiam confirmamus, anathemate ferientes omnem impiam Deoque carentem hæresim.

Hæc nos sic ex corde et animo, jam inde ab eo tempore quo nos ipsos novimus, sensisse, atque etiam nunc sentire et profiteri vere, omnipotentem Deum et Dominum nostrum Jesum Christum testamur. Declarare quoque certa et fideli probatione, et persuadere vobis possumus, prioribus etiam temporibus nos sic et credidisse, et prædicasse. Hac a nobis exposita fidei professione, nullus erat contradicendi locus. Et ipse Dei amantissimus imperator, noster princeps, cum rectissime eam conceptam esse testatus, tum ita seipsum sentire professus est: atque ut omnes ei assentirentur, subscriberent, et voce una suffragarentur, admonuit: uno duntaxat adjecto τοῦ ὁμοουσίου verbo, quod verbum etiam interpretatus es dicens, non juxta corporum perpessiones ὁμοούσιον dici, neque juxta divisionem, neque juxta resectionem ex Patre subsistere, quod materiæ prorsus expers intellectualis et incorporea natura corporalem quampiam perpessionem sustinere nequeat: divina vero et ineffabili ratione debere talia in animo considerari. Atque sapientissimus quidem et piissimus noster imperator ad hunc modum est philosophatus. **578** Illi vero per occasionem et prætextum adjectionis τοῦ ὁμοουσίου (1), aliam fidei professionem composuerunt (quam paulo antea (2) historiæ adjeci). Ea porro recitata, quomodo ab eis, et ex substantia Patris, et consubstantialis Patri, esset dictum, minime indiscussum atque inexploratum reliquimus. Interrogationes namque et responsiones interpositæ, ratioque et sententia dictorum inquisita. Atque equidem illud, ex substantia, illi professi sunt significare, ex Patre quidem esse, sed non ut partem exsistere Patris. Cui sententiæ, cum recta esse videretur, assensimus: pia quippe doctrina dictante ex Patre esse Filium, non partem substantiæ ejus esse. Quapropter cum sententiam eam approbavimus, tum vocem quoque ipsam non repudiavimus, quod pacis scopum nobis ob oculos positum haberemus: et præterea, ne a recta sententia excideremus. Eadem ratione et, Genitum, non factum, admisimus; quandoquidem verbum factum, communem appellationem esse dixerunt reliquarum creaturarum, quæ per Filium sunt conditæ. Earum quippe nihil habere simile

[1] Matth. XXVIII, 29.

(1) Ambrosius *De fide, contra Arianos*: « Quomodo dicis, Ariane, in Scripturis divinis non inveniri ὁμοούσιον? Quasi ὁμοούσιον aliud sit quam quod dicit Dominus: « Ego et Pater unum sumus; Ego de Patre exivi, et veni in mundum: Ego in Patre, et Pater in me: Qui cum esset in forma Dei, non rapinam arbitratus est ut esset æqualis Deo. » Hæc est tamen nominis ratio, ut in Patre et in Filio unitatem substantiæ credas: licet rem ipsam, quæ est inenarrabilis, definire non possis. Ut, sive lumen de lumine dicas, sive Verbum de Verbo, sive Spiritum de Spiritu, sive Dominum de Domino, quodcunque de eo dixeris, unius tamen essentiæ Patrem et Filium credas: ὁμοούσιον enim Græci dicunt quod nos cum uno aliud ipsum. » Cap. 5.

(2) Cap. 17 eod.

Filium : proptereaque non esse eum facturam, eis quæ per ipsum factæ sunt similem : præstantiorem autem quam creaturam omnem obtinere substantiam, quam ex Patre genitam esse divina docent oracula : cum quidem modus ipse generationis omni genitæ naturæ ineffabilis sit, et inconsiderabilis. Similiter vero ratio probe disquisita, consubstantialem Patris esse Filium astruit, non quidem corporum more, neque ad animantium morti obnoxiorum instar : neque etiam juxta divisionem substantiæ, neque juxta resectionem : sed neque juxta perpessionem quampiam, aut versionem, aut mutationem Patris virtutis; quod aliena prorsus ab his omnibus sit ingenita Patris natura : sed quod consubstantialis Patri dicatur, illud significat atque infert, nullam omnino similitudinem ad crearuras conditas Filium Dei ferre, sed qui eum genuit, Patri tantum modis omnibus esse similem, et non esse ex alia quapiam subsistentia vel substantia quam Patris. Cui verbo, eo pacto per interpretationem exposito, recte nobis visum est assentiri, præcipue cum sciremus, ex veteribus eruditos quosdam et spectatos episcopos et scriptores (1),
579 in exponenda Patris et Filii divinitatis ratione τοῦ ὁμοουσίου nomine usos esse. Hæc de professione fidei publicitus edita sunt dicta. Cui universi assensimus, et quidem non citra disquisitionem, sed juxta sententias in præsentia Deo dilecti imperatoris investigatas, nobisque expositas, et rationibus quas diximus ex professo consentaneas. Porro anathema quod professioni fidei ab eis est adjectum, comprobandum esse duximus, ut homines vocibus quæ in Scripturis non inveniantur, uti prohiberentur, quæ fere causam omnem confusioni et seditioni Ecclesiæ præbuerunt. Nullius sane divinitus inspiratæ, et quæ rite ordineque dictis utitur Scripturæ, sunt illa, ex non exsistentibus : et, Fuit aliquando tempus cum non esset. Quare rationi minus consentaneum visum est, ea et dicere et docere : quo facilius calculo etiam nostro rite decretum anathema comprobavimus, quando quidem neque anteactis temporibus ejuscemodi verbis uti soliti sumus. Quin et illud, Eum antequam gigneretur non fuisse, anathemate jugulare non absurdum putavimus, propterea quod omnes profiteantur, eum esse Filium Dei, etiam ante nativitatem secundum carnem. Jam vero et Dei amantissimus imperator professioni inseri curavit, Juxta divinam illius nativitatem, ante omnia illum exsistere sæcula. Cum etiam priusquam actu gigneretur, potentia fuerit in Patre ingenito, Patre semper exsistente Patre, sicuti quoque rege semper et Salvatore : potentia omnia exsistente, semperque secundum eadem et similiter se habente. Hæc vobis, charissimi, necessario perscribenda putavimus, ut quæ disquisitionem et assensionem nostram subsecuta sint decreta declararem, et pulchre primum quidem ad ultimam usque horam stetisse nos intelligeretis, cum nos

A ποίημα τυγχάνειν οὐσίας, ἣν ἐκ τοῦ Πατρὸς γεγεννῆσθαι τὰ θεῖα διδάσκει λόγια, τοῦ τρόπου τῆς γεννήσεως καὶ ἀνεκφράστου καὶ ἀνεπιλογίστου πάσῃ γεννητῇ φύσει τυγχάνοντος. Οὕτω δὲ καὶ τὸ ὁμοούσιον εἶναι τοῦ Πατρὸς τὸν Υἱὸν ἐξεταζόμενος ὁ λόγος συνίστησιν, οὐ κατὰ τὸν τῶν σωμάτων τρόπον, οὐδὲ τοῖς θνητοῖς ζώοις παραπλησίως· οὔτε γὰρ κατὰ διαίρεσιν τῆς οὐσίας, οὔτε κατὰ ἀποτομήν, ἀλλ' οὐδὲ κατά τι πάθος, τροπήν, ἢ ἀλλοίωσιν τῆς τοῦ Πατρὸς δυνάμεως. Τούτων γὰρ ἁπάντων ἀλλότριον εἶναι τὴν ἀγέννητον Πατρὸς φύσιν· παραστατικὸν δὲ εἶναι τὸ ὁμοούσιον τῷ Πατρὶ τοῦ μηδεμίαν ἐμφέρειαν πρὸς τὰ γεννητὰ κτίσματα τὸν Υἱὸν τοῦ Θεοῦ φέρειν· μόνον δὲ τῷ Πατρὶ τῷ γεγεννηκότι κατὰ πάντα τρόπον ἀφομοιοῦσθαι, καὶ μὴ εἶναι ἐξ ἑτέρας τινὸς ὑπο-
B στάσεως καὶ οὐσίας, ἀλλ' ἐκ τοῦ Πατρός· ᾧ καὶ αὐτῷ τοῦτον ἑρμηνευθέντι τὸν τρόπον, καλῶς ἔχειν ἐφάνη συγκατατίθεσθαι· ἐπεὶ καὶ τῶν παλαιῶν τινας λογίους ἐπιφανεῖς ἐπισκόπους καὶ συγγραφέας ἔγνωμεν, ἐπὶ τῆς τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ θεολογίας τῷ τοῦ ὁμοουσίου συγχρησαμένους ὀνόματι. Ταῦτα μὲν περὶ τῆς ἐκτεθείσης εἰρήσθω πίστεως· ᾗ συνεφωνήσαμεν ἅπαντες οὐκ ἀνεξετάστως, ἀλλὰ κατὰ τὰς ἀποδοθείσας διανοίας, ἐπ' αὐτοῦ τοῦ θεοφιλοῦς βασιλέως ἐξετασθείσας, καὶ τοῖς εἰρημένοις λογισμοῖς συνομολογηθείσας. Καὶ τὸν ἀναθεματισμὸν δὲ τὸν μετὰ τὴν πίστιν πρὸς αὐτῶν τεθέντα δεκτὸν εἶναι ἡγησάμεθα, διὰ τὸ ἀπείργειν ἀγράφοις χρήσασθαι φωναῖς· δι' ἃς σχεδὸν πᾶσα ἐγεγόνει σύγχυσις καὶ
C ἀκαταστασία τῆς Ἐκκλησίας. Μηδεμιᾶς γοῦν θεοπνεύστου Γραφῆς τὸ, Ἐξ οὐκ ὄντων, καὶ τὸ, Ἦν ποτε ὅτε οὐκ ἦν, καὶ τοῖς ἑξῆς ἐπιλεγομένοις κεχρημένης, οὐκ εὔλογον ἐφάνη ταῦτα καὶ λέγειν καὶ διδάσκειν· καὶ αὐτῷ καλῶς δόξαντι συνεθέμεθα· ἐπεὶ μηδὲ ἐν τῷ πρὸ τούτου χρόνῳ τούτοις εἰώθειμεν συγχρῆσθαι τοῖς ῥήμασι. Ἔτι μὴν τὸ ἀναθεματίζεσθαι, Τὸ πρὸ τοῦ γεννηθῆναι οὐκ ἦν, οὐκ ἄτοπον ἐνομίσθη, τὸ παρὰ πᾶσι μὲν ὁμολογεῖσθαι εἶναι αὐτὸν Υἱὸν τοῦ Θεοῦ καὶ πρὸ τῆς κατὰ σάρκα γεννήσεως. Ἤδη δὲ ὁ θεοφιλὴς ἡμῶν βασιλεὺς τῷ λόγῳ κατεσκεύαζε κατὰ τὴν ἔνθεον αὐτοῦ γέννησιν τὸ πρὸ πάντων αἰώνων εἶναι αὐτόν· ἐπεὶ καὶ πρὶν ἐνεργείᾳ γεννηθῆναι, δυνάμει ἦν ἐν τῷ Πατρὶ ἀγεννήτως, ὄντος τοῦ Πατρὸς ἀεὶ Πατρὸς, ὡς καὶ βασιλέως ἀεὶ καὶ
D Σωτῆρος, καὶ δυνάμει πάντα ὄντος, ἀεί τε κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχοντος. Ταῦτα ὑμῖν ἀναγκαίως διεπεμψάμεθα, ἀγαπητοὶ, τὰ κεκριμένα τῆς ἡμετέρας ἐξετάσεώς τε καὶ συγκαταθέσεως, φανερὰ καθιστάντες· ὡς εὐλόγως ποτὲ μὲν καὶ μέχρις ὑστάτης ὥρας ἱστάμεθα, ὅθεν ἡμῖν τὰ ἑτεροίως γραφέντα προσέκοπτε· τότε δὲ ἀφιλονείκως τὰ μὴ λυποῦντα κατεδεξάμεθα, ὅθ' ἡμῖν εὐγνωμόνως τῶν λόγων ἐξετάζουσι τὴν διάνοιαν, ἐμφανῆ σύμπραξιν ἔχειν ἔδοξε τοῖς ὑφ' ἡμῶν αὐτῶν ἐν τῇ προεκτεθείσῃ πίστει ὡμολογημένοις. »

(1) In his est Justinus Martyr.

ab aliis aliter scripta offenderent: deinde vero contentionis studio abjecto, ea quæ nos nihil perturbarent complexos esse, cum nobis benigne verborum sententiam inquirentibus, manifestum habere consensum viderentur cum eis quæ in fide a nobis prius proposita professi fueramus. »

A Ὡς μὲν οὖν οὐ πρόσφατος ἡ τοῦ ὁμοουσίου λέξις ὑπὸ τῶν τηνικάδε συναθροισθέντων φανεῖσα, ἀλλ' ἐκ πολλῶν ἤδη τῶν χρόνων σοφοῖς τισι Πατράσιν ἐξευρημένη, ἀριδήλως ἐσήμανεν ὁ Εὐσέβιος. Καὶ ὅτι κοινῇ συμφωνίᾳ πάντες τῷ ὁμοουσίῳ συνεψηφίσαντο, ὡς αὐτὸς μικρὸν ἄνωθεν παρεθέμην· ἃ καὶ Εὐσέβιος ἐν τῷ *Εἰς τὸν βίον Κωνσταντίνου* σαφῶς παριστᾷ.

Verum enimvero consubstantialis vocem non novam, aut ab episcopis Nicææ tum congregatis primum proditam, sed a multis antea annis a sapientibus inventam usurpatamque Patribus esse, aperte ostendit Eusebius. **580** Tum autem τὸ ὁμοούσιον communi consensu concordique calculo ab omnibus comprobatum, paulo ante ipse exposui, id quod Eusebius quoque in libro De *vita Constantini* luculenter astruit.

ΚΕΦΑΛ. ΚΓ'.

Ὡς καὶ οἱ τελευτήσαντες δύο Πατέρες τὸν ὅρον τῆς συνόδου ὑπέγραψαν, Χρύσανθος καὶ Μουσώνιος.

Ὃ δὲ γέγονε παράδοξον ἐν τῇ τοῦ ἁγίου συμβόλου ὑπογραφῇ, οὐκ ἄκαιρον γένοιτο διελθεῖν. Ἐν τῷ B μεταξὺ τοῦ χρόνου τῆς συνοδικῆς τελειώσεως δύο τινὰς τῶν ἐπισκόπων συνέβη τὸν βίον ἀπολιπεῖν, μήπω τῷ τόμῳ τὰς ὑπογραφὰς ἐνθεμένους. Ὁ δὲ λοιπὸς τῶν Πατέρων ὅμιλος, ἐπὶ τὸ κοινὸν τῆς κοιμήσεως χωρίον γενόμενοι, ὥσπερ δὴ ζῶσι καὶ ἀκροωμένοις περιστάντες τὸ μνῆμα, τὸν τόμον ἐπὶ χεῖρας φέροντες, Τὸν καλὸν ἀγῶνα, εἶπον, θεῖοι Πατέρες, σὺν ἡμῖν ἠγωνίσασθε· τὸν δρόμον ἐτελέσατε· τὴν πίστιν ἐτηρήσατε. Εἰ τοίνυν δεῖν εἶναι λογίζεσθε τὸ πραχθὲν παρ' ἡμῖν, ὅτι γε καὶ νῦν καθαρώτερον ἐποπτεύετε, ἀμέσῳ τῇ αἴγλῃ τῆς Τριάδος καταστραπτόμενοι, σὺν ἡμῖν τὸν τόμον ὑποσημαίνειν χρεών. Ταῦτ' ἔλεγον, καὶ τῇ σορῷ τὸν τόμον ἐσφραγισμένον παραθέμενοι, ἐν ἀγρύπνῳ διετέλουν νυκτί. Εἶθ' ἑξῆς προσιόντες τῶν σφραγίδων ἐπικειμένων, ἀνελίξαντες C τὸν τόμον εὗρον καὶ τὰς ἐκείνων ὑπογραφὰς ἐνταγείσας ταῖς λοιπαῖς, νεαρὰς ἔτι, ταῦτα διαγορευούσας· Χρύσανθος καὶ Μουσώνιος οἱ μετὰ τῶν Πατέρων πάντων ὁμοφωνήσαντες ἐν τῇ ἁγίᾳ πρώτῃ καὶ οἰκουμενικῇ συνόδῳ τῇ ἐν Νικαίᾳ, εἰ καὶ τῷ σώματι μετέστημεν, ἀλλ' οὖν οἰκείᾳ χειρὶ τὸν τόμον καὶ ἡμεῖς ὑπεγράψαμεν.

CAPUT XXIII.

Ut duo etiam mortui episcopi et Patres decretis synodi subscripserint, Chrysanthus et Musonius.

Cæterum quod in subscriptione sancti Symboli insigne accidit miraculum, id non intempestivum fuerit commemorare. Priusquam acta synodi perficerentur, evenit ut duo episcopi e vita ante discesserint quam professionis fidei scripto annotationem subscriptionemque suam apposuissent. At reliqua Patrum turba ad communem sepulturæ et dormitionis locum venere, et monumento illorum assistentes, scriptumque in manibus habentes, tanquam ad viventes et audientes: Bonum certamen, dixerunt, divi Patres, nobiscum decertastis, cursum peregistis, fidem servastis. Si igitur obtinere debere id censetis quod a nobis est actum, quoniam nunc, nullo interposito obstaculo, Trinitatis splendore illustrati, clarius id perspicitis, peropus est vos nobiscum libello subscribere. Hæc illi dixere, et libellum obsignatum ad tumulum deposuere, noctemque totam insomnem egere. Postridie vero ad locum cum rediere, signa inviolata invenere, et libello explicato subscriptiones illorum reliquis insertas cognovere, recentes adhuc in hæc verba conceptas: Chrysanthus et Musonius, qui cum Patribus omnibus in sancta prima et œcumenica Nicæna synodo consensimus, quamvis corpore translati, manu tamen propria nos quoque libello subscripsimus.

ΚΕΦΑΛ. ΚΔ'.

Ὁποῖα καὶ ἡ ἁγία σύνοδος τῇ Ἀλεξανδρέων ἔγραψεν Ἐκκλησίᾳ περὶ ὧν διεπράξατο.

Ἡ δὲ σύνοδος τὰ πεπραγμένα τῇ τε Ἀλεξανδρείᾳ, καὶ Αἰγύπτῳ, Λιβύῃ τε καὶ Πενταπόλει τάδε ἀπ- D έστειλε γράψασα· « Τῇ ἁγίᾳ Θεοῦ χάριτι μεγάλῃ Ἀλεξανδρέων Ἐκκλησίᾳ, καὶ τοῖς κατ' Αἴγυπτον καὶ Λιβύην καὶ Πεντάπολιν ἀγαπητοῖς ἀδελφοῖς, οἱ ἐν Νικαίᾳ συναχθέντες, καὶ τὴν μεγάλην καὶ ἁγίαν συγκροτήσαντες σύνοδον, ἐν Κυρίῳ χαίρειν. Ἐπειδὴ τῆς τοῦ Θεοῦ χάριτος καὶ τοῦ θεοφιλεστάτου βασιλέως Κωνσταντίνου συγκροτήσαντος, ἐξ ἁπάντων ἀναγκαῖον ἐφάνη παρὰ τῆς ἱερᾶς συνόδου καὶ πρὸς ὑμᾶς ἐπισταλῆναι γράμματα, ἵν' εἰδέναι ἔχοιτε, τίνα μὲν ἐκινήθη καὶ ἐξητάσθη, τίνα δὲ ἔδοξε καὶ ἐκρατύνθη· πρῶτον μὲν οὖν ἐξ ἁπάντων ἐξητάσθη τὰ κατὰ τὴν

581 CAPUT XXIV.

Quæ ipsa sancta synodus Alexandrinæ scripserit Ecclesiæ de rebus in synodo gestis.

Synodus autem acta sua Alexandriæ, Ægypto, Libyæ et Pentapoli, litteris ad hunc modum perscripsit: Sanctæ et magnæ Dei gratia Alexandrinorum Ecclesiæ, et qui in Ægypto, Libya et Pentapoli sunt, dilectis fratribus, qui Nicææ congregati, magnam et sanctam celebrarunt synodum, in Domino salutem. Quandoquidem divina gratia et Deo dilectissimo imperatore Constantino congregante, omnino necessarium visum est, sacram synodum ad vos dare litteras, ut intelligere possitis, cum quæ ibi in quæstionem et disquisitionem venere, tum quæ decreta sancitaque sunt. Itaque scitote, primo omnium inquisitum esse in impieta-

tem et prævaricationem Arii sectatorumque ejus, et in præsentia Dei amantissimi imperatoris Constantini, consentientibus omnium sententiis, placitum ut anathemate impia ejus opinio et voces atque verba blasphema condemnarentur, quibus ille Filium Dei blasphemans usus est, ex non exsistentibus illum esse dicens, et fuisse aliquando tempus cum non fuerit, et arbitrii libertate vitii virtutisque capacem esse Filium Dei creaturam eumdem et facturam nominans. Quæ omnia sancta synodus anathemati subjecit, ne audire quidem impiam opinionem, mentis vecordiam blasphemaque ejus verba sustinens. Atque equidem res ejus quem consecutæ sint exitum, aut jam audivistis, aut certe audietis, ne insultare nos homini videamur qui peccati sui condigna tulit præmia. Tantopere autem invaluit ejus impietas, ut simul cum eo pessum ierint Theonas Marmaricæ, et Secundus Ptolemaidis, episcopi: nam et hi factionis ejus sunt. Sed enim cum per gratiam Dei perversa illa opinione, impietate et blasphemia, nec non hominibus eis qui seditionem atque discessionem ausi sunt concitare in populo antea pacato, Ægyptus sit liberata, et temeritas Melitii atque eorum qui ab eo sunt in sacrum ordinem cooptati, adhuc reliqua fuerit, quæ etiam super hac re synodus decreverit, vobis, fratres dilecti, significamus. Constituit namque ut Melitius (in quem illa quidem humanius affecta fuit: **582** summo enim jure nullam prorsus merebatur veniam) in civitate sua maneat, potestatem autem nullam habeat vel eligendi, vel manus imponendi: et ut neque in regione, neque in urbe alia, hujus saltem rei gratia appareat, nudumque dignitatis nomen retineat: et qui ab eo in sacrum ordinem lecti fuerant, ut arcaniori et sanctiori ordinatione confirmati, ad communionem admittantur. Præterea ut liceat eis quidem honorem simul et functionem ministerii obtinere: secundum autem prorsus locum, ab omnibus cujuscunque parœciæ et ecclesiæ exploratis, ac per reverendissimum fratrem et collegam nostrum Alexandrum lectis atque designatis, ferant. Cæterum ut nulla eis sit facultas quos visum sit designandi, aut nomina eorum subjiciendi, aut omnino faciendi quidquam præter catholicæ Ecclesiæ episcoporum, qui sub Alexandro sunt, sententiam. Qui vero per gratiam Dei et precationes vestras in nulla dissidii factione reperiantur, sed integri atque impolluti in catholica Ecclesia consistant, eis potestas permissa est et designandi, et nomina dictandi eorum, saltem qui clero digni sint, et omnia prorsus faciendi legibus constitutionibusque ecclesiasticis consentanea. Quod si quem eorum qui Ecclesiæ præsunt, decedere contingat, tum in defuncti locum et honorem provehi quisquam ex recens cooptatis debet, ut modo idoneus sit et a populo eligatur, ita tamen ut ad electionem ejusmodi calculus, suffragium, et confirmatio episcopi Alexandrini accedat. Atque hoc quidem

A ἀσέβειαν καὶ τὴν παρανομίαν Ἀρείου καὶ τῶν σὺν αὐτῷ· καὶ ἐπὶ παρουσίᾳ τοῦ θεοφιλεστάτου βασιλέως Κωνσταντίνου ἔδοξεν ἀναθεματισθῆναι τὴν ἀσεβῆ αὐτοῦ δόξαν, καὶ τὰ ῥήματα καὶ τὰ ὀνόματα τὰ βλάσφημα οἷς ἐκέχρητο βλασφημῶν τὸν Υἱὸν τοῦ Θεοῦ, καὶ λέγων αὐτὸν ἐξ οὐκ ὄντων, καὶ εἶναί ποτε ὅτε οὐκ ἦν, καὶ αὐτεξουσιότητι κακίας καὶ ἀρετῆς δεκτικὸν τὸν Υἱὸν τοῦ Θεοῦ λέγοντος, καὶ κτίσμα καὶ ποίημα ὀνομάζοντος. Ἅπαντα ταῦτα ἀνεθεμάτισεν ἡ ἁγία σύνοδος, οὐδὲ ὅσον ἀκοῦσαι τῆς ἀσεβοῦς δόξης ἢ ἀπονοίας καὶ τῶν βλασφήμων ῥημάτων ἀνασχομένη. Καὶ τὰ μὲν κατ' ἐκεῖνον οἵου τέλους τετύχηκεν, ἢ ἀκηκόατε, ἢ ἀκούσεσθε· ἵνα μὴ δόξωμεν ἐπεμβαίνειν ἀνδρὶ δι' οἰκείαν ἁμαρτίαν ἄξια τὰ ἐπίχειρα κομισαμένῳ. Τοσοῦτον δὲ ἴσχυσεν αὐτοῦ ἡ B ἀσέβεια, ὡς καὶ παραπολέσαι Θεωνᾶν ἀπὸ Μαρμαρικῆς, καὶ Σεκοῦνδον ἀπὸ Πτολεμαΐδος· τῶν γὰρ αὐτῶν κἀκεῖνοι τετυχήκασιν. Ἀλλ' ἐπειδὴ ἡ τοῦ Θεοῦ χάρις τῆς μὲν κακοδοξίας ἐκείνης καὶ ἀσεβείας καὶ βλασφημίας καὶ τῶν προσώπων τῶν τολμησάντων διάστασιν καὶ διαίρεσιν ποιήσασθαι τοῦ εἰρηνευομένου ἄνωθεν λαοῦ ἠλευθέρωσε τὴν Αἴγυπτον· ἐλείπετο δὲ τὸ κατὰ τὴν προπέτειαν Μελιτίου καὶ τῶν ἀπ' αὐτοῦ χειροτονηθέντων· καὶ περὶ τούτου τοῦ μέρους ἃ ἔδοξε τῇ συνόδῳ, ἐμφανίζομεν ὑμῖν, ἀγαπητοὶ ἀδελφοί. Ἔδοξεν οὖν Μελίτιον, φιλανθρωποτέρως κινηθείσης τῆς συνόδου, κατὰ γὰρ τὸν ἀκριβῆ λόγον οὐδεμιᾶς συγγνώμης ἄξιος ἦν, μένειν ἐν τῇ πόλει αὐτοῦ, καὶ μηδεμίαν ἐξουσίαν ἔχειν αὐτὸν μήτε χειροθετεῖν, μήτε προχειρίζεσθαι· μήτε ἐν χώρᾳ, μήτε C ἐν πόλει ἑτέρᾳ φαίνεσθαι ταύτης τῆς προφάσεως ἕνεκα· ψιλὸν δὲ ὄνομα τῆς τιμῆς κεκτῆσθαι· τοὺς δὲ ὑπ' αὐτοῦ κατασταθέντας, μυστικωτέρᾳ χειροτονίᾳ βεβαιωθέντας, κοινωνῆσαι· ἐπὶ τούτοις, ἐφ' ᾧτε ἔχειν αὐτοὺς τὴν τιμὴν καὶ λειτουργίαν· δευτέρους δὲ ἐξάπαντος εἶναι πάντων τῶν ἐν ἑκάστῃ παροικίᾳ τε καὶ ἐκκλησίᾳ ἐξεταζομένων, τῶν ὑπὸ τοῦ τιμιωτάτου ἀδελφοῦ καὶ συλλειτουργοῦ ἡμῶν Ἀλεξάνδρου προκεχειρισμένων. Ὥστε τούτοις μηδεμίαν ἐξουσίαν εἶναι τοὺς ἀρέσκοντας αὐτοῖς προχειρίζεσθαι, ἢ ὑποβάλλειν ὀνόματα, ἢ ὅλως ποιεῖν τι, χωρὶς γνώμης τῶν τοῦ τῆς καθολικῆς Ἐκκλησίας ἐπισκόπου τῶν ὑπὸ Ἀλέξανδρον· τοὺς δὲ χάριτι Θεοῦ καὶ εὐχαῖς ὑμετέραις ἐν μηδενὶ σχίσματι εὑρεD θέντας, ἀλλὰ ἀκηλιδώτους ἐν τῇ καθολικῇ Ἐκκλησίᾳ ὄντας, καὶ ἐξουσίαν ἔχειν προχειρίζεσθαι, καὶ ὀνόματα ἐπιλέγεσθαι τῶν ἀξίων τοῦ κλήρου· καὶ ὅλως πάντα ποιεῖν κατὰ νόμον καὶ θεσμὸν τὸν ἐκκλησιαστικόν. Εἰ δέ τινα συμβαίη ἀναπαύσασθαι τῶν ἐν τῇ Ἐκκλησίᾳ, τηνικαῦτα προσαναβαίνειν εἰς τὴν τιμὴν τοῦ τετελευτηκότος τοὺς ἄρτι προσληφθέντας· μόνον εἰ ἄξιοι φαίνοιντο, καὶ ὁ λαὸς αἱροῖτο, συνεπιψηφίζοντος αὐτῷ, καὶ ἐπισφραγίζοντος τοῦ τῆς Ἀλεξανδρείας ἐπισκόπου. Τοῦτο δὲ τοῖς μὲν ἄλλοις πᾶσι συνεχωρήθη· ἐπὶ δὲ τοῦ Μελιτίου προσώπου οὐκέτι τὰ αὐτὰ ἔδοξε διὰ τὴν ἀνέκαθεν αὐτοῦ ἀταξίαν, καὶ διὰ τὸ πρόχειρον καὶ προπετὲς τῆς γνώμης· ἵνα μηδεμία ἐξουσία ἢ αὐθεντία αὐτῷ δοθείη, ἀνθρώπῳ δυναμένῳ πάλιν τὰς αὐτὰς ἀταξίας ἐμποιῆσαι. Ταῦτά

ἐστι τὰ ἐξαίρετα καὶ διαφέροντα Αἰγύπτῳ καὶ τῇ Ἀλεξανδρέων Ἐκκλησίᾳ. Εἰ δέ τι ἄλλο ἢ ἐκανονίσθη ἢ ἐδογματίσθη, συμπαρόντος τοῦ κυρίου καὶ τιμιωτάτου συλλειτουργοῦ καὶ ἀδελφοῦ ἡμῶν Ἀλεξάνδρου, αὐτὸς παρὼν ἀκριβεστέρως ἀνοίσει πρὸς ὑμᾶς, ἅτε δὴ καὶ κύριος καὶ κοινωνὸς τῶν γεγενημένων τυγχάνων. Εὐαγγελιζόμεθα δὲ ὑμῖν καὶ περὶ τῆς συμφωνίας τοῦ ἁγιωτάτου Πάσχα, ὅτι καὶ ὑμετέραις εὐχαῖς κατωρθώθη καὶ τοῦτο τὸ μέρος· ὥστε πάντας τοὺς ἐν τῇ Ἑῴᾳ ἀδελφοὺς τοὺς μετὰ Ἰουδαίων τοπρότερον ποιοῦντας συμφώνως Ῥωμαίοις καὶ ἡμῖν, καὶ πᾶσιν ὑμῖν, τοῖς ἐξ ἀρχαίου μεθ' ἡμῶν φυλάττουσι τὸ Πάσχα, ἐκ τοῦ δεῦρο ἄγειν. Χαίροντες οὖν ἐπὶ τοῖς κατορθώμασι, καὶ τῇ τῆς εἰρήνης συμφωνίᾳ, καὶ ἐπὶ τῷ πᾶσαν αἵρεσιν ἐκκοπῆναι, ἀποδέξασθε μὲν μετὰ μείζονος τιμῆς καὶ πλείονος ἀγάπης τὸν συλλειτουργὸν ἡμῶν, ὑμῶν δὲ ἐπίσκοπον Ἀλέξανδρον, τὸν εὐφράναντα ἡμᾶς ἐν τῇ παρουσίᾳ αὐτοῦ, καὶ ἐν ταύτῃ τῇ ἡλικίᾳ τοσοῦτον πόνον ὑποστάντα ὑπὲρ τοῦ εἰρήνην γενέσθαι καὶ παρ' ὑμῖν· εὔχεσθε δὲ καὶ ὑπὲρ ἡμῶν ἁπάντων, ἵνα τὰ καλῶς ἔχειν δόξαντα ταῦτα βέβαια μείνῃ διὰ τοῦ παντοκράτορος Θεοῦ, καὶ διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, σὺν ἁγίῳ Πνεύματι· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας.» Ἀμήν.

omnibus aliis concessum est: in persona autem Melitii non idem constitutum, propter priorem inordinatum ejus morem celeritatemque et præcipitantiam sententiæ et consilii, ne qua sit ipsi vel potestas vel auctoritas, homini scilicet qui rursum temeritatem ordinis negligentem inducere possit. Hæc sunt quæ præcipue ad Ægyptum et Ecclesiam Alexandrinam pertinent. Si quid vero præterea vel canonibus vel decretis est constitutum, reverendissimus dominus, frater et collega noster Alexander, certius ad vos reversus perferet, quippe et auctor et particeps actorum omnium. Lætum insuper vobis afferimus nuntium de sanctissimi Paschatis celebrandi consensu; nam et hæc res precibus vestris recte constituta atque ordinata est: **583** fratresque Orientales omnes, qui antea cum Judæis fecerunt, ex hoc ipso tempore cum Romanis et nobiscum, omnibusque adeo aliis qui antiquitus nobiscum Pascha celebrarunt, id se concorditer acturos consenserunt. Gaudete igitur de rebus ecclesiasticis ordinatis, de pacis consensu et concordia restituta, et de hæresibus omnibus excisis, atque majore eum honore prolixioreque charitate suscipite collegam quidem nostrum, episcopum autem vestrum Alexandrum, qui nos profecto præsentia sua exhilaravit, plurimumque in hac ætate sua, ut pax quoque apud vos esset, laboris sustinuit. Orate pro omnibus nobis, ut quæ a nobis recte sunt constituta, firma stabiliaque maneant, per Deum omnipotentem, et Dominum nostrum Jesum Christum, cum sancto Spiritu: cui sit gloria in sæcula. Amen.

Οὐχ ἡ θεία σύνοδος μόνη, ἀλλὰ καὶ ὁ περιβόητος Κωνσταντῖνος, τῷ δήμῳ τῶν Ἀλεξανδρέων τὰ ἴσα διεχάραττε γράμματα· ἐν ᾧ δείκνυσιν ὡς οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχεν, ὁ ὅρος ὑπηγορεύθη τῆς πίστεως, ἀλλὰ δοκιμασίᾳ πολλῇ καὶ συζητήσει ἠκριβωμένη· καὶ ὅσα τῷ δόγματι ἦσαν ἁρμόδια, πάντα εἰς μέσον ἤχθη· καὶ πρότερον ἐρεύνῃ διαβεβηκυίᾳ, ὅσα πρόφασιν διαστάσεως ἐδόκει γεννᾷν, ἐκποδὼν ἐγένοντο ἀναντιῤῥήτως· καὶ οὕτως ὁ ὅρος ἐξήγετο. Καὶ τέλος Θεοῦ γνώμην τὴν εἰς ταυτὸ γνώμης ἐλθοῦσαν τῶν ἐπισκόπων σύνοδον ὀνομάζει· καὶ Πνεύματι ἁγίῳ τῶν τοσούτων Πατέρων τὴν συμφωνίαν εἶναι διασαφεῖ, κἀντεῦθεν καὶ μηδὲ τῆς ἀληθείας ἀστοχῆσαι καὶ τἀσφαλοῦς.

Non ipsa vero synodus tantum, sed et celeberrimus Constantinus, ad populum Alexandrinum ejus generis dedit litteras, quibus ostendit, non simpliciter, temere aut neglectim definitionem professionis fidei editam, sed exploratione multa atque disquisitione accurata adhibita, quæcunque dogmati consentanea essent, in medium producta: primumque investigatione diligenti observata, quæcunque occasionem dissidii et seditionis creare possent, ea ita rejecta, ut contra dici quidquam non posset: et sic deinde definitionem ipsam promulgatam esse: postremo Dei sententiam concordem episcoporum synodi sententiam vocat, atque Spiritui sancto tot Patrum consensum acceptum refert, per quem illi a vera et certa sententia non exciderint.

ΚΕΦΑΛ. ΚΕ'.

Ἐπιστολὴ τοῦ μεγάλου βασιλέως Κωνσταντίνου ταῖς ἁπανταχοῦ ἐκκλησίαις περὶ τῶν ἐν τῇ ἁγίᾳ συνόδῳ διαπεπραγμένων· καὶ κατὰ Ἀρειανῶν.

Ὁ δ' αὐτὸς καὶ τοῖς μὴ δυνηθεῖσιν ἀφικέσθαι τῶν ἐπισκόπων, καὶ ταῖς ἁπανταχοῦ ἐκκλησίαις τὰ γεγενημένα διδάσκων, ἔγραφε τοιάδε· «Πεῖραν λαβὼν ἐκ τῆς τῶν κοινῶν εὐπραξίας ὅση τῆς θείας δυνάμεως πέφυκε χάρις, τοῦτον πρὸ πάντων ἔκρινα εἶναί μοι προσήκειν σκοπὸν, ὅπως παρὰ τοῖς μακαριωτάτοις τῆς καθολικῆς Ἐκκλησίας πλήθεσι πίστις μία, καὶ εἰλικρινὴς ἀγάπη, ὁμογνώμων τε περὶ

CAPUT XXV.

Epistola magni imperatoris Constantini ad omnes ubique ecclesias de sanctæ synodi actis, et adversus Arianos.

Idem et ad episcopos qui ad conventum venire non potuerunt, et ad omnes ubique ecclesias quæ, acta ibi essent declarans, ad hunc modum scripsit (1): « Experientia edoctus per rerum publicarum prosperitatem, quanta sit divinæ potestatis gratia, illum mihi propositum esse debere finem judicavi, ut a beatissimis catholicæ Ecclesiæ populis fides una et sincera charitas, consentiensque in

(1) Theodoret. lib. 1, c. 10.

Deum pietas servetur. Sedenim cum aliter omnino fieri non posset, **584** ut ordo stabilis et firmus constitueretur, nisi simul omnes, aut certe plures episcopi convenirent, et de re qualibet ad sanctissimam religionem pertinente dijudicarent, ejus rei gratia, quam fieri potuit plurimis coactis, me quoque perinde atque uno aliquo ex vobis (non enim negaverim, quo maxime lætor, conservum vestrum me esse) præsente, usque adeo omnia in debitam sunt disquisitionem vocata, quousque rerum omnium inspectori Deo placita sententia, ad consentientis unitatis concordiam stabiliendam, in lucem est protracta, ita ut nihil jam quod ad dissensionem aut professionis fidei ambiguitatem facere posset, sit relictum. Ubi cum de sanctissimo etiam Paschatis die quæstio esset exorta, sententiis omnium decretum est, convenire, ut id eodem tempore ab omnibus ubique peragatur. Quid enim nobis esse potest vel pulchrius, vel gravius, quam si is dies festus, unde spem immortalitatis percepimus, uno ordine et celebri ritu ab omnibus certo inviolabiliter peragatur? Ac primum quidem indigna res fuit, sanctissimum eum diem imitatione atque consuetudine Judæorum celebrare, qui manibus suis nefario flagitio contaminatis, non injuria quoque animis sunt excæcati, homines scelerati. Quidni enim liceat, gente ea rejecta, rectiore verioreque ordine, quem a primo passionis die hucusque servavimus, ad futura quoque sæcula observationis hujus ritum transmittere? Itaque nihil vobis commune sit cum infestissima Judæorum turba. Aliam siquidem a Salvatore accepimus viam. Propositus est sacratissimæ religioni nostræ suus cursus, et legitima quæ illam deceat regula, quam unanimi consensu complectentes, nos ipsos a fœda illa conscientia et societate retrahamus, fratres reverendissimi. Et profecto omnium absurdissimum est, illos gloriando jactare, hisce observandis nos sufficere non posse absque illorum doctrina et præscripto. Quidnam vero illi recte sentire et sapere possunt, qui post illam Domini cædem mentibus capti, non ratione aliqua, sed impotenti impetu, quocunque eos insitus impellit furor, ducuntur? Quam ob causam, cum in hac quoque parte verum non perspiciant, sed uti semper, affectu vitioso transversi rapiantur, potius quam errorem corrigant, eodem anno bis Pascha peragunt. **585** Qua igitur de causa eos sequemur, qui gravi errore se implicatos esse confitentur? Bis equidem eodem anno Pascha celebrare haud unquam sustinuerimus. Atque etiamsi hæc vobis non exponerentur, conveniret tamen, vos, pro mentis vestræ sagacitate, semper et studere et optare, ne cujuspiam similitudine et exemplo puritatem animarum vestrarum pollueretis, neve hominum modis omnibus malorum consuetudinem imitari videremini. Ad hæc illud quoque considerandum venit, in re tanta et tam solemnibus religionis nostræ feriis, dissensionem exstare

τὸν παγκρατῆ Θεὸν εὐσέβεια τηρῆται. Ἀλλ' ἐπεὶ δὴ τοῦτο ἑτέρως οὐχ οἷόν τε ἦν, ἀκλινῆ καὶ βεβαίαν τάξιν λαβεῖν, εἰ μὴ εἰς ταυτὸ πάντων ὁμοῦ, ἢ τῶν γοῦν πλειόνων ἐπισκόπων συνελθόντων, ἑκάστης τῶν προσηκόντων τῇ ἁγιωτάτῃ θρησκείᾳ διάκρισις γένοιτο· τούτου ἕνεκεν πλείστων ὅσων συναθροισθέντων, καὶ αὐτὸς δὲ, καθάπερ εἷς ἐξ ὑμῶν, τυγχάνων συμπαρὼν (οὐ γὰρ ἀρνησαίμην ἂν ἐφ' ᾧ μάλιστα χαίρω, συνθεράπων ὑμέτερος πεφυκέναι), ἄχρι τοσούτου ἅπαντα τῆς προσηκούσης τετύχηκεν ἐξετάσεως, ἄχρις οὗ ἡ τῷ τῶν πάντων ἐφόρῳ Θεῷ ἀρέσκουσα γνώμη πρὸς τὴν τῆς ἑνότητος συμφωνίαν εἰς φῶς προήχθη, ὡς μηδὲν ἔτι πρὸς διχόνοιαν, ἢ πίστεως ἀμφισβήτησιν ὑπολείπεσθαι. Ἔνθα καὶ περὶ τῆς τοῦ Πάσχα ἁγιωτάτης ἡμέρας γενομένης ζητήσεως, ἔδοξε κοινῇ γνώμῃ, καλῶς ἔχειν ἐπὶ μιᾶς ἡμέρας πάντας τοὺς ἁπανταχοῦ ἐπιτελεῖν· τί γὰρ ἡμῖν κάλλιον, τί δὲ σεμνότερον ὑπάρξαι δυνήσεται τοῦ τὴν ἑορτὴν ταύτην, παρ' ἧς τὴν τῆς ἀθανασίας εἰλήφαμεν ἐλπίδα, μιᾷ τάξει καὶ φανερῷ λόγῳ παρὰ πᾶσιν ἀδιαπτώτως φυλάττεσθαι; Καὶ πρῶτον μὲν ἀνάξιον ἔδοξεν εἶναι τὴν ἁγιωτάτην ἐκείνην ἑορτὴν τῇ τῶν Ἰουδαίων ἑπομένους συνηθείᾳ πληροῦν, οἳ τὰς ἑαυτῶν χεῖρας ἀθεμίτῳ πλημμελήματι χράναντες, εἰκότως τὰς ψυχὰς οἱ μιαροὶ τυφλώττουσιν. Ἔξεστι γὰρ, τοῦ ἔθνους ἀποβληθέντος, ἀληθεστέρᾳ τάξει ἣν ἐκ πρώτης τοῦ πάθους ἡμέρας μέχρι τοῦ παρόντος ἐφυλάξαμεν, καὶ ἐπὶ τοὺς μέλλοντας αἰῶνας τὴν τῆς ἐπιτηρήσεως ταύτης συμπλήρωσιν ἐγγίνεσθαι. Μηδὲν τοίνυν ἔστω ὑμῖν κοινὸν μετὰ τοῦ ἐχθίστου τῶν Ἰουδαίων ὄχλου. Εἰλήφαμεν γὰρ παρὰ τοῦ Σωτῆρος ἑτέραν ὁδόν. Πρόκειται γὰρ δρόμος τῇ ἱερωτάτῃ ἡμῶν θρησκείᾳ, καὶ νομικὸς κανὼν καὶ πρέπων τούτῳ, οὗ συμφώνως ἀντιλαμβανόμενοι τῆς αἰσχρᾶς ἐκείνης ἑαυτοὺς συνειδήσεως, ἀποσπάσωμεν, ἀδελφοὶ τιμιώτατοι. Ἔστι γὰρ ὡς ἀληθῶς ἀτοπώτατον ἐκείνους αὐχεῖν, ὡς ἄρα παρεκτὸς τῆς αὐτῶν διδασκαλίας ταῦτα φυλάττειν οὐκ ἐσμὲν ἱκανοί. Τί δὲ φρονεῖν ἐκεῖνοι ὀρθὸν δυνήσονται, οἳ μετὰ τὴν Κυριοκτονίαν ἐκείνην τῶν φρενῶν ἐκστάντες, ἄγονται οὐ λογισμῷ τινι, ἀλλ' ὁρμῇ ἀκατασχέτῳ, ὅπου ἂν αὐτοὺς ἡ ἔμφυτος ἀπάγῃ μανία; Ἐκεῖθεν τοίνυν κἂν τούτῳ τῷ μέρει τὴν ἀλήθειαν οὐχ ὁρῶντας, ὡς ἀεὶ κατὰ πάθος αὐτοὺς πλανωμένους, ἀντὶ τῆς προσηκούσης ἐπανορθώσεως ἐν τῷ αὐτῷ ἔτει δεύτερον τὸ Πάσχα ἐπιτελεῖν. Τίνος οὖν χάριν τούτους ἑπόμεθα, οἳ δεινὴν πλάνην νοσεῖν ὡμολόγηνται; δεύτερον γὰρ τὸ Πάσχα ἐν ἑνὶ ἐνιαυτῷ οὐκ ἄν ποτε ποιεῖν ἀνεξόμεθα. Ἀλλ' εἰ καὶ ταῦτα μὴ προὔκειτο, τὴν ὑμετέραν ἀγχίνοιαν ἐχρῆν καὶ διὰ σπουδῆς καὶ δι' εὐχῆς ἔχειν πάντοτε, ἐν μηδενὸς ὁμοιώματι τὸ καθαρὸν τῆς ἡμετέρας ψυχῆς κοινωνεῖν, ἢ δοκεῖν ἕπεσθαι ἀνθρώπων ἔθεσι παγκάκων. Πρὸς τούτοις κἀκεῖνο πάρεστι συνορᾶν, ὡς ἐν τηλικούτῳ πράγματι καὶ τοιαύτης θρησκείας ἑορτῇ διαφωνίαν ὑπάρχειν ἐστὶν ἀθεώτατον· μίαν γὰρ ἡμῖν τὴν τῆς ἡμετέρας ἐλευθερίας ἡμέραν, τουτέστι τοῦ ἁγιωτάτου πάθους, ὁ ἡμέτερος παρέδωκε Σωτήρ· μίαν εἶναι τὴν καθολικὴν αὐτοῦ Ἐκκλησίαν βεβού-

ληται· ἧς εἰ καὶ τὰ μάλιστα εἰς πολλούς τε καὶ (A) διαφόρους τόπους τὰ μέρη διῄρηνται, ἀλλ' ὅμως ἑνὶ πνεύματι, τουτέστι τῷ θείῳ βουλήματι θάλπεται. Λογισάσθω δὲ ἡ τῆς ὑμετέρας ὁσιότητος ἀγχίνοια, ὅπως ἐστὶ δεινόν τε καὶ ἀπρεπὲς κατὰ τὰς αὐτὰς ἡμέρας ἑτέρους μὲν ταῖς νηστείαις σχολάζειν, ἑτέρους δὲ συμπόσια τελεῖν· καὶ μετὰ τὰς τοῦ Πάσχα ἡμέρας ἄλλους μὲν ἑορταῖς καὶ ἀνέσεσιν ἐξετάζεσθαι, ἄλλους δὲ ταῖς ὡρισμέναις ἐκδεδόσθαι νηστείαις. Διὰ ταῦτα γοῦν τῆς προσηκούσης ἐπανορθώσεως τυχεῖν, καὶ πρὸς μίαν διατύπωσιν ἄγεσθαι τοῦτο, ἡ θεία πρόνοια βούλεται· ὡς ἔγωγε ἀπαθῶς συνορῶ. Ὅθεν ἐπειδὴ τοῦτο οὕτως ἐπανορθοῦσθαι προσήκει, ὡς μηδὲν μετὰ τῶν Κυριοκτόνων εἶναι κοινὸν, ἔστι τε τάξις εὐπρεπὴς, ἣν ἅπασαι τῶν δυτικῶν τε καὶ (B) μεσημβρινῶν καὶ ἀρκτῴων τῆς οἰκουμένης μερῶν παραφυλάττουσιν αἱ ἐκκλησίαι· καί τινες τῶν κατὰ τὴν Ἑῴαν τόπων, ὧν ἕνεκεν ἐπὶ τοῦ παρόντος καλῶς ἔχειν ἅπαντες ἡγήσαντο· καὶ αὐτὸς δὲ τῇ ὑμετέρᾳ ἀγχινοίᾳ ἀρέσειν ὑπεσχόμην· ἵνα ὅπερ δ' ἂν κατὰ τὴν Ῥωμαίων πόλιν, Ἰταλίαν τε καὶ Ἀφρικὴν ἅπασαν, Αἴγυπτον, Ἰσπανίας, Γαλλίας, Βρεταννίας, Λιβύας, ὅλην Ἑλλάδα, Ἀσιανήν τε διοίκησιν, καὶ Ποντικὴν, καὶ Κιλικίαν, μιᾷ καὶ συμφώνῳ φυλάττηται γνώμῃ, ἀσμένως τοῦτο καὶ ἡ ὑμετέρα προσδέξηται σύνεσις, λογιζομένη, ὡς οὐ μόνον πλείων ἐστὶν ὁ τῶν κατὰ τοὺς προειρημένους τόπους ἐκκλησιῶν ἀριθμὸς, ἀλλὰ καὶ ὡς τοῦτο μάλιστα κοινῇ πάντας ὁσιώτατόν ἐστι βούλεσθαι· ὅπερ καὶ ὁ ἀκριβὴς ἀπαιτεῖν δοκεῖ λόγος· καὶ οὐδεμίαν μετὰ τῆς (C) Ἰουδαίων ἐπιορκίας ἔχειν κοινωνίαν. Ἵνα δὲ τὸ κεφαλαιωδέστατον συντόμως εἴπω, κοινῇ πάντων ἤρεσε κρίσει, τὴν ἁγιωτάτην τοῦ Πάσχα ἑορτὴν μιᾷ καὶ τῇ αὐτῇ ἡμέρᾳ συντελεῖσθαι. Οὐδὲ γὰρ πρέπει ἐν τοιαύτῃ ἁγιότητι εἶναί τινα διαφοράν· καὶ κάλλιον ἕπεσθαι τῇ γνώμῃ ταύτῃ, ἐν ᾗ οὐδεμία ἔσται ἀλλοτρίας πλάνης καὶ ἁμαρτήματος ἐπιμιξία. Τούτων οὕτως ἐχόντων, ἀσμένως δέχεσθε τὴν οὐρανίαν καὶ θείαν ὡς ἀληθῶς ἐντολήν. Πᾶν γὰρ ὅ τι δ' ἂν ἐν τοῖς ἁγίοις τῶν ἐπισκόπων συνεδρίοις πράττηται, τοῦτο πρὸς τὴν θείαν βούλησιν ἔχει τὴν ἀναφοράν. Διὸ πᾶσι τοῖς ἀγαπητοῖς ἡμῶν ἀδελφοῖς ἐμφανίσαντες τὰ προγεγραμμένα, ἤδη καὶ τὸν προειρημένον λόγον καὶ τὴν παρατήρησιν τῆς ἁγιωτάτης ἡμέρας ὑποδέχεσθαί τε καὶ διατάττειν ὀφείλετε· ἵνα ἐπειδὰν (D) πρὸς τὴν πάλαι μοι ποθουμένην τῆς ὑμετέρας διαθέσεως ὄψιν ἀφίκωμαι, ἐν μιᾷ καὶ τῇ αὐτῇ ἡμέρᾳ τὴν ἁγίαν μεθ' ὑμῶν ἑορτὴν ἐπιτελέσαι δυνηθῶ, καὶ πάντων ἕνεκεν μεθ' ὑμῶν εὐδοκήσω, συνορῶν τὴν διαβολικὴν ὠμότητα ὑπὸ τῆς θείας δυνάμεως διὰ τῶν ἡμετέρων πράξεων ἀνῃρημένην, ἀκμαζούσης πανταχοῦ τῆς ὑμετέρας πίστεως καὶ εἰρήνης καὶ ὁμονοίας. Ὁ Θεὸς ὑμᾶς διαφυλάξαι, ἀδελφοὶ ἀγαπητοί. »

Ὁποῖα δὲ καὶ κατ' Ἀρείου καὶ τῶν ὁμοφρόνων ἐκείνῳ γράφει τοῖς πανταχοῦ ἐπισκόποις καὶ λαοῖς, δίκαιον ἐπακοῦσαι. « Τοὺς πονηροὺς καὶ ἀσεβεῖς

(A) aliquam, longe esse impiissimum. Unum namque nobis libertatis atque redemptionis nostræ diem, sanctissimæ scilicet passionis suæ, Salvator noster dedit. Unam esse catholicam suam Ecclesiam voluit : cujus tametsi partes in multis variisque sunt dispersæ locis, uno tamen spiritu, hoc est, divino arbitrio fovetur. Consideret porro sanctitatis vestræ solertia quam grave sit et indecorum, per eosdem dies, alios quidem jejuniis intentos esse, alios vero conviviis vacare; et post Paschatis dies, hos quidem feriari et conquiescere, illos autem statis jejuniis macerari. Quapropter hanc rem, pro eo atque decet corrigi, atque ad unum institutum formamque perduci, divina vult providentia, (B) quantum equidem extra omnem affectum positus perspicio. Itaque cum hoc sic corrigere conveniat, ne quid nobis cum Domini percussoribus sit commune, et decens exstet ordo, quem omnes Occidentalium, et Meridionalium, Septentrionaliumque habitabilis orbis partium Ecclesiæ, et quibusdam quoque in locis Orientales observant, ea de causa in præsentia omnibus convenire visum est, ipseque adeo id solertiæ vestræ placiturum esse recepi, ut quod per urbem Romanam, Italiam, Africam omnem, Ægyptum, Hispanias, Gallias, Britannias, Libyam, cunctam Græciam, Asianam atque Ponticam ditionem, et Ciliciam, uno atque consentienti servatur consilio, id libenter quoque prudentia vestra suscipiat, secum ipsa perpendens, (C) non modo ampliorem esse Ecclesiarum in eis quæ diximus locis numerum, verum etiam idem communiter omnes sentire et velle, esse quam sanctissimum. Quin et strictior ipsa atque exactior ratio flagitare videtur, **586** ne qua nobis sit cum Judæorum perjurio communio. Et ut tandem summam rei breviter dicam : communi omnium judicio placuit, sanctissimas Paschatis ferias, uno eodemque die peragi. Minime namque decet in re tam sancta aliquam exstare dissensionem. Et pulchrius est eam sequi sententiam, in qua nulla sit alieni erroris et peccati contagio. Ac cum ita se res habeat, libentibus animis cœleste hoc et vere divinum suscipite præceptum. Quidquid enim in sanctis episcoporum agitur conventibus, id ad (D) divinam refertur voluntatem. Itaque eis quæ scripsimus omnibus dilectis fratribus nostris significatis, jam rationem hanc et observationem sanctissimi diei suscipere atque instituere debetis, ut, cum in pietatis vestræ (quod dudum mihi fuit in votis) conspectum venero, uno eodemque die sanctas vobiscum ferias celebrare valeam, et rebus omnibus una vobiscum ex animo delecter, feritatem diabolicam per vim divinam operibus nostris sublatam, vestramque ubique fidem, pacem et concordiam vigentem cernens. Deus vos servet, fratres dilecti. »

Æquum etiam est, quæ contra Arium et sectatores ejus, omnibus passim episcopis et populis scripsit, cognoscere. « Cum maliguos et impios

Arius sibi imitandos duxerit, par est ut eamdem cum illis ferat ignominiam. Quemadmodum igitur Porphyrius divinæ pietatis hostis, iniquis de religione compositis libris, condignam reperit mercedem, per quam omnium futuris sæculis probris obnoxius erit, plurimaque obruetur infamia, atque insuper impia ejus abolita sunt scripta, ita et nunc placitum nobis est, Arium et Arii suffragatores, Porphyrianos quidem nominari, ut quorum imitati sunt mores, eorum quoque obtineant appellationes : si quod autem scriptum ad Ario compositum reperiatur, ut igni id tradatur volumus, ut non modo improba ejus doctrina abrogetur, verum etiam ne monumentum quidem aliquod ejus relinquatur. Illud equidem prædictum volo, si quis libellum aliquem ab Ario conscriptum celare, nec continuo igni comburere, deprehensus fuerit, supplicium ei mortis esse constitutum. **587** Illico namque in crimine tali comprehensus pœnam sustinebit capitalem. » Plures etiam alias adversus eosdem ad loca omnia misit epistolas, verbis per ironiam ad simulationem compositis, eis illudens. Nicomediensibus itidem (1) contra Eusebium et Theognidem scripsit, Eusebium perstringens, veluti Licinio aliquando faventem sibique insidiantem, atque alium episcopum legere jubens; quod et factum est. Eas epistolas hoc loco apponere, ne longior esse videar, minus convenire putavi. Ac de his quidem hactenus.

CAPUT XXVI.

Quod Constantinus benedictionis causa, Constantinopolim synodo translata, publicum ei præbuit epulum et muneribus, omnes honoris gratia prosecutus, domum quemque dimiserit.

Cæterum rebus ad hunc modum euntibus, commodum evenit ut vicesimus Constantini imperii annus tum compleretur. Et Romani more recepto, decimo quoque principis sui imperii anno, communem et publicum agebant conventum diemque festum. Itaque et ipse decere id arbitratus, ad epulas synodum invitat, et toris plurimis ordine suo collocatis, eodem in loco excipit, multisque et sermonibus et donis honorificentiam et liberalitatem erga illos declarans, præclarissimos quosque eorum mensæ suæ adhibet. Quorum quidem, cum ille mutilata propter Christum cerneret membra, atque fidei eorum constantiam inde colligeret, labiis ipse suis cicatrices eorum exosculari et venerari dedignatus non est, gratiam se osculo ejusmodi et benedictione eorum percipere confisus. Posteaquam autem finem suum convivium id habuit, loco suo exsurgens, supplicis more conventum rogavit, ut qui tantum pertulissent laboris, perpaucos sibi dies dare, et recens fundatam urbem, jam tum perfectam, adire non gravarentur, ut precationibus suis munitiones et muros ejus firmarent. Atque illi statim, quod petierat, faciunt. Constantinopolim veniunt, Encænia et consecra-

(1) Socrat. lib. I *Historiæ eccles.*

A μιμησάμενος Ἄρειος, δίκαιός ἐστι τὴν αὐτὴν ἐκείνοις ὑπέχειν ἀτιμίαν. Ὥσπερ τοίνυν Πορφύριος ὁ τῆς θεοσεβείας ἐχθρὸς συντάγματα παράνομα περὶ τῆς θρησκείας συστησάμενος, ἄξιον εὕρατο μισθόν· καὶ τοιοῦτον ὥστε ἐπονείδιστον μὲν αὐτὸν πρὸς τὸν ἑξῆς γενέσθαι χρόνον, καὶ πλείστης ἀναπλησθῆναι κακοδοξίας, ἀφανισθῆναι δὲ τὰ ἀσεβῆ αὐτοῦ συγγράμματα· οὕτω καὶ νῦν ἔδοξεν Ἄρειόν τε καὶ τοὺς Ἀρείου ὁμογνώμονας Πορφυριανοὺς μὲν καλεῖσθαι, ἵν' ὧν τοὺς τρόπους μεμίμηνται, τούτων ἔχωσι καὶ τὴν προσηγορίαν· πρὸς δὲ τούτοις, καὶ εἴ τι σύνταγμα ὑπὸ Ἀρείου συντεταγμένον εὑρίσκοιτο, τοῦτο πυρὶ παραδίδοσθαι, ἵνα μὴ μόνον τὰ φαῦλα αὐτοῦ τῆς διδασκαλίας ἀφανισθείη, ἀλλὰ μηδὲ ὑπόμνημα αὐτοῦ ὅλως ὑπολίποιτο. Ἐκεῖνο μέντοι προαγορεύω· ὡς B εἴ τις σύνταγμα ὑπὸ Ἀρείου συνταγὲν φωραθείη κρύψας, καὶ μὴ εὐθέως προσενεγκὼν πυρὶ καταναλώσῃ, τούτῳ θάνατος ἔσται ἡ ζημία. Παραχρῆμα γὰρ ἁλοὺς ἐπὶ τούτῳ, κεφαλικὴν ὑποστήσεται τιμωρίαν. » Πολλὰς δὲ καὶ ἄλλας ἐπιστολὰς κατ' αὐτῶν πέμψας, ἁπανταχοῦ ἐξαπέστειλεν, ἐν εἴρωνι τῷ λόγῳ διαπαίζων αὐτούς. Καὶ Νικομηδεῦσι δὲ κατὰ Εὐσεβίου καὶ Θεόγνιδος ἔγραφεν, ἐν οἷς τοῦ Εὐσεβίου καθάπτεται, ὡς Λικινίῳ εὐνοοῦντος, κἀκείνῳ ἐπιβουλεύοντος, καὶ ἐπίσκοπον ἕτερον ἑλέσθαι· ὃ καὶ ἐγένετο. Τὸ δὲ μῆκος φεύγων ἐγὼ, καὶ ταύτας παραθεῖναι τὰς ἐπιστολὰς οὐ δέον ἐλογισάμην. Καὶ περὶ μὲν τούτων ταῦτα.

C

ΚΕΦΑΛ. ΚϚ'.

Ὅτι ἐν Κωνσταντινουπόλει τὴν σύνοδον ἀγαγὼν, εὐλογίας χάριν, δημοτελῆ αὐτῇ ἑστίασιν ἐποιήσατο· καὶ δώροις ἅπαντας φιλοτιμησάμενος, οἴκαδε ἀπέλυσεν ἕκαστον.

Τούτων οὕτω προβάντων, συνέβη τὴν εἰκοσαετηρίδα τῆς Κωνσταντίνου τηνικαῦτα βασιλείας περιελθεῖν. Εἰωθὸς δὲ Ῥωμαίοις καθ' ἑκάστην δεκάδα τοῦ κρατοῦντος ἀρχῆς κοινὴν πανήγυριν ἄγειν, προσῆκον κἀκεῖνος λογισάμενος, εἰς ἑστίασιν τὴν σύνοδον προετρέψατο· καὶ δῆτα πολλῶν στιβάδων ἐν εὐθέτῳ γεγενημένων, κατὰ ταυτὸν πάντας εἱστία, πολλοῖς καὶ λόγοις καὶ δώροις τὸ φιλότιμον ἐπιδεικνύμενος. Τοὺς μὲν οὖν περιφανεῖς ἐκείνων καὶ ὁμοτραπέζους ἑαυτῷ ἐποίει· ὧντινων καὶ τὰ πεπηD ρωμένα διὰ Χριστὸν μέλη θεώμενος, καὶ τὸ ἑδραῖον ἐντεῦθεν τῆς πίστεως ἐννοῶν, χείλεσιν ἰδίοις οὐκ ἀπηξίου τιμᾶν τὰς πληγὰς, θαῤῥῶν ὡς χάριν ἕλκει τῷ φιλήματι καὶ ταῖς εὐλογίαις. Ἐπεὶ δὲ τὸ ἱερὸν ἐκεῖνο συμπόσιον εἶχε πέρας, τοῦ θρόνου ἐξαναστὰς, ἱκέτης ἐγίνετο τοῦ συλλόγου, μὴ ὀκνῆσαι τοσοῦτον κάματον ἀνατλάντας, βραχείας καὶ αὐτῷ τινας ἡμέρας χαρίσασθαι, καὶ ἄχρι δὴ τῆς νεοπαγοῦς αὐτοῦ πόλεως, ἀφικέσθαι ὅσον ἤδη συντελεσθείσης· ἵν εὐχαῖς τὸν ταύτης περίβολον καὶ τὰ τείχη στηρίξαιεν. Οἱ δ' εὐθὺς ἐποίουν τὸ αἰτηθέν· καὶ τὴν Κωνσταντίνου καταλαβόντες, τὰ ἐγκαίνια ταύτης ἐποίουν, τὴν ἀναίμακτον θυσίαν ἐπιτελοῦντες· καὶ εὐχαῖς διαλαβόντες καὶ στηρίξαντες ἱκανῶς, τῇ

Θεοτόκῳ ἀνέθεντο, νέαν Ῥώμην καὶ βασιλεύουσαν Κωνσταντινούπολιν ὀνομάσαντες, Μητροφάνους τηνικαῦτα τὸν θρόνον τοῦ Βυζαντίου διέποντος. Καὶ αὖθις οὖν εἰς ἑστίασιν καλέσας, ἕτερα δῶρα προσήγαγε· καὶ γράμματα πρὸς τοὺς τῶν ἐθνῶν προστατεύοντας, ἑκάστῃ πόλει τοῖς ἀφιερωμένοις τῇ θείᾳ λατρείᾳ, χήραις τε καὶ ταῖς προσεδρευούσαις παρθένοις θείοις σηκοῖς σιτηρέσια ἐτήσια χορηγοῦντα, οὐ χρείᾳ μᾶλλον ἢ φιλοτιμίᾳ προσήκοντα· ἃ Ἰουλιανὸς μὲν ὕστερον περιεῖλεν· ὁ δὲ μετ' αὐτὸν τὸ τριτημόριον ἐκείνων χορηγεῖσθαι προσέταξεν. Ἐπεὶ δὲ καὶ οἴκαδε ἐπανιέναι παρεσκευάσαντο ἕκαστος, παρεκάλει τὸ ταυτὸ τῆς πίστεως πάντας φρονεῖν, καὶ τῆς πρὸς σφᾶς εἰρήνης ἐπιμᾶλλον ἀντιποιεῖσθαι, ἵν' ἀστασίαστοι διαμένοντες, τῷ τῶν ὅλων εὐαρεστῶσι Θεῷ. Πολὺν δὲ τὸν ὑπὲρ τῆς κοινῆς ὁμονοίας κατατείνας λόγον, τέλος ὑπέρ τε αὐτοῦ καὶ τῶν παίδων καὶ τῆς ἀρχῆς εὔχεσθαι θερμῶς παρηγγύα, καὶ διηνεκῶς ἵλεων αὐτοῖς τὸ θεῖον ποιεῖν, καὶ τὸ τῆς συνόδου δόγμα ἀῤῥαγὲς καθιστᾷν. Τοῖς δὲ μὴ παροῦσι γράφων τὰ προῤῥηθέντα, τὴν διὰ τοσούτων δοκιμασθεῖσαν μετὰ βάσανον ἀκριβῆ στέργειν πίστιν ἐπέτρεπεν, ὡς κατὰ γνώμην πάντως γεγενημένην Θεοῦ, τοσούτῳ συλλόγῳ Πατέρων συγκροτηθεῖσαν. Καὶ οἱ μὲν ἕκαστος τοσαύτης ἀξιωθέντες τιμῆς, οἴκαδε πρὸς τὴν οἰκείαν ἐπανῄεσαν ποίμνην· χαίρων δὲ ὁ βασιλεὺς ὑπερφυῶς διετέλει, μίαν ὁρῶν τὴν καθόλου Ἐκκλησίαν, συμφωνοῦσάν τε περὶ τὸ δόγμα· καὶ Θεῷ ἀνετίθει τὰ χαριστήρια τῆς ὁμονοίας χάριν τῶν ἁπανταχοῦ τῆς γῆς ἐπισκόπων.

tionis festum diem celebrant, incruento sacrificio operantur, precibus votisque urbem abunde prosequuntur et firmant, eamdemque Dei Genitrici dedicant (1), novam Romam, imperantemque Constantinopolim cognominantes, Alexandro tum Byzantii Ecclesiam regente. **588** Hic denuo illis epulo exceptis, alia dona obtulit, et litteras ad provinciarum præfectos dedit, ut in urbe quaque divino cultui addictis atque sacratis viduis virginibusque, ad sanctiora divinorum templorum sacraria excubantibus, annonæ annuæ tribuerentur, quæ ad liberalitatem splendidam magis quam ad usum necessarium pertinerent. Has Julianus quidem postea accidit, successor autem ejus ex triente præberi curavit. Ubi vero jam pro se quisque domum redire pararet, cohortus eos est, ut eamdem omnes colerent fidem, mutuamque pacem et charitatem maxime consectarentur, atque ut absque seditione omni, pacati atque tranquilli, rerum universarum placerent Deo. Et cum multa, oratione longius producta, de communi concordia fecit verba, tum postremo vehementer eos admonuit ut et pro se, pro liberis suis et pro imperio Romano orarent, perpetuoque propitium sibi divinum numen facerent, synodique decretis stabilem firmitatem conciliarent. Absentibus porro ea quæ commemoravimus scribens, ut professionem fidei, diligenti atque accurata exploratione tot virorum disquisitam, et de sententia totius universi Dei constitutam, suffragiisque tantæ synodi Patrum comprobatam susciperent atque complecterentur, mandavit. Et illorum quisque tanto affectus honore, domum ad gregem suum rediit. Imperator autem, supra modum lætatus quod unam per universum orbem Ecclesiam, eamque in dogmate consentientem, cerneret, Deo de omnium ubique episcoporum unanimi concordia solemniter gratiarum obtulit actiones.

Φιλομαθὲς δ' εἶναι νομίζω καὶ τῶν ἐπισκόπων τὰ ὀνόματα καὶ τὰς ἐπαρχίας τῶν πόλεων καὶ τὰς κλήσεις αὐτῶν εἰδέναι· καί γε ἂν παρεθέμην εὑρὼν ἐν τῷ Ἀθανασίου συνοδικῷ, εἰ μὴ τὸ προσκορὲς τοῦ λόγου φεύγων, τοῖς βουλομένοις ζητεῖν ἐπιτρέπω. Ὁ δὲ τῆς συνόδου χρόνος, ὡς εὕρομεν, ἐν μηνὶ Μαΐῳ ια' ἐγένετο, τρίτης ἐπεχούσης, ἐν ὑπατείᾳ Παυλίνου καὶ Ἰουλιανοῦ. Τοῦτο δὲ ἦν ἔτος ϛ' καὶ τριακοστὸν καὶ ἑξακοσιοστὸν ἀπὸ τῆς Ἀλεξάνδρου τοῦ Μακεδόνος ἀρχῆς· εἰκοστὸν δὲ τῆς ἀρχῆς Κωνσταντίνου, ἀφ' οὗ κατὰ Βρεταννίαν ἦρξε· τρισκαιδέκατον δ' ἐξότου πρὸς Βυζάντιον ἧκεν. Ἡ δὲ σύνοδος ἐπὶ τρία καὶ μικρόν τι πρὸς ἔτη ἐν Νικαίᾳ συνήχθη. Καὶ τὰ μὲν κατὰ Νίκαιαν τοιοῦτον ἔσχε τὸ τέλος· Κωνσταντῖνος δ' ἐντεῦθεν ὑπερφυῶς ἔτι

E re studiosorum esset, episcoporum ipsorum nomina, præfecturas urbium earumque appellationes nosse, eaque omnia in synodali Athanasii libro reperta apposuissem, nisi tædium prolixioris orationis vitarem : proinde ea inquirere volentibus, permitto. Tempus porro synodi, sicuti invenimus, in mensis Maii undecimam diem, indictionem vicesimam tertiam, et consulatum Paulini et Juliani incidit (2) : qui annus sexcentesimus tricesimus sextus ab Alexandri Macedonis regno fuit : vicesimus vero imperii Constantini, ex quo rerum in Britannia potiri cœpit; tertius decimus porro ex quo ad Byzantium venit. Synodus vero ipsa Nicææ annis tribus et paulo longius est acta (3). Et res Nicænæ talem habuere finem. **589** Constan-

(1) Θεοτόκος Græcis Dei Genitrix dicitur : quod verbum in solam virginem matrem Mariam cadit : θεότοκος autem accentu mutato, *Deo genitus*, qui unus est Dominus noster Jesus Christus. Cui urbem Constantinopolitanam recens exstructam Constantinus dicavit atque commendavit. (Supr. lib. VII, cap. 49). Utrumque nomen eisdem compositum litteris, sed accentu diverso prolatum et scriptum : dativum casum habet Θεοτόκῳ. Quapropter hic pro Dei Genitrici, etiam verti posset, *Dei nato Christo*, ut hic locus cum superiore illo concordet. Sed librarius in Græco exemplari τῇ Θεοτόκῳ scripsit, cum fortasse τῷ Θεοτόκῳ scribere debuerit. Potest etiam esse auctoris memoriæ lapsus. Qui tamen infra Christo simul et Mari ejus urbem eam dedicatam memorat.

(2) Anitius Paulinus, Cejonius Julian. Camœnius Coss.

(3) 17 imperii ejus anno synodus celebrari cœpit, 20 autem finita est. Initium ejus in annum Domini 326, finis in 329 incidit.

tinus autem, ex eo tempore prolixius etiam quam antea religionis accensus ardore, ad urbes et populos Romani imperii omnes epistolas dedit, ut priori quidem errori nuntium remitterent, Christianam autem doctrinam et religionem amplecterentur. Episcopis porro sane quam liberaliter pecunias mittens, eos ad ecclesiarum ædificationes excitavit, sumptusque ad id abunde præbuit. Libros itidem ecclesiasticos manibus propriis describere et concinnare jussit. Sed consilium animumque scribentis certius indicabit epistola ejus ad Eusebium data, quæ sic habet :

CAPUT XXVII.

Epistolæ magni Constantini de ecclesiarum restauratione, et sacrorum librorum comparatione.

« Victor Constantinus Maximus Augustus Eusebio. Tantisper dum ad hoc usque tempus impietas et tyrannis pro arbitrio suo ministros Salvatoris Dei persecuta est, credo atque adeo certo persuasum habeo, ecclesiarum omnium opera vel per incuriam pessum iisse, vel imminentis persecutionis metu minus esse quam dignitas earum postularet perfecta, frater charissime. Nunc vero libertate reddita, et serpente illo, Dei optimi maximi providentia, atque opera nostra, a rerum publicarum administratione depulso, satis in apertum productam esse arbitror apud omnes divinam potentiam, eosque qui vel metu vel incredulitate, vel etiam peccato oppressi fuerant, eo qui verissime constat cognito Deo, ad verum rectumque vitæ statum tandem pervenisse. Itaque quibuscunque vel ipse præes Ecclesiis, vel alios passim episcopos, presbyteros, aut diaconos præesse nosti, eos admone ut diligenter incumbant in opera ecclesiarum quæ supersunt, vel restaurandarum, vel amplificandarum, vel ubi hoc necessitas postulaverit, recens exstruendarum. Petes autem et ipse,
590 et alii per te sumptus necessarios a præsidibus et provincialibus magistratibus. Diligenter namque eis per litteras est mandatum, ut quæ a sanctitate tua dicta fuerint, ipsi exsequantur. Deus te servet, frater dilecte. »

Hæc de ecclesiarum structuris non ad hunc modo, sed et ad reliquos episcopos scripsit. Quæ autem Eusebio Pamphili de librorum comparatione significarit, hisce subjungam : « Victor Constantinus Maximus Augustus Eusebio. In cognomine nobis urbe, Salvatoris Dei opitulante providentia, maxima hominum multitudo sanctissimæ ecclesiæ nomen dedit, seque ipsam illi dicavit : ut omnibus illis plurimum capientibus incrementi, faciendum omnino videatur, ut plures quoque ibi construantur ecclesiæ. Quapropter, quod judicio nostro placuit (prudentiæ enim tuæ significandum duximus), id libentissime accipe, ut comparatis quinquaginta membranarum codicibus, qui et ad evolvendum et ad portandum commodi sint, a notariis pulchre scribendi peritis,

A περὶ τὴν θρησκείαν διατεθεὶς, πόλεσι καὶ δήμοις ἅπασιν ὑπὸ σκήπτρῳ τελοῦσι Ῥωμαίων ἐπέστελλε, τὴν μὲν προτέραν ἀπάτην ἀρνεῖσθαι, τὴν δὲ τοῦ Χριστοῦ διδασκαλίαν ἀσπάζεσθαι. Τοῖς δ' ἐπισκόποις χρήματα πέμπων, φιλοτιμότερον ἐπὶ τὰς τῶν ἐκκλησιῶν οἰκοδομὰς ἀνηρέθιζεν, ἀφθόνους χορηγῶν τὰς δαπάνας· ὡσαύτως δὲ καὶ τὰς ἐκκλησιαστικὰς βίβλους χερσὶν ἰδίαις γράφειν καὶ ἐπισκευάζειν ἐκέλευε. Δηλώσει δὲ μᾶλλον τὸν σκοπὸν τοῦ γεγραφότος ἡ αὐτοῦ ἐπιστολὴ πρὸς Εὐσέβιον, τοῦτον ἔχουσα τὸν τρόπον·

ΚΕΦΑΛ. ΚΖ'.

Ἐπιστολαὶ τοῦ μεγάλου Κωνσταντίνου περί τε τῆς τῶν ἐκκλησιῶν οἰκοδομῆς, καὶ τῆς τῶν
B *ἱερῶν βιβλίων ἐπισκευῆς.*

« Νικητὴς Κωνσταντῖνος, Μέγιστος, Σεβαστὸς, Εὐσεβίῳ. Ἕως τοῦ παρόντος χρόνου, τῆς ἀνοσίου βουλήσεως καὶ τυραννίδος τοὺς ὑπηρέτας τοῦ Σωτῆρος Θεοῦ διωκούσης, πεπίστευκα καὶ ἀκριβῶς ἐμαυτὸν πέπεικα, πασῶν τῶν ἐκκλησιῶν τὰ ἔργα ἢ ὑπὸ ἀμελείας διεφθάρθαι, ἢ φόβῳ τῆς ἐπικειμένης ἀδικίας ἐλάττονα τῆς ἀξίας γεγενῆσθαι, ἀδελφὲ προσφιλέστατε. Νυνὶ δὲ τῆς ἐλευθερίας ἀποδοθείσης, καὶ τοῦ δράκοντος ἐκείνου ἀπὸ τῆς τῶν κοινῶν διοικήσεως, Θεοῦ τοῦ μεγίστου προνοίᾳ, ἡμετέρᾳ δὲ ὑπηρεσίᾳ διωχθέντος, ἡγοῦμαι καὶ πᾶσι φανερὰν γεγενῆσθαι τὴν θείαν δύναμιν· καὶ τοὺς ἢ φόβῳ ἢ ἀπιστίᾳ ἢ ἁμαρτήματι περιπεσόντας, ἐπιγνόντας
C τὸν ὄντως, ἥξειν ἐπὶ τὴν ἀληθῆ καὶ ὀρθὴν τοῦ βίου κατάστασιν. Ὅσων τοίνυν ἢ αὐτὸς προΐστασαι ἐκκλησιῶν, ἢ ἄλλους τοὺς κατὰ τόπον προϊσταμένους ἐπισκόπους, πρεσβυτέρους τε ἢ διακόνους οἶσθα, ὑπόμνησον σπουδάζειν περὶ τὰ ἔργα τῶν ἐκκλησιῶν, ἢ ἐπανορθοῦσθαι τὰ ὄντα, ἢ εἰς μείζονα αὔξειν, ἢ ἔνθα ἂν ἡ χρεία ἀπαιτῇ, καινὰ ποιεῖν. Αἰτήσεις δὲ καὶ αὐτὸς, καὶ οἱ λοιποὶ διὰ σοῦ τὰ ἀναγκαῖα παρά τε τῶν ἡγεμονευόντων καὶ τῆς ἐπαρχικῆς τάξεως. Τούτοις γὰρ ἐπεστάλη πάσῃ σπουδῇ ἐξυπηρετήσασθαι τοῖς ὑπὸ τῆς σῆς ὁσιότητος λεγομένοις. Ὁ Θεός σε διαφυλάξοι, ἀδελφὲ ἀγαπητέ. »

Ταῦτα περὶ τῆς τῶν ἐκκλησιῶν οἰκοδομῆς οὐ
D τούτῳ μόνῳ, ἀλλὰ καὶ τοῖς λοιποῖς τῶν ἐπισκόπων ἐπέστειλεν. Οἷα δὲ καὶ τῷ Παμφίλου Εὐσεβίῳ ὑπὲρ τῆς τῶν βιβλίων ἐπισκευῆς ἔγραψεν, ἑξῆς παραθήσομαι· « Νικητὴς Κωνσταντῖνος Μέγιστος Σεβαστὸς Εὐσεβίῳ. Κατὰ τὴν ἐπώνυμον ἡμῶν πόλιν τῆς τοῦ Σωτῆρος Θεοῦ συναιρομένης προνοίας μέγιστον πλῆθος ἀνθρώπων τῇ ἁγιωτάτῃ Ἐκκλησίᾳ ἀνατέθεικεν ἑαυτό· ὡς πάντων ἐκεῖσε πολλὴν λαβόντων αὔξησιν, σφόδρα ἄξιον καταφαίνεσθαι, καὶ ἐκκλησίας ἐν αὐτῇ κατασκευασθῆναι πλείους. Τοιγάρτοι δέδεξο προθυμότατα τὸ δόξαν τῇ ἡμετέρᾳ προαιρέσει· πρέπον γὰρ κατεφάνη δηλῶσαι τοῦτο τῇ σῇ συνέσει, ὅπως ἂν ν' σωμάτια ἐν διφθέραις ἐγκατασκεύοις, εὐαναγνωστότατα, καὶ πρὸς τὴν χρῆσιν εὐπαρακόμιστα, ὑπὸ τεχνιτῶν καλλιγράφων, καὶ ἀκριβῶς τὴν

τέχνην ἐπισταμένων, γραφῆναι κελεύσειας· τῶν A θείων δηλαδὴ Γραφῶν, ὧν μάλιστα τὴν ἐπισκευὴν καὶ τὴν χρῆσιν τῶν τῆς Ἐκκλησίας λόγων ἀναγκαίαν εἶναι γινώσκεις. Ἀπέσταλται δὲ καὶ γράμματα παρὰ τῆς ἡμετέρας ἡμερότητος πρὸς τὸν τῆς διοικήσεως καθολικὸν, ὅπως ἂν πάντα τὰ πρὸς τὴν ἐπισκευὴν ἐπιτήδεια παρασχεῖν φροντίσειεν. Ἵνα γὰρ ὡς τάχιστα τὰ γραφέντα σωμάτια κατασκευασθείη, τῆς σῆς ἐπιμελείας ἔργον τοῦτο γενήσεται. Καὶ γὰρ δύο δημοσίων ὀχημάτων ἐξουσίαν εἰς διακομιδὴν ἐκ τῆς αὐθεντίας τοῦ γράμματος ἡμῶν τούτου λαβεῖν σε προσήκει. Οὕτω γὰρ ἂν μάλιστα καλῶς γραφέντα, καὶ μέχρι τῶν ἡμετέρων ὄψεων ῥᾷστα διακομισθείη· ἑνὸς δηλαδὴ τοῦτο πληροῦντος τῶν τῆς ἐκκλησίας διακόνων· ὃς ἐπειδὰν ἀφίκηται πρὸς ἡμᾶς, τῆς ἡμετέρας πειραθήσεται φιλανθρω- B πίας. Ὁ Θεός σε διαφυλάξοι, ἀδελφὲ ἀγαπητέ. »

ΚΕΦΑΛ. ΚΗ'.

Οἷα ὁ μέγας Κωνσταντῖνος Μακαρίῳ τῷ Ἱεροσολύμων γράφει περὶ τοῦ ζωηφόρου τάφου Χριστοῦ.

Ῥᾷστα μὲν οὖν ἄν τις τεκμηριώσοι σαφῶς ἐκ τούτων τὴν τοῦ βασιλέως ἐπὶ τὰ θεῖα σπουδήν· οὐχ ἧττον μέντοι δείξοι καὶ ἃ περὶ τὸν ζωηφόρον τάφον Χριστοῦ διεπράξατο. Ἐπεὶ γὰρ μάθοι ὡς οἱ πάλαι περὶ τὴν τῶν εἰδώλων πλάνην βεβακχευμένοι τὸν μὲν σωτήριον τάφον κατέχωσαν, ὑπὸ πολλῷ δὴ τῷ χώματι ὕψος ἐγείραντες μέγιστον· τὸν δὲ πέριξ τόπον τοῦ Κρανίου καὶ τῆς Ἀναστάσεως διαλαβόντες, C λίθοις μεγάλοις τὴν ἐπιφάνειαν κατέστρωσαν, λήθη τὰ τῆς μνήμης διδόντες, νεών τε ἐπὶ τούτοις τῆς ἀκολάστου δαίμονος Ἀφροδίτης καὶ ἄγαλμα ταύτης ἱδρύσαντο, ταῖς παρθενικαῖς ὠδῖσι διατωθάζοντες, ἵν' οἱ ἐκεῖσε δὴ Χριστῷ νέμειν ᾑρημένοι σέβας δοκῶσι τῷ ξοάνῳ μᾶλλον χαρίζεσθαι, καὶ χρόνῳ δὲ τῷ προήκοντι λήθη τὴν ἀληθῆ κατακρύψοι αἰτίαν, τῷ μὴ ἀδεῶς αἱρεῖσθαί τινας ἐκεῖσε φοιτᾷν, μηδ' ἄλλοις καταμηνύειν τολμᾷν· τὸν μὲν νεὼν ἀνασπᾷν ἐκ βάθρων προσέταττε, καὶ τὸν χοῦν ἐκεῖνον ὡς πορρωτέρω βάλλειν τοῦ ἄστεος, οἷα δὴ ταῖς ἐναγέσι θυσίαις μεμιασμένον· νεὼν δ' ἕτερον εἰς κάλλος ἐξαίσιον τῷ Χριστῷ ἀνιστᾷν μέγιστόν τε καὶ μεγαλοπρεπέστατον· ὃν μάλα σαφῶς ἡ ἐπιστολὴ δηλώσει, ἣν Μακαρίῳ τῷ Ἱεροσολύμων ἐπισκόπῳ ἀπέστειλεν, D ὃς σὺν τοῖς λοιποῖς Πατράσι τὴν Ἀρείου δόξαν διέσεισεν, οὑτωσί πως διεξιοῦσα· « Νικητὴς Κωνσταντῖνος Μέγιστος Σεβαστὸς Μακαρίῳ. Τοσαύτη τοῦ Σωτῆρος ἡμῶν ἐστιν ἡ χάρις, ὡς μηδεμίαν λόγων χορηγίαν τοῦ παρόντος θαύματος ἀξίαν εἶναι δοκεῖν· τὸ γὰρ γνώρισμα τοῦ ἁγιωτάτου ἐκείνου πάθους ὑπὸ τῇ γῇ πάλαι κρυπτόμενον τοσαύταις ἐτῶν περιόδοις λαθεῖν, ἄχρις οὗ διὰ τῆς τοῦ κοινοῦ πάντων ἐχθροῦ ἀναιρέσεως, ἐλευθερωθεῖσι τοῖς ἑαυτοῦ θεράπουσιν, ἀναλάμπειν ἔμελλε, πᾶσαν ἔκπληξιν ὡς ἀληθῶς ὑπερβαίνει. Εἰ γὰρ πάντες οἱ διὰ πάσης τῆς οἰκουμένης εἶναι δοκοῦντες σοφοὶ, εἰς ἓν καὶ τὸ αὐτὸ

qui scilicet probe eam artem didicerint, describi cures divinarum Scripturarum libros, quorum instaurationem et usum ecclesiis maxime necessarium esse judicaveris. Datæ enim sunt a mansuetudine nostra ad catholicum et dispensatorem generalem diœceseos litteræ, ut omnia quæ ad eam rem procurandam commoda sunt, præbenda curet. Porro ut quam celerrime codices describantur et concinnentur, procurationis tuæ id fuerit opus. Duorum autem publicorum vehiculorum accipiendorum potestatem, ad librorum deportationem, auctoritas harum nostrarum litterarum tibi merito præbebit. Ita enim pulchre descripti codices, quam facillime ad nos perferri poterunt, ex diaconis ecclesiæ uno ministerium id adimplente : qui cum in conspectum pervenerit nostrum, benignitatem nostram experietur. Deus te servet, frater dilecte. »

CAPUT XXVIII.

Quæ magnus Constantinus Macario Hierosolymorum episcopo de vivifico Christi sepulcro scripserit.

591 Sed enim cum facile quis ex iis liquido cognoscere imperatoris erga res sacras studium possit, tum id non minus ea etiam quæ de vivifico Christi sepulcro Hierosolymis egit indicabunt. Cum namque cognovisset eos olim, qui idolorum errore tanquam furoris intemperiis acti fuerant, salutiferum monumentum defodisse, aggere multo molem altissimam excitasse, Calvariæ et Resurrectionis vicinum circumcirca locum occupasse, et lapidibus ingentibus solum ejus constravisse (ut oblivioni monumenta memoriæ sempiternæ mandarent), et templum præterea impudicæ deæ Veneris, statuamque ejusdem ibi collocasse, virgineo partui illudentes : ut qui eo loco debitum Christo honorem sibi præstandum statuissent, simulacro ei exhibere viderentur, processuque temporis oblivio veram premeret atque occultaret causam : quod nemini libere eo commeare (1), aut aliis rem indicare fas futurum esset, funditus templum ipsum eruere, aggeremque illum egestum quam longissime a civitate projicere, ut qui sceleratis sacrificiis contaminatus esset, jussit, ac templum aliud pulchritudine præcipua amplissimum magnificentissimumque exstruere præcepit. Quod templum luculenter epistola ostendet, Macario Hierosolymitano episcopo, qui et ipse cum reliquis patribus Arii opinionem labefactavit, hisce prope verbis scripta : « Victor Constantinus Maximus Augustus Macario. Tanta est Servatoris nostri gratia, ut nulla orationis vis præsenti miraculo digna suppetere cuiquam possit. Quod etenim monumentum sanctissimæ illius passionis terra jam dudum opertum tot annorum curriculis latuerit, donec per communis et publici omnium nostrum hostis oppressionem, ministris ejus in

(1) Socrat. lib. I, cap. 17.

libertatem vindicatis, crutum reluceret, omnem A profecto stuporem et admirationem excellit. Nam etiamsi qui ubique terrarum esse videntur sapientes homines, in unum eumdemque convenientes locum, dignum aliquid re tanta dicere velint, ne minimam quidem partem tamen ejus eloquentiæ concertatione attigerint. **592** Tantum enim miraculi hujus fides naturam, quam humana ratio et cogitatio consequitur, omnem excellit, quanto rebus hominum cœlestia sunt efficaciora et potentiora. Eam ob causam ille mihi semper unicus et præcipuus consiliorum actorumque omnium propositus est finis, ut quemadmodum se ipsam novis miraculis veritatis fides exhibet, sic etiam animi omnium nostrum castitate et consentienti promptitudine alacriores reddantur (1). Quod B cum omnibus manifestum puto, tum hoc maxime tibi persuasum esse volo, rerum omnium illud mihi summopere esse curæ, ut sacratum locum, quem jussu Dei, accessione fœdissimorum simulacrorum, veluti quodam imminenti gravique pondere levavi, sanctum quidem jam tum ab initio illum judicio Dei factum, sed sanctiorem etiam factum, ex quo salutiferæ passionis fidem in lucem protulit, ædificiorum pulchris structuris exornem. Convenit igitur solertiæ tuæ, omnia sic disponere, et res quasque necessarias procurare, ut non modo basilica aliis quæ ubique sunt præstantior, sed et reliqua omnia ita construantur atque parentur, ut quæcunque in quibuscunque urbibus C pulchritudine sunt excellentia opera, a structura ista longe superentur. Atque equidem de parietum opere atque artificio, Dracilliano amico nostro, qui clarissimorum præfectorum partes administrat, et provinciæ rectori, a nobis mandatam esse curam scito. Præceptum enim a pietate nostra est, ut artifices, operæ, et quæcunque præterea sunt ad ædificationem necessaria, cum id ex solertia tua cognoverint, confestim per providentiam illorum mittantur. De columnis autem et marmore, quæ præstantissima et commodissima operis ipsius forma summatim perspecta existimaveris esse, ad nos tac scribas, ut quot et qualibus opus fuerit, cum ex litteris tuis intellexerimus, ea undequaque comportari possint. Æquum enim est, D locum totius mundi maxime admirandum pro dignitate sua exornari. Basilicæ porro camera, lacunaribusne an alio quopiam opere tibi fieri debere videatur, cognoscere ex te cupio. Si enim lacunaribus exstruenda erit, auro quoque illustrari poterit. **593** Quod superest, sanctitas tua quibus diximus magistratibus primo quoque tempore significet, quot operariis artificibusque et quantis impensis sit opus. Quin et ad nos quoque ut celeriter referatur, da operam, non modo de marmore et columnis, verum etiam de lacunaribus, si quidem hæc pulchriora commodioraque esse judicaveris. Deus te conservet, frater dilecte. »

A συνελθόντες, ἄξιόν τι τοῦ πράγματος ἐθέλωσιν εἰπεῖν, οὐδ' ἂν πρὸς τὸ βραχύτατον ἁμιλληθῆναι δυνήσονται· ἐπὶ τοσούτῳ πᾶσαν ἀνθρωπίνου λογισμοῦ χωρητικὴν φύσιν ἡ τοῦ θαύματος τούτου πίστις ὑπερβαίνει, ὅσῳ τῶν ἀνθρωπίνων τὰ οὐράνια συνέστηκεν εἶναι δυνατώτερα. Διὰ τοῦτο γοῦν οὗτος ἀεὶ καὶ μόνος καὶ πρῶτος ἐστι μοι σκοπὸς, ἵν' ὥσπερ ἑαυτὴν καινοτέροις θαύμασιν ἡ τῆς ἀληθείας πίστις ἐπιδείκνυται, οὕτω καὶ αἱ ψυχαὶ πάντων ἡμῶν σωφροσύνῃ καὶ ὁμογνώμονι προθυμίᾳ σπουδαιότεραι γίνωνται· ὅπερ ἐπειδὴ πᾶσι νομίζω εἶναι φανερὸν, ἐκεῖνο μάλιστά σε πεπεῖσθαι βούλομαι, ὡς ἄρα πάντων μοι μάλιστα μέλει, ὅπως τὸν ἱερὸν ἐκεῖνον τόπον, ὃν Θεοῦ προστάγματι αἰσχίστης εἰδώλων προσθήκης ὥσπερ τινὸς ἐπικειμένου βάρους ἐκούφισα, B ἅγιον μὲν ἐξαρχῆς Θεοῦ κρίσει γεγενημένον, ἁγιώτερον δὲ ἀποφανθέντα, ἀφ' οὗ τὴν τοῦ σωτηρίου πάθους πίστιν εἰς φῶς προήγαγεν, οἰκοδομημάτων κάλλει κοσμήσωμεν. Προσήκει τοίνυν τὴν σὴν ἀγχίνοιαν οὕτω διατάξαι τε καὶ ἑκάστου τῶν ἀναγκαίων ποιήσασθαι πρόνοιαν, ὡς οὐ μόνον βασιλικὴν καὶ τῶν πανταχοῦ βελτίονα, ἀλλὰ καὶ τὰ λοιπὰ τοιαῦτα γενέσθαι, ὡς πάντα τὰ ἐφ' ἑκάστης πόλεως καλλιστεύοντα ὑπὸ τοῦ κτίσματος τούτου νικᾶσθαι. Καὶ περὶ τῆς τῶν τοίχων δὲ ἐργασίας καὶ καλλιεργίας Δρακιλλιανῷ τῷ ἡμετέρῳ φίλῳ διέποντι τῶν λαμπροτάτων ἐπάρχων τὰ μέρη, καὶ τῷ τῆς ἐπαρχίας ἄρχοντι παρ' ἡμῶν ἐγκεχειρίσθαι τὴν φροντίδα γίνωσκε. Κεκέλευσται γὰρ ὑπὸ τῆς ἐμῆς εὐσεβείας C καὶ τεχνίτας καὶ ἐργάτας καὶ πάνθ' ὅσα περὶ τὴν οἰκοδομὴν ἀναγκαῖα τυγχάνει, εἰ παρὰ τῆς σῆς μάθοιεν ἀγχινοίας, παραχρῆμα διὰ τῆς ἐκείνων προνοίας ἀποσταλῆναι. Περὶ δὲ τῶν κιόνων ἤγουν μαρμάρων, ἃ δ' ἂν νομίσειας εἶναι τιμιώτερά τε καὶ χρησιμώτερα αὐτῆς συνόψεως γενομένης, πρὸς ἡμᾶς γράψαι σπούδασον· ἵνα ὅσων δ' ἂν καὶ ὁποίων χρείαν εἶναι διὰ τοῦ σοῦ γράμματος ἐπιγνῶμεν, ταῦτα πανταχόθεν δυνηθῇ μετενεχθῆναι. Τὸν γὰρ τοῦ κόσμου θαυμασιώτερον τόπον κατ' ἀξίαν φαιδρύνεσθαι δίκαιον. Τὴν δὲ τῆς βασιλικῆς καμάραν πότερον εἰ λακωναρίαν, ἢ διά τινος ἑτέρας ἐργασίας γενέσθαι δοκεῖ, παρὰ σοῦ γνῶναι βούλομαι· εἰ γὰρ λακωναρία μέλλει εἶναι, δυνήσεται καὶ χρυσῷ καλλωπισθῆναι. Τὸ λειπόμενον, ἵνα ἡ σὴ ὁσιότης τοῖς προειρημένοις D δικασταῖς ᾗ τάχος γνωρισθῆναι ποιήσῃ, ὅσων τε ἐργατῶν καὶ τεχνιτῶν καὶ ἀναλωμάτων χρεία· ἃ καὶ πρὸς ἐμὲ εὐθέως ἀνενεγκεῖν σπούδασον, οὐ μόνον περὶ τῶν μαρμάρων τε καὶ κιόνων, ἀλλὰ καὶ περὶ τῶν λακωναρίων, εἴ γε τοῦτο κάλλιον ἐπικρίνειας. Ὁ Θεὸς διαφυλάξοι σε, ἀδελφὲ ἀγαπητέ. »

(1) Erga sanctam legem.

ΚΕΦΑΛ. ΚΘ'.

Ὡς ἡ τοῦ βασιλέως μήτηρ Ἑλένη εἰς Ἱεροσόλυμα γενομένη, τὸν θεῖον εὗρε σταυρὸν, καὶ τὰ ἐπ' αὐτῷ πεπραγμένα.

Διάκονος δὲ τῶν τοῦ βασιλέως γραμμάτων ἡ τὸν τοσοῦτον τεκοῦσα τοῦ βασιλέως μήτηρ, ἡ μακαρία Ἑλένη, ἐγένετο. Τῷ γὰρ αὐτῷ τῆς συνόδου ἔτει κατ' ὄναρ χρηματισθεῖσα, εὐχῆς χάριν καὶ ἱστορίας κατέλαβε τὰ Ἱεροσόλυμα, οὔτε τὸν τῆς ὁδοῦ κόπον, οὔτε μὴν τὰ τοῦ γήρως ὑπολογισαμένη. Περὶ γὰρ τὸ τέρμα τῆς αὐτῆς ἀφίκετο βιοτῆς. Λίαν δὲ καὶ αὕτη περὶ τὸ Χριστιανῶν εὐλαβῶς διέκειτο σέβας. Περὶ πλείστου δ' ἦν αὐτῇ τὸ τοῦ σταυροῦ ξύλον εὑρεῖν, καὶ τὸ ζωηφόρον μνῆμα Χριστοῦ. Καὶ δυσχερῶς μὲν, εὑρίσκει δ' οὖν ὅμως, ὡς μέν τινες ἔφασαν, ἀνδρὸς Ἑβραίου καταμηνύσαντος τὸν χῶρον ἔκ τινος πατρῴας γραφῆς· τὸ δ' ἀληθὲς, ὡς ἐγῷμαι, Θεοῦ σημείοις δή τισι καὶ ὀνείρασιν ὑποδείξαντος. Ἠρημένῳ γὰρ Θεῷ δῆλα καθιστᾷν τὰ θεῖά τε καὶ ἀπόῤῥητα, ἥκιστα δεῖσθαι τῆς ἐξ ἀνθρώπων μηνύσεως. Κατὰ γὰρ τὴν τοῦ κρατοῦντος πρόσταξιν, τοῦ ἐναγοῦς ἐκείνου καθαιρουμένου ναοῦ, καὶ τοῦ χώματος ἐκφορουμένου, ἔνθεν μὲν τὸ ἱερὸν τῆς Ἀναστάσεως ἐκεῖνο ἄντρον ἐφαίνετο, τρεῖς δ' ἐν μέρει σταυροὶ χύδην διεῤῥιμμένοι, καὶ σανὶς ἑτέρα λευκὴ, ᾗ βασιλέα τῶν Ἰουδαίων γράφων διαφόροις γράμμασιν ὁ Πιλᾶτος ὑπὲρ κεφαλῆς ἐτίθει, ἐν εἴδει στήλης βασιλέα τῶν Ἰουδαίων τὸν σταυρωθέντα κηρύττων. Καί γε διεῤῥυηκότος τοῦ γράμματος, καὶ τῆς σανίδος ὡς ἔτυχεν ἐῤῥιμμένης, ἐργώδης ἔτι ἡ τοῦ θείου ξύλου εὕρεσις κατεφαίνετο, καὶ τῶν σταυρῶν διεσπαρμένων συγχυθείσης τῆς τάξεως. Τί γὰρ καὶ τοῖς ῥίψασι πάλαι κατὰ χώραν ταῦτα ἐᾷν, τοῖς σταυρωταῖς τὸν θάνατον διὰ τὸ Σάββατον ἐπισπεύδουσιν; ἄλλως τε καὶ οὐκ ἀγαθὸν ἡγουμένοις περὶ σταυροὺς διατρίβειν, ἀνδρῶν καὶ ταῦτα βίᾳ τελευτησάντων, ἄλλο ἄλλῃ ἔῤῥιψαν. Ἀμφηρίστου δὲ τῆς ζητήσεως οὔσης, ἐν ἀθυμίαις ἡ τοῦ βασιλέως ἦν μήτηρ, καὶ καταμηνύειν ἐδεῖτο Θεοῦ· καὶ ἔλυέ γε τρόπῳ τοιῷδε, ὑποδεικνὺς τὸ ξύλον, ᾧ τὸ Δεσποτικὸν προσπελάσαν σῶμα, τοῦ θείου αἵματος τὴν λιβάδα ἐδέξατο καταῤῥέουσαν. Γυνὴ γάρ τις τῶν εὖ γεγονότων, χαλεπῷ πάθει κατισχομένη, τὰ ἔσχατα κάμνουσα ἦν, ἐφ' ᾗ Μακάριος σύναμα Ἑλένῃ καὶ τοῖς ἀμφ' αὐτὸν ἧκε· σύμβολόν τε ἐδίδου, ὃς ἂν ἐπιτεθεὶς τῶν σταυρῶν τὴν κάμνουσαν ἀπαλλάττειν ἀθρόον ἔχοι, τοῦτον εἶναι τὸν τοῦ Κυρίου σταυρόν. Καὶ δὴ εὐχόμενος, κατὰ ἕνα τῶν σταυρῶν προσῆγεν ἀρξάμενος. Τῶν τοίνυν δύο τεθέντων οὐδὲν ἧττον τοῖς ἴσοις ἦν ἡ γυνὴ, ἀπολεγομένη ἤδη τὸ ζῆν. Ὡς δὲ τὸ γνήσιον προσεπέλασε ξύλον, ἐξαπίνης ἀνέβλεψε· καὶ τὰς δυνάμεις ἐῤῥωμένως ἀθροίσασα, παραχρῆμα τῆς στρωμνῆς ἀπεπήδησε. Λέγεται δ' ἔπειτα καὶ νεκρῷ παντάπασιν ἐπιτεθέντα τὸν θεῖον σταυρὸν ἀναβιῶναι ἐκ τοῦ αὐτίκα. Καὶ τοῦτον μὲν τὸν τρόπον τὸ θεσπέσιον ἐμφανὲς γεγενῆσθαι ξύλον ἱστόρηται. Οὗ μέρος τὸ πλεῖστον ἡ θεία Ἑλένη ἀργυρᾷ περικλείσασα θήκῃ, τῷ ἐπισκόπῳ εἰς μνήμην

(1) Rufinus in *Eccles. historia*, cap. 7 et 8.

A

CAPUT XXIX.

Ut imperatoris mater Helena Hierosolymis fuerit, et ibi crucem sanctam invenerit, et quæ circa eam inventionem sint acta.

Litteris porro eis perferendis mater ipsa imperatoris beata Helena, quæ illum talem genuit, administra fuit: ipso namque synodi coactæ anno, in somnis oraculo admonita, precationis ergo, locorumque sacrorum cognoscendorum gratia, Hierosolyma petierat: neque se ea in re vel itineris laborem, vel senectutis molestiam remorari est passa. Ad extremum enim jam vitæ pervenerat, et de rebus atque religione Christianorum pie admodum sentiebat. Plurimi porro faciebat, ut crucis lignum et vivificum Christi monumentum
B inveniret. Et quantumvis difficulter, attamen ea tandem invenit, ut quidem nonnulli dixere, Judæo homine ex paterna quadam annotatione regionem indicante, re vera autem, ut equidem puto, Deo signis quibusdam et visionibus nocturnis ostendente. Cum enim Deo visum esset, res divinas et occultas in lucem proferre, minime opus fuit humanis indiciis. Enimvero imperatoris jussu, contaminato illo templo diruto, aggereque exportato, ex eo loco sacrum illud Resurrectionis antrum exstitit, et tres sparsim disjectæ cruces: et tabula præterea alba inventa, in qua diversis litteris Pilatus regem Judæorum scripserat, eaque supra caput Christi collocata in morem columnæ, crucifixum illum Judæorum regem esse promul-
C garat. Cæterum quod litteræ diffluxerant, et tabula temere jacta jacebat, difficilis adhuc divini ligni inventio erat, quod ordine confuso cruces disjectæ fuerant. Quid namque curarent, qui ita illas temere disjecerant, ut loco suo quamque relinquerent? præcipue cum milites mortem propter Sabbatum deproperarent, **594** iidemque præterea inauspicatum esse crederent, ad cruces morari virorum, qui per vim illatam mortui essent: quapropter alia alio projecta. Cum ergo incerta inquisitio esset, dubia animi imperatoris mater Deum obsecravit ut ei indicium fieret. Atque ille ambiguitatem quodam dissolvit modo, lignum demonstrans ad quod Dominicum affixum corpus
D fuerat, et quod divini sanguinis stillam defluentem exceperat. Mulier quædam honesto loco nata, gravi oppressa morbo, extremo laborabat periculo: ad hanc Macarius una cum Helena comitibusque ejus venit, et signum ille dedit, quæ ex crucibus istis feminæ ægrotæ imposita periculum omnino discuteret, eam Christi crucem esse. Atque precatione facta, crucem quamlibet seorsim ille adhibuit. Et duabus admotis (1), in eodem nihilominus mulier discrimine mansit, vitæ jam desperatæ; ut autem verum ei imposuit lignum, subito illa respexit, viribusque firmiter collectis, lecto statim exsiluit. Dicunt quoque, postea mortuo prorsus crucem impositam, in vitam illum

derepente revocasse. Hoc sane modo memoriæ proditum est, sacrum in apertum productum esse lignum. Cujus partem maximam divina Helena argenteæ cistæ inclusam, episcopo ad memoriam posterarum generationum reliquit, ubi etiam sacram Exaltationem quotannis peragendam sanxit. Partem vero ad filium imperatorem transmisit. Quam illum quo animo quis suscepisse dicat, cum fide secum ipse reputaverit, urbem eam servatum iri in qua tam sacrum conservaretur donarium? Quapropter eam partem statuæ suæ inclusit (1), quam in urbe a se magnifice condita, super porphyretica collocavit columna, in eo quod dicitur Constantini foro. Misit illa etiam ad eum ex sacris clavis quosdam, quos tum ad monumentum repererat: illis porro corpus Christi transfixum fuerat. Quorum altero ille sibi fertur galeam instruxisse, alterum equi frenis inseruisse, ut in certaminibus tutus a vulneribus illæsusque maneret, et sic tempore suo prophetia Zachariæ impleretur, *Erit*, dicentis, *in freno equi sanctum Domino omnipotenti* [1]. Quæ prophetæ quidem sancti olim cognoverunt, postea vero temporibus suis, cum Deo visum est, eventum certum sunt consecuta.

A ταῖς εἰσέπειτα κατελίμπανε γενεαῖς· οὗ κατ' ἔτος καὶ τὴν θείαν Ὕψωσιν ἐθέσπιζεν ἐκτελεῖν· μέρος δὲ τῷ παιδὶ καὶ βασιλεῖ διεκόμιζεν. Ὃ πῶς ἄν τις εἴποι ἐκεῖνος δεξάμενος, συνελογίζετο πίστει τὴν πόλιν ἐκείνην σώζεσθαι, ᾗ ἂν τὸ τοσοῦτον διατηροῖτο κειμήλιον; Καὶ δὴ τοῦτο τῷ ἑαυτοῦ ἀνδριάντι κατέκρυπτεν, ὃς ἐν τῇ παρ' αὐτῷ μεγαλοπρεπῶς δομηθείσῃ πόλει ἐπὶ πορφυροῦ ἵδρυτο κίονος, κατὰ τὴν ἐπιλεγομένην ἀγορὰν Κωνσταντίνειον. Ἔπεμπέ γε μὴν καὶ τῶν θείων ἥλων τινὰς οὓς εὕροι τηνικαῦτα περὶ τὸ μνῆμα, οἷς τὸ σῶμα διεπεπόνητο Χριστοῦ. Ἐξ ὧν λόγος περικεφαλαίαν τε ἑαυτῷ κατασκευάσαι, καὶ ἐπὶ τῷ χαλινῷ δὲ τοῦ ἵππου θάτερον ἐμβαλεῖν, ὡς ἂν ἐν μάχαις ἄτρωτος διαμένοιεν· ἵν' ἐντελὴς ἡ Ζαχαρίου γένοιτο προφητεία B ἐπὶ καιροῦ, *Ἔσται*, λέγοντος, *τὸ ἐπὶ τοῦ χαλινοῦ τοῦ ἵππου ἅγιον τῷ Κυρίῳ παντοκράτορι.* Ἃ δὴ προφῆται πάλαι μὲν ἱεροὶ ἔγνωσαν, ἐς ὕστερον δὲ καιροῖς ἰδίοις, ὅτε δοκοῦν ἐφάνη Θεῷ, καὶ ἔργοις ἔσχον τὸ βέβαιον. Καὶ τοῦτο μὲν οὐ τόσον γε διὰ θαύματος, ὅτι γε καὶ Ἕλληνες τῶν θείων τινὰ προεμήνυσαν· ὥσπερ δὴ Σιβύλλης ἐκεῖνο εἶναι πᾶς ἄν τις καὶ τῶν ἐναντίων ὁμολογήσειε περὶ τοῦ θείου σταυροῦ πρόπαλαι εἰρημένον·

595 Atque id non admodum est mirandum, quandoquidem et Græci divinarum rerum quædam prænuntiarunt. Quemadmodum quidem certe et illud Sibyllæ vel ex adversariis quisque confitebitur, de sancta cruce antiquitus dictum:

O lignum felix, in quo Deus ipse pependit.

Ὦ ξύλον μακαριστὸν, ἐν ᾧ Θεὸς ἐξεστανύσθη.

Plurimi namque apud Græcos, qui cæteris præstare visi sunt, multas noverant prophetias, quas versibus gravioribusque ad populum verbis veluti quædam oracula incluserunt. Et erat potestatis divinæ, ut equidem judico, ad futurarum rerum certiorem consensum, non solum per perculiares ministros futura prædicere, verum sensim quoque advenis et alienis ad id uti; perinde atque musicus quispiam, gratum et jucundum decantans carmen, supervacaneas quoque percurrit plectro chordas, aut ornatus gratia, supra eas quæ ex usu sunt, alias etiam adjicit. Hæc etiamsi per digressionem, commode tamen dicta esse puto: quod a doctrina nostra alieni, præstantiore quadam Dei ordinatione, futura de Christo prædicarunt.

C Τῶν γὰρ Ἑλλήνων πλεῖστοι, οἳ τῶν ἄλλων διαφέρειν ἐδόκουν, ᾔδεισαν μὲν πολλὰς τῶν προφητειῶν, ἃς ἐν μέτροις καὶ σεμνοτέραις πρὸς δῆμον λέξεσιν οἷα δή τινας χρησμοὺς ἐγκατέκρυψαν· Θεοῦ δὲ ἦν ἄρα, ὥς γε οἶμαι, ἐπὶ τῇ τῶν ἐσομένων συμφωνίᾳ μὴ μόνον διὰ τῶν σφετέρων θεραπόντων ἐνηχῆσαι τὸ μέλλον, ἀλλ' ἠρέμα πως καὶ τοῖς ἀλλοτρίοις προσχρήσασθαι· ὡσανεί τις μέλους ἐργάτης κατὰ χρείαν ἐπεράστου μέλους, καὶ τὰς περιττὰς τῶν χορδῶν ἐπιτρέχων τῷ πλήκτρῳ· ἢ κόσμου χάριν κἂν ταῖς οὔσαις καὶ ἄλλας προσεπιβάλλων. Ταῦτ' εἰ καὶ παρεκβατικώτερα, ἀλλ' οὖν ἁρμοζόντως οἶμαι εἰρῆσθαι, καὶ τοὺς ὀθνείους τοῦ δόγματος οἰκονομίᾳ κρείττονι τὸ μέλλον προφητεῦσαι περὶ Χριστοῦ.

D

CAPUT XXX.

De ecclesiis quas Helena et Constantinus Hierosolymis et circa ea loca construxerint.

Imperatrix autem Helena, amplissimo templo in Resurrectionis et Calvariæ monumento ita constructo, ut nulli prorsus, quæcunque vel pulchritudine vel magnitudine eximia sunt, cederet, novæ Jerusalem nomen indidit, exemplari scilicet veteris illius et jam soluti tabernaculi. Ipsa vero domesticis propriisque impensis alias duas magnifice sacras construxit ædes: alteram in Bethleem,

ΚΕΦΑΛ. Λ'.

Περὶ τῶν ἐκκλησιῶν ἃς Ἑλένη καὶ ὁ Κωνσταντῖνος ἐν Ἱεροσολύμοις καὶ τοῖς ἐκεῖσε μέρεσιν ᾠκοδόμησαν.

Ἡ δὲ βασιλὶς Ἑλένη, πολυτελῆ τὸν οἶκον ἐν τῷ τῆς Ἀναστάσεως μνήματι καὶ τοῦ Κρανίου δειμαμένη, ὡς μηδενὸς λείπεσθαι τῶν, ὅσα εἰς κάλλος ἥκει καὶ μέγεθος, νέαν Ἱερουσαλὴμ τὴν Ἐκκλησίαν ὠνόμασεν, ἀντίτυπον τῇ παλαιᾷ ἐκείνῃ καὶ καταλελυμένῃ σκηνῇ. Οἴκοθεν δὲ αὕτη καὶ ἄλλας δύο ἐκκλησίας μεγαλοπρεπῶς ἀνιστᾷ· τὴν μὲν ἐπὶ Βηθλεὲμ ἀμφὶ τὸ τῆς Χριστοῦ γεννήσεως σπήλαιον· ἐξ δὲ

[1] Zach. XIV, 20.

(1) Hæc se Socrates historicus ex aliorum relatione audita scribere ait lib. I, cap. 17.

μιλίοις διέχει τῆς πόλεως, ἐν ᾧ τοῦ θυσιαστηρίου χαμαὶ τὴν φάτνην καὶ τὸ θεῖον σπήλαιον περιέσχεν· ἑτέραν δ' ἐν τῷ τῶν Ἐλαιῶν ὄρει πρὸς τῇ ἀκρωρείᾳ, ὅπου δὴ λιπὼν τοὺς μαθητὰς ὁ Χριστὸς, πρὸς οὐρανοὺς ἀνελήφθη. Ὑπερφυῆ δέ τινα ἕτερον ἐν τῷ χωρίῳ Γεθσιμανῆ νεὼν τῇ Θεοτόκῳ ἐγείρει, ἔνδον τοῦ θυσιαστηρίου τὸν ζωηφόρον ἐκείνης τάφον ἀσφαλῶς περιστείλασα. Καταφεροῦς δ' ὄντος τοῦ τόπου, ἀναβαθμοὺς ἐκ μαρμάρων ποιησαμένη, τὸν βουλόμενον ἐκ τῆς ἁγίας πόλεως πρὸς ἀνατολὰς κατάγει. Λέγεται γάρ τοι καὶ στόμασι πολλῶν περιάγεται, ὡς ἐς τὸ κάταντες ἰὼν ὁ τόπος, κοιλὰς Κλαυθμῶνος καλεῖσθαι· χειμάῤῥους τε τῶν Κέδρων καὶ κοιλὰς τοῦ Ἰωσαφάτ· ἄγχιστα δ' εἶναι καὶ τὸν κῆπον ᾧ παρεδόθη Χριστὸς, εἰωθὼς ὢν ἐκεῖ προσεύχεσθαι. Καὶ τοῖς θείοις δὲ νηπίοις, καὶ ὅπου δὲ ἄγγελος τοῖς ποιμέσιν εὐηγγελίζετο, ἐδημιούργει τούτοις δὴ τοῖς ἄντροις ἱερὰ φροντιστήρια· αὐτοῖς τε βρέφεσι, καὶ τῇ τοῦ Λόγου λοχευτρίᾳ, καὶ τῷ μνήστορι Ἰωσὴφ ἕτερον. Ἐκεῖθεν εἰς Βηθάνιαν ἰοῦσα, Λαζάρῳ τῷ φίλῳ Χριστοῦ νεὼν περὶ τὸν τάφον περιφανῶς ἀνιστᾷ· διέχει δὲ Ἱεροσολύμων ὡσεὶ μίλια δύο. Ἔπειτα τῷ θείῳ Ἰορδάνῃ προσβάλλει· καὶ ἀμφὶ τῷ σπηλαίῳ ᾧ πάλαι τὴν κατοίκησιν εἶχεν ὁ Βαπτιστὴς, οἶκον αὐτῷ περικαλλῆ ἀνεγείρει· καὶ ἄλλον δὲ πρὸς τὸ ἄναντες τοῦ ὄρους Ἡλιοὺ τῷ Θεσβίτῃ ἐγκαθιστᾷ. Ὁδὸν δ' ἐκεῖθεν τεσσάρων ἀνύσασα ἡμερῶν, εἰς Τιβεριάδα ἥκει, ἔνθα τὸ Δωδεκάθρονον ἵστησιν, ὅπου Χριστὸς καὶ τοὺς τετρακισχιλίους διέθρεψε· καὶ τὸ χωρίον ἐστὶν ἡ Καπερναοὺμ, ἔνθα δὴ καὶ τὰ κατὰ τὸν ἑκατόνταρχον ἐτελέσθη, καὶ ὁ διὰ τῆς στέγης χαλασθεὶς παραλυτικὸς αὐτίκα εὗρε τὴν ἴασιν. Εἶτα ἐν ᾧ τὴν τοῦ αἵματος στάσιν ἡ αἱμόῤῥους εὗρε· κἀν τῷ Ἑπταπήγῳ λεγομένῳ ἐφίσταται, ὅπου τὸ τῶν ἑπτὰ ἄρτων καὶ τῶν δύο ἰχθύων θαῦμα ξένον εἰργάσατο. Κἀν τῇ ἁλείᾳ δὲ τῆς Τιβεριάδος γεγενημένῃ, καὶ ὅπου δὲ τὴν Μαγδαληνὴν ἰᾶτο, διαφόρους καθ' ἕκαστον τούτων τοῖς ἀποστόλοις ἀνίστα νεώς. Ἔνδον δὲ τῆς πόλεως Τιβεριάδος τὴν οἰκίαν τῆς πενθερᾶς Πέτρου εὑροῦσα Πέτρῳ τῷ θείῳ ποικίλον ᾠκοδόμει νεών. Κἀν τῷ Θαβωρίῳ δὲ τὰ ἴσα διεπράττετο· ἔνθα δὴ λέγεται καὶ τὸν Μελχισεδὲκ εὐλογίας καταξιῶσαι τὸν Ἀβραάμ. Τῷ δὲ τῆς Μεταμορφώσεως τόπῳ τοῖς τὴν ὑπερφυᾶ κατιδοῦσιν αἴγλην ἐκείνην τρισὶν ἀποστόλοις περικαλλῆ τὸν οἶκον ἐδείματο· καὶ πολλὰ τῷ τόπῳ κατεβάλλετο χρήματα, ἵν' εἶεν τοῖς ἐκεῖσε παραμένουσι, καὶ τὸν χῶρον εὐπρεπῆ καθιστῶσιν εἰς ὄνησιν. Ἐκεῖθεν δὲ πρὸς ἀνατολὰς κατιοῦσα, εἰς Ναζαρὲτ γίνεται. Καὶ τὸν τοῦ χαιρετισμοῦ οἶκον εὑροῦσα, ναὸν χαρίεντα τῇ Θεοτόκῳ ἀνίστα [ἄλ. ἀνίστη]. Κἀν τῇ Κανᾷ δὲ τῆς Γαλιλαίας, ἔνθα ὁ τοῦ Κανανίτου Σίμωνος γάμος ἐγένετο, καὶ ἐξ ἀδήλων βοτρύων οἶνος ἐπηγάζετο, οἶκον ἱερὸν ἐδείματο ἕτερον.

A ad eam in qua Christus natus est speluncam, sexies mille passibus ab urbe distantem: in cujus sanctiore sacrario humi et præsepe, et speluncam sacram est complexa; alteram vero in Olivarum monte, ad verticem ipsum, ubi relictis discipulis Christus in cœlos est assumptus. Excitavit quoque mirificum aliud templum in Gethsemani prædio Genitrici Dei, atque in sacrario ipso vivificum ejus sepulcrum firmiter inclusit. Cum vero declivis is sit locus, gradus marmoreos fieri curavit, viatores ex sancta urbe orientalem plagam versus ferentes. **596** Multorum quoque sermonibus circumfertur, decliviorem eum locum Vallem fletus, et torrentem Cedron, atque etiam vallem Josaphat dici. In propinquo etiam esse hortum B illum in quo proditus est Christus, et in quo orare solitus fuerat. Sanctis itidem infantibus, et ubi angelus pastoribus lætum attulit nuntium, in eis ipsis locis sacras exstruxit ædes: infantibus videlicet ipsis, et Verbi puerperæ, nec non aliam quoque sponso Josepho ædem. Inde Bethaniam progressa Lazaro Christi amico insigne ædificavit delubrum: abest id Hierosolymis passuum millibus duobus. Deinde ad sacrum Jordanem conversa, circa speluncam ubi olim domicilium Baptista habuit, perpulchram ædem illi erexit, aliamque ad acclivitatem montis, Eliæ Thesbitæ. Atque inde quatuor dierum itinere emenso, Tiberiadem venit, ubi τὸ Δωδεκάθρονον, hoc est, Duodecim Throno- C rum templum statuit, quo loco Christus quatuor hominum millia pavit. In ea regione est Capernaum, ubi miraculum illud in centurione editum, et in paralytico, qui per tectum demissus, statim salutem invenit; deinde ubi mulier sanguinis fluxu laborans restituta est. Sistitur etiam in loco qui dicitur Ἑπτάπηγος, hoc est, Ad septem fontes, ubi ingens illud miraculum de septem panibus, et paucis piscibus Dominus fecit. Accessit quoque ad Tiberiadis piscatum, et in locum ubi Magdalena sanata est, et in singulis locis diversa apostolis construxit templa. Intra urbem Tiberiadem, socrus Petri domo reperta, divo Petro pulchrum constituit delubrum. Itidem porro in monte Thabor fecit, in quo Melchisedech Abrahamum dicitur D benedictione prosecutus esse. In ipso autem Transformationis loco, qui splendorem illum mirificum conspexere, apostolis tribus pulcherrimam exstruxit ecclesiam. Quo loco multam etiam reliquit pecuniam, in subsidium eis qui ibi manerent, locumque ipsum excolerent. Inde orientem versus descendens, Nazareth pervenit, et salutationis angelicæ domo reperta, Dei Genitrici peramœnum excitavit templum. Et in Cana Galilææ, ubi Simonis Chananæi nuptiæ celebratæ, et ex occultis incertisque botris vinum factum, aliam quoque sacram ædem ædificavit.

587 Cæterum in urbem sanctam reversa, in Sion amplissimum longe lateque construxit templum, in cujus postico domum circumcluait, in qua, foribus clausis, propter metum Judæorum, discipuli fuerant congregati: in qua etiam sacra cœna peracta, sacræque pedum lotio, nec non Spiritus sancti in cœnaculo adventus, in qua primus quoque hierarcha et episcopus Jacobus renuntiatus est. In eo templo marmorea quoque fuit columna, ad quam cum flagellis cæderetur, alligatus est Salvator. In cujus parte sinistra, divi prophetæ Davidis sepulcrum magnifice in sublimi collocatum. Sion ipsa ad australem urbis est sita partem, superiorem ejus sortita regionem, passibusque mille a Christi resurrectionis loco distat. Et in palatio Caiphæ, Petro apostolorum principi templum aliud constituit. Atque in fovea Jeremiæ, et ad fontem qui Siloe dicitur, mirifica construxit opera. Postremo et agrum figuli apparari curavit, in advenarum scilicet et peregrinorum sepulturam. Sed et filii Constantini instinctu, ad arborem Mambre, quæ nunc Terebinthus dicitur, quindecim stadiis meridiem versus vicinam habens Hebron, Hierosolymis autem circiter ducenta et quinquaginta stadia abest, ubi vera certaque fama est, una cum angelis contra Sodomam euntibus, et Filium Dei hospitaliter acceptum esse ab Abraham, ab eoque Isaaci procreationem annuntiatam, maximum ornatissimumque templum erexit. Intellexerat enim Constantinus sub ea arbore, veteres Græcæ superstitionis aras construxisse, Græcis sacrificiis istic operatos esse, vinum libasse, thura adolevisse, bovem, hircum et gallum sacrificasse, lucernas accensas oleo infuso apposuisse, placentas obtulisse: quosdam etiam nummos et varii generis unguenta in vicinum puteum conjecisse, ita ut rerum conjectarum ingenti copia aqua inutilis sit reddita. Quod sane Constantini uxoris mater, cum istac transiret, visum, genero ipsi renuntiavit. Animadverterat enim æstivo tempore, loci incolas, longinquiores etiam Palæstinos, Phœnices et Arabes, annuas ferias in ea regione peragere. Et (1) conventus celebritasque ea grata fuerat 588 omnibus: Judæis quidem quod patriarcham generisque sui principem jactarent Abrahamum; Græcis vero, propter angelorum in eum locum adventum: Christianis porro, quod Deo dilecto illi id prædictum fuerat, quod multis postea sæculis de Virgine futurum fuerat. Qua re Constantinus cognita, episcopis Palæstinis vitio vertebat, in primisque Eusebium Pamphili perstringebat, quod sic tam sanctum locum despexissent. Itaque episcopis Phœniciæ mandavit ut ex ipsis fundamentis aræ everterentur, simulacra igne comburerentur, ac templum ibi tantæ antiquitatis nomini conveniens exstrueretur, in quo divinum numen Ecclesiæ recepto in ritu coleretur, locusque de cætero a contaminatione omni liber esset. Quod si quis dein-

A Πάλιν δὲ πρὸς τὴν ἁγίαν ὑποστρέψασα πόλιν, ἐν τῇ Σιὼν μέγιστον εἰς μῆκος καὶ πλάτος ἐκτρέχοντα νεὼν ἐγείρει· οὗ ἐν μὲν τοῖς ὄπισθεν μέρεσι τὸ οἴκημα περιέκλεισεν, ἔνθα ἦσαν συνηγμένοι τῶν θυρῶν κεκλεισμένων διὰ τὸν τῶν Ἰουδαίων φόβον οἱ μαθηταί, ἐν ᾧ καὶ ὁ θεῖος δεῖπνος ἐγένετο, ὅ τε θεῖος νιπτήρ, καὶ ἡ τοῦ ἁγίου Πνεύματος κάθοδος ἐν τῷ ὑπερῴῳ· καὶ πρῶτος ἱεράρχης ἀνεκηρύχθη Ἰάκωβος. Ἔστι δὲ καὶ ὁ πορφυροῦς ἦν κίων, ἔνθα προσεδέθη φραγγελωθεὶς ὁ Σωτήρ. Οὗ τοῖς εὐωνύμοις μέρεσι τοῦ ναοῦ ὁ τοῦ θείου προφήτου Δαυῒδ τάφος μεγαλοπρεπῶς ἵδρυται τῇ προσοικοδομῇ τῆς ἀναφορᾶς. Ἡ δὲ Σιὼν πρὸς νότον ἐστὶ τῆς πόλεως, τὸν ὑπερανεστηκότα χῶρον ταύτης λαχοῦσα. Μίλιον δ' ἐν ἀπέχει Σιὼν τῆς τοῦ Χριστοῦ ἀναστάσεως. Κἀν
B τῇ αὐλῇ δὲ τοῦ Καϊάφα Πέτρῳ τῷ κορυφαίῳ τῶν μαθητῶν ναὸν ἕτερον ἤγειρεν. Ἔν τε τῷ λάκκῳ Ἱερεμίου καὶ ἐν τῇ πηγῇ ἡ τοῦ Σιλωὰμ εἴρηται, πολυτελῆ τὰ ἔργα ἐποίει. Τέλος δὲ καὶ τὸν ἀγρὸν τοῦ κεραμέως μετασκευάσασα, πολυάνδριον ἔπραττε τοῖς ξένοις δηλονότι ταφήν. Σπουδαῖς δὲ τοῦ παιδὸς Κωνσταντίνου ναὸν τῇ δρυῒ τῇ Μαμβρῇ, ἥτις νῦν Τερέβινθος λέγεται, ἀπὸ ιε' μὲν σταδίων γείτονα τὴν Χεβρὼν ἔχουσα πρὸς μεσημβρίαν, Ἱεροσολύμων δὴ διεστῶσα ἀμφὶ διακόσια καὶ πεντήκοντα στάδια, ἔνθα λόγος ἐστὶν ἀληθὴς σύναμα τοῖς κατὰ Σοδομιτῶν ἰοῦσιν ἀγγέλοις καὶ τὸν Υἱὸν τοῦ Θεοῦ ἐπιξενωθῆναι τῷ Ἀβραάμ, καὶ τὴν τοῦ Ἰσαὰκ γέννησιν ἐπαγγείλασθαι, ναὸν μέγιστον καὶ περικαλλέστατον ἀνεδείματο· καὶ γὰρ μαθὼν ἦν Κωνσταντῖνος ὑπὸ
C τῇ δρυῒ, βωμοὺς Ἑλληνικοὺς τοὺς πάλαι ἱδρύσασθαι, καὶ θυσίας Ἑλληνικὰς ἐκεῖσε τελεῖσθαι, οἴνους τε σπένδειν, καὶ λιβάνους ἐπιθύειν, καὶ βοῦν καὶ τράγον καὶ ἀλεκτρυόνα· λύχνους τε ἐτίθουν ἡμμένους ἐπιχέοντες ἔλαιον, καὶ πόπανα προσῆγον· ἦσαν δὲ οἳ καὶ νομίσματα καὶ μύρα διάφορα κατὰ τοῦ ἐκεῖσε φρέατος ἔβαλλον, ὡς ἐντεῦθεν ἀχρεῖον τὸ ὕδωρ γίνεσθαι τῇ ποικίλῃ μετουσίᾳ τῶν ῥιπτουμένων. Ἡ τῆς Κωνσταντίνου δὲ γαμετῆς μήτηρ ἐκ τοῦ παρήκοντος, θεασαμένη, τῷ γαμβρῷ τὸ δρώμενον ἤγγελλεν, ὥρᾳ θέρους τοὺς ἐπιχωρίους ἰδοῦσα καὶ τοὺς πορρωτέρω Παλαιστινούς, Φοίνικάς τε καὶ Ἀραβίους, τὴν ἐτήσιον τῷ χώρῳ ἄγοντας ἑορτήν. Πᾶσι γὰρ ἐπέραστος ἦν ἡ πανήγυρις· Ἰουδαίοις μὲν, ὅτι πα-
D τριάρχην ηὔχουν τὸν Ἀβραάμ, Ἕλλησι δὲ, διὰ τὴν τῶν ἀγγέλων τῷ χώρῳ ἐπιδημίαν· Χριστιανοῖς δὲ, ὅτιπερ τῷ θεοφιλεῖ ἐκείνῳ προεμήνυσεν, ὃ πολλοῖς χρόνοις ἐς ὕστερον ἐκ παρθένου ποιεῖν ἔμελλεν. Ἃ δὴ πυθόμενος Κωνσταντῖνος, τῶν ἐν Παλαιστίνῃ ἐπισκόπων κατῃτιᾶτο· καὶ μᾶλλον Εὐσεβίου τοῦ Παμφίλου καθήπτετο, οὕτω τὰ περὶ τὸν ἅγιον ὑπεριδόντας τόπον. Καί γ' ἐκέλευε τοῖς τῆς Φοινίκης ἐπισκόποις ἐκ βάθρων μὲν καθαιρεῖν τοὺς βωμοὺς, πυρὶ δὲ τὰ ξόανα δαπανᾶν· ἄξιον δὲ τέμενος τῷ περιωνύμῳ τῆς τοῦ τόπου ἀρχαιότητος καθιστᾶν, καὶ τὸ θεῖον ἐκεῖσε κατὰ τὸ τῆς Ἐκκλησίας ἔθος θρησκεύειν, καὶ τοῦ λοιποῦ ἐλεύθερον τὸν τόπον

(1) *Sozomenus Eccles. Histor.* lib. II, cap. 4 et 5.

εἶναι τῶν μιασμάτων. Εἰ δέ τις ἑξῆς φωραθεὶς ἁλοίη τοιαῦτα πράττων, μεγίστῃ τοῦτον ζημίᾳ ὑπάγεσθαι. Καὶ ἔργῳ τὰ προσταττόμενα αἴσιον ἐλάμβανε πέρας. Καὶ ἐν τῇ τῆς Φοινίκης Ἡλιουπόλει ἕτερον οἶκον οἰκοδομεῖν ἐκέλευε Κωνσταντῖνος· ἐπίσκοπόν τε καὶ κλῆρον ἱερὸν κατεσκεύαζε· καὶ τὸν ἐκ παλαιοῦ προσόντα νόμον τούτοις ἀπεῖργεν, ὃς κοινὰς εἶναι τὰς γυναῖκας ἐτίθει, καὶ τοῖς παριοῦσι ξένοις τὰς σφῶν παρθένους πρότερον ἐκπορνεύεσθαι, ὡς εἶναι μὲν αὐτοῖς τὰ τέκνα ἀμφίβολα, καὶ μηδεμίαν εἶναι τούτοις διάκρισιν. Ὧν ἀνελὼν τὸ μῦσος, τὰ γένη ἐπιγινώσκειν παρεσκευάσατο. Παραπλήσιον δέ τι καὶ ἐν Φαιάκοις ἐποίει· τὸ γὰρ τῆς ἐκεῖσε Ἀφροδίτης ἱερὸν τῷ Λιβάνῳ περιελὼν, καὶ τὰς ἐν ἐκείνῳ αἰσχρὰς καὶ ἀσέμνους μίξεις συμπεριεῖλε· τόν τ' ἐν Κιλικίᾳ Πυθωνικὸν κατέστρεφεν οἶκον· καὶ τὸν ἐκεῖσε ἐμφωλεύοντα ἐξήλαυνε δαίμονα. Οὐ μόνον δὲ τῇ γῇ τὰς Ἐκκλησίας ἐῤῥίζου, ἀλλὰ τῷ περὶ Χριστὸν πόθῳ φλεγόμενος, ἵνα κἀν ἐρήμοις ἔχοι τὰ σύμβολα, καὶ οἶκον ἐξ ὀθόνης ποικίλης κατασκευάσας, ὥσπερ πάλαι Μωϋσῆς περιέφερεν, ᾗπέρ μοι προείρηται. Πολλὰς δὲ καὶ ἄλλας ἐκκλησίας τοῖς ἁγίοις ἐκείνοις τόποις κατασκευάσασα, οὔσας ὑπὲρ τριάκοντα, ἡ θεοφιλὴς βασιλὶς Ἑλένη, πρὸς τὸν φίλον ταύτης υἱὸν ἐπανέστρεψε, τοῖς ἑσπερίοις μετὰ τὴν σύνοδον διάγοντα μέρεσι.

ΚΕΦΑΛ. ΛΑ'.

Περὶ τῶν θεοφιλῶν ἔργων τῆς μακαρίας Ἑλένης, καὶ τῆς αὐτῆς τελευτῆς· καὶ περὶ τῆς ἐπωνύμου αὐτῇ πόλεως· καὶ ἱστορία παράδοξος τοῦ ἁγίου μάρτυρος Λουκιανοῦ.

Ταύτης πολλὰ μὲν καὶ ἄλλα μαρτυρεῖ τὸ εὐλαβὲς καὶ φιλόθεον· οὐχ ἧττον δὲ παραστήσει καὶ ὃ μέλλω ἐρεῖν. Λέγεται γὰρ τὰς ἐν Ἱεροσολύμοις ἱερὰς παρθένους πρὸς ἑστίασιν μεταστειλαμένην, θεραπαινίδος ἐκπληρῶσαι τάξιν αὐταῖς. Αὐτὴ γὰρ τὰ ὄψα ταῖς οἰκείαις παρετίθει χερσίν· ὕδωρ τε προσῆγε καὶ χέρνιβα καὶ ἄλλ' ἄττα διακονουμένη, οἷς τοὺς δαιτυμόνας εἰωθὸς θεραπεύειν. Δῶρα δὲ πλεῖστα καὶ πολυτελῆ ἀναθήματα ταῖς ἀνὰ τὴν ἕω ἐκκλησίαις ἐδίδου. Ἐνδεέσι τε τὰ ἐπιτήδεια ἐχορήγει ἀφθόνως. Πολλούς τε εἰς τὴν προτέραν ἐπανῆγεν ἕξιν καιρῶν δυσκολίαις ἀνατραπέντας· δεσμῶν τε χρονίων λύσιν ἐπῆγε, μετάλλων τε ἠλευθέρου· καὶ τὴν ὑπερόριον ἀνεκαλεῖτο φυγήν. Ὧν χάριν καὶ ἄξιά γε πρὸς Θεοῦ εἰληφέναι τὰ γέρα· καὶ γὰρ τὸ μὲν παρὸν, ὡς οὐκ ἄν τις ᾠήθη, κάλλιον διαγέγονε· σεβαστή τε ἀνακηρυχθεῖσα, καὶ χρυσοῦν νόμισμα εἰς μόρφωμα ἴδιον κόψασα, θησαυρῶν τε βασιλικῶν ἐξουσίαν λαβοῦσα, κατὰ γνώμην ἐκέχρητο. Ἐπεὶ δὲ τελευτᾷν ἔδει, μετ' εὐφήμου ἐτελεύτα τῆς μνήμης ἐν Ῥώμῃ ὀγδοηκοστὸν ἔτος γεγενημένη ἑνὸς λείποντος, πολλὰ τῷ παιδὶ ἐντειλαμένη τοῖς ἐξιτηρίοις περὶ τῆς εὐσεβοῦς πολιτείας. Πάνυ δὲ μεγάλης καὶ μετὰ τὴν τελευτὴν ἠμοίρει τιμῆς, ὁποίαν ἐχρῆν

ceps ejusmodi quidquam facere deprehensus esset, eum gravi mulctatum iri pœna, constituit. Atque imperata hæc ad rem collata, legitimum consecuta sunt exitum. Nec minus Heliopoli in Phœnicia aliam sacram ædem Constantinus ædificari præcepit. eique episcopum suum et sacrum clerum dedit, veteri sublata lege quæ communes esse uxores, et advenientibus hospitibus virgines suas prostituere jubebat, ut dubia et anceps apud eos soboles nullumque ejus discrimen esset. Hoc tam abominandum scelus abolens, ut gentes familiæque dignoscerentur, effecit. Simile quiddam etiam in Aphacis (1) fecit. Templum namque Veneris isthic ad Libanum montem demolitus, una quoque fœdos et indecentes, qui mistim fiebant, concubitus prorsus sustulit. In Cilicia porro Pythonicum evertit fanum (2), atque incubantem ibi dæmonem ejecit. Non tantum autem ecclesias e fundamentis terræ exstruxit, verum etiam pro suo erga Christum flagranti desiderio et amore, ut in solitudine quoque sancta haberet symbola, ædem sacram e variis linteis fieri curavit, eamque veluti priscus Moses, sicuti a me antea est dictum, secum circumtulit. Quin et plures ecclesias alias in sanctis illis locis, supra triginta, amantissima Dei femina imperatoris mater condidit: et ad clarissimum sibi filium, in occidentalibus post synodum agentem partibus, est reversa.

599 CAPUT XXXI.

De Deo gratis operibus beatæ Helenæ, ejusdemque obitu. Item de cognomine ei urbe : præterea historia fidem prope excedens de sancto martyre Luciano.

Permulta quidem sunt, quæ illius in Deum amorem et pietatem testantur : non minus tamen eam virtutem, quod nunc dicturus sum, declarabit. Dicitur siquidem Hierosolymis, sacris virginibus ad epulas vocatis, famulæ præstitisse officium. Manibus enim ipsa suis escas illis apposuit, et aquam præbuit, aliaque omnia ministeria obivit, quæ convivis invitatis exhibere moris est. Munera vero plurima et pretiosa donaria, Orientalibus attribuit ecclesiis. Indigentibus res necessarias affatim largita est. Et multos in priorem reduxit statum, qui temporum difficultate eversi fuerant. Sic illa captivorum vincula diuturniora solvit, ad metallum damnatos liberavit, et exsules revocavit. Quam ob causam condigna etiam a Deo accepit præmia. Etenim in præsenti hac vita, ea est consecuta, ut præstantius quidquam nemo ei accidere potuisse putarit. Nam Augusta renuntiata est, et nummos aureos sub effigie sua procudit, imperialibusque thesauris in potestatem suam redactis, pro arbitrio suo est usa. Cum autem ei finis vitæ instaret, cum celeberrima memoria Romæ decessit, undeoctuagesimum agens annum : cum quidem in extrema illa allocutione et valedictione, moritura, de piæ Christianæ-

(1) *Tripart.* lib. II, cap. 20.

(2) Æsculapii ad Ægas oppidum.

que vitæ instituto, permulta mandata filio dedisset. Ingentes quoque ei post obitum tribuit honores : quales scilicet eam decebant, quæ tam pie sancteque vixisset. Extra urbem Romanam sepulta, in templo rotundo porphyretica urna deposita, atque biennio post una cùm urna Constantinopolim deportata est : prima ipsa, in imperialia monumenta ædis Sanctorum Apostolorum illata, lætisque posthac atque etiam nocturnis memoriis, ut par erat, est celebrata. Hierosolymis autem venerandæ virgines, quibus veluti quædam ancilla inservierat, præcipuis eam sunt memoriis solemniter prosecutæ. Quod si quis mundana hæc in aliquam bonarum utiliumque rerum rationem referre velit, in eo quoque omnem longe superat oblivionem. Perinde enim atque pignus quoddam futura sæcula habent, ad memoriam ejus sempiternam, in Bithynia unam, et in Palæstina alteram urbem : **600** quibus imperator filius conditis, memoriam illi tribuit immortalem (1). Admodum vero beatam Helenam regione et situ alterius delectatam esse ferunt, quæ antehac Drepanum (2) nominata fuerat : cum quod ibi orta esset, tum quod Lucianum martyrem post martyrium obitum eo a delphine deportari contigerit. De quo martyre illud est decantatum : moriturum eum, cum vis tyrannica neque templi neque sacrarii copiam faceret, et vincula quoque atque plagæ motum prorsus denegarent, in suo ipsius pectore discumbentem, horrendo illo operatum esse mysterio, ad eumque modum et ipsum participasse de immaculato sacrificio, et aliis ut itidem communicarent, suasorem fuisse. Sacrum id in carcere perficiebatur, et Ecclesiæ specimen sacer ille chorus, qui eum tanquam jam morientem stipabat, repræsentabat. Aliam quoque ob causam ita sacris operabantur, ut scilicet quæ a piis peragebantur, ab iis qui alterius essent opinionis, non conspicerentur. Hujus discipulos esse dicunt, Eusebium Nicomediensem, Marin Chalcedonensem, Theognidem Nicænum, Leontium, qui deinde Antiochiæ episcopus fuit, Antonium Tarsi Ciliciæ antistitem, Numenium, Eudoxium, item Alexandrum et Asterium Cappadocem, quos ad Græcorum superstitionem deflexisse, fama est, tyrannorum crudelitati cedentes : postea autem lapsui atque errori, opem ferente eis ad pœnitentiam præceptore, renuntiasse : quamvis iterum non idem sibi cum magistro sentiendum esse delegerint, Arii opinionem ex professo complexi. De beata Helena hactenus.

A τὴν οὕτω θεοφιλῶς ζήσασαν. Ἔξω δὲ τῆς πόλεως Ῥώμης ἀξιωθεῖσα ταφῆς, ἐν ναῷ στρογγύλῳ λάρνακι πορφυρᾷ κατετέθη. Μετὰ δὲ διετῆ χρόνον, σὺν τῇ λάρνακι ἐν τῇ Κωνσταντίνου ἀνασωθεῖσα, πρώτη ἐν τοῖς βασιλικοῖς μνημείοις τῶν ἱερῶν ἀποστόλων ταφῆς ἠξιώθη, φαιδραῖς τὸ ἐξ ἐκείνου μνείαις καὶ παννυχίσιν ὡς εἰκὸς τιμωμένη. Αἱ δ' ἐν Ἱεροσολύμοις σεμναὶ παρθένοι ἐκεῖναι, αἷς οἵα τις διηκονεῖτο θεραπαινὶς, ἐξαισίαις μνήμαις ταύτην ἐσέμνυνον. Εἰ δέ τι καὶ τὸ κατὰ κόσμον εἰς ὄνησίν τις λογίζεσθαι ἕλοιτο, καὶ λήθης κἀν τούτῳ ὑπερτερεῖ· ἐνέχυρον γὰρ ὥσπερ ὁ μέλλων ἔχει αἰὼν τῆς ἐς ἀεὶ μνήμης τὴν ἐπὶ Βιθυνίας πόλιν, καὶ ἑτέραν ἐν Παλαιστίνῃ· ἃς ὁ παῖς αὐτῇ καὶ βασιλεὺς δειμάμενος, B τὴν ἀθάνατον ἐκείνην μνήμην χαρίζεται. Ἀσπάζεσθαι δέ φασι τὸ χωρίον τὴν μακαρίαν Ἑλένην· καὶ ὡς ὁρμωμένην ἐκεῖθεν Δρέπανον πρῶτον ὠνομασμένον· καὶ ὅτι Λουκιανὸς ὁ μάρτυς ἐκεῖσε τύχοι μετὰ τὸν μαρτυρικὸν θάνατον ὑπὸ δελφῖνος ἐκκομισθείς. Περὶ οὗ μάρτυρος λόγος διατεθρύλληται τελευτᾷν μέλλοντος, τῆς τυραννικῆς βίας μήτε ναὸν, μήτε θυσιαστήριον παρεχούσης, ἀλλὰ μηδὲ τῶν δεσμῶν καὶ τῶν πληγῶν συγχωρούντων κινεῖσθαι, ἐν τῷ οἰκείῳ στέρνῳ ἀνακείμενον, τὴν φρικτὴν ἐπιτελέσαι μυσταγωγίαν· καὶ οὕτως αὐτόν τε μετασχεῖν τῆς ἀχράντου θυσίας, καὶ τοὺς ἄλλους μεταλαβεῖν ἐπιτρέψαι. Τὰ δὲ τῆς ἱερουργίας ἐτελεῖτο ἐν τῇ εἱρκτῇ· καὶ ἐκκλησίας σχῆμα ὁ κυκλώσας ἐκεῖνον ἱερὸς ἐτύπου χορὸς, ὡς ἤδη ἀποβιοῦντα. Ἄλλως τε C καὶ τοῦ μὴ καθορᾶσθαι τὰ δρώμενα παρὰ τῶν εὐσεβῶν τοῖς ἄλλως ἔχουσι δόξης, οὕτως ἐτέλουν. Τούτου μαθητάς φασιν εἶναι τόν τε Νικομηδείας Εὐσέβιον, Μάριν τὸν Χαλκηδόνος, καὶ τὸν Νικαίας Θέογνιν, Λεόντιόν τε τὸν ὕστερον τῆς Ἀντιόχου ἐπισκοπήσαντα, Ἀντώνιόν τε (Ταρσοῦ δὲ τῆς Κιλικίας οὗτος ἐγένετο), καὶ Νουμήνιον, καὶ Εὐδόξιον· οὐ μὴν ἀλλὰ καὶ Ἀλέξανδρον, καὶ Ἀστέριον τὸν Καππαδόκην· οὓς καὶ ἑλληνίσαι φασὶν ἐνδόντας τῇ τῶν τυράννων βίᾳ· ἐς ὕστερον δὲ τὴν ἧτταν ἀνακαλέσασθαι, συλλαβομένου αὐτοῖς πρὸς τὴν μετάνοιαν τοῦ διδασκάλου· κἂν αὖθις μὴ τὰ ἴσα τῷ διδασκάλῳ φρονεῖν ᾑρετίσαντο, τὴν Ἀρείου περιφανῶς ἀσπασάμενοι δόξαν. Περὶ μὲν οὖν τῆς μακαρίας Ἑλένης τοσαῦτα.

CAPUT XXXII.

De tribus magnificis crucibus quas in magnis columnis Constantinopoli Constantinus collocavit : et mirifica de una earum narratio.

Verum enimvero Constantinus, cum ubique terrarum in illustribus urbibus delubra, tum maxime

D

ΚΕΦΑΛ. ΛΒ'.

Περὶ τῶν τριῶν μεγάλων σταυρῶν, οὓς ἐν κίοσι μεγάλαις Κωνσταντῖνος ἐν τῇ ἐπωνύμῳ αὐτοῦ πόλει ἀνίδρυσε· καὶ ὑπερφυής τις περὶ ἑνὸς τούτων διήγησις.

Κωνσταντῖνος δὲ ἁπανταχοῦ τῆς γῆς πολλοὺς ἐγείρας νεὼς ταῖς περιφανέσι τῶν πόλεων, κἀν τῇ

(1) Constantinus duabus civitatibus matris suæ Helenæ nomen imposuit. Idem Ponto quoque nomen, ut Helenopontus diceretur, imposuit. (Justinian. *De moderat.* Helenoponti, Novell. 28.)

(2) *Socrates lib. I, cap.* 18, scribit, Constantinum vicos multos amplificatos in formam urbium extulisse, atque in primis Drepanam, seu Drepanum, a matris suæ nomine Helenopolim vocasse : et civitati ab eo auctæ in Palæstina, a sororis suæ appellatione nomen Constantiæ indidisse.

ἐπωνύμῳ δὲ αὐτοῦ πόλει μάλιστα τούτους ἀνίστη · A ἣν καὶ ἀγάλμασι καὶ ἄλλοις ὑπερφυέσιν ἔργοις ἐκάλλυνεν, ὡς ἐν τῷ τέλει τοῦ πρὸ τούτου διελάβομεν τόμου. Εἰδώς γε μὴν πείρᾳ καὶ τὴν τοῦ θείου σταυροῦ δύναμιν, ὑπερφυῶς αὐτὸν ἐτίμα, καὶ ἐν θαύματι διὰ παντὸς ἦγε. Καὶ δὴ μετὰ νόστον Ἑλένης τρεῖς ὑπερμεγέθεις σταυροὺς τεκτηνάμενος, κατὰ μίμησιν ὧν τριχῶς ἐν οὐρανῷ ἐθεάσατο, πρῶτον μὲν ἐν Ῥώμῃ καταστρατηγῶν Μαξεντίου · δεύτερον δ' ἡνίκα Βυζαντίους διὰ μάχης ἰὼν ἐτροποῦτο· καὶ τὸ τρίτον, ἡνίκα Σκύθας πέραν Ἴστρου ὑπέταξε, καὶ τὸν ποταμὸν γεφύρᾳ ἐζεύγνυ · κατὰ μίμησιν τοίνυν τῶν τριῶν τούτων σταυρικῶν ὁράσεων, τρεῖς ἐκ χαλκοῦ ἐποίει σταυρούς, καὶ τὰ σεβάσμια τούτων ὀνόματα οὕτως ὠνόμαζεν · *Ἰησοῦς, Χριστός, νικᾷ.* Ὧν ὁ μὲν τὸ *Ἰησοῦς* ὄνομα ἔχων, χρυσῷ ἁπανταχοῦ διαχυθέντι κοσμηθείς, ἔστη ἐπάνω τῆς ἀψῖδος B τοῦ φόρου, ὃς τὸ τῆς εὐσεβείας αὐτοῦ θερμὸν ὑπαινίσσεται · τῷ γὰρ κράτει τῆς ἰσχύος αὐτοῦ τὴν Ἑλληνικὴν θρησκείαν κατέβαλλε · τὸν δὲ ὃς ἐκαλεῖτο *Χριστός*, σεβάσμιον καὶ θεῖον σταυρόν, ἐπὶ πορφυρῷ Ῥωμαίῳ ἀνίστα κίονι, ἐν τῷ Φιλαδελφίῳ οὑτωσί πως εἰρημένῳ · τὸν δὲ τρίτον, ὃν Κωνσταντῖνος μὲν *νῖκος* ἐκάλεσεν, Ἡράκλειος δ' *ἀνίκητον* κατωνόμασεν, ἐπὶ ὑψηλῷ κίονι ἐκ μαρμάρων συντεθειμένῳ ἀνίδρυσεν, ἐν τόπῳ ᾧ κλῆσις ἦν *Ἀρτοπώλιον* · ἐν ᾧ καὶ πολλαὶ δυνάμεις ἐνηργοῦντο παράδοξοι · καὶ μᾶλλον ὅσοι ῥίγει φλογώσεως ἔπασχον, καὶ ὀφθαλμίαις καὶ ὑποχύσεσιν ἦσαν συνισχημένοι · περὶ οὗ τι καὶ τῶν μάλα διὰ θαύματος C ἀγομένων πραττόμενον διηγήσομαι. Καί μοι μηδεὶς ἀπιστείτω διηγουμένῳ · οὐδὲν γὰρ οἶμαι παράδοξον, ὃ μὴ Θεῷ διαπεπραγμένον εἴη · οὐδὲν δὲ πάλιν ἀδύνατον, Θεοῦ βουλομένου. Λέγεται γάρ, καὶ ἀληθῶς λέγεται, ὡς ὅτι παρ' αὐτὸν ἄγγελος Κυρίου τρίτον ἰὼν τοῦ ἐνιαυτοῦ ἐν ἀποῤῥήτῳ σιγῇ τῆς νυκτός, οἷάπερ ἀστραπὴ ἐξ οὐρανῶν διᾴττουσα, ἐν ἀπροσίτῳ τῇ αἴγλῃ, κύκλῳ περίεισι τὸν σταυρὸν θυμιῶν, λιγυρᾷ τε φωνῇ ὡς δή τινος λεπτοῦ σημαντῆρος τὴν παρουσίαν διαμηνύει τοῖς ἀνεπιστρόφῳ πρὸς κακίαν βίῳ τὰ τοιαῦτα καὶ ὁρᾷν καὶ ἀκούειν ἠξιωμένοις. Ἄσματι δὲ ἀποῤῥήτῳ τὸ ἔνθεον μέλος τῆς τρισαγίας φωνῆς τούτῳ ἐπιλέγων καὶ ὑποψάλλων, καὶ αὖθις ὥσπερ ἀστὴρ μεγαλοπρεπῶς διᾴττων, πρὸς τὰ οἰκεῖα ἐπανέρχεται ἤθη. Ὃν δῆτα σεβάσμιον τοῦ D Κυρίου σταυρόν, πολλῷ χρόνῳ ὕστερον κατὰ τὸ ὀκτωκαιδέκατον ἔτος τῆς ἀρχῆς Μαυρικίου, σεισμῷ μεγάλῳ πεσεῖν ἐπειγόμενον, ἔπειτα σιδηροῖς τισι μηχανήμασιν Ἡράκλειος ἥδρασε, πρὸς τῇ βάσει ταῦτα δὴ ἐγκολάψας τὰ γράμματα · Ἔργον θεάρεστον βασιλέως μεγάλου Ἡράκλειος ἥδρασεν · ἃ δὴ καὶ εἰς ἐμὲ νῦν εἰσι θεωρούμενα. Ἀλλὰ τοιαῦτα μὲν καὶ τὰ περὶ τῶν τριῶν σταυρῶν εἰργασμένα τῷ Κωνσταντίνῳ.

in cognomine sibi civitate, ea exstruxit : quam statuis et aliis admirandis operibus exornavit, sicuti in fine proximi exposuimus tomi. Quod vero re ipsa sanctæ crucis vim et efficaciam expertus fuerat, summopere eam semper venerabatur atque admirabatur. **601** Ac post Helenæ reditum tres immensa magnitudine cruces fabrefieri fecit, ad exemplum earum quas ter in cœlo viderat : primum Romæ, contra Maxentium depugnans : secundo, cum commisso cum Byzantiis prælio tropæum de eis statuit ; tertio autem, cum Istro ponte juncto, Scythas ultra id flumen subegit. Ad imitationem igitur triplicis istius visionis, tres ex ære fieri curavit cruces, eisque sacra hæc imposuit nomina : *Jesus, Christus, vincit*. Ex his, cui nomen *Jesus* inditum, auro per omnes partes diffuso ornata collocata est super fornicem seu arcum triumphalem in foro, ut obscuriore significatione ardorem pietatis ipsius indicaret. Potentia namque roboris ejus Græcam superstitionem debellavit. Alteram vero venerandam, sacramque crucem *Christi* nomen præferentem, in Porphyretica Romana statuit columna, in loco qui Φιλαδέλφιον, hoc est Fraternus amor, dicitur. Tertiam, quam Constantinus quidem νῖκος, id est victoriam, vocavit, Heraclius autem ἀνίκητον, hoc est invictam, nominavit, in alta marmorea columna posuit, in loco cui nomen est Ἀρτοπώλιον, id est Forum panarium, ad quam multæ etiam supra opinionem hominum virtutes sunt editæ : atque in primis, si qui rigore inflammationis vexarentur, et oculorum doloribus et suffusionibus premerentur, sanati sunt. De qua factum quoddam, quod admodum in admiratione fuit, exponam. Ne vero quisquam narranti mihi fidem non habeat ; nihil enim tam præter opinionem et præter fidem est, quod Deus non perficiat; neque etiam quidquam quod Deus velit, impossibile est. Dicitur namque, et vere dicitur, cum ad eam angelus Domini ter quotannis per altissimum intempestæ noctis silentium, perinde atque emicans quoddam cœlitus fulgur, cum splendore inaccesso venit, crucem eum circumire suffitum facientem : suavique voce quasi cujusdam tenuis indicia, præsentiam suam illis qui puritate vitæ a vitiis abhorrentes, talia et videre et audire idonei sunt, insinuare : atque ubi cantu ineffabili divinum carmen ter sancti hymni psallens concinuerit, rursum illum veluti stellam magnifice emicantem ad munia redire sua. Hanc sane venerandam Domini crucem, longo post tempore, decimum octavum annum Mauritio imperante, **602** quod immenso terræ motu corruerat, ferreis quibusdam operibus Heraclius firmavit, et in basi ejus hujusmodi incidit inscriptionem : Opus Deo acceptum imperatoris magni Heraclius firmavit. Quæ inscriptio ad mea usque tempora duravit. Hæc de tribus crucibus a Constantino constructis.

CAPUT XXXIII.

Ut Constantinus Christianismum ubique terrarum provagari curaverit.

Qui rerum omnium illud quam maxime studuit, ut religio ampliora caperet incrementa. Neque se continere ea in re potuit. Universos namque homines, quantum in manu ejus id fuit, ad Christum adductos atque pertractos voluit, apostolicam prorsus declarans mentem et studium. Quandoquidem autem homines Romano subditi imperio, præter rationem omnem, metum atque superstitionem, propter conceptam de simulacris opinionem retinebant, ritus patrios complectebantur, et ex antiquitatis auctoritate pendebant, inducendam esse cultus ejus apud ipsos oblivionem putavit. Id vero nec aliter nec prius fieri potuit, quam illi templa, et quæ in eis sunt statuas negligerent atque contemnerent. Consiliumque id ad exitum perduxit. Edictis enim imperatoriis passim publicatis, populi metuentes ne de rebus sibi charissimis in periculum venirent, in officio fuere. Et templorum custodes sacerdotesque, cum quod agerent non haberent, res quæ antea apud eos in honorem fuerant, despexere : et quæ dudum in abstruso latentia a nemine conspecta fuerant, ex adytis arcanisque locis pertraxere : quæque solis ipsis cognita erant, omnium oculis exposuere. Simulacrorum vero materia, quæ quidem ingentis esset pretii, igni adjudicata, et in minuta frusta concisa : quæ vero ex ære artificioso opere fabrefacta esset, propter pulchritudinem et præstantiam, in novam imperatoris urbem comportata est : atque ibi per regiones certas, atque in Hippodromo seu circo equestri, et alibi passim collocata. Abductus igitur est ex Pythii oraculi sede Apollo, ex Helicone Musæ, et Delphis sacer tripos : atque celebris ille Pan, quem Pausanias post Medicum bellum dicaverat. Templa porro neglecta, prorsus ad ruinas sunt redacta. **603** Omnino etiam tum et apud Ægas Æsculapii in Cilicia (1), et apud Aphacos (2) ad Libanum montem Veneris delubrum sublatum. Utrumque autem veteribus et celebre et venerandum habitum. Quæ quum ita fierent, ex sententia imperatoris res procedebat. Et qui templa deorum, quæ prius coluerant, jacere, stipulaque et storea completa esse videbant, in contemptum eorum veniebant, majorumque errorem reprehendebant. Quidam nos sunt æmulati. Alii imperatoris ipsius gratia oportere se principis mores et instituta colere existimabant. Nonnulli porro (3) ab episcopis et monachis, in quos divinis quibusdam indiciis inciderant, edocti, satius esse Christianam suscipere religionem censuerunt. Proinde populi multi et urbes totæ ad Christianismum se confere-

A

ΚΕΦΑΛ. ΛΓ'.

Ὅπως Κωνσταντῖνος τὸν Χριστιανισμὸν ἁπανταχοῦ τῆς γῆς διαδραμεῖν παρεσκεύασε.

Πάσης δ' ἦν ἐκείνῳ σπουδῆς ὑπέρτερον ἡ τῆς θρησκείας ἐπίδοσις. Κατέχειν δ' οὐκ εἶχεν ἑαυτόν· ἀθρόον γὰρ, εἴ γ' ἐνῆν αὐτῷ, πάντας ἤθελεν ἐπισπᾶσθαι καὶ προσάγειν Χριστῷ, ἀποστολικὴν ἐπιδεικνύμενος τὴν σπουδήν. Ἐπεὶ δὲ τὸ ἀνὰ τὴν Ῥωμαίων ὑπήκοον δεῖμα καὶ σέβας ἄλογον τῆς περὶ τὰ ξόανα φαντασίας εἶχον, ἤθη τε πάτρια κατησπάζοντο, καὶ ἀρχαιότητος εἴχοντο· δεῖν ἐδόκει λήθην αὐτοῖς τῆς θρησκείας εἰσάγειν. Τοῦτο δ' οὐκ ἄλλως ἦν ἐγχωροῦν, πρὶν ἂν τῶν νεῶν καὶ τῶν ἐν αὐτοῖς ἀμελήσειαν ἀγαλμάτων. Καὶ τὸ ἐννόημα εἰς ἔργον ἤγετο· γραμμάτων γὰρ φοιτησάντων βασιλικῶν B δείσαντες οἱ δῆμοι μή τι περὶ τὰ φίλτατα πάθοιεν, καθ' ἑαυτοὺς ἦσαν. Οἵ γε μὴν νεωκόροι καὶ ἱερεῖς μή τι δρᾷν ἔχοντες, τὰ παρ' αὐτοῖς τίμια κατεφρόνουν· καὶ τὰ ἐν μυχῷ πάλαι ἀθέατα τῶν ἀδύτων ἐξῆγον· πᾶσι δὲ δῆλα τὰ πρὶν αὐτοῖς γε μόνοις ἐγνωσμένα καθίστατο. Ἡ δὲ τῶν ξοάνων ὕλη, ὅση μὲν διαφέρουσα ἦν, πυρὶ διακρινομένη εἰς κέρμα ἐκόπτετο· ὅση δ' ἐν χαλκῷ εἰς κάλλος ἐξείργαστο, κόσμου χάριν εἰς τὴν νέαν τοῦ κρατοῦντος πόλιν ἤγετο· καὶ ἀνὰ τὰς ἀγυιὰς, τόν τε Ἱππόδρομον καὶ ἁπανταχοῦ καθιδρύετο. Ἤγετο οὖν Ἀπόλλων τε ἐκ Πυθίας, καὶ ἐξ Ἑλικῶνος αἱ Μοῦσαι, καὶ ὁ σεμνὸς ἐκ Δελφῶν τρίπους, καὶ ὁ διαβόητος Πὰν, ὃν Παυσανίας μετὰ τὸν Μηδικὸν ἀνέθετο πόλεμον. Οἱ δὲ C νεῴ, παντοίως ἀμεληθέντες, εἰς ἐρείπια ἦσαν. Παντάπασι δὲ τηνικάδε ὅ τε ἐν Αἰγαῖς τοῦ Ἀσκληπιοῦ ἐν Συρίᾳ, καὶ ὁ ἐν Ἀφάκοις τῆς Ἀφροδίτης περὶ τὸ τοῦ Λιβάνου ὄρος ἠφάνιστο. Καὶ ἄμφω δὲ οὗτοι ἐπισήμω ἦσαν καὶ σεβασμίω τοῖς πάλαι. Ὧν γινομένων, κατὰ σκοπὸν τῷ βασιλεῖ προὐχώρει τὸ πρᾶγμα· οἱ μὲν γὰρ τὰ πρὶν δι' αἰδοῦς αὐτοῖς ἐῤῥιμμένα ὁρῶντες, καλάμης τε καὶ φορυτοῦ ἔμπλεα, εἰς καταφρόνησιν ἧκον ἐκείνων, καὶ τοῖς προγόνοις τῆς πλάνης ἐμέμφοντο· οἱ δὲ ζήλῳ τῶν ἡμετέρων καὶ τῆς τοῦ βασιλέως χάριν τιμῆς δεῖν ἡγοῦντο τὰ τοῦ κρατοῦντος ἤθη τιμᾷν· ἄλλοι δὲ καὶ θεοσημίαις τισὶν, ἐπισκόποις τε καὶ μοναχοῖς ἐντετυχηκότες, ἄμεινον εἶναι Χριστιανίζειν ᾑροῦντο. Ἔνθεν τοι καὶ πολλοὶ δῆμοι καὶ πόλεις ὅλαι μετεῤῥυθμίζοντο· ὡς D δὴ καὶ τὸ Γαζαίων ἐπίνειον, ὃ Μαιουμᾶς καλεῖται, δυσειδαιμονοῦν τὰ μάλιστα πρότερον, ἀθρόον μετέβαλε πρὸς ἡμᾶς· ὃ καὶ τῆς ἀθρόας μεταβολῆς ἀμειβόμενος, πολλῆς ἠξίου τιμῆς· καὶ πόλιν εἶναι ἐκήρυττε, Κωνσταντίαν κατονομάζων, ἐνὶ τῶν παίδων τὸν χῶρον τιμῶν τῇ θρησκείᾳ. Τὴν ἴσην δ' εἴληχε τάξιν καὶ ἡ παρὰ Φοίνιξι Κωνσταντῖνα ἐπικληθεῖσα, διὰ τὸ σέβας τὴν τοῦ βασιλέως ἐπιγραψαμένη ἐπωνυμίαν. Πολλαὶ δὲ καὶ ἄλλαι τῶν πόλεων αὐτόματοι πρὸς τὸ θρησκεύειν ἠπείγοντο τὰ ἡμέτερα· ἑκόν-

(1) Rectius, ut supra cap. 30 eod. in Cilicia. Sicuti etiam apud Sozomen. lib. II, cap. 5, legitur. Lucan. :

Et extremæ resonant navalibus Ægæ.

(2) Hic de certo ad invocationem et preces quasdam ex summo Libani montis jugo emicans ignis, perinde atque stella in vicino flumine, qui Adonis vocatur, submergebatur : Venerem cœlestem cives esse dixere. (Sozom. lib. II, cap. 5.)

(3) C. lib II, tit. 45.

τες τε τὰ ξόανα καὶ τὰ παρ' αὐτοῖς κατέστρεφον A ἱερὰ, καὶ εἰς ἐκκλησίας Θεοῦ μετεῤῥύθμιζον. Οὕτω δὲ τῆς Ἐκκλησίας ἐπιδιδούσης, πᾶσαν διελάμβανε τὴν οἰκουμένην καὶ διὰ τῶν βαρβάρων χωροῦσα ἡ πίστις. Οὐ γάρ τοι τὰ περὶ τὸν ποταμὸν Ῥῆνον μόνον τὰ Χριστιανῶν ἠσπάζοντο, ἀλλὰ καὶ Γαλάται καὶ Κελτοὶ, οἳ τελευταῖοι τὸν Ὠκεανὸν προσοικοῦσιν· οὐ μὴν δὲ ἀλλὰ καὶ Γότθοι καὶ ὅσα ὅμορα τούτοις ἀμφὶ τὸν Ἴστρον ᾤκουν, οὐ πάλαι τὴν εἰς Χριστὸν δεξάμενοι πίστιν, ἐξ ἀγρίου διαίτης πρὸς τὸ λογικόν τε καὶ ἥμερον μεθηρμόζοντο. Ὡς δὲ λόγος εἰπεῖν, βαρβάροις ἅπασι πρόφασις μία ἐγένετο τὰ Χριστιανῶν ἑλέσθαι, οἱ μεταξὺ Ῥωμαίων καὶ ἀλλοφύλων γενόμενοι πόλεμοι ἐπί τε τῆς Γαλιήνου βασιλείας, καὶ καθεξῆς· πλῆθος γὰρ σύμμικτον τὴν B ἔω περαιωθὲν, τὰ ἐκείνῃ κατέδραμον· καὶ ἄλλοι ἀλλαχῆ τῶν βαρβάρων ταυτὸν εἰργασμένοι, τοῖς ἀγχιθύροις Ῥωμαίοις ἐπέστησαν. Λείαν δὲ πεποιημένοι πλείστην, πολλοὺς καὶ τῶν ἱερέων αἰχμαλώτους ἠγάγοντο· ὧν ἰωμένων τὰς ἐν τοῖς ἔθνεσι νόσους, καὶ δαίμονας ἐλαυνόντων, τῇ ἐπικλήσει μόνῃ Χριστοῦ, βιοτήν τε φιλόσοφον καὶ ἄμωμον ἐπιδεικνυμένων, οἱ κατὰ χώρας βάρβαροι, τῆς τε ἀρετῆς καὶ τῶν παραδόξων ἔργων τοὺς ἄνδρας θαυμάσαντες, συνεῖδον τὸ δέον· καὶ Θεὸν ἱλεωσάμενοι δι' αὐτῶν, τὸ κρεῖττον εἵλοντο θεραπεύειν. Καὶ δῆτ' ἐκείνοις τὸ πρακτέον εἰσηγουμένοις ἐπείθοντο· βαπτιζόμενοί τε, τὴν ἀκραιφνῆ διδασκαλίαν ἠσπάζοντο, καὶ τέλος ἐκκλησίας ἀνῳκοδόμουν.

bant. Quemadmodum Gazæorum navale, quod Majuma dictum erat, maximeque antehac dæmonum cultui addictum fuerat, totum se ad nos contulit. Cujus ut communem et universam transitionem remuneraretur, magnum illi habuit honorem. Urbem enim esse promulgavit, Constantiamque cognominavit, propter religionem, locum eum unius ex liberis suis nomine cohonestans. Idem consecuta est quæ apud Phœnices Constantina est vocata : nam eamdem ob causam imperatoris ipsius ei inditum est nomen. Multæ quoque et aliæ urbes sua sponte ad sacra nostra colenda sunt adductæ, quæ et simulacra sua libentes everterunt, et templa in ecclesias Dei commutarunt. Talibus incrementis cum Ecclesia augeretur, professio fidei etiam per barbaras nationes peragrans omnem occupavit orbem. Non tantum enim qui ad amnem Rhenum sunt populi, Christianam religionem susceperunt, sed etiam Galli et Celtæ, qui ultimi ad Oceanum habitant; Gotthi quoque et finitimæ eis nationes, ad Istrum colentes, non ita pridem fidem in Christum complexæ, ex vita agresti ad humanitatem et mansuetudinem se composuerunt. Atque ut verum dicam, Barbaris omnibus, ut Christianismum complecterentur, una occasio fuit : inter Romanos et exteros populos bellum subinde gestum, sub Galieni imperio et deinceps. Multitudo siquidem varia permista in Orientem transiens, eam orbis partem prædabunda peragravit : atque alii aliunde Barbari idem facientes, in finitimos excurrerunt Romanos :
604 atque ibi plurimam prædam agentes, multos quoque ex sacerdotibus captivos abduxerunt. Qui apud eas nationes, cum morbos curarent, dæmonesque sola Christi invocatione exigerent, et integros prorsus atque irreprehensibiles vitæ mores exhiberent, Barbari passim viros eos propter virtutem et admiranda opera veneratione prosequentes, quid eos facere deceret, ab eis cognoverunt : Deoque per illos conciliato (1), cultum Numinis meliorem secuti, sinceramque doctrinam complexi sunt, ac postremo ecclesias quoque construxerunt.

ΚΕΦΑΛ. ΛΔ'.

C

Περὶ τῶν Ἰβήρων, ὅπως εἰς τὴν εὐσεβῆ πίστιν ἐφωδηγήθησαν.

Ὥσπερ δὲ καὶ Ἴβηρες· ἔθνος δὲ τουτὶ βάρβαρόν τε καὶ μαχιμώτατον, τὰ Χριστιανῶν κατησπάσαντο, Κωνσταντίνου τὴν αὐτοκράτορα Ῥωμαίοις διέποντος. Οἰκεῖ δὲ τὸ ἔθνος τοῦτο τὰ ἐνδότερα τῆς Ἀρμενίας πρὸς Ἄρκτον καὶ πρὸς τὸν Εὔξεινον ἀπονεύοντα τόπον, ἄποικοι ὄντες τῶν ἐν Ἰσπανίᾳ Ἰβήρων. Ἡγήσατο δὲ τῆς θρησκείας αὐτοῖς γυνή τις αἰχμάλωτος· ἣ τά τε ἄλλα καὶ σώφρων οὖσα, οὐδ' ἐν αἰχμαλωσίᾳ καθυφῆκέ τι τῆς φιλοσόφου διαίτης, καὶ τῆς θεοσεβοῦς πολιτείας. Νύκτωρ γὰρ καὶ μεθ' ἡμέραν πολλήν τινα ἄσκησιν ἐπεδείκνυτο· βαθείᾳ τε συνέζη νηστείᾳ, καὶ συντόνοις ἐκέχρητο D προσευχαῖς. Οἱ δὲ βάρβαροι τὸ ξένον τῆς διαίτης ὁρῶντες ἐθαύμαζον τὰ πραττόμενα, καὶ ὅτου χάριν τοιαῦθ' αἱρεῖται διεπυνθάνοντο. Ἡ δ' ἀφελῶς οὑτωσὶ καὶ ἁπλῶς οὕτω χρῆναι σέβειν Χριστὸν τὸν τοῦ Θεοῦ

CAPUT XXXIV.

De Iberis, ut ii ad piam Christianæ fidei professionem sint adducti.

Sicuti et Iberi (2), gens barbara et bellicosa, Christiani facti sunt, Constantino Romanum imperium administrante. Habitat autem hæc natio interiore Armeniæ parte, ad septentrionem et Euxinum versus. Sunt autem Iberorum in Hispania coloni. Præiit eis in religione colenda captiva quædam mulier : quæ cum alias semper pudice casteque vixerat, tum captiva quoque nihil de pietate sanctioreque instituto remisit. Nam diu noctuque pietatis exercitia exhibebat, jejuniis plurimum vacabat, continueque precationibus insistebat. Itaque Barbari novo vitæ instituto viso, eam admirari, et quanam de causa hoc sic faceret, percontari. Illa porro candide et simpliciter (3) sic Christum Filium Dei coli oportere, dicebat. Tum Barbari et nomine et religione ejus qui sic colеretur audito,

(1) Socrat. lib. I, cap. 20.
(2) De Iberibus Plin. lib. VI, cap. 4 et 10.
(3) Sozom. lib. II, cap. 6 et sequent.

obstupuerunt. Interea accidit, ut regis filius etiamnum infans, graviter ægrotaret, et mater patrio quodam more ad alias eum mitteret mulieres, quo facilius remedium mali reperiri posset. Ut autem puer a nutrice circumlatus est, neque meliuscule habuit, tandem etiam ad captivam illam est deportatus. Quæ in multorum præsentia, nihil sane ex materia aliqua compositi remedii admovit, neque enim se quidquam ejusmodi scire affirmavit, **605** sed puero in linteolo, quod ei e pilis contextum erat, jam lacerum, reposito, simplicem ei fecit medicinam, nomine Christi super eo invocato. Et ecce qui in ea erat exspectatione ut protinus moreretur, quamprimum precatio est facta, liber a periculo fuit. Ex eo tempore præclara ejus mulieris fuit fama, matrique pueri et aliis feminis innotuit. Nec ita multo post, et eam ipsam pueri matrem incurabili oppressam morbo, eodem restituit modo: eamque est hortata, ut deinceps ei divinum præstaret cultum, gratiamque haberet, qui bonorum conciliator, veræque sanitatis, vitæ, et regni ipsius sit dator. Eum esse Christum, verum Verbum. Et postea quotidie ad eam frequentans, salutaria ei veræ pietatis exhibuit medicamenta. Quapropter regina re ipsa dictorum veritate in se ipsa cognita, mulierem in magno habuit honore. Sed enim rex cum e conjuge et celeritatem et rationem remedii intellexisset, donis captivam munerari voluit. At illa nihil sibi opus ejus pecuniis esse dixit, cui abunde in Christo suppeterent opes omnes: sibique ingentis muneris loco fore, si et ipsi eumdem Numinis cultum complecterentur. His illa dictis, munus satis grande ad regem remisit. Quem deinde sensim quodammodo uxor persuadebat, pulchrum errorem ei suadens, diverso prorsus quam olim Eva fuerit, animata modo. Colendum enim esse admonebat eum, quem mulier illa annuntiaret Deum; magnum quippe illum, qui facillime quæ vellet faceret, regna in placido atque quieto statu conservare, obscuros illustrare ac locupletare, humiles subito magnificare, et quosvis in rebus adversis salvare posset. Hæc cum sic uxor commemoraret, Iberiæ princeps, flectebatur ille quidem verbis, tamen ancipiti cogitatione distrahebatur. Suspectas enim habebat res novas, et præterea immutare verebatur patria instituta. Porro venatum aliquando cum familiaribus suis est profectus, et ecce densa nebula e montibus diffusa, tenebras ingentes adduxit: opacitatemque silvæ condensans, diem convertit in noctem. Perangusta venatio erat, et iter impeditum et impervium. Metuebant sibi omnes, et quo quemque sors tulit, sunt dispersi. Nec minus et rex ipse solus pererrans, patrios invocabat deos. **606** Ut autem nihil de ea calamitate est remissum, pro eo atque fieri solet, cum homines inopinatis opprimuntur casibus, captivæ illius Dei memoria in mentem ei venit: constituitque adeo ipse secum, culturum se eum decætero, si malum præsens discussisset. Hoc sic decreto,

A Υἱὸν εἰσηγεῖτο. Οἱ δ' ἀκούοντες τό τε ὄνομα καὶ τὴν θρησκείαν τοῦ τιμωμένου, ἐν ἐκπλήξει πεποίηντο. Τούτων γινομένων, συνέβαινε τὸν τοῦ βασιλέως υἱὸν ἔτι νήπιον ὄντα δεινῶς ἀσθενεῖν. Ἔθει δέ τινι ἐγχωρίῳ τὸν παῖδα ἡ μήτηρ παρὰ ταῖς ἄλλαις ἔπεμπε γυναιξὶν, ὡς ἄν γ' εὐπόριστος ἡ τοῦ κάμνοντος ἀπαλλαγὴ γένηται. Ὡς δὲ περιαχθεὶς ὁ παῖς ὑπὸ τῆς τροφοῦ, οὐδαμῆ τὴν ἀπαλλαγὴν εὕρισκε, τέλος ἐπὶ τὴν αἰχμάλωτον ἄγεται. Ἡ δὲ παρουσίᾳ πολλῶν οὐδέν τι τῶν ἐξ ὕλης ἐπιπλάστων φαρμάκων προσῆγε· μηδὲ γὰρ εἰδέναι διετείνετο· ἀνακλίνασα δὲ κατὰ τὸ ἐκ τριχῶν ἐκείνῃ προσὸν διεῤῥυηκὸς ὕφασμα, ἁπλοῦν προσῆγεν αὐτῷ φάρμακον, τὴν κλῆσιν ἐκείνῳ ἐπᾴδουσα τοῦ Χριστοῦ. Καὶ ὁ ἤδη τεθνήξεσθαι προσδοκώμενος παραχρῆμα, γενομένης εὐ- B χῆς, ἐξάντης ἦν τοῦ δεινοῦ. Ἐξ ἐκείνου δ' ἐν φήμαις ἦν ἡ γυνὴ, γνώριμός τε τῇ μητρὶ καθίστατο τοῦ παιδὸς, καὶ ταῖς ἄλλαις γυναιξὶ τῶν βαρβάρων. Οὐ πολλῷ δ' ὕστερον καὶ αὐτὴν ἐκείνην τὴν μητέρα τοῦ παιδὸς ἀνιάτῳ πάθει γενομένην κατάσχετον τὸν ἴσον τρόπον διέσωζε· παρῄνει τε τοῦ λοιποῦ ἐκείνῃ τὸ σέβας νέμειν καὶ τὴν χάριν ἔχειν, ὃς τῶν ἀγαθῶν ἐστι πρύτανις καὶ τῆς ἀληθοῦς ὑγείας δοτὴρ, καὶ ζωῆς καὶ βασιλείας αὐτῆς. Τοῦτον δ' εἶναι Χριστὸν, τὸν ἀληθῆ Λόγον. Ἔπειτα καθ' ἑκάστην φοιτῶσα, τὰ ῥωστικὰ τῆς εὐσεβείας προσῆγεν αὐτῇ φάρμακα. Ἡ μὲν οὖν βασιλὶς, πείρᾳ τοῖς ἐπ' αὐτῇ γεγενημένοις τἀληθὲς διαγνοῦσα τῶν λόγων, τὰ Χριστιανῶν ἐπρέσβευεν ἤδη, καὶ ἐν ὑπερβαλλούσαις C τὴν ἄνθρωπον ἦγε τιμαῖς. Βασιλεὺς δὲ τὸ τάχος καὶ τὸ τῆς ὑγείας φάρμακον παρὰ τῆς γαμετῆς μαθὼν, δώροις ἀμείβεσθαι ἤθελεν. Ἐκείνη δὲ μὴ δεῖν αὐτοῦ χρημάτων ἔλεγεν· ἔχειν γὰρ ἀρκοῦντα πλοῦτον Χριστόν· καί γ' ἐν δώροις εἶναι μεγάλοις εἴγε καὶ αὐτοὶ ἕλοιντο ἐπίσης θρησκεύειν. Ταῦτα λέγουσα, ὀπισθεν τὴν δόσιν, ἁδράν γε οὖσαν, ἀνέπεμπεν. Ἐνῆγε δὲ αὐτὸν ἠρέμα πως τὸ ἐξ ἐκείνου ἡ γαμετὴ, παραπείθουσα τὴν καλὴν ἀπάτην κατ' ἀντίπαλον τῇ Εὔᾳ διακειμένη· ὑπετίθει γὰρ σέβειν ὃν ἡ γυνὴ καταγγέλλει Θεὸν, μέγαν τε ὄντα, κἀκ τοῦ ῥᾴστου ἔχοντα ὅπως ἂν ἐθέλοι ποιεῖν· βασιλείας τε ἐν τῷ καθεστῶτι μένειν, τούς τ' ἀδόξους ἐπιφανεῖς καθιστᾷν· καὶ ἱκανῶς ἔχειν τοὺς μικροὺς ἀθρόον μεγάλους ποιεῖν, κἂν τοῖς δεινοῖς διασώζειν. Εὖ τοίνυν D οὕτω λεγούσης τῆς γυναικὸς, ὁ τῆς Ἰβηρίας ἡγούμενος ἐμαλάσσετο μὲν τοῖς λόγοις· ἀμφίβολος δ' ἦν, ὑπειδόμενος νεωτερίζειν, αἰδούμενός τε ἄλλως μεταλλάσσειν τὰ πάτρια. Καὶ δή ποτ' ἐξελθὼν σὺν ἅμα τοῖς ἀμφ' αὐτὸν, ἐθήρα. Ὁμίχλη δέ τις βαθεῖα καταχυθεῖσα τοῖς ὄρεσι, σκότος ἐποίει βαθύ· καὶ τὸ συνηρεφὲς τῆς ὕλης ἀποφράξαν, νύκτα τὴν ἡμέραν εἰργάζετο. Ἄπορος δ' ἦν ἡ θήρα, καὶ ἡ ὁδὸς ἀδιέξοδος. Δείσαντες δ' ἕκαστος ὅπη ἔτυχεν ἐσκεδάννυντο. Ἐπίσης δὲ καὶ ὁ βασιλεὺς ἀλώμενος μόνος, τοὺς πατρῴους ἐπεκαλεῖτο θεούς. Ὡς δ' οὐδὲν ἧττον ἦν τὸ δεινὸν, οἷα φιλεῖ γίνεσθαι, ἀπροσδοκήτοις ἐμπεσὼν, τὸν τῆς αἰχμαλώτου ἐνενόει Θεόν· καὶ κατὰ νοῦν τοῦ λοιποῦ σέβειν ἐκεῖνον διενοεῖτο, εἰ τὸ παρόν γε διαδράσοι κακόν. Ταῦτ' εἰς

A νοῦν βαλλομένῳ, τὸ μὲν σκότος εὐθὺς ἐλύετο· λαμπρᾷ δ' αἰθρίᾳ μετέβαλλε, τῆς ἀκτῖνος προσβαλλούσης τῇ ὕλῃ. Καὶ χαίρων ἐπὶ τὸν οἶκον ἐλθὼν, τῇ γυναικὶ τὸ συμβὰν ἡδέως κατέλεγε. Καὶ αὐτίκα τὸ γύναιον μετεστέλλετο· καὶ τίνα τρόπον θρησκεύειν θερμότερον ᾔτει διδάσκεσθαι. Τῆς δ' εἰσηγουμένης, ὅσα γε ἦν εἰκὸς λέγειν, τοὺς ὑπ' αὐτὸν ἀθροίσας, ἐπὶ κοινοῦ τῷ πλήθει δημηγορῶν, τὰς διὰ τῆς αἰχμαλώτου γεγενημένας τῷ ἐκείνου οἴκῳ εὐεργεσίας ἐξήγγελλε. Μήπω δὲ μυηθεὶς τὰ τοῦ δόγματος, τοῖς ὑπηκόοις μετεδίδου τὰ τῆς βουλῆς· καὶ ἄρδην τὸν Χριστὸν ὁμοῦ σέβειν φιλοτίμως ᾑροῦντο. Καὶ τάχος ὅσον τῆς γυναικὸς τὸ σχῆμα διαγραψάσης, ἐκκλησίαν ἀνίστων περιφανῆ. Κἀκεῖνος μὲν τοὺς ἄνδρας, ἡ δὲ γυνὴ σὺν τῇ αἰχμαλώτῳ τὰς γυναῖκας
B σπουδαίως ἐπὶ τὴν θρησκείαν ἐνῆγον. Περικύκλῳ δὲ καὶ περίβολον ἔβαλον. Ἐπεὶ δὲ καὶ τοὺς κίονας σχοινίοις δή τισιν ἀνιμῶντες ταῖς βάσεσιν ἥδραζον, ὁ μὲν πρῶτος καὶ δεύτερος κίων εὐπετῶς κατὰ χώραν ἐγένετο· τῷ δὲ τρίτῳ δυσχερὴς ἦν καὶ ἐργώδης ἡ στάσις. Οὔτε γὰρ ἐπήρκει τέχνη τῷ μηχανήματι, οὔτε μὴν τῇ βίᾳ τῶν ἑλκόντων ὑπήκοος ἦν, καὶ ταῦτα πολλῶν ἐφελκομένων τοῖς μηχανήμασιν. Ὡς δ' ἐπεγένετο νὺξ, οἱ μὲν ἄλλοι πάντες οἴκαδε ᾔεσαν· μόνη δὲ ἡ αἰχμάλωτος τῷ χώρῳ παρέμενεν, εὐχαῖς ἱλεουμένη τὸ θεῖον, ὡς ἂν εὐχερὴς ἡ στάσις τῷ κίονι γένοιτο. Ἄχρι γὰρ τοῦ μέσου ὀρθωθεὶς, ἐγκάρσιος ἔμενε, τῆς ἄλλης ἀρχῆς προσερεισθείσης τῆς καὶ πάμπαν ἀκινήτου μενούσης. Τοῦτο δὲ προὐχώ-
C ρει, ἵν' ᾖ τοῖς Ἴβηρσι τὰ πρότερα βέβαια καὶ τὰ περὶ τὸ θεῖον μᾶλλον ἐν ἀσφαλεῖ κατασταίη. Περὶ γὰρ τὴν ἕω εἰς τὴν ἐκκλησίαν ἰόντες, θαυμάσιον οἷον καὶ ὀνείρῳ προσεοικὸς ἄντικρυς καθεώρων. Ὁ γὰρ πρὶν ἀκίνητος κίων ὀρθὸς ἦν σμικρῷ διαστήματι, ὑπεράνω τῆς ἰδίας βάσεως αἰωρούμενος. Ἐν ἐκπλήξει δὲ πάντων γεγενημένων, καὶ τὸν Χριστὸν μόνον ἀληθινὸν ὁμολογούντων Θεὸν, ἐπ' ὄψει πάντων ἠρέμα διολισθήσας αὐτόματος, καὶ κρεῖττον τέχνης προσηρμόσθη τῇ βάσει. Ἔπειτα δὲ καὶ οἱ λοιποὶ κίονες εὐχερῶς ἐστηρίζοντο. Οἱ δ' Ἴβηρες ἐντεῦθεν σπουδῇ τῇ πάσῃ τὸ ἔργον ἐτέλουν. Ὑποτιθείσης δὲ τῆς αἰχμαλώτου πρέσβεις πέμποντες Κωνσταντίνῳ, σπονδὰς ᾔτουν, καὶ συμμαχεῖν ᾑροῦντο Ῥωμαίοις. Ἀνθ' ὧν ἱερέας καὶ Θεοῦ λειτουργοὺς τῷ ἔθνει
D ἐδέοντο καθιστᾷν. Τῶν δὲ πρέσβεων ἐπὶ κοινοῦ τὰ παρ' ἐκείνοις γενόμενα διελθόντων, καὶ ὡς ἕτοιμοι εἶεν πανδημεὶ σέβειν Χριστὸν τὸ πᾶν ἔθνος, ὑπερφυῶς ἥδετο βασιλεύς· καὶ τάχος ὅσον ὀπίσω ἀνέπεμπε τοὺς πρέσβεις τὰ κατὰ γνώμην ἐκείνοις ἅπαντα διαπεπραγμένος. Καὶ τοῦτον τὸν τρόπον Ἴβηρες τὸ κατὰ Χριστὸν ἠσπάσαντο κήρυγμα· καὶ εἰσέτι νῦν προϊόντι χρόνῳ ἐπιμελῶς ἐξέχονται τοῦ σεβάσματος.

caligo statim solvitur, et serenitas ampla radiis in silvam conjectis succedit. Itaque lætus domum redit : uxori, quod acciderat, suaviter recenset : mulierculam illam acciri statim jubet, seque ab ea de cultus ejus ratione doceri ardentius petit. Atque illa, cum quæ par opusque fuerat dixisset, confestim ipse suos convocat : et orationem pro concione ad eos habens, beneficia quæ captiva illa in domum ejus contulisset, commemorat : et quamvis nondum dogmate nostro initiatus, populis tamen suis voluntatem suam exponit. Et illi universi simul cultum Christi ambitiosa alacritate complectuntur (1). Ac primo quoque tempore descriptione a muliere facta, ecclesiam sane quam celebrem erigunt. Atque ipse quidem viros, conjux vero una cum captiva mulieres magno studio ad religionem adducebant. Et jam parietes circumcirca exstruxerant. Postquam autem columnas quoque funibus quibusdam sursum trahentes, locis suis collocabant, una quidem et altera columna facile sedem suam obtinuere. In tertia vero difficilis admodum et laboriosa fuit collocatio; neque enim ars conatui sufficiebat, neque robur trahentium quidquam proficiebat : et permulti erant, qui illam machinis attraherent. Supervenit nox, et alii omnes domum quisque petiere : sola autem captiva mulier in eo loco permansit, precibus Deum implorans, ut facilis columnæ in basi sua redderetur repositio. Nam illa ad medium usque erecta, obliqua consistebat, parte altera sublata, immobili prorsus permanente altera. Factum id, ut Iberibus priora incepta firmiora, et quæ deinceps de Numinis cultu statuerent, certiora essent. Diluculo namque proximo ad ecclesiam venientes, veluti miraculum et somnio prorsus simile quiddam viderunt. Quæ etenim prius immobilis fuit columna, directa parvo intervallo supra basim suam suspensa persistebat. Et illa consternatis omnibus, et Christum solum verum Deum profitentibus, in conspectu omnium paulatim sua sponte se demittens, melius quam ars ulla efficere queat, loco suo est adaptata. **607** Postea vero et reliquæ columnæ facile collocatæ atque firmatæ sunt. Atque Iberes deinde studio omni opus id absolverunt : cohortante etiam ea ipsa captiva, legatos ad Constantinum misere, qui fœdus cum eo paciscerentur, societatemque belli cum Romanis facerent, ac pro eis rebus genti ei sacerdotes atque Dei ministros dari orarent. Qui cum publice quæ apud eos acta fuerant, et quam paratus esset populus is universus ad Christum colendum exponerent, mirandum in modum ea legatione delectatus est imperator. Et quam potuit celerrime, rebus quas petierant omnibus ex eorum voluntate confectis, oratores ipsos domum remisit. Hoc modo Iberes prædicationem Christi susceperunt, et tot annorum lapsu nunc etiam magno studio in religionis cultu acquiescunt.

(1) « Regis ad exemplum totus componitur orbis. » (Claudian.) « Vita principis censura est, eaque perpetua. Ad hanc dirigimur, ad hanc convertimur. » (Plin. Jun.)

CAPUT XXXV.

Ut etiam interioris Indiæ populi Christianismum s nt amplexi, et natio itidem Armeniorum.

Sub ejusdem imperio, et interiorum quam qui ad nos vergunt, Indorum gens, quæ Bartholomæi doctrinæ expers permanserat, a sacerdote quodam Frumentio instituta, sacri dogmatis particeps est facta. Ne quis autem putet, Christianismum ab hominibus provenire : id vel ex eis qui apud Indos fuere Christianis, facile est cognoscere. Indi autem Sabæi primum, deinde etiam Homeritæ sunt appellati. Nationem eam ex Abraham et Cetura prognatam, regionemque eam quam Græci magnam et felicem Arabiam nominant, esse, extremumque Oceanum fines ejus pertingere dicunt : cujus metropolis et primaria urbs est Sabba (1) : unde ad Solomonem, fama obtinet, advenisse reginam illam Austri. Gens ipsa circumciditur, ac soli, lunæ, aliisque ejus regionis incolis dæmonibus sacrificat. Immista ei quoque est non exigua Judæorum multitudo. Hanc regionem philosophus quidam Meropius Tyrius (2), cognoscere et perspicere volens, veteres sapientes Platonem, Empedoclem, et Democritum, qui visendorum locorum gratia, longinqua usi sunt navigatione, maximeque **608** propinquiorem Metrodorum, qui Indos perlustravit, imitatus, assumptis adolescentibus duobus genere sibi propinquis, et Græcæ linguæ non imperitis (liberalibus enim artibus eos erudierat), eo est profectus. Atque ibi quibus opus erat rebus perspectis, jam in reditu erat, Ægyptia vectus nave. Propter penuriam autem sive aquæ, seu alterius necessariæ rei, ad portum quemdam appulere. Evenerat tum, ut fœdus et pax inter Romanos et Indos pacta solveretur. Atque Indi alicunde incursione in eos acta, cum alios plerosque, tum ipsum philosophum interemere. Pueros autem, ut pote ætate tenera, captos regi suo dono abduxere. Et ille juniorem quidem, Ædesii ei nomen erat, ministerio vini miscendi, Frumentium autem arcano regiarum litterarum et pecuniarum curandarum muneri (ingeniosum namque, et ad hujusmodi munia obeunda idoneum esse cognoverat) præfecit. Et cum annis pluribus egregiam ei fidem præstitissent, moriens rex, uxore et tenero filio relicto, diuturnam illorum benevolentiam libertate data compensavit, et quocunque loco esse vellent, migrandi eis potestatem permisit. Itaque illi Tyrum, quæ patria eis erat, redire properabant. At Indorum regina, quod tener admodum filius esset, eos, ut aliquod adhuc ad tempus, pueri regnique curatores constituti, donec ille major fieret, ibi manerent, rogavit. Obsequuntur illi; verebantur enim heræ optata rejicere : et Indorum regnum, quoad potuere, administrant. Et magis penes Frumentium summa

(1) Plin. lib. vi, cap. 23.

A

ΚΕΦΑΛ. ΛΕ'.

Ὡς καὶ τὰ ἐνδότερα τῶν Ἰνδῶν ἔθνη τὸν Χριστιανισμὸν παρεδέξαντο· ἔτι δὲ καὶ τὸ Ἀρμενίων ἔθνος.

Ἐπὶ δὲ τῆς αὐτῆς βασιλείας καὶ τὰ ἐνδότερα τῶν καθ' ἡμᾶς Ἰνδῶν ἔθνη, ὅσα δὴ τῆς Βαρθολομαίου διδασκαλίας ἀπείρατα μεμενήκασιν, ὑπό τινι ἱερεῖ, Φρουμεντίῳ τοὔνομα, καθηγητῇ αὐτῶν γενομένῳ, τῆς ἱερᾶς διδασκαλίας μετέσχον. Ὡς ἂν δὲ μή τισι δοκοίη τὸν Χριστιανισμὸν ἐξ ἀνθρώπων συστῆναι, καὶ ἐκ τῶν παρ' Ἰνδοῖς γενομένων μαθεῖν ἐστιν εὐπετές. Οἱ δ' Ἰνδοὶ Σάβαι μὲν τὸ ἀνέκαθεν ἐκαλοῦντο· Ὁμηρῖται δὲ ἐκλήθησαν ὕστερον. Τῶν δ' ἐκ Χεττούρας τῷ Ἀβραὰμ γεννωμένων τὸ ἔθνος. Τὴν δὲ χώραν αὐτῶν εἶναί φασιν, ἣν Ἕλληνες μεγάλην B Ἀραβίαν καὶ εὐδαίμονα ὀνομάζουσιν. Ἐπὶ τὸν ἐξωτάτω δὲ Ὠκεανὸν καθήκειν ταύτης τὰ τέρματα· ἧς ἡ μητρόπολις, ἡ Σαβὰ, ἐξ ἧς Σολομῶντι παραγεγονέναι λόγος ἔχει τὴν τοῦ Νότου βασίλισσαν. Ἐμπερίτομον δὲ τὸ ἔθνος· Ἡλίῳ τε καὶ Σελήνῃ καὶ δαίμοσιν ἄλλοις ἐπιχωρίοις θύει. Ἀναπέφυρται δὲ αὐτοῖς καὶ Ἰουδαίων οὐκ ἐλάχιστον πλῆθος. Ταύτην τοίνυν Μερόπιός τις φιλόσοφος Τύριος ἱστορῆσαι σπουδὴν θέμενος, μιμησάμενος μὲν καὶ τοὺς πάλαι σοφοὺς, Πλάτωνα καὶ Ἐμπεδοκλῆν καὶ Δημόκριτον, κατὰ θέαν τόπων πλοῦν στειλαμένους μακρὸν, μάλιστα δὲ τὸν προσεχῆ Μητρόδωρον τὰ κατ' Ἰνδοὺς ἱστορήσαντα, δύο τινὰ μειράκια συμπαραλαβὼν γένει προσήκοντα, καὶ Ἑλληνικῆς οὐκ ἄμοιρα C διαλέκτου (ἐλευθερίων γὰρ διὰ λόγων ἦγεν αὐτὰ), τοῦ πρόσω ἠπείγετο. Καὶ δῆτα ὅσα γ' ἐχρῆν ἱστορήσας, ἐπανόδου εἴχετο, Αἰγυπτίᾳ καταπλέων νηΐ. Κατὰ δὲ χρείαν ὕδατος ἢ καί τινος ἄλλου τῶν ἀναγκαίων λιμένι προσορμίζει τινί. Συμβὰν δὲ τηνικαῦτα τὰς μεταξὺ Ῥωμαίων τε καὶ Ἰνδῶν διασπᾶσθαι σπονδὰς, Ἰνδοί ποθεν ἐκδραμόντες, κτείνουσι μὲν ἅπαντας· καὶ αὐτὸν δὲ τὸν φιλόσοφον διεχρήσαντο. Τοὺς δὲ παῖδας ἅτε νέους ζωγρήσαντες, δῶρον τῷ σφῶν προσάγουσι βασιλεῖ. Καὶ ὃς τὸν μὲν νεώτερον, Αἰδέσιος ἦν αὐτῷ ὄνομα, ἐπὶ τὸ οἰνοχοεῖν καθίστα· τὸν δὲ Φρουμέντιον τῶν βασιλικῶν γραμμάτων ταμίαν εἶχε, καὶ τῶν χρημάτων ἐπίτροπον. Ἐχέφρονα γὰρ εἶναι, καὶ τὰ τοιαῦτα διακονεῖν ἐγίνωσκεν ἱκανώτατον. Χρόνῳ δὲ πλείστῳ D τὰ πιστά οἱ παρεσχηκότας, τελευτῶν ἐπὶ γαμετῇ καὶ ἁπαλῷ παιδὶ ἐλευθερίᾳ τὴν μακρὰν ἠμείβετο εὔνοιαν, καὶ ὅπῃ δὴ βουλομένοις διατρίβειν, ἀνεῖτο. Οἱ μὲν οὖν εἰς Τύρον ἔσπευδον ἐπανήκειν, ὅθεν δὴ καὶ πατρίδος ἦσαν· ἡ δὲ βασιλὶς τῶν Ἰνδῶν ἔτι κομιδῇ νέου τοῦ παιδὸς ὄντος ἐδεῖτο παρ' ὀλίγον μένειν χρόνον εἰς ἐπιτρόπους τῆς ἀρχῆς καθισταμένους τῷ νέῳ, ἕως οὗ ὁ παῖς ἀνδρωθείη. Καὶ πείθονται μὲν ἐκεῖνοι· ᾐδοῦντο γὰρ ἀντιβολοῦσαν τὴν δέσποιναν παραιτήσασθαι· καὶ τὴν ἡγεμονίαν Ἰνδῶν ὡς ἐγχωροῦν ἐπετρόπευον. Καὶ μᾶλλον Φρουμέντιος ἐπὶ τῶν ὅλων ἦν· ὃς Θεοῦ γε οἶμαι διερεθίζοντος, εἴ τινές εἰσι παρ' Ἰνδοῖς Χριστιανοὶ ἀνη-

(2) Socrat. lib. i, cap. 19.

ρεύνα, ἢ Ῥωμαῖοι τῷ πλῷ ἐπιχωριάζοντες. Εὑρίσκων δὲ, φιλοφρόνως τε ὑπεδέχετο· καὶ ἰδιάζουσι τόποις, ᾗ ἔθος Χριστιανοῖς, συνηύχετο. Ὁ δ' ὧδε προϊὼν, εὐκτήριον οἶκον ἀνῳκοδόμει. Καί τινας τῶν Ἰνδῶν κατηχῶν, εὐχὰς τελεῖν παρεσκεύαζε, καὶ πρεσβεύειν τὰ θεῖα προὐτρέπετο. Ἤδη δ' ἐφήβου τοῦ βασιλέως γενομένου παιδὸς, τοῦτόν τε καὶ τὴν αὐτοῦ μητέρα παραιτησάμενοι, ἐπὶ τὴν σφετέραν πόλιν ἀπέπλεον, καίπερ μένειν ὡς πλεῖστον ἐκβιαζόμενοι. Καὶ ὁ μὲν Αἰδέσιος εἰς Τύρον ἥκων, καὶ τοὺς προσήκοντας κατιδὼν, κατὰ ταῦτα τῆς τοῦ πρεσβυτερίου καθέδρας ἠξίωτο· Φρουμέντιος δὲ τὴν ἐπὶ Φοίνικας παριδὼν, εἰς Ἀλεξάνδρειαν ἧκε· καὶ Ἀθανασίῳ ἐντυχὼν, ἄρτι τῶν ἱερῶν οἰάκων ὑπερκαθίσαντι, τὰ κατ' Ἰνδοὺς διηγεῖται· καὶ ὡς ἐν ἑτοίμῳ εἰσὶ τὸν Χριστιανισμὸν παραδέξασθαι ἔλεγε, καὶ μὴ περιορᾷν τὴν θήραν κατηντιβόλει· ἱερέα δὲ ὅσον τάχος καὶ κλῆρον αὐτοῖς ἐπιπέμπειν. Ἀθανάσιος δὲ εἰς ἔννοιαν θέμενος τὸ ῥηθὲν, τοὺς ἐπιδημοῦντας τῶν ἐπισκόπων ἀθροίσας, οὐκ ἄλλον ἐπιτήδειόν τε καὶ ἱκανώτατον τὴν θρησκείαν αὐξῆσαι ἔκρινεν ἢ αὐτὸν ἐκεῖνον ὃς πρῶτος σπέρματα τῆς τῶν Χριστιανῶν μετουσίας αὐτοῖς κατεβάλλετο. Καὶ ὁ μὲν πεισθεὶς, ἀνελάμβανε τὴν ἱερωσύνην· καὶ αὖθις ἐπὶ τὴν Ἰνδῶν ἀνέστρεφε χώραν· καὶ κῆρυξ τοῦ Εὐαγγελίου τοῖς ἐκεῖσε ἅπασι γίνεται. Τοσοῦτον δ' ἐπαινεθῆναι τοῦτόν φασιν, ὡς ἴσον τὸ γέρας τοῖς ἀποστόλοις κτήσασθαι· ἐπεί τοί γε καὶ ἐπισημότατον ὁ Θεὸς αὐτὸν ἀπέφηνε, τέρασι καὶ σημείοις ἐξαισίοις κατακοσμῶν· πλουσίας γὰρ τῆς χάριτος εὐμοιρήσας, οἴκους Θεῷ πλείστους ἀνήγειρεν. Ἰατρὸς δὲ καὶ κατ' ἄμφω ψυχῶν καὶ σωμάτων ἀνηκέστων, ἐθεράπευε χρόνια τραύματα. Ταῦτα Ῥουφῖνος ἱστόρησεν, Αἰδεσίῳ ἀνὰ τὴν Τύρον περιτυχὼν, ὥς φησιν. Ἀλλ' οὕτω μὲν καὶ ἡ παρ' Ἰνδοῖς ἱερωσύνη συνέστη· κἀκεῖθεν ἐφεξῆς τὸ θεῖον δόγμα διὰ τῶν ὁμόρων διέβη. Τοῖς δ' αὐτοῖς δὲ χρόνοις, καὶ Ἀρμενίους ἐπυθόμην τὰ Χριστιανῶν ἑλέσθαι. Γρηγορίου γὰρ ἐκείνου τοῦ Θαυμαστοῦ πολλὰ πρὸς Τηριδάτου παθόντος διὰ Χριστὸν, καὶ μετὰ πολλὴν καὶ ποικίλην κακῶν ἰδέαν, ἐπὶ τεσσαρεσκαίδεκα ἔτη λάκκῳ βορβορώδει καὶ ἀφεγγεῖ συγκλεισθέντος, Τηριδάτης ὁ τοῦ ἔθνους ἡγούμενος θεομηνίας πανοικὶ πειρᾶται σύναμα τοῖς ὑπερέχουσι. Χοιρώδη γὰρ καὶ βίον καὶ ὄψιν ἀμειψάμενοι, διῆγον σφᾶς αὐτοὺς κατεσθίοντες. Ἀλλ' ἐκεῖθεν ἀνιμηθεὶς ὁ θεῖος Γρηγόριος, ὑφ' ἑνὶ συνθήματι πάντας θρησκεύειν Χριστὸν ἔπειθεν· ἐκ τῆς χοιρείας τ' ἐκείνης καὶ μορφῆς καὶ διαίτης ἀπαλλάττων, τὴν κατὰ Χριστὸν ἀσπάζεσθαι πολιτείαν ἠρέθισε· νεώς τε αὐτοῖς ἀνήγειρε, καὶ τὰ τῆς μυστικῆς ἐτέλει τούτοις θυσίας. Καινοῖς δὲ θαύμασι τοὺς ἐνοίκους δαίμονας ἀπελάσας τῆς χώρας, αὐτόν τε Γρηγορίον σύναμα Τηριδάτῃ παρὰ τὸν μέγαν βασιλέα Κωνσταντῖνον γενέσθαι· τὸν δὲ συνήδεσθαι τὰ παράδοξα διακούοντα. Ἐπίσκοπον δὲ τῆς ὅλης χώρας καταστήσας Γρηγόριον ἔπεμπεν. Ὑπὸ γοῦν

A rerum erat: qui, ut equidem puto, instigante Deo, si quid apud Indos Christiani, aut qui navibus eo frequentarent Romani essent, diligenter perscrutabatur. Eos inventos perhumaniter accepit, locisque, Christianorum more, suis cum eis oravit. Atque ea progressus via, orationis domum construxit: et quosdam ex Indis sacris nostris instituens, precationibus operari docuit, et religionem profiteri hortatus est. Et filius regis jam ephebus erat. Atque illi quamvis, ut manerent, plurimum cogerentur, attamen et cum regis et cum matris ejus bona venia in patriam suam rediere. Et Ædesius quidem Tyri, propter propinquos suos, postea presbyterii assumpsit dignitatem. Frumentius vero, Phœnicia relicta, Alexandriam se contulit: 609

B atque ad Athanasium cum venisset, qui nuper admodum ad sacra Ecclesiæ gubernacula pervenerat, res Indorum ei exposuit, et ut proclives paratique ad Christianismum suscipiendum essent ostendit. Et insuper, non despiciendam esse tam opportune oblatam venationem, sed episcopum eo et clerum illis quamprimum mittendum esse supplicavit. Athanasius porro verbis eis in animo suo perpensis, episcopis, qui tum Alexandriæ aderant, advocatis, non alium aptiorem magisque idoneum ad cultum divinum ibi adaugendum judicavit esse, quam eum ipsum, qui primus semina Christianorum communionis apud eos jecisset. Atque ille persuasus, episcopatum suscepit: et in regionem Indorum reversus, præco Evangelii istic omnibus factus est.

C Tantopere vero eum laudatum esse ferunt, ut parem cum apostolis laudem et honorem tulerit. Clarissimum enim eum Deus reddidit, prodigiis et miraculis insignibus exornans. Et locupletem nactus gratiam, plurima Deo constituit templa, medicusque animarum juxta et corporum incurabilium diuturna sanavit vulnera. Hæc Rufinus memoriæ prodidit, qui se Ædesium Tyri convenisse refert. Et ad hunc quidem modum sacerdotalis dignitas et administratio apud Indos est instituta: unde deinceps divinum dogma finitimas quoque regiones pervasit. Eisdem fere temporibus Armenios itidem Christianam religionem complexos esse audivi. Cum enim Gregorius ille (1), qui miraculis

D edendis clarus fuit, multa a Tiridate propter Christum passus, et post multas variasque malorum species ad quatuordecim annos foveæ cœnosæ et caliginosæ inclusus esset, Tiridates ipse ejus gentis princeps, cum domo sua tota, et cum optimatibus, divinæ iræ vindictam est expertus. Ad vitam enim simul et formam porcorum redacti, seipsos devorabant. Sed enim ex fovea illa extractus divus Gregorius, uno signo omnibus Christum colere persuasit: et suilla forma atque vita liberatos, institutum nostrum complecti coegit, delubra eis construxit, sacra arcani et mystici sacrificii cele-

(1) Alium hunc Gregorium Mirificum fuisse aliquis putet ab eo quem supra Origenis discipulum, et episcopum Neocæsariensem in Ponto extitisse legimus. Sed unus et idem est, sicuti colligere est infra ex lib. II, cap. 19.

travit, et novis miraculis incolas dæmones ex ea regione exturbavit. Sunt qui Gregorium una cum Teridate ad Imperatorem magnum Constantinum venisse tradunt, eumque tam miranda et inopinata audientem magnopere lætatum esse, et Gregorium ipsum totius ejus regionis episcopum ordinatum, eo misisse. 610 Gregorius igitur Teridatis suffragio comprobatus, cum idolorum fana ibi evertit, tum Christo sacra templa erexit, et miraculis præcipuis universam gentem ad fidem nostram redactam baptizavit, atque ad Servatorem Christum adduxit.

A Τηριδάτῃ Γρηγόριος συγκροτούμενος, τά τε παρ' ἐκείνοις εἰδωλεῖα κατέστρεψε, καὶ Χριστῷ θεῖα τεμένη ἀνήγειρε. Θαύμασι δ' ἐξαισίοις πίστει τὸ σύμπαν χειρωσάμενος ἔθνος, ἐβάπτιζε, καὶ τῷ σωτῆρι προσῆγε Χριστῷ.

CAPUT XXXVI.

Quid Sapori regi Persarum acciderit: de episcopo Symeone, deque iis qui cum eo martyrio sunt affecti.

Non longe post per finitimos populos ad plurimos dogma nostrum pervenit: a quibus et ad Persas doctrinam tum pertigisse existimo. Nonnulli etenim ex Persis, cum Osroenis et Armeniis familiarius agentes, et cum sanctis quibusdam viris verba conferentes, paulatim virtutem illorum experti, ad vitæ eorum æmulationem tacite ferri, et Christianismum amplecti cœpere. Ubi autem cum tempore numerus eorum est auctus, ecclesiæ constructæ, sacerdotum ordo institutus, aliaque quæ nostrorum sunt sacrorum peracta, non mediocrem ea res magis attulit plagam. Ii enim antiquitus, veluti familia quædam ad quam sacerdotium pertineat, rem divinam apud eos procurant. Quin et Judæis qui ibi sunt, ægre fuit, jamdudum odio atque invidia adversus religionem nostram, nobis infensis. Ii Saporem, qui tum regnum in ea regione obtinebat, adeunt: et Symeonem Seleuciæ et Ctesiphontis, primariarum in Perside urbium, episcopum, per calumniam deferunt, veluti Romanorum imperatori amicum, rebusque Persarum infestum. Et rex fide illis habita, primum Christianos vehementer vexavit, præfectos illis viros sævos constituens, et tributa gravia imponens, ut scilicet egestate et exactorum crudelitate expugnati, religionem repudiarent: id quod ei magnopere studio fuit. Deinde sacerdotes atque episcopos, tanquam eorum præfectos jugulare, ecclesias demoliri, sacra donaria publicare, et Symeonem perinde atque religioni simul et regno Persarum insidiantem corripi jussit. Itaque magi, Judæis adjuvantibus, ecclesias statim solo æquant: et Symeones ferreis compedibus vinctus, apud regem sistitur. Ubi sane virum se honestum et bonum præstitit. 611 Post multa namque verbera introductus, non amplius, uti consuetudo ejus fuerat, adorare illum sustinuit. Quapropter ira percitus tyrannus, quid id tandem esset, quod nunc demum præter morem faceret, interrogat. Atque ille: Quod nunquam antea, inquit, sicuti nunc, productus sum, vi mihi illata ut verum Deum prodam. Cum quidem nulla inter nos esset dissensio, quæ moris Persici sunt feci; nunc autem nefas id esse duco. De veritate namque et fide nobis est certamen. Porro Sapores illi, ut solem adoraret, necessitatem imponit: quod nisi faceret, non ipsum modo, verum etiam omnem quæ ibi esset Christianorum gentem, interituram

ΚΕΦΑΛ. ΛϚʹ.

Περὶ τῶν ἐν Περσίδι γεγενημένων Σαβώρῃ τῷ βασιλεῖ· καὶ περὶ τοῦ ἐπισκόπου Συμεὼν, καὶ τῶν σὺν αὐτῷ μαρτυρησάντων.

Οὐ πολλῷ δὲ ὕστερον διὰ τῶν ὁμόρων εἰς πλῆθος τὸ δόγμα ἐπέδωκεν· ἐξ ὧν ἡγοῦμαι καὶ ἐς Πέρσας διαβῆναι τηνικαῦτα τὸ κήρυγμα. Τινὲς γὰρ ἐκεῖθεν B Ὀσροηνοῖς καὶ Ἀρμενίοις ἐπιμιγνύμενοι, θείοις τέ τισιν ἀνδράσι διομιλούμενοι, καὶ ἡσυχῇ τῆς ἐκείνων πειρώμενοι ἀρετῆς, εἰς ζῆλον τῆς ἐκείνων διαίτης κατ' ὀλίγον ἧκον, καὶ Χριστιανίζειν ἤρχοντο. Ὡς δὲ χρόνῳ πλεῖστοι γενόμενοι ἐκκλησίας τε ἐπεσκεύαζον, καὶ ἱερωσύνην συνίσταντο, καὶ τἄλλα τῆς καθ' ἡμᾶς ἐπετήδευον τελετῆς· οὐ μετρίαν ἐνῆκε τοῦτο τοῖς μάγοις πληγήν. Οὗτοι γὰρ ἐξ ἀρχαίου οἷά τι γένος τῇ καθ' αὐτοὺς ἱερωσύνῃ προσῆκον, τὴν αὐτῶν θρησκείαν ἐπιτροπεύουσιν. Οὐ μὴν δὲ ἀλλὰ καὶ οἱ παρ' αὐτοῖς Ἰουδαῖοι ἐν δεινῷ ἐποιοῦντο, ἄνωθεν βασκανίᾳ τῇ περὶ τὸ ἡμέτερον δόγμα ἐκπεπολεμωμένοι. Καὶ Σαβώρῃ προσιόντες, οὗτος γὰρ ἡγεῖτο τηνικαῦτα τοῦ ἔθνους, τὸν ἐπίσκοπον Συμεώνην Σελευκείας καὶ Κτησιφῶντος, αὗται δ' ἐν C Περσίδι τῶν πόλεων βασιλεύουσι, διέβαλον ὡς τῷ Ῥωμαίων βασιλεῖ φίλον, καὶ δυσμεναίνοντα τοῖς Περσῶν πράγμασιν· οἷς πεισθεὶς, τὰ μὲν πρῶτα χαλεπῶς ἐπέτριβε τοὺς Χριστιανοὺς, ἐπιστασίαις ἀνδρῶν ἀπηνῶν καὶ δριμείαις φόρων εἰσπράξεσιν, ὡς ἂν τῇ ἐνδείᾳ καὶ ἀπηνείᾳ τῶν ἀπαιτούντων ἐκβεβιασμένοι, ἀπόθωνται τὴν θρησκείαν, ὃ διὰ σπουδῆς μεγάλης αὐτῷ ἦν· ἔπειτα τοὺς ἱερέας, καὶ ὡσανεὶ προστάτας αὐτῶν κτείνειν ἐκέλευεν· εἰς ἐρείπια δὲ καθίστασθαι τοὺς νεὼς, καὶ τὰ ἱερὰ κειμήλια τῷ δήμῳ ἀνεῖσθαι, καὶ τὸν Συμεώνην, ὡς ἐπίβουλον καὶ τῆς θρησκείας καὶ τῆς βασιλείας Περσῶν, σύρεσθαι. Μάγοι μὲν οὖν, Ἰουδαίων συναιρομένων αὐτοῖς, τὰς ἐκκλησίας θᾶττον ἐῤῥίπτουν· ὁ δὲ D Συμεώνης πεδηθεὶς σιδήροις, τῷ βασιλεῖ παρίστατο. Ἔνθα δὴ ἀνὴρ καλός τε καὶ ἀγαθὸς διεφάνη. Μετὰ γὰρ πολλὴν βάσανον εἰσαχθεὶς, οὐκέτι ὡς ἔθος αὐτῷ προσκυνῆσαι ἠνέσχετο· ἐφ' ᾧ χαλεπήνας ὁ τύραννος, τί δή ποτε παρὰ τὸ εἰωθὸς ἄρτι πράττοι, διεπυνθάνετο. Ὅτιπερ, ἔλεγεν, οὐδέπω ὡς νῦν εἰσήχθην, προδοῦναι τὸν ἀληθῆ Θεὸν βιαζόμενος. Ὡς γοῦν μηδεμιᾶς ἐνούσης διαφορᾶς, τὰ εἰωθότα ἐποίουν· νῦν δ' οὐ θέμις εἶναι νομίζω· ὑπὲρ γὰρ ἀληθείας καὶ τῆς πίστεως ὁ ἀγών. Σαβώρης δὲ τὸν ἥλιον προσκυνεῖν κατηνάγκαζε. Μὴ ποιεῖν δ' αἱρούμενον, οὐ μόνον αὐτὸν διολέσειν ἠπείλει, ἀλλὰ καὶ σύμπαν φῦλον τῶν ἐκεῖσε Χριστιανῶν. Ἐπεὶ δὲ οὔτε λόγοις τοῦτον καταχτυπῶν, οὔτ' ἐπαγγελίαις χαυνῶν, προδοῦναι τὸ σέβας, καὶ τὸν Ἥλιον μήποτε προσκυνεῖν

ἤλπισε· τό γε νῦν δεσμώτην ἀνέπεμπον εἰς φρουράν. Ἀπαγόμενον οὖν, Οὐσθαζάνης πρεσβύτης εὐνοῦχος, παιδαγωγὸς χρηματίσας Σαβώρῃ, τὰ πρῶτα δ' ἐν τοῖς βασιλείοις ἐκείνου φερόμενος, ἀναστὰς τὸν μάρτυρα προσεκύνει· ἔτυχε γὰρ πρὸ τῶν αὐλείων οὐδῶν καθήμενος· Συμεώνης δὲ οὐδὲ λόγου μεταδοὺς αὐτῷ, ὑβριοπαθῶν παρήμειβε, μυσαττόμενος, οἷς οὐ πρὸ πολλοῦ βιασθεὶς Ἡλίῳ προσκυνεῖν εἵλετο. Δακρύων δὲ πλήσας τοὺς ὀφθαλμοὺς ὁ εὐνοῦχος, ᾤμωξε· καὶ δὴ τὴν λαμπρὰν ἐσθῆτα ῥίψας, μετημφίεστο μέλαιναν· καὶ πρὸ τῆς οἰκίας ἐκάθητο, πένθος ἔχων οἰμωγαῖς καὶ δάκρυσι σύμμικτον, τοιαῦτα ὑποφωνῶν· Οἴμοι ἐγώ! τίς δὲ ἄρα ἔσται περὶ ἐμὲ, ὃν ἀβιάστως ἠρνησάμην Χριστόν; ὅπου γε Συμεὼν οὗτος διὰ ταῦτα, παλαιός γ' ἐμοὶ συνήθης ὤν, παρέδραμεν οὐδὲ προσβλέμματος ἀξιώσας; Ταῦτα Σαβώρην ἀγνοῆσαι οὐκ ἦν· καὶ μεταστελλόμενος τὸν εὐνοῦχον, εἴ τινι κατ' οἶκον ἐχρήσατο συμφορᾷ ἐπυνθάνετο. Ὁ δὲ μὴ κατ' οἶκον ἔλεγε δυστυχεῖν· ἦ γὰρ ἂν μακάριον ἦν πᾶσι τοῖς κατ' οἶκον ἔχειν κακῶς· ῥᾷον γὰρ ἦν ἢ τοιαύτῃ περιπεσεῖν συμφορᾷ. Πένθος δ' ἔχω, φησὶν, ὅτιπερ ζῶ, καὶ ὁρῶ τὸν ἥλιον, ἐκ πολλοῦ τεθνάναι δίκαιος ὤν, ὅτιπερ μὴ κατὰ γνώμην, σὴν χάριν, τὸν Ἥλιον προσεκύνησα. Κατ' ἄμφω οὖν με χρῆναι κρίνω θανεῖν· οἷς τε ὃν ἐπόθουν μάλα ἠρνησάμην Χριστὸν, τῶν καλλίστων προδότης γεγενημένος, καὶ περὶ σὲ ἀπατεὼν χρηματίσας. Ταῦτα λέγων, διώμνυτο μὴ τοῦ λοιποῦ μετατεθεῖσθαι τὴν γνώμην. Σαβώρης δὲ τῇ ἀθρόᾳ τοῦ εὐνούχου μεταβολῇ ἐκπλαγεὶς, τοῖς Χριστιανοῖς ἐχαλέπαινε μάλιστα, γοητείαις τὰ τοιαῦτα δὴ πράττειν οἰόμενος. Συνηθείᾳ δὲ καὶ φειδοῖ τῇ περὶ τὸν τροφέα, πάσῃ μηχανῇ μεταπείθειν ἐπειρᾶτο, πραότητι τὸ ἀπηνὲς κεραννύς. Ὡς δὲ τὸ πρὸς βουλῆς περαίνειν οὐκ εἶχεν, Οὐσθαζάνου μὴ τοσοῦτον εἶναι εὐήθη λέγοντος, ὡς ἀντὶ τοῦ Ποιητοῦ καὶ Κτίστου σέβειν αἱρεῖσθαι τὰ κτίσματα, ἐκνικηθεὶς τῷ θυμῷ Σαπώρης, τὴν κεφαλὴν ἀφαιρεῖσθαι προσέτατττε. Καὶ δῆτ' ἀπαγόμενος, τῶν τινα πιστοτάτων τῷ βασιλεῖ εὐνούχων Σαπώρῃ πέμπων, ἐπέτρεπε τάδε εἰπεῖν· Ἦν μὲν ἐκ νέου, ὦ βασιλεῦ, εὔνοιαν εἶχον, σοί τε καὶ πατρὶ τῷ σῷ καὶ πᾶσι τοῖς κατ' οἶκον προθύμως διακονούμενος, οὐκ ἄν μοι νῦν μαρτύρων εἶναί σοι χρείαν πιστεύω· ἐπίσταμαι γάρ σε πάντα εἰδέναι· ἀλλ' ὑπὲρ ὧν ἐσαεὶ κεχαρισμένος ὑμῖν διαγέγονα, μίαν δὴ χάριν αἰτῶ, ἣν ἀμείβεσθαι δίκαιος ἂν εἴης, πολλῶν ἀπολαύσας. Ἐν δεινῷ τε μάλα τίθεμαι θνήσκων, ὡς ἄπιστος καὶ κακοῦργος περὶ τὸν σὸν οἶκον φανεὶς ἐκτίνω τὴν δίκην. Κήρυκα τοίνυν κέλευε σημαίνειν πᾶσιν, ὅτιπερ Οὐσθαζάνης θανάτῳ κολάζεται, οὐδὲν οὐδαμῶς μοχθηρός τις περὶ τὴν βασίλειαν φανείς· ἐκ προγόνων δὲ τὰ Χριστιανῶν πρεσβεύων, καὶ ἥκιστα πειθόμενος βασιλεῖ, ἀρνεῖσθαι μὲν ὃν ἐπόθει Θεὸν, Ἡλίῳ δὲ ἀντ' αὐτοῦ νέμειν τὸ σέβας, ταύτην ὑπέχει τὴν δίκην. Καὶ ὁ μὲν τοιαῦτα ἐμήνυε. Σαβώρης δὲ τὴν αἴτησιν ἀπεπλήρου· ᾤετο γὰρ ἐν καλῷ οἱ ἔσεσθαι τὴν ἀνακήρυξιν. Εἰ γὰρ κατὰ νοῦν τοῖς ἄλλοις Χριστιανοῖς γένοιτο, ὡς οὐδενὸς ἔσται φειδὼ τοῦ λοιποῦ, οὕτως εὔνου καὶ τροφέως ἀνῃρημένου

A esse minatur. Sed enim cum neque minis illum territans, neque promissis demulcens, quidquam proficeret, ac nulla spes esset reliqua, illum vel sacra sua proditurum, vel solem adoraturum, vinctum remittit in custodiam. Quem, dum abducitur, Usthazanes vetulus eunuchus, Saporis olim pædagogus, primam in aula regia obtinens dignitatem, assurgens, ut martyrem adorat: tum enim forte pro aulæ palatio considebat. Symeones vero ne verbo quidem eum dignatus, quasi injuria affectus præteriit: illud in eo detestans, quod non ita pridem coactus solem adorandum duxerit. Tum eunuchus oculos lacrymis suffusus ingemiscit, vestem splendidam ponit, pullam sumit, atque pro ædibus considens luctum gemitu et B lacrymis mistum continuat, talia subinde verba referens: O me miserum, qualem erga me futurum sperem, qui a me nulla adhibita vi pernegatus est Christum, quando Symeones iste veteri consuetudine mihi conjunctus, ea de causa ne aspectu quidem me dignatus, præteriit? Hæc Saporem latere non potuerunt. Itaque accito eunucho, num quid domi suæ ei adversi acciderit, rogat. Ille nihil infortunii domi esse dicit; felicitatis quippe id esset, si quid domi esset mali; facilius namque id futurum fuerat, quam tanta opprimi calamitate. Lugeo autem, inquit, quod et vivo, et solem aspicio, jamdudum qui morerer meritus: propterea quod non ex animi sententia, tua gratia, divinum soli C exhibui honorem. Itaque utroque nomine me mori debere judico, tum quod tantopere desideratum, rerum longe pulcherrimarum proditor factus, negaverim Christum: **612** tum quod te quoque ipsum decepi. Atque his dictis, adjurat, haudquaquam se posthac mutaturum sententiam. Sapores ad tantam eunuchi mutationem consternatus, Christianis quam maxime succenset, imposturis atque incantationibus talia ab eis agi existimans. Et propter familiarem consuetudinem gratiamque qua nutricium suum prosequebatur, modis omnibus a proposito illum deducere tentat, crudelitatem mansuetudine temperans. Ut autem perficere, quod voluit, non potuit, Usthazane non tam se esse simplicem aut stupidum dicente, ut pro factore et D Creatore creaturam colendam esse statuat: ira victus Sapores, caput ei amputari jubet. Enimvero cum jam ille abduceretur, fidelissimum quemdam ex eunuchis ad regem mittens, hæc renuntiari ei jubet: Qua ab ineunte ætate, o rex, benevolentia in te, patrem tuum, et familiam omnem fuerim, alacriter vobis inserviens, nihil mihi testibus opus esse credo; scire enim te omnia novi. Sed enim pro eo quod semper gratificari vobis studui, unam hanc peto gratiam: quam te quidem, qui multas acceperis, reddere est æquum. Graviter enim moriturus fero, quod perinde atque infidus, maleque de familia vestra meritus, pœnas pendam. Quapropter præconem publice omnibus promulgare jubeto, Usthazanem morte multari, non qui in re-

giam aut regnum quidquam admiserit, sed qui sacra Christianorum professus, minime regi parere voluerit, ut quem ardenter coluerit Deo negato, pro illo Soli divinum ferret honorem, propterea supplicium sustinere. Atque internuntius hæc ita significat. Sapores autem petitionem implet. Recte namque promulgationem ejuscemodi casuram putabat. Etenim si Christiani cum animis suis reputarent, nulli de cætero parsum iri, quando nutricius et tam charus regi vir necaretur, celerrime eos Christum colere desituros. Præterea vero factum id Usthazani quoque commodum accidit. Quemadmodum enim, cum timore adductus solem adoravit, multos ex Christianis transversos egit: ita imitatores ejus rursum futuri fuerant illi, cum pro veritate religionis cæsum esse cognoscerent. Atque Usthazanes quidem ita præclare vitam suam finiit. Postera autem die Symeonem quoque rex trucidari præcepit. Erat autem ea dies, quæ veneran lam Dominicam resurrectionem Christi præcedit **613** Quin et alios itidem centum vinctos, qui ex episcopis et alio sacro ordine erant, tum jugulari jussit. Symeones igitur productus, neque ipsi regi neque Soli adorationis cultum exhibere volens, perquam libere et fortiter de dogmate suo decertavit. Maximus porro archimagus, sive magorum princeps, cum illos abductos, an vivere, et rem divinam de regis sui more facere vellent, interrogasset, atque id illi cuncti detrectassent, ad supplicium omnes condemnati sunt. Et carnifices quidem ad mortem martyribus inferendam accingebantur; Symeones vero qui aderat, præsenti animo esse et confidere eos jussit: atque in memoriam eis revocavit mortem simul et vitam sempiternam, resurrectionem quoque, et veram pietatem. Et testimonia quædam sacrarum Litterarum adducens facile fidem faciebat orationi suæ: mortem scilicet affirmans esse vitam; at si quis per timiditatem cultum Dei deserat, id demum veram esse mortem. Neque ita multum abesse tempus, etiamsi nemo occidat, quin sua ipsa sponte mors præsto sit: quippe quam nemini, qui genitus sit, effugere liceat. Quæ autem futura sint æterna, et ævum ipsum testem habentia, non omnes ex æquo prorsus consecutura, sed unicuique certam quamdam et exactam adhibitum iri, quæ vitam hic actam examinet, amussim: accepturumque quemlibet pro operibus suis bonis præmia immortalia, atque itidem rursum supplicia pro malis perpetratis sempiterna. Maximum esse, prorsus vitam pro nomine Dei projicere, atque apud nos bonorum omnium summum et felicissimum. Ejusmodi verbis Symeones, veluti quidam bonus pædotriba, ad certamina discipulos suos instruens, ingenti fiducia illos ad cædem progredi est cohortatus. Cæterum postquam centum illi jugulati sunt, postremo et ipse Symeones gladio est percussus. Inter hos etiam fuere Abdechalas et Aninas (1), senes jam, et seniores seu presbyteri ecclesiæ ejus. Trementi vero Aninæ, dum ad cædem præparatur, Pusices regiorum artificum præ-

A ἀνδρὸς, τάχιστ' ἂν παύσαιντο σέβειν Χριστόν. Χρήσιμον δ' ἑτέρως καὶ Οὐσθαζάνῃ συνέβαινε τὸ πραχθὲν εἶναι. Ὁπηνίκα γὰρ δείσας τὴν προσκύνησιν ἀφωσίου, πολλοὺς ἐκλόνησε τῶν Χριστιανῶν· ἐπίσης δ' αὖθις εἶναι μιμητὰς γενέσθαι, εἴ γε μάθοιεν ὑπὲρ τῆς ἀληθοῦς θρησκείας ἀνῃρημένον. Καὶ Οὐσθαζάνης μὲν οὕτως ἐνδόξῳ βιοτῇ ἐτελεύτα· τῇ δ' ἑξῆς καὶ Συμεώνην βασιλεὺς ἐκέλευεν ἀναιρεῖν. Ἦν δ' ἡμέρα ἡ πρὸ τῆς κυριωνύμου καὶ σεπτῆς Χριστοῦ ἀναστάσεως. Καὶ ἄλλους δ' ἐπίσης κτείνειν ἑκατὸν δεσμώτας προσέταττεν. Ἐπίσκοποι δ' ἦσαν καὶ ἄλλοι τοῦ καταλόγου τῶν ἱερῶν. Ὁ μὲν οὖν Συμεώνης προσαχθεὶς, οὔτ' αὐτῷ οὔτε Ἡλίῳ προσκυνεῖν ἤθελεν, ἐλευθερίως μάλα περὶ τοῦ σφετέρου δόγματος διαγωνιζόμενος. Ὁ δὲ μέγιστος ἀρχιμάγος, ἀπαγB ομένοις αὐτοῖς, προφθάσας εἰ βούλοιντο ζῆν, καὶ παραπλησίως βασιλεῖ θρησκεύειν αἱροῖντο, ἠρώτα. Ὡς δ' ἀπηξίουν ἅπαντες, τῇ καταδίκῃ ἐπέστησαν. Καὶ οἱ μὲν δήμιοι περὶ τὰς τῶν μαρτύρων διεπονοῦντο σφαγάς· Συμεώνης δὲ παρὼν, θαρσεῖν τε ἐκέλευε, καὶ ὑπεμίμνησκε περί τε θανάτου καὶ τῆς αἰωνίου ζωῆς· ἔτι δὲ καὶ περὶ ἀναστάσεως καὶ εὐσεβείας. Παράγων δὲ καί τινας μαρτυρίας τῶν ἱερῶν Γραφῶν, ἐπιστοῦτο γενναίως ἀποδεικνὺς τὸν θάνατον εἶναι ζωήν· τὸ δὲ διὰ δειλίαν τὸ σέβας προδοῦναι, τοῦτ' εἶναι θάνατον ἀληθῶς. Οὐ πάνυ γὰρ πόῤῥω καὶ μηδενὸς κτείνοντος, αὐτόματον ἀνάγκη ἐπιστῆναι τὸν θάνατον. Τοῦτο γὰρ ἄφυκτον παντὶ γένεσιν ἐσχηκότι. Τὰ δ' εἰσέπειτ' ἀΐδια ὄντα, καὶ τὸν αἰῶνα μάρC τυρα ἔχοντα, οὐ πᾶσι πάντως ἕψεται· ἀλλ' ἑκάστῳ ἀκριβής τις ἐπιστήσεται στάθμη, τὸν ἐνταῦθα βίον εὐθύνουσα· καὶ λήψεταί γε τὰς ἀμοιβὰς ἕκαστος ἢ ἀθανάτους ὧν ἔπραξε τῶν χρηστῶν, ἐν ἴσῳ δ' αὖθις τὰς εὐθύνας ἕτερος. Πολλῷ δὲ ἄρα πάντων μεῖζον τὸ ὑπὲρ Θεοῦ προέσθαι τὸ ζῆν· ὃ τῶν παρ' ἡμῖν ἀγαθῶν ἔσχατον καὶ μακαριώτατον. Τοιαῦτα Συμεώνης οἷά τις ἀγαθὸς παιδοτρίβης πρὸς τοὺς ἀγῶνας ὑπολείφων, εὐθαρσῶς πρὸς τὰς σφαγὰς χωρεῖν παρεσκεύαζεν. Ἐπεὶ δὲ τοὺς ἑκατὸν ὁ δήμιος διεχρήσατο, τέλος καὶ αὐτὸν Συμεώνην ὑπῆγε τῷ ξίφει. Ἐν οἷς ἦσαν καὶ Ἀβδεχαλάας καὶ Ἀνίννας, πρεσβῦται δὴ καὶ πρεσβύτεροι τῆς κατ' αὐτὸν ἐκκλησίας. Τρέμοντι δὲ τῷ Ἀνίννᾳ τῷ πρὸς τὴν σφαγὴν εὐτρεπίζεσθαι, Πουσίκης ὁ τῶν τοῦ βασιλέως ἡγούμενος τεχνιD τῶν, Μύσον, ἔλεγε, γέρον, ἐπὶ βραχὺν χρόνον τοὺς σοὺς ὀφθαλμοὺς, καὶ θαρσῶν δέξαι τὸ ξίφος. Αὐτίκα δ' ὄψει τὸ μέγα φῶς τοῦ Θεοῦ. Ταῦτ' εἰπὼν, συλληφθεὶς ὡς βασιλέα ἀνήγετο· καὶ Χριστιανὸς εἶναι ὁμολογῶν, ὡς ἐλευθεριάσας ὑπὲρ τοῦ δόγματος, καὶ ὑπὲρ τῶν μαρτύρων τῷ βασιλεῖ ἀντιστὰς, μὴ προσηκόντως τῇ παῤῥησίᾳ χρησάμενος, καινῷ τινι τρόπῳ κατεδικάσθη θανεῖν· ὄρυγμα γὰρ πεποιηκότες κατὰ τοῦ τένοντος, ἐκεῖθεν τὴν γλῶτταν ἀνείλκυσαν. Ἔκ τινος δὲ διαβολῆς καὶ θυγάτηρ αὐτοῦ ἱερὰ παρθένος ἀνῄρητο.

(1) Al. Ananias.

fectus : Connive, inquit, paululum, o senex, et oculos claude, ut fidenti animo ensem excipe : statim enim videbis magnum lumen Dei. Hæc cum dixisset, correptus, et ad regem tractus est. Ubi enim Christianum se professus esset, quod liberioribus verbis doctrinam defendisset, **614** et pro martyribus contra regem stetisset, quasi non opportune aut decenter dicendi libertate usus esset, novo quodam modo ad mortem est condemnatus. Cervice namque perfossa, lingua inde ejus est extracta. Præterea vero ex calumnia quorumdam, filia quoque ejus sacra virgo interfecta est.

ΚΕΦΑΛ. ΛΖ'.

Περὶ Ταρβούλας τῆς ἀδελφῆς Συμεὼν, καὶ περὶ τῶν ἐπισκόπων Ἀκεψιμᾶ καὶ Μίλη· καὶ τῶν ἄλλων ἐν Περσίδι μαρτυρησάντων μυρίων ἑξακισχιλίων.

A Τοῦ δ' ἐπιγινομένου ἔτους, κατὰ τὴν ἐπιλύχνιον ἡμέραν τῆς Ἀναστάσεως πρόσταγμα Σαπώρου ἐφοίτα θάνατον καταδικάζον Χριστιανῶν, ἔνθα πλῆθος αὐτῶν ἄπειρον λέγεται μαρτυρῆσαι. Πολλοὶ δὲ καὶ ἐν τοῖς βασιλείοις ἀντέσχον· μεθ' ὧν καὶ ὁ τὰ μάλιστα κεχαρισμένος Σαπώρῃ, Ἀζάδης ὄνομα, τὸν ἀγῶνα τοῦ μαρτυρίου ὑφίσταται· δι' ὃν περίλυπος μάλα γενόμενος, τὸ μὲν πλῆθος κτείνειν οὐκ ἀνέσχε· μόνοις δὲ τοῖς τῆς θρησκείας καθηγεμόσι τὸ ξίφος ἐπήνεγκε. Συνελαμβάνετο δὲ καί τις ἱερὰ παρθένος σὺν θεραπαίνῃ τὸν ἴσον βίον μετερχομένῃ· ᾗ καὶ ἀδελφὴ B προσῆν, μετ' ἀνδρὸς θάνατον, γάμον ἀπαγορεύουσα· Ταρβούλλα δὲ ἡ συλληφθεῖσα ἦν, τοῦ ἐπισκόπου ἀδελφὴ Συμεών. Αἰτίαν δ' ἔσχε τῆς συλλήψεως ἐκ διαβολῆς, αἰτιωμένων Ἰουδαίων, ὡς τοῦ ἀδελφοῦ χάριν Συμεὼν κατὰ μῆνιν τοῦ μόρου φαρμάκοις ἐπιβουλεύει τῇ βασιλίδι. Ἐνόσει γὰρ ἐκείνη τὰ ἔσχατα. Ἡ δὲ πάσχουσα, ὑπῆκε τὴν ἀκοὴν ὡς ἀληθῆ εἴη τὰ εἰρημένα· πείθεται γάρ πως ῥᾷστα ταῖς ἀπευκταίοις συμφοραῖς περιπεσὼν ἄνθρωπος, καὶ μάλιστα ὅτιπερ καὶ ἐκ γένους ἦν ἐκείνων καὶ κατ' ἐκείνους ἐβίω, καὶ ἀψευδῶς εὔνους εἶναί γε ᾤετο. Ἔνθεν καὶ πρόφασιν ἀποχρῶσαν εὑρηκότες τῷ μίσει, πρὶν τὰς ἱερὰς ἐκείνας παρθένους διχῇ διελόντες, ἀνεσκολόπιζον· μέσον δὲ τῶν σκολόπων διελθεῖν ἔπειθον τὴν νοσοῦσαν, ὡς ἄν γε τὸ ἀποτρόπαιον C ἄγος αὐτοῖς ἐπαφίοι. Τὴν δὲ Ταρβούλλαν εὐπρεπῆ γε οὖσαν καὶ τὸ εἶδος μάλα καλὴν, τινὰ τῶν μάγων ἡττηθέντα τῆς ὄψεως πρότερον, λάθρα διαπεμψάμενον, περὶ συνουσίας διαλεχθῆναι· μισθὸν δ' αὐτῇ παρασχεῖν, εἴγε πεισθείη, τὴν ἀπαλλαγὴν τῆς διαβολῆς ἔλεγε. Τὴν δ' ἀκούσασαν μηδαμῶς ἀνασχέσθαι, ἐξυβρίσαι δὲ τὸν ἀκόλαστον ἐκείνου τρόπον, καὶ θανεῖν ἑλέσθαι μᾶλλον, ἢ τὸ σῶφρον τῆς παρθενίας προδοῦναι. Τοῦ δὲ Σαπώρου δόγματος κυρωθέντος, τοὺς μὲν ἄλλους ἐᾶν, ὡς εἴρηται, τοῖς δὲ ἡγεμόσι μόνοις τῆς θρησκείας τὴν δίκην ὑπέχειν, οἱ μάγοι καὶ οἱ τούτων κατάρχοντες, ἐντεῦθεν ἀνασκιρτήσαντες, οὐκ ἔστιν εἰπεῖν, μεθ' ὅσης τῆς κακουργίας ἀνὰ τὴν Περσῶν ἰόντες χώραν, τοὺς ἐπισκόπους καὶ ἱερεῖς διεχρήσαντο· μάλιστα δ' ἐν τῇ χώρᾳ τῶν Ἀδιαβηνῶν τὰ D πάνδεινα ἔπραττον. Κλίμα δὲ τουτὶ Περσικὸν ὡς ἐπίπαν Χριστιανίζον. Τοῖς δ' αὐτοῖς καιροῖς καὶ

CAPUT XXXVII.

De Tarbula Symeonis sorore : de Acepsima et Mile episcopis, aliisque in Perside sedecim millibus martyrum.

Anno proximo, ipso luculento Resurrectionis die (1), edictum Saporis Christianos morte multans (2), passim est propositum. Ibi tum innumerabilis eorum multitudo dicitur martyrio esse sublata, quod multi etiam ex regia aula sustinuere. Inter quos et Azades, apud Saporem maxime gratiosus, certamen pertulit : propter quem in magnum conjectus mœrorem rex, multitudinem ipsam postea jugulari non sustinuit, solos autem religionis antesignanos gladio feriendos censuit. Simul quoque tum comprehensa est sacra quædam virgo cum famula, ejusdem vitæ instituti sectatrice. Cui soror etiam fuit, quæ post mariti obitum nuptiis secundis renuntiaverat. Tarbula porro ea, quam comprehensam esse diximus, erat episcopi Symeonæ soror. Erat autem per calumniam in vincula conjecta, quod Judæi eam detulerant, propter fratrem Symeonem iratam cædis ejus gratia veneficio insidiatam esse reginæ. Ægrotabat enim ea cum extremo periculo, et calumniam perinde atque vera esset, approbabat (maxime enim credulus fit homo, cum extremis calamitatibus incidit), præcipue cum ex genere Judæorum esset, institutisque eorum viveret, eosque sibi sincere et ex animo bene velle putaret. Quæ res illis satis præbuit occasionis ad odium explendum. Itaque sacras illas virgines, in partes duas serra discissas, in crucem egerunt : reginamque ægrotam, ut per medias illas iret, permoverunt, ut scilicet piaculum morbi abominandum in ipsas immitteret. Tarbulam hanc forma atque vultu valde venustam, quidam ex magis, amore ejus ex conspectu antea captus, clam ad se accitam, de concubitu compellavit : atque si se potestati ejus committeret, mercedem ei calumniæ ejus abolitionem est pollicitus. **615** Tantum vero abest ut his auditis illius cupiditati puella assentiretur, ut contumeliam impudicam ejus petitionem prosecuta sit, morique potius decreverit quam virginitatis pudicitiam prodere. Saporis edicto passim promulgato ut cæteris quidem, sicuti supra dictum est, parceretur, in duces autem religionis solos capitaliter animadverteretur : magi eorumque principes ea re ex-

(1) Κατὰ τὴν ἡμέραν ᾗ τοῦ μὲν πάθους τοῦ Χριστοῦ ἡ ἀνάστασις ἐπετελεῖτο, τῆς δὲ ἐκ νεκρῶν ἀναστάσεως ἡ πανήγυρις προσεδοκᾶτο. (Sozom.) Quibus verbis eleganter Parasceves et passionis Christi dies significatur.

(2) Ante constitutionem istam, alio Saporis edicto, innumeri Christiani in Perside gladio sunt cæsi, qui seipsos Magis quæstiones oppidatim agentibus obtulerunt, ne silentio Christum negarent, veriti. (Sozom. lib. II, cap. 11) Uno passionis Christi die ibi sedecim millia martyrum variis suppliciis sublata esse, passim in locis multis scribit Hieronymus.

sultantes, incredibile dictu est, quanta cum improbitate Persidem peragrantes, episcopos et sacerdotes occiderint. Potissimum autem in regione Adiabenorum crudelitatem omnem exhibuere. Est porro ea Persica regio, Christum tota profitens. Eadem tempestate et Acepsimas episcopus ductus est, et cum eo ex ejus clero permulti. Atque alios quidem facultatibus eorum direptis dimiserunt: Acepsimam autem magi flagris multis verberatum, ingenti vi ad Solem adorandum adigere sunt conati. Verum ubi nihil egere, carceri eum incluserunt. Quem Jacobus quidam dignitate presbyter, sua sponte secutus, magos oravit, ut in eumdem cum illo carcerem protruderetur. Ibi episcopo grandævo subserviit, ærumnasque ejus sedulitate ministerii sui allevavit. In eisdem vinculis fuere, Aithalas presbyter, Joseph (1), Azadanes, et Abdiesus, diaconi, plurima flagella propter doctrinam perpessi. Postea vero ubi archimagus, re cum Sapore communicata, potestatem ab eo in illos, pro arbitrio suo, nisi Soli divinos offerrent honores, animadvertendi obtinuit, regisque sententiam vinctis declaravit, atque illi e vestigio Christum abnegare, multoque magis Soli divinam rem facere reclamarunt, multos crudeliter eis intulit cruciatus. Et tum quidem Acepsimas constantis fortitudinis specimine edito, in flagranti certamine vitam finiit: cujus cadaver Armenii quidam, clam sublatum, sepeliere. Reliqui vero, et quidem plures, loris corpora conscissi, pietate tamen nihilominus integri et salvi, denuo in vincula sunt conjecti. In iis, Aithalæ, dum tortus nervis extenditur, adeo sunt brachia luxata, humerisque divulsa, **616** ut deinceps emortua, usu nullo dependerent, neque ei ad cibum ori admovendum sufficerent. Quapropter aliorum ea in re eum ministerio uti oportuit. Sed et complures alios sacerdotes, diaconos, monachos, sacras virgines, aliosque præterea singulari in doctrinam Christianam ardore præditos, magnoque labore in sacris ecclesiasticis versatos, excruciavit. Horum numerum inire non fuit. In quibus fuere episcopi, Barbasymes, Paulus, Gadiabes, Sabinus, Mareas, Mocius, Joannes, Hormisdas, Papas, Jacobus, Romas, Maares, Agas, Bocchoris (2), Abdas, Abdiesus, Joannes alter, Abramius, Abdelas, Sapores, Isaac, et Dausas, qui a quodam loco, qui Zabdæus dicitur, a Persis captivus abductus fuerat. Ea tempestate, una cum chorepiscopo Mareade, etiam mortuorum excitator Milles (3), cum clericis ducentis quinquaginta numero sibi subditis, qui a Persis itidem captivi abducti fuerant, innotuit. Milles sane Persicus miles fuerat, mutatoque vivendi more, apostolicum secutus est institutum. Et civitatis cujusdam in Perside episcopus factus, cum sæpe multas gravesque sustinuisset plagas, ubi neminem Christianam religionem amplecti velle animadvertit, dira

(1) Pro Josepho Sozomen. habet *Jacobum*.
(2) Sozom. habet *Bochras*.

A Ἀκεψιμᾶς ἐπίσκοπος ἤγετο, καὶ πολλοὶ τῶν ὑπὸ τῷ κλήρῳ τελούντων αὐτῷ. Τῶν μὲν οὖν ἄλλων ἀφελόμενοι τὰς οὐσίας, εἴων· Ἀκεψιμᾶν δ' ἱμᾶσι πολλοῖς ᾔκιζον, καὶ βίαν ἐπῆγον οἱ μάγοι τὸν Ἥλιον προσκυνεῖν. Ὡς δ' οὐκ ἔπειθον, δεσμωτηρίῳ καθεῖρξαν· ᾧ ἑκὼν τις ἠκολούθει Ἰάκωβος, πρεσβύτερος τὸ ἀξίωμα, δέησιν τοῖς μάγοις προσαγαγὼν, ὑπὸ τὸν αὐτὸν γενέσθαι δεσμόν. Γέροντα δ' ὄντα τὸν ἐπίσκοπον ἐθεράπευε· καὶ τὰς συμφορὰς μετριωτέρας τῇ προθύμῳ ὑπηρεσίᾳ εἰργάζετο. Ὑπὸ δὲ τὸ αὐτὸ δεσμωτήριον καὶ Ἀειθαλᾶς πρεσβύτερος ἦν δέσμιος, Ἰωσὴφ τε καὶ Ἀζαδάνης, καὶ Ἀβδιησοῦς, διάκονοι, μάστιγας πλείστας διὰ τὸ δόγμα ὑπομεμενηκότες. Ἐπεὶ δὲ χρόνῳ ὕστερον ὁ ἀρχιμάγος Σαπώρου κοινωσάμενος περὶ τούτων, ὡς ἐκείνῳ B βουλομένῳ ἦν τιμωρεῖν ἐκεῖνος ἐπέτρεπεν, εἰ μὴ Ἡλίῳ τὴν προσκύνησιν ἀπονείμειαν, δήλην τοῖς καθειργμένοις ἐποίει τὴν ψῆφον. Ἐκείνοις δ' ἐκ τοῦ σχεδὸν ἀπειποῦσι, μήτε Χριστόν ποτ' ἀρνεῖσθαι, πολλοῦ γε μὴν δεῖν Ἡλίῳ σέβας προσενεγκεῖν, πολλὴν ὠμῶς ἐπῆγε τὴν βάσανον. Καὶ Ἀκεψιμᾶς μὲν ἐναγώνιος ἐτελεύτα πολλὴν τὴν καρτερίαν ἐπιδειξάμενος· λάθρα δέ τινες Ἀρμένιοι τὸ λείψανον ὑφελόμενοι θάπτουσιν· οἱ δὲ ἄλλοι καὶ πλείω τοῖς ἱμᾶσι καταξανθέντες, ἄτρωτοι δὲ τὸ σέβας μείναντες, δεσμοῖς αὖθις εἴχοντο. Ἐν οἷς ἦν καὶ Ἀειθαλᾶς, ὃς ἐν τῷ κατατείνεσθαι τοὺς βραχίονας ἀπεσπάσθη τῶν ὤμων· καὶ τοῦ λοιποῦ νεκροὺς αὐτοὺς καὶ μάτην ᾐωρημένους εἶχεν· ὡς μηδ' ἱκανοὺς εἶναι δι' αὐτῶν τροφὴν τῷ στόματι φέρειν, ἀλλ' ἑτέρων C χρῆσθαι πρὸς ὑπουργίαν. Πολλοὺς δὲ καὶ ἄλλους ἱερεῖς τε καὶ διακόνους, μοναχούς τε καὶ παρθένους ἱερὰς ἐκολάσατο, καί τινας ἑτέρους θερμοὺς περὶ τὸ δόγμα καὶ περὶ τὰ ἱερὰ τῶν ἐκκλησιῶν διαπονουμένους, ὡς ὑπερβαίνειν τὰ πλήθη τὸν ἀριθμόν. Ἐξ ὧν ἦσαν ἐπίσκοποι Βαρβασύμης, καὶ Παῦλος, καὶ Γαδιάβης, Σαβῖνός τε καὶ Μαρέας, καὶ Μώκιος, καὶ Ἰωάννης, καὶ Ὁρμίσδας, Πάπας τε καὶ Ἰάκωβος, Ῥώμας καὶ Μαάρης, καὶ Ἄγας, καὶ Βόχχορις. καὶ Ἀβδᾶς καὶ Ἀβδιησοῦς, Ἰωάννης τε καὶ Ἀβράμιος, καὶ Ἀβδελᾶς, καὶ Σαβώρης, καὶ Ἰσαὰκ, Δαυστᾶς, ἀπὸ χωρίου ὧδε προσαγορευομένου, δορυάλωτος Πέρσαις γενόμενος. Κατ' ἐκεῖνον δὲ τὸν χρόνον, σὺν τῷ χωρεπισκόπῳ Μαρεάδῃ καὶ ὁ νε- D κρέγερτος Μίλλης, σύναμα τοῖς ἀμφ' αὐτὸν κληρικοῖς, πεντήκοντα δὲ καὶ διακόσιοι ἦσαν τὸν ἀριθμὸν, ἐγνωρίζετο· οἳ καιροῖς ἐκείνοις ὑπὸ Περσῶν αἰχμάλωτοι ἤχθησαν. Ὁ δὲ Μίλλης Πέρσης μὲν ἦν στρατιώτης· μεταθέμενος δὲ τὸν βίον, τὴν ἀποστολικὴν πολιτείαν εἵλετο· καί τινος τῶν ἐν Περσίδι πόλεων ἐπίσκοπος γεγονὼς, πολλὰς πολλάκις καὶ χαλεπὰς ὑποστὰς τὰς πληγὰς, ὡς οὐδεὶς Χριστιανίζειν ᾑρεῖτο, ἐπαρασάμενος τοῖς ἐποίκοις ἀνεχώρει ἐκεῖθεν. Οὐ πολλῷ δ' ὕστερον τῶν ἐκεῖσε πρωτευόντων εἰς βασιλέα ἐξαμαρτόντων, στρατιὰν μυρίαν ὁ Πέρσης ἐπαγαγὼν, κατήρειψε τὴν πόλιν, καὶ βουσὶν ἀρόσας κατέσπειρε. Μίλλης δὲ πήραν μόνην λα-

(3) Alii *Milesium* vocant.

A ϐῶν, ᾗ τὴν ἱερὰν τῶν Εὐαγγελίων βίβλον ἐφρούρει, εἰς Ἱεροσόλυμα ἧκεν εὐχῆς ἕνεκα· ἔπειτ' ἐκεῖθεν εἰς Αἴγυπτον κατὰ θέαν τῶν ἐκεῖσε μοναχῶν ἀπῆρεν. Οἷος δ' ἐκεῖνος τοῖς παραδόξοις τῶν ἔργων ἐγένετο δημιουργὸς, ὡς καὶ νεκροὺς ἀνιστᾷν, μαρτυρήσει ἃ Σύρων παῖδες ἰδίᾳ παραδόντες γραφῇ κατέλιπον, ἀνάγραπτον τὸν βίον καὶ τὰς ἐκείνου πράξεις ποιούμενοι. Ἐμοὶ δ' ἀρκέσει, τὰ παρόντα μόνα περὶ αὐτοῦ διελθεῖν, καὶ μνησθῆναι μόνον, ὅσοι δὴ ἐν Περσίδι ὑπὸ Σαπώρῃ τὸν θεῖον ἀγῶνα διῆλθον· σχολῇ γὰρ ἄν τις τίνες τε ἦσαν καὶ ὅθεν καὶ ὅπως καὶ τίνας ὑπέστησαν τιμωρίας ἀπαριθμήσαιτο. Παντοδαποὶ γάρ τινες καὶ ποικίλοι οἱ τῶν κολάσεων τρόποι Περσῶν, κἀν τούτοις δὴ μάλιστα τὸ φιλότιμον ἐπιδεδειγμένων. Ὡς δὲ λόγῳ περιλαβεῖν ἔστι, B λέγεται τῶν τηνικάδε μαρτυρησάντων τοὺς ὄνομα φερομένους εἶναι ἄνδρας τε καὶ γυναῖκας, πλὴν τῆς ἐκτὸς πληθύος καὶ ἀριθμοῦ κρείττονος, σὺν ἑξακισχιλίοις μυρίοις· ὧν ἐργῶδες νομίσαντες τὰς αὐτῶν προσηγορίας ἀπαριθμεῖν, οἱ ἀνὰ τὴν Ἔδεσαν Πέρσαι καὶ Σύροι Χριστιανοὶ τοῦτο μόνον ἱστόρησαν.

incolis imprecatus (1), inde discessit. Non longe vero post, cum primarium ibi magistratum gerentes majestatem regiam læsissent, adducto eo exercitu longe maximo Persa oppidum diruit, locumque ejus bobus aratro junctis proscidit, et tanquam agrum conseviit. Milles autem ex eo oppido, sicuti dixi, discedens, sola pera in qua sacrum Evangeliorum librum servabat, accepta, Hierosolyma precationis ergo venit. Deinde Ægyptum, ad visendos ibi monachos, petiit. Quantus autem vir is immensis miraculis edendis, mortuisque adeo restituendis fuerit, Syri ipsi, qui vitam et res ejus gestas in litterarum monumenta retulerunt, libris suis testabuntur. Mihi satis fuerit, hæc tantum de eo dixisse, eorumque duntaxat meminisse, qui apud Persas sub Sapore divinum sustinuere agonem. Ægre enim quisquam numerum inierit, et quinam, et unde fuerint, aut quomodo, quæve subierint supplicia. Varii namque multorumque generum cruciatuum apud Persas sunt modi : qui in eis etiam cum ambitione quadam, laudem et gloriam maxime ostentant. **617** Quantum autem ratione complecti licet, eorum qui tum ibi martyrium absolverunt, et alicujus fuere nominis, viri et mulieres, extra multitudinem eam quæ numerum excedit, ad millia sedecim fuisse dicuntur. Quorum nomina recensere operosum judicantes, qui Edessæ sunt, Persæ et Syri Christiani, hoc tantummodo memoriæ commendarunt.

ΚΕΦΑΛ. ΛΗ'.

Οἷα ὁ μέγας Κωνσταντῖνος ὑπὲρ Χριστιανῶν Σαϐώρῃ ἔγραψε τῷ Περσῶν βασιλεῖ.

C Ἐπεὶ δὲ οὕτω πάσχειν τοὺς ἐκεῖσε τὸν Χριστὸν σέβοντας ὁ πανεύφημος ἐγνώρισε βασιλεὺς, ἤσχαλλε μεγάλως καὶ ἠνιᾶτο· βοηθεῖν δὲ πρόθυμος ὢν, ἐν ἀπόρῳ τὸ ποιητέον εἶχεν, ὅπως ἂν καὶ οἱ ἐν ἐκείνῳ ἡσυχίαν ἄγοιεν. Συμβὰν δὲ πρέσβεις ἐκεῖθεν τηνικάδε παρεῖναι, τοῖς αἰτουμένοις ἐπιθεὶς πέρας, εὖ δ' ἡγησάμενος Σαβώρῃ καὶ περὶ τῶν ἐκεῖσε ἀναθέσθαι Χριστιανῶν, ἐπιστολὴν ἀξιόμνητον ἔγραφε, μεγίστην χάριν ὁμολογῶν αὐτῷ, εἰ τοῖς τὸ κατὰ Χριστὸν δόγμα στέργουσιν ἄνεσιν δοίη. Μὴ γὰρ ἐγκαλεῖν ἔχειν καὶ τὸν τῆς θρησκείας τρόπον, ἐπεί τοί γε μὴ σφαγίοις, ὥσπερ ἐκεῖνοι, ἀλλ' ἀναιμάκτοις χαίρουσι ταῖς θυσίαις, εὐχόμενοι τῷ Θεῷ, ᾧ μὴ φίλον χύσις αἱμάτων, ἀλλὰ ψυχὴ ἀρετὴν ἀκραιφνῶς ἀσκοῦσα, καὶ δόγματα εὐσεβείᾳ μάλα D προσήκοντα. Ὥστε καὶ δι' ἐπαίνου μᾶλλον ἄγειν τοὺς ὧδε δεῖν ἡγουμένους πιστεύειν. Ἐπὶ δὴ τούτοις ἵλεων ἔχειν ὑπισχνεῖτο τὸ Θεῖον, εἴ γ' ἕλοιτο προνοεῖν τῆς θρησκείας· καὶ τεκμήριον προῆγε Γαλιῆνον ἐκεῖνον καὶ Οὐαλλεριανὸν, καὶ τὰ ἐπ' αὐτῷ ἐκείνῳ συμβεβηκότα. Οἱ μὲν γὰρ διὰ τὴν πρὸς Χριστιανοὺς εἰρήνην εὐμαρῶς τὴν ἀρχὴν ἀνήνυσαν. Ἐπεὶ δὲ καὶ οὗτοι, μᾶλλον δ' Οὐαλλεριανὸς διωγμὸν κατ' αὐτῶν, ὡς οἱ λοιποὶ, πράττειν ᾕρεῖτο, ὑπὸ Πέρσαις γενόμενος, τῆς θείας ἐπειράθη δίκης· ἐν οἷς αἰχμάλωτος γεγονὼς, κακῶς τὸ ζῆν ἐξεμέτρησεν. Αὐτῷ δ' ἐκείνῳ διὰ τὴν εἰς Χριστὸν πίστιν σύμμαχον τὸ Θεῖον γεγενημένον πᾶσαν τὴν

CAPUT XXXVIII.

Quæ Constantinus Sapori Persarum regi pro Christianis scripserit.

Postquam autem laudatissimus imperator Christicolas ibi ita affligi intellexit, ægre id ferens, magnopere est perturbatus. Et paratus quidem ad opem illis ferendam erat : sed quod faceret ut illi eo quoque loco quietam ducerent vitam, non habebat. Sed enim accidit ut legati tum ex Perside ei adessent; quorum optatis cum satisfecisset, recte se facturum putavit, si Sapori de Christianis qui sub ejus regno essent, quidquam etiam significaret. Itaque epistolam ad eum, dignam profecto illam quæ maxime celebretur, dedit : maximam se illi debiturum esse gratiam ostendens, si quietem eis qui sacra Christi colerent, permitteret. Neque esse quod religionis ejus cæremonias criminaretur : quippe illos non victimis mactatis, quemadmodum ipsos, sed incruentis gaudere sacrificiis; et preces ad Deum fundere, cui non effusus sanguis gratus esset, sed anima virtutem sincere exhibens, et dogmata veræ pietati maxime convenientia. Proinde laudandos eos esse magis, qui sibi ita credendum, Deumque colendum statuerunt. Ad hæc Deum illum propitium habiturum esse recepit, si Christianorum pietati consulendum putaret. Atque ad id indicandum, Galienum illum et Valerianum, præterea vero ea quæ et sub ipso accidissent, produxit. Illos enim, tantisper dum Christianos quiescere passi essent, facile imperii cursum tenuisse : **618** eosdem autem, potissi-

(1) Ἐπηρεάσατο τῇ πόλει, *insultavit oppido* (Sozomenus.)

enim vero Valerianum, priusquam, sicut reliqui imperatores Romani, persecutionem adversus Christianos excitasset, ab ipsis Persis victum, in custodiam divinæ vindictæ incidisse, et apud eos captivum misere vitam finisse. Sed et sibi ipsi, propter fidem in Christum, Deum opitulatorem fuisse, omnemque inde Romani imperii ditionem ab ipso usque occidentali Oceano, cum bona Orientis parte, in potestatem suam pervenisse: multa a se bella confecta, et de gravibus tyrannis divino nutu tropæa esse statuta. Ad quas res nihil sibi opus fuisse vel hostiarum mactatione, vel vatum hariolorumque prædictione: sed ad victoriam omnem satis fuisse solam crucis, quæ copiis suis præierit, armaturam, et orationem præterea sanguinis prorsus expertem. Ad finem porro epistolæ hæc etiam verba affert: « Hoc hominum genere, Christianorum dico (de his enim mihi est sermo omnis), quomodo me elatum iri lætitia putes, si audiam, Persarum quoque res florentissimas, pro eo atque cupio, plurimum exornari? ut res simul et tibi pulcherrime, et illis itidem optime, atque ita utrisque ex æquo feliciter eant. Sic namque universitatis hujus Deum clementem habiturus esses et benignum. Hos igitur, quando ea amplitudine es, tibi commendo. Hos ipsos, quoniam pietate quoque præclarus es, tibi humanitate et benevolentia complectere, a te ipso simul, et a nobis, per fidem, immensam initurus gratiam. » Tanta divino huic viro de omnibus qui ubivis locorum in cognitionem Christi venissent, inerat sollicitudo. Quapropter talis cum fuerit, abunde quoque divina cura fretus, Europa, Libya et plurimis Asiæ provinciis ditioni suæ subjectis, subditis suis, qui perlibenter ei paruere, benevolis usus est. Jam vero et ex Barbaris plurimi, partim sua sponte, partim bello subacti, non gravate eum coluere. Ubique denique tropæa excitata, victorem imperatorem eum promulgarunt.

Ῥωμαίων οἰκουμένην ἐπὶ μέγα γενέσθαι ἐποίησε· ἐκ τοῦ κατὰ δύσιν ἀρχομένην Ὠκεανοῦ, καὶ τὸ πολὺ τῆς ἕω ἐκδραμοῦσαν. Πολέμους δὲ πλείους καὶ τυράννους βαρεῖς τῇ ἐκεῖθεν τρεπομένους ῥοπῇ, μή τινων δεηθῆναι σφαγίων ἢ μαντειῶν, ἀλλ' εἰς νίκην ἀποχρῆσαι μόνον τὸ σταυρικὸν ὅπλον τοῦ στρατοῦ προηγούμενον· καὶ πρὸς τούτῳ εὐχὴν αἱμάτων ἀπηλλαγμένην. Κατὰ λέξιν δὲ καὶ ταῦτα πρὸς τῷ τέλει τῆς ἐπιστολῆς ἐπιλέγει· « Τούτου τοῦ καταλόγου τῶν ἀνθρώπων, λέγω δὴ τῶν Χριστιανῶν, ὑπὲρ γὰρ τούτων ὁ πᾶς μοι λόγος, πῶς οἴει με ἥδεσθαι ἀκούοντα, ὅτι καὶ τῆς Περσίδος τὰ κράτιστα ἐπὶ πλεῖστον, ὥσπερ ἐστί μοι βουλομένῳ, κοσμεῖται; Σοί τε οὖν ὡς ὅτι κάλλιστα, ἐκείνοις τε ὁμοίως ὑπάρχοι τὰ κράτιστα· ὅ ἐστι σοὶ κἀκείνοις. Οὕτω γὰρ ἕξεις τὸν τῶν ὅλων Θεὸν πρᾶον καὶ εὐμενῆ. Τούτους τοιγαροῦν, ἐπειδὴ τοσοῦτος εἶ, σοὶ παρατίθεμαι. Τοὺς αὐτοὺς δὲ τούτους, ὅτι καὶ εὐσεβείᾳ ἐπίσημος εἶ, ἐγχειρίζω. Τούτους ἀγάπα ἀκολούθως τῇ σαυτοῦ φιλανθρωπίᾳ· σαυτῷ τε γὰρ καὶ ἡμῖν ἀπερίγραπτον δώσεις διὰ τῆς πίστεως χάριν. » Τοσαύτη τις ἦν τῷ θείῳ τούτῳ ἀνδρὶ φροντὶς τῶν ἁπανταχοῦ Χριστὸν ἐγνωκότων. Διά τοι καὶ τοσαύτης τῆς θείας κηδεμονίας ἀπολαύσας ἀρκούντως, Εὐρώπην μὲν καὶ Λιβύην καὶ τὰ πλεῖστα τῆς Ἀσίας συσχὼν, εὔνους εἶχε τοὺς ὑπ' αὐτὸν μεθ' ἡδονῆς πειθομένους· ἤδη δὲ καὶ τῶν βαρβάρων οἱ πλεῖστοι, οἱ μὲν ἑκόντες, οἱ δὲ μάχῃ, ἕτοιμοι θεραπεύειν ἦσαν. Καὶ πανταχοῦ τρόπαια ἑστηκότα νικηφόρον τὸν βασιλέα ἐκήρυττον.

619 CAPUT XXXIX.

De vita monastica, unde ea initium sumpserit, quid ea profiteatur, et quos habuerit auctores.

Atque ipse quidem ejuscemodi actionibus suis effectum religionem nostram auctam honestatamque voluit. Sed et ipsa per se ipsam in magna fuit gloria, per eos qui tum ad virtutem aspirabant, homines. Multi enim adhuc ex confessoribus superstites erant, in ecclesiis enitentes. Quin etiam celebrem eam reddidere, fidemque ampliore gloria auxere, morum splendore, qui eo tempore monasticam solitariamque consectabantur vitam. Nam veluti arcana et divina quædam res, cœlitus ad homines delapsa est hæc philosophia: quippe quæ et disciplinarum artes, et disputationum nugas, ut quæ supervacaneæ sint, omnimque quod in studiis meliorbus poni queat, sibi vindicent, impedimentoque adeo ad puritatem vitæ sint, prorsus negligat: solaque nativa utens virtute, ea quæ ad illam perficiendam, et ad vitia tollenda faciunt, doceat et excolat: quæ vero inter hæc habentur media, eorum nullam ducat rationem, prorsus autem circa res versetur honestas: atque eos qui a vitiis longe

ΚΕΦΑΛ. ΛΘ'.

Περὶ τῆς μοναχικῆς πολιτείας, πόθεν ἤρξατο, καὶ τί ἐπαγγέλλεται, καὶ τίνας ἔσχεν ἀρχηγούς.

Καὶ ὁ μὲν τοιαῦτα πράττων, περιμανῶς εἶχε τὴν θρησκείαν γεραίρειν· αὐτὴ δὲ καὶ καθ' ἑαυτὴν μὲν εὐκλεὴς ἦν, διὰ τῶν τηνικάδε τὴν ἀρετὴν μετιόντων. Πολλοὶ γὰρ εἰσέτι τῶν ὁμολογητῶν περιῆσαν τῷ βίῳ, ταῖς ἐκκλησίαις ἐμπρέποντες. Οὐ μὴν δὲ ἀλλὰ καὶ ἐπίσημον ἐποίουν αὐτὸν, καὶ τὴν πίστιν δὲ τῇ τοῦ βίου λαμπρότητι ἐπὶ μέγα δόξης ἐπίμων, καὶ οἱ τηνικάδε τὴν μονοδικὴν μετερχόμενοι βιοτήν. Ὥς γάρ τι θεῖον καὶ ἀπόρρητον χρῆμα ἄνωθεν ἐς ἀνθρώπους ἡ τοιαύτη κατιοῦσα φιλοσοφία, ὡς ἐκλιπαν μὲν τῆς ἐν μαθήμασι τέχνης καὶ τῆς ἐν διαλόγοις λέσχης παντάπασιν ἀμελεῖ, ἅτε δὴ ταύτην περίεργον οὖσαν, καὶ τὴν περὶ τὰ κρείττω σχολὴν ὑφαιροῦσαν, ἐμποδών τε γινομένην πρὸς τὴν τῆς καθαρότητος βιοτήν· μόνῃ δὲ χρωμένη τῇ ἐκ φύσεως ἀρετῇ, τὰ πρὸς αὐτὴν συντελῆ, καὶ τὴν κακίαν ὅσα μειοῖ ἐκπαιδεύει· τὰ δὲ μέσα τούτων ἐν οὐδενὶ τίθεται· διόλου δὲ σύνεστι τοῖς καλοῖς· τόν γε μὴν πόῤῥω κακίας ὄντα, ἥκιστα δ' ἀντιποιούμενον ἀρετῆς, μοχθηρόν τινα νομίζει καὶ φαῦλον. Οὐ γὰρ

A ἐπίδειξιν ἐθέλει ποιεῖν ἀρετῆς, ἀλλὰ πράττειν μάλα αὐτὴν, ἐν οὐδενὶ τὴν παρ' ἀνθρώποις τιθεμένη δόξαν· γενναίως δ' ἔχουσα πρὸς τὰ τῆς ψυχῆς πάθη, τὰς τῆς φύσεως ἀνάγκας ἐν δευτέρῳ ποιεῖται, παρὰ φαῦλον ἡγουμένη, καὶ ὅσαι δὴ ἀσθένειαι σώματος. Νῷ δὲ θείῳ δυναμωθεῖσα, πρὸς τὸν ἀκήρατον ἐκεῖνον Νοῦν αἰωρεῖται, νύκτωρ καὶ μεθημέραν τοῦτον φανταζομένη· ὑπερφυῶς σέβουσα, καὶ διηνεκέσιν ἱλεουμένη τοῦτον εὐχαῖς. Τῷ δὲ καθαρῷ τῆς ψυχῆς καὶ τῶν καλῶν πράξεων ταῖς ἐνεργείαις εἰς τὸ εὖ τῆς θρησκείας ἡγμένη, τῶν μὲν ἔξωθεν καθαρμῶν, καὶ ὅσα δὴ τοιαῦτα περιῤῥαντήρια, διαπτύει. Ἓν γὰρ ἐκείνῃ μίασμα, ἡ ἁμαρτία λογίζεται. Οὕτω δὲ κρείττων γενομένη τῶν ἔξωθεν, καὶ ὡς οἷον εἰπεῖν αὐτοκρατοροῦσα, οὐθ' ὑπὸ τῆς ἀταξίας τοῦ βίου καὶ B τῆς ἀνάγκης, τῆς προαιρέσεως τοῦ δέοντος ἐκτροπὴν πάσχει, οὔτ' ἀνιᾶται ὑβριζομένη· ἀλλ' οὐδὲ πάσχουσα, τὴν ἄμυναν μελετᾷ. Νόσος δὲ καὶ τῶν ἐπιτηδείων ἡ ἔνδεια ἐκπιέζουσα, οὐ καταπίπτειν ποιεῖ. χαίρειν δ' ἐπὶ τούτοις μᾶλλον, τὸ γενναῖον ἐπιδεδειγμένη καὶ πρᾶον· καὶ παντὶ τῷ βίῳ τὸ τῶν ἐλαττόνων δεῖσθαι σπουδάζει, καὶ ὡς ἐνόν γε ἀνθρωπίνῃ φύσει, ἐγγὺς γενέσθαι πειρᾶται Θεοῦ. Πάροδον δὲ καὶ τὴν παροῦσαν ἡγουμένη ζωὴν, οὔτ' ἀσχολίαις πραγμάτων ἁλίσκεται, οὔτε πρόνοιαν τῶν παρόντων ἔχει· τὸ εὔζωνον δὲ καὶ ἀπέριττον ἐπαινοῦσα, πρὸς τὴν ἐκεῖθεν βλέπει μακαριότητα, καὶ πρὸς τὴν εὐδαίμονα λῆξιν καραδοκεῖ· πᾶσαν δὲ περὶ τὸ θεῖον εἰσοικισαμένη εὐλάβειαν, τὸ τῶν λόγων αἰσχρὸν ὡς ἀηδὲς ἀποσείεται· ὧν γὰρ τὴν C πρᾶξιν τῆς ἰδίας ἐξώρισε βιοτῆς, τούτων οὐδὲ μέχρι λόγων ἀνέχεται. Τὰς δὲ τῆς φύσεως χρείας κατὰ βραχὺ περιστέλλουσα, καὶ τὴν σάρκα τοῖς μετρίοις ἐθίζουσα, τῷ μὲν σώφρονι περιγίνεται τῆς ἀκολασίας· τὴν δ' ἀδικίαν πόῤῥω βάλλει τῇ περὶ τὰ δίκαια στάθμῃ· τὸ δὲ ψεῦδος ἀπελαύνει τῇ ἀληθείᾳ· τῷ δ' εὐτάκτῳ τὴν ἐν πᾶσι περιαιρεῖ ἀνισότητα· τῷ δὲ κοινωνικῷ τοῦ ἤθους καὶ τῷ τοῖς πέλας ὁμονοεῖν, τὸ πολιτεύεσθαι καλῶς καθιστᾷ. Πρόνοιαν δὲ καὶ ξένων καὶ φίλων μάλα ποιεῖται. Τοῖς δέ γε χρῄζουσι κοινὰ ἡγεῖται τὰ ἴδια. Τὰ προσήκοντα δ' ἑκάστῳ συναίρεται, χαίρουσα μὲν, οἷς ἔστι χαρά· ᾧ δὲ λύπης πρόσεστι, παραμυθίας οὐδὲν ἐλλείπουσα. Συνόλως δὲ, τὴν περὶ τὸ ὄντως ὂν ἀγαθὸν σπουδὴν D κατατείνουσα, σώφροσι λόγοις καὶ νοεροῖς νοήμασιν ἐκπαιδεύει, κάλλους ἀμελοῦσα τοῦ περιττοῦ. Καὶ τὸ κακηγορεῖν ἐπιμᾶλλον ἐκτρέπεται· σὺν αἰδοῖ δὲ, προσυφασμένης τιμῆς ἐπάγουσα τὴν διάλεξιν, οἷά τινι φαρμάκῳ θεραπεύει τὸν ἀκροώμενον. Πολλοῦ γε μὴν δεῖ ἐκείνῃ ὀργῆς τε καὶ λοιδορίας καὶ ἔριδος· καθαρῶς γὰρ οὖσα λογικὴ, παραιτεῖται πᾶσαν ἀλόγιστον κίνησιν. Καὶ ἁπλῶς εἰπεῖν, κυρία τῶν παθῶν γίνεται, ὅσα ψυχαῖς καὶ σώμασιν ἐπιγίνεται· τῆς δ' ἐνθέου ταύτης φιλοσοφίας ἄρξαι μέν τινες λέγουσιν Ἠλίαν ἐκεῖνον τὸν ζηλωτὴν, τινὲς δὲ Ἰωάννην τὸν Βαπτιστήν. Φίλων δ' ἐκεῖνος, ὁ τὸ γένος μὲν Ἑβραῖος, τὴν δ' αἵρεσιν Πυθαγόρειος, ἐν τοῖς κατ' αὐτόν φησι χρόνοις, τοὺς παρ' Ἑβραίοις σεμνοὺς εἰς χῶρον τινὰ γεώλοφον περὶ

A absint, virtutem autem minus consectentur, pravos atque improbos censeat. Non enim ostentare vult virtutem, sed eam sedulo exercere: nihil prorsus eam, quæ ab hominibus provenit, gloriam faciens. Et cum generose fortiterque animæ perturbationes expugnat, tum necessarias naturæ res parum admodum curat, vilipendens etiam quascunque corporis imbecillitates. Viribus autem a divina Mente acceptis, ad immortalem illam Mentem sublimis tollitur, nocte dieque illam cogitans atque intuens, mirificis etiam modis colens, continuisque precibus concilians. Puritate vero animi, bonorumque operum factis, ad sinceritatem religionis grassans: externas expiationes, et quæcunque ejus generis sunt lustrationes despuit, et unum B piaculum esse peccatum ipsum putat. Atque ita rebus externis superior facta, imperiumque (ut ita dicam) in eas obtinens, neque ab inordinata vita, neque ab ulla necessitate, ab honesto debitoque proposito suo transversa agitur, neque contumeliis affecta perturbatur. Sed neque indignum quidquam patiens, vindictam **620** meditatur. Tantum etiam abest, ut vel morbus, vel rerum necessariarum inopia, eam adurgens, de statu suo deturbet, ut talibus quoque ærumnis magis lætetur, generositatem et mansuetudinem suam declarans. Per vitam itidem omnem illud studet, ut quam minimo indigeat, atque quantum humanæ naturæ captus permittit, proxime ad Deum accedere nititur. C Transitum autem, sive diverticulum præsentem existimans esse vitam, neque occupationibus negotiorum irretitur, neque providentia rerum præsentium tenetur. Et vitam tenuem et a cura harum rerum expeditam ac liberam, nullisque superfluis oneratam, laudans, ad futuram respicit beatitudinem, felicemque illam quietem exspectat: omni quoque erga Deum pietate in animo suo veluti in domicilio excepta, verborum fœditatem, ut rem ingratam, repudiat. Quas enim illa actiones a moribus suis longe proscripsit, earum neque mentionem verbis facere sustinet. Naturæ vero necessitates paulatim constringens, et carnem moderatione domans, lasciviam castitate comprimit, injustitiam æquitatis amussi propellit, mendacium D exigit veritate, composito vivendi more omnem accidit inæqualitatem. Familiaribus etiam pro societate humana se hominum moribus accommodando, et proximorum animis conformando, bene vivendi institutum confirmat: extraneorum simul et amicorum, ut eis provideat, curam habet: egentium res suas et opes ducit esse communes, et quæ cuique debentur tribuit. Gaudet illa cum gaudentibus, mœrentibus nihil non adhibet consolationis. In summa, ad id quod revera summum bonum est, studium omne convertens, sermonibus castis et cogitationibus spiritualibus se ipsam erudit, cultum formæ superfluum prorsus negligit, maledicta magnopere aversatur: colloquia cum veneratione et honoris præfatione ingreditur, au-

ditorem prius veluti medicamento curans. Longe ab ea abest iracundia, convicium, jurgium. Quod enim vera ratione prædita est, irrationalem omnem declinat motum : et, ut semel dicam, perturbationum, quæ vel in anima, vel in corpore sunt, omnium domina exsistit. Verum enimvero auctorem divinæ istius philosophiæ quidam laudant Heliam illum æmulatorem, quidam vero Joannem Baptistam. Philon autem ille, genere Hebræus, secta autem Pythagoreus, temporibus suis Judæos quosdam, viros graves et venerandos, dicit **621** in regione quadam frequentes habente tumulos, circa lacum Maræoticum ad Alexandriam pertinentem, novum philosophandi morem complexos esse : quorum domicilia, vitæ consuetudinem, aliaque instituta omnia, talia aliquis esse ex descriptione ejus colligat, qualia prisci apud Ægyptios monachi sunt consectati. Nam vitæ id genus ingressi, possessiones suas propinquis relinquebant : ac rebus omnibus nuntio remisso, extra oppida vivebant, atque in hortis quibusdam et agris solis habitabant. Erant autem eis et mansiones, quæ monasteria recte dicantur, ubi solitarii cum gravitate et sanctitate sacris initiabantur, carminibusque divinis, hymnis et psalmis Deum laudabant atque colebant. Nullus horum prius cibum, quam sol occidisset, capiebat. Fuere etiam, qui tribus aut pluribus quoque diebus sine alimento perseverarent : vino autem et sanguinolentis prorsus abstinerent, certisque diebus consulto humi decumberent. Cibus eis erat panis, sal et hyssopum : potus, aqua. Prope eos mulieres etiam vetulas fuisse scribit, quæ philosophiæ ejus amore, eumdem vitæ cursum delegerint. Quapropter et consilio voluntario cœlibatum consectatæ, vitam ita transigebant. Philon sane in libro quem *De Vita contemplativa*, sive *supplicum*, inscripsit, memoriæ hæc mandavit. Videtur autem eos significare, qui ex Hebræis tum nuper admodum Christianismum susceperint, Judaicis adhuc opinionibus præditos, moresque eorum servantes. In nulla enim gente alia, præterquam apud nos, tale vitæ institutum inveniatur. Equidem ab illis Ægyptiis tantopere hoc vivendi genus invaluisse conjicio. Sunt vero qui dicunt, persecutionum tempora huic instituto derepente primum causam præbuisse. Cum enim a tyrannis religio exagitaretur, qui sibi fuga consulebant, in montibus incultis et saltibus quibusdam versabantur, in quibus ne deprehensi caperentur, de industria errabundi sedes mutabant. Et cum ei vitæ assuevissent, paulatim deinceps institutum id ad mortem usque producebant : et ad magna incrementa, multis per æmulationem conversationem talem et vitam subeuntibus, transmittebant.

A τὴν Μαρείαν λίμνην κείμενον, Ἀλεξανδρείᾳ προσήκοντα, ξένην φιλοσοφίαν μετέρχεσθαι· ὧν οἴκησιν καὶ πολιτείαν καὶ τὴν ἄλλην ἅπασαν ἀγωγὴν τοιαύτην εἶναί τις εἰκάσειεν ἐξ ὧν καταλέγει, οἵανπερ καὶ οἱ πάλαι μοναχοὶ ἐν Αἰγύπτῳ μετήρχοντο. Τοῦ γὰρ φιλοσοφεῖν ἀρχόμενοι, τοῖς προσήκουσι τῶν ὄντων ἐξίστανται· πᾶσι δ' ἀπαγορεύοντας, ἔξω τειχῶν γίνεσθαι· καὶ κήποις δή τισι καὶ μοναγρίοις τὰς διατριβὰς ἔχειν. Εἶναι δὲ αὐτοῖς καὶ καταγωγὰς, ἃ μοναστήρια καλεῖν θέμις· οἷα ἰδιάζοντας, σεμνῶς μυεῖσθαι· ᾠδαῖς δὲ θείαις καὶ ὕμνων ψαλμοῖς τὸν Θεὸν θεραπεύειν. Μή τινα δὲ τούτων ἐντυγχάνειν τροφῇ, πρὶν ἥλιος περὶ γῆν γίνεται. Εἰσὶ δὲ οἳ καὶ διὰ τριῶν ἡμερῶν καὶ πλειόνων τροφῆς ἄγευστοι διαμένουσιν. Οἴνου δὲ B καὶ ἐναίμων πάμπαν ἀπέχονται. Ῥηταῖς δ' ἐν ἡμέραις καὶ χαμευνεῖν αἱροῦνται. Τὸ δ' ὄψον αὐτοῖς ἄρτος καὶ ἅλες εἰσὶ καὶ ὕσσωπον, καὶ ὕδωρ ποτόν. Εἶναι δ' ἐγγὺς καὶ γυναῖκας γηραλέας, δι' ἔρωτα φιλοσοφίας τὸν ἴσον δρόμον αἱρουμένας βιοῦν φησι· διὸ καὶ γνώμῃ ἑκουσίῳ τὴν ἀγαμίαν ἀσκοῦσαι, τὸν βίον παρέλκουσιν. Ὁ μὲν δὴ Φίλων τοιαῦτα ἱστορῶν ἐν λόγῳ ὃν *Περὶ βίου θεωρητικοῦ ἢ ἱκετῶν* ἐπιγράφει, ἔοικε τοὺς ἐξ Ἑβραίων ἄρτι πρώτως Χριστιανίσαντας ὑποφαίνειν, Ἰουδαϊκώτερον ἔτι διακειμένους, καὶ τὰ ἐκείνων ἤθη τηροῦντας. Ἐν ἄλλῳ γὰρ ἔθνει τοιαύτην βίου διαγωγὴν πλὴν ἡμῶν οὐκ ἔστιν εὑρεῖν. Καί γε συμβάλλω ἐξ ἐκείνων ἐν Αἰγύπτῳ τήνδ' ἀκμάσαι τὴν πολιτείαν. Εἰσὶ C δὲ οἵ φασι καὶ τοὺς κατὰ καιρὸν διωγμοὺς ταύτην σχεδιάσαι πρώτως τὴν ἀγωγήν· τῆς γὰρ θρησκείας ἐκπεπολεμωμένης, φεύγοντες ὄρεσιν ἀγρίοις καὶ νάπαις τισὶ διῃτῶντο· οἷς μὴ ἁλῶναι ταῖς πλάναις διὰ σπουδῆς ἐποιοῦντο. Ἐθάδες δὲ τοῦ βίου γενόμενοι, κατὰ μικρὸν ἀποπληρῶσαι τῇ διαίτῃ τὸν βίον, εἰς μέγα τ' ἐπιδοῦναι, πολλῶν κατὰ ζῆλον ὑποδυομένων τὴν πολιτείαν.

622 CAPUT XL D

De vita et instituto clarissimi inter monachos Antonii Magni, et sectatoribus ejus : et de Paulo Simplici.

Sedenim sive Ægyptii, seu priores illi, quos diximus, aut etiam alii quicunque instituti hujus auctores fuere, et ejusmodi philosophia alii præiere, illud quidem certe nemo non confitetur, ad summum, et moribus ipsis, et accurata vivendi ratione, institutum hoc, ita ut opinio obtinet, exercuisse celebrem illum et magnum Antonium : *quem tum in Ægypti* montibus viventem, propter

ΚΕΦΑΛ. Μ'.

Περὶ βίου καὶ ἀγωγῆς τοῦ περιβοήτου ἐν ἀσκηταῖς Ἀντωνίου τοῦ μεγάλου, καὶ τῶν αὐτοῦ μαθητῶν, καὶ Παύλου τοῦ Ἁπλοῦ.

Εἴτ' οὖν Αἰγύπτιοι, εἴθ' οἱ πρότερον εἰρημένοι, ἢ ὁποιοιδή τινες τοῦ τοιούτου βίου κατῆρξαν, καὶ τῆς τοιαύτης φιλοσοφίας προὔστησαν, τοῦτό γε μὴν πᾶσιν ἀνωμολόγηται, ὡς εἰς ἄκρον ἔν τε ἤθεσι καὶ ἀκριβεῖ πολιτείᾳ τὴν τοιαύτην δίαιταν ἐξασκῆσαι λόγος ἔχει τὸν πολὺν ἐκεῖνον καὶ μέγαν Ἀντώνιον· ὃν τηνικαῦτα τοῖς κατ' Αἴγυπτον ὄρεσι διατρίβοντα διὰ τὸ τῆς ἀρετῆς περιὸν, γνήσιον ἐποιεῖτο φίλον

Κωνσταντῖνος ὁ περιβόητος βασιλεύς· τιμῶν τε πυκνοῖς γράμμασι, περὶ ὧν αἱρεῖται γράφειν ἠρέθιζεν. Ἦν δὲ οὗτος τῷ γένει Αἰγύπτιος, τὰ πρῶτα τῆς πατρίδος φερόμενος, ἀπὸ κώμης οὕτω λεγομένης Κομᾶ· ὅμορος δ' αὕτη Ἡρακλείᾳ τῶν παρ' Αἰγυπτίοις Ἀρκάδων. Ἐν νέᾳ δὲ ἡλικίᾳ καταλειφθεὶς ὀρφανὸς, ὅσοι μὲν αὐτῷ προσῆσαν ἀγροὶ, τοῖς συγχωρίταις εἴασε, τὴν δὲ λοιπὴν περιουσίαν τοῖς δεομένοις ἀπέδοτο· δεῖν γὰρ ᾤετο τὸν φιλοσοφεῖν σπεύδοντα μὴ μόνον ἀφιέναι τὰ χρήματα, ἀλλὰ καὶ προσηκόντως καταναλίσκειν τοῖς χρῄζουσι. Καὶ δὴ τοῖς τηνικάδε περὶ τὰ καλὰ σχολὴν ἔχουσιν ἑαυτὸν συμμίξας, τὰ κράτιστα τῶν ὅλων ἐζήλωσεν. Εἰδώς γε μὴν τὸν ἄριστον βίον τῇ συνηθείᾳ ἡδὺν ἐσόμενον, εἰ καὶ χαλεπός τις εἴη ταπρῶτα, τὰς συντόμους μᾶλλον καὶ τελείας τῶν ἀρετῶν ἐπεμέλετο. Καὶ καθ' ἑκάστην ὡσανεὶ ἀρχὴν βαλόμενος, ἐπιμᾶλλον τῇ καθόλου ἐγκρατείᾳ ἐχώρει, νεαράν τινα καὶ ἀκμάζουσαν ὁσημέραι προθυμίαν αὐχῶν. Καί γε τὰς μὲν τοῦ σώματος ἡδονὰς ἐκολάσατο ταῖς περὶ αὐτὸ ἐπιμόνοις ταλαιπωρίαις· τὰς δὲ τῆς ψυχῆς ἀτάκτους ὁρμὰς κατέστειλε τῷ ἀνενδότῳ τῆς προαιρέσεως. Ἅπαξ δ' ἐσιτεῖτο ἡμέρας ἡλίου δύνοντος· πολλάκις δὲ καὶ ἐς δύο καὶ τρεῖς ἡμέρας ἀπόσιτος ἔμενεν. Ἡ δὲ τροφὴ ἄρτος ἦν, καὶ ἁπλοῦν ὄψον οἱ ἅλες· τὸ δὲ ποτὸν ὁ παραῤῥέων αὐτῷ χείμαῤῥος ἐχορήγει. Διὰ πάσης δ' ἀγρυπνῶν ὡς εἰπεῖν ἀεὶ τῆς νυκτὸς, καί τι τῆς ἡμέρας μέρος ἐλάμβανε ταῖς εὐχαῖς. Εἰ δέ που καὶ ὕπνος παρώδευε, βραχύς τις μάλα προσῆν. Χαμαὶ δ' ἐπὶ ψιλοῦ κείμενος τοῦ ἐδάφους τὰ πολλὰ διετέλει. Παντάπασι δ' ἀπείπατο ἐλαίου τε χρίσιν καὶ λούτρων χρείαν, εἰδὼς τὴν σύντονον ἕξιν τοῦ σώματος ἠρέμα πρὸς τὸ ἀνειμένον καὶ χαῦνον τοῖς ὑγροῖς στρεφομένην. Ἥκιστα δέ φασι καὶ γυμνὸν αὐτὸν ὀφθῆναί ποτε. Γράμματα δὲ μὴ μαθὼν, οὐδὲ τὸν εἰδότα διὰ θαύματος εἶχε. Νοῦν δ' ἀγαθὸν ὡς γραμμάτων πρεσβύτερον καὶ τῶν τοιούτων εὑρετὴν μάλα ἐπῄνει· μηδὲ γὰρ εἶναι τούτων ἀνάγκην, τοῦ νοῦ ἐῤῥωμένως ἔχοντος. Πρᾶος δ' εἴπερ τις καὶ φιλάνθρωπος γεγονὼς, χαρίεις μάλιστα τοῖς ἐντυγχάνουσιν ἦν, ὀξύς τε καὶ ἀκαταγώνιστος. Διαλεγόμενος δ' ἐπιμᾶλλον, τὸ μὴ λυπεῖν ἐφυλάττετο, εἰ καί τινες ἐριστικῶς τέως αὐτῷ προσεφέροντο. Κρείττονι γὰρ σοφίᾳ τινὶ καὶ παραξένῳ τῷ ἤθει σὺν ἐπιστήμῃ θείᾳ ῥιπιζομένην φιλονεικίαν εὐχερῶς καταστέλλειν εἶχε, καὶ πρὸς τὸ μετριώτερον μεθιστᾷν. Κιρνῶν δὲ τὸ σύντονον τῶν διομιλούντων, καὶ τρόπους ἐῤῥύθμιζε. Θείας δ' ἐντεῦθεν γνώσεως καὶ προγνώσεως μετασχὼν, οὐδὲν ἡγεῖτο τὶ μέλον εἰδέναι· εἰκαίαν δ' εἶναι καὶ τὴν περὶ τοῦτο σπουδὴν ἔλεγεν, ὅτι μηδ' ἀρετὴν εἶναι τὴν πρόγνωσιν ὑπετίθει· ἐπεί τοί γε μηδ' ἐν εὐθύναις πάλιν τὸν μὴ εἰδότα τὸ μέλλον ὑπάγεσθαι. Ἓν γὰρ εἶναι τὸ μακάριον ὑπενόει, καλῶς τὸ Θεῖον σέβειν, τούς τε νόμους αὐτοῦ καὶ τὰς ἐντολὰς ἀπαρατρώτους τηρεῖν. Εἰ δέ τῳ ἔρως καὶ τοῦ προ-

virtutis præstantiam, germanum sibi amicum fecit clarissimus imperator Constantinus, frequentibus ad eum datis litteris hominem honorans, et ut de quibus rebus vellet (1), ad se scriberet, rogans. Fuit autem is genere Ægyptius (2), primas in patria sua partes ferens, in vico cui nomen erat Coma ortus, qui finitimus est Arcadum (3), quæ apud Ægyptios est Heracleæ. In juvenili autem ætate relictus a parentibus orphanus, quidquid ei fuit agri, loci ejus incolis donavit, reliquam substantiam egentibus distribuit. Ita enim decere existimavit, ut qui philosophari constituisset, non solum pecunias relinqueret, sed etiam pro eo atque deceret, inopibus eas expenderet. Sane quidem qui tum rebus pulchris vacarent, eis se conjungens, quæ in unoquoque eorum præstantissima essent, ea est æmulatus. Quod namque sciret optimam quamque vitam consuetudine dulcem gratamque fieri, quamvis gravis primum sit et molesta, in compendiosis perfectisque se magis exercuit virtutibus. Et quotidie quasi principio jacto, magis ac magis in universa animi moderatione proficiebat, novam quamdam et vigentem indies præ se ferens alacritatem. Et corporis quidem voluptates ærumnis ejus jugibus suppressit, animæ autem inordinatos impetus pertinacia propositi sui constrinxit. Semel autem interdiu post occasum solem cibum sumpsit. Persæpe vero biduum totum, quandoque etiam triduum, escas non attigit. Cibus ei erat panis, obsonium simplex sal, potum præterfluens torrens præbuit. Per totam autem semper propemodum vigilans noctem, aliquam etiam diei partem precationibus dabat. Quod sicubi somnus ei obrepsisset, brevis is admodum fuit : humi vero in nudo solo plurimum cubabat. **623** Et omnino olei simul unguini, et lavationis usui renuntiaverat : quod illum non lateret, robustnm quoque et firmum corporis habitum humidis sensim ad mollitiem et luxum converti. Haud unquam eum a quopiam nudum esse visum tradunt. Et cum litteras ipse non didicit, tum neque earum peritos admiratus est. Mentem vero bonam ut litteris ipsis antiquiorem, taliumque adeo artium inventricem, valde laudavit. Quin neque iis quidquam opus esse dixit, si mens per seipsam valida sit. Mitis porro atque humanus, ut non magis alius quisquam, et in colloquiis gratiosus maxime, atque item acutus invictusque fuit. In disputationibus præcipue, etiam si qui interdum contentiose cum eo conflictarentur, ne molestus esset, cavebat. Præstantiori siquidem sapientia quadam, et novo more, una cum divina prudentia, temere illatum contentionis studium facile contrahere, et ad moderationem conformare noverat. Vehementiam autem collocutorum temperans, mores eorum simul reddebat meliores. Divinam inde cognitionem, atque etiam

(1) Καὶ ὧν ἐδεῖτο. (Sozom.) Hoc est, *De rebus quibus indigeret.*

(2) Τῷ γένει τῶν εὐπατριδῶν. (Sozom. lib. I, cap. 13) Hoc est, *claro loco natus.*

(3) Τοῖς παρ' Αἰγυπτίοις ἄκροισι. (Sozom.) Hoc est, *Ægyptiorum montibus.*

præcognitionem consecutus, nihil admodum esse judicabat futura prævidere: vanumque etiam, quod in ea re collocaretur, studium esse dicebat. Neque virtutem ullam esse docuit divinare: quod e diverso, neque in vitio, cujus gratia pœnam quis metuat, sit, futurum non nosse. Cæterum unum illud beatitudinis esse existimabat, rite Deum colere, legesque ejus et mandata inviolata servare. Si cui autem amor futura cognoscendi incessat, puram modo, inquit, habeat animam, et futuri perspectio eum consequetur, Deo veluti per speculum aliquod cognitionem futuri exhibente. Socordiam autem detestans, omnes qui recte vivere vellent, admonuit, ut opus facerent: et ut seipsum quisque in judicium et rationem diu noctuque factorum adduceret, atque si quid contra decorum fecisset, ut id litteris adnotaret. Sic enim fore, ut seipsum vereatur homo, et deinceps ab absurdis animi motibus, ne multa adnotata reperiat, abhorreat: fore etiam ut metuat, ne scriptura tali a quopiam deprehensa, improbus ipse manifesto inveniatur. Acriter quoque, si qui injuriam accepissent, defendebat, eaque causa frequenter urbes adibat. Multi namque eum accedentes, calamitatesque suas deplorantes, cogebant ut urbes ingrederetur, et pro eis precator atque intercessor apud magistratus fieret. **624** Illi porro plurimi faciebant, si ipsum viderent, et Sirenem verborum ejus audirent, et imperanti parerent. Ipsi enim studio in primis fuit, latere, et in solis locis versari. Et quod eo esset animo, si quando in publicum prodiret, confecto quanta potuit celeritate, cujus gratia in urbem venerat, negotio, rursum se in solitudinem recipiebat. Siquidem dicere solitus erat, lethalem esse piscibus extra undas conversationem: neque minus monachum in periculum cœlestis vitæ et professionis sanctioris amittendæ venire, si moras in urbibus trahat. Et cum jucundum se omnibus præbuit, tum ne submissus nimium et adulator esse videretur: præterea ne ex eo quod ab omnibus honore afficeretur, quodque ei quos jussisset, morem gererent, fastu et arrogantia efferretur, curavit. Scribenti aliquando Constantino ad se ut veniret, mirifice enim hominem amabat, detrectavit id primum, dicens: Siquidem ad imperatorem venero, Antonius ero; sin minus, abbas Antonius. Atque eo tandem modo ad illum adire sustinuit. Verum hæc tanquam gustus quidam et exigua imago Antonii vitæ et instituti, sint exposita: ut ex his universam ejus, qualis fuerit philosophiam colligamus. Quam rebus omnibus optimus Athanasius, cui etiam fuit charissimus, copiose memoriæ posteritatis litteris mandavit: certaminibus ejus contra dæmones, et artibus quas adversus illos adinvenit, aliisque vitæ prodigiis et rebus quibusvis conscriptis, ut liber is monastici instituti ceu descriptio quædam esset. Itidem ut idem Athanasius in Vita Syncletices (1) fecit, ut,

A εἰδέναι ἐνέσκηψε, καθαρὸς εἴη ψυχὴν, ἔλεγε· καὶ τὸ διορᾷν τὸ μέλλον ἕψεται, τοῦ Θεοῦ διά τινος ἐσόπτρου τὴν τῶν ἐσομένων γνῶσιν παραδεικνύοντος. Μισῶν δὲ τὴν ἀργίαν, πᾶσι τοῖς καλῶς βιοῦν αἱρουμένοις, παρῄνει ἐργάζεσθαι· ὑπὸ κρίσιν τε καὶ λόγον ἄγειν αὐτὸν, ὧν νύκτωρ καὶ μεθημέραν ἐγένετο αὐτουργός· κἄν τι μὴ δεόντως ἐπράχθη, γράμμασιν ἐγχαράττειν· ὡς ἄν γε δι' αἰδοῦς αὑτὸν ἔχῃ, τοῦ λοιποῦ τῶν ἀτόπων τοῦ νοῦ κινημάτων φειδόμενος μὴ πολλὰ εὕροι τὰ γεγραμμένα· φόβῳ τε καὶ τοῦ μὴ δῆλος ποτὲ γενέσθαι, μοχθηρὸς ὢν, φωραθείσης τινὶ τῆς γραφῆς. Ναὶ μὴν καὶ τῶν ἀδικουμένων σφοδρῶς ὑπερίστατο· διά τοι καὶ ἐπὶ τὰς πόλεις ἐφοίτα· πολλοὶ γὰρ προσιόντες ἐβίαζον ἥκειν, τὰς οἰκείας συμφορὰς ὀδυρόμενοι, καὶ πρεσ- B βεύειν ἐδέοντο τοῖς ἐν τέλει. Περὶ πλείστου γὰρ ἐκείνοις ἦν ἰδεῖν τε αὐτὸν καὶ ἀκοῦσαι τῆς τῶν λόγων σειρῆνος, καὶ πειθαρχῆσαι κελεύοντι. Πάνυ γὰρ τὸ λανθάνειν εἶχε διὰ σπουδῆς καὶ ἐν ἐρημίαις κρύπτεσθαι. Καὶ ταῦθ' οὕτως ἔχων, καὶ τοίνυν εἴποτε φανείη, διαθεὶς ὅσον τάχος ἐφ' ὅτῳ καὶ ἧκεν, ἀνεχώρει αὖθις. Ἰχθύσι μὲν γὰρ θάνατον ἐπάγειν ἔλεγε τὴν ἔξω τοῦ ὑγροῦ δίαιταν· ἀπόλλοι δ' ἂν καὶ μοναχὸς τὴν κατὰ Θεὸν βιοτὴν καὶ τοῦ σχήματος τὸ σεμνὸν, χρονίζων ταῖς πόλεσι. Πᾶσι δ' οὖν κεχαρισμένον ἑαυτὸν παρέχων, ἐπεμέλετο μήτ' ἀγεννῆ καὶ κόλακα εἶναι δοκεῖν, μήτε πρὸς τῦφον ἐξάγεσθαι τῷ διὰ πάντων τιμᾶσθαι, καὶ οἷς ἂν κελεύοι πείθεσθαι. Ἐπιστέλλοντι δὲ καὶ Κωνσταντίνῳ παρ' C αὐτὸν ἥκειν, ὑπερφυῶς γὰρ ἐφίλει Ἀντώνιον, ἀπηξίωσεν ἐπειπών· Ἥκων μὲν ἐς βασιλέα, Ἀντώνιος ἔσομαι· μὴ τοῦτο δὲ πράξας, ἀββᾶς Ἀντώνιος. Καὶ τούτῳ τῷ τρόπῳ τὴν ἐπ' ἐκεῖνον πορείαν ἀνέσχεν. Ἀλλὰ γεῦμα ταῦτα καὶ βραχὺς χαρακτὴρ τῆς Ἀντωνίου διαίτης καὶ πολιτείας. Εἴρηται δ' ἵνα ἐκ τούτου τὴν ὅλην ἐκείνου φιλοσοφίαν, ὅση τις ἦν, ὑπολογισώμεθα· ἣν ὁ τὰ πάντα ἄριστος Ἀθανάσιος καὶ αὐτῷ διαφερόντως φιλούμενος, πρὸς λεπτὸν ἱστορήσας ἐξέδωκε τὰς μετὰ δαιμόνων πάλας αὐτοῦ, καὶ τὰς ἐξευρημένας τέχνας αὐτῷ κατ' αὐτῶν, καὶ τὰ λοιπὰ τοῦ βίου τεράστια, καὶ πάνθ' ἕκαστα διαγράψας, ὡς ὅρον εἶναι μοναδικῆς πολιτείας τὸ σύγγραμμα. Ὁποῖα δὴ ὁ αὐτὸς Ἀθανάσιος κἀν τῷ βίῳ συγκλητικῆς ἔπραξεν, ἀνδρῶν μὲν πολιτείαν ἐντεῦ- D θεν, γυναικῶν δ' ἐκεῖθεν ὑποτιθεὶς ὡς ἐν πλάσματι διηγήσεως. Πολλοὺς δὲ καὶ φοιτητὰς ἔσχε, δοκίμους τε καὶ τὸν διδάσκαλον ἀποχρώντως ἐνδεικνυμένους, τῇ τε παιδείᾳ καὶ φιλοσοφίᾳ καὶ τῇ λοιπῇ ἀρετῇ. Ὧν οἱ μὲν ἐν Αἰγύπτῳ καὶ Λιβύῃ, οἱ δ' ἐν Παλαιστίνῃ καὶ Συρίᾳ καὶ Ἀῤῥαβίᾳ, τὸ φιλοσοφεῖν ἐπεδείξαντο. Περὶ πλείστου δ' ἦσαν καὶ οὗτοι καὶ οἱ τούτων διάδοχοι ὡς ἔργον ποιεῖν πάντας τοὺς Θεῷ ᾑρημένους βιοῦν, καὶ αὐτοὺς ἐκζητεῖν, καὶ παρ' αὐτῶν τὸ ποιητέον ἀναδιδάσκεσθαι, σπεύδοντας ἐπιμελῶς κρύπτεσθαι, οὐχ ἧττον ἤπερ οἱ νῦν τύφῳ καὶ διακένῳ φιλοτιμίᾳ σοβοῦντες διὰ τῆς ἀγορᾶς ἐκπομπεύουσι. Πολλοὶ μὲν οὖν τῶν αὐτοῦ ἐγένοντο εὐδόκιμοι φοιτηταί· καὶ Παῦλος δ' ἐκεῖνος, ὃς ἐξ

(1) In Vitis Patrum, Syncletice inter sacras abbatissas allegatur.

ἀρετῆς Ἁπλοῦς ὠνομάσθη· ὃν λόγος ἀγροικίᾳ συζῶντα, ὡραίᾳ δὲ καὶ τὸ εἶδος γυναικὶ συνοικοῦντα, ἐπεὶ ἐπ' αὐτοφώρῳ μοιχευομένην συνέβαινε κατιδεῖν, σεμνὸν μειδιάσαντα σὺν ὅρκῳ ἀπειπεῖν τὴν συνάφειαν· διαφέντα δ' εὐθὺς, χωρεῖν πρὸς Ἀντώνιον. Πρᾶον δὲ μάλα γενέσθαι καὶ ὑπακοὴν διαφερόντως ἀσκῆσαι λέγεται· ἀνθαμιλλᾶσθαι δὲ καὶ πρὸς τοὺς ἀσκητικοὺς ἀγῶνας τῷ διδασκάλῳ, πεῖραν ἐπάγοντι τὴν παντοδαπὴν, καὶ μηδὲν ἀγεννὲς τῇ μιμήσει φωράσαι. Ἐντελὲς δ' αὐτῷ τὸ τῆς ἀρίστης πολιτείας καὶ φιλοσοφίας ἐπιμαρτυρήσας, μὴ δεῖν ἐκείνῳ διδασκάλου τουλοιποῦ ἔλεγε. Φιλοσοφεῖν δ' ἐν αὐτῷ διάγοντα· καὶ ταῦτα γηραλέῳ τε ὄντι, καὶ μὴ ἐκ παιδὸς τὴν ἄσκησιν μελετήσαντι, ἄρτι δὲ παριόντι πρὸς τὸν ἀγῶνα. Ἐκύρου δὲ καὶ Θεὸς ἄνωθεν τὰ ἐψηφισμένα τῷ Ἀντωνίῳ· καὶ ἐν οὐ πολλῷ B ἐπίσημον ἐποίει τὸν ἄνδρα. Ἄμεινον δ' εἶχε τοῦ διδασκάλου δαίμοσί τε παλαίειν, καὶ αὐτοὺς ἀπελᾷν.

A sicuti in hoc mulieres, ita in illo scripto viri, quod sequerentur institutum, tanquam in commentario expressum, haberent (1). Habuit autem discipulos multos, probatos admodum, et qui magistrum vitæ institutione, sapientiæ studio, et virtute reliqua satis feliciter retulerunt. Qui partim in Ægypto et Libya, partim in Palæstina, Syria et Arabia sunt philosophati. Præstantissimi sane ii sunt, atque itidem successores eorum. Ita ut ingentis esset laboris iis qui Deo vitam suam dicarant, eos inquirere, atque ab eis, quæ sibi facienda esset, addiscere : præsertim cum illi magna cura, ut et ipsi et eorum facta laterent, studerent : non perinde scilicet, atque nostrorum temporum homines plurimi, facientes, qui fastu et ambitione inani insolenter per forum sese inferentes venditant. **625** Multi sane spectati fuere sectatores ejus : et in primis Paulus ille, qui ex virtute Simplex est cognominatus. Quem ferunt rusticam vitam agentem, et cum formosa conjuge habitantem, et posteaquam eam in flagranti crimine cum mœcho concumbentem vidisset, graviter subridentem, adhibito jurejurando, conjunctioni ejus renuntiasse : eaque statim dimissa, ad Antonium pervenisse. Mitis vero admodum fuisse, et obedientiam præcipue coluisse dicitur. Monasticis quoque studiis et certaminibus cum magistro contendit, omnem adhibente curam atque diligentiam, ne quid quod ab illo degeneraret, in imitatione ejus deprehenderetur. Qui sane testimonium ei perfectionis in optimo instituto, monasticaque philosophia perhibens, nihil ei deinceps præceptore opus esse dixit ipsum quippe per seipsum philosophari egregie admodum, jam senem : qui scilicet studium id non a puero esset meditatus, sed non ita pridem ad certamen tale descendisset. Sed et Deus cœlitus, quæ de eo Antonius pronuntiaverat, auctoritate sua confirmavit : brevique ita clarum reddidit virum, ut melior etiam præceptore, ad dæmones lucta supplantandos atque propellendos esset.

ΚΕΦΑΛ. ΜΑ'.

C

Περὶ τοῦ ἁγίου Ἀμοῦν, καὶ Εὐτυχιανοῦ τοῦ ἐν τῷ Ὀλύμπῳ.

Χρόνῳ δ' ἐκείνῳ καὶ Ἀμοῦν ἐκεῖνος ἤκμαζεν· Αἰγύπτιος δὲ καὶ οὗτος ἦν· ὃς γυναικὶ συζυγεὶς, τῶν οἰκείων βιασαμένων, μὴ πειραθῆναι ταύτης, ᾗ θέμις ἐστὶν ἀνδράσιν. Ἐπεὶ γὰρ ὁ γάμος συνίστατο, καὶ τῇ νύμφῃ ὡς ἔθος ἐθαλαμεύετο, μόνος μόνῃ συνὼν, πέρας μὲν ἤδη ἔχειν τὸν γάμον διωμιλεῖτο· ὑπετίθει γε μὴν μέγα εἶναι τὸ παρθένους διαβιοῦν· καὶ τὰ γέρα διεξῄει τῆς ἀζυγίας· καὶ πεῖραν προσῆγεν ἀσπάζεσθαι τὸ καθ' ἑαυτούς. Ἡ δὲ νεᾶνις δι' ἐπαίνου μὲν ἐποιεῖτο τοὺς λόγους· χωρίζεσθαι δ' ἐκείνου παντελῶς ἀπηγόρευε. Καὶ δὴ συνῆν ἐκείνῃ Ἀμοῦν ὀκτὼ πρὸς τοῖς δέκα ἔτεσιν ἰδίᾳ καθεύδων, καὶ τῆς κατὰ Θεὸν ἀσκήσεως τὴν D ἐπιμέλειαν ἔχων. Ζήλῳ δ' ἐκείνου καὶ ἡ γυνὴ πτερωθεῖσα, δεῖν ἐνόμιζε μὴ δι' αὐτὴν τηλικοῦτον ἄνδρα ἐν τῷ ἀφανεῖ καθεστάναι, χρῆναι δ' ἑκάτερον ἀνὰ μέρος ἀσκεῖν, καὶ τοῦ ἀνδρὸς ἐδεῖτο χωρίζεσθαι. Καὶ ὁ μὲν τὸν οἶκον ἐκείνῃ λιπὼν, αὐτὸς εἰς τὴν πρὸς μεσημβρίαν τῆς Μαρείας λίμνης γεγονὼς ἔρημον, περὶ τὴν Σκῆτιν καὶ τὸ τῆς Νιτρίας ὄρος, δύο καὶ εἴκοσιν ἔτη ἐφιλοσόφει, δὶς τοῦ ἔτους παραβάλλων καὶ τὴν γυναῖκα θεώμενος. Πολλοὺς δὲ καὶ οὗτος οἷα καθηγητὴς ἐκτήσατο μαθητάς. Αὐτουργὸς δὲ

CAPUT XLI.

De sancto Amone; et Eutychiano qui in Olympo Bithyniæ monte versatus est.

Eodem tempore et Amoun ille Ægyptius itidem viguit, qui a propinquis et familiaribus coactus, uxorem quidem duxit; cum ea tamen conjugii more, uti viri consuevere, congressus non est. Cum namque nuptiarum dies advenisset, et sponsa, sicuti fieri assolet, in thalamum ejus deducta esset, solus cum sola collocutus, finem jam suum nuptias habere dixit : et magnum quiddam fore, si virgines vitam exigerent, docuit : præmiaque cœlibatus commemorans, persuadere ei conatus est, ut solitariam pro se uterque sectaretur vitam. Et puella quidem verba ejus laudibus extulit, segregari tamen ab eo prorsus noluit. Itaque Amoun decem et octo annos cum ea vixit, seorsim cubans, **626** et quod secundum Deum est vitæ institutum colens; muliercula vero æmulatione illius, et ipsa, spe animoque erecta, iniquum esse existimavit, sua causa tantum virum in obscuro latere : et utrumque potius ab altero segregatum, pietatem exercere debere censens, separari a viro petiit. Atque ille relicta mulieri domo, ipse meridiem versus ad lacum Maream, in solitudine, circum Scetim et Nitriæ montem, duos et viginti annos

(1) Hieronymus Athanasium librum *De virginitate* conscripsisse testatur.

monasticam est philosophatus, bis quotannis adire et visere mulierem solitus. Multos et hic veluti dux habuit sectatores, et multa divina edidit opera. Multa dicta ejus memorantur, quæ ab Ægyptiis monachis, accurate talia et studiose inquirere, veterumque monachorum facinoribus, sive in scriptum sint relata, sive minus, delectari solitis, per temporum successionem percepta, hodie quoque feruntur, auditoribus perquam jucunda. Quorum ut gustum aliquem proponamus, hæc subjungere libet. Petebat magnus iste vir solitudinem quamdam cum discipulo suo Theodoro : cumque fossam quamdam undis scilicet repletam trajicere opus haberent, ne vestes altius attollentes, alter alterius nuditatem conspiceret, retrocedere paululum Theodorum jubet. Cum vero seipsum quoque nudum videre vereretur, divino momento in sublime sublatus, in ulteriorem pervenit ripam. Ut autem Theodorus quoque satis madens transgressus, ultra Lycum (sic enim incolæ fossam eam nominabant) venit, vestemque et pedes Amoun siccos vidit, precibus senem fatigans, causam ejus rei ut sibi diceret petiit. Ille tectum id, quidquid esset, tacitumque esse voluit. Ut vero magis magisque Theodorus contendit, nihil se de petitione ea remissurum professus, Amoun tandem pacto prius interposito, se vivo nemini id prolaturum, rem actam exponit. Quapropter is postea præstantioris cujusdam naturæ virum eum esse credidit. Porro quod etiam præcognitionis divinæ plenus fuerit, id quod nunc dicemus, satis indicabit. Puer quidam parentum injustorum a rabido cane morsus, in ea exspectatione, ut quamprimum moreretur, erat : cum autem ad Amoun eum adduxissent, ut eum curaret petebant; ille, Non ego, inquit, sed vos, siquidem voletis, eum curabitis : si enim, quem surripuistis bovem, dominis suis restituere volueritis, statim malo omni puer liberabitur. Bos redditus est, et periculum omne confestim profugiens vacuum ærumnæ omnis puerum reliquit. **627** Cum autem aliquo post tempore Amoun decederet, animam ejus Antonius dicitur in cœlum deduci vidisse, divinis virtutibus eam comitantibus, venerationeque et stipatione multa, atque etiam ineffabili quodam hymnorum carmine prosequentibus. Et cum, qui tum cum Antonio erant, per consternationem in aerem suspiciente, et rei tantæ faciem admirante, causam ab eo requirerent, ille visum id haudquaquam occultum habuit. Et verba ejus re ipsa sunt confirmata. Postquam enim a Sceti multi venere, et tempus obitus Amoun indicavere, illud ipsum tempus esse cognoverunt, cum Antonius stupore correptus in cœlos suspexit; et utrumque sane merito beatum habendum dixerunt : Amoun quidem, quod sic e vita præsenti subductus esset, Antonium vero, quod eum Deus visione ea dignatus esset : cum quidem inter utriusque habitationis locum, magnum intervallum atque dierum aliquot intercederet iter. Atque hæc

A πολλῶν καὶ θεσπεσίων ἔργων ἐγένετο· καὶ πολλὰ τῶν ἐκείνῳ ῥηθέντων ἀπομνημονεύεται· ἃ τοῖς κατ' Αἴγυπτον μοναχοῖς διὰ σπουδῆς ἔχουσιν ἀκριβοῦν τὰ τοιαῦτα. Καὶ ταῖς τῶν παλαιοτέρων ἀσκητῶν ἐργασίαις ἐγγράφως τε καὶ ἀγράφως εἰωθόσι χαίρειν, ἐς δεῦρο φέρεται τῇ τοῦ χρόνου διαδοχῇ, ξενίζοντα τοὺς ἀκούοντας· ὧν γεύματος χάριν ταῦτα εἰρήσθω. Ἀπῄει ὁ μέγας οὗτος ἐπί τινα ἔρημον. Δεῆσαν δ' ἐκείνῳ διώρυγά τινα σὺν τῷ μαθητῇ αὐτοῦ Θεοδώρῳ διαπερᾷν, ἵνα μὴ ἀναστέλλοντες τὰ ἱμάτια τὴν γύμνωσιν ἀλλήλων θεάσωνται, μικρὸν ὑπαναχωρεῖν Θεόδωρον ἔλεγεν. Ἐπεὶ δὲ καὶ ἑαυτὸν γυμνὸν ηὐλαβεῖτο θεάσασθαι, θείᾳ ῥοπῇ μετάρσιος ἐπαρθεὶς, εἰς τὴν ἀντιπέραν ὄχθην ἐγένετο. Ὡς δὲ καὶ Θεόδωρος διάβροχος ἱκανῶς γεγονὼς, εἰς τὸ πέραν τοῦ Λύκου
B ἦν (οὕτω γὰρ ἐγχωρίοις ἡ διώρυξ ὠνόμαστο), καὶ τὴν ἐσθῆτα καὶ τοὺς πόδας Ἀμοῦν ἀβρόχους ἑώρα, ἐπέκειτο λιπαρῶν, καὶ τὴν αἰτίαν φράζειν τὸν πρεσβύτην ἠξίου. Ὁ δὲ κρύπτειν μὲν ἐπειρᾶτο καὶ ἔτι· ὡς δ' ἰσχυρῶς ἐπετίθετο μὴ ἀνήσειν ὁμολογῶν, ἐκεῖνος, σύνθημα δοὺς μή τινι τὸ ἔργον ζῶντος Ἀμοῦν ἐξειπεῖν, ἐγνώριζε τὸ συμβάν· καὶ φύσεως ὑπερτέρας εἶναι τοῦ λοιποῦ τὸν ἄνδρα ᾤετο. Ὅτι δὲ καὶ θείας προγνώσεως ἔμπλεως ἦν, δείξει τὸ ῥηθησόμενον. Παῖς ἀδίκων πατέρων κυνὶ λυσσῶντι δηχθεὶς, θανεῖν ἐσόσον οὔπω προσδόκιμος ἦν. Ἐπεὶ δὲ πρὸς Ἀμοῦν ἤγαγον, τὴν ἴασιν ἐλιπάρουν. Τὸν δὲ φάναι· Οὐκ ἐγὼ, ἀλλ' ὑμεῖς αὐτὸν, εἴγε βούλοισθε, θεραπεύσετε. Εἰ γὰρ ἀποδοῦναι ὑμῖν τὸν βοῦν γένοιτο, παρ' ὧν συλᾷν εἵλεσθε δεσποτῶν, αὐτίκα ῥᾴων
C ἔσται ὁ παῖς τῶν δεινῶν. Καὶ ὁ μὲν βοῦς ἀπεδίδοτο· ὁ δὲ κίνδυνος αὐτίκ' ἐδραπέτευεν ἐξάντη κακῶν τὸν παῖδα λιπών. Ἐπεὶ δὲ χρόνῳ ὕστερον καὶ Ἀμοῦν ἐτελεύτα, λέγεται Ἀντώνιον ἀναγομένην τὴν ψυχὴν ἐκείνου εἰς οὐρανὸν θεωρεῖν, περικύκλῳ θείων δυνάμεων ἑπομένων, καὶ παραπεμπόντων ἐκείνην αἰδοῖ καὶ δορυφορίᾳ πολλῇ, καί τινι ἀῤῥήτῳ ὕμνων ᾠδῇ· τοὺς δὲ περὶ αὐτὸν ἐν ἐκπλήξει τὸν ἀέρα θεώμενον καὶ διὰ θαύματος ἔχοντα πρὸς τὴν ὄψιν τῶν παραδόξων, διαπυνθάνεσθαι τὸν Ἀντώνιον τὴν αἰτίαν. Τὸν δὲ μὴ ἀποκρύψαι τὴν ὄψιν· καὶ τἀσφαλὲς εἶχεν ὁ λόγος· ἔπειτ' ἀπὸ Σκήτεως πολλῶν ἐκεῖθεν ἡκόντων, καὶ τὸν χρόνον τῆς Ἀμοῦν τελευτῆς ἀνειπόντων· εἶναι δ' ἐκεῖνον, καθ' ὃν Ἀντώνιος ἐκπληττό-
D μενος εἰς οὐρανοὺς ἔβλεπε· καὶ ἄμφω δὲ ἠξίουν μακαρισμοῦ· τὸν μὲν οὕτως τῶν παρόντων ἀπαλλαγέντα, Ἀντώνιος δ' ὅτι τοσαύτης ὄψεως ἠξίωτο ἐκ Θεοῦ· πολλοῦ διαστήματος ἡμερῶν ὁδοῦ τῷ μέσῳ τόπῳ τῆς διατριβῆς ἑκατέρων ὄντος. Καὶ τὰ μὲν περὶ Ἀντωνίου καὶ Ἀμοῦν ὧδε ἱστόρηται. Κατὰ δὲ τὸν αὐτὸν χρόνον, καὶ ἀνὰ τὸν τῆς Βιθυνίας Ὄλυμπον Εὐτυχιανὸς ἐκεῖνος τὰς διατριβὰς ποιούμενος φιλοσοφῶν ἦν· θείας γὰρ χάριτος ἐκ τῆς ἀρετῆς μετασχὼν, ὡς καὶ θαυμάτων καὶ τεράτων πλείστων αὐτουργὸν γενέσθαι πολλῶν, νόσους τῶν ἀνιάτων ἰᾶτο. Δι' ἃ καὶ Κωνσταντίνῳ βασιλεῖ σπουδὴ γέγονε φίλον ἐκεῖνον καὶ συνήθη ποιεῖν. Κατ' ἐκεῖνο δὲ καιροῦ τῶν τις βασιλικῶν δορυφόρων, ὑποψίαν σχὼν ὡς εἴη τυραννικὰ φρονῶν, περί που τὸν Ὄλυμπον

κρυπτόμενος καὶ ἑαλωκὼς, δεσμωτηρίῳ καθεῖρκτο. Ἐπεὶ δὲ πικραῖς βασάνοις ἀνὰ τὴν εἱρκτὴν εἴχετο, οἱ γένει προσήκοντες Εὐτυχιανῷ προσιόντες ἐδέοντο πρεσβεύειν ἐς βασιλέα ὑπὲρ αὐτοῦ· καί τινα δὲ ποιεῖν πρόνοιαν, ὥστε τῶν δεσμῶν ἀνεῖναι, μὴ φθάσῃ πρὸ τῆς πρεσβείας τῷ χαλεπῷ τῶν βασάνων διαφθαρεὶς, καὶ πέμψας, τοὺς δεσμοφύλακας ἐδεῖτο τῶν δεσμῶν ἀνεῖναι αὐτόν. Ὡς δ' ἧττον ἦσαν πειθήνιοι, αὐτὸς ἐπὶ τὸ δεσμωτήριον ἧκει. Αἱ δὲ τῆς φρουρᾶς πύλαι αὐτόματοι, τῶν κλείθρων διαῤῥαγέντων τῇ τοῦ ἀνδρὸς παρουσίᾳ, θᾶττον ἀνεπετάννυντο. Καὶ αἱ ἐκ σιδήρου πέδαι καὶ τὰ κλοιὰ, ἀπολείποντα τὸν δεσμώτην, διέῤῥει ψοφοῦντα καὶ ἁπανταχοῦ σκεδαννύμενα. Εἶτα πρὸς βασιλέα ἧκειν τῷ Βυζαντίῳ διατρίβοντα τηνικαῦτα, καὶ λῦσαι τῷ καταδίκῳ τὴν τιμωρίαν εὐθύς. Δυσχερὲς γὰρ οὐκοῦν ἦν Κωνσταντίνῳ ὅ τι ἂν ἐκεῖνος αἰτοίη. Σφόδρα γὰρ τῷ τοῦ ἀνδρὸς ἔρωτι ἐντετηκὼς ἦν, καὶ διὰ μεγάλης ἐποιεῖτο τιμῆς. Λόγος δ' ἔχει ἐς ὕστερον Εὐτυχιανὸν τὰ Ναυάτου φρονῆσαι, καὶ τῆς ἐνούσης χάριτος ἀμοιρῆσαι. Ταῦτα μὲν ἡμῖν ἐκ μέρους περὶ τῆς πολιτείας εἰρήσθω τῶν μοναχῶν, καὶ τῶν ἐν αὐτῇ φιλοσοφησάντων· ᾧ δὲ μέλοι τὰ τοιαῦτα διερευνᾶσθαι, πολλαῖς ἐντύχοι τῶν βίβλων, πλείστους τῶν τηνικάδε καὶ καθεξῆς ἀκριβείᾳ βίου διαλαμψάντων ἱστορουσῶν· μάλιστα δ' ἡ Λαύσῳ πραιποσίτῳ ἐγράφη. Πολλὴν δὲ καὶ Σωφρόνιος ὁ Ἱεροσολύμων καὶ ἀγαθὴν ἱστορίαν περὶ τούτων ἡμῖν καταλέλοιπε, *Λειμῶνα* καὶ *Νέον παράδεισον* τὴν συγγραφὴν ὀνομάσας.

A quidem de Antonio et Amoun, memoriæ sunt prodita. Eodem vero tempore, et in Olympo Bithyniæ Eutychianus ille versatus, monasticæ philosophiæ operam navavit. Tantopere siquidem per virtutem divinæ gratiæ particeps est factus, ut (1) miracula et prodigia plurima ediderit, morbosque incurabiles sanaverit. Quapropter Constantinus quoque imperator magno studio amicitiam consuetudinemque ejus ambivit. Accidit tum, ut ex imperatoris satellitio quidam, tyrannidis affectatæ suspectus, et circa Olympum occultatus, captusque in vincula sit conjectus. Et cum perquam acerbe in carcere cruciaretur, propinqui et cognati ejus Eutychianum convenientes, ut legationem precationemque pro eo apud imperatorem susciperet, B atque aliquo modo provideret, ut interea vinculis liberaretur, ne scilicet ante legationem obitam acerbitate tormentorum interiret, rogarunt. Atque ille ad carceris custodes, ut hominem vinculis levarent, oratum misit. Ut vero illi petitioni ejus non acquievere, ipsemet ad carcerem venit. Et ecce custodiæ portæ sua sponte claustris fractis, ad viri præsentiam statim patuere, et compedes ferreæ, numellæ vinculaque cervicis vinctum relinquentia, cum strepitu delapsa sunt, et hinc atque illuc dispersa. Deinde ad imperatorem, qui tum Byzantii erat, profectus, illico reum condemnatum supplicio liberavit. **628** Nihil enim Constantino difficile aut molestum fuit, quod vir ille peteret, C quem vehementer amabat, et magno in honore habebat. Fama autem fert, Eutychianum postea ad Novati hæresim descivisse, et ea quæ ei inerat gratia excidisse (2). Et hæc quidem, aliqua ex parte, nobis de monachorum instituto et philosophia sint dicta. Qui autem talia scrutari volet, multos inveniet libros, in quibus plurimi, qui ea ætate atque deinceps integritate vitæ enituere, commemorantur, potissimum vero, quæ de iis Lausus præpositus conscripsit. Multam quoque et utilem de eis historiam Sophronius Hierosolymitanus nobis reliquit, *Prati* et *Novi paradisi* titulo, scripto ei indito.

ΚΕΦΑΛ. ΜΒ'.

Περὶ τῶν ἁγίων καὶ θαυματουργῶν Σπυρίδωνος, Νικολάου καὶ Παρθενίου.

Ἐπεὶ δὲ καὶ Σπυρίδωνος καὶ Νικολάου μνείαν ποιήσασθαι ὑπεσχόμην, ἐνταῦθα δεῖν οἶμαι ἀποτίσαι τὴν ὀφειλήν. Περὶ γὰρ τῶν ἄλλων ὁμολογητῶν τε καὶ ἱεραρχῶν μυρία καὶ παράδοξα καὶ παθόντων καὶ εἰργασμένων διέλαβον ἄνωθεν· καὶ ὡς πολλοὶ τούτων τῇ ἐνούσῃ ῥώμῃ τῆς χάριτος καὶ νεκροὺς ἀναβιῶναι παρεσκευάσαντο. Τῷ γε μὴν θείῳ Σπυρίδωνι τοσαύτη τοῦ θείου Πνεύματος χάρις προσέπτη, ὡς ἀρκεῖν τὴν εἰσέτι φήμην περὶ αὐτοῦ τὴν ἀρετὴν παριστᾶν. Ἄγροικος δ' ὢν, καὶ γυναικὶ συζῶν, καὶ παίδων πατὴρ γεγονὼς, οὐ παρὰ τοῦτο χείρων τινὸς ἐφάνη περὶ τὰ θεῖα. Τοσαύτη δ' ἦν ὁσιότης αὐτοῦ, ὡς καὶ ποιμένα γενέσθαι· Τριμμυθοῦς δ' ἦν ὁ κλῆρος αὐτῷ· ἡ μία τῶν ἐν Κύπρῳ τῇ

CAPUT XLII.

De sanctis magnorum miraculorum editoribus, Spyridone, Nicolao et Parthenio.

Quandoquidem vero et Spyridonis et Nicolai mentionem me facturum esse recepi, hoc loco fidem mihi liberandam esse duxi. De aliis namque confessoribus et hierarchis, qui innumerabilia et D mirifica passi sunt et fecerunt, et quorum multi, quæ in eis fuit, gratiæ robore mortuos quoque excitarunt, supra exposuimus. Ipsi quidem divo Spyridoni tanta divini Spiritus incessit gratia, ut quæ de eo celebratur fama hoc quoque tempore, virtutem ejus astruere possit. Rusticus enim cum esset, conjugemque in matrimonio, et liberos ex ea susceptos haberet, non propterea in rebus divinis deterior aliquo fuit. Tanta namque in sanctitate erat, ut et a pastorali vita non abhorreret (3)

(1) Socrat. lib. I, cap. 13.

(2) Αἵρεσιν δὲ τῆς Ναυατιανῶν πρεσβεύων θείας χάριτος μετεῖχε, etc. Sozom. lib. I, cap. 14. Hoc est, *Novatianorum hæresis cum esset, gratiæ divinæ particeps fuit*. Hæc verba apud Sozom. in principio narrationis de Eutychiano posita sunt. Nicephorus autem in toto hoc opere Novatianis est iniquior.

(3) Spyridonem istum, cum episcopus esset, oves pascere non puduisse, per summam humilitatem

(Trimmythus autem, quæ una in Cypro insula A urbium est, sorte ei obvenerat), a fastu tam alienus, ut eodem in loco et oves pabulo, et homines doctrina atque vitæ exemplo pasceret optime. Cum autem multa sint, quæ de eo liber in ipsius vitam compositus recenset, ne socordiæ sustineam crimen, neve rursus extra propositum longius digredi videar, duorum aut trium egregiorum ejus factorum meminero. Fures aliquando noctu irruisse dicuntur in sancti viri ovile, insidias gregi ejus tendentes, et clam oves aliquot rapere conantes. 629 Et cum nemo eis compedes injiceret, derepente divinitus vincti sunt, aurora illucescente, magnus ille vir adest, manus eorum post terga redactas invenit, subridet : vincula illa, quæ sub oculos non caderent, solvit : docens eos admonet, B licuisse illis si quid petiissent, accipere : neque opus fuisse, cur noctu se ærumnose fatigarent : mores eorum ad meliorem vitam, ut justo quæstu vitam tolerarent, transformat : et postremo ærumnæ eorum misertus : Abite, inquit, et arietem hunc accipite, ne noctem hanc frustra pervigilasse videamini ; reprehensionemque mihi, propter toleratos domi meæ labores, veluti qui vacui abieritis, impingatis. Unum hoc est quod a Spyridone non sine admiratione facete est factum. Nec illud quidem non admiratione dignum. Erat beato illi filia Irene, germana tanti patris filia. Apud hanc ex notis quidam magni pretii gestamen atque ornamentum deposuit. Illa ut rem certam tutamque C sequeretur, domi quidquid id erat defossum, terræ servandum credidit : nec ita multo post, nullo ejus rei indicio post se relicto, e vita migravit. Venit brevi qui id deposuerat, et nunc incusando, nunc orando, molestus erat Spyridoni. Ut vero gestamine tali diu multumque domi quæsito, id non invenit, suam ipsius senex putavit esse calamitatem, hospitis, qui tantopere lugeret, capillum conscinderet, ac sese prorsus conficeret, jacturam. Itaque, Agedum (inquit) ad filiæ sepulcrum eamus, eamque interrogemus. Ubi eo ventum, nominatim filiam vocans Spyridon interrogat, quonam loco gestamen deposuerit? Ibi illa subito apparens, beato illi rem omnem exacte exponit, et rursum sepulcrum subit. Spyridon porro ornamentum, D quo illa loco indicaverat, inventum, homini reddit eumque dimittit. Alteri quoque indigenti homini, et inopia magna circumvento, serpentem ad sepem et maceriam sese volventem, in aurum convertit, eumque illi dedit, ut eo mutuam pecuniam sumens uteretur, pecuniamque suam solaretur. Cæterum, cum se ille inopia depulsa aliquantum locupletasset, Spyridon serpentem ita ut tum erat, ad locum suum circa sepem reposuit. Qui viri sancti precatione, pristina recepta natura, rursum reptans, ac sese circumvolvens latebras

A νήσῳ πόλεων ἐτύγχανεν οὖσα · ἐπὶ τόσον δ' ἄτυφος ἦν, ὡς ἐν ταυτῷ καὶ πρόβατα βόσκειν, καὶ ἀνθρώπων εἶναι ποιμένα ἀγαθόν τε καὶ ἄριστον. Ἐγὼ δὲ πολλῶν ὄντων τῶν περὶ αὐτὸν, ἃ ἡ κατ' αὐτὸν διέξεισι βίβλος, ἵνα μὴ ῥᾳθυμίας ὑπόσχω γραφὴν, καὶ πάλιν ἵνα μὴ ἔξω τοῦ προκειμένου δόξω πλανᾶσθαι, δύο ἢ τριῶν τῶν ἐκείνου μνησθήσομαι. Κλέπτας ποτέ φασι νύκτωρ εἰσπηδήσαντας τῇ τῶν προβάτων τοῦ ὁσίου ἐπαύλει, ἐπιβουλεύειν τῇ ποίμνῃ, καὶ ὑφαιρεῖσθαι τῶν προβάτων λάθρα ἐποίουν σπουδήν. Καὶ μή τινος πέδην ἐπιβάλλοντος, ἐξαπίνης θεόθεν δεσμῶται ἦσαν. Ἅμα δὲ ἕῳ τὸν μέγαν παραγενόμενον, καὶ τὰς χεῖρας ὄπισθεν διηγκωνισμένους εὑρόντα, μειδιῶντα τῶν ἀοράτων ἐπιλύειν δεσμῶν· καὶ νουθετοῦντα παραινεῖν, Ἐνὸν εἶναι λαβεῖν αἰτήB σαντας, οὕτω ταλαιπωρεῖν νυκτὸς εἵλεσθε. Καὶ μεθήρμοζε τὸ ἦθος πρὸς τὸν ἀμείνω βίον, δικαίων ἐκπόρων τὸ ζῆν πορίζεσθαι. Ἄπιτε δ', ἔφη, τῆς ταλαιπωρίας οἰκτείρας, τόνδε τὸν κριὸν εἰληφότες, ἵνα μὴ ἐπικενῆς ἠγρυπνηκότες φανεῖητε, μέμψιν τέ μοι τῶν ἐπὶ τῇ αὐλῇ πόνων προστρίψητε, ὡς ἀπηλλαγμένοι κενοί. Ἓν μὲν δὴ τοῦτο ἀστεῖον σὺν θαύματι τῶν Σπυρίδωνι πεπραγμένων· οὐχ ἧττον δὲ κἀκεῖνο θαύματος ἄξιον. Εἰρήνη θυγάτηρ τῷ μακαρίῳ προσῆν, παῖς ὄντως τοῦ τοσούτου πατρός. Ταύτῃ τῶν τις γνωρίμων πολυτελὲς παρέθετο κόσμιον. Ἡ δὲ τἀσφαλὲς προμηθουμένη, οἴκοι κατορύξασα τὸ σκεῦος, φυλάττειν παρεδίδου τῇ γῇ. Καὶ ἡ μὲν μετὰ βραχὺ, μηδὲν εἰποῦσα, τὸν βίον ἀπέλιπεν. Ἧκε μετ' ὀλίγον ὁ παραθέμενος· καὶ πῆ μὲν ἐγκαλῶν, πῆ C δὲ καὶ δεόμενος, δι' ὄχλου ἦν τῷ Σπυρίδωνι · ὡς δὲ πολλὰ ζητήσας ἀνὰ τὴν οἰκίαν, ἥκιστα εὕρισκε, συμφορὰν ἐποιεῖτο ὁ γέρων οἰκείαν τὴν τοῦ ξένου ζημίαν, ὀδυρομένου τίλλοντός τε τὰς τρίχας καὶ ἄντικρυς θανατῶντος. Ἀλλ' ἄγε δὴ, ἔφη, ἐρώμεθα τὴν κόρην παρὰ τὸν τάφον ἰόντες. Ἐπεὶ δ' ἐπέστησαν, ἠρώτα Σπυρίδων ὀνομαστὶ τὴν παῖδα καλῶν, ὅπου δὴ κατακρύψοι τὸ κόσμιον. Τὴν δὴ ἐξαπίνης φανεῖσαν, ἅπαν πρὸς λεπτὸν τῷ μακαρίῳ εἰπεῖν, καὶ αὖθις καταδῦναι τὸν τάφον. Σπυρίδωνα δ' εὑρόντα ᾗ ἐσήμανεν, ἐπιδοῦναι τἀνθρώπῳ τὸ σκεῦος, καὶ ἀπαλλάττεσθαι. Καὶ ἄλλῳ δὲ πένητι ἐν ἀπορίᾳ καθεστῶτι πολλῇ, ὄφιν περὶ τὸ θριγγίον ἑλισσόμενον, εἰς χρυσὸν μεταπήγνυσι. Καὶ δίδωσι χρῆσθαι, καὶ D ἐπ' ἐκείνῳ δανείζεσθαι, καὶ παραμυθῆσαι τὴν ἔνδειαν· ὃν ἐντεῦθεν ἀναῤῥωσθέντα καὶ τὴν ἔνδειαν ἀποτριψάμενον, πάλιν τὸν ὄφιν ὡς εἶχε σχήματος, παρὰ τὸν τόπον τοῦ θριγγίου ἐτίθει. Εὐχῇ δὲ τοῦ ὁσίου τὴν προτέραν φύσιν μεταλλαξάμενον, αὖθις ἕρποντά τε καὶ σπουδῇ περιελισσόμενον, τὸν οἰκεῖον χηραμὸν ὑποδῦναι. Καὶ τοῦτο δὲ τῶν ἐκείνου προσῆκον εἰρῆσθαι νομίζω. Ἔθος τῷ μακαρίῳ ἐκ τῶν γινομένων αὐτῷ σπερμάτων τε καὶ καρπῶν πιπράσκοντι, τὰ μὲν πτωχοῖς χορηγεῖν, ἄλλα δὲ προῖκα δανείζειν. Διδοὺς μέντοι ἢ καὶ λαμβάνων, οὐ διὰ χειρῶν ηὐτούργει τὴν πρᾶξιν· τὸ δ' ἐνὸν αὐτῷ τα-

et simplicitatem, Suid. scribit. Quod in veterum episcoporum paupertate non adeo mirum fuit. Eidem Deus ante tempus, promissam mortuorum resurrectionem, per filiam ejus redivivam, exhibuit. (Socrat. lib. I, cap. 12.)

μεῖον ὑποδεικνὺς, λαμβάνειν· καὶ αὖθις τὸ δάνειον κατατίθεσθαι τῷ προσιόντι ἐνεκελεύετο. Καὶ δή τις δανεισάμενος, ἧκεν ἀποτίσων τὴν ὀφειλήν. Ὡς δ' ἔθος ἦν ἐπιτραπεὶς τῷ ταμείῳ ἀποδοῦναι αὖθις τὸ χρέος, παρατιθέμενος, ὑφῃρεῖτο μᾶλλον· οὐ μόνον γὰρ τὸ χρέος ἀπέδωκεν, ἀλλὰ καὶ προσαφείλετο· καὶ ἀπῄει δῆθεν λαθὼν, ὡς τὸ ὄφλημα καταθέμενος. Ἀλλ' οὐκ ἦν λαθεῖν· χρόνῳ γὰρ ὕστερον προσιὼν αὖθις, δανείζεσθαι ἤθελεν. Ὁ δὲ τὸ εἰωθὸς ἔπραττε· καὶ πέμπων παρὰ τὴν θίβην τὸν ἄνδρα, παραμετρεῖν ὅσον ἦν βουλομένῳ ἐπέτρεπεν. Ὡς δ' ἥκιστα εὕρισκεν, ἀνήγγειλε τῷ πατρί. Καὶ ὃς, Θαυμαστὸν, ἔλεγεν, εἰ σοὶ μόνῳ κενὸν τὸ ταμεῖον ὁρᾶται. Σκοπεῖν οὖν προσήκει, μὴ οὐ πρὶν καταθέμενος, νῦν λαμβάνειν πειρᾷ. Ἴσθι γὰρ ὡς εἰ μή τι ῥᾳδιουργίας ἐστὶν, οὐκ ἀστοχήσεις τοῦ προκειμένου. Ἴθι τοίνυν πάλιν τεθαῤῥηκὼς ὡς εὑρήσεις. Καὶ φωραθεὶς, συγγνώμην προσιὼν ᾔτει τοῦ ἁμαρτήματος. Παραπλήσιον δέ τι καὶ ἄλλῳ πρόβατα πριαμένῳ τοῦ μακαρίου συνέβη. Ἑκατὸν μὲν γὰρ ἦσαν ἃ ἐωνεῖτο· ὁ δὲ καὶ μίαν τῶν αἰγῶν παρεμέτρει· ἣν βίᾳ ἕλκων, ἥκιστα ἑπομένην εἶχεν. Ἀντιβαίνουσα δ' οἷον, βληχῇ τὴν ἀδικίαν ἐστηλίτευε τοῦ ἀνδρός. Ἐπεὶ δὲ πάντα πράττων καὶ ἐπωμάδιον ἔφερεν, ἐκείνη λὰξ καὶ τοῖς κέρασι τὸν τένοντα σφοδρότερον παίουσα, διωλίσθαινε, καὶ ἐπὶ τὴν μάνδραν ἀνέτρεχεν· ὃ τὸν Σπυρίδωνα διαγνόντα, ἐπ' ἀκριβὲς μετρεῖν ἔπειθε. Τὸν δ' εὐθὺς ὁμολογοῦντα, συγγνώμην παρεῖχε· καὶ κελεύσαντος, πρόθυμος ἡ αἲξ καὶ αὐτόματος εἵπετο· ἔστι δ' ὅπου καὶ τῇ σπουδῇ προηγεῖτο. Καλὰ μὲν δὴ καὶ ταῦτα· τὸ δὲ περὶ τὴν ἐκκλησιαστικὴν αὐτοῦ τάξιν ἐμβριθὲς, καὶ ἀκέραιον περὶ τὴν θείαν παράδοσιν, πῶς σιωπήσομαι; Συνόδου γάρ ποτε γενομένης, ἕνα εἶναι καὶ Τριφύλλιον ἐκεῖνον τὸν Λεδρῶν ἐπίσκοπον, λόγου τε ἀρκούντως πεπειραμένον, καὶ διὰ νόμων ἄσκησιν, πλεῖστον ἐν τῇ Βηρυτῶν διατρίψαντα πόλει. Τοῦτον δ' ἐπιτροπῇ τῶν ἐπισκόπων τὸ πλῆθος διδάσκοντα, Σπυρίδωνος παρόντος, δεῆσαν εἰπεῖν, ῥῆσιν ἣν ὁ Χριστὸς τῷ παραλυτικῷ ἀπεφθέγξατο, τὸ, *Ἆρόν σου τὸ κράββατον, καὶ περιπάτει*, *σκίμποδι* ἀντὶ *κραββάτου* ἐχρήσατο. Ἐφ' ᾧ χαλεπῶς ἐνεγκόντα Σπυρίδωνα, Οὐ σύ γε, ἔφη, ἀμείνων εἶ τοῦ *κράββατον* εἰρηκότος, ὅτι γε δι' αἰδοῦς ποιῇ ταῖς ἐκείνου λέξεσι διαπρέπειν; Ταῦτα δὲ λέγων, τοῦ ἱερατικοῦ θρόνου ἀνίστατο πάντων ὁρώντων, τὸν τῦφον καὶ τὴν ὀφρὺν τῶν ὀφρυομένων ἐν λόγοις πειρώμενος καταστέλλειν. Ἱκανῶς γὰρ εἶχε τοιαῦτα ποιεῖν, κἂν ἁπλοῦς ἦν ἐσάγαν. Αἰδέσιμος γὰρ ἦν, καὶ ἐπὶ μέγα δόξης τοῖς παραδόξοις τῶν ἔργων ἐτύγχανε, προήκων τε τὴν ἡλικίαν, καὶ τῷ τῆς ἱερωσύνης ἀκιβδήλῳ καὶ κοσμίᾳ ἐνσεμνυνόμενος. Ἐγὼ δὲ, οἷος ἦν καὶ περὶ φίλους δεξιὸς, διηγήσομαι. Ἡ μεγάλη μὲν οὖν τῆς Τεσσαρακοστῆς νηστεία ἦν· ἧκε δέ τις ἐκ μακρᾶς ὁδοιπορίας τῶν φίλων, καὶ ταῦτ' ἐν αἷς ἐκεῖνος εἴωθε νηστεύειν τῶν ἡμερῶν. Ἄσιτος γὰρ εἰς ῥητάς τινας διαμένων

A suas intravit. Verum enimvero illud quoque factum ejus ut memorem, convenire mihi visum est. **630** Mos beato illi erat, semina et fructus qui ei provenissent, vendenti, partim pauperibus largiri, partim sine fœnore utendos dare. Sive igitur daret, seu acciperet quidquam, non id per manus ejus gerebatur : sed quæ ei erat repositoria cella, ad se venientibus commonstrata, vel accipere eos, vel usui acceptum reponere jubebat. Quidam sane qui mutuum ab eo acceperat, ut debitum redderet, ad eum venit : cum autem is more solito, cellæ rursus inferre quod acceperat, jussus esset, reponens id, sustulit potius. Non enim tantum debitum reddidit, sed et postea secum abstulit, et discessit occulte, quasi mutuum dissolvisset. Sed
B enim celare factum non potuit. Aliquanto namque tempore post rursus illum, mutuum accipere volens, convenit. Et ille ex consuetudine sua hominem ad loculos granarios mittens, metiri quantum vellet, jussit. Ut autem is nihil ibi frumenti invenit, id patri significavit. Ibi ille : Mirum profecto, inquit, si uni tibi cella vacua videtur. Quapropter considerare convenit, an cum prius nihil reposueris, recipere nunc quidquam conere. Sciens enim esto, nisi fallaciæ quidquam subsit, voti te compotem fore. Vade ergo denuo cum certa, te inventurum esse, fiducia. Atque ita ille demum deprehensus, veniam fraudis petivit. Tale quiddam alii quoque, qui oves a viro sancto mercabatur,
C evenit. Centum erant, quas emerat. At ille capram unam insuper annumeraverat : quæ cum ab illo vi traheretur, ipsa minime sequebatur : quodammodo enim resistens, balatu hominis iniquitatem traducebat. Et ille cum nihil non ageret, in humeros tandem eam sustulit : capella autem et calcibus et cornibus cervicem ejus acrius petens, delapsa est, et in stabulum suum recurrit. Quod ubi Spyridon cognovit, illi ut rite metiretur et numeraret, suasit. Atque ubi ille factum statim confessus est, hic noxam remisit, capramque sequi illum jussit : quod alacriter sane illa faciens, sua sponte emptorem est secuta, interdum etiam eumdem properans præcessit. Pulchra quidem sunt hæc. Constantiam vero ejus viri, ecclesiastico
D ritu servando, simplicitatemque divinis traditionibus colendis, quomodo silentio præteream? Conventus aliquando agebatur, in quo Triphyllius ille quoque erat, Ledrensis episcopus, litterarum artibus probe eruditus, et legibus discendis diu Beryti versatus (1). **631** Hic episcoporum jussu populum docens, Spyridone præsente, cum dictum quoddam referre deberet, quo Christus ad paralyticum est usus, illud scilicet, *Tolle grabatum tuum, et ambula*[1] : pro grabato, *lectum* dixit. Quod moleste ferens Spyridon, Non tu quidem, inquit, præstantior es eo qui *grabatum* dixit : qui

[1] Marc. II, 9.

(1) Beryti olim præclara docendarum legum schola fuit.

mum vero Valerianum, posteaquam, sicuti reliqui imperatores Romani, persecutionem adversus Christianos excitasset, ab ipsis Persis victum, in discrimen divinæ vindictæ incidisse, et apud eos captivum misere vitam finiisse. Sed enim sibi ipsi, propter fidem in Christum, Deum opitulatorem fuisse, omnemque inde Romani imperii ditionem ab ipso usque occidentali Oceano, cum bona Orientis parte, in potestatem suam pervenisse : multa a se bella confecta, et de gravibus tyrannis divino nutu tropæa esse statuta. Ad quas res nihil sibi opus fuisse vel hostiarum mactatione, vel vatum hariolorumque prædictione : sed ad victoriam omnem satis fuisse solam crucis, quæ copiis suis præierit, armaturam, et orationem præterea sanguinis prorsus expertem. Ad finem porro epistolæ hæc etiam verba affert : « Hoc hominum genere, Christianorum dico (de his enim mihi est sermo omnis), quomodo me elatum iri lætitia putes, si audiam, Persarum quoque res florentissimas, pro eo atque cupio, plurimum exornari? ut res simul et tibi pulcherrime, et illis itidem optime, atque ita utrisque ex æquo feliciter eant. Sic namque universitatis hujus Deum clementem habiturus esses et benignum. Hos igitur, quando ea amplitudine es, tibi commendo. Hos ipsos, quoniam pietate quoque præclarus es, tibi humanitate et benevolentia complectere, a te ipso simul, et a nobis, per fidem, immensam initurus gratiam. » Tanta divino huic viro de omnibus qui ubivis locorum in cognitionem Christi venissent, inerat sollicitudo. Quapropter talis cum fuerit, abunde quoque divina cura fretus, Europa, Libya et plurimis Asiæ provinciis ditioni suæ subjectis, subditis suis, qui perlibenter ei paruere, benevolis usus est. Jam vero et ex Barbaris plurimi, partim sua sponte, partim bello subacti, non gravate eum coluere. Ubique denique tropæa excitata, victorem imperatorem eum promulgarunt.

A Ῥωμαίων οἰκουμένην ὑπὸ χεῖρα γενέσθαι ἐποίει· ἐκ τοῦ κατὰ δύσιν ἠργμένῳ Ὠκεανοῦ, καὶ τὸ πολὺ τῆς ἕω λαβόντι. Πολλοὺς δὲ πολέμους καὶ τυράννους βαρεῖς τῇ ἐκεῖθεν τροπωσαμένῳ ῥοπῇ, μή τινων δεηθῆναι σφαγίων ἢ μαντειῶν, ἀλλ' εἰς νίκην ἀποχρῆσαι μόνον τὸ σταυρικὸν ὅπλον τοῦ στρατοῦ προηγούμενον· καὶ πρὸς τούτῳ εὐχὴν αἱμάτων ἀπηλλαγμένην. Κατὰ λέξιν δὲ καὶ ταῦτα πρὸς τῷ τέλει τῆς ἐπιστολῆς ἐπιλέγει· « Τούτου τοῦ καταλόγου τῶν ἀνθρώπων, λέγω δὴ τῶν Χριστιανῶν, ὑπὲρ γὰρ τούτων ὁ πᾶς μοι λόγος, πῶς οἴει με ἥδεσθαι ἀκούοντα, ὅταν καὶ τῆς Περσίδος τὰ κράτιστα ἐπὶ πλεῖστον ὥσπερ ἔστι μοι βουλομένῳ κοσμεῖται; Σοί τε οὖν ὡς ὅτι κάλλιστα, ἐκείνους τε ὡσαύτως ὑπάρχει τὰ κράτιστα· ὅ ἐστι σοὶ κἀκεί-
B νοις. Οὕτω γὰρ ἕξεις τὸν τῶν ὅλων Θεὸν πρᾶον καὶ εὐμενῆ. Τούτους τοιγαροῦν, ἐπειδὴ τοσοῦτος εἶ, σοὶ παρατίθεμαι. Τοὺς αὐτοὺς δὲ τούτους, ὅτι καὶ εὐσεβείᾳ ἐπίσημος εἶ, ἐγχειρίζω. Τούτους ἀγάπα ἁρμοδίως τῇ σαυτοῦ φιλανθρωπίᾳ· σαυτῷ τε γὰρ καὶ ἡμῖν ἀπερίγραπτον δώσεις διὰ τῆς πίστεως χάριν. » Τοσαύτη τις ἦν τῷ θείῳ τούτῳ ἀνδρὶ φροντὶς τῶν ἁπανταχοῦ Χριστὸν ἐγνωκότων. Διά τοι καὶ τοιοῦτος τῆς θείας κηδεμονίας ἀπολαύσας ἀρκούντως, Εὐρώπην μὲν καὶ Λιβύην καὶ τὰ πλεῖστα τῆς Ἀσίας συσχὼν, εὔνους εἶχε τοὺς ὑπ' αὐτὸν μεθ' ἡδονῆς πειθομένους· ἤδη δὲ καὶ τῶν βαρβάρων οἱ πλεῖστοι, οἱ μὲν ἑκόντες, οἱ δὲ μάχῃ, ἕτοιμοι θεραπεύειν ἦσαν. Καὶ πανταχοῦ τρόπαια ἑστηκότα νικηφόρον τὸν βασιλέα ἐκήρυττον.

619 CAPUT XXXIX.

De vita monastica, unde ea initium sumpserit, quid ea profiteatur, et quos habuerit auctores.

C

Atque ipse quidem ejuscemodi actionibus suis effecit religionem nostram auctam honestatamque voluit. Sed et ipsa per se ipsam in magna fuit gloria, per eos qui tum ad virtutem aspirabant, homines. Multi enim adhuc ex confessoribus superstites erant, in ecclesiis enitentes. Quin etiam celebrem eam reddidere, fidemque ampliore gloria auxere, morum splendore, qui eo tempore monasticam solitariamque consectabantur vitam. Nam veluti arcana et divina quædam res, cœlitus ad homines delapsa est hæc philosophia : quippe quæ et disciplinarum artes, et disputationum nugas, ut D quæ supervacaneæ sint, omnemque quod in studiis melioribus poni queat, sibi vindicent, impedimentoque adeo ad puritatem vitæ sint, prorsus negligat : solaque nativa utens virtute, ea quæ ad illam perficiendam, et ad vitia tollenda faciunt, doceat et excolat : quæ vero inter hæc habentur media, eorum nullam ducat rationem, prorsus autem circa *res versetur honestas* : atque eos qui a vitiis longe

ΚΕΦΑΛ. ΛΘ'.

Περὶ τῆς μοναχικῆς πολιτείας, πόθεν ἤρξατο, καὶ τί ἐπαγγέλλεται, καὶ τίνας ἔσχεν ἀρχηγούς.

Καὶ ὁ μὲν τοιαῦτα πράττων, περιμανῶς εἶχε τὴν θρησκείαν γεραίρειν· αὐτὴ δὲ καὶ καθ' ἑαυτὴν μὲν εὐκλεὴς ἦν, διὰ τῶν τηνικάδε τὴν ἀρετὴν μετιόντων. Πολλοὶ γὰρ εἰσέτι τῶν ὁμολογητῶν περιῆσαν τῷ βίῳ, ταῖς ἐκκλησίαις ἐμπρέποντες. Οὐ μὴν δὲ ἀλλὰ καὶ ἐπίσημον ἐποίουν αὐτὸν, καὶ τὴν πίστιν δὲ τῇ τοῦ βίου λαμπρότητι ἐπὶ μέγα δόξης ἐτίμων, καὶ οἱ τηνικάδε τὴν μοναδικὴν μετερχόμενοι βιοτήν. Ὡς γάρ τι θεῖον καὶ ἀπόῤῥητον χρῆμα ἄνωθεν ἐς ἀνθρώπους ἡ τοιαύτη κατιοῦσα φιλοσοφία, ὡς ἐπίπαν μὲν τῆς ἐν μαθήμασι τέχνης καὶ τῆς ἐν διαλό-
D γοις λέσχης παντάπασιν ἀμελεῖ, ἅτε δὴ ταύτην περίεργον οὖσαν, καὶ τὴν περὶ τὰ κρείττω σχολὴν ὑφαιροῦσαν, ἐμποδών τε γινομένην πρὸς τὴν τῆς καθαρότητος βιοτήν· μόνῃ δὲ χρωμένη τῇ ἐκ φύσεως ἀρετῇ, τὰ πρὸς αὐτὴν συντελῆ, καὶ τὴν κακίαν ὅσα μειοῖ ἐκπαιδεύει· τὰ δὲ μέσα τούτων ἐν οὐδενὶ τίθεται· διόλου δὲ σύνεστι τοῖς καλοῖς· τόν γε μὴν πόῤῥω κακίας ὄντα, ἥκιστα δ' ἀντιποιούμενον ἀρετῆς, μοχθηρόν τινα νομίζει καὶ φαῦλον. Οὐ γὰρ

ἐπίδειξιν ἐθέλει ποιεῖν ἀρετῆς, ἀλλὰ πράττειν μάλα αὐτὴν, ἐν οὐδενὶ τὴν παρ' ἀνθρώποις τιθεμένη δόξαν· γενναίως δ' ἔχουσα πρὸς τὰ τῆς ψυχῆς πάθη, τὰς τῆς φύσεως ἀνάγκας ἐν δευτέρῳ ποιεῖται, παρὰ φαῦλον ἡγουμένη, καὶ ὅσαι δὴ ἀσθένειαι σώματος. Νῷ δὲ θείῳ δυναμωθεῖσα, πρὸς τὸν ἀκήρατον ἐκεῖνον Νοῦν αἰωρεῖται, νύκτωρ καὶ μεθημέραν τοῦτον φανταζομένη· ὑπερφυῶς σέβουσα, καὶ διηνεκέσιν ἱλεουμένη τοῦτον εὐχαῖς. Τῷ δὲ καθαρῷ τῆς ψυχῆς καὶ τῶν καλῶν πράξεων ταῖς ἐνεργείαις εἰς τὸ εὖ τῆς θρησκείας ἡγμένη, τῶν μὲν ἔξωθεν καθαρμῶν, καὶ ὅσα δὴ τοιαῦτα περιῤῥαντήρια, διαπτύει. Ἓν γὰρ ἐκείνῃ μίασμα, ἡ ἁμαρτία λογίζεται. Οὕτω δὲ κρείττων γενομένη τῶν ἔξωθεν, καὶ ὡς οἷον εἰπεῖν αὐτοκρατοροῦσα, οὔθ' ὑπὸ τῆς ἀταξίας τοῦ βίου καὶ τῆς ἀνάγκης, τῆς προαιρέσεως τοῦ δέοντος ἐκτροπὴν πάσχει, οὔτ' ἀνιᾶται ὑβριζομένη· ἀλλ' οὐδὲ πάσχουσα, τὴν ἄμυναν μελετᾷ. Νόσος δὲ καὶ τῶν ἐπιτηδείων ἡ ἔνδεια ἐκπιέζουσα, οὐ καταπίπτειν ποιεῖ, χαίρειν δ' ἐπὶ τούτοις μᾶλλον, τὸ γενναῖον ἐπιδεδειγμένη καὶ πρᾶον· καὶ παντὶ τῷ βίῳ τὸ τῶν ἐλαττόνων δεῖσθαι σπουδάζει, καὶ ὡς ἐνόν γε ἀνθρωπίνῃ φύσει, ἐγγὺς γενέσθαι πειρᾶται Θεοῦ. Πάροδον δὲ καὶ τὴν παροῦσαν ἡγουμένη ζωὴν, οὔτ' ἀσχολίαις πραγμάτων ἁλίσκεται, οὔτε πρόνοιαν τῶν παρόντων ἔχει· τὸ εὔζωνον δὲ καὶ ἀπέριττον ἐπαινοῦσα, πρὸς τὴν ἐκεῖθεν βλέπει μακαριότητα, καὶ πρὸς τὴν εὐδαίμονα λῆξιν καραδοκεῖ· πᾶσαν δὲ περὶ τὸ θεῖον εἰσοικισαμένη εὐλάβειαν, τὸ τῶν λόγων αἰσχρὸν ὡς ἀηδὲς ἀποσείεται· ὧν γὰρ τὴν πρᾶξιν τῆς ἰδίας ἐξώρισε βιοτῆς, τούτων οὐδὲ μέχρι λόγων ἀνέχεται. Τὰς δὲ τῆς φύσεως χρείας κατὰ βραχὺ περιστέλλουσα, καὶ τὴν σάρκα τοῖς μετρίοις ἐθίζουσα, τῷ μὲν σώφρονι περιγίνεται τῆς ἀκολασίας· τὴν δ' ἀδικίαν πόῤῥω βάλλει τῇ περὶ τὰ δίκαια στάθμῃ· τὸ δὲ ψεῦδος ἀπελαύνει τῇ ἀληθείᾳ· τῷ δ' εὐτάκτῳ τὴν ἐν πᾶσι περιαιρεῖ ἀνισότητα· τῷ δὲ κοινωνικῷ τοῦ ἤθους καὶ τῷ τοῖς πέλας ὁμονοεῖν, τὸ πολιτεύεσθαι καλῶς καθιστᾷ. Πρόνοιαν δὲ καὶ ξένων καὶ φίλων μάλα ποιεῖται. Τοῖς δέ γε χρῄζουσι κοινὰ ἡγεῖται τὰ ἴδια. Τὰ προσήκοντα δ' ἑκάστῳ συναίρεται, χαίρουσα μὲν, οἷς ἔστι χαρά· ᾧ δὲ λύπης πρόσεστι, παραμυθίας οὐδὲν ἐλλείπουσα. Συνόλως δὲ, τὴν περὶ τὸ ὄντως ὂν ἀγαθὸν σπουδὴν κατατείνουσα, σώφροσι λόγοις καὶ νοεροῖς νοήμασιν ἐκπαιδεύει, κάλλους ἀμελοῦσα τοῦ περιττοῦ. Καὶ τὸ κακηγορεῖν ἐπιμᾶλλον ἐκτρέπεται· σὺν αἰδοῖ δὲ, προσυφασμένης τιμῆς ἐπάγουσα τὴν διάλεξιν, οἷά τινι φαρμάκῳ θεραπεύει τὸν ἀκροώμενον. Πολλοῦ γε μὴν δεῖ ἐκείνῃ ὀργῆς τε καὶ λοιδορίας καὶ ἔριδος· καθαρῶς γὰρ οὖσα λογικὴ, παραιτεῖται πᾶσαν ἀλόγιστον κίνησιν. Καὶ ἁπλῶς εἰπεῖν, κυρία τῶν παθῶν γίνεται, ὅσα ψυχαῖς καὶ σώμασιν ἐπιγίνεται· τῆς δ' ἐνθέου ταύτης φιλοσοφίας ἄρξαι μέν τινες λέγουσιν Ἠλίαν ἐκεῖνον τὸν ζηλωτὴν, τινὲς δὲ Ἰωάννην τὸν Βαπτιστήν. Φίλων δ' ἐκεῖνος, ὁ τὸ γένος μὲν Ἑβραῖος, τὴν δ' αἵρεσιν Πυθαγόρειος, ἐν τοῖς κατ' αὐτόν φησι χρόνοις, τοὺς παρ' Ἑβραίοις σεμνοὺς εἰς χῶρόν τινα γεώλοφον περὶ

absint, virtutem autem minus consectentur, pravos atque improbos censeat. Non enim ostentare vult virtutem, sed eam sedulo exercere : nihil prorsus eam, quæ ab hominibus provenit, gloriam faciens. Et cum generose fortiterque animæ perturbationes expugnat, tum necessarias naturæ res parum admodum curat, vilipendens etiam quascunque corporis imbecillitates. Viribus autem a divina Mente acceptis, ad immortalem illam Mentem sublimis tollitur, nocte dieque illam cogitans atque intuens, mirificis etiam modis colens, continuisque precibus concilians. Puritate vero animi, bonorumque operum factis, ad sinceritatem religionis grassans : externas expiationes, et quæcunque ejus generis sunt lustrationes despuit, et unum piaculum esse peccatum ipsum putat. Atque ita rebus externis superior facta, imperiumque (ut ita dicam) in eas obtinens, neque ab inordinata vita, neque ab ulla necessitate, ab honesto debitoque proposito suo transversa agitur, neque contumeliis affecta perturbatur. Sed neque indignum quidquam patiens, vindictam 620 meditatur. Tantum etiam abest, ut vel morbus, vel rerum necessariarum inopia, eam adurgens, de statu suo deturbet, ut talibus quoque ærumnis magis lætetur, generositatem et mansuetudinem suam declarans. Per vitam itidem omnem illud studet, ut quam minimo indigeat, atque quantum humanæ naturæ captus permittit, proxime ad Deum accedere nititur. Transitum autem, sive diverticulum præsentem existimans esse vitam, neque occupationibus negotiorum irretitur, neque providentia rerum præsentium tenetur. Et vitam tenuem et a cura harum rerum expeditam ac liberam, nullisque superfluis oneratam, laudans, ad futuram respicit beatitudinem, felicemque illam quietem exspectat : omni quoque erga Deum pietate in animo suo veluti in domicilio excepta, verborum fœditatem, ut rem ingratam, repudiat. Quas enim illa actiones a moribus suis longe proscripsit, earum neque mentionem verbis facere sustinet. Naturæ vero necessitates paulatim constringens, et carnem moderatione domans, lasciviam castitate comprimit, injustitiam æquitatis amussi propellit, mendacium exigit veritate, composito vivendi more omnem accidit inæqualitatem. Familiaribus etiam pro societate humana se hominum moribus accommodando, et proximorum animis conformando, bene vivendi institutum confirmat : extraneorum simul et amicorum, ut eis provideat, curam habet : egentium res suas et opes ducit esse communes, et quæ cuique debentur tribuit. Gaudet illa cum gaudentibus, mœrentibus nihil non adhibet consolationis. In summa, ad id quod revera summum bonum est, studium omne convertens, sermonibus castis et cogitationibus spiritualibus se ipsam erudit, cultum formæ superfluum prorsus negligit, maledicta magnopere aversatur : colloquia cum veneratione et honoris præfatione ingreditur, au-

ditorem prius veluti medicamento curans. Longe ab ea abest iracundia, convicium, jurgium. Quod enim vera ratione prædita est, irrationalem omnem declinat motum : et, ut semel dicam, perturbationum, quæ vel in anima, vel in corpore sunt, omnium domina exsistit. Verum enimvero auctorem divinæ istius philosophiæ quidam laudant Heliam illum æmulatorem, quidam vero Joannem Baptistam. Philon autem ille, genere Hebræus, secta autem Pythagoreus, temporibus suis Judæos quosdam, viros graves et venerandos, dicit **621** in regione quadam frequentes habente tumulos, circa lacum Maræoticum ad Alexandriam pertinentem, novum philosophandi morem complexos esse : quorum domicilia, vitæ consuetudinem, aliaque instituta omnia, talia aliquis esse ex descriptione ejus colligat, qualia prisci apud Ægyptios monachi sunt consectati. Nam vitæ id genus ingressi, possessiones suas propinquis relinquebant : ac rebus omnibus nuntio remisso, extra oppida vivebant, atque in hortis quibusdam et agris solis habitabant. Erant autem eis et mansiones, quæ monasteria recte dicantur, ubi solitarii cum gravitate et sanctitate sacris initiabantur, carminibusque divinis, hymnis et psalmis Deum laudabant atque colebant. Nullus horum prius cibum, quam sol occidisset, capiebat. Fuere etiam, qui tribus aut pluribus quoque diebus sine alimento perseverarent : vino autem et sanguinolentis prorsus abstinerent, certisque diebus consulto humi decumberent. Cibus eis erat panis, sal et hyssopum : potus, aqua. Prope eos mulieres etiam vetulas fuisse scribit, quæ philosophiæ ejus amore, eumdem vitæ cursum delegerint. Quapropter et consilio voluntario cœlibatum consectatæ, vitam ita transigebant. Philon sane in libro quem *De Vita contemplativa*, sive *supplicum*, inscripsit, memoriæ hæc

A τὴν Μαρεῖαν λίμνην κείμενον, Ἀλεξανδρείᾳ προσήκοντα, ξένην φιλοσοφίαν μετέρχεσθαι· ὧν οἴκησιν καὶ πολιτείαν καὶ τὴν ἄλλην ἅπασαν ἀγωγὴν τοιαύτην εἶναί τις εἰκάσειεν ἐξ ὧν καταλέγει, οἵανπερ καὶ οἱ πάλαι μοναχοὶ ἐν Αἰγύπτῳ μετήρχοντο. Τοῦ γὰρ φιλοσοφεῖν ἀρχόμενοι, τοῖς προσήκουσι τῶν ὄντων ἐξίστανται· πᾶσι δ' ἀπαγορεύοντας, ἔξω τειχῶν γίνεσθαι· καὶ κήποις δή τισι καὶ μοναγρίοις τὰς διατριβὰς ἔχειν. Εἶναι δὲ αὐτοῖς καὶ καταγωγὰς, ἃ μοναστήρια καλεῖν θέμις· οἷα ἰδιάζοντας, σεμνῶς μυεῖσθαι· ᾠδαῖς δὲ θείαις καὶ ὕμνων ψαλμοῖς τὸν Θεὸν θεραπεύειν. Μή τινα δὲ τούτων ἐντυγχάνειν τροφῇ, πρὶν ἥλιος περὶ γῆν γίνεται. Εἰσὶ δὲ οἳ καὶ διὰ τριῶν ἡμερῶν καὶ πλειόνων τροφῆς ἄγευστοι διαμένουσιν. Οἴνου δὲ B καὶ ἐναίμων πάμπαν ἀπέχονται. Ῥηταῖς δ' ἐν ἡμέραις καὶ χαμευνεῖν αἱροῦνται. Τὸ δ' ὄψον αὐτοῖς ἄρτος καὶ ἅλες εἰσὶ καὶ ὕσσωπον, καὶ ὕδωρ ποτόν. Εἶναι δ' ἐγγὺς καὶ γυναῖκας γηραλέας, δι' ἔρωτα φιλοσοφίας τὸν ἴσον δρόμον αἱρουμένας βιοῦν φησι· διὸ καὶ γνώμῃ ἑκουσίῳ τὴν ἀγαμίαν ἀσκοῦσαι, τὸν βίον παρέλκουσιν. Ὁ μὲν δὴ Φίλων τοιαῦτα ἱστορῶν ἐν λόγῳ ὃν *Περὶ βίου θεωρητικοῦ ἢ ἱκετῶν* ἐπιγράφει, ἔοικε τοὺς ἐξ Ἑβραίων ἄρτι πρώτως Χριστιανίσαντας ὑποφαίνειν, Ἰουδαϊκώτερον ἔτι διακειμένους, καὶ τὰ ἐκείνων ἤθη τηροῦντας. Ἐν ἄλλῳ γὰρ ἔθνει τοιαύτην βίου διαγωγὴν πλὴν ἡμῶν οὐκ ἔστιν εὑρεῖν. Καί γε συμβάλλω ἐξ ἐκείνων ἐν Αἰγύπτῳ τήνδ' ἀκμάσαι τὴν πολιτείαν. Εἰσὶ C δὲ οἵ φασι καὶ τοὺς κατὰ καιρὸν διωγμοὺς ταύτην σχεδιάσαι πρώτως τὴν ἀγωγήν· τῆς γὰρ θρησκείας ἐκπεπολεμωμένης, φεύγοντες ὄρεσιν ἀγρίοις καὶ νάπαις τισὶ διῃτῶντο· οἷς μὴ ἁλῶναι ταῖς πλάναις διὰ σπουδῆς ἐποιοῦντο. Ἐθάδες δὲ τοῦ βίου γενόμενοι, κατὰ μικρὸν ἀποπληρῶσαι τῇ διαίτῃ τὸν βίον, εἰς μέγα τ' ἐπιδοῦναι, πολλῶν κατὰ ζῆλον ὑποδυομένων τὴν πολιτείαν.

mandavit. Videtur autem eos significare, qui ex Hebræis tum nuper admodum Christianismum susceperint, Judaicis adhuc opinionibus præditos, moresque eorum servantes. In nulla enim gente alia, præterquam apud nos, tale vitæ institutum inveniatur. Equidem ab illis Ægyptiis tantopere hoc vivendi genus invaluisse conjicio. Sunt vero qui dicunt, persecutionum tempora huic instituto derepente primum causam præbuisse. Cum enim a tyrannis religio exagitaretur, qui sibi fuga consulebant, in montibus incultis et saltibus quibusdam versabantur, in quibus ne deprehensi caperentur, de industria errabundi sedes mutabant. Et cum ei vitæ assuevissent, paulatim deinceps institutum id ad mortem usque producebant : et ad magna incrementa, multis per æmulationem conversationem talem et vitam subeuntibus, transmittebant.

622 CAPUT XL

De vita et instituto clarissimi inter monachos Antonii Magni, et sectatoribus ejus : et de Paulo Simplici.

Sedenim sive Ægyptii, seu priores illi, quos diximus, aut etiam alii quicunque instituti hujus auctores fuere, et ejusmodi philosophia alii præiere, illud quidem certe nemo non confitetur, ad summum, et moribus ipsis, et accurata vivendi ratione, institutum hoc, ita ut opinio obtinet, exercuisse celebrem illum et magnum Antonium : *quem tum in Ægypti* montibus viventem, propter

D

ΚΕΦΑΛ. Μ'.

Περὶ βίου καὶ ἀγωγῆς τοῦ περιβοήτου ἐν ἀσκηταῖς Ἀντωνίου τοῦ μεγάλου, καὶ τῶν αὐτοῦ μαθητῶν, καὶ Παύλου τοῦ Ἁπλοῦ.

Εἴτ' οὖν Αἰγύπτιοι, εἴθ' οἱ πρότερον εἰρημένοι, ἢ ὁποιοιδή τινες τοῦ τοιούτου βίου κατῆρξαν, καὶ τῆς τοιαύτης φιλοσοφίας προὔστησαν, τοῦτό γε μὴν πᾶσιν ἀνωμολόγηται, ὡς εἰς ἄκρον ἔν τε ἤθεσι καὶ ἀκριβεῖ πολιτείᾳ τὴν τοιαύτην δίαιταν ἐξασκῆσαι λόγος ἔχει τὸν πολὺν ἐκεῖνον καὶ μέγαν Ἀντώνιον· ὃν τηνικαῦτα τοῖς κατ' Αἴγυπτον ὄρεσι διατρίβοντα διὰ τὸ τῆς ἀρετῆς περιὸν, γνήσιον ἐποιεῖτο φίλον

Κωνσταντῖνος ὁ περιβόητος βασιλεύς· τιμῶν τε πυκνοῖς γράμμασι, περὶ ὧν αἱρεῖται γράφειν ἠρέθιζεν. Ἦν δὲ οὗτος τῷ γένει Αἰγύπτιος, τὰ πρῶτα τῆς πατρίδος φερόμενος, ἀπὸ κώμης οὕτω λεγομένης Κομᾶ· ὅμορος δ' αὕτη Ἡρακλείᾳ τῶν παρ' Αἰγυπτίοις Ἀρκάδων. Ἐν νέᾳ δὲ ἡλικίᾳ καταλειφθεὶς ὀρφανὸς, ὅσοι μὲν αὐτῷ προσῆσαν ἀγροὶ, τοῖς συγχωρίταις εἴασε, τὴν δὲ λοιπὴν περιουσίαν τοῖς δεομένοις ἀπέδοτο· δεῖν γὰρ ᾤετο τὸν φιλοσοφεῖν σπεύδοντα μὴ μόνον ἀφιέναι τὰ χρήματα, ἀλλὰ καὶ προσηκόντως καταναλίσκειν τοῖς χρήζουσι. Καὶ δὴ τοῖς τηνικάδε περὶ τὰ καλὰ σχολὴν ἔχουσιν ἑαυτὸν συμμίξας, τὰ κράτιστα τῶν ὅλων ἐζήλωσεν. Εἰδώς γε μὴν τὸν ἄριστον βίον τῇ συνηθείᾳ ἡδὺν ἐσόμενον, εἰ καὶ χαλεπός τις εἴη ταπρῶτα, τὰς συντόμους μᾶλλον καὶ τελείας τῶν ἀρετῶν ἐπεμέλετο. Καὶ καθ' ἑκάστην ὡσανεὶ ἀρχὴν βαλόμενος, ἐπιμᾶλλον τῇ καθόλου ἐγκρατείᾳ ἐχώρει, νεαράν τινα καὶ ἀκμάζουσαν ὁσημέραι προθυμίαν αὐχῶν. Καί γε τὰς μὲν τοῦ σώματος ἡδονὰς ἐκολάσατο ταῖς περὶ αὐτὸ ἐπιμόνοις ταλαιπωρίαις· τὰς δὲ τῆς ψυχῆς ἀτάκτους ὁρμὰς κατέστειλε τῷ ἀνενδότῳ τῆς προαιρέσεως. Ἅπαξ δ' ἐσιτεῖτο ἡμέρας ἡλίου δύνοντος· πολλάκις δὲ καὶ ἐς δύο καὶ τρεῖς ἡμέρας ἀπόσιτος ἔμενεν. Ἡ δὲ τροφὴ ἄρτος ἦν, καὶ ἁπλοῦν ὄψον οἱ ἅλες· τὸ δὲ ποτὸν ὁ παραῤῥέων αὐτῷ χείμαῤῥος ἐχορήγει. Διὰ πάσης δ' ἀγρυπνῶν ὡς εἰπεῖν ἀεὶ τῆς νυκτὸς, καί τι τῆς ἡμέρας μέρος ἐλάμβανε ταῖς εὐχαῖς. Εἰ δέ που καὶ ὕπνος παρώδευε, βραχύς τις μάλα προσῆν. Χαμαὶ δ' ἐπὶ ψιλοῦ κείμενος τοῦ ἐδάφους τὰ πολλὰ διετέλει. Παντάπασι δ' ἀπείπατο ἐλαίου τε χρίσιν καὶ λούτρων χρείαν, εἰδὼς τὴν σύντονον ἕξιν τοῦ σώματος ἠρέμα πρὸς τὸ ἀνειμένον καὶ χαῦνον τοῖς ὑγροῖς στρεφομένην. Ἥκιστα δέ φασι καὶ γυμνὸν αὐτὸν ὀφθῆναί ποτε. Γράμματα δὲ μὴ μαθὼν, οὐδὲ τὸν εἰδότα διὰ θαύματος εἶχε. Νοῦν δ' ἀγαθὸν ὡς γραμμάτων πρεσβύτερον καὶ τῶν τοιούτων εὑρετὴν μάλα ἐπῄνει· μηδὲ γὰρ εἶναι τούτων ἀνάγκην, τοῦ νοῦ ἐῤῥωμένως ἔχοντος. Πρᾶος δ' εἴπερ τις καὶ φιλάνθρωπος γεγονὼς, χαρίεις μάλιστα τοῖς ἐντυγχάνουσιν ἦν, ὀξύς τε καὶ ἀκαταγώνιστος. Διαλεγόμενος δ' ἐπιμᾶλλον, τὸ μὴ λυπεῖν ἐφυλάττετο, εἰ καί τινες ἐριστικῶς τέως αὐτῷ προσεφέροντο. Κρείττονι γὰρ σοφίᾳ τινὶ καὶ παραξένῳ τῷ ἤθει σὺν ἐπιστήμῃ θείᾳ ῥιπιζομένην φιλονεικίαν εὐχερῶς καταστέλλειν εἶχε, καὶ πρὸς τὸ μετριώτερον μεθιστᾷν. Κιρνῶν δὲ τὸ σύντονον τῶν διομιλούντων, καὶ τρόπους ἐῤῥύθμιζε. Θείας δ' ἐντεῦθεν γνώσεως καὶ προγνώσεως μετασχὼν, οὐδὲν ἡγεῖτο τὸ μέλλον εἰδέναι· εἰκαίαν δ' εἶναι καὶ τὴν περὶ τοῦτο σπουδὴν ἔλεγεν, ὅτι μηδ' ἀρετὴν εἶναι τὴν πρόγνωσιν ὑπετίθει· ἐπεί τοί γε μηδ' ἐν εὐθύναις πάλιν τὸν μὴ εἰδότα τὸ μέλλον ὑπάγεσθαι. Ἓν γὰρ εἶναι τὸ μακάριον ὑπενόει, καλῶς τὸ Θεῖον σέβειν, τούς τε νόμους αὐτοῦ καὶ τὰς ἐντολὰς ἀπαρατρώτους τηρεῖν. Εἰ δέ τῳ ἔρως καὶ τοῦ προ-

virtutis præstantiam, germanum sibi amicum fecit clarissimus imperator Constantinus, frequentibus ad eum datis litteris hominem honorans, et ut de quibus rebus vellet (1), ad se scriberet, rogans. Fuit autem is genere Ægyptius (2), primas in patria sua partes ferens, in vico cui nomen erat Coma ortus, qui finitimus est Arcadum (3). quæ apud Ægyptios est Heracleæ. In juvenili autem ætate relictus a parentibus orphanus, quidquid ei fuit agri, loci ejus incolis donavit, reliquam substantiam egentibus distribuit. Ita enim decere existimavit, ut qui philosophari constituisset, non solum pecunias relinqueret, sed etiam pro eo atque deceret, inopibus eas expenderet. Sane quidem qui tum rebus pulchris vacarent, eis se conjungens, quæ in unoquoque eorum præstantissima essent, ea est æmulatus. Quod namque sciret optimam quamque vitam consuetudine dulcem gratamque fieri, quamvis gravis primum sit et molesta, in compendiosis perfectisque se magis exercuit virtutibus. Et quotidie quasi principio jacto, magis ac magis in universa animi moderatione proficiebat, novam quamdam et vigentem indies præ se ferens alacritatem. Et corporis quidem voluptates ærumnis ejus jugibus suppressit, animæ autem inordinatos impetus pertinacia propositi sui constrinxit. Semel autem interdiu post occasum solem cibum sumpsit. Persæpe vero biduum totum, quandoque etiam triduum, escas non attigit. Cibus ei erat panis, obsonium simplex sal, potum præterfluens torrens præbuit. Per totam autem semper propemodum vigilans noctem, aliquam etiam diei partem precationibus dabat. Quod sicubi somnus ei obrepsisset, brevis is admodum fuit : humi vero in nudo solo plurimum cubabat. **623** Et omnino olei simul unguini, et lavationis usui renuntiaverat : quod illum non lateret, robustum quoque et firmum corporis habitum humidis sensim ad mollitiem et luxum converti. Haud unquam eum a quopiam nudum esse visum tradunt. Et cum litteras ipse non didicit, tum neque earum peritos admiratus est. Mentem vero bonam ut litteris ipsis antiquiorem, taliumque adeo artium inventricem, valde laudavit. Quin neque iis quidquam opus esse dixit, si mens per seipsam valida sit. Mitis porro atque humanus, ut non magis alius quisquam, et in colloquiis gratiosus maxime, atque item acutus invictusque fuit. In disputationibus præcipue, etiam si qui interdum contentiose cum eo conflictarentur, ne molestus esset, cavebat. Præstantiori siquidem sapientia quadam, et novo more, una cum divina prudentia, temere illatum contentionis studium facile contrahere, et ad moderationem conformare noverat. Vehementiam autem collocutorum temperans, mores eorum simul reddebat meliores. Divinam inde cognitionem, atque etiam

(1) Καὶ ὧν ἐδεῖτο. (Sozom.) Hoc est, *De rebus quibus indigeret.*

(2) Τῷ γένει τῶν εὐπατριδῶν. (Sozom. lib. I, cap. 13) Hoc est, *claro loco natus.*

(3) Τοῖς παρ' Αἰγυπτίοις ἄκροις. (Sozom) Hoc est, *Ægyptiorum montibus.*

præcognitionem consecutus, nihil admodum esse judicabat futura prævidere : vanumque etiam, quod in ea re collocaretur, studium esse dicebat. Neque virtutem ullam esse docuit divinare : quod e diverso, neque in vitio, cujus gratia pœnam quis metuat, sit, futurum non nosse. Cæterum unum illud beatitudinis esse existimabat, rite Deum colere, legesque ejus et mandata inviolata servare, Si cui autem amor futura cognoscendi incessat. puram modo, inquit, habeat animam, et futuri perspectio eum consequetur, Deo veluti per speculum aliquod cognitionem futuri exhibente. Socordiam autem detestans, omnes qui recte vivere vellent, admonuit, ut opus facerent : et ut seipsum quisque in judicium et rationem diu noctuque factorum adduceret, atque si quid contra decorum fecisset, ut id litteris adnotaret. Sic enim fore, ut seipsum vereatur homo, et deinceps ab absurdis animi motibus, ne multa adnotata reperiat, abhorreat : fore etiam ut metuat, ne scriptura tali a quopiam deprehensa, improbus ipse manifesto inveniatur. Acriter quoque, si qui injuriam accepissent, defendebat, eaque causa frequenter urbes adibat. Multi namque eum accedentes, calamitatesque suas deplorantes, cogebant ut urbes ingrederetur, et pro eis precator atque intercessor apud magistratus fieret. **624** Illi porro plurimi faciebant, si ipsum viderent, et Sirenem verborum ejus audirent, et imperanti parerent. Ipsi enim studio in primis fuit, latere, et in solis locis versari. Et quod eo esset animo, si quando in publicum prodiret, confecto quanta potuit celeritate, cujus gratia in urbem venerat, negotio, rursum se in solitudinem recipiebat. Siquidem dicere solitus erat, lethalem esse piscibus extra undas conversationem : neque minus monachum in periculum cœlestis vitæ et professionis sanctioris amittendæ venire, si moras in urbibus trahat. Et cum jucundum se omnibus præbuit, tum ne submissus nimium et adulator esse videretur : præterea ne ex eo quod ab omnibus honore afficeretur, quodque ei quos jussisset, morem gererent, fastu et arrogantia efferretur, curavit. Scribenti aliquando Constantino ad se ut veniret, mirifice enim hominem amabat, detrectavit id primum, dicens : Siquidem ad imperatorem venero, Antonius ero ; sin minus, abbas Antonius. Atque eo tandem modo ad illum adire sustinuit. Verum hæc tanquam gustus quidam et exigua imago Antonii vitæ et instituti, sint exposita : ut ex his universam ejus, qualis fuerit philosophiam colligamus. Quam rebus omnibus optimus Athanasius, cui etiam fuit charissimus, copiose memoriæ posteritatis litteris mandavit : certaminibus ejus contra dæmones, et artibus quas adversus illos adinvenit, aliisque vitæ prodigiis et rebus quibusvis conscriptis, ut liber is monastici instituti ceu descriptio quædam esset. Itidem ut idem Athanasius in Vita Syncletices (1) fecit, ut,

A εἰδέναι ἐνέσκηψε, καθαρὸς εἴη ψυχὴν, ἔλεγε· καὶ τὸ διορᾷν τὸ μέλλον ἕψεται, τοῦ Θεοῦ διά τινος ἐσόπτρου τὴν τῶν ἐσομένων γνῶσιν παραδεικνύοντος. Μισῶν δὲ τὴν ἀργίαν, πᾶσι τοῖς καλῶς βιοῦν αἱρουμένοις, παρῄνει ἐργάζεσθαι· ὑπὸ κρίσιν τε καὶ λόγον ἄγειν αὐτὸν, ὧν νύκτωρ καὶ μεθημέραν ἐγένετο αὐτουργός· κἄν τι μὴ δεόντως ἐπράχθη, γράμμασιν ἐγχαράττειν· ὡς ἄν γε δι' αἰδοῦς αὐτὸν ἔχῃ, τοῦ λοιποῦ τῶν ἀτόπων τοῦ νοῦ κινημάτων φειδόμενος μὴ πολλὰ εὕροι τὰ γεγραμμένα· φόβῳ τε καὶ τοῦ μὴ δῆλος ποτὲ γενέσθαι, μοχθηρὸς ὢν, φωραθείσης τινὶ τῆς γραφῆς. Ναὶ μὴν καὶ τῶν ἀδικουμένων σφοδρῶς ὑπερίστατο· διά τοι καὶ ἐπὶ τὰς πόλεις ἐφοίτα· πολλοὶ γὰρ προσιόντες ἐβίαζον ἥκειν, τὰς οἰκείας συμφορὰς ὀδυρόμενοι, καὶ πρεσβεύειν ἐδέοντο τοῖς ἐν τέλει. B Περὶ πλείστου γὰρ ἐκείνοις ἦν ἰδεῖν τε αὐτὸν καὶ ἀκοῦσαι τῆς τῶν λόγων σειρῆνος, καὶ πειθαρχῆσαι κελεύοντι. Πάνυ γὰρ τὸ λανθάνειν εἶχε διὰ σπουδῆς καὶ ἐν ἐρημίαις κρύπτεσθαι. Καὶ ταῦθ' οὕτως ἔχων, καὶ τοίνυν εἴποτε φανείη, διαθεὶς ὅσον τάχος ἐφ' ὅτῳ καὶ ἧκεν, ἀνεχώρει αὖθις. Ἰχθύσι μὲν γὰρ θάνατον ἐπάγειν ἔλεγε τὴν ἔξω τοῦ ὑγροῦ δίαιταν· ἀπόλλοι δ' ἂν καὶ μοναχὸς τὴν κατὰ Θεὸν βιοτὴν καὶ τοῦ σχήματος τὸ σεμνὸν, χρονίζων ταῖς πόλεσι. Πᾶσι δ' οὖν κεχαρισμένον ἑαυτὸν παρέχων, ἐπεμέλετο μήτ' ἀγεννὴ καὶ κόλακα εἶναι δοκεῖν, μήτε πρὸς τῦφον ἐξάγεσθαι τῷ διὰ πάντων τιμᾶσθαι, καὶ οἷς ἂν κελεύοι πείθεσθαι. Ἐπιστέλλοντι δὲ καὶ Κωνσταντίνῳ παρ' C αὐτὸν ἥκειν, ὑπερφυῶς γὰρ ἐφίλει Ἀντώνιον, ἀπηξίωσεν ἐπειπών· Ἥκων μὲν ἐς βασιλέα, Ἀντώνιος ἔσομαι· μὴ τοῦτο δὲ πράξας, ἀββᾶς Ἀντώνιος. Καὶ τούτῳ τῷ τρόπῳ τὴν ἐπ' ἐκεῖνον πορείαν ἀνέσχεν. Ἀλλὰ γεῦμα ταῦτα καὶ βραχὺς χαρακτὴρ τῆς Ἀντωνίου διαίτης καὶ πολιτείας. Εἴρηται δ' ἵνα ἐκ τούτου τὴν ὅλην ἐκείνου φιλοσοφίαν, ὅση τις ἦν, ὑπολογισώμεθα· ἣν ὁ τὰ πάντα ἄριστος Ἀθανάσιος καὶ αὐτῷ διαφερόντως φιλούμενος, πρὸς λεπτὸν ἱστορήσας ἐξέδωκε τὰς μετὰ δαιμόνων πάλας αὐτοῦ, καὶ τὰς ἐξευρημένας τέχνας αὐτῷ κατ' αὐτῶν, καὶ τὰ λοιπὰ τοῦ βίου τεράστια, καὶ πάνθ' ἕκαστα διαγράψας, ὡς ὅρον εἶναι μοναδικῆς πολιτείας τὸ σύγγραμμα. Ὁποῖα δὴ ὁ αὐτὸς Ἀθανάσιος κἀν τῷ βίῳ συγκλητικῆς ἔπραξεν, ἀνδρῶν μὲν πολιτείαν ἐντεῦD θεν, γυναικῶν δ' ἐκεῖθεν ὑποτιθεὶς ὡς ἐν πλάσματι διηγήσεως. Πολλοὺς δὲ καὶ φοιτητὰς ἔσχε, δοκίμους τε καὶ τὸν διδάσκαλον ἀποχρώντως ἐνδεικνυμένους, τῇ τε παιδείᾳ καὶ φιλοσοφίᾳ καὶ τῇ λοιπῇ ἀρετῇ. Ὧν οἱ μὲν ἐν Αἰγύπτῳ καὶ Λιβύῃ, οἱ δ' ἐν Παλαιστίνῃ καὶ Συρίᾳ καὶ Ἀῤῥαβίᾳ, τὸ φιλοσοφεῖν ἐπεδείξαντο. Περὶ πλείστου δ' ἦσαν καὶ οὗτοι καὶ οἱ τούτων διάδοχοι ὡς ἔργον ποιεῖν πάντας τοὺς Θεῷ ᾑρημένους βιοῦν, καὶ αὐτοὺς ἐκζητεῖν, καὶ παρ' αὐτῶν τὸ ποιητέον ἀναδιδάσκεσθαι, σπεύδοντας ἐπιμελῶς κρύπτεσθαι, οὐχ ἧττον ἥπερ οἱ νῦν τύφῳ καὶ διακένῳ φιλοτιμίᾳ σοβοῦντες διὰ τῆς ἀγορᾶς ἐκπομπεύουσι. Πολλοὶ μὲν οὖν τῶν αὐτοῦ ἐγένοντο εὐδόκιμοι φοιτηταί· καὶ Παῦλος δ' ἐκεῖνος, ὃς ἐξ

(1) In Vitis Patrum, Syncletice inter sacras abbatissas allegatur.

ἀρετῆς Ἁπλοῦς ὠνομάσθη· ὃν λόγος ἀγροικίᾳ συζῶντα, ὡραίᾳ δὲ καὶ τὸ εἶδος γυναικὶ συνοικοῦντα, ἐπεὶ ἐπ' αὐτοφώρῳ μοιχευομένην συνέβαινε κατιδεῖν, σεμνὸν μειδιάσαντα σὺν ὅρκῳ ἀπειπεῖν τὴν συνάφειαν· διαφέντα δ' εὐθὺς, χωρεῖν πρὸς Ἀντώνιον. Πρᾶον δὲ μάλα γενέσθαι καὶ ὑπακοὴν διαφερόντως ἀσκῆσαι λέγεται· ἀνθαμιλλᾶσθαι δὲ καὶ πρὸς τοὺς ἀσκητικοὺς ἀγῶνας τῷ διδασκάλῳ, πεῖραν ἐπάγοντι τὴν παντοδαπὴν, καὶ μηδὲν ἀγεννὲς τῇ μιμήσει φωράσαι. Ἐντελὲς δ' αὐτῷ τὸ τῆς ἀρίστης πολιτείας καὶ φιλοσοφίας ἐπιμαρτυρήσας, μὴ δεῖν ἐκείνῳ διδασκάλου τουλοιποῦ ἔλεγε. Φιλοσοφεῖν δ' ἐν αὐτῷ διάγοντα· καὶ ταῦτα γηραλέῳ τε ὄντι, καὶ μὴ ἐκ παιδὸς τὴν ἄσκησιν μελετήσαντι, ἄρτι δὲ παριόντι πρὸς τὸν ἀγῶνα. Ἐκύρου δὲ καὶ Θεὸς ἄνωθεν τὰ ἐψηφισμένα τῷ Ἀντωνίῳ· καὶ ἐν οὐ πολλῷ B ἐπίσημον ἐποίει τὸν ἄνδρα. Ἄμεινον δ' εἶχε τοῦ διδασκάλου δαίμοσί τε παλαίειν, καὶ αὐτοὺς ἀπελᾷν.

A sicuti in hoc mulieres, ita in illo scripto viri, quod sequerentur institutum, tanquam in commentario expressum, haberent (1). Habuit autem discipulos multos, probatos admodum, et qui magistrum vitæ institutione, sapientiæ studio, et virtute reliqua satis feliciter retulerunt. Qui partim in Ægypto et Libya, partim in Palæstina, Syria et Arabia sunt philosophati. Præstantissimi sane ii sunt, atque itidem successores eorum. Ita ut ingentis esset laboris iis qui Deo vitam suam dicarant, eos inquirere, atque ab eis, quæ sibi facienda esset, addiscere: præsertim cum illi magna cura, ut et ipsi et eorum facta laterent, studerent: non perinde scilicet, atque nostrorum temporum homines plurimi, facientes, qui fastu et ambitione inani insolenter per forum sese inferentes venditant. **625** Multi sane speciali fuere sectatores ejus: et in primis Paulus ille, qui ex virtute Simplex est cognominatus. Quem ferunt rusticam vitam agentem, et cum formosa conjuge habitantem, et posteaquam eam in flagranti crimine cum mœcho concumbentem vidisset, graviter subridentem, adhibito jurejurando, conjunctioni ejus renuntiasse: eaque statim dimissa, ad Antonium pervenisse. Mitis vero admodum fuisse, et obedientiam præcipue coluisse dicitur. Monasticis quoque studiis et certaminibus cum magistro contendit, omnem adhibente curam atque diligentiam, ne quid quod ab illo degeneraret, in imitatione ejus deprehenderetur. Qui sane testimonium ei perfectionis in optimo instituto, monasticaque philosophia perhibens, nihil ei deinceps præceptore opus esse dixit ipsum quippe per seipsum philosophari egregie admodum, jam senem: qui scilicet studium id non a puero esset meditatus, sed non ita pridem ad certamen tale descendisset. Sed et Deus cœlitus, quæ de eo Antonius pronuntiaverat, auctoritate sua confirmavit: brevique ita clarum reddidit virum, ut melior etiam præceptore, ad dæmones lucta supplantandos atque propellendos esset.

ΚΕΦΑΛ. ΜΑ'. C

Περὶ τοῦ ἁγίου Ἀμοῦν, καὶ Εὐτυχιανοῦ τοῦ ἐν τῷ Ὀλύμπῳ.

Χρόνῳ δ' ἐκείνῳ καὶ Ἀμοῦν ἐκεῖνος ἤκμαζεν· Αἰγύπτιος δὲ καὶ οὗτος ἦν· ὃς γυναικὶ συζυγεὶς, τῶν οἰκείων βιασαμένων, μὴ πειραθῆναι ταύτης, ᾗ θέμις ἐστὶν ἀνδράσιν. Ἐπεὶ γὰρ ὁ γάμος συνίστατο, καὶ τῇ νύμφῃ ὡς ἔθος ἐθαλαμεύετο, μόνος μόνῃ συνὼν, πέρας μὲν ἤδη ἔχειν τὸν γάμον διωμιλεῖτο· ὑπετίθει γε μὴν μέγα εἶναι τὸ παρθένους διαβιοῦν· καὶ τὰ γέρα διεξῄει τῆς ἀζυγίας· καὶ πεῖραν προσῆγεν ἀσπάζεσθαι τὸ καθ' ἑαυτούς. Ἡ δὲ νεᾶνις δι' ἐπαίνου μὲν ἐποιεῖτο τοὺς λόγους· χωρίζεσθαι δ' ἐκείνου παντελῶς ἀπηγόρευε. Καὶ δὴ συνῆν ἐκείνῃ Ἀμοῦν ὀκτὼ πρὸς τοῖς δέκα ἔτεσιν ἰδίᾳ καθεύδων, καὶ τῆς κατὰ Θεὸν ἀσκήσεως τὴν D ἐπιμέλειαν ἔχων. Ζήλῳ δ' ἐκείνου καὶ ἡ γυνὴ πτερωθεῖσα, δεῖν ἐνόμιζε μὴ δι' αὐτὴν τηλικοῦτον ἄνδρα ἐν τῷ ἀφανεῖ καθεστάναι, χρῆναι δ' ἑκάτερον ἀνὰ μέρος ἀσκεῖν, καὶ τοῦ ἀνδρὸς ἐδεῖτο χωρίζεσθαι. Καὶ ὁ μὲν τὸν οἶκον ἐκείνῃ λιπὼν, αὐτὸς εἰς τὴν πρὸς μεσημβρίαν τῆς Μαρείας λίμνης γεγονὼς ἔρημον, περὶ τὴν Σκῆτιν καὶ τὸ τῆς Νιτρίας ὄρος, δύο καὶ εἴκοσιν ἔτη ἐφιλοσόφει, δὶς τοῦ ἔτους παραβάλλων καὶ τὴν γυναῖκα θεώμενος. Πολλοὺς δὲ καὶ οὗτος οἷα καθηγητὴς ἐκτήσατο μαθητάς. Αὐτουργὸς δὲ

CAPUT XLI.

De sancto Amone; et Eutychiano qui in Olympo Bithyniæ monte versatus est.

Eodem tempore et Amoun ille Ægyptius itidem viguit, qui a propinquis et familiaribus coactus, uxorem quidem duxit; cum ea tamen conjugii more, uti viri consuevere, congressus non est. Cum namque nuptiarum dies advenisset, et sponsa, sicuti fieri assolet, in thalamum ejus deducta esset, solus cum sola collocutus, finem jam suum nuptias habere dixit: et magnum quiddam fore, si virgines vitam exigerent, docuit: præmiaque cœlibatus commemorans, persuadere ei conatus est, ut solitariam pro se uterque sectaretur vitam. Et puella quidem verba ejus laudibus extulit, segregari tamen ab eo prorsus noluit. Itaque Amoun decem et octo annos cum ea vixit, seorsim cubans, **626** et quod secundum Deum est vitæ institutum colens: muliercula vero æmulatione illius, et ipsa spe animoque erecta, iniquum esse existimavit, sua causa tantum virum in obscuro latere: et utrumque potius ab altero segregatum, pietatem exercere debere censens, separari a viro petiit. Atque ille relicta mulieri domo, ipse meridiem versus ad lacum Maream, in solitudine, circum Scetim et Nitriæ montem, duos et viginti annos

(1) Hieronymus Athanasium librum *De virginitate* conscripsisse testatur.

monasticam est philosophatus, bis quotannis adire et visere mulierem solitus. Multos et hic veluti dux habuit sectatores, et multa divina edidit opera. Multa dicta ejus memorantur, quæ ab Ægyptiis monachis, accurate talia et studiose inquirere, veterumque monachorum facinoribus, sive in scriptum sint relata, sive minus, delectari solitis, per temporum successionem percepta, hodie quoque feruntur, auditoribus perquam jucunda. Quorum ut gustum aliquem proponamus, hæc subjungere libet. Petebat magnus iste vir solitudinem quamdam cum discipulo suo Theodoro : cumque fossam quamdam undis scilicet repletam trajicere opus haberent, ne vestes altius attollentes, alter alterius nuditatem conspiceret, retrocedere paululum Theodorum jubet. Cum vero seipsum quoque nudum videre vereretur, divino momento in sublime sublatus, in ulteriorem pervenit ripam. Ut autem Theodorus quoque satis madens transgressus, ultra Lycum (sic enim incolæ fossam eam nominabant) venit, vestemque et pedes Amoun siccos vidit, precibus senem fatigans, causam ejus rei ut sibi diceret petiit. Ille tectum id, quidquid esset, tacitumque esse voluit. Ut vero magis magisque Theodorus contendit, nihil se de petitione ea remissurum professus, Amoun tandem pacto prius interposito, se vivo nemini id prolaturum, rem actam exponit. Quapropter is postea præstantioris cujusdam naturæ virum eum esse credidit. Porro quod etiam præcognitionis divinæ plenus fuerit, id quod nunc dicemus, satis indicabit. Puer quidam parentum injustorum a rabido cane morsus, in ea exspectatione, ut quamprimum moreretur, erat : cum autem ad Amoun eum adduxissent, ut eum curaret petebant; ille, Non ego, inquit, sed vos, siquidem voletis, eum curabitis : si enim, quem surripuistis bovem dominis suis restituere volueritis, statim malo omni puer liberabitur. Bos redditus est, et periculum omne confestim profugiens vacuum ærumnæ omnis puerum reliquit. **627** Cum autem aliquo post tempore Amoun decederet, animam ejus Antonius dicitur in cœlum deduci vidisse, divinis virtutibus eam comitantibus, venerationeque et stipatione multa, atque etiam ineffabili quodam hymnorum carmine prosequentibus. Et cum, qui tum cum Antonio erant, per consternationem in aerem suspiciente, et rei tantæ faciem admirante, causam ab eo requirerent, ille visum id haudquaquam occultum habuit. Et verba ejus re ipsa sunt confirmata. Postquam enim a Sceti multi venere, et tempus obitus Amoun indicavere, illud ipsum tempus esse cognoverunt, cum Antonius stupore correptus in cœlos suspexit; et utrumque sane merito beatum habendum dixerunt : Amoun quidem, quod sic e vita præsenti subductus esset, Antonium vero, quod eum Deus visione ea dignatus esset : cum quidem inter utriusque habitationis locum, magnum intervallum atque dierum aliquot intercederet iter. Atque hæc

A πολλῶν καὶ θεσπεσίων ἔργων ἐγένετο· καὶ πολλὰ τῶν ἐκείνῳ ῥηθέντιων ἀπομνημονεύεται· ἃ τοῖς κατ' Αἴγυπτον μοναχοῖς διὰ σπουδῆς ἔχουσιν ἀκριδοῦν τὰ τοιαῦτα. Καὶ ταῖς τῶν παλαιοτέρων ἀσκητῶν ἐργασίαις ἐγγράφως τε καὶ ἀγράφως εἰωθόσι χαίρειν, ἐς δεῦρο φέρεται τῇ τοῦ χρόνου διαδοχῇ, ξενίζοντα τοὺς ἀκούοντας· ὧν γεύματος χάριν ταῦτα εἰρήσθω. Ἀπῄει ὁ μέγας οὗτος ἐπί τινα ἔρημον. Δεῆσαν δ' ἐκείνῳ διώρυγά τινα σὺν τῷ μαθητῇ αὐτοῦ Θεοδώρῳ διαπερᾷν, ἵνα μὴ ἀναστέλλοντες τὰ ἱμάτια τὴν γύμνωσιν ἀλλήλων θεάσωνται, μικρὸν ὑπαναχωρεῖν Θεόδωρον ἔλεγεν. Ἐπεὶ δὲ καὶ ἑαυτὸν γυμνὸν ηὐλαβεῖτο θεάσασθαι, θείᾳ ῥοπῇ μετάρσιος ἐπαρθεὶς, εἰς τὴν ἀντιπέραν ὄχθην ἐγένετο. Ὡς δὲ καὶ Θεόδωρος διάβροχος ἱκανῶς γεγονὼς, εἰς τὸ πέραν τοῦ Λύκου **B** ἦν (οὕτω γὰρ ἐγχωρίοις ἡ διώρυξ ὠνόμαστο), καὶ τὴν ἐσθῆτα καὶ τοὺς πόδας Ἀμοῦν ἀβρόχους ἑώρα, ἐπέκειτο λιπαρῶν, καὶ τὴν αἰτίαν φράζειν τὸν πρεσβύτην ἠξίου. Ὁ δὲ κρύπτειν μὲν ἐπειρᾶτο καὶ ἔτι· ὡς δ' ἰσχυρῶς ἐπετίθετο μὴ ἀνήσειν ὁμολογῶν, ἐκεῖνος, σύνθημα δοὺς μή τινι τὸ ἔργον ζῶντος Ἀμοῦν ἐξειπεῖν, ἐγνώριζε τὸ συμβάν· καὶ φύσεως ὑπερτέρας εἶναι τοῦ λοιποῦ τὸν ἄνδρα ᾤετο. Ὅτι δὲ καὶ θείας προγνώσεως ἔμπλεως ἦν, δείξει τὸ ῥηθησόμενον. Παῖς ἀδίκων πατέρων κυνὶ λυσσῶντι δηχθεὶς, θανεῖν ἐσόσον οὔπω προσδόκιμος ἦν. Ἐπεὶ δὲ πρὸς Ἀμοῦν ἤγαγον, τὴν ἴασιν ἐλιπάρουν. Τὸν δὲ φάναι· Οὐκ ἐγὼ, ἀλλ' ὑμεῖς αὐτὸν, εἴγε βούλοισθε, θεραπεύσετε. Εἰ γὰρ ἀποδοῦναι ὑμῖν τὸν βοῦν γένοιτο, παρ' ὧν συλᾷν εἵλεσθε δεσποτῶν, αὐτίκα ῥᾴων **C** ἔσται ὁ παῖς τῶν δεινῶν. Καὶ ὁ μὲν βοῦς ἀπεδίδοτο· ὁ δὲ κίνδυνος αὐτίκ' ἐδραπέτευεν ἐξάντη κακῶν τὸν παῖδα λιπών. Ἐπεὶ δὲ χρόνῳ ὕστερον καὶ Ἀμοῦν ἐτελεύτα, λέγεται Ἀντώνιον ἀναγομένην τὴν ψυχὴν ἐκείνου εἰς οὐρανὸν θεωρεῖν, περικύκλῳ θείων δυνάμεων ἑπομένων, καὶ παραπεμπόντων ἐκείνην αἰδοῖ καὶ δορυφορίᾳ πολλῇ, καί τινι ἀῤῥήτῳ ὕμνων ᾠδῇ· τοὺς δὲ περὶ αὐτὸν ἐν ἐκπλήξει τὸν ἀέρα θεώμενον καὶ διὰ θαύματος ἔχοντα πρὸς τὴν ὄψιν τῶν παραδόξων, διαπυνθάνεσθαι τὸν Ἀντώνιον τὴν αἰτίαν. Τὸν δὲ μὴ ἀποκρύψαι τὴν ὄψιν· καὶ τἀσφαλὲς εἶχεν ὁ λόγος· ἔπειτ' ἀπὸ Σκήτεως πολλῶν ἐκεῖθεν ἡκόντων, καὶ τὸν χρόνον τῆς Ἀμοῦν τελευτῆς ἀνειπόντων· εἶναι δ' ἐκεῖνον, καθ' ὃν Ἀντώνιος ἐκπληττό- **D** μενος εἰς οὐρανοὺς ἔβλεπε· καὶ ἄμφω δὲ ἠξίουν μακαρισμοῦ· τὸν μὲν οὕτως τῶν παρόντων ἀπαλλαγέντα, Ἀντώνιος δ' ὅτι τοσαύτης ὄψεως ἠξίωτο ἐκ Θεοῦ· πολλοῦ διαστήματος ἡμερῶν ὁδοῦ τῷ μέσῳ τόπῳ τῆς διατριβῆς ἑκατέρων ὄντος. Καὶ τὰ μὲν περὶ Ἀντωνίου καὶ Ἀμοῦν ὧδε ἱστόρηται. Κατὰ δὲ τὸν αὐτὸν χρόνον, καὶ ἀνὰ τὸν τῆς Βιθυνίας Ὄλυμπον Εὐτυχιανὸς ἐκεῖνος τὰς διατριβὰς ποιούμενος φιλοσοφῶν ἦν· θείας γὰρ χάριτος ἐκ τῆς ἀρετῆς μετασχὼν, ὡς καὶ θαυμάτων καὶ τεράτων πλείστων αὐτουργὸν γενέσθαι πολλῶν, νόσους τῶν ἀνιάτων ἰᾶτο. Δι' ἃ καὶ Κωνσταντίνῳ βασιλεῖ σπουδὴ γέγονε φίλον ἐκεῖνον καὶ συνήθη ποιεῖν. Κατ' ἐκεῖνο δὲ καιροῦ τῶν τις βασιλικῶν δορυφόρων, ὑποψίαν σχὼν ὡς εἴη τυραννικὰ φρονῶν, περί που τὸν Ὄλυμπον

κρυπτόμενος καὶ ἑαλωκὼς, δεσμωτηρίῳ καθεῖρκτο. Ἐπεὶ δὲ πικραῖς βασάνοις ἀνὰ τὴν εἱρκτὴν εἴχετο, οἱ γένει προσήκοντες Εὐτυχιανῷ προσιόντες ἐδέοντο πρεσβεύειν ἐς βασιλέα ὑπὲρ αὐτοῦ· καί τινα δὲ ποιεῖν πρόνοιαν, ὥστε τῶν δεσμῶν ἀνεῖναι, μὴ φθάσῃ πρὸ τῆς πρεσβείας τῷ χαλεπῷ τῶν βασάνων διαφθαρεὶς, καὶ πέμψας, τοὺς δεσμοφύλακας ἐδεῖτο τῶν δεσμῶν ἀνεῖναι αὐτόν. Ὡς δ' ἧττον ἦσαν πειθήνιοι, αὐτὸς ἐπὶ τὸ δεσμωτήριον ἧκει. Αἱ δὲ τῆς φρουρᾶς πύλαι αὐτόματοι, τῶν κλεῖθρων διαῤῥαγέντων τῇ τοῦ ἀνδρὸς παρουσίᾳ, θᾶττον ἀνεπετάννυντο. Καὶ αἱ ἐκ σιδήρου πέδαι καὶ τὰ κλοιὰ, ἀπολείποντα τὸν δεσμώτην, διέῤῥει ψοφοῦντα καὶ ἀπανταχοῦ σκεδαννύμενα. Εἶτα πρὸς βασιλέα ἧκειν τῷ Βυζαντίῳ διατρίβοντα τηνικαῦτα, καὶ λῦσαι τῷ καταδίκῳ τὴν τιμωρίαν εὐθύς. Δυσχερὲς γὰρ οὐκοῦν ἦν Κωνσταντίνῳ ὅ τι ἂν ἐκεῖνος αἰτοίη. Σφόδρα γὰρ τῷ τοῦ ἀνδρὸς ἔρωτι ἐντετηκὼς ἦν, καὶ διὰ μεγάλης ἐποιεῖτο τιμῆς. Λόγος δ' ἔχει ἐς ὕστερον Εὐτυχιανὸν τὰ Ναυάτου φρονῆσαι, καὶ τῆς ἐνούσης χάριτος ἀμοιρῆσαι. Ταῦτα μὲν ἡμῖν ἐκ μέρους περὶ τῆς πολιτείας εἰρήσθω τῶν μοναχῶν, καὶ τῶν ἐν αὐτῇ φιλοσοφησάντων· ᾧ δὲ μέλοι τὰ τοιαῦτα διερευνᾶσθαι, πολλαῖς ἐντύχοι τῶν βίβλων, πλείστους τῶν τηνικάδε καὶ καθεξῆς ἀκριβείᾳ βίου διαλαμψάντων ἱστορουσῶν· μάλιστα δ' ἡ Λαύσῳ πραιποσίτῳ ἐγράφη. Πολλὴν δὲ καὶ Σωφρόνιος ὁ Ἱεροσολύμων καὶ ἀγαθὴν ἱστορίαν περὶ τούτων ἡμῖν καταλέλοιπε, *Λειμῶνα* καὶ *Νέον παράδεισον* τὴν συγγραφὴν ὀνομάσας.

A quidem de Antonio et Amoun, memoriæ sunt prodita. Eodem vero tempore, et in Olympo Bithyniæ Eutychianus ille versatus, monasticæ philosophiæ operam navavit. Tantopere siquidem per virtutem divinæ gratiæ particeps est factus, ut (1) miracula et prodigia plurima ediderit, morbosque incurabiles sanaverit. Quapropter Constantinus quoque imperator magno studio amicitiam consuetudinemque ejus ambivit. Accidit tum, ut ex imperatoris satellitio quidam, tyrannidis affectatæ suspectus, et circa Olympum occultatus, captusque in vincula sit conjectus. Et cum perquam acerbe in carcere cruciaretur, propinqui et cognati ejus Eutychianum convenientes, ut legationem precaB tionemque pro eo apud imperatorem susciperet, atque aliquo modo provideret, ut interea vinculis liberaretur, ne scilicet ante legationem obitam acerbitate tormentorum interiret, rogarunt. Atque ille ad carceris custodes, ut hominem vinculis levarent, oratum misit. Ut vero illi petitioni ejus non acquievere, ipsemet ad carcerem venit. Et ecce custodiæ portæ sua sponte claustris fractis, ad viri præsentiam statim patuere, et compedes ferreæ, numellæ vinculaque cervicis vinctum relinquentia, cum strepitu delapsa sunt, et huc atque illuc dispersa. Deinde ad imperatorem, qui tum Byzantii erat, profectus, illico reum condemnatum supplicio liberavit. **628** Nihil enim Constantino difficile aut molestum fuit, quod vir ille peteret, C quem vehementer amabat, et magno in honore habebat. Fama autem fert, Eutychianum postea ad Novati hæresim descivisse, et ea quæ ei inerat gratia excidisse (2). Et hæc quidem, aliqua ex parte, nobis de monachorum instituto et philosophia sint dicta. Qui autem talia scrutari volet, multos inveniet libros, in quibus plurimi, qui ea ætate atque deinceps integritate vitæ enituere, commemorantur, potissimum vero, quæ de iis Lausus præpositus conscripsit. Multam quoque et utilem de eis historiam Sophronius Hierosolymitanus nobis reliquit, *Prati* et *Novi paradisi* titulo, scripto ei indito.

ΚΕΦΑΛ. ΜΒ'.

Περὶ τῶν ἁγίων καὶ θαυματουργῶν Σπυρίδωνος, Νικολάου καὶ Παρθενίου.

Ἐπεὶ δὲ καὶ Σπυρίδωνος καὶ Νικολάου μνείαν ποιήσασθαι ὑπεσχόμην, ἐνταῦθα δεῖν οἶμαι ἀποτίσαι τὴν ὀφειλήν. Περὶ γὰρ τῶν ἄλλων ὁμολογητῶν τε καὶ ἱεραρχῶν μυρία καὶ παράδοξα καὶ παθόντων καὶ εἰργασμένων διέλαβον ἄνωθεν· καὶ ὡς πολλοὶ τούτων τῇ ἐνούσῃ ῥώμῃ τῆς χάριτος καὶ νεκροὺς ἀναβιῶναι παρεσκευάσαντο. Τῷ γε μὴν θείῳ Σπυρίδωνι τοσαύτη τοῦ θείου Πνεύματος χάρις προσέπτη, ὡς ἀρκεῖν τὴν εἰσέτι φήμην περὶ αὐτοῦ τὴν ἀρετὴν παριστᾷν. Ἄγροικος δ' ὢν, καὶ γυναικὶ συζῶν, καὶ παίδων πατὴρ γεγονὼς, οὐ παρὰ τοῦτο χείρων τινὸς ἐφάνη περὶ τὰ θεῖα. Τοσαύτη δ' ἦν ὁσιότης αὐτοῦ, ὡς καὶ ποιμένα γενέσθαι· Τριμμυθοῦς δ' ἦν ὁ κλῆρος αὐτῷ· ἡ μία τῶν ἐν Κύπρῳ τῇ

CAPUT XLII.

De sanctis magnorum miraculorum editoribus, Spyridone, Nicolao et Parthenio.

Quandoquidem vero et Spyridonis et Nicolai mentionem me facturum esse recepi, hoc loco fidem mihi liberandam esse duxi. De aliis namque confessoribus et hierarchis, qui innumerabilia et D mirifica passi sunt et fecerunt, et quorum multi, quæ in eis fuit, gratiæ robore mortuos quoque excitarunt, supra exposuimus. Ipsi quidem divo Spyridoni tanta divini Spiritus incessit gratia, ut quæ de eo celebratur fama hoc quoque tempore, virtutem ejus astruere possit. Rusticus enim cum esset, conjugemque in matrimonio, et liberos ex ea susceptos haberet, non propterea in rebus divinis deterior aliquo fuit. Tanta namque in sanctitate erat, ut et a pastorali vita non abhorreret (3)

(1) Socrat. lib. I, cap. 13.

(2) Αἵρεσιν δὲ τῆς Ναυατιανῶν πρεσβεύων θείας χάριτος μετεῖχε, etc. Sozom. lib. I, cap. 14. Hoc est, *Novatianorum hæresis cum esset, gratiæ divinæ particeps fuit.* Hæc verba apud Sozom. in principio narrationis de Eutychiano posita sunt. Nicephorus autem in toto hoc opere Novatianis est iniquior.

(3) Spyridonem istum, cum episcopus esset, oves pascere non puduisse, per summam humilitatem

(Trimmythus autem, quæ una in Cypro insula urbium est, sorte ei obvenerat), a fastu tam alienus, ut eodem in loco et oves pabulo, et homines doctrina atque vitæ exemplo pasceret optime. Cum autem multa sint, quæ de eo liber in ipsius vitam compositus recenset, ne socordiæ sustineam crimen, neve rursus extra propositum longius digredi videar, duorum aut trium egregiorum ejus factorum meminero. Fures aliquando noctu irruisse dicuntur in sancti viri ovile, insidias gregi ejus tendentes, et clam oves aliquot rapere conantes.
629 Et cum nemo eis compedes injiceret, derepente divinitus vincti sunt, aurora illucescente, magnus ille vir adest, manus eorum post terga redactas invenit, subridet : vincula illa, quæ sub oculos non caderent, solvit : docens eos admonet, licuisse illis si quid petiissent, accipere : neque opus fuisse, cur noctu se ærumnose fatigarent : mores eorum ad meliorem vitam, ut justo quæstu vitam tolerarent, transformat : et postremo ærumnæ eorum misertus : Abite, inquit, et arietem hunc accipite, ne noctem hanc frustra pervigilasse videamini ; reprehensionemque mihi, propter toleratos domi meæ labores, veluti qui vacui abieritis, impingatis. Unum hoc est quod a Spyridone non sine admiratione facete est factum. Nec illud quidem non admiratione dignum. Erat beato illi filia Irene, germana tanti patris filia. Apud hanc ex notis quidam magni pretii gestamen atque ornamentum deposuit. Illa ut rem certam tutamque sequeretur, domi quidquid id erat defossum, terræ servandum credidit : nec ita multo post, nullo ejus rei indicio post se relicto, e vita migravit. Venit brevi qui id deposuerat, et nunc incusando, nunc orando, molestus erat Spyridoni. Ut vero gestamine tali diu multumque domi quæsito, id non invenit, suam ipsius senex putavit esse calamitatem, hospitis, qui tantopere lugeret, capillum conscinderet, ac sese prorsus conficeret, jacturam. Itaque, Agedum (inquit) ad filiæ sepulcrum eamus, eamque interrogemus. Ubi eo ventum, nominatim filiam vocans Spyridon interrogat, quonam loco gestamen deposuerit? Ibi illa subito apparens, beato illi rem omnem exacte exponit, et rursum sepulcrum subit. Spyridon porro ornamentum, quo illa loco indicaverat, inventum, homini reddit eumque dimittit. Alteri quoque indigenti homini, et inopia magna circumvento, serpentem ad sepem et maceriam sese volventem, in aurum convertit, eumque illi dedit, ut eo mutuam pecuniam sumens uteretur, pecuniamque suam solaretur. Cæterum, cum se ille inopia depulsa aliquantum locupletasset, Spyridon serpentem ita ut tum erat, ad locum suum circa sepem reposuit. Qui viri sancti precatione, pristina recepta natura, rursum reptans, ac sese circumvolvens latebras

νήσῳ πόλεων ἐτύγχανεν οὖσα · ἐπὶ τόσον δ' ἄτυφος ἦν, ὡς ἐν ταυτῷ καὶ πρόβατα βόσκειν, καὶ ἀνθρώπων εἶναι ποιμένα ἀγαθόν τε καὶ ἄριστον. Ἐγὼ δὲ πολλῶν ὄντων τῶν περὶ αὐτὸν, ἃ ἡ κατ' αὐτὸν διέξεισι βίβλος, ἵνα μὴ ῥᾳθυμίας ὑπόσχω γραφὴν, καὶ πάλιν ἵνα μὴ ἔξω τοῦ προκειμένου δόξω πλανᾶσθαι, δύο ἢ τριῶν τῶν ἐκείνου μνησθήσομαι. Κλέπτας ποτέ φασι νύκτωρ εἰσπηδήσαντας τῇ τῶν προβάτων τοῦ ὁσίου ἐπαύλει, ἐπιβουλεύειν τῇ ποίμνῃ, καὶ ὑφαιρεῖσθαι τῶν προβάτων λάθρα ἐποίουν σπουδήν. Καὶ μή τινος πέδην ἐπιβάλλοντος, ἐξαπίνης θεόθεν δεσμῶται ἦσαν. Ἅμα δὲ ἕῳ τὸν μέγαν παραγενόμενον, καὶ τὰς χεῖρας ὄπισθεν διηγκωνισμένους εὑρόντα, μειδιῶντα τῶν ἀοράτων ἐπιλύειν δεσμῶν · καὶ νουθετοῦντα παραινεῖν, Ἐνὸν εἶναι λαβεῖν αἰτήσαντας, οὕτω ταλαιπωρεῖν νυκτὸς εἵλεσθε. Καὶ μεθήρμοζε τὸ ἦθος πρὸς τὸν ἀμείνω βίον, δικαίων ἐκπόρων τὸ ζῆν πορίζεσθαι. Ἄπιτε δ', ἔφη, τῆς ταλαιπωρίας οἰκτείρας, τόνδε τὸν κριὸν εἰληφότες, ἵνα μὴ ἐπικενῆς ἠγρυπνηκότες φανείητε, μέμψιν τέ μοι τῶν ἐπὶ τῇ αὐλῇ πόνων προστρίψητε, ὡς ἀπηλλαγμένοι κενοί. Ἓν μὲν δὴ τοῦτο ἀστεῖον σὺν θαύματι τῶν Σπυρίδωνι πεπραγμένων · οὐχ ἧττον δὲ κἀκεῖνο θαύματος ἄξιον. Εἰρήνη θυγάτηρ τῷ μακαρίῳ προσῆν, παῖς ὄντως τοῦ τοσούτου πατρός. Ταύτῃ τῶν τις γνωρίμων πολυτελὲς παρέθετο κόσμιον. Ἡ δὲ τἀσφαλὲς προμηθουμένη, οἴκοι κατορύξασα τὸ σκεῦος, φυλάττειν παρεδίδου τῇ γῇ. Καὶ ἡ μὲν μετὰ βραχὺ, μηδὲν εἰποῦσα, τὸν βίον ἀπέλιπεν. Ἧκε μετ' ὀλίγον ὁ παραθέμενος · καὶ πῇ μὲν ἐγκαλῶν, πῇ δὲ καὶ δεόμενος, διόχλου ἦν τῷ Σπυρίδωνι · ὡς δὲ πολλὰ ζητήσας ἀνὰ τὴν οἰκίαν, ἥκιστα εὕρισκε, συμφορὰν ἐποιεῖτο ὁ γέρων οἰκείαν τὴν τοῦ ξένου ζημίαν, ὀδυρομένου τίλλοντός τε τὰς τρίχας καὶ ἄντικρυς θανατῶντος. Ἀλλ' ἄγε δὴ, ἔφη, ἐρώμεθα τὴν κόρην παρὰ τὸν τάφον ἰόντες. Ἐπεὶ δ' ἐπέστησαν, ἠρώτα Σπυρίδων ὀνομαστὶ τὴν παῖδα καλῶν, ὅπου δὴ κατακρύψοι τὸ κόσμιον. Τὴν δὴ ἐξαπίνης φανεῖσαν, ἅπαν πρὸς λεπτὸν τῷ μακαρίῳ εἰπεῖν, καὶ αὖθις καταδῦναι τὸν τάφον. Σπυρίδωνα δ' εὑρόντα ᾗ ἐσήμανεν, ἐπιδοῦναι τἀνθρώπῳ τὸ σκεῦος, καὶ ἀπαλλάττεσθαι. Καὶ ἄλλῳ δὲ πένητι ἐν ἀπορίᾳ καθεστῶτι πολλῇ, ὄφιν περὶ τὸ Θριγγίον ἑλισσόμενον, εἰς χρυσὸν μεταπήγνυσι. Καὶ δίδωσι χρῆσθαι, καὶ ἐπ' ἐκείνῳ δανείζεσθαι, καὶ παραμυθῆσαι τὴν ἔνδειαν · ὃν ἐντεῦθεν ἀναῤῥωσθέντα καὶ τὴν ἔνδειαν ἀποτριψάμενον, πάλιν τὸν ὄφιν ὡς εἶχε σχήματος, παρὰ τὸν τόπον τοῦ Θριγγίου ἐτίθει. Εὐχῇ δὲ τοῦ ὁσίου τὴν προτέραν φύσιν μεταλλαξάμενον, αὖθις ἕρποντά τε καὶ σπουδῇ περιελισσόμενον, τὸν οἰκεῖον χηραμὸν ὑποδῦναι. Καὶ τοῦτο δὲ τῶν ἐκείνου προσῆκον εἰρῆσθαι νομίζω. Ἔθος τῷ μακαρίῳ ἐκ τῶν γινομένων αὐτῷ σπερμάτων τε καὶ καρπῶν πιπράσκοντι, τὰ μὲν πτωχοῖς χορηγεῖν, ἄλλα δὲ προῖκα δανείζειν. Διδοὺς μέντοι ἢ καὶ λαμβάνων, οὐ διὰ χειρῶν ηὐτούργει τὴν πρᾶξιν · τὸ δ' ἐνὸν αὐτῷ τα-

et simplicitatem, Suid. scribit. Quod in veterum episcoporum paupertate non adeo mirum fuit. Eidem Deus ante tempus, promissam mortuorum resurrectionem, per filiam ejus redivivam, exhibuit. (Socrat. lib. I, cap. 12.)

μεῖον ὑποδεικνὺς, λαμβάνειν· καὶ αὖθις τὸ δάνειον κατατίθεσθαι τῷ προσιόντι ἐνεκελεύετο. Καὶ δή τις δανεισάμενος, ἧκεν ἀποτίσων τὴν ὀφειλήν. Ὡς δ' ἔθος ἦν ἐπιτραπεὶς τῷ ταμείῳ ἀποδοῦναι αὖθις τὸ χρέος, παρατιθέμενος, ὑφῃρεῖτο μᾶλλον· οὐ μόνον γὰρ τὸ χρέος ἀπέδωκεν, ἀλλὰ καὶ προσαφείλετο· καὶ ἀπῄει δῆθεν λαθὼν, ὡς τὸ ὄφλημα καταθέμενος. Ἀλλ' οὐκ ἦν λαθεῖν· χρόνῳ γὰρ ὕστερον προσιὼν αὖθις, δανείζεσθαι ἤθελεν. Ὁ δὲ τὸ εἰωθὸς ἔπραττε· καὶ πέμπων παρὰ τὴν θίβην τὸν ἄνδρα, παραμετρεῖν ὅσον ἦν βουλομένῳ ἐπέτρεπεν. Ὡς δ' ἥκιστα εὕρισκεν, ἀνήγγειλε τῷ πατρί. Καὶ ὃς, Θαυμαστὸν, ἔλεγεν, εἰ σοὶ μόνῳ κενὸν τὸ ταμεῖον ὁρᾶται. Σκοπεῖν οὖν προσήκει, μὴ οὐ πρὶν καταθέμενος, νῦν λαμβάνειν πειρᾷ. Ἴσθι γὰρ ὡς εἰ μή τι ῥᾳδιουργίας ἐστὶν, οὐκ ἀστοχήσεις τοῦ προκειμένου. Ἴθι τοίνυν πάλιν τεθαῤῥηκὼς ὡς εὑρήσεις. Καὶ φωραθεὶς, συγγνώμην προσιὼν ᾔτει τοῦ ἁμαρτήματος. Παραπλήσιον δέ τι καὶ ἄλλῳ πρόβατα πριαμένῳ τοῦ μακαρίου συνέβη. Ἑκατὸν μὲν γὰρ ἦσαν ἃ ἐωνεῖτο· ὁ δὲ καὶ μίαν τῶν αἰγῶν παρεμέτρει· ἣν βίᾳ ἕλκων, ἥκιστα ἑπομένην εἶχεν. Ἀντιβαίνουσα δ' οἷον, βληχῇ τὴν ἀδικίαν ἐστηλίτευε τοῦ ἀνδρός. Ἐπεὶ δὲ πάντα πράττων καὶ ἐπωμάδιον ἔφερεν, ἐκείνη λὰξ καὶ τοῖς κέρασι τὸν τένοντα σφοδρότερον παίουσα, διωλίσθαινε, καὶ ἐπὶ τὴν μάνδραν ἀνέτρεχεν· ὃ τὸν Σπυρίδωνα διαγνόντα, ἐπ' ἀκριβὲς μετρεῖν ἔπειθε. Τὸν δ' εὐθὺς ὁμολογοῦντα, συγγνώμην παρεῖχε· καὶ κελεύσαντος, πρόθυμος ἡ αἲξ καὶ αὐτόματος εἵπετο· ἔστι δ' ὅπου καὶ τῇ σπουδῇ προηγεῖτο. Καλὰ μὲν δὴ καὶ ταῦτα· τὸ δὲ περὶ τὴν ἐκκλησιαστικὴν αὐτοῦ τάξιν ἐμβριθὲς, καὶ ἀκέραιον περὶ τὴν θείαν παράδοσιν, πῶς σιωπήσομαι; Συνόδου γάρ ποτε γενομένης, ἕνα εἶναι καὶ Τριφύλλιον ἐκεῖνον τὸν Λεδρῶν ἐπίσκοπον, λόγου τε ἀρκούντως πεπειραμένον, καὶ διὰ νόμων ἄσκησιν, πλεῖστον ἐν τῇ Βηρυτῶν διατρίψαντα πόλει. Τοῦτον δ' ἐπιτροπῇ τῶν ἐπισκόπων τὸ πλῆθος διδάσκοντα, Σπυρίδωνος παρόντος, δεῆσαν εἰπεῖν, ῥῆσιν ἣν ὁ Χριστὸς τῷ παραλυτικῷ ἀπεφθέγξατο, τὸ, *Ἆρόν σου τὸ κράββατον, καὶ περιπάτει, σκίμποδι* ἀντὶ *κραββάτου* ἐχρήσατο. Ἐφ' ᾧ χαλεπῶς ἐνεγκόντα Σπυρίδωνα, Οὐ σύ γε, ἔφη, ἀμείνων εἶ τοῦ *κράββατον* εἰρηκότος, ὅτι γε δι' αἰδοῦς ποιῇ ταῖς ἐκείνου λέξεσι διαπρέπειν; Ταῦτα δὲ λέγων, τοῦ ἱερατικοῦ θρόνου ἀνίστατο πάντων ὁρώντων, τὸν τῦφον καὶ τὴν ὀφρὺν τῶν ὀφρυομένων ἐν λόγοις πειρώμενος καταστέλλειν. Ἱκανῶς γὰρ εἶχε τοιαῦτα ποιεῖν, κἂν ἁπλοῦς ἦν ἐσάγαν. Αἰδέσιμος γὰρ ἦν, καὶ ἐπὶ μέγα δόξης τοῖς παραδόξοις τῶν ἔργων ἐτύγχανε, προήκων τε τὴν ἡλικίαν, καὶ τῷ τῆς ἱερωσύνης ἀκιβδήλῳ καὶ κοσμίᾳ ἐνσεμνυνόμενος. Ἐγὼ δὲ, οἷος ἦν καὶ περὶ φίλους δεξιὸς, διηγήσομαι. Ἡ μεγάλη μὲν οὖν τῆς Τεσσαρακοστῆς νηστεία ἦν· ἧκε δέ τις ἐκ μακρᾶς ὁδοιπορίας τῶν φίλων, καὶ ταῦτ' ἐν αἷς ἐκεῖνος εἴωθε νηστεύειν τῶν ἡμερῶν. Ἄσιτος γὰρ εἰς ῥητάς τινας διαμένων

suas intravit. Verum enimvero illud quoque factum ejus ut memorem, convenire mihi visum est. **630** Mos beato illi erat, semina et fructus qui ei provenissent, vendenti, partim pauperibus largiri, partim sine fœnore utendos dare. Sive igitur daret, seu acciperet quidquam, non id per manus ejus gerebatur : sed quæ ei erat repositoria cella, ad se venientibus commonstrata, vel accipere eos, vel usui acceptum reponere jubebat. Quidam sane qui mutuum ab eo acceperat, ut debitum redderet, ad eum venit : cum autem is more solito, cellæ rursus inferre quod acceperat, jussus esset, reponens id, sustulit potius. Non enim tantum debitum reddidit, sed et postea secum abstulit, et discessit occulte, quasi mutuum dissolvisset. Sed enim celare factum non potuit. Aliquanto namque tempore post rursus illum, mutuum accipere volens, convenit. Et ille ex consuetudine sua hominem ad loculos granarios mittens, metiri quantum vellet, jussit. Ut autem is nihil ibi frumenti invenit, id patri significavit. Ibi ille : Mirum profecto, inquit, si uni tibi cella vacua videtur. Quapropter considerare convenit, an cum prius nihil reposueris, recipere nunc quidquam conere. Sciens enim esto, nisi fallaciæ quidquam subsit, voti te compotem fore. Vade ergo denuo cum certa, te inventurum esse, fiducia. Atque ita ille demum deprehensus, veniam fraudis petivit. Tale quiddam alii quoque, qui oves a viro sancto mercabatur, evenit. Centum erant, quas emerat. At ille capram unam insuper annumeraverat : quæ cum ab illo vi traheretur, ipsa minime sequebatur : quodammodo enim resistens, balatu hominis iniquitatem traducebat. Et ille cum nihil non ageret, in humeros tandem eam sustulit : capella autem et calcibus et cornibus cervicem ejus acrius petens, delapsa est, et in stabulum suum recurrit. Quod ubi Spyridon cognovit, illi ut rite metiretur et numeraret, suasit. Atque ubi ille factum statim confessus est, hic noxam remisit, capramque sequi illum jussit : quod alacriter sane illa faciens, sua sponte emptorem est secuta, interdum etiam eumdem properans præcessit. Pulchra quidem sunt hæc. Constantiam vero ejus viri, ecclesiastico ritu servando, simplicitatemque divinis traditionibus colendis, quomodo silentio prætercam? Conventus aliquando agebatur, in quo Triphyllius ille quoque erat, Ledrensis episcopus, litterarum artibus probe eruditus, et legibus discendis diu Beryti versatus (1). **631** Hic episcoporum jussu populum docens, Spyridone præsente, cum dictum quoddam referre deberet, quo Christus ad paralyticum est usus, illud scilicet, *Tolle grabatum tuum, et ambula*[1] : pro grabato, *lectum* dixit. Quod moleste ferens Spyridon, Non tu quidem, inquit, præstantior es eo qui *grabatum* dixit : qui

[1] Marc. II, 9.

(1) Beryti olim præclara docendarum legum schola fuit.

igitur, malum, pudor iste est, verbi illius cum decoro non velle uti? Atque his dictis, in conspectu omnium episcopali sede exsurgens, fastum et supercilium eorum qui oratione affectata sese efferrent, contrahere est conatus. Recte enim id facere potuit, quamvis apertus omnino et simplex esset. Magna quippe dignitate gloriaque venerandus, propter mirifica quæ edebat opera, atque ætate provectiore, sincere et graviter episcopali munere gerendo clarus erat. Sed et quam fuerit in amicis accipiendis dexter et humanus, ostendam. Magnum Quadragesimæ jejunium agebatur, et ex amicis quidam ad eum ex itinere longinquo venit, et quidem eo quo ipse jejunaret tempore. Certis enim quibusdam diebus a cibo omni abstinens, postea vescebatur. Illum igitur sacratis eis diebus venientem, cum de itinere fessum videret, filiæ suæ ut pedes illius lavaret, mensamque proponeret, præcepit. Atque illa ubi neque panem neque farinam domi esse, propter præsentem abstinentiam et jejunium, dixit: precatione ipse facta, salitas carnes porcinas ad focum pendentes recipere eas, et quamprimum ad ignem torrere jussit. Et ut assa satis fuerunt, hospiti et ipse assidens, ciboque manus admovens, comedit, et amicum ut itidem faceret est hortatus. Atque ille cum detrectaret, Christianum se esse dicens, neque tali tempore ejuscemodi esca indigere confirmans, Spyridon illum, ne quidquid id esset cibi, pro ea rerum inopia aspernaretur, admonuit: divinum enim oraculum exstare, quod mundis omnia munda esse declaret. Multa porro alia hisce similia ab illo acta, institutum nostrum commemorare non permittit, quæ Rufinus primum Romano exposuit sermone, aliaque præterea plurima ad rem ecclesiasticam pertinentia. Et de Spyridone hactenus. Floruit etiam tum Nicolaus, apud Myra Lyciæ episcopus, Spyridoni vita, morum simplicitate, naturæque convenientia par: nec non miraculis, et accurata certaque doctrinæ observantia perquam celebris. **632** Huic ea fuisse dicitur gratia, ut qui eum complecteretur, familiariusque secum ex animo collequeretur, divini quiddam doni hauriret, momentumque inde aliquod reciperet, vitæ ad optima quæque opera conformandæ. Ejus actiones veluti omnibus notas prætermitto. Par istis etiam fuit Parthenius, urbis unius in Hellesponto episcopus, vitæ splendore, humanitate et prodigiis ingentibus clarus, adeo ut accepta a Deo potestate, mortuos excitarit, dæmonibus imperarit, et variorum morborum curator gratuitus ac promptus fuerit. Ac de his hactenus. Ad hunc scilicet modum, doctrina fidei in nationibus, solitudinibus, et urbibus omnibus, magno consensu frequentata est: atque in ecclesia Dei indies incrementis suis eluxit, in cœlum usque sublata. Cæterum hisce dimissis, orationem ad ea quæ in Ecclesia gesta sunt, rursum convertam.

A ἡμέρας, ἔπειτα ἤσθιεν. Ἥχοντα γοῦν ταῖς ἀφωσιωμέναις ἡμέραις ἐκεῖνον, ἐπεὶ κεκμηκότα εἶδε, νίπτειν μὲν τοὺς πόδας τῇ ἰδίᾳ ἐκέλευε θυγατρὶ, καὶ τράπεζαν παρατίθεσθαι. Ἐκείνης δ' εἰπούσης μήτ' ἄρτον μήτ' ἄλφιτα ἐνεῖναι διὰ τὴν ἐπικειμένην νηστείαν, εὐξάμενος, τῶν ἀπῃωρημένων ταρίχων κρεῶν τῇ ἑστίᾳ ὑείων κατάγειν ἐκέλευε τῇ παιδὶ, καὶ ταῦθ' ὡς τάχος ὀπτᾷν. Ἐπεὶ δ' ἱκανῶς εἶχον πυρὸς, παρὰ τὸν ξένον καὶ αὐτὸς καθίσας, ἁπτόμενος τῶν ἐδωδίμων ἤσθιε· καὶ τὸν φίλον τὰ ὅμοια δρᾷν παρεκάλει. Τὸν δὲ παραιτούμενον, καὶ Χριστιανὸν ἑαυτὸν εἶναι λέγοντα, καὶ μὴ δεῖν ἐκείνῳ τροφῆς τοιαύτης τοιούτῳ καιρῷ διισχυριζόμενον, μὴ τὴν τροφὴν μᾶλλον ἀπαξιοῦν οὕτως ἔχοντα παρηγγύα. Τὸν γὰρ θεῖον χρησμὸν, πάντα εἶναι καθαρὰ τοῖς καθαροῖς ἀποφήνασθαι. B Πολλὰ δὲ καὶ ἄλλα συγγενῆ τοῖς εἰρημένοις διαπραξάμενον, τὸ προκείμενον οὐκ ἐᾷ διεξέρχεσθαι· ἃ Ῥουφῖνος Ῥωμαϊκῇ λέξει πρῶτα ἐξέδωκε, καὶ ἄλλα πλεῖστα τῇ Ἐκκλησίᾳ προσήκοντα. Καὶ περὶ μὲν Σπυρίδωνος ταῦτα. Ἤκμαζε δὲ τηνικαῦτα καὶ Νικόλαος Μύρων τῆς Λυκίας ἐπίσκοπος ὤν, ἐπίσης Σπυρίδωνι τὸν βίον ἔν τε ἁπλότητι καὶ συμπαθείᾳ καὶ θαύμασι περιβόητος, καὶ ἐπὶ τῇ ἀκριβείᾳ τοῦ δόγματος. Τούτῳ δ' ἐνεῖναι χάριν λόγος, τὸν προστυχόντα καὶ διομιλησάμενον ἐκ ψυχῆς, χάριτός τινος θείας μετέχειν, καὶ ῥοπὴν ἐκείνῳ ἐντεῦθεν ἐνσπείρεσθαι πρὸς τὰ κάλλιστα τῶν ἔργων μεταῤῥυθμίζεσθαι. Οὗ τὰς πράξεις ὡς πᾶσι καταδήλους παρίημι. Ἐπίσης τούτοις καὶ Παρθένιος ἦν, C μιᾶς τῶν ἐν Ἑλλησπόντῳ πόλεων ἐπίσκοπος ὤν, βίου λαμπρότητι, φιλανθρωπίᾳ τε καὶ τέρασιν ἐξαισίοις διαπρεπὴς, ὡς καὶ νεκροὺς ἐγείρειν, δύναμιν πρὸς Θεοῦ εἰληφέναι, δαιμόνων τε κρατεῖν, παντοδαπῶν τε παθημάτων ἰατρὸν ἄμισθόν τε καὶ ἕτοιμον καθεστάναι. Καὶ περὶ μὲν τούτων οὕτως. Καὶ οὕτω τὸ τῆς πίστεως δόγμα διὰ πάντων συνεκροτεῖτο ἔθνεσί τε καὶ ἐρημίαις καὶ πόλεσι· καὶ ἐν τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ διέλαμπε ταῖς καθεκάστην ἐπιδόσεσιν εἰς μέγα καὶ αἰθέριον προαγόμενον· ἐγὼ δὲ τῶν τοιούτων ἀφέμενος, ἐπὶ τῶν κατὰ τὴν Ἐκκλησίαν συμβάντων καὶ αὖθις τοῦ λόγου ῥοῦν τρέψομαι.

CAPUT XLIII.

Quemadmodum Eusebius et Theognis Ariani, libello pœnitentiæ exhibito, suas receperint ecclesias: eosque qui in eorum locum subrogati erant, ejecerint.

Laudatissimus quidem ipse imperator omnem movebat funem, ut religio nostra magis ac magis augeretur, et incrementa sua caperet: quippe qui

D

ΚΕΦΑΛ. ΜΓ'.

Ὡς οἱ Ἀρειανοὶ Εὐσέβιος καὶ Θεογνίος, βιβλίον μετανοίας δόντες, τὰς ἰδίας ἐκκλησίας ἀπέλαβον, τοὺς ἐν αὐταῖς χειροτονηθέντας ἐκβεβληκότες.

Ὁ μὲν οὖν πανεύφημος βασιλεὺς πάντα κάλων ἐκίνει, ὡς ἄν γε τὰ τῆς ἡμετέρας θρησκείας αὔξην λαμβάνοι, καὶ εἰς ἐπίδοσιν ἄγοιτο, ἅτε δὴ ἀποστο-

λικὴν καὶ οὐρανομήκη ἔχων ψυχήν· ἦσαν δ' οἱ τῶν ἐκκλησιῶν ἡγεμόνες, καὶ τῶν ἐν τέλει τοῦ ἱερᾶσθαι, οἳ μὴ μόνον συνοικοδομεῖν ἐκείνῳ ᾑροῦντο, ἀλλὰ καὶ ἀνατρέπειν, καὶ τὰ θεμέλια ταύτης ἐκ ῥιζῶν ἀνασπᾶν, ὡς προϊόντες δηλώσομεν. Ὁ μὲν γὰρ Ἄρειος τὴν συνοδικὴν ψῆφον καὶ τὴν ἐκ βασιλέως λαβὼν, ὑπερόριος ἤγετο· ἐπίσης δὲ καὶ οἱ περὶ τὸν Νικομηδείας Εὐσέβιον, οἳ τῇ ὑπαγορευθείσῃ πίστει ὑπεσημήναντο, σύμψηφοι δὲ γενέσθαι τῇ Ἀρείου καθαιρέσει οὐκ ἠβουλήθησαν. Ὁ μὲν οὖν Ἄρειος οὐ πολλῷ ὕστερον τῆς ἐν Νικαίᾳ συνόδου τῆς μὲν ἐξορίας ἀνεκλήθη, τῇ γε μὴν Ἀλεξανδρείᾳ φοιτᾷν ἐπεσχέθη· ἐν ὑστέρῳ γὰρ καὶ εἰς Ἀλεξάνδρειαν αὐτῷ κάθοδος τοῖς περὶ Εὐσέβιον μετὰ τὴν παλινῳδίαν ἐσπούδαστο, ὡς ἐν καιρῷ μοι λελέξεται· μετ' ὀλίγον δὲ Εὐσέβιός τε καὶ Θεογόνιος τὰς οἰκείας ἐκκλησίας ἀπέλαβον, ὁ μὲν τὸν ἀντ' αὐτοῦ χειροτονηθέντα Ἀμφίωνα ἐκβαλὼν, Χρῆστον δὲ ἐκ Νικαίας ὁ Θεογόνιος· μετανοίας γὰρ βιβλίον τοῖς κορυφαίοις τῶν ἐπισκόπων πέμψαντες, βασιλικῷ κελεύσματι ἀνεκλήθησαν. Ὧδε δ' εἶχεν ἐπὶ λέξεως τὸ βιβλίον· « Ἤδη μὲν καταψηφισθέντες πρὸ κρίσεως παρὰ τῆς εὐλαβείας ὑμῶν, ὀφείλομεν σιωπᾷν τὰ κεκριμένα παρὰ τῆς εὐλαβείας ὑμῶν· ἀλλ' ἐπειδὴ ἄτοπον καθ' ἑαυτῶν δοῦναι τῶν συκοφαντούντων τὴν ἀπόδειξιν τῇ σιωπῇ, τούτου ἕνεκεν ἀναφέρομεν, ὡς ἡμεῖς καὶ τῇ πίστει συνεδράμομεν, καὶ τὴν ἔννοιαν ἐξετάσαντες ἐπὶ τῷ ὁμοουσίῳ, ὅλοι ἐγενόμεθα τῆς εἰρήνης, μηδαμοῦ τῇ αἱρέσει ἐξακολουθήσαντες· ὑπομνήσαντες δὲ ἐπὶ τῇ ἀσφαλείᾳ τῶν ἐκκλησιῶν, ὅσα τὸν λογισμὸν ἡμῶν ὑπερέτρεχε. Καὶ πληροφορηθέντες καὶ πληροφορήσαντες τοὺς δι' ἡμῶν πεισθῆναι ὀφείλοντας, ὑπεσημηνάμεθα τῇ πίστει. Τῷ δὲ ἀναθεματισμῷ οὐχ ὑπεγράψαμεν, οὐχ ὡς τῆς πίστεως κατηγοροῦντες, ἀλλ' ὡς ἀπιστοῦντες τοιοῦτον εἶναι τὸν κατηγορηθέντα, ἐκ τῶν ἰδίᾳ πρὸς ἡμᾶς παρ' αὐτοῦ διά τε ἐπιστολῶν, καὶ τῶν εἰς πρόσωπον διαλέξεων πεπληροφορημένοις, μὴ τοιοῦτον εἶναι. Εἰ δὲ ἐπείσθη ἡ ἁγία ἡμῶν σύνοδος, οὐκ ἀντιτείνοντες, ἀλλὰ συντιθέντες τοῖς παρ' ὑμῶν κεκριμένοις, καὶ διὰ τοῦ γράμματος πληροφοροῦμεν τὴν συγκατάθεσιν, οὐ τὴν ἐξορίαν βαρέως φέροντες, ἀλλὰ τὴν ὑπόνοιαν τῆς αἱρέσεως ἀποδυόμενοι· εἰ γὰρ καταξιώσετε νῦν γοῦν εἰς πρόσωπον ἀναλαβεῖν ἡμᾶς, ἕξετε ἐν ἅπασι συμψύχους, ἀκολουθοῦντας τοῖς παρ' ὑμῶν κεκριμένοις. Καὶ ὅτε αὐτὸν τὸν ἐπὶ τούτοις ἐναγόμενον ἔδοξεν ὑμῶν τῇ εὐλαβείᾳ φιλανθρωπεύεσθαι καὶ ἀνακαλέσασθαι, ἄτοπον δέ τι δοκοῦντες εἶναι ὑπευθύνου ἀνακεκλημένου καὶ ἀπολογησαμένου ἐφ' οἷς διεβάλλετο, ἡμᾶς σιωπᾷν, καθ' ἑαυτῶν ἐνδόντας τὸν ἔλεγχον. Καταξιώσατε οὖν, ὡς ἁρμόζει τῇ φιλοχρίστῳ ὑμῶν εὐλαβείᾳ, καὶ τὸν θεοφιλέστατον βασιλέα ὑπομνῆσαι, καὶ τὰς δεήσεις ἡμῶν ἐγχειρίσαι, καὶ θᾶττον βουλεύσασθαι τὰ ὑμῖν ἁρμόζοντα ἐφ' ἡμῖν. » Ἐκ ταύτης τοίνυν τῆς παλινῳδίας ἐπανακληθέντες Εὐσέβιός τε καὶ Θεογόνιος, τὰς ἰδίας ἐκκλησίας ἔσχον, τοὺς ἐπ' αὐταῖς χειροτονηθέντας ἐκβεβληκότες, ὡς εἴρηται. Καὶ προσχήματι τὰ κώδια περιθέμενοι, τὰ λύκων εἰργάσαντο.

apostolico cœlestique prorsus esset animo. Inter ecclesiarum præsides rerumque sacrarum magistratus tum erant, qui non solum cum illo ædificandum, verum etiam destruendum sibi, et ecclesiæ fundamenta funditus evertendum statuerant: sicuti stylo progressi ostendemus. Arius enim synodi ipsius atque imperatoris calculo condemnatus, et exsilio mactatus fuerat: atque itidem Eusebius Nicomediensis, sectatoresque ejus, qui professioni quidem fidei subscripserant, Arii autem exauctorationem sententiis suis comprobare noluerant. Et Arius non longe post Nicænam synodum ab exsilio quidem est revocatus, Alexandriam autem ire prohibitus. Cæterum postea quoque ei ab Eusebio, **633** post palinodiam et recantationem, reditus in eam urbem impetratus est: id quo suo loco dicetur. Brevi quoque et Eusebius et Theognis ecclesias suas receperunt: eis qui in eorum locum surrogati fuerant, Amphione Nicomedia, et Chresto Nicæa ejectis. Cum namque pœnitentiæ libellum primariis episcopis misissent, imperatoris jussu sunt revocati. Libellus autem is de verbo ad verbum talis fuit: « Cum quidem calculis vestris ante judicium factum, a pietate vestra damnati simus, silere debuissemus de pietatis vestræ decretis. Quandoquidem vero absurdum fuerit, silentio ipso sycophantiæ opinionem et indicium contra nos ipsos præbere: eam ipsam ob causam ad vos referimus, nos professioni fidei consensisse, sententiaque τοῦ ὁμοουσίου et consubstantialis explorata, pacatos prorsus fuisse, neque ulla ex parte hæresi adhæsisse. Certitudinis autem ecclesiarum causa, quæ nobis in mentem venerant, in medium protulimus. Atque ipsi tandem certo persuasi, aliisque etiam quos oportebat itidem a nobis persuasis, fidei subscripsimus. Anathemati vero subscribendum non duximus, non quidem quod fidem ipsam carperemus: verum quod eum qui accusatus fuerat, talem esse non crederemus. Ex epistolis enim ejus ad nos datis, sermonibusque in faciem collatis, certiores facti sumus, talem non esse. Quod si sancta vestra synodus de eo sic persuasa est, nos nihil repugnamus. Cæterum suffragium nostrum ad decreta vestra accommodantes, per hasce litteras, plena fide consensum nostrum confirmamus: non nos quidem graviter exsilium ferentes, sed suspicionem hæresis amolientes. Quod si dignabimini nos in conspectum vestrum admittere, unanimes in omnibus habebitis, rebusque vestris judicatis stantes. Et cum pietati vestræ placuerit, eum qui criminis hujus nomine est delatus; humaniter revocare, absurdum esse duximus, posteaquam reus ipse revocatus, de intenta sibi calumnia causam dixit, ut nos prorsus taceremus, contra nos ipsos reprehensionis occasionem exhibentes. Facite igitur, sicuti pietati vestræ Christianæ convenit: ut Dei amantissimum imperatorem admoneatis, preces nostras eidem offeratis, et quam-

primum quæ vos facere decet, de nobis statuatis.» Post hanc palinodiam et recantationem, revocati Eusebius et Theognis, **634** ecclesias suas receperunt, eis qui illis suffecti fuerant repulsis, sicuti dictum est. Sic illi sub prætextu ovium pellibus amicti, lupos egerunt. Nam imperatoris humanitate ad seductionis commoditatem abusi (1), et continuo imperatoriæ aulæ aditu pristinam dominationem consecuti, quemadmodum deinceps dicemus, res pessimas admiserunt.

A Τῇ γὰρ βασιλέως φιλανθρωπίᾳ χρησάμενοι ὡς ἐγόδιον ἐξαπάτης, τῷ συνεχεῖ τῆς πρὸς τὰ βασίλεια εἰσόδου, τὴν προτέραν δυναστείαν ἀπολαβόντες, τὰ πάνδεινα ἔδρων, ὡς ἐροῦμεν ἑξῆς.

CAPUT XLIV.

Ut post Alexandrum Athanasius Alexandriæ episcopatum susceperit, et de ejus a pueritia institutione: et ut seipso magistro sacerdos sit factus, et magno Antonio charus fuerit: et de Arianorum contra ipsum calumniis et insidiis.

Tum temporis post quintum synodi mensem, Alexander Alexandriæ antistes moriturus, sedis suæ successorem, divini judicii (sicuti conjicere licet) calculo, celebrem reliquit Athanasium. Cum namque Athanasius refugeret atque reluctaretur, Alexandrum ferunt vim illi inferentem, vix tandem ut thronum susciperet, persuadere potuisse: sicuti id quoque Apollinaris Syrus ad hunc modum scriptum reliquit: « Non desiit vero postea quoque belligerari impietas. Sed primum quidem adversus beatum viri hujus magistrum, cui hic perinde atque patri filius, patronus affuit, arma sumpsit: deinde vero in hunc quoque ipsum, postquam ad episcopatus pervenit successionem, multa quidem ille usus tergiversatione, sed tamen consilio Dei productus. Sicuti beato quoque illi viro, qui ei episcopatum quasi in manus tradidit, divinis indiciis, non alium videlicet quam hunc successorem fore, est significatum. Evocabatur namque a vita, jamque adeo prope obitum erat Alexander, cum nominatim Athanasium vocavit absentem, atque ibi, cum qui tum aderat ejusdem nominis, vocationis audiens esset, ad eum, veluti quem non vocasset, conticuit, denuoque vocatione est usus. Et cum id ab eo sæpius fieret, consiluit tandem Athanasius præsens, declaratus est autem alter absens. Et prophetico demum spiritu beatus Alexander: Athanasi, inquit, effugiturum te credis, sed non effugies. Quo verbo ad certamen eum evocari ostendit. » Hæc Apollinaris. Arii autem tribules jactant, post Alexandri mortem communicasse consilia inter se, qui Melitium, quique Alexandrum secuti fuerant, convenisseque in eumdem locum, ab utraque parte **635** ex Thebaide et reliqua Ægypto episcopos quinquaginta quatuor, et decretum ab eis esse, ut communibus suffragiis ab eis legeretur, qui Alexandrinæ præesset ecclesiæ antistes. Septem vero episcopos quosdam, jurejurando proculcato, præter sententiam et voluntatem omnium reliquorum, electionem Athanasii, ad id ab eo coactos, in ea quæ nominatur Dionysii ecclesia, furtim peregisse. Mihi vero magnus iste vir non absque divino numine (2) ad episcopatum

ΚΕΦΑΛ. ΜΔ'.

Ὡς μετὰ Ἀλέξανδρον Ἀθανάσιος τοῦ τῆς Ἀλεξανδρείας ἐπιβαίνει θρόνου· καὶ περὶ τῆς ἐκ νέου ἀγωγῆς αὐτοῦ· καὶ ὡς αὐτοδίδακτος ἦν ἱερεύς, καὶ φιλούμενος τῷ μεγάλῳ Ἀντωνίῳ· καὶ περὶ τῆς τῶν Ἀρειανῶν κατ' αὐτοῦ ἐπιβουλῆς.

Τότε δὲ μετὰ πέμπτον τῆς συνόδου μῆνα, μέλλων τελευτᾷν ὁ Ἀλεξανδρείας Ἀλέξανδρος, διάδοχον
B τοῦ θρόνου τὸν περιβόητον Ἀθανάσιον κατελίμπανε, θείᾳ κρίσει, ὡς ἔνεστιν εἰκάζειν, ἐπ' ἐκείνῳ τὰς ψήφους ἐπαγαγών· λόγος γὰρ ἔχει, τὸν Ἀθανάσιον φεύγοντα καὶ ἀνδυόμενον, τὸν Ἀλέξανδρον βίαν ἐπαγαγόντα, μόλις δυνηθῆναι πεῖσαι τὸν θρόνον εἰσδέξασθαι· καθώς που καὶ ὁ Σύρος Ἀπολλινάριος ὧδε γράφων ἱστόρησεν· « Οὐκ ὀκνεῖ δὲ καὶ κατὰ ταῦτα πολεμεῖν ἡ δυσσέβεια· ἀλλὰ πρῶτον μὲν ἐπὶ τὸν μακάριον διδάσκαλον τοῦ ἀνδρὸς ὁπλίζεται, καὶ οὗτος παρῆν συνήγορος ὡς πατρὶ παῖς· ἔπειτα καὶ ἐπ' αὐτόν, ὡς ἧκεν ἐπὶ τὴν τῆς ἐπισκοπῆς διαδοχήν, πολλῇ μὲν ἀποφυγῇ χρησάμενος, κατὰ Θεὸν δὲ ἀνευρεθείς· ὡς καὶ τῷ μακαρίῳ ἀνδρὶ τῷ τὴν ἐπισκοπὴν προχειρίσαντι προδεδήλωτο θείαις δηλώσεσιν,
C οὐχ ἕτερον ἔσεσθαι τὸν διάδοχον ἢ τοῦτον· ἐκαλεῖτο μὲν γὰρ ἐκ τοῦ βίου· ἤδη δὲ πρὸς ἀπαλλαγὴν τυγχάνων, Ἀθανάσιον ὀνομαστὶ μὴ παρόντα ἐκάλει. Καὶ ὡς ὁ παρὼν ὁμώνυμος ὑπήκουε τῇ κλήσει, πρὸς μὲν τοῦτο ἀπεσιώπα, ὡς οὐ τοῦτον καλῶν· αὖθις δ' ἐχρῆτο τῇ κλήσει· καὶ ὡς ταυτὸ πολλάκις ἐγίνετο, ἀπεσιώπα μὲν ὁ παρών· ἐδηλοῦτο δὲ ὁ μὴ παρών. Καὶ προφητικῶς ἔλεγεν ὁ μακάριος Ἀλέξανδρος, Ἀθανάσιε, νομίζεις ἐκπεφευγέναι· οὐκ ἐκφεύξῃ. Δηλῶν ὡς πρὸς τὸν ἀγῶνα ἐκαλεῖτο. » Καὶ ὁ μὲν Ἀπολλινάριος ταῦτα γράφει· οἱ δὲ τῆς Ἀρείου συμμορίας φασίν, ὡς μετὰ θάνατον Ἀλεξάνδρου κοινωνοῦντες πρὸς ἀλλήλους ἦσαν, οἳ τὰ Μελιτίου καὶ Ἀλεξάνδρου ἐφρόνουν. Κοινῇ δ' ἅμα οἱ τῶν ἀμφοτέρων ἐπίσκοποι, ἔκ τε Θηβαΐδος καὶ τῆς ἄλλης
D Αἰγύπτου, ἦσαν δὲ τέσσαρες καὶ πεντήκοντα, ἐς ταυτὸ συνιόντες, κοινῇ ψήφῳ συνέθεντο ἐκλεγῆναι τόν, ὃς τῆς Ἀλεξανδρέων Ἐκκλησίας τὴν ἐπιτροπὴν ἕξει. Ἑπτὰ δέ τινας τῶν ἐπισκόπων τοὺς ὅρκους ἠθετηκότων, παρὰ τὴν γνώμην πάντων κλέψαι τὴν χειροτονίαν Ἀθανασίου κατὰ τὴν Διονυσίου καλουμένην ἐκκλησίαν βίαν ἐπαγαγόντος. Ἐμοὶ δ' οὐκ ἀθεεὶ τὸν μέγαν ἐπὶ τὴν ἱερωσύνην ἐλθεῖν δοκεῖ· τοιοῦτος γὰρ ἦν οἷον ὁ τηνικάδε ἐζήτει καιρός· νοεῖν τε καὶ λέγειν, ἔτι δὲ γράφειν ἱκανώτατον ὄντα· εὔστοχόν τε βάλλειν, καὶ πρὸς τὰς ἐπιβουλὰς ἀντέχειν μάλα στεῤῥότατον. Μάλιστα δ' ἦν ἐκκλησιαστικὸς ὁ

(1) Eusebius et Theognis imperatoris Constantini bonitate abusi sunt: quem synodo peracta, Socrates in Occidentales partes profectum esse scribit, lib. I, cap. 15.

(2) Divino nutu Athanasius episcopus est lectus, Sozomeni judicio et Nicephori.

ἀνὴρ, ἐπιτήδειός τε περὶ τὸ ἱερᾶσθαι, καὶ ὡς οἷον εἰπεῖν αὐτοδίδακτος περὶ τὰ τοιαῦτα. Φασὶ καὶ γὰρ μήπω πρόσηβον γεγονότα, τόδε τι σκιαγραφῆσαι τὸ θεῖον περὶ αὐτοῦ. Κατὰ τὴν Ἀλεξάνδρειαν περιφανῆ τινα ἑορτὴν ἦγον Ἀλεξανδρεῖς· καθ' ἣν ἡμέραν Πέτρος ὁ παρ' αὐτοῖς ἡγησάμενος τῷ ὑπὲρ Χριστοῦ μαρτυρίῳ ἐχρήσατο. Ταύτην δὲ ὡς ἔθος ἐπιτελῶν καὶ Ἀλέξανδρος ὁ τότε τὴν Ἐκκλησίαν ἐπιτροπεύων, τὴν ἱερὰν τελέσας μυσταγωγίαν, καθῆστο, τοὺς σὺν αὐτῷ ἀριστᾷν μέλλοντας ἐκδεχόμενος. Ἐν μετεώρῳ δὲ ὢν, τῇ θαλάσσῃ τὰς ὄψεις προσέβαλλε. Παῖδας δέ τινας ἑώρα κατὰ τῆς ψάμμου παίζοντας· ἡ δὲ παιδιὰ τῶν κατὰ τὴν Ἐκκλησίαν γινομένων μίμησις ἦν, καὶ ἐπισκόπου δῆθεν χειροτονία. Καὶ μέχρι μέν τινος ἀκίνδυνος ἡ μίμησις ἦν. Ὡς δὲ τῶν μυστικωτέρων καὶ ἀποῤῥήτων ἥπτοντο, ἐν δεινῷ ἐποιεῖτο τὸ δρώμενον· καὶ τοὺς ἐν τέλει τοῦ κλήρου μεταστελλόμενος, ἐδείκνυ τοὺς παῖδας, καὶ ὡς αὐτὸν ἄγειν ἐκέλευεν. Ἐπεὶ δὲ καὶ ἤχθησαν, τὰ τῆς παιδιᾶς ἠρώτα, καὶ τίνα πράττοντες ἦσαν ἔλεγεν. Οἱ δὲ παῖδες αἰδοῖ καὶ δέει κατισχυμένοι, πρῶτα μὲν ἠρνοῦντο· ὡς δ' ἐπέκειτο τῇ βασάνῳ Ἀλέξανδρος, κατέλεγον τὰ τοῦ δράματος· ὡς Ἀθανάσιος μὲν τὸν κλῆρον τῆς ἐπισκοπῆς ἐκληροῦτο· καὶ βαπτίζων πολλοὺς, καὶ ἐν καταλόγῳ τῶν τῆς Ἐκκλησίας ταγμάτων καθίστη ἱερεῖς καὶ διακόνους χειροθετῶν. Ἀνέκρινε δ' ἕκαστα ὁ ἐπίσκοπος· τί μὲν πράττων ἔλεγεν ὁ τῆς παιδιᾶς ἱερεύς· τί δ' αὖθις τελούμενοι ἐκεῖνοι λέγοντες ἦσαν. Ἐπεὶ δ' ἕκαστα κατὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν φυλαχθέντα εὗρε, μὴ χρῆναι καὶ αὖθις ἀναβαπτίσαι ἐδοκίμαζε, σὺν τοῖς ἀμφ' αὐτὸν ἱερεῦσι σκοπούμενος τοὺς καθάπαξ ἁπλότητι τῆς θείας χάριτος ἠξιωμένους. Μόνα δ' ἐκεῖνα ἃ θέμις ἱερεῦσι πράττειν ἀνεῖται, ἐν μυστηρίῳ πληροῦν ἐκέλευε. Τοὺς δὲ παῖδας καθὸ ἐτάχθη τῇ παιδιᾷ τάγματι ὑπὸ μάρτυρι τῷ Θεῷ, ἐπὶ τὴν ἐκκλησίαν ἀνῆγε, καὶ τοῖς προσήκουσι παραδοὺς, φυλάττειν παρῄνει, καὶ ἐπὶ τὴν μίμησιν προβιβάσαι, ἱκανῶς μετεσχηκότας παιδείας, καὶ μάλιστα Ἀθανάσιον· ὃν ἔχων ἀπογραφέα καὶ ὁμοδίαιτον, ἐν οὐ πολλῷ τῷ τῆς διακονίας κλήρῳ καθίστα. Γραμματικὴν δὲ ἀσκήσας, καὶ ῥήτορσι φοιτήσας, καὶ τῇ φιλοσοφίᾳ προβὰς, καὶ τοσοῦτον ἐκ τούτων ἀπαρυσάμενος ὅσον μὴ κλονεῖσθαι τοῖς περὶ ταῦτα κομψοῖς, ἐπὶ τὴν Νίκαιαν ἤγετο, καὶ τὰ μάλιστα ἠγωνίζετο, οὐκ ἐλάχιστον μέρος τῷ στεῤῥῷ τῆς ἀληθείας λόγῳ καθεστηκώς. Πεῖραν δὲ καὶ πρὸ τῆς ἡλικίας ἔδωκε σοφοῦ καὶ διαβεβηκότος ἀνδρός. Ὡς δ' Ἀλέξανδρος ἐτελεύτα, διάδοχον ἐκεῖνον λιπὼν, ἐπιμᾶλλον ἡ Ἀθανασίου δόξα ἐξέλαμψε, τῆς ἐκείνου ἐν ἅπασιν ἀρετῆς βεβαιούσης αὐτήν. Πολλὴν δὲ αὐτὴν καὶ ὁ μέγας Ἀντώνιος ἐνεποίει, μαρτυρῶν ἐκείνῳ τὰ κρείττονα, κελεύοντί τε ὑπακούων, καὶ ἐκ τῶν ὀρέων ταῖς πόλεσι φοιτῶν, κἀν ταῖς ἐκκλησίαις ἐκείνῳ συνδιατρίβων, καὶ τῇ ἐκείνου δόξῃ ἣ δοξάζοι περὶ Θεοῦ, σύμψηφος καθεστώς· καὶ χαλε-

A pervenisse videtur : qui sane talis fuit, qualem ea flagitarunt tempora, ad intelligendum, dicendum, atque etiam scribendum idoneus maxime : et qui quod telo peteret, tangere atque assequi posset, quique ad resistendum insidiis structis esset firmissimus. Erat præterea vir admodum ecclesiasticus, et ad sacra peragenda aptissimus, atque (ut sic dicam) in rebus ejusmodi αὐτοδίδακτος, et a se ipso doctus. Ferunt namque, cum necdum ad ephebos accessisset, a Deo ejusmodi quiddam in eo adumbratum et simulacro quodam repræsentatum esse. Alexandrini in urbe sua festum quemdam diem insignem agunt, quo die Petrus, qui apud eos ecclesiam rexit, martyrio est defunctus. Hasce ferias, ut moris erat, Alexander quoque,

B præfectus tum ecclesiæ, celebrabat, et sacris mysticisque cæremoniis operatus sedebat, eos qui cum eo pransuri erant præstolans. Cum vero sederet sublimior, oculos ad mare conjecit, et pueros quosdam in arena ludentes vidit. Ludus erat, rerum quæ in ecclesia peraguntur imitatio, et episcopi tandem electio. Atque aliquatenus quidem id nihil habebat periculi : ut autem arcaniora mysteria, sacraque non tangenda, pueri attigere, graviter factum id tulit; accitisque cleri primoribus, pueros ostendit, eosque ad se adduci jussit. Illi ubi sunt adducti, de ludicro eos interrogavit : mox etiam quæ egerint, dixit. Pueri pudore simul et timore correpti, primum quidem rem negarunt;

C deinde vero, ut verbera eis Alexander minatus est, actum omnem exposuerunt, ut scilicet Athanasius (1) episcopi munus sortitus, multos baptizarit, et impositione manuum in ordinem ecclesiasticum sacerdotes et diaconos cooptaverit. Inquisivit etiam rem quamque episcopus, cum quid umbratilis episcopus per ludum ritus sacros peragens dixerit, tum quid responderint, qui sacris ab eo initiati essent. **636** Atque ubi rem quamlibet juxta ecclesiasticam traditionem servatam reperit, cum episcopis qui ei tum aderant, re deliberata, non denuo baptizandos esse censuit, qui semel per simplicitatem divina gratia digni effecti essent. Et tantummodo ea quæ sacerdotibus facere fas est, in mysterio adimplere jussit. Pueros

D autem eo quem in ludo cœperant ordine, ipsum Deum testem faciens, in ecclesiam induxit : et propinquis suis traditos, ut ab eis custodirentur, atque in imitatione ad progressus faciendos instruerentur, qui sic abunde institutionem puerilem assecuti essent, rogavit. Maxime vero id de Athanasio egit : quo deinde notario et familiari usus, non ita longo post tempore eum in diaconorum ordinem evexit. Atque hic in grammaticis litteris exercitatus, et apud rhetores versatus, præterea vero etiam in sapientiæ studiis institutus, cum ex eis artibus tantum percepisset, quan-

(1) Athanasius, per ludum, nondum ephebus, a pueris episcopus lectus, episcopalia munera obiit. (Sozom. lib. II, cap. 17.)

tum ad hoc satis esset, ne ab eis qui in illis A eximii sunt et clari percelleretur, Nicæam est perductus, ubi maxime decertavit, quippe qui propter firmitatem sermonum veritatis non minima ibi actionum omnium pars fuerit. Specimen vero ille quoque in ætate juvenili sapientis, spectati, et senilis viri præbuit (1). Postquam autem Alexander mortuus est, eumque successorem suum reliquit, tum magis gloria ejus enituit, virtute ipsius in rebus omnibus seipsam confirmante atque laudante. Quam ingentem quoque reddidit magnus Antonius, cum optima quæque de eo testificans, tum etiam jussis ejus morem gerens. Nam et ejus causa ex montibus in urbes frequentius venit, et in ecclesia cum eo est versatus. Tum autem, sententiæ ejus quam de Deo habuit, B calculum suum addidit : eis qui inimicitias contra eum suscepissent adversus, ipsius autem Athanasii amicus intimus et summus. Quin et Ariani Athanasium illustriorem reddidere, qui una cum Melitio Ægyptum motibus compleverant. Insidias enim sine intermissione ei molientes, capere eum legitime non potuerunt. Et nuper admodum Eusebius ab imperatore ab exsilio reductus, non mediocrem sibi usurpabat libertatem, ab illo in magno honore habitus, perinde atque a prava opinione ad rectæ pietatis sententiam transiisset. Quocirca libertate ea abusus, majorem etiam in ecclesia turbam excitavit, per eam quæ ei inerat falsam opinionem, easque quas adversus 637 C Athanasium susceperat inimicitias, ex quo in synodo in illum veluti veræ pietatis propugnaculum impegit. Et primum quidem electionem ejus Eusebiani reprehendebant, tanquam neque legitime, neque ab idoneis, quæ fidem mererentur, personis factam. Ubi vero insimulationem eam refellit, magno animo pro fide Nicæna decertans, aliam illi texuere t[illegible], eo consilio, ut Athanasio exsilium struerent, atque Ario reditum in urbem Alexandrinam pararent. Ita enim facillimum ipsis fore putabant, ut ὁμοουσίου consubstantialis fidem ejicerent, et pedetentim impietatem suam pro ea inducerent. Tentavitque adeo, ad Athanasium scribens Eusebius, ut ab illo susciperetur Arius. Sin minus, sine scripto per internuntium magnum illi minatus est malum. Postquam autem omnem movens lapidem, persuadere id illi non potuit; eos qui in doctrina res novas induxissent, novamque hæresim instituissent, et eam ob causam a tam frequenti synodo proscripti essent, minime recipiendos esse contendenti : alio modo conatus est, ut Arius reciperetur, Alexandriamque reduceretur, imperatori persuadere. Id quod tandem, sicuti suo loco dicam, ægre effecit.

A πῶς ἔχων, οἱ αὐτὸν ἀπηχθάνοντο· καὶ γὰρ διάπυρος ἐκείνῳ φίλος ἐτύγχανεν ὤν. Περιφανέστερον δ' ἐποίουν τὸν Ἀθανάσιον καὶ Ἀρειανοὶ, οἳ σύναμα Μελιτίῳ τὴν Αἴγυπτον ἀνετάρασσον, ἐπιβουλὰς μὲν κατ' αὐτοῦ ἀεὶ πράττοντες, ἐν δίκῃ δ' ἑλεῖν ἥκιστα ἔχοντες. Ἄρτι γὰρ καταχθέντες οἱ περὶ Εὐσέβιον βασιλεῖ, οὐ τὴν τυχοῦσαν παῤῥησίαν ἐκτήσαντο· καὶ διὰ πολλῆς ἦσαν ἐκείνῳ τιμῆς, ἅτ' ἐκ τοῦ κακῶς φρονεῖν πρὸς τῷ εὐσεβεῖν μεταθέμενοι. Καὶ δὴ τῇ παῤῥησίᾳ καταχρησάμενοι, μείζονα ταραχὴν τῇ Ἐκκλησίᾳ ἐπήγειραν ἔκ τε τῆς ἐνοικουρούσης κακοδοξίας, καὶ ἐκ τῆς πρὸς Ἀθανάσιον ἀπεχθείας· ἐπειδὴ ἐκείνῳ ἐν τῇ συνόδῳ προβόλῳ τῆς εὐσεβείας ἐνέτυχον. Καὶ δὴ πρῶτα μὲν τὴν ἐκείνου ἐν αἰτίας ἐποιοῦντο χειροτονίαν, ὡς μὴ ἐνθέσμως, μηδὲ παρὰ B ἀξιοπίστων προσώπων γεγενημένην· ὡς δὲ κρείττων τῶν ἐγκλημάτων ἐδείκνυτο, γενναίως ὑπὲρ τῆς ἐν Νικαίᾳ πίστεως διαγωνιζόμενος, βουλὴν ἑτέραν ὕφαινον, σκευωρῆσαι μὲν ἐκεῖνον εἰς φυγαδείαν, Ἄρειον δὲ παρασκευάσαι κατάγειν εἰς Ἀλεξάνδρειαν. Οὕτω γὰρ ἐκ τοῦ ῥᾴστου ἔχειν ἐκείνους τὴν μὲν τοῦ ὁμοουσίου πίστιν ἐκβάλλειν, ἠρέμα δέ πως τὴν σφετέραν ἀντεισάγειν δυσσέβειαν. Καὶ ἐπειρᾶτο γράφων Εὐσέβιος Ἀθανασίῳ τοὺς περὶ Ἄρειον δέχεσθαι· εἰ δὲ οὐν, ἀγράφως ἠπείλει κακῶς αὐτὸν διαθεῖναι. Ἐπεὶ δὲ πάντα κάλων κινῶν, οὐδενὶ τρόπῳ πειθήνιον εἶχε διενιστάμενον τοὺς περὶ τὸ δόγμα νεωτερίσαντας, καὶ νέαν συστησαμένους αἵρεσιν, καὶ παρὰ τοσαύτης ἐληλαμένους συνόδου, μὴ δεῖν εἶναι δέχεσθαι, ἐπεχείρει τρόπον ἕτερον πεῖσαι C τὸν βασιλέα δέξασθαι Ἄρειον, καὶ κάθοδον εἰς Ἀλεξάνδρειαν παρασχεῖν. Καὶ μόλις τοῦτ' ἀνύσας εἶχεν, ὡς καιρῷ διαλήψομαι.

CAPUT XLV.

De synodo Antiochiæ congregata, quæ episcopatum Eustathio magno abrogavit : et de episcopis qui ei successerunt.

Tum vero alia etiam turba inter conjunctos episcopos exorta, Ecclesiam excepit, qui de verbo ὁμοουσίου, consubstantialis nimirum, subtiliter inquirentes, eoque sese exercentes, intestinum inter se ita commovere bellum, ut concertatio eorum nihil a nocturna pugna differret. Neque enim alius

D

ΚΕΦΑΛ. ΜΕ'.

Περὶ τῆς ἐν Ἀντιοχείᾳ γενομένης συνόδου, ἣ καθεῖλε τὸν μέγαν Εὐστάθιον· καὶ περὶ τῶν μετ' αὐτὸν γενομένων ἐπισκόπων.

Τηνικαῦτα δ' ἑτέρα ταραχὴ ἐκ τῶν οἰκείων ἐπισκόπων τὴν Ἐκκλησίαν ἐλάμβανε, περὶ τῆς τοῦ ὁμοουσίου λέξεως ἀκριβολογουμένων, καὶ κατατριβομένων, καὶ πρὸς τὸν κατ' ἀλλήλων ὡπλίζοντο πόλεμον, ὡς μηδὲν τοῦ νυκτομαχεῖν διαφέρειν. Καὶ γὰρ ἀλλήλων οὐ συνίεσαν, ἀφ' ὧν ἀλλήλους ἐνόμιζον

(1) Διαβεβηκότες dicuntur, apprime spectati, probati, perfecti, sublimes, et extra judicii aleam constituti ; qualem Gregor. Theologus esse dixit Basilium Magnum : *Homo Dei*, inquit, *et fidelis serve, et vir desideriorum : sed spiritualium*. Ita enim vocat Scriptura τοὺς διαβεβηκότας, hoc est, eos qui ad summum evasere locum, et sublimes visibiliaque hæc supergressos.

βλασφημεῖν. Οἱ μὲν γὰρ τὸ ὁμοούσιον μὴ προσιέμενοι δόξαν ἔσχον τὰ Μοντανοῦ καὶ Σαβελλίου φρονεῖν τοὺς αὐτὸ παραδεχομένους, καὶ βλασφήμους ἐλάλουν, ὡς τὴν τοῦ Υἱοῦ ὕπαρξιν ἀνατρέποντας· οἱ δὲ τὸ ὁμοούσιον στέργοντες ἐκείνους ἐξετρέποντο, ὡς Ἑλληνισμὸν καὶ πολυθεΐαν εἰσάγοντας. Μάλιστα δ' ἐπὶ τούτοις συνίσταντο Εὐστάθιος ὁ Ἀντιοχεὺς, καὶ ὁ Παμφίλου Εὐσέβιος· καὶ ἀμφότεροι δὲ ἐν ὑποστάσει τὸν Υἱὸν τοῦ Θεοῦ ὡμολόγουν, ἕνα τε Θεὸν ἐν ὑποστάσεσι τρισίν. Καὶ ὁ μὲν Εὐστάθιος ᾐτιᾶτο Εὐσέβιον, ὡς τὴν ἐν Νικαίᾳ πίστιν καινοτομοῦντα· ὁ δ' αὖθις στέργειν μὲν τὰ ἐν Νικαίᾳ δόξαντα ἔλεγεν· ὡς τὰ Σαβελλίου δὲ φρονοῦντα τὸν Εὐστάθιον ἐν αἰτίαις ἐτίθει. Καὶ δὴ συνόδου διὰ ταῦτα ἐν Ἀντιοχείᾳ γεγενημένης, ἀφαιρεῖται τὴν ἐπισκοπὴν ὁ Εὐστάθιος, κατὰ μὲν τὸν ἀληθῆ λόγον, ὅτιπερ τῆς ἐν Νικαίᾳ ὑπερίστατο πίστεως, καὶ τοὺς περὶ Εὐσέβιον καὶ Πατρόφιλον τὸν Σκυθοπόλεως, καὶ τὸν Τύρου Παυλῖνον, ὧν τῇ γνώμῃ οἱ ἀνὰ τὴν ἕω ἱερεῖς εἵποντο, ὡς Ἀρειανόφρονας ἀπεστρέφετο· ὡς δὲ οἱ ἐξ Ἀρείου φασὶν, οἷάπερ Σαβελλίζοντα· καὶ δι' ἄλλας οὐκ ἀγαθὰς αἰτίας, ἃ εἰωθὸς ἐπὶ πάντων τῶν καθαιρουμένων ἐπισκόπων λέγειν ἐστίν. Τὸ δ' ὅλον συκοφαντία μετὰ διαβολῆς ἦν. Ὡς γὰρ τὴν ἱερωσύνην δῆθεν αἰσχύναντα παιδίσκης ἀκολάστου μίξει, καὶ ἀπολαύσει αἰσχρᾶς ἡδονῆς, καθεῖλον τὸν ὅσιον. Εὐφυὲς γὰρ τὴν ὄψιν γύναιον, ἑταιρικὸν, καὶ τὴν ὥραν τῷ βουλομένῳ ἀπεμπολοῦν μισθωσάμενοι, τὴν γλῶτταν ἀποδόσθαι αὐτοῖς ἔπεισαν. Καὶ δὴ τοῦ συγκροτηθέντος, πεντήκοντα δὲ ἦσαν καὶ διακόσιοι, τοὺς μὲν ἐξῆγον πάντας· τὸ δὲ ἀπὸ πείρας ἐκεῖνο ἰταμὸν γύναιον ἐπεισῆγον, βρέφος ἐπιμαστίδιον ταῖς ἀγκάλαις ἀνέχον· ὃ ἀναίδην ἐπεβοᾶτο, ἐκ τῶν Εὐσταθίου συνουσιῶν συνειληφέναι καὶ τετοκέναι. Εὐστάθιος δ', εἴ τινα καὶ ἄλλον ἔχοι τοῦ πεπραγμένου συνίστορα, ἢ τῶν τοιούτων τι διειδότα, ἐζήτει. Ὡς δὲ μηδένα ἔχειν διεμαρτύρετο, τὸν ὅρκον ᾔτουν οἱ πικροὶ δικασταὶ, καίτοι γε τοῦ νόμου διαῤῥήδην βοῶντος, ἐπὶ δύο ἢ τριῶν μαρτύρων τὸ βέβαιον ἔχειν τὰ κακῶς φημιζόμενα[1]· καὶ αὖθις τοῦ Ἀποστόλου ἀπαγορεύοντος, μή τινα τὴν κατὰ πρεσβυτέρου γραφὴν δέχεσθαι μαρτύρων δίχα δύο ἢ καὶ τριῶν[2]. Ἐκεῖνοι δὲ τὸν νόμον ἐν δευτέρῳ θέμενοι, ἀμάρτυρον κατὰ τοσούτου ἀνδρὸς ἐποίουν κατηγορίαν. Ὡς γὰρ ἐκείνη τοῖς εἰρημένοις τὸν ὅρκον ἐπῆγεν, ἦ μὴν Εὐσταθίου εἶναι τὸ βρέφος φαύλης ἡδονῆς ἀποτέλεσμα, εὐθὺς ὡς κατὰ μοιχοῦ ἐκεῖνοι τὴν ψῆφον ἐπῆγον. Τῶν δ' ἄλλων ἀρχιερέων οἳ τὰ τυρευθέντα ἠγνόουν, ἀντιλεγόντων, καὶ μὴ κατὰ νόμους τὴν ψῆφον τἀνδρὶ γενέσθαι διατεινομένων, οἱ τὸ δρᾶμα συνθέμενοι ὅσον τάχος ἐς βασιλέα ἧκον· καὶ πείσαντες ὡς ἐν δίκῃ τὰ ψηφισθέντα οἷς ἑάλω Εὐστάθιος, ἐκεῖθεν ἐπειρῶντο ἐλαύνειν, φεῦ! τὸν τοσοῦτον τῆς εὐσεβείας καὶ σωφροσύνης ἀγωνιστήν τε καὶ

[1] Matth. xviii, 16. [2] II Cor. xiii, 1; I Tim. v, 19.

A alium intelligebat in eis verbis, unde sese invicem blasphemiis expeti putabant. Siquidem qui consubstantiale non probabant, opinabantur eos qui id reciperent, Montani et Sabellii sententiam sequi: blasphemosque vocabant, velut qui Filii Dei exsistentiam everterent. Qui vero consubstantiale complectebantur, illos aversabantur, ac si Græcismum pluresque deos assererent. Potissimum vero de iis Eustathius Antiochenus, **638** et Eusebius Pamphili, congressi decertarunt: atque uterque in subsistentia Filium Dei, atque unum Deum in tribus subsistentiis profitebatur. Et Eustathius Eusebium (1) incusabat, quod professionem fidei Nicænam novaret. Atque hic rursum acquiescere se in decretis Nicænis dicebat, illi autem Sabellii B errorem criminando objiciebat. Enimvero ea de re synodo Antiochiæ coacta (2), episcopatus Eustathio abrogatur, re quidem vera, quod Nicænam fidem propugnans, Eusebium, Patrophilum Scythopolitanum, et Paulinum Tyrium, quorum sententiæ Orientales episcopi astipulabantur, ut Arianos aversaretur: sicuti autem illi ipsi Ariani præ se ferebant, tanquam is qui cum Sabellio faceret, aliasque item non optimas ob causas: quemadmodum de omnibus episcopis, qui exauctorantur, multa dici, moribus est receptum. At res tota sycophantia erat, cum calumnia conjuncta. Veluti enim episcopalem dignitatem impudicæ mulierculæ concubitu, fœdæque voluptatis usu turpiter contaminasset, sancto viro eam ademerunt. Nam mere- C triculam, vultu venusto, formæ ætatisque florem cuivis mercede prostituentem, conductam, ut linguam illis daret, verbisque subserviret, permovere. Et conventu coacto, in quo ducenti et quinquaginta erant, alios quidem omnes exire, mulierculam autem illam rerum usu protervam ingredi jussere. Progreditur illa, lactentem infantem in ulnis gerens, eumque impudenter ex Eustathii consuetudine se concepisse et peperisse clamat. Eustathius, si quem alium facinoris ejus testem conscium, aut qui tale quidquam nosset, haberet, rogat. Quæ cum id negaret, jusjurandum ab ea judices acerbi postulant, cum quidem disertis verbis lex vociferetur, quæ de quopiam sinistre D vulgentur, ea duobus aut tribus testibus firmitatem obtinere[1]: et Apostolus rursum, adversus presbyterum actionem recipi absque duobus aut tribus testibus, prohibeat[2]. At illi nulla legis ratione habita, et nullis testibus, adversus tantum virum judicium instituere. Posteaquam enim illa verba sua juramento confirmavit (3), infantem videlicet Eustathii improbæ libidinis opus esse, ilicet illi veluti contra mœchum calculos produxerunt: **639** episcopis aliis, qui insidias structas

(1) Nicomediensem.
(2) Sozom. lib. ii, cap. 19.
(3) Obtinet id nunc quoque in quibusdam consistoriis, ut puellis vitiatis juramentum a judicibus deferatur.

ignorabant, frustra contra nitentibus, et non legitime virum damnatum esse contendentibus. Porro qui fabulam hanc concinnaverant, nulla interposita mora imperatorem adeuntes, eique legitime per sententiam Eustathium damnatum esse persuadentes, episcopatu hominem movere atque exigere sunt conati: tantum nimirum veræ pietatis et castitatis defensorem, et quasi margaritum. Gravis autem, propter illius abrogationem, Antiochiæ coorta est seditio, ut parum admodum abfuerit, quin eam prorsus everti atque aboleri contigerit: quippe quæ in duas discesserit partes, alterique factioni manus militaris opem ferret, quæ res plurimum Eustathio nocuit. Ubi enim imperator cognovit Ecclesiæ seditionem, vehementer indignatus, Eustathium tanquam hominem factiosum eo nomine suspectum habuit: et quemdam honoraria militiæ illustris dignitate præditum eo misit, qui cum tumultum ibi sedaret, tum Eustathium occulte inde abduceret. Itaque ille per Thraciam in Illyricum est deportatus, perplacide calumniam ferens, quod hoc sic præstare judicaret, vir rebus omnibus honestus, bonusque, et orationibus componendis facundia jucunda et copiosa, sicuti id opera ejus testantur: elocutionisque priscæ pondere, sententiarum castitate, verborum eleganti gratia, et pronuntiationis vehementia præcipue pollens. Deinceps vero infelix illa muliercula gravi circumventa morbo, sycophantiæ ejus actum confessa, tragœdiam omnem, ut edita fuerat, exposuit. Dixit etenim, sacerdotes plurimos, qui eam pecunia corrupissent, flagitium id facere ausos: seipsam autem non omnino mendacem esse, quod scilicet ex Eustathio quodam illiberalis artis opifice, puerum concepisset. Cum Arianorum phalanx Antiochiæ contra sanctum virum hæc admittere ausa fuisset, ita insuper ipsi secum rationem duxerunt et constituerunt, si imperatori notum quempiam atque eloquentia præclarum virum in Antiocheno throno collocarent, facillime eos universos in opinionem suam pertracturos: proindeque Eusebium Pamphili, aliis prælatum, traducere in eum locum studuere. Quo decreto imperatori significato, illud prætcrea addidere, virum eum plurimi a populo Antiocheno fieri, gratiosumque ibi esse. **640** Hoc sic præcipue scripserunt, qui hostili erga Eustathium animo erant. Ipse vero Eusebius decreto ei reluctatus, litteras ad imperatorem, quibus Antiochenam sedem deprecabatur, dedit. Imperator vero consilium ejus qui sic ecclesiasticum canonem servaret, ab ecclesiaque quæ semel ei administranda credita esset, ad episcopatum alium transferri renueret (1), admiratus, et populo, et ipsi Eusebio rescripsit, sententiam ejus gratam habens, beatumque eo nomine vocans: quippe qui non tantum

A μαργαρίτην. Δεινὴ δὲ διὰ τὴν ἐκείνου καθαίρεσιν στάσις τῇ Ἀντιόχου ἐξήφθη· ὡς μικροῦ δεῖν συμβαίνειν πᾶσαν ἄρδην ἀφανισθῆναι, τῆς πόλεως εἰς δύο μέρη διαιρεθείσης, συλλαμβανομένης θατέρας μερίδος, καὶ χειρὸς στρατιωτικῆς. Ὃ δὴ μάλιστα τὸν Εὐστάθιον ἔβλαψεν. Ὡς γὰρ ἔγνω ὁ βασιλεὺς τὴν διαίρεσιν τῆς Ἐκκλησίας, σφόδρα χαλεπαίνων ἦν, καὶ ὡς στασιώδη τὸν Εὐστάθιον ὑπενόει· καί τινα πέμψας τῶν ἐν περιφανείᾳ στρατευομένων, καταστέλλειν ἐπειρᾶτο τὸν θόρυβον, Εὐστάθιον δ' ἐκεῖσε ἡσυχῇ ἐξάγειν. Καὶ ὁ μὲν διὰ Θρᾴκης ἀπήγετο εἰς Ἰλλυριοὺς, ἠρέμα φέρων τὴν διαβολὴν, οὕτω κρίνας ἄμεινον εἶναι, ἀνὴρ κατὰ πάντα καλός τε κἀγαθὸς γεγονὼς, γλῶττάν τε λαμυρὰν ἐπὶ συνθήκῃ λόγων πεπλουτηκώς· ὡς τὰ αὐτῷ πονηθέντα παριστᾶν B ἔχει, φράσεως ὄγκῳ ἀρχαίας, νοημάτων τε σωφροσύνῃ, χάριτί τε καὶ κάλλει λέξεως, ἐξαγγελίας τε τῷ συντόνῳ διαφερόντως εὐδοκιμήσας. Ἐς ὕστερον δὲ τὸ ταλαίπωρον ἐκεῖνο γύναιον χαλεπῷ περιπεσὸν ἀῤῥωστήματι, τὸ τῆς συκοφαντίας δρᾶμα ἀνωμολόγησε, γυμνὴν παραστῆσαν τὴν τραγῳδίαν. Ἔφη καὶ γὰρ πλείστους τῶν ἱερέων, χρήμασιν αὐτὴν ὑποφθείραντας, τὴν συκοφαντίαν τολμῆσαι, μὴ παντάπασιν οὖσαν ψευδῆ. Εὐσταθίου γάρ τινος βάναυσον μετιόντος τέχνην, σπέρμα τὸ βρέφος εἶναι διωμολόγει. Ταῦτα ἡ ἐν Ἀντιοχείᾳ τῶν Ἀρειανῶν φάλαγξ κατὰ τοῦ ὁσίου τολμήσασα, συνελογίσαντο καθ' αὑτοὺς, ὡς εἴ τινα βασιλεῖ γνώριμον, λόγοις τε ἐπίσημον, τῷ τῆς Ἀντιόχου θρόνῳ ἐγκαταστήσουσιν, ἐκ C τοῦ ῥᾴστου ἐνεῖναι, πάντας τῇ σφετέρᾳ δόξῃ ὑπαγαγέσθαι. Καὶ δὴ τὸν Παμφίλου Εὐσέβιον τῶν ἄλλων ἀπολεξάμενοι, μετατιθέναι τοῦτον ἐσπούδαζον· καὶ τῷ βασιλεῖ τὰ ψηφισθέντα ἐδήλουν, προστιθέντες, ὡς καὶ τῷ τῆς Ἀντιοχείας λαῷ περὶ πλείστου καὶ κεχαρισμένος αὐτοῖς ὁ ἀνήρ. Οὕτω γὰρ ἔγραφον ὅσοι ἀπεχθῶς πρὸς Εὐστάθιον εἶχον. Εὐσέβιος δὲ ἀπέλεγε τὸ δόξαν ἐκείνοις, καὶ βασιλεῖ γράφων, παραίτησιν ἐποιεῖτο. Ὁ δὲ τὴν πρόθεσιν θαυμάσας αὐτοῦ οἷς τὸν ἐκκλησιαστικὸν κανόνα ἐτήρει, ἐπέχοντα τὸν ἅπαξ ἐκκλησίαν ἐγχειρισθέντα, μὴ πρὸς ἑτέραν μεταβαίνειν ἐπισκοπὴν, τῷ τε λαῷ καὶ αὐτῷ Εὐσεβίῳ ἐπέστελλε, τήν τε γνώμην ἀποδοχῆς ἀξιῶν, μακάριόν τε ἀποκαλῶν, καὶ οὐ τῆς Ἀντιόχου μόνης, ἀλλὰ καὶ τῆς οἰκουμένης πάσης ἐγχειρισθῆναι τὴν ἐπισκοπὴν D ἄξιον ὄντα. Καὶ τῇ συνόδῳ δὲ τὰ ἴσα ἔγραφεν. Ἀκιβδήλους δὲ τὴν πίστιν εἶναι οἰόμενος τόν τε πρεσβύτερον Καππαδοκίας Εὐφρόνιον, καὶ τὸν ἐξ Ἀρεθούσης Γεώργιον, ὁπότερον τούτων, ἢ καὶ ἄλλον ὃν ἂν κρείττονα κρίνωσι, τοῦτον χειροτονεῖν ἐπὶ τὸν τῆς Ἀντιόχου θρόνον ἐπέτρεπεν. Οἱ δὲ πρὸ μὲν τῆς Εὐσεβίου ψήφου χειροτονοῦσιν Εὐλάλιον· ὀλίγον δ' ἐπιβιώσαντος ἐκείνου, τὴν μετάθεσιν ἔσπευδον. Ὡς δ' ἐκεῖνος ἀπεῖπε, καὶ ὁ βασιλεὺς ἀπηγόρευε τὴν μετάθεσιν, σχολάσαι φασὶ τὸν θρόνον ἑξῆς ἐπὶ ἔτη ὀκτώ· εἶτα χειροτονοῦσιν Εὐφρόνιον. Μετὰ δ' ἐνιαυτὸν καὶ μῆνάς τινας τὸ βιοῦν ἐκμετρήσαντα,

(1) Nicænæ synodi canon est de non transferendis ex una Ecclesia in aliam episcopis. (Socrat. lib. I, cap 24.)

Φλάκιτον τῆς ἐκείνης ἐκκλησίας τὴν προεδρείαν καταξιοῦσι. Πάντες δὲ τὴν Ἀρείου λώβην εἰς κόρον ἦσαν ἐκπεπωκότες, κἂν κρύφα ταύτην περιθάλποντες ἦσαν. Ὧν δὴ χάριν καὶ πολλοὶ τῶν ἐν κλήρῳ καὶ ἱερωσύνῃ, καὶ τῶν ἄλλως ἐχόντων, ὅμως δ' εὐσεβεῖν ᾑρημένων ὀρθῶς, τὰς ἐπ' ἐκκλησίας καταλελοιπότες συνάξεις, καθ' ἑαυτοὺς συνηθροίζοντο. Καὶ Εὐσταθιανοὶ τὸ ὄνομα εἶχον, ἐκείνῳ δὴ τὰ μάλιστα μετὰ τὴν ἔξοδον συναιρόμενοι. Τὰ μὲν δὴ κατὰ τὴν Ἀντιόχειαν δι' Εὐστάθιον συμβάντα ὧδε εἶχον.

Antiochiæ, sed universi etiam orbis episcopatum recipere dignus esset. Ad eumdem modum synodo quoque scripsit. Et quod sincera fide esse opinaretur presbyterum Cappadociæ Euphronium, et Arethusæ (1) Georgium, alterum istorum, aut alium certe quemquam, quem magis idoneum judicarent, designare, et sedi Antiochenæ præficere præcepit. Atque illi ante Eusebii electionem Eulalium episcopum creaverant : qui cum paulo post vitam finisset, tum demum Eusebium transferre properaverant. Quod quia ille refugit, imperatorque translationem eam inhibuit, vacuam sedem eam fuisse annis ordine octo ferunt : deinde Euphronium electum. Quo post annum et menses aliquot defuncto, Flacito ejus ecclesiæ præfecturam commissam. Omnes autem Ariana contagione magnopere erant infecti : quamvis clandestine eam fovere viderentur. Cujus sane rei gratia multi ex clero et sacerdotum ordine, alii præterea qui nihilominus recte sibi pietatem colendam statuissent, conventibus in ecclesiis relictis, ipsi seorsum congregabantur. Habebant ii Eustathianorum nomen, quod ei post illius etiam discessum maxime faverent. Ac quæ Antiochiæ de Eustathio accidere, hæc sunt.

ΚΕΦΑΛ. ΜϚ'.

Περὶ τῶν Ῥώμης καὶ Ἱεροσολύμων πατριαρχῶν· ἔτι δὲ καὶ περὶ τῆς ἑνώσεως τῶν Ἀρειανῶν καὶ Μελιτιανῶν.

Σίλβεστρον δὲ Μαρκελλίνου πρότερον, εἶτα καὶ Μιλτιάδου ἐπ' ὀλίγον ἡγησαμένου τῆς Ῥωμαίων Ἐκκλησίας, Ἰούλιος διαδέχεται. Μετὰ δὲ Μακάριον τὸν τῶν Ἱεροσολύμων θρόνον διεῖπε Μάξιμος· ὃν δὴ πρότερον λόγος ἔχει, τῆς ἐν Διοσπόλει ἐκκλησίας παρὰ Μακαρίου τὴν ἱερωσύνην ἐπιτραπέντα, ἐπισχεθῆναι παρὰ τῶν Ἱεροσολυμιτῶν. Τοῖς γὰρ ἀνέκαθεν χρόνοις ὁμολογητὴς γενόμενος, καὶ ἄλλως ἀγαθὸς ὢν ἀνήρ, τῇ τοῦ λαοῦ κρίσει ὑπὸ ψῆφον ἦν ὡς τελευτήσαντος Μακαρίου ἀναλαβέσθαι αὐτὸν τὴν ἐπισκοπήν. Ἐπεὶ δὲ στέρησιν ὑφιστάμενοι τοῦ ἀνδρὸς οὐχ οἷοί τε φέρειν ἦσαν, καὶ στάσις ἀνεκινεῖτο, δεῖν ἐδόκει ἕτερον μὲν ἐν Διοσπόλει χειροτονεῖν· Μάξιμον δὲ συμπαραμένειν τῷ Μακαρίῳ, καὶ τὰς ἱερατικὰς συνδιαφέρειν τούτῳ φροντίδας· τελευτήσαντος δ' ἐκείνου, ἐπὶ τὸν θρόνον τοῦτον ἀνάγειν. Εἰδέναι μέντοι χρεών, ὡς οἱ τάδ' ἠκριβωκότες φασὶ κατὰ γνώμην Μακαρίου τῷ πλήθει τὰ κατὰ Μάξιμον σπουδασθῆναι διισχυρίζονται· μεταμέλῳ γὰρ χρήσασθαι τὸν Μακάριον μετὰ τὴν τοῦ Μαξίμου δηλαδὴ ἐκείνου χειροτονίαν, ἐν νῷ θέμενον τό τε ὀρθῶς δοξάζειν τὸν ἄνδρα περὶ Θεοῦ, καὶ τῷ τῷ πλήθει διὰ τὸ ὁμολογητὴν καθεστάναι σφόδρα φιλεῖσθαι, ὡς ἐς τὴν ἐκείνου διαδοχὴν τετηρῆσθαι ἀναγκαῖός ἐστιν. Ὑπεισῄει γὰρ ἐκείνῳ δέος οὐκ ἔλαττον, μή, θανάτῳ τὸ ζῆν ὑπαλλάξαντος, οἱ περὶ Εὐσέβιον καὶ Πατρόφιλον ἁρπάσαντες τὸν καιρόν, τινὶ τῶν τὰ Ἀρείου φρονούντων τὴν ἐκείνου ἐπισκοπὴν ἐγχειρίσειαν· ἐπεί τοί γε κἀκείνου περιόντος ἔτι, νεωτερίζειν ἤρξαντο. Ἀφορισθέντες δὲ παρ' αὐτοῦ, τὴν ἐπαγγελίαν ἀπώσαντο. Οὔπω δ' ἔτι καὶ ἡ ἐν Αἰγύπτῳ κινηθεῖσα ταραχὴ κατεστάλη· ἡ μὲν γὰρ Ἀρείου αἵρεσις παρὰ τῆς ἐν Νικαίᾳ συνόδου ἀπεχη-

641 CAPUT XLVI.

De Romano et Hierosolymitano patriarchis. Item de Arianorum et Melitianorum conjunctione atque unione.

Sylvestri autem in Ecclesia Romana, ante quem prius eam Marcellinus, deinde Miltiades, non ita diu gubernaverant, Julius successit. Post Macarium vero sedem Hierosolymitanam obtinuit Maximus, qui antea in Diospolitana ecclesia, a Macario episcopatu accepto, tandem a Hierosolymitanis est retentus. Quod etenim superioribus temporibus confessor exstitisset, aliterque vir bonus esset, populi suffragiis designatus fuerat, qui Macario vita functo, episcopatum ejus reciperet. Ubi vero Diospolitani viro eo orbati, id ferre non possent, et certamen propterea moveretur, alium antistitem Diospolitanis legendum : Maximum autem apud Macarium, cum quo una episcopalem gereret curam et functionem (2), retinendum : atque ubi ille decessisset, ut hic in locum illius subrogaretur censuerunt. Illud porro scire oportet, quod qui hæc diligentius inquisivere, de sententia Macarii multitudinem, quod de Maximo ingenti studio egerat, fecisse confirmant. Macarium namque post illam Maximi electionem haud quaquam pœnitentia ductum esse, atque cum animo suo considerantem, et quod vir is recte de Deo sentiret, et quod multitudini propter strenue obitum confessionis certamen, valde charus esset, necessario eum qui sibi succederet, retinendum esse censuisse. Non parvus enim ille animum ejus subiit metus, ne ipso morte sublato, Eusebius et Patrophilus opportunitate temporis arrepta, alicui ex Arianis episcopatum suum concederent : quandoquidem, se adhuc superstite, novas res moliri cœpissent : et a se excommunicati, nugas tandem suas repudiassent. Nondum vero, qui in Ægypto quoque coortus fue-

(1) Arethusæ Syriæ oppidum.

(2) Duo eodem tempore Hierosolymis consentientes episcopi, sicuti apud nos quoque coadjutores assumi solent. (Sozom. lib. II, cap. 20.)

rat motus, sopitus erat. Arii namque hæresis a Nicæna synodo proscripta. Melitius vero eis quas supra exposuimus conditionibus receptus erat. Et Alexandro in Ægyptum reverso, Melitius quas extra ordinem non recte tenuerat ecclesias, restituerat. Ipse Lyci agebat. Et priusquam Melitius decessit, Joannem quemdam, qui eadem cum eo de synodi Nycænæ dogmate sentiebat (1), in locum suum substituit, qui novi rursus motus in ecclesiis auctor fuit. **642** Quod ubi Ariani videre, neque ipsi rerum suarum negligentes fuere. Et quod apud factiosos ejusmodi homines fieri assolet, hi quidem Arii opinionem laudibus ferebant; illis vero magis convenire videbatur, ut ecclesiis Melitiani præessent, quibus etiam plerique magis erant addicti. Atque antea quidem utrique ab alteris dissidebant. Ubi vero animadvertere, multitudinem episcopos catholicæ Ecclesiæ sequi, conventu coacto, fœdus inter se pepigere, communeque adversus pium Alexandrinæ urbis clerum suscepere bellum. Et adeo criminationes simul et defensiones ex æquo communiter decertantes protulere, ut tempore procedente, Ariani vocarentur Melitiani, et Melitiani Ariani. Atqui Melitiani de ecclesiarum præfecturis tantum decertabant, Ariani autem male sentiebant de Deo. Veruntamen quod sibi communiter inimicitias contra nos sumpserant, consensum atque concordiam assimulabant, utrique arbitrati facilius sibi eo modo res ex sententia successuras. Cæterum temporis processu propter perpetuos de rebus ejusmodi sermones et colloquia, ad eum pervenere habitum, ut idem utrique de Deo sentirent. Sed enim deinde Melitiani, juxta pristinam secessionem, ab Arianis sunt disjuncti. Simul namque utrorumque clerus et populus alii ab aliorum abhorrebant communione. Multasque urbes id pervasit malum, maxime vero Arianismus viguit in Bithynia et Hellesponto, necnon in ipsa Constantinopoli. Inde adeo, quod Eusebius Nicomediensis et Theognis Nicænus, arte quadam eum cui decretum Nicænæ synodi asservandum commissum fuerat, dicuntur circumvenisse, subscriptionesque suas delevisse: atque libere et propalam docuisse, non oportere Filium Patri consubstantialem dicere. Ii quoque primi Athanasio auctores fuere, earum quas pertulit ærumnarum. Multam namque ab imperatore consecuti potestatem et libertatem, Arium quidem, qui consentiens et amicus illis esset, Alexandriam reducere: illum vero veluti ex diametro eis repugnantem, abigere inde contenderunt. Et sane vix tandem consilium id ad exitum suum perduxere. Quomodo autem id conficere potuerint, et quo pacto imperator ut Arium reciperet, adductus sit, quam potero brevissime dicam.

A ρύχθη· οἱ δὲ περὶ Μελίτιον ἐπὶ τοῖς προγραφεῖσιν ἐδέχθησαν. Καί γ' ἐπανήκοντι Ἀλεξάνδρῳ Μελίτιος τὰς ἐκκλησίας ἐδίδου ἃς παρὰ τάξιν κατεῖχεν. Ἐκεῖνος δὲ διῆγεν ἐν τῇ Λυκῷ. Ἐπεὶ δ' ἐτελεύτα τὸν βίον Μελίτιος, Ἰωάννην τινὰ τῶν ὁμοδόξων περὶ τὸ δόγμα τῆς ἐν Νικαίᾳ συνόδου κατέστησεν ἀντ' αὐτοῦ· ὃς ταραχῆς αὖθις ταῖς ἐκκλησίαις κατῆρξεν. Ὅπερ οἱ τὰ Ἀρείου φρονοῦντες ὁρῶντες, οὐδ' αὐτοὶ τὸ καθ' αὑτοὺς ἠμέλουν. Οἷα δὲ τοῖς τοιούτοις φιλεῖ, οἱ μὲν τὴν Ἀρείου δόξαν ἐπῄνουν· τοῖς δ' ἐδόκει μᾶλλον ἄρχειν τῶν ἐκκλησιῶν τοὺς περὶ Μελίτιον· καὶ τούτοις μᾶλλον προσέκειντο. Καὶ πρότερον μὲν διεφέροντο ἑκάτεροι πρὸς ἑαυτούς· ὡς δὲ τὸ πλῆθος ἑώρων τοῖς ἱερεῦσι τῆς καθόλου Ἐκκλησίας ἑπόμενον, εἰς ἓν συνελθόντες, ἐσπεί- B σαντο· καὶ πρὸς τὸν εὐσεβῆ τῆς Ἀλεξάνδρου κλῆρον κοινὸν ἀνείλοντο πόλεμον. Καὶ ἐπὶ τοσοῦτον τά τ' ἐγκλήματα καὶ τὰς ἀπολογίας προέφερον, ἐπίσης ἀγωνιζόμενοι, ὡς χρόνου προϊόντος Μελιτιανοὺς κληθῆναι τοὺς Ἀρειανούς, καὶ τὸ ἔμπαλιν. Καίτοι γε οἱ περὶ Μελίτιον περὶ προστασίας μόνης ἐκκλησιῶν διεκρίνοντο· Ἀρειανοὶ δὲ κακῶς ἐφρόνουν περὶ Θεοῦ. Ἀλλ' ὅμως τῷ κοινὴν ἔχθραν καθ' ἡμῶν ἀναρρίπτειν, συμφωνεῖν ὑπεκρίνοντο, ἑκάτεροι δόξαν ἔχοντες ῥᾳδίως ἕξειν τοῖς κατὰ γνώμην. Πλὴν τῷ χρόνῳ προήκοντι, τῷ συνεχεῖ τῆς περὶ τὰ τοιαῦτα διαλέξεως εἰς ἕξιν ἐλθόντες, ἐπίσης περὶ Θεοῦ δοξάζοντες ἦσαν· αὖθίς τ' ἐκ τούτων εἰς τὴν προτέραν διάστασιν ἦλθον τοῖς περὶ Ἄρειον. Καὶ κλῆροι γὰρ, καὶ λαοὶ, τὴν πρὸς ἀλλήλους ἐξετρέποντο κοι- C νωνίαν. Καὶ πολλαῖς μὲν τῶν πόλεων ἐπέτρεχε τὸ δεινόν· μάλιστα δ' ἤκμαζε παρὰ Βιθυνοῖς καὶ Ἑλλησποντίοις, καὶ ἐν τῇ Κωνσταντίνου αὐτῇ. Ἔνθεν τοι καὶ λέγεται τὸν Νικομηδείας Εὐσέβιον, καὶ Θέογνιν τὸν Νικαίας, δεξιῶς ὑπελθόντας τὸν, ὃς φυλάττειν τὸν ὅρον τῆς ἐν Νικαίᾳ συνόδου τὴν ἐπιτροπὴν εἶχεν, ἀπαλεῖψαι τὰς ἐκείνων ὑπογραφάς· καὶ παῤῥησίᾳ διδάσκειν μὴ χρῆναι ὁμοούσιον λέγειν τὸν Υἱὸν τῷ Πατρί. Οὗτοι δὲ καὶ Ἀθανασίῳ αἴτιοι πρῶτοι τῶν ἐπ' ἐκείνῳ γεγόνασι δυσχερῶν· πολλὴν γὰρ παρὰ βασιλεῖ δύναμιν καὶ παῤῥησίαν ἔχοντες, Ἄρειον μὲν ὡς ὁμόφρονα καὶ φίλον αὐτοῖς κατάγειν εἰς Ἀλεξάνδρειαν ἔσπευδον· τὸν δ' ἐκεῖθεν ἀπελάσαι ὡς παντάπασιν ἐκ διαμέτρου τούτοις γινόμενον. Καὶ D μόλις ἤνυσαν τὴν βουλήν. Ὅπως δὲ τοῦτ' ἐξίσχυσαν διαπράξασθαι, πῶς τε ὁ βασιλεὺς ἐπείσθη εἰσδέξασθαι Ἄρειον, ὡς οἷόν τε, διὰ βραχέων ἐρῶ.

643 CAPUT XLVII.

Ut Arius sit revocatus ab exsilio, rectam deinde doctrinam et religionem se sectaturum pollicitus.

Presbyter quidam, ægritudine Ariana, quamvis ea occultior esset, occupatus, Constantiæ, impera-

ΚΕΦΑΛ. ΜΖ'.

Ὡς ἐπανεκλήθη Ἄρειος, τῇ ὀρθῇ πίστει δῆθεν συνθέμενος.

Πρεσβύτερός τις, τὴν νόσον Ἀρείου εἰσδεδεγμένος, κἂν λανθάνειν τέως ἐδόκει, Κωνσταντίᾳ τῇ ἀδελφῇ

(1) Τῶν αὐτῷ συνήθων παρὰ τὸ δόγμα τῆς, etc. Sozom. lib. II, cap. 21, hoc est, *familiarem suum contra Nicænæ synodi decretum*. Et rectius.

τοῦ κρατοῦντος, ἣν Λικίνιος εἰς γάμου κοινωνίαν εἶχε, συνήθης καὶ φίλος ἦν. Ἐκ δὲ τῆς πρὸς αὐτὴν ὁμιλίας πολλὴν παῤῥησίαν κτησάμενος, τῶν περὶ Εὐσέβιον εἰσηγησαμένων, περὶ Ἀρείου λόγους παρέσπειρε, μὴ καλῶς τὰ κατ' ἐκεῖνον γεγενῆσθαι φάσκων. Διὰ φθόνον δὲ καὶ ζηλοτυπίαν Ἀλεξάνδρου, φυγήν τε τῆς πατρίδος, καὶ τῆς Ἐκκλησίας ἔκπτωσιν κατακριθέντα, παθεῖν· καὶ μηδ' οὕτω φρονεῖν, ὡς ὁ πολὺς ἔχει λόγος. Ἀληθῆ δὲ ταῦτα ἡ Κωνσταντία νομίσασα, εἶχε παρ' ἑαυτῇ. Καὶ νεωτερίζειν μὲν οὐκ ἐτόλμα, τὸν βασιλέα στεῤῥὸν ὁρῶσα περὶ τὰ δόξαντα τῇ συνόδῳ· καὶ ἐν ὅσῳ περιῆν, οὕτω δόξης ἐν ἀποῤῥήτῳ εἶχε· νόσῳ δὲ χαλεπῇ περιπεσοῦσα, συνεχῶς φοιτῶντα τὸν ἀδελφὸν τελευταίαν ᾔτει χάριν, τὸν πρεσβύτερον ἐν τοῖς οἰκείοις ἔχειν, πολλὴν ἐκείνῳ τὴν εὐλάβειαν μαρτυροῦσα· ὀρθῶς τε δοξάζειν, καὶ ἀνόθευτον τὸ πρὸς ἐκεῖνον εὔνουν διατηρεῖν· καὶ οἴχεσθαι μὲν ἤδη ἐκείνην, ὀῤῥωδεῖν δὲ περὶ ἐκεῖνον μή τι πάθοι, διεμαρτύρετο· ὅτι γε πεισθείς τισι, σεμνοὺς ἄνδρας ἀϊδίῳ φυγῇ ἐζημίωσε. Καὶ ἡ μὲν τοιαῦτα λέγουσα ἐτελεύτα· ὁ δὲ πρεσβύτερος παῤῥησίας ἐντεῦθεν τυχὼν, ἠρέμα τοὺς αὐτοὺς ἐκίνει περὶ Ἀρείου λόγους τῷ βασιλεῖ, οὓς δὴ καὶ τῇ ἀδελφῇ ἐκείνου ἀνεῖπε, μή τι παρὰ τὰ δόξαντα τῇ συνόδῳ φρονεῖν καὶ τὸν Ἄρειον· ἐλθόντα τε, εἴγε κελεύσειε, δείξειν ἀληθῆ κατὰ πρόσωπον, ὡς ἀλόγως συκοφαντοῖτο. Ὁ δὲ βασιλεὺς, εἴτε τῇ ἀδελφῇ χαριζόμενος, εἴτε καὶ πεισθεὶς τοῖς εἰρημένοις τῷ πρεσβυτέρῳ, « Εἰ Ἄρειος, ἔφη, συντίθεται τὰ τῆς συνόδου φρονεῖν, δέχομαι τοῦτον, καὶ τιμῇ τῇ πάσῃ πρὸς τὴν Ἀλεξάνδρειαν εὐθὺς καταπέμψω. » Ταῦτ' εἰπὼν, καὶ τοιαῦτα πρὸς αὐτὸν ἔπεμπε γράμματα· « Νικητὴς Κωνσταντῖνος Μέγιστος Σεβαστὸς Ἀρείῳ. Πάλαι μὲν ἐδηλώθη τῇ στεῤῥότητί σου, ὅπως ἂν εἰς τὸ ἐμὸν στρατόπεδον ἀφίκοιο, ἵνα τῆς ἡμετέρας θέας ἀπολαῦσαι δυνηθείης· θαυμάζομεν δὲ σφόδρα, μὴ παραχρῆμα τοῦτο πεποιηκότα. Διόπερ νῦν ἐπιβὰς ὀχήματος δημοσίου, εἰς τὸ ἡμέτερον στρατόπεδον ἀφικέσθαι ἐπείχθητι, ὅπως ἂν τῆς παρ' ἡμῶν εὐνοίας τε καὶ ἐπιμελείας τυχὼν, ἐπὶ τὴν πατρίδα ἀφικέσθαι δυνηθῇς. Ὁ Θεός σε διαφυλάττοι, ἀγαπητέ. Ἐδόθη τῇ πρὸ πέντε Καλανδῶν Δεκεμβρίων. » Ἡ μὲν οὖν ἐπιστολὴ τοῦ βασιλέως αὕτη· ἐμοὶ δ' ἔπεισι θαυμάζειν τὸν περὶ τὴν εὐσέβειαν τοῦ βασιλέως ζῆλον· δοκεῖ γὰρ ἐξ ὧν γράφει, ὡς πολλάκις αὐτὸν μετανοεῖν προετρέπετο· καὶ ἐν μέμψει ποιεῖται οἷς πολλάκις γράψαντος οὐκ ἐπανῆλθεν ἐπὶ τὸ ἀληθές. Ἐκεῖνος δ' οὖν τὰ γράμματα δεξάμενος, σύναμα Εὐζωΐῳ τὴν Κωνσταντίνου κατέλαβεν. Ὁ δὲ Εὐζώϊος διάκονος ἦν, ὑπὸ Ἀλεξάνδρου καθαιρεθεὶς καὶ αὐτὸς, ἡνίκα τοὺς περὶ Ἄρειον καθεῖλεν. Ὁ δὲ βασιλεὺς εἰς πρόσωπον τούτους δεξάμενος, εἰ τῇ πίστει συντίθενται, διηρώτα· τῶν δὲ συνθεμένων, γραφὴν ἐκέλευε παρασχεῖν, ἃ δοξάζοιεν διεξιοῦσαν περὶ Θεοῦ. Οἱ δὲ τὴν προτέραν ἐκκλίναντες ὁδὸν ὧν εὑρεταὶ νοημάτων ἦσαν, ἁπλοῖς τισι καὶ ἐγνωσμένοις ῥήμασι τῆς Θεοπνεύστου Γραφῆς ἔκθεσιν

A toris sorori, quam Licinius in matrimonio habuerat, familiaris erat, et amicus. Is ex familiaribus colloquiis, cum multa apud eum uteretur sermonum libertate, illata aliquando Eusebii mentione, de Ario quoque verba aspersit, minus recte de eo statutum esse dicens: per invidiam quippe et æmulationem Alexandri damnatum, simul et a patria exsulem, et ab ecclesia extorrem, in miseria vivere, seque indigna pati, neque ea esse, qua plerique credant, opinione. Hæc vera esse Constantia arbitrata, apud seipsam celavit. Nihil enim novare audebat, confirmatum esse sciens, stabilemque in synodi decretis imperatorem. Et quandiu superstes fuit, tectam tacitamque opinionem eam habuit. At ubi gravi est oppressa morbo, B a fratre frequenter eam visente, supremam hanc petiit gratiam, ut presbyterum, de cujus eximia pietate testificabatur, familiarem haberet: recte eum sentire, sinceramque ei benevolentiam conservaturum esse: se quidem jam decedere: ei vero, ne quid pateretur, admodum metuere affirmans, quod a nonnullis persuasus, viros graves perpetuo multasset exsilio. Atque illa his dictis, fatis concessit. Presbyter vero libertate inde sumpta, paulatim eosdem apud imperatorem movebat de Ario sermones, quos ad sororem quoque ejus dudum retulerat: nihil scilicet contra synodi decreta Arium sentire: venientem eum, si ipse jubeat, vera hæc esse; et quod præter rationem sycophan- C tia circumventus sit, in faciem ostensurum. Imperator, sive sorori gratificans, seu presbyteri dictis credens: « Si Arius, inquit, recipit, fidemque facit, se cum synodo sentire, accipio hominem, cum honore omni Alexandriam eum remissurus. » Ad hæc verba litteras quoque ejusmodi ad illum addidit: « Victor Constantinus Maximus Augustus Ario. Jampridem firmitati tuæ, ut in aulam nostram venires, et conspectu nostro fruerere, **644** significatum est. Quod te illico non fecisse, valde miramur. Itaque (1) publico vehiculo conscenso, ad aulam nostram venire propera, ut benevolentia curaque nostra adjutus, in patriam redire queas. Deus te servet, dilecte. Datæ v Kalend. Decemb. » Hæc imperatoris est epistola. Mihi autem admirari D in mentem venit ipsius de vera pietate ardorem et æmulationem. Apparet enim ex iis quæ scribit, sæpius illum ab eo ad pœnitentiam excitatum esse. Quapropter eum reprehendit, qui multoties litteris admonitus, ad veritatem non redierit. Ille igitur litteris eis acceptis, cum Euzoio Constantinopolim venit. Erat autem Euzoius diaconus, et ipse ab Alexandro exauctoratus, cum Ario presbyteri dignitas adempta est. Imperator in conspectum suum admissos, an fidei promulgatæ assentirentur, rogavit: atque illis id asseverantibus, libellum eos offerre jussit, qui eorum de Deo sententiam complecteretur. Tum illi declinata priore via, quam

(1) Socrat. lib. I, cap. 25.

sententiis quibusdam inv●iendis inierant, simplicibus aliis notisque divinitus inspiratæ Scripturæ verbis novam formulam et expositionem texuere: jurejurando confirmantes, ita se ex animo credere et sentire, neque aliter unquam sensisse. Scriptum id hisce verbis conceptum fuerat: « Piissimo (1) ac amantissimo domino nostro imperatori Constantino Arius et Euzoius. Sicuti Deo grata pietas tua, imperator domine, præcepit, ita in scripto exponimus fidei nostræ professionem. Et coram Deo testamur, sic nos omnesque qui nobiscum sunt, quemadmodum subjecimus, credere. Credimus in unum Deum Patrem omnipotentem; et in Dominum Jesum Christum Filium ejus, ex eo ante omnia sæcula genitum, Deum Verbum, per quem omnia facta sunt, quæ vel in cœlo, vel in terra sunt, qui venit, et carnem assumpsit, qui passus est et resurrexit; qui ascendit in cœlos, et rursum veniet judicaturus vivos et mortuos; et in Spiritum sanctum, et in carnis resurrectionem, et in vitam venturi sæculi, et in regnum cœlorum: et in unam Ecclesiam catholicam Dei, quæ a finibus ad fines mundi est. Hanc vero fidei persuasionem ex sanctis Evangeliis accepimus, dicente Domino discipulis suis: *Euntes docete omnes gentes, baptizantes eos in nomen Patris, et Filii, et Spiritus sancti* [1]. **645** Quod si non ita credimus, et vere recipimus Patrem, et Filium, et Spiritum sanctum, sicuti cuncta catholica Ecclesia, et sanctæ Scripturæ docent, pro eo atque omnino persuasum habemus, judex noster erit Deus, et nunc et in venturo illo die. Itaque pietatem tuam, Deo dilectissime imperator noster, cohortamur, ut nos, qui ecclesiastici sumus, fidemque et sententiam Ecclesiæ et sacrarum Scripturarum obtinemus, per pacificam et divinam pietatem tuam, matri, videlicet Ecclesiæ, unias atque conjungas, quæstionibus, et quæ ex quæstionibus oriuntur superfluis, et ad rem non pertinentibus verbis accisis: ut et nos et Ecclesia per pacificationem inter nos conciliati, solitas preces pro pacifico et pio imperio, totaque familia tua communiter omnes peragamus. » Hoc scriptum nonnulli insidiose compositum dicebant. Illos namque verbis quidem Ecclesiæ conciliari, nihilominus tamen prioribus opinionibus suis inhærere, verborum ipsorum significatione id satis declarante, ambigue in utramque partem inclinantium, et ad ancipitem sensum vergentium. Imperator autem existimans eos Nicænis decretis assentire, supra modum lætitia efferebatur. Verumtamen ante legitimam, pro recepto more, explorationem atque inquisitionem eorum qui summam rei ecclesiasticæ tenebant, sibi hoc non sumpsit, ut illos ad communionem admitteret: sed ipsos qui tum Hierosolymis convenerant, episcopos misit, quibus significavit, ut novam illo-

A ἑτέραν ὑφάναντες, ὅρκῳ διεβεβαίουν, ἦ μὴν ὧδε πιστεύειν καὶ κατὰ νοῦν ταῦτα φρονεῖν, καὶ μηδὲν ἑτερόν ποτε ἐννοῆσαι. Τὸ δὲ γράμμα ὧδέ πως ἐπὶ λέξεως εἶχε· « Τῷ εὐσεβεστάτῳ καὶ θεοφιλεστάτῳ δεσπότῃ ἡμῶν βασιλεῖ Κωνσταντίνῳ Ἄρειος καὶ Εὐζώϊος. Καθὼς προσέταξεν ἡ θεοφιλής σου εὐσέβεια, δέσποτα βασιλεῦ, ἐκτιθέμεθα τὴν ἑαυτῶν πίστιν ἐγγράφως. Ὁμολογοῦμεν ἐπὶ Θεοῦ οὕτω πιστεύειν καὶ αὐτοὶ καὶ πάντες οἱ σὺν ἡμῖν, ὡς ὑποτέτακται. Πιστεύομεν εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα· καὶ εἰς Κύριον Ἰησοῦν Χριστὸν τὸν Υἱὸν αὐτοῦ, τὸν ἐξ αὐτοῦ πρὸ πάντων τῶν αἰώνων γεγενημένον Θεὸν Λόγον, δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ἐν οὐρανῷ καὶ τὰ ἐπὶ τῆς γῆς· τὸν ἐλθόντα καὶ σάρκα
B ἀναλαβόντα, καὶ παθόντα, καὶ ἀναστάντα, καὶ ἀνελθόντα εἰς τοὺς οὐρανούς· καὶ πάλιν ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς· καὶ εἰς ἅγιον Πνεῦμα· καὶ εἰς σαρκὸς ἀνάστασιν· καὶ εἰς ζωὴν τοῦ μέλλοντος αἰῶνος· καὶ εἰς βασιλείαν οὐρανῶν· καὶ εἰς μίαν Ἐκκλησίαν καθολικὴν τοῦ Θεοῦ, τὴν ἀπὸ περάτων ἕως περάτων. Ταύτην δὲ τὴν πίστιν παρειλήφαμεν ἐκ τῶν ἁγίων Εὐαγγελίων, λέγοντος τοῦ Κυρίου τοῖς ἑαυτοῦ μαθηταῖς· *Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος.* Εἰ δὲ μὴ ταῦτα οὕτω πιστεύομεν, καὶ ἀποδεχόμεθα ἀληθῶς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, ὡς πᾶσα ἡ καθολικὴ Ἐκκλησία καὶ ἅγιαι Γραφαὶ διδάσκουσιν, ὡς κατὰ πάντα πιστεύο-
C μεν, κριτὴς ἡμῶν ἔσται ὁ Θεὸς καὶ νῦν καὶ ἐν τῇ μελλούσῃ ἡμέρᾳ. Διὸ παρακαλοῦμεν σοῦ τὴν εὐσέβειαν, θεοφιλέστατε ἡμῶν βασιλεῦ, ἐκκλησιαστικοὺς ἡμᾶς ὄντας, καὶ τὴν πίστιν καὶ τὸ φρόνημα τῆς Ἐκκλησίας καὶ τῶν ἁγίων Γραφῶν ἔχοντας, ἑνοῦσθαι ἡμᾶς διὰ τῆς εἰρηνοποιοῦ σου καὶ θεοσεβοῦς εὐσεβείας τῇ μητρὶ ἡμῶν, τῇ Ἐκκλησίᾳ δηλαδὴ, περιῃρημένων τῶν ζητημάτων, καὶ τῶν ἐκ τῶν ζητημάτων περισσολογιῶν· ἵνα καὶ ἡμεῖς καὶ ἡ Ἐκκλησία μετ' ἀλλήλων εἰρηνεύοντες τὰς συνήθεις εὐχὰς ὑπὲρ τῆς εἰρηνικῆς σου καὶ εὐσεβοῦς βασιλείας καὶ παντὸς τοῦ γένους σου κοινῇ πάντες ποιώμεθα. » Τὴν μὲν οὖν γραφὴν ταύτην τινὲς δολίως συγκεῖσθαι ἔλεγον· καὶ διαλλάσσειν μὲν τοῖς ῥητοῖς,
D συμφέρεσθαι δ' ὅμως τοῖς πρότερον ἐκείνῳ δόξασι, κατὰ τὴν τῶν ὀνομάτων σημασίαν· ἅτε δῆτ' ἐπαμφοτεριζόντων, καὶ πρὸς ἑκατέραν νευόντων διάνοιαν. Ὁ δὲ βασιλεὺς λογισάμενος ἐπίσης αὐτοῖς τοῖς κατὰ Νίκαιαν δεδογμένοις στοιχεῖν, ὑπερφυῶς ἥδετο. Οὐ μὴν γε πρὸ τῆς νομίμου δοκιμασίας τῶν κυρίων τῆς Ἐκκλησίας κατὰ τὸ ἐπικρατῆσαν ἔθος ἑαυτῷ ἐπέτρεπε τὴν τῆς κοινωνίας παραδοχήν· πέμψας δὲ αὐτοὺς πρὸς τοὺς τηνικάδε εἰς Ἱεροσόλυμα ἠθροισμένους ἐπισκόπους, ὥστε τὴν ἐκείνων νέαν ἔκθεσιν τηρηθῆναι, ἐδήλου· καὶ φιλάνθρωπον δὲ κατιδεῖν ἐκέλευεν, εἴτε ὀρθῶς δοξάζοντες φθόνῳ τὴν ἐπιβουλὴν ἔσχον, εἴτε οὐ καλῶς φρονοῦντες τοῖς

[1] Matth. XXVIII, 19.

(1) Determinatio concilii 7, cap. 17.

ἤδη κεκριμένοις μετεμελήθησαν. Οἱ δὲ περὶ Εὐσέβιον ἕρμαιον τὸν καιρὸν λαβόντες τῇ προφάσει τῶν βασιλικῶν γραμμάτων, καὶ μήπω τῆς συνόδου γεγενημένης, κοινωνοὺς εἵλοντο. Καὶ τοῦτο δράσαντες, βασιλεῖ τε ἐδήλουν τὰ πεπραγμένα, καὶ τῇ Ἀλεξανδρέων Ἐκκλησίᾳ, Αἰγύπτῳ τε καὶ Λιβύῃ πάσῃ, καὶ τοῖς ἐν αὐτῇ ἐπισκόποις καὶ κληρικοῖς ἔγραφον, ἀσμένως αὐτοὺς δέξασθαι, ὡς καὶ βασιλέως αὐτοῦ μαρτυροῦντος, εὐσεβῆ τὴν ἐκείνων εἶναι πίστιν· ἣν δὴ πίστεως ἔκθεσιν καὶ τῇ ἐκείνων ἐπιστολῇ ἔθεντο, τῇ βασιλικῇ κρίσει καὶ τῆς συνόδου τὴν ψῆφον ἐπαγαγούσης.

ΚΕΦΑΛ. ΜΗ'.

Ὡς Ἀθανάσιος τὸν Ἄρειον μὴ δεξάμενος, κατηγορίας ὑπέστη παρὰ Ἀρειανῶν καὶ Μελιτιανῶν. Καὶ περὶ τῆς Ἀρσενίου περιβοήτου χειρός.

Καὶ ὁ μὲν Ἄρειος οὕτως ἧκεν εἰς Ἀλεξάνδρειαν· ἀλλ' ἡ τοῦ ψεύδους κατασκευὴ ἥττων τῆς ἀληθείας ἦν. Ὁ γὰρ ἱερὸς Ἀθανάσιος τοσοῦτον αὐτὸν προσήκατο, ὥστε καὶ ὡς ἄγος αὐτὸν ἐξετρέπετο. Ἄρειος δ' ἐπιμένων πάλιν ἀνεκίνει τὴν αἵρεσιν. Οἱ δὲ περὶ Εὐσέβιον καὶ αὐτοὶ ἔγραφον, καὶ τὸν βασιλέα γράφειν ἔπειθον, ὡς ἂν οἰκονομήσῃ εἰσδεχθῆναι τὸν Ἄρειον. Ἀθανάσιος δὲ παντάπασιν ἀπηγόρευε· καὶ βασιλεῖ δ' ἔπεμπε διδάσκων, ὡς ἐν ἀδυνάτοις ἐστὶ προσίεσθαι οὓς σύνοδος τοσαύτη ὑπὸ ἀνάθεμα ἔθετο, τὴν εὐσεβῆ πίστιν ἠθετηκότας, καὶ ταῦτα μηδ' εὐθεῖαν τὴν ἐπιστροφὴν ποιουμένους. Ὁ δὲ βασιλεὺς βαρέως ἔφερε· περὶ πλείστου γὰρ αὐτῷ ἡ τῆς Ἐκκλησίας ὁμόνοια ἐσπουδάζετο· καὶ Ἀθανασίῳ ἀντέγραφε μηδένα τῆς Ἐκκλησίας εἴργεσθαι· εἰ δ' οὐ πείθοιτο, ἀμελητὶ τὸν ἐκεῖθεν αὐτὸν ἀπελάσοντα πέμπειν. Ἐγὼ δὲ καὶ τὸ περὶ τούτου μέρος τῆς ἐπιστολῆς Κωνσταντίνου τῇ γραφῇ παρενθήσω, ὧδε διαγορεῦον· « Ἔχων τοίνυν τῆς ἐμῆς βουλήσεως τὸ γνώρισμα, πᾶσι τοῖς βουλομένοις εἰς τὴν Ἐκκλησίαν εἰσελθεῖν ἀκώλυτον παράσχου τὴν εἴσοδον. Ἐὰν γὰρ γνῶ ὡς κεκώλυκας αὐτῶν τινὰς τῆς Ἐκκλησίας, ἢ ἀπείρξας τῆς εἰσόδου, ἀποστελῶ παραχρῆμα τὸν καθαιρήσοντά σε ἐξ ἐμῆς κελεύσεως, καὶ τῶν τόπων μεταστήσοντα. » Τοιαῦτα μὲν ἔγραφε Κωνσταντῖνος, τοῦ λυσιτελοῦς προμηθούμενος, καὶ μὴ θέλων τὴν Ἐκκλησίαν διεῤῥηγμένην ὁρᾷν· Ἀθανάσιος δ' αὖθις, ὡς οὐ μεταδοτέον κοινωνίας τοῖς ἐξ Ἀρείου, γράφων ἐπέκειτο, καὶ τῆς Ἀλεξανδρέων ἐξήλαυνε. Καὶ δῆτα οἱ περὶ Εὐσέβιον συνιδόντες ὡς οὐ τῆς ἐφέσεως ἐπιτυχεῖς ἔσοιντο, εἰ μὴ ἐκποδὼν Ἀθανάσιος τῆς ἐπισκοπῆς γένοιτο, καὶ τὴν τοῦ βασιλέως κατ' ἐκείνου λύπην εἰς ὑπουργίαν ἐλάμβανον τοῦ σκοποῦ. Ἦσαν δ' οἳ κατὰ τοῦ ἁγίου συνίσταντο, Εὐσέβιος ὁ Νικομηδεὺς, Θέογνις ὁ Νικαίας, Μάρις ὁ Χαλκηδόνος, Οὐρσάκιος Σιγγιδόνος τῆς ἄνω Παννονίας, καὶ Οὐάλης Μουρσῶν τῆς Παννονίας. Πρόφασιν δ' ἱκανὴν μὴ ἔχοντες πρὸς τοσαύτην διαβολὴν, τῶν ἐκ Μελιτίου τι-

rum formulam expenderent: humaniter perspicere jubens, sive illi recte sentientes per invidiam circumventi insidias pertulerint, seu male opinantes per pœnitentiam in rebus judicatis tandem acquiescerent. Eusebiani porro commodum nacti tempus, imperialium litterarum prætextu, synodo nondum acta, ad communionem eos admisere. Atque hoc cum fecissent, imperatori rem eam insinuarunt: et Ecclesiæ Alexandrinæ, Ægypto, et Libyæ omni, episcopisque et cleris earum scripserunt, ut non gravate eos reciperent: quorum et imperator ipse piam fidem esse testaretur: cujus etiam fidei formulam epistolæ suæ adjunxerunt, imperiali judicio synodi calculum addentes.

646 CAPUT XLVIII.

Ut Athanasius, quod Arium non susceperit, accusationem sustinuerit ab Arianis et Melitianis: et de decantata Arsenii manu.

Hoc modo Arius Alexandriam venit. At enim mendacii molitio veritati succubuit (1). Tantum namque abest ut eum sacer admiserit Athanasius, ut etiam perinde atque piaculum aliquod sit aversatus. Arius ibi manens, hæresim rursus commovebat. Et Eusebiani Athanasio scripserunt, et imperatori quoque ut scriberet persuaserunt, ut ita ille rem, quo Arius reciperetur, moderans administraret. Id vero Athanasius facere omnino recusavit, et ad ipsum imperatorem litteras dedit, fieri nullis modis posse, ut ii ad communionem admitterentur, quos tam frequens synodus, propter veræ pietatis fidem proculcatam, anathemate notasset: præcipue cum non legitime, pœnitentia ac conversione interveniente, resipuissent. Id imperator graviter tulit; maximo enim studio ad sarciendam Ecclesiæ concordiam incumbebat. Itaque Athanasio rescripsit, ne quem ab Ecclesia arceret. Ac si contemptim jussa sua acciperet, missurum se eo qui illum inde exigerent, est minatus. Qua de re particulam epistolæ Constantini adnectere scripturæ huic libet, quæ sic habet: « Cum igitur voluntatem meam perspectam habeas, omnibus quicunque intrare in Ecclesiam volent, liberum præbe ingressum. Si enim cognovero quemquam a te ab Ecclesia repulsum, aut ab introitu ejus prohibitum esse, præsto ibi confestim erit, qui a me missus, jussione mea exauctoratum te ex eis locis deportandum curet. » In hanc sententiam Constantinus scripsit, utilitatem publicam in consilio habens, et Ecclesiam scissam videre nolens. Athanasius autem cum imperatori denuo scripsisset, non esse participandam cum Arianis communionem; rursum Ario imminens Alexandria eum expulit. Tum demum Eusebiani animadvertentes, se voti sui impotes fore, nisi episcopatu Athanasius detrusus esset; exacerbatum imperatoris adversus illum animum, in occasionem consilii desideriique sui perficiendi

(1) Οὐ μέντοι γε κρείσσων ἡ κατασκευὴ τῆς σιωπωμένης ἀληθείας ἐγένετο. (Socrates, lib. I, cap. 27.)

arripuerunt. Erant autem qui contra sanctum virum conspiraverant : Eusebius Nicomediæ, Theognis Nicææ, Maris Chalcedonis, Ursicius Singidonis, Pannoniæ superioris, et Valens Mursorum, Pannoniæ episcopi. **647** Cum vero non satis occasionis haberent ad tantam calumniam, ex Melitianis quosdam accusatores ejus pecunia clam conductos subornarunt. Ac primam apud im eratorem, Essione (1), Eudæmone, et Callinico, Melitianis episcopis calumniantibus, illam accusationem sustinuit, quod Ægypto lineam vestem Alexandrinæ Ecclesiæ pendendam imperasset, et tributum exegisset. Quam sane calumniam apud imperatorem, cum eum forte fortuna (2) aliam ob causam Nicomediæ convenissent, Alypius et Macarius presbyteri falsam esse coarguerunt. Imperator ergo delatores litteris perstrinxit, Athanasium autem ad se evocavit. Nondum autem ad Constantinum venerat, cum ei Eusebiani aliud crimen intendere: insidias eum clam principi tendentem, Philumeno cuidam arcam auro refertam misisse. Quam rem ubi imperator meram itidem esse sycophantiam manifesto deprehendit, in Psammathia, quod ex suburbiis Nicomediæ unum est, tum agens, cum ingenti honore Athanasium Alexandriam remisit : litteris datis, quibus omnia quæ in hominem dicta fuerant, ementita esse ostendebat : et insuper testificabatur, perhumanum eum ac recte credentem planeque divinum esse virum, qui propter invidiam crimen sustinuerit, et superior tamen accusatoribus evaserit. Cohortabatur quoque multitudinem, ne dissideret, sed modis omnibus concordiam consectaretur, et Deum suspiceret. Atque ille quidem talia scribendo, pacem conciliare studebat. Melitiani autem et Ariani crimina alia adversus Athanasium instituerunt. Quorum unum erat, mysticum eum comminuisse poculum, sacram mensam evertisse, et divinos quosdam libros combussisse ; alterum vero, Arsenii cujusdam Melitianorum hæresis episcopi, quam ei amputaverit, manum secum habere, per quam prodigia ederet (3). Arsenium porro apud presbyterum quemdam Patrinem nomine in monasterio quodam cum cura et diligentia occultantes, humanitate benignitateque omni fovebant, ut tectus ibi maneret, neutiquam in publicum prodiret. Res Arsenii hujus Joannes etiam monachus criminator adornavit (4). Et auctores rei istius technis insidiisque talibus structis, ubique obambulabant, sermones serentes, et Athanasium traducentes. **648** Vehementius vero in eum inimici ejus invehebantur : et Ischyras ille maxime, qui in Mareote colebat, quæ regio Alexandriæ est : plures frequentesque

(1) Al. *Eufionem* habent.

(2) Τότε τυχηρῶς ἐν Νικομηδείᾳ τυγχάνοντες. (Socrat. ut supra.)

(3) Πρὸς μαγείας τινάς. Socrat. hoc est, *magiæ gratia*

(4) Παρεσκεύαστο δὲ πρὸς τοιαύτην κατηγορίαν καὶ Ἰωάννης μοναχός τις ὁ γραφόμενος. Sozom. lib. II, cap. 23. Hoc est, *Institutus vero ad ejusce modi quoque criminationem est Joannes monachus quidam accusator*. Arsenium nunc Eusebius lib. X, dicit aliquando Athanasii lectorem fuisse, et ob noxam quamdam castigationem veritum profugisse, et latuisse.

A νὰς χρήμασι κλέψαντες, κατηγορεῖν παρεσκεύασαν· Καὶ πρώτην ὑπομένει γραφὴν ἐς βασιλέα διὰ Ἐσσίωνος καὶ Εὐδαίμονος καὶ Καλλινίκου Μελιτιανῶν ἐπισκόπων, ὡς λινῆν ἐσθῆτα τὴν Αἴγυπτον τῇ Ἀλεξανδρέων Ἐκκλησίᾳ τελεῖν κελεύσοι· καὶ τὸν δασμὸν εἰσεπράξατο· ἣν δῆτα διαβολὴν ἐκ τοῦ παρήκοντος κατὰ Νικομήδειαν βασιλεῖ ἐντυχόντες Ἀλύπιος καὶ Μακάριος οἱ πρεσβύτεροι, ὡς ψευδὴς εἴη, διήλεγξαν. Καὶ τῶν μὲν κατειπόντων βασιλεὺς καθήψατο γράμμασιν· Ἀθανάσιον δὲ πρὸς ἑαυτὸν μετεστείλατο. Οὔπω δ' ἀφιγμένος, ἑτέραν ὑπέστη κατηγορίαν, τῶν περὶ Εὐσέβιον κατειπόντων, ὡς τῷ κρατοῦντι λάθρα ἐπιβουλεύων, Φιλουμένῳ τινὶ λάρνακα πέμψοι πλήρη χρυσοῦ. Ἐπεὶ δ' ἐφώρασε καὶ ταύτην γυμνὴν εἶναι συκοφαντίαν ὁ βασιλεὺς, ἐν Ψαμμαθίᾳ διατρίβων τῷ B τότε· Νικομηδείας δὲ τοῦτο προάστειον· μετὰ πλείστης τιμῆς Ἀθανάσιον ἐπὶ τὴν Ἀλεξάνδρου ἀνέπεμπε, γράψας ὡς ψευδῆ εὕροι πάντα τὰ κατ' αὐτοῦ εἰρημένα, πολλήν τε ἐπιείκειαν αὐτῷ καὶ πίστιν ὀρθὴν μαρτυρῶν, θεῖόν τε εἶναι ἄνδρα, φθόνου τε χάριν τὴν γραφὴν ὑποστῆναι· ἔνθεν τοι καὶ κρείττων ὀφθῆναι τῶν ἐγκλημάτων. Παρεκάλει δὲ καὶ τὸ πλῆθος μὴ διίστασθαι· σθένει δὲ παντὶ τὴν ὁμόνοιαν μεταδιώκειν, καὶ πρὸς Θεὸν ἀφορᾷν. Κἀκεῖνος μὲν ὧδε γράφων, πρὸς εἰρήνην ἕλκειν ἐσπούδαζεν· οἱ δὲ τὰ Μελιτίου καὶ Ἀρείου φρονοῦντες ἑτέρας κατὰ Ἀθανασίου ὕφαινον κατηγορίας. Τούτων δ' ἦν μία, ὡς ποτήριον συντρίψειε μυστικὸν, καὶ τὴν ἱερὰν ἀνέτρεψε τράπεζαν, καί τινα θεῖα βιβλία κατ- C έκαυσε· δεύτερον δὲ, ὡς Ἀρσενίου τινὸς χεῖρα κόψας, ἐπίσκοπος δ' ἦν ἐκεῖνος τῆς τῶν Μελιτιανῶν αἱρέσεως, ἔχοι παρ' ἑαυτῷ· δι' ἧς τερατείας ἐργάζοιτο. Καὶ τὸν μὲν Ἀρσένιον ἐπιμελῶς κρύψαντες παρά τινι πρεσβυτέρῳ μοναστηρίου τινὸς Πατρίνῃ τὴν κλῆσιν, πᾶσαν εὔνοιαν καὶ φιλοφροσύνην ἐπεδείκνυντο ἡσυχῇ μένειν καὶ μηδαμῶς φαίνεσθαι· τὰ δὲ κατὰ Ἀρσένιον καὶ Ἰωάννης μοναχὸς ὁ γραφόμενος συνεσκεύαζε. Καὶ οἱ μὲν αὐθένται τῆς πράξεως τοιαῦτα σκευασάμενοι, ἁπανταχοῦ περιῄεσαν, λογοποιοῦντες καὶ διασύροντες Ἀθανάσιον· ἐπέκειντο δ' οἱ μᾶλλον ἀπεχθῶς εἶχον· καὶ Ἰσχύρας ἐκεῖνος μάλιστα, ὁ ἐν τῷ Μαρεώτῃ τὰς διατριβὰς ἔχων· χώρα δὲ τῆς Ἀλεξανδρείας ὁ Μαρεώτης, ᾧ παμπληθεῖς εἰσι κῶμαι, ἐν αἷς ἐκκλησίαι τέ εἰσι D πολλαὶ καὶ μεγάλαι τῷ ἐπισκόπῳ ὑποκείμεναι Ἀλεξανδρείας, καὶ τῇ ἐκείνου πόλει ὡς παροικίαι λογίζονται· ἐν ἐκείνῳ τοίνυν Ἰσχύρας ὢν, οἴκοθεν αὐτόματος ἱερεὺς ἀνεδείκνυτο, ἔργον τιμωρίας ἐπέκεινα. Καὶ φωραθεὶς Ἀθανασίῳ, ἐπεὶ πρὸς ἐξέτασιν ἔκειτο, φυγὰς ἐκεῖθεν γενόμενος, συμβάλλει τοῖς περὶ Εὐσέβιον κατὰ Νικομήδειαν. Οἱ δὲ τῷ πρὸς Ἀθανάσιον μίσει οἷα δὴ πρεσβύτερον δέχονται· ὑπεσχημένοι δ' ἐπισκοπῆς ἄξια τιμῆσαι, εἰ κατηγορίαν Ἀθανασίῳ

συῤῥάψοι, τὰ εἰρημένα εὐχερῶς ἐσκαιώρησε. Βασιλεὺς δὲ ταῦτα ἐνωτισθεὶς, τῷ Κήνσορι Δαλματίῳ ἀδελφιδῷ γε ὄντι καὶ τὰ κατ' Ἀντιόχειαν τῆς Συρίας διέποντι, γράφει δικάσαι ἐπὶ τοῖς εἰρημένοις, καὶ τὴν δίκην ἀξίαν εἰσπράξασθαι. Ἔπεμπε δὲ καὶ Εὐσέβιον καὶ Θέογνιν, ὡς ἂν μετ' αὐτῶν ἡ κρίσις γένοιτο τῷ Ἀθανασίῳ. Ὡς δ' ἔγνω καλούμενος ὑπὸ Κήνσορος, συνιδὼν ὡς χαλεπόν ἐστιν ἀπολογήσασθαι παρὰ δικασταῖς οὐκ εὐγνώμοσιν, ἀντεστρατήγει ταῖς ἐκείνων μεθόδοις· καὶ πάντα τρόπον ἔπειθε μὴ τἀληθὲς διαφεύγειν. Ἐργῶδες δ' ὂν πάντας πείθειν Ἀρσενίου μὴ φαινομένου, λογισάμενος ὡς οὐκ ἄλλως ἑαυτὸν καθάροι, εἰ μὴ ζῆν ἀπελέγξοι τὸν τεθνάναι λεγόμενον, τῶν τινα οἰκείων διάκονον τὴν εἰς Αἴγυπτον ἔπεμπεν ἀναζητῆσαι Ἀρσένιον. Καὶ ἐπεὶ ἐς Θηβαΐδα ἐγένετο, ἔγνω ὅπου διῆγε, πρὸς Πατρίνην, παρ' ᾧ καὶ ἐκρύπτετο. Καὶ αὐτὸν μὲν οὐχ εὗρε· τὴν γὰρ τοῦ διακόνου μαθόντες ἄφιξιν, εἰς τὴν κάτω διέβαινον Αἴγυπτον· τὸν δὲ Πατρίνην λαβὼν, ἅμα δὲ καὶ Ἡλίαν ὃς ἑτέρωσε τοῦτον μετέστησεν, εἰς Ἀλεξάνδρειαν ἤγαγεν· οἳ καὶ ἄμφω παραστάντες τῷ ἄρχοντι, ὡμολόγουν ἐν ζῶσιν εἶναι Ἀρσένιον· ὃν παρ' αὐτοῖς κρυπτόμενον νῦν Αἴγυπτος ἔχει. Δῆλα δὲ καὶ βασιλεῖ ἐποίουν τὰ εἰρημένα. Ὁ δὲ γράφων Ἀθανασίῳ, ἔχεσθαι τῆς ἱερωσύνης ἐπιμελῶς ἔπειθε, καὶ τὰς τῶν Μελιτιανῶν μὴ δεδιέναι συκοφαντίας· καὶ δίκην δ' εἰσπράξασθαι τὴν ἀξίαν τοὺς τὰ τοιαῦτα τολμῶντας κατηγγυᾶτο, καὶ ἡσυχάζειν μὴ αἱρουμένους, ἀλλὰ θορύβους ἀνακινοῦντας τῇ Ἐκκλησίᾳ, ὑπὸ δικάζουσι νόμοις διδόναι· ὡς μὴ μόνον τοῖς ἀθώοις φθόνον καὶ ἐπιβουλὴν ῥάπτοντας, ἀλλὰ καὶ τῷ καλῷ τῆς εὐταξίας καὶ τῆς εὐσεβείας λυμαινομένους. Ταῦτα γράψας Ἀθανασίῳ, ἐπὶ κοινοῦ τὴν ἐπιστολὴν ἀναγνωσθῆναι προσέταττε. Περιδεεῖς δὲ οἱ ἐκ Μελιτίου γενόμενοι, τουλοιποῦ ἅτε δὴ τὴν τοῦ κρατοῦντος ὑφορώμενοι ἀπειλὴν, ἠρέμα εἶχον. Καὶ ἡ κατ' Αἴγυπτον Ἐκκλησία ἐν εἰρήνῃ ἐτέλει ὑπὸ τοσούτου ἱερέως ἰθυνομένη. Ἐπεδίδου δὲ καθ' ἑκάστην καὶ πολυπλασίων ἐγίνετο, πολλῶν καὶ τῶν ἐκ τῆς Ἑλληνικῆς θρησκείας τῇ πίστει προστιθεμένων, καὶ ἄρδην ἐθνῶν ὅλων, τὴν κατὰ Χριστὸν πίστιν μετερχομένων.

habens vicos, in quibus multæ et magnæ sunt ecclesiæ episcopo Alexandriæ subjectæ, cujus urbis censentur esse parœciæ seu viciniæ. Ibi agens Ischyras, sua sponte et ex sese natus domo prodierat sacerdos: quod quidem facinus pœnam omnem longe supergreditur. Qua in re ab Athanasio deprehensus, cum in eum inquireretur, fuga sibi consulens, Eusebianis Nicomediæ est junctus. Atque illi, pro eo quo adversus Athanasium ardebant odio, veluti presbyterum susceperunt, episcopali se eum dignitate ornaturos polliciti, si accusationem Athanasio intenderet. Ille sane ea quæ dicta erant, facile instituit. Imperator porro his verbis auditis, Censori (1) Dalmatio fratris filio res Antiochenas in Syria administranti scribit, ut de eis rebus judicet, justasque exigat pœnas. Mittit quoque ad eum Eusebium et Theognidem, ut eis assessoribus judicium de Athanasio perageretur. Quod ubi Athanasius ex Censore, qui eum evocaverat, cognovit, secum ipse perpendens quam arduum sit causam dicere apud minus benevolos et æquos judices: illorum artibus adversus eos concertat, et modis omnibus veritatem minime oppressum iri sperat. Et quia difficile ei videbatur, rem omnibus probare, Arsenio non comparente: et ipse secum reputabat, non aliter se innocentiam suam declaraturum esse, nisi vivere eum ostenderet, quem ipsi mortuum esse asserebant, ex familiaribus quemdam diaconum in Ægyptum mittit, qui Arsenium quærat. Ille, postquam Thebaidem pervenit, ubi ageret cognovit: apud Patrinem scilicet, qui eum occultabat. Atque ipsum quidem ibi non invenit: adventu enim diaconi cognito, in inferiorem transierat Ægyptum: Patrinem autem, et simul Eliam, qui illum alio traduxerant, assumptum, Alexandriam adduxit. Qui ambo apud præsidem vivere Arsenium confessi sunt, qui ab ipsis antea occultatus, eo tempore in Ægypto esset. Hæc ad imperatorem quoque sunt relata. Is Athanasio scribit, suadens, ut cum cura episcopatum retineret atque administraret, Melitianorum delationes non metueret. Et præterea dignas pœnas legibus persoluturos esse recepit, qui tam gravia auderent, et quiescere quidem nollent, tumultus vero in Ecclesia concitarent: **649** eos scilicet homines, qui non modo bonis atque innocentibus per invidiam insidias struerent, verum etiam ordini veræque pietati detrimento essent. Hæc cum ad Athanasium scripsisset, publice is epistolam recitari jussit. Melitiani in metum conjecti (2), deinceps minas imperatoris verentes, conquieverunt. Et ecclesia in Ægypto pacata est, quæ a tanto pontifice administraretur. In dies quoque ea augebatur, frequentiorque fiebat: quod multi ex superstitione etiam Græcorum ad fidem accederent, et populi toti ad Christianismum aggregarentur.

ΚΕΦΑΛ. ΜΘ'.

Περὶ τῆς ἐν Τύρῳ κατὰ Ἀθανασίου γενομένης συνόδου· καὶ ὡς τὰς αὐτοῦ κατηγορίας ψευδεῖς ἀπήλεγξεν Ἀθανάσιος.

Οὐ μετ' οὐ πολὺ δὲ αἱ τῶν ἐναντίων ἐπιβουλαὶ Ἀθανασίῳ πράγματα παρεῖχον, καὶ μῖσος παρὰ βα-

CAPUT XLIX.

De synodo Tyri contra Athanasium coacta, et ut accusationes contra ipsum institutas falsas esse Athanasius arguerit.

Non longe deinde post, adversariorum technæ rursum Athanasio negotium exhibuere, odiumque

(1) Legendum puto *Cæsari*, ex Eutropio, qui de Constantino scribit: *Tricennalibus suis Dalmatium fratris sui filium Cæsarem legit.* In catalogo consulum Romanorum, 25 imperii Constantini consul reperitur Dalmatius Cæsar.

(2) Τέως, Sozom. ut supra, hoc est, *tum.*

apud imperatorem creavere. Nam accusatorum turba coiit. A quibus vix tandem imperator permotus, synodum Cæsareæ Palæstinæ cogi jussit. Quo evocatus Athanasius, ad menses triginta adventum suum distulit, ejus qui ibi sacris præsidebat Eusebii Pamphili, et cognominis et Nicomediensis, factionisque eorum dolum suspectum habens. Atque eo quidem venire supersedit : postea vero acriore ei adhibita vi, Tyrum venit. Imperator namque ad dedicandum Hierosolymis templum, quod ipse construxerat, synodum cong egari jusserat : quo, ut spectaculo essent, Eusebius, et qui factionis ejus erant, cum multo et regio apparatu ibant. Eam synodum imperator ex itinere Tyrum divertentem, prius Athanasii causam discutere jussit : ut jurgiis nugisque omnibus e medio sublatis, paratioribus animis templo Deo consecrando, mystica sacra perficerent (1). Tum autem tricesimus imperii Constantini agebatur annus. **650** Et aderant ex episcopis Orientalibus sexaginta numero, quos Dionysius exconsularis coegerat. Eo ferreis catenis vinctus ex Alexandria Macarius presbyter, militari eum ducente manu, venit. Athanasius autem citatus, primum quidem moras nectebat, non tam criminationes timens, quam ne quid de fide aliter quam in Nicæna synodo decretum fuerat, novaretur cavens. Veritus tamen imperatoris litteras, quæ, nisi sua sponte veniret, invitum eum vi eo abductum iri minabantur, Tyrum venit. Dei autem providentia quædam, qui mortuus dicebatur, vivum Arsenium eo quoque ire impulit. Non enim rationem habuit vel acceptæ a sycophantis pecuniæ, vel eorumdem de occultatione mandati, quin Tyrum ipse quoque clam veniret, quemnam tandem finem res habituræ essent, cogniturus. Porro Archelai consularis ministri in caupona quadam vino et ebrietati vacantes, cum ex quodam, eum qui interfectus esse dictus fuerat, Arsenium adesse, et in quadam domo latitare audissent, rem hero renuntiarunt : qui eam statim inquisitam atque compertam pressit, certamque reddidit, et Athanasium secreto per internuntium fidelem, bono animo esse jussit, quod vivens scilicet Arsenius adesset. Atque ille præsens, cum jam in potestate eorum esset (2), eum se esse pernegabat. Paulus autem Tyri episcopus, qui hominem jamdudum noverat, ipsissimum eum esse profitebatur. Et providentia quidem rem eam disponens, sic est moderata. Athanasius vero postquam citatus apud synodum constitit (3), crimina sibi objecta partim diluit, partim ut de eis amplius dispiceret, dilationem petiit (valde namque difficilis et impedita ei res erat, qui accusatores apud judices gratiosos esse, testes multos ex Arianis et Melitianis, sententias illorum comprobantes, dispositos : et dela-

A σιλεῖ κατεσκεύαζον, καὶ πλῆθος κατηγόρων συνίστατο· ὑφ' ὧν μόλις ὁ βασιλεὺς κινηθεὶς, σύνοδον ἐν τῇ Παλαιστίνης ἐπέταττε Καισαρείᾳ συνάγεσθαι. Ἔνθα κληθεὶς Ἀθανάσιος, ἐπὶ λ' μῆνας τὴν ἄφιξιν ἀνεβάλετο, τοῦ ταύτῃ προεδρεύοντος Εὐσεβίου τοῦ Παμφίλου καὶ τοῦ ὁμωνύμου Νικομηδείας καὶ τῆς περὶ αὐτοὺς συμμορίας ὑπειδόμενος τὴν σκαιωρίαν. Ἐκεῖ μὲν οὖν ἐλθεῖν ἀνεβάλετο· ἐς ὕστερον δὲ σφοδρότερον βιασθεὶς, ἧκεν εἰς Τύρον. Ὁ γὰρ βασιλεὺς ἐπὶ τῇ καθιερώσει τοῦ ἐν Ἱεροσολύμοις νεὼ ὃν αὐτὸς ἀνήγειρε, σύνοδον ἀθροισθῆναι ἐκέλευσεν. Ἔνθα θέας χάριν Εὐσέβιός τε καὶ οἱ περὶ αὐτὸν μετὰ πολλῆς ἤγοντο καὶ βασιλικῆς τῆς πομπῆς. Ἣν δὴ σύνοδον ἐκέλευε βασιλεὺς ὁδοῦ πάρεργον εἰς Τύρον γενομένους, πρότερον τὰ κατὰ Ἀθανάσιον ἐξετάσαι, B ὡς ἂν ἐκποδὼν πάσης γενομένης ἐρεσχελίας εἰρηνικώτερον τὰ ἐπιβατήρια ἐκτελέσωσι τῷ νεῷ ἀφιεροῦντες αὐτὸν τῷ Θεῷ. Τηνικαῦτα δὲ τριακοστὸν ἔτος ἠνύετο τῇ ἀρχῇ Κωνσταντίνῳ τῷ βασιλεῖ. Καὶ παρῆσαν τῶν ἀνὰ τὴν ἕω ἐπισκόπων ἑξήκοντα τὸν ἀριθμὸν, τοῦ ἀπὸ ὑπατικῶν Διονυσίου τούτους ἀθροίσαντος. Καὶ σιδηροδέσμιος ἐκ τῆς Ἀλεξανδρείας ἤγετο Μακάριος ὁ πρεσβύτερος, στρατιωτικῆς ἀγούσης χειρός. Ἀθανάσιος δὲ κληθεὶς, πρῶτον μὲν ἀνεβάλετο, οὐ τοσοῦτον τὰς κατηγορίας, ὅσον μή τι καινοτομηθῇ παρὰ τὸ δόξαν τῇ κατὰ Νίκαιαν συνόδῳ, εὐλαβηθείς· δείσας δ' ὅμως τὰ βασιλέως γράμματα, γράφοντα, ὡς εἰ μὴ ἑκὼν ἀπαντήσει, ἄκων μετὰ βίας ἀχθήσεται, ἧκεν εἰς Τύρον. Θεοῦ δὲ ἄρα C τις πρόνοια καὶ τὸν λόγῳ νεκρὸν Ἀρσένιον ζῶντα εἰς Τύρον ἤλαυνεν. Ἐν δευτέρῳ γὰρ θέμενος ἃ πρὸς τῶν συκοφαντιῶν ἔσχε χρήματα, καὶ τὰς ἐκείνων τῆς ἀποκρυβῆς ἐντολὰς, κρύφα καὶ αὐτὸς ἧκεν, ὅποι ποτ' ἂν λήξειαν τὰ γενησόμενα ἱστορήσων. Ἀρχελάου δὲ τοῦ ὑπατικοῦ οἰκέτας ἔν τινι καπηλείῳ πότῳ καὶ μέθῃ σχολάζοντας, ἀκούσαντας πρός τινος ὡς ὁ ἀνῃρῆσθαι εἰρημένος πάρεστιν Ἀρσένιος, κεκρυμμένος οἰκίᾳ τινὶ, τῷ δεσπότῃ ἀνήγγελλον. Ὁ δ' εὐθὺς ἀναζητήσας, ἐν τῷ ἀσφαλεῖ κατεῖχε· καὶ τῷ Ἀθανασίῳ ἐν ἀποῤῥήτοις ἐδήλου θαῤῥεῖν· παρεῖναι γὰρ ζῶντα Ἀρσένιον. Ὁ δ' ἐν χερσὶ γενόμενος, ἀπηρνεῖτο. Παῦλος δ' ὁ Τυρίων ἐπίσκοπος ἐκ πολλοῦ τὸν ἄνδρα εἰδὼς, ἦ μὴν ἐκεῖνον εἶναι διωμολόγει. Καὶ ἡ μὲν πρόνοια οὕτω τὰ τοῦ πράγματος ᾠκονόμει· D Ἀθανάσιος δ' ἐπεὶ κληθεὶς παρῆλθε τῇ συνόδῳ, τὰ μὲν τῶν ἐγκλημάτων διελύσατο· ἐπί τισι δὲ καὶ ὑπέρθεσιν εἰς διάσκεψιν ᾔτει (λίαν δ' ἐν ἀπόροις ἦν, τούς τε κατηγόρους κεχαρισμένους τοῖς δικασταῖς ὁρῶν, μάρτυρας δὲ πολλοὺς παρακροτοῦντας τἀκείνων ἐκ τῶν τὰ Ἀρείου καὶ Μελιτίου φρονούντων, καὶ τοὺς συκοφάντας, συγγνώμης ἀξιουμένους ἐφ' οἷς ἐκεῖνος ἐκράτει)· μάλιστα δ' ἐπὶ τῇ κατ' Ἀρσένιον γραφῇ, καὶ ἐπὶ γυναικί τινι, ᾗ δῶρα παρεσχημένον, ἀκούσῃ νύκτωρ διαφθαρῆναι. Ἃ δὴ καὶ ἄμφω γελοῖα ἀνέδειξεν. Ἐπεὶ γὰρ ἡ γυνὴ ἐπὶ μέσῳ τῷ

(1) Ἐπιβατήρια. Ita etiam Cereris Eleusiniæ sacra mystica dicta sunt.

(2) Ἐν χερσὶ γενόμενος συλληφθείς. (Socrat. lib. I, cap. 28.) Hoc est, captus.

(3) Accusationum capita plura, quæ Athanasio sunt intentatæ, apud Sozomenum inveniuntur, lib. II, cap. 25.

συνεδρίῳ παραστᾶσα διήλεγχεν Ἀθανάσιον, συμπαρὼν ἐκεῖσε πρεσβύτερός τις Τιμόθεος Ἀλεξανδρεύς, ὡς λάθρα τούτοις διῳκονόμητο, τὸν λόγον ὡς οἰκεῖον δῆθεν ἀναλαβὼν ὁ Τιμόθεος, Ἀληθῆ, φησί, λέγεις, γύναι, ὡς ἐγώ σε ἐβιασάμην; Ἡ δέ, Ἀλλ' οὐ σύ; τὴν χεῖρα τείνουσα ἔλεγε, καιρὸν προστιθεῖσα καὶ τρόπον ὥς γε δὴ καὶ βεβίαστο. Τοῦτο μὲν οὖν, ὡς γελοῖον, οὕτω προχείρως ἐξήλεγκτο. Ἔπειτα ἡ χεὶρ εἰσήγετο Ἀρσενίου· καὶ ἡ κατηγορία οὐκέτι λόγοις ἀλλ' ἔργοις ἐνίστατο. Ὁ δὲ δεξιῶς μάλα τὸ πρᾶγμα μετῆλθεν. Ἠρώτα γὰρ εἴ τινες εἶεν τῶν παρόντων γινώσκοντες τὸν Ἀρσένιον. Τινῶν δ' εἰπόντων εἰδέναι, εἰσῆγε τοῦτον τῷ συνεδρίῳ, ὑφ' ἱματίῳ τὼ χεῖρε κρύπτοντα· καὶ αὐτίκα, Οὗτός ἐστιν, ἔλεγεν, ὁ νεκρός. Καὶ ἀνὰ μέρος ἑκατέραν χεῖρα ἐξάγων, Ἰδού, φησίν, ὁ Ἀρσένιος καὶ δύο χεῖρας ἔχων πάρεστι· τῆς δὲ τρίτης τὸν τόπον ποῦ τις ἂν θείη; δεικνύτωσαν οἱ κατήγοροι· οὐ γὰρ ἀρχῆθεν δημιουργῶν ὁ Θεός, τρίχειρα τὸν ἄνθρωπον πάντως ἐποίει. Τούτων οὕτω διαῤῥήδην ἐληλεγμένων, οἱ τὸν δόλον συῤῥάψαντες ἐν ἀμηχάνῳ γενόμενοι, ὑποδύντες τὸν θόρυβον, ἀπεδίδρασκον. Καὶ τὴν μὲν κατηγορίαν ταύτην οὕτως Ἀθανάσιος ἀπεδύσατο τῇ τοῦ Ἀρσενίου ζωῇ· εἶθ' ἑξῆς τὰ κατὰ τὸν Ἰσχύραν παρεγράφετο, προηγουμένως, ὡς οὐκ εἴη πρεσβύτερος· ἄλλως τε καὶ τὸ μὴ δεῖν ἐπ' ἀντιδίκων κρίνεσθαι λέγων, τοὺς περὶ Εὐσέβιον παρεγράφετο. Καὶ ἄλλων κεφαλαίων εἰσαχθέντων, δεῖν ἔδοξε παρὰ τὸν Μαρεώτην γενέσθαι, ὡς ἂν τοπικῶς ἐξετασθῇ τὰ ἀμφισβητούμενα. Ὡς δ' ἐξελέγησαν ἐρευνῆσαι οὓς ὡς κριτὰς παρεγράφετο (καὶ γὰρ ἐστέλλοντο Θέογνις καὶ Μάρις, Θεόδωρος, Μακεδόνιος, Οὐάλης τε καὶ Οὐρσίκιος), Ἀθανάσιος ἀπηγόρευε, καὶ παντὶ τῷ συνεδρίῳ σκευωρίαν εἶναι τὸ πρᾶγμα ἀνεβόα· εἰ ὁ κατήγορος ἅμα τοῖς ἐχθροῖς δικασταῖς παραγένοιτο, ἐκ μονομεροῦς ἡ δίκη ἔσται. Ὁ μὲν οὖν τοιαῦτα λέγων, ἐπεὶ μηδεὶς αὐτοῦ λόγον ἐποιεῖτο, ἄλλως τε καὶ δείσας μὴ αὐτόχειρες αὐτοῦ γένωνται, φυγὰς ἀνεχώρει τοῦ συνεδρίου, καὶ ἐς βασιλέα ἀνέτρεχεν. Ἐπεὶ δὲ καὶ οἱ ἐν τῷ Μαρεώτῃ παραγενόμενοι ἧκον, ὑπομνήματα μονοπροσώπως ἐποίουν, ὡς ἀληθῆ εἴη ὅσα ὁ κατήγορος κατεῖπεν Ἀθανασίου· ἡ σύνοδος πρῶτα μὲν ἐρήμην τούτου κατεδίκασεν· εἶτα καὶ τὴν καθαιρετικὴν ἐσχεδίαζον ψῆφον· ἐν ᾗ πολλὰ τὸν ὅσιον λοιδορήσαντες, ὡς στασιώδη καὶ ταραχῶν πιμπλῶντα τὴν Αἴγυπτον· καὶ τὸ μὲν ἐπὶ τῇ γυναικὶ ὡς αἰσχρὸν παρῆκαν, καὶ τὰ τοῦ φόνου δὲ Ἀρσενίου περίδραμον· ἔγραφον δὲ τοῖς ἁπανταχοῦ ἐπισκόποις μὴ λόγου μηδὲ κοινωνίας αὐτῷ μεταδοῦναι, ἀλλὰ μηδὲ τὴν Ἀλεξάνδρειαν οἰκεῖν· ἀληθῆ δὲ εἶναι καὶ τὴν ἐπὶ τοῦ μυστικοῦ ποτηρίου συντριβὴν αὐτοῦ γενομένην κατηγορίαν. Ἐφήπτοντο δ' ἑκάστου ἐγκλήματος τεχνηέντως διαβολὴν ἐργαζόμενοι, τῶν συκοφαντῶν

A tores in eis criminibus, de quibus ipse eos convicerat, venia dignos judicatos esse videret): potissimum vero in accusatione de Arsenio: et sursum de muliercula quadam, quam muneribus datis invitam noctu vitiasse arguebatur. Quas sane ambas deinde ridiculas esse ostendit. Siquidem deinde, cum mulier in medio consilio assistens Athanasium incusaret, presbyter quidam Alexandrinus Timotheus, qui ibi aderat, sicuti ei cum Athanasio clam convenerat, causam scilicet perinde atque propriam in se recipiens: Itane tandem, inquit, mulier a me tibi oblatum esse vitium dicis? **651** atque illa, An vero non a te? (ipsum digito demonstrans), dixit, tempore quoque et modo, ut vis ei illata esset, adjecto. Et hoc quidem crimen, B ut ridiculum, sic facile est refutatum. Deinde manus Arsenii producta, et accusatio non jam verbis, sed factis instituebatur. Ille vero dextre admodum et prudenter criminationi obviam iit. Interrogavit namque, an ex præsentibus quisquam Arsenium nosset? Atque nonnullis, nosse se eum dicentibus, Arsenium in concilium adduxit, sub veste manum utramque tegentem. Et tandem: En vobis, inquit, mortuus præsto adest; atque una illius, mox quoque altera producta manu: En, ait, Arsenium habetis, manus duas habentem: tertiæ autem locum ubi quis inveniat, accusatores mihi ostendant. Deus siquidem conditor in principio hominem prorsus trimanum non creavit. Calumniis his aperte ad eum C modum confutatis, doli architecti rerum suarum satagentes, turbæ se immiscuere, et fuga sibi consuluere. Et crimen quidem hoc a se Athanasius Arsenii vita removit. Deinde Ischyram (1) exceptione repulit, in primis quod presbyter non esset. Insuper etiam, non debere quemdam ab inimicis judicari, allegans, Eusebianos submovit. Et cum alia quoque accusationis capita in medium proferrentur, visum concilio est, Mareoten ire, ut in re præsenti, quæ in controversiam erant deducta, inquirerentur. Ut vero ad rem investigandam electi sunt, quos Athanasius per exceptionem judices rejecerat (mittebantur enim eo Theognis, Maris, Theodorus, Macedonius, Valens, et Ursicius), ipse reluctabatur, et apud universum concilium, rem D eam insidiosam esse in molitionem, vociferabatur: ac si accusator una cum suspectis et inimicis judicibus adesset, iniquum id uniusque tantum partis judicium esse protestabatur. Hæc cum ille diceret, neque quisquam, ac ne Dionysius quidem exconsularis rationem ejus haberet, atque insuper metueret, ne manus sibi per vim et cædem afferrent, ex consessu eo ad imperatorem profugit. Postquam qui Mareoten missi fuerant, rediere, atque attesta-

(1) Ischyræ, seu Ischyrionis (ita enim eum Sozomenus nominat) causa in eo statu fuit. Arrogabat is sibi et usurpabat sacerdotis dignitatem, et quæ presbyteri sunt, munia obibat. Eum vero cum Athanasius in facto flagranti mysticis sacris operantem deprehendisset, mensam sacram evertit, calicem confregit, et impiam temerarii hominis audaciam inhibuit. Qua de re accusante Ischyra, Athanasius causam apud iniquos judices dixit. Ætas nostra multos vidit Ischyras, Athanasium nullum. Porro Athanasius ea quæ modo dicta sunt, per Macarium presbyterum Ischyra exauctorando egit, qui et ipse e vinculis causam dixit.

tiones uniformes, sub una scilicet persona, vera esse quæ adversus Athanasium accusator dixisset, confecere : synodus primum eum, nullo defendente, veluti contumacem condemnavit : deinde etiam sententiam, qua ei dignitas episcopalis abrogata est, tulit, in qua sententia sanctum virum conviciis multis ut seditiosum, et Ægyptum motibus turbulentis implentem prosciderunt : **652** simul et de muliercula illa, et de Arsenii cæde crimen utpote turpe prætermittentes. Ad omnes quoque locorum omnium episcopos litteras dedere, ne vel sermone vel usu et commercio aliquo cum eo communicarent, neve ei Alexandriæ esse permitteretur. Verum quoque esse asseruerunt, mystici poculi comminuti crimen : et accusationum capita quæque attingentes, singulari quadam arte calumniam pertexuerunt, sycophantas convictos silentio tegentes, et accusatores ejus omnes laudantes. Joanni quoque illi qui Melitio successerat, sectatoribusque ejus, aut quicunque ex clero ejus erant, honorem dignitatemque tribuere. Ipsum etiam Arsenium, qui cæsus esse dictus fuerat, receperunt : qui tum quoque Melitianorum sectator, et tanquam Hypselopolitarum episcopus, iniquæ illi Athanasii abrogationi subscripsit. Qua in re illud novum mirumque visum est, quod qui ab Athanasio jugulatus esse dicebatur, is vivens, quantum in eo situm erat, Athanasium exauctorando jugulavit. Hoc tam injustum insanumque judicium multi etiam qui ibi afluere episcoporum, deprehendere. Nam et Paphnutium confessorem tum præsentem, dicunt, apprehensa Maximi Hierosolymitanæ Ecclesiæ antistitis manu consurrexisse, atque utrique minus convenire arbitrarum esse, qui confessores exstitissent, oculosque propter sermonem veritatis effossos, et pedumflexus debilitatos circumferrent, ut commune quidquam cum pravorum et improborum hominum cœtu haberent, et adversus veræ pietatis propugnatores sententiam ferrent.

A τὴν ἧτταν ἀποσιγήσαντες· τοὺς δὲ κατηγόρους αὐτοῦ πάντας προσίενται, τόν τε μετὰ Μελίτιον Ἰωάννην καὶ οἳ σὺν αὐτῷ ἦσαν. Καὶ ἑκάστῳ τῶν ἐν τῷ κλήρῳ αὐτοῦ τὸ ἀξίωμα ἔδωκαν. Καὶ αὐτὸν δὲ Ἀρσένιον παρεδέξαντο, ὃς ἀνῃρῆσθαι ἐλέγετο· ὃς τότε μὲν τῆς Μελιτιανῶν θρησκείας ἐπίσκοπος ἦν· εἰς δὲ τὴν ἄδικον ἐκείνην Ἀθανασίου καθαίρεσιν ὡς τῆς Ὑψηλοπολιτῶν πόλεως ἐπίσκοπος καθυπέγραψε. Καὶ τὸ δὴ ξενίζον τοῦτ' ἦν· ὅτι ὁ ὑπὸ Ἀθανασίου ἀνῃρῆσθαι λεγόμενος, ζῶν τὸ εἰς αὐτὸν ἧκον ἀνῄρει καθαιρῶν Ἀθανάσιον. Ταύτην δὴ τὴν ἄδικον δίκην ὡς μὴ ὑγιῶς ἔχουσαν καὶ πολλοὶ τῶν ἐκεῖσε παρόντων κατεφώρασαν ἱερέων. Καὶ γὰρ καὶ Παφνούτιον τὸν ὁμολογητήν φασι τηνικάδε συμπαρόντα τῷ συνεδρίῳ, τῆς χειρὸς λαβόμενον Μαξίμου τοῦ τῆς Ἱερο-B σολύμων Ἐκκλησίας προέδρου, ἐξαναστῆναι, μὴ δεῖν εἶναι λογισαμένους ὁμολογητὰς ὄντας, καὶ διὰ τὸν ἀληθῆ λόγον τὰ ὄμματα ἐξορωρυγμένους, καὶ τὰς ἀγκύλας πεπηρωμένους, συλλόγου κοινωνεῖν πονηρῶν καὶ φαύλων ἀνδρῶν, καὶ κατὰ τῶν τῆς εὐσεβείας προμάχων ψηφίζεσθαι.

653 CAPUT L.

De consecratione seu dedicatione templi Hierosolymitani epistola imperatoris ad synodum Tyri Phœniciæ congregatam : et ut Athanasius exsul sit factus.

Eo tempore, quo et tricesimus imperii Constantini annus complebatur, et templum Hierosolymis in Calvariæ loco magnificentissime absolutum fuerat, quod magnum Martyrium dicitur, Marianus quidam ampla dignitate vir, ab imperatore cum litteris ad synodum venit, quibus quam celerrime Hierosolymam adire, propter sacri ejus templi dedicationem jubebantur. Atque illi protinus ut potuere, Hierosolyma contenderunt, dissidio atque discordia omni seposita, templumque ipsum dedicarunt, donaria simul et ornamenta ab imperatore missa maximi prorsus pretii consecrantes : quæ longo sane post tempore ibi fuere, stuporem et consternationem plane spectantibus conciliantia : tanta illorum erat magnitudo, tantum pretium. Erat is decimusquartus mensis Septembris dies, qui ab eo tempore in ecclesia Hierosolymitana quotannis publice ab omnibus festus et celebris agitatus est, octo ex ordine diebus conventibus celebrandis. Quibus diebus ex omni terrarum orbe homines eo conveniunt, et ad festos conventus concurrunt, arcana sacra peracturi, et loca sancta cognituri. Deinceps vero et decantatam illam ibi

C

ΚΕΦΑΛ. Ν'.

Περὶ τῆς καθιερώσεως τοῦ ἐν Ἱεροσολύμοις ναοῦ· καὶ ἐπιστολὴ τοῦ βασιλέως πρὸς τὴν ἐν Τύρῳ τῆς Φοινίκης σύνοδον· καὶ ὡς ὑπερόριος ἐγένετο Ἀθανάσιος.

Κατ' ἐκεῖνο τοίνυν καιροῦ τρίτης δεκάδος τῇ ἀρχῇ Κωνσταντίνου συμπληρουμένης, τοῦ ἐν Ἱεροσολύμοις κατὰ τὸν Κρανίου τόπον πολυτελῶς ἐξεργασθέντος νεὼ, ὃ μέγα Μαρτύριον λέγεται, Μαριανός τις τῶν ἐν ἀξιώμασιν ἐκ βασιλέως παραγενόμενος, γράμματα τῇ συνόδῳ ἐδίδου, διαγορεύοντα ὅσον τάχος τὴν Ἱερουσαλὴμ ἐκείνους καταλαβεῖν ἐπὶ καθιερώσει τοῦ θείου νεώ. Οἱ δ' εὐθὺς ὡς εἶχον ἐπὶ τὰ Ἱεροσόλυμα ἧκον, διαφορὰν καὶ διχόνοιαν πᾶσαν δῆθεν ἐκ μέσου πεποιημένοι· καὶ τὸν νεὼν καθιέ-D ρωσαν, ἀναθέμενοι ἃ λόγου πολλοῦ ἄξια κειμήλιά τε καὶ ἀναθήματα πέμψειε βασιλεύς· ἃ δῆτα πολλῷ τῷ ἑξῆς χρόνῳ ἀνέκειντο, κατάπληξις ἄντικρυς τοῖς ὁρῶσι μεγέθους τε καὶ πολυτελείας ἕνεκα. Τρισκαιδεκάτη δ' ἦν Σεπτεβρίου μηνός· ἣν δὴ τὸ ἐξ ἐκείνου ἐτήσιον δημοτελῆ καὶ περιφανῆ ἑορτὴν ἄγει ἡ τῶν Ἱεροσολύμων Ἐκκλησία, ἐπὶ ὀκτὼ ἐφεξῆς ἡμέραις ἐκκλησιάζουσα. Ἐξ ἁπάσης δὲ τῆς γῆς φοιτῶσιν ἄνθρωποι μυήσεις ἐπιτελέσοντες κατὰ ταύτας δὴ τὰς ἡμέρας, καὶ καθ' ἱστορίαν τῶν ἱερῶν τόπων τῇ πανηγύρει συντρέχοντες. Ἔπειτα δὲ καὶ τὴν πολυθρύλλητον ἐκείνην σύνοδον ἐκεῖσε ποιήσαντες, Ἄρειον καὶ Εὐζώϊον προσεδέξαντο, τοῖς βασιλέως

δῆθεν πεισθέντες γράμμασι, δι' ὧν ἐδήλου ὀρθῶς αὐτοὺς περὶ τὴν πίστιν φρονεῖν. Ἔγραψαν δὲ καὶ τῇ Ἀλεξανδρέων Ἐκκλησίᾳ, ὡς βαθεῖα εἰρήνη ταῖς ἐκκλησίαις ἐπρυτανεύθη τοῦ φθόνου ἀπελασθέντος. Καὶ Ἄρειος μεταμέλῳ χρησάμενος, καὶ βιβλίον μετανοίας δοὺς, δικαίως ἐδέχθη τῆς Ἐκκλησίας ὅλος γενόμενος. Δῆλα δὲ καὶ τὰ πραχθέντα καθίστων τῷ βασιλεῖ. Καὶ οἱ μὲν τοιαῦτα ἔπραττον· ὁ δ' Ἀθανάσιος ἥκων τὴν Κωνσταντίνου, ἃ πέπονθεν ἐπὶ τῷ βασιλεῖ ἀπωδύρετο. Καί τινων δὲ παρόντων τῶν καταδικασάντων, κατεδεῖτο βασιλέως ἐπ' αὐτοῦ τῶν ἐν Τύρῳ πεπραγμένων τὴν κρίσιν γενέσθαι. Δοκιμάσας δὲ ὁ κρατῶν εὔλογα τὸν Ἀθανάσιον λέγειν, τοῖς ἐν Τύρῳ συνελθοῦσι τῶν ἐπισκόπων ἔγραφε τοιάδε, εἰς ἑαυτὸν μεταστέλλων· « Ἐγὼ μὲν ἀγνοῶ τίνα ἐστὶ τὰ ὑπὸ τῆς ὑμετέρας συνόδου μετὰ θορύβου καὶ χειμῶνος κριθέντα. Δοκεῖ δέ πως ὑπό τινος ταραχώδους ἀταξίας ἡ ἀλήθεια διεστράφθαι· ὑμῶν δηλαδὴ διὰ τὴν πρὸς τοὺς πέλας ἐρεσχελίαν, ἣν ἀήττητον εἶναι βούλεσθε, τὰ τῷ Θεῷ ἀρέσκοντα μὴ συνορώντων. Ἀλλ' ἔσται τῆς θείας προνοίας ἔργον, καὶ τὰ τῆς φιλονεικίας ταύτης κακὰ φανερῶς ἁλόντα διασκεδάσαι, καὶ ἡμῖν διαῤῥήδην ἐπιδεῖξαι, εἴ τινα τῆς ἀληθείας αὐτόθι συνελθόντες ἐποιήσασθε φροντίδα, καὶ εἰ τὰ κεκριμένα χωρίς τινος χάριτος καὶ ἀπεχθείας ἐκρίνατε. Τοιγαροῦν ἐπειγμένως πρὸς τὴν ἐμὴν ἐλθεῖν ὑμᾶς εὐσέβειαν βούλομαι, ἵνα τὴν τῶν πεπραγμένων ὑμῖν ἀκρίβειαν καὶ ὑμῶν αὐτῶν παραστήσητε. Τίνος δὲ ἕνεκεν γράψαι ταῦτα πρὸς ὑμᾶς ἐδικαίωσα, καὶ ὑμᾶς πρὸς ἐμαυτὸν διὰ τοῦ γράμματος καλῶ, ἐκ τῶν ἑπομένων γνώσεσθε. Ἐπιβαίνοντί μοι λοιπὸν τῆς ἐπωνύμου ἡμῶν καὶ πανευδαίμονος πατρίδος τῆς Κωνσταντινουπόλεως (συνέβαινε δέ με τηνικαῦτα ἐφ' ἵππου ὀχεῖσθαι), ἐξαίφνης Ἀθανάσιος ὁ ἐπίσκοπος, μέσον τῆς λεωφόρου μετὰ ἑτέρων τινῶν οὓς περὶ αὐτὸν εἶχεν ἀπροσδοκήτως οὕτως προσῆλθεν, ὡς καὶ παρασχεῖν ἐκπλήξεως ἀφορμήν· μαρτυρεῖ μοι γὰρ ὁ πάντων ἔφορος Θεὸς, ὡς οὐδὲ ἐπέγνων αὐτὸν ὅστις ἦν. Καὶ τὴν ἀδικίαν ἣν πέπονθε πυνθανομένοις, ὥσπερ εἰκὸς, ἀπήγγειλεν ἡμῖν. Ἐγὼ μὲν οὖν οὐ διελέχθην αὐτῷ κατ' ἐκεῖνο καιροῦ, οὔτε ὁμιλίας ἐκοινώνησα· ὡς δὲ ἐκεῖνος μὲν ἠξίου, ἐγὼ δὲ παρῃτούμην, καὶ μικροῦ δεῖν ἀπελαύνεσθαι αὐτὸν ἐκέλευον, μετὰ πλείονος παῤῥησίας οὐδὲν ἕτερον παρ' ἡμῶν ᾔτει, ἢ τὴν ὑμετέραν ἄφιξιν ἠξίωσεν ὑπάρξαι, ἵν' ἡμῶν παρόντων ἀναγκαίως ἃ πέπονθεν ἀποδύρασθαι δυνηθείη. Ὅπερ ἐπειδὴ εὔλογον εἶναι καὶ τοῖς καιροῖς πρέπον κατεφαίνετο, ἀσμένως ταῦτα γραφῆναι πρὸς ὑμᾶς προσέταξα, ἵνα πάντες ὅσοι τὴν σύνοδον τὴν ἐν Τύρῳ γενομένην ἐπλήρωσαν, ἀνυπερθέτως εἰς τὸ στρατόπεδον τῆς ἡμετέρας ἡμερότητος ἐπειχθῆτε, τοῖς ἔργοις αὐτῶν ἐπιδείξαντες τὸ τῆς ὑμετέρας κρίσεως καθαρόν τε καὶ ἀδιάστροφον ἐπ' ἐμοῦ· ὃν τοῦ Θεοῦ γνήσιον εἶναι θεράποντα οὐκ ἂν ἀρνηθείητε. Τοιγαροῦν διὰ τῆς ἐμῆς πρὸς τὸν Θεὸν λατρείας τὰ πανταχοῦ

A egere synodum, in qua Arium et Euzoium suscepere (1): imperatoris videlicet litteris adducti, quibus ille recte eos de fide sentire significabat. Scripserunt illi quoque ad Ecclesiam Alexandrinam, multam esse, odiis discussis, ecclesiis pacem conciliatam; Arium resipuisse: cumque, accepto ab homine pœnitentiæ libello, rite susceptum, prorsus in Ecclesiæ potestate esse. Acta ea ad imperatorem etiam retulere. Atque illi quidem hæc sic egere (2). Athanasius autem Constantinopolim contendens, de injuriis quas acceperat, apud imperatorem est quiritatus. Et cum ibi nonnulli qui eum sententiis suis damnaverant adessent, illud ab imperatore supplex petiit, ut rerum Tyri de se actarum in ejus præsentia inquisitio et judi-
B cium fieret. Porro imperator Athanasium æquum petere censens, ad episcopos qui Tyri convenerant, eos ad se venire jubens, in hæc verba scripsit: « Ego quidem quæ sint res a synodo vestra per tumultum et quasi procellam quamdam judicatæ, ignoro. **654** Videtur tamen quodammodo tumultuanter per inordinatam consultationem veritas esse depravata, quod scilicet vos propter nugandi adversus proximos studium, quod quidem invictum esse vultis, ea quæ Deo placita sint, pervidere non possitis. Enimvero divinæ Providentiæ fuerit, ut, cum contentiosi ardoris vitium manifesto deprehensum discutiatur, tum aperte nobis declaretur, num in conventu isthic vestro curæ
C vobis veritas fuerit, et res absque odio et gratia sint judicatæ. Quam ob causam ut propere ad pietatem nostram veniatis volo, ut et rerum a vobis actarum exactam rationem nobis exhibeatis, et de vobis ipsis satisfaciatis. Qua re autem ut hæc ad vos scriberem, et vos per litteras ad me evocarem, adductus fuerim, ex verbis sequentibus intelligetis. Ingredienti mihi jam cognominem nobis et modis omnibus felicem urbem Constantinopolim (accidit autem ut equo tum veherer), derepente Athanasius episcopus, cum aliis quibusdam quos secum habebat, in media publica via, ita præter exspectationem obvius est factus, ut consternationis etiam præberet causam. Testem autem facio inspectorem rerum omnium Deum,
D me illum primum qui fuerit non novisse: donec nostrorum quidam quis esset, indicarunt. Atque nobis de injuriis quas sustinuit eum percontantibus, quæ æquum erat, renuntiavit. Ego quidem eo tempore cum eo verba non feci, neque collocutus sum. Ubi vero ille id postulavit, ego autem denegavi, parum admodum abfuit quin eum rejici juberem: ille tamen cum multa libertate nihil peteret a nobis aliud, quam ut vos præsto essetis, quo necessitate urgente, in præsentia vestra, quæ passus esset, satis deplorare posset, et ego id rationi et tempori convenire duxi, perliben-

(1) Supra cap. 47 cod.
(2) Proscriptum esse Athanasium obscure significantes. Socrat. lib. I, cap. 22.

ter hæc ad vos scribi præcepi, ut omnes quicunque conventui Tyrio interfuistis, citra procrastinationem, in aulam mansuetudinis nostræ venire accelcretis, et rebus ipsis judicationis vestræ sinceritatem et veritatem, me cognoscente, declaretis : quem sane germanum Dei famulum esse non negaveritis. Per meam certe quidem erga Deum religionem, pacata sunt ubique omnia. Quin ipsi etiam Barbari nomini Dei rite laudibus benedicunt, qui hactenus veritatem ignorarunt. Manifestum autem est, qui veritatem non norit, eum neque Deum nosse. **655** Verumtamen, quemadmodum modo dixi, et Barbari per me germanum Dei ministrum, Deum cognoverunt, et metuere didicerunt, ipsumque me ubique tutari, et rebus ipsis mihi prospicere senserunt. Unde maxime Deum norunt, quem illi quidem propterea quod nos metuunt, colunt; nos autem, qui arcana sacra benignitatis ejus propugnare (quid enim dicam servare?) videmur, nos, inquam, nihil agimus aliud, quam quod ad discordiam et odium facit, et quod (ut simpliciter dicam) ad generis humani exitium refertur. Verum properate, sicuti dictum est, et ad nos quamprimum omnes venire maturate : illud persuasum habentes, omnibus nervis conaturos nos esse, ut iis quæ corrigenda sunt, emendatis, in lege Dei omnia rite serventur, utque eis neque probrum neque prava aliqua opinio et suspicio inhærere possit; dissipatis nimirum, prorsumque attritis, atque adeo sublatis omnino legis inimicis, qui quidem sub prætextu sancti nominis varias atque omnigenas præbent blasphemias, et obtrectandi occasiones. » Talia imperator cum scripsisset, alii quidem episcopi maximo territi metu, pro se quisque domum redibant. Eusebiani autem se in oculos imperatoris ingerentes, justam esse synodi sententiam asseverarunt. Et multis in Athanasium conviciis conjectis, non jam de poculo fracto, aut mensa, aut vivi hominis brachio, quod vera ea essent, instabant : sed ad novam aliam confugere calumniam. Minatum enim esse Athanasium dixerunt, inhibituros sua suasione Ægyptios esse, ne frumentum pro eo atque Constantinus sanxisset, quotannis Alexandria Constantinopolim subveheretur ; eaque verba audivisse Adamantium, Annubionem, Arbathionem, et Petrum, episcopos. Hæc allegantes, causam calumniis obtinuere. Sæpenumero namque mendacium vincit, eum is qui calumniam struit, bonæ fidei opinionem consequitur. Confestim igitur imperator iracundia correptus, virum in Gallias relegatum Treviros jubet incolere. Idque ita fecisse Constantinum opinio est, non tam quod vera esse quæ in eum dicta fuerant, crediderit, quam ut Ecclesiam ad unitatem et episcopos ad concordiam perduceret. Quod quidem aliter fieri non potuit, nisi Athanasius relegaretur. **656** Communionem enim Arianorum omnino aversabatur. Atque ille ad eum quidem modum ad Treviros in Galliam est abductus.

A εἰρηνεύεται, καὶ τῶν βαρβάρων αὐτῶν τὸ τοῦ Θεοῦ ὄνομα γνησίως εὐλογούντων, οἳ μέχρι νῦν τὴν ἀλήθειαν ἠγνόουν. Δῆλον δὲ ὅτι ὁ τὴν ἀλήθειαν ἀγνοῶν οὐδὲ τὸν Θεὸν ἐπιγινώσκει. Πλὴν ὅμως, καθὰ προείρηται νῦν, καὶ οἱ βάρβαροι δι' ἐμὲ, τὸν τοῦ Θεοῦ θεράποντα, γνήσιον ἐπέγνωσαν τὸν Θεόν· καὶ εὐλαβεῖσθαι μεμάθηκαν, Θεὸν ὑπερασπίζειν μου πανταχοῦ καὶ προνοεῖσθαι τοῖς ἔργοις αὐτοῖς ᾔσθοντο. Ὅθεν μάλιστα καὶ ἴσασι τὸν Θεὸν, ὃν ἐκεῖνοι μὲν διὰ τὸν πρὸς ἡμᾶς φόβον εὐλαβοῦνται· ἡμεῖς δὲ οἱ τὰ μυστήρια τῆς εὐμενείας αὐτῷ δοκοῦντες προβάλλεσθαι (οὐδὲ γὰρ ἂν εἴποιμι φυλάττειν), ἡμεῖς, φημὶ, οὐδὲν πράττομεν, ἢ τὰ πρὸς διχόνοιαν καὶ μῖσος συντείνοντα, καὶ ἁπλῶς εἰπεῖν, τὰ πρὸς ὄλεθρον τοῦ ἀνθρωπείου γένους ἔχοντα τὴν ἀναφοράν.
B Ἀλλ' ἐπείχθητε, καθὰ προείρηται, καὶ πρὸς ἡμᾶς σπεύσατε πάντες ᾗ τάχος, πεπεισμένοι, ὡς παντὶ σθένει κατορθῶσαι πειράσομαι, ὅπως ἐν τῷ νόμῳ τοῦ Θεοῦ πάντα ἐξαιρέτως φυλάττωνται, οἷς οὔτε ψόγος οὐδὲ κακοδοξία τις δυνήσεται προσπλακῆναι· διασκεδασθέντων δηλαδὴ καὶ συντριβέντων ἄρδην, καὶ παντελῶς ἀφανισθέντων τῶν ἐχθρῶν τοῦ νόμου. οἵτινες ἐπὶ προσχήματι τοῦ ἁγίου ὀνόματος ποικίλας καὶ διαφόρους βλασφημίας παρέχουσι. » Τοιαῦτα γράψαντος τοῦ βασιλέως, οἱ μὲν ἄλλοι τῶν ἐπισκόπων εἰς δέος μέγιστον ἕκαστος καταστάντες οἴκαδε ἀνεχώρουν· οἱ δὲ περὶ Εὐσέβιον βασιλεῖ ὀφθέντες, δίκαια ψηφίσασθαι τὴν σύνοδον ἰσχυρίζοντο. Πολλὰ δὲ λοιδορησάμενοι, οὐκέτι μὲν περὶ κατεαγότος ποτηρίου ἢ τραπέζης, ἢ βραχίονος ζῶντος νεκροῦ ἐνίσταντο ὡς εἴησαν· ἀλλ' ἐπὶ ἑτέραν καινοτέραν ἐχώρουν διαβολήν.
C Ἀπειλῆσαι γὰρ ἔλεγον Ἀθανάσιον, κωλῦσαι τὸν σῖτον Αἰγυπτίους, ὃν Κωνσταντῖνος ἐθέσπιζεν ἐξ Ἀλεξανδρείας κατάγειν ἐπ' ἔτος εἰς Κωνσταντινούπολιν· καὶ τὸν λόγον ἀκηκοέναι Ἀδαμάντιον, Ἀννουβίωνα, Ἀρβαθίωνα καὶ Πέτρον τοὺς ἐπισκόπους. Ταῦτ' εἰπόντες ἐκράτησαν ταῖς διαβολαῖς· ἰσχύει γὰρ πολλάκις τὸ ψεῦδος, ὅταν ὁ διαβάλλων τὸ ἀξιόπιστον ἔχῃ. Εὐθὺς γὰρ ὁ βασιλεὺς συναρπαγεὶς τῷ θυμῷ, ἐξόριστον ἐν Γαλλίαις ἐποίει τὸν ἄνδρα· καὶ Τρίβεριν οἰκεῖν κατεδίκαζε. Πρᾶξαι δ' οὕτω λόγος ἔχει τὸν Κωνσταντῖνον, οὐ τόσον ἀληθῆ πιστεύσαντα εἶναι τὰ εἰρημένα, ὅσον ἑνοῦσθαι τὴν Ἐκκλησίαν καὶ τοὺς ἐπισκόπους ὁμονοεῖν ᾑρημένον.
D Οὐκ ἄλλως δὲ τοῦτ' ἐνῆν γενέσθαι, εἰ μὴ ἐκποδὼν γένοιτο Ἀθανάσιος. Κοινωνῆσαι γὰρ παντάπασι τοῖς περὶ Ἄρειον ἐξετρέπετο. Καὶ ὁ μὲν οὕτως ἐν Τριβέρει τῆς Γαλλίας ἀπήχθη.

A

ΚΕΦΑΛ. ΝΑ'.

Ὡς Ἄρειος ἐξ Ἀλεξανδρείας εἰς τὴν Κωνσταντίνου γενόμενος, πράγματα ἐκίνησεν Ἀλεξάνδρῳ τῷ Κωνσταντινουπόλεως. Καὶ ὡς διεῤῥάγη ταῖς ἐκείνου εὐχαῖς· καὶ ὅπως τὴν ἐκείνου τελευτὴν ἱστορεῖ Ἀθανάσιος.

Ὁ δὲ Ἄρειος ἐξ Ἱεροσολύμων αὖθις ἧκεν εἰς Ἀλεξάνδρειαν. Μηδαμῶς δὲ τῆς κατ' Αἴγυπτον Ἐκκλησίας τούτῳ κοινωνεῖν ἑλομένης, ἐκεῖνος σὺν τοῖς περὶ αὐτὸν ταράττειν αὖθις, καὶ τὴν οἰκείαν αἵρεσιν ὑποσπείρειν δολίως κατήρχετο. Ἐν δεινῷ δὲ τοῦ λαοῦ ποιουμένου τήν τε ἐκείνου κάθοδον καὶ τὴν τοῦ οἰκείου ποιμένος φυγὴν, ὁ βασιλεὺς, ἐπεὶ μάθοι διεστράφθαι τὴν γνώμην Ἄρειον, πρὸς τὴν Κωνσταντίνου μετεκαλεῖτο, λόγον δώσοντα τῆς διαστρόφου γνώμης καὶ ὧν δρᾷν ἐπεχείρει. B Ἀλέξανδρος δ' ὁ τῆς ἐν Κωνσταντινουπόλει προεστὼς Ἐκκλησίας, Μητροφάνην πάλαι διαδεξάμενος, θεοφιλὴς εἴπερ τις μάλιστα ὤν, τοῦ λαοῦ διαιρουμένου διχῆ, καὶ τῶν μὲν μηδαμῶς δεῖν λεγόντων τι τῶν ἐν Νικαίᾳ μετακινεῖν, ἄλλων δὲ ὡς καλὰ λέγοι Ἄρειος φιλονεικούντων, καὶ ταραχῆς μεγίστης κατὰ πόλιν ἀναπτομένης, καὶ σύνοδον συγκροτεῖν πειρωμένων, πάντα κάλων ἐκίνει διαλύειν αὐτήν. Ὡς δ' ἧττον ἴσχυεν, εἰς ἀγῶνα καθίστατο μέγιστον· καὶ μήτι ἄλλο δρᾷν ἔχων, τὰς πρὸς Ἄρειον τέως παρῃτεῖτο σπονδάς· μηδὲ γὰρ εἶναι θεμιτὸν ἔλεγε, μηδὲ τῆς ἐκκλησιαστικῆς ἕξεως, ἄκυρα τὰ σφίσιν ἐψηφισμένα ποιεῖν, καὶ τῶν σὺν αὐτοῖς ἐκ τῆς ὑφ' ἥλιον ἁπάσης συνδραμόντων εἰς Νίκαιαν. Οἱ δ' ἀμφὶ τὸν Εὐσέβιον καὶ φανερῶς διηπείλουν μετὰ πολλὴν λοιδορίαν, C ἦ μὴν καθαιρήσειν αὐτὸν, εἰ μὴ Ἄρειον δέξηται εἰς ῥητὴν ἡμέραν· εἰ δ' οὖν, αὐτὸν μὲν τῆς Ἐκκλησίας ὑπερόριον ἄγεσθαι· τὸν δὲ μετ' αὐτὸν κοινωνήσειν Ἀρείῳ. Ταῦτ' εἰπόντες, τό γε νῦν διελύοντο, οἱ μὲν πέρας ἐπιθεῖναι τοῖς ἠπειλημένοις τεχνώμενοι, ὁ δ' ἐν προσευχαῖς ἦν μὴ εἰς ἔργον ἐκβῆναι ἃ Εὐσέβιος ἐβρενθύετο. Οὐ μὴν μέλον ἐκείνῳ τῆς καθαιρέσεως ἦν, ὅσον μή τι παρατραπῆναι τοῦ δόγματος. Περιδεᾶ δὲ μάλιστα τοῦτον ἐποίει ὁ βασιλεὺς, τρόπον τινὰ τοῖς ἐκείνων πεισθεὶς ῥήμασιν. Ἀγωνιῶν τοίνυν ὁ θεῖος πρεσβύτης, πάντα παραλιπὼν πρηνὴς τῷ θυσιαστηρίῳ προσφεύγει νηστείᾳ σχολάζων καὶ προσευχῇ, οὐδὲν ἀνιεὶς τῶν, ὅσα δυσωπεῖν εἶχε Θεόν. D Κατάκλειστον δ' ἑαυτὸν ποιήσας, ἐπὶ τὸ τῆς ἱερᾶς τραπέζης θυσιαστήριον ἐπὶ στόμα πεσὼν, δακρύων ηὔχετο νύκτας τε καὶ ἡμέρας ἑξῆς ἐν τῇ ἐκκλησίᾳ ἣ ἐπώνυμός ἐστιν Εἰρήνη. Ἦν δὲ ἡ τοῦ ἐπισκόπου εὐχὴ, ὡς εἰ μὲν ἀληθὴς ἡ Ἀρείου δόξα, ἑαυτὸν τὴν τῆς προθεσμίας ἡμέραν μὴ ἔψεσθαι· εἰ δ' ἣν οὗτος σέβει, ἀληθὴς εἴη μάλιστα, Ἄρειον τὴν ἀξίαν δίκην διδόναι, ὡς αἴτιον ἁπάντων τῶν περὶ τὴν πίστιν δεινῶν. Ὧδε μὲν Ἀλέξανδρος ηὔχετο· πεῖραν δὲ καὶ ὁ βασιλεὺς Ἀρείου ποιεῖν ἐθέλων, εἰς τὰ ἀνάκτορα μετεστέλλετο· καὶ διεπυνθάνετο εἰ καὶ αὐτὸς τοῖς ἐν Νικαίᾳ δεδογμένοις στοιχεῖ. Ὁ δ' ἀμελητὶ κατενεύ-

CAPUT LI.

Ut Arius ex Alexandria Constantinopolim adveniens, negotium facesserit Alexandro Constantinopolitano episcopo: et ut Alexandri precibus Arius sit ruptus, et quomodo Athanasius obitum ejus in scripta retulerit.

Arius autem Hierosolymis Alexandriam rediit. Cum vero Ecclesia Ægypti nihil sibi communionis cum eo esse vellet, ille cum sectatoribus suis denuo turbas ciere, et hæresim suam fraudulenter serere cœpit. Plebs cum ipsius reditum, tum pastoris sui exsilium graviter tulit. Ac imperator ubi Arii sententiam pravam esse cognovit, Constantinopolim hominem vocavit, perversæ opinionis cœptorumque suorum rationem redditurum. Alexander porro Constantinopolitanæ Ecclesiæ antistes, dudum Metrophani successerat, vir præter cæteros Dei maxime amans; cumque populus in duas partes discessisset, atque hi quidem nihil prorsus de Nicænis decretis mutandum esse dicerent, alii autem Arium recte profiteri contenderent, et maximo in urbe motu excitato, ut conventus cogeretur, conarentur, ille contra, ut eum dissolveret, nihil non experiebatur. Quod ubi ei minus successit, in maximum se demisit certamen. Et cum quod faceret aliud non haberet, pacem et communionem cum Ario tum deprecatus est. Nefas enim esse, minimeque consuetudini ecclesiasticæ convenire dixit, quæ ab ipsis atque eis etiam qui ex terris omnibus quæ sub sole sunt, Nicæam concurrerant, decreta essent, abrogare. Eusebius autem post convicia multa aperte minabundus gravia ei denuntiavit, nisi ad certum diem Arium in communionem admitteret. Absque eo enim si esset, ipsum quidem extorrem ab Ecclesia futurum, successorem autem ejus cum Ario communicaturum. Hæc ubi sunt dicta, tum quidem colloquio soluto discessere: Eusebius quidem etiam atque etiam, ut quæ minatus fuerat, ad exitum perduceretur, moliens; Alexander vero, ne ad rem conferrentur, quæ fremens ille denuntiaverat, precationibus incumbens. Quem, non tantum ut ipse exauctoraretur movebat, quantum ne quid de doctrina mutaretur, sollicitabat. **657** Pertimidum eum maxime imperator faciebat, qui quodammodo in adversariorum verbis acquiescere videbatur. Itaque in ea sollicitudine et anxietate trepidans divinus senex, rebus omnibus posthabitis, et arti disserendi nuntio remisso, ad sanctius confugit sacrarium, jejunio et orationi sese dedens, neque quidquam rerum earum remittens, quæ ad placandum exorandumque Deum facerent. Et in ea ecclesia quæ Pacis cognomen obtinet, se clausit: et ore in sacram sanctioris sacrarii mensam procumbens, et lacrymans, continue dies noctesque oravit. Cujus illa fuit oratio (1), ut siquidem opinio Arii vera esset, ne ipse constitutum conventui

(1) Precatus est Deum, ut vel animam suam susciperet, ne communione Arii contaminaretur: vel inopinatum quidquam faceret; quod et factum est. (Epiph.)

et communioni videret diem : sin quam ipse coleret, sententia maxime veritate niteretur, ut Arius dignas lueret pœnas, veluti malorum in professione fidei omnium auctor. Sic episcopus Alexander precabatur. Sed et imperator periculum de Ario facere volens, in regiam suam cum accitum, num et ipse Nicænis decretis assentiretur, rogavit. Atque ille, citra moram et deliberationem omnem, in conspectu principis, decreto synodi callida simulatione subscripsit. Factum id admiratus Constantinus, jurejurando quæ scripserat, confirmare eum jussit. Quod et ipsum confestim dolosa adhibita fallacia, sicuti eos qui de hac re memorant, dicere audivimus, fecit. Quod namque suam de divino Numine opinionem Arius (1) in charta descriptam sub axillis in sinu ferebat, ita se vere sentire, quemadmodum scripsisset, juravit. Quare imperator persuasus, Alexandro, ut Arium reciperet, severius mandavit. Sabbatum erat, et postridie ut ad communionem admitteretur Arius, exspectabat. Verum vindicta nequaquam morata est, quæ vestigia ejus qui tam absurdis cavillationibus usus esset, in pedibus ipsis est insecuta. Ex imperatoris palatio a quibusdam Eusebii satellitibus Arius deductus, per forum insolenter gradiebatur, et per mediam urbem venditans sese inferebat. Postquam ad Constantini forum ventum est, ubi ingens illa porphyretica Constantini ipsius columna magnifice in altum excurrit (serum autem diei erat), timor derepente ex conscientiæ vulnere Ario incessit, cumque alvi laxitas consequitur. **658** Et urgebatur eo casu maxime : proindeque secessum publicum, qui in propinquo erat, petit. Ibi animo ei defecto, sua sponte excrementa effluunt : et vi naturæ constringente soluta, sedes ipsa procidit, et multus sanguis effunditur, constitutio quoque interna corporis omnis una cum intestinis hepate et splene diffluit. Atque ita ille perit. Cum autem inde non exiret, ingressi quidam propter diuturniorem ejus moram, mortuum in fœdo subsellio reclinatum invenere. Secessus is longo post tempore est ostensus retro forum et macelli porticum : perpetuaque loci ejus et mortis Arii est memoria ; quippe quem prætereuntes omnes digito semper designare soliti fuerint. Diu vero postea, fama est neminem subsellio eo usum esse. Omnes enim locum eum fugerunt, pro detestando habentes, in quo videlicet Arius impietatis pœnas persolvisset. Postea autem Arianus quidam, vir perquam opulentus, locum emit : et forma ejus priore abolita, domum magnificam in eo construxit, ut oblivioni res ibi acta mandaretur, neque amplius mors Arii sempiterna memoriæ successione, veluti per comicum ludum posteritati exhiberetur. Obitu vero ejus publicato, variæ de eo hominum fuere opiniones. Quibusdam enim

A πιον τοῦ κρατοῦντος τὸν τῆς συνόδου ὅρον ὑπέγραφε σοφιζόμενος. Ἐν θαύματι δὲ τὸ πραχθὲν ποιούμενος βασιλεὺς, καὶ ὅρκῳ βεβαιοῦν ἔλεγε τὰ γραφέντα. Καὶ τοῦτ' εὐθὺς ἐποίει σοφιστικῶς, ὡς ἱστορούντων ἀκούειν ἔστι. Τὴν γὰρ φαύλην ἣν εἶχε περὶ τοῦ θείου δόξαν Ἄρειος χάρτῃ καταγράψας ὑπ' ἀγκάλης φέρων, ὤμνυέ τε ἀληθῶς οὕτω φρονεῖν, καθὰ γράψας εἶχεν. Οἷς δὴ πεισθεὶς βασιλεὺς, Ἀλεξάνδρῳ ἐκέλευεν ἐντονώτερον εἰσδέχεσθαι Ἄρειον. Σάββατον δ' ἦν· καὶ τῇ ἑξῆς κοινωνεῖν προσδόκιμος ἦν. Ἀλλ' ἡ δίκη μέλλουσα ἦν οὐδαμοῦ· εἵπετο δὲ κατὰ πόδας τοῖς σοφιστικοῖς ἀτοπήμασιν. Ὑπὸ γάρ τισι δορυφόροις τοῖς περὶ Εὐσέβιον τῶν βασιλείων ἀπάρας ὁ Ἄρειος, σοβῶν ἦν διὰ τῆς ἀγορᾶς, καὶ ἐμπομπεύων διὰ μέσης τῆς πόλεως. B Ἐπεὶ δὲ κατὰ τὴν Κωνσταντίνειον ἐγένετο ἀγορὰν, ἔνθα ὁ πορφυροῦς Κωνσταντίνου κίων μέγας μεγαλωστὶ ἀνατρέχων ἐγήγερται (δείλη δ' ἦν ὀψία), φόβος εὐθὺς τῇ πληγῇ τοῦ συνειδότος εἰστρέχει τὸν Ἄρειον· καὶ ἐπὶ τούτῳ χαύνωσις τῆς γαστρὸς ἠκολούθει, καὶ ὅλος τοῦ κατεπείγοντος ἦν, καὶ δῆτα πρὸς δημόσιον ἀφεδρῶνα, ἐγγύς που ὄντα, εἰσῄει. Λειποθυμήσαντος τοιγαροῦν, αὐτόματα ἐξέῤῥει τὰ διαχωρήματα, τοῦ τῆς φύας σφιγκτῆρος διαλυθέντος· καὶ τῆς ἕδρας παρεκπεσούσης, αἷμα ἐχεῖτο πολύ· ἥ τε πλάσις ἔνδον ἅπασα διεχέετο, ἔντερα καὶ ἧπαρ καὶ σπλήν. Καὶ ὁ μὲν οὕτως διώλετο· ὡς δ' ἐπὶ πολλῷ οὐκ ἐξῄει, εἰσιόντες τινὲς, νεκρὸν ἐφεῦρον τῆς αἰσχρᾶς καθέδρας ἐγκεκλιμένον. Ὁ δ' ἀφεδρὼν ἄχρι C δὴ καὶ ἐς δεῦρο δείκνυται ὄπισθεν τῆς ἀγορᾶς ἐν τῇ τοῦ μακέλλου στοᾷ. Ἀείμνηστος δ' ὁ χῶρος, ἅτε πάντων τῶν παριόντων δάκτυλον κατ' αὐτοῦ ἐγειρόντων. Πολλῷ δὲ χρόνῳ ὕστερον λόγος μηδένα χρήσασθαι τῇ καθέδρᾳ ταύτῃ. Ἐφυλάττοντο γὰρ ἅπαντες τὸν τόπον· καὶ ἀποτρόπαιον εἶχον, ὡς τῆς ἀσεβείας τὰς ποινὰς ἐκεῖσε Ἀρείου ἐκτετικότος. Εἰσέπειτα δέ τις τῶν τὰ ἐκείνου φρονούντων πλούτῳ βρίθων πολλῷ τὸν τόπον ἐπρίατο· καὶ τὸ πρότερον ἀπαλείψας σχῆμα, οἰκίαν περιφανῆ κατεσκεύαζεν, ὥστε λήθῃ τὰ τοῦ τόπου δοθῆναι, καὶ μὴ κωμῳδοῖτο ὁ ἐκείνου θάνατος τῇ τῆς τοιαύτης ὑπομνήσεως διαδοχῇ. Ὡς δὲ κατάδηλος ὁ ἐκείνου θάνατος ἐγεγόνει, οὐ μία τις ἦν ἡ δόξα τῆς τελευτῆς· τοῖς μὲν γὰρ ἐδόκει, ὡς ἀθρόᾳ νόσῳ σχεθεὶς, καὶ πάρεσιν περὶ D τὴν καρδίαν ὑποστὰς, ἅτε δὴ τοῖς κατὰ γνώμην εὐμοιρήσας ὑφ' ἡδονῆς τὴν καρδίαν περιχυθείσης, αἴφνης ἀποθανεῖν· τοῖς δ' ὡς τῆς δυσσεβείας ἀξίας ἔτισε τὰς ποινάς· τοῖς δ' ἀμφ' αὐτὸν, ὡς γοητείαις ἢ φαρμάκοις πρός τινων ἐπιβούλων ἑάλω διαφθαρείς. Οὐ μετρία δὲ ἀγωνία τὸν Νικομηδέα κατέσχεν Εὐσέβιον. Διέθει γὰρ ἡ πρᾶξις οὐ τὴν πόλιν μόνην, ἀλλὰ καὶ τὴν οἰκουμένην πᾶσαν σχεδὸν διελάμβανε, ταχεῖ τῆς φήμης τῷ πτερῷ χρησαμένης. Ὁ δὲ βασιλεὺς ἥσθη μᾶλλον τῷ γεγονότι, καὶ ὡς ἐκ Θεοῦ ὑπαγορευθεῖσαν τὴν ἐν Νικαίᾳ πίστιν μᾶλλον ἐκράτυνε, καὶ τῷ Χριστιανισμῷ ὑπερφυῶς προσετίθετο. Οἶμαι δ' οὐκ ἄκαιρον γένοιτο καὶ ἅπερ τῷ μεγάλῳ

(1) Socrat. lib. I, cap. 38.

Ἀθανασίῳ εἴρηται περὶ τῶν συμβάντων Ἀρείῳ διαλαβεῖν. Γράφει δὲ οὕτω· « Καὶ γὰρ καὶ αὐτὸς Ἄρειος, ὁ τῆς μὲν αἱρέσεως ἔξαρχος, Εὐσεβίου δὲ κοινωνὸς, κληθεὶς ἐκ σπουδῆς τῶν τότε τῶν περὶ Εὐσέβιον παρὰ τοῦ μακαρίτου Κωνσταντίνου Αὐγούστου ἀπαιτούμενος ἐγγράφως εἰπεῖν τὴν ἑαυτοῦ πίστιν, ἔγραψεν ὁ δόλιος κρύπτων τὰς ἀναιδεῖς τῆς ἑαυτοῦ δυσσεβείας λέξεις, ὑποκρινόμενος καὶ αὐτὸς, ὡς ὁ διάβολος, τὰ τῶν Γραφῶν ῥήματα ἁπλᾶ καὶ ὡς ἔστι γεγραμμένα. Εἶτα λέγοντος τοῦ μακαρίου Κωνσταντίνου, Εἰ μηδὲν ἕτερον ἔχεις παρὰ ταῦτα ἐν τῇ διανοίᾳ, μάρτυρα τὴν ἀλήθειαν δός· ἀμυνεῖταί γὰρ ἐπιορκήσαντας αὐτὸς ὁ Κύριος· ὤμοσεν ὁ ἄθλιος, μήτ' ἔχειν, μήτ' ἄλλα παρὰ τὰ νῦν γραφέντα φρονεῖν, κἂν εἰρῆσθαι πώποτε εἴη παρ' αὐτοῦ· ἀλλ' εὐθὺς ἐξελθὼν, ὥσπερ δίκην δοὺς κατέπεσε· καὶ πρηνὴς γενόμενος, ἐλάκησε μέσος. Πᾶσι μὲν οὖν ἀνθρώποις κοινὸν τοῦ βίου τέλος θάνατός ἐστι, καὶ οὐ δεῖ τινος ἐπεμβαίνειν, κἂν ἐχθρὸς ᾖ ὁ τελευτήσας, ἀδήλου ὄντος, μὴ ἕως ἑσπέρας καὶ αὐτὸν τοῦτον καταλάβῃ· τὸ δὲ τέλος Ἀρείου, ἐπειδὴ οὐχ ἁπλῶς γέγονε, διὰ τοῦτο καὶ διηγήσεώς ἐστιν ἄξιον. Τῶν γὰρ περὶ Εὐσέβιον ἀπειλούντων εἰσαγαγεῖν αὐτὸν εἰς τὴν Ἐκκλησίαν, ὁ μὲν ἐπίσκοπος τῆς Κωνσταντινουπόλεως Ἀλέξανδρος, ἀντέλεγεν· ὁ δὲ Ἄρειος ἐθάῤῥει τῇ βίᾳ, καὶ ταῖς ἀπειλαῖς Εὐσεβίου· Σάββατον γὰρ ἦν· καὶ προσεδόκα τῇ ἑξῆς συνάγεσθαι. Πολὺς δὲ ἀγὼν ἦν, ἐκείνων μὲν ἀπειλούντων, Ἀλεξάνδρου δὲ εὐχομένου. Ἀλλ' ὁ Κύριος κριτὴς γενόμενος, ἐβράβευσε κατὰ τῶν ἀδικούντων. Οὔπω γὰρ ὁ ἥλιος ἔδυ, καὶ χρείας αὐτὸν ἑλκυσάσης εἰς τόπον, ἐκεῖ κατέπεσε, καὶ ἀμφοτέρων τῆς τε κοινωνίας καὶ τοῦ ζῆν εὐθὺς ἐστερήθη. Καὶ ὁ μὲν μακαρίτης Κωνσταντῖνος ἀκούσας, ἐθαύμασεν, εἰδὼς ἐλεγχθέντα τοῦτον ἐπίορκον· πᾶσι δὲ τότε γέγονε φανερὸν ὅτι τῶν μὲν περὶ Εὐσέβιον ἠσθένησαν αἱ ἀπειλαὶ, καὶ ἡ ἐλπὶς δὲ Ἀρείου ματαία γέγονεν· ἐδείχθη δὲ πάλιν ὅτι παρὰ τοῦ Σωτῆρος ἀκοινώνητος γέγονεν ἡ Ἀρειανὴ μανία καὶ ὧδε καὶ ἐν τῇ τῶν πρωτοτόκων Ἐκκλησίᾳ. Τίς οὖν οὐ θαυμάσειεν, ὁρῶν τούτους δικαιῶσαι φιλονεικοῦντας, ὃν ὁ Κύριος κατέκρινε, καὶ βλέπων αὐτοὺς ἐκδικοῦντας τὴν αἵρεσιν, οὓς ἀκοινωνήτους ἤλεγξεν ὁ Κύριος, μὴ ἀφεὶς τὸν αὐτῆς ἔξαρχον εἰς τὴν Ἐκκλησίαν εἰσελθεῖν; » Τοσαῦτα περὶ Ἀρείου καὶ Ἀθανάσιος.

videbatur repentina ægritudine correptus, et per animi liberiorem relaxationem, ut cui res ex sententia cecidisset, ex immensa, quæ cor ejus afflatim offuderit, lætitia, subito exstinctus esse. Alii, impietatis dignum fuisse supplicium putabant. Familiares ejus, ab obtrectatoribus ex insidiis per incantationem et veneficium necatum dicebant. Non mediocris vero animi sollicitudo Nicomediensem cepit Eusebium. Factum namque istud non urbem modo, sed universum prope orbem percurrit, fama de eo velociore passim increbrescente. Imperator sane re ea majorem in modum est delectatus, et propterea professionem fidei Nicænam perinde atque a Deo ipso dictatam, magis etiam defendit, Christianæ religioni mirificum in modum addictus. Locus ipse postulare videtur, ut quæ magnus Athanasius de Arii rebus scripta reliquit, referamus. Quæ sic se habent : « Nam et ipse Arius hæresis quidem princeps et antesignanus, 659
Eusebii vero particeps et socius, studio et opera Eusebii et amicorum ejus, vocatus a beato Constantino Augusto, et ab eodem ut in scripto persuasionem fidei suæ exponeret, flagitatus, in libellum eam dolo malo, impudentibus de impietate sua dictis suppressis, retulit, verbaque Scripturarum simplicia, sicuti in eis expressa reperiuntur, itidem ut diabolus assimulavit. Deinde cum beatus Constantinus dixisset : Si quidem nihil præterea tectum in mente habes, veritatem testimonio jurisjurandi confirma ; ulciscetur enim te, si falso juraveris, Dominus ipse. Juravit miser, neque habere se, neque aliud quam tum scripserit, quamvis dictum aliquando ab eo sit, sentire : sed illico egressus, tanquam pœnas pendens concidit, et præceps factus crepuit medius [1]. Atque omnibus quidem hominibus communis vitæ finis constitutus est mors ipsa : neque cuipiam, etiam si is inimicus fuerit, qui vita defunctus sit, insultare convenit; quod incertum sit, an non idem sibi ante vesperam accidat. Sed Arii obitus quandoquidem non simplex fuit, dignus propterea est qui commemoretur. Cum enim Eusebius se eum in Ecclesiam introducturum minaretur, episcopus quidem Constantinopolitanus Alexander id futurum negavit : Arius autem vi et minis Eusebii confisus est. Sabbatum quippe erat, et postridie sperabat se ecclesiæ conventui aggregatum iri. Certamen erat acre : his quidem minitantibus, Alexandro autem orante. Sed enim Dominus, judicio suo interposito, adversus homines iniquos judicavit. Nondum enim sol occiderat, et necessitate eum in locum suum pertrahente, ibi pessum iit, utroque simul, et communione et vita confestim orbatus. Beatus certe quidem Constantinus, re audita, admiratus eam est, perjurium ejus vindicatum esse perspectum habens. Omnibus autem tum manifestum fuit, cum Eusebii minacem denuntiationem, tum Arii spem et exspectationem frustra fuisse. Declaratum quoque rursum, Arianum furorem ab ipso Servatore exclusum esse a communione, et hic, et in primogenitorum ecclesia. Quis igitur non miretur, homines istos magno contentionis studio videns justitiæ laudem ei tribuere, quem condemnavit Dominus ? eosdemque cernens hæresim defendere eorum quos excommunicatos esse convicit Dominus, ducem ejus ecclesiam ingredi non passus? » Hæc de Ario Athanasius.

[1] Act. I, 18.

660 CAPUT LII.

De iis quæ postea Alexandriæ acciderunt, et de constitutione quam imperator contra omnes tulit hæreses.

Eo tam fœda morte sublato, finem tamen nugamenta ejus non habuere. Neque qui factionis ejus erant vel ad breve tempus desierunt insidias ei struere, qui in diversa erant sententia. Populus sane Alexandrinus frequenter ad imperatorem, qui ei de restitutione Athanasii miserabiliter supplicarunt, misit. Et ad eumdem scripsit multa virtute pollens Antonius, ne omnino Melitianis fidem haberet, sed potius ut sycophantiam omnino esse, intentatam Athanasio accusationem, crederet, orans. Imperator autem nequaquam persuaderi potuit : sed populo Alexandrino rescribens, dementiam atque inordinatam confusionem objecit. Sacerdotibus autem, et virginitatem colentibus scilicet, ut quieti essent, mandavit. Neque enim unquam se mutaturum de Athanasio sententiam, neque eum revocaturum esse asseruit : tanquam virum seditiosum, et malorum patratorem, præsertim cum ecclesiastico judicio condemnatus esset. Clam quoque Antonio significavit, se synodi decreta non facile irrita facere posse. Nam etiamsi pauci, inquit, fuerint, qui hostili animo sententia sua illum jugularint, tamen reliquam conventus ejus multitudinem bonorum et probatorum virorum, non ita simpliciter et temere prorsus illorum calculos fuisse secuturam. Addidit insuper, effreni esse lingua, et contumeliosum virum Athanasium, atque ad seditiones et discordias concitandas idoneum. Ita namque qui hostili in eum erant animo, apud imperatorem de talibus criminibus eum detulerant : cum imperatorem scirent vitia ejusmodi supra modum graviter ferre. Porro cum multitudinem in duas esse sciret factiones divisam, et aliam Athanasio, aliam autem Joanni favere, valde ea re commotus Joannem quoque ipsum exsilio multavit. Hic autem Melitii successor, in synodo Tyria communione uti, honoremque suum in clero suo, sicuti et sectatores ejus, habere jussus fuerat. At quamvis hoc præter opinionem Athanasii inimicorum accidit : accidit tamen. Neque Joanni profuere quidquam, quæ Tyri a synodo acta decretaque fuerant. **661** Imperator namque nulla supplicatione aut deprecatione flecti potuit (1), si quando suspicionem in quempiam, ad seditionem eum et discessionem Christianum clerum concitare, concepisset. Scire autem oportet Arii dogma, quamvis a multis magno studio in sermonibus et disputationibus frequentaretur, sine nomine tamen etiam tum fuisse, neque in corpus proprium coaluisse. Nam præter Novatianos, Phryges, Valentinianos, Marcionistas, et Paulianos, omnes

A

ΚΕΦΑΛ. ΝΒ'.

Περὶ τῶν μετὰ ταῦτα γεγενημένων ἐν Ἀλεξανδρείᾳ· καὶ περὶ τοῦ νόμου ὃν βασιλεὺς κατὰ πασῶν ἔθετο τῶν αἱρέσεων.

Καὶ τούτου δ' οὕτως αἰσχρῶς τὸ ζῆν ἀποῤῥήξαντος, οὐχὶ τέλος ἔσχον καὶ αἱ ἐκείνου ἐρεσχελίαι, οὐδὲ οἱ ἐξ ἐκείνου πρὸς βραχὺ γοῦν ἠρέμουν συῤῥάπτειν ἐπιβουλὰς τοῖς τἀναντία δοξάζουσιν. Ὁ μὲν οὖν τῶν Ἀλεξανδρέων δῆμος συχνῶς εἰς βασιλέα πέμποντες περὶ τῆς Ἀθανασίου καθόδου, οἰκτρῶς ἐλιπάρουν· ἔγραφε δὲ καὶ ὁ πολὺς τὴν ἀρετὴν Ἀντώνιος, ἀντιβολῶν, μὴ πάμπαν πιστεύειν τοῖς Μελιτιανοῖς· συκοφαντίας δ' ἀληθῶς εἶναι πιστεύειν τὰς κατ' Ἀθανασίου κατηγορίας. Ὁ δὲ βασιλεὺς οὐδαμῶς ἐπείθετο, ἀλλὰ τῷ μὲν Ἀλεξαν-
B δρέων δήμῳ γράφων ἄνοιαν καὶ ἀταξίαν ἐνεκάλει· ἱερεῦσι δὲ καὶ παρθενίαν ἀσκοῦσιν ἡσυχίαν ἄγειν ἐπέταττε. Μηδὲ γὰρ ἄν ποτε μετατεθῆναι τὴν ἐπ' αὐτῷ γνώμην ἐνίστατο, ὡς οὐδὲ μετακαλέσοι αὐτὸν, οἷα δὴ στασιώδη καὶ ῥέκτην κακῶν· ἄλλως τε καὶ ὡς ἐκκλησιαστικῇ δίκῃ καταψηφισθέντα. Ἠρέμα δὲ καὶ Ἀντωνίῳ ἐσήμαινε, μὴ οἷός τε εἶναι τὰ συνόδῳ κεκριμένα εὐχερῶς διαλύειν. Εἰ γάρ που καὶ ὀλίγοι, φησὶν, ἦσαν οἱ πρὸς ἀπέχθειαν καταψηφισάμενοι, οὐ πάντως εἶναι καὶ τὴν ἄλλην τῆς συνόδου πληθὺν, ἀγαθὴν οὕτω καὶ ἐλλόγιμον οὖσαν, ἁπλῶς οὕτω συνεψέσθαι ταῖς ἐκείνων γνώμαις. Προσετίθει δὲ, ὡς ἀκόλαστος τὴν γλῶσσαν καὶ ὑβριστὴς Ἀθανάσιος, καὶ στάσεις καὶ διχονοίας ἐνεργεῖν δεξιός· καὶ γάρ
C πως οἱ κακῶς πρὸς αὐτὸν ἔχοντες ἐν τούτοις εἰς βασιλέα διέβαλον, εἰδότες τὸν βασιλέα τοῖς τοιούτοις ὑπερφυῶς ἀχθόμενον. Τηνικαῦτα δὲ γνοὺς εἰς δύο διαιρεῖσθαι τὰ πλήθη, καὶ τοὺς μὲν Ἀθανασίῳ προσκεῖσθαι, τοὺς δὲ Ἰωάννῃ, σφόδρα χαλεπήνας καὶ αὐτὸν Ἰωάννην ἐξώρισεν. Ἦν δὲ οὗτος Μελιτίου διάδοχος καὶ παρὰ τῆς ἐν Τύρῳ συνόδου κοινωνῆσαι προσταχθεὶς καὶ τὰς τιμὰς τῶν ἰδίων ἔχειν κλήρων, καὶ οἳ μετ' αὐτοῦ ἦσαν. Καίτοι γε παρὰ γνώμην τοῦτο δὴ γέγονε τοῖς Ἀθανασίου ἐχθροῖς· ἐγένετο δ' οὖν. Καὶ Ἰωάννῃ ἥκιστα ἦσαν εἰς ὄνησιν, ὅσα οἱ ἐν Τύρῳ αὐτῷ συνεκρότησαν. Ὁ γὰρ βασιλεὺς κρείττων ἱκεσίας ἦν καὶ παντοδαπῆς παραιτήσεως, ὁπηνίκα ἐν ὑπονοίαις ἔσχε τινὰ, εἰς στάσιν καὶ μερισμὸν τὸν Χριστώνυμον κλῆρον διερεθίζοντα.
D Ἰστέον μέντοι ὡς τὸ Ἀρείου δόγμα, εἰ καὶ πολλοῖς κατὰ διάλεξιν ἐν σπουδῇ ἦν, ἀλλ' ἔτι τέως ἀνώνυμον ἦν, καὶ οὐχὶ εἰς ἴδιον σύστημα διεκρίνετο. Πλὴν γὰρ Ναυατιανῶν καὶ Φρυγῶν, Οὐαλεντινιανῶν τε καὶ Μαρκιωνιστῶν καὶ Παυλιανῶν, ἅπαντες ἅμα τε ἐκοινώνουν, καὶ ὑπὸ μίαν ἐκκλησίαν συνήγοντο. Κατὰ δὲ τῶν εἰρημένων αἱρέσεων ἕνα νόμον θέμενος ὁ βασιλεὺς, προσέταξε τὰ εὐκτήρια ἀφαιρεῖσθαι, συνάγεσθαι δὲ ταῖς καθόλου ἐκκλησίαις· ἀλλαχοῦ δὲ μὴ ἐξεῖναι μήτε ἰδίᾳ μήτε δημοσίᾳ ἐκκλησιάζειν· ἀλλ' ἐν κοινῷ πάντας συνεβούλευεν εἰσιέναι. Ἐξ ἧς

(1) Ὁ γὰρ βασιλεὺς κρείττων ἱκεσίας ἦν καὶ παντοδαπῆς παραιτήσεως, ὁπηνίκα ἐν ὑπονοίαις ἔσχε τινὰ εἰς στάσιν καὶ μερισμὸν τὸν χριστώνυμον κλῆρον διερεθίζοντα. *Imperator preces et deprecationes omnes eorum repudiabat, qui suspecti ei erant, quod ad dissidium et factiones Christi nomen usurpantem clerum concitarent.* Eusebius *De vita Constantini*

νομοθεσίας, ὥς γέ μοι τεκμηριῶσαι ἔστιν, αἱ πολλαὶ τῶν αἱρέσεων διεῤῥύησαν καὶ παῦλαν ἔσχον τῆς μνήμης. Ἐπὶ μὲν γὰρ τῶν ἄνω χρόνων ὅσοι κλήσει Χριστοῦ ἐσεμνύνοντο, εἰ καὶ διάφοροι ταῖς δόξαις ἦσαν, ἴσοι πάντες πρὸς τῶν τὰ Ἑλλήνων θαυμαζόντων ἐνομίζοντο· καὶ κακῶς ἐξ ἐκείνων πάσχοντες, ἀπολυπραγμόνητον τὸ διακρίνεσθαι εἶχον, κοινὰς ὑφιστάμενοι συμφοράς· διά τοι καὶ ῥᾷστα καθ' ἑαυτοὺς συνιόντες, ἐκκλησίαζον· πυκνήν τε τὴν ὁμιλίαν ἔχοντες, εἰ καὶ ὀλίγοι ἦσαν, ὅμως οὐκ εἰς πολλὰ διελύθησαν· τούτου δὲ τοῦ νόμου ἐκφωνηθέντος, δυσχερὲς εἶχον δημοσίᾳ συνιέναι· πολλῷ γε μὴν λάθρα τοῦτο ποιεῖν, τῶν ἐγχωρίων ἐπισκόπων φυλαττομένων. Κἀντεῦθεν περιδεεῖς μάλα γεγενημένοι, τῇ καθόλου Ἐκκλησίᾳ ἡνώθησαν. Εἰ δ' ἴσως καί τινες ἐπὶ τῆς οἰκείας ἔμειναν γνώμης, ἀδιάδοχοι κατελείφθησαν τελευτήσαντες, μήτε εἰς ταυτὸν ἰέναι ἐώμενοι, μήτ' ἀδεῶς διδάσκειν τὴν αἵρεσιν δεδυνημένοι. Καὶ γάρ πως αἱ μὲν ἄλλαι αἱρέσεις διὰ φαυλότητα τῶν εὑρόντων, ἢ τὸ τῶν δογμάτων σκαιὸν, οὐ πολλοῖς ἐσπουδάσθησαν· οἱ δὲ τὰ Ναυάτου φρονοῦντες, ὡς τῇ καθόλου Ἐκκλησίᾳ ἐπίσης περὶ Χριστοῦ δοξάζοντες, διέμειναν ἐπὶ πλεῖστον, μηδὲν ὑπὸ τοῦ νόμου ἐμποδὼν εὑρηκότες. Ἔοικε δὲ καὶ ὁ βασιλεὺς ἑκών γε καθυφιεὶς τοῦ ἐντόνου· φοβῆσαι γὰρ ᾑρεῖτο οὐ λυμαίνεσθαι τὸ ὑπήκοον. Πολλὰ γὰρ Ἀκέσιος ὁ τότε τῆς Ναυατιανῶν προϊστάμενος ἐκκλησίας τὰ μάλιστα συναιρόμενος ἦν τῇ κατ' αὐτὸν ἐκκλησίᾳ, βασιλεῖ κεχαρισμένος τυγχάνων διὰ τὸν βίον. Φρύγες δὲ, πλὴν Φρυγίας καὶ τῶν ἐγγειτόνων, κατ' ἄλλα τῆς ἀρχῆς μέρη τὰ ἴσα τοῖς ἄλλοις ἔπασχον· ἔνθα δὴ ἀφ' οὗ Μοντανὸς ἐγεγόνει τὴν ἀρχὴν ἐσχηκότες, ἐπὶ πολὺ διέμειναν. Τῷ δ' ἐνιαυτῷ ἐκείνῳ οἱ περὶ Εὐσέβιον καὶ Θέογνιν νεωτερίζειν περὶ τὸ δόγμα τῆς ἐν Νικαίᾳ συνόδου ἐγγράφως ἤρξαντο· καὶ γυμνῇ κεφαλῇ τὸ ὁμοούσιον ἀπελαύνειν οὐκέτ' ἐθάῤῥουν· καὶ γὰρ ἀκριβῶς ᾔδεσαν βασιλέα τε οὕτω δοξάζειν, καὶ ὑπερφυῶς τὴν ἔκθεσιν στέργοντα. Ἄλλην δὲ γραφὴν παρενείραντες, ἑρμηνείαις δή τισι καταδέχεσθαι τὰ ἐν Νικαίᾳ δόξαντα, τοῖς ἀνὰ τὴν ἕω ἐπισκόποις ἐμήνυον. Ἐκ μέντοι τῶν ῥητῶν ἐκείνων καὶ τῆς διανοίας εἰς διάλεξιν πεσοῦσα ἡ προτέρα ζήτησις, κἂν καὶ τελείως λήγειν ἐδόκει, ὅμως αὖθις ἀνεκινεῖτο. Καὶ τὰ μὲν κατὰ Ἄρειον ὧδε ἐγένετο.

nes alii simul communicabant, et in una convenicbant ecclesia: quippe contra quos lege lata, imperator oratoria eorum aboleri, eosque in catholicis ecclesiis cum aliis congregari jusserat. Alibi vero illis neque privatim neque publice conventus agere licere, sed in uno communiter omnes loco convenire voluit. Per quam legem, quantum ego colligo, multæ hæreses, memoria earum sublata, diffluxere. Superioribus enim temporibus, quicunque Christi appellatione censerentur, quamvis diversarum essent opinionum, eodem tamen loco apud eos qui Græcam susceperant superstitionem, erant: et cum ab illis affligerentur, de discrimine si quod inter eos esset, curiose ipsi inquirere supersederunt, communibus quippe calamitatibus expositi. Quapropter facillime per partes convenientes conciones habebant: frequentiorique consuetudine, cum pauci essent, in factiones multas non discedebant. Constitutione autem ista promulgata, difficile eis fuit publice seorsim convenire, multo vero minus clandestinos cœtus cogere, episcopis loci cujusque id observantibus. Proinde metu eo coerciti, catholicæ Ecclesiæ sunt uniti. Quod si forte aliqui in sua sententia perstitere, decedentes nullos reliquere successores, cum neque conventus eis agere permitteretur, neque libere hæresim docere possent. At hæreses aliæ vel propter auctorum improbitatem, vel propter dogmatum ineptias, non ita multis sunt frequentatæ. Novatiani autem, ut qui eadem cum universali Ecclesia de Christo sentirent, diutissime statum suum retinuere, neque illis constitutio ea obfuit. Videtur vero et imperator ipse non illibenter aliquid de rigore et severitate remisisse, et terrere potius quam perdere subditos maluisse. Et Acesius, qui tum Novatianorum episcopus fuit, maxime ecclesiæ suæ profuit, apud imperatorem propter sanctiorem vitam gratiosus. **662** Phryges vero, præterquam in Phrygia et locis finitimis, eadem in aliis imperii partibus, quæ aliæ hæreses, sunt passi. In locis autem suis, ex quo Montanus exstitit, sectæ suo exordio sumpto, longo permanserunt tempore. Eo autem anno Eusebius et Theognis, novas res de dogmate Nicænæ synodi, scriptis moliri cœperunt: et nudo quidem capite, quod dicitur, τὸ ὁμοούσιον consubstantiale rejicere ausi non sunt: satis enim sciebant imperatorem ipsum ita sentire, et mirifice formulam eam complecti. Aliam autem componentes scripturam, seu formulam fidei, interpretationibus quibusdam complecti eam, ea quæ Nicææ decreta essent, Orientalibus episcopis significarunt. Atque ex ejus verbis, eorumque sensu, in disputationem prior quæstio est deducta. Quæ tametsi finem suum consecuta esse videbatur, tamen eo pacto in controversiam est revocata. Et res quidem de Ario sic sunt actæ.

ΚΕΦΑΛ. ΝΓ'.

Περὶ τῶν κατὰ Μάρκελλον, ὃς Ἀγκύρας τῆς μικρᾶς Γαλατίας ἐπίσκοπος ἐγεγόνει· καὶ περὶ Ἀστερίου τοῦ σοφιστοῦ.

Ὑπὸ δὲ τὸν αὐτὸν χρόνον οἱ ἐν Κωνσταντινουπόλει συναθροισθέντες ἐπίσκοποι καὶ Μάρκελλον καθεῖλον τὸν ἐν Ἀγκύρᾳ τῆς μικρᾶς Γαλατίας ἐπισκο-

CAPUT LIII.

De Marcello qui Ancyræ minoris Galatiæ episcopus fuit, et de Asterio sophista.

Sub idem tempus episcopi Constantinopoli congregati, Marcello quoque Ancyræ minoris Galliæ episcopo dignitatem, veluti qui nova invexisset

dogmata, abrogarunt. Asterius namque quidam ex Cappadocia sophista, qui ostentationis et quæstus causa philosopharetur et doceret, eo studio posthabito, Christianam religionem se culturum professus fuerat, et libris aliquot compositis, Arii opinionem astruere contenderat. Cum quo itidem Christum Dei virtutem esse scripserat, uti Moses erucam et locustam magnam virtutem Dei esse dixit. Aliaque hisce similia cavillans, Arianis adhærebat : atque in synodis eis assistens, plurimum eos adjuvabat. Illud autem in consilio habebat, ut præclaræ alicujus urbis episcopatum consequeretur. Verum id quod constituerat, parum ei successit. Persecutione enim non tolerata, diis sacrificaverat : eamque ob rem, sacrorum administratio ei est denegata. Porro quos composuerat libros, in Syria vulgavit. Adversus quos Marcellus scribens, sive sciens, seu imprudens, in errorem ex diametro illi contrarium est delapsus, et cum Paulo Samosateno Christum merum esse hominem dixit (1). **663** Quod ubi intellexerunt qui Tyri et Æliæ coacti fuerant episcopi, Asterio quidem ipsi nihil objecerunt, quod scilicet sacris ecclesiastici ministerii initiatus non esset : Marcello autem episcopali dignitate prædito, cum plurima vitio verterunt, tum quod perperam scripsisset, dicam impegerunt, aboleréque eum libros, qui nihil a Samosateni scriptis differrent, jusserunt. Atque ille facturum se id pollicitus, minime tamen fecit. Cæterum ubi Eusebius inde litteris Constantini vocatus Byzantium venit, rursum Marcelli causa in disceptationem est deducta. Postquam autem minime illi visum est, ut impietatis libros, sicuti receperat, igni consumeret : episcopatum ei Eusebiani ademere, et Basilio cuidam eloquentia et varia doctrina præclaro viro, Galatiæ ecclesiam regendam tradidere. Scripserunt ii quoque, ut Marcelli scriptum, ubicunque reperiretur, prorsus aboleretur : capitibus quibusdam ex eo scripto, ut dissonantibus, epistolæ insertis. Quod sane scriptum libris tribus, quemadmodum audivi, pulcherrime refutavit Eusebius Pamphili : Marcellus autem in synodo Sardicensi postea episcopatum suum recuperavit, quod non ita sentire existimatus esset. Non enim satis perpensa et intellecta a multis ejus scripta : ob eamque causam, in Pauli eum opinionem incidisse, calumniam homini objectam esse, sicuti suo loco a me referetur, creditum est. Simulque dictum, per modum quæstionum a Marcello scripta ea esse instituta. Et imperator ipse, manifestam esse Eusebianorum contra eum calumniam deprehendit. Admodum enim infesti illi erant, quod neque in Phœnicia quæ adversus Athanasium ipsi constituerant, neque rursus Hierosolymis quæ pro Ario decreverant, comprobasset. Sed

A πήσαντα, ἅτε δὴ καινὰ εἰσηγησάμενον δόγματα. Σοφιστής γάρ τις ἐκ Καππαδοκίας, Ἀστέριος ὄνομα, τὸ σοφιστεύειν ἀφεὶς, θρησκεύειν τὰ Χριστιανῶν ἐπηγγέλλετο· καί τινας δὲ λόγους συγγράφων, συνιστᾷν ἐπεχείρει τὴν δόξαν Ἀρείου· μεθ' οὗ οὕτω καὶ τὸν Χριστὸν δύναμιν ἔλεγεν εἶναι Θεοῦ, ὥσπερ δῆτα καὶ Μωϋσῆς τὴν κάμπην καὶ τὴν ἀκρίδα δύναμιν εἶπε μεγάλην εἶναι Θεοῦ· καὶ ἄλλα δή τινα παραπλήσια σοφιζόμενος, τοῖς περὶ Ἄρειον συνεφέρετο. Κἀν ταῖς συνόδοις παρὼν, τὰ μέγιστα αὐτοῖς ἐβοήθει. Σκοπὸς δ' ἦν ἐκείνῳ μιᾶς τινος τῶν ἐπισήμων πόλεων ἱερωσύνην λαβεῖν· ἀλλὰ τοῦ σκοποῦ διημάρτανε. Μὴ ἐνεγκὼν γὰρ τὸν διωγμὸν, ἐπιθύει· καὶ διὰ τοῦτο ἀπείρητο αὐτῷ ἱερᾶσθαι. Τούς γε μὴν λόγους οὓς ἔφθη συνθεὶς, ἀνὰ τὴν Συρίαν ἰὼν ἐπε-
B δείκνυτο. Οἷς ἀντιλέγων Μάρκελλος ἢ ἑκὼν ἢ ἀγνοήσας, εἰς τὸ κατὰ διάμετρον ἐναντίον κατώλισθε, Παύλῳ τῷ ἐκ Σαμοσάτων ἐπίσης εἰπὼν τὸν Χριστὸν ψιλὸν ἄνθρωπον. Ὃ γνόντες οἱ ἐν Τύρῳ καὶ Αἰλίᾳ συναθροισθέντες ἐπίσκοποι, Ἀστερίῳ μὲν οὐδὲν ἐνεκάλεσαν, ἐπεὶ μηδὲ ἱερωσύνης μετεῖχε· Μαρκέλλῳ δὲ, ἅτ' ἐπισκοπικῆς καθέδρας ἠξιωμένῳ, καὶ πλεῖστα προσέφερον, καὶ τῶν οὐ καλῶς συγγραφέντων κατῃτιῶντο, καὶ ἀφανίζειν τὰ βιβλία ἐκέλευον· μηδὲν γὰρ διαφέρειν τῷ Σαμοσατεῖ συγγραφέντων. Ὁ δ' ἐπηγγέλλετο πράττειν· ἔπραξε δὲ οὐδαμῶς. Ὡς δὲ γράμμασι τοῦ Κωνσταντίνου ἐν τῷ Βυζαντίῳ ἧκον ἐκεῖθεν οἱ περὶ τὸν Εὐσέβιον, πάλιν τὰ κατὰ Μάρκελλον ἐκινεῖτο. Ὡς δ' ἐκείνῳ ἥκιστ' ἐδό-
C κει τὸ τῆς δυσσεβείας ἐκεῖνο κατακαίειν βιβλίον, ὡς ἐπηγγέλλετο, αὐτὸν μὲν ἀφεῖλον τὸ ἱερᾶσθαι· Βασιλείῳ δέ τινι δεινῷ λέγειν, καὶ ἐπὶ παιδεύσει λόγων παντοίαν δόξαν ἔχοντι, τὴν τῶν Γαλατῶν ἐγχειρίζουσιν ἐκκλησίαν. Ἔγραψαν δὲ καὶ ἀφανείᾳ τὴν Μαρκέλλου συγγραφὴν, ἔνθα εὑρίσκοιτο, παραδιδόναι, καί τινα τῆς συγγραφῆς ὡς ἀπᾴδοντα ἐπιβαλόντες τῇ ἐπιστολῇ. Τὸ μὲν οὖν Μαρκέλλου σύγγραμμα βιβλίοις τρισὶν, ὡς ἐπυθόμην, ἀνέτρεψεν ἀρίστως ὁ Παμφίλου Εὐσέβιος· αὐτὸς δὲ Μάρκελλος τῇ ἐν Σαρδοῖ συνόδῳ ἐς ὕστερον ἀνείληφε τὴν ἐπισκοπὴν, μὴ ὧδε φρονεῖν λογισάμενος, μηδὲ γὰρ νενοῆσθαι αὐτοῦ τὸ σύγγραμμα τοῖς πολλοῖς· καὶ διὰ τοῦτο τὴν Παύλου δόξαν φρονῆσαι διαβληθεὶς, ὡς ἐν καιρῷ μοι λέξεται. Καὶ γὰρ ἐλέγετο, ὡς ἐν ζητήσει ταῦτα
D τῷ Μαρκέλλῳ εἰρῆσθαι. Καὶ αὐτὸς δὲ ὁ βασιλεὺς, ὁμολογουμένην εἶναι διαβολὴν τῶν περὶ Εὐσέβιον κατεφώρασεν. Καὶ γὰρ σφόδρα χαλεπαίνοντες ἦσαν Μαρκέλλῳ. Οἷς μήτ' ἐν τῇ Φοινίκῃ τοῖς ὁρισθεῖσι κατὰ Ἀθανασίου συνέθετο, μηδ' αὖ πάλιν ἐν Ἱεροσολύμοις ὑπὲρ Ἀρείου, μήτε συμμετασχὼν ἐκείνοις τῆς ἀφιερώσεως τοῦ ἐν τῷ Κρανίῳ νεὼ, ὃ μέγα μαρτύριον ἐπεκλήθη· διεστέλλετο γὰρ αὐτοῖς κοινωνεῖν. Διά τοι καὶ γράφοντες κατ' αὐτοῦ βασιλεῖ, σὺν ἄλλοις προὔφερον, καὶ ὡς βασιλέα ὑβρίσοι· οἷς τὸν αὐτῷ περιφανῶς οἰκοδομηθέντα ναὸν μὴ ἀξιώσοι σὺν τοῖς

(1) Filium enim Dei ex Maria initium sumpsisse, et regnum ejus finem habiturum esse, dixit. Sozom. lib. II, cap. 33.

λοιποῖς ἱερεῦσιν ἀφιεροῦν. Ἀλλὰ περὶ μὲν Μαρκέλλου τοσαῦτα.

A neque in dedicando Calvariæ templo, quod magnum martyrium est cognominatum, a communione eorum se subducens, eis affuisset. Quapropter ad imperatorem adversus eum scribentes, præter alia viro objecerant in imperatorem ipsum contumeliam, eo quod ecclesiam splendidissime conditam, cum reliquis episcopis consecrare supersedisset. Hæc de Marcello.

ΚΕΦΑΛ. ΝΔ'.

Περὶ τῆς τελευτῆς καὶ διαθήκης τοῦ μεγάλου Κωνσταντίνου.

Ὁ δὲ βασιλεὺς ἤδη εἰς τοὺς παῖδας Καίσαρας ὄντας τὴν ἀρχὴν διελὼν, Κωνσταντίνῳ μὲν καὶ Κώνσταντι τὰ πρὸς δύσιν ἀπένειμε· Κωνσταντίῳ δὲ τὴν Ἑῴαν ἐκλήρου. Ὧν τὸν μὲν ἐν τῇ πρώτῃ τῆς ἀρχῆς δεκάδι ἀνεῖπε Καίσαρα, Κωνστάντιον δὲ τῇ εἰκοσαετηρίδι· τὸν δὲ νεώτερον Κώνσταντα ἐν τῇ τριακονταετηρίδι τῆς βασιλείας ἐχειροτόνησεν. Ἔπειτα B ἐνιαυτοῦ καί τινων διαγεγονότων μηνῶν, πέντε καὶ ἑξήκοντα ἐνιαυτῶν γεγονὼς, τὸ σῶμα μαλακισθεὶς κατὰ τὴν τῆς Βιθυνίας Ἑλενόπολιν διεπέρασεν. ἵνα τοῖς ἐκεῖ γειτνιάζουσιν, αὐτομάτοις καὶ φυσικοῖς λουτροῖς χρήσηται. Χαλεπώτερον δὲ διατεθεὶς, τὸ μὲν λουτρὸν ὑπερτίθησιν· εἰς δὲ Νικομήδειαν φέρεται· κἀκεῖ ἐν προαστείῳ διάγων, ὥς φησιν Ἑρμείας καὶ Σωκράτης καὶ Θεοδώρητος, οἱ τὰ ἐκκλησιαστικὰ συγγραψάμενοι, τοῦ θείου μεταλαγχάνει βαπτίσματος. Ἐγὼ δὲ καὶ αὐτὰς ἐκείνων τὰς συλλαβὰς παραθήσομαι. Ὁ μὲν γὰρ Σωζομενὸς οὕτω λέγει· « Ἔνθα δὴ ἐν προαστείῳ διάγων τὴν ἱερὰν ἐμυήθη βάπτισιν· ἐπὶ δὲ τούτῳ σφόδρα ἡσθεὶς, χάριν ὡμολόγει Θεῷ. » Σωκράτης δὲ λέγει· « Ἀπαίρει ἐκ τῆς C Ἑλενουπόλεως εἰς τὴν Νικομήδειαν· κἀκεῖ δὲ ἐν προαστείῳ διάγων, τοῦ Χριστιανικοῦ μεταλαμβάνει βαπτίσματος. » Ἐπίσης δὲ καὶ ὁ Θεοδώρητος· « Τριακοστὸν δὲ ἦν αὐτῷ τῆς βασιλείας ἔτος· ἐνιαυτοῦ ἄλλου δὲ καὶ μηνῶν διεληλυθότων ὀλίγων, ἐν Νικομηδείᾳ τῆς Βιθυνίας διάγων, ἠῤῥώστησε. Τὸ δὲ τῆς ἀνθρωπίνης βιοτῆς ἄδηλον ἐπιστάμενος, τοῦ θείου βαπτίσματος τὸ δῶρον ἐδέξατο· ἀνεβάλετο δὲ μέχρι τοῦδε τοῦ χρόνου, ἐν Ἰορδάνῃ τῷ ποταμῷ τούτου τυχεῖν ἱμειρόμενος. » Ταῦτα μὲν ἐκεῖνοι οὐκ οἶδ' ὅπως φασίν· ἡμεῖς δὲ συμφωνοῦντες τῇ καθόλου Ἐκκλησίᾳ, κατὰ Ῥώμην εἴπομεν τοῦ θείου τούτου ἀξιωθῆναι λουτροῦ, Σιλβέστρου τὰς ἱερουργοὺς χεῖρας ἐπιθέντος αὐτῷ. Καὶ περὶ μὲν τούτων, οὕτως· διαθήκας δὲ ποιήσας, τοῖς τρισὶ παισὶ, καθὰ D διεῖλε καὶ πρότερον, τὴν ἀρχὴν ἐμερίσατο. Πολλὰ δὲ γέρα τῇ τε πρεσβυτέρᾳ Ῥώμῃ καὶ τῇ ἐπωνύμῳ αὐτοῦ πόλει καταλιπὼν, ἐτελεύτα, πέντε μὲν καὶ ἑξήκοντα γεγονὼς ἐτῶν, τούτων δὲ ἄρξας δύο πρὸς τοῖς τριάκοντα, μηνῶν δεόντων τινῶν, τῇ πρώτῃ καὶ εἰκάδι τοῦ Μαΐου μηνὸς, ἐν ὑπατείᾳ Φιλικιανοῦ καὶ Τατιανοῦ, ὃ δὴ δεύτερον ἦν ἔτος τῆς διακοσιοστῆς ὀγδοηκοστῆς ἑβδόμης Ὀλυμπιάδος. Τελευτῶν δὲ προσέταξεν εἰς τὴν Ἀλεξάνδρειαν ἐπανελθεῖν

664 CAPUT LIV.

De obitu et testamento magni Constantini.

Imperator imperio filiis jam diviso, Constantino quidem et Constanti partem occidentalem designaverat, Constantio autem Orientem dederat. Quorum primo imperii sui decennio Constantinum, secundo Constantium, tertio minimum natu Constantem Cæsarem dixit. Deinde anno uno et mensibus aliquot peractis, sexaginta et quinque annos natus (1), corpore male affecto, Helenopolim (2) Bithyniæ transiit, ut ibi quæ in propinquo sunt, sua sponte profluentibus et naturalibus lavacris uteretur. Cum vero graviorem sentiret imbecillitatem, lavatione posthabita Nicomediam (3) venit : atque ibi in suburbano agens, quemadmodum Hermias, Socrates, et Theodoritus ecclesiastici scriptores dicunt, divinum percêpit baptismum. Quorum verba hic apponere visum est. Hermias enim Sozomenus sic inquit : « Ibi sane cum in suburbano ageret, sacro initiatus est baptismo : qua de re vehementer lætatus, Deo egit gratias. » Socrates autem : « Helenopoli Nicomediam est profectus, ibique in suburbano agens, Christianum suscepit baptismum. » Itidem et Theodoritus : « Tricesimus imperii ejus prætererat annus, atque anno insuper, et mensibus paucis exactis, Nicomediæ in Bithynia agens, ægrotare cœpit. Cum vero quam incerta sit hominibus vita cognitum haberet, divinum baptismi donum suscepit : quem ad id usque tempus ideo distulerat, quod in flumine Jordane percipere concupivisset. » Hæc illi quidem nescio quo modo dicunt : nos vero Ecclesiæ universali consentientes, Romæ eum sacro lavacro tinctum esse, Sylvestro administram ei imponente manum, diximus. Ac de his quidem satis. Porro testamento condito, imperium tribus filiis, sicuti antea distribuerat, reliquit. Et multis veteri Romæ, et cognomini ei urbi honoribus et præmiis concessis, vita est defunctus, sexagesimo quinto ætatis anno : cum quidem imperasset annis triginta duobus (4), mensibus aliquot decollantibus, vicesimo primo mensis Maii die, Feliciani et Tatiani consulatu, qui ducentesimæ octuagesimæ septimæ olympiadis secundus annus fuit (5). **665** Moriens revocari Alexandriam Athanasium jussit (6), Eusebio aliisque qui ei adversabantur, præsentibus : nemo vero miretur, quod

(1) Sexaginta sex, Eutrop.
(2) Thermæ ad Helenopolim.
(3) Idem ad Nicomediam baptizatus ab Eusebio Nicomediensi episcopo. In eadem sententia sunt Rufin., Oros., Cassiod. et Pomp. Lætus.

(4) Hæc temporis observatio cum aliorum chronographorum ratione non prorsus concordat.
(5) Quidam ponunt olympiadem 279.
(6) Theodoret. lib. I, cap. 33.

tantos viros deceptus exsilio multaverit. Nam qui A id ei persuasere, antistites sacrorum fuere, intra se quidem fraudem illi et dolum occultantes, extra vero splendorem magnificum præ se ferentes : quando etiam divinum et magnum illum prophetam Davidem non pontifex aliquis, sed domesticus verbero servus decepit. Sibam enim illum, satis scio quod legeritis : qui confictis mendaciis regem contra Miphiboset, ut agros illi auferret, concitavit. Quod quidem non ideo, ut Prophetam accusem, dixi : sed ut imperatorem defendam, et naturæ humanæ imbecillitatem declarem : simulque illud admoneam, ne statim prorsus accusatoribus, etiam si sint vel præclari, vel exacta ætate viri, fides habeatur, sed ut auris altera semper adversario B reservetur. Testamentum apud presbyterum deposuit, quem Arii laudatorem Constantia soror ejus, eademque Licinii conjux, moriens ei ut virum bonum commendaverat. Id juramento interposito, Constantio, cum ex Oriente veniret, dandum præcepit. Ex filiis enim decedenti nullus affuit.

CAPUT LV.

De sepultura ejus : item quibus moribus, qua statura et forma corporis fuerit.

Ab[illegible] potius agendi [illegible] Romam recurrit. Gregorius [illegible] recipit. [illegible] male animata, [illegible] episcopi [illegible]. Eusebius enim suis, [illegible] suam peracta, magnaque [illegible] in Oriente catholicis rejectis, et [illegible] qui cum [illegible] sentirent, insignioribus [illegible] Alexandriæ [illegible] ad Orientem, præ[illegible] ad Hellespontum [illegible] urbe [illegible] sede occupata, admodum mœrens [illegible] eorum habuit episcopos. Julius autem Romanus pontifex, et totius Occidentis episcopi, constantes Nicænæ synodi suffragatores et laudatores, rebus quæ in Oriente præter spem acciderant, graviter affligebantur. Ipsum quoque Athanasium ad se venientem perbenigne susceperunt: et virum tantum, eademque cum eis sentientem, honore sunt prosecuti, causamque ejus ad judicium cognitionemque suam transferendam duxerunt, et scriptis eam ob rem litteris synodum ad se evocarunt. Quibus litteris Eusebius exacerbatus, missis ad Julium legatis, judicium ei rerum in Tyria synodo adversus Athanasium decretarum permisit.

ἐς Ῥώμην [illegible]. Γρηγόριος δέ, ἐκποδὼν ἐκείνου γεγενημένου, τὸν θρόνον [illegible]. Χαλεπῶς δὲ [illegible], τὴν παρ' αὐτοῖς [illegible] ἐκκλησίαν περὶ παραδέξω[illegible]. [illegible] Εὐσεβίῳ κατειργασμένων [illegible] τῶν ἀνὰ τὴν ἕω ἐπισκόπων καθῃρημένων [illegible] τοῖς ἐπισήμοις τῶν [illegible] ἐπί τε Ἀλεξανδρείας καὶ τῆς περὶ Ὀρόντην Ἀντιοχείας, καὶ τῆς ἀνὰ τὸν Ἑλλήσποντον [illegible] εἶχον καὶ [illegible] ἐπισκόπους. Ἰούλιος δὲ ὁ τῆς Ῥώμης ἐπίσκοπος, καὶ οἱ ἀνὰ τὴν ἑσπέραν [illegible] ἱερεῖς, [illegible] τῆς ἐν Νικαίᾳ συνόδου γεγενημένης, [illegible] ἦσαν τοῖς ἀνὰ τὴν ἕω [illegible]. Ἀμέλει τοι καὶ ἥκοντα πρὸς αὐτοὺς Ἀθανάσιον ἀσμένως ἐδέξαντο, καὶ τιμῆς ἠξίουν [illegible] ὄντα, καὶ ὁμόφρονα τούτοις καθεστηκότα· καὶ τὴν κατ' Ἀθανάσιον δίκην ἐπ' αὐτοῖς γενέσθαι [illegible]· καὶ γράφοντες πρὸς ἑαυτοὺς τὴν σύνοδον μετεστέλλοντο. Χαλεπαίνων δὲ τούτοις Εὐσέβιος, διεπρεσβεύετο πρὸς Ἰούλιον, αὐτῷ δῆθεν ἐπιτρέπων τὴν κρίσιν τῶν ἐν Τύρῳ δοξάντων κατὰ Ἀθανασίου.

CAPUT VII.

Ut post Eusebium Paulus rursum sedem receperit, Ariani autem Macedonium contra eum foverint: et de cæde Hermogenis ducis: et ut denuo Paulus sit ejectus.

Priusquam autem responsum Roma accepisset, Eusebius diem suum obiit, non diu a synodo Antiochena superstes. Porro bellua ea sublata, Constantinopoli cœtus piorum studio et ardore, quo erga Nicæna decreta ferebantur, Paulum in ecclesiam reduxere. Tum quoque Arianorum factio, et Theognidis atque Theodori Perinthii (Heracleotem eum nominant) sectatores, in ea quæ Pauli dicitur ecclesia, conventu acto, Macedonium Constantinopolitanum elegerunt episcopum. In quibus cum alii multi, tum Ursicius et Valens, **684** alter quidem Singidonis superioris Mysiæ, alter autem Mursorum superioris Pannoniæ episcopi fuere: qui postea resipuere, et libello pœnitentiæ Julio Romæ episcopo oblato, ὁμοουσίῳ consubstantiali assensere, et ad communionem admissi sunt. Tum temporis autem acres Arianæ opinionis æmulatores, non parvos Ecclesiæ motus excitarunt: quorum unus etiam Macedonius fuit. Civili namque ex ea causa bello exorto, plebs quotidie fere seditionem concitabat: et multitudine utrinque concurrente, plurimi atterebantur atque peribant. Qua re imperator cognita, cum adhuc Antiochiæ moraretur, ira percitus, Hermogeni duci, qui tum in Thraciam missus fuerat, mandavit, ut ex itinere cum equestri manu in urbem imperatricem diverteret, et Paulum Ecclesia ejiceret. Qui ubi affuit, et imperata facturus militarem manum adhibuit, plebs

ΚΕΦΑΛ. Ζ'.

Ὡς μετὰ Εὐσέβιον πάλιν ὁ Παῦλος τὸν θρόνον ἐλάμβανεν· οἱ δὲ Ἀρειανοὶ Μακεδόνιον προεβάλλοντο, καὶ περὶ τῆς ἀναιρέσεως τοῦ στρατηλάτου Ἑρμογένους· καὶ ὡς ἐξηλάθη πάλιν ὁ Παῦλος.

Πρινὴ δὲ τὴν ἐκ Ῥώμης ἀπολογίαν μαθεῖν, ὁ Εὐσέβιος φθάνει τὸν βίον ἀπολιπών, οὐ πάμπολυ τῆς ἐν Ἀντιοχείᾳ ὑστερήσας συνόδου. Τοῦ δὲ τοσούτου διαφθαρέντος θηρός, ὁ τῆς Κωνσταντίνου εὐσεβὴς ὅμιλος ζήλῳ τῶν κατὰ Νίκαιαν δεδογμένων τὸν Παῦλον αὖθις εἰς τὴν ἐκκλησίαν ἀνήγαγον. Κατὰ ταυτὸν δὲ καὶ οἱ τῆς Ἀρειανῶν συμμορίας, οἱ ἀμφὶ Θέογνιν καὶ Θεόδωρον τὸν Περίνθιον, Ἡρακλεώτην δὲ αὐτὸν ὀνομάζουσιν, ἐν τῇ κατὰ Παῦλον εἰρημένῃ Ἐκκλησίᾳ συνελθόντες, Μακεδόνιον τῆς Κωνσταντίνου χειροτονοῦσιν ἐπίσκοπον. Ἐν οἷς ἄλλοι τε πολλοί, καὶ Οὐρσάκιος, καὶ Οὐάλης· ὧν ὁ μὲν Σιγγιδόνος τῆς ἄνω Μυσίας, Μυρσῶν δὲ τῆς ἄνω Παννονίας Οὐάλης, ἦσαν ἐπίσκοποι· οἳ δὴ ἐς ὕστερον μεταμέλῳ χρησάμενοι βιβλίον μετανοίας τῷ Ῥώμης Ἰουλίῳ δόντες, τῷ ὁμοουσίῳ συνέθεντο, καὶ κοινωνεῖν ἠξιώθησαν. Τηνικαῦτα δὲ διάπυροι ζηλωταὶ τῆς Ἀρειανικῆς θρησκείας ὄντες, πολέμους κατὰ τῆς Ἐκκλησίας οὐ μικροὺς ἀνεστήσαντο· ὧν εἷς καὶ ὁ κατὰ Μακεδόνιον. Ἐμφυλίου γὰρ ἐντεῦθεν πολέμου γεγενημένου, στάσιν ὁ δῆμος καθ' ἑκάστην ὡς εἰπεῖν εἶχε. Τοῦ δὲ πλήθους συμπίπτοντος ἑκατέρωθεν, πλείστους τε συντρίβεσθαι συνέβαινε καὶ διόλλυσθαι· ἃ δὴ καὶ βασιλέα μαθόντα, ἔτι κατὰ τὴν Ἀντιόχειαν διατρίβοντα, περιοργῆ τε γενόμενον, Ἑρμογένει ἐντείλασθαι στρατηλάτῃ, τοῖς Θρᾳκῴοις μέρεσι τηνικαῦτα δὴ σταλέντι, ἐνῷ, ἐδοῦ πάρεργον τὴν βασιλίδα καταλαβεῖν σὺν ἱππικῇ δυ-

νέμει, καὶ τὸν Παῦλον ἀπελάσαι τῆς ἐκκλησίας. Ὡς δὲ παριὼν τὸ κελευσθὲν ἐπεχείρει, καὶ βίαν προσῆγεν, οὐ συνεχώρει τὸ πλῆθος. Ἐπεὶ δὲ καὶ ἀμύνειν ἑτοίμως εἶχον, Ἑρμογένης ἔτι ἐπέκειτο τῇ στρατιωτικῇ χειρὶ χρώμενος. Τὸ δὲ πλῆθος κατὰ βραχὺ στασιάζον ἐξήπτετο, καὶ πρὸς ἀλογωτέρας ἐκινεῖτο ὁρμάς. Ἔπειτα πανδημεὶ προσιόντες, τὴν Ἑρμογένους ἐμπιπρῶσιν οἰκίαν, καὶ αὐτὸν κτείνουσιν. Εἶτα σχοινίον ἐξάψαντες τῶν ποδῶν, εἷλκον διὰ τῆς λεωφόρου τῆς πόλεως. Ταῦτα μαθὼν ὁ Κωνστάντιος, ἱππεὺς ἐλάσας, τὴν βασιλίδα κατέλαβε. Κακῶς δὲ δρᾷν τὸ πλῆθος διανοούμενος, παρῆκε δεδακρυμένους ὁρῶν ὑπαντῶντας αὐτῷ. Περιεῖλέ γε μὴν ἀμφὶ τὸ ἥμισυ τοῦ σίτου, ὃν Κωνσταντῖνος κατ' ἔτος ἐκ τῆς Ἀλεξανδρείας καὶ τῶν κατ' Αἴγυπτον φόρων τοῖς ἰδίοις ἐδωρεῖτο πολίταις· ἴσως ἄμεινον λογισάμενος περιελεῖν τὰς στάσεις αὐτοῖς, ὑπὸ τρυφῆς, ὡς τὰ πολλὰ, καὶ ῥᾳστώνης φύεσθαι εἰωθυίας. Ὀκτὼ γὰρ μυριάδες μέδιμνοι καθ' ἡμέραν ἐχορηγοῦντο σίτου τῷ πλήθει πρὸς Κωνσταντίνου· ὧν τὸ ἥμισυ τηνικαῦτα περιεῖλε Κωνστάντιος. Τὴν ὀργὴν δὲ πᾶσαν ἔτρεπεν ἐπὶ Παῦλον· καὶ οὐ τοῦ θρόνου μόνον, ἀλλὰ καὶ τῆς πόλεως ἤλαυνε. Χαλεπαίνων δὲ καὶ Μακεδονίῳ, ὡς στάσεων καὶ θορύβων αἰτίῳ, οὐ μὴν δὲ ἀλλὰ καὶ τῆς τοῦ Ἑρμογένους ἀναιρέσεως, καὶ ὅτι τῆς ἐκείνου ἄνευ ἐπιτροπῆς τὴν ἱερωσύνην ἀνέλαβεν, οὔτε συγκροτήσας τὴν ἐκείνου ψῆφον, οὔτε μὴν ἀποχειροτονήσας αὐτὸν, ἐάσας δ' οὕτως ἔχειν ἐν ᾗ συνῆγεν ἐκκλησίᾳ, εἰς τὴν Ἀντιόχου ἀπέστρεψεν. Ἐν τούτῳ δὲ καὶ Ἀρειανοὶ ὡς νωθῆ περὶ τὴν θρησκείαν Γρηγόριον, καὶ ὡς τοῖς Ἀλεξανδρεῦσιν ἀγλευκῆ καθεστῶτα, ἔτι δὲ καὶ διὰ τὰ συμβάντα τῇ εἰσόδῳ αὐτοῦ κατὰ τὴν ἐκκλησίαν τοῦ παρ' αὐτοῖς ἐπισκόπου Διονυσίου, μεθιστῶσι μὲν ἐκεῖνον, Γεώργιον δέ τινα, Καππαδόκην τὸ γένος, μάζῃ καὶ πιτύροις κατατετριμμένον, ὡς καὶ ταρίχων κρεῶν ὑείων ταμίαν γενέσθαι, οἷα δὲ περὶ τὴν θρησκείαν δραστήριον, ἀντικαθιστῶσι τῷ τῆς Ἀλεξάνδρου θρόνῳ.

A ei restituit. Eam vero, ad vim vindicandam paratam videns Hermogenes, amplius etiam militari robore institit. Ibi multitudo ad seditionem et tumultum paulatim concitata, præter rationem ad impetum prosiluit: et deinde una simul omnes ruentes, Hermogenis domum incendere, ipsumque occidere: fune quoque ad pedes ejus alligato, per urbis vias traxere. Hæc ubi ad Constantium sunt relata (1), equo vehens Constantinopolim venit. Et cum graviter in multitudinem animadvertere statuisset, noxam eis, quod lacrymantes ei obviam ierant, remisit. Dimidiam tamen circiter frumenti partem ademit, quod Constantinus quotannis ex Alexandriæ et Ægypti tributis, civibus suis largitus fuerat; melius videlicet Constantius esse rebatur, sic sedi- B tionum, quam aliter, accidere causas, quæ ex luxu plurimum et secundarum rerum licentia emergere solent. Octoginta enim millia medimnorum frumenti quotidie a Constantino plebi datæ fuerant, cujus dimidiam partem tum Constantius diminuit: ira omni in Paulum conversa, quem non solum throno, sed urbe etiam ejecit. Macedonio quoque succensens, ut seditionum, tumultuum, atque adeo cædis Hermogenis auctori, et quod injussu suo episcopatum recepisset, electione ejus neque comprobata neque abrogata, in eaque qua conventus agebat ecclesia, eum sic manere passus, Antiochiam revertit. **685** Interea Ariani Gregorium perinde atque in religionem segnem, et Alexan- C drinis minus gratum, et propter ecclesiæ, quæ Alexandriæ Dionysii episcopi fuerat, in introitu ejus conflagrationem, episcopatu movent: et Georgium quemdam Cappadocem genere, qui circa panem viliorem et furfur ætatem egeret, succidiæque adeo suillæ promus condus fuerat, quod in religione tuenda industrius esset, pro eo in Alexandrina sede collocarunt.

ΚΕΦΑΛ. Η'.

Ὡς Ἀθανάσιος καὶ Παῦλος γράμμασιν Ἰουλίου ὀχυρωθέντες, τοὺς ἰδίους θρόνους ἀπέλαβον.

Ἀθανάσιος δὲ τοῖς ἐν Ῥώμῃ διῆγε, Κώνσταντος τοῦ νεωτέρου τῶν Κωνσταντίνου παίδων τῆς ἑσπέρας πάσης κατάρχοντος. Ἐν ταυτῷ δὲ Παῦλος ὁ τῆς Κωνσταντίνου ἀφῖκτο, καὶ Μάρκελλος ὁ Ἀγκυρανὸς, δι' αἰτίας ἅσπερ εἰρήκαμεν, καὶ Ἀσκληπᾶς, ὁ τῆς Γαζαίων ἐπίσκοπος· ὃς δὴ καὶ οὗτος γενναίως ἀντιφερόμενος τοῖς Ἀρειανοῖς, γραφὴν πρὸς τῶν δι' ἐναντίας ὑποστὰς ὡς εἴη θυσιαστήριον ἀνατρέψας, ἀφῄρηται τὴν ἐπισκοπήν. Κυντιανὸς δὲ ταύτην ἐλάμβανεν. Ἐπίσης δὲ καὶ Λούκιος ὁ τῆς Ἀδριανοῦ ἐγκληθεὶς, καὶ τῆς ἀξίας γυμνωθεὶς, καὶ αὐτὸς ἧκεν εἰς Ῥώμην. Ἐπεὶ δὲ τὰ κατ' αὐτοὺς ἀνέγνω ὁ Ῥώμης Ἰούλιος, ὁμονοοῦντας ὅμως περὶ τὰ ἐν Νικαίᾳ δεδογμένα εὑρὼν, κοινωνίας ἠξίωσε.

CAPUT VIII.

Ut Athanasius et Paulus, litteris Julii freti, sedes suas receperint.

Athanasius autem Romæ agebat, Constante Constantini minimo natu filio toti Occidenti imperante. D Venit eo Constantinopolitanus quoque Paulus, et Marcellus Ancyranus, propter eam quam diximus causam, Asclepas etiam Gazæorum episcopus, qui et ipse quod fortiter Arianis resisteret, accusationem judiciumque, quasi sacrificii aram evertisset, sustinuit: et ob id episcopatum deponere coactus fuit, quem episcopatum Quintianus est consecutus. Lucius præterea Adrianopolitanus eodem crimine delatus, et dignitate itidem spoliatus, Romam confugit. Horum causa Julius antistes Romanus cognita, quod consentientes sibi de Nicænis decretis invenit, communione eos est dignatus. Pro ampli-

(1) Acta sunt hæc Constantio III et Constante II coss., quo tempore Constans Francorum gentem bello victam fœdere sibi conjunxit. (Socrat. lib. II, cap. 13.)

tudine autem sedis suæ, ex veteri privilegio et prærogativa [1], personam habens, omnium ubique episcoporum curam et judicium ad se pertinere, datis cuique liberrime scriptis litteris, suas eis ecclesias reddidit, eosque in Orientem remisit : eos qui temere illos exauctorassent, perstringens, ut qui non recta sequerentur consilia, motusque et turbas ecclesiis crearent, neque semel Nicææ factis fidei decretis starent. Ad hæc præcepit, ut quidam ex eis ad diem constitutum Romæ præsto essent, qui recte sententiam in condemnatos latam esse probarent. Sin minus, minas addidit : nisi a rebus novandis desisterent, se ab eis sacras exacturum pœnas. Athanasius, et qui cum eo erant, missis ad Orientales episcopos litteris, ecclesias suas receperunt. **686** Illi contumeliam esse rati Julii objurgationem, Antiochiæ congregati, de sententia omnium epistolam ad eum misere, luculenter quidem illam scriptam, ironiis autem aculeatisque verbis refertam, forensemque et judicialem in modum compositam, et quæ styli vi et gravitate minarum expers non esset. Scripserunt enim, Romanæ quidem urbi ab omnibus observantiam exhiberi et honorem : quippe quæ antiquitus apostolorum domicilium et schola, veræque pietatis, ut aliquis dicat, metropolis et primaria urbs fuerit : quamvis ex Oriente præcones ejus eo venerint, se tamen non ideo secundas ferre debere, quod Ecclesiæ magnitudine superiores non essent, cum virtute et rebus aliis priores se esse existimarent. Illud etiam criminis loco objecere, communicare eum cum Athanasio animum induxisse : idque indigne tulere, veluti contumelia synodi eorum sententiæ irrogata esset. Et factum ipsum, ut quod contra sanctiones Ecclesiæ processisset, iniquum esse, sunt calumniati. Atque ægre id eis esse, recteque se eum reprehendere, cum dixissent : postremo, siquidem cum sententiam ipsorum qua illos condemnassent, tum electionem eorum quos pro illis ecclesiis præfecissent, comprobaret, pacatos etiam se fore, et cum ipso communicaturos. Sin adversari eis pergeret, et ipsos conjunctos adversus eum ituros esse, intulere : cum neque majores eorum contra Cornelium Romæ episcopum conati aliquid fuerint, cum ille Novatum presbyterum Ecclesia submovisset. De rebus vero Nicænis nihil rescripsere, superfluum id esse arbitrati, etiamsi plurima quæ scriberent haberent : quibus sua facta commode excusare possent. In eam sententiam Orientales episcopi ad Julium litteras dedere.

Τῷ δὲ τοῦ θρόνου ἀξιώματι ἐκ τῶν ἀνέκαθεν προνομίων εἰδὼς προσήκουσαν ἑαυτῷ τὴν τῶν ἁπανταχοῦ ἱερέων κηδεμονίαν τε καὶ ἀνάκρισιν, παῤῥησίας μεστοῖς γράμμασι καθοπλίσας αὐτοὺς, ἑκάστῳ τὴν ἰδίαν ἐκκλησίαν ἀπένειμε, καὶ εἰς τὴν ἕω ἐξέπεμπε, καθαπτόμενος τῶν προπετῶς καθελόντων αὐτοὺς, ἅτε δὴ μὴ βεβουλευμένων τὰ δέοντα, δι' ὄχλου τε γινομένων ταῖς ἐκκλησίαις, καὶ μὴ ἐμμενόντων τῇ καθάπαξ ἐν Νικαίᾳ κυρωθείσῃ πίστει. Πρὸς δὴ τούτοις ἐκέλευε, καί τινας εἰς ῥητὴν ἡμέραν παρεῖναι, διελέγξοντας, ὡς δικαία ἡ ἐπὶ τοῖς καταψηφισθεῖσιν ἠνέχθη δίκη. Εἰ δ' οὖν, ἠπείλει, εἰ μὴ παύσοιντο νεώτερα πράττοντες, τὴν ἱερὰν εἰσπραχθήσεσθαι καταδίκην. Οἱ μὲν οὖν ἀμφὶ τὸν Ἀθανάσιον τοὺς οἰκείους τόπους ἀπέλαβον, διαπεμψάμενοι τὰς ἐπιστολὰς τοῖς ἑῴοις τῶν ἐπισκόπων· ὕβριν δὲ ἐκεῖνοι λογισάμενοι τὴν τοῦ Ἰουλίου ἐπίπληξιν, ἀθρόοι ἐν Ἀντιοχείᾳ γενόμενοι, μιᾷ γνώμῃ αὐτῷ ἐπιστέλλουσιν ἐπιστολήν τινα, φαιδρῶς μὲν συγκειμένην, μεστὴν δὲ εἰρωνείας πολλῆς, καὶ δικανικῶς διεσκευασμένην. Δεινότητι δὲ χρώματος οὐδὲ ἄμοιρος ἦν ἀπειλῆς. Τὴν μὲν γὰρ Ῥωμαίων πόλιν πᾶσι φέρειν φιλοτιμίαν ἔλεγεν, ἅτ' ἐκ παλαιοῦ ἀποστόλων φροντιστήριον, καὶ εὐσεβείας ὡς ἄν τις εἴποι γεγενημένην μητρόπολιν, εἰ καὶ ἐξ ἑῴας τοὺς καταγγέλλοντας ἐπεδημῆσαι συνέβη· οὐ μὴν τὰ δεύτερα παρὰ τοῦτο ἔχειν ἠξίουν· ὅτι μὴ τῷ τῆς Ἐκκλησίας μεγέθει πλεονεκτοῦσιν, ἀρετῇ καὶ τοῖς ἄλλοις νικῶντες, ὡς ᾤοντο. Προέφερον δὲ κἀκείνῳ εἰς ἔγκλημα, τὸ κοινωνεῖν ἑλέσθαι τοῖς περὶ Ἀθανάσιον· καὶ ἐχαλέπαινον ὡς ὑβρισμένης τῆς αὐτῶν συνοδικῆς ἀποφάσεως· καὶ τὸ γενόμενον, οἷα μὴ κατὰ τὸν τῆς Ἐκκλησίας θεσμὸν προβὰν, ὡς ἄδικον διέβαλον. Δεινὰ δὲ παθεῖν, καὶ δικαίως μέμψασθαι διελθόντες, τέλος ὡς εἰ μὲν στέργοι τῶν καταδικασθέντων τὴν ψῆφον, ἐπέφερον· καὶ τῶν ἀντ' αὐτῶν εἰσαχθέντων ταῖς ἐκκλησίαις κατὰ στάσιν, εἰρηνεύειν καὶ αὐτοὺς καὶ κοινωνοὺς εἶναι. Ἀντιπράττειν δ' ἐθέλοντι, καὶ αὐτοὺς ὁμόσε κατ' ἐκείνου χωρεῖν· ἐπεί τοί γε οὐδὲ τοὺς πρὸ ἐκείνων ἀνὰ τὴν ἕω ἱερεῖς· Κορνηλίῳ τῷ Ῥώμης ἀντειπεῖν ἰσχυρίζοντο, ὁπηνίκα τὸν πρεσβύτερον Ναυᾶτον τῆς Ἐκκλησίας ἐξήλαυνε. Περὶ μέντοι τῶν ἐν Νικαίᾳ οὐδὲν ἔγραψαν, περιττὸν εἰπόντες γράφειν, καίπερ πλεῖστα ἔχοντες, ἃ τὰ τότε γεγενημένα παραιτεῖσθαι ἀναγκαίως ἔπειθε. Τοιάδε μὲν οἱ τῆς ἕω ἐπίσκοποι τῷ Ἰουλίῳ ἔγραψαν.

687 CAPUT IX.

Ut imperator Paulum per Philippum præfectum in exsilium agi curaverit, Macedonium autem in throno collocarit : et ut Athanasius fuga sibi consuluerit.

Constantio vero imperatori Antiochiæ agenti scribentes, illos ut seditiosos homines a se expulsos esse, sunt calumniati. Ille ubi Paulum recuperasse locum suum audivit, admodum ferociit : et ad

ΚΕΦΑΛ. Θ'

Ὡς ὁ βασιλεὺς Παῦλον ἐξορισθῆναι διὰ Φιλίππου τοῦ ἐπάρχου ἐποίησε· Μακεδόνιον δὲ ἐνεθρόνισε· φυγῇ δὲ ἐχρήσατο Ἀθανάσιος.

Κωνσταντίῳ δὲ τῷ βασιλεῖ κατ' Ἀντιόχειαν τὰς διατριβὰς ποιουμένῳ γράφοντες διέβαλον ὡς στασιώδεις τοὺς πρὸς ἐκείνων ἐκβεβλημένους. Πυθόμενος δὲ καὶ Παῦλον αὖθις εἰληφέναι τὸν θρόνον, ἐθη-

[1] *Socr. lib.* II, *cap.* 15 ; Sozom. lib. III, cap. 8.

ριοῦτο· καὶ δὴ γράφει τῷ τῆς πόλεως ἐπάρχῳ Φιλίππῳ, δευτέραν μετὰ βασιλέα τηνικαῦτα τὴν ἰσχὺν περιβεβλημένῳ, Παῦλον μὲν ἐξελάσαι τῆς πόλεως, Μακεδονίῳ δὲ παραδοῦναι τὴν Ἐκκλησίαν. Φίλιππος δ' ἐκ τῶν πρὶν εἰς Ἑρμογένην πραχθέντων σώφρων γενόμενος, τὰς τοῦ πλήθους δείσας ὁρμὰς, τέχνῃ τὴν πρᾶξιν μετέρχεται. Πρὶν γὰρ ἐν φανερῷ καταστῆναι, ὡς περὶ κοινῶν τινων βουλευσόμενος, ἐκάλει τὸν Παῦλον ἀνὰ τὸν Ζεύξιππον· δημόσιον δὲ τοῦτο λουτρὸν, περιφανές τε καὶ μέγιστον, ὃ Νουμέρων ἔσχε κλῆσιν εἰσέπειτα. Τὸν δὲ, μετὰ τιμῆς τῆς προσηκούσης ἥκοντα, τὰ βασιλέως γράμματα ἐπεδείκνυ· καὶ διὰ τῶν βασιλείων τῷ εἰρημένῳ γειτονούντων λουτρῶν κατάγων εἰς θάλασσαν, ἐπεβίβαζε πλοίῳ, καὶ εἰς Θεσσαλονίκην κατῆγεν· ἣν δὴ καὶ πατρίδα ἔχειν, καὶ τοὺς προγόνους ἐκεῖθεν ὁρμᾶσθαι ἐλέγετο. Καὶ τὴν μὲν ἕω παντάπασι φεύγειν κατεψηφίζετο· Ἰλλυριῶν δὲ καὶ τῆς πρόσω γῆς ἐπιβαίνειν ἐν ἐλευθερίᾳ πάσῃ παρέσχεν. Ἐκεῖθεν δ' ὁ ἔπαρχος ἐξιὼν σύναμα τῷ δυσσεβεῖ Μακεδονίῳ, δρομαίως εἰς τὴν ἐκκλησίαν εἰσήλαυνον. Τὸ δὲ πλῆθος σύμμικτον ἐξ ἁπάντων διακοῦσαν, παρὰ τὴν ἐκκλησίαν ἐφοίτα, σπεύδων ἕκαστος προκαταλαβεῖν, ἄφατοί τινες καὶ ἀριθμοῦ κρείττους συῤῥέοντες. Καὶ χεὶρ δὲ στρατιωτικὴ ξιφήρης, δέος ἐμποιοῦσα τῷ πλήθει παρείπετο. Ἐπεὶ δὲ ἄγχιστα τῆς ἐκκλησίας ἐγένετο, πάροδος δὲ οὐκ ἦν, τοῦ πολλοῦ ὄχλου ἁπανταχοῦ περιθέοντος, ὠθισμὸς τοῖς στρατιώταις ἐτολμᾶτο σὺν βίᾳ. Μὴ οἵου δὲ ὄντος συνιζάνειν τοῦ πλήθους τῷ εἰς πλεῖστον στενοχωρεῖσθαι, νομίσαντες οἱ στρατιῶται τὸ πλῆθος ἀνθίστασθαι, καὶ μὴ βούλεσθαι ἑκοντὶ διδόναι τὴν δίοδον, γυμνοῖς ἐχρῶντο τοῖς ξίφεσι, καὶ ὡς ἀντεπιόντας ἠμύνοντο· καὶ πολλοὺς τούτους ὡς εἰκὸς διεχρήσαντο. Οὐκ ὀλίγους μέντοι καὶ ὑπ' ἀλλήλων συμπατουμένους λόγος διαφθαρῆναι· ὡς εἶναι τὸ πλῆθος τῶν ἀνῃρημένων ὑπὲρ τρισχιλίους ἑκατὸν καὶ πεντήκοντα. Μακεδόνιος δὲ ὡς οὐδενὸς καινοῦ γεγονότος, ὥσπερ τις δ' ἀθῶος καὶ καθαρὸς τὰ ἐπιβατήρια, ὡς ἐκ μαγγάνου τινὸς, ἢ θεὸς τὸ λεγόμενον ἀπὸ μηχανῆς, ἱεράρχης ἀναφανεὶς, ὑπὸ τοῦ ἐπάρχου μᾶλλον ἢ κατὰ τὰ τῆς Ἐκκλησίας ἔθιμα ἐνθρονίζεται· καὶ τοῦτον τὸν τρόπον, καὶ διὰ τοσούτων φόνων, ὅ τε Μακεδόνιος καὶ Ἀρειανοὶ τὴν ἐκκλησίαν κατέσχον. Οὕτω δὲ καὶ ὁ Παῦλος τὴν ἄδικον ἐξορίαν ὑφίσταται. Ἀθανάσιος δὲ τὰς ἀπειλὰς Κωνσταντίου δείσας, φυγῇ χρησάμενος ἀφανὴς ἦν. Ἠπείλει γὰρ αὐτῷ κόψειν τὴν κεφαλὴν, τῶν ἐπιβούλων ὡς στασιώδη αἰτιωμένων· καὶ ὡς τῇ αὐτοῦ εἰς τὴν ἐκκλησίαν ἐκ Ῥώμης εἰσόδῳ, πολὺ συμπατηθὲν ἐτεθνήκει πλῆθος. Μάλιστα δ' ἀνηρέθισε τοῦτον συκοφαντία ἣν οἱ ἐξ Ἀρείου ἐγράψαντο· ὡς εἴη τὸ τῶν πτωχῶν σιτηρέσιον, ὃ Κωνσταντῖνος ὁ πατὴρ τοῦ κρατοῦντος τοῖς ἐν Ἀλεξανδρείᾳ πτωχοῖς εἰς διατροφὴν ἐθέσπισε δίδοσθαι, πωλῶν, καὶ ἐξαργυριζόμενος Ἀθανάσιος. Εἰδέναι μέντοι χρεὼν, ὡς καθ' ὃν καιρὸν τὴν ἱερωσύνην κατέσχεν ὁ Μακεδόνιος, Κωνστάντιος τὴν μεγάλην

Philippum urbis præfectum, secundam ab imperiali potestate dignitatem tum obtinentem, scripsit, ut Paulo urbe ejecto, Macedonio Ecclesiam traderet. Philippus ex Hermogenis casu cautior factus, quod multitudinis furorem metueret, arte quadam rem est aggressus. Priusquam enim ea vulgaretur, perinde quasi de publicis quibusdam rebus consilium habiturus, Paulum ad se in Zeuxippum (quod publicum et celebre amplissimumque est balneum, postea Numerorum cognominatum) vocavit, eique decenti cum honore advenienti, imperatoris litteras exhibuit. Ac hominem per palatium imperiale, balneo quod diximus vicinum, ad mare deductum, navigioque impositum, Thessalonicam misit: quam etiam patriam habere, et a majoribus suis inde oriundus esse dicebatur. Eidemque Oriente toto interdicens, in Illyrico et ulterioribus terris vivendi liberam permisit potestatem. Præfectus ex eo loco, una cum impio Macedonio, incitato cursu in ecclesiam ire contendit: et multitudo ex omni hominum ordine mista, ea re audita, pro se quisque locum antecapere festinans, ad eam ecclesiam cucurrit. Innumeri prorsus, qui eo confluebant, erant. Et militaris manus armata ad terrorem plebis consequebatur. Atque ea ubi proxime ad ecclesiam venit, nec ei accessus propter undique concurrentem turbam pateret, milites vi homines rejicere per audaciam cœperunt. Cum vero illi propter multitudinem oppido in angustum redactam, cedere et considere non possent, resistere eos, milites, neque sponte transitum dare velle opinati, strictis usi gladiis, veluti reluctantes cecidere, multosque (ut fieri solet) neci dedere. Non pauci etiam inter se conculcati atque attriti interiisse dicuntur, ita ut occisorum turba trium millium centum et quinquaginta numerum superaverit. 688 Porro Macedonius, perinde atque novi nihil factum esset, tanquam innocens et purus, in epibateriorum (1) introitusque arcanioribus sacris, quasi ex aliqua præstigiarum scena aliquis, aut deus (quod dicitur) ex machina, de improviso hierarcha apparens, a præfecto magis, quam ex Ecclesiæ consuetudine, ab episcoporum ordine in thronum est deductus. Ad hunc modum, et per has cædes Macedonius et Ariani Ecclesiam occupavere. Ita etiam Paulus solum iniqui exsilii gratia vertere est coactus. Athanasius autem Constantii minas veritus, fuga sibi consulens disparuit. Nam ille capite in eum se animadversurum denuntiaverat, quod obtrectatores ejus et insidiatores eum ut seditiosum detulerant, reditu ejus ex urbe Romana in ecclesiam, multitudinem ingentem conculcatam interiisse allegantes. Maxime vero Constantium in eum incitaverat calumnia ab Arianis ei intentata, veluti annonam pauperum, quam imperatoris pater Constantinus Alexandriæ, in egenorum alimenta distribuendam sanxerat, Athanasius vendidisset,

(1) Investituram nunc vocant.

atque in pecuniam redegisset. Observandum illud, A eo tempore quo Macedonius episcopatum recepit, Constantium magnam ecclesiam absolvisse, quæ Σοφία, Sapientia, nominata est : proxime ad cognominem Paci ecclesiam (1), quam Constantinus Constantii pater, cum prius exigua fuisset, ad eam etiam quæ nunc cernitur amplitudinem perduxit : ita ut duorum istorum templorum oræ contiguæ, unusque ambitus et muri esse videantur.

ἐκκλησίαν οἰκοδομῶν ἦν, ἡ Σοφία προσηγορεύθη, ἄγχιστα τοῦ τῆς Εἰρήνης ἐπωνύμου ναοῦ· ἣν ὁ τοῦ βασιλέως πατὴρ Κωνσταντῖνος, βραχεῖαν οὖσαν τὸ πρότερον, ἐπὶ τὸ νῦν ὁρώμενον μέγεθος ηὔξησεν· ὡς συμβαίνειν τὰ κράσπεδα τῶν δύο τούτων νεῶν προσεγγίζειν, καὶ εἰς ἕνα δοκεῖν εἶναι περίβολον.

CAPUT X.

Quomodo Julius Romanus pontifex episcopis Orientalibus scripserit, ut mitterentur, qui pro Athanasio et Paulo rationem redderent ; et quæ scripserit Constantio fratri Occidentis imperator Constans : et quomodo, qui ex Oriente in Italiam venerant, aliam fidei vulgaverint expositionem.

Julius Romanæ urbis episcopus litteris, quas B Eusebius ante obitum suum contra Athanasium scripserat, aliisque quas ii qui Antiochiæ convenerant dederé, atque aliis rursus quorumdam Ægyptiorum episcoporum, ementita esse adversus Athanasium omnia declarantibus, eisque sic inter se pugnantibus, acceptis, Antiochenis illis rescribens, epistolæ eorum arrogantem et præfractam sententiam coarguit : et quod latenter aggressi essent, contra decreta Nicæna, fidem novare et adulterare. Præterea, quod præter ecclesiasticam consuetudinem, se quoque in synodum vocare intermisissent. Exstare enim ecclesiasticum canonem
689 auctoritatem omnem eis abrogans, [quæ præter Romani antistitis sententiam peracta essent (2). Rursum, quod in rebus quas in Tyro urbe C et Mareote decrevissent, non legitime [processissent, inquisitione videlicet una tantum præsente parte facta. Arsenii autem manum liquido apparentem, apertam sycophantiam esse, eis objecit. Et secundum ea omnia, æquum esse ut Athanasio et Paulo subveniretur, intulit. Brevi namque post, Paulus quoque Corinthum se ire assimulans, in Italiam venit, et casum suum miserandum in modum deploravit. Verumenimvero ubi Julius scriptis suis apud Orientales episcopos nihil effecit, Occidentis imperatorem Constantem, de rebus Athanasii et Pauli certiorem fecit. Qui ei etiam adito, Arianæ factionis subdolas fraudes exposuere : patris mentione illata, ut ille œcumenicam et universalem synodum coegerit, constitutioneque decreta D illius stabilierit, referentes, et eum ad paternam æmulationem consectandam cohortantes. Constans rebus eis cognitis, casum eorum virorum calamitatem suam prorsus esse putavit : et ad fratrem scribens, eum admonuit, ut paternæ religionis incorruptam integramque servaret normam. Ille enim, inquit, vera pietate imperio stabilito, tum tyrannos Romanos omnino sustulit, tum barbaros hostes circumcirca devicit. Significavit eidem etiam, ut tres ex Oriente in Occidentem mitterentur episcopi,

ΚΕΦΑΛ. Ι'.

Ὡς ὁ Ῥώμης Ἰούλιος τοῖς ἑῴοις τῶν ἐπισκόπων ἔγραψε, πεμφθῆναί τινας λόγον ὑπὲρ Ἀθανασίου καὶ Παύλου δώσοντας· καὶ ὅσα ἔγραψε Κωνσταντίῳ τῷ ἀδελφῷ ὁ τῶν ἑσπερίων βασιλεὺς Κώνστας· καὶ ὅτι οἱ ἐλθόντες ἑτέραν ἔκδοσιν πίστεως ὑπηγόρευσαν.

Ἰούλιος δὲ ὁ Ῥώμης ἐπίσκοπος, τὰ κατ' Ἀθανασίου δεξάμενος γράμματα, ἃ προλαβὼν Εὐσέβιος ἔγραψεν, ἔτι δὲ καὶ ἃ οἱ ἐν Ἀντιοχείᾳ συνελθόντες ἀπέστειλαν, ἕτερα δ' αὖθις παρά τινων Αἰγυπτίων ἐπισκόπων, ψευδῆ τὰ κατὰ Ἀθανασίου εἶναι πάντα διδάσκοντα· καὶ ἐναντίων οὕτω καταπεμπομένων γραμμάτων, Ἰούλιος ἀντιγράφων μὲν πρὸς τοὺς ἐξ Ἀντιοχείας ἐπιστείλαντας, διήλεγχε τὸ τῆς ἐπιστολῆς αὐτῶν ἐπαχθές τε καὶ αὔθαδες· καὶ ὡς λαθραίως παρὰ τὰ ἐν Νικαίᾳ δεδογμένα νεωτερίζειν ἐπιχειροῦσι καὶ παραχαράττειν τὴν πίστιν· ἔτι δὲ καὶ ὡς παρὰ τὸ ἐκκλησιαστικὸν ἔθος πράττουσι, μὴ καὶ αὐτὸν εἰς τὴν σύνοδον κεκληκότες. Εἶναι γὰρ ἐκκλησιαστικὸν [κανόνα] ἄκυρα διοριζόμενον εἶναι, ὅσα δὴ πραχθείη παρὰ γνώμην τοῦ Ῥωμαίων ἐπισκόπου. Τὰ C δ' ἐν Τύρῳ καὶ τῷ Μαρεώτῃ πεπραγμένα μὴ ἐν δίκῃ γεγενῆσθαι, μονομεροῦς τυχόντα τῆς ἐξετάσεως. Τὴν δὲ Ἀρσενίου χεῖρα συκοφαντίαν προφανῆ ἐλεγχθῆναι. Ἐφ' ἅπασι δὲ συνῆγε δίκαιον εἶναι Ἀθανασίῳ καὶ Παύλῳ τὰ μάλιστα βοηθεῖν. Μετ' οὐ πολὺ γὰρ καὶ Παῦλος εἰς Κόρινθον ἀπᾶραι σκηψάμενος, εἰς Ἰταλίαν ἐγένετο, καὶ τὰ συμβάντα οἱ οἰκτρῶς ἀπωδύρατο. Ὡς δὲ μηδὲν ἤνυε γράφων Ἰούλιος τοῖς ἑῴοις τῶν ἐπισκόπων, τῷ τῶν ἑσπερίων βασιλεῖ Κώνσταντι δῆλα ἐποίει τὰ κατὰ Παῦλον δηλονότι καὶ Ἀθανάσιον· οἳ καὶ συστάντες ἐκείνῳ, τὰς τῆς Ἀρειανικῆς φάλαγγος δραματουργίας κατέλεγον· τοῦ πατρός τε ἐμέμνηντο, καὶ ἣν ἐκεῖνος οἰκουμενικὴν συνήθροισε σύνοδον, ἐν μέσῳ παρῆγον· καὶ ὡς νόμῳ τὰ ἐκείνων ἐκράτυνε· καὶ τὸν πατρῷον D ζῆλον ἀναλαβεῖν ἤπειγον. Ὁ δὲ γνοὺς ὡς οἰκεῖα τὰ κατὰ τοὺς ἄνδρας ἄντικρυς ἔπασχε, καὶ τἀδελφῷ γράφων παρῄνει τῆς πατρῴας θρησκείας ἀκήρατον φυλάττειν τὸν ὅρον. Ἐκεῖνος γὰρ εὐσεβείᾳ, φησί, τὴν ἀρχὴν κρατύνας, τούς τε Ῥωμαίων τυράννους τῇ ἀφανείᾳ παρέδωκε, καὶ τῶν κύκλῳ βαρβάρων περιεγένετο. Ἐδήλου δὲ καὶ τρεῖς ἐπισκόπους ἐξ ἕω πεμφθῆναι λόγον δώσοντας περὶ τῆς καθαιρέσεως Ἀθανασίου καὶ Παύλου. Καὶ ἐκλέγονται Νάρκισσος ὁ Εἰρηνοπόλεως τῆς Κιλικίας ἐπίσκοπος, καὶ Θεόδωρος ὁ Περίνθιος, καὶ ὁ τὴν Ἀρέθουσαν τῆς Συ-

(1) Sapientiæ Dei templum, quod Constantinus non perfecit. (Supr. lib. VII, cap. 49.)

(2) Auctoritas Romani episcopi : μὴ δεῖν παρὰ γνώμην τοῦ ἐπισκόπου Ῥώμης κανονίζειν τὰς ἐκκλησίας. (Socrat. lib. II, cap. 17.)

ρίας ἐπισκοπῶν Μάρκος· οἳ καὶ εἰς Ἰταλίαν ἀφιγμένοι, ἔπειθον βασιλέα δικαίαν εἶναι τῶν ἐπ' αὐτοῖς πεπραγμένων τὴν ψῆφον· καὶ τοῖς περὶ Ἀθανάσιον εἰς λόγους ἐλθεῖν οὐ προσήκαντο. Ἐπεὶ δὲ καὶ ὅπως πιστεύουσιν ἐξητάζοντο, ἑτέραν παρὰ τὴν ἐν Ἀντιοχείᾳ συνθέμενοι, ἐπιδιδοῦσι τῷ Κώνσταντι, οὕτω κατὰ ῥῆμα διεξιοῦσαν· « Πιστεύομεν εἰς ἕνα Θεὸν, Πατέρα παντοκράτορα, κτίστην καὶ ποιητὴν τῶν πάντων ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζεται· καὶ εἰς τὸν μονογενῆ αὐτοῦ Υἱὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν πρὸ πάντων τῶν αἰώνων ἐκ τοῦ Πατρὸς γεννηθέντα, Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς, δι' οὗ ἐγένετο τὰ πάντα ἐν τοῖς οὐρανοῖς καὶ ἐπὶ τῆς γῆς, τά τε ὁρατὰ καὶ τὰ ἀόρατα· Λόγον ὄντα καὶ σοφίαν καὶ δύναμιν καὶ ζωὴν, καὶ B φῶς ἀληθινόν· τὸν ἐπ' ἐσχάτου τῶν ἡμερῶν δι' ἡμᾶς ἐνανθρωπήσαντα καὶ γεννηθέντα ἐκ τῆς ἁγίας Παρθένου· τὸν σταυρωθέντα καὶ ἀποθανόντα· καὶ ταφέντα καὶ ἀναστάντα ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ· καὶ ἀνεληλυθότα εἰς τοὺς οὐρανοὺς, καὶ καθεσθέντα ἐν δεξιᾷ τοῦ Πατρὸς, καὶ ἐρχόμενον ἐπὶ συντελείᾳ τῶν αἰώνων κρῖναι ζῶντας καὶ νεκροὺς, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· οὗ ἡ βασιλεία ἀκατάπαυστος οὖσα διαμένει εἰς τοὺς ἀπείρους αἰῶνας· ἔσται γὰρ καθεζόμενος ἐν δεξιᾷ τοῦ Πατρὸς οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι· καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τουτέστι τὸν Παράκλητον· ὅπερ ἐπαγγειλάμενος τοῖς ἀποστόλοις, μετὰ τὴν εἰς οὐρανοὺς αὐτοῦ ἄνοδον ἀπέστειλε διδάξαι καὶ ὑπομνῆσαι πάντα· δι' οὗ καὶ ἁγιασθήσον- C ται αἱ τῶν εἰλικρινῶς εἰς αὐτὸν πεπιστευκότων ψυχαί. Τοὺς δὲ λέγοντας ἐξ οὐκ ὄντων τὸν Υἱὸν, ἢ ἐξ ἑτέρας ὑποστάσεως, καὶ μὴ ἐκ Θεοῦ, καὶ, ὅτι ἦν ποτὲ χρόνος ὅτε οὐκ ἦν, ἀλλοτρίους οἶδεν ἡ καθολικὴ Ἐκκλησία. » Ταύτην δεδωκόσι τὴν ἔκθεσιν, συνιδὼν ὁ Κώνστας ὡς ἀδίκως ἐπὶ τοῖς θείοις ἐκείνοις ἀνδράσι συνέστησαν· οὐ γὰρ ἐγκλημάτων χάριν, οὐδὲ βίου φαυλότητι τὴν ἐκείνων ἀπεστράφησαν κοινωνίαν, ὡς ἐδήλουν τὰ ὑπομνήματα, ἀλλ' ὅλον ἡ περὶ τὸ δόγμα διαφωνία ἦν· μηδὲν ἀνύσαντας περὶ ὧν ἐληλύθεισαν, ὀπίσω ἀνέπεμπε. Καὶ χάσμα τοῖς ἑῴοις καὶ ἑσπερίοις ἦν ἡ μέσον διαφορά· ἐν ᾧ χρόνῳ καὶ κατὰ Σίρμιον, Ἰλλυρικὴ δὲ αὕτη πόλις, ἡ κατὰ Φωτεινὸν αἵρεσις ἐπεγένετο· ὃς τῆς μικρᾶς Γαλατίας ὢν, καὶ τῷ προειρημένῳ Μαρκέλλῳ τῆς D πατρίδος ἐπισκόπῳ μαθητευθεὶς, τῶν ἐκεῖσε ἡγεῖτο ἐκκλησιῶν, ψιλὸν ἄνθρωπον δογματίζων τὸν Χριστόν. Περὶ ὧν κατὰ χώραν ἐροῦμεν.

A qui rationem de Athanasii et Pauli exauctoratione exponerent. Ad id delecti sunt Narcissus Irenopolis Ciliciæ, Theodorus Perinthi, et Marcus Arethusæ Syriæ episcopi. Qui in Italiam cum venissent, imperatori Constanti justam esse, quæ contra illos lata fuerat, sententiam persuadere voluerunt. In Athanasii vero colloquium venire non sustinuerunt. Porro ubi de fidei eorum ratione quæsitum est, aliam ejus, quam quæ Antiochiæ composita erat Constanti formulam obtulere, hisce verbis expressam: « Credimus in unum Deum, Patrem omnipotentem, creatorem et factorem universorum: ex quo omnis paternitas in cœlo et in terra nominatur. Et in unigenitum ejus Filium Dominum nostrum Jesum Christum, ante omnia sæcula ex Patre genitum, Deum de Deo, lumen de lumine, **690** per quem facta sunt omnia in cœlis et in terra, visibilia simul et invisibilia: Verbum exsistentem, et sapientiam, et virtutem, et vitam, et lumen verum. Qui in extremo dierum propter nos homo factus, et natus est ex Virgine sancta. Qui crucifixus, et mortuus, et sepultus est: et resurrexit ex mortuis tertia die, et ascendit in cœlos, et consedit in dextra Patris, venturus in consummatione sæculorum ad judicandum vivos et mortuos, et reddendum unicuique secundum opera sua. Cujus regnum interminatum in infinita permanet sæcula. Sedebit namque in dextra Patris, non solum in sæculo præsenti, sed etiam in futuro. Et in Spiritum sanctum, hoc est Paracletum: quem cum apostolis promisisset, post ascensionem suam in cœlos, misit, ut doceret et suggereret eis omnia. Per quem etiam sanctificabuntur eorum qui sincere in eum credidere, animæ. Eos autem qui ex non exsistentibus dicunt esse Filium, aut ex alia subsistentia, et non ex Deo, et fuisse quandoque tempus cum non fuerit, alienos esse novit Ecclesia catholica. » Hanc exhibuere formulam. Constans autem perspectum habens, eos inique contra divinos viros conspirasse, neque criminum aliquorum gratia, neque propter vitæ pravitatem, sicuti attestationes declarabant, communionem illorum aversatos, sed dogmatis dissonantiam prorsus causam dissidii esse: infecta cujus causa venerant re, eos dimisit. Et Orientalibus atque Occidentalibus veluti chasma seu hiatus fuit, quæ eis intercesserat, dissensio. Qua tempestate et in Sirmio, quæ Illyrici urbs est, Photini hæresis emersit: qui in minore Gallia ortus, et a Marcello, de quo diximus, loci ejus episcopo, eruditus, ecclesiis ibi præfuit, merum esse hominem Dominum docens. De quo suo tempore dicemus.

ΚΕΦΑΛ. ΙΑ'.

Ὡς τῆς ἑσπέρας καὶ ἕω διαστάσης περὶ τὸ δόγμα τῆς πίστεως ἐπὶ τρισὶν ἔτεσιν, οἱ ἀνὰ τὴν ἕω ἐπίσκοποι τὴν λεγομένην μακρόστιχον ἔκθεσιν ποιησάμενοι, τοῖς ἑσπερίοις ἀπέστειλαν.

Ἐξ ἐκείνου δὲ τριῶν ἐτῶν διαγεγονότων, οἱ τῆς ἕω ἐπίσκοποι ἑτέραν γραφὴν συνθέμενοι, τοῖς ἀνὰ τὴν ἑσπέραν ἔπεμπον ἱερεῦσιν, ἣν *μακρόστιχον*

691 CAPUT XI.

Ut Occidentalibus et Orientalibus partibus de doctrina fidei triennium dissidentibus, episcopi Orientales expositionem fidei composuerint, quam longiorem nominarunt, et Occidentalibus miserint.

Triennio deinde elapso, Orientales episcopi scripto alio composito, ad Occidentales id misere: quod μακρόστιχον, hoc est, longiorem vocarunt

formulam, seu expositionem, quod scilicet verba et sententias plures complecteretur. Verum ne in eo quidem substantiæ Dei nominatim mentionem fecere. Eos vero qui Filium ex non exsistentibus, aut ex alia subsistentia quam ex Deo esse, et fuisse quandoque tempus aut sæculum, cum ille non fuerit, dicerent, proscripsere. Scriptum id pertulit Eudoxius Germaniciæ antistes, qui etiam post Macedonium Constantinopolitanæ præfuit Ecclesiæ : et Martyrius, et Macedonius Mopsuestiæ Ciliciæ episcopus. Occidentales episcopi scriptum non receperunt : sufficere sibi Nicænam fidei professionem, neque se ulterius anxie nimis et curiose inquirere de ea velle, dicentes : atque illud etiam prætexentes, aliena lingua libellum scriptum esse, et se verborum sententiam non intelligere. Longior autem illa expositio ad verbum hæc est complexa : « Credimus in unum Deum, Patrem omnipotentem, creatorem et factorem universorum : ex quo omnis paternitas in cœlis et in terra nominatur. Et in unigenitum Filium ejus Jesum Christum, Dominum nostrum, ante omnia genitum ex Patre, Deum de Deo, lumen de lumine, per quem facta sunt omnia in cœlis et in terra, visibilia et invisibilia : Verbum exsistentem, et sapientiam, et virtutem, et vitam, et lumen verum. Qui extremis diebus propter nos homo factus, et ex Virgine sancta natus, crucifixus et mortuus et sepultus, tertia die resurrexit : et receptus in cœlos, sedet ad dextram Patris, venturus in consummatione sæculorum ad judicandum vivos et mortuos, et reddendum cuique secundum opera ejus. Cujus regnum interminatum, et in infinita sæcula permanet. Sedebit enim in dextra Patris non tantum in sæculo isto, sed et in futuro. Credimus vero et in Spiritum sanctum, hoc est, in Paracletum quem apostolis promissum, post ascensionem suam in cœlos, misit, ut doceret et suggereret eis omnia : per quem etiam sanctificantur eorum, qui sincere in ipsum credunt, animæ. **692** Qui vero dicunt, ex non exsistentibus esse Filium, aut ex alia subsistentia, et non ex Deo, et quod fuerit aliquando tempus cum non fuerit : eos alienos novit esse sancta catholica Ecclesia. Non minus et eos, qui dicunt tres esse deos, aut Christum non esse Deum ante sæcula : neque Christum, neque Filium Dei ipsum esse ; aut eumdem esse et Patrem et Filium et Spiritum sanctum, aut ingenitum Filium : aut quod non ex proposito neque voluntate Pater Filium genuerit : anathemate ferit sancta et catholica Ecclesia. Non enim, ex non exsistentibus esse Filium, dicere tutum est : quandoquidem nullibi hoc in divinitus inspiratis Scripturis de eo fertur. Neque sane ex alia subsistentia, præter Patrem, ante subjecta, sed ex solo Deo germane seu native ipsum genitum esse, docemur. Unum namque ingenitum et principii expertem Christi Patrem divinum docet verbum. *Sed neque* illud, Fuit aliquando tempus cum non

A ὠνόμασαν ἔκθεσιν, ἅτε δὴ πολλοῖς ῥήμασί τε καὶ νοήμασι συγκειμένην. Ἀλλ' οὐδ' ἐν ταύτῃ οὐσίας Θεοῦ κατ' ὄνομα μνείαν πεποίηνται. Τούς γε μὴν λέγοντας, ἐξ ἑτέρας ὑποστάσεως, ἢ ἐξ οὐκ ὄντων τὸν Υἱὸν, καὶ οὐκ ἐκ Θεοῦ, ὅτι ἦν ποτε χρόνος ἢ αἰὼν ὅτε οὐκ ἦν, ἀπεκήρυττον. Διεκόμιζε τὴν γραφὴν Εὐδόξιος ὁ Γερμανικίας ἐπίσκοπος, ὃς καὶ μετὰ Μακεδόνιον τῆς Κωνσταντίνου προέστη· Μαρτύριός τε καὶ Μακεδόνιος Μοψουεστίας τῆς ἐν Κιλικίᾳ τὴν ἐπισκοπὴν ἔχων. Οἱ δ' ἑσπέριοι ἱερεῖς οὐ προσήκαντο τὴν γραφήν. Ἀποχρῶσαν γὰρ αὐτοῖς τὴν ἐν Νικαίᾳ ἔφασκον εἶναι πίστιν, καὶ περαιτέρω μὴ πολυπραγμονεῖν ἐθέλειν ᾤοντο δεῖν· ἐν σχήματι δὲ καὶ τὸ ἀλλόγλωσσον καὶ τὸ μὴ συνιέναι τὰ εἰρημένα προὐβάλλοντο. Ἡ δὲ διὰ μακρῶν ἔκθεσις ταῦτα ῥήμα- B σιν αὐτοῖς διελάμβανε· « Πιστεύομεν εἰς ἕνα Θεὸν, Πατέρα παντοκράτορα, κτίστην καὶ ποιητὴν τῶν πάντων· ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται· καὶ εἰς τὸν μονογενῆ αὐτοῦ Υἱὸν Ἰησοῦν Χριστὸν Κύριον ἡμῶν, τὸν πρὸ πάντων γεννηθέντα ἐκ τοῦ Πατρός· Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς, δι' οὗ ἐγένετο τὰ πάντα τὰ ἐν οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα· Λόγον ὄντα καὶ σοφίαν καὶ δύναμιν καὶ ζωὴν καὶ φῶς ἀληθινόν· τὸν ἐπ' ἐσχάτων τῶν ἡμερῶν δι' ἡμᾶς ἐνανθρωπήσαντα, καὶ γεννηθέντα ἐκ τῆς ἁγίας Παρθένου· τὸν σταυρωθέντα καὶ ἀποθανόντα, καὶ ταφέντα καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ· καὶ ἀναληφθέντα εἰς οὐρανοὺς, καὶ καθεσθέντα ἐκ δεξιῶν τοῦ Πατρός· ἐρχό- C μενον ἐπὶ συντελείᾳ τῶν αἰώνων, κρῖναι ζῶντας καὶ νεκρούς· καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· οὗ ἡ βασιλεία ἀκατάπαυστος οὖσα, διαμένει εἰς ἀπείρους αἰῶνας. Καθέζεται γὰρ ἐν δεξιᾷ τοῦ Πατρὸς οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι. Πιστεύομεν δὲ καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τουτέστιν εἰς τὸν Παράκλητον, ὅπερ ἐπαγγειλάμενος τοῖς ἀποστόλοις μετὰ τὴν εἰς οὐρανοὺς ἄνοδον, ἀπέστειλε διδάξαι καὶ ὑπομνῆσαι αὐτοὺς πάντα· δι' οὗ καὶ ἁγιάζονται αἱ τῶν εἰλικρινῶς εἰς αὐτὸν πιστευόντων ψυχαί. Τοὺς δὲ λέγοντας, ἐξ οὐκ ὄντων τὸν Υἱὸν, ἢ ἐξ ἑτέρας ὑποστάσεως καὶ μὴ ἐκ τοῦ Θεοῦ, καὶ ὅτι ἦν ποτε χρόνος ὅτε μὴ ἦν, ἀλλοτρίους οἶδεν ἡ ἁγία καθολικὴ Ἐκκλησία· ὁμοίως καὶ τοὺς λέγοντας τρεῖς εἶναι Θεούς· ἢ τὸν Χριστὸν D μὴ εἶναι Θεὸν πρὸ τῶν αἰώνων· μήτε Χριστὸν, μήτε Υἱὸν Θεοῦ εἶναι αὐτόν· ἢ τὸν αὐτὸν εἶναι καὶ Πατέρα καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα· ἢ ἀγέννητον τὸν Υἱόν· ἢ ὅτι οὐ βουλήσει οὐδὲ θελήσει ἐγέννησεν ὁ Πατὴρ τὸν Υἱὸν, ἀναθεματίζει ἡ ἁγία καὶ καθολικὴ Ἐκκλησία. Οὔτε γὰρ ἐξ οὐκ ὄντων λέγειν τὸν Υἱὸν ἀσφαλὲς, ἐπεὶ μηδαμοῦ τοῦτο τῶν θεοπνεύστων Γραφῶν ἐμφέρεται περὶ αὐτοῦ· οὔτε μὴν ἐξ ἑτέρας ὑποστάσεως παρὰ τὸν Πατέρα προϋποκειμένης, ἀλλ' ἐκ μόνου τοῦ Θεοῦ γνησίως αὐτὸν γεγεννῆσθαι διδασκόμεθα. Ἕνα γὰρ τὸν ἀγέννητον καὶ ἄναρχον τὸν Χριστοῦ Πατέρα ὁ θεῖος διδάσκει λόγος. Ἀλλ' οὐδὲ τὸ, Ἦν ποτε ὅτε οὐκ ἦν, τοῖς ἐξ ἀγράφων ἐπισφαλῶς λέγουσιν ὡς χρονικὸν διάστημα προενθυμητέον αὐτοῦ· ἀλλ' ἢ μόνον τὸν ἀχρόνως αὐτὸν γεγεννηκότα

Θεόν. Καὶ χρόνοι γὰρ καὶ αἰῶνες γεγόνασι δι' αὐτοῦ. Οὔτε μὴν συνάναρχον οὔτε συναγέννητον τὸν Υἱὸν τῷ Πατρὶ εἶναι νομιστέον· συνανάρχου γὰρ καὶ συναγεννήτου οὐδεὶς κυρίως Πατὴρ ἢ Υἱὸς λεχθήσεται· ἀλλὰ τὸν μὲν Πατέρα μόνον ἄναρχον ὄντα καὶ ἀνέφικτον, γεγεννηκέναι ἀνεφίκτως καὶ πᾶσιν ἀκαταλήπτως οἴδαμεν· τὸν δὲ Υἱὸν γεγεννῆσθαι πρὸ τῶν αἰώνων· καὶ μηκέτι ὅμοιον τῷ Πατρὶ ἀγέννητον εἶναι καὶ αὐτὸν, ἀλλ' ἀρχὴν ἔχειν τὸν γεννήσαντα Πατέρα· κεφαλὴ γὰρ Χριστοῦ ὁ Θεός. Οὔτε μὴν τρία ὁμολογοῦντες πράγματα καὶ τρία πρόσωπα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος κατὰ τὰς Γραφὰς, τρεῖς διὰ τοῦτο τοὺς θεοὺς ποιοῦμεν· ἐπειδὴ τὸν αὐτοτελῆ καὶ ἀγέννητον, ἄναρχόν τε καὶ ἀόρατον Θεὸν, ἕνα μόνον οἴδαμεν τὸν Θεὸν καὶ Πατέρα τοῦ Μονογενοῦς, τὸν μόνον μὲν ἐξ ἑαυτοῦ τὸ εἶναι ἔχοντα, μόνον δὲ τοῖς ἄλλοις πᾶσιν ἀφθόνως χαριζόμενον τὸ εἶναι. Οὔτε μὴν ἕνα Θεὸν μόνον λέγοντες εἶναι, τὸν τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ Πατέρα τὸν μόνον ἀγέννητον, διὰ τοῦτο ἀρνούμεθα τὸν Χριστὸν Θεὸν εἶναι προαιώνιον· ὁποῖοί εἰσιν οἱ ἀπὸ Παύλου τοῦ Σαμοσατέως, ὕστερον αὐτὸν μετὰ τὴν ἐνανθρώπησιν ἐκ προκοπῆς τε θεοποιεῖσθαι λέγοντες, τῷ τὴν φύσιν ψιλὸν αὐτὸν ἄνθρωπον γεγονέναι. Οἴδαμεν γὰρ αὐτὸν, εἰ καὶ ὑποτέτακται τῷ Πατρὶ καὶ Θεῷ, ἀλλ' ὅμως γεννηθέντα ἐκ τοῦ Θεοῦ, Θεὸν κατὰ φύσιν τέλειον εἶναι καὶ ἀληθῆ, καὶ μὴ ἐξ ἀνθρώπων μετὰ ταῦτα Θεὸν, ἀλλ' ἐκ Θεοῦ ἐνανθρωπῆσαι δι' ἡμᾶς· καὶ μηδέπω ποτὲ ἀπολωλεκότα τὸ εἶναι Θεόν. Βδελυσσόμεθα δὲ πρὸς τούτοις καὶ ἀναθεματίζομεν καὶ τοὺς Λόγον μὲν μόνον αὐτὸν τοῦ Θεοῦ, ψιλὸν καὶ ἀνύπαρκτον ἐπιπλάστως καλοῦντας, ἐν ἑτέρῳ τὸ εἶναι ἔχοντα, νῦν μὲν ὡς τὸν προφορικὸν λεγόμενον ὑπό τινων, νῦν δὲ ὡς τὸν ἐνδιάθετον· Χριστὸν δὲ αὐτὸν καὶ Κύριον καὶ Θεὸν καὶ μεσίτην καὶ εἰκόνα τοῦ Θεοῦ μὴ εἶναι πρὸ αἰώνων θέλοντας· ἀλλ' ἔκτοτε Χριστὸν αὐτὸν γεγονέναι καὶ Υἱὸν τοῦ Θεοῦ, ἐξ οὗ τὴν ἡμετέραν ἐκ τῆς Παρθένου σάρκα ἀνείληφε, πρὸ τετρακοσίων ὅλων ἐτῶν. Ἔκτοτε γὰρ ἀρχὴν βασιλείας τὸν Χριστὸν ἐσχηκέναι θέλουσι· καὶ τέλος ἕξειν αὐτὴν μετὰ τὴν συντέλειαν καὶ κρίσιν. Τοιοῦτοι δέ εἰσιν οἱ ἀπὸ Μαρκέλλου καὶ Φωτεινοῦ τῶν Ἀγκυρογαλατῶν· οἳ τὴν προαιώνιον ὕπαρξίν τε καὶ θεότητα τοῦ Χριστοῦ, καὶ τὴν ἀτελεύτητον αὐτοῦ βασιλείαν ὁμοίως ἀθετοῦσι τῷ ἵστασθαι δοκεῖν αὐτοῖς οὕτω τὴν μοναρχίαν. Ἴσμεν γὰρ ἡμεῖς αὐτὸν οὐχ ἁπλῶς λόγον προφορικὸν ἢ ἐνδιάθετον τοῦ Θεοῦ· ἀλλὰ ζῶντα Θεὸν Λόγον, καθ' ἑαυτόν τε ὑπάρχοντα, καὶ Υἱὸν Θεοῦ καὶ Χριστόν· καὶ οὕτω προγνωστικῶς συνόντα, καὶ συνδιατρίβοντα πρὸ αἰώνων τῷ ἑαυτοῦ Πατρὶ, καὶ πρὸς πᾶσαν διακονησάμενον αὐτοῦ τὴν δημιουργίαν, εἴτε τῶν ἀοράτων, εἴτε τῶν ὁρατῶν· ἀλλ' ἐνυπόστατον Λόγον ὄντα τοῦ Πατρὸς, καὶ Θεὸν ἐκ Θεοῦ. Οὗτος γάρ ἐστι πρὸς ὃν εἶπεν ὁ Πατήρ· *Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν*· ὃς καὶ τοῖς Πατράσιν ὤφθη, δεδωκὼς τὸν νόμον, καὶ λαλήσας διὰ τῶν προφητῶν, καὶ τὰ τελευταῖα ἐνανθρωπήσας, καὶ τὸν ἑαυτοῦ Πατέρα πᾶσιν ἀνθρώποις φανερώσας, καὶ βασιλεύων εἰς τοὺς

fuit, quod præter auctoritatem Scripturæ periculose dicunt, tanquam temporale intervallum ante ipsum considerandum : sed solus, qui eum sine tempore genuit, Deus contemplandus. Nam et tempora et sæcula per ipsum facta sunt. Neque vero simul principii expers, neque simul ingenitus cum patre filius esse putandus est. Etenim simul principii expertis et simul ingeniti, nullus proprie Pater aut Filius dicetur. Sed Patrem quidem solum principii expertem exsistentem et incomprehensibilem genuisse incomprehensibili et quem omnes consequi non possint, modo scimus, Filium autem genitum esse ante sæcula. Et neque itidem ut Patrem, ipsum quoque ingenitum esse : sed principium habere, qui eum genuit, Patrem ipsum; caput namque Christi Deus. Enimvero tres confitentes res, et tres personas Patris et Filii et Spiritus sancti, secundum Scripturas, non tres propterea facimus deos. Quandoquidem per seipsum perfectum et ingenitum, principioque carentem, et invisibilem Deum, unum tantum novimus, Deum et Patrem Unigeniti, solum ex seipso essentiam habentem, solum aliis omnibus abunde exsistentiam largientem. Neque sane dum unum Deum esse dicimus, Domini Jesu Christi Patrem solum ingenitum, propterea Christum Deum esse antesæcularem negamus : quales sunt Pauli Samosateni sectatores, post inhumanationem eum ex profectu deificatum esse dicentes, eo quod natura merus homo factus sit. **693**. Scimus enim ipsum, etiamsi subjectus est Patri et Deo, tamen genitum ex Deo, Deum natura esse perfectum et verum, et non ex hominibus postea Deum, sed ex Deo, hominem factum propter nos esse, neque unquam desiisse esse Deum. Exsecramur vero insuper, et anathemati subjicimus, eos qui Verbum quidem ipsum Dei, sed tantum nudum et sine subsistentia fictitie vocant : in alio vero essentiam habens, aliquando sane ut vocale seu enuntiativum, aliquando vero ut internum seu mentale a quibusdam dictum ; Christum autem ipsum et Dominum, et Deum, et mediatorem, et imaginem Dei esse ante sæcula nolunt : sed eum ex eo tempore Christum esse factum et Filium Dei dicunt, ex quo nostram ex Virgine carnem assumpsit, ante quadringentos integros annos. Ex eo enim tempore initium regni Christum habuisse, et finem id habiturum esse post consummationem et judicium, volunt. Tales autem sunt Marcelliani et Photiniani Ancyrani in Galatia, qui antesæcularem subsistentiam et divinitatem Christi, et similiter interminatum ejus regnum abolent, eo modo, ut ipsis videtur, monarchiam seu unius imperium constituentes. Nos enim scimus, esse non simpliciter verbum enuntiativum, aut internum : sed viventem Deum Verbum, per seipsum subsistentem, et Filium Dei et Christum, et ita præscienter simul exsistentem et simul agentem ante sæcula cum suo Patre, et ad omnem ejus administrantem crea-

tionem, sive invisibilium seu visibilium, ut qui subsistens Verbum sit Patris, et Deus ex Deo. Hic enim est ad quem Pater dixit : *Faciamus hominem secundum imaginem nostram et similitudinem,* qui et a patribus visus est cum legem ferret, et locutus est per prophetas; et qui postremo homo factus est, et Patrem suum omnibus hominibus manifestavit, quique regnat in sæcula sæculorum. Siquidem nihil novæ dignitatis Christus assumpsit, sed eum antea perfectum, et Patri per omnia similem esse credimus. Atque itidem, eos qui dicunt eumdem esse Patrem et Filium et Spiritum sanctum, et unius ejusdemque rei et personæ tria hæc nomina impie accipiunt, merito ab Ecclesia proscribimus : quoniam Patrem qui comprehendi nequeat, atque perpessioni obnoxius non sit, et comprehensibilem, et perpessioni obstrictum per inhumanationem constituunt. **694** Tales sunt, qui Patropassiani apud Romanos, Sabelliani apud nos dicuntur. Siquidem novimus Patrem quidem, qui miserit, in suo immutabilis divinitatis statu permansisse : qui vero missus est Christum, inhumanationis œconomiam et munus obiisse. Consimiliter autem eos qui impie, non consulto neque voluntate genitum esse Christum dicunt, necessitatem videlicet quamdam imponentes, et substantiam voluntate et delectu carentem Deo tribuentes, ita, ut invitus Filium genuerit, impiissimos et a veritate alienissimos cognoscimus. Quoniam adversus communes de Deo notitias, atque etiam adversus divinitus inspiratæ Scripturæ sententiam, talia de eo statuere audent. Nos etenim absolutissimæ potestatis, eum esse, perfectissimique juris sui Deum scientes, sponte et voluntate sua Filium genuisse, pie existimamus. Et cum timore illud de eo dictum esse credentes, *Dominus creavit me initium viarum suarum ad opera sua* [1] : non itidem eum ut creaturas facturasque ejus genitum esse arbitramur. Impium enim est, et ab ecclesiastica fide alienum, Conditorem cum creaturis per eum conditis comparare, eumdemque etiam cum generationis modum cum eis quæ ab eo sunt aliena habere putare. Solum namque, et solo seu unico modo unigenitum Filium germane seu native atque vere genitum esse, nos divinæ Litteræ docent. Quin neque dum Filium per seipsum esse, vivere, et exsistere consimiliter Patri dicimus, propterea eum a Patre segregamus, loca et intervalla quædam inter eorum conjunctionem corporaliter imaginantes. Credimus enim sine medio, et sine spatio ullo, ipsos conjunctos esse, et inseparabiliter a seipsis exsistere : Patre quidem complectente, et pectori applicante Filium totum : Filio vero toto prorsus devincto et applicato Patri, eoque solo perpetuo in sinu paterno conquiescente. Itaque, in modis omnibus perfectam et sanctissimam Trinitatem credentes Patremque Deum

A αἰῶνας τῶν αἰώνων. Οὐδὲν γὰρ πρόσφατον ὁ Χριστὸς προσείληφεν ἀξίωμα· ἀλλὰ ἄνωθεν τέλειον αὐτὸν, καὶ τῷ Πατρὶ κατὰ πάντα ὅμοιον πεπιστεύκαμεν. Καὶ τοὺς λέγοντας τὸν αὐτὸν εἶναι Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, καθ' ἑνὸς καὶ τοῦ αὐτοῦ πράγματός τε καὶ προσώπου τὰ τρία ὀνόματα ἀσεβῶς ἐκλαμβάνοντας, εἰκότως ἀποκηρύσσομεν τῆς Ἐκκλησίας· ὅτι τὸν ἀχώρητον καὶ ἀπαθῆ Πατέρα χωρητὸν καὶ παθητὸν διὰ τῆς ἐνανθρωπήσεως ὑποτίθενται. Τοιοῦτοι γάρ εἰσιν οἱ Πατροπασσιανοὶ παρὰ Ῥωμαίοις, Σαβελλιανοὶ δὲ παρ' ἡμῖν λεγόμενοι. Οἴδαμεν γὰρ ἡμεῖς, τὸν μὲν ἀποστείλαντα Πατέρα, ἐν τῷ οἰκείῳ τῆς ἀναλλοιώτου θεότητος ἤθει μεμενηκέναι, τὸν δὲ ἀποσταλέντα Χριστὸν τὴν τῆς ἐνανθρωπήσεως οἰκονομίαν πεπληρωκέναι. Ὁμοίως καὶ **B** τοὺς οὐ βουλήσει οὐδὲ θελήσει γεγεννῆσθαι τὸν Χριστὸν εἰρηκότας ἀνευλαβῶς, ἀνάγκην δὲ δηλονότι ἀβούλητον οὐσίαν καὶ ἀπροαίρετον περιτεθεικότας τῷ Θεῷ, ἵνα ἄκων γεννήσῃ τὸν Υἱὸν, δυσσεβεστάτους καὶ τῆς ἀληθείας ξένους ἐπιγινώσκομεν· ὅτι τε παρὰ τὰς κοινὰς ἐννοίας περὶ Θεοῦ, καὶ δὴ παρὰ τὸ βούλημα τῆς θεοπνεύστου Γραφῆς, τοιαῦτα τετολμήκασι περὶ αὐτοῦ διορίσασθαι· αὐτοκράτορα γὰρ ἡμεῖς τὸν Θεὸν καὶ Κύριον αὐτὸν ἑαυτοῦ εἰδότες ἑκουσίως αὐτὸν καὶ θέλοντα τὸν Υἱὸν γεγεννηκέναι εὐσεβῶς ὑπειλήφαμεν. Πιστεύοντες δὲ ἐμφόβως καὶ τὸ περὶ αὐτοῦ λεγόμενον, *Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, εἰς ἔργα αὐτοῦ*, οὐχ ὁμοίως αὐτὸν τοῖς δι' αὐτοῦ γενομένοις κτίσμασιν ἢ ποιήμασι γεγεννῆσθαι νοοῦμεν. **C** Ἀσεβὲς γὰρ καὶ τῆς ἐκκλησιαστικῆς πίστεως ἀλλότριον τὸ τὸν κτίστην τοῖς δι' αὐτοῦ ἐκτισμένοις δημιουργήμασι παραβάλλειν, καὶ τὸν αὐτὸν τῆς γενέσεως τοῖς ἀλλοτρίοις τρόπον ἔχειν καὶ αὐτὸν νομίζειν. Μόνον γὰρ καὶ μόνως τὸν μονογενῆ Υἱὸν γνησίως τε καὶ ἀληθῶς διδάσκουσιν ἡμᾶς αἱ θεῖαι Γραφαὶ γεγεννῆσθαι· ἀλλ' οὐδὲ τὸν Υἱὸν καθ' ἑαυτὸν εἶναι, ζῆν τε καὶ ὑπάρχειν ὁμοίως τῷ Πατρὶ λέγοντες, διὰ τοῦτο χωρίζομεν αὐτὸν τοῦ Πατρὸς, τόπους δὲ καὶ διαστήματά τινα μεταξὺ τῆς συναφείας αὐτῶν σωματικῶς ἐπινοοῦντες· πεπιστεύκαμεν γὰρ ἀμεσιτεύτως αὐτοὺς καὶ ἀδιαστάτως ἐπισυνῆφθαι, καὶ ἀχωρίστως ὑπάρχειν ἑαυτῶν, ὅλον μὲν τοῦ Πατρὸς ἐνστερνισμένου τὸν Υἱὸν, ὅλου δὲ τοῦ Υἱοῦ ἐξηρτημένου καὶ προσπεφυκότος τῷ Πατρὶ, καὶ **D** μόνου τοῖς πατρῴοις κόλποις ἀναπαυομένου διηνεκῶς. Πιστεύοντες οὖν εἰς τὴν παντέλειον Τριάδα τὴν ἁγιωτάτην, τὸν Πατέρα λέγοντες Θεὸν καὶ τὸν Υἱὸν, οὐ δύο τούτους θεοὺς, ἀλλ' ἕνα ὁμολογοῦμεν κατὰ τὸ τῆς θεότητος ἀξίωμα, καὶ μίαν ἀκριβῆ τῆς βασιλείας τὴν συνάφειαν· παναρχοῦντος μὲν καθόλου τοῦ Πατρὸς πάντων καὶ αὐτοῦ τοῦ Υἱοῦ, τοῦ δὲ Υἱοῦ ὑποτεταγμένου τῷ Πατρί· ἐκτὸς δὲ αὐτοῦ πάντων τῶν μετ' αὐτὸν βασιλεύοντος τῶν δι' αὐτοῦ γενομένων, καὶ τὴν τοῦ ἁγίου Πνεύματος χάριν ἀφθόνως τοῖς ἁγίοις δωρουμένου πατρικῷ βουλήματι. Οὕτω γὰρ τὸν περὶ τῆς ἐν Χριστῷ μοναρχίας συνίστασθαι λόγον παραδεδώκασιν ἡμῖν οἱ ἱεροὶ λόγοι.

[1] Prov VIII, 22.

Ταῦτα ἠναγκάσθησαν μετὰ τὴν ἐν ἐπιτομῇ ἐκτεθεῖσαν πίστιν πλατύτερον ἐπεξεργάσασθαι, οὐ κατὰ περιττὴν φιλοτιμίαν, ἀλλ' ἵνα πᾶσαν τὴν κατὰ τῆς ἡμετέρας ὑπολήψεως ἀλλοτρίαν ἀποκαθάρωμεν ὑποψίαν παρὰ τοῖς τὰ καθ' ἡμῶν ἀγνοοῦσι· καὶ γνῶσιν οἱ κατὰ τὴν δύσιν πάντες ὁμοῦ μὲν τῆς συκοφαντίας τῶν ἑτεροδόξων τὴν ἀναίδειαν, ὁμοῦ δὲ καὶ τῶν ἀνατολικῶν τὸ ἐκκλησιαστικὸν φρόνημα, μαρτυρούμενον ἀβιάστως ὑπὸ τῶν θεοπνεύστων Γραφῶν παρ' αὐτοῖς ἀδιαστρόφως. » Ἐν τούτοις μὲν ἡ μακρόστιχος ἐκείνη ἔκθεσις περιείληπτο.

A dicentes, et Filium, non ipsos duos deos, sed unum confitemur, juxta divinitatis amplitudinem, et unam certam absolutamque regni conjunctionem : universarum quidem rerum per omnia cum summa potestate imperium obtinente Patre omnium, et ipsius Filii (1); Filio autem Patri quidem subjecto, extra vero cum universa post eum quæ per ipsum facta sunt regente, et Spiritus sancti prolixe ex voluntate Patris gratiam sanctis donante. **695** Ad hunc enim modum, ordinem et rationem monarchiæ uniusque imperii in Christo constare nobis sacra prodidere oracula. Hæc ut post breviorem fidei formulam fusius exponeremus, necessitas nobis imposita est, non per superfluam ambitionem, sive venditationem, sed ut omnem alienam suspicionem contra sententiam nostram conceptam, apud eos qui res nostras ignorant, abstergeremus : et ut Occidentales omnes cum calumniæ adversariorum impudentiam, tum ecclesiasticam Orientalium opinionem cognoscant, cui opinioni divinitus inspiratæ Scripturæ, quæ apud eos inviolatæ conservantur, per nullam coactam aut violentam interpretationem, perhibent testimonium. » Hoc quidem modo prolixior illa expositio fuerat instituta.

ΚΕΦΑΛ. ΙΒ'.

Περὶ τῆς ἐν Σαρδικῇ συνόδου.

B

Ὡς δ' ἀπηξίωτο τοῖς ἐν ἑσπέρᾳ, Κώνστας ὁ Καῖσαρ μίαν ᾔτει χάριν τὸν ἀδελφὸν, Παύλῳ καὶ Ἀθανασίῳ τοὺς οἰκείους θρόνους ἀναλαβεῖν. Ὡς δὲ γράφων οὐδὲν μᾶλλον ἤνυε, τῶν δι' ἐναντίας ἀντιπραττόντων, καὶ τῶν λαῶν διὰ ταῦτα στασιαζόντων, προσιόντες Κώνσταντι οἱ περὶ Παῦλον, σύνοδον ᾔτουν οἰκουμενικὴν γενέσθαι, ὥστε δὴ καὶ τὰ τῆς πίστεως καὶ τὰ κατ' αὐτοὺς ἀκριβῶς ἐτασθῆναι. Τὴν γὰρ καθαίρεσιν ὑποσχεῖν διετείνοντο διὰ τὸ τῆς πίστεως ἀκραιφνές. Γνώμη τοίνυν τοῖν δυοῖν βασιλέοιν ἐγίνετο, τοὺς ἀφ' ἑκατέρας ἀρχομένης ἐπισκόπους εἰς ῥητὴν ἡμέραν καταλαβεῖν τὴν Σαρδικὴν, Ἰλλυρὶς δὲ πόλις αὕτη, τοῦ μὲν αἰτοῦντος, Κωνσταντίου δὲ C ὑπακούοντος, ὥστε τὴν στάσιν διαλυθῆναι. Καὶ ἀπὸ μὲν τῶν πρὸς ἑσπέραν μερῶν ἀμφὶ τριακόσιοι συνῆλθον ἐπίσκοποι, ὥς πού φησιν ὁ ἱερὸς Ἀθανάσιος, ἐκ δὲ τῆς ἕω ἕξ τε καὶ ἑβδομήκοντα· Σαβῖνος ὁ Μακεδόνιος τοῦτό φησιν· οἷς συγκατείλεκτο καὶ Ἰσχύρας ἐκεῖνος, ὁ ἐξ ἑαυτοῦ τὴν ἱερωσύνην ἀναλαβών. Καὶ κατὰ τοῦτο διάφορος καταστὰς Ἀθανασίῳ, τοῖς δὲ δι' ἐναντίας προσιὼν, καὶ τὰ ψεύδη συμπλάσας, ἐπίσκοπος Μαρεώτου παρ' ἐκείνων ἀνεκηρύχθη. Οἱ δ' ἄλλοι τὸ στενὸν τοῦ ὁρισθέντος καιροῦ ἐν αἰτίαις θέμενοι, ἀπελείφθησαν, ἄλλος ἄλλο τι προβαλλόμενοι, Ἰουλίῳ γε μὴν τὴν μέμψιν ἀνατιθέντες, καὶ ταῦτα πρὸ εἴκοσι μηνῶν τῆς ἀφίξεως τῶν ἐπισκόπων κεκηρυγμένης. Ἦν δὲ τοῦτο δέκατον ἔτος, ἀφ' οὗ Κωνσταντῖνος ὁ πατὴρ τοῖν βασιλέοιν πρὸς D τὴν ἀμείνω λῆξιν ἐχώρει. Ἀλλ' οἱ μὲν ἑῷοι, εἰς τὴν Φιλίππου πόλιν τῆς Θρᾴκης γενόμενοι, τοῖς ἑσπερίοις ἔγραψαν, προκαταλαβοῦσι τὴν Σαρδικὴν, διώσασθαι τοὺς περὶ Ἀθανάσιον τοῦ συλλόγου, ὡς ἀπὸ τοῦ ἱερᾶσθαι γεγενημένοις· μηδὲ γὰρ ἂν ἄλλως εἶναι ἐξὸν εἰς ἓν συνιέναι· ἔπειτα δὲ καὶ εἰς τὴν Σαρδικὴν γενόμενοι, τὰ ἴσα διισχυρίζοντο· οἱ δ'

CAPUT XII.

De Sardicensi synodo.

Ut autem ab Occidentalibus est repudiata, Constans Cæsar unum illud a fratre sibi dari postulavit, ut Paulus et Athanasius sedes suas reciperent. At cum litteris suis nihil effecisset, propterea quod adversarii contra niterentur : et cum populus ea de causa seditionem moveret, Paulus et Athanasius rursum Constantem adiere, et ut universalis synodus cogeretur petiere, ut de professione fidei, et de eorum causis accuratius res explorari posset. Exauctorationis enim ignominiam se propter fidei sinceritatem sustinere affirmarunt. Quapropter de duorum imperatorum istorum sententia statutum, ut utriusque imperii episcopi ad diem certum Sardicam, quæ Illyrica civitas est, convenirent. Id quod Constans sic petierat, Constantius autem assenserat, ut videlicet seditio solveretur. Atque ex Occidentis partibus circiter trecenti convenere episcopi, sicuti alicubi sacer dicit Athanasius ; ex Oriente vero, Sabino Macedoniano referente, sex et septuaginta. Quibus accensus est et Ischyras ille, ex sese ortus presbyter. Ob quam causam, cum negotium ei cum Athanasio esset, in adversariorum partes concessit, apud quos propter mendacia conficta episcopus apud Mareoten est creatus. **696** Reliqui autem angustias constituti temporis prætexentes, atque alius aliam causam allegantes, non comparuere. Potissimum vero in Julium culpam ejus rei conferebant, cum quidem mensibus viginti ante episcoporum adventum dies esset constituta. Decimus is erat annus, ex quo Constantinus, imperatoris utriusque pater, ad meliorem migraverat vitam. Et Orientales, qui Philippopolim in Thracia venerant, Occidentalibus, qui Sardicæ jam præsto erant, scripsere, ut Athanasium, ejusque studiosos, ut

(1) Etiam aliter, et fortasse rectius ita verti potest : *Patre quidem rerum universarum per omnia cum summa potestate imperium etiam in Filium obtinente*, etc.

Atque interea, quod omnes una porta egrederentur, Athanasius in media psalmos canentium turba tectus, incolumis evadit, atque Romam recurrit. Gregorius porro, illo profugiente, thronum recipit. Propter quod factum multitudo male animata, ecclesiam quæ apud ipsos sub Dionysii episcopi nomine erat, igni combussit. Eusebius cum suis, ea re ad voluntatem suam peracta, magnoque studio episcopis in Oriente catholicis rejectis, et aliis qui eadem secum sentirent, insignioribus sedibus, Alexandriæ, Antiochiæ ad Orontem, præfectis, et in ipsa ad Hellespontum imperante urbe per seipsum sede occupata, admodum morigeros omnium eorum locorum habuit episcopos. Julius autem Romanus pontifex, et totius Occidentis episcopi, constantes Nicænæ synodi suffragatores et laudatores, rebus quæ in Oriente præter spem acciderent, graviter affligebantur. Ipsum quoque Athanasium ad se venientem perbenigne susceperunt: et virum tantum, eademque cum eis sentientem, honore sunt prosecuti, causamque ejus ad judicium cognitionemque suam transferendam duxerunt, et scriptis eam ob rem litteris synodum ad se evocarunt. Quibus litteris Eusebius exacerbatus, missis ad Julium legatis, judicium ei rerum in Tyria synodo adversus Athanasium decretarum permisit.

A εἰς Ῥώμην ἀνέτρεχε. Γρηγόριος δ', ἐκποδὼν ἐκείνου γεγενημένου, τὸν θρόνον ἐλάμβανε. Χαλεπῶς δὲ τὸ πλῆθος τοῖς γενομένοις διατεθὲν, τὴν παρ' αὐτοῖς Διονυσίου τοῦ ἐπισκόπου ἐκκλησίαν πυρὶ παραδέδωκεν. Οὕτω δ' ὅσα ἦν πρὸς βουλῆς Εὐσεβίῳ κατειργασμένων, σπουδῇ τε τῶν ἀνὰ τὴν ἕω ἐπισκόπων καθῃρημένων, αὐτοῖς δ' ὁμοφρόνων τοῖς ἐπισήμοις τῶν θρόνων ἀντικαταστάντων ἐπί τε Ἀλεξανδρείας καὶ τῆς παρ' Ὀρόντην Ἀντιοχείας, καὶ τῆς ἀνὰ τὸν Ἑλλήσποντον βασιλίδος, εὖ μάλα πειθομένους εἶχον καὶ τοὺς ἀνὰ τόδε σύμπαν ὑπήκοον ἐπισκόπους. Ἰούλιος δ' ὁ τῆς Ῥώμης ἐπίσκοπος, καὶ οἱ ἀνὰ τὴν ἑσπέραν ἅπασαν ἱερεῖς, καθάπαξ ἐπαινέται τῆς ἐν Νικαίᾳ συνόδου γεγενημένοι, ὑβριοπαθοῦντες ἦσαν τοῖς ἀνὰ τὴν ἕω παρ' ἐλπίδα συμβᾶσιν. Ἀμέλει τοι καὶ ἥκοντα B πρὸς αὐτοὺς Ἀθανάσιον ἀσμένως ἐδέξαντο, καὶ τιμῆς ἠξίουν τοιοῦτόν γε ὄντα, καὶ ὁμόφρονα τούτοις καθεστηκότα· καὶ τὴν κατ' Ἀθανάσιον δίκην ἐπ' αὐτοῖς γενέσθαι διῳκονόμουν· καὶ γράφοντες πρὸς ἑαυτοὺς τὴν σύνοδον μετεστέλλοντο. Χαλεπαίνων δὲ τούτοις Εὐσέβιος, διεπρεσβεύετο πρὸς Ἰούλιον, αὐτῷ δῆθεν ἐπιτρέπων τὴν κρίσιν τῶν ἐν Τύρῳ δοξάντων κατὰ Ἀθανασίου.

CAPUT VII.

Ut post Eusebium Paulus rursum sedem receperit, Ariani autem Macedonium contra eum foverint: et de cæde Hermogenis ducis: et ut denuo Paulus sit ejectus.

Priusquam autem responsum Roma accepisset, Eusebius diem suum obiit, non diu a synodo Antiochena superstes. Porro bellua ea sublata, Constantinopoli cœtus piorum studio et ardore, quo erga Nicæna decreta ferebantur, Paulum in ecclesiam reduxere. Tum quoque Arianorum factio, et Theognidis atque Theodori Perinthii (Heracleotem eum nominant) sectatores, in ea quæ Pauli dicitur ecclesia, conventu acto, Macedonium Constantinopolitanum elegerunt episcopum. In quibus cum alii multi, tum Ursicius et Valens, **684** alter quidem Singidonis superioris Mysiæ, alter autem Mursorum superioris Pannoniæ episcopi fuere: qui postea resipuere, et libello pœnitentiæ Julio Romæ episcopo oblato, ὁμοουσίῳ consubstantiali assensere, et ad communionem admissi sunt. Tum temporis autem acres Arianæ opinionis æmulatores, non parvos Ecclesiæ motus excitarunt: quorum unus etiam Macedonius fuit. Civili namque ex ea causa bello exorto, plebs quotidie fere seditionem concitabat: et multitudine utrinque concurrente, plurimi atterebantur atque peribant. Qua re imperator cognita, cum adhuc Antiochiæ moraretur, ira percitus, Hermogeni duci, qui tum in Thraciam missus fuerat, mandavit, ut ex itinere cum equestri manu in urbem imperatricem diverteret, et Paulum Ecclesia ejiceret. Qui ubi affuit, et imperata facturus militarem manum adhibuit, plebs

ΚΕΦΑΛ. Ζ'.

Ὡς μετὰ Εὐσέβιον πάλιν ὁ Παῦλος τὸν θρόνον ἐλάμβανεν· οἱ δὲ Ἀρειανοὶ Μακεδόνιον προεβάλλοντο, καὶ περὶ τῆς ἀναιρέσεως τοῦ στρατηλάτου Ἑρμογένους· καὶ ὡς ἐξηλάθη πάλιν ὁ Παῦλος.

C Πρινὴ δὲ τὴν ἐκ Ῥώμης ἀπολογίαν μαθεῖν, ὁ Εὐσέβιος φθάνει τὸν βίον ἀπολιπὼν, οὐ πάμπολυ τῆς ἐν Ἀντιοχείᾳ ὑστερήσας συνόδου. Τοῦ δὲ τοσούτου διαφθαρέντος θηρὸς, ὁ τῆς Κωνσταντίνου εὐσεβὴς ὅμιλος ζήλῳ τῶν κατὰ Νίκαιαν δεδογμένων τὸν Παῦλον αὖθις εἰς τὴν ἐκκλησίαν ἀνήγαγον. Κατὰ ταυτὸν δὲ καὶ οἱ τῆς Ἀρειανῶν συμμορίας, οἱ ἀμφὶ Θέογνιν καὶ Θεόδωρον τὸν Περίνθιον, Ἡρακλεώτην δὲ αὐτὸν ὀνομάζουσιν, ἐν τῇ κατὰ Παῦλον εἰρημένῃ Ἐκκλησίᾳ συνελθόντες, Μακεδόνιον τῆς Κωνσταντίνου χειροτονοῦσιν ἐπίσκοπον. Ἐν οἷς ἄλλοι τε πολλοὶ, καὶ Οὐρσίκιος, καὶ Οὐάλης· ὧν ὁ μὲν Σιγγιδόνος τῆς ἄνω Μυσίας, Μυρσῶν δὲ τῆς D ἄνω Παννονίας Οὐάλης, ἦσαν ἐπίσκοποι· οἳ δὴ ἐς ὕστερον μεταμέλῳ χρησάμενοι βιβλίον μετανοίας τῷ Ῥώμης Ἰουλίῳ δόντες, τῷ ὁμοουσίῳ συνέθεντο, καὶ κοινωνεῖν ἠξιώθησαν. Τηνικαῦτα δὲ διάπυροι ζηλωταὶ τῆς Ἀρειανικῆς θρησκείας ὄντες, πολέμους κατὰ τῆς Ἐκκλησίας οὐ μικροὺς ἀνεστήσαντο· ὧν εἷς καὶ ὁ κατὰ Μακεδόνιον. Ἐμφυλίου γὰρ ἐντεῦθεν πολέμου γεγενημένου, στάσιν ὁ δῆμος καθ' ἑκάστην ὡς εἰπεῖν εἶχε. Τοῦ δὲ πλήθους συμπίπτοντος ἑκατέρωθεν, πλείστους τε συντρίβεσθαι συνέβαινε καὶ διόλλυσθαι· ἃ δὴ καὶ βασιλέα μαθόντα, ἔτι κατὰ τὴν Ἀντιόχειαν διατρίβοντα, περιοργῆ τε γενόμενον, Ἑρμογένει ἐντείλασθαι στρατηλάτῃ, τοῖς Θρᾳκῴοις μέρεσι τηνικαῦτα δὴ σταλέντι, ἐν ὁδῷ, ὁδοῦ πάρεργον τὴν βασιλίδα καταλαβεῖν σὺν ἱππικῇ δυ-

νέμει, καὶ τὸν Παῦλον ἀπελάσαι τῆς ἐκκλησίας. A Ὡς δὲ παριὼν τὸ κελευσθὲν ἐπεχείρει, καὶ βίαν προσῆγεν, οὐ συνεχώρει τὸ πλῆθος. Ἐπεὶ δὲ καὶ ἀμύνειν ἑτοίμως εἶχον, Ἑρμογένης ἔτι ἐπέκειτο τῇ στρατιωτικῇ χειρὶ χρώμενος. Τὸ δὲ πλῆθος κατὰ βραχὺ στασιάζον ἐξήπτετο, καὶ πρὸς ἀλογωτέρας ἐκινεῖτο ὁρμάς. Ἔπειτα πανδημεὶ προσιόντες, τὴν Ἑρμογένους ἐμπιπρῶσιν οἰκίαν, καὶ αὐτὸν κτείνουσιν. Εἶτα σχοινίον ἐξάψαντες τῶν ποδῶν, εἷλκον διὰ τῆς λεωφόρου τῆς πόλεως. Ταῦτα μαθὼν ὁ Κωνστάντιος, ἱππεὺς ἐλάσας, τὴν βασιλίδα κατέλαβε. Κακῶς δὲ δρᾷν τὸ πλῆθος διανοούμενος, παρῆκε δεδακρυμένους ὁρῶν ὑπαντῶντας αὐτῷ. Περιεῖλέ γε μὴν ἀμφὶ τὸ ἥμισυ τοῦ σίτου, ὃν Κωνσταντῖνος κατ' ἔτος ἐκ τῆς Ἀλεξανδρείας καὶ τῶν κατ' Αἴγυπτον φόρων τοῖς ἰδίοις ἐδωρεῖτο πολίταις· ἴσως B ἄμεινον λογισάμενος περιελεῖν τὰς στάσεις αὐτοῖς, ὑπὸ τρυφῆς, ὡς τὰ πολλὰ, καὶ ῥᾳστώνης φύεσθαι εἰωθυίας. Ὀκτὼ γὰρ μυριάδες μέδιμνοι καθ' ἡμέραν ἐχορηγοῦντο σίτου τῷ πλήθει πρὸς Κωνσταντίνου· ὧν τὸ ἥμισυ τηνικαῦτα περιεῖλε Κωνστάντιος. Τὴν ὀργὴν δὲ πᾶσαν ἔτρεπεν ἐπὶ Παῦλον· καὶ οὐ τοῦ θρόνου μόνον, ἀλλὰ καὶ τῆς πόλεως ἤλαυνε. Χαλεπαίνων δὲ καὶ Μακεδονίῳ, ὡς στάσεων καὶ θορύβων αἰτίῳ, οὐ μὴν δὲ ἀλλὰ καὶ τῆς τοῦ Ἑρμογένους ἀναιρέσεως, καὶ ὅτι τῆς ἐκείνου ἄνευ ἐπιτροπῆς τὴν ἱερωσύνην ἀνέλαβεν, οὔτε συγκροτήσας τὴν ἐκείνου ψῆφον, οὔτε μὴν ἀποχειροτονήσας αὐτὸν, ἐάσας δ' οὕτως ἔχειν ἐν ᾗ συνῆγεν ἐκκλησίᾳ, εἰς τὴν Ἀντιόχου ἀπέστρεφεν. Ἐν τούτῳ δὲ καὶ Ἀρειανοὶ C ὡς νωθῆ περὶ τὴν θρησκείαν Γρηγόριον, καὶ ὡς τοῖς Ἀλεξανδρεῦσιν ἀγλευκῆ καθεστῶτα, ἔτι δὲ καὶ διὰ τὰ συμβάντα τῇ εἰσόδῳ αὐτοῦ κατὰ τὴν ἐκκλησίαν τοῦ παρ' αὐτοῖς ἐπισκόπου Διονυσίου, μεθιστῶσι μὲν ἐκεῖνον, Γεώργιον δέ τινα, Καππαδόκην τὸ γένος, μάζῃ καὶ πιτύροις κατατετριμμένον, ὡς καὶ ταρίχων κρεῶν ὑείων ταμίαν γενέσθαι, οἷα δὲ περὶ τὴν θρησκείαν δραστήριον, ἀντικαθιστῶσι τῷ τῆς Ἀλεξάνδρου θρόνῳ.

ei restitit. Eam vero, ad vim vindicandam paratam videns Hermogenes, amplius etiam militari robore institit. Ibi multitudo ad seditionem et tumultum paulatim concitata, præter rationem ad impetum prosiluit: et deinde una simul omnes ruentes, Hermogenis domum incendere, ipsumque occidere: fune quoque ad pedes ejus alligato, per urbis vias traxere. Hæc ubi ad Constantium sunt relata (1), equo vehens Constantinopolim venit. Et cum graviter in multitudinem animadvertere statuisset, noxam eis, quod lacrymantes ei obviam ierant, remisit. Dimidiam tamen circiter frumenti partem ademit, quod Constantinus quotannis ex Alexandriæ et Ægypti tributis, civibus suis largitus fuerat; melius videlicet Constantius esse rebatur, sic seditionum, quam aliter, accidere causas, quæ ex luxu plurimum et secundarum rerum licentia emergere solent. Octog nta enim millia medimnorum frumenti quotidie a Constantino plebi datæ fuerant, cujus dimidiam partem tum Constantius diminuit: ira omni in Paulum conversa, quem non solum throno, sed urbe etiam ejecit. Macedonio quoque succensens, ut seditionum, tumultuum, atque adeo cædis Hermogenis auctori, et quod injussu suo episcopatum recepisset, electione ejus neque comprobata neque abrogata, in eaque qua conventus agebat ecclesia, eum sic manere passus, Antiochiam revertit. **685** Interera Ariani Gregorium perinde atque in religionem segnem, et Alexandrinis minus gratum, et propter ecclesiæ, quæ Alexandriæ Dionysii episcopi fuerat, in introitu ejus conflagrationem, episcopatu movent: et Georgium quemdam Cappadocem genere, qui circa panem viliorem et furfur ætatem egeret, succidiæque adeo suillæ promus condus fuerat, quod in religione tuenda industrius esset, pro eo in Alexandrina sede collocarunt.

ΚΕΦΑΛ. Η'.

Ὡς Ἀθανάσιος καὶ Παῦλος γράμμασιν Ἰουλίου ὀχυρωθέντες, τοὺς ἰδίους θρόνους ἀπέλαβον.

Ἀθανάσιος δὲ τοῖς ἐν Ῥώμῃ διῆγε, Κώνσταντος τοῦ νεωτέρου τῶν Κωνσταντίνου παίδων τῆς ἑσπέρας πάσης κατάρχοντος. D Ἐν ταυτῷ δὲ Παῦλος ὁ τῆς Κωνσταντίνου ἀφῖκτο, καὶ Μάρκελλος ὁ Ἀγκυρανὸς, δι' αἰτίας ἅσπερ εἰρήκαμεν, καὶ Ἀσκληπᾶς, ὁ τῆς Γαζαίων ἐπίσκοπος· ὃς δὴ καὶ οὗτος γενναίως ἀντιφερόμενος τοῖς Ἀρειανοῖς, γραφὴν πρὸς τῶν δι' ἐναντίας ὑποστὰς ὡς εἴη θυσιαστήριον ἀνατρέψας, ἀφῄρηται τὴν ἐπισκοπήν. Κυντιανὸς δὲ ταύτην ἐλάμβανεν. Ἐπίσης δὲ καὶ Λούκιος ὁ τῆς Ἀδριανοῦ ἐγκληθεὶς, καὶ τῆς ἀξίας γυμνωθεὶς, καὶ αὐτὸς ἧκεν εἰς Ῥώμην. Ἐπεὶ δὲ τὰ κατ' αὐτοὺς ἀνέγνω ὁ Ῥώμης Ἰούλιος, ὁμονοοῦντας ὅμως περὶ τὰ ἐν Νικαίᾳ δεδογμένα εὑρὼν, κοινωνίας ἠξίωσε.

CAPUT VIII.

Ut Athanasius et Paulus, litteris Julii freti, sedes suas receperint.

Athanasius autem Romæ agebat, Constante Constantini minimo natu filio toti Occidenti imperante. Venit eo Constantinopolitanus quoque Paulus, et Marcellus Ancyranus, propter eam quam diximus causam, Asclepas etiam Gazæorum episcopus, qui et ipse quod fortiter Arianis resisteret, accusationem judiciumque, quasi sacrilicii aram evertisset, sustinuit: et ob id episcopatum deponere coactus fuit, quem episcopatum Quintianus est consecutus. Lucius præterea Adrianopolitanus eodem crimine delatus, et dignitate itidem spoliatus, Romam confugit. Horum causa Julius antistes Romanus cognita, quod consentientes sibi de Nicænis decretis invenit, communione eos est dignatus. Pro ampli-

(1) Acta sunt hæc Constantio III et Constante II coss., quo tempore Constans Francorum gentem bello victam fœdere sibi conjunxit. (Socrat. lib. II, cap. 13.)

tudine autem sedis suæ, ex veteri privilegio et prærogativa (1), persuasum habens, omnium ubique episcoporum curam et judicium ad se pertinere, datis cuique liberrime scriptis litteris, suos eis ecclesias reddidit, eosque in Orientem remisit : eos qui temere illos exauctorassent, perstringens, ut qui non recta sequerentur consilia, motusque et turbas ecclesiis crearent, neque semel Nicææ factis fidei decretis starent. Ad hæc præcepit, ut quidam ex eis ad diem constitutum Romæ præsto essent, qui recte sententiam in condemnatos latam esse probarent. Sin minus, minas addidit : nisi a rebus novandis desisterent, se ab eis sacras exacturum pœnas. Athanasius, et qui cum eo erant, missis ad Orientales episcopos litteris, ecclesias suas receperunt. **686** Illi contumeliam esse rati Julii objurgationem, Antiochiæ congregati, de sententia omnium epistolam ad eum misere, luculenter quidem illam scriptam, ironiis autem aculeatisque verbis refertam, forensemque et judicialem in modum compositam, et quæ styli vi et gravitate minarum expers non esset. Scripserunt enim, Romanæ quidem urbi ab omnibus observantiam exhiberi et honorem : quippe quæ antiquitus apostolorum domicilium et schola, veræque pietatis, ut aliquis dicat, metropolis et primaria urbs fuerit : quamvis ex Oriente præcones ejus eo venerint, se tamen non ideo secundas ferre debere, quod Ecclesiæ magnitudine superiores non essent, cum virtute et rebus aliis priores se esse existimarent. Illud etiam criminis loco objecere, communicare eum cum Athanasio animum induxisse : idque indigne tulere, veluti contumelia synodi eorum sententiæ irrogata esset. Et factum ipsum, ut quod contra sanctiones Ecclesiæ processisset, iniquum esse, sunt calumniati. Atque ægre id eis esse, recteque se eum reprehendere, cum dixissent : postremo, siquidem cum sententiam ipsorum qua illos condemnassent, tum electionem eorum quos pro illis ecclesiis præfecissent, comprobaret, pacatos etiam se fore, et cum ipso communicaturos. Sin adversari eis pergeret, et ipsos conjunctos adversus eum ituros esse, intulere : cum neque majores eorum contra Cornelium Romæ episcopum conati aliquid fuerint, cum ille Novatum presbyterum Ecclesia submovisset. De rebus vero Nicænis nihil rescripsere, superfluum id esse arbitrati, etiamsi plurima quæ scriberent haberent : quibus sua facta commode excusare possent. In eam sententiam Orientales episcopi ad Julium litteras dedere.

A Τῷ δὲ τοῦ θρόνου ἀξιώματι ἐκ τῶν ἀνέκαθεν προνομίων εἰδὼς προσήκουσαν ἑαυτῷ τὴν τῶν ἁπανταχοῦ ἱερέων κηδεμονίαν τε καὶ ἀνάκρισιν, παῤῥησίας μεστοῖς γράμμασι καθοπλίσας αὐτοὺς, ἑκάστῳ τὴν ἰδίαν ἐκκλησίαν ἀπένειμε, καὶ εἰς τὴν ἕω ἐξέπεμπε, καθαπτόμενος τῶν προπετῶς καθελόντων αὐτοὺς, ἅτε δὴ μὴ βεβουλευμένων τὰ δέοντα, δι' ὄχλου τε γινομένων ταῖς ἐκκλησίαις, καὶ μὴ ἐμμενόντων τῇ καθάπαξ ἐν Νικαίᾳ κυρωθείσῃ πίστει. Πρὸς δὴ τούτοις ἐκέλευε, καί τινας εἰς ῥητὴν ἡμέραν παρεῖναι, διελέγξοντας, ὡς δικαία ἡ ἐπὶ τοῖς καταψηφισθεῖσιν ἠνέχθη δίκη. Εἰ δ' οὖν, ἠπείλει, εἰ μὴ παύσοιντο νεώτερα πράττοντες, τὴν ἱερὰν εἰσπραχθήσεσθαι καταδίκην. Οἱ μὲν οὖν ἀμφὶ τὸν Ἀθανάσιον τοὺς οἰκείους τόπους ἀπέλαβον, διαπεμψάμενοι τὰς ἐπι-
B στολὰς τοῖς ἑῴοις τῶν ἐπισκόπων· ὕβριν δὲ ἐκεῖνοι λογισάμενοι τὴν τοῦ Ἰουλίου ἐπίπληξιν, ἀθρόοι ἐν Ἀντιοχείᾳ γενόμενοι, μιᾷ γνώμῃ αὐτῷ ἐπιστέλλουσιν ἐπιστολήν τινα, φαιδρῶς μὲν συγκειμένην, μεστὴν δὲ εἰρωνείας πολλῆς, καὶ δικανικῶς διεσκευασμένην. Δεινότητι δὲ χρώματος οὐδὲ ἄμοιρος ἦν ἀπειλῆς. Τὴν μὲν γὰρ Ῥωμαίων πόλιν πᾶσι φέρειν φιλοτιμίαν ἔλεγεν, ἅτ' ἐκ παλαιοῦ ἀποστόλων φροντιστήριον, καὶ εὐσεβείας ὡς ἄν τις εἴποι γεγενημένην μητρόπολιν, εἰ καὶ ἐξ ἑῴας τοὺς καταγγέλλοντας ἐπιδημῆσαι συνέβη· οὐ μὴν τὰ δεύτερα παρὰ τοῦτο ἔχειν ἠξίουν· ὅτι μὴ τῷ τῆς Ἐκκλησίας μεγέθει πλεονεκτοῦσιν, ἀρετῇ καὶ τοῖς ἄλλοις νικῶντες, ὡς ᾤοντο. Προέφερον δὲ κἀκείνῳ εἰς ἔγκλημα,
C τὸ κοινωνεῖν ἑλέσθαι τοῖς περὶ Ἀθανάσιον· καὶ ἐχαλέπαινον ὡς ὑβρισμένης τῆς αὐτῶν συνοδικῆς ἀποφάσεως· καὶ τὸ γενόμενον, οἷα μὴ κατὰ τὸν τῆς Ἐκκλησίας θεσμὸν προβὰν, ὡς ἄδικον διέβαλον. Δεινὰ δὲ παθεῖν, καὶ δικαίως μέμψασθαι διελθόντες, τέλος ὡς εἰ μὲν στέργοι τῶν καταδικασθέντων τὴν ψῆφον, ἐπέφερον· καὶ τῶν ἀντ' αὐτῶν εἰσαχθέντων ταῖς ἐκκλησίαις κατὰ στάσιν, εἰρηνεύειν καὶ αὐτοὺς καὶ κοινωνοὺς εἶναι. Ἀντιπράττειν δ' ἐθέλοντι, καὶ αὐτοὺς ὁμόσε κατ' ἐκείνου χωρεῖν· ἐπεί τοί γε οὐδὲ τοὺς πρὸ ἐκείνων ἀνὰ τὴν ἕω ἱερεῖς· Κορνηλίῳ τῷ Ῥώμης ἀντειπεῖν ἰσχυρίζοντο, ὁπηνίκα τὸν πρεσβύτερον Ναυᾶτον τῆς Ἐκκλησίας ἐξήλαυνε. Περὶ μέντοι τῶν ἐν Νικαίᾳ οὐδὲν ἔγραψαν, περιττὸν εἰπόν-
D τες γράφειν, καίπερ πλεῖστα ἔχοντες, ἃ τὰ τότε γεγενημένα παραιτεῖσθαι ἀναγκαίως ἔπειθε. Τοιάδε μὲν οἱ τῆς ἕω ἐπίσκοποι τῷ Ἰουλίῳ ἔγραψαν.

687 CAPUT IX.

Ut imperator Paulum per Philippum præfectum in exsilium agi curaverit, Macedonium autem in throno collocarit : et ut Athanasius fuga sibi consuluerit.

Constantio vero imperatori Antiochiæ agenti scribentes, illos ut seditiosos homines a se expulsos esse, sunt calumniati. Ille ubi Paulum recuperasse locum suum audivit, admodum ferociit : et ad

ΚΕΦΑΛ. Θ'

Ὡς ὁ βασιλεὺς Παῦλον ἐξορισθῆναι διὰ Φιλίππου τοῦ ἐπάρχου ἐποίησε· Μακεδόνιον δὲ ἐνεθρόνισε· φυγῇ δὲ ἐχρήσατο Ἀθανάσιος.

Κωνσταντίῳ δὲ τῷ βασιλεῖ κατ' Ἀντιόχειαν τὰς διατριβὰς ποιουμένῳ γράφοντες διέβαλον ὡς στασιώδεις τοὺς πρὸς ἐκείνων ἐκβεβλημένους. Πυθόμενος δὲ καὶ Παῦλον αὖθις εἰληφέναι τὸν θρόνον, ἐθη-

(1) *Socr. lib.* II, *cap.* 15 ; Sozom. lib. III, cap. 8.

ριοῦτο· καὶ δὴ γράφει τῷ τῆς πόλεως ἐπάρχῳ Φιλίππῳ, δευτέραν μετὰ βασιλέα τηνικαῦτα τὴν ἰσχὺν περιβεβλημένῳ, Παῦλον μὲν ἐξελάσαι τῆς πόλεως, Μακεδονίῳ δὲ παραδοῦναι τὴν Ἐκκλησίαν. Φίλιππος δ' ἐκ τῶν πρὶν εἰς Ἑρμογένην πραχθέντων σώφρων γενόμενος, τὰς τοῦ πλήθους δείσας ὁρμὰς, τέχνῃ τὴν πρᾶξιν μετέρχεται. Πρὶν γὰρ ἐν φανερῷ καταστῆναι, ὡς περὶ κοινῶν τινων βουλευσόμενος, ἐκάλει τὸν Παῦλον ἀνὰ τὸν Ζεύξιππον· δημόσιον δὲ τοῦτο λουτρὸν, περιφανές τε καὶ μέγιστον, ὃ Νουμέρων ἔσχε κλῆσιν εἰσέπειτα. Τὸν δὲ, μετὰ τιμῆς τῆς προσηκούσης ἥκοντα, τὰ βασιλέως γράμματα ἐπεδείκνυ· καὶ διὰ τῶν βασιλείων τῷ εἰρημένῳ γειτονούντων λουτρῶν κατάγων εἰς θάλασσαν, ἐπεβίβαζε πλοίῳ, καὶ εἰς Θεσσαλονίκην κατῆγεν· ἣν δὴ καὶ B πατρίδα ἔχειν, καὶ τοὺς προγόνους ἐκεῖθεν ὁρμᾶσθαι ἐλέγετο. Καὶ τὴν μὲν ἔξω παντάπασι φεύγειν κατεψηφίζετο· Ἰλλυριῶν δὲ καὶ τῆς πρόσω γῆς ἐπιβαίνειν ἐν ἐλευθερίᾳ πάσῃ παρέσχεν. Ἐκεῖθεν δ' ὁ ἔπαρχος ἐξιὼν σύναμα τῷ δυσσεβεῖ Μακεδονίῳ, δρομαίως εἰς τὴν ἐκκλησίαν εἰσήλαυνον. Τὸ δὲ πλῆθος σύμμικτον ἐξ ἁπάντων διακοῦσαν, παρὰ τὴν ἐκκλησίαν ἐφοίτα, σπεύδων ἕκαστος προκαταλαβεῖν, ἄφατοί τινες καὶ ἀριθμοῦ κρείττους συῤῥέοντες. Καὶ χεὶρ δὲ στρατιωτικὴ ξιφήρης, δέος ἐμποιοῦσα τῷ πλήθει παρείπετο. Ἐπεὶ δὲ ἄγχιστα τῆς ἐκκλησίας ἐγένετο, πάροδος δὲ οὐκ ἦν, τοῦ πολλοῦ ὄχλου ἁπανταχοῦ περιθέοντος, ὠθισμὸς τοῖς στρατιώταις ἐτολμᾶτο σὺν βίᾳ. Μὴ οἵου δὲ ὄντος συνιζάνειν τοῦ πλήθους τῷ εἰς πλεῖστον στενοχωρεῖσθαι, νομίσαντες C οἱ στρατιῶται τὸ πλῆθος ἀνθίστασθαι, καὶ μὴ βούλεσθαι ἑκόντι διδόναι τὴν δίοδον, γυμνοῖς ἐχρῶντο τοῖς ξίφεσι, καὶ ὡς ἀντεπιόντας ἠμύνοντο· καὶ πολλοὺς τούτους ὡς εἰκὸς διεχρήσαντο. Οὐκ ὀλίγους μέντοι καὶ ὑπ' ἀλλήλων συμπατουμένους λόγος διαφθαρῆναι· ὡς εἶναι τὸ πλῆθος τῶν ἀνῃρημένων ὑπὲρ τρισχιλίους ἑκατὸν καὶ πεντήκοντα. Μακεδόνιος δὲ ὡς οὐδενὸς καινοῦ γεγονότος, ὥσπερ τις δ' ἀθῶος καὶ καθαρὸς τὰ ἐπιβατήρια, ὡς ἐκ μαγγάνου τινὸς, ἢ θεὸς τὸ λεγόμενον ἀπὸ μηχανῆς, ἱεράρχης ἀναφανεὶς, ὑπὸ τοῦ ἐπάρχου μᾶλλον ἢ κατὰ τὰ τῆς Ἐκκλησίας ἔθιμα ἐνθρονίζεται· καὶ τοῦτον τὸν τρόπον, καὶ διὰ τοσούτων φόνων, ὅ τε Μακεδόνιος καὶ Ἀρειανοὶ τὴν ἐκκλησίαν κατέσχον. Οὕτω δὲ καὶ ὁ Παῦλος τὴν ἄδικον ἐξορίαν ὑφίσταται. Ἀθανάσιος D δὲ τὰς ἀπειλὰς Κωνσταντίου δείσας, φυγῇ χρησάμενος ἀφανὴς ἦν. Ἠπείλει γὰρ αὐτῷ κόψειν τὴν κεφαλὴν, τῶν ἐπιβούλων ὡς στασιώδη αἰτιωμένων· καὶ ὡς τῇ αὐτοῦ εἰς τὴν ἐκκλησίαν ἐκ Ῥώμης εἰσόδῳ, πολὺ συμπατηθὲν ἐτεθνήκει πλῆθος. Μάλιστα δ' ἀνηρέθισε τοῦτον συκοφαντία ἣν οἱ ἐξ Ἀρείου ἐγράψαντο· ὡς εἴη τὸ τῶν πτωχῶν σιτηρέσιον, ὃ Κωνσταντῖνος ὁ πατὴρ τοῦ κρατοῦντος τοῖς ἐν Ἀλεξανδρείᾳ πτωχοῖς εἰς διατροφὴν ἐθέσπισε δίδοσθαι, πωλῶν, καὶ ἐξαργυριζόμενος Ἀθανάσιος. Εἰδέναι μέντοι χρεὼν, ὡς καθ' ὃν καιρὸν τὴν ἱερωσύνην κατέσχεν ὁ Μακεδόνιος, Κωνστάντιος τὴν μεγάλην

A Philippum urbis præfectum, secundam ab imperiali potestate dignitatem tum obtinentem, scripsit, ut Paulo urbe ejecto, Macedonio Ecclesiam traderet. Philippus ex Hermogenis casu cautior factus, quod multitudinis furorem metueret, arte quadam rem est aggressus. Priusquam enim ea vulgaretur, perinde quasi de publicis quibusdam rebus consilium habiturus, Paulum ad se in Zeuxippum (quod publicum et celebre amplissimumque est balneum, postea Numerorum cognominatum) vocavit, eique decenti cum honore advenienti, imperatoris litteras exhibuit. Ac hominem per palatium imperiale, balneo quod diximus vicinum, ad mare deductum, navigioque impositum, Thessalonicam misit: quam B etiam patriam habere, et a majoribus suis inde oriundus esse dicebatur. Eidemque Oriente toto interdicens, in Illyrico et ulterioribus terris vivendi liberam permisit potestatem. Præfectus ex eo loco, una cum impio Macedonio, incitato cursu in ecclesiam ire contendit: et multitudo ex omni hominum ordine mista, ea re audita, pro se quisque locum antecapere festinans, ad eam ecclesiam cucurrit. Innumeri prorsus, qui eo confluebant, erant. Et militaris manus armata ad terrorem plebis consequebatur. Atque ea ubi proxime ad ecclesiam venit, nec ei accessus propter undique concurrentem turbam pateret, milites vi homines rejicere per audaciam cœperunt. Cum vero illi propter multitudinem oppido in angustum reda- C ctam, cedere et considere non possent, resistere eos, milites, neque sponte transitum dare velle opinati, strictis usi gladiis, veluti reluctantes cecidere, multosque (ut fieri solet) neci dedere. Non pauci etiam inter se conculcati atque attriti interiisse dicuntur, ita ut occisorum turba trium millium centum et quinquaginta numerum superaverit. **688** Porro Macedonius, perinde atque novi nihil factum esset, tanquam innocens et purus, in epibateriorum (1) introitusque arcanioribus sacris, quasi ex aliqua præstigiarum scena aliquis, aut deus (quod dicitur) ex machina, de improviso hierarcha apparens, a præfecto magis, quam ex Ecclesiæ consuetudine, ab episcoporum ordine in thronum est deductus. Ad hunc modum, et per has D cædes Macedonius et Ariani Ecclesiam occupavere. Ita etiam Paulus solum iniqui exsilii gratia vertere est coactus. Athanasius autem Constantii minas veritus, fuga sibi consulens disparuit. Nam ille capite in eum se animadversurum denuntiaverat, quod obtrectatores ejus et insidiatores eum ut seditiosum detulerant, reditu ejus ex urbe Romana in ecclesiam, multitudinem ingentem conculcatam interiisse allegantes. Maxime vero Constantium in eum incitaverat calumnia ab Arianis ei intentata, veluti annonam pauperum, quam imperatoris pater Constantinus Alexandriæ, in egenorum alimenta distribuendam sanxerat, Athanasius vendidisset,

(1) Investituram nunc vocant.

atque in pecuniam redegisset. Observandum illud, eo tempore quo Macedonius episcopatum recepit, Constantium magnam ecclesiam absolvisse, quæ Σοφία, Sapientia, nominata est : proxime ad cognominem Paci ecclesiam (1), quam Constantinus Constantii pater, cum prius exigua fuisset, ad eam etiam quæ nunc cernitur amplitudinem perduxit : ita ut duorum istorum templorum oræ contiguæ, unusque ambitus et muri esse videantur.

A ἐκκλησίαν οἰκοδομῶν ἦν, ἡ Σοφία προσηγορεύθη, ἄγχιστα τοῦ τῆς Εἰρήνης ἐπωνύμου ναοῦ· ἣν ὁ τοῦ βασιλέως πατὴρ Κωνσταντῖνος, βραχεῖαν οὖσαν τὸ πρότερον, ἐπὶ τὸ νῦν ὁρώμενον μέγεθος ηὔξησεν· ὡς συμβαίνειν τὰ κράσπεδα τῶν δύο τούτων νεῶν προσεγγίζειν, καὶ εἰς ἕνα δοκεῖν εἶναι περίβολον.

CAPUT X.

Quomodo Julius Romanus pontifex episcopis Orientalibus scripserit, ut mitterentur, qui pro Athanasio et Paulo rationem redderent ; et quæ scripserit Constantio fratri Occidentis imperator Constans : et quomodo, qui ex Oriente in Italiam venerant, aliam fidei vulgaverint expositionem.

Julius Romanæ urbis episcopus litteris, quas Eusebius ante obitum suum contra Athanasium scripserat, aliisque quas ii qui Antiochiæ convenerant dedere, atque aliis rursus quorumdam Ægyptiorum episcoporum, ementita esse adversus Athanasium omnia declarantibus, eisque sic inter se pugnantibus, acceptis, Antiochenis illis rescribens, epistolæ eorum arrogantem et præfractam sententiam coarguit : et quod latenter aggressi essent, contra decreta Nicæna, fidem novare et adulterare. Præterea, quod præter ecclesiasticam consuetudinem, se quoque in synodum vocare intermisissent. Exstare enim ecclesiasticum canonem
689 auctoritatem omnem eis abrogans, [quæ præter Romani antistitis sententiam peracta essent (2). Rursum, quod in rebus quas in Tyro urbe et Mareote decrevissent, non legitime [processissent, inquisitione videlicet una tantum præsente parte facta. Arsenii autem manum liquido apparentem, apertam sycophantiam esse, eis objecit. Et secundum ea omnia, æquum esse ut Athanasio et Paulo subveniretur, intulit. Brevi namque post, Paulus quoque Corinthum se ire assimulans, in Italiam venit, et casum suum miserandum in modum deploravit. Verumenimvero ubi Julius scriptis satis apud Orientales episcopos nihil effecit, Occidentis imperatorem Constantem, de rebus Athanasii et Pauli certiorem fecit. Qui ei etiam adito, Arianæ factionis subdolas fraudes exposuere: patris mentione illata, ut ille œcumenicam et universalem synodum coegerit, constitutioneque decreta illius stabilierit, referentes, et cum ad paternam æmulationem consectandam cohortantes. Constans rebus eis cognitis, casum eorum virorum calamitatem suam prorsus esse putavit : et ad fratrem scribens, eum admonuit, ut paternæ religionis incorruptam integramque servaret normam. Ille enim, inquit, vera pietate imperio stabilito, tum tyrannos Romanos omnino sustulit, tum barbaros hostes circumcirca devicit. Significavit eidem etiam, ut tres ex Oriente in Occidentem mitterentur episcopi,

ΚΕΦΑΛ. Ι'.

Ὡς ὁ Ῥώμης Ἰούλιος τοῖς ἑῴοις τῶν ἐπισκόπων ἔγραψε, πεμφθῆναί τινας λόγον ὑπὲρ Ἀθανασίου καὶ Παύλου δώσοντας· καὶ ὅσα ἔγραψε Κωνσταντίῳ τῷ ἀδελφῷ ὁ τῶν ἑσπερίων βασιλεὺς Κώνστας· καὶ ὅτι οἱ ἐλθόντες ἑτέραν ἔκδοσιν πίστεως ὑπηγόρευσαν.

Ἰούλιος δὲ ὁ Ῥώμης ἐπίσκοπος, τὰ κατ' Ἀθανα- B σίου δεξάμενος γράμματα, ἃ προλαβὼν Εὐσέβιος ἔγραψεν, ἔτι δὲ καὶ ἃ οἱ ἐν Ἀντιοχείᾳ συνελθόντες ἀπέστειλαν, ἕτερα δ' αὖθις παρά τινων Αἰγυπτίων ἐπισκόπων, ψευδῆ τὰ κατὰ Ἀθανασίου εἶναι πάντα διδάσκοντα· καὶ ἐναντίων οὕτω καταπεμπομένων γραμμάτων, Ἰούλιος ἀντιγράφων μὲν πρὸς τοὺς ἐξ Ἀντιοχείας ἐπιστείλαντας, διήλεγχε τὸ τῆς ἐπιστολῆς αὐτῶν ἐπαχθές τε καὶ αὔθαδες· καὶ ὡς λαθραίως παρὰ τὰ ἐν Νικαίᾳ δεδογμένα νεωτερίζειν ἐπιχειροῦσι καὶ παραχαράττειν τὴν πίστιν· ἔτι δὲ καὶ ὡς παρὰ τὸ ἐκκλησιαστικὸν ἔθος πράττουσι, μὴ καὶ αὐτὸν εἰς τὴν σύνοδον κεκληκότες. Εἶναι γὰρ ἐκκλησιαστικὸν [κανόνα] ἄκυρα διοριζόμενον εἶναι, ὅσα δὴ πραχθείη παρὰ γνώμην τοῦ Ῥωμαίων ἐπισκόπου. Τὰ C δ' ἐν Τύρῳ καὶ τῷ Μαρεώτῃ πεπραγμένα μὴ ἐν δίκῃ γεγενῆσθαι, μονομεροῦς τυχόντα τῆς ἐξετάσεως. Τὴν δὲ Ἀρσενίου χεῖρα συκοφαντίαν προφανῆ ἐλεγχθῆναι. Ἐφ' ἅπασι δὲ συνῆγε δίκαιον εἶναι Ἀθανασίῳ καὶ Παύλῳ τὰ μάλιστα βοηθεῖν. Μετ' οὐ πολὺ γὰρ καὶ Παῦλος εἰς Κόρινθον ἀπᾶραι σκηψάμενος, εἰς Ἰταλίαν ἐγένετο, καὶ τὰ συμβάντα οἱ οἰκτρῶς ἀπωδύρατο. Ὡς δὲ μηδὲν ἤνυε γράφων Ἰούλιος τοῖς ἑῴοις τῶν ἐπισκόπων, τῷ τῶν ἑσπερίων βασιλεῖ Κώνσταντι δῆλα ἐποίει τὰ κατὰ Παῦλον δηλονότι καὶ Ἀθανάσιον· οἳ καὶ συστάντες ἐκείνῳ, τὰς τῆς Ἀρειανικῆς φάλαγγος δραματουργίας κατέλεγον· τοῦ πατρός τε ἐμέμνηντο, καὶ ἣν ἐκεῖνος οἰκουμενικὴν συνήθροισε σύνοδον, ἐν μέσῳ παρῆγον· καὶ ὡς νόμῳ τὰ ἐκείνων ἐκράτυνε· καὶ τὸν πατρῷον D ζῆλον ἀναλαβεῖν ἤπειγον. Ὁ δὲ γνοὺς ὡς οἰκεῖα τὰ κατὰ τοὺς ἄνδρας ἄντικρυς ἔπασχε, καὶ τἀδελφῷ γράφων παρῄνει τῆς πατρῴας θρησκείας ἀκήρατον φυλάττειν τὸν ὅρον. Ἐκεῖνος γὰρ εὐσεβείᾳ, φησὶ, τὴν ἀρχὴν κρατύνας, τούς τε Ῥωμαίων τυράννους τῇ ἀφανείᾳ παρέδωκε, καὶ τῶν κύκλῳ βαρβάρων περιεγένετο. Ἐδήλου δὲ καὶ τρεῖς ἐπισκόπους ἐξ ἕω πεμφθῆναι λόγον δώσοντας περὶ τῆς καθαιρέσεως Ἀθανασίου καὶ Παύλου. Καὶ ἐκλέγονται Νάρκισσος ὁ Εἰρηνοπόλεως τῆς Κιλικίας ἐπίσκοπος, καὶ Θεόδωρος ὁ Περίνθιος, καὶ ὁ τὴν Ἀρέθουσαν τῆς Συ-

(1) Sapientiæ Dei templum, quod Constantinus non perfecit. (Supr. lib. VII, cap. 49.)

(2) Auctoritas Romani episcopi : μὴ δεῖν παρὰ γνώμην τοῦ ἐπισκόπου Ῥώμης κανονίζειν τὰς ἐκκλησίας. (Socrat. lib. II, cap. 17.)

ρίας ἐπισκοπῶν Μάρκος· οἳ καὶ εἰς Ἰταλίαν ἀφιγμένοι, ἔπειθον βασιλέα δικαίαν εἶναι τῶν ἐπ' αὐτοῖς πεπραγμένων τὴν ψῆφον· καὶ τοῖς περὶ Ἀθανάσιον εἰς λόγους ἐλθεῖν οὐ προσήκαντο. Ἐπεὶ δὲ καὶ ὅπως πιστεύουσιν ἐξητάζοντο, ἑτέραν παρὰ τὴν ἐν Ἀντιοχείᾳ συνθέμενοι, ἐπιδιδοῦσι τῷ Κώνσταντι, οὕτω κατὰ ῥῆμα διεξιοῦσαν· « Πιστεύομεν εἰς ἕνα Θεὸν, Πατέρα παντοκράτορα, κτίστην καὶ ποιητὴν τῶν πάντων· ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζεται· καὶ εἰς τὸν μονογενῆ αὐτοῦ Υἱὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν πρὸ πάντων τῶν αἰώνων ἐκ τοῦ Πατρὸς γεννηθέντα, Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς, δι' οὗ ἐγένετο τὰ πάντα ἐν τοῖς οὐρανοῖς καὶ ἐπὶ τῆς γῆς, τά τε ὁρατὰ καὶ τὰ ἀόρατα· Λόγον ὄντα καὶ σοφίαν καὶ δύναμιν καὶ ζωὴν, καὶ φῶς ἀληθινόν· τὸν ἐπ' ἐσχάτου τῶν ἡμερῶν δι' ἡμᾶς ἐνανθρωπήσαντα καὶ γεννηθέντα ἐκ τῆς ἁγίας Παρθένου· τὸν σταυρωθέντα καὶ ἀποθανόντα· καὶ ταφέντα καὶ ἀναστάντα ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ· καὶ ἀνεληλυθότα εἰς τοὺς οὐρανοὺς, καὶ καθεσθέντα ἐν δεξιᾷ τοῦ Πατρὸς, καὶ ἐρχόμενον ἐπὶ συντελείᾳ τῶν αἰώνων κρῖναι ζῶντας καὶ νεκροὺς, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· οὗ ἡ βασιλεία ἀκατάπαυστος οὖσα διαμένει εἰς τοὺς ἀπείρους αἰῶνας· ἔσται γὰρ καθεζόμενος ἐν δεξιᾷ τοῦ Πατρὸς οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι· καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τουτέστι τὸν Παράκλητον· ὅπερ ἐπαγγειλάμενος τοῖς ἀποστόλοις, μετὰ τὴν εἰς οὐρανοὺς αὐτοῦ ἄνοδον ἀπέστειλε διδάξαι καὶ ὑπομνῆσαι πάντα· δι' οὗ καὶ ἁγιασθήσονται αἱ τῶν εἰλικρινῶς εἰς αὐτὸν πεπιστευκότων ψυχαί. Τοὺς δὲ λέγοντας ἐξ οὐκ ὄντων τὸν Υἱὸν, ἢ ἐξ ἑτέρας ὑποστάσεως, καὶ μὴ ἐκ Θεοῦ, καὶ, ὅτι ἦν ποτὲ χρόνος ὅτε οὐκ ἦν, ἀλλοτρίους οἶδεν ἡ καθολικὴ Ἐκκλησία. » Ταύτην δεδωκόσι τὴν ἔκθεσιν, συνιδὼν ὁ Κώνστας ὡς ἀδίκως ἐπὶ τοῖς θείοις ἐκείνοις ἀνδράσι συνέστησαν· οὐ γὰρ ἐγκλημάτων χάριν, οὐδὲ βίου φαυλότητι τὴν ἐκείνων ἀπεστράφησαν κοινωνίαν, ὡς ἐδήλουν τὰ ὑπομνήματα, ἀλλ' ὅλον ἡ περὶ τὸ δόγμα διαφωνία ἦν· μηδὲν ἀνύσαντας περὶ ὧν ἐληλύθεισαν, ὀπίσω ἀνέπεμπε. Καὶ χάσμα τοῖς ἑῴοις καὶ ἑσπερίοις ἦν ἡ μέσον διαφορά· ἐν ᾧ χρόνῳ καὶ κατὰ Σίρμιον, Ἰλλυρικὴ δὲ αὕτη πόλις, ἡ κατὰ Φωτεινὸν αἵρεσις ἐπεγένετο· ὃς τῆς μικρᾶς Γαλατίας ὢν, καὶ τῷ προειρημένῳ Μαρκέλλῳ τῆς πατρίδος ἐπισκόπῳ μαθητευθεὶς, τῶν ἐκεῖσε ἡγεῖτο ἐκκλησιῶν, ψιλὸν ἄνθρωπον δογματίζων τὸν Χριστόν. Περὶ ὧν κατὰ χώραν ἐροῦμεν.

A qui rationem de Athanasii et Pauli exauctoratione exponerent. Ad id delecti sunt Narcissus Irenopolis Ciliciæ, Theodorus Perinthi, et Marcus Arethusæ Syriæ episcopi. Qui in Italiam cum venissent, imperatori Constanti justam esse, quæ contra illos lata fuerat, sententiam persuadere voluerunt. In Athanasii vero colloquium venire non sustinuerunt. Porro ubi de fidei eorum ratione quæsitum est, aliam ejus, quam quæ Antiochiæ composita erat Constanti formulam obtulere, hisce verbis expressam : « Credimus in unum Deum, Patrem omnipotentem, creatorem et factorem universorum : ex quo omnis paternitas in cœlo et in terra nominatur. Et in unigenitum ejus Filium Dominum nostrum Jesum Christum, ante omnia sæcula ex B Patre genitum, Deum de Deo, lumen de lumine, **690** per quem facta sunt omnia in cœlis et in terra, visibilia simul et invisibilia : Verbum exsistentem, et sapientiam, et virtutem, et vitam, et lumen verum. Qui in extremo dierum propter nos homo factus, et natus est ex Virgine sancta. Qui crucifixus, et mortuus, et sepultus est : et resurrexit ex mortuis tertia die, et ascendit in cœlos, et consedit in dextra Patris, venturus in consummatione sæculorum ad judicandum vivos et mortuos, et reddendum unicuique secundum opera sua. Cujus regnum interminatum in infinita permanet sæcula. Sedebit namque in dextra Patris, non solum in sæculo præsenti, sed etiam in futuro. C Et in Spiritum sanctum, hoc est Paracletum : quem cum apostolis promisisset, post ascensionem suam in cœlos, misit, ut doceret et suggereret eis omnia. Per quem etiam sanctificabuntur eorum qui sincere in eum credidere, animæ. Eos autem qui ex non exsistentibus dicunt esse Filium, aut ex alia subsistentia, et non ex Deo, et fuisse quandoque tempus cum non fuerit, alienos esse novit Ecclesia catholica. » Hanc exhibuere formulam. Constans autem perspectum habens, eos inique contra divinos viros conspirasse, neque criminum aliquorum gratia, neque propter vitæ pravitatem, sicuti attestationes declarabant, communionem illorum aversatos, sed dogmatis dissonantiam prorsus causam dissidii esse : infecta cujus causa venerant re, D eos dimisit. Et Orientalibus atque Occidentalibus veluti chasma seu hiatus fuit, quæ eis intercesserat, dissensio. Qua tempestate et in Sirmio, quæ Illyrici urbs est, Photini hæresis emersit : qui in minore Gallia ortus, et a Marcello, de quo diximus, loci ejus episcopo, eruditus, ecclesiis ibi præfuit, merum esse hominem Dominum docens. De quo suo tempore dicemus.

ΚΕΦΑΛ. ΙΑ'.

Ὡς τῆς ἑσπέρας καὶ ἕω διαστάσης περὶ τὸ δόγμα τῆς πίστεως ἐπὶ τρισὶν ἔτεσιν, οἱ ἀνὰ τὴν ἕω ἐπίσκοποι τὴν λεγομένην μακρόστιχον ἔκθεσιν ποιησάμενοι, τοῖς ἑσπερίοις ἀπέστειλαν.

Ἐξ ἐκείνου δὲ τριῶν ἐτῶν διαγεγονότων, οἱ τῆς ἕω ἐπίσκοποι ἑτέραν γραφὴν συνθέμενοι, τοῖς ἀνὰ τὴν ἑσπέραν ἔπεμπον ἱερεῦσιν, ἣν *μακρόστιχον*

691 CAPUT XI.

Ut Occidentalibus et Orientalibus partibus de doctrina fidei triennium dissidentibus, episcopi Orientales expositionem fidei composuerint, quam longiorem nominarunt, et Occidentalibus miserint.

Triennio deinde elapso, Orientales episcopi scripto alio composito, ad Occidentales id misere : quod μακρόστιχον, hoc est, longiorem vocarunt

formulam, seu expositionem, quod scilicet verba et sententias plures complecteretur. Verum ne in eo quidem substantiæ Dei nominatim mentionem fecere. Eos vero qui Filium ex non exsistentibus, aut ex alia subsistentia quam ex Deo esse, et fuisse quandoque tempus aut sæculum, cum ille non fuerit, dicerent, proscripsere. Scriptum id pertulit Eudoxius Germaniciæ antistes, qui etiam post Macedonium Constantinopolitanæ præfuit Ecclesiæ : et Martyrius, et Macedonius Mopsuestiæ Ciliciæ episcopus. Occidentales episcopi scriptum non receperunt : sufficere sibi Nicænam fidei professionem, neque se ulterius anxie nimis et curiose inquirere de ea velle, dicentes : atque illud etiam prætexentes, aliena lingua libellum scriptum esse, et se verborum sententiam non intelligere. Longior autem illa expositio ad verbum hæc est complexa : « Credimus in unum Deum, Patrem omnipotentem, creatorem et factorem universorum : ex quo omnis paternitas in cœlis et in terra nominatur. Et in unigenitum Filium ejus Jesum Christum, Dominum nostrum, ante omnia genitum ex Patre, Deum de Deo, lumen de lumine, per quem facta sunt omnia in cœlis et in terra, visibilia et invisibilia : Verbum exsistentem, et sapientiam, et virtutem, et vitam, et lumen verum. Qui extremis diebus propter nos homo factus, et ex Virgine sancta natus, crucifixus et mortuus et sepultus, tertia die resurrexit : et receptus in cœlos, sedet ad dextram Patris, venturus in consummatione sæculorum ad judicandum vivos et mortuos, et reddendum cuique secundum opera ejus. Cujus regnum interminatum, et in infinita sæcula permanet. Sedebit enim in dextra Patris non tantum in sæculo isto, sed et in futuro. Credimus vero et in Spiritum sanctum, hoc est, in Paracletum quem apostolis promissum, post ascensionem suam in cœlos, misit, ut doceret et suggereret eis omnia : per quem etiam sanctificantur eorum, qui sincere in ipsum credunt, animæ. **692** Qui vero dicunt, ex non exsistentibus esse Filium, aut ex alia subsistentia, et non ex Deo, et quod fuerit aliquando tempus cum non fuerit : eos alienos novit esse sancta catholica Ecclesia. Non minus et eos, qui dicunt tres esse deos, aut Christum non esse Deum ante sæcula : neque Christum, neque Filium Dei ipsum esse ; aut eumdem esse et Patrem et Filium et Spiritum sanctum, aut ingenitum Filium : aut quod non ex proposito neque voluntate Pater Filium genuerit : anathemate ferit sancta et catholica Ecclesia. Non enim, ex non exsistentibus esse Filium, dicere tutum est : quandoquidem nullibi hoc in divinitus inspiratis Scripturis de eo fertur. Neque sane ex alia subsistentia, præter Patrem, ante subjecta, sed ex solo Deo germane seu native ipsum genitum esse, docemur. Unum namque ingenitum et principii expertem Christi Patrem divinum docet verbum. *Sed neque* illud, Fuit aliquando tempus cum non

A ὠνόμασαν ἔκθεσιν, ἅτε δὴ πολλοῖς ῥήμασί τε καὶ νοήμασι συγκειμένην. Ἀλλ' οὐδ' ἐν ταύτῃ οὐσίας Θεοῦ κατ' ὄνομα μνείαν πεποίηνται. Τούς γε μὴν λέγοντας, ἐξ ἑτέρας ὑποστάσεως, ἢ ἐξ οὐκ ὄντων τὸν Υἱὸν, καὶ οὐκ ἐκ Θεοῦ, ὅτι ἦν ποτὲ χρόνος ἢ αἰὼν ὅτε οὐκ ἦν, ἀπεκήρυττον. Διεκόμιζε τὴν γραφὴν Εὐδόξιος ὁ Γερμανικίας ἐπίσκοπος, ὃς καὶ μετὰ Μακεδόνιον τῆς Κωνσταντίνου προέστη· Μαρτύριός τε καὶ Μακεδόνιος Μοψουεστίας τῆς ἐν Κιλικίᾳ τὴν ἐπισκοπὴν ἔχων. Οἱ δ' ἑσπέριοι ἱερεῖς οὐ προσήκαντο τὴν γραφήν. Ἀποχρῶσαν γὰρ αὐτοῖς τὴν ἐν Νικαίᾳ ἔφασκον εἶναι πίστιν, καὶ περαιτέρω μὴ πολυπραγμονεῖν ἐθέλειν ᾤοντο δεῖν· ἐν σχήματι δὲ καὶ τὸ ἀλλόγλωσσον καὶ τὸ μὴ συνιέναι τὰ εἰρημένα προὐβάλλοντο. Ἡ δὲ διὰ μακρῶν ἔκθεσις ταῦτα ῥήμασιν B αὐτοῖς διελάμβανε· « Πιστεύομεν εἰς ἕνα Θεὸν, Πατέρα παντοκράτορα, κτίστην καὶ ποιητὴν τῶν πάντων· ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται· καὶ εἰς τὸν μονογενῆ αὐτοῦ Υἱὸν Ἰησοῦν Χριστὸν Κύριον ἡμῶν, τὸν πρὸ πάντων γεννηθέντα ἐκ τοῦ Πατρός· Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς, δι' οὗ ἐγένετο τὰ πάντα τὰ ἐν οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα· Λόγον ὄντα καὶ σοφίαν καὶ δύναμιν καὶ ζωὴν καὶ φῶς ἀληθινόν· τὸν ἐπ' ἐσχάτων τῶν ἡμερῶν δι' ἡμᾶς ἐνανθρωπήσαντα, καὶ γεννηθέντα ἐκ τῆς ἁγίας Παρθένου· τὸν σταυρωθέντα καὶ ἀποθανόντα, καὶ ταφέντα καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ· καὶ ἀναληφθέντα εἰς οὐρανοὺς, καὶ καθεσθέντα ἐκ δεξιῶν τοῦ Πατρός· ἐρχόμενον C ἐπὶ συντελείᾳ τῶν αἰώνων, κρῖναι ζῶντας καὶ νεκρούς· καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· οὗ ἡ βασιλεία ἀκατάπαυστος οὖσα, διαμένει εἰς ἀπείρους αἰῶνας. Καθέζεται γὰρ ἐν δεξιᾷ τοῦ Πατρὸς οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι. Πιστεύομεν δὲ καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τουτέστιν εἰς τὸν Παράκλητον, ὅπερ ἐπαγγειλάμενος τοῖς ἀποστόλοις μετὰ τὴν εἰς οὐρανοὺς ἄνοδον, ἀπέστειλε διδάξαι καὶ ὑπομνῆσαι αὐτοὺς πάντα· δι' οὗ καὶ ἁγιάζονται αἱ τῶν εἰλικρινῶς εἰς αὐτὸν πιστευόντων ψυχαί. Τοὺς δὲ λέγοντας, ἐξ οὐκ ὄντων τὸν Υἱὸν, ἢ ἐξ ἑτέρας ὑποστάσεως καὶ μὴ ἐκ τοῦ Θεοῦ, καὶ ὅτι ἦν ποτε χρόνος ὅτε μὴ ἦν, ἀλλοτρίους οἶδεν ἡ ἁγία καθολικὴ Ἐκκλησία· ὁμοίως καὶ τοὺς λέγοντας τρεῖς εἶναι Θεούς· ἢ τὸν Χριστὸν D μὴ εἶναι Θεὸν πρὸ τῶν αἰώνων· μήτε Χριστὸν, μήτε Υἱὸν Θεοῦ εἶναι αὐτόν· ἢ τὸν αὐτὸν εἶναι καὶ Πατέρα καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα· ἢ ἀγέννητον τὸν Υἱόν· ἢ ὅτι οὐ βουλήσει οὐδὲ θελήσει ἐγέννησεν ὁ Πατὴρ τὸν Υἱὸν, ἀναθεματίζει ἡ ἁγία καὶ καθολικὴ Ἐκκλησία. Οὔτε γὰρ ἐξ οὐκ ὄντων λέγειν τὸν Υἱὸν ἀσφαλὲς, ἐπεὶ μηδαμοῦ τοῦτο τῶν θεοπνεύστων Γραφῶν ἐμφέρεται περὶ αὐτοῦ· οὔτε μὴν ἐξ ἑτέρας ὑποστάσεως παρὰ τὸν Πατέρα προϋποκειμένης, ἀλλ' ἐκ μόνου τοῦ Θεοῦ γνησίως αὐτὸν γεγεννῆσθαι διδασκόμεθα. Ἕνα γὰρ τὸν ἀγέννητον καὶ ἄναρχον τὸν Χριστοῦ Πατέρα ὁ θεῖος διδάσκει λόγος. Ἀλλ' οὐδὲ τὸ, Ἦν ποτε ὅτε οὐκ ἦν, τοῖς ἐξ ἀγράφων ἐπισφαλῶς λέγουσιν ὡς χρονικὸν διάστημα προενθυμητέον αὐτοῦ· ἀλλ' ἢ μόνον τὸν ἀχρόνως αὐτὸν γεγεννηκότα

Θεόν. Καὶ χρόνοι γὰρ καὶ αἰῶνες γεγόνασι δι' αὐτοῦ. Οὔτε μὴν συνάναρχον οὔτε συναγέννητον τὸν Υἱὸν τῷ Πατρὶ εἶναι νομιστέον· συνανάρχου γὰρ καὶ συναγεννήτου οὐδεὶς κυρίως Πατὴρ ἢ Υἱὸς λεχθήσεται· ἀλλὰ τὸν μὲν Πατέρα μόνον ἄναρχον ὄντα καὶ ἀνέφικτον, γεγεννηκέναι ἀνεφίκτως καὶ πᾶσιν ἀκαταλήπτως οἴδαμεν· τὸν δὲ Υἱὸν γεγεννῆσθαι πρὸ τῶν αἰώνων· καὶ μηκέτι ὅμοιον τῷ Πατρὶ ἀγέννητον εἶναι καὶ αὐτὸν, ἀλλ' ἀρχὴν ἔχειν τὸν γεννήσαντα Πατέρα· κεφαλὴ γὰρ Χριστοῦ ὁ Θεός. Οὔτε μὴν τρία ὁμολογοῦντες πράγματα καὶ τρία πρόσωπα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος κατὰ τὰς Γραφὰς, τρεῖς διὰ τοῦτο τοὺς θεοὺς ποιοῦμεν· ἐπειδὴ τὸν αὐτοτελῆ καὶ ἀγέννητον, ἄναρχόν τε καὶ ἀόρατον Θεὸν, ἕνα μόνον οἴδαμεν τὸν Θεὸν καὶ Πατέρα τοῦ Μονογενοῦς, τὸν μόνον μὲν ἐξ ἑαυτοῦ τὸ εἶναι ἔχοντα, μόνον δὲ τοῖς ἄλλοις πᾶσιν ἀφθόνως χαριζόμενον τὸ εἶναι. Οὔτε μὴν ἕνα Θεὸν μόνον λέγοντες εἶναι, τὸν τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ Πατέρα τὸν μόνον ἀγέννητον, διὰ τοῦτο ἀρνούμεθα τὸν Χριστὸν Θεὸν εἶναι προαιώνιον· ὁποῖοί εἰσιν οἱ ἀπὸ Παύλου τοῦ Σαμοσατέως, ὕστερον αὐτὸν μετὰ τὴν ἐνανθρώπησιν ἐκ προκοπῆς τε θεοποιεῖσθαι λέγοντες, τῷ τὴν φύσιν ψιλὸν αὐτὸν ἄνθρωπον γεγονέναι. Οἴδαμεν γὰρ αὐτὸν, εἰ καὶ ὑποτέτακται τῷ Πατρὶ καὶ Θεῷ, ἀλλ' ὅμως γεννηθέντα ἐκ τοῦ Θεοῦ, Θεὸν κατὰ φύσιν τέλειον εἶναι καὶ ἀληθῆ, καὶ μὴ ἐξ ἀνθρώπων μετὰ ταῦτα Θεὸν, ἀλλ' ἐκ Θεοῦ ἐνανθρωπῆσαι δι' ἡμᾶς· καὶ μηδέπω ποτὲ ἀπολωλεκότα τὸ εἶναι Θεόν. Βδελυσσόμεθα δὲ πρὸς τούτοις καὶ ἀναθεματίζομεν καὶ τοὺς Λόγον μὲν μόνον αὐτὸν τοῦ Θεοῦ, ψιλὸν καὶ ἀνύπαρκτον ἐπιπλάστως καλοῦντας, ἐν ἑτέρῳ τὸ εἶναι ἔχοντα, νῦν μὲν ὡς τὸν προφορικὸν λεγόμενον ὑπό τινων, νῦν δὲ ὡς τὸν ἐνδιάθετον· Χριστὸν δὲ αὐτὸν καὶ Κύριον καὶ Θεὸν καὶ μεσίτην καὶ εἰκόνα τοῦ Θεοῦ μὴ εἶναι πρὸ αἰώνων θέλοντας· ἀλλ' ἔκτοτε Χριστὸν αὐτὸν γεγονέναι καὶ Υἱὸν τοῦ Θεοῦ, ἐξ οὗ τὴν ἡμετέραν ἐκ τῆς Παρθένου σάρκα ἀνείληφε, πρὸ τετρακοσίων ὅλων ἐτῶν. Ἔκτοτε γὰρ ἀρχὴν βασιλείας τὸν Χριστὸν ἐσχηκέναι θέλουσι· καὶ τέλος ἕξειν αὐτὴν μετὰ τὴν συντέλειαν καὶ κρίσιν. Τοιοῦτοι δέ εἰσιν οἱ ἀπὸ Μαρκέλλου καὶ Φωτεινοῦ τῶν Ἀγκυρογαλατῶν· οἳ τὴν προαιώνιον ὕπαρξίν τε καὶ θεότητα τοῦ Χριστοῦ, καὶ τὴν ἀτελεύτητον αὐτοῦ βασιλείαν ὁμοίως ἀθετοῦσι τῷ ἵστασθαι δοκεῖν αὐτοῖς οὕτω τὴν μοναρχίαν. Ἴσμεν γὰρ ἡμεῖς αὐτὸν οὐχ ἁπλῶς λόγον προφορικὸν ἢ ἐνδιάθετον τοῦ Θεοῦ· ἀλλὰ ζῶντα Θεὸν Λόγον, καθ' ἑαυτόν τε ὑπάρχοντα, καὶ Υἱὸν Θεοῦ καὶ Χριστόν· καὶ οὕτω προγνωστικῶς συνόντα, καὶ συνδιατρίβοντα πρὸ αἰώνων τῷ ἑαυτοῦ Πατρὶ, καὶ πρὸς πᾶσαν διακονησάμενον αὐτοῦ τὴν δημιουργίαν, εἴτε τῶν ἀοράτων, εἴτε τῶν ὁρατῶν· ἀλλ' ἐνυπόστατον Λόγον ὄντα τοῦ Πατρὸς, καὶ Θεὸν ἐκ Θεοῦ. Οὗτος γάρ ἐστι πρὸς ὃν εἶπεν ὁ Πατήρ· *Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν*· ὃς καὶ τοῖς Πατράσιν ὤφθη, δεδωκὼς τὸν νόμον, καὶ λαλήσας διὰ τῶν προφητῶν, καὶ τὰ τελευταῖα ἐνανθρωπήσας, καὶ τὸν ἑαυτοῦ Πατέρα πᾶσιν ἀνθρώποις φανερώσας, καὶ βασιλεύων εἰς τοὺς

A fuit, quod præter auctoritatem Scripturæ periculose dicunt, tanquam temporale intervallum ante ipsum considerandum : sed solus, qui eum sine tempore genuit, Deus contemplandus. Nam et tempora et sæcula per ipsum facta sunt. Neque vero simul principii expers, neque simul ingenitus cum patre filius esse putandus est. Etenim simul principii expertis et simul ingeniti, nullus proprie Pater aut Filius dicetur. Sed Patrem quidem solum principii expertem exsistentem et incomprehensibilem genuisse incomprehensibili et quem omnes consequi non possint, modo scimus, Filium autem genitum esse ante sæcula. Et neque itidem ut Patrem, ipsum quoque ingenitum esse : sed principium habere, qui eum genuit, Patrem B ipsum ; caput namque Christi Deus. Enimvero tres confitentes res, et tres personas Patris et Filii et Spiritus sancti, secundum Scripturas, non tres propterea facimus deos. Quandoquidem per seipsum perfectum et ingenitum, principioque carentem, et invisibilem Deum, unum tantum novimus, Deum et Patrem Unigeniti, solum ex seipso essentiam habentem, solum aliis omnibus abunde exsistentiam largientem. Neque sane dum unum Deum esse dicimus, Domini Jesu Christi Patrem solum ingenitum, propterea Christum Deum esse antesæcularem negamus : quales sunt Pauli Samosateni sectatores, post inhumanationem eum ex profectu deificatum esse dicentes, eo quod natura C merus homo factus sit. **693**. Scimus enim ipsum, etiamsi subjectus est Patri et Deo, tamen genitum ex Deo, Deum natura esse perfectum et verum, et non ex hominibus postea Deum, sed ex Deo, hominem factum propter nos esse, neque unquam desiisse esse Deum . Exsecramur vero insuper, et anathemati subjicimus, eos qui Verbum quidem ipsum Dei, sed tantum nudum et sine subsistentia fictitie vocant : in alio vero essentiam habens, aliquando sane ut vocale seu enuntiativum, aliquando vero ut internum seu mentale a quibusdam dictum ; Christum autem ipsum et Dominum, et Deum, et mediatorem, et imaginem Dei esse ante sæcula nolunt : sed eum ex eo tempore Christum esse factum et Filium Dei dicunt, ex D quo nostram ex Virgine carnem assumpsit, ante quadringentos integros annos. Ex eo enim tempore initium regni Christum habuisse, et finem id habiturum esse post consummationem et judicium, volunt. Tales autem sunt Marcelliani et Photiniani Ancyrani in Galatia , qui antesæcularem subsistentiam et divinitatem Christi, et similiter interminatum ejus regnum abolent, eo modo, ut ipsis videtur, monarchiam seu unius imperium constituentes. Nos enim scimus, esse non simpliciter verbum enuntiativum, aut internum : sed viventem Deum Verbum, per seipsum subsistentem, et Filium Dei et Christum, et ita præscienter simul exsistentem et simul agentem ante sæcula cum suo Patre, et ad omnem ejus administrantem crea-

tionem, sive invisibilium seu visibilium, ut qui subsistens Verbum sit Patris, et Deus ex Deo. Hic enim est ad quem Pater dixit : *Faciamus hominem secundum imaginem nostram et similitudinem*, qui et a patribus visus est cum legem ferret, et locutus est per prophetas; et qui postremo homo factus est, et Patrem suum omnibus hominibus manifestavit, quique regnat in sæcula sæculorum. Siquidem nihil novæ dignitatis Christus assumpsit, sed eum antea perfectum, et Patri per omnia similem esse credimus. Atque itidem, eos qui dicunt eumdem esse Patrem et Filium et Spiritum sanctum, et unius ejusdemque rei et personæ tria hæc nomina impie accipiunt, merito ab Ecclesia proscribimus : quoniam Patrem qui comprehendi nequeat, atque perpessioni obnoxius non sit, et comprehensibilem, et perpessioni obstrictum per inhumanationem constituunt. **694** Tales sunt, qui Patropassiani apud Romanos, Sabelliani apud nos dicuntur. Siquidem novimus Patrem quidem, qui miserit, in suo immutabilis divinitatis statu permansisse : qui vero missus est Christum, inhumanationis œconomiam et munus obiisse. Consimiliter autem eos qui impie, non consulto neque voluntate genitum esse Christum dicunt, necessitatem videlicet quamdam imponentes, et substantiam voluntate et delectu carentem Deo tribuentes, ita, ut invitus Filium genuerit, impiissimos et a veritate alienissimos cognoscimus. Quoniam adversus communes de Deo notitias, atque etiam adversus divinitus inspiratæ Scripturæ sententiam, talia de eo statuere audent. Nos etenim absolutissimæ potestatis, eum esse, perfectissimique juris sui Deum scientes, sponte et voluntate sua Filium genuisse, pie existimamus. Et cum timore illud de eo dictum esse credentes, *Dominus creavit me initium viarum suarum ad opera sua* [1] : non itidem eum ut creaturas facturasque ejus genitum esse arbitramur. Impium enim est, et ab ecclesiastica fide alienum, Conditorem cum creaturis per eum conditis comparare, eumdemque etiam cum generationis modum cum eis quæ ab eo sunt aliena habere putare. Solum namque, et solo seu unico modo unigenitum Filium germane seu native atque vere genitum esse, nos divinæ Litteræ docent. Quin neque dum Filium per seipsum esse, vivere, et exsistere consimiliter Patri dicimus, propterea eum a Patre segregamus, loca et intervalla quædam inter eorum conjunctionem corporaliter imaginantes. Credimus enim sine medio, et sine spatio ullo, ipsos conjunctos esse, et inseparabiliter a seipsis exsistere : Patre quidem complectente, et pectori applicante Filium totum : Filio vero toto prorsus devincto et applicato Patri, eaque solo perpetuo in sinu paterno conquiescente. Itaque, in modis omnibus perfectam et sanctissimam Trinitatem credentes Patremque Deum

A αἰῶνας τῶν αἰώνων. Οὐδὲν γὰρ πρόσφατον ὁ Χριστὸς προσείληφεν ἀξίωμα· ἀλλὰ ἄνωθεν τέλειον αὐτὸν, καὶ τῷ Πατρὶ κατὰ πάντα ὅμοιον πεπιστεύκαμεν. Καὶ τοὺς λέγοντας τὸν αὐτὸν εἶναι Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, καθ' ἑνὸς καὶ τοῦ αὐτοῦ πράγματός τε καὶ προσώπου τὰ τρία ὀνόματα ἀσεβῶς ἐκλαμβάνοντας, εἰκότως ἀποκηρύσσομεν τῆς Ἐκκλησίας· ὅτι τὸν ἀχώρητον καὶ ἀπαθῆ Πατέρα χωρητὸν καὶ παθητὸν διὰ τῆς ἐνανθρωπήσεως ὑποτίθενται. Τοιοῦτοι γάρ εἰσιν οἱ Πατροπασιανοὶ παρὰ Ῥωμαίοις, Σαβελλιανοὶ δὲ παρ' ἡμῖν λεγόμενοι. Οἴδαμεν γὰρ ἡμεῖς, τὸν μὲν ἀποστείλαντα Πατέρα, ἐν τῷ οἰκείῳ τῆς ἀναλλοιώτου θεότητος ἤθει μεμενηκέναι, τὸν δὲ ἀποσταλέντα Χριστὸν τὴν τῆς ἐνανθρωπήσεως οἰκονομίαν πεπληρωκέναι. Ὁμοίως καὶ
B τοὺς οὐ βουλήσει οὐδὲ θελήσει γεγεννῆσθαι τὸν Χριστὸν εἰρηκότας ἀνευλαβῶς, ἀνάγκην δὲ δηλονότι ἀβούλητον οὐσίαν καὶ ἀπροαίρετον περιτεθεικότας τῷ Θεῷ, ἵνα ἄκων γεννήσῃ τὸν Υἱὸν, δυσσεβεστάτους καὶ τῆς ἀληθείας ξένους ἐπιγινώσκομεν· ὅτι τε παρὰ τὰς κοινὰς ἐννοίας περὶ Θεοῦ, καὶ δὴ παρὰ τὸ βούλημα τῆς θεοπνεύστου Γραφῆς, τοιαῦτα τετολμήκασι περὶ αὐτοῦ διορίσασθαι· αὐτοκράτορα γὰρ ἡμεῖς τὸν Θεὸν καὶ Κύριον αὐτὸν ἑαυτοῦ εἰδότες ἑκουσίως αὐτὸν καὶ θέλοντα τὸν Υἱὸν γεγεννηκέναι εὐσεβῶς ὑπειλήφαμεν. Πιστεύοντες δὲ ἐμφόβως καὶ τὸ περὶ αὐτοῦ λεγόμενον, *Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, εἰς ἔργα αὐτοῦ*, οὐχ ὁμοίως αὐτὸν τοῖς δι' αὐτοῦ γενομένοις κτίσμασιν ἢ ποιήμασι γεγεν-
C νῆσθαι νοοῦμεν. Ἀσεβὲς γὰρ καὶ τῆς ἐκκλησιαστικῆς πίστεως ἀλλότριον τὸ τὸν κτίστην τοῖς δι' αὐτοῦ ἐκτισμένοις δημιουργήμασι παραβάλλειν, καὶ τὸν αὐτὸν τῆς γενέσεως τοῖς ἀλλοτρίοις τρόπον ἔχειν καὶ αὐτὸν νομίζειν. Μόνον γὰρ καὶ μόνως τὸν μονογενῆ Υἱὸν γνησίως τε καὶ ἀληθῶς διδάσκουσιν ἡμᾶς αἱ θεῖαι Γραφαὶ γεγεννῆσθαι· ἀλλ' οὐδὲ τὸν Υἱὸν καθ' ἑαυτὸν εἶναι, ζῆν τε καὶ ὑπάρχειν ὁμοίως τῷ Πατρὶ λέγοντες, διὰ τοῦτο χωρίζομεν αὐτὸν τοῦ Πατρὸς, τόπους δὲ καὶ διαστήματά τινα μεταξὺ τῆς συναφείας αὐτῶν σωματικῶς ἐπινοοῦντες· πεπιστεύκαμεν γὰρ ἀμεσιτεύτως αὐτοὺς καὶ ἀδιαστάτως ἐπισυνῆφθαι, καὶ ἀχωρίστως ὑπάρχειν ἑαυτῶν, ὅλον μὲν τοῦ Πατρὸς ἐνστερνισμένου τὸν Υἱὸν, ὅλου δὲ τοῦ Υἱοῦ ἐξηρτημένου καὶ προσπεφυκότος τῷ Πατρὶ, καὶ
D μόνου τοῖς πατρῴοις κόλποις ἀναπαυομένου διηνεκῶς. Πιστεύοντες οὖν εἰς τὴν παντέλειον Τριάδα τὴν ἁγιωτάτην, τὸν Πατέρα λέγοντες Θεὸν καὶ τὸν Υἱὸν, οὐ δύο τούτους Θεοὺς, ἀλλ' ἕνα ὁμολογοῦμεν κατὰ τὸ τῆς θεότητος ἀξίωμα, καὶ μίαν ἀκριβῆ τῆς βασιλείας τὴν συνάφειαν· πανταρχοῦντος μὲν καθόλου τοῦ Πατρὸς πάντων καὶ αὐτοῦ τοῦ Υἱοῦ, τοῦ δὲ Υἱοῦ ὑποτεταγμένου τῷ Πατρί· ἐκτὸς δὲ αὐτοῦ πάντων τῶν μετ' αὐτὸν βασιλεύοντος τῶν δι' αὐτοῦ γενομένων, καὶ τὴν τοῦ ἁγίου Πνεύματος χάριν ἀφθόνως τοῖς ἁγίοις δωρουμένου πατρικῷ βουλήματι. Οὕτω γὰρ τὸν περὶ τῆς ἐν Χριστῷ μοναρχίας συνίστασθαι λόγον παραδεδώκασιν ἡμῖν οἱ ἱεροὶ λόγοι.

[1] Prov VIII, 22.

Ταῦτα ἠναγκάσθησαν μετὰ τὴν ἐν ἐπιτομῇ ἐκτεθεῖσαν πίστιν πλατύτερον ἐπεξεργάσασθαι, οὐ κατὰ περιττὴν φιλοτιμίαν, ἀλλ' ἵνα πᾶσαν τὴν κατὰ τῆς ἡμετέρας ὑπολήψεως ἀλλοτρίαν ἀποκαθάρωμεν ὑποψίαν παρὰ τοῖς τὰ καθ' ἡμῶν ἀγνοοῦσι· καὶ γνῶσιν οἱ κατὰ τὴν δύσιν πάντες ὁμοῦ μὲν τῆς συκοφαντίας τῶν ἑτεροδόξων τὴν ἀναίδειαν, ὁμοῦ δὲ καὶ τῶν ἀνατολικῶν τὸ ἐκκλησιαστικὸν φρόνημα, μαρτυρούμενον ἀβιάστως ὑπὸ τῶν θεοπνεύστων Γραφῶν παρ' αὐτοῖς ἀδιαστρόφως. » Ἐν τούτοις μὲν ἡ μακρόστιχος ἐκείνη ἔκθεσις περιείληπτο.

dicentes, et Filium, non ipsos duos deos, sed unum confitemur, juxta divinitatis amplitudinem, et unam certam absolutamque regni conjunctionem: universarum quidem rerum per omnia cum summa potestate imperium obtinente Patre omnium, et ipsius Filii (1); Filio autem Patri quidem subjecto, extra vero cum universa post eum quæ per ipsum facta sunt regente, et Spiritus sancti prolixe ex voluntate Patris gratiam sanctis donante. **695** Ad hunc enim modum, ordinem et rationem monarchiæ uniusque imperii in Christo constare nobis sacra prodidere oracula. Hæc ut post breviorem fidei formulam fusius exponeremus, necessitas nobis imposita est, non per superfluam ambitionem, sive venditationem, sed ut omnem alienam suspicionem contra sententiam nostram conceptam, apud eos qui res nostras ignorant, abstergeremus: et ut Occidentales omnes cum calumniæ adversariorum impudentiam, tum ecclesiasticam Orientalium opinionem cognoscant, cui opinioni divinitus inspiratæ Scripturæ, quæ apud eos inviolatæ conservantur, per nullam coactam aut violentam interpretationem, perhibent testimonium. » Hoc quidem modo prolixior illa expositio fuerat instituta.

ΚΕΦΑΛ. ΙΒ'.

Περὶ τῆς ἐν Σαρδικῇ συνόδου.

Ὡς δ' ἀπηξίωτο τοῖς ἐν ἑσπέρᾳ. Κώνστας ὁ Καῖσαρ μίαν ᾔτει χάριν τὸν ἀδελφὸν, Παύλῳ καὶ Ἀθανασίῳ τοὺς οἰκείους θρόνους ἀναλαβεῖν. Ὡς δὲ γράφων οὐδὲν μᾶλλον ἤνυε, τῶν δι' ἐναντίας ἀντιπραττόντων, καὶ τῶν λαῶν διὰ ταῦτα στασιαζόντων, προσιόντες Κώνσταντι οἱ περὶ Παῦλον, σύνοδον ᾔτουν οἰκουμενικὴν γενέσθαι, ὥστε δὴ καὶ τὰ τῆς πίστεως καὶ τὰ κατ' αὐτοὺς ἀκριβῶς ἐτασθῆναι. Τὴν γὰρ καθαίρεσιν ὑποσχεῖν διετείνοντο διὰ τὸ τῆς πίστεως ἀκραιφνές. Γνώμη τοίνυν τοῖν δυοῖν βασιλέοιν ἐγίνετο, τοὺς ἀφ' ἑκατέρας ἀρχομένης ἐπισκόπους εἰς ῥητὴν ἡμέραν καταλαβεῖν τὴν Σαρδικὴν, Ἰλλυρὶς δὲ πόλις αὕτη, τοῦ μὲν αἰτοῦντος, Κωνσταντίου δὲ ὑπακούοντος, ὥστε τὴν στάσιν διαλυθῆναι. Καὶ ἀπὸ μὲν τῶν πρὸς ἑσπέραν μερῶν ἀμφὶ τριακόσιοι συνῆλθεν ἐπίσκοποι, ὥς πού φησιν ὁ ἱερὸς Ἀθανάσιος, ἐκ δὲ τῆς ἕω ἕξ τε καὶ ἑβδομήκοντα· Σαβῖνος ὁ Μακεδόνιος τοῦτό φησιν· οἷς συγκατείλεκτο καὶ Ἰσχύρας ἐκεῖνος, ὁ ἐξ ἑαυτοῦ τὴν ἱερωσύνην ἀναλαβών. Καὶ κατὰ τοῦτο διάφορος καταστὰς Ἀθανασίῳ, τοῖς δὲ δι' ἐναντίας προσιὼν, καὶ τὰ ψεύδη συμπλάσας, ἐπίσκοπος Μαρεώτου παρ' ἐκείνων ἀνεκηρύχθη. Οἱ δ' ἄλλοι τὸ στενὸν τοῦ ὁρισθέντος καιροῦ ἐν αἰτίαις θέμενοι, ἀπελείφθησαν, ἄλλος ἄλλο τι προβαλλόμενοι, Ἰουλίῳ γε μὴν τὴν μέμψιν ἀνατιθέντες, καὶ ταῦτα πρὸ εἴκοσι μηνῶν τῆς ἀφίξεως τῶν ἐπισκόπων κεκηρυγμένης. Ἦν δὲ τοῦτο δέκατον ἔτος, ἀφ' οὗ Κωνσταντῖνος ὁ πατὴρ τοῖν βασιλέοιν πρὸς τὴν ἀμείνω λῆξιν ἐχώρει. Ἀλλ' οἱ μὲν ἑῷοι, εἰς τὴν Φιλίππου πόλιν τῆς Θρᾴκης γενόμενοι, τοῖς ἑσπερίοις ἔγραψαν, προκαταλαβοῦσι τὴν Σαρδικὴν, διώσασθαι τοὺς περὶ Ἀθανάσιον τοῦ συλλόγου, ὡς ἄπο τοῦ ἱερᾶσθαι γεγενημένοις· μηδὲ γὰρ ἂν ἄλλως εἶναι ἐξὸν εἰς ἓν συνιέναι· ἔπειτα δὲ καὶ εἰς τὴν Σαρδικὴν γενόμενοι, τὰ ἴσα διισχυρίζοντο· οἱ δ'

CAPUT XII.

De Sardicensi synodo.

Ut autem ab Occidentalibus est repudiata, Constans Cæsar unum illud a fratre sibi dari postulavit, ut Paulus et Athanasius sedes suas reciperent. At cum litteris suis nihil effecisset, propterea quod adversarii contra niterentur: et cum populus ea de causa seditionem moveret, Paulus et Athanasius rursum Constantem adiere, et ut universalis synodus cogeretur petiere, ut de professione fidei, et de eorum causis accuratius res explorari posset. Exauctorationis enim ignominiam se propter fidei sinceritatem sustinere affirmarunt. Quapropter de duorum imperatorum istorum sententia statutum, ut utriusque imperii episcopi ad diem certum Sardicam, quæ Illyrica civitas est, convenirent. Id quod Constans sic petierat, Constantius autem assenserat, ut videlicet seditio solveretur. Atque ex Occidentis partibus circiter trecenti convenere episcopi, sicuti alicubi sacer dicit Athanasius; ex Oriente vero, Sabino Macedoniano referente, sex et septuaginta. Quibus accensus est et Ischyras ille, ex sese ortus presbyter. Ob quam causam, cum negotium ei cum Athanasio esset, in adversariorum partes concessit, apud quos propter mendacia conficta episcopus apud Mareoten est creatus. **696** Reliqui autem angustias constituti temporis prætexentes, atque alius aliam causam allegantes, non comparuere. Potissimum vero in Julium culpam ejus rei conferebant, cum quidem mensibus viginti ante episcoporum adventum dies esset constituta. Decimus is erat annus, ex quo Constantinus, imperatoris utriusque pater, ad meliorem migraverat vitam. Et Orientales, qui Philippopolim in Thracia venerant, Occidentalibus, qui Sardicæ jam præsto erant, scripsere, ut Athanasium, ejusque studiosos, ut

(1) Etiam aliter, et fortasse rectius ita verti potest: *Patre quidem rerum universarum per omnia cum summa potestate imperium etiam in Filium obtinente*, etc.

quibus sacris ministeriis interdictum esset, a concilio removerent : aliter enim fieri non posse, ut in unum convenirent. Quod quidem postea quoque, cum Sardicæ essent, obtinere contendebant. Occidentales autem, atque in primis Hosius Cordubæ (est autem hæc civitas Hispaniæ) et Protogenes Sardicæ episcopi respondere, nunquam se communionem illorum devitasse, neque porro etiam vitaturos esse : cum Julius episcopus Romanus, causa eorum perspecta, inique eos insidiis circumventos esse judicarit. Adesse ipsos quoque, et redarguere iniquum illud judicium velle. Plura quoque alia ultro citroque et scripsere, et per internuntios alteri alteris significavere, unde major etiam inter eos est excitata simultas, majus odium, dies quoque constituta præteriit. Et confestim discessione facta, seorsimque utrisque consilia agitantibus, contrarias alteri adversus alteros sententias tulere. Orientales namque Philippopoli conventum egere, atque ibi decretis suis in Athanasium, Paulum, Asclepam, et Marcellum magis etiam confirmatis, Julio insuper Romæ antistiti magistratum ecclesiasticum abrogavere, quod primus ipse cum illis communicasset. Confessorem etiam Hosium ea de causa, et præterea quod amicus Eustathii et Paulini Antiochenæ ecclesiæ episcoporum fuerit, exauctorarunt. Deinde et Maximinum Trevirorum antistitem, qui primus ad communionem Paulum admiserat, reditumque ejus in urbem Constantinopolitanam procuraverat : insuper quod Orientales episcopos in Occidentem venientes proscripserat. Nec iis tantum sacram ademere dignitatem, sed et Protogeni Sardicensi : quoniam Marcellum Ancyranum quem antea calculo suo damnaverat, ope sua sublevaret ; atque item Gaudentium, quia quos illi per abrogationem ignominia affecerant, multo prosequeretur honore : **697**
et quod aliter de rebus divinis quam Cyriacus sentiret, cujus ipse successor erat. Porro in causa fidei ὁμοούσιον consubstantiale quidem repudiarunt, τοῦ ἀνομοίου dissimilis vero opinionem litteris in partes omnes scriptis divulgarunt : in quibus locorum plerorumque episcopis quoque significarunt, ne eos quos proxime sententia sua notassent, vel in communionem reciperent, vel litteris etiam dignarentur. Alii autem dicunt, eos de fide, juxta proliziorem quam præmisimus formulam, credere jussisse : in qua τοῦ ὁμοουσίου consubstantialis verbo nullo meminere ; sed eorum tantum qui tres deos esse, aut Christum non esse Deum, aut eumdem esse Patrem et Filium ingenitum, aut fuisse aliquando tempus aut sæculum cum ipse non fuerit, dicunt. Hæc quidem episcopi Orientales Philippopoli in Thracia agebant. Hosius autem, et qui cum eo Sardicæ erant, primum quidem illos indicta et deserta causa propter contumaciam damnarunt : Athanasium receperunt, et quæ adversus eum Tyri acta fuerant, anathemate sunt persecuti. Marcello episcopatum suum reddiderunt, quod se

A ἑσπέριοι, καὶ μάλιστα Ὅσιος ὁ Κουδρούβης, πόλις δὲ αὕτη τῶν Ἰσπανῶν, καὶ Πρωτογένης ὁ Σαρδικῆς, εἶπον, ὡς οὐδέποτε ἀπέστησαν τῆς ἐκείνων κοινωνίας, οὐδὲ νῦν ἀποστήσονται, καὶ ταῦτα Ἰουλίου τοῦ Ῥωμαίων ἐπισκόπου τὰ κατ' αὐτοὺς διασκεψαμένου, καὶ κρίνοντος ἀδίκως ἐπιβουλεύεσθαι· παρεῖναι δὲ καὶ αὐτοὺς, καὶ ἐξελέγχειν πειρωμένους τὴν ἄδικον ἐκείνην δίκην. Καὶ ἄλλ' ἄττα πρὸς ἀλλήλους ἔγραφόν τε καὶ ἀντεμήνυον· δι' ὧν καὶ μείζων κατ' ἀλλήλων ἐξήφθη δυσμένεια· ὑπερήμερος δὲ καὶ ἡ κυρία ἐγίνετο. Εὐθὺς οὖν ἀπ' ἀλλήλων διέστησαν· καὶ συνελθόντες ἑκάτεροι παρὰ μέρος, ἐναντίας κατ' ἀλλήλων ἤνεγκαν ψήφους. Οἱ μὲν γὰρ ἑῷοι ἀνὰ τὴν Φιλίππου τὸ συνέδριον ἐκάθιζον, καὶ τὰ κατ' Ἀθανάσιον, Παῦλόν τε καὶ Ἀσκληπᾶν καὶ B Μάρκελλον ἔτι κυρώσαντες, καὶ Ἰούλιον τὸν Ῥωμαίων καθῄρουν, ὡς κατάρξαντα τῆς κοινωνίας αὐτοῖς. Διὰ ταῦτα δὲ καὶ τὸν ὁμολογητὴν Ὅσιον καθεῖλον, καὶ ὅτιπερ φίλος ἐγένετο Εὐσταθίου καὶ Παυλίνου, οἳ τῆς Ἀντιοχείας ἡγήσαντο· ἐπὶ τούτοις καὶ Μαξιμῖνον, ὃς Τριβέρεως ἦν ἐπίσκοπος· ὅτιπερ πρῶτος Παύλῳ κοινωνίας μετέδωκε καὶ τὴν εἰς τὴν Κωνσταντινούπολιν κάθοδον αὐτὸς προεξένησεν. Ἔτι δὲ καὶ ὡς τοὺς ἐξ ἑῴας εἰς ἑσπέραν ἥκοντας ἐπισκόπους ἀπεκήρυξεν· οὐ τούτους δὲ μόνους, ἀλλὰ καὶ Πρωτογένη τὸν Σαρδικῆς, καὶ Γαυδέντιον, Πρωτογένην μὲν, ὡς συναιρόμενον Μαρκέλλῳ τῷ Ἀγκύρας, οὗ κατεψηφίσατο πρότερον· τὸν δὲ, ὡς τοὺς πρὸς αὐτῶν καθαιρεθέντας πολλῆς ἀξιοῦντα τιμῆς, καὶ ὅτιπερ τἀναντία ἐφρόνει Κυριακῷ, οὗ διάδοχος C ἦν. Περὶ δὲ πίστεως τὸ μὲν ὁμοούσιον ἀπελαύνουσι· τὴν δὲ τοῦ ἀνομοίου δόξαν πανταχοῦ γράφοντες διαπέμπουσιν· ἐν ᾗ καὶ τοῖς κατὰ χώραν ἔγραφον μὴ εἰς κοινωνίαν δέχεσθαι καὶ οὓς ἀρτίως κατεψηφίσαντο· ἀλλὰ μηδὲ γραμμάτων αὐτοὺς ἀξιοῦν. Ἕτεροι δέ φασιν, ὅτι περὶ πίστεως κατὰ τὴν ὑποτεταγμένην μακρὰν ἔκθεσιν πιστεύειν ἐκέλευον· ἐν ᾗ ὁμοουσίου μὲν οὐδαμῶς μνείαν πεποίηντο, τῶν δὲ λεγόντων τρεῖς εἶναι Θεοὺς, ἢ τὸν Χριστὸν μὴ εἶναι Θεὸν, ἢ τὸν αὐτὸν εἶναι Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, ἢ ἀγέννητον τὸν Υἱὸν, ἢ ὅτι ἦν ποτε χρόνος ἢ αἰὼν ὅτε οὐκ ἦν. Τοιαῦτα μὲν οἱ τῆς ἕω ἱερεῖς ἀνὰ τὴν Φιλίππου τῆς Θρᾴκης γενόμενοι ἔδρων· οἱ δ' ἀμφὶ τὸν Ὅσιον περὶ Σαρδικὴν πρῶτα μὲν ἐρήμην D τούτων κατεψηφίσαντο· ἐδέξαντο μὲν γὰρ Ἀθανάσιον, καὶ τὰ ἐν Τύρῳ κατ' αὐτοῦ πραχθέντα ἀνεθεμάτισαν. Τῷ Μαρκέλλῳ τὸν τόπον ἀπέδωκαν, ὡς μὴ τάδε φρονεῖν ὁμολογήσαντα, ἃ διεβάλλετο. Καὶ Ἀσκληπᾷ δὲ τὴν τῆς Γάζης ἐπισκοπὴν ἐκύρωσαν, ὡς καὶ πρότερον ψήφῳ πολλῶν ἐπισκόπων, καὶ μάλιστα Εὐσεβίου τοῦ Παμφίλου, τὴν ἐπισκοπικὴν εἰληφότος ἀξίαν. Καὶ τἀσφαλὲς δὲ παριστᾷ τὸ τῆς δίκης ὑπόμνημα· ἀνώρθωσάν τε καὶ Λούκιον, τῶν αὐτοῦ κατηγόρων χρησαμένων δρασμῷ· καὶ ταῖς ἐκείνων παροικίαις ἔγραφον, μὴ ἄλλους ἀλλ' αὐτοὺς ἔχειν ἐπισκόπους, καὶ ὅσον οὔπω καὶ τὴν αὐτῶν καραδοκεῖν ἄφιξιν. Καθαιροῦσι δὲ καὶ οὗτοι τὸν ἐν Ἀλεξανδρείᾳ Γρηγόριον, Βασίλειόν τε τὸν Ἀγκύρας, Κυντιανὸν τὸν ἐν Γάζῃ· καὶ μήτοι γε ἐπισκόπους,

ἀλλ' οὐδὲ Χριστιανῶν προσηγορίᾳ τούτους τιμᾷν ἐθέσπιζον. Καθεῖλον πρὸς τούτοις Θεόδωρον τὸν Περίνθιον, Νάρκισσόν τε τὸν Εἰρηνουπολίτην, Ἀκάκιον τὸν Καισαρείας τῆς Παλαιστίνης, τὸν Παμφίλου διάδοχον Εὐσεβίου, καὶ Μηνόφαντον τὸν Ἐφέσιον, Οὐρσάκιόν τε τὸν Σιγγιδόνος, καὶ Οὐάλεντα τῶν Μουρσῶν τῆς Παννονίας, καὶ τὸν Λαοδικείας Γεώργιον, εἰ καὶ τέως τῇ συνόδῳ τῶν ἑῴων οὐ παρῆν. Καθεῖλον δὲ τούτους καὶ τῆς κοινωνίας ἐξέωσαν, ὡς τὸν Υἱὸν τοῦ Θεοῦ τῆς πατρικῆς οὐσίας χωρίζοντας, καὶ ὅτι τοὺς πάλαι διὰ τὴν Ἀρειανικὴν αἵρεσιν ἀποβεβλημένους ἀνεδέξαντο, καὶ εἰς μείζονα λειτουργίας Θεοῦ προήγαγον ἀξιώματα. Καὶ καταψηφισάμενοι τούτων, τοῖς ἁπανταχοῦ ἔπεμπον ἐπισκόποις τὰ δεδογμένα κυροῦν, καὶ περὶ τὰ δόξαντα τοῖς ἐν Νικαίᾳ ὁμοφρονεῖν· ἐκεῖνα γὰρ κρατύναντες, τὸ ἀνόμοιον ἀπεώσαντο, καὶ τὸ ὁμοούσιον διαῤῥήδην ἐκήρυξαν. Καί τινα δὲ γραφὴν ἐκθέμενοι, πλατυτέραν μὲν τῆς ἐν Νικαίᾳ, διατηροῦσαν δὲ τὸν ὅρον ἐκείνης, καὶ οὐ παρὰ πολὺ διαλλάττουσαν καὶ τοῖς ῥήμασιν, ἁπανταχοῦ διεξέπεμψαν. Ἵνα δὲ μή τι καινοτομεῖν παρὰ τὰ ἐν Νικαίᾳ δόξωσιν, Ὅσιος καὶ Πρωτογένης, οἳ τηνικαῦτα τῆς συνόδου προῆγον, ἔγραψαν Ἰουλίῳ μετ' ἀσφαλοῦς μαρτυρίας, κύρια μὲν τὰ ἐν Νικαίᾳ νομίζειν, σαφηνείας δὲ χάριν, τὰ ἐκείνῃ ὁρισθέντα πλατύνειν βραχύ· ἵνα μή, φασὶ, τῷ συντετμημένῳ τῆς πίστεως οἱ ἐξ Ἀρείου εἰς ἄτοπον ὦσιν ἀπάγοντες, ὅσοι μὴ ἴσασι διαλέγεσθαι. Ταῦτα ἐκεῖνοι διαπραξάμενοι, οἴκαδε διελύοντο, ἑκάτεροι γνώμης ὄντες, ὡς καὶ ἄμφω δικαίως πράξειαν, οἱ μὲν τὴν ἕω ἐπισκοποῦντες, ὅτιπερ οἱ ἀνὰ τὴν ἑσπέραν τοὺς ὑπ' αὐτῶν καθαιρεθέντας καὶ ἀπωσμένους ἐδέξαντο· οἱ δ' ἀνὰ τὴν δύσιν, ὅτι πρὸ τῆς κοινῆς διαγνώσεως οἱ καθελόντες ἀπέφυγον, καὶ ὅτι οἱ μὲν τὰ ἐν Νικαίᾳ δεδογμένα ἔστεργον, οἱ δὲ τῆς ἕω κιβδηλεύειν ταύτην καὶ παραχαράττειν ἐτόλμων. Οἱ δ' ἐν Σαρδικῇ καὶ Μαρκέλλῳ τῷ πρόσθεν εἰρημένῳ τῆς ἐν Ἀγκύρᾳ Γαλατίας ἐπισκόπῳ τὴν ἱερωσύνην ἐπέτρεψαν· ἐξεῖπε γὰρ τῇ συνόδῳ, ὡς οὐ νοηθείη τοῖς πολλοῖς ἡ ὑπ' αὐτοῦ τῷ βιβλίῳ ὑπαγορευθεῖσα φράσις· καὶ διὰ τοῦτο ὑπόνοιαν σχεῖν, τὰ τοῦ Σαμοσατέως Παύλου καὶ Σαβελλίου φρονεῖν.

A diceret nunquam ea sensisse, de quibus per calumniam accusatus esset. Asclepæ episcopatum Gazæorum auctoritate sua confirmarunt, qui antea etiam multorum antistitum, et maxime Eusebii Pamphili suffragio episcopalem susceperat dignitatem, cujus rei certitudinem acta judicii declarabant. Lucium etiam Adrianopolitam, quod accusatores ejus profugerant, restituerunt. Horumque parœciis et ecclesiis scripserunt, ne alios quam hos ipsos haberent episcopos, eorumque quamprimum exspectarent adventum. Abrogarunt quoque episcopatum Gregorio (1) Alexandrino, Basilio Ancyrano, et Quintiano Gazæo: et ut non modo episcoporum, sed ne Christianorum quidem appellatione honorarentur statuere. Idem fecerunt B Theodoro Perinthio, Narcisso Irenopolita, Acacio Cæsariensi Eusebii Pamphili successori, Menophanto Ephesio, Ursacio Singidonis (2), et Valenti Mursiæ Pannoniorum episcopis, et Laodicensi Georgio, quamvis Synodo Orientalium is non interesset. His omnibus dignitate adempta, communione interdixerunt, quod Filium Dei a paterna substantia separarent: **698** et quod, qui dudum propter Arianam hæresim rejecti fuerant, eos recepissent, et ad ampliorem ministerii Dei evexissent dignitatem. Eis damnatis, ad omnes ubique episcopos miserunt, ut decreta ea rata haberent et confirmarent, nec non Nicænis placitis consentirent. Quibus roboratis, τὸ ἀνόμοιον, dissimile, repudiaC runt, τὸ ὁμοούσιον, consubstantiale, aperte promulgarunt. Et scripto quodam composito, quod diffusius quidem quam Nicænum esset, finitionem autem ejus servaret, verbisque non admodum ab illo differret, id passim ad loca omnia miserunt. Ne vero novare quidquam contra Nicæna decreta viderentur, Hosius et Protogenes, qui tum synodo præierant, cum certa attestatione ad Julium litteras dederunt, auctoritatem suam se Nicænæ fidei professioni integram relinquere: perspicuitatis autem gratia, quæ Nicææ constituta essent, non ita multis latius extendisse, ne scilicet Ariani compendio professionis fidei ad absurdas opiniones eos abducerent, qui dialecticæ sunt imperiti. His ita peractis, domum revertere. Et utrique in ea erant opinione, recte ab eis quæ sententiis proscriptionis ferendis egissent, esse facta. Orientales quidem, quod Occidentales, quos ipsi sacro ordine movissent et rejecissent, eos ad communionem admisissent; Occidentales autem, quod illi qui Athanasium et alios damnationis sententia notassent, ante publicam cognitionem profugissent; et quod ii Nicæna decreta complectebantur, illi vero ea depravare et adulterare audebant. In Sardicensi consilio Marcello quoque, de quo supra diximus, Ancyræ Galatiæ episcopatum, sicuti commemoravimus, rursum mandarunt. Nam is synodo exposuit, a multis libri sui scripta intellecta non esse: unde illi suspicionem conceperint, eadem se cum Samosateno Paulo et Sabellio sentire.

ΚΕΦΑΛ. ΙΓ'.

Οἷα ὁ ἐκκλησιαστικὸς Σωκράτης ἐπὶ τῆς δόξης Εὐσεβίου τοῦ Παμφίλου ἱστόρησε· καὶ ὅπως δόξης εἶχε περὶ τῆς ἐν Νικαίᾳ πίστεως ἥ ἑσπέρα τε καὶ ἡ ἕως.

Εἰδέναι μέντοι χρεὼν ὡς ὁ τοῦ Παμφίλου Εὐσέβιος τρισὶ βιβλίοις τὸ εἰρημένον ὕποπτον τοῦ Μαρ-

D

699 CAPUT XIII.

Quæ Socrates scriptor ecclesiasticus de opinione Eusebii Pamphili memoriæ prodiderit, et quæ Occidentis Orientisque de fide Nicæna fuerit sententia.

Sciendum sane, Eusebium Pamphili tribus libris suspectum illum Marcelli commentarium relel-

(1) Legendum forte *Georgio*, supra cap. 7 eod.

(2) Singidon hodie Segedinum dicitur.

lisse (1). Scripto namque eo in partes suas diviso, deinde confutationem infert : idque in toto opere facit. Ex quibus libris Socrates scriptor ecclesiasticus plurima allegat, quapropter Eusebius quasi Arianus taxatus sit. Ac deinceps refert, primæ synodo eum interfuisse, aliisque episcopis decretis faciendis consensisse : sicuti Eusebius ipse in tertio ad Constantinum libro memoret. Profert vero idem et piam ejus in illud, *Dominus creavit me initium viarum suarum* [1], interpretationem, in qua hæc sic scribit : « Quod Dominus seipsum creatum esse ait, non hoc sane ita dicit, tanquam qui antea non fuerit, ac tum primum esse cœperit : ut quemadmodum reliquæ creaturæ, itidem et ipse ex non exsistente exstiterit, nonnulli non recte acceperunt; sed ut constans quidem et vivens et præexsistens atque subsistens ante totius mundi constitutionem, ad regendum autem et administrandum universa a Domino suo ipsius Patre ordinatus; ut eo loco hoc verbum *creavit*, pro verbo *ordinavit* seu *constituit*, sit dictum. Aperte certe quidem hominum principes et duces creaturam nominavit apostolus dicens : *Subjecti igitur estote omni humanæ creaturæ propter Dominum, sive regi quasi præcellenti, sive ducibus tanquam ab eo missis* [2]. Et propheta ex persona Dei dicens : *Ecce ego firmans tonitruum, et creans Spiritum, et annuntians ad homines Christum ejus* [3] : hoc verbum *creans*, non ea sententia, quod antea non fuerit, accepit; non enim tum Deus creavit Spiritum, cum Christum suum per eum hominibus annuntiavit; neque recens sub sole fuit. Sed fuerat quidem ille, et præexstiterat : missus autem tum est, quo tempore apostoli congregati erant cum instar tonitrus e cœlo sonitus provenit, tanquam advenientis flatus vehementis : hoc verbo *creans*, pro eo quod est *demittens*, aut *ordinans* seu *statuens*, posito; tonitru vero ipso, alio quodam modo evangelicam prædicationem significante. Tale est et illud : *Cor mundum crea in me, Deus* [4]. **700** ubi non ille quidem tanquam cor non habens, sed ut tandem habenti et purificaretur et perficeretur, precatus est. Et illud : *Ut crearet duos in unum novum hominem* [5], pro *cogeret* seu *congregaret*. Vide porro an non tale sit et illud : *Induite novum hominem, secundum Deum creatum* [6]. Item illud : *Si quis in Christo nova creatura* [7]; et quæcunque sunt ejusmodi. Ut ne mireris, si metaphorice et per translationem in verbis istis : *Dominus creavit me in initio viarum suarum; creavit*, pro *constituit*, aut *ordinavit* dictum sit. » Hæc in tertio adversus Marcellum libro Eusebius. Socrates autem hæc quoque hisce verbis pro Eusebio refert : « Cum itaque Eusebius Nicænæ synodi mentionem faciens, soluta esse et constituta,

A κέλλου ἀνέτρεψε σύγγραμμα, ὡς καὶ πρώην εἰρήκαμεν, τὰ πρὸς Μάρκελλον ἐπιγράψας τὸ σπούδασμα. Διαιρήσας γὰρ εἰς μέρη, ἔπειτα τὴν ἀντίῤῥησιν ἐπάγει· καὶ τοῦτο δι' ὅλου ποιεῖ. Ἐξ οὗ σπουδάσματος πολλὰ παρατιθεὶς Σωκράτης ὁ τὰ ἐκκλησιαστικὰ συγγραψάμενος, ἐνίσταται πλεῖστα, ὡς διαβάλλοιτο Εὐσέβιος τὰ Ἀρείου φρονῶν· παρεισάγει γὰρ τῷ τε τῇ πρώτῃ συνόδῳ αὐτὸν παρεῖναι, καὶ τοῖς λοιποῖς ὁμόφρονα καταστῆναι· ὡς ἐν τῷ τρίτῳ βιβλίῳ πρὸς Κωνσταντῖνον αὐτὸς ἐκεῖνός φησιν. Ἐκτίθησι δὲ καὶ τὴν εἰς τὸ, *Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ*, εὐσεβῆ ἐξήγησιν· ἐν ᾗ καὶ ταῦτά φησιν· « Εἰ δὲ λέγει ὁ Κύριος ἐκτίσθαι ἑαυτὸν, οὐχ ὡς ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρελθὼν, ταῦτα ἂν εἴποι τοῖς λοιποῖς κτίσμασι καὶ αὐτὸς ὁμοίως ἐκ τοῦ μὴ ὄντος γε- B γονὼς, ὅτινες οὐκ ὀρθῶς ὑπειλήφασιν, ἀλλ' ὡς ὑφεστὼς μὲν καὶ ζῶν, προών τε καὶ προϋπάρχων τῆς τοῦ παντὸς κόσμου συστάσεως. Ἄρχειν δὲ τῶν ὅλων ὑπὸ τοῦ Κυρίου τοῦ ἑαυτοῦ Πατρὸς κατατεταγμένος, τοῦ *ἔκτισεν*, ἐνταῦθα ἀντὶ τοῦ *κατέταξεν* ἢ *κατεσκεύασεν*, εἰρημένου. Διαῤῥήδην οὖν τοὺς ἐν ἀνθρώποις ἄρχοντας καὶ ἡγεμόνας κτίσιν ὠνόμασεν εἰπὼν ὁ ἀπόστολος· *Ὑποτάγητε οὖν πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν Κύριον· εἴτε βασιλεῖ ὡς ὑπερέχοντι, εἴτε ἡγεμόσιν ὡς δι' αὐτοῦ πεμπομένοις*. Καὶ ὁ εἰπὼν δὲ προφήτης ἀπὸ τοῦ Θεοῦ, *Ἰδοὺ ἐγὼ στερεῶν βροντὴν καὶ κτίζων Πνεῦμα, καὶ ἀποστέλλων εἰς ἀνθρώπους τὸν Χριστὸν αὐτοῦ*, τὸ *κτίζων*, οὐκ ἐκ τοῦ γεγονότος εἰς ἀνυπαρξίαν παρείληφεν· οὐ γὰρ τότε ἔκτισεν ὁ Θεὸς τὸ Πνεῦμα, C ὅτε τὸν Χριστὸν αὐτοῦ δι' αὐτοῦ πᾶσιν ἀνθρώποις κατήγγειλεν· οὐδὲ γὰρ πρόσφατον ὑπὸ τὸν ἥλιον· ἀλλ' ἦν μὲν καὶ προϋπῆρχεν· ἀπεστέλλετο δὲ, καθ' ὃν καιρὸν ἦσαν οἱ ἀπόστολοι συνηγμένοι, ὅτε δίκην βροντῆς ἐγένετο ἦχος ἐκ τοῦ οὐρανοῦ ὥσπερ φερομένης πνοῆς βιαίας· τοῦ *κτίζων* ἀντὶ τοῦ *καταπέμπων* ἢ *κατατάσσων* εἰρημένου· τῆς δὲ βροντῆς καθ' ἕτερον τρόπον τὸ εὐαγγελικὸν κήρυγμα δηλούσης· Τοιοῦτόν ἐστι καὶ τὸ, *Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεός*· οὐχ ὡς μὴ ἔχων, ἀλλ' ὅτι δήποτε τελεσθῆναι τοιαύτην ηὔχετο· καὶ τὸ, *Ἵνα κτίσῃ τοὺς δύο εἰς ἕνα καινὸν ἄνθρωπον*, ἀντὶ τοῦ *συναγάγῃ*. Ὅρα μήποτε τοιοῦτόν ἐστι καὶ τὸ, *Ἐνδύσασθε τὸν καινὸν ἄνθρωπον τὸν κατὰ* D *Θεὸν κτισθέντα*· καὶ τὸ, *Εἴ τις ἐν Χριστῷ καινὴ κτίσις*· καὶ ὅσα ἄλλα τοιαῦτα. Μὴ θαυμάσῃς εἰ μεταφορικῶς καὶ ἐν τῷ, *Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ*, τὸ *ἔκτισεν* ἀντὶ τοῦ *κατέστησεν* ἢ *κατέταξεν* εἴρηται. Ταῦτα ἐν τῷ τρίτῳ πρὸς Μάρκελλον ὁ Εὐσέβιος. Καὶ ταῦτα δὲ λέξεσιν αὐταῖς Σωκράτης ὑπὲρ αὐτοῦ φησιν· « Εἰ τοίνυν Εὐσέβιος τῆς ἐν Νικαίᾳ συνόδου μνήμην ποιούμενος, λελύσθαι μὲν τὰ τότε ἀμφισβητούμενα λέγει, πάντας δὲ ὁμοφωνῆσαι καὶ ὁμοδοξῆσαι· πῶς Ἀρειανίζειν τινὲς αὐτὸν ὑπολαμβάνουσι; Πλανῶνται δὲ Ἀρεια-

[1] Prov. VIII, 22. [2] I Petr. II, 13, 14. [3] Amos IV, 13. [4] Psal. L, 12. [5] Ephes. II, 15. [6] Ephes. IV, 24. [7] II Cor. V, 17.

(1) Socr. lib. II, cap. 20.

νοῖ. φρονεῖν αὐτὸν νομίζοντες τὰ αὐτῶν. Ἀλλ' ἐρεῖ τις ὡς ἐν τοῖς λόγοις αὐτοῦ Ἀρειανίζειν δοκεῖ, τῷ συνεχῶς λέγειν, Διὰ Χριστόν· πρὸς ὃν ἀποκρινούμεθα, ὅτι τῇ λέξει ταύτῃ πολλάκις καὶ οἱ τῆς Ἐκκλησίας ἐχρήσαντο, καὶ ταῖς ἄλλαις ταῖς μηνυούσαις τὴν οἰκονομίαν τῆς ἀνθρωπότητος τοῦ Σωτῆρος ἡμῶν. Καὶ πρό γε ἁπάντων τούτων ὁ Ἀπόστολος ταῖς λέξεσι ταύταις ἐχρήσατο, καὶ οὐδέποτε ὡς κακοδοξίας διδάσκαλος ἐνομίσθη. » Καὶ αὖθις ἐπιφέρει λέγων· « Οὔτε γὰρ ἔχουσι δεῖξαι ὅτι Εὐσέβιος ἀρχὴν τῆς ὑπάρξεως δίδωσι τῷ Υἱῷ τοῦ Θεοῦ, κἂν ταῖς τῆς οἰκονομίας λέξεσιν ἐν τοῖς βιβλίοις εὑρίσκωσιν αὐτὸν καταχρώμενον· μάλιστα δὲ καὶ ὅτι καὶ θαυμαστὴς καὶ ζηλωτὴς ἐγένετο τῶν Ὠριγένους βιβλίων, ἐν οἷς πανταχοῦ τὸν Υἱὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα εὑρίσκουσιν οἱ τῶν Ὠριγένους βιβλίων τὸ βάθος κατανοῆσαι δυνάμενοι. » Τοιαῦτα καὶ ἕτερα Σωκράτης παρατιθεὶς, διισχυρίζεται τἀσφαλὲς τοῦ δόγματος Εὐσεβίῳ περιτιθέναι. Ἐγὼ δὲ βουλοίμην ἂν μᾶλλον εἶναι τὸν ἄνδρα τοιοῦτον· ἡ δὲ καθόλου Ἐκκλησία οὐ τοιοῦτον τάχα ὑπείληφεν· ᾗ μᾶλλον ἕπεσθαι δίκαιον. Εἰ δ' ἐκεῖνος ἐν τῷ ἀσφαλεῖ τῆς εὐσεβείας ἐστὶν, ὡς οὗτός φησι, καὶ ταῦτα Ναυᾶτος ὢν, τῷ τὰ κρύφι' ἀκριβῶς διειδότι Θεῷ ἐατέον. Ταῦτα μὲν οὕτως· οἱ δ' ἐν Σαρδικῇ συνελθόντες οὕτω διαπραξάμενοι, ἐπορεύοντο ἕκαστος ἐπ' οἴκου. Διεσπᾶτο δὲ τοῦ λοιποῦ τῆς ἑῴας ἡ δύσις. Οὐκέτι γὰρ ὡς ὁμόφροσιν ἐπεμίγνυντο. Καὶ ὅρος τῆς κοινωνίας, ταῖς μὲν ἑσπερίοις μεταξὺ Ἰλλυριῶν καὶ Θρᾳκῶν ἦν, περὶ ὅρος ὃ Σούσακις κέκληται· περαιτέρω δὲ κοινωνεῖν ἥκιστα ἤθελον, διαφόρου τυγχανούσης τῆς πίστεως. Οἷα δὲ φιλεῖ, τὰ τῶν ἐκκλησιῶν ἐν διαβολαῖς καὶ διχονοίαις ἦσαν. Καὶ μεγάλη ταραχή τις καὶ σύγχυσις τῇ καθόλου Ἐκκλησίᾳ ἐπεχωρίαζε. Καὶ γὰρ πρότερον εἰ καὶ διάφοροι καθειστήκεισαν, ἀλλ' ἐπεμίγνυντο τέως, καὶ οὐ μέγα τὸ δεινὸν ἐποίουν· παραπλήσια γὰρ τῷ ἐπιμίγνυσθαι φρονεῖν κατὰ Χριστὸν ἐνομίζοντο. Ἐν συντόμῳ δὲ φάναι, ἡ μὲν κατὰ δύσιν ἅπασα Ἐκκλησία, διὰ τῆς πατρίου ἀγομένη θρησκείας, ἔρημος ἔριδος ἦν καὶ τῆς περὶ δόγματα τερθρείας ἀπηλλαγμένη, ἀκραιφνῶς τὴν ἐν Νικαίᾳ πίστιν διατρανοῦσα· κἂν καὶ τέως Θυρσάκιος ὁ Παννονίας, καὶ Αὐξέντιος ὁ Μεδιολάνων πεῖραν προσῆγον διασπᾷν καὶ πρὸς τὴν Ἀρειανίζουσαν μεθιστᾷν δόξαν, τοῦ Ῥωμαίων θρόνου καὶ τῶν ἑσπερίων ἄλλων ἱερέων ἐγρηγορότων, καὶ τὰς τῆς αἱρέσεως ταύτης βλάστας θᾶττον ἐξανασπώντων· ἡ δὲ ἑῴα μετὰ τὴν ἐν Ἀντιοχείᾳ σύνοδον ἐστασίαζε, καὶ περιφανῶς πρὸς τὴν ἐν Νικαίᾳ διεκρίνετο πίστιν. Τὸ δ' ἀληθὲς, πλὴν ὡς συνάγειν ἔνεστι, τῶν μὲν πλειόνων ἡ γνώμη πρὸς τὴν ἐν Νικαίᾳ δόξαν συνέτρεχεν, ἐκ τῆς τοῦ Πατρὸς οὐσίας τὸν Υἱὸν εἶναι ὁμολογούντων· τῇ δ' ἐκ φιλονεικίας ἔριδι κατεχόμενοι, πρὸς τὴν ὁμοούσιον λέξιν ἀκρατῶς διεφέροντο· οἱ μὲν, ὥς τινες εἶπον, ἐξ

quæ tum in controversiam deducta fuerant, atque omnes consensu uno eadem sensisse atque dixisse referat, quomodo quidam illum Arianisare suspicantur? Falluntur vero Ariani etiam, qui illum cum eis sensisse existimant. Sed dicet aliquis, in scriptis ejus Arianum esse eum videri, propterea, quod frequenter dicat, Per Christum (1). Cui respondemus, hac locutione sæpenumero ecclesiasticos viros usos esse, aliisque, quibus œconomia seu munus humanitatis Servatoris nostri significatur. Et ante omnes istos Apostolus ipse verba hæc usurpavit : et nunquam tamen veluti pravæ opinionis habitus est doctor. » Ac rursum hæc infert : « Non enim ostendere poterunt, Eusebium principium exsistentiæ tribuere Filio Dei, quamvis in libris ejus œconomiæ sive dispensationis humanæ verbis abuti eum inveniant. Maxime vero, quod admirator et æmulator Origenis librorum fuit, in quibus ubique Filium ex Patre genitum esse reperiunt, qui Origenis librorum acumen assequi possunt. » Hæc et alia Socrates afferens, sinceritatem doctrinæ Eusebio ascribere contendit. Ego quidem talem potius virum eum fuisse velim : Ecclesia autem Catholica non talem fortasse judicat, quam potius sequi par est. An vero ille certo in pietatis sinceritate sit, sicuti iste qui quidem Novatianus est, dicit, id accurate certoque occulta omnia perspicienti Deo relinquendum. Et de his quidem satis. Sardicensi vero conventu ita peracto, domum se quisque recepit. **701** Ac deinceps Occidens ab Oriente per secessionem divisus est. Non amplius enim Occidentales cum Orientalibus, haud eadem secum sentientibus, negotii sibi quidquam et conjunctionis esse voluere. Et communionis finis Occidentalibus fuit inter Illyricum et Thraciam, circa montem qui Susacis dictus est. Ultra eum autem locum propter variantem fidem minime inter se invicem communicare voluerunt. Ut vero fieri solet, in ecclesiis calumniæ et dissensiones erant. Et ingens turba et confusio Ecclesiam catholicam invasit. Antea siquidem, etiamsi dissiderent, consuetudine tamen inter se jungebantur, nec adeo gravem eam rem putabant : et consuetudinem ejusmodi eumdem de Christo sensum esse existimabant. Et ut paucis dicam, Ecclesia Occidentalis omnis patriæ insistens religioni, contentionis expers, et a studio de dogmatibus nugandi aliena fuit, sincere professionem fidei Nicænam sonans atque profitens. Quamvis etiam tum Ursicius Pannonius et Auxentius Mediolanensis conati sunt Ecclesias distrahere, et ad Arianam opinionem traducere, efficere tamen id nequivere, sede Romana et aliis Occidentalibus episcopis vigilantibus, et hæresis ejus surculos illico exstirpantibus. Oriens autem post Antiochenum concilium seditiones concitavit, et propalam ad-

(1) *Διὰ Χριστοῦ.* Offendiculo olim fuit piis, si Christus simpliciter sine præfatione honoris, et illatione divinitatis nominaretur.

versus Nicænam fidem disceptans judicio contendit : revera tamen, sicuti colligere est, plures sententiam Nicæni dogmatis comprobabant, Filium ex substantia Patris esse confitentes : contentionis vero cupiditate devincti, adversus verbum τοῦ ὁμοουσίου, consubstantialis, impotentibus animis pugnabant. Nonnulli quidem, sicuti quidam tradidere, quod jam inde ab initio contra id verbum stetissent : et quemadmodum ejusmodi homines facere solent, ne victi esse, si cederent, viderentur, in sententia propterea persistebant, et vocabulum id abolere studebant : probro sibi fore, si opinionem mutarent, arbitrati. Nonnulli autem, quod frequenter de his nugati essent, ita opinari ex animi sententia malebant ; **702** et cum semel ab eo quod decebat excidissent, opinionem suam firmiter retinebant. Erant qui indecorum contendendi studium secum ipsi perpendentes, ad gratiosiorem declinarent sententiam, vel propter gloriam aut timorem, vel propter vim aut familiaritatem, plerumque etiam propter amicitiam, et fortasse alias ob causas, quibus homines adducti, ut sese res tulit, etiam in his quæ parum decent, gratificantes aliis obsequuntur : denique quod nonnulli libere et palam, quæ ab adversariis objicerentur, redarguere atque refellere non possent. Non pauci vero ejus temporis homines, ineptias prorsus et superfluas nugas esse existimantes de rebus ejusmodi conflictari, ab illorum consuetudine sejuncti, taciti secum Nicæna decreta complectebantur et colebant.

A ἀρχῆς αὐτῇ ἀντιστάντες, καὶ οἷα δὴ τοῖς τοιούτοις φιλεῖ, τὸ μὴ δόξαι ἡττᾶσθαι τῆς γνώμης εἴχοντο, περιελεῖν τὴν λέξιν σπουδάζοντες, καὶ αἰσχύνην ἐνόμιζον τὴν μετάθεσιν· ἦσαν δ' οἳ καὶ ἐκ τοῦ πυκνῶς περὶ ταῦτα ἐρεσχελεῖν, καὶ ταῖς ἀληθείαις ὧδε δοξάζειν ᾑροῦντο· καὶ καθάπαξ τοῦ δέοντος ἐκτραπέντες, ἀμεταθέτως εἶχον. Ἄλλοι δὲ τὸ μὴ δέον τῆς φιλονείκου γνώμης σταθμώμενοι, πρὸς τὸ κεχαρισμένον τῶν δοξαζόντων ὑπέκλινον, ἢ διὰ δόξαν τε καὶ δέος, ἢ δύναμιν, ἢ καὶ δι' οἰκειότητα καὶ φιλίαν πολλάκις· τάχα δὲ καὶ δι' ἄλλας αἰτίας, ὑφ' ὧν προάγονται ἄνθρωποι ὡς ἔτυχε τὰ μὴ δέοντα χαριζόμενοι, καὶ τῷ μὴ διὰ παῤῥησίας ἔχειν ἴσως ἐξελέγχειν τὸ προσιστάμενον. Πολλοὶ δὲ τῶν τότε λῆρον ἄντικρυς καὶ περιττὴν φλυαρίαν ἡγού- B μενοι τὸ περὶ τὰ τοιαῦτα προστρίβεσθαι, καθ' ἑαυτοὺς ἦσαν ἡσύχῳ γνώμῃ, τὸ δόξαν ἐν Νικαίᾳ στέργοντες καὶ τιμῶντες.

CAPUT XIV.

De Ægyptiis monachis, Scetiotis scilicet et Tabennesiotis. Atque inibi de duobus sanctis Macariis. Item de Pambo et Pachomio. Item de Apollonio et de Anubio.

Supra omnes autem qui in Oriente magna cum libertate saniorem doctrinam defenderunt, tenacissime Nicæna decreta retinuere Paulus Constantinopolitanus, et Athanasius Alexandrinus, episcopi, atque cum iis universus Ægyptiorum monachorum cœtus : quibus præiit Antonius adhuc superstes, quique cum eo erant (plurimi autem erant) in Ægypto et aliis Romani imperii locis ascetæ : quorum multi usque ad Constantii imperium et posteriora etiam tempora duravere : quales fuere (Amonem enim, et Thebæum Paulum omitto) eodem veroque nomine dicti Macarii, hoc est beati : Ægyptius scilicet ille, et cui Urbani cognomen inditum fuit : Paphnutius et Pambo, Anub et Pityrion Serapion et Orsesius et Pachomius Tabennesiotes, Ephraim quoque et Hilarion ; quales etiam circa Illyricum et Thraciam Martinus Sabariæ ortus Pannonius, et Hilarius Pictaviensis, homines admirandi : de quibus paulo post suo loco referemus. Multi denique alii aliter spectati viri, eisdem annis viguere, atque in ecclesiis Dei enituere : inter quos præcipue eruditione et eloquentia floruit Eusebius, Emesenus episcopus, Titus Bostrensis, **703** Serapion Thmuæus, Basilius Ancyranus, Eudoxius Germaniciensis, Acacius qui post Eusebium Cæsareæ Palæstinæ præfuit, Cyrillus, qui post Maximum Hierosolymitanam administrabat ecclesiam, et Theodorus Perinthius : qui omnes doctrinæ suæ fœtus haud pœnitendos ecclesiis reliquere. Videtur au-

ΚΕΦΑΛ. ΙΔ'.

Περὶ τῶν Αἰγυπτίων μοναχῶν, ἤγουν τῶν Σκητιωτῶν καὶ Ταβεννησιωτῶν· ἐν ᾧ καὶ περὶ τῶν ἁγίων δύο Μακαρίων, Παμβῶ τε καὶ Παχωμίου· Ἀπολλωνίου τε καὶ Ἀνούβ.

C Πάντων δ' ἐπέκεινα τῶν ἐν τῇ Ἕῳ πεπαῤῥησιασμένῳ λόγῳ ἀπρὶξ τῶν ἐν Νικαίᾳ δοξάντων εἴχοντο Παῦλος ὁ Κωνσταντινουπόλεως καὶ Ἀθανάσιος ὁ τῆς Ἀλεξανδρείας ἐπίσκοπος, καὶ σὺν αὐτῷ τὸ κατ' Αἴγυπτον σύμπαν μοναχικόν· ὧν καθηγεῖτο Ἀντώνιος περιὼν ἔτι, καὶ ὅσοι αὐτῷ συνεγένοντο· πλεῖστοι δὲ ἦσαν ἀνά τε τὴν Αἴγυπτον καὶ ἀλλαχοῦ τῆς Ῥωμαίων ἀρχομένης· οἳ πολλοὶ ἀνά τε τὴν παροῦσαν ἡγεμονίαν ἐγένοντο, καὶ εἰς τὸν μετέπειτα παρέμειναν χρόνον. Ἐῶ γὰρ Ἀμοῦν καὶ Ἀντώνιον καὶ τὸν Θήβηθεν Παῦλον· καὶ οἷοίπερ ἦσαν οἱ ἐπωνύμως ἐκεῖνοι Μακάριοι ἄνδρες, ὅ τ' Αἰγύπτιος καὶ ᾧ Πολιτικὸς ἐπώνυμον ἦν· Παφνούτιός τε καὶ Παμβῶ, Ἀνοὺβ τε καὶ Πιτυρίων, Σα- D ραπίων τε καὶ Ὀρσήνιος, καὶ ὁ Ταβεννησιώτης Παχώμιος, Ἐφραίμ τε καὶ Ἱλαρίων, καὶ οἱ περὶ Θρᾴκην καὶ Ἰλλυρίδα, Μαρτῖνος ὁ ἀπὸ Σαβωρίας τῆς Παννονίας, καὶ Ἱλάριος ὁ Πικτάβων, ἄνδρες θεσπέσιοι, περὶ ὧν μικρὸν ὕστερον κατὰ χώραν ἐρῶ. Πολλοὶ δὲ καὶ ἄλλως ἐλλόγιμοι ἄνδρες τοῖς αὐτοῖς συνήκμασαν ἔτεσι, ταῖς ἐκκλησίαις Θεοῦ διαπρέποντες· ὧν περὶ λόγων εἴδησιν τῶν ἄλλων διαφέροντες ἦσαν Εὐσέβιος ὁ τὴν Ἐμεσηνῶν ἱερατικῶς διιθύνας, Τίτος ὁ Βόστρων, Σεραπίων ὁ Θμουαῖος, Βασίλειος ὁ Ἀγκυρανὸς, Εὐδόξιος ὁ Γερμανικίας, Ἀκάκιος ὁ μετὰ Εὐσέβιον τῆς ἐν Παλαιστίνῃ ἡγησάμενος Καισαρείας, καὶ Κύριλλος ὁ τὸν τῶν Ἱεροσολύμων θρόνον μετὰ Μάξιμον οἰακίζων, καὶ Θεόδωρος ὁ Περίνθιος· οἱ δὴ πάντες ἔκγονα

τῆς αὐτῶν παιδείας λόγου πολλοῦ ἄξια ταῖς ἐκκλησίαις καταλελοίπασιν. Ἐῴκει δὲ πάντας τούτῳ τῷ μέρει παρευδοκιμεῖν, καὶ τὴν καθόλου Ἐκκλησίαν σεμνύνειν, Ἐφραὶμ ὁ Σύρος. Τηνικαῦτα δ' ἤκμαζε καὶ Λουκίφερ καὶ Δίδυμος καὶ Ἀέτιος, ἐλλόγιμοι μὲν διαφερόντως, τῇ δὲ ἀληθείᾳ μάλα μαχόμενοι. Ὡς ἐπίπαν δὲ φάναι, οἱ τηνικάδε τῶν ἐκκλησιῶν ἡγεμόνες πλείστης ἀκριβείας κατὰ βίον ἐξείχοντο· ὑφ' ὧν τὰ πλήθη καλῶς ποιμαινόμενα, τοῦ κατὰ Χριστὸν σεβάσματος εἴχοντο, καὶ καθ' ἑκάστην αὔξην ἡ πίστις ἐλάμβανεν. Ἠρέμα γὰρ ἡ Ἐκκλησία τῇ ἐνούσῃ ἀρετῇ καὶ τῇ λαμπηδόνι τῶν ἀγαθῶν πράξεων, ὑφ' ὧν τεράστια καὶ θεοσημεῖαι ἐγίνοντο, παρά τε ἱερῶν ἀνδρῶν, καὶ ἄλλως ἐκκλησιαστικῶν, ἐπὶ μέγα δόξης προήγετο· καὶ ἡ B τῶν Ἑλληνιστῶν θρησκεία διεσυλᾶτο, κἀκ τῆς μοχθηρᾶς τερθρείας πρὸς τὴν ἀληθινὴν πίστιν μετέῤῥεπεν. Ἐπεὶ δὲ τῶν ὁσίων τούτων ἐμνήσθην ἀνδρῶν, δεῖν οἶμαι τέως τούτῳ τῷ λόγῳ ἐπιδραμεῖν, καὶ ὅσοι δὴ ἄλλοι περιφανεῖς ἄνδρες τηνικαῦτ' ἀκμάσαντες κλέος ἔσχον. Καὶ προκείσθωσαν οἱ ἀοίδιμοι τῆς Σκήτεως ἡγεμόνες καὶ τῶν ἐκεῖσε ὀρέων κατέστησαν. Μακάριοι δὲ ἀμφοτέροις ἦν ὄνομα· ὧν ὁ μὲν Αἰγύπτου ὡρμᾶτο· ἅτερος δ' Ἀστὸς ὠνομάζετο· τὴν γὰρ Ἀλεξάνδρου εἶχε πατρίδα. Θεῖοι δὲ ἄνδρες καὶ ἄμφω ἐγένοντο. Θαυμάσιοι δὲ καὶ τὸ φιλοσοφεῖν ἦσαν, καὶ οὐκ ἀμοιροῦντες θείας προγνώσεως· δεξιοὶ δὲ καὶ δαίμονας ἀπελᾶν· τεραστίων δὲ καὶ ἰαμάτων πρόχειροι αὐτουργοί. Ὧν ἅτερος ὁ Αἰγύπτιος καὶ νεκρὸν ἀνίστα, ὡς ἄν γέ τινα C δόγματος ἀλλοτρίου πείσοι πιστεύειν νεκροὺς ἀνίστασθαι. Πέρα δὲ τῶν ϟ' παρελάσαι λόγος ἐκεῖνον τὸ ζῆν. Ὧν τὰ ὑπὲρ ἥμισυ τῇ ἐν ἐρήμῳ ἐπόνει διατριβῇ· μάλα δὲ καὶ ἔτι νέος ὢν τῇ φιλοσοφίᾳ διέπρεπεν, ὅθεν καὶ Παιδαριογέρων τὸ ἐπώνυμον ἔσχε, καὶ τὸν τοῦ πρεσβυτέρου δὲ βαθμὸν ἔβαινε, τεσσαρακοντούτης γενόμενος. Ὁ δὲ Πολιτικὸς ἐν ἐλάττονι χρόνῳ τὸ ἴσον τῆς ἀξίας εὕρατο· ἁπάσης δ' ἀσκήσεως τὴν πεῖραν εἰς ἄκρον εἴληφε. Τὰ μὲν γὰρ αὐτὸς εὕρισκε, τὰ δ' ἀκούων, παντὶ τρόπῳ κατορθοῦν ἐπειρᾶτο. Ἐς τοσοῦτον δ' ἦν συντετηγμένος τε καὶ κατεσκληκὼς, ὡς μηδ' ἐνεῖναι τρίχας φύειν τὸν πώγωνα. Ἦν δ' ὁ μὲν Αἰγύπτιος μετὰ τοῦ εὐλαβοῦς αὐστηρός· ἅτερος δὲ ὁ Ἀλεξανδρεὺς παραπλήσιος ἐφ' ἅπασι τῷ Αἰγυπτίῳ ὢν, ἐν τούτῳ D παρήλλαττεν, ὅτιπερ ἱλαρὸς τοῖς ἐντυγχάνουσιν ἦν, καὶ τῷ χαριεντίζεσθαι τοὺς νέους ἦγε πρὸς ἄσκησιν. Τούτων Εὐάγριος ἐγένετο μαθητής· καὶ τὴν δι' ἔργων φιλοσοφίαν ἐκτήσατο, πρότερον λόγῳ μόνῳ φιλοσοφῶν, χρόνῳ δ' ἐκείνῳ κατὰ τὸν αὐτὸν χῶρον συνεφιλοσόφουν αὐτοῖς Παμβώ τε ὁ διαβόητος, καὶ ὁ ἰσάγγελον εἴπερ τις πολιτείαν ἀσκήσας Παήσιος, Ἡρακλείδης τε καὶ Κρόνιος, Παφνούτιός

A tem omnes hac in parte gloria præcellere, atque Ecclesiam universalem exornare Ephraim Syrus. Tum quoque exstitere Lucifer, Didymus, Aetius, admodum quidem illi eximii viri, sed adversus veritatem plurimum etiam pugnarunt. Atque ut summatim dicam, præfecti ea tempestate ecclesiarum exactissimis vitæ institutis dediti erant, a quibus plebes rite gubernata, Christi religionem constanter coluit, et indies fides est adaucta, atque Ecclesia sensim pro insita et virtute atque bonorum operum splendore, et quod a sacris aliisque ecclesiasticis viris prodigia divinaque miracula fiebant, ad ingentem gloriam pervenit: Græcorum autem superstitio pessum iit, et ab improbis nugis ad veram fidem transiit. Et quoniam sanctorum isto- B rum virorum facta est mentio, faciendum esse duxi, ut breviter eos, et si qui insuper eo tempore illustres homines cum laude floruere, oratione persequar. Ac primo loco percelebres illi commemorentur viri, qui Scetis montiumque ejus duces fuere. Utrique nomen erat Macario: quorum alter in Ægypto ortus erat, alter Alexandriam patriam habuit, et cognomen Urbani: ambo certe divini prorsus viri, atque in monastica philosophia admirandi, divinarum prædictionum non expertes, dæmonum industrii expulsores, et prodigiorum sanationumque prompti et expediti auctores. Horum alter, Ægyptius scilicet, mortuum quoque excitavit: ut quemdam alieni dogmatis sectatorem, ad cre- C dendum mortuos resurgere, persuasione ea adduceret. Hic ultra nonaginta annos vixisse perhibetur, quorum plus quam dimidiam partem in vita solitaria transegit. Et adolescens admodum sapientiæ studiis excelluit: et ob id Παιδαριογέρων, quasi puerum senilem dicas, cognomen obtinuit. Presbyteri dignitatem quadragenarius suscepit. Urbanus vero breviore tempore ad eamdem pervenit **704** dignitatem. Exercitia pietatis omnia ad summum excoluit, quæ partim ipse invenit, partim ex aliis audita modis omnibus absolvere est conatus. Adeo autem extenuatus et macie confectus fuit, ut non esset unde pili barbæ excrescerent. Et Ægyptius, cum reverentia quadam austerus: Alexandrinus autem cum in aliis omnibus par Ægyptio esset, D in hoc tantum ab illo variavit, quod in colloquiis hilaris et jucundus, urbanis salibus utens, juvenes ad studium et exercitationem pietatis adduceret. Horum discipulus fuit Evagrius, apud quos philosophiæ sanctioris præcepta factis exprimere didicit, cum antea verbis solis sapientiæ studium professus fuisset. Eodem vero tempore, et eisdem in locis, cum illis philosophati sunt, decantatus ille Pambo (1): atque qui angelicam prorsus, si quis

(1) Pambo cum illitteratus esset, doctorem Psalmos exponentem adiit: et cum primum versum Psal. XXXVIII (*Dixi, Custodiam vias meas, ut non delinquam in lingua mea*) audisset, discessit, sufficere sibi inquiens versum istum, ut illum factis exprimere addisceret. Doctor cum eo expostulavit, quod eum ab eo tempore totis sex mensibus non vidisset. At Pambo respondens: Quod nondum re ipsa versum primum assecutus esset, se excusavit. Multi intercessere anni: et amico cuidam roganti, num versum eum addidicisset? Vix tandem, ait, decem et novem annis, factis ipsis eum addidici. Eidem auri certum numerum quidam in pauperum alimenta dedit, et, Numera quod

alius, et ipse exercuit vitam Paesius (1): item Heraclides Cronius, Paphnutius, Putubastes, Arsesius, et magnus Serapion. Præterea Pityrion ille, qui tamen alibi, apud Athenas videlicet, asceterium, seu exercendæ religiosæ pietatis domicilium habuit. Insuper ingens quoque ille Pachomius, qui dux et auctor vitæ Tabennesiotarum fuisse dicitur. Nova autem quædam illis est vitæ ratio, in quibusdam rebus a reliquis monachis evarians. Animum enim assuefacit ad virtutem aspirare, et terrena proculcare et sursum respicere semper : ut facile deinceps sit pulverem hunc deponentibus, in cœlestem pervenire regionem. Siquidem indumentum illis erat melota seu pellis ovilla : symbolum atque monumentum, ut opinor, generosæ et fortis illius Heliæ Thesbytæ, rei Venereæ et concupiscentiæ macerationis atque mortificationis, ut æmulatione et ardore ejusdem cum illo spei ad continentiam et castitatem strenue grassarentur. Cæterum reliquorum quoque Ægyptiorum monachorum amictus, ut opinio fert, ad exemplum aliquod et specimen arcanioris philosophiæ spectat. Non enim illi temere a communi habitu vestitum suum mutavere. Amiculum namque manicis carens, indicium atque institutionem esse arbitror, ne manus ad injuriam inferendam faciles sint, et promptæ. Capitis vero tegmen acuminatum, ut simplices sint, et injurias non vindicent, pureque et innocenter vivant : lactentium puerorum instar, quorum capita ejusmodi lineis mitris operiri solent, quæ partem rationis principatum imperiumque obtinentem tegunt atque fovent. **705** Zona porro, et quæ humeros et brachia comprimit cinctura, promptam alacritatem in ministerio Dei subobscure indicat : ut quæ adimplere jussi sunt, succincti perficiant. Fortasse autem alii alias reddiderint rationes monasticæ philosophiæ appositas : mihi hæc dixisse sat est. De Pachomio vero dicitur, cum primum in antro quodam constanter philosophiæ huic incumberet, ei angelum cœlitus assistentem mandasse, ut novum monachorum cœtum cogeret. Oportere namque eum qui rite veriorem irreprehensibili vita repræsentaret philosophiam, ducem multorum, quibus prodesse posset, fieri, eosque certis instituere legibus. His ille dictis, tabulam ei dedit, et seipsum, ut stola indutus fuerat, exhibuit. Quæ sane tabula ad hodiernum usque diem servatur. In eo scripto, leges præscribentis more, expositum erat, permitti debere unicuique, ut quantum posset et vellet, ederet, biberet, operaretur : atque itidem ut pro arbitrio suo jejunaret, aut non jejunaret. Et ut validius cibum capientibus, duriores labores : qui vero parcius alimentis uterentur, et ad pietatis

A τε καὶ Πουτουβάστης καὶ Ἀρσίσιος, καὶ ὁ πολὺς Σεραπίων· πρὸς δὲ Τιτυρίων ἐκεῖνος, ὃς ἀλλαχοῦ, παρ' Ἀθηναίοις δηλαδὴ, τὸ ἀσκητήριον εἶχε· καὶ ὁ πολὺς ἐκεῖνος Παχώμιος, ὃν κατάρξαι καὶ ἡγήσασθαι τῆς τῶν Ταβεννησιωτῶν διαίτης καὶ πολιτείας λόγος. Καινὴ δέ τις ἦν ἐκείνοις ἡ πολιτεία ἔν τισι παραλλάττουσα τῶν λοιπῶν μοναχῶν· ψυχῇ μέντοι ἔθος ἐνιεῖσα πρὸς ἀρετὴν αἴρεσθαι, καὶ τὰ περὶ γῆν ἐν δευτέρῳ ποιεῖν, ἄνω δὲ βλέπειν ἀεί· ὡς ἂν γ' ἐν ῥᾳστώνῃ εἴη πρὸς τὸν οὐράνιον ἀφορᾷν χῶρον, κάτω που τιθεμένοις τὸν χοῦν. Μηλωτὴ γὰρ ἦν ἐκείνοις τὸ ἔνδυμα· σύμβολον οἶμαι τῆς τοῦ Θεσβίτου γενναίας πρὸς τὰ ἀφροδίσια καὶ τὰς ἐπιθυμίας συντήξεως καὶ νεκρώσεως· ἴσως δὲ καὶ ζήλῳ τῶν ἴσων ἐκείνῳ ἐλπίδων, πρὸς τὸ σωφρονεῖν B ἑτοίμως χωρεῖν. Οὐ μὴν δὲ ἀλλὰ καὶ τὰ τῶν ἑτέρων ἐν Αἰγύπτῳ μοναχῶν περιβλήματα λόγος ἔχει πρός τι φιλοσοφίας ὑπόδειγμα ἀφορᾷν· μηδὲ γὰρ ἂν οὕτως, ὡς ἔτυχε, τῆς τῶν πολλῶν ἀναβολῆς παραλλάσσειν. Τὸ μὲν γὰρ ἀχειρίδωτον ἔνδυμα οἶμαί που παίδευμα εἶναι μὴ τὰς χεῖρας ῥᾳδίας ἔχειν πρὸς ὕβριν· τὸ δὲ τῆς κεφαλῆς κάλυμμα εἰς ὀξὺ λῆγον, ὥσθ' ἁπλοῦς εἶναι καὶ μὴ ἀμύνεσθαι, καθαρῶς δὲ καὶ ἀκεραίως βιοῦν, ἐπίσης τοῖς γάλακτι τρεφομένοις παισὶν, οἷς φίλον τοιαύταις ἐξ ὀθόνης τιάραις καλύπτεσθαι, αἳ τὸ ἡγεμονικὸν σκέπουσί τε ἅμα καὶ περιθάλπουσιν. Ἡ δὲ ζώνη καὶ ὁ τοὺς ὤμους διατρέχων ἀναβολεὺς καὶ βραχίονας τὸ ἕτοιμον εἰς διακονίαν Θεοῦ ὑπαινίσσεται, καὶ ὧν πα- C ρακελεύεται τὴν ἐκπλήρωσιν, εὐζώνως τελεῖν. Ἴσως δ' ἂν καὶ ἄλλοι ἄλλους ἀποδοῖεν λόγους προσήκοντας τῷ φιλοσοφεῖν· ἐμοὶ δ' ἀπόχρη τοσοῦτον εἰπεῖν. Περὶ δὲ Παχωμίου, λόγος ἄντρῳ τινὶ πρῶτον προσκαρτερεῖν, σχολάζοντα τῷ φιλοσοφεῖν· ἄγγελον δ' οὐρανόθεν ἐπιστάντα, νεολαίαν ἀθροῖσαι παρακελεύσασθαι μοναχῶν, καὶ συνεῖναι αὐτοῖς. Δεῖ σε γὰρ, φησὶ, καλῶς τὴν ἀληθῆ κατωρθωκότα φιλοσοφίαν, καθηγεμόνα πολλῶν γενέσθαι, δυνάμενον ὠφελεῖν, καὶ τοιοῖσδε νόμοις ἄγειν αὐτούς. Ταῦτα λέγων, δέλτον αὐτῷ ἐνεχείριζε, καὶ ἑαυτὸν παρεδείκνυ ὡς εἶχε στολῆς· ἃ δὴ καὶ ἐς δεῦρο φυλάττεται. Ἐνῆσαν δὲ τῇ γραφῇ ὡς ἐν προστάξει, ἀνεῖσθαι παντὶ φαγεῖν καὶ πιεῖν καὶ ἐργάζεσθαι, ὡς ἑκάστῳ δύναμίς ἐστι καὶ προαίρεσις. Ὡσαύτως D δὲ καὶ νηστεύειν καὶ μή· καὶ τοῖς μὲν πολὺ καὶ ῥωμαλέως ἐσθίουσι τὰ βαρύτερα ἐπιτρέπειν τῶν ἔργων· ὅσα δὲ κοῦφα καὶ ῥᾴδια, τοῖς ἧττον τροφῇ χρωμένοις, καὶ πρὸς ἄσκησιν διεγηγερμένοις. Οἰκίας δὲ σεμνὰς περικύκλῳ εἶναι αὐτοῖς· ἐφ' ἑκάστῃ δὲ τρεῖς καταμένειν. Τήν γε μὴν τροφὴν ὑπὸ ἕνα οἶκον ἐπιμήκη αὐτοῖς γίνεσθαι διετάττετο, καὶ ἐν βαθεῖ σιωπῆς καθημένους ἐσθίειν, καλυπτομένους τὰ πρόσωπα, ὡς μήτε ἀλλήλους ὁρᾷν, μηδ' ἄλλο τι

datum est, inquit. Tum ille : Numero hac in re opus non est, sed animi affectione pia et benigna. (Socr. lib. IV, cap. 23.) Idem Pambo ab Athanasio episcopo evocatus, ex eremo Alexandriam venit. Ibi scenica gesticulatrice visa, prolixe illacrymavit : et amicis fletus causam inquirentibus, duplicem esse respondit : alteram, mulierculæ ipsius exitium : alteram, quod ipse non tantum studii in hoc impenderet ut Deo placeret, quantum illa ut hominibus fœdis placeret. (Idem, *ibid.*)

(1) Hunc Sozom. non habet lib. III, cap. 14.

πλὴν τῆς τραπέζης καὶ τῶν παρατιθεμένων. Ἀλλόσχημον δὲ μὴ τῆς αὐτῆς κοινωνεῖν τραπέζης, εἰ μή πού τις παροδεύων ἐπιξενωθείη. Συμβόλοις δέ τισι κτυπουμένοις τὸ πρὸς χρείαν διασημαίνειν· ἢ νεύμασι ταῖς τραπέζαις, παρ' ᾧ λάχοι, ἐπιστατεῖν. Εἰ δέ τις ἐκείνοις ἕλοιτο συνοικεῖν, ἐπὶ τρισὶν ἐνιαυτοῖς πρότερον, μικρὸν ἠλλοιωμένος τὸ σχῆμα, τὰ τῶν ἔργων ἐργώδη διαπονεῖν· καὶ οὕτως τῶν ἴσων μετέχειν μυσταγωγούμενος. Ἱμάτιον δ' εἶναι αὐτῷ διφθέραν· καὶ ἐξ ἐρίου τιάραν τῇ κεφαλῇ σκέπασμα· ἃς δὴ τιάρας καταστίκτους εἶναι πορφυροῖς τισι προσέταττε νήμασι, κέντρα τινὰ σταυροῦ σχῆμα διατυποῦντα. Τοὺς δὲ χιτῶνας εἶναι λινοῦς, καὶ τὰς ζώνας ἐπίσης· μεθ' ὧν σὺν ταῖς διφθέραις καθημένους οἰκοδομητοῖς ἐν θρόνοις, B ὕπνῳ μετρίῳ χρῆσθαι· κύκλῳ δὲ πεφράχθαι τὸ οἰκοδόμημα, ὥσθ' ἑκάστῳ τὴν στρωμνὴν συνέχειν. Τῇ δὲ πρώτῃ καὶ κυριωνύμῳ τῶν ἡμερῶν, πρὸς κοινωνίαν τῶν θείων μυστηρίων ἰόντας, λύειν μὲν τὰς ζώνας καὶ τὰς διφθέρας ἀποτίθεσθαι· δωδεκάκις δὲ τῆς ἡμέρας ἕκαστον εὐχὰς ποιεῖν· ὁμοίως δὲ καὶ πρὸς ἑσπέραν· ἐπίσης δὲ καὶ νυκτός· τῇ δ' ἐνάτῃ ὥρᾳ τρίτον· καὶ ὁπηνίκα δέοι τροφῆς μετασχεῖν, ἐφ' ἑκάστης εὐχῆς τὸν ψαλμὸν προηγεῖσθαι. Κατὰ δὲ μίμησιν τῶν Ἑλληνικῶν στοιχείων, εἰς κδ' τάγματα ἅπασαν διελεῖν τὴν συνοικίαν. Ἐφαρμόσαι δ' ἑκάστῳ ἀνήκουσαν τὴν προσηγορίαν, ὡς γνώμη καὶ βίος καὶ ἦθος ἦν· οἷον τοὺς μὲν ἁπλουστέρους ἰῶτα ἐκάλει, ζ δὲ καὶ ξ, ὅσοι σκολιοὶ ἦσαν καὶ C μὴ εὐθεῖς· καὶ τοὺς ἄλλους ἄλλως, κατὰ τὴν ἑκάστου προαίρεσιν καὶ τὸ σχῆμα τοῦ γράμματος, εὔστοχον τὴν ὀνομασίαν τιθείς. Τοιούτοις δή τισι νόμοις Παχώμιος τοὺς ὑπ' αὐτὸν ἦγε, φιλάνθρωπος μάλιστα καὶ θεοφιλὴς γενόμενος· καὶ ἐπὶ τόσον ἐλάσαι, ὡς μηδὲ τὴν τῶν ἐσομένων πρόγνωσιν ἀγνοεῖν· ταύτην δ' εἰδέναι διαφερόντως ἀεὶ ἀγγέλοις διομιλούμενον. Ἐν Θηβαΐδι δὲ τὸ τῆς φιλοσοφίας ἐργαστήριον εἶχεν ἔν τινι νήσῳ, ἣ Ταβέννη ὠνόμαστο· ἐξ ἧς Ταβεννησιῶται ἐς δεῦρο δὴ ὀνομάζονται· οἳ δὴ τῷ χρόνῳ καὶ εἰς πολλήν τινα προῆλθον ἐπίδοσιν, ὡς καὶ εἰς ἑπτακισχιλίους, καὶ περιδόξους μάλα γενέσθαι τῇ τῶν εἰρημένων νόμων ἀκριβεῖ πολιτείᾳ. Ἔνδον γὰρ Ταβέννης, μεθ' ὧν ἦν καὶ Παχώμιος, λόγος ἀμφὶ χιλίους καὶ τριακοσίους εἶναι. Οἱ δ' ἄλλοι κατὰ Θηβαΐδα καὶ τὴν ἄλλην Αἴγυπτον ᾤκουν· ὧν ἁπάντων μία ἦν ἡ ἀγωγὴ καὶ ἡ δίαιτα, καὶ κοινὰ πάντα πᾶσιν ἐτύγχανον, οἷά τινα μητρόπολιν τὴν νῆσον ἡγούμενοι, καὶ πατέρας τοὺς ἐκεῖσε ἡγεμονεύοντας· ἀφ' ὧν καὶ ἄρχοντες ἐφ' ἑκάστῃ συνοικίᾳ οἱ τῶν ἐθῶν καθειστήκεισαν ζηλωταὶ διεπέμποντο. Καὶ περὶ μὲν Παχωμίου τοσαῦτα. Τῷ δ' αὐτῷ χρόνῳ καὶ Ἀπολλώνιος ἐπὶ τῇ κατὰ Θεὸν φιλοσοφίᾳ πολὺν τὸν ἔρωτα σχὼν, διαπρέπων ἦν. Ὃς ἔτει πεντεκαιδεκάτῳ τῆς ἡλικίας ἐπαρξάμενος ἐν ἐρημίᾳ φιλοσοφεῖν, ἐπεὶ τεσσαρακοστοῦ ἐπέβη ἐνιαυτοῦ, θείᾳ

A exercitium incitatiores essent (1), leves atque faciles operæ mandarentur. Domicilia autem religiosa circumcirca eis exstrui jussit, in quorum unoquoque tres manerent. Cibum porro in unis amplioribus ædibus ut caperent constituit, idque cum alto silentio considentes: facie ita operta, ut neque alius alium, neque prætcrea aliud quidquam, quam mensam et cibum propositum cernere posset. Cum iis ne alius quisquam habitu alio in eadem mensa cibum sumeret, præterquam si hospes eo divertens acciperetur. Signis autem quibusdam, manuum impulsione, vel nutibus rem necessariam ab eis quibus sorte, ut mensæ præessent, obvenisset, insinuando peterent. Quod si quis eum illis vivere vellet, ut tribus prius annis, mutato paulum habitu, duriores B perferret labores: atque ita tandem arcanis eorum sacris institutus, eodem cum illis loco esset. Vestimentum autem ut esset sagum pelliceum, et capitis tegmen mitra lanea: quæ mitra quibusdam purpureis distincta filis, puncta sua haberet, crucis formam referentia. Tunicæ autem et zonæ itidem ut lineæ essent: in quibus simul et in sagis considentes, super exstructis toris mediocrem caperent somnum. **706** Domicilium porro ut ita sepimento circumvallaretur, ut id lectum cujusque concluderet. Primaria autem et Dominica die ut ad communionem et perceptionem divinorum mysteriorum accedentes, solutas zonas et sagula pellicea deponerent. Atque ut duodecies interdiu semper orarent: C itidem vero ad vesperam, noctu similiter, et item hora nona tertio. Et cum cibus esset capiendus, ut singulas orationes psalmus præcederet. Præterea ut ad numerum Græcarum litterarum cœtum monachorum cohabitantium in viginti quatuor ordines divideret, et cuique ordini congruentem, sicuti animus, vita et mores cujusque ferrent, imponeret appellationem: scilicet ut simpliciores ι, qui vero pravi essent, et minus recti, ζ et ξ vocarentur: atque aliter alii, juxta cujusque institutum, et litteræ ipsius habitum, aptum accommodando cognomen. Ejusmodi sane legibus Pachomius monachos suos rexit. Qui quidem humanus maxime et Dei amans fuit, eo amplitudinis progressus, ut res quoque futuras non ignoraret: quippe quas præ- C cipue ex continuo angelorum colloquio cognoscebat. In Thebaide autem philosophiæ suæ officinam habuit, in quadam insula quæ Tabenna nominata est: a qua hucusque Tabennesiotæ dicuntur. Qui cum tempore magna cepere incrementa, adeo ut septies mille, et quidem admodum celebres, vitam eis quas diximus legibus ad exactam prorsus rationem agentes exstiterint. Intra Tabennam namque, cum quibus etiam Pachomius erat, circiter mille et trecenti fuisse dicuntur: alii autem per Thebaidem, et reliquam Ægyptum coluere. Eorum omnium unum erat institutum, unus vivendi mo-

(1) Ascetæ cujusdam scite dictum est, Monachum, nisi opus faciat, avaro homini esse persimilem.

dus communia omnia inter se habentium. Insulam A ipsam quasi metropolim quamdam esse putabant: et qui ibi rebus præerant, patres. Ex quibus quoque, qui instituti ejus æmulatores erant, cœtui cuique et domicilio præfectos suos accersentes accipiebant. Hæc de Pachomio. Eadem vero ætate et Apollonius ingenti erga divinam philosophiam amore flagrans pollebat: qui quindecimo ætatis anno solitariæ philosophiæ initiatus sacris, quadragenarius divinæ obsequens visioni in publicum ad loca hominibus habitata rursus prodiit, atque in Thebaide tuguriolum sibi condidit. **707** Et cum in primis Dei esset amantissimus, admiranda edidit opera: nihilque rerum omisit omnium, quin in eis præcipue excelleret, quæcunque ad id genus philosophiæ pertinent. Moribus fuit optimis, et in B pietate prolixe docenda magna gratia. In precationibus adeo habuit benignum et propitium Deum, ut ab eo orans nihil non exoraret. Et pro sapientia sua ea prorsus petebat, quæ facile Deus tribuere solet. Floruit tum quoque Anub ille, quem post confessionem pro Christo in persecutione obitam, ferunt nunquam postea mendacium dixisse, neque quidquam terrenæ rei concupivisse: quæ vero a Deo orasset, omnia obtinuisse: angeloque divino adeo institutore usum, pietatis virtute exercenda ad summum usque pervenisse. Sed enim de Ægyptiis monachis hæc satis est dixisse.

ὄψει πειθόμενος, τὴν οἰκουμένην αὖθις κατέλαβε· καὶ κατὰ Θηβαΐδα τὴν μάνδραν ἐπήξατο. Θεοφιλὴς δὲ τὰ μάλιστα γεγονὼς παραδόξων αὐτουργὸς ἦν. Πράξεως δὲ οὐδὲν ἐλλείπων, ὅσα εἰς τὴν τοιάνδε φιλοσοφίαν ἀνῆκει, διαφερόντως εἶχεν· ἀγαθὸς εὖ μάλα τὸ ἦθος ὢν, καὶ σὺν χάριτι ἄφθονον τὸ τῆς διδασκαλίας νᾶμα προχέων· καταπειθὲς δ' οὕτως ἔχειν τοῖς αἰτουμένοις τὸ Θεῖον, ὡς μηδὲν αἰτουμένῳ ἀνήνυτον εἶναι. Πάντως δ' ἐκεῖνα ᾔτει, σοφὸς ὤν, οἷς χαίρειν διδόναι ἐκ τοῦ ῥᾷστου τὸ Θεῖον ἔχει πρὸς φύσεως. Ἤκμαζε δὲ καὶ Ἀνοὺβ ἐκεῖνος κατ' ἐκεῖνο καιροῦ· ὃν λόγος μετὰ τὴν ἐν διωγμοῖς ὁμολογίαν ὑπὲρ Χριστοῦ, μήποτε ψεύσασθαι· ἀλλ' οὐδέ τινος τῶν προσγείων εἰς ἐπιθυμίαν ἐλθεῖν. Ὧν δὲ πρὸς Θεοῦ δεηθείη, μηδενὸς ἀστοχῆσαι· θείῳ δ' ἀγγέλῳ καθηγητῇ χρησάμενον, ὅσον ἦν ἀρετῆς εἰς ἄκρον ἀσκῆσαι. Ἀλλὰ περὶ μὲν τῶν ἐν Αἰγύπτῳ μοναχῶν ἀπόχρη τοσαῦτα εἰπεῖν.

CAPUT XV.

De Palæstinæ et Syriæ monachis.

Inde vero etiam Palæstina edocta, eamdem philosophandi rationem complecti cœpit. In qua primus floruit Hilarion: cui patria fuit vicus no- C mine Thebasa (1), qui non minus quam quindecim stadiis Gaza abest, austrum versus ad torrentem situs, qui mare influens vernaculum a vico ipso accepit nomen. Cum autem Alexandrinas frequentaret scholas, Antonii fama quæ tum increbuerat audita, videndi ejus gratia solitudinem petiit: et aliquantulum cum eo moratus, idem vitæ institutum sequi constituit. Quod vero ad Antonium quotidie multi ventitarent, voti compos fieri non potuit. Itaque in patriam reversus, cum parentes ejus e vita hac migrassent, multa substantia sua omni fratribus et egenis distributa, nihil sibi ex ea reliquum fecit. **708** Et mox deinde in loco quodam maritimo, viginti stadiis a vico distante, tugurium e latere sibi exstruxit, congerie fracta- D rum testarum tectum. Cujus tanta fuit latitudo, longitudo et altitudo, ut stantem eum caput inclinare, recumbere autem volentem pedes ad seipsum contrahere necessario oporteret. Hic rebus omnibus per assuetudinem, promptam sibi et facilem faciebat ærumnam. Atque in moderatione et temperantia egregie elaborans, nullum prorsus ex factis suis concepit fastum, cum quidem ea in re superiorem haberet neminem. Corporis autem voluptates et animæ blanditias edomans, cum inedia, siti, frigore, et æstu strenue confligtabatur. Moribus integris præditus fuit, sermone humanus et placidus: et quæcunque sacrorum oraculorum didicisset, accurate memoria tenebat. Tantopere

ΚΕΦΑΛ. ΙΕ'.

Περὶ τῶν ἐν Παλαιστίνῃ καὶ Συρίᾳ μοναχῶν.

Ἐκεῖθεν δὲ καὶ Παλαιστίνη ὁδηγηθεῖσα, τὰ ἴσα φιλοσοφεῖν ἤρξατο· ἐν ᾗ πρῶτος ἤνθησεν Ἱλαρίων· ᾧ πατρὶς μὲν ἦν κώμη Θηβασὰ ὄνομα, οὐκ ἔλαττον ἢ ιε' σταδίους ἀπέχουσα Γάζης, πρὸς νότον κειμένη παρὰ τὸν χείμαῤῥον, ὃς ἐπὶ θάλασσαν ῥέων, ἐπιχώριον ἀπὸ τῆς κώμης εἴληφεν ὄνομα· τοῖς δ' ἐν Ἀλεξανδρείᾳ φοιτήσας διδασκαλείοις, τῆς Ἀντωνίου ἀκοῆς διαβοωμένης, κατὰ θέαν ἐκείνου εἰς τὴν ἔρημον ἧκε· καὶ ἐπ' ὀλίγον διατρίψας ἐκείνῳ, τὰ ἴσα φιλοσοφεῖν αἱρεῖται. Πολλῶν δ' ἐς Ἀντώνιον καθ' ἑκάστην ἰόντων, ἠρεμεῖν οὐκ εἶχε κατὰ σκοπόν. Τὴν πατρίδα δὲ καταλαβὼν, ἐπεὶ καὶ οἱ γονεῖς αὐτοῦ τὸν τῇδε βίον ἀπέλιπον, τοῖς ἀδελφοῖς καὶ τοῖς ἐνδεέσι τὴν πολλὴν περιουσίαν ἐσκόρπισε, μηδέν τι τὸ σύνολον καταλιπὼν ἑαυτῷ. Καὶ λοιπὸν ἔν τινι τόπῳ πρὸς θάλασσαν εἴκοσι σταδίους τῆς κώμης διέχοντι καλύβην ἐκ πλίνθων ἐπήγνυτο, φορυτῷ κεράμων κατεαγότων κεκαλυμμένην. Τόσον δ' ἦν ἐκείνη εὖρους καὶ μήκους καὶ ὕψους, ὡς δεῆσαν ἑστάναι, κύπτειν τὴν κεφαλήν· πεσεῖν δ' ἐπάναγκες ὂν, τοὺς πόδας συνιζάνειν πρὸς ἑαυτόν. Πᾶσι γὰρ τρόποις ἔθιμον ἐποίει αὐτῷ τὴν ταλαιπωρίαν. Πονῶν τε τῇ ἐγκρατείᾳ δοκίμως, ἄτυφον εἶχε τὴν πρᾶξιν, καὶ ταῦτα μηδενὶ τῷ ἔργῳ τούτῳ καταλείπων ὑπερβολήν. Κρατῶν δ' ὅσαι σώματος ἡδοναὶ καὶ ψυχῆς θωπεῖαι, πρὸς ἀσιτίαν καὶ δίψος καὶ ῥῖγος καὶ πνῖγος στεῤῥῶς ἠγωνίζετο. Τὸ μὲν οὖν ἦθος σπουδαῖός τις ἦν, καὶ τὸν λόγον ἐπιεικής· ἀκριβὲς δ' εἶχε μεμνῆσθαι ὅσα τῶν ἱερῶν λογίων ἐξήσκησε. Τόσον δὲ δι' ἀρετῆς ᾠκείωτο τῷ Θεῷ, ὡς εἰσέτι καὶ νῦν πολλοὺς τῶν ἀνίατα νοσούντων ἰᾶσθαι, καὶ δαίμονας ἐλαύνειν εἰληφέναι χάριν

(1) *Thabatha*, Sozom.

προσιόντων τῷ μνήματι, οὐ μόνον παρ' οἷς ἐτέθαπτο πρότερον Κυπρίοις, ἀλλὰ καὶ παρὰ Παλαιστινοῖς, οἷς ἐπεγένετο ὕστερον. Ἐπεὶ γὰρ ἐν Κύπρῳ διατρίβων ἐτελεύτα τὸν βίον, ταφῇ μὲν ἐδίδοτο, καὶ διὰ πολλῆς παρ' αὐτοῖς ἤγετο τῆς τιμῆς· ἔπειτ' Ἡσύχας δὲ τῶν ἐκείνου φοιτητῶν περιφανέστερος ἐγεγόνει, τέχνῃ τὸν ἐκείνου κλέψας νεκρὸν, εἰς τὴν ἐν Παλαιστίνῃ αὐτοῦ μονὴν ἤγαγεν. Ἐξ ἐκείνου τε τοῦ χρόνου τοῖς ἐπιχωρίοις ἔθους κρατήσαντος, δημοτελὴς ἡ ἐκείνου ἄγεται μνήμη. Οὕτω γὰρ οἱ ἐν Παλαιστίνῃ τοὺς παρ' αὐτοῖς εὐδοκίμους ἄνδρας γεραίρειν εἰώθασιν· ὥσπερ δὴ καὶ ἐπὶ Ἀβρίλλῳ τῷ ἐξ Ἀνθηδόνος ποιοῦσι, καὶ Ἀλεξίωνι τῷ ἀπὸ Βηθαγάθωνος, καὶ Ἀλαφίωνι τῷ ἀπὸ Ἀσαλίας· οἳ κατὰ τὸν ἴσον γενόμενοι χρόνον, θεοφιλεῖς τε ἐπολιτεύσαντο, καὶ τῇ τῶν ἀρετῶν περιουσίᾳ εἰς μεγίστην ἐπίδοσιν τὴν εὐσεβῆ θρησκείαν ἐπιδοῦναι ἐποίησαν, ἐν Ἑλληνιζούσαις σφόδρα ἀγωνιζόμενοι πόλεσιν ἐπὶ τῆς παρούσης ἡγεμονίας. Τηνικάδε καὶ ἐν Ἐδέσσῃ ἰσαγγέλῳ καὶ διηκριβωμένῃ τῇ πολιτείᾳ καὶ Ἰουλιανὸς ὁ μέγας ἐφιλοσόφει. Τοσοῦτον δ' ἦν ἐκείνῳ τὸ ἐγκρατὲς, ὡς ὀστᾶ σαρκῶν δίχα δέρματι συνειρμένα δοκεῖν ἔχειν· οὗ καὶ τὸν βίον Ἐφραὶμ ὁ Σύρος σπουδὴν ἀφηγήσεως ἐποιήσατο. Θεὸς δὲ τῇ τῶν ἀνθρώπων δόξῃ ἄνωθεν ἐπ' αὐτῷ τὸ κῦρος ἐδίδου· ἰάσεις γὰρ ποικίλων νοσημάτων ἐπεχορήγει, καὶ κατὰ δαιμόνων κράτος παρεῖχεν. Ἓν δ' ἦν ἐπὶ πᾶσιν ἕτοιμον φάρμακον ἡ εὐχή. Πολλοὶ δὲ καὶ ἄλλοι ἀνὰ τήνδε τὴν χώραν τὴν κατὰ Χριστὸν φιλοσοφίαν ἠσπάζοντο, ἐπί τε τὴν Ἀμίδαν, καὶ ὃ καλεῖται ὄρος Γαυγάλιον, ὧν ἡγεμόνες ἦσαν Δανιήλ τε καὶ Συμεών. Τάδε μὲν οὖν καὶ περὶ τῶν ἐν Συρίᾳ μοναχῶν εἰρήσθω· Θεοῦ δὲ βουλομένου, πλατύτερον εἰς τὸ πρόσω περὶ αὐτῶν καὶ τῶν μετ' αὐτοὺς καὶ αὖθις ἐροῦμεν.

A porro virtute charus Deo factus est, ut hodie quoque pro data sibi gratia multi a morbis incurabilibus liberentur, et dæmones ab eis profugiant, qui ad monumentum ejus accedunt, non tantum apud quos prius sepultus fuerat Cyprios, verum etiam apud Palæstinos, ad quos postea pervenit. Cum namque in Cypro degens vitam finiisset, traditus sepulturæ, magno ibi cultus est honore: Postea Hesychas, ex discipulis ejus celeberrimus, corpus ejus arte quadam sublatum, ad domicilium ejus in Palæstinam detulit. Ab eo tempore, more ejus regionis sic obtinente, publicitus memoria ejus celebratur. Ita namque Palæstini præclaros apud se viros cohonestare solent. Siculi etiam in Abrillo Anthedonio faciunt, et in Alexione Betha- B gathonio, et in Alaphio Asaliensi: qui eadem ipsa ætate pie vitam exegere, et virtutum abundantia maximopere veræ pietatis religionem adauxere, in urbibus maxime quæ Græcæ essent superstitionis, sub Constantii imperio decertantes. Tum etiam apud Edessam accuratiore et angelico vivendi more magnus ille Julianus est philosophatus: cujus tanta fuit continentia, ut ossa carnibus carentia cuti constricta habere videretur. Vitam ejus Ephraim etiam Syrus conscribendam sibi esse duxit. Porro Deus ipse hominum opinionem de eo cœlitus auctoritate sua confirmavit: nam et **709** variarum ægritudinum sanationes homini præbuit, et pellendorum dæmonum potestatem exhibuit: C in quibus omnibus unum erat promptum et expeditum remedium, precatio. Multi vero et alii per Edessenam regionem, et apud Amidam, et ad montem Gaugalium, qui dicitur, Christianam philosophiam sunt complexi: quorum præfecti erant Daniel et Symeon. De monachis Syris hæc in præsentia sint dicta: Deo autem volente, fusius etiam postea et de eis, et de eorum successoribus dicemus.

ΚΕΦΑΛ. Ιϛ'.

Περὶ τῶν ἐν τῷ Πόντῳ καὶ Εὐρώπῃ καὶ Ἰταλίᾳ μοναχῶν, ἐν ᾧ καὶ περὶ Εὐσταθίου τοῦ Σεβαστείας, ὡς ἀρχηγὸς τῶν τοιούτων κατέστη· καὶ περὶ τοῦ ἁγίου Ἐφραίμ.

Ἔν γε μὴν Ἀρμενίοις Παφλαγόσι τε καὶ τοῖς περὶ Πόντον ὄρεσι τῆς κατὰ Θεὸν φιλοσοφίας ἄρξαι Εὐστάθιον λόγος, ὃς τῆς ἐν Σεβαστείᾳ Ἀρμενίας τῶν ἱερῶν ἡγήσατο. Τοσοῦτον δέ φασιν ἐκεῖνον σπουδαίας ἀγωγῆς ἅψασθαι, καὶ διαίτης, καὶ ἐσθῆτος, ᾗ δεῖ κεχρῆσθαι καὶ μὴ, ἠθῶν τε πολιτείας ἠκριβωμένης, ὡς καὶ τὴν βίβλον ἣ Ἀσκητικὴ ἐπιγέγραπται Βασιλείου τοῦ μεγάλου, τούτου σύγγραμμα εἶναι διατεθρύλληται τοῖς πολλοῖς. Ἐλέγετο δὲ ὡς τῆς πρὸς λεπτὸν ἀκριβείας χάριν καὶ εἰς ἀτόπους ἐξοκεῖλαι παρατηρήσεις, μὴ τῷ ἐκκλησιαστικῷ κανόνι συμβαλλομένας. Εἰσὶ δὲ οἳ αὐτὸν ἐξαιροῦσι μέμψεως· τῶν τινὰς δὲ αὐτοῦ φοιτητῶν αἰτιῶνται, οἳ δὴ ἀπηγόρευον ἐν συζυγίαις ἐξεταζομένων ἀνδρῶν οἴκοις εὐχὰς πράττειν· εἰ δὲ καὶ πρεσβύτεροι ἦσαν, οὐδὲ λόγου τούτους ἠξίουν. Ἐνήστευον δὲ καὶ τὰς κυριωνύμους τῶν ἡμερῶν· καὶ

CAPUT XVI.

De monachis Ponti, Europæ, et Italiæ, et inibi de Eustathio Sebastiæ episcopo, qui auctor et antesignanus eorum fuit; item de sancto Ephraim.

Apud Armenios vero et Paphlagones, atque in Ponti montibus, monasticam philosophiam colere D primum cœpisse Eustathius fertur, qui Sebastiæ Armeniorum sacris Ecclesiæ rebus præfuit. Tanto autem studio consectatus esse dicitur institutum, vitam, vestitum (quo scilicet utendum esset, et quo non) morumque exactum modum, ut etiam qui Basilio magno ascribitur liber, et Asceticus dicitur, opus istius esse, a multis feratur. Vulgatum porro de eo est, nimis eum exacta cura et diligentia in absurdas quoque impegisse observationes, ecclesiastico canoni minime accommodatas. Sunt tamen qui eum reprehensioni eximunt, et quosdam ex sectatoribus ejus eo nomine incusant. Nam illi precationibus, in domibus virorum qui in matrimonio viverent, etiamsi presbyteri essent, operam dare recusarunt, eosque nec allo-

quio dignati sunt. Diebus quoque Dominicis jejunia servarunt, et conventus ecclesiasticos ut plurimum domi egerunt. Locupletes extorres prorsus regno cœlorum esse duxerunt. Qui vel semel carnes edissent, eos repudiarunt. Vestitum monachorum aliorum consuetum rejicientes, novo atque insolito amictu sunt usi. Sed et alia multa novarunt. Ab iis multæ non obscuro loco natæ feminæ seductæ, sub continentiæ prætextu, maritos suos quibus adolescentulæ nupserant, reliquere. Postea autem cum continere se non possent, in libidinis lubricum sunt conjectæ. Fuere ex eis quæ capillo cæso, quod mulieribus fas non est, virilem habitum sumpsere. Horum gratia ab episcopis finitimis Gangrensis apud Paphlagones synodus coacta est: **710** in qua decretum, ut ab Ecclesia catholica illi excluderentur, nisi ea quæ diximus omnia anathemate confodere animum induxissent. Quapropter Eustathius ut ostenderet, non importuni aut præfracti moris causa, sed pietatis erga Deum exercendæ gratia, se ejusmodi leges tulisse, vestem insolitam mutavit, et habitu eodem quo reliqui sacerdotes deinceps usus, itidem ut illi in publicum est progressus. Et cum vita talis esset, sermonem quoque congruentem ei habuit, non ille quidem eloquentia pollens, quam exactiore cura et diligentia non didicerat, moribus autem admirandis utens, facile multos persuasione sua quo volebat duxit: adeo ut viros quosdam et mulieres in fornicatione degentes castiorem exactioremque vivendi rationem sequi persuaserit. Ferunt sane, virum quemdam et mulierem per prætextum ecclesiastico more cælibatum colere assimulasse, eosdemque in clandestinæ consuetudinis infamiam decidisse. Eustathium porro magnopere persuadere eis annisum esse, ut congressu ejusmodi supersederent. Cum autem nihil efficeret, altius suspirio ducto, dixisse, plerasque mulieres quæ cum viris suis secundum matrimonii leges, ut fas est, vixissent, ab eorum virorum convictu oratione sua adductas descivisse, castitatemque complexas esse: apud hos autem qui inter se contra leges consuessent, inefficacem orationis suæ suadelam esse. Atque hic quidem in eis orbis partibus summi instituti absolutæque philosophiæ dux et auctor fuit. In Europa autem per Thraciam et Illyricum, etiamsi homines monasticam consuetudinem ad id usque tempus ignorarent, non omnino tamen viris Christianæ philosophiæ peritis regiones istæ caruere. Floruit apud hos Martinus ille, qui Sabariam Pannoniæ patriam habens, cum generis tum militiæ splendore adeo clarus fuit, ut honores etiam militares sit meritus, et ordines duxerit. Sed illæ Cæsarianam divinæ militiæ posthabuit. In Illyrico primum philosophatus: atque inde variis persecutionibus et insidiis expetitus, secedere est coactus. Multos namque ex episcopis, qui Arii contagionem conceperant, manifesto deprehensos coarguit. Ac deinde Mediolani solus vixit. Unde Auxentii, ejus urbis episcopi non

A τὰς ἐκκλησίας ἐν οἰκίαις ὡς τὰ πολλὰ ἐποιοῦντο. Ἀμοίρους δὲ τοὺς πλούτῳ βρίθοντας τῆς οὐρανῶν βασιλείας ἐνόμιζον. Ἀπηξίουν δὲ καὶ τοὺς κρέας καθάπαξ ἐσθίοντας. Καὶ τὴν μὲν ἐπιχώριον μοναχοῖς στολὴν παρῃτοῦντο· ξένῃ δὲ καὶ ἀήθει ἐχρῶντο ἀναβολῇ. Πολλὰ δὲ καὶ ἄλλα ἐνεωτέριζον, ὑφ' ὧν πολλὰς τῶν εὖ γεγονότων ἀπατηθείσας γυναῖκας ἀκρατείας προφάσει τοὺς ἄνδρας καταλιπεῖν οὓς ἐκ νέου ἠγάγοντο· ὕστερον μέντοι μὴ δυνηθείσας φυλάττειν, ὀλίσθῳ περιπεσεῖν. Ἦσαν δ' ἐκ τούτων αἳ τὰς τρίχας περιελοῦσαι, μὴ καθὰ γυναιξὶ θέμις, ἀλλ' ὡς ἄνδρες τὰς ἀναβολὰς εἶχον. Δι' οὓς καὶ τὴν ἐν Γάγγρᾳ παρὰ τῶν περιοίκων ἀθροισθῆναι σύνοδον λόγος κατὰ τὴν Παφλαγόνων· καὶ ἀπαλλοτριῶσαι τῆς καθόλου Ἐκκλησίας, εἰ μή γ' ἕκαστον τῶν εἰ-
B ρημένων ἕλοιντο ὑπὸ ἀνάθεμα θεῖναι. Ὁπηνίκα δὴ λόγος καὶ Εὐστάθιον, ἐπιδεικνύμενον ὡς οὐκ αὐθαδείας ἕνεκα, ἀλλὰ τῆς κατὰ Θεὸν ἀσκήσεως χάριν τὰ τοιαῦτα ἐνομοθέτει, τὸ ἄηθες τῆς στολῆς ἀμεῖψαι, καὶ συνήθει ἀναβολῇ, ἣν καὶ τοὺς λοιποὺς ἱερέας ἀμφιέννυσθαι, χρήσασθαι, καὶ τὰς προόδους ἐπίσης ἐκείνοις ἑλέσθαι ποιεῖν. Τοιοῦτος δὲ ὢν τὸν βίον, καὶ τὸν λόγον σύνδρομον εἶχεν· οὐ μέντοι δεινός τις λέγειν πάλιν ἦν, ὅτε γε μηδὲ τὴν τούτου ἐπιστήμην ἠκρίβωτο· ξενίζων δὲ τὸ ἦθος, τῇ πειθοῖ τοὺς πολλοὺς ἦγεν, ὡς καί τινας τῶν τε ἀνδρῶν καὶ γυναικῶν πορνείᾳ συζῶντας πεῖσαι τὸν σώφρονα καὶ ἠκριβωμένον βίον ἀσπάσασθαι. Καὶ δή φασί τινας ἄνδρα τε ὁμοῦ καὶ γυναῖκα, κατ' ἔθος ἐκκλησιαστικὸν παρθενίαν ἀσκεῖν ᾑρημένους, οἳ κρύφα
C εἰς ἓν συνιέναι διαβολὴν ἔσχον, περὶ πολλοῦ ποιῆσαι σχολάσαι τῆς ἐς ταυτὸ συνελεύσεως· μηδαμῶς δὲ δυνηθέντα, μέγα στενάξαντα ἀνειπεῖν, ὡς μὲν κατὰ νόμους ἀνδράσιν ᾗ θέμις ἐστὶ συνοικοῦσαι γυναῖκες, τῆς πρὸς ἄνδρας συνουσίας ἀπέστησαν, τοῖς ἐκείνου λόγοις ἑλόμεναι σωφρονεῖν· οἷς δὲ μὴ κατὰ νόμον συμβαίνει τὴν ὁμιλίαν εἶναι, ἀσθενῆ γε τὴν ἐκείνου τῶν λόγων πειθὼ διελέγχεσθαι. Καὶ οὗτος μὲν ἐν ἐκείνῳ δὴ τῷ κλίματι τῆς εἰς ἄκρον πολιτείας καὶ φιλοσοφίας ἀρχηγὸς κατέστη καὶ ἡγεμών· περὶ δὲ τὴν Εὐρώπην, ἀνά τε Θρᾴκην καὶ Ἰλλυρίδα γῆν, μοναστικῆς μὲν συνοικίας εἰς τόδε ἀπείρατοι ἦσαν· οὐ μὴν παντάπασιν ἀνδρῶν φιλοσοφεῖν εἰδότων ἄμοιροι καθειστήκεισαν. Διέπρεπε δ' ἐν αὐτοῖς
D Μαρτῖνος ἐκεῖνος, ὃς Σαβωρίαν τῆς Παννονίας εἶχε πατρίδα. Διάσημος μὲν τὸ γένος, λαμπρὸς δὲ περὶ ὅπλα καὶ στρατείαν ἐγένετο, ὡς καὶ τῶν ἐν τούτοις γερῶν μετασχεῖν. Ἀντὶ δὲ Καίσαρος τὴν στρατείαν προὐτίθει Θεοῦ. Ἐν Ἰλλυριοῖς δὲ πρῶτα φιλοσοφῶν ἦν. Ἐξηλάθη δ' ἐκεῖθεν, διαφόρως τυπτηθείς τε καὶ ἐπιβουλευθείς, πολλοὺς τῶν ἐπισκόπων φωράσας τὴν Ἀρείου λύμην εἰσδεδεγμένους. Ἧκων δ' εἰς Μεδιόλανα, διῆγε καθ' ἑαυτόν. Αὐξεντίου δὲ τοῦ τῆς πόλεως ἐπισκόπου τὴν ἐπιβουλὴν δείσας, οὐχ ὑγιῶς τοῖς κατὰ Νίκαιαν δεδογμένοις ἔχοντος, ἀνεχώρει αὖθις, καὶ εἴς τινα νῆσον μετῴκει, ἣ ἐγχωρίως ἐλέγετο Γαληναρία. Ῥίζαι δὲ μόναι βοτανῶν ἦσαν αὐτῷ ἡ τροφή. Ἡ δὲ νῆσος πάνυ σμικρὰ καὶ ἄοικος, πρὸς τὸ Τυῤῥηνικὸν πέλαγος ἀποβλέπουσα. Ἐξ ἧς

ληφθεὶς, τῆς ἐν Ταραχηναῖς ἐκκλησίας τὴν ἐπιτρο- A πὴν ἔσχεν. Ἐπὶ τόσον δὲ τοῖς θείοις ἐναγλαϊσθῆναι δώροις, ὡς καὶ νεκροῖς παρέχειν τὸ ζῆν. Τέρατα δὲ καὶ σημεῖα πλεῖστα ἐπιτελέσαι, οὐ παρὰ πολὺ τῶν ἀποστολικῶν ἀποδέοντα. Κατὰ δὴ τὸν αὐτὸν καὶ χρόνον καὶ τόπον συνακμάσαι καὶ Ἱλάριον λόγος ἐκεῖνον, θεῖόν τινα ἄνδρα, ὃς ὁπηνίκα φεύγοι Μαρτῖνος, τῶν ἴσων καὶ αὐτὸς ἐκοινώνει κακῶν, ἅτε δὴ ὑπὲρ τῆς πίστεως τοῦ ἴσου ζήλου μετέχων. Τῆς Ποικτάβων δ' ἐκκλησίας καὶ οὗτος ἡγήσατο. Παρ' Ἰταλοῖς δὲ καὶ τοῖς ἐπέκεινα τόποις Εὐσέβιος καὶ Λουκίφερ διέπρεπον ἐπ' ἀρετῇ πατρίων λόγων, μηδενὶ τὸν ἴσον τόπον ἐῶντες. Ἱλάριος δὲ καὶ περὶ πίστεως καὶ κατά τινας ἀλλότρια τοῦ ὑγιοῦς δοξάζοντας δόγματος λόγους πολὺ τὸ ἐπαγωγὸν προβεβλημένους ἐξέδοτο. B Ὁ δ' Εὐσέβιος καὶ τῆς ἐκκλησίας Βρεκέλλων προέστη. Λουκίφερ δὲ, ὡς μικρὸν ἔμπροσθεν ἐροῦμεν, καὶ ἐπωνύμου αὐτῷ προέστη αἱρέσεως. Ἐπὶ δὴ τούτοις καὶ Φλαυϊανὸς καὶ Παυλῖνος, οἳ μετὰ ταῦτα τὸν τῆς Ἀντιοχείας θρόνον ἦσαν διανειμάμενοι· οὓς δὴ καὶ Λεόντιος, ὡς μὴ ὁμοδοξοῦντας ἐκείνῳ, καθεῖλεν. Οὗτοι δ' ἦσαν οἳ Εὐσταθίῳ τὴν μεθόριον ἀπαγομένῳ συνείποντο. Ὃς τῶν ἱερῶν τῆς Ἀντιοχείας φροντίδων, μᾶλλον δὲ ὅλης τῆς εὐσεβείας, οὐδὲν ἠνέσχετο τοῖς καιροῖς ἐκείνοις συγκαπηλεύσασθαι. Τῷ δ' αὐτῷ χρόνῳ καὶ Ἐφραὶμ ὁ Σύρος πολλῷ πάντας παρελαύνων τῷ μέσῳ ἀνεγνωρίζετο· ὃς Νίσιβιν μὲν εἶχε πατρίδα· τὴν κατὰ μοναχοὺς δ' ἀσκηθεὶς φιλοσοφίαν, ἐξαπίνης κατὰ τὴν Σύρων φωνὴν τοσοῦτον ἐπέδωκε, καὶ C ταῦτα μήτε προδιδαχθεὶς, μήτ' ἔκ τινων συμβόλων ὑπόσχεσιν δοὺς τοιοῦτος φανεῖσθαι, ὡς τῇ μὲν ἀσκήσει ἐς ἄκρον ἱκέσθαι τῆς θεωρίας, τῷ δὲ λαμπρῷ καὶ προχείρῳ καὶ ἡδεῖ τοῦ λόγου καὶ τῷ τῶν νοημάτων πυκνῷ τε καὶ σώφρονι καὶ τοὺς πάλαι ποτὲ παρ' Ἕλλησιν εὐδοκιμηκότας ὑπερβαλέσθαι. Καὶ γάρ πως ἐκείνων εἴ τις εἰς Σύρων τυχὸν ἢ γλῶσσαν ἑτέραν μεταβάλλειν αἱροῖτο τὰς συγγραφὰς, καὶ τὴν ἐπανθοῦσαν χάριν τῶν Ἑλληνικῶν καρυκευμάτων ἀφέλοιτο, καὶ τὴν ἐπιχρώζουσαν τερθρείαν καὶ γοητείαν τῶν λέξεων, αὐτίκα πρόδηλον τὸ τῶν νοημάτων οὐκ εὐγενὲς, τῆς κομμωτικῆς εὐθὺς χάριτος ἀποῤῥεούσης. Τοῖς γε μὴν λόγοις Ἐφραὶμ ἄλλως ἔχει· καὶ γὰρ ἕως οὗ περιῆν καὶ D ἐξῆς, εἰς τὴν Ἑλληνίδα γλῶτταν τῶν ἐκείνου λόγων ἀλλοιουμένων, οὐ πάνυ πόῤῥω τῆς ἐνοικουρούσης ἀφίστανται ἀρετῆς. Θαῦμα δ' ἐστὶ τοῖς ἀκούουσι, καὶ Ἕλλην καὶ Σύρος ἀναγινωσκόμενος· διά τοι καὶ ὁ πολὺς ἐν λόγῳ καὶ ἀρετῇ Βασίλειος, ὁ τὴν Καππαδοκῶν κατακοσμήσας μητρόπολιν, ὑπερφυῶς τὸν ἄνδρα ἐθαύμασε, καὶ τῆς παιδείας μακάριον ἡγηται. Ὡς δῆλον εἶναι τῇ ἐκείνου ἀκριβεῖ μαρτυρίᾳ, καὶ κοινῇ παρὰ τῶν ἐν λόγοις θαυμαζομένων Ἑλλήνων τηνικάδε, πάντων ἐλλογιμώτερον τὸν

A recte de Nicænis decretis sentientis, insidias veritus, discessit: et se in insulam quamdam, 711 quæ vernaculo nomine Galinaria (1) dicebatur, abdidit. In hac alimento radicum herbarum vixit. Insula autem ipsa exigua admodum est, et ædificiis carens, Tyrrhenum respiciens mare. Atque inde abductus, administrationem ecclesiæ Taracenensis vel potius Turonensis suscepit. In tantum vero divinis resplenduit donis, ut et mortuos in vitam restituerit, prodigiaque et miracula plurima, quæ non multum ab apostolicis abessent signis, ediderit. Eodem et tempore et loco simul quoque Hilarius ille viguit, vir divinus, qui cum Martinus profugeret, eamdem sustinuit fortunam: quippe qui eodem cum illo ardore in fidem ferretur. Hic B Pictaviensem gubernavit Ecclesiam (2), atque de fide, et adversus quosdam qui alienas a sana doctrina afferrent opiniones, libros ad persuadendum valde appositos, condidit. Apud Italos sane et in locis ulterioribus enituere Eusebius et Lucifer, patriæ eloquentiæ vi alios omnes antecellentes. Eusebius etiam ecclesiæ Vercellensi præfuit: Lucifer vero, sicuti paulo post dicemus, nominis sui hæresi præiit (3). Præterea Flavianus et Paulinus clari tum fuere, qui postea Antiochenæ ecclesiæ res administravere: quibus etiam Leontius, quod sententiis ab eo discordarent, episcopatum abrogavit. Ii sunt, qui Eustathio in exsilium deportato comites fuere; qui sane nihil prorsus temC poribus illis, de sacris Antiochenæ Ecclesiæ curis ac potius de tota sinceriore pietate vitiari sustinuit. Eadem hac ætate et Ephraim Syrus præclarus fuit, qui quidem longo intervallo omnes præcessit. Hic Nisibim patriam habuit, et in monachorum philosophia exercitatus, brevi tantum in lingua Syrorum, cum quidem eam prius ab aliis non didicisset neque specimen aliquod aut spem, talem eum fore, præbuisset, profecit, ut cum pietatis exercitio ad summum contemplationis pervenerit, tum splendore, facilitate et suavitate verborum, necnon densitate et gravitate sententiarum, etiam præclarissimos quosque Græcorum, qui eloquentia antiquitus excelluissent, superaverit. Etenim si quis illorum Græca scripta in Syrorum forte aut alioD rum peregrinam linguam transferret, et florentem illam Græcorum ornamentorum gratiam, decentemque nitorem et succum verborum detraheret, 712 illico quoque ascititiis coloribus deficientibus, sententiarum obscuritas sese prodebat. At Ephraim longe alia erat oratio. Nam cum eo adhuc superstite, atque etiam defuncto, postea libri ejus in Græcam linguam converterentur, non longe admodum a propria et nativa decedebant virtute. Mirum quidem auditu est, eumdem et

(1) In mari Tusco contra montes Lygusticos sita.

(2) Divus Hilarius conjux fuit:

Non nocuit tibi progenies, non obstitit uxor,
Legitimo conjuncta thoro, non horruit illa
Tempestate Deus thalamos, cunabula, tædas.
Sola erat in pretio, quæ nunc incognita virtus
Sordet, et attrito vivit cum plebe cucullo.
(Bapt. Mantuanus.)

(3) Quæ et Homonymianorum dicta.

Græce et Syriace legi. Quam ob causam magnus illé et oratione et virtute Basilius, qui Cappadocum metropolim episcopatu suo exornavit, summopere virum est admiratus, eumdemque eruditionis nomine beatum censuit. Ut tanti viri tam certo testimonio manifestum sit, communiter quoque a Græcis, qui tum clarum in eloquentia obtinuere nomen, præstantissimum omnium Ephraim judicatum esse. Vox sane Basilii talis non temere prolata esse existimanda est. Dicitur autem divinus Ephraim trecentas versuum myriades conscripsisse. Multi quoque ei fuere discipuli, qui institutionem et philosophiam ejus sunt æmulati: in quibus celebriores sunt Abbas, Zenobius, Abraham, Maran, et Symeon, apud Syros ingenti gloria viri: et alii quibuscum præterea hunc vitæ modum illi communicavere. In locis vero eisdem, facundia maxime præstantes, Paulonas et Anarad exstitere: qui deinde lapsi, sana excidere fidei doctrina. Alii insuper apud Osroenos fuere, eodem præclari modo, Bardesanes, et filius ejus Harmonius. Et pater quidem nominis sui hæresim instituit: filius autem Græcis disciplinis satis eruditus, patris vocibus legitimis modis musicisque numeris inclusis ordine circulari in choro eas cani instituit, quos ex eo tempore hucusque Syri psallentes usurpant: non illi quidem carminibus ipsis sicuti ab illo sunt prodita, sed sonis tantum eorum utentes. Nam ille ad paternam delapsus hæresim, eademque cum Græcis de animæ generatione et corporis interitu, necnon de futura regeneratione opinatus, lyricis modulis doctrinas ejusmodi aspersit. Quibus multi ex Syris propter verborum venustatem et sonorum numeros demulsi, paulatim opinionibus talibus recipiendis sunt assuefacti. Cæterum divus Ephraim ea re cognita, quamvis Græcarum artium expers, Harmonii numeros moderatus est: atque ejusdem modulis, carminibus ecclesiasticæ sententiæ consonis, adjectis, Syris ad hoc usque tempus ea canenda dedit. **713** Nam divinos hymnos plurimos, quibus Deum in primis celebrat, et laudes præterea virorum qui instituto Deo placuere canit, ad Harmonii carminum leges composuit: a quibus, ut equidem puto, per æmulationis ardorem, posteriores ecclesiæ cantores modulorum formulas mutuati, magis etiam atque magis augere atque propagare eas sunt aggressi. Qualis igitur is sermone fuerit, vel ex hoc ipso conjicere licet. Vita vero ei valde exacta, et bonis operibus spectata fuit. Quietem etiam multo studio est sectatus. Et propter morum castitatem tantopere calumnias devitavit, ut fere a conspectu mulieris prorsus abhorruerit. Fertur sane, cum mulier quædam nulla prorsus vitæ disciplina, et pudore nullo, in angusto admodum loco ei obvia facta, sive consulto veluti virum tentatura, seu ab aliis ut hoc faceret mercede conducta, oculos sine intermissione in eum conjiceret, increpans in terram eam prospicere jussisse, illamque respondisse. Sed

A Ἐφραὶμ κριθῆναι, μηδὲ γὰρ ἂν ὡς ἔτυχε τὴν Βασιλείου φωνὴν λογίζεσθαι. Λόγος γε μὴν τὸν θεῖον Ἐφραὶμ τριακοσίας μυριάδας ἐπῶν συγγράψαι. Πολλοὶ δὲ καὶ φοιτῶντες ἦσαν αὐτῷ κατὰ ζῆλον παιδεύσεως καὶ φιλοσοφίας· ὧν ἐπίσημοι τούτῳ γεγόνασιν Ἀββᾶς καὶ Ζηνόβιος, Ἀβραάμ τε καὶ Μαρὰν καὶ Συμεὼν, Σύροις μέγα κλέος ὄντες, καὶ ὅσοι ἐπ' ἀκριβὲς τῆς ἐκείνων μετέσχον παιδεύσεως· ἐν ἴσοις δὲ τόποις αὐτοῖς, καὶ ἐπὶ εὐγλωττίᾳ μάλιστα, Παυλωνᾶς τε καὶ Ἀναρὰδ, οὓς ὀλισθῆσαι λόγος ἐς ὕστερον καὶ τῆς ὑγιοῦς πίστεως ἐκτραπῆναι. Καὶ ἄλλοι δ' ἐν Ὀσροηνοῖς ἐγένοντο, τὸν ἴσον τρόπον ἐλλόγιμοι· Βαρδησάνης τε καὶ ὁ παῖς Ἁρμόνιος, ὧν ὁ μὲν τὴν ἐπώνυμον συνεστήσατο αἵρεσιν· ὁ δὲ παῖς ἀποχρώντως διὰ τῶν Ἑλληνικῶν B λόγων ἀχθεὶς, μέτροις νόμων καὶ μουσικοῖς ῥυθμοῖς τὰς πατρίους ὑπῆγε φωνὰς, καὶ κατὰ κύκλον ᾄδειν χοροῦ παρεδίδου, ὅσα καὶ νῦν ἐξ ἐκείνου Σύροι ἔχοντες ψάλλουσι· πλὴν οὐκ αὐτὰ ἐκεῖνα ὥσπερ ἐκεῖνος ἐξέθετο, μόνοις δὲ τοῖς μέλεσι χρώμενοι. Τῆς γὰρ πατρικῆς αἱρέσεως μετασχὼν, καὶ ἐπίσης Ἕλλησι περὶ γενέσεως ψυχῆς καὶ φθορᾶς σώματος, καὶ τῆς ἐσομένης παλιγγενεσίας δοξάζων, τοῖς ὑπὸ λύραν μέλεσι τὰς τοιαύτας δόξας ὑπέσπειρεν· οἷς οἱ πολλοὶ τῶν Σύρων κατακηλούμενοι, ἠρέμα πως προσεθίζοντο τὰς τοιαύτας δόξας προσίεσθαι ὑπὸ τοῦ κάλλους τῶν ὀνομάτων καὶ τοῦ τῆς μελῳδίας ῥυθμοῦ. Ὁ τοίνυν θεῖος Ἐφραὶμ τοῦτο συνεγνωκὼς, καίπερ Ἑλληνικῆς παιδείας ἄμοιρος ὢν, τοῖς C μέτροις Ἁρμονίου ἐπιστατήσας, καὶ τοῖς ἐκείνου μέλεσι συμφώνους ᾠδὰς τοῖς ἐκκλησιαστικοῖς δόγμασι παραθέμενος, ἐς δεῦρο Σύροις παρέδωκε ψάλλειν. Θείους γὰρ ὕμνους πλείστους ἐπόνησε, Θεῷ τὸν αἶνον ἀνατιθείς· καὶ ἐγκώμια ἀνδρῶν ἀγωγῇ βίου εὐαρεστησάντων Θεῷ, κατὰ νόμον τῆς Ἁρμονίου ᾠδῆς· ἀφ' ὧν πρὸς ζῆλον οἶμαι καὶ οἱ μετέπειτα τῆς Ἐκκλησίας μελοποιοὶ τὰς ἀφορμὰς τῶν μελῶν πορισάμενοι, ἐπὶ μᾶλλον αὐξῆσαι ταῦτα καὶ ἐπιδοῦναι παρεσκευάσαντο. Ὁποῖος μὲν οὖν τὸν λόγον καὶ ἐκ τούτου συνάγειν ἔστιν· ὁ δὲ βίος αὐτοῦ λίαν ἠκριβωμένος, ταῖς ἀγαθαῖς τῶν πράξεων καλλυνόμενος. Πολὺς δ' ἐπάγαν ἦν αὐτῷ καὶ τῆς ἡσυχίας ὁ ἔρως. Σεμνὸς δ' οὐχ ἧττον ὢν, ἐς τοσοῦτον τὰς διαβολὰς ηὐλαβεῖτο, ὡς σχεδὸν καὶ πᾶ- D σαν ὄψιν ἐκτρέπεσθαι γυναικός. Φέρεται οὖν, ὡς γυνὴ παντάπασι τοῦ βίου ἀνάγωγος, καὶ αἰσχύνης ὡς ποῤῥωτάτω, ἐπί τινι στενωπῷ τῷ Ἐφραὶμ ἀπαντήσασα, ἢ τοῦτο προθεμένη, ἅτε δὴ τοῦ ἀνδρὸς πειρῶσα, ἢ μισθοῦ ἄλλοις τοῦτο πράττουσα, ἀτενὲς εἰσβάλλειν τὰς ὄψεις αὐτῷ. Τὸν δ' ἐπιτιμήσαντα, εἰς γῆν ὁρᾷν κελεῦσαι. Ἡ δ', Ἀλλὰ πῶς, ἔφη, εἰς γῆν ἐγὼ βλέψω; πολλῷ γάρ σε δικαιότερον ταύτην ὁρᾷν, πρόσλημμα ταύτης ὄντα, ἢ ἐμέ. Ἐμοὶ δ' ἐκ σοῦ τὴν γένεσιν ἐσχηκυίᾳ, καὶ πρός σε βλέπειν εὔλογον. Ἐκεῖνον δὲ ἀγάμενον τὸ ῥηθὲν, γραφῆς ἀξιῶσαι· ὃ καὶ Σύροι ὡς ἕν τι τῶν ἐκείνου σπουδαίων λογίζονται. Ὀργῇ δὲ τὰ πρῶτα ἡττώμενος, ἐξ οὗ φιλοσοφεῖν ἤρξατο, μηδαμῶς θεαθῆναι θυμῷ κινούμενος. Καὶ δή ποτ' ἐπὶ πολλαῖς ἡμέραις, εἰωθὸς

δὸν, νηστεύων, ἐπεὶ ὁ διακονούμενος τῷ καιρῷ τὸ ὄψον προσέφερε, τὴν χύτραν ἔκλασε. Τὸν δ' ἰδόντα αἰδοῖ καὶ δέει συνεσχημένον, Θάρσει, ἔλεγε. Κἂν γὰρ τὸ ὄψον πρὸς ἡμᾶς ἐλθεῖν ἀπηξίωσεν, ἀλλ' ἡμεῖς πρὸς ἐκεῖνο γενοίμεθα. Καὶ περὶ τὰ τῆς χύτρας καθεσθεὶς, ἔφαγεν. Ἀλλ' ὅπως καὶ τῆς κενῆς δόξης οὐχ ἥττητο, ἐντεῦθεν φανήσεται. Ἐπίσκοπος μιᾶς τῶν πόλεων ἐψηφίζετο. Ἐπεὶ δ' ἧκον οἱ πρὸς τὸ χειροτονεῖν συλληψόμενοι, ἐκεῖνος αὐτίκα γνοὺς, ἀνὰ τὴν ἀγορὰν ἰὼν, οἷά τις παραπαίων ἀσέμνως διῄει, αἰσχύνων τὴν ἐσθῆτα τῷ σύρεσθαι, παραρπάζων τε τῶν ὠνίων, παῤῥησίᾳ ἤσθιε. Πόῤῥω δ' εἶναι δόξας φρενῶν, διέδρα τὴν σύλληψιν, καὶ ἕως οὗ ἕτερος τὴν ἱερωσύνην ἐδέξατο κρυπτόμενος διεδίδρασκεν. Πολλὰ δὲ καὶ ἄλλα πλεῖστα καὶ λόγου ἄξια B ἥ τε περὶ αὐτὸν συγγραφὴ, καὶ οἱ ἐπιχώριοι καὶ Ῥωμαίων καὶ Σύρων ἱστοροῦσι περὶ αὐτοῦ, ἃ τοῖς βουλομένοις πρόκειται ἐντυχεῖν. Ἐγὼ δὲ, ὃ καὶ ἄξιον μνήμης εἶναι λογίζομαι, τῇ συγγραφῇ παραδώσω, ὃ δὴ αὐτῷ πρὸς τῇ τελευτῇ γενομένῳ κατώρθωτο. Σφοδρὸς λιμὸς ἐπόνει τὴν Ἐδεσσηνῶν πόλιν· ὁ δ' ἐν πολλοῖς ἔτεσι τῆς οἰκίας μὴ προελθὼν, τότε τὸ φιλοσοφεῖν ἐν δευτέρῳ θέμενος, προϊὼν πολὺς ἦν ἐγκείμενος τοῖς περιουσίαν ἔχουσιν, ἅτε δὴ φθειρόμενον τὸ ὁμόφυλον εἰς οὐδὲν δέον περιορῶσι σπάνει τῶν ἀναγκαίων, διήλεγχέ τε ὡς ἐν δευτέρῳ τιθεμένους τὰς σφῶν ψυχὰς, τὸ δὲ σύμπαν τοῖς σωματικοῖς ἀναλίσκοντας. Οἱ δὲ τὸ φιλόσοφον αἰδούμενοι καὶ ἀπέριττον τοῦ ἀνδρὸς, μὴ τοῦτ' εἶναι σφοδρῶς διετείνοντο· πρόχειρον γὰρ εἶναι τὰς οὐ- C σίας νέμειν τοῖς ἐνδεέσιν· ἐν ἀπορίᾳ δ' εἶναι ὡς χρεὼν τοῦ τὰ τοιαῦτα διακονησαμένου· πάντες γὰρ, ἔλεγον, πρὸς κέρδος κεχηνότες εἰσὶ, τὰ τοιαῦτα αἰσχρῶς καπηλεύοντες. Ὁ δ' Ἐφραὶμ, Ἐγὼ δὲ ποῖος ἄρα ὑμῖν εἶναι δοκῶ; Τῶν δ' εἰπόντων, Καλός τε καὶ ἀγαθὸς, καὶ τοιοῦτος ὁποῖον ἁρμόζειν τῇ περὶ αὐτοῦ δόξῃ· Οὐκοῦν, ἔφη, ὑμῖν ἐγὼ ἕτοιμος πᾶσι τοῖς τοιούτοις διακονεῖν; Καὶ δὴ ἀποχρῶν ἀργύριον ἐξ ἐκείνων λαβὼν, τριακοσίας κλίνας ἐπρίατο· καὶ ἐν τοῖς δημοσίοις ἐμβόλοις τοὺς τοῦ λιμοῦ τραυματίας λαβὼν, πᾶσαν θεραπείαν προσῆγε· ξένους δ' ἐπὶ τούτοις καὶ ἄλλως ἐνδείᾳ πιεζομένους δεξιῶς ἐπεμέλετο. Καὶ τοῦτ' ἔπραττεν ἕως καὶ τῷ λιμῷ ἐμφιλοχωρεῖν ἦν. Ἐπεὶ δ' ἐκεῖνος ἔληγεν, εἰς τὸ τῆς φιλοσοφίας ἐργαστήριον ἐπανῆλ- D θεν· ἔνθα ὀλίγας ἡμέρας ἐπιβιοὺς ἐτελεύτα, κληρικοῦ διακονίας ἐν τῇ ἐκκλησίᾳ ἀξιωθείς. Ἐν δὲ τῇ κατὰ μοναχοὺς ἀγωγῇ διαβόητος γεγονὼς, ἐπίσης τῶν ἐν ἱερωσύνῃ καὶ παιδεύσει, ἀγαθοῦ τε βίου διατεθρύλληται. Ταῦτ' ὀλίγα ἐκ πολλῶν τῶν τῷ Ἐφραὶμ κατωρθωμένων ἐῤῥήθη. Πάντα γὰρ τὰ ἐκείνου πρὸς ἀξίαν διελθεῖν, οὐ μὴν δὲ ἀλλὰ καὶ τῶν ἄλλων τῶν τηνικάδε φιλοσοφησάντων, ὅπως τε ἰδίῳ καὶ οἵᾳ πολιτείᾳ ἐχρήσατο ἕκαστος, δεήσει συγγραφέως οἷος ἦν αὐτός· ἡμῖν δὲ παντάπασιν ἐν ἀμηχάνῳ ἐστὶ τῷ ἀνισχύρῳ τῶν λόγων, καὶ τῇ ἀγνοίᾳ τῶν ἀκριβῶς ἐκείνοις πεπραγμένων. Καὶ γὰρ ἐν ἐρημίαις ὄντες, τὰ πλεῖστα ἐλάνθανον οἱ πολλοί. Εἰ δέ τινες καὶ ἐν πόλεσι τὰς διατριβὰς

A quomodo tandem terram ego intuear, cum æquius sit te eam respicere, qui ex ea conditus sis, quam me ortum ex te habentem, proindeque recte te respectantem? Quod mulieris verbum ille admiratus, deinde scripto mandavit. Atque id Syri in primis memoratu dignum ex illius rebus esse censent. Et primum quidem is sæpe ira victus est; posteaquam autem monasticæ philosophiæ incumbere cœpit, nunquam commotus esse visus est. Atque aliquando, cum dies multos pro consuetudine sua, jejunio transegisset, et minister tempore cibum ei afferret, accidit ut is ollam frangeret. Ephraim vero pudore juxta et timore correptum illum videns: Bono, inquit, esto animo. Quandoquidem enim obsonium ad nos venire renuit, nos B age ad id accedamus: et ad ollæ fragmenta consedens comedit. Enimvero ut vana etiam gloria superior fuerit, inde liquido patebit. Designabatur urbi cuidam episcopus, et jam qui se ad ordinationem abducturi erant, adveniebant. Ac ipse statim eo cognito, in forum progressus, veluti mente captus indecore gradiebatur, non satis honeste vestem post se trahens, et quæ venalia erant surripiens, propalamque comedens. Sic ille mentis impos existimatus, comprehensionem effugit. Et tantisper dum alius episcopatum reciperet, occultans sese latuit. Plurima sane et alia memoratu digna, et qui de eo conscriptus est liber, et provinciales ejus, Romani simul et Syri, de eo refe- C runt, quæ cuivis cognoscere est proclive. **714** Unum illud sane quam memorabile, historiæ huic inserere visum est, quod ab eo paulo ante mortem est gestum. Fames ingens Edessenorum urbem premebat: atque ipse, qui multos annos non fuerat domo progressus, tum philosophandi studio aliquantum intermisso, prodiit: et in homines locupletes, qui sic turpiter rerum necessariarum inopia, cives suos pereuntes despicerent, acriter est invectus, arguens eos, quod animarum cura neglecta, studium omne in corpore fovendo collocarent. Illi autem integritatem et paupertatem viri observanter veriti, minime id sic esse affirmarunt; facile enim et promptum eis esse, indigentibus facultates distribuere: deesse saltem, qui in eo D ministerio, pro eo atque deceret, fidelem se præberet, omnesque lucro inhiare, et talia fœde in quæstum suum vertere, dixere. Tum Ephraim: Ego vero, inquit, qualis vobis esse videor? Et illi: Honestus atque bonus, respondere: et talis prorsus, qui opinioni quæ de eo fertur, vita ipsa respondeat. Itaque, ille ait, paratus sum in ejusmodi omnibus negotiis inservire. Et multo ab eis sumpto argento trecentos paravit lectos: et in publicis porticibus eos qui fame confecti erant, acceptos, diligenter et benigne fovit: advenas quoque, et alios qui inopia affligerentur, humaniter curavit. Idque tantisper fecit, dum fames ibi est grassata. Ea vero depulsa, ipse ad philosophiæ suæ officinam reversus, ibi paucos post dies vita est defunctus.

In Ecclesia clerici ministerium sumpsit. Vita autem monastica percelebris, ex æquo cum iis qui episcopatu, doctrina, et vitæ sanctitate clari sunt, laudatur. Hæc pauca ex multis, quæ ab Ephraim recte pieque facta sunt, diximus. Res namque ejus omnes si pro dignitate earum exponere nos oporteret, aut etiam aliorum qui tum in eodem philosophandi genere elaborarunt, quomodo scilicet eorum quisque vixerit, et quali morum instituto usus sit, qualis ipse fuit, scriptore esset opus. A nobis certe quidem id præstari omnino non potest, cum propter orationis et styli tenuitatem, tum quod res eorum rectissime gestas ignoramus. Nam illorum multi in solis degentes locis, ut plurimum latuere. Quod si nonnulli in urbibus domicilia sua habuere, quod viles esse apparerent, et nihil ab aliis differre viderentur, consulto actiones suas celarunt. **715** Nam humana laude repudiata, soloque Deo actorum suorum teste advocato, minime ab hominibus gloriam sunt aucupati. Atque equidem de viris qui imperii ejus tempore monasticam philosophiam sunt sectati, et secundum Ecclesiæ leges perfecte et exacte in plerisque Romani imperii locis tum vitam exegere, hæc mihi comperta sunt.

ἐποιοῦντο, ἀλλά γε τῷ τοῦ φαινομένου εὐτελεῖ, καὶ τῷ μηδὲν διαφέρειν τῶν πολλῶν δοκεῖν, κλέπτοντες ἦσαν τὴν ἐργασίαν, τὸν ἐξ ἀνθρώπων ἔπαινον διωθούμενοι. Τὸν γὰρ Θεὸν μόνον μάρτυρα τῶν πεπραγμένων ποιούμενοι, ἥκιστα τῆς ἀνθρωπίνης δόξης ἀντεποιοῦντο. Περὶ μὲν οὖν ἀνδρῶν οἳ ἐπὶ τῆς παρούσης ἡγεμονίας φιλοσοφοῦντες ἦσαν, καὶ κατὰ νόμους Ἐκκλησίας ἠκριβωμένως ἀνὰ πᾶν τὸ ὑπήκοον ἐπολιτεύοντο, τάδε ἔγνων.

CAPUT XVII.

De Didymo; item de Aetio et Apollinari, hæreticis.

Temporibus autem eis clarus etiam fuit ecclesiasticus scriptor Didymus, scholæ sacrarum disciplinarum Alexandriæ præfectus. Neque vero laudem in ea eruditione tantum meritus fuerat, verum etiam omne genus alterius sapientiæ summo excoluerat studio. Poeticam namque et oratoriam perfectissime didicerat; de astronomia autem et geometria, numerorumque proportionibus et convenientiis nihil eum latebat. In diversas philosophorum opiniones tanta incubuerat, ut eas exacte perdisceret, cura, ut præterea aliud nihil scire videretur: quæ sane omnia acumine mentis et auditionis perceperat. In pueritia namque visum prorsus amisit, cum elementa prima discenda ei essent. Ephebus vero artium liberalium eruditionem adamavit, atque in scholis præceptores audiebat tantum. Eo vero sapientiæ brevi pervenit amplitudine et celeritate ingenii, ut mathematicarum artium obscura, et theorematum speculationumque arcana exactissime addidicerit. Et cum cæcus esset, litterarum notitiam manuum contrectatione assecutus esse dicitur: nam earum formas in tabula altius exsculptas, sæpius tangendo cognovit. Alia porro, ut syllabas, litterarumque connexiones, et quæ ordine consequuntur cætera, propter naturæ acumen, animo et auditu pervestigata percepit. Præcipuumque ipse miraculum fuit, cum audiretur et conspiceretur. Multi quidem vel ut virum eum tantum viderent, vel ut suavem gratamque ejus orationem audirent, Alexandriam venere. Pro Nicænis vero decretis pugnans, Arianis restitit, eosque orationis suæ suadela, **716** quam vi nulla adhibere videbatur, pressit. Et ad eos qui secum disputabant, verba faciens, rerum controversarum judicium detulit. Et cum ad morem gerendum et cedendum facilis, tum orthodoxis eo nomine charus maxime fuit. Nec ab his tantum, sed etiam a monachis Ægyptiis magno honore cultus est. Præ-

ΚΕΦΑΛ. ΙΖ'.

Περὶ Διδύμου, Ἀετίου καὶ Ἀπολλιναρίου τῶν αἱρετικῶν.

Καιροῖς δ' ἐκείνοις καὶ ὁ ἐκκλησιαστικὸς συγγραφεὺς Δίδυμος ἐγνωρίζετο, τῆς ἐν Ἀλεξανδρείᾳ διατριβῆς προϊστάμενος τῶν ἱερῶν μαθημάτων. Ἦν δὲ οὐ μόνον ἐν τούτῳ τὸ δόκιμος εἶναι κτησάμενος, ἀλλὰ καὶ τῆς ἄλλης παντοδαπῆς σοφίας ἐπ' ἀκριβὲς ἔχων. Τούς τε γὰρ ποιητὰς καὶ ῥήτορας εἰς ἄκρον ἤσκητο· ἀστρονομίας δὲ καὶ γεωμετρίας καὶ ἀριθμῶν ἀναλογίας οὐδὲν ἐκείνῳ παρεῖτο λαθόν. Ἐπὶ τόσον δὲ τὰς διαφόρους δόξας τῶν φιλοσόφων ἠκρίβωσεν, ὡς ἄλλο μηδὲν εἰδέναι δοκεῖν· ἃ δὴ πάντα νῷ τε καὶ ἀκοῇ προσεκτήσατο. Νήπιος γὰρ πάμπαν τυφλὸς γενόμενος, εἰς πεῖραν μόνην τῶν στοιχείων ἐλθεῖν. Εἰς ἐφήβους δὲ παρελάσας, τῆς τῶν λόγων ἐρασθῆναι παιδείας. Καὶ δὴ τοῖς διδασκαλείοις φοιτῶν, ἠκροᾶτο μόνον. Εἰς τόσον δ' ἧκε σοφίας δι' ὀλίγου, μεγέθει καὶ τάχει φύσεως, ὡς καὶ τὰ τῶν μαθημάτων σκολιὰ, καὶ ἀπόῤῥητα τῶν θεωρημάτων, εἰς ἄκρον μαθεῖν. Τυφλὸν δ' ὄντα λέγεται μαθεῖν τὰ γράμματα τῇ ἀφῇ τῆς χειρός. Τοὺς γὰρ τῶν γραμμάτων τύπους, σανίδι εἰς βάθος ἐνσημανθέντας, ἐπαφώμενον γνῶναι· τὰ δ' ἄλλα, συλλαβὰς καὶ μίξεις καὶ τὰ ἑξῆς, διανοίας ὀξύτητι τῷ νῷ θηράσαι καὶ ἀκοῇ. Θαῦμα δ' ἦν ἐξαίσιον καὶ ἀκουόμενος καὶ ὁρώμενος. Πολλοὶ μὲν οὖν καὶ εἰς Ἀλεξάνδρειαν ἧκον, οἱ μὲν κατὰ θέαν μόνην τἀνδρὸς, οἱ δὲ καὶ τῆς ἐνούσης τοῖς λόγοις χάριτος ἀκουσόμενοι. Τῆς δ' ἐν Νικαίᾳ δόξης ὑπεριστάμενος, Ἀρειανοῖς ἀντετάσσετο. Ἦγχε δὲ αὐτοὺς τῇ πειθοῖ τῶν λόγων, ἣν οὐ βίᾳ ποιεῖν ἐδόκει. Τοῖς δ' ἀμφιβαλλομένοις προτείνων τοὺς λόγους, τῶν διαμαχομένων τὴν κρίσιν ἐπέτρεπεν. Ὁ δὲ μάλα πειθήνιος ἦν· τοῖς δὲ ὀρθὸν δοξάζουσι διὰ τοῦτο ἐράσμιος μάλιστα. Οὐ τούτοις δὲ μόνοις, ἀλλὰ καὶ τοῖς ἐν Αἰγύπτῳ μοναχοῖς διὰ τιμῆς ἦγετο. Καὶ μᾶλλον ὁ περιβόητος ἐν ἀσκήσει Ἀντώνιος διὰ θαύματος αὐτὸν ἐποιεῖτο· ὅν φασι τὴν Ἀλεξάνδρειαν κατειληφότα, τὸ βέβαιον τῆς Ἀθανασίου πίστεως μαρτυρούμενον, τοιαῦτα τῷ Διδύμῳ εἰπεῖν· Οὐ χρεὼν, ὦ Δίδυμε, λύπαις σαυτὸν ἐκτήκειν, στερού-

μενον ὀφθαλμῶν, οἷς μέτεστι καὶ μυσὶ καὶ σαύραις A καὶ τοῖς ἀφαυροῖς τῶν ζωΰφίων· ἥδεσθαι δὲ μᾶλλον καὶ χαίρειν, οἷς παραπλησίως ἀγγέλοις τοῖς ἔνδον ὁρᾷς ὀφθαλμοῖς, δι' ὧν τρανῶς τὴν ἀκήρατον καὶ θείαν γνῶσιν κατανοεῖς, καὶ τὴν ἀλήθειαν ἀκριβῶς εἰσορᾷς. Βιβλία δὲ οὗτος καταλέλοιπε ταῦτα· Εἰς τὴν τῶν Ψαλμῶν βίβλον ὅλην διάφορα ὑπομνήματα· εἰς τὸν Ὠσηὲ καὶ Ζαχαρίαν, λόγους πέντε· εἰς τὸν Ἡσαΐαν λόγους δεκαοκτώ· εἰς τὸ κατὰ Ματθαῖον καὶ κατὰ Ἰωάννην οὐκ ἐλάχιστα ὑπομνήματα. Ἔτι δὲ καὶ κατὰ Ἀρειανῶν, καὶ ὑπὲρ τοῦ ἁγίου Πνεύματος· καὶ ἕτερα συγγράμματα πλεῖστα. Ἤκμαζε δ' ἐν ἐκείνῳ τοῦ χρόνου καὶ ὁ Σύρος Ἀέτιος, πρὸς τῶν τἀναντία πρεσβευόντων θαυμαστός τις εἶναι δοκῶν, ἔν τε διαλέξει καὶ ἔριδι λόγων, καὶ συλλογισμοῖς, καὶ στροφαῖς λέξεων, ἱκανός τις, καὶ τὴν σπουδὴν ἅπα- B σαν ἀτεχνῶς ἐν τούτοις καταναλίσκων. Διά τοι καὶ ὡς τοιοῦτος ὤν, πρόχειρός τε τὸ προστυχὸν ἐπὶ Θεοῦ κακοσχόλως θεολογεῖν, ἄθεος ἐκαλεῖτο. Πατρὶς δὲ αὐτῷ ἡ Κοίλη Συρία ἦν. Τοῦ δὲ πατρὸς αὐτῷ ἐν στρατείᾳ δυσπραγήσαντος καὶ τὸν βίον λιπόντος τὸν μὲν τηνικάδε ἄρχοντα δημοσιῶσαι τὸν βίον· εἰς ἔσχατον δὲ πενίας σὺν τῇ μητρὶ ἐλάσαντα τὸν Ἀέτιον, ἐπὶ τὸ χρυσοχοεῖν ὁρμῆσαι, ὡς ἂν ἁμωσγέπως τὸ ζῆν πορίζηται. Ἀποχρώντως δὲ τῇ τέχνῃ χρησάμενον διὰ ῥώμην φύσεως, ἐπὶ τὴν λογικὴν στραφῆναι τέχνην· καὶ Παυλίνου μὲν ἀκροάσασθαι, ὃς ἐκ τῆς ἐφορείας Τύρου μετέστη εἰς Ἀντιόχειαν· πέρατι δὲ βίου τῆς μητρὸς χρησαμένης, δι' ἣν αὐτῷ καὶ ἡ ἐπιμορφοῦσα τὸν χρυσὸν τέχνη ἐσπούδαστο, εὐθὺς ὅλος C ἐπὶ τὴν λογικὴν μετετάττετο τέχνην, καὶ τῶν πολλῶν ἐκράτει μετ' ὀλίγου ἁμίλλας ἱστῶν. Ἐπεὶ δ' Εὐλάλιος μετὰ Παυλῖνον εἰς τὸν θρόνον τῆς Ἀντιόχου κατέστη, πολλοῦ στίφους κατ' αὐτοῦ κινουμένου, ἐλαύνεται ὁ Ἀέτιος· καὶ εἰς τὴν τῆς Κιλικίας Ἀναζαρβὸν γενόμενος, τῇ τέχνῃ αὖθις πρὸς τὸ ζῆν ἀπεχρῆτο, οὐδὲ τῆς περὶ λόγους ἁμίλλης ἀφεστηκώς. Σοφιστοῦ δέ τινος τὴν Ἀετίου φύσιν διὰ θαύματος ποιουμένου, καὶ τῆς τέχνης αὐτῷ μεταδοῦναι σπουδάζοντος, εἰσοικισθεὶς αὐτῷ ἐθήτευε, πᾶσαν ὡς χρεὼν οἰκετικὴν ἀποπληρῶν λειτουργίαν. Καὶ ὁ μὲν τὴν γραμματικὴν αὐτῷ παρεδίδου· Ἀέτιος δὲ τῷ κυρίῳ εἰς ἔλεγχον τῆς περὶ τὰ θεῖα λόγια μὴ ὀρθῆς διαθέσεως καθίστατο. Καὶ δὴ μισθὸν τῆς εὐεργετούσης αὐτὸν οἰκίας ἐλάμβανεν ἀποκήρυξιν. Κἀκεῖθεν δὲ D διωχθείς, τῷ τὴν Ἀναζαρβὸν διοικοῦντι Ἀθανασίῳ συγγίνεται, παρ' ᾧ τοὺς εὐαγγελιστὰς ἀνέγνω πρὸς λεπτὸν ἐπιστήσας αὐτοῖς. Εἶτ' ἐκεῖθεν ἀφικνεῖται πρὸς Ἀντώνιον ἐν Ταρσῷ, ὃς γνώριμος ἦν Λουκιανῷ τῷ μάρτυρι, ἐξ οὗ τὸν Ἀπόστολον ἀναδιδαχθείς, ἐφ' ἱκανὸν ἐκείνῳ συνδιατρίβει, ἔτι τὴν τοῦ πρεσβυτέρου τάξιν πληροῦντι. Ἐπεὶ δ' Ἀντώνιος ἔφορος ἐγεγόνει, καὶ οὐχ οἷός τε ἦν τῇ σοφιζούσῃ τὸν Ἀέτιον ἐνασχολεῖσθαι διδασκαλίᾳ, ἐκεῖθεν ὁ Ἀέτιος τὴν Ἀντιόχου καταλαμβάνει· καὶ παρὰ Λεοντίου ἔτι πρεσβυτέρου ὄντος, Λουκιανοῦ δὲ τοῦ μάρτυρος καὶ οὗτος φοιτητὴς ἐχρημάτισε, τοὺς προφήτας, καὶ μᾶλλον τὸν Ἰε-

A cipue vero eum clarissimus ille pietatis exercitio Antonius admiratus est. Quem dicunt, cum Alexandriam venisset, ut Athanasio firmæ certæque fidei perhiberet testimonium, hæc ad Didymum prolocutum esse verba : Non est, Didyme, quod teipsum mœrore conficias, propterea quod oculis careas, quos mures, lacertæ, et vilia animalcula habent. Voluptate potius et lætitia efferri te convenit, qui itidem ut angeli internis maxime vigeas oculis : quibus clare immortalem et divinam cognitionem percipis, veritatemque ipsam exacte perspicis. Hic hosce reliquit libros : In totum Psalmorum librum varios commentarios, in Oseam et Zachariam libros quinque, in Isaiam libros duodeviginti, in Evangelium secundum Matthæum B et secundum Joannem non parvos commentarios scripsit. Insuper contra Arianos et de Spiritu sancto, aliaque scripta plurima composuit. Floruit eadem ætate Syrus quoque Aetius, qui ab eis disputator admirandus habitus est, qui diversa a nobis docent. In altercationibus quippe, verborumque contentionibus, ratiocinationibus, et fallaciis ludificantibus, valde commodus, ut qui ex professo in rebus ejusmodi studium omne consumpsisset. Et proinde quod talis esset, quodque facile quidquid sors tulisset, male feriatus de Deo theologaretur seu blatteraret potius, ἄθεος et contemptor deum appellatus est. Patria ei fuit Cœlesyria. Cujus pater cum in militia adversis rebus C conflictatus tandem interiisset, bona ejus qui tum rerum potiebatur princeps publicavit. Qua re una cum matre Aetius ad extremam redactus pauperiem, ad aurificum artem discendam se contulit (1), ut quocunque posset modo victum sibi pararet. Ea arte ubi satis est usus, propter ingenii vim ad dicendi disciplinam est conversus : Paulinumque audivit, qui ex ecclesia Tyria Antiochiam fuerat translatus. Porro mortua matre, cujus gratia aurum conformandi arti operam navaverat, totus statim in dicendi studium incubuit, brevique certamen subiens, multos disputando convicit. 717 Postquam autem Eulalius post Paulinum in Antiochena sede est collocatus, multitudo ingens motu adversus Aetium concitato, urbe eum expulit. Quo D tempore Anazarbum Ciliciæ concessit, atque ibi artem rursus suam ita, parandi victus gratia, exercuit, ut non prorsus dicendi certamen omitteret. Accidit tum, ut sophista quidam Aetii ingenium admiratus, artem suam cum eo communicandam duceret. Atque ille in sophistæ domum receptus, homini inserviens, omne (ut fieri solet) famuli ministerium præstitit. Sophista grammaticen et logicen ei tradidit. Ipsi vero cum herum ob minus rectam de divinis oraculis opinionem argueret, mercedem bene de se meritæ domus abdicationem tulit. Atque inde ejectus, cum Athanasio Anazarbi antistite vixit, apud quem evangelistas exacte

(1) Sozom. lib. III, cap. 15, Aetium primum medicum fuisse dicit.

excutiens legit. Deinde Tarsum ad Antonium, Luciano martyri notum, venit. A quo Apostolum discens, satis diu cum eo, cum adhuc in presbyterorum ordine esset, mansit. Ubi vero Antonius episcopi functionem suscepit, neque jam doctrinæ, qua Aetium erudiebat, vacare posset, ille Antiochiam est reversus. Et ibi cum a Leontio adhuc presbytero (Luciani martyris et hic habitus sectator) prophetas, atque in primis Ezechielem doceretur, propter linguæ intemperantiam, et sententiæ impietatem, inde rursus est expulsus. Itaque sophisticam exercens, et certamine cum eis qui clari eo studio erant congrediens, loca multa circumiit. Postea vero et medicam artem accurate didicit. Sopolis in tali disciplina doctor ei fuit, vir in eo studio nemini secundus. Ipse etiam Aetius optimus in eo habitus, gratuito pauperes curavit. Quod si aliquando egeret, noctu ad quempiam artis suæ peritum, ne interdiu a studiis potioribus abduceretur, adibat : et aurum, quod accuratiore arte elaborandum esset, petebat : atque opere celeriter perfecto, et ab ejusdem artis opifice mercede accepta, vitam toleravit. Leontio vero ad episcopatum Antiochenum evecto, Aetius ab eo diaconus designatus, et ad munus in ecclesia docendi delectus est. At ipse diaconatum suscipere veritus, docendi functionem non rejecit. Atque ibi satis diu versatus, Alexandriam venit, Athanasium oppugnaturus. Vehementer namque de consubstantiali propugnando **718** Athanasius egit. Et cum a quibusdam ad episcopatum Aetius recipiendum delectus esset, dignitatem eam contempsit. Sane antequam Aetius ad Arianos defecisset, tametsi illi ab ὁμοούσιον *consubstantiale* profitentibus dissidebant, nihilominus tamen preces, hymnos, consilia et res prope omnes cum eis communicabant, mystico duntaxat sacrificio excepto. Ex quo autem ille primus secessionem facere cœpit, omnibus consentientis conventus, amicitiæ, et consuetudinis vinculis ruptis, in adversas eis qui in alia essent opinione maxime partes per factionem transiere. Tum vero et Eunomius Aetii sapientiæ fama adductus, ex Cappadocia Antiochiam profectus est, et Secundo se ibi conjunxit : qui illum Aetio Alexandriæ adhuc degenti, commendavit. Atque hic alter alteri obstrictus, ille quidem docens, hic autem discens, in sacris uterque desudabat doctrinis. Aetius Gallo quoque Cæsari notus fuit : cui cum religio magnopere curæ, tum viri qui sacris Litteris et ecclesiis navarent, chari fuere. Quapropter talium dissertationum causa, in hoc quoque genere disputationum, ut illi gratior esset, se exercuit. Dictus enim est Aristotelica quoque opera perlegisse, et ad eos qui talia Alexandriæ docerent frequentasse. Cæterum quod in Galli odium propter perversam suam opinionem inciderat, jussu illius utrumque ei crus perfractum fuisset, nisi Leontius Antiochenus dissuasione sua condemnationis calculum amovisset. Verum enim-

A ζεκιὴλ διδαχθεὶς, ἀκρασίᾳ γλώττης, καὶ τῷ δυσσεβεῖ τοῦ φρονήματος, ἐκεῖθεν ἐλαύνεται. Καὶ σοφιστεύων διῄει, εἰς ἅμιλλαν λόγων τοῖς περὶ τοῦτο δεινοῖς συμπλεκόμενος. Εἰς ἄκρον δ' ἔπειτα τὴν ἰατρικὴν ἤσκητο. Σώπολις δ' ἦν αὐτῷ τοῦ μαθήματος ὁ διδάσκαλος, ἀνὴρ ἐν τῇ τέχνῃ μηδενὸς ἔχων τὰ δεύτερα. Ἄριστος δ' ἐν ταύτῃ φανεὶς καὶ Ἀέτιος, ἄμισθον παρεῖχε τοῖς δεομένοις τὴν θεραπείαν. Εἰ δέ που καί τινος τῶν ἀναγκαίων ἐδέησεν αὐτῷ, νύκτωρ παρά τινι τῶν ὁμοτέχνων φοιτῶν, ἵνα μὴ ἡμέρας τῶν σπουδαιοτέρων ἀπάγοιτο, ὅσον τοῦ χρυσίου τεχνικωτέρας ἐδεῖτο χειρός. Τοῦτο δὲ ἄρα ἐξεργαζόμενος θᾶττον, παρὰ τοῦ ὁμοτέχνου τὸν μισθὸν ἐκομίζετο, καὶ τὸν ἑαυτοῦ βίον συνεῖχε. Λεοντίου δὲ τὸν τῆς Ἀντιοχείας θρόνον κληρωσαμένου, ὁ Ἀέτιος εἰς B διακονίαν ἐκείνῳ προχειρίζεται· καὶ ἐπ' ἐκκλησίας διδάσκειν προὐτρέπετο. Ὁ δὲ πρὸς μὲν τὸ διακονεῖν ὑπεστάλη· τὸ δὲ διδάσκειν ἀνεδέχετο. Ἱκανὸν δὲ διατρίψας χρόνον ἐκεῖσε ἐπὶ τὴν Ἀλεξάνδρειαν παραγίνεται ἀντιπνεύσων δῆθεν Ἀθανασίῳ· πολὺς γὰρ ἦν ὑπὲρ τοῦ ὁμοουσίου ῥέων. Παρά τινων δὲ, καὶ εἰς ἐπισκοπὴν προβαλλομένων αὐτὸν, ἀπηξίου. Πρινὴ μὲν οὖν Ἀέτιον τοῖς ἐξ Ἀρείου συμμίξαι, εἰ καὶ τοῖς τὸ ὁμοούσιον πρεσβεύουσι διεφέροντο, ἀλλ' οὖν εὐχῶν καὶ ὕμνων καὶ βουλευμάτων, καὶ σχεδὸν πάντων, ἐκοινώνουν ἀλλήλοις, πλὴν τῆς μυστικῆς θυσίας. Ἐκείνου δὲ πρώτου τῆς διαστάσεως ἄρξαντος, λόγος τὴν ὁμόφρονα συναγωγὴν πάντας τοὺς τοιούτους φιλίας καὶ συνηθείας δεσμοὺς διαῤῥήξαντας, εἰς C ἀντίπαλον τοῖς ἄλλως δοξάζουσι μάλιστα παρασκευάσαι καταστῆναι μοῖραν· τότε δὲ καὶ Εὐνόμιος κατὰ πίστιν τῆς Ἀετίου σοφίας εἰς Ἀντιόχειαν ἐκ Καππαδοκίας Σεκούνδῳ συνέμιξεν. Ὁ δὲ αὐτὸν Ἀετίῳ συνέστησεν, ἐν Ἀλεξανδρείᾳ διατρίβοντι ἔτι. Καὶ συνήστην ἄμφω· ὁ μὲν διδάσκων, ὁ δὲ τοῖς ἱεροῖς μαθήμασιν ἐνασκούμενος. Γνώριμος δὲ ὁ Ἀέτιος καὶ Γάλλῳ ἐγεγόνει τῷ Καίσαρι, πολὺν τῆς θρησκείας λόγον ποιουμένῳ, καὶ τοῖς περὶ λόγους ἱεροὺς καὶ ἐκκλησίας ἐσχολακόσι χαίροντι. Καὶ τῇ προφάσει τῶν τοιούτων διαλέξεων τοῦτο τὸ εἶδος ἀσκηθῆναι τῶν λόγων, ἵνα μᾶλλον ἀρέσκῃ· ἐλέγετο γὰρ καὶ διὰ τῶν Ἀριστοτέλους μαθημάτων ἐλθεῖν· καὶ τοῖς ταῦτα διδάσκουσι φοιτῆσαι κατ' Ἀλεξάνδρειαν· ἀλλ' εἰς ἔχθραν Γάλλῳ καταστὰς ὡς μὴ καλῶς δοξά- D ζων, κελεύσει ἐκείνου κατεάγη ἂν ἐκ δυεῖν τοῖν σκελοῖν, εἰ μὴ ὁ τῆς Ἀντιοχείας Λεόντιος μεταπείσας, τὴν καταδικάζουσαν ἀνεῖλε ψῆφον. Καὶ εἰς θέαν τῷ Γάλλῳ γενόμενος, φίλος ἐν τοῖς μάλιστα ἐγεγόνει, καὶ πρὸς Ἰουλιανὸν ἐστάλη πολλάκις, ἡνίκα πρὸς Ἑλληνισμὸν ἀποκλίνειν ἐκεῖνον ἐμάνθανεν, ὥστε τοῦ τῆς ἀσεβείας ἀνελκῦσαι βαράθρου. Οὐ μὴν δὲ ἀλλὰ καὶ τῶν θείων μαθημάτων ὁ Γάλλος διδάσκαλον τὸν Ἀέτιον ἐποιεῖτο. Περὶ μὲν οὖν Ἀετίου τοσαῦτα· ὅπως μέντοι ἱερωσύνης τυχὼν, οὐ μικρὸν μέρος τοῖς ἀνομοίοις καὶ ἑτεροουσίοις ἐγένετο· καὶ ὡς καθῃρέθη, καὶ εἰς ἐξορίαν ἀπήχθη, Εὐνόμιος δὲ ἀντ' ἐκείνου πολλῷ χείρων κατέστη, τὴν αὐτοῦ συκοφαντῶν φατρίαν καὶ περὶ αὐτοῦ Εὐνομίου, μικρὸν ὕστερον λέξω. Τηνικαῦτα δὲ καὶ κατὰ τὴν τῆς Συ-

ρίας Λαοδίκειαν δύο ἄνδρές ἦσαν ἀκμάζοντες, ὁμώνυμοι ἄμφω, πατήρ, καὶ υἱός· Ἀπολλινάριος γὰρ ἑκάτερος ἐκαλεῖτο. Πρεσβύτερος δ' ἦν ὁ πατήρ· ὁ δὲ παῖς τὴν τοῦ ἀναγνώστου τάξιν ἐπλήρου. Ἑλληνικῶν δὲ καὶ ἄμφω παιδευμάτων ἦσαν διδάσκαλοι· γραμματικῶν μὲν ὁ πατήρ, ῥητορείας δ' ἐξηγεῖτο ὁ παῖς. Ὁ δὲ γέρων Ἀλεξανδρείας ὡρμᾶτο. Σχολάσας δ' ἐν Βηρυτῷ, εἰς Λαοδίκειαν γήμας, γεννᾷ τὸν Ἀπολλινάριον. Ἐπιφανίῳ δὲ τῷ σοφιστῇ συνακμάζοντες, συνεκρότουν αὐτὸν ἅτε γνήσιοι φίλοι. Θεόδοτος μέντοι ὁ τηνικάδε τὴν Λαοδικέων ἰθύνων, δείσας μὴ τῇ συνεχεῖ ὁμιλίᾳ πρὸς τὸν Ἑλληνισμὸν ἀποκλίνωσι, φοιτᾷν παρ' αὐτῷ διεκώλυεν. Ἀλλ' ἡ Ἐπιφανίου φιλία ἐπικρατεστέρα ἦν. Ἔνθεν τοι καὶ ὁ Θεοδότου διάδοχος Γεώργιος πολλὰ παθὼν διαστῆσαι αὐτοὺς, ἐπεὶ ἀνήνυτον ἑώρα τὸ σπούδασμα, τῆς ἐκκλησιαστι- B κῆς κοινωνίας ἀφίστα. Ὁ παῖς δὲ ὕβριν λογισάμενος τὸ πραχθὲν, ταῖς σοφιστικαῖς πλεκτάναις θαῤῥῶν, καινῆς τινος αἱρέσεως καθίσταται ἀρχηγὸς, ἐπώνυμον τὸν εὑρόντα ἐχούσης. Λόγος δ' ἔχει, μὴ διὰ τὸ προειρημένον πρὸς Γεώργιον διενεχθῆναι· ἀλλ' ὅπερ ἐκεῖνος ἀλλότριον ἐδογμάτιζε, νῦν μὲν τὴν Ἀρείου συνιστῶν δόξαν, νῦν δὲ ὅμοιον τὸν Υἱὸν τῷ Πατρὶ ὁμολογῶν, καθὰ ἐν τῇ κατὰ Σελεύκειαν συνόδῳ συνέθετο· πρόφασιν δ' ἐντεῦθεν λαβόντες, ἐκείνου διίσταντο· μηδενὸς δ' ἐκείνοις προσέχοντες, ξενίζουσαν θρησκείαν ἐπειρῶντο εἰσάγειν· καὶ δογματίζοντες ἔλεγον, μὴ ψυχὴν ἀνειληφέναι τὸν Κύριον τὴν τῆς σαρκὸς οἰκονομίαν διενεργοῦντα. Αὖθις δὲ τὸ ἄτοπον ὡς ἐν μεταμέλῳ ἐπιδιορθούμενοι, ψυχὴν μὲν εἰληφέναι προσέθεντο· μὴ ἔχειν δ' ἐκείνην τὸν ἀνθρώπινον C νοῦν· ἀρκεῖν γὰρ ἀντὶ νοῦ τὴν θεότητα ἥτις τὸν ἄνθρωπον προσελάβετο. Καὶ περὶ τούτου μόνου πρὸς τοὺς ἐξ Ἀρείου καὶ Μακεδονίου διεφέροντο. Τὰ δ' ἄλλα τοῖς ἐν Νικαίᾳ τὰ ἴσα δογματίζοντες ἦσαν. Ἀλλὰ περὶ μὲν Ἀπολλιναρίου καὶ αὖθις κατὰ χώραν ἐροῦμεν.

A vero Gallus in conspectum suum eum primum admissum, charum maxime habuit : et ad Julianum crebro misit, cum illum ad Græcismum et idolorum cultum deficere intellexisset, ut scilicet hominem ex impietatis barathro extraheret. Quin et divinarum Litterarum doctorem illum Gallus instituit. Hæc de Aetio. Quomodo autem ad episcopatum evectus, non exigua pars eorum fuerit, qui τὸ ἀνόμοιον καὶ ἑτεροούσιον, hoc est, *dissimile et alterius substantiæ* docuerunt, atque etiam exauctoratus solum exsilii causa verterit : Eunomius autem multo eo deterior, factione ejus sycophantia circumventa, in locum ejus suffectus sit, et de ipso etiam Eunomio, postea dicemus. Eodem tempore Laodiceæ in Syria viri etiam duo floruere B cognomines, pater videlicet et filius : utrique enim Apollinaris nomen erat. Et pater presbyteri, filius lectoris ordinem obtinebat. Ambo Græcarum disciplinarum, grammaticæ pater, rhetoricæ filius, magistri erant. **719** Senex Alexandriæ ortus, Beryti docuit : et ducta Laodiceæ conjuge, Apollinarim filium progenuit. Et cum Epiphanio sophisticam profitente, illi simul florentes, eum ut veri amici sunt complexi. At Theodotus Laodicensis tum episcopus, quod metueret ne continua illius consuetudine ad Græcam impietatem declinarent, familiaritate illius eis interdixit. Sed illis Epiphanii amicitia episcopi edictis potior fuit. Proinde et Theodoti successor Georgius, cum multa tentasset, ut illorum dirimeret conjunctionem, postquam C operam suam frustra esse vidit, ecclesiastica eos prohibuit communione. Quo facto pro insigni contumelia accepto, filius sophisticis fretus capturis et argutiis, novam quamdam hæresim instituit, nomen auctoris ipsius referentem. Est et alia opinio, non ob eam quam scilicet diximus causam, illum a Georgio descivisse : sed quod Georgius aliena prorsus et absurda opinione nunc Arii defendens sententiam, nunc æqualem Patri Filium profitens, conventui Seleuciæ acto assensisset : ea Apollinares arrepta occasione, discessionem ab eo fecisse : et cum id nemo curaret, opinionem novam inducere conatos esse. Docuere autem, Dominum carnis œconomiam et functionem factis ipsis obeuntem, animam non recepisse. Ac rursum veluti absurditate ea per pœnitentiam correcta, animam quidem recepisse addidere, eam autem humanam non habere mentem. Satis namque ei pro mente divinitatem fuisse, quæ hominem assumpserit. Atque ea re una ab orthodoxis dissidentes, in aliis eadem quæ Nicænorum decretorum studiosi, sentiebant. Verum de Apollinari postea quoque loco suo dicetur.

D

ΚΕΦΑΛ. ΙΗ'.

Περὶ Θεοφίλου τοῦ Ἰνδοῦ.

Ἦν δὲ τῷ τότε πολύς τις ἐπ' ἀρετῇ καὶ λόγοις ὑμνούμενος καὶ Θεόφιλος ἐκεῖνος ὃς ἐπεκλήθη Ἰνδός· οὗ τινος μὲν ἐπάρξας αἱρέσεως, τῷ Ἀρειανικῷ δὲ μάλα προσκείμενος δόγματι. Ὃς ἐπὶ Κωνσταντίνου καθ' ὁμηρίαν ἐκ Διαβηνῶν εἰς Ῥωμαίους ἐστάλη, νέος πάνυ τὴν ἡλικίαν ὤν. Ἡ δὲ Διαβοῦς νῆσός ἐστι μεγάλη, χώρα δὲ Ἰνδικὴ διαβόητος. Θεόφιλος δὲ τῇ μακρᾷ διατριβῇ τά τε ἤθη πρὸς τὸ Ῥωμαϊκὸν μετεῤῥύθμισε σχῆμα, ὡς καὶ τὸν μοναύλιον ἑλέσθαι βίον, καὶ εἰς διακόνου παραγγεῖλαι βαθμὸν, τοῦ Νι-

CAPUT XVIII.

De Theophilo Indo.

Fuit tum etiam propter virtutem et doctrinam magnopere laudatus Theophilus ille, qui cognominatus est Indus : non ille quidem hæresis alicujus auctor, sed Arianismo plurimum addictus. Qui sub Constantino ab Adiabenis admodum adhuc juvenis, obses in Romanorum ditionem fuerat missus. Adiabene (1) vero magna est insula, et regio Indica, celebris. Ac Theophilus consuetudine diuturna adeo mores ad Romanorum instituta conformavit, **720** ut et monasticam delegerit

(1) Apud Plin. Adiabene Assyriorum est initium, lib. VI, cap. 13.

vitam, et diaconi susceperit dignitatem, Eusebio Nicomediensi manus ei imponente. Cum autem legatio a Constantio propagandæ veræ pietatis et confirmandæ fidei gratia ad Orientales nationes mittenda esset, ambitiosa munificentia eam instituit : et princeps ejus, quem modo dixi, Theophilus designatus est. Constantius sane perquam magnifice, ut quam maxime posset gratiosum eum redderet, ad ducentos generosos e Cappadocia equos navibus impositos, aliaque insuper dona ad illos perferenda Theophilo dedit, ut scilicet illi simul et liberalitatis ejus amplitudinem et animi magnitudinem admirarentur. Et Theophilus legationem obiit, eamque ad finem debitum perduxit. Nam qui in regionibus eis regnum obtinebat, a Græca superstitione ad veræ pietatis religionem deflexit, et ecclesias tres in diversis locis erexit, non tantum quæ ab imperatore missa acceperat donis, sed maxime etiam quos ipse addiderat sumptibus per animi alacritatem cum illo concertans. Ecclesiarum istarum una in metropoli et principe urbe totius gentis, Tapharum eam nominant : secunda in loco ubi Romanum emporium erat, extrorsum ad Oceanum versum, regio Adane (1) vocatur : tertia in alia terræ ejus parte, ubi est quod Persicum emporium dicitur, in Persici maris ore constructa. Theophilus (2) porro rebus apud Homeritas ampliter dispositis, templisque eis consecratis, atque etiam pro rerum copia exornatis, in insulam Adiabenen, quam patriam ejus esse diximus, trajecit : ac deinceps in reliquam quoque Indiam transiit, multaque quæ apud eos non rite agebantur, correxit. Etenim considentes evangelicum audiebant oraculum, aliaque multa faciebant, quæ sanctiones ecclesiasticæ non jubebant. Ea omnia pulchre immutans, ad Ecclesiæ placitum morem composuit. Una saltem, et quidem maxima re incommodans, quod τὸ ἑτεροούσιον *altero — substantiale* colere docuit. Porro ex Arabia magna ad Auxumitas Æthiopes est progressus, qui in primis Rubri maris littoribus habitabant, quod Oceanus sese illi insinuans efficit : quod sane Rubrum mare, in maximam longitudinem protensum, in duos dividitur sinus. Horum alter quidem ad Ægyptum exundans procedit, ubi etiam nomen sibi suum ferre desinit : quem antiquitus filii Israel Ægyptios fugientes, siccis pedibus transiere : **721** alter ad Palæstinam excurrit, prope urbem cui vetus nomen est Aeila. In Rubri istius maris partibus exterioribus, ad sinistram Auxumitæ sunt, quorum metropolis est Auxumis. Ante hos vero ad extimum pertingentes Oceanum, Orientem versus Assyrii : apud quos etiam hanc appellationem habent, quos Alexander Macedo ex Syria pulsos, co-

A κομηδείας τούτῳ τὰς χεῖρας Εὐσεβίου ἐπιβαλόντος. Δεῆσαν δὲ Κωνσταντίῳ πρεσβείαν πρὸς Ἀδιαβηνοὺς στείλασθαι ἐπὶ προτροπῇ εὐσεβείας καὶ στηριγμῷ πίστεως, φιλοτίμως τὴν πρεσβείαν ἐποιεῖτο· ὧν τὰ κράτιστα ἦν ὁ ῥηθεὶς Θεόφιλος. Κωνστάντιος δὲ μεγαλοπρεπῶς καὶ ἐς τὰ μάλιστα κεχαρισμένον ποιούμενος, καὶ ἐς διακοσίους τῶν ἐκ Καππαδοκίας εὐγενῶν ἵππων πλοίοις ἔστελλε, καὶ ἄλλας δωρεὰς. ὡς θαῦμα παρασχεῖν τὸ πολυτελές τε καὶ μεγαλόψυχον. Καὶ ἐπρέσβευε μὲν ὁ Θεόφιλος, καὶ πέρας αἴσιον ἡ πρεσβεία ἐλάμβανε, τοῦ τὴν ἀρχὴν ἔχοντος πρὸς τὸ τῇ εὐσεβείᾳ δοκοῦν ἐκ τῆς Ἑλληνικῆς θρησκείας ἀποκλίναντος, καὶ τρεῖς ἐκκλησίας ἐν διαφόροις τόποις ἐγείραντος, καὶ βασιλικοῖς μὲν ἀναλώμασι, μάλιστα δὲ καὶ οἷς ἐκεῖνος παρεῖχεν, ἀνθάμιλλον B παρέχων τὸ πρόθυμον. Τῶν δ' ἐκκλησιῶν ἡ μὲν ἐν τῇ μητροπόλει τοῦ παντὸς ἔθνους ἵδρυτο, Τάφαρον αὐτὴν ὀνομάζουσιν· ἡ δὲ ἐν ᾧ τὸ Ῥωμαϊκὸν ἐμπόριον ἦν ἔξω πρὸς Ὠκεανὸν τετραμμένον· τὸ δὲ χωρίον καλοῦσιν Ἀδάνην· τὴν δὲ τρίτην ἐπὶ θάτερον τῆς χώρας μέρος, ἐν ᾧ τὸ Περσικὸν ἐμπόριον ὠνομάζετο, ἐπὶ τῷ τῆς Περσικῆς θαλάσσης στόματι. Λαμπρῶς δὲ ὁ Θεόφιλος τὰ ἐν τοῖς Ὁμηρίταις καλῶς διαθέμενος, ἱερασάμενός τε τοὺς εἰρημένους νεὼς, καὶ ὡς δύναμις ἦν ἐπικοσμήσας, ἐπὶ τὴν Διαβοῦς νῆσον, ἣν αὐτῷ πατρίδα οὖσαν ὁ λόγος ἐδίδαξεν, ἀποπλέει. Ἔπειτα καὶ εἰς τὴν ἑτέραν παρεγένετο Ἰνδικήν· πολλά τε τῶν παρ' αὐτοῖς οὐκ εὐαγῶς δρωμένων διωρθώσατο. Καὶ γὰρ καθήμενοι τῶν εὐαγγελικῶν C ἠκροῶντο λογίων· καὶ ἄλλ' ἅττα ἐποίουν ἃ μὴ θεσμὸς ἐκκλησιαστικὸς ἐπεστάτει. Πάντα δὲ καλῶς μεταρρυθμίσας, πρὸς τὸ τῇ Ἐκκλησίᾳ δοκοῦν διηυθέτει, ἑνὶ μόνῳ τῷ μεγίστῳ ζημιώσας, τῷ τὸ ἑτεροούσιον σέβειν διδάξαι. Ἐκ δὲ τῆς μεγάλης Ἀραβίας εἰς τοὺς Αὐξουμίτας ἀπαίρει Αἰθίοπας, οἷς δὴ κατοίκησις αἱ πρῶται ὄχθαι θαλάσσης τῆς Ἐρυθρᾶς. Ἣν δὴ πᾶσαν ὁ ταύτῃ διεισκολπιζόμενος Ὠκεανὸς ἀπεργάζεται· ἡ δὴ καὶ αὐτὴ Ἐρυθρὰ ἐπὶ πλεῖστον μήκους ἐκτεινομένη, εἰς δύο τινὰς ἀπομερίζεται κόλπους, ὧν τὸ μὲν ἓν κλύσμα ταύτης ἐπ' Αἰγύπτου χωρεῖ, ἔνθα δὴ τελευτᾷ τὸ τὴν ἐπωνυμίαν φέρον αὐτῆς, καθ' ὃ πάλαι ποτὲ καὶ τὸ ἐξ Ἰσραὴλ φῦλον φεύγοντες Αἰγυπτίους, ἀβρόχῳ διεπεραιώθη ποδὶ τὸ ῥόθιον· θάτερον δ' ἐπὶ Παλαιστίνην ἔρχεται κατὰ πόλιν, ᾗ D Ἀειλὰ ἐκ παλαιοῦ ὄνομα. Ταύτης τοίνυν τῆς Ἐρυθρᾶς τοῖς ἔξωθεν μέρεσιν ἐν ἀριστερᾷ Αὐξουμῖται εἰσιν, ὧν ἡ μητρόπολις Αὔξουμις. Πρὸ δ' αὐτῶν εἰσιν ἐπὶ τὸν ἐξωτάτω καθήκοντες Ὠκεανὸν πρὸς ἀνατολὰς Ἀσσύριοι· ταύτῃ δὲ τῇ κλήσει καὶ παρ' αὐτοῖς ὄνομα φέρουσιν· οὓς Ἀλέξανδρος ὁ Μακεδὼν, ἐκ Συρίας ἀναστήσας, ἐκεῖ κατῴκισεν· οἳ καὶ ἐς δεῦρο τῇ πατρίᾳ γλώσσῃ χρῶνται. Δεινῶς γοῦν εἰσιν ἅπαντες μέλανες, ὀξείας αὐτοῖς τῆς ἀκτῖνος τοῦ ἡλίου καθαπτομένης. Παρ' οἷς ἥ τε ξυλοκασσία

(1) Adane regio. Homeritæ Arabici populi sunt. (Plin. lib. VI, cap. 28.)

(2) Apud Suid. est, Theophilum hunc veluti quamdam apostolicam imaginem fuisse, qui etiam Judææ cujusdam mortuum resuscitasse dictus sit, testatumque id de eo esse Thalassium familiarem ejus, virum in quem mendacii suspicio non caderet : multosque præterea alios, qui ætate ea vixere.

μάλιστα γίνεται, καὶ ἡ κασσία, καὶ τὸ κάσαμον, καὶ τὸ κιννάμωμον, καὶ ἐλεφάντων ἄπειρόν τι πλῆθος. Καλῶς δὲ τὰ τῶν Αὐξουμιτῶν καταστησάμενος ὁ Θεόφιλος, τῆς ἐς Ῥωμαίους ἀνακομιδῆς εἴχετο. Πολλῆς δὲ μετὰ τὴν ἐπάνοδον ἀξιωθεὶς τῆς τιμῆς, ἰδίαν μὲν πόλιν οὐκ ἐκληρώσατο ἐφορᾷν· ἐπὶ πᾶσι δὲ δι' αἰδοῦς ὥς τι ξένον καθεωρᾶτο, ἕως οὗ τῶν κατὰ Ἀέτιον καὶ Εὐδόξιον γεγενημένων καὶ εἰς ὑπερορίαν ἀχθέντων, τὸ πλέον διὰ τὸ συμβούλους καὶ ὁμοψύχους εἶναι Γάλλῳ τῷ Καίσαρι, καὶ οὗτος τὴν τοῦ Πόντου Ἡράκλειαν ἀϊδίῳ ἐζημιοῦτο φυγῇ, ἐν τοῖς μάλιστα τῷ Γάλλῳ τυγχάνων.

lonos eo deduxit. Ii ad hoc usque tempus patria utuntur lingua. Omnes autem nigerrimi sunt, acutis solis radiis eos adurentibus. Apud quos maxime provenit xylocasia, et casia, et casamum, et cinamomum, necnon innumerabilis elephantorum multitudo. Et Theophilus, recte constitutis Auxumitarum rebus, in Romanorum reversus est ditionem. Atque post reditum in magno habitus honore, suam quidem ille urbem, aut ecclesiam, cui episcopus præesset, sortitus non est. Ubique tamen locorum propter hominis reverentiam, in eum ut miraculum quoddam, omnium conjecti oculi erant : donec Aetio et Eudoxio in exsilium, quod consilia cum Gallo communicassent, ejusque rebus favissent, actis, et ipse Heracleam in Pontum in perpetuum est deportatus, Gallo in intimis habitus.

ΚΕΦΑΛ. ΙΘ'.

Περὶ Φιλοστοργίου, καὶ τῶν ἱστορηθέντων αὐτῷ περὶ τῆς εὐδαίμονος Ἀραβίας, καὶ τῶν τεσσάρων μεγάλων ποταμῶν καὶ τοῦ παραδείσου.

Ἃ δ' οὖν ὁ θεομισὴς Φιλοστόργιος τὰ κατὰ τὸν εἰρημένον Θεόφιλον ἱστορῶν διεξέρχεται, καλὸν τῷ λόγῳ διαδραμεῖν. Φησὶ γὰρ, ὡς ἐπὶ τῷ στόματι τῆς Περσικῆς θαλάσσης ἣν ὁ ταύτῃ Ὠκεανὸς εἰσέχων ἀποτελεῖ μεγίστην τε οὖσαν καὶ ἔθνη κύκλῳ πολλὰ περιβαλλομένην, ἄλλοι τε μέγιστοι ποταμοὶ καὶ ὁ Τίγρις τοῖς ῥείθροις ἐμβάλλει· ὃς πρὸς Ἀπηλιώτην καὶ κάτωθεν τῆς Ὑρκανίας θαλάσσης ἐν Κορδυαίοις μὲν τὰς ἐμφανεῖς ἀναδύσεις λαμβάνει, παρὰ τὴν Συρίαν ἑλκόμενος· ἐπειδὰν δὲ γένηται κατὰ τὴν Σουσίδα γῆν, ἐνταῦθα τοῦ Εὐφράτου τὸ ῥεῖθρον αὐτῷ μιγνύντος, μέγας ἤδη τοῖς χεύμασι χωρήσας, πρόεισι παφλάζων. Ὅθεν αὐτόν φασι καὶ τοῦ θηρίου τοῦ Τίγρητος λαβεῖν τὸ ἐπώνυμον. Πρινὴ δ' ἐπὶ θάλατταν καταβῆναι, σχίζεται εἰς δύο μεγάλους ποταμούς· ἔπειτα δυσὶ τοῖς ἐσχάτοις στόμασιν ἀλλήλων διειργομένοις, εἰς τὴν Περσικὴν θάλατταν ποιεῖται τὰς ἐκβολὰς, γῆν ἐν μέσῳ πλείστην περιτεμόμενος· καὶ νῆσον αὐτὴν ποιῶν, ποταμίαν τε ἅμα καὶ θαλαττίαν, ἣν ἔθνος ἐνοικεῖ τῶν Μεσηνῶν ἐπικαλούμενον. Ὁ δὲ Εὐφράτης ποταμὸς ἐξ Ἀρμενίων κατὰ τὸ προφανὲς ἀνατέλλει· ἔνθα τὸ ὄρος ἐστὶ τὸ Ἀραράτ, πρὸς Ἀρμενίων οὕτω καλούμενον, ἐφ' οὗ καὶ τὴν κιβωτὸν ἱδρυθῆναί φησιν ἡ Γραφή· ἧς ἄχρι καὶ νῦν εἶναί φασιν οὐ μικρὰ λείψανα τῶν τε ξύλων καὶ τῶν ἥλων, ἐκεῖ σωζόμενα. Ἐντεῦθεν καὶ ὁ Εὐφράτης ὀλίγος τ' ἀπρῶτα ῥυεὶς, προβαίνων ἀεὶ γίνεται μείζων, πλείστους ἐμβάλλοντας αὐτῷ ποταμοὺς εἰς τὴν ἑαυτοῦ προσηγορίαν συνεφελκόμενος. Τὴν Ἀρμενίαν δὲ, τήν τε μεγάλην καὶ τὴν μικρὰν διελθὼν, ἔπειτα πρόεισι, τέμνων μὲν τὴν Συρίαν τὴν ἰδίως Εὐφρατησίαν καλουμένην· ἔπειτα μέντοι καὶ τὴν ἄλλην· καὶ ταύτην δὲ καὶ τὴν ἄλλην διαμειψάμενος, καὶ ἕλικα διασπῶν, ὧν δίεισι ποικιλωτάτην, κλασθεὶς ὁπηνίκα τῇ Ἀραβίᾳ πελάσει. Ἐνταῦθα δὴ κυκλοτερῶς καταντικρὺ τῆς Ἐρυθρᾶς θαλάσσης παρενεχθεὶς, καὶ χώραν οὐκ ὀλίγην ἐγκολπωσάμενος, ἔπειτα πρὸς Καικίαν ἄνεμον ἐπιστρέφει τὸ ῥεῖθρον· ὥσπερ οὖν Βορέου τε καὶ Ἀπηλιώ-

CAPUT XIX.

De Philostorgio, et quæ is scripta reliquerit : de Felici Arabia, de quatuor magnis fluminibus, et de paradiso.

Sedenim, quæ Deo invisus Philostorgius de sententia Theophili, quem diximus, memoriæ litteris mandavit, ea nunc paucis perstringemus. Dicit enim, in sinum Persici maris, quod ea in parte Oceanus sese effundens, vastum et circumcirca multas gentes complectens efficit, cum alios maximos fluvios, tum Tigrim se undis suis inferre. Qui cum Apeliotem versus sub Hyrcano mari in Cordyæis manifesto sibi ipsi redditus emersit, juxta Syriam profluens, simul atque Susidem terram pertingit, Euphratæ ibi se ei commiscente, magnus jam et aquarum vi rapidus, ingenti et fragoso sonitu provolvitur. Unde illum Tigridis feræ cognomen accepisse ferunt. Priusquam autem in mare delabitur, in duo ingentia flumina scissus, ostiis duobus, longe inter se dissitis, in Persicum se mare conjicit, **722** multum terræ in medio concludens, eamque fluvialem simul et maritimam insulam efficiens, quam gens Mesenorum incolit. Euphrates autem fluvius ex Armeniis manifesto apparens exoritur, ubi mons est Ararat, ab incolis ita appellatus : ad quem arcam Noæ constitisse sacræ produnt Litteræ, cujus etiam nunc ibi lignorum et clavorum non paucæ servantur reliquiæ. Inde primum exiguus profluens Euphrates, quo longius fertur, eo major exsistit, plurima alia flumina in alveum simul et nomen suum excipiens. Majore autem et minore Armenia emensa, ultra progreditur, eam quæ peculiari nomine Euphratesia dicta est, deinde etiam reliquam secans Syriam. Hac porro et illa post se relicta, omnisque generis qua fluxit, helice divulsa, ubi Arabiæ propinquaturus est, refringitur : ac oblique in circulum contra mare Rubrum prolabens, et regionem non parvam sinuose claudens, ad Cæciam ventum cursum convertit. Inde ubi inter Boream et Apelioten medius constitit, et ad Tigridem flumen procurrit, non totum se ei immiscet, sed portionibus tantum quibusdam medio intervallo amissis, parte reliqua, eaque maxima et navi-

gabili, in Tigrim eumdem apud Susas omnis incidit, ac nomine suo amisso, cum illo in Persicum devolvitur sinum. Id porro quod intra duo ista flumina protenditur terræ, Mesopotamiæ nomen obtinet. Enimvero Tigris et Euphrates, quibus in locis emergentes appareant, dictum est : sacræ autem Litteræ nostræ e Paradiso eos profluere, verissime commemorant. Ex eo namque fontes et primordia lympharum suarum recipientes, fortasse ad certum usque locum super terram profluunt. Deinceps vero a vasta et arenosa solitudine excepti, atque ibi in profundum per cuniculos absorpti, non prius deorsum versum currere desinunt, quam ad angusta et lapidosa ejus terræ loca pertigerint, progressumque eorum ad inferiora præcipitem solum durius et solidius præpedierit. Ubi undæ eorum continue et confertim confluentes, vi et magnitudine sua directum eos deinde cursum tenere cogunt. Qui deinde subterraneo meatu fluentes, partem aquarum eorum non minimam quæ in medio est terra carpente, minores et tenuiores jam ad ea loca perveniunt, ubi ex cuniculis in apertum erumpunt.
723 Quod illi autem occulti subterraneo cursu longissime volvantur, id non debet videri incredibile. Sunt enim et alia passim flumina et maxima et rapidissima, quæ sub terra feruntur. Apparet id ex eo sonitu, qui ad aures nostras ab eis cum strepitu et fragore ruentibus perfertur. Et nonnulli, quod cum supra eos fluvios puteos effodissent, et quod se eis inferne obtulit solum lapidosum paululum rupissent, unda perstrepens cursum sursum versum cum vi quadam moliretur, vix ab eis qui ad summum putei os constiterant, sunt retracti et recepti. Atque illa subsecuta in rivum evasit, quem nulla cœli siccitas propter vim et fluxum perpetuum turbarit. Ineffabilis namque Dei sapientia, tanquam venas quæ opus essent suppeditantes, sic aquarum procursus tum occultos tum manifestos perfecit. Unde quoque propheta David illud cecinit : *Ipse super maria fundavit eum, et super flumina præparavit eum* [1]. Maria scilicet, quam maximis terræ sinubus thesauri instar accumulans, solo eorum robustius consolidato, ad tantam vim et molem, quæ in ea inferuntur, aquarum sustinendam. Flumina autem, commoda et mirifica constitutione transitum eis liberum præbens, regionibus semper ex alto se submittentibus atque recedentibus, et ex sublimioribus ad humiliores oras aquarum ruentium momentis locum concedentibus. Idem ipse conjectura ductus, paradisum ad orientem sub æquinoctiali situm esse ait circulo. Primum ex eo, quod ad meridiem manifestum est loca fere omnia esse habitabilia, ad extremum usque duntaxat mare, quod jam sol adurit (1), anno toto radios suos in

[1] Psal. xxiii, 2.

(1) Hæc quidem veterum prope omnium fuit opinio. Sed patrum nostrorum memoria, inceptore Columbo Liguri, nova Hispanorum navigatio magnam Africæ partem priscis hominibus ignotam, et plurimas in Oceano meridionali, et cæteras insulas habitabiles invenit. Ut satis jam constet Oceanum non esse inertis magnitudinis, sed insulis atque terris immensæ etiam magnitudinis

A του μέσος ἕστηκε· καὶ πρὸς τὸν Τίγρητα ποταμὸν ὁρμήσας, οὐχ οἷός τέ ἐστιν αὐτῷ ὅλως συμμίξαι· ἀλλὰ μοίραις τισὶν ἐν τῷ διὰ μέσου παραναλούμενος, τῇ ὑπολειπομένῃ μεγίστῃ τε οὔσῃ, καὶ ναῦς ἀνασχέσθαι δυνατωτάτῃ, τῷ Τίγρητι κατὰ Σούσας μάλιστα συμπίπτει. Καὶ δὴ τῆς ἑαυτοῦ προσηγορίας ἀποπαυσάμενος, σὺν ἐκείνῳ πρὸς τὸν Περσικὸν κατασύρεται κόλπον. Καὶ τὸ μεταξὺ τῶν δύο ποταμῶν τούτων, τοῦ τε Τίγρητος καὶ τοῦ Εὐφράτου, Μεσοποταμία τυγχάνει προσαγορευόμενον. Τίγρης μὲν οὖν καὶ Εὐφράτης κατὰ τὸ ἐμφανὲς ὅθεν ἀναδύονται, εἴρηται· ἡ δὲ ἱερὰ ἡμῶν Γραφὴ, ἐκ τοῦ παραδείσου τούτους λέγουσα ὁρμᾶσθαι, τὸ ἀληθέστατον ἱστορεῖ. Καὶ γὰρ ἐξ αὐτοῦ τὰς πρώτας ἀρχὰς τῶν ῥείθρων φέροντες, ἄχρι μέν τινος προΐασιν ὑπὲρ γῆν ῥέοντες B ἴσως· ἔπειτα δὲ τῆς μεγάλης ἐρήμου καὶ ἀμμωδεστάτης αὐτοὺς ἐκδεξαμένης, πρὸς τὸ βάθος ἐνταῦθα καταπινόμενοι, οὐ πρότερον ἵστανται τῆς ἐπὶ τὰ κάτω φορᾶς, πρὶν ἐπ' αὐτὸ δὴ τὸ στεγανὸν καὶ πετρῶδες τῆς αὐτόθι καταντήσωσι γῆς. Στάσιν δ' αὐτοῖς τῆς ἐπὶ τὰ κάτω προχωρήσεως τῆς αὐτόθι κρηπῖδος παρασχομένης, ἐνταῦθα ἤδη τῶν ῥευμάτων αὐτοῖς συναγειρομένων ὑπὸ πλήθους καὶ ἰσχύος τοῦ ἀεὶ ἐπιφερομένου, τὸ πρόσω χωροῦσιν ἐπ' εὐθὺ βιαζόμενοι. Ἀλλ' οὗτοι μὲν οἱ ποταμοὶ κατωρύχιοι πορευόμενοι, μοῖραν αὐτῶν οὐκ ὀλίγην τῆς ἐν μέσῳ γῆς ὑπεξαιρουμένης, ἐλάττους ἀπαντῶσιν ἤδη καὶ ἀσθενέστεροι ἐπὶ τοὺς τόπους τῶν ἀναδύσεων. Καὶ τό γε μυχίους αὐτοὺς πλείστην ἐπιέναι γῆν οὐκ C εἰκὸς ἀπιστεῖν· πολλὰ γάρ ἐστι καὶ ἄλλα ῥεύματα πανταχοῦ τῶν σφόδρα μεγίστων τε καὶ ἰσχυροτάτων, ὑπὸ γῆν ἀφικνούμενα. Δῆλον δέ· ἠχός τε γὰρ ἀπ' αὐτῶν ἀκούεται μέγας, σὺν ταράχῳ καὶ ῥοίζῳ πολλῷ φερομένων. Ἀλλὰ καί τινες ὑπὲρ αὐτῶν φρέατα ὀρυσσόμενοι, καὶ τῆς ἀπηντηκυίας αὐτοῖς πλακὸς κάτωθεν, ἐπ' ὀλίγον τρώσαντες, ὑφ' ἣν τὸ ῥεῖθρον καχλάζον ἤδη τὴν ἐπὶ τὸ ἄνω φορὰν βιαζόμενον ὑπισχνεῖται, μόγις ἀνελήφθησαν ὑπὸ τῶν ἐπὶ τοῦ χείλους τῆς φρεωρυχίας ἑστώτων ἀναρπασθέντες· καὶ τὸ ῥεῖθρον ἐφομαρτῆσαν, εἰς ὀχετὸν προύχώρησεν, ὑπ' οὐδεμιᾶς ἀνομβρίας ἔτι παραλυπούμενον, διὰ τὸ τῆς χορηγίας ἀένναον. Ἡ γὰρ τοῦ Θεοῦ ἀπόῤῥητος σοφία, οἱονεὶ φλέβας χορηγοὺς τῶν ἀναγκαίων, τὰς τῶν ῥείθρων διεκδρομὰς, τὰς μὲν ἀφανεῖς, τὰς D δὲ προδήλους εἰργάσατο. Ταύτῃ ὅρα καὶ ὁ προφήτης ἐμελῴδησε Δαβίδ· *Αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτὴν, καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν αὐτήν*· ὡς τὰς μὲν θαλάττας τοῖς μεγίστοις αὐτῆς κολπώμασιν οἷον ἀποθησαυρίσας καὶ τὴν βάσιν αὐτοῖς κρατυνάμενος, πρὸς τὸ ἀνέχεσθαι τοσοῦτον ὄγκον καὶ πλῆθος τῶν ἐν αὐτῇ φερομένων· τοῖς δὲ ποταμοῖς τὴν διέξοδον ἀπόλυτον ταῖς εὐμηχάνοις αὐτῆς διαθέσεσι δοὺς, ἀεὶ ταῖς τῶν χωρίων ὑπαγωγαῖς τε καὶ ταπεινότησιν, ἀπὸ τῶν ὑψηλοτέρων ἐπὶ

A τὰ χθαμαλώτερα τόπον τῇ ῥοπῇ τοῦ βρίθοντος ὕδατος παρασχών. Ὁ δ' αὐτὸς εἰκασίᾳ χρώμενος, κεῖσθαί φησι καὶ τὸν παράδεισον κατὰ τὰς ἰσημερίας τῆς ἠοῦς· πρῶτον μὲν, ἐξ ὧν τὰ πρὸς μεσημβρίαν δῆλά ἐστι πάντα οἰκούμενα σχεδὸν μέχρι τῆς ἔξω θαλάττης, ἣν θάλατταν ὁ ἥλιος ἤδη ξυμφλέγει, κατ' ἔτος ἐπ' αὐτῇ τὰς ἀκτῖνας ἐρείδων· καὶ ἡ διὰ μέσου λεγομένη ζώνη τοῦτό ἐστιν· ἔτι δὲ καὶ διότι ὁ νῦν Ὕφασις καλούμενος ποταμὸς, ὃν ἡ Γραφὴ Φεισὼν ὀνομάζει, καὶ αὐτὸς τοῦ παραδείσου ἀναβλύζων, ἐκ τῶν ἀρκτῴων μᾶλλον τῆς ἀνατολῆς μερῶν ἐπὶ τὴν μεσημβρίαν φαίνεται ῥέων, καὶ εἰς τὸν ταύτῃ Ὠκεανὸν τὸ ῥεῖθρον εἰσερευγόμενος, ἀντικρὺ τῆς νήσου Ταπροβάνης· οὗ παρὰ τὰς ὄχθας τοῦ ποταμοῦ εὑρίσκεται τὸ λεγόμενον καρυόφυλλον, εἴτε B καρπὸς, εἴτε δὲ καὶ ἄνθος τυγχάνει. Καὶ πεπιστεύκασιν οἱ ἐκείνῃ οἰκοῦντες τῶν ἐκ τοῦ παραδείσου τοῦτο δένδρον εἶναι. Καὶ γὰρ καὶ ἡ ὑπὲρ αὐτοὺς γῆ ἔρημός τέ ἐστι δεινῶς ἅπασα καὶ ἀκαρποτάτη. Ἐκ δὲ τοῦ φέρειν τὸν ποταμὸν τὸ ἄνθος ἐπίδηλον ἂν εἴη ὡς οὗτος ὁ ποταμὸς ὑπὲρ γῆς ἅπας ῥέει, μηδαμόθι καταδυόμενος· οὐ γὰρ ἂν τὸ ἐκεῖθεν φυόμενον ἠδύνατο φέρειν. Ἔχει δέ τι καὶ ἄλλο σύμβολον τῆς περὶ τὸν παράδεισον γεηρᾶς ἐπιμιξίας. Φασὶ γὰρ ὡς ἐάν τις τύχοι πυρετῷ λάβρῳ φλεγόμενος, εἰς τὸν ποταμὸν βαπτισάμενος, παραυτίκα τοῦ νοσήματος ἀπαλλάττεται. Ὁ δὲ Τίγρις καὶ Εὐφράτης, διότι καταδύουσι καὶ πάλιν ἀνίσχουσιν, οὐδὲν ἐκεῖθεν δύνανται κομίζειν, ὥσπερ ὁ Ὕφασις. Οὐδέ γε ὁ Νεῖλος· C καὶ γὰρ καὶ τοῦτον ἐκεῖθεν ῥεῖν, ἡ Μωσέως ἐπίπνοια λέγει, Γαιὼν αὐτὸν ὀνομάζουσα· ὃν οἱ παρ' Ἕλλησιν Αἰγύπτιον ἐκάλουν. Οὗτος γὰρ, ὡς ἔστι συμβαλεῖν, ἐξορμῶν τοῦ παραδείσου, πρὶν ἐπὶ τὸ οἰκούμενον φθάσαι καταδυόμενος, ἔπειτα τὴν Ἰνδικὴν θάλασσαν ὑπελθὼν ἔτι, καὶ κύκλῳ γε αὐτὴν περιελιχθεὶς ὡς εἰκάσαι· τίς γὰρ ἀνθρώπων ἀκριβώσειε τοῦτο; καὶ ὑπὸ πᾶσαν τὴν ἐν μέσῳ γῆν ἐνεχθεὶς μέχρι τῆς Ἐρυθρᾶς θαλάσσης· καὶ ταύτην ὑποδραμὼν, ἐπὶ θάτερον αὐτῆς ἐκδίδοται μέρος ὑπὸ τὸ τῆς σελήνης καλούμενον ὄρος (ἐν ᾧ δύο πηγὰς λέγεται ποιεῖν, ἀλλήλων οὐκ ὀλίγον διεστηκυίας, κάτωθεν βιαίως ἀναῤῥοιβδουμένας)· καὶ διὰ τῆς Αἰθιοπίας ἐνεχθεὶς, ἐπὶ τὴν Αἴγυπτον χωρεῖ, διὰ πετρῶν ὑψηλοτάτων καταραττόμενος. Ἔτι δὲ καὶ D τοῦτο προστίθησιν ὡς ἅπαν τὸ πρὸς ἀνίσχοντα ἥλιον, καὶ περὶ τὴν μεσημβρίαν κλίμα, καίτοι πέρα τοῦ μέτρου θαλπόμενον, ὅμως τὰ κράτιστα καὶ μέγιστα φέρει τῶν, ὅσα γῆ τε καὶ θάλαττα δυνατὴ τρέφειν. Τά τε γὰρ κήτη τὰ ὑπερμεγέθη αὐτῇ ἐνεῖναι τῇ θαλάττῃ· καὶ ἤδη ὤφθη πολλάκις ἐπιπολάσαντα τοῖς τὸν Ὠκεανὸν ἐκεῖνον ναυτιλλομένοις. Ἥ τε γὰρ γῆ τοὺς ἐλέφαντας ἔχει τοὺς μεγίστους καὶ ὑπερφυεστάτους· καὶ δὴ καὶ τοὺς παρελέφαντας λεγομένους, ὧν τὸ γένος τὰ μὲν ἄλλα πάντα βοῦς ἐστι μέγιστος, τὴν δὲ βύρσαν καὶ τὸ χρῶμα ἐλέφας,

A id emittens. Hæc quippe est illa quæ media zona dicitur. Deinde quod is qui nunc Hyphasis dicitur fluvius, in Scripturis sacris Phison nominatus, et ipse e paradiso ortum ducens, ex arctois magis Orientis partibus meridiem versus profluere videtur, et in ejus ipsius oræ Oceanum aquas suas conjicere ex adverso Taprobanæ insulæ. Ad cujus fluminis ripas invenitur quod caryophyllum vocatur, sive id fructus, seu flos est. Et persuasum habent qui ibi habitant homines, arborem ejus, ex eis quæ in paradiso sunt, unam esse. 725 Etenim ea quæ supra eos est terra, admodum deserta est tota et sterilis. Quod autem is fluvius florem eum affert, satis constat illum super terram totum ferri, neque uspiam sub terram in cuni- B culos demitti : aliter enim, quod ibi natum esset, perferre non posset. Habet et aliam flumen hoc notam terrenæ cum paradiso commistionis. Fertur enim, si quis febri laboret ardenti, et in flumine eo mergatur, derepente eum morbo liberari. Tigris vero et Euphrates, quod terram subeant, et rursus emergant, non aliquid inde, ut Hyphasis (1), efferre possunt. Sed ne Nilus quidem : nam et hunc ipsum inde profluere, inspiratæ Mosæ litteræ testantur. Gæon ab ipso, a Græcis autem Ægyptius appellatur. Hic namque, quantum conjicere licet, e paradiso proruens, priusquam habitabilem orbis partem attigit, sub terram cuniculis immissus, inde Indicum mare subit, sub quo C in orbem circumvolutus (ut conjectura est, quis enim hominum hæc certo asseveret et demonstret?) et præterea sub omni ea quæ in medio protenditur terra, ad mare Rubrum procurrens, ac sub eo quoque prolapsus, in alterum ejus defertur littus, sub id quod dicitur lunæ promontorium (ubi duos fertur efficere fontes, non parum inter se distantes, et sursum versum magna vi et fragore prorumpentes), et inde per Æthiopiam provolutus, in Ægyptum procurrit, per altissimas rupes strepitu immenso præcipitans. Addit insuper et illud, tractum illum orbis ad Orientem et meridiem omnem, quantumvis in immenso ardore, maxima tamen et robustissima ferre omnia, quæ vel terra vel aqua gignuntur. In eo enim mari ad- D mirandæ magnitudinis immania cete reperiuntur, quæ sæpenumero Oceanum eum navigantibus pelago innatantia et emergentia apparuerunt, et terra ipsa elephantos habet longe maximos et vastissimos : præterea eos qui spurii elephanti dicuntur, quorum genus cætera quidem boves sunt maximi, pelle autem et colore, ipsaque adeo magnitudine elephanti. Sunt ibi quoque dracones sive serpentes, crassitudine trabibus non minores, longitudine ad quindecim protensi orgyas seu passus, quarum exuviæ etiam Romam visæ sunt perferri. Et apud

(novum orbem vocant) abundare, quas homines colant, et universum orbem qui ubique sit vitalis auræ particeps, non esse inhabitabilem : id quod antiquitus etiam primum Posidonium philosophum, Panætii discipulum, deinde quoque Avicennam Arabem medicum observasse quorumdam est opinio.

(1) Apud Plin *Hypasis* est, lib. II, cap. 73.

eas gentes monoceros, seu unicornis animans, caput draconis habens. **725** et cornu non magnum quidem illud, sed tortuosum. Mentum illi omne barba obsitum, collum longum in altum protensum, et serpentis tractui quam simillimum. Reliquum corpus cervo similius : pedes autem sunt leonis, cujus effigiem coloribus expressam a pictoribus conspicere licet. Camelopardalis etiam regionis ejus est soboles, quæ quidem aliis partibus cervi magnitudinem refert, proceritate autem cameli corpus imitatur. Collum longissimum et reliquæ corporis proportioni et convenientiæ minime respondens, in altum erectum gestat : ac pelle tota a summo capite ad imos pedes versicolore, quam proxime ad pardalim accedit, pedesque priores posterioribus altiores habet. Est item apud eos qui dicitur ægopithecus, simia quædam. Plurima enim sunt simiarum genera : arctopitheci scilicet, leontopitheci, et cynocephali, et aliæ aliis multarum animantium speciebus simiarum forma permista. Quarum permultæ etiam ad nos perlatæ hoc manifesto declarant. Ex quibus etiam est is qui dicitur Pan, capite, vultu et cornibus capram referens, et ab ilibus item deorsum versum caprinis pedibus insistens, ventre autem, pectore et manibus mera simia : quem tum quoque Indorum rex Constantio misit. Quod sane animal ad tempus aliquod, cum ferretur in cavea propter ferocitatem inclusum, vixit. Ubi vero mortuum est, aromatibus condierunt exenteratum, qui ferebant, et insolitæ formæ ostentandæ gratia Constantinopolim servatum pertulerunt. Videntur autem mihi animal hoc olim vidisse Græci, eosque insolentia aspectus exterritos, deum sibi constituisse, cum solemne hoc illis esset, ut quæ fidem excellerent, ea in deos referrent. Id quod in Satyro quoque ab eis est factum, qui et ipse simia est, facie rubra, ad motum facilis, et caudam habens. Quin et Sphinx ex genere simiarum est : cujus reliquum corpus, ut aliarum simiarum, hirsutum est, pectus autem ad collum usque glabrum. Mammas porro mulieris habet : totumque corpus, qua nudum est, rubra quædam et tenuis, milii specie, eminentia in orbem circumdat, et multum decoris atque gratiæ colori, qui in medio humanus est, conciliat : facies plusculum rotunda et acuta est, **726** et ad muliebrem inclinans formam. Vox itidem prorsus humana, sed non articulata, celeriter cum quadam quasi indignatione et dolore obscurum quiddam vociferanti similis : gravior autem est et molestior, si ea acuetur. Ipsum porro animal ferum admodum est, astutum et malevolum, neque adeo facile domatur. Hoc antiquitus mihi videtur Thebas Bœotiæ esse apportatum : et cum forte in quosdam, qui ad spectaculum ejus confluxerant, insiluisset, et vultus eorum unguibus deformasset, non ferentem Œdipum civium suorum contumeliam, feram interemisse, et nomen inde illustre retulisse. Cæterum fabulæ

A καὶ σχεδὸν εἰπεῖν, καὶ τὸ μέγεθος. Ἀλλὰ καὶ δράκοντες ἐν τούτοις εἰσὶ, πάχος μὲν δοκῶν οὐκ ἐλάττους, τὸ δὲ μῆκος εἰς ιε' παρατεινόμενον ὀργυιάς. Καὶ γὰρ καὶ δοραὶ τούτων ἐς Ῥωμαίους ὤφθησαν διακομισθεῖσαι. Ὅ τε μονόκερως τὸ ζῶον παρ' αὐτοῖς ἐστι, τὴν κεφαλὴν μὲν δράκοντος φέρων, κέρας δὲ σκολιὸν αὐτῷ πέφυκεν, οὔτι σφόδρα μέγα. Ὁ δὲ ἀνθερεὼν αὐτῷ πώγωνος ὑποπίμπλαται ἅπας· μακρὸς δὲ ὁ τράχηλος εἰς ὕψος ἀνατεινόμενος, ὁλκῷ δράκοντος ἐγγύτατα παραπλήσιος. Τὸ δὲ ἄλλο σῶμα ἐλάφῳ προσέοικε μᾶλλον· τοὺς δὲ πόδας λέοντος ἔχει· καὶ ἔστι γε αὐτοῦ τὸ ἐκτύπωμα ὁρᾷν, χρώμασιν ἱστορούμενον. Καὶ δὴ καὶ ἡ καμηλοπάρδαλις τῆς ἐκείνη γέννημα χώρας· ἢ τὰ μὲν ἄλλα ἐλαφός ἐστι μεγίστη, καμήλου δὲ τὸ ὕψος ἐνέδωκε τὸ σῶμα μιμεῖ-
B σθαι. Τὸν μέντοι αὐχένα μήκιστον καὶ ὑπὲρ τὴν ἀναλογίαν τοῦ λοιποῦ σώματος φέρει εἰς ὕψος ἀνορθούμενον. Ἀλλὰ καὶ τὴν δορὰν ἅπασαν ἀπὸ κεφαλῆς ἄκρας ἕως ἐσχάτων ποδῶν παρδάλει μάλιστα τὴν ποικιλίαν προσφερεστάτην ἔχει· καὶ τοὺς ἔμπροσθεν πόδας ὑψηλοτάτους τῶν ὄπισθεν. Παρ' αὐτοῖς δὲ ἐστι καὶ ὁ λεγόμενος αἰγοπίθηκος, πίθηκός τις ὤν· μυρία γάρ ἐστι γένη πιθήκων· ἀρκτοπίθηκοι γάρ εἰσιν ἐν αὐτοῖς, καὶ λεοντοπίθηκοι, καὶ κυνοκέφαλοι, καὶ ἄλλαις πολλῶν ζώων ἰδέαις τῆς πιθηκείας μορφῆς ἐπιμιγνυμένης, ὡς καὶ πολλὰ δῆλα καθίσταται παρ' ἡμῖν κομιζόμενα· ἐν οἷς ἐστι καὶ ὁ ἐπικληθεὶς Πὰν, ὃς τὴν μὲν κεφαλὴν αἰγοπρόσωπός ἐστι, καὶ αἰγόκερως, καὶ ἐκ λαγόνων τὰ κάτω αἰ-
C γοσκελής· τὴν δὲ κοιλίαν καὶ τὸ στέρνον καὶ τὰς χεῖρας καθαρὸς πίθηκος· ὃν καὶ ὁ τῶν Ἰνδῶν βασιλεὺς τηνικαῦτα Κωνσταντίῳ ἀπέστειλεν. Ὃ δὴ ζωὴν ἔζη μὲν φερόμενον ἄχρι τινὸς, ἔν τινι πλέγματι διὰ τὸ θηριῶδες εἱργμένον· ἐπεὶ δὲ ἀπέθανε, ταριχεύσαντες αὐτὸ οἱ κομίζοντες, θεάματος παρασχεῖν ἀσυνήθους εἰκόνα, μέχρι τῆς Κωνσταντίνου διεσώσαντο πόλεως. Καί μοι δοκοῦσι τὸ ζῶον τοῦτο Ἕλληνες πάλαι ἰδεῖν, καὶ ἐκπλαγέντες τῷ ξένῳ τῆς θέας, θεὸν σφίσι νομίσαι, εἰθισμένον αὐτοῖς τὰ παράδοξα θεοποιεῖν· ὥσπερ δὴ καὶ τὸν Σάτυρον. Ἔστι δὲ καὶ τοῦτο πίθηκος, ἐρυθρὸς τὸ πρόσωπον, καὶ γοργὸς τὴν κίνησιν, καὶ οὐρὰν ἔχων. Καὶ μὴν καὶ ἡ σφίγξ γένος ἐστὶ πιθήκων· ἧς τὸ μὲν ἄλλο σῶμα λάσιόν ἐστιν, ὡς τοῖς λοιποῖς πιθήκοις, τὸ δὲ
D στέρνον ἄχρι γε αὐτοῦ τοῦ τραχήλου ἐψίλωται. Μαζοὺς δὲ γυναικὸς ἔχει, ἐρυθροῦ τινος βραχέος κεγχροειδοῦς ἐπαναστήματος ἅπαν ἐν κύκλῳ τὸ γεγυμνωμένον τοῦ σώματος περιθέοντος, καὶ εἰς πολλήν τινα εὐπρέπειαν ἀνθρωποφανεῖ ὄντι τῷ ἐν μέσῳ χρώματι συναρμοζομένου· τό τε πρόσωπον ἐνεστρογγύλωται μᾶλλον, καὶ εἰς γυναικείαν ἕλκει μορφήν. Ἥ τε φωνὴ ἐπιεικῶς ἀνθρωπεία, πλὴν ὅσον οὐκ εἰς ἄρθρα διαιρουμένη, ἀλλά τινι ταχέως καὶ οἷον μετά τινος ὀργῆς τε καὶ ἀχθηδόνος ἄσημα ὑποφθεγγομένης προσεοικυῖα· βαρυτέρα τε μᾶλλόν ἐστιν ὀξυνομένη. Ἄγριόν τέ ἐστι δεινῶς τὸ θηρίον καὶ πανουργότατον, καὶ οὐδὲ ῥᾳδίως τιθασσευόμενον. Ταύτης εἰς Θήβας μοι δοκῶ τῆς Βοιωτίας πάλαι κομισθείσης, καί τισιν ἴσως τῶν ἐπὶ θέᾳ συν-

ἐῤῥυηκότων ἐφαλλομένη· καὶ τοῖς προσώποις λυμηναμένης, δεινὸν ποιησάμενος ὁ Οἰδίπους τὰς τῶν ὁμοφύλων λώβας, καταφονεῦσαι τὸ ζῶον καὶ ὄνομα λαμπρὸν ἐκεῖθεν λαβεῖν. Καὶ αὐτὸν ὁ μῦθος εἰς ἀνδρείαν κοσμῶν, ὑπόπτερον μὲν τὸ θηρίον ἀναπλάττει, διὰ τὸ ὀξέως ἐπιπηδᾷν· στέρνον δὲ γυναικὸς ἐφαρμόττει, καὶ τὸ σῶμα λέοντος· γυναικὸς μὲν, διὰ τὸ πρόχειρον τῆς γυμνώσεως καὶ πρὸς τὸ γυναικεῖον εἶδος ὁμοιώσεως, λέοντος δὲ, διὰ τὸ θηριῶδες, καὶ ὅτι κατὰ τὸ πλεῖστον τοῖς τέσσαρσι τυγχάνει ποσὶν ἐρειδόμενον. Λόγου δὲ τῷ θηρίῳ μετέδωκε τὸ πλάσμα, διὰ τὸ τῆς φωνῆς ἀνθρωποειδές· αἰνιγματῶδες δὲ, διὰ τὸ ἄσημα φθέγγεσθαι. Καὶ θαυμαστὸν οὐδέν· πολλὰ γὰρ καὶ ἄλλα σύνηθες τοῖς Ἕλλησι πρὸς τὸ μυθῶδες ἀναπλάττειν. Ἡ αὐτὴ δὲ χώρα καὶ ὄνους ἀγρίους μεγίστους τε τῷ μεγέθει φέρει, καὶ τὴν δορὰν κατὰ τὸ ξενίζον πεποικιλμένους, λευκοῦ σφίσι καὶ μέλανος χρώματος οὐ κατὰ μικρὸν συμποικιλλομένου· ἀλλὰ ζῶναί τινές εἰσιν ἀπὸ τῆς ῥάχεως ἐπὶ τὰς πλευρὰς καὶ τὴν κοιλίαν καθήκουσαι, καὶ ἐνταῦθα δὴ σχιζόμεναι καὶ κατά τινας περιφερείας ἀλλήλαις ἐνελιττόμεναι, θαυμαστήν τινα καὶ ξένην ἀπεργάζονται πλοκὴν καὶ ποικιλίαν. Ἀλλ' ἄγε δὴ καὶ ὁ φοῖνιξ, τὸ πολυθρύλλητον πτηνὸν, παρ' αὐτοῖς τυγχάνει γινόμενος. Καὶ μὲν δὴ καὶ τὴν ψιττάκην ἐκεῖθεν ἴσμεν κομιζομένην· ὃ τῶν ὀρνέων ἐστὶ λαλίστατον, καὶ τῆς ἀνθρωπίνης γλώττης μιμητικώτατον: καὶ τοὺς ποικίλους δὲ καὶ καταστιγεῖς ὄρνις, οὓς γαράμαντας ἐπικαλοῦσί τινες, ἀπὸ τοῦ ἔθνους οὗ μάλιστα πλεῖστοι κομίζονται, τὴν ἐπωνυμίαν θέμενοι. Καὶ ἄλλα δὲ πλεῖστα διαφανῶς ὑπερφυέστατα φύεται, ὧν τὸ πλῆθος ἡ διήγησις ὑποστέλλεται. Ἀλλὰ καὶ ὁ χρυσὸς ἐνταῦθα γεννᾶται ὁ καθαρώτατος, χρυσιτίδων οἱονεὶ τριχῶν αὐτοφυῶν τῆς ἐκείνῃ γῆς ἀναδιδομένων, καὶ ἐπ' ἀλλήλας κειμένων, καὶ ἐπίδηλον αὐτῷ τὴν γένεσιν παρεχομένων. Καὶ καρποὶ δὲ κάλλιστοί τε καὶ μέγιστοι· ὧν γνώριμα καὶ τὰ κάρυα. Ἀλλὰ μὴν καὶ τὸ ἐπὶ τοῖς Ὁμηρίταις κλίμα πᾶν μέχρι τῆς Ἐρυθρᾶς θαλάσσης δὶς τοῦ ἐνιαυτοῦ ἀναδίδωσι τοὺς καρπούς· ἐξ οὗ καὶ τὴν χώραν Ἀραβίαν εὐδαίμονα προσηγόρευσαν. Καὶ ὅλως ἡ πρὸς ἀνίσχοντα ἥλιον ἅπασα γῆ μακρῷ τῆς ἄλλης ἐν πᾶσι διαφέρει. Ὁ δὲ παράδεισος ἁπάσης τῆς ἑῴας τὸ κράτιστόν τε καὶ καθαρώτατον ὑπάρχων, καὶ τοὺς ἀέρας ἀκραιφνεστάτους καὶ καλλίστους ἔχων, καὶ τοῖς διαφανεστάτοις ὕδασι καταρδόμενος, δῆλον ὡς ἀπαραβλήτῳ ὑπεροχῇ τῆς ὑφ' ἡλίῳ πάσης ἐν πᾶσι τὸ κρεῖττον φέρει, τῆς ἔξωθεν θαλάσσης κατ' ἀνίσχοντα τὸν ἥλιον αὐτῷ περικλυζομένης. Ταῦτα μὲν εἰ καὶ παρεκβατικώτερα εἴρηται, ἀλλ' ἀναγκαῖα, οἶμαι, δόξει τοῖς φιλομαθεῖν ᾑρημένοις. Πολλοὶ δὲ καὶ ἄλλοι παρὰ τούτους ἐγένοντο, ἱκανοὶ καὶ νοεῖν καὶ λέγειν ἐν ἱεροῖς γράμμασιν· οὓς ἅπαντας ἀριθμεῖν ἐργῶδες, καὶ τῆς προκειμένης πραγματείας ἐκτός. Μή τῳ δὲ γενοίμην ἐν σκώμματι, οἷς τινας ἀρχηγοὺς ἢ καὶ σπουδαστὰς αἱρέσεων γενομένους, τοῖς καθ' ἡμᾶς ἀρίστως φιλοσοφήσασι, διεξῆλθον· οὐ γὰρ περὶ πίστεως καὶ δόξης ἡ κρίσις ἡμῖν ἀρτίως· ἀλλ' ὅτι δει-

A Œdipo fortitudinis laudem adornantes, alas belluæ isti affingunt, quod celeriter in obvios involaret. Eædem illi pectus mulieris et corpus leonis accommodant : illud propter nuditatis commoditatem et muliebris formæ similitudinem, hoc propter ferocitatem, et quod plurimum quatuor insistat pedibus. Sermonem quoque ei figmentum tribuit, quod vox ejus humanæ conformis esset : tribuit et ænigmata, quod obscura et non intellecta vociferaretur. Neque hoc mirum est; nam et multa alia Græci fabulis fingendis mutare consueverunt. Hæc eadem regio et asinos feros magnitudine ingentes fert, pelle mirifice præter morem versicolores : albo scilicet et nigro colore admodum inter se variatis, et zonæ quædam a summa dorsi spina ad
B latera et ventrem demissæ, atque ibi divisæ, et conversionibus quibusdam inter se implicatæ, mirificam et novam efficiunt plicaturam et varietatem. Sedenim et phœnix, decantatissima illa volucris, apud eos est : et psittacum inde ad nos apportari scimus, avium loquacissimam, et ad æmulationem humanæ vocis accommodatissimam. Et item varias punctisque distinctas aves, quas quidam garamantas vocant : nomine a gente, unde plurimæ afferuntur, eis imposito. Plurima porro alia aperte eximia et præstantia ibi gignuntur, quorum multitudinem præsens commemoratio reformidat. Nam et aurum hic nascitur purissimum, quasi quibusdam aureis capillamentis sponte
C sua e terra exsistentibus quæ sibi invicem imposita jacent, et manifestum proventum præbent.
727 Sunt etiam ibi fructus tum pulcherrimi, tum maximi : ex quibus nota sunt carya. Verum enimvero et tractus earum gentium, quæ supra Homeritas sunt, usque ad mare Rubrum, bis anno fructus edit : unde et regionem eam Arabiam Felicem cognominarunt. Et omnino cuncta quæ ad orientem solem est ora, longe reliquam terram rebus omnibus excellit. Paradisum autem, quem extremum mare Orientale alluit, cum totius Orientis pulcherrimus et purissimus sit, cœlum lætissimum amœnissimumque habens, et aquis pellucidissimis rigetur, satis constat incomparabili præstantia, quam terram quæ sub sole est omnem,
D omnia gignere et ferre meliora. Atque hæc tametsi per digressionem sunt extra institutum argumentum dicta, tamen necessaria, ut puto, esse videbuntur doctrinæ piæ et liberalis studiosis. Præter hosce vero et alii plures exstitere viri, qui sacras Litteras probe intellexerunt, et de eis copiose disseruerunt. Eos autem omnes recensere, præterquam quod præsentis operæ non est, difficile fuerit. Sedenim nemo me recte reprehenderit, quod nonnullos hæreticarum sectarum auctores aut sectatores, inter eos viros qui optime de sacris religionis professionisque nostræ senserunt atque scripserunt, commemorarim. Non enim nunc de fide nobis et opinionibus eorum judicium sumpsimus : sed propterea tantum mentio-

nem talium virorum, quod ab eloquentia gravi et festiva multum valuerint, intulimus. Minime namque, sicuti diximus, constitutum nobis est, de dogmatibus sententiam ferre : sed simpliciter ita, ut quæque res suo tempore sese dedere, exponere decrevimus, nihil ex arbitrio nostro temere adjicientes. De opinionibus sane quidem aliisque ejusmodi rebus manifesta propalam exstat veritas. Atque de eis, quibus hoc per leges concessum est, judicium ferant. Porro qui tempestate ea virtute insigni et eruditione præclara excelluere, ii sunt. Deinceps vero posteros quoque loco suo recensebimus.

A νοὶ λέγειν καὶ περὶ γλῶτταν ἀστεῖοι ἐγένοντο, δίειμι· οὐδὲ γὰρ τὸ προκείμενον ἡμῖν φιλοκρινεῖν δόξας, ἀλλ' ἁπλῶς οὕτω τὸ χρόνῳ παρεμπεσὸν ἀφηγεῖσθαι, ὥσπερ δὴ καὶ ἐγένετο, μηδὲν οἴκοθεν ἐπεισάγοντα. Περί γε μὴν δόξης καὶ τῶν λοιπῶν πρόδηλος ἡ ἀλήθεια. Καὶ οἷς θέμις περὶ τούτων κρινέτωσαν. Ὅσοι μὲν οὖν ἐπί τε ἀρετῇ καὶ λόγων παιδείᾳ τοῖς χρόνοις ἐπίσημοί τε καὶ περιβόητοι ἐγένοντο, οὗτοι ἦσαν· ἑξῆς δὲ κατὰ χώραν καὶ τοὺς ἐπιγενομένους ἐκθήσομαι.

CAPUT XX.

De egregio in Christianam religionem filiorum Constantini magni studio, et de opinionibus eorum : et ut aliquantulum Constantius transversim actus fuerit, et de dissidio seu contentione super consubstantiali et similisubstantiali : et de figmento Arianorum.

728 Nunc autem rursus historiam institutam prosequamur. Non solum igitur quos diximus Dei amantes viri, vita et sapientiæ studio pollentes, religionem novis exercitiis adaugentes cohonestarunt : sed etiam imperatores ipsi æmulatione paternas res ecclesiasticas et divinum cultum in deliciis habuere. Clerum enim Dei ejusque liberos et propinquos insignibus honoribus et immunitatibus decorarunt, bonisque et honestis patriis legibus alios et ipsi pro suo in Deum amore, ad religionem adduxerunt. Qui sane omnes idolorum cultum simulacrorumque curam sustulerunt : et ubique locorum claustra Græcorum templis imposita sunt, quædam etiam in materiæ rationem a nostris revocata, et funditus statim diruta. Nec parvo illis studio fuit, sacra ecclesiarum delubra temporis diuturnitate pene collapsa restituere, quædam etiam ex ipsis fundamentis construere. Quorum unum est et pulchritudine et magnitudine aliis multis præstantius, quod apud Emesam Constantius condidit. Ad hæc lege sanxerunt (1), ne quis Judæus mancipium Christianum, cujuscunque tandem sectæ, ære et libra emptum haberet. Si qui aliter fecisse compertus esset, servum eum publicum fore. Quod si eum circumcidisse deprehensus esset, capitis supplicium eum subiturum, bonis ejus publicandis. Cum enim constitutum in animis suis haberent, Christianum cultum propagare, hoc etiam maxime providerunt, ut ne temere a Judæis aliqui in religionem suam pertraherentur, sed potius veræ Ecclesiæ omnes, de quibus aliqua spes esset, conservarentur, et Christiani fierent. Christiana enim pietas ex Græcis et gentilibus magis incrementa sua capiebat. Verum enimvero primum Constantini filii paternam opinionem integram certamque servarunt : et uterque acer Nicænæ fidei laudator fuit. Constans quidem ad finem usque in ea perstitit. **729** Constantius

B

ΚΕΦΑΛ. Κ'.

Περὶ τῆς εἰς τὴν εὐσεβῆ θρησκείαν τῶν παίδων τοῦ μεγάλου Κωνσταντίνου σπουδῆς, καὶ περὶ τῆς δόξης αὐτῶν, καὶ ὡς μικρὸν παρεσύρη Κωνστάντιος· καὶ περὶ τῆς διαφορᾶς τοῦ ὁμοουσίου καὶ ὁμοιουσίου καὶ τοῦ πλάσματος τῶν Ἀρειανῶν.

Ἡμεῖς δὲ αὖθις τῆς προκειμένης ἱστορίας ἐχώμεθα. Οὐ μόνον οὖν οἱ προειρημένοι θεοφιλεῖς ἄνδρες βίῳ καὶ ἄλλως σοφίας λόγῳ πολλῷ διαφέροντες τὴν θρησκείαν ἐγέραιρον, τοῖς ξένοις ἐπιτηδεύμασιν αὔξοντες· ἀλλ' ὅτι καὶ οἱ τηνικάδε κρατοῦντες, κατὰ ζῆλον πατρῷον ἐν πολλῇ τῇ ῥαστώνῃ περὶ τὰς ἐκκλησίας καὶ τὸ σέβας εἶχον. Τούς τε γὰρ ἐν κλήροις Θεοῦ, καὶ τοὺς ἐξ ἐκείνων, καὶ ὅσοι ἀγχιστεύοντες ἐκείνοις ἦσαν, τιμαῖς ἐξαισίαις καὶ ἀτελείαις ἐσέμνυ-
C νον, τοῖς καλοῖς τε καὶ ἀγαθοῖς πατρικοῖς νόμοις ἑτέρους καὶ αὐτοὶ θεοφιλῶς προστιθέντες. Οἳ δὴ πάντες ἀνῄρουν τήν τε τῶν εἰδώλων λατρείαν, καὶ τὸ τῶν ξοάνων ἐπιμελές. Κλεῖδες γὰρ ἁπανταχοῦ τοῖς Ἑλλήνων ναοῖς ἐπετίθεντο. Ἦσαν δὲ οἳ καὶ ὕλης λόγον ἐπεῖχον τοῖς ἡμετέροις, εὐθὺς ἐκ βάθρων λυόμενοι. Οὐ διὰ μικρᾶς δ' ἦν ἐκείνοις σπουδῆς καὶ τοὺς χρόνῳ κεκμηκότας τῶν θείων σηκῶν παρασκευάζειν ἡβᾷν, τοὺς δ' ἐκ κρηπίδων αὐτῶν ἀνιστᾷν· ὧν εἷς ἐστι κάλλει καὶ μεγέθει τῶν πολλῶν ὑπερφέρων καὶ ὁ κατὰ τὴν Ἔμεσσαν Κωνσταντίῳ ἀνεγερθείς. Πρὸς τούτοις ἐνομοθέτουν, μή τινα Ἰουδαϊκῇ θρησκείᾳ συζῶντα δοῦλον ὠνεῖσθαι ἐξ οἵας δή ποτ' οὖν αἱρέσεως ὄντα. Εἰ δ' οὖν φωραθέντα, αὐτὸν ἐκεῖνον δη-
D μόσιον δοῦλον καθίστασθαι. Εἰ δὲ λάθοι περιτεμὼν, ζημίαν ἐκείνῳ εἶναι τὴν τῆς κεφαλῆς ἐκτομὴν, καὶ τὸ τὰ ὄντα τῷ δήμῳ ἀνεῖσθαι· ᾑρημένοι γὰρ τὸ σέβας ἐπιδιδόναι, καὶ τούτου δὴ μάλιστα προὐνόουν, ὥστε μὴ ὡς ἔτυχέ τινας ὑπὸ Ἰουδαίων ἐφέλκεσθαι, τῇ δ' ἀληθεῖ Ἐκκλησίᾳ ταμιεύεσθαι, καὶ ὅσοι τέως ἐν ἐλπίσιν ἦσαν χριστιανίζειν. Ἡ γὰρ τῶν Χριστιανῶν θρησκεία ἐξ Ἑλλήνων μᾶλλον τὴν ἐπίδοσιν εἶχεν. Οὐ μὴν δὲ ἀλλὰ τὰ πρῶτα ἀθιγῆ τὴν πατρῴαν δόξαν οἱ παῖδες Κωνσταντίνου ἀσφαλῶς ἐφρούρουν· καὶ ἄμφω γὰρ διάπυροι ἐπαινέται τῆς ἐν Νικαίᾳ πίστεως ὄντες ἐτύγχανον. Καὶ Κώνστας μὲν ἄχρι τέλους ἐν ταύτῃ παρέμεινεν· ὁ δέ γε Κωνστάντιος μέχρι μέν τινος ἐκείνοις εἵπετο, εἰσέπειτα δὲ τῆς τοῦ ὁμοουσίου σαλευομένης λέξεως, μικρόν τι τῆς

(1) Constantini l. unica est. C. *Ne Christian. mancip.*, l. *Deo nobis*, §. *His ita dispositis*. C. *De episc. et cler.*

γνώμης ἐσύρη· οὐ μὴν ὡς ἐπίπαν ἀπέσχετο, μὴ καὶ τὸν Υἱὸν ὅμοιον κατὰ τὴν οὐσίαν τῷ Πατρὶ διαῤῥήδην ἀνακηρύττειν. Οἱ μὲν γὰρ ἀμφὶ τὸν Εὐσέβιον Νικομηδείας, καὶ ἄλλοι τῶν ἀνὰ τὴν ἕω τηνικαῦτα ἐπισκόπων, ἐπί τε ἀρετῇ καὶ λόγοις τὸ ἐπίσημον κεκληρωμένοι, διαφορὰν ἔχειν εἰσηγοῦντο τὸ ὁμοούσιον λέγειν, καὶ κατ' οὐσίαν ὅμοιον, ὃ δὴ καὶ ὁμοιοούσιον ἔλεγον. Ἐπὶ γὰρ σωμάτων μόνων κυρίως ὑπετίθουν τὸ ὁμοούσιον· ὡς φέρε εἰπεῖν, ἐπ' ἀνθρώπων καὶ λοιπῶν ζώων, ἔτι δὲ καὶ δένδρων καὶ φυτῶν, οἷς ἅπασιν ἡ μετουσία καὶ ἡ γένεσις ἐξ ὁμοίου ἐστί. Τὸ δ' ὁμοιοούσιον ἐπὶ τῶν ἐκτὸς ὕλης χρῆναι ἔλεγον· οἷον ἐπὶ Θεοῦ καὶ ἀγγέλων· ἕκαστον γὰρ τούτων πρὸς ἑαυτὸν νοούμενον κατ' ἰδίαν ὑφέστηκεν· ἐξ ὧν καὶ Κωνστάντιος παραγόμενος, ὡς ἔοικε, παρεσύρη μεταπεισθείς. Καί γε, ὡς εἰκάζειν μοι ἔπεισι, κατὰ διάθεσίν τε καὶ γνώμην ὅμοια καὶ οὗτος τῷ πατρὶ καὶ τἀδελφῷ ἐφρόνει. Ἀμείψας δὲ τὸ ῥητὸν, οὐδὲν ἁμαρτάνειν περὶ τὸ σέβας ᾤετο, ἀντὶ ὁμοουσίου ὁμοιοούσιον λέγων. Ὃ δὴ τοῖς τότε εἰσηγουμένοις ἄμεινον καὶ ἀκριβέστερον εἶναι ἐδόκει· ἰσχυρίζοντο γὰρ, ὡς εἴ τις μὴ οὕτω λέγοι, κινδυνεύειν λοιπὸν σῶμα τὸ ἀσώματον καὶ λέγειν τε καὶ νοεῖν. Ὅπερ εὐηθείας ἀνάμεστον ὂν, τοῖς πολλοῖς καταγέλαστον εἶναι ἐδόκει. Συνιέναι γὰρ ἐχρῆν ὡς τὰ τῶν νοητῶν ὀνόματα ἐκ τῶν φαινομένων τὴν μετάληψιν ἔχουσι. Ποῖος δ' ἂν κίνδυνος ἐν λέξεσι γένοιτο, μηδεμιᾶς ἁμαρτίας περὶ τὴν ἔννοιαν γινομένης; Ἐντεῦθεν τεκμηριώσασθαι ἔπεισί μοι καὶ τὸν πολὺν ἐν θεολογίᾳ Γρηγόριον ἐν τοῖς κατὰ Ἰουλιανοῦ στηλιτευτικοῖς, ὅλον τῶν ἐπαίνων Κωνσταντίου γενόμενον, ὑπερφυέσιν ἐγκωμίοις στέφειν, καὶ τὸ εὐσεβὲς ἀνακηρύττειν αὐτοῦ· ὡς καὶ ἀγγελικὰς δυνάμεις προαγόμενον προπέμπειν αὐτὸν, καὶ ξενιζούσαις γεραίρειν ᾠδαῖς, ὡς ἐν τῷ πέρατι τοῦ παρόντος τόμου διαληψόμεθα. Θαυμαστὸν δὲ οὐδὲν εἰ βασιλεὺς περὶ πράγματα τὴν σχολὴν ἔχων, παραπεισθεὶς τὴν λέξιν προσήκατο· ὅπου γε καὶ τῶν τηνικάδε ἱερέων πολλοὶ, κατὰ διάνοιαν σύμφωνοι ὄντες τῷ κατὰ Νίκαιαν δόγματι, δίχα τινὸς ἔριδος τὴν λέξιν ἁπλῶς ἐξεδέχοντο. Ἄλλοι μηδέν τι περὶ ἀμφοτέρας ἐννοοῦντες φαῦλον, ἐπὶ μιᾷ σημασίᾳ τῆς εὐσεβοῦς διανοίας ἐχρῶντο. Ὡς ἐντεῦθεν συνάγεσθαι ἐκεῖνο, κομψότητος μὲν ἔμπλεων εἶναι, ὃ οἱ περὶ Ἄρειον ἐπὶ τῷ σφετέρῳ δῆθεν καλῷ ἀνεπλάσαντο· καὶ γάρ φασι μετὰ τὴν τῶν τιη' θεοφόρων Πατέρων συνέλευσιν πολλοὶ τῶν ἐπισκόπων, ὧν καὶ Εὐσέβιος ἦσαν καὶ Θεογόνιος οἱ Βιθυνοὶ, οὐκέτ' ἤθελον λέγειν ὁμοούσιον εἶναι τῷ Πατρὶ τὸν Υἱὸν, καὶ ταῦτα καθυπογράψαντες· οἷς χαλεπήνας ὁ Κωνσταντῖνος, ὑπερορίους ἐποίει. Ὄναρ δὲ τῇ τοῦ κρατοῦντος ἀδελφῇ θεόθεν χρῆσαι, ὡς ἀδίκως ἐγένοντο ὑπερόριοι, ὀρθῶς δοξάζοντες περὶ τοῦ Θεοῦ. Ἐντεῦθεν δ' ἐκείνων μετακληθέντων, ἔρεσθαι τὸν κρατοῦντα, ὅτου χάριν παρὰ τὰ δεδογμένα τῇ συνόδῳ φρονοῦσι, καὶ ταῦτα σύμψηφοι καὶ κοινωνοὶ γραφῆς καὶ τῶν λοιπῶν αὐτῇ γεγονότες. Τοὺς δ' ἀποκρίνασθαι, μὴ κατὰ γνώμην τοῖς δεδογμένοις συνθέσθαι. Εἰσῄει γὰρ δέος ἡμῖν οὐκ ἔλαττον, ἔλεγον,

A vero aliquandiu eam secutus, postea τοῦ ὁμοουσίου, consubstantialis, verbo passim jactato, aliquantulum de sententia sua cessit : non ille quidem ita prorsus ab ea desciscens, ut non Filium similem secundum substantiam Patri aperte profiteretur. Sed Eusebius Nicomediensis, et alii ejus temporis Orientales episcopi, virtute et doctrina magnam gloriam consecuti, differre locutiones has asseverabant, τὸ ὁμοούσιον, consubstantiale, et simile secundum substantiam, id quod etiam ὁμοιοούσιον, simile substantia, dicebant. Subjiciebant namque, ὁμοούσιον, consubstantiale, proprie de solis corporibus dici, utputa de hominibus et aliis animantibus, item de arboribus et plantis, quibus omnibus communicatio et generatio ex simili est : ὁμοιοούσιον, B simile substantia, autem, de rebus materia carentibus usurpari debere dicebant, veluti de Deo et angelis : horum enim quodlibet, si per seipsum mente et intelligentia quis contempletur, pro se seorsim subsistat. Quibus verbis, ut videtur, Constantius seductus, et aliter quam antea persuasus, aliquantum transversim est actus. Atque equidem, quantum conjicio, animo et sententia idem is cum patre et fratre sensit; verbo autem mutato minime se in pietatis cultu labi putavit, videlicet si pro ὁμοουσίου, consubstantiali, ὁμοιούσιον, simile substantia, diceret. Quod sane eis qui id afferebant, rectius certiusque esse visum est. Affirmabant namque, nisi quis hoc sic diceret, C periculum deinde esse, ne corpus esse quod incorporeum est et diceret et sentiret. Id sane ut stupiditatis plenum, multis ridiculum visum est. Cæterum illud eos scire oportebat, quod rerum, quas mente et intelligentia contemplamur, nomina a rebus apparentibus per transumptionem necessario accipiuntur. Quod vero potest esse in nominibus periculum, cum in ipsa intelligentia et mente nullus sit lapsus et error? Inde etiam conjicere est, magnum illum in theologia Gregorium, in suis in Julianum invectivis orationibus, dum in laudando Constantio totus est, non injuria mirificis eum ornare præconiis, pietatemque ejus ita deprædicare, ut illum, a morte scilicet productum, angelicæ etiam virtutes stipantes, novisque D et admirandis honorantes carminibus, sint prosecutæ : sicuti in fine tomi hujus exponemus. Neque mirum videri debet, imperatorem rerum administratione occupatum, magnorum hominum suasu verbum hoc approbasse : **730** quando multi tum ex sacris viris animo et sententia Nicæno dogmati assentientes, citra contentionem omnem simpliciter id quoque recepere. Aliqui autem nihil prorsus de utraque dictione suspicantes sinistri, uno eodemque sensu piæ sententiæ alterutrum usurparunt. Unde illud satis constat, tumorem merum et fastum esse, quod Ariani suo videlicet commodo confinxere. Aiunt enim, post trecentorum decem et octo sanctorum Patrum conventum, episcopos multos, in quibus etiam Eusebius et Theognis Bithyni fue-

rint, noluisse Filium ὁμοούσιον consubstantialem Patri dicere, cum quidem formulæ fidei subscripsissent. Quibus succensens Constantinus, exsilio eos mactarit. In somnis autem imperatoris sorori divinitus oraculo ostensum esse, inique illos in exsilium actos, qui recte de Deo opinarentur. Atque deinde revocatos eos imperatorem interrogasse, curnam ita aliter quam synodus statuisset, sentirent, qui suffragatores et participes scripturæ rerumque aliarum in ea fuissent. Atque illos respondisse, non ex animi sententia se decretis eis assensisse. Timorem enim eos invasisse, ne contentione ea de re orta, imperator ipse a Christiano dogmate velut inutili et controverso deficeret, et ad pristinam relaberetur superstitionem : qui heri et nudiustertius, ut dicitur, Christianus esse cœpisset, et non ita pridem baptismo initiatus fuisset (1), proindeque consilio mutato persecutor Christianorum fieret. Quibus verbis auditis, Constantinum exsilium quidem illis remisisse, rationemque consilii et facti eorum comprobasse , meditatum vero esse, ut synodum aliam cogeret. Atque id facere volentem, mortem impediisse. Constantio autem, ut filiorum natu maximo, ut consilium id exsequeretur, mandasse : quod cum diceret, divinum cultum nihil prodesse nisi ab omnibus uno consensu deferretur, dixerit. Proinde hunc patris jussa transgredi nolentem, Ariminense indixisse concilium. Sed figmenti istius mendacium, prudenti facile est deprehendere. Vicesimus enim primus imperii Constantii annus erat (2), cum synodus Arimini coacta est : multis aliis conventibus ante id tempus celebratis, in quibus maxime quæstio τοῦ ὁμοουσίου, consubstantialis, et τοῦ ὁμοιοουσίου, similis substantiæ, est disputata. **731** Substantia autem similem (3) Patri Filium docere, omnes omnino renuerunt, donec Aetius Syrus hac de re perperam sensit : propter quem, quod male opinans, non melius doceret, eodem tempore Arimini et Seleuciæ Constantius omnes undequaque episcopos convenire jussit, opinionem ejusmodi abolituros. Ut jam omnibus liquido pateat, Constantium non ob eam quam Ariani ementiti sunt causam, Ariminensem instituisse synodum, sed propter opinionem, quam Aetius perperam vulgaverat. Atque hæc vera esse historia procedens declarabit. Porro ista, quamvis per digressionem, argumento tamen instituto consentanea, necessario a me sunt exposita. Sed eo, unde divertimus, redeamus.

μὴ ἔριδος γενομένης ἐντεῦθεν, ὡς ἀχρείου τοῦ δόγματος ἀπόσχηται κράτος τὸ σὸν, καὶ πρὸς τὴν προτέραν ἐπανέλθοις πίστιν, χθὲς καὶ πρότριτα Χριστιανίζειν ἀρξάμενος, καὶ οὐ πάνυ πόῤῥω τελεσθεὶς τῷ βαπτίσματι, διώκτης μάλιστα μετατραπεὶς γένοιο. Ἃ δῆτ' ἀκούσαντα Κωνσταντῖνον, λῦσαι μὲν τὴν ὑπερορίαν ἐκείνοις, συγγνῶναι δὲ τῆς οἰκονομίας· διὰ μελέτης δ' ἔχειν σύνοδον ἀθροίζειν ἑτέραν. Ὃ δῆτα βουλόμενον δρᾷν, ἀνέσχεν ἡ τελευτή. Κωνσταντίῳ δὲ, ὡσανεὶ πρεσβυτέρῳ τῶν παίδων, ἐντείλασθαι πέρας τῷ σκοπῷ ἐπιθέσθαι· μηδὲ γὰρ ἂν τὴν θρησκείαν ὠφελεῖν ἔλεγεν, εἰ μὴ σύμφωνος παρὰ πάντων εἴη. Τὸν δὲ τὰ ἐντελλόμενα τῷ πατρὶ μὴ παραβαίνειν ἐθέλοντα, τὴν ἐν Ἀριμίνῳ σύνοδον συγκροτῆσαι. Δι' οὗ λόγου μάλιστα εὐφώρατον τοῖς συνιεῖσι τὸ τοῦ πλάσματος ψεῦδος συνάγεται. Πρῶτον γὰρ ἔτος καὶ εἰκοστὸν τῇ ἀρχῇ Κωνστάντιος ἤνυεν, ἡνίκα ἡ ἐν Ἀριμίνῳ συνίστατο σύνοδος, πολλῶν ἄλλων συνόδων γεγενημένων τῷ μεταξὺ, ἐν αἷς μάλιστα ἡ τοῦ ὁμοουσίου ζήτησις ἐγυμνάζετο, καὶ τοῦ ὁμοιοουσίου. Κατ' οὐσίαν δὲ ὅμοιον τῷ Πατρὶ τὸν Υἱὸν δοξάζειν παντάπασιν ἅπαντες ἐξετρέποντο, μέχρις ὅτου ὁ Σύρος Ἀέτιος περὶ τούτου χαλεπῶς διετέθη· δι' ὃν τοῦτο κακῶς δογματίζοντα, κατὰ τὸν αὐτὸν χρόνον προστάττει Κωνστάντιος, ἔν τε Ἀριμίνῳ καὶ Σελευκείᾳ τοὺς ἁπανταχοῦ συνελθεῖν ἱερέας, τὴν τοιαύτην ἀναιρήσοντας δόξαν· ὡς εἶναι πᾶσι καταφανὲς, μὴ δι' ὃ Ἀρειανοὶ καταψεύδονται, τὴν ἐν Ἀριμίνῳ σύνοδον συγκροτῆσαι Κωνστάντιον, ἀλλὰ δι' ὧν κακῶς ἐδόξαζεν ὁ Ἀέτιος. Καὶ ὅτι ταῦτ' ἀληθῆ, προϊούσης τῆς ἱστορίας φανήσεται. Ταῦτα εἰ καὶ παρεκβατικώτερον εἴρηται, ἀλλ' οὖν ὡς τῇ μετὰ χεῖρας πραγματείᾳ τὸ σύμφωνον ἔχοντα, ἀναγκαῖά μοι κατεφάνη. Ἀλλ' ἐπανιτέον ὅθεν ἐξέβημεν.

CAPUT XXI.

Ut post Sardicensem synodum, minis Constantis Cæsaris adductus, Constantius ab exsilio revocaverit Paulum et Athanasium : et quæ Constantius Athanasio scripserit.

Constans Occidentis imperator, actis Sardicensibus cognitis, duobus episcopis et Saliano duce quodam, pietate et justitia claro viro, ad fratrem missis, per litteras etiam quæ Sardicæ gesta essent, ei declaravit, et Paulo atque Athanasio, qui injuria affecti fuerant, ecclesias suas reddere jussit. Cum autem Constantius frustra tempus extraheret,

ΚΕΦΑΛ. ΚΑ'.

Ὡς μετὰ τ ἐν Σαρδικῇ ἀπειλαῖς Κώνστα τοῦ Καίσαρος ὑπὸ Κωνσταντίου ἀνεκλήθησαν αὖθις οἱ περὶ Παῦλον καὶ Ἀθανάσιον· καὶ οἷα ἔγραψεν Ἀθανασίῳ Κωνστάντιος.

Ὁ τῶν ἑσπερίων βασιλεὺς Κώνστας τὰ ἐν τῇ Σαρδικῇ γενόμενα διαγνοὺς, δύο τῶν ἐπισκόπων πέμψας, καί τινα στρατηγόν· Σαλιανὸς τούτῳ ὄνομα ἦν, εὐσεβείᾳ δὲ καὶ δικαιοσύνῃ διέλαμπεν· ἔγραφε τἀδελφῷ δῆλα καθιστῶν τὰ γενόμενα, καὶ τοῖς ἀδικηθεῖσι Παύλῳ καὶ Ἀθανασίῳ τὰς ἰδίας ἐκκλησίας νέμειν παρεκελεύετο. Ἐπεὶ δ' ὁ Κωνστάντιος εἰκῆ

(1) Apud Sozom. est, καὶ ἔτι ἀβάπτιστος ὤν, hoc est, *et nondum baptizatus esset*, lib. III, cap. 19.

(2) Sozom. *vicesimus secundus*.

(3) Videtur esse legendum, *inæqualem* ; infra cap. 36 eod.

τρίβειν τὸν χρόνον ᾑρεῖτο, αὖθις γράφων παρῄνει, ἢ A δέχεσθαι τοὺς περὶ Παῦλον καὶ Ἀθανάσιον, καὶ τοὺς ἰδίους ἀποδιδόναι θρόνους· ἢ μὴ δρᾷν οὕτω θέλοντα, πρὸς πόλεμον παρασκευαστέον εἶναι. Ὁ δ' ἐπισκόποις τισὶ κοινωσάμενος τὴν βουλὴν, ἄμεινον ἔφασαν ἐκεῖνοι Ἀθανασίῳ παραχωρεῖν τῶν ἐκκλησιῶν, ἢ ἐμφυλίοις διακρίνεσθαι μάχαις. Οὕτω δ' ἐπὶ λέξεως τῷ Κώνστᾳ εἶχεν ἡ ἐπιστολὴ Λακωνίζουσα· « Ἀθανάσιος ἧκεν ὡς ἡμᾶς, ἑαυτῷ προσήκειν τὴν ἐπισκοπὴν Ἀλεξανδρείας ἀποδεικνύς. Τυγχανέτω τοίνυν διὰ σοῦ ταύτης· ἐπὶ τοῖς ἐμοῖς γε αὐτὴν ἀνακτήσεται ὅπλοις. » Τούτοις δ' ἐκβεβιασμένος Κωνστάντιος, πρὸς ἑαυτὸν δημοσίοις ὀχήμασιν ἐκάλει τὸν Ἀθανάσιον. Τοῦ δ' ἀμφιβάλλοντος, τῶν γὰρ δι' ἐναντίας τοὺς δόλους ὑπείδετο, καὶ αὖθις καὶ πολλάκις ὁ Κωνστάντιος γράφων ἀνεκαλεῖτο. B Ἐγὼ δὲ καὶ τὰς ἐπιστολὰς εἰς παράστασιν ἐνθήσω τῇ συγγραφῇ· « Κωνστάντιος Νικητὴς Αὔγουστος Ἀθανασίῳ ἐπισκόπῳ. Ἐπὶ πολύ σε κλυδωνίζεσθαι καὶ χειμάζεσθαι τοῖς τῆς θαλάσσης ὁμοίως κύμασιν ἀγρίοις οὐκ ἀφῆκεν ἡ τῆς ἡμετέρας ἡμερότητος φιλανθρωπία· γυμνωθέντα σε τῆς πατρῴας ἑστίας, καὶ στερηθέντα τῶν ἰδίων, καὶ πλανώμενον ἐν θηριώδεσιν ἀνοδίαις, οὐ παρεῖδεν ἡ ἀκάματος ἡμῶν εὐσέβεια· εἰ καὶ τὰ μάλιστα ἐπὶ πολὺ ὑπερεθέμην γράψαι τὴν πρόθεσιν τῆς ἐμῆς διανοίας, προσδοκῶν αὐθαίρετόν σε παραγενέσθαι πρὸς ἡμᾶς, καὶ τῶν καμάτων αἰτεῖν θεραπείαν. Ὅμως ἐπειδὴ ἴσως ὁ φόβος τὴν προαίρεσιν τῆς σῆς προθέσεως ἐνεπόδιζε, διὰ τοῦτο δωρεᾶς πληρέστατα γράμματα πρὸς τὴν σὴν στεῤῥότητα διεπεμψάμεθα· C ἵνα ἀφόβως ταῖς ἡμετέραις προσόψεσι ταχεῖαν τὴν σαυτοῦ παρουσίαν παρασχεῖν σπουδάσῃς, ὑπὲρ τοῦ τῆς σαυτοῦ ἐπιτιμίας ἀπολαῦσαι, καὶ πειραθεὶς ἡμῶν τῆς φιλανθρωπίας, τοῖς ἰδίοις ἀποκατασταθῇς· τούτου γὰρ ἕνεκα καὶ τὸν δεσπότην καὶ ἀδελφόν μου Κώνσταντα τὸν Νικητὴν Αὔγουστον ὑπὲρ σοῦ παρεκάλεσα, ἵνα τοῦ ἐλθεῖν ἐξουσίαν σοι δώσῃ ὅπως, ἀμφοτέρων ἡμῶν ἐπινευσάντων, τῇ πατρίδι ἀποκατασταθῇς, ἔχων τοῦτο τῆς ἡμῶν χάριτος ἐνέχυρον. » « Κωνστάντιος νικητὴς Αὔγουστος Ἀθανασίῳ ἐπισκόπῳ. Εἰ καὶ τὰ μάλιστα διὰ προτέρων γραμμάτων ἐδηλώσαμεν, ὅπως ἀμερίμνως εἰς τὸ ἡμέτερον κομιτᾶτον παραγένῃ, διὰ τὸ μάλιστα ἡμᾶς βούλεσθαι ἀποστεῖλαί σε εἰς τὰ ἴδια, ὅμως καὶ νῦν ταῦτα τὰ γράμματα πρὸς τὴν σὴν στεῤῥότητα δεδηλώκαμεν. D Διὸ προτρεπόμεθα, χωρίς τινος ἀπιστίας καὶ φόβου ἐπιβῆναί σε δημοσίοις ὀχήμασι, καὶ σπουδάσαι πρὸς ἡμᾶς, ἵνα ὧν ἐπιθυμεῖς, ἀπολαῦσαι δυνηθῇς. » « Κωνστάντιος Νικητὴς Αὔγουστος Ἀθανασίῳ ἐπισκόπῳ. Ἡνίκα ἐν τῇ Ἐδέσσῃ διετρίβομεν, παρόντων τῶν σῶν πρεσβυτέρων, ἤρεσεν ὅπως, ἀποσταλέντος πρεσβυτέρου πρὸς σὲ, ἐλθεῖν πρὸς τὸ ἡμέτερον κομιτᾶτον σπουδάσῃς, ἐπὶ τῷ ἰδόντα σε τὴν ἡμετέραν πρόσοψιν, εὐθέως εἰς τὴν Ἀλεξάνδρειαν ὁδεῦσαι. Ἀλλ' ἐπεὶ δὴ πλεῖστος χρόνος παρῆλθεν ἀφ' οὗ γράμματα δεξάμενος παρ' ἡμῶν οὐκ ἀπήντησας, διὰ τοῦτο καὶ νῦν ὑπομνῆσαί σε ἐσπουδάσαμεν, ἵνα κἂν νῦν τὴν σὴν παρουσίαν ταχεῖαν ποιῆσαι πρὸς ἡμᾶς σπουδάσῃς, καὶ οὕτω δυνηθῇς τῇ πατρίδι σου ἀποκατασταθῆναι...

alia epistola ei Constans institit, ut aut Paulum et Athanasium reciperet, eisque thronos suos reddendos curaret, aut nisi hoc faceret, ad bellum se præpararet. Atque ille re cum quibusdam episcopis deliberata, de eorum sententia, satius esse statuit, Athanasio de ecclesia decedere, quam civili decertare bello. Constantis litteræ Laconice his verbis scriptæ erant: « Venit ad nos Athanasius, et ad se episcopatum Alexandriæ pertinere probavit. Quapropter illum ope tua fac consequatur: alioqui namque armis eum meis recuperabit. » Hisce litteris adactus Constantius Athanasium publica disposita vectura ad se vocavit. Atque illo, quod adversariorum dolos suspectos haberet, reditum differente, iterum sæpiusque Constantius litteris eum ad se invitavit: **732** quas ad fidem dictis faciendam, historiæ inserere libet. « Constantius Victor Augustus Athanasio episcopo. Diutius tanquam sævis pelagi fluctibus te differri et affligi non patitur mansuetudinis nostræ humanitas: neque patriis expulsum laribus, bonisque spoliatum, atque in inaccessis ferarum locis oberrantem, despicit indefessa pietas nostra. Equidem diutius ad te animi mei sententiam perscribere distuli, sponte tua te ad nos venturum, atque laborum remedium petiturum esse opinatus. Verum cum fortasse consilium propositumque tuum timor impedierit, litteras hasce munificentiæ plenas, ad firmitatem tuam dandas existimavimus: quo citra metum omnem in conspectum nostrum quam celerrime venire properes, ut cum voti tui compos fias, tum humanitatem nostram expertus, in ea quæ juris tui sunt restituaris. Hac enim de causa et dominum atque fratrem meum Constantem Victorem Augustum pro te rogavimus, ut redeundi tibi facultatem permitteret, quo ad eum modum, utrisque nobis annuentibus, in patriam reducaris, et hoc nostræ in te gratiæ pignus habeas. » « Constantius Victor Augustus Athanasio episcopo. Quanquam prioribus litteris nostris tibi significavimus, ut absque sollicitudine omni in comitatum nostrum venires, quod te maxime in jus tuum restituere cupiamus: tamen nunc quoque hasce ad firmitatem tuam dedimus. Quapropter te hortamur, ut diffidentia metuque omni seposito, publica conscendas vehicula, et ad nos venire contendas, ut quarum rerum recuperandarum desiderio teneris, eisdem potiri queas. » « Constantius Victor Augustus Athanasio episcopo. Cum Edessæ ageremus, et presbyteri tui ibi præsto essent, placuit nobis, ut misso ad te presbytero, in comitatum nostrum venire properares: quo in conspectum nostrum admissus, confestim Alexandriam proficiscerere. Quando quidem vero plurimum jam præteriit temporis, ex quo litteris nostris acceptis non venisti: nunc quoque commonere te voluimus, ut adventum ad nos tuum matures, et sic patriæ tuæ restitui, et voto tuo potiri possis. Misimus autem ad te **733** Achetam diaconum, ut plenius hæc ad

te referret : ex quo animi nostri voluntatem, te scilicet quod optas consecuturum esse, cognoscere poteris. » Athanasius epistolis Aquileiæ (ibi enim degebat) acceptis, Romam ad Julium, ut de rebus suis cum eo constitueret, profectus est. Cui quidem Julio et Romanæ Ecclesiæ ille plurimum attulit lætitiæ, cum litteras eis exhibuisset. Credebant enim Orientis quoque imperatorem cum eis professioni fidei assentire, qui tam humaniter ad se Athanasium invitaret. Et Julius rebus quibus oportuit illum instruxit, viaticoque donavit : et litteras insuper ei ad clerum et populum Alexandrinum dedit, quibus se lætari et gratulari eis indicat de tanti præsulis restitutione. Ad verbum epistola hoc modo scripta erat :

CAPUT XXII.

Epistola Julii Romani, pro sancto Athanasio Alexandrinis missa.

« Julius episcopis et presbyteris et diaconis et populo Alexandriam incolenti, dilectis fratribus, in Domino salutem. Congratulor et ego vobis, fratres dilecti, vos fidei vestræ fructum oculis vestris percipere. Id enim vere quispiam fieri dicat, in fratre et coepiscopo nostro Athanasio : quem et propter vitæ ejus puritatem, et propter vestras preces, Deus vobis restituit. Ex hoc sane perspicere est, puras vestras charitatisque plenas orationes semper ad Deum esse delatas. Cœlestium enim promissionum charitatisque in Deum memores, quam ex doctrina ejusdem fratris quem diximus nostri addidicistis, illud certo cognovistis, et pro insita vobis recta fide percepistis, non ad finem usque a vobis segregatum eum iri, quem in piis vestris animis veluti præsentem semper habuistis. Itaque non multis mihi opus est verbis, ad vos scribenti. Quæcunque enim a me dici vobis possunt, ea fides prius vestra anticipavit. Et profecto impletæ sunt per gratiam Christi communes omnium vestrum precationes. Gratulor igitur vobis, iterum enim id dico, invictas vos in fide animas vestras conservasse. Nec minus fratri meo Athanasio gratulor, quod, tametsi luctuosa multa est perpessus, nulla tamen hora charitatis vestræ et desiderii in oblivionem venit. **734** Quamvis namque corpore ad tempus a vobis distractus esse visus est, spiritu tamen continue veluti præsens vobiscum fuit. Atque equidem, dilecti, tentationem et ærumnam ejus omnem non puto gloria sua carere. Nam simul et vestra et illius fides multis est perspecta et explorata. Nisi enim hæc intercessissent, quis tandem credidisset, aut vos tantum judicium, tantumque erga talem episcopum obtinere amorem ? aut illum tantis esse accumulatum virtuibus ? per quas cœlesti etiam spe non excidet. Consecutus namque est variis modis, et in præsentia, et in futuro gloriosum confessionis martyrium testimoniumque : quod multis terra simul et mari varie procellis jactatus, insidias et fraudes Arianæ hæresis omnes conculcavit, et sæpius per invidiam in

A θῆναι, καὶ τῆς εὐχῆς ἐπιτυχεῖν. Πρὸς δὲ πληρεστάτην διήγησιν Ἀχήταν τὸν διάκονον ἀπεστείλαμεν· παρ' οὗ δυνήσῃ μαθεῖν τῆς τε ἡμετέρας ψυχῆς τὴν προαίρεσιν, καὶ ὅτι τούτων ὧν εὔχῃ τυχεῖν δυνήσῃ. » Ἐν Ἀκυλίᾳ τοίνυν δεξάμενος Ἀθανάσιος τὰς ἐπιστολὰς, ἐκεῖσε γὰρ ἐποιεῖτο τὰς διατριβὰς, συνταξόμενος Ἰουλίῳ, εἰς Ῥώμην ἀφίκετο. Καὶ πολλὴν ἐκείνῳ καὶ Ῥωμαίοις ἐνῆκε χαρὰν, δείξας τὰ γράμματα. Ὤοντο γὰρ καὶ τὸν τῆς ἕω κρατοῦντα τῇ πίστει ὁμοφρονεῖν, φιλοφρόνως οὕτω μετακαλούμενον Ἀθανάσιον. Ἐφοδιάσας δὲ τοῦτον Ἰούλιος οἷς ἐχρῆν, καὶ γράμματα δι' αὐτοῦ τῷ τῆς Ἀλεξανδρείας ἔπεμπε κλήρῳ τε καὶ λαῷ, δι' ὧν συνήδεσθαι δείκνυσι καὶ χαίρειν τῇ ἐπανόδῳ τοῦ τοσούτου ἀρχιερέως. Ὧδε δὲ πρὸς λέξιν ἠγόρευον·

B

ΚΕΦΑΛ. ΚΒ'.

Ἐπιστολὴ Ἰουλίου Ῥώμης ὑπὲρ τοῦ ἁγίου Ἀθανασίου τοῖς ἐν Ἀλεξανδρείᾳ πεμφθεῖσα.

« Συγχαίρω κἀγὼ ὑμῖν, ἀδελφοὶ ἀγαπητοὶ, ὅτι τὸν καρπὸν τῆς ἑαυτῶν πίστεως ἐπ' ὀφθαλμοῖς λοιπὸν ὁρᾶτε· τοῦτο γὰρ ἀληθῶς ἄν τις ἴδοι γενόμενον ἐπὶ τοῦ ἀδελφοῦ καὶ συνεπισκόπου μου Ἀθανασίου· ὃν διὰ τὴν καθαρότητα τοῦ βίου, καὶ διὰ τὰς ὑμετέρας εὐχὰς, ὁ Θεὸς ὑμῖν ἀποδίδωσιν. Ἐκ δὴ τούτου συνορᾷν ἔστι καθαρὰς ὑμῶν καὶ μεστὰς ἀγάπης ἀεὶ τὰς εὐχὰς ἀνενηνοχέναι πρὸς τὸν Θεόν. Μνήμονες γὰρ ὄντες τῶν οὐρανίων ἐπαγγελλιῶν, καὶ τῆς πρὸς αὐτὸν ἀγάπης, ἣν ἐκ τῆς διδασκαλίας τοῦ προειρημένου ἀδελφοῦ μου ἐπαιδεύθητε, ἔγνωτε ἀληθῶς, καὶ C κατὰ τὴν προσοῦσαν ὑμῖν ὀρθὴν πίστιν κατειλήφατε τοῦτο, ὡς οὐκ ἂν εἰς τέλος οὗτος ἀφ' ὑμῶν ἀποσχοινισθήσεται, ὃν ἐν ταῖς θεοσεβέσιν ὑμῶν ψυχαῖς ἐσχήκατε ὡς παρόντα ἀεί. Οὔκουν οὐ πολλῶν μοι χρεία λόγων πρὸς ὑμᾶς ἐπιστέλλοντι· ὅσα γὰρ ὑμῖν λέλεκται παρ' ἐμοῦ, ταῦτα ἡ ὑμετέρα πίστις προὔλαβε· καὶ πεπλήρωται κατὰ Χριστοῦ χάριν τὰ τῆς κοινῆς ὑμῶν πάντων εὐχῆς. Συγχαίρω τοίνυν ὑμῖν, πάλιν γὰρ ἐρῶ, ὅτι τὰς ψυχὰς ἀκαταμαχήτους ἐν τῇ πίστει τετηρήκατε. Καὶ αὐτῷ δὲ τῷ ἀδελφῷ μου Ἀθανασίῳ οὐκ ἔλαττον συγχαίρω· ὅτι καίπερ πάσχων πολλὰ λυπηρὰ, οὐδὲ μίαν ὥραν ἐπιλήσμων γέγονε τῆς ὑμετέρας ἀγάπης καὶ τοῦ ὑμετέρου πόθου. Εἰ γὰρ καὶ τῷ σώματι πρὸς καιρὸν ἔδοξεν ἀφ' ὑμῶν ἀφελκυσθῆναι, ἀλλὰ τῷ πνεύματι διὰ παντὸς ὡς συνὼν ὑμῖν D διῆγε· καὶ ἔγωγε, ἀγαπητοὶ, τὸν γενόμενον κατ' αὐτοῦ πάντα πειρασμὸν οὐκ ἄδοξον ἡγοῦμαι γεγενῆσθαι. Καὶ γὰρ καὶ ἡ ὑμετέρα καὶ ἡ τούτου πίστις ἐγνώσθη πᾶσι καὶ δεδοκίμασται· εἰ γὰρ μὴ τοσαῦτα συμβεβήκει, τίς ἂν ἐπίστευσεν, ἢ ὑμᾶς τοσαύτην κρίσιν καὶ τοσαύτην ἀγάπην περὶ τὸν τηλικοῦτον ἐπίσκοπον ἔχειν, ἢ ἐκεῖνον τοσαύταις ἀρεταῖς περιβεβλῆσθαι; δι' ἃς καὶ τῆς ἐν οὐρανοῖς ἐλπίδος οὐκ ἀλλότριος γένοιτο. Ἐπέτυχε τοίνυν οἵῳ δήποτε τρόπῳ, καὶ ἐν τῷ νῦν καὶ ἐν τῷ μέλλοντι καὶ ὁμολογίας ἔνδοξον μαρτύριον. Διαφόρως γὰρ κατά τε γῆν καὶ κατὰ θάλασσαν πολλὰ χειμασθεὶς, τὴν σκευωρίαν πᾶσαν τῆς Ἀρειανῆς αἱρέσεως κατεπάτησε καὶ πολλάκις διὰ φθόνον καὶ εἰς κίνδυνον ἐπιβουλευθεὶς, κατεφρόνησε θανάτου, φρουρούμενος ὑπὸ τοῦ παντο-

κράτορος Θεοῦ, καὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐλπίζων ἅμα καὶ τὰς ἐπιβουλὰς ἐκκλινεῖν, καὶ ἀποκατασταθήσεσθαι πρὸς ὑμετέραν παράκλησιν, φέρων ὑμῖν ἅμα ἐκ τῆς ὑμετέρας συνειδήσεως μείζονα τὰ τρόπαια· ἐν οἷς καὶ ἄχρι τερμάτων πάσης τῆς γῆς ἔνδοξος ἐγνώσθη δοκιμασθεὶς ἐκ τοῦ βίου, παῤῥησιαζόμενος μὲν τῇ προθέσει καὶ τῇ οὐρανίῳ διδασκαλίᾳ, ἀποδειχθεὶς δὲ ἀθανάτῳ κρίσει παρ' ὑμῶν ἀγαπώμενος. Ἐπανέρχεται τοιγαροῦν λαμπρότερος πρὸς ὑμᾶς νῦν, ἢ ὅτε παρ' ὑμῶν ἀπεδήμησεν. Εἰ γὰρ καὶ τὰς τιμίας ὕλας, χρυσὸν λέγω καὶ ἄργυρον, εἰς καθαρότητα τὸ πῦρ δοκιμάζει· τί ἄν τις εἴποι κατ' ἀξίαν τοσούτου ἀνδρός; ὃς τοσούτων θλίψεων πυρὰν καὶ κινδύνους νικήσας, ἀποδίδοται νῦν ὑμῖν ἀθῷος, οὐ παρ' ὑμῶν μόνον, ἀλλὰ καὶ παρὰ B πάσης τῆς συνόδου ἀποδεχθείς. Ὑποδέξασθε τοίνυν, ἀγαπητοὶ ἀδελφοὶ, μετὰ πάσης τῆς κατὰ Θεὸν δόξης τε καὶ χαρᾶς τὸν ἐπίσκοπον ὑμῶν Ἀθανάσιον μετὰ τούτων οἵτινες αὐτῷ κοινωνοὶ γεγόνασι. Καὶ χαίρετε τῶν εὐχῶν ἀπολαύοντες· ὅτι ποιμένα τὸν ὑμέτερον, ἵν' οὕτως εἴπω, ποθοῦντα καὶ διψῶντα τὴν ὑμετέραν θεοσέβειαν, σωτηρίοις γραφαῖς ἐθρέψατε καὶ ἐποτίσατε. Καὶ γὰρ καὶ τῆς ἐπὶ ξένης αὐτοῦ διατριβῆς ὑμεῖς παραμυθία γεγόνατε· καὶ διωκόμενον, καὶ ἐπιβουλευόμενον, ἐθάλψατε ταῖς πιστοτάταις ἑαυτῶν ψυχαῖς καὶ διανοίαις. Ἐμὲ δὲ ἤδη εὐφραίνει ἐννοούμενον, καὶ προνοοῦντα τὴν ἐπὶ τῇ ἐπανόδῳ ἑκάστου ὑμῶν χαρὰν, καὶ τοῦ πλήθους τὰς σεβαστοτάτας ἀπαντήσεις, καὶ τὴν ἔνδοξον τῶν συντρεχόντων ἑορτήν. Καὶ τίς ἐκείνη ἡ ἡμέρα ὑμῖν, καὶ ποία ἔσται; ἐπ- C ανερχομένου μὲν τοῦ ἀδελφοῦ μου, παυσαμένων δὲ τῶν προγενομένων, καὶ τῆς πολυτιμήτου κατ' εὐχὴν ἐπανόδου εἰς εὐφροσύνην τινὰ πληρεστάτην χαρᾶς συναπτούσης τοὺς πάντας. Ἡ τοιαύτη χαρὰ κατὰ τὸ μέγιστον μέχρις ἡμῶν φθάνει· οἷς θεόθεν καὶ τοῦτο συγχωρεῖσθαι συνέστηκεν, ὅπως εἰς γνῶσιν τοῦ τηλικούτου ἀνδρὸς ἐλθεῖν δυνηθῶμεν. Εἰς εὐχὴν οὖν τὴν ἐπιστολὴν τελειῶσαι καλόν. Ὁ Θεὸς, ὁ παντοκράτωρ, καὶ ὁ τούτου Υἱὸς ὁ Κύριος καὶ Σωτὴρ ἡμῶν Ἰησοῦς Χριστὸς διηνεκῆ τὴν χάριν ταύτην ὑμῖν παράσχοι, διδοὺς ἔπαθλον τῇ θαυμαστῇ ὑμῶν πίστει, ἣν περὶ τὸν ἐπίσκοπον ὑμῶν ἐνδόξῳ μαρτυρίᾳ ἐνεδείξασθε, ἵνα ὑμῖν τε καὶ τοῖς μεθ' ὑμᾶς ἐνταῦθα καὶ ἐν τῷ μέλλοντι τὰ βελτίονα μένῃ, ἃ D ὀφθαλμὸς οὐκ οἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτὸν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ τῷ παντοκράτορι Θεῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ἐῤῥῶσθαι ὑμᾶς εὔχομαι, ἀγαπητοὶ ἀδελφοί. »

A periculum insidiose conjectus, mortem contempsit: præsidio scilicet omnipotentis Dei et Domini nostri Jesu Christi tectus, ille speravit simul et insidias adversariorum se evasurum, et ad vos consolationis vestræ gratia rediturum. Et simul vobis ex conscientia vestra præclara tulit tropæa, per quæ ad orbis usque terminos explorata vitæ sanctitate præclarus cognitus est: multa ille quidem libertate propalam animi instituto et cœlesti doctrina usus, abunde autem perpetuo et constanti se a vobis judicio esse amatum testatus. Redit igitur ad vos multo etiam splendidior, quam a vobis discessit. Si etenim pretiosiorem materiam, aurum dico et argentum, ad puritatem ignis explorat: quidnam quisquam pro rei dignitate de viro isto dixerit? qui B tot et tantis ærumnarum incendiis et periculis devictis, vobis redditur purus et insons, non a vobis tantum, sed a cuncta etiam synodo receptus? Suscipite ergo, dilecti fratres, cum omni quæ Deo accepta est gloria et lætitia, episcopum vestrum Athanasium, una cum eis qui adversarum rerum ejus participes fuere. Et gaudete, quod optatis vestris fruimini: et quod pastorem vestrum, ut ita dicam, desiderantem et sitientem pietatem vestram, salutaribus scriptis aluistis et potastis. Siquidem ei peregre quoque versanti, vos solatio fuistis, cumque in mediis persecutionibus, procellis, atque inimicorum insidiis, fidelissimis animis et mentibus vestris fovistis. **735** Me vero jam exhilarat, C quod mecum in animo considero et prævideo uniuscujusque vestrum in reditu illius gaudium et multitudinis sanctissimæ occursationes, nec non præclaros et festos concurrentium hominum conventus. Et quæ tandem et qualis ea futura est dies? cum frater quidem meus restituetur: qui vero ante eum fuere, destituentur: et honoratissimus optatissimusque reditus in lætitiam gaudio plenissimam vos efferet omnes? Quod sane gaudium maxima ex parte ad nos etiam pertingit, quibus a Deo et hoc concessum est, ut in tanti viri notitiam pervenire potuerimus. Sedenim pulchrum fuerit, epistolam precatione claudere. Omnipotens Deus, atque hujus Filius, Dominus et Salvator noster Jesus D Christus, gratiam hanc vobis perpetuam esse velit, qui præmium admirandæ fidei vestræ dedit, quam in episcopo vestro præclaro testimonio exhibuistis: et ut vobis et posteris vestris, et hic et in futuro, bona ea maneant, quæ nec oculus vidit, nec auris audivit, nec in cor hominis conscendere, quæ scilicet præparavit Deus diligentibus se, per Dominum nostrum Jesum Christum, per quem omnipotenti Deo gloria sit in sæcula sæculorum. Amen. Valere vos opto, fratres dilecti.

ΚΕΦΑΛ. ΚΓ'.

Περὶ τῶν τῆς Ἀντιοχείας ἀρχιερέων· καὶ τῆς κακοηθείας Στεφάνου, ὃν Λεόντιος διεδέξατο.

Τούτοις ὠχυρωμένος τοῖς γράμμασιν Ἀθανάσιος, εἰς τὴν ἕω διέβαινε πρὸς τὴν τῆς Συρίας Ἀντιόχειαν, ὅπου τηνικαῦτα διέτριβεν ὁ Κωνστάντιος. Τῆς δ'

CAPUT XXIII.

De Antiochenis episcopis: et de malevolentia Stephani, cui Leontius successit.

Hisce instructus litteris Athanasius, in Orientem Antiochiam Syriæ, ubi tum Constantius agebat, profectus est. Ecclesiam autem ibi regebat eo tem-

pore Leontius. Ex quo enim Eustathius exsulare jussus fuerat, sicuti supra diximus, primus sedem eam obtinuit Euphronius, cui successit Placitus, atque huic rursum Stephanus. Hic vero propter dolum et insidias, quas per propinquum quemdam suum animo simul et moribus ferocissimum, Onagrum nomine, Roma venientibus a Constante legatis qui Constantii erat frater, Euphrate et Vincentio episcopis pro Athanasio missis, tetenderat: a Constantio judice, ut ea dignitate indignus, rejectus est. **736** Veritati enim adversus, omnis generis ærumnis eo qui pro vera doctrina stabant, afflixit. Et forum perambulans, domosque ingrediens, non viros tantum, sed et mulieres pudore et sanctitate vitæ spectatas pulsavit, conviciisque proscidit. Vel ex eo solo quod in legatis admisit, qualis vir fuerit, satis conjicere licet. Metuens namque (1) ne Athanasius, cujus gratia maxime legatio ista missa fuerat, ecclesias reciperet, puellam per Onagrum suum e prostibulo mercede conductam, in episcoporum hospitio collocat: deinde non longe ab eo loco improbissime insidias per homines seditiosos disponit, ut cum impetu in sanctorum virorum irruerent ædes. Quorum alter cum impudicæ illius advenientis strepitum sensit, dæmonem esse ratus, psalmum succinuit. Hujus fabulæ et sycophantiæ, unde et quomodo instituta esset, quæsitore ipso imperatore, auctor repertus Stephanus, ut nefarii sceleris artifex exauctoratus est, et Leontius Antiochiæ episcopus delectus. Quem Athanasius propter dogma depravatum devitans, cum Eustathianis, qui in privatis ædibus ecclesias et conventus agebant, communicavit.

CAPUT XXIV.

Ut Athanasius sit receptus, atque sectatores ejus sedes suas receperint.

Et Constantius quidem non illibenter eum suscepit, nihilominus tamen benevolentiam humanitatemque ejus tentavit. Captioso enim sermone eum, adversariorum suggestione, fallere volens, sic ad eum locutus est: Ego quidem de communi synodi sententia, fratrisque et mea, tibi quod optas perficio, et thronum tibi tuum trado. Æquum vero est, te quoque mihi hanc reddere gratiam, ut unam Alexandriæ ecclesiam eis permittas, qui a te dissidentes, a communione tua abhorrent. Atque Athanasius: Æquissimum sane est, o imperator, inquit, ut mos tibi geratur. Sed eamdem rursum a te gratiam peto, quandoquidem et Antiochiæ quidam sunt, qui eorum communionem, qui aliter quam nos sentiunt hic aversantur, jube eos quoque ecclesiam suam habere, in qua libere placitas sibi et statutas peragant ceremonias. Ad hæc cum imperator quod diceret non haberet, satius esse duxit, adversarios quietos esse, petitioneque sua ut parum commoda supersedere: itaque nihil amplius movere. **737** Atque illi recte profecto eam rem

(1) Theodor. l.b. II, cap 9.

ἐκεῖσε ἐκκλησίας τὰς ἱερὰς ἡνίας τότε διεῖπε Λεόντιος. Μεθ' ὃ γὰρ Εὐστάθιος εἰς φυγαδείαν ἠλαύνετο, ὡς διείληπται, πρῶτος ἐπέβη τοῦ θρόνου Εὐφρόνιος, ὃν Πλάκητος διεδέξατο· τὸν δὲ Στέφανος· ὃς πονηρὰν συσκευὴν διά τινος τῶν αὐτῷ προσηκόντων ὠμοτάτου καὶ τρόπον καὶ τὴν ψυχήν, Ὄναγρος ἦν αὐτῷ ὄνομα, ἐξαρτύσας τοῖς ἐκ Ῥώμης ἥκουσι πρέσβεσι παρὰ Κώνστα, ὃς τὰς αὐτὰς ὠδῖνας Κωνσταντίῳ διέλυσεν, ὑπὲρ Ἀθανασίου πεμφθεῖσιν, Εὐφράτας δὲ καὶ Βικέντιος ὠνομάζοντο, ἐπίσκοποι δ' ἦσαν, ὑπὸ Κωνσταντίῳ δικάζοντι, ὡς ἀνάξιος τοῦ θρόνου κριθεὶς, ἀπεῤῥίφη. Δυσμεναίνων γὰρ τῇ ἀληθείᾳ, παντοδαπαῖς περιέβαλε συμφοραῖς, οἳ τῶν ὀρθῶν δογμάτων ἀντείχοντο· αἰκίζων τε καὶ προπηλακίζων ἦγε διὰ τῆς ἀγορᾶς, ἐπιὼν ταῖς οἰκίαις, οὐκ ἄνδρας μόνον, ἀλλὰ καὶ γυναῖκας, αἰδοῖ καὶ σεμνότητι βίου κεκοσμημένας. Ἀπόχρη δὲ τὸ κατὰ τῶν πρέσβεων μόνον τεκμηριῶσαι τὸν ἄνδρα ὁποῖος. Δείσας γὰρ μὴ τῶν ἐκκλησιῶν ἐπιλήψαιτο Ἀθανάσιος, ὑπὲρ οὗ καὶ ἡ πρεσβεία μάλιστα ἦν, παιδίσκην διὰ τοῦ προειρημένου Ὀνάγρου ἐκ χαμαιτυπείου μισθῷ διαφθείρας, ὑποβάλλει τῇ οἰκίᾳ τῶν ἐπισκόπων· ἔπειτα λόχον οὐ πόῤῥωθεν στήσας κακουργίας μεστὸν, ἀθρόον ἐπιστῆναι παρασκευάζει τῇ καταγωγῇ τῶν θείων ἀνδρῶν. Ὧν ἅτερος αἰσθόμενος τῆς ἀκολάστου τὸν ψόφον ἡνίκα εἰσῄει, δαίμονα οἰηθεὶς, ψαλμὸν ὑπῇδε. Τοῦ δὲ δράματος ὅθεν καὶ ὅπως γέγονε, κρίσει τοῦ κρατοῦντος ἀνευρεθέντος, ὡς αὐτουργὸς τῆς ἀθεμίτου πράξεως καθῄρηται Στέφανος. Λεόντιος δὲ εἰς ἐπιτροπὴν τῆς Ἀντιοχέων Ἐκκλησίας ἐκρίθη· ὃν Ἀθανάσιος ὡς περὶ τὸ δόγμα κίβδηλον ἐξετρέπετο· τοῖς δ' ἀπὸ τοῦ Εὐσταθίου ἐν ἰδιωτῶν οἰκίαις ἐκκλησιάζουσιν ἐκοινώνει.

ΚΕΦΑΛ. ΚΔ'.

Ὡς εἰσεδέχθη Ἀθανάσιος, καὶ οἱ περὶ αὐτὸν τοὺς οἰκείους ἀπέλαβον θρόνους.

Κωνστάντιος μὲν οὐκ ἀπεχθῶς αὐτὸν ἀνεδέξατο· ὅμως δ' εὔνου καὶ ἐπιεικοῦς αὐτοῦ ἐπειρᾶτο. Σοφίζεσθαι δὲ θέλων τῶν δι' ἐναντίας ὑποβαλλόντων, τάδε πρὸς αὐτὸν ἔλεγεν· Ἐγὼ μὲν ἤδη ψήφῳ κοινῇ τὸ σοὶ πρὸς βουλῆς ἐκπεραίνω, καὶ τὸν θρόνον ἄρτι σοι ἐγχειρίζω. Δίκαιος δ' ἂν εἴης καὶ σὺ, μίαν αἰτοῦντι χάριν ἀντιδιδούς. Ἡ δέ ἐστι μίαν ἐᾶσαί σε τῶν ἐπ' Ἀλεξανδρείας ἐκκλησιῶν οἵ σου διακρινόμενοι παραιτοῦνται τὴν κοινωνίαν. Ἀθανάσιος δὲ, Καὶ μάλα γε δίκαιόν σοι πειθαρχεῖν, ἔφη, ὦ βασιλεῦ· καὶ τὴν αὐτὴν παραπλησίως αὖθις χάριν καὶ αὐτὸς ἀνταιτῶ· ἐπειδὴ καὶ ἐν τῇ Ἀντιόχου εἰσί τινες, οἳ τὴν ἐνταῦθα ἱερωσύνην ἐκτρέπονται, κέλευε μίαν καὶ αὐτοὺς ἐκκλησίαν ἔχειν, καὶ ἀδεῶς αὐτῇ τὰ θυμήρη καὶ εἰωθότα ποιεῖν. Πρὸς ταῦτ' ἀντιλέγειν μὴ ἔχων ὁ βασιλεὺς, ἄμεινον ἐδοκίμαζε τοὺς δι' ἐναντίας ἡσυχίαν ἄγειν, καὶ ὡς ἀλυσιτελῆ τὴν αἴτησιν ὑπερτίθεσθαι· καὶ οὐδὲν πλέον ἐκίνουν ἐκεῖνοι. Καὶ γάρ πως καλῶς ἐλογίζοντο ὡς οὐδὲν μᾶλλον τὰ αὐτῶν ἐπίδοσιν ἐν Ἀλεξανδρείᾳ ἕξει, ἱκανῶς ἔχοντος Ἀθανασίου τό τε οἰκεῖον ἀσφαλῶς τηρεῖν, καὶ

τὸ ἀλλότριον προσεπάγεσθαι. Εἰ δ' ἐν Ἀντιοχείᾳ τὸ αἴτημα γένηται, τοῖς Εὐσταθιανοῖς οὐκ ὀλίγοις οὖσιν οὐκ ἐλαχίστη γένοιτ' ἂν ἡ συγκρότησις. Ἴσως δ' ἂν καὶ νεωτέρων πειραθεῖεν πραγμάτων ἐντεῦθεν, ἐνὸν κινδύνων ἄνευ ἄγειν ὅπερ ἐκτήσαντο· ὅτι γε καὶ δέος ὑφεῖρπεν ἐκείνοις οὐκ ἔλαττον. Καίπερ γὰρ τῶν τῇδε ἐκκλησιῶν τὴν ἐπιστασίαν ἔχοντες, οὐ τὸν ἅπαντα κλῆρον καὶ λαὸν πειθήνιον εἶχον. Τὴν γὰρ σφετέραν προαίρεσιν, ἣν περὶ τὸ Θεῖον ἕκαστος εἶχον κατὰ χορὸν ἑστῶτες, πρὸς τῷ τέλει ἐδείκνυον· οἱ μὲν Πατέρα καὶ Υἱὸν ὁμοτίμως δοξάζοντες, οἱ δὲ Πατέρα ἐν Υἱῷ, τὸ δευτερεῖον διὰ τῆς προθέσεως αἰνιττόμενοι τῷ Υἱῷ. Ἄλλοι δὲ, *Δόξα Πατρὶ δι' Υἱοῦ ἐν ἁγίῳ Πνεύματι*, ἔλεγον· ἄλλοι δὲ, *Δόξα Πατρὶ καὶ Υἱῷ ἐν ἁγίῳ Πνεύματι*. Πρῶτον δέ φασι πάντων τὸν Ἀντιοχείας Φλαβιανὸν στῖφος μοναχῶν συναγαγόντα, διαῤῥήδην ἐκφωνῆσαι, *Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι*. Ὅπερ ὡς μηδεμίαν ἔχον ὑπόνοιαν, ταῖς ἐκκλησίαις Θεοῦ ἐπεκράτησε. Ἃ δῆτα ὁρῶν Λεόντιος, κωλύειν μὲν οὐκ ἐτόλμα τοὺς κατὰ τὴν παράδοσιν τῆς ἐν Νικαίᾳ συνόδου τὸν Θεὸν ὑμνοῦντας· τὴν γὰρ στάσιν ὑπείδετο· καί ποτ' ἐφαψάμενον τῆς κεφαλῆς ὑπὸ πολιαῖς ἐξανθούσης θριξὶν, ἐπειπεῖν φασιν, ὡς Τῆς χιόνος ταύτης λυθείσης, πολὺς ἔσται πηλός· αἰνιττόμενος ὡς ἡ τῆς δοξολογίας διαφωνία, εἰς στάσιν τῷ πλήθει ποτὲ καταλήξει, μηδὲ τῶν κατ' αὐτὸν συμπεριφέρεσθαι τῷ πλήθει ἀνεχομένων. Κωνστάντιος δ' ἐγγράφως τοῖς περὶ Ἀθανάσιον τοὺς θρόνους ἀπέδωκε. Προστάγμασι δ' ἐκείνου εἰς τοὺς αὐτῶν θρόνους ἐφοίτων, ἃ ἐκέλευον ἀσμένως αὐτοὺς ὑποδέχεσθαι. Καὶ Ἀσκληπᾶν μὲν εὐχερῶς Γαζαῖοι ἐδέχοντο· ὡσαύτως δὲ καὶ Λούκιον τὸν Ἀδριανουπόλεως. Ἐν δ' Ἀγκύρᾳ εἰσιόντος Μαρκέλλου διὰ Βασίλειον, οὐ σμικρὰ κεκίνητο ταραχή· ἡ πρόφασις λοιδορεῖν ἐγένετο τοῖς ὑπεναντίοις. Ἑκὼν δὲ καὶ Μακεδόνιος Παύλῳ ἐξέστη τοῦ θρόνου· καὶ ἰδιάζων ἐπ' ὀλίγου ἐπί τινι ἔνδον τῆς πόλεως σηκῷ, σύναξιν ἐποιεῖτο. Οὐ μὴν δὲ καὶ Ἀθανασίῳ χαλεπὴ ἡ εἰς Αἴγυπτον εἴσοδος ἐγεγόνει. Δι' ἐπιστολῆς γὰρ τὸν Γεώργιον ἐκεῖθεν Κωνστάντιος μετεστέλλετο· ὁ δ' ἐν τῇ πατρίδι χαλεπαίνων ἀφίκετο· κἀκεῖ διῆγεν ἐπισκοπούμενος τὰ καθ' ἑαυτόν. Ἐκείνῳ δ' ἕτερα γράμματα παρασχὼν, τὴν ἐπ' ἐκείνην ἐπέτρεπεν εἴσοδον, κελεύων καὶ τὰ κατ' αὐτοῦ διαφόρως πραχθέντα, ἀφανείᾳ παραδοθῆναι. Τὰ δὲ γράμματα καὶ τῇ ἱστορίᾳ ἐντάξαι δίκαιον ἥγημαι· ἔχουσι δὲ ὧδε·

A putarunt, nihilo scilicet minus Alexandriæ res catholicorum incrementum suum habituras, cum Athanasius non solum suos a periculo tueri, sed alienos etiam ad se allicere, pro industria sua posset. Si vero Antiochiæ, quod ille petebat, fieret, non exigua augmenta Eustathianis, qui non pauci essent, accessura. Et fortasse eos ad res novas aspiraturos esse, cum sine periculo quæ consuevissent, agere possent. Ille quoque non minor metus animos eorum subiit, quod etiamsi penes eos ecclesiarum ejus loci potestas summa esset, non omnem tamen clerum et populum obedientem haberent. Sententiam enim quam quisque de Deo obtineret, in choro stantes, ad finem psalmodiæ declarabant. Quidam enim Patrem et Filium eodem B honore celebrantes, nonnulli Patrem in Filio (præpositione interjecta obscurius secundas partes Filio tribuentes), alii, *Gloria Patri per Filium in Spiritu sancto :* quidam etiam, *Gloria Patri et Filio in Spiritu sancto*, canebant. Primum omnium ferunt Antiochenum episcopum Flavianum, monachorum coacta caterva clare accinuisse : *Gloria Patri et Filio et Spiritui sancto*. Quod quidem, ut nihil habens suspicionis, in ecclesiis Dei obtinuit. Id vero Leontius videns, inhibere eos qui juxta Nicænæ fidei traditionem Deum laudibus prosequebantur, non audebat, seditionem timens. Atque aliquando caput canis florescens manu demulcens, dixisse fertur, nivem eam solutam lutum multum subsecuturum C esse : ænigmate obscurius subindicans, dissonantiam celebrandi Dei apud populum aliquando in seditionem evasuram, neque eos qui factionis suæ essent, cum reliqua multitudine consensuros. Constantius Athanasio et aliis, scripto quoque edito, ecclesias suas reddendas curavit : cum quo scripto (jubebat enim eos non gravate recipere) illi in vacuam sedium suarum possessionem rediere. Et Asclepam Gazæi facile admisere. Itidem et Adrianopolitæ Lucium. Ancyræ vero, Marcello revertente, propter Basilium pulsum non parvus concitatus est motus : qui motus adversariis ad conviciandum præbuit occasionem. Non invitus quoque Paulo Macedonius thronum concessit, et non ita diu seorsim in delubro quodam, intra urbem syn- D axim et conventus egit. Ne ipsi quidem Athanasio difficilis in Ægyptum reditus fuit. **738** Constantius enim per epistolam Georgium acciverat : qui in patriam indignabundus profectus, ibi vitam egit, suas sibi res gerens. Athanasio vero alias etiam litteras Constantius dedit, quibus ei reditum permisit : et ea quæ variis modis in judiciis contra eum gesta fuerant, aboleri atque oblivioni tradi jussit. Litteras eas, atque itidem alteras, hic subiiciendas esse duxi, quæ sic habent :

ΚΕΦΑΛ. ΚΕ'.

Ἐπιστολὴ Κωνσταντίου Ἀλεξανδρεῦσιν ὑπὲρ Ἀθανασίου.

« Νικητὴς Κωνστάντιος Μέγιστος Σεβαστὸς ἐπισκόποις καὶ πρεσβυτέροις τῆς καθολικῆς Ἐκκλησίας Ἀλεξανδρείας. Οὐκ ἀπελείφθη τῆς τοῦ Θεοῦ χάριτος ὁ αἰδεσιμώτατος ὑμῶν ἐπίσκοπος Ἀθανάσιος·

CAPUT XXV.

Epistola Constantii ad Alexandrinos pro Athanasio.

« Victor Constantinus Maximus Augustus episcopis et presbyteris catholicæ Ecclesiæ Alexandrinæ. Non destitutus est divina benignitate reverendissimus episcopus vester Athanasius : sed

quamvis ad breve tempus humanæ objectus est explorationi, tamen debitum ab ea quæ omnia respicit Providentia tulit calculum, voluntate Dei (1) et judicio nostro patria simul et ecclesia, cujus præfectura divino ei nutu contigit, recepta. Quem æquum fuit, ut sententia consentanea nostra quoque imitaretur mansuetudo: videlicet ut omnia quæ antehac contra eos qui cum ipso communione usi essent, decreta sunt, nunc oblivione oblitterentur, suspicioque adversus eum omnis deinceps intercidat: et immunitas, quam dudum qui cum eo fuere clerici habuere, pro eo atque decet, litteris hisce confirmetur. Quin et illud nostræ erga eum benignitati merito adjiciendum esse judicavimus, ut universi, qui in sacri ordinis albo sunt, cognoscant securitatem adauctam esse omnibus, qui ei fuere conjuncti, episcopis simul et clericis. Certum vero uniuscujusque rectæ sententiæ indicium erit, si cum hoc unitus conjunctusque fuerit. Quicunque enim meliori judicio et opinioni addicti communionem ipsius sequendam sibi delegerint, eos omnes ad similitudinem, quæ nos prævenit, providentiæ, hac nostra, Dei voluntate exhibita gratia et benignitate perfrui jussimus. Victor Constantinus Maximus populo catholicæ Ecclesiæ Alexandrinæ. Quum in rebus omnibus proposita nobis sit vestra, quæ ex recta juris legumque constitutione provenit, felicitas, et non ignoremus, satis diu episcopi vos caruisse providentia: Athanasium antistitem, virum propter insitam sibi fidei sinceritatem morumque nativam probitatem hominibus omnibus spectatum, æquum esse duximus, ut ad vos remitteremus. **739** Eum ita ut consuetudo fert et decet, suscipientes, precumque ad Deum vestrarum adjutorem constituentes, quæ et vobis congruit, et nobis accepta est, concordiam et pacem, juxta Ecclesiæ sanctionem, prolixe servare studete. Minime enim omnium convenit, discordiam aliquam aut seditionem inter vos concitari, in ista temporum nostrorum tranquillitate. Atque eam quidem incommoditatem abesse a vobis omnino volumus. In precationibus vero, ut eo quem diximus auctore et adjutore sedulo utentes, divinis rebus more recepto insistatis, vos admonemus: ut tali animorum vestrorum proposito ad universorum vota transeunte ex gentibus etiam qui adhuc idolorum errori sunt implicati, ad sacrosancti sacrificii cognitionem pervenire, Alexandrini charissimi, maturent. Quare vos iterum admonemus, ut in iis quæ diximus persistatis, episcopum vero, Dei ipsius nutu et sententia nostra ad vos missum, libenter recipiatis, atque eum ex animo complectendum vobis esse existimetis. Id quod et vos decet, et mansuetudini nostræ convenit. Ut enim tumultus et seditionis occasionem omnem eorum qui consulto deteriora cœpta consectantur, præcideremus, judici-

(1) Christi gratia. Socr.

A ἀλλ' εἰ καὶ βραχεῖ χρόνῳ τῇ κατ' ἀνθρώπους δοκιμασίᾳ ὑπεβλήθη, ὅμως τὴν ὀφειλομένην παρὰ τῆς παντεφόρου Προνοίας ἀπηνέγκατο ψῆφον, ἀπολαβὼν βουλήσει τοῦ κρείττονος καὶ κρίσει ἡμετέρᾳ τὴν πατρίδα ὁμοῦ καὶ τὴν Ἐκκλησίαν, ἧς θείῳ νεύματι προστάτης ἐτύγχανε. Τούτῳ τὰ ἀκόλουθα ἔδει παρὰ τῆς ἡμετέρας ὑπάρξαι πρᾳότητος· ὥστε πάντα τὰ πρὸ τούτου κατὰ τῶν αὐτῷ κεκοινωνηκότων ὡρισμένα νῦν ἀμνηστίᾳ παραδοθήσεσθαι· πᾶσάν τε ὑποψίαν τὴν κατ' αὐτοῦ σχολάσαι τοῦ λοιποῦ· τήν τε ἀτέλειαν ἧς ἔτυχον πάλαι οἱ ἅμα αὐτῷ κληρικοὶ τούτοις βεβαιωθῆναι προσηκόντως. Ἀλλὰ μὴν καὶ τοῦτο τῇ εἰς αὐτὸν χάριτι προστεθῆναι ἐδικαιώσαμεν· ὥστε πάντας τοὺς τοῦ ἱεροῦ καταλόγου γινώσκειν, ἐνδεδόσθαι τὸ ἄφοβον πᾶσι τοῖς αὐτῷ B προστεθειμένοις, εἴτε ἐπισκόποις εἴτε κληρικοῖς. Ἱκανὸν δὲ γνώρισμα τῆς ἑκάστου ὀρθῆς προαιρέσεως ἔσται ἡ πρὸς τοῦτον ἕνωσις. Ὅσοι γὰρ ἂν τῆς καλλίονος ὁμοῦ κρίσεώς τε καὶ μοίρας γενόμενοι τὴν τούτου ἕλωνται κοινωνίαν, τούτους πάντας ἐκελεύσαμεν καθ' ὁμοιότητα τῆς φθασάσης προνοίας, καὶ τῆς νῦν ὑφ' ἡμῶν βουλήσει τοῦ κρείττονος παρασχεθείσης χάριτος ἀπολαύειν. Νικητὴς Κωνστάντιος Μέγιστος Σεβαστὸς τῷ λαῷ τῆς κατ' Ἀλεξάνδρειαν καθολικῆς Ἐκκλησίας. Σκοπὸν ποιούμενοι τὴν ὑμετέραν ἐν ἅπασιν εὐνομίαν, εἰδότες τε ὡς ἐπὶ πολὺ τῆς τοῦ ἐπισκοποῦντος προνοίας ἐστέρησθε, Ἀθανάσιον τὸν ἐπίσκοπον, ἄνδρα τοῖς πᾶσι διά τε τὴν προσοῦσαν ὀρθότητα καὶ διὰ τὴν οἰκείαν εὐτροπίαν γνώριμον, πάλιν C πρὸς ὑμᾶς ἀποστεῖλαι ἐδικαιώσαμεν. Τοῦτον συνήθως καὶ προσηκόντως ὑποδεξάμενοι, καὶ ταῖς πρὸς τὸν Θεὸν εὐχαῖς βοηθὸν προστησάμενοι, τὴν ὑμῖν τε πρέπουσαν καὶ ἡμῖν ἀρετὴν, ὁμόνοιαν καὶ εἰρήνην κατὰ τὸν τῆς Ἐκκλησίας θεσμὸν διαρκῆ φυλάττειν σπουδάσατε· οὐδὲ γὰρ εὔλογόν ἐστι διχόνοιάν τινα ἢ στάσιν ἐν ὑμῖν κινηθῆναι, ὑπεναντίαν τῆς τῶν ἡμετέρων καιρῶν εὐμοιρίας. Καὶ τοῦτο μὲν ἀπεῖναι ἀφ' ὑμῶν παντελῶς βουλόμεθα· τὸ δέ γε ταῖς εὐχαῖς ὑμᾶς διαρκῶς αὐτῷ, ὡς προείρηται, προστάτῃ καὶ ἐπικούρῳ χρωμένους, πρὸς τὸ θεῖον ἐμμένειν συνήθως παραινοῦμεν· ὡς ἂν τῆς τοιαύτης ὑμῶν προθέσεως εἰς τὰς ἁπάντων εὐχὰς διαβαινούσης, καὶ ἐκ τῶν ἐθνῶν οἱ τῇ τῶν εἰδώλων πλάνῃ ἔτι καὶ νῦν προσανέχοντες, ἐπὶ τὴν τῆς ἱερᾶς θυσίας ἐπίγνωσιν D σπεύδοιεν, Ἀλεξανδρεῖς προσφιλέστατοι. Καὶ αὖθις οὖν παραινοῦμεν τοῖς προειρημένοις ἐμμένειν. Τὸν δὲ ἐπίσκοπον ψήφῳ τοῦ κρείττονος καὶ τῇ ἡμετέρᾳ γνώμῃ ἀπεσταλμένον, ἡδέως δέξασθε· καὶ πάσῃ ψυχικῇ γνώμῃ ἀσπαστὸν ἡγήσασθε. Τοῦτο γὰρ καὶ ὑμῖν πρέπει, καὶ τῇ ἡμετέρᾳ πρᾳότητι προσήκειν συνέστηκεν. Ὑπὲρ γὰρ τοῦ πᾶσαν ἀνασοβὴν καὶ στάσεως πρόφασιν περιαιρεθῆναι τῶν ἐθελοκακίᾳ χρωμένων τοῖς παρ' ὑμῖν δικασταῖς διὰ γραμμάτων προσετάξαμεν, ἅπαντας οὓς ἂν στασιώδεις καταμάθοιεν, τῇ τῶν νόμων ὑποβάλλειν ἐκδικίᾳ. Ἀμφότερα τοίνυν συνορῶντες, καὶ τὴν ἡμετέραν μετὰ τοῦ κρείττονος γνώμην, καὶ τὸν ὑπὲρ ὑμῶν καὶ τῆς

ὁμονοίας λόγον καὶ τὴν κατὰ τῶν ἀτάκτων τιμωρίαν, A τὰ πρέποντα καὶ ἁρμόζοντα τῷ τῆς ἱερᾶς θρησκείας θεσμῷ διαφυλάττοντες, τὸν προειρημένον διὰ πάσης αἰδοῦς καὶ τιμῆς ἄγοντες, τὰς εὐχὰς ἅμα ὑπέρ τε ἑαυτῶν καὶ τῆς τοῦ βίου παντὸς εὐνομίας τῷ τῶν ὅλων Θεῷ Πατρὶ ἀναπέμπειν σπουδάζετε. » Τὸν ἴσον δὲ τύπον καὶ τοῖς ἐν Αὐγουστονίκῃ καὶ Θηβαΐδι καὶ Λιβύῃ ἡγεμόσιν ἔγραφεν· ἐν οἷς καὶ ταῦτα ἐφέρετο· « Εἴ τί ποτε πρὸ τούτου ἐπὶ βλάβει καὶ ὕβρει τῶν κοινωνούντων Ἀθανασίῳ τῷ ἐπισκόπῳ πραχθὲν εὑρίσκεται, τοῦτο νῦν ἀπαλειφθῆναι βουλόμεθα. Καὶ γὰρ τὴν ἀλειτουργησίαν ἣν οἱ αὐτοῦ κληρικοὶ εἶχον, τὴν αὐτὴν αὐτοὺς πάλιν θέλομεν ἔχειν. Ταύτην δὲ τὴν ἡμετέραν πρόσταξιν φυλαχθῆναι βουλόμεθα, ὥστε ἀποδοθέντος Ἀθανασίου τοῦ ἐπισκόπου τῇ Ἐκκλησίᾳ, τοὺς κοινωνοῦντας B αὐτῷ ἔχειν ἀλειτουργησίαν ἣν ἀεὶ ἔσχον· ἣν καὶ οἱ λοιποὶ κληρικοὶ ἔχουσιν, ἵν' οὕτως καὶ αὐτοὶ χαίρωσιν.

bus qui apud vos sunt, litteris nostris mandavimus, ut omnes quos seditiosos esse cognoscerent, legum subjiciant vindictæ. Itaque cum utrumque perspiciatis, simul scilicet et divinam nostramque sententiam, curam etiam quam de vobis atque concordia vestra gerimus, et legitimam adversus improbos pœnam, ea quæ sacræ religionis sanctionibus conveniunt, rite servantes, et quem diximus episcopum omni honore et reverentia prosequentes, preces cum pro vobis ipsis, tum pro vitæ totius et reipublicæ prosperitate, ad rerum universarum Deum Patrem fundere sedulo studete. » Eodem exemplo præfectis Augustonicæ, Thebaidis et Libyæ scripsit, in quibus et illa fuere: « Quod si quando antehac cum ignominia et detrimento eorum qui cum Athanasio episcopo communicarunt, quidquam actum reperitur, abolitum id nunc volumus. Immunitatem namque quam clerici prius habuerunt, eamdem eos recipere statuimus, et constitutionem hanc nostram servari præcipimus, ut reddito Ecclesiæ Athanasio episcopo, **740** participes quoque ejus quam antea habuere, immunitatem retineant, eam scilicet, quam reliqui habent clerici, ut et ipsi ea utentes gaudeant.

ΚΕΦΑΛ. ΚϚ'.

Ὡς αἱ πόλεις τὸν Ἀθανάσιον διεδέχοντο· καὶ περὶ τῆς ἐν Ἱεροσολύμοις δι' αὐτὸν συνόδου, καὶ οἷα καὶ αὕτη τοῖς ἐν Ἀλεξανδρείᾳ ὑπὲρ Ἀθανασίου ἔγραψεν.

Τοιούτοις δή τισι γράμμασι φραξάμενος Ἀθανάσιος, διὰ Συρίας ἰὼν, τὴν ἐπ' Αἴγυπτον ᾔει· καὶ διὰ C τοῦ Πηλουσίου εἰς Ἀλεξάνδρειαν ἐπορεύετο. Εἰσερχόμενος δὲ τὰς πόλεις, οὓς μὲν Ἀρειανῷ προσανέχοντας εὕρισκε δόγματι, καθαιρῶν, οἷς ἐδοκίμαζε, τὴν τῶν ἐκκλησιῶν ἡγεμονίαν ἐπέτρεπεν· ὅσοι δηλαδὴ τὸ ὁμοούσιον ἀνεκήρυττον, καὶ σπουδαίως τοῖς ἐν Νικαίᾳ δόξασιν εἴχοντο. Λέγεται μέντοι καὶ διὰ τῶν ἄλλων ἰόντα ἐθνῶν, τὰ ἴσα πράττειν, εἴ γε συνέβαινε καὶ τὰς ἐκεῖσε ἐκκλησίας Ἀρειανοῖς ἐπιτετραμμένας εἶναι. Ὃ δὴ ἀρχὴ ἑτέρων ἐγκλημάτων αὐτῷ ἐγένετο ὕστερον· οἷς μηδὲν αὐτῷ ἀνηκούσαις παροικίαις τὴν χειροτονίαν ἐτόλμα. Ἅτε δὲ μὴ κατὰ γνώμην τῶν ἀντιπάλων τὴν αὐτοῦ ἐπάνοδον εὐτρεπίσας, διὰ τὴν φιλίαν Κώνσταντος ἐν μείζονι φρονήματι ἦν· τοσοῦτον οὐκ εὐκαταφρόνητος, ὅσῳ καὶ μᾶλλον ἐν μείζονι καὶ περιφανεστέρᾳ καὶ τιμῇ D καὶ δόξῃ καθίστατο· ὡς καὶ πολλοὺς τῶν δι' ἐναντίας ἀπειπόντας, τὸ πρὸς αὐτὸν ἀποσείσασθαι ἔχθος, καὶ κοινωνεῖν ἑλέσθαι· ὥσπερ δῆτα Παλαιστινοὶ ἔπραττον, καὶ Μάξιμος ὁ Ἱεροσολύμων ἐπίσκοπος, ὃν ὁ κατὰ Μαξιμῖνον διωγμὸς μάρτυρα ἀνεδείκνυ· τὸν γὰρ ἕτερον τῶν ὀφθαλμῶν ἐξορωρυγμένον εἶχεν ὑπὲρ τῆς εὐσεβείας. Τούτοις γὰρ τὰ κατὰ Σαρδικὴν ὑποδείξας γεγενημένα, πρὸς δὲ καὶ τὰ βασιλικὰ γράμματα τὰ ὅμοια ψηφιζόμενα, πρὸς ἑαυτὸν ἐπεσπᾶτο. Καὶ δὴ καὶ οὗτοι σύνοδον κηρύξαντες ἔκ τε Συρίας καὶ Παλαιστίνης, καὶ τῆς περικύκλῳ χώρας, κοινωνίας αὐτῷ μετέδοσαν, καὶ τὸ προσῆκον τῇ ἀξίᾳ γέρας ἀπένειμαν. Κἂν οὐκ ἐλάχιστος ἐντεῦθεν προσετρίβη μῶμος πρὸς τῶν, οἳ

CAPUT XXVI.

Ut civitates Athanasium exceperint, et de synodo Hierosolymis propter eum coacta, et quæ ea synodus Alexandrinis pro Athanasio scripserit.

Ejuscemodi litteris munitus Athanasius, per Syriam in Ægyptum contendit, et inde per Pelusium Alexandriam profectus est. Peragrans autem urbes in Ægypto, quos ibi Ariano dogmati addictos reperit, illis exauctoratis, quorum doctrinam exploratam probasset, ecclesiarum eis administrationem committebat. Idque itidem, cum per nationes alias iret, fecisse dicitur: siquidem ibi quoque ecclesiæ Arianis gubernandæ mandatæ fuissent. Quæ res postea ei aliarum criminationum initium et causa fuit, quod nimirum in parœciis, quæ ad jurisdictionem ejus non pertinerent, ordinationem usurpare ausus esset. Et cum reditu suo non ex adversariorum sententia instituto, propter Constantis amicitiam, majore esset animo: eo minus contemnendus visus est, quo in majorem illustrioremque honorem et gloriam ita evectus fuerat, ut ex adversariis multi animos desponderint, et quod in eum gerebant odio deposito, communioni ejus se aggregarint. Quemadmodum quidem Palæstini fecere, et Maximus Hierosolymorum episcopus, qui in Licinii persecutione egregium se ostendit martyrem, cum ei ex oculis alter propter veram pietatem effossus est. Expositis namque apud hos Sardicensibus actis, et litteris imperatoris quæ idem decernebant exhibitis, in sententiam eos suam Athanasius pertraxit. Atque illi, synodo ex Syria, Palæstina et regione finitima coacta, ad communionem eum receperunt, debitumque dignitati ejus honorem exhibuerunt. Unde non minima ab eis qui Athanasio male volebant, Maximo provenit

invidia et reprehensio, quod qui antea Tyri suffragator Athanasium exauctorantium fuisset, nunc seorsim sententiam pro eo talem tulisset, auctoritate sua dignitatem illius confirmasset, et alacritate summa cum eo communicasset. Quæ vero pro eo synodus Hierosolymitana in Ægyptum, Libyam, et ipsam Alexandriam ad presbyteros et diaconos et plebem reliquam scripsit, talia fuere: **741** « Sancta synodus Hierosolymis congregata, eis qui in Ægypto, et Libya, et in ipsa Alexandria sunt, presbyteris, diaconis, et populo, dilectis desideratisque fratribus in Christo salutem. Universarum rerum Deo, dilecti, pro rei dignitate debitas agere gratias, propter ea quæ semper fecit admiranda, non possumus. Fecit autem nunc quoque cum ecclesia B vestra, pastore vestro et domino collegaque nostro Athanasio, vobis reddito. Quis etenim se oculis suis visurum speravit, quæ nunc vos rebus ipsis percipitis? Sedenim vere profecto orationes vestræ exauditæ sunt ab universitatis hujus Deo, qui Ecclesiæ suæ curam gerit, quique lacrymas vestras et luctum respexit, et propterea preces vestras exaudivit. Eratis namque sicuti oves jactatæ et dispersæ, non habentes pastorem. Et verus in cœlo pastor, oves suas curans, reddidit vobis quem desiderastis. Ecce enim et nos, qui nihil pro ecclesiastica pace non agimus, et cum vestra conspiramus charitate, illum prius receptum complexi sumus. Et per eum in communionem vos recipientes, hoc scriptum et gratiarum actionem nostram C ad vos dedimus, ut dilectionis vinculo nos et illi et vobis unitos atque conjunctos esse intelligatis. Debetis vero etiam pro pietate Dei amantissimorum imperatorum orare. Qui sane et ipsi, tum desiderio in illum vestro, tum sinceritate ejus cognita, restituere eum vobis cum omni honore sunt dignati. Itaque obviis eum excipite ulnis, et debitas pro eo gratiarum actiones, a quo hanc tantam recepistis gratiam Deo reddere studete, ut perpetuo cum Deo lætari et Dominum celebrare valeatis, in Christo Jesu Domino nostro: per quem Patri sit gloria in sæcula sæculorum. » Hæc Maximus et Palæstina synodus pro Athanasio scripsit.

A ἀπεχθῶς πρὸς Ἀθανάσιον εἶχον, Μαξίμῳ, οἷς ἐν Τύρῳ πρότερον σύμψηφος τοῖς καθελοῦσι γεγενημένος, νῦν οὕτως ἰδίᾳ τὰ ὑπὲρ αὐτοῦ ἐψηφίζετο· ἐκύρου τε τὸ ἀξίωμα, καὶ προθυμότατα ἐκοινώνει. Ἃ δὲ ὑπὲρ αὐτοῦ ἡ ἐν Ἱεροσολύμοις ἔγραψε σύνοδος τοῖς ἐν Αἰγύπτῳ καὶ Λιβύῃ καὶ αὐτῇ Ἀλεξανδρείᾳ πρεσβυτέροις καὶ διακόνοις καὶ τῷ λοιπῷ λαῷ, οὑτωσὶ διεξῄεσαν· « Κατ' ἀξίαν τῷ τῶν ὅλων Θεῷ εὐχαριστεῖν οὐκ ἀρκοῦμεν, ἀγαπητοὶ, ἐφ' οἷς θαυμασίοις ἐποίησε πάντοτε· ἐποίησε δὲ καὶ νῦν μετὰ τῆς ὑμετέρας ἐκκλησίας, τὸν ποιμένα ὑμῶν καὶ κύριον καὶ συλλειτουργὸν ἡμῶν Ἀθανάσιον ἀποδοὺς ὑμῖν. Τίς γὰρ ἤλπισε ταῦτα ὀφθαλμοῖς ἰδεῖν, ἃ νῦν ὑμεῖς ἔργῳ ἀπολαμβάνετε; Ἀλλὰ ἀληθῶς αἱ εὐχαὶ ὑμῶν εἰσηκούσθησαν παρὰ τῷ τῶν ὅλων Θεῷ, τῷ κη- B δομένῳ τῆς Ἐκκλησίας αὐτοῦ, καὶ ἐπιδόντι ὑμῶν τὰ δάκρυα καὶ τοὺς ὀδυρμοὺς, καὶ διὰ τοῦτο τῶν δεήσεων ὑμῶν ἐπακούσαντι. Ἦτε γὰρ ὡς πρόβατα ἐσκυλμένα καὶ ἐῤῥιμμένα, μὴ ἔχοντα ποιμένα· καὶ ὁ ἀληθινὸς ποιμὴν οὐρανόθεν, ὁ τῶν ἰδίων προβάτων κηδόμενος, ἀποδοὺς ὑμῖν ὃν ἐποθεῖτε. Ἰδοὺ γὰρ καὶ ἡμεῖς πάντα ὑπὲρ τῆς ἐκκλησιαστικῆς εἰρήνης πράττοντες, καὶ τῇ ὑμετέρᾳ συμπνέοντες ἀγάπῃ, προλαβόντες αὐτὸν ἠσπασάμεθα· καὶ κοινωνήσαντες δι' αὐτοῦ ὑμῖν, ταύτας τὰς προσρήσεις διαπεμπόμεθα, καὶ τὰς εὐχαριστηρίους ἡμῶν εὐχάς· ἵν' εἰδῆτε τῷ συνδέσμῳ τῆς ἀγάπης πρὸς αὐτὸν καὶ ἡμᾶς ἡνῶσθαι. Ὀφείλετε δὲ καὶ ὑπὲρ τῆς εὐσεβείας τῶν θεοφιλεστάτων βασιλέων εὔχεσθαι· οἵτινες καὶ C αὐτοὶ γνόντες τὸν πόθον ὑμῶν τὸν περὶ αὐτὸν, καὶ τὴν αὐτοῦ καθαρότητα, ἀποκαταστῆσαι ὑμῖν αὐτὸν μετὰ πάσης τιμῆς κατηξίωσαν. Ὑπτίαις οὖν δεξάμενοι αὐτὸν χερσὶ, καὶ τὰς ὀφειλομένας ὑπὲρ αὐτοῦ εὐχαριστηρίους εὐχὰς ἀναπέμψαι τῷ ταῦτα ὑμῖν χαρισαμένῳ Θεῷ, σπουδάσατε ὑπὲρ τοῦ διὰ παντὸς ὑμᾶς χαίρειν σὺν Θεῷ καὶ δοξάζειν τὸν Κύριον ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· δι' οὗ τῷ Πατρὶ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. » Μάξιμος μὲν οὖν καὶ ἡ ἐν Παλαιστίνῃ σύνοδος τοιαῦτα ὑπὲρ Ἀθανασίου ἔγραφον.

CAPUT XXVII.

Ut Ursicius et Valens, Ariani libellum pœnitentiæ Julio Romano pontifici obtulerint: et ut Nicænam fidem amplexi, cum Athanasio in gratiam redierint.

Cæterum alii quoque, tametsi ingenti erga Arianam religionem ardore essent, in illius tamen concessere sententiam: id quod et Ursicius (1) et Valens fecere, qui cum Theognide et aliis apud Mareotem fuere, ea quæ Ischyras dixerat, de confracto mystico poculo, et aliis rebus inquirentes. **742** Ii priore opinione mutata, Romam profecti sunt: atque ibi Julio episcopo libello pœnitentiæ oblato, victos se ab Athanasio esse sunt confessi,

ΚΕΦΑΛ. ΚΖ'.

D *Ὡς καὶ οἱ Ἀρειανοὶ Οὐρσίκιος καὶ Οὐάλης, βιβλίον μετανοίας δόντες Ἰουλίῳ τῷ Ῥώμης, τὴν ἐν Νικαίᾳ πίστιν ἠσπάσαντο, καὶ μετὰ Ἀθανασίου ἐσπείσαντο.*

Οὐ μὴν ἀλλὰ καὶ ἄλλοι, καίπερ διαπύρως πρὸς τὴν Ἀρειανικὴν θρησκείαν ἔχοντες, πρὸς τὴν ἐκείνου μετεῤῥύησαν δόξαν· οἷα δὴ καὶ Οὐρσίκιος καὶ Οὐάλης πεπόνθασιν, οἳ σὺν τοῖς ἀμφὶ Θέογνιν ἐν τῷ Μαρεώτῃ γενόμενοι τὰ εἰρημένα Ἰσχυρίωνι διαψηλαφῆσαι περί τε τοῦ κατεαγότος μυστικοῦ ποτηρίου καὶ τῶν λοιπῶν, μεταθέμενοι τῆς προτέρας σπουδῆς, ἐς Ῥώμην ἀνῄεσαν· καὶ Ἰουλίῳ τῷ ταύτης ἐπισκόπῳ βιβλίον μετανοίας δόν-

(1) Ursicium alii Ursacium vocant, convenienti Hungarorum linguæ nomine, quasi Orsacum dicerent: Orsacus autem apud eos nobilis et generosus dicitur, sive nobilitas ipsa. Ursicii et Valentis pœnitentiæ libellus Julio episcopo Rom. oblatus.

τες, τὴν ἐπὶ Ἀθανασίῳ ἧτταν ὡμολόγουν, καὶ τῷ A ὁμοουσίῳ τοῦ λοιποῦ στοιχεῖν ἐπεκύρουν· καὶ αὐτῷ δὲ Ἀθανασίῳ γράφοντες, φιλοφρόνως κοινωνεῖν αὐτῷ ἠξίουν· ὃ δῆτα περιφανῶς εἰς μέγιστον καθίστατο θρίαμβον ὡς ἀδίκως οἱ ἐν Τύρῳ κατὰ Ἀθανασίου τὰς ψήφους ἐξήνεγκαν. Ἃ δὲ τῷ Ῥώμης ἔγραφον Ἰουλίῳ, ἦσαν ταῦτα· « Κυρίῳ μακαριωτάτῳ πάππᾳ Ἰουλίῳ Οὐρσίκιος καὶ Οὐάλης. Ἐπειδὴ συνέστησεν ἡμᾶς πολλά τε πρὸ τούτου καὶ δεινὰ περὶ Ἀθανασίου τοῦ ἐπισκόπου διὰ γραμμάτων ἡμῶν ὑποβεβληκέναι, γράμμασι τῆς σῆς χρηστότητος μεθοδευθέντες, τοῦ πράγματος χάριν περὶ οὗ ἐδηλώσαμεν, οὐχ ἠδυνήθημεν λόγον ἀποδοῦναι· ὁμολογοῦμεν παρὰ τῇ σῇ χρηστότητι, παρόντων τῶν ἀδελφῶν ἡμῶν πάντων τῶν πρεσβυτέρων, ὅτι πάντα B τὰ πρὸ τούτου ἐλθόντα εἰς τὰς ἀκοὰς ὑμῶν περὶ τοῦ ὀνόματος τοῦ προειρημένου Ἀθανασίου ψευδῆ καὶ πλαστά ἐστι, πᾶσί τε δυνάμει ἀλλότρια αὐτοῦ τυγχάνει. Διά τοι τοῦτο ἡδέως ἀντιποιούμεθα τῆς κοινωνίας τοῦ προειρημένου Ἀθανασίου· μάλιστα ὅτι ἡ θεοσέβειά σου κατὰ τὴν ἔμφυτον αὐτῆς καλοκαγαθίαν τῇ πλάνῃ ἡμῶν συγγνώμην κατηξίωσε δοῦναι. Ὁμολογοῦμεν καὶ τοῦτο, ὅτι ἐάν ποτε ἡμᾶς οἱ ἀνατολικοὶ θελήσωσιν, ἢ καὶ αὐτὸς Ἀθανάσιος κακοτρόπως περὶ τούτου εἰς κρίσιν καλέσαι, μὴ ἀπέρχεσθαι παρὰ γνώμην τῆς σῆς διαθέσεως. Τὸν δὲ αἱρετικὸν Ἄρειον καὶ τοὺς ὑπερασπίζοντας αὐτοῦ, τοὺς λέγοντας, Ἦν ποτε ὅτε οὐκ ἦν ὁ Υἱὸς, καὶ ὅτι ἐκ τοῦ μὴ ὄντος ὁ Χριστός ἐστι, καὶ τοὺς ἀρνουμένους τὸν Χριστὸν Θεὸν εἶναι, καὶ Υἱὸν Θεοῦ C πρὸ αἰώνων, καθὼς καὶ ἐν τῷ προτέρῳ λιβέλλῳ ἑαυτῶν ἐν τῇ Μεδιολάνων ἐπιδεδώκαμεν, καὶ νῦν ἀναθεματίζομεν. Ταῦτα δὲ τῇ χειρὶ αὐτῶν γράψαντες, ὁμολογοῦμεν πάλιν ὅτι τὴν Ἀρειανικὴν αἵρεσιν, καθὰ προείπομεν, καὶ τοὺς ταύτης αὐθέντας κατεκρίναμεν εἰς τὸν αἰῶνα. Ἐγὼ Οὐρσάκιος τῇ ὁμολογίᾳ μου ταύτῃ παρὼν, ὑπέγραψα· ὡσαύτως δὲ καὶ Οὐάλης. » Ταῦτα μὲν πρὸς Ἰούλιον· ἃ δὲ καὶ Ἀθανασίῳ ἔπεμπον ἐν τούτοις ἦσαν· « Κυρίῳ ἀδελφῷ Ἀθανασίῳ ἐπισκόπῳ Οὐρσάκιος καὶ Οὐάλης ἐπίσκοποι. Ἀφορμὴν εὑρόντες διὰ τοῦ ἀδελφοῦ καὶ συμπρεσβυτέρου ἡμῶν Μουσαίου, ἐρχομένου πρὸς τὴν σὴν ἀγάπην, ἀδελφὲ ἀγαπητὲ, διὰ τοῦτό σε καὶ πάνυ προσαγορεύομεν ἀπὸ τῆς Ἀκυλιίας· καὶ εὐχόμεθά σε ὑγιαίνοντα τὰ γράμματα τὰ ἡμέτερα D ἀναγνῶναι. Δώσεις γὰρ ἡμῖν θαῤῥεῖν, ἐὰν καὶ σὺ ἐν τῷ γράφειν ἀποδῷς ἡμῖν τὴν ἀμοιβήν. Γίνωσκε γὰρ ἡμᾶς εἰρήνην ἔχειν μετὰ σοῦ καὶ κοινωνίαν ἐκκλησιαστικήν. Καὶ τούτων γνώρισμα ἡ διὰ τούτων τῶν γραμμάτων προσηγορία. » Τὰ μὲν οὖν κατὰ Ἀθανάσιον ἐν τούτοις ἦσαν· καὶ οὕτως ἐξ ἑσπέρας εἰς τὴν πρὸς Ἕω ἀρχομένην ἐπανελθὼν κατ' Αἴγυπτον, τὰς ἐκκλησίας διεῖπεν. Ὡσαύτως δὲ καὶ Παῦλος, καὶ Μάρκελλος, Ἀσκληπᾶς τε καὶ Λούκιος, τοὺς ἰδίους τόπους ἀπέλαβον.

A simulque in posterum se τῷ ὁμοουσίῳ, consubstantiali, assensuros esse receperunt. Ad ipsum etiam Athanasium scribentes, benigne se cum eo communicaturos esse significarunt. Quæ sane res publicitus in maximum evasit veluti triumphum et documentum certum, iniquas esse Tyri dictas latasque in Athanasium sententias. Ad Julium episcopum Romanum quæ scripserant, hæc fuere: «Beatissimo domino papæ Julio, Ursicius et Valens: Quandoquidem antehac multa et gravia de Athanasio episcopo scriptis nostris nos constat suggessisse, neque bonitatis tuæ litteris in sententiam aliam traductos: negotio eo de quo ad te scripsimus impeditos, rationem eorum reddere potuisse: idcirco præsentibus nunc fratribus no- B stris presbyteris omnibus apud humanitatem tuam profitemur omnia quæcunque antea de nomine, quem diximus, Athanasii ad aures vestras pervenere, falsa et conficta, modisque omnibus aliena ab eo esse. Quapropter communionem ejus cupide affectamus, præcipue cum pietas tua, pro insita sibi integritate, gratiam nobis erroris facere est dignata. Profitemur et illud, si quando Orientales maligne, aut ipse etiam Athanasius, nos de hac re in jus vocare voluerint, nos præter animi tui sententiam eo non ituros. Arium autem hæreticum, ejusque defensores, qui dicunt, fuit aliquando tempus cum non fuit Filius: et, Christum ex non exsistente esse: et, qui Christum Deum esse et C Filium Dei ante sæcula negant, sicuti et in priore libello nostro Mediolani oblato, ita nunc quoque anathemate mactamus. Hæc autem manuum nostrarum subscriptione adnotantes, iterum iterumque profitemur, nos, quemadmodum modo diximus, Arianam hæresim et auctores ejus damnare in sæculum. Ego Ursacius professioni huic meæ præsens subscripsi: itidem vero et Valens. » Hæc quidem ad Julium. Quæ vero ad Athanasium scripsere, sic habebant: « Domino fratri Athanasio episcopo, Ursacius et Valens episcopi: Occasionem per fratrem et compresbyterum nostrum Musæum, **743** qui ad dilectionem tuam proficiscitur, frater dilecte, nacti, compellandum te ex ipsa Aquileia duximus: optantes, ut salvus litteras nostras legas. D Addes autem nobis fiduciam, si tu quoque scribendo nobis responderis. Scito namque nos pacem tecum habere, et ecclesiasticam tecum communicare conjunctionem. Indicium earum rerum est litterarum nostrarum isthæc compellatio.» Res Athanasii ita se habuere. Et sic ille ex Occidente in Orientales partes reversus, ecclesias in Ægypto rursus gubernavit. Itidem vero et Paulus et Marcellus, et Asclepas, et Lucius, sedes suas recepere.

CAPUT XXVIII.

Ut eo tempore res quoque publica male habuerit : et de Saporis Persarum regis contra Nisibin expeditione : et de occidentalibus tyrannis Magnentio, Britanione aliisque qui post mortem Constantis Cæsaris exstitere.

Ea tempestate et res publicæ laborarunt. Ex tribus enim Constantini filiis (1), qui natu minimus, patri cognominis erat, a ducibus Constantis fratris trucidatus fuerat, non jubente illo quidem, sed nec prohibente etiam : sicuti a nobis supra est dictum. Illud quoque non omittendum videtur, una cum Constantini, post mortem ejus, filiis, imperasse patri suo cognomine Dalmatium Cæsarem, prosperrima indole patris persimilem juvenem, sed cum brevi jugulatum esse a militibus, Constantio sinente potius quam jubente. Deinde minus quoque feliciter Constantio res in Oriente successere (2) : maxima namque a Persis expeditione suscepta, perinde atque nox quædam confertim Romanis offusa esset, victoria vere ad Persas inclinavit : cum Athanasius etiam variis casibus jactatus, et de consubstantiali adversus eum bellum est excitatum. Nisibim, quæ etiam Antiochia Mygdoniæ a quibusdam dicitur, Sapores ad dies septuaginta oppugnavit, tormentis per circuitum dispositis, vallo in magnam altitudinem excitato, omni genere armorum bellicarumque ad expugnandas urbes comparatarum machinarum emisso, fossisque et aggeribus ductis. Ut autem res omnes expertus nihil egit, fluvium Mygdonium (ita enim dicitur, qui mediam secat urbem) longius a muro aggeribus ex utraque parte præ altis, qui undas cohiberent, constructis inhibuit, et derepente quasi tormentum quoddam mœnibus immisit. Atque illa quod vim et impetum undarum non sustinerent, in parte utraque meatum illi præbentia, cessere atque conciderc. **744** Persa autem in spem urbis potiundæ erectus, postridie lutosis aquosisque locis exsiccatis, ad muri qui conciderat, partes cum copiis omnibus accedens, mœnia ipsa ita ut antea fuerant, restaurata vidit. Urbis namque episcopus Jacobus, divinæ sortis minime expers, oratione celeriter ea restituit. Et accedentes præterea ed ea Persas, quæ in conspectum non caderent, depulit telis. Quod Sapores cernens, consternatus obstupuit. Et quod circa murum virum splendido regioque cultu ornatum vidisset, Constantium cum esse arbitratus, cædem eis minatus est, qui eum non adesse renuntiaverant. Ubi vero illi vera esse quæ dixissent, Constantium scilicet Antiochiæ esse, confirmarunt, agnovit visionis ejus prodigium, Deumque res Romanas propugnare dixit. Eaque de re ad iram prolapsus, in aerem tela, vulneraturum se esse eum qui

A

ΚΕΦΑΛ. ΚΗ'.

Ὅτι καὶ τὰ κοινὰ τότε κακῶς εἶχε· καὶ περὶ τῆς εἰς Νίσιβιν ἐκστρατείας Σαπωρίου τοῦ Περσῶν βασιλέως· καὶ περὶ τῶν κατὰ τὴν ἑσπέραν τυράννων, Μαγνεντίου καὶ Βρεταvίωνος, καὶ ἄλλων μετὰ μόρον Κώνστα τοῦ Καίσαρος.

Κατ' ἐκεῖνο δὲ καιροῦ καὶ τὰ κοινὰ κακῶς ἔπραττον. Τριῶν γὰρ παίδων ὄντων τῷ Κωνσταντίνῳ, ὁ μὲν νεώτερος καὶ ὁμώνυμος τῷ πατρὶ πρὸς τῶν τοῦ ἀδελφοῦ Κώνστα στρατιωτῶν κτίννυται, οὐ κελεύσαντος τὴν σφαγὴν, ἀλλὰ μηδὲ κωλύσαντος· μετὰ δὲ τοῦτο οὐκ εὐτυχῶς τὰ κατὰ τὴν Ἕω εἶχον τῷ Κωνσταντίῳ, μεγίστης ἐφόδου ἐκ Περσῶν κινηθείσης. Οἷα γάρ τινος νυκτὸς ἀθρόον Ῥωμαίοις ἐπιχυθείσης, τὰ τῆς νίκης Πέρσαις ἐγένετο· ὁπηνίκα τὰ κατ' B Ἀθανάσιον καὶ ὁ περὶ τοῦ ὁμοουσίου ἀνεῤῥιπίζετο πόλεμος. Ἐν μέντοι Νισίβιδι τῆς Ἀντιοχείας Σαβώριος γεγονὼς, πολιορκεῖν ἐπειρᾶτο ἐπὶ ἑβδομηκοστὴν ἡμέραν, τὰς μηχανὰς περιιστὰς κύκλῳ καὶ χώματα εἰς ὕψος μέγα ἐγείρων, καὶ τὰς ἑλεπόλεις ἀφεὶς, τάφρους τε ὑπορύσσων καὶ χαρακώματα. Ὡς δὲ πάντα πράττων οὐδὲν ἥνυε, τὸν μέσον τέμνοντα ποταμὸν τὴν πόλιν, ὃς Μυγδόνιος λέγεται, πόῤῥωθεν ἐπισχὼν, καὶ ἑκατέρωθεν τάφροις τισὶν ὑψηλοῖς περιφράξας τὸ ῥεῦμα, ἐξάπινα οἷά τινα μηχανὴν κατὰ τοῦ τείχους ἠφίει. Τὸ δὲ τὴν ῥύμην μὴ ἀντισχὸν, εἶξέ τε καὶ κατέπεσεν ἑκατέρωθεν, διέξοδον τῷ ὕδατι δεδωκός. Ἐν ἐλπίσι δ' ὁ Πέρσης γενόμενος τὴν πόλιν ἑλεῖν, καὶ τῇ ὑστεραίᾳ μετὰ τὸ ἀνανθῆναι τὸ τέλμα, διὰ τῶν καταπεπτωκότων μερῶν C πανστρατὶ ἐλθὼν, ὁρᾷ τὸ τεῖχος οἷόνπερ τὸ πρότερον ἦν. Ὁ γὰρ τῆς πόλεως ἐπίσκοπος τηνικαῦτα Ἰάκωβος, θείας μοίρας μὴ ἀμοιρῶν, εὐχῇ θᾶττον τὸ τεῖχος ἀνίστη· καὶ τοὺς Πέρσας ἰόντας ἀοράτοις ἐξήλαυνε βέλεσι. Σαβώριος δ' ἀθρήσας, ἐν ἐκπλήξει ἦν διὰ ταῦτα· καὶ ὅτι ἄνδρα περὶ τὸ τεῖχος ἑώρα βασιλικῇ περιηνθισμένον ἁβρότητι. Νομίσας δ' εἶναι Κωνστάντιον, θάνατον ἠπείλησε τοῖς μὴ παρεῖναι τοῦτον ἀπηγγελκόσιν. Ἰσχυριζομένων δὲ ἐκείνων ἀληθῆ εἶναι τὰ παρ' αὐτῶν εἰρημένα, καὶ τὸν Κωνστάντιον ἐν Ἀντιοχείᾳ διάγειν εἰρηκότων, ἐπέγνω τῆς ὄψεως μηνύματα, καὶ τὸν Θεὸν ἔλεγε τῶν Ῥωμαίων ὑπερμαχεῖν. Ἐφ' ᾧ δυσχεράνας, εἰς ἀέρα βέλη ἠφίει, πλῆξαι τὸν ἀσώματον ὁ δείλαιος οἰηθείς. D Ἐφραὶμ δ' ὁ παρὰ Σύροις ἄριστος γενόμενος συγγραφεὺς, ἀνιὼν τὸ τεῖχος, καὶ τὸ μυρίανδρον ἐκεῖνο στῖφος ἰδὼν, ἐδεῖτο τοῦ Ἰακώβου, οὕτω γὰρ ὁ ἐπίσκοπος ὠνομάζετο, κνίπας ἐπιπέμπειν τοῖς Πέρσαις καὶ κώνωπας, ὡς ἂν καὶ διὰ τῶν σμικρῶν ζωϋφίων γνῶσι Πέρσαι, ὡς μέγας σφίσι Θεὸς ἐπαρκεῖ. Καὶ δὴ ἅμα τῇ εὐχῇ στρατὸς διαέριος νεφῶν δίκην τὰ ζωΰφια αὐτοῖς ἀθρόον ἐφίπτατο· καὶ ταῖς τῶν ἐλεφάντων προνομαίαις αὐλῶν δίκην ἠωρημέναις τῶν τε ἵππων καὶ ἄλλων ζώων τοῖς τε ὠσὶν καὶ ῥισὶν εἰσέῤῥεον. Οἱ δὲ τῶν ζωϋφίων μὴ φέροντες τὴν ἐπι-

(1) De Constantini tribus filiis ita scribit Eutrop. lib. x : *Constantinum primum filium decennali suo transalpinis gentibus præfecit. Constantium secundum, vicennali in Orientem misit. Constantem natu minimo tricennalibus Illyricum, Italiam et Africam provincias dedit.*

(2) Nocturna siquidem pugna inter Romanos et Persas in collimitio commissa : firmiores ad breve tempus res Persarum sunt visæ. (Socrat. lib. II, cap. 25.)

θεσιν, ἀτάκτῳ ῥύμῃ θέοντες συνεχέοντο, καὶ κατέπιπτον ἀκόσμως ἀποδιδράσκοντες. Σαβώριος δ' ἐκ μικρῶν τὴν μεγάλην Θεοῦ συμμαχίαν μεμαθηκὼς, καὶ πολλὰ δράσας τῇ τοιαύτῃ στρατείᾳ, ὅμως αἰσχύνης ἔμπλεως ἐκεῖθεν ἀνέστρεφεν, ἑαυτῷ μᾶλλον οὐ νίκην, ἀλλ' ἧτταν πραγματευσάμενος. Ἐν δὲ τῷ πρὸς Ἕω Περσικῷ πολέμῳ διατρίβοντι Κωνσταντίῳ, Μαγνέντιος ἐν Ἑσπέρᾳ τύραννος ἤρθη· ὃς δὴ τὸν βασιλέα Κώνσταντα ἐκ συσκευῆς ἀναιρεῖ περὶ Γαλατίαν, καὶ τὴν ὑπ' αὐτῷ ἀρχομένην ὑφ' ἑαυτοῦ ποιεῖται. Δι' οὗ ἐμφύλιος μάχη συνίστατο. Τοῦ δὲ τὴν ἄκρατον ῥύμην δείσασα Κωνσταντία τοῦ κρατοῦντος ἡ ἀδελφὴ, Βρετανίωνι τὸν βασιλικὸν περιτίθησι στέφανον, καὶ ἀνθίστασθαι τῷ τυράννῳ ἐκέλευεν. Ὁ μαθὼν ὁ Κωνστάντιος, καὶ τὸ βασιλικὸν διάδημα ἔπεμπεν. Ἀλλὰ καὶ οὗτος ἐνηδυνθεὶς τῇ ἀρχῇ, τύραννος ἐν Σιρμίῳ καθίστατο. Ναὶ μὴν καὶ κατὰ Ῥώμην ταραχὴ οὐ μετρία προσῆν, Νεπωτιανοῦ, ὃς ἀδελφιδοῦς ἦν Κωνσταντίνου τοῦ βασιλεύσαντος, τῆς ἐκεῖσε ἀντιποιουμένου ἀρχῆς, οὐκ ἀγεννῆ νεολαίας ἐκ δορυφόρων μονομάχων στρατιὰν ἐπισυρομένου. Ἀλλὰ τοῦτον μὲν οὐκ ἐπὶ πολὺ κρατήσαντα οἱ περὶ Μαγνέντιον ἔκτεινον. Μαγνέντιος δὲ τὰ πρὸς δύσιν ἅπαντα δῃῶν οὐκ ἀνίει· οὕτως ἐν βραχεῖ τῷ χρόνῳ τοσαῦτα συνεῤῥύη κακά. Ἔτος τέταρτον δ' ἦν μετὰ τὰ ἐν Σαρδικῇ τῇ ἐκκλησίᾳ γενόμενα. Κωνστάντιος δὲ αὐτοκράτωρ κατὰ τὴν Ἑῴαν δειχθεὶς, καὶ τὸ τῆς ἑσπέρας κράτος περιζώσασθαι ἔσπευδε· καὶ πρὸς τὸν τῶν ἑσπερίων τυράννων καθωπλίζετο πόλεμον. Τότε δ' Ἀθανάσιος καὶ σύνοδον ἐν Ἀλεξανδρείᾳ Αἰγυπτίων ἀθροίσας ἐπισκόπων, τὰ ἐν Σαρδικῇ καὶ Παλαιστίνῃ περὶ αὐτοῦ δόξαντα κυροῦν καὶ ἐπιψηφίζεσθαι παρεσκεύαζε.

A corpore caret, ratus, miser conjecit. Ephraim autem, qui apud Syros optimus fuit scriptor, muro conscenso, ubi innumerabilem illam hostium multitudinem vidit, Jacobum qui tum ibi, ut dictum est, episcopum agebat, rogavit, ut cyniphes et culices Persis immitteret: quibus illi, etiam per minima animalia Deum eis abunde auxilium ferre, cognoscerent. Et ecce, simul cum ipsa precatione, animalculorum aereus exercitus nubis instar confertim in illos involat, et in elephantorum proboscides, quæ veluti tibiæ directæ eminebant, equorumque et aliorum jumentorum aures et nares irruit. Illi vero animalculorum eorum non ferentes congressum, nullo servato ordine, cum impetu discurrentes miscentur, fugientesque B turpiter concidunt. At Sapores ex rebus minimis maximo Dei subsidio cognito, cum multa per eam expeditionem tentasset, cum probro tamen et ignominia inde discessit, clade sibi ipsi potius quam victoria parta. Constantio autem bello Persico in Oriente occupato, Magnentius in Occidente tyrannidem arripuit; qui imperatorem Constantem apud Gallias per insidias interemit, imperiumque illius sibi subdidit. Unde civilis belli causa exstitit. Hujus namque impotentem animum verita imperatoris soror Constantia (1), Britanioni imperiale imposuit diadema, eumque adversus tyrannum ducere jussit. Quod ubi Constantius cognovit, et ipse imperatoris insignia eidem C misit (2). Sed et hic imperandi libidine corruptus, in tyrannidem apud Sirmium erupit. **745** Romæ quoque non mediocris tumultus fuit, quod Nepotianus, Eutropiæ Constantii sororis filius, imperium sibi in urbe vindicans, fortem ex gladiatoribus satellitibus exercitum contraxerat. Eum tamen non diu rerum potitum, Magnentius (3) necavit: qui loca omnia in ipso Occidente vastare non intermisit. Tantum brevi tempore malorum est accumulatum. Erat is quartus a Sardicensi synodo annus. Constantius porro, qui Orienti imperator declaratus fuerat, Occidentem quoque potestati suæ subjicere contendit, bellumque adversus tyrannum, qui ibi grassabatur, adornavit. Eo tempore Athanasius episcoporum Ægyptiorum synodum Alexandriæ coegit: in qua quæ de eo vel Sardicæ vel in Palæstina decreta essent, comprobarentur atque confirmarentur.

ΚΕΦΑΛ. ΚΘ'.

Ὡς πάλιν τῶν Ἀρειανῶν ἐπιθέσεσιν οἱ περὶ Ἀθανάσιον ἐξηλαύνοντο, καὶ αὐτὸς φυγῇ ἐχρήσατο· καὶ ὡς πάλιν Γεώργιος κατήχθη εἰς Ἀλεξάνδρειαν, καὶ μυρία κακὰ Ἀλεξανδρεῦσιν ἐπήγαγεν· ὡς ἐν τῷ περὶ φυγῆς λόγῳ ἱστόρησεν Ἀθανάσιος.

Βασιλεὺς δὲ ταῖς τῆς ἀντιπάλου αἱρέσεως ὑποθέσεσιν ἐκτραπεὶς, διάστροφος τὴν γνώμην ἐγίνετο· ὑπέθεντο γὰρ ὡς εἴη Αἴγυπτον καὶ Λιβύην συγχέων αὖθις ὁ Ἀθανάσιος. Προσετίθεντό γε μὴν καὶ τὸ μὴ ἐπὶ ταῖς καθηκουσάσαις αὐτῷ παροικίαις χειροτονίας ποιῆσαι· καὶ τὸ μέγιστον, ὡς ὅτι οὗτος αὐτῷ

CAPUT XXIX.

D *Ut rursum Arianorum opera Athanasius sit expulsus, ipseque se fugæ commiserit: et ut denuo Georgius Alexandriam sit perductus, Alexandrinisque infinita mala conciliarit: quemadmodum ea de re in oratione de fuga sua Athanasius scriptum reliquit.*

Imperator autem adversantis sectæ importuna sollicitatione transversim actus, priorem mutavit sententiam. Suggesserant enim ei, Athanasium rursum Ægyptum et Libyam turbare. Addiderant etiam, in parœciis quæ jurisdictionis ejus non essent, episcopos et presbyteros designasse. Et

(1) Ad Illyricum autem Sirmii a militibus alius tyrannus lectus, nomen illi erat Britanionis. (Socrat. ubi supra.)

(2) Veniam petenti facile dedit. (Egnat.)

(3) Constans, ad delicias delapsus, Magnentii, qui comes ordinum Augustæ, Germaniæ urbis, erat, insidiis, haud longe ab Hispaniis, in oppido Helene, occisus est. Eutrop., qui Augustam, Augustodunum nominat. — Nepotianum die vicesimo octavo Magnentius oppressit: et caput ejus hastæ infixum, in urbe circulatum est. Idem.

quod omnium maximum foret, ipsum quoque fratrem Constantem ad inimicitias adversus eum concitasse. Quibus criminibus apud Constantium, ut qui Euripus esset, effecere, ut quæ Sardicæ constituta fuerant prorsus aboleret, et eos qui per eam synodum restituti fuerant episcopi, exigi juberet. Ita factum, ut Marcello dejecto, Basilius Ancyram Galatiæ sit reductus, et Orestiadis episcopus, Lucius, vinctus in carcere interierit: Paulus vero Constantinopolitanus perpetuo exsilio multatus, in oppidum quoddam Armeniæ in solitudine situm, Cucusum nomine, deportatus sit: ubi laqueo strangulatus, Macedonianorum opera periit. **746** Tantum autem calumnia Athanasio apud imperatorem intentata valuit, ut is quemdam submiserit, qui caput illi ubicunque reperto amputaret: et cum eo Theodulo itidem, et Olympio, ecclesiarum quarumdam in Thracia episcopis. Quam rem ubi Athanasius præsentit, minis illius cedens, fuga vitæ suæ consuluit. Quam deinde fugam Ariani sunt calumniati, et maxime Narcissus Neroniadis Ciliciæ episcopus, et Leontius Laodicensis, tum autem Antiochenus episcopus. De quo Athanasius dicit, presbyterum eum ministerio, quod seipsum castrarit, motum esse. Nam is puellæ cuidam Eustoliæ venustæ mulierculæ cohabitans, cum invalescentem eam ob causam fœdam suspicionem abolere studeret, seipsum castravit, ut libere deinde cum ea esse posset. Cæterum ne eo quidem facinore suspicionem sustulit. Nam eam ob rem tum illi dignitas adempta: postea autem Constantii opera, Laodicensi primum, deinde etiam post Deo invisum Stephanum, qui Placito post Euphronium successerat, Antiochenæ præfectus est ecclesiæ. Verum enimvero post Athanasii quæ dicta est fugam Georgius in locum ejus surrogatus, ecclesias Ægyptias male tractavit. Quæ autem is commiserit, ea ex Athanasii verbis, qui eis rebus interfuit, easque pertulit, rectius intelligentur. Nam in Apologetico libro, quem *De fuga* inscripsit, defensionem adversus eos qui eum carpserant instituens, mentionem quoque eorum quæ tum ibi acta essent facit, et hisce utitur verbis: « In Alexandriam rursus irruerunt, qui nos ut occiderent inquirebant. Et facta sunt posteriora, deteriora prioribus. Subito enim milites ecclesiam circumvallarunt, et pro precatione bellum institutum. Deinde Quadragesima ipsa, qui ab eis e Cappadocia missus fuerat Georgius ingressus, clades, pravos conatus, quos ab illis didicerat, adauxit etiam. Post Paschæ hebdomadam virgines in vincula conjiciebantur, episcopi a militibus vincti ducebantur: pupillorum et viduarum domus et panes diripiebantur, impetus in ædes fie-

A ἐκπολεμήσειε ζῶντα τὸν ἀδελφόν. Καὶ πείσαντες τοῖς τοιούτοις Εὔριπον ὄντα, τὰ ἐν Σαρδικῇ γεγενημένα ἀνέτρεπε, καὶ τοὺς δι' ἐκείνης ὅσοι τῶν ἐπισκόπων καθόδου ἔτυχον ἐκέλευεν ἐξελαύνεσθαι. Ἀμέλει καὶ Μαρκέλλου ἐκβληθέντος, Βασίλειος τῆς Ἀγκυρογαλατίας προΐστατο αὖθις. Ὁ δὲ τῆς Ὀρεστιάδος Λούκιος σιδηροδεσμώτης ἐν εἱρκτῇ διεφθάρη. Παῦλος δὲ ὁ τῆς Κωνσταντίνου ἀϊδίῳ ἐζημιοῦτο φυγῇ κατὰ τὴν τῆς Ἀρμενίας πολίχνην, ἐν ἐσχατιᾷ που κειμένην· Κουκουσὸν αὐτὴν ὀνομάζουσιν· ἔνθα βρόχῳ τῷ δι' ἀγχόνης ἐφθάρη παρὰ τῶν τὰ Μακεδονίου φρονούντων. Τοσοῦτον δ' αἱ κατ' Ἀθανασίου διαβολαὶ ἔσχον τὸ κράτος, ὡς καί τινα πέμπειν ἀφαιρεῖν ἐκείνῳ τὴν κεφαλὴν, ὅπου δὴ καὶ εὑρίσκοιτο· σὺν αὐτῷ δὲ καὶ Θεόδουλον, καὶ Ὀλύμ- B πιον, ἐκκλησιῶν τινων προϊσταμένους ἐν Θρᾴκῃ. Τὸν δὲ προαισθόμενον τὰ ἐκ βασιλέως, τὴν ἀπειλὴν ἐκφυγεῖν, καὶ τὸ ζῆν πραγματεύσασθαι. Ἣν δῆτα φυγὴν αὐτοῦ οἱ ἐξ Ἀρείου διαβάλλοντες ἦσαν· καὶ μᾶλλον Νάρκισσος ὁ Νερωνιάδος ἐπίσκοπος, καὶ Λεόντιος ὁ Λαοδικείας, τηνικαῦτα δὲ τῆς ἐν Ἀντιοχείᾳ προεστὼς ἐκκλησίας· περὶ οὗ φησιν Ἀθανάσιος, ὅτι πρεσβύτερος ὢν, ἐξέστη τῆς λειτουργίας ἐκτομίας γενόμενος αὐτουργός. Παιδίσκῃ γάρ τινι προσεδρεύων ὡραίᾳ, Εὐστολία δὲ ἦν ἐκείνῃ τὸ ὄνομα, ἐπεὶ τὴν ἀναφυομένην αἰσχρὰν ὑπόνοιαν διὰ σπουδῆς ἐποιεῖτο περιελεῖν, ἀπέτεμεν ἑαυτὸν ἵν' ἐξῇ ἀδεῶς διατρίβειν αὐτῇ. Πλὴν καὶ τοῦτο δράσας, οὐκ ἀπενίψατο τὴν ὑπόνοιαν· διὰ τοῦτο τότε μὲν τῆς ἀξίας καθῄρη- C ται· σπουδῇ δὲ Κωνσταντίου Λαοδικείας, ἔπειτα δὲ καὶ τῆς ἐν Ἀντιοχείᾳ παροικίας προέστη μετὰ τὸν θεομισῆ Στέφανον, ὃς τὸν Πλάκητον διεδέξατο μετὰ τὸν Εὐφρόνιον. Ἀθανασίου δὲ φυγόντος, ὡς εἴρηται, Γεώργιος εἰσιὼν αὖθις, κακῶς ἐποίει τὰς ἀνὰ τὴν Αἴγυπτον ἐκκλησίας. Ὁποῖα δὲ διεπράττετο, ἄμεινον τῆς φωνῆς ἐπακοῦσαι Ἀθανασίου, παρόντος τε ἅμα καὶ πεπονθότος. Ἐν γὰρ τῷ *Περὶ τῆς φυγῆς* αὐτοῦ ἐπιγεγραμμένῳ, τὴν ἀπολογίαν πρὸς τοὺς ἐν μέμψει ποιουμένους διεξιὼν, μνείαν τε καὶ τῶν τότε γενομένων ποιούμενος, τάδε κατὰ ῥῆμα διέξεισιν· « Καὶ γὰρ εἰς τὴν Ἀλεξάνδρειαν ἐπεφύησαν ζητοῦντες πάλιν ἡμᾶς ἀποκτεῖναι· καὶ γέγονε τὰ ὕστερα χείρονα τῶν πρώτων. Στρατιῶται γὰρ ἐξαίφνης τὴν ἐκκλησίαν ἐκύκλωσαν, καὶ τὰ πολέμων ἀντὶ εὐχῶν D ἐγίνετο. Εἶτα εἰσελθὼν τῇ Τεσσαρακοστῇ ὁ παρ' αὐτῶν ἀποσταλεὶς ἐκ Καππαδοκίας Γεώργιος, ηὔξησεν ἃ παρ' αὐτῶν μεμάθηκε κακά. Μετὰ τὰ ἕβδομα τοῦ Πάσχα παρθένοι εἰς δεσμωτήριον ἐβάλλοντο· ἐπίσκοποι ἤγοντο ὑπὸ στρατιωτῶν δεδεμένοι· ὀρφανῶν καὶ χηρῶν ἡρπάζοντο οἰκίαι τε καὶ ἄρτοι. Ἔφοδοι κατὰ τῶν οἰκιῶν ἐγίνοντο, καὶ νυκτὸς οἱ Χριστιανοὶ κατεφέροντο· ἀπεσφραγίσθησαν οἰκίαι· καὶ ἀδελφοὶ κληρικῶν ὑπὲρ τῶν ἀδελφῶν ἐκινδύνευον. Καὶ δεινὰ μὲν ταῦτα· δεινότερα δὲ τὰ μετὰ ταῦτα

(1) Hic supra cap. 8. Eod. Adrianopolis episcopus fuisse dictus est. Sicuti et apud Socrat. lib. II, c. 26. Orestiam autem sive Orestiadem urbem esse dicunt supra Macedoniam in eminenti monte sitam in Orestis. Orestas enim populos nominat Plin. lib. IV, cap. 10. Patria hæc fuit Ptolemæi Lagi. Eadem videtur dicta esse Adria colonia Romana Adriani patria, quam is postea amplificavit, et Adrianopolim vocavit.

τετολμημένα· τῇ γὰρ ἑβδομάδι μετὰ τὴν ἁγίαν A Πεντηκοστὴν ὁ λαὸς νηστεύσας, ἐξῆλθε παρὰ τὸ κοιμητήριον εὔξασθαι, διὰ τὸ πάντας ἀποστρέφεσθαι τὴν πρὸς Γεώργιον κοινωνίαν. Ἀλλὰ τοῦτο μαθὼν ὁ παμπόνηρος αὐτὸς, παροξύνει τὸν στρατηλάτην Σεβαστιανὸν Μανιχαῖον ὄντα· καὶ λοιπὸν αὐτὸς μετὰ πλήθους στρατιωτῶν, ὅπλα καὶ ξίφη γυμνὰ καὶ τόξα καὶ βέλη φερόντων, ὥρμησεν ἐν αὐτῇ τῇ Κυριακῇ κατὰ τῶν λαῶν. Καὶ ὀλίγους εὑρὼν εὐχομένους (οἱ γὰρ πλεῖστοι λοιπὸν διὰ τὴν ὥραν ἀναχωρήσαντες ἔτυχον), τοιαῦτα εἰργάσαντο, οἷα παρ' αὐτῶν ἔπρεπε πραχθῆναι. Πυρκαϊὰν γὰρ ἅψας, καὶ στήσας παρθένους παρὰ τὸ πῦρ, ἠνάγκαζε λέγειν αὐτὰς τῆς Ἀρείου πίστεως εἶναι. Ὡς δὲ νικώσας αὐτὰς ἔβλεπε καὶ μὴ φροντιζούσας τοῦ πυρὸς, γυμνώσας λοιπὸν, οὕτω κατέκοψεν αὐτὰς εἰς τὰ πρόσωπα, ὡς μετὰ χρόνον μόγις ἐπιγνωσθῆναι. B Ἄνδρας τε κρατήσας τεσσαράκοντα, καινοτέρῳ τρόπῳ κατέκοψε. Ῥάβδους γὰρ τὰς ἀπὸ τῶν φοινίκων εὐθὺς τεμὼν, ἐν αὐταῖς ἐχούσαις ἔτι τοὺς σκόλοπας, τὰ νῶτα τούτων οὕτως ἐξέδειρεν, ὡς τινὰς μὲν πολλάκις χειρουργηθῆναι διὰ τοὺς ἀποπαγέντας ἐν αὐτοῖς σκόλοπας· τινὰς δὲ καὶ μὴ φέροντας ἀποθανεῖν. Πάντας μὲν οὖν τοὺς περιλειφθέντας ἀθρόως καὶ τὰς παρθένους ἐξώρισεν εἰς τὴν μεγάλην Ὄασιν. Τὰ δὲ σώματα τῶν τετελευτηκότων οὐδὲ τοῖς ἰδίοις κατὰ τὴν ἀρχὴν ἀποδοθῆναι συνεχώρησαν· ἀλλ' ἔκρυψαν ὡς ἠθέλησαν ἄταφα λιπόντες, ὑπὲρ τοῦ δοκεῖν αὐτοὺς λανθάνειν τὴν τοσαύτην ὠμότητα. Πράττουσι δὲ τοῦτο, πεπλανημένοι τῇ διανοίᾳ οἱ C παράφρονες. Τῶν γὰρ οἰκείων τῶν τετελευτηκότων, χαιρόντων μὲν διὰ τὴν ὁμολογίαν, θρηνούντων δὲ διὰ τὰ σώματα, μεῖζον ἐξηχεῖτο κατ' αὐτῶν ὁ τῆς ἀσεβείας καὶ ὠμότητος ἔλεγχος. Καὶ γὰρ εὐθὺς ἀπὸ τῆς Αἰγύπτου καὶ τῶν Λιβύων ἐξώρισαν μὲν ἐπισκόπους Ἀμμώνιον, Θμουῒν, Γάϊον, Φίλωνα, Ἑρμῆν, Πλήνιον, Ψενόσιριν, Νιλάμμωνα, Ἀγάθωνα, Ἀνάγαμφον, Ἀμμώνιον ἕτερον, Μάρκον, Δρακόντιον, Ἀδέλφιον, Ἀθηνόδωρον, καὶ πρεσβυτέρους, Ἱέρακα καὶ Διόσκορον. Καὶ οὕτω πικρῶς ἤλασαν αὐτοὺς, ὡς τινὰς μὲν αὐτῶν ἐν ταῖς ὁδοῖς, τινὰς δὲ ἐν αὐτῷ τῷ ἐξορισμῷ ἀποθανεῖν. Ἐφυγάδευσαν δὲ ἐπισκόπους πλείους τριάκοντα. Σπουδὴ γὰρ ἦν αὐτοῖς κατὰ τὸν Ἀχαὰβ, εἰ δυνατὸν, ἐξᾶραι τὴν ἀλήθειαν. » Τὰ μὲν οὖν κατὰ Ἀλεξάνδρειαν ὑπὸ Γεωργίων γινό- D μενα τοιαῦτα δή τινα ἦσαν.

bant. Noctu Christiani ex ædibus vi exportabantur, domus resignabantur: clericorum fratres pro fratribus periclitabantur. 747 Et dura quidem ista: quæ vero subsecuta sunt, duriora. Hebdomada enim post sanctam Pentecosten, jejunio absoluto, populus ad cœmeterium oratum, propterea quod communionem cum Georgio omnes aversarentur, egressus erat. Atque eo cognito, improbissimus ille ducem Sebastianum Manichæum excitavit. Et ipse adeo cum ingenti militum arma, strictos enses, arcus et sagittas ferentium manu, ipso die Domini econtra populum processit, et paucis qui precabantur (plurimi namque jam propter diei horam domum se receperant) repertis, talia ibi fecere, qualia ab eis fieri decebat. Rogo enim accenso, et virginibus ad ignem admotis, ut se Arianæ fidei esse dicerent, cogebat. Atque ubi eas superiores esse, ignemque nihil curare vidit, denudatis eis ita faciem verberibus contudit, ut ad tempus aliquod vix cognoscerentur. Et viris quadraginta comprehensis, novo eos diverberavit modo. Virgis namque e palmarum arboribus repente desectis, quibus adhuc acumina sua inessent, terga eorum tam crudeliter conscidit, ut quidam ex eis sæpius a chirurgis propter acumina infixa curati: quidam vero quod curam eam ferre nequirent, mortui sint. Reliquos vero simul omnes, atque una virgines in magnam Oasim in exsilium egit. Mortuorum porro corpora primum reddi suis non permiserunt, sed ea insepulta ut voluere celarunt: quod existimarent crudelitatem tantam se occultaturos esse. Et fecerunt illi hoc, opinione sua seducti, homines dementes. Dum enim defunctorum familiares lætarentur quidem propter confessionem obitam, lugerent autem propter corpora denegata, magis ac magis impietatis simul et crudelitatis contra eos increbuit crimen. Confestim etiam ex Ægypto et Libya exsilio multarunt episcopos, Ammonum, Thmuim, Caium, Philonem, Hermen, Plenium, Psenosirim, Nilammonem, Agathonem, Anagamphum, Ammonium alterum, Marcum, Dracontium, Adelphium, Athenodorum: et presbyteros, Hieracem et Dioscorum. Eosque tam acerbe exegere, ut nonnulli quidem in itinere ipso, quidam autem in exsilio decesserint. Expulere (1) vero episcopos plures quam triginta. 748 Studio enim eis erat, juxta Achab, si fieri posset, tollere veritatem. Et quæ Alexandriæ a Georgio sint acta, talia fuere.

ΚΕΦΑΛ. Λ'.

Ὡς παραπλήσια ἔδρα καὶ Μακεδόνιος ἐν Κωνσταντινουπόλει καὶ πέριξ· καὶ ὡς ἐμαρτύρησαν Μαρκιανὸς καὶ Μαρτύριος, καὶ Παῦλος ὁ Κωνσταντινουπόλεως.

Οὐχ ἧττον δὲ καὶ Μακεδόνιος μετὰ Παῦλον κατασχὼν τὴν Ἐκκλησίαν, ἐν Κωνσταντινουπόλει διαπραττόμενος ἦν· ῥοπὴν γὰρ ἐκ βασιλέως ὅτι πλείστην λαβὼν, πόλεμον ἀνεγείρει κατὰ τῆς Ἐκκλησίας,

CAPUT XXX.

Ut eadem et Macedonius Constantinopoli, circumque ea loca fecerit: et ut martyrio perfuncti sint Marcianus, Martyrius et Paulus Constantinopolitanus episcopus.

Non secius vero et Macedonius Constantinopoli, post Paulum ecclesia ibi occupata sæviebat. Accepta enim plurima ab imperatore potestate, bellum contra Ecclesiam suscepit, nihilo inferius co..

(1) Pro ἐφυγάδευσαν Theodor. ἐφόνευσαν, *jugularunt*.

quod fuerat a tyrannis excitatum. Et imperatore A arte circumvento, constitutione ejus, rapinas et direptiones suas, quas in ecclesiis peragere decreverat, confirmavit. Circumferebantur per urbes imperatoris litteræ. Militaris manus sanctionibus subserviebat : et non solum ecclesiis, verum etiam urbibus ipsis pellebantur, qui Paulo favebant, et τὸ ὁμοούσιον, consubstantiale, profitebantur. Ac primum quidem persecutionem tantum urgebant : deinde vero necessitatem quoque ejuscemodi, ut cum illis communicarent, eis imponebant, cui ad sævitiam eam nihil deesset, quæ olim eis qui ad idolorum sacrificia adacti sunt, illata fuerat. Non enim proscriptione tantum res agebatur, sed et publicatione atque direptione bonorum, præterea B flagris, verberibus, variique generis cruciatibus et exsiliis. Multi plagis confecti interiere. Aliis jus civitatis ademptum. Quidam in fronte notis compuncti, ut dignosci tanquam stigmatici possent. Clades ea ad cædes etiam processit. Namque cum multis aliis et Marcianus et Martyrius cum magna fortitudinis laude sunt mortui, qui familiares et scribæ Pauli fuerant. Eos Macedonius præfecto tradidit, crimen illud objectans, quod seditiosi essent, et plurimum opis ad Hermogenis cædem contulissent. Horum Marcianus subdiaconus fuit Martyrius autem psaltes seu cantor, divinarumque Scripturarum lector. Sepulcrum eorum extra urbis murum est celebri fano clausum, quod fanum martyrum monumentum esset. Id Joannes Chry- C sostomus primus construere cœpit, Sisinius deinde absolvit : qui postea ambo Ecclesiæ Constantinopolitanæ præfuere. **749** Recte enim putarunt, dignos esse honore martyrum, qui gloriam a Deo consecuti essent, cum dæmonum ejiciendorum, tum variorum aliorum morborum contactu monumenti sanandorum. Itaque locus is damnatus antea, apparitionibusque simulacrorum horrendus, expiatus ab eis est et purgatus. Et Macedonius quidem hæc sic in Orientis urbibus gerebat. Urbes vero Occidentis et Græciæ ad Illyricum usque nihil ejusmodi pertulere : quod concordes essent, et jam inde ab initio Nicænæ synodi decreta constanter retinerent. Cæterum Paulus, sicuti D antea quoque dictum est, Cucusi exsulans, impiorum hominum crudelitate per strangulationem vitam finiit (1). Obitus ejus Athanasius quoque in defensione fugæ suæ meminit hisce verbis : « Constantinopolis enim episcopum paulum, cum prosecuti essent et invenissent, propalam suffocandum curarunt in oppido Cucuso, carnifice ad cædem eam usi Philippo qui fuerat præfectus; erat namque hæresis eorum antesignanus, et pravorum consiliorum administer. » Hæc sic ferebantur.

A κατ' οὐδὲν λειπόμενον τῶν ὑπὸ τοῖς τυράννοις γεγενημένων. Τέχνῃ δὲ μετερχόμενος τὸν κρατοῦντα, τῷ ἐκείνου νόμῳ ἐκύρου, ὅσα ληΐζων τὰς ἐκκλησίας καὶ ἀνδραποδιζόμενος πράττειν ᾕρεῖτο. Καὶ κατὰ πόλεις βασιλικὰ ἐφίπτατο γράμματα· καὶ χεὶρ στρατιωτικὴ τοῖς θεσπιζομένοις καθυπουργεῖτο· καὶ οὐ μόνον τῶν ἐκκλησιῶν, ἀλλὰ καὶ τῶν πόλεων ἐξηλαύνοντο, ὅσοι δὴ τὰ Παύλου φρονοῦντες ἦσαν, καὶ τὰ τοῦ ὁμοουσίου ἐπρέσβευον. Καὶ τὰ μὲν πρῶτα διώκειν μόνον ἐσπούδαζον· ἔπειτα δὲ καὶ ἀνάγκην προσῆγον ὥστε κοινωνεῖν αὐτοῖς· καὶ τοιαύτην, ὡς μηδὲν ἀποδέουσαν εἶναι τοῖς πάλαι ξοάνοις ἐπιθύειν ἠναγκασμένοις. Οὐ γὰρ ἐξορίας μόνον, ἀλλὰ καὶ δημεύσεις καὶ οἰκείων ἀπαγωγὰς, μάστιγάς τε ἐπὶ τούτοις, αἰκίας τε καὶ ποικίλας ἐπῆγον βασάνους B καὶ ἐξορίας. Ὡς καὶ πολλοὺς ὑπὸ πληγῶν διαφθαρῆναι· ἄλλοις δὲ ἀφαιρεθῆναι τὸ πολιτεύεσθαι· τινὰς δὲ καὶ κατὰ τῶν μετώπων μαστιγίας γενέσθαι, ἵν' ἐπίσημοι εἶεν ὄντες τοιοῦτοι. Τὸ δὲ κακὸν καὶ μέχρι φόνων προῄει. Σὺν πολλοῖς γὰρ καὶ ἄλλοις καὶ Μαρκιανὸς καὶ Μαρτύριος ἀνδρείως ἀπέθανον, οἳ σύνοικοι καὶ ὑπογραμματεῖς χρηματίζοντες Παύλῳ, ὑπὸ Μακεδονίου τῷ ὑπάρχῳ προὐδόθησαν αἰτίαν σχόντες, ὡς εἴησαν στασιώδεις, καὶ τῇ ἀναιρέσει Ἑρμογένους οὐκ ἐλάχιστα συμβαλόμενοι. Ἦν δ' ὁ ἕτερος μὲν ὑποδιάκονος, ψάλτης δὲ ὁ Μαρτύριος, καὶ τὰς θείας ἀναγινώσκειν τεταγμένος Γραφάς. Ὧν ὁ τάφος πρὸ τοῦ τείχους ἐστὶ τῆς πόλεως, ἐπίσημον περιβεβλημένος οἶκον, ἅτε δὴ μαρτύρων μνῆ- C μα καθεστηκότα. Ὃν οἶκον Ἰωάννης ὁ τὴν γλῶτταν χρυσοῦς οἰκοδομεῖν πρῶτος ἐπέβαλε· Σισίνιος δ' ἔπειτα ἐξετέλεσε. Καὶ ἄμφω δὲ τῆς Κωνσταντινουπόλεως Ἐκκλησίας μετὰ ταῦτα ἡγήσαντο. Δεῖν γὰρ αὐτοῖς ἔδοξε καὶ τιμῆς ἀξιοῦσθαι μαρτυρικῆς, δόξαν κληρωσαμένοις ἀπὸ Θεοῦ, δαίμονάς τε ἐλαύνειν, καὶ ἄλλας νόσους ποικίλας ἰᾶσθαι τῇ θίξει τοῦ μνήματος· καταδίκης δ' ὄντα χῶρον τὸ πρότερον, δεινὸν δὲ καὶ φάσμασι κατειδώλοις, πρὸς αὐτῶν κεκαθάρθαι. Τοιαῦτα μὲν κατὰ τὰς ἑῴας πόλεις ὑπὸ Μακεδονίου ἐπράττετο· αἱ δ' ἀνὰ τὴν Ἑσπέραν καὶ Ἑλλάδα καὶ ἄχρι δὴ καὶ αὐτοῦ τοῦ Ἰλλυρικοῦ ἀπείρατοι μεμενήκεσαν, σύμφωνοι πρὸς ἀλλήλους οὖσαι, καὶ τὸν ἔκπαλαι ὅρον τῆς ἐν Νικαίᾳ συνόδου κρατύνουσαι. Ὁ δὲ Παῦλος, ὡς καὶ πρότερον εἴρη- D ται, ἐν τῇ Κουκουσῷ ὑπερόριος γεγονὼς, ἀγχόνῃ τῷ σφετέρῳ ὠμοφόρῳ χρησαμένων τῶν δυσσεβῶν, ἀπεβίω. Τῆς δ' αὐτοῦ τελευτῆς καὶ Ἀθανάσιος ἐν τῷ αὐτῷ τῆς φυγῆς ἀπολογητικῷ ἐμνημόνευσεν οὕτω φάσκων· « Τὸν γὰρ τῆς Κωνσταντινουπόλεως ἐπίσκοπον Παῦλον διώξαντες καὶ εὑρόντες, προφανῶς ἀποπνιγῆναι πεποιήκασι τῇ λεγομένῃ Κουκουσῷ, δήμιον ἐσχηκότες εἰς τοῦτο Φίλιππον τὸν γενόμενον ἔπαρχον. Ἦν γὰρ καὶ τῆς αἱρέσεως αὐτῶν προστάτης, καὶ τῶν πονηρῶν βουλευμάτων ὑπηρέτης. » Καὶ τὰ μὲν ὧδε ἐφέρετο.

(1) De cæde Pauli lib. IV, cap. 2, Sozom. : *Paulus ad exsilium perpetuum condemnatus, et Cucusum Armeniæ deportatus est : ubi etiam vitam finiit, morbone dicam, an vi ei adhibita, non satis scio. Fama certe hodie quoque obtinet, a Macedonianis laqueo strangulatum esse.*

ΚΕΦΑΛ. ΛΑ'.

Περὶ τοῦ αἱρεσιάρχου Φωτεινοῦ· καὶ περὶ τῆς ἐν Σιρμίῳ τῶν τριῶν ἐκθέσεων πίστεως· καὶ μάλιστα τῆς Μάρκου τοῦ Ἀρεθουσίων ἐπισκόπου.

Κωνστάντιος δὲ ἐξ Ἑῴας εἰς τὴν Ἰλλυρίδα τῶν τυράννων χάριν τὴν στρατιὰν ἤλαυνε· καὶ ἃ μὲν αὐτῷ κατὰ τῶν τυράννων ἐπράχθη, μετὰ βραχὺ διαλήψομαι· τηνικαῦτα δ' ἐν Σιρμίῳ διάγων, τὰ κατὰ τὸν Φωτεινὸν εἰς ἐξέτασιν ἦγεν. Ἦν δὲ οὗτος δεινὸς μὲν λέγειν, καὶ πείθειν μάλιστα ἱκανός· τῆς ἐκεῖσε δ' ἐκκλησίας προΐστατο. Καινῆς δ' αἱρέσεως φανεὶς ἀρχηγὸς, πολλοὺς πρὸς τὴν οἰκείαν δόξαν ἐπήγετο· μάλιστα δὲ αὐτὴν ἐπαῤῥησιάζετο τῇ τοῦ βασιλέως ἐπιδημίᾳ. Ἐδόξαζε μὲν γὰρ εἶναι ἕνα Θεὸν παντοκράτορα, τῷ οἰκείῳ λόγῳ τὸ πᾶν συστησάμενον· ὅτι δὲ προαιώνιος ἡ τοῦ Λόγου γέννησίς τε καὶ ὕπαρξις, παντάπασιν ἀπηγόρευεν· ἐκ Μαρίας δὲ τὴν ἀρχὴν ἔχειν. Τούτου δὲ πανταχοῦ διαθρυλληθέντος, πάντες οἱ ἀνὰ τὴν Ἕω καὶ Ἑσπέραν ἐπίσκοποι, οἵ τε τῆς ἐν Νικαίᾳ ἀντεχόμενοι πίστεως, καὶ ὅσοι Ἀρείῳ προσεῖχον, βαρέως εἶχον. Κατὰ πάντων γὰρ νεωτερίζειν τὸ Φωτεινοῦ δόγμα ἐνόμιζον. Οὐκ ἐν μετρίῳ δὲ καὶ ὁ βασιλεὺς ἐποιεῖτο τὴν διαφωνίαν ταύτην· ἔνθεν τοι καὶ σύνοδον ἐκεῖσε Κωνστάντιος συνεκρότει. Καὶ δὴ συνῆλθον ἐκ μὲν τῆς Ἕω Μάρκος ὁ τῶν Ἀρεθουσίων ἐπίσκοπος, Γεώργιος ὁ τῆς ἐν Ἀλεξανδρείᾳ προεστὼς Ἐκκλησίας, ὃν οἱ ἐξ Ἀρείου ἔπεμπον· καὶ Βασίλειος, ὃς Μάρκελλον ἐκβαλὼν αὖθις, τῆς ἐν Ἀγκύρᾳ Γαλατίας προεστὼς ἦν· ὅ τε Πηλουσιώτης Παγκράτιος, καὶ Ὑπατιανὸς Ἡρακλείας· τῆς δ' ἑσπέρας, Οὐάλης τε ὁ Μουρσῶν, καὶ ὁ πολὺς τὴν ἀρετὴν Ὅσιος, Κουδρούβης τῆς ἐν Ἱσπανίᾳ ἐπίσκοπος, ὁμολογητὴς ὤν, καὶ τῆς ἐν Νικαίᾳ συνόδου κεκοινωνηκώς· ὃς οὐχ ἑκὼν τηνικαῦτα παρῆν· δόλοις γὰρ τῶν Ἀρειανῶν οὐ πολλῷ πρότερον ὑπερόριος γεγονὼς, σπουδῇ τῶν περὶ Σίρμιον συνδραμόντων βασιλικῷ ἐπανῆλθε κελεύσματι. Καὶ γὰρ ἐν ἐλπίσιν ἦσαν, ὡς, εἰ σύμψηφος ἐκείνοις γένοιτο ἢ πειθοῖ ἢ βίᾳ, σφίσιν ἀρκέσει πρὸς σύστασιν τοῦ σφετέρου δόγματος· ἅτε δὴ ἀξιόχρεως μάρτυς καὶ οἷόν τι θαῦμα τοῖς τότε ἀνθρώποις φαινόμενος. Ὡς δὲ παρῃτεῖτο συντίθεσθαι, παντοδαπὴν καὶ αὖθις τιμωρίαν ὑφίστατο ταῖς τῷ πολλῷ χρόνῳ κατεῤῥικνωμέναις ἐκείνου σαρξὶν, ὡς καὶ στρέβλας καὶ πληγὰς ἐνεγκεῖν. Ὅθεν καὶ βιασθεὶς, ταῖς ἐκδοθείσαις ἐκθέσεσι, τρεῖς δὲ ἦσαν, καὶ συνέθετο καὶ ὑπέγραψεν. Ἡ δὲ σύνοδος, τὰ Σαβελλίου τοῦ Λίβυος, καὶ τὰ τοῦ Σαμοσατέως Παύλου, τὸν Φωτεινὸν καὶ φρονεῖν καὶ διδάσκειν φωράσασα, εὐθὺς τῆς ἐπισκοπικῆς ἀξίας ἐγύμνωσαν· ὃ δὴ, ὡς καλῶς γεγενημένον, καὶ τότε καὶ μετὰ ταῦτα πάντες ἔστερξαν, καὶ ἀποδοχῆς τῆς καθηκούσης ἠξίωσαν. Ἐπιμείναντες δέ τινες, ὥσπερ τῶν προτέρων ἐκθέσεων κατεγνωκότες, τρεῖς ἑτέρας

CAPUT XXXI.

De hæresiarcha Photino, et de tribus fidei formulis in Sirmio editis, et maxime de Marci Arethusii episcopi fidei expositione.

Constantius autem ex Oriente in Illyricum adversus tyrannos exercitum ducebat. Et quæ contra eos gesserit, paulo post referam. Cum autem Sirmii esset, Photini dogma in disquisitionem adduxit. Qui eloquens quidem, et ad persuadendum idoneus, ecclesiæque Sirmiensis antistes fuit: nova autem hæresi instituta, multos in sententiam suam pertraxerat; quam etiam in imperatoris præsentia propalam et libere promulgabat. Dogma ejus erat, unum esse Deum omnipotentem, qui verbo suo universitatem hanc constituerit. Antesæcularem vero verbi generationem et exsistentiam prorsus negabat. Ex Maria autem Christum initium sumpsisse docebat. Eo dogmate ubique divulgato, universi tam in Oriente quam in Occidente episcopi, sive Nicænam sequerentur fidem, seu Arianam complecteretur sententiam, graviter id tulere : **750** quod ex æquo contra omnes novas res inducere existimaretur. Ne ipse quidem imperator mediocriter dissidio eo est commotus. Quapropter etiam concilium ibi coegit. Convenere eo ex Oriente episcopi, Marcus Arethusius, Georgius Alexandrinus, quem Ariani miserant : Basilius qui cum Marcellum rursus ejecisset, Ancyræ Galatiæ præerat, Pancratius Pelusiota, et Hypatianus Heracleotes. Ex Occidente, Valens Mursorum, et propter virtutem magnus Hosius Cordubæ (1) Hispaniæ urbis episcopus, confessor et Nicænæ synodi particeps, qui quidem perinvitus tum Sirmii affuit. Arianorum enim dolo non dudum antea in exsilium pulsus, annitentibus eis qui Sirmium convenerant (2), imperiali edicto reductus fuerat. Speraverant enim illi, si is suffragator eorum sive persuasione seu vi fieret, multum eum ad constituendum stabiliendumque dogma eorum momenti allaturum esse : ut qui spectata fide testis, et veluti miraculum quoddam ejus ætatis hominibus haberetur. Verum ubi assentiri eis renuit, varios rursum contracto jam extenuatoque graviore ætate corpore sustinuit cruciatus, adeo ut ad fidiculas et verbera pervenerit. Quibus ille coactus, tribus eorum editis fidei formulis assensit et subscripsit. Sed enim synodus, cum Photinum cum Sabellio Libyco et Paulo Samosateno facere, eamdemque docere manifesto deprehendisset, statim ei episcopalem abrogavit dignitatem Quod sane ut rite atque ordine factum, et tum et postea omnes complexi sunt, et comprobatione debita dignum judicarunt. Cæterum illi diutius

(1) Hosius, tormentis coactus, tribus Arianorum fidei formulis subscripsit, Photinus, Sabellius, Samosatenus, Sirmii damnati. Sozom. lib. IV, cap. 6. Socrat. lib. II, cap. 30.

(2) Sirmiensem conventum coactum tradunt post Sergii et Nigriani consulatum : quo anno, neque ex Oriente, neque ex Occidente quisquam consul creatus fuerit, propter tyrannorum motus, et reipublicæ perturbationem. Socrat. lib. II, cap. 29. Sozom. lib. IV, cap. 6. Chronici tamen observatores, coss. adnotant Constantium Aug. V. Constantinum Gallum Cæsarem.

ibi manentes, perinde atque priores fidei formulas damnarent, tres alias promulgarunt. Atque unam quidem Græca lingua Marcus Arethusius composuit, reliquæ Latino sermone fuerant conscriptæ : quæ simul et verbis et eorum structura atque compositione ab Arethusii expositione prorsus dissidebant. Quin neque eadem quæ priores formulæ complectebantur. Græca namque neque ὁμοούσιον, consubstantialem, neque ὁμοιοούσιον, similem substantia, Patri Filium dicebat. Et eos qui docerent Filium principii expertem esse, aut qui Filium dilatatam Dei substantiam facerent, aut qui etiam conjunctum, non autem subjectum Patri dicerent, excommunicabat. **751** Itidem vero et altera Latina de substantia agens, ὁμοούσιον, consubstantialem, juxta et ὁμοιοούσιον similem substantia omnino dicendum esse inhibebat : ut quæ verba neque in Scripturis sacris uspiam invenirentur, neque cogitationibus primis aut cognitione hominum percipi possent. Constituit sane, Patrem majorem dicendum esse cum honore et dignitate et divinitate, tum ipso paternitatis nomine. Decernit etiam cum omnibus Filium subjectum esse Patri. Et principii quidem expertem esse Patrem, omnibus vero (Patre excepto) Filii generationem esse incognitam. Quam formulam ut minus recte compositam, posteaquam multis promulgata tradita que fuerat, episcopi retractare contenderunt. Et imperator ipse id serio, coercitionem eis et pœnam qui eam in lucem prolatam non reddidissent minatus, mandavit. Verum ea quod multorum manus pervenerat, non prorsus est abolita. Alteram quidam ex Latinis, ei quæ ab Arethusio Marco edita est connexam, in præsentia referam. Alteram autem quæ postea lecta est, loco suo reponam, cum res Arimini actas commemorabo. Quam Marcus dictavit, sic se habet : « Credimus in unum Deum, Patrem omnipotentem, creatorem et factorem universorum : ex quo omnis paternitas et in cœlo et in terra nominatur. Et in unigenitum ejus Filium Dominum nostrum Jesum Christum, ante omnia sæcula ex Patre genitum, Deum de Deo, lumen de lumine : per quem facta sunt omnia, in cœlis et in terra, visibilia et invisibilia. Qui est verbum, et lumen verum, et vita. Qui extremis diebus, propter nos homo factus, et natus e Virgine sancta, et crucifixus et mortuus et sepultus est. Et resurrexit a mortuis tertia die, et receptus est in cœlum, et consedit ad dexteram Patris : venturus in consummatione sæculi, judicare vivos et mortuos, et reddere unicuique secundum opera sua. Cujus regnum interminatum in infinita sæcula permanet. Sedet namque in dextra Patris non solum in sæculo isto, sed et in futuro. Et in Spiritum sanctum, hoc est, Paracletum, quem cum se apostolis post ascensionem in cœlos missurum promisisset, ut eos doceret et suggereret eis omnia, misit : **752** per quem etiam sanctificantur eorum, qui in eum sincere credunt, animæ omnium. Eos vero qui dicunt, ex non exsistentibus

A ὑπηγόρευον πίστεις. Τὴν μὲν οὖν μίαν Ἑλλήνων γλώσσῃ Μάρκος ὁ Ἀρεθούσης ἐξετίθει· αἱ δὲ Ῥωμαϊστὶ ἀνεγράφοντο. Αἳ δὴ καὶ ἀσύμφωνοι πάμπαν κατά τε λέξιν καὶ σύνθεσιν ἦσαν πρὸς τὴν Ἀρεθουσίου. Οὔτε μὴν ταῖς προτέραις τὰ ἴσα ἐφρόνουν. Ἡ γὰρ Ἑλληνιστὶ λεχθεῖσα οὔτε ὁμοούσιον, οὔτε ὁμοιοούσιον τῷ Πατρὶ τὸν Υἱὸν εἶπε. Τούς γε μὴν εἰπόντας τὸν Υἱὸν ἄναρχον εἶναι, ἢ πλατυνομένην τὴν οὐσίαν τοῦ Θεοῦ ποιεῖν τὸν Υἱὸν, ἢ συντετάχθαι, ἀλλὰ μὴ ὑποτετάχθαι τῷ Πατρὶ, ἐκκηρύκτους ποιεῖ. Ἐπίσης δὲ καὶ ἁτέρα τῶν Ῥωμαϊκῶν περὶ οὐσίας ἣν σουνσταντίαν Ῥωμαῖοι καλοῦσιν, εἴτε ὁμοούσιος, εἴτε ὁμοιοούσιος, παντάπασι λέγειν ἀπαγορεύει· ὡς οὔτε ταῖς ἱεραῖς εἰρημένα Γραφαῖς, οὔτε ἀνθρώπων ἐννοίαις ἢ γνώσει ληπτά. Διατάσσεταί γε μὴν, μείζονα τὸν Πατέρα B λέγειν ἔν τε τιμῇ καὶ ἀξιώματι, καὶ αὐτῷ δὴ ὀνόματι τῆς πατρότητος. Νομοθετεῖ δὲ, ὡς μετὰ πάντων καὶ ὁ Υἱὸς ὑποτέτακται τῷ Πατρί· καὶ ἄναρχον μὲν εἶναι τὸν Πατέρα· πᾶσι δὲ τοῦ Πατρὸς δίχα τὴν τοῦ Υἱοῦ γέννησιν ἄγνωστον εἶναι. Ἣν δὴ ἔκθεσιν, ὡς μὴ δεόντως συντεθεῖσαν, μετὰ τὴν εἰς πολλοὺς ἔκδοσιν ἀναλαβεῖν αὖθις σπουδάσαι τοὺς ἐπισκόπους· ἐντείλασθαι δὲ καὶ βασιλεῖ σφοδρῶς, κόλασιν ἀπειλοῦντα τὸν μὴ φανεροῦντα. Ἡ δὲ εἰς πολλοὺς διαβᾶσα, οὐ παντάπασιν ἠφανίσθη. Τὴν μὲν οὖν μίαν τῶν Ῥωμαϊκῶν, τῇ τοῦ Ἀρεθούσης Μάρκου ἐκδοθείσῃ συνάψας, τῷ παρόντι ἐκθήσω. Θατέραν δὲ, ἥτις ὕστερον ἀνεγνώσθη, ἐν καιρῷ κατατάξω, ὅτε τὰ ἐν Ἀριμίνῳ γενόμενα διηγεῖσθαί με γένοιτο. Ἡ C γε μὴν ῥηθεῖσα τῷ Μάρκῳ οὑτωσὶ διηγόρευε· « Πιστεύομεν εἰς ἕνα Θεὸν, πατέρα παντοκράτορα, τὸν κτίστην καὶ ποιητὴν τῶν πάντων· ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται· καὶ εἰς τὸν μονογενῆ αὐτοῦ Υἱὸν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν πρὸ πάντων τῶν αἰώνων ἐκ τοῦ Πατρὸς γεννηθέντα· Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτός· δι' οὗ ἐγένετο τὰ πάντα, τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα· Λόγον ὄντα καὶ φῶς ἀληθινὸν καὶ ζωήν· τὸν ἐπὶ ἐσχάτων τῶν ἡμερῶν δι' ἡμᾶς ἐνανθρωπήσαντα, καὶ γεννηθέντα ἐκ τῆς ἁγίας Παρθένου· καὶ σταυρωθέντα, καὶ ἀποθανόντα, καὶ ταφέντα· καὶ ἀναστάντα ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀναληφθέντα εἰς οὐρανὸν, καὶ καθίσαντα ἐκ δεξιῶν τοῦ Πατρός· καὶ ἐρχόμενον D ἐπὶ συντελείᾳ τοῦ αἰῶνος κρῖναι ζῶντας καὶ νεκροὺς, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· οὗ ἡ βασιλεία ἀκατάπαυστος οὖσα, διαμένει εἰς τοὺς ἀπείρους αἰῶνας. Ἔσται γὰρ καθεζόμενος ἐν δεξιᾷ τοῦ Πατρὸς, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι· καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τουτέστι τὸν Παράκλητον· ὅπερ ἐπαγγειλάμενος τοῖς ἀποστόλοις, μετὰ τὴν εἰς οὐρανοὺς ἄνοδον ἀποστεῖλαι καὶ διδάξαι καὶ ὑπομνῆσαι αὐτοὺς πάντα, ἔπεμψε· δι' οὗ καὶ ἁγιάζονται αἱ τῶν εἰλικρινῶς εἰς αὐτὸν πεπιστευκότων ψυχαί. Τοὺς δὲ λέγοντας ἐξ οὐκ ὄντων τὸν Υἱὸν, ἢ ἐξ ἑτέρας ὑποστάσεως, καὶ μὴ ἐκ τοῦ Θεοῦ, καὶ ὅτι ἦν χρόνος ἢ αἰὼν ὅτε οὐκ ἦν, ἀλλοτρίους οἶδεν ἡ ἁγία καθολικὴ Ἐκκλησία.

esse Filium, aut ex alia substantia quam ex Deo, et quod fuerit tempus aut sæculum, cum non fuerit, alienos esse scit sancta catholica Ecclesia.

Πάλιν οὖν ἐροῦμεν, εἴ τις τὸν Πατέρα καὶ τὸν Υἱὸν δύο λέγει Θεοὺς, ἀνάθεμα ἔστω. Καὶ εἴ τις λέγων Θεὸν τὸν Χριστὸν προαιώνιον Υἱὸν τοῦ Θεοῦ ὑπουργηκότα τῷ Πατρὶ εἰς τὴν τῶν ὅλων δημιουργίαν μὴ ὁμολογοίη, ἀνάθεμα ἔστω. Εἴ τις τὸν ἀγέννητον ἢ μέρος αὐτοῦ ἐκ Μαρίας λέγειν γεγεννῆσθαι τολμᾷ, ἀνάθεμα ἔστω. Εἴ τις κατὰ πρόγνωσιν τὸν ἐκ Μαρίας λέγει υἱὸν εἶναι, καὶ μὴ πρὸ αἰώνων ἐκ τοῦ Πατρὸς γεγεννημένον πρὸς τὸν Θεὸν εἶναι καὶ δι' αὐτοῦ γεγενῆσθαι τὰ πάντα, ἀνάθεμα ἔστω. Εἴ τις πλατυνομένην τὴν οὐσίαν τοῦ Θεοῦ τὸν Υἱὸν λέγοι ποιεῖν, ἢ τὸν πλατυσμὸν τῆς οὐσίας αὐτοῦ Υἱὸν ὀνομάζοι, ἀνάθεμα ἔστω. Εἴ τις τὴν οὐσίαν τοῦ Θεοῦ πλατύνεσθαι ἢ συστέλλεσθαι φάσκοι, ἀνάθεμα ἔστω. Εἴ τις ἐνδιάθετον ἢ προφορικὸν λόγον λέγοι τὸν Υἱὸν τοῦ Θεοῦ, ἀνάθεμα ἔστω. Εἴ τις ἄνθρωπον μόνον λέγοι τὸν Υἱὸν τὸν ἐκ Μαρίας, ἀνάθεμα ἔστω. Εἴ τις Θεὸν καὶ ἄνθρωπον τὸν ἐκ Μαρίας λέγων, Θεὸν τὸν ἀγέννητον αὐτὸν νοεῖ, ἀνάθεμα ἔστω. Εἴ τις τὸ, *Ἐγὼ Θεὸς πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα, καὶ πλὴν ἐμοῦ οὐκ ἔστι Θεὸς*, τοῦτο αὐτὸ τὸ ἐπ' ἀναιρέσει εἰδώλων καὶ τῶν μὴ ὄντων θεῶν εἰρημένον, ἐπ' ἀναιρέσει τοῦ Μονογενοῦς πρὸ τῶν αἰώνων Θεοῦ ἐκλαμβάνοι Ἰουδαϊκῶς, ἀνάθεμα ἔστω. Εἴ τις τὸ, *Ὁ Λόγος σὰρξ ἐγένετο*, ἀκούων, τὸν Λόγον εἰς σάρκα μεταβεβλῆσθαι νομίζοι, ἢ τροπὴν ὑπομεμενηκότα ἀνειληφέναι τὴν σάρκα, ἀνάθεμα ἔστω. Εἴ τις τὸν μονογενῆ Υἱὸν τοῦ Θεοῦ ἐσταυρωμένον ἀκούων, φθορὰν ἢ πάθος ἢ τροπὴν κατὰ τὴν θεότητα, ἢ μείωσιν, ἢ ἀναίρεσιν ὑπομεμενηκέναι λέγοι, ἀνάθεμα ἔστω. Εἴ τις τὸ *Ποιήσωμεν ἄνθρωπον*, μὴ τὸν Πατέρα πρὸς τὸν Υἱὸν λέγειν, ἀλλὰ αὐτὸν πρὸς ἑαυτὸν λέγοι τὸν Θεὸν εἰρηκέναι, ἀνάθεμα ἔστω. Εἴ τις τῷ Ἰακὼβ μὴ τὸν Υἱὸν ὡς ἄνθρωπον πεπαλαικέναι, ἀλλὰ τὸν ἀγέννητον Θεὸν ἢ μέρος αὐτοῦ λέγοι, ἀνάθεμα ἔστω. Εἴ τις τὸ *Ἔβρεξε Κύριος παρὰ τοῦ Κυρίου*, μὴ ἐπὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκλαμβάνοι, ἀλλ' ἑαυτὸν παρ' ἑαυτοῦ λέγει βεβρεχέναι, ἀνάθεμα ἔστω. Ἔβρεξε γὰρ Κύριος ὁ Υἱὸς παρὰ Κυρίου τοῦ Πατρός. Εἴ τις ἀκούων Κύριον τὸν Πατέρα, Κύριον τὸν Υἱὸν, Κύριον καὶ Κύριον τὸν Πατέρα καὶ τὸν Υἱὸν εἴποι, καὶ Κύριος ἐκ Κυρίου λέγων δύο λέγοι Θεοὺς, ἀνάθεμα ἔστω. Οὐ γὰρ συντάσσομεν τὸν Υἱὸν τῷ Πατρὶ, ἀλλ' ὑποτεταγμένον τῷ Πατρί· οὔτε κατῆλθεν εἰς σῶμα ἄνευ βουλῆς τοῦ Πατρός· οὐδὲ ἔβρεξεν ἀφ' ἑαυτοῦ, ἀλλὰ παρὰ Κυρίου αὐθεντοῦντος τοῦ Πατρός· οὔτε κάθηται ἐκ δεξιῶν ἀφ' ἑαυτοῦ, ἀλλ' ἀκούει τοῦ Πατρὸς λέγοντος, *Κάθου ἐκ δεξιῶν μου*. Εἴ τις τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα ἓν πρόσωπον λέγοι, ἀνάθεμα ἔστω. Εἴ τις τὸ Πνεῦμα τὸν ἅγιον Παράκλητον λέγων τὸν ἀγέννητον λέγοι Θεὸν, ἀνάθεμα ἔστω. Εἴ τις, ὡς ἐδίδαξεν ἡμᾶς ἡ Γραφὴ, μὴ ἄλλον λέγοι τὸν Παράκλητον παρὰ τὸν Υἱὸν, εἴρηκε

A Ac rursum dicimus, si quis Patrem et Filium duos profiteatur Deos, anathema sit. Et si quis Deum dicens Christum antesæcularem Filium Dei administrasse Patri in rerum universarum creatione non profiteatur, anathema sit. Si quis ingenitum, aut partem ejus ex Maria progenitam esse dicere audeat, anathema sit. Si quis juxta præscientiam, eum qui ex Maria genitus est, Filium esse dicat, et non ante sæcula ex Patre natum apud Deum esse, et per eum facta esse omnia, anathema sit. Si quis dilatatam substantiam Dei Filium facere dicat, aut dilatationem substantiæ ejus Filium nominet, anathema sit. Si quis substantiam Dei vel dilatari vel contrahi dicat, anathema sit. Si quis vel mente conceptum, vel B ore prolatum verbum dicat Filium Dei, anathema sit. Si quis hominem solum dicat Filium, ex Maria prognatum, anathema sit. Si quis Deum et hominem ex Maria genitum profitens, Deum ingenitum ipsum intelligat, anathema sit. Si quis illud, *Ego Deus primum, et ego postea, et præter me non est Deus* [1]: quod de abolitione idolorum, et eorum qui dii non sunt, dictum est; ad abrogationem unigeniti antesæcularis Filii Dei Judaice accipiat, anathema sit. Si quis illud, *Verbum caro factum est*, audiens, Verbum in carnem mutatum, aut conversionem subiisse, et sic carnem assumpsisse existimet, anathema sit. Si quis unigenitum Filium Dei crucifixum audiens, corruptionem, vel C perpessionem, vel mutationem, vel diminutionem, vel abolitionem secundum divinitatem sustinuisse dicat, anathema sit. Si quis illud, *Faciamus hominem*, non Patrem ad Filium, sed ipsum ad se ipsum Deum dixisse profiteatur, anathema sit. Si quis cum Jacob, non Filium ut hominem, sed ingenitum Deum aut partem ejus colluctatam esse dicat, anathema sit. Si quis illud, *Pluit Dominus a Domino*, non de Patre et Filio accipiat, sed seipsum a seipso pluisse dicat, anathema sit: **753** pluit enim Dominus Filius a Domino Patre (1). Si quis audiens Dominum Patrem, Dominum Filium, Dominum et Dominum Patrem et Filium dicat, et Dominus ex Domino dicens duos statuat Deos, anathema sit: non enim in eodem gradu D cum Patre Filium locamus, sed Patri subjectum esse dicimus, neque descendit in corpus absque consilio Patris: neque pluit a seipso, sed a Domino, auctore Patre: neque sedet a dextris a seipso, sed audit Patrem dicentem: *Sede a dextris meis* [2]. Si quis Patrem et Filium et Spiritum sanctum unam personam dicat, anathema sit. Si quis, Spiritum sanctum Paracletum profitens, ingenitum Deum intelligat, anathema sit. Si quis, sicuti Scriptura nos docuit, non alium a Filio dica

[1] Isa. XLIII, 44. [2] Psal. CIX 1.

(1) Hæc paulo aliter referuntur apud Socratem, lib. II, cap. 30.

Paracletum; dixit enim: *Et alium Paracletum mittet vobis Pater, quem ego rogabo* [1], anathema sit. Si quis Spiritum partem dicat Patris aut Filii, anathema sit. Si quis Patrem et Filium et Spiritum sanctum tres dicat Deos, anathema sit. Si quis proposito Dei Filium Dei ut unam creaturarum factum esse dicat, anathema sit. Si quis non volente Patre genitum Filium dicat, anathema sit; non etenim invito Patre, naturali necessitate coactus ille, volens genuit Filium, verum una cum ipsa voluntate, et absque tempore, et absque perpessione, ex se genitum ipsum exhibuit. Si quis ingenitum et principii expertem dicat Filium, tanquam duo ingenita et duo principio carentia dicens, et duos deos statuens, anathema sit: caput namque est et principium omnium Filius, caput autem Christi Deus. Ita enim ad unum initio carens rerum omnium principium, per Filium pie omnia referimus. Ac denuo Christianismi certius accuratiusque sententiam inquirentes, dicimus: Si quis Christum Jesum Filium Dei antesæcularem inserviisse Patri in rerum universarum creatione non dicat, sed ex quo Maria genitus est, tum Filium et Christum vocatum esse, et principium ut Deus esset (1), sæpisse asserat, ille anathema esto: sicuti Samosatenus Paulus. Fidei formula aliter apud Sirmium Latine edita, et Græce versa: Quandoquidem visum est, ut de fide consideraretur, omnia certo exquisita et exposita sunt Sirmii
754 in præsentia Valentis, Ursacii, Germinii et reliquorum: constitit itaque unum esse Deum Patrem omnipotentem, quemadmodum et in universo orbe annuntiatur. Et unum unigenitum ejus Filium Jesum Christum, Dominum et Deum et Servatorem nostrum, ex eo ante sæcula genitum. Non autem duos oportere dicere Deos: siquidem et ipse Servator dixit: *Vado ad Patrem meum et Patrem vestrum, et Deum meum et Deum vestrum* [2]. Propter quod et omnium Deus est, sicuti Apostolus quoque docuit: *An Judæorum Deus tantum? non autem et gentium? profecto gentium quoque. Siquidem unus Deus, qui justificabit circumcisionem ex fide* [3]. Et reliqua quidem omnia consona sunt, et nihil habent dubii. Quoniam vero permultos movet substantiæ verbum, hoc est (ut certius intelligatur) τὸ ὁμοιοούσιον, simili substantiale, sive τὸ ὁμοούσιον, consubstantiale, neminem prorsus mentionem dictionum earum facere, neque eas in Ecclesia docere oportet, propter hanc causam et rationem, quod in divinis Scripturis de iis scriptum non sit, et captum humanæ mentis et cognitionis excedant: quodque nemo generationem Filii explicare possit, quemadmodum scriptum est, *Generationem ejus quis enarrabit* [4]? Soli autem Patri manifestum est, quomodo Filium genuit: et item Filio, quomodo ipse genitus sit a Patre. Ne-

A γάρ, *Καὶ ἄλλον Παράκλητον πέμψει ὑμῖν ὁ Πατὴρ ὃν ἐγὼ ἐρωτήσω*, ἀνάθεμα ἔστω. Εἴ τις τὸ Πνεῦμα μέρος λέγοι τοῦ Πατρὸς ἢ τοῦ Υἱοῦ, ἀνάθεμα ἔστω. Εἴ τις τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα τρεῖς λέγοι Θεοὺς, ἀνάθεμα ἔστω. Εἴ τις βουλήσει Θεοῦ ὡς ἓν τῶν κτισμάτων γεγονέναι λέγοι τὸν Υἱὸν τοῦ Θεοῦ, ἀνάθεμα ἔστω. Εἴ τις μὴ θελήσαντος τοῦ Πατρὸς γεγεννῆσθαι τὸν Υἱὸν λέγοι, ἀνάθεμα ἔστω. Οὐ γὰρ μὴ βουλομένου τοῦ Πατρὸς, βιασθεὶς ὁ Πατὴρ ὑπὸ ἀνάγκης φυσικῆς, αὖθις ὡς οὐκ ἤθελεν ἐγέννησε τὸν Υἱόν· ἀλλ' ἅμα τε ἐβουλήθη, καὶ ἀχρόνως καὶ ἀπαθῶς ἐξ αὐτοῦ αὐτὸν γεννήσας ἐπέδειξεν. Εἴ τις ἀγέννητον καὶ ἄναρχον λέγοι τὸν Υἱὸν, ὡς δύο ἄναρχα καὶ δύο ἀγέννητα λέγων, καὶ δύο ποιῶν θεοὺς, ἀνά-
B θεμα ἔστω. Κεφαλὴ γάρ ἐστι καὶ ἀρχὴ πάντων ὁ Θεός· κεφαλὴ δέ ἐστι τοῦ Χριστοῦ ὁ Θεός. Οὕτως γὰρ εἰς μίαν ἄναρχον τῶν ὅλων ἀρχὴν δι' Υἱοῦ εὐσεβῶς τὰ πάντα ἀνάγομεν. Καὶ πάλιν οὖν διακριβοῦντες τοῦ Χριστιανισμοῦ τὴν ἔννοιαν, λέγομεν, ὅτι εἴ τις Χριστὸν Ἰησοῦν Υἱὸν τοῦ Θεοῦ πρὸ αἰώνων ὄντα, ὑπουργηκότα τῷ Πατρὶ εἰς τὴν τῶν ὅλων δημιουργίαν μὴ λέγοι, ἀλλ' ἐξ οὗ ἐγεννήθη ἐκ Μαρίας, ἔκτοτε καὶ Υἱὸν καὶ Χριστὸν κεκλῆσθαι, καὶ ἀρχὴν εἰληφέναι τοῦ Θεὸν εἶναι, ἀνάθεμα ἔστω, ὡς ὁ Σαμοσατεύς. Ἐπειδὴ περὶ πίστεως ἔδοξέ τινα διάσκεψιν γεγενῆσθαι, καὶ πάντα ἀσφαλῶς ἐζητήθη καὶ διηρμηνεύθη ἐν τῷ Σιρμίῳ ἐπὶ παρουσίᾳ Οὐάλεντος, Οὐρσακίου, καὶ Γερμηνίου, καὶ τῶν λοιπῶν. Συνέστηκεν ἕνα Θεὸν εἶναι Πατέρα παντοκράτορα, καθὼς
C καὶ ἐν πάσῃ τῇ οἰκουμένῃ καταγγέλλεται· καὶ ἕνα μονογενῆ αὐτοῦ Υἱὸν Ἰησοῦν Χριστὸν, τὸν Κύριον καὶ Θεὸν καὶ Σωτῆρα ἡμῶν, ἐξ αὐτοῦ πρὸ αἰώνων γεννηθέντα. Δύο δὲ Θεοὺς μὴ χρῆναι λέγειν· ἐπειδὴ καὶ αὐτὸς εἴρηκεν ὁ Σωτὴρ, *Πορεύομαι πρὸς τὸν Πατέρα μου, καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου, καὶ Θεὸν ὑμῶν*. Διὰ τοῦτο καὶ πάντων Θεός ἐστι, καθὼς καὶ ὁ Ἀπόστολος ἐδίδαξεν· *Ἢ Ἰουδαίων μόνον, οὐχὶ δὲ καὶ ἐθνῶν; ναὶ καὶ ἐθνῶν· εἴπερ εἷς Θεὸς, ὃς δικαιώσει περιτομὴν ἐκ πίστεως*. Καὶ τὰ μὲν λοιπὰ πάντα συμφωνεῖ, καὶ οὐδεμίαν ἀμφιβολίαν ἔχει· ἐπεὶ δὲ πολλούς τινας κινεῖ περὶ τῆς λεγομένης Ῥωμαϊστὶ σουνσταντίας, ἑλληνιστὶ δὲ λεγομένης οὐσίας, τουτέστιν ἵνα ἀκριβέστερον
D γνωσθῇ τὸ ὁμοιοούσιον, ἤτοι τὸ λεγόμενον ὁμοούσιον· οὐ χρή τινα παντελῶς τούτων μνήμην γενέσθαι, οὐδὲ περὶ τούτων ἐξηγεῖσθαι τῇ Ἐκκλησίᾳ· διὰ ταύτην τὴν αἰτίαν καὶ διὰ τοῦτον τὸν λογισμὸν, ὅτι ἐν ταῖς θείαις Γραφαῖς οὐ γέγραπται περὶ τούτων· καὶ ὅτι ταῦτα ὑπὲρ τὴν τῶν ἀνθρώπων γνῶσιν καὶ τὸν ἀνθρώπινον νοῦν ἐστι· καὶ ὅτι οὐδεὶς δύναται τὴν γενεὰν διηγήσασθαι, καθὼς γέγραπται· *Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται;* Μόνον δὲ εἰδέναι τὸν Πατέρα φανερόν ἐστι πῶς τὸν Υἱὸν ἐγέννησε· καὶ πάλιν τὸν Υἱὸν, πῶς αὐτὸς γεγέννηται ἀπὸ τοῦ Πατρός. Οὐδενὶ δὲ ἀμφίβολόν ἐστι μείζονα εἶναι τὸν Πατέρα τιμῇ καὶ ἀξίᾳ καὶ θεότητι· καὶ αὐτῷ τῷ ὀνόματι

[1] Joan. XIV, 16. [2] ibid. 28. [3] Rom. III, 29. [4] Isa. LIII, 8.

(1) Τοῦ Θεοῦ εἶναι, *ut Dei esset*. Socrat.

τῷ πατρικῷ μείζονα εἶναι, διαμαρτυρομένου αὐτοῦ A τοῦ Υἱοῦ· *Ὁ ἐμὲ πέμψας Πατὴρ μείζων μού ἐστι.* Καὶ τοῦτο δὲ καθολικὸν εἶναι οὐδεὶς ἀγνοεῖ, δύο πρόσωπα εἶναι Πατρὸς καὶ Υἱοῦ· καὶ τὸν μὲν Πατέρα μείζονα, τὸν δὲ Υἱὸν ὑποτεταγμένον μετὰ πάντων ὧν αὐτῷ ὁ Πατὴρ αὐτοῦ ὑπέταξε. Τὸν δὲ Πατέρα ἀρχὴν μὴ ἔχειν, καὶ ἀόρατον εἶναι, καὶ ἀθάνατον εἶναι, καὶ ἀπαθῆ εἶναι· τὸν δὲ Υἱὸν γεγεννῆσθαι ἐκ τοῦ Πατρὸς, Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτός· καὶ τούτου τὴν γέννησιν μηδένα γινώσκειν, καθὼς προείρηται, εἰ μὴ μόνον τὸν Πατέρα· αὐτὸν δὲ τὸν Υἱὸν Κύριον καὶ Θεὸν ἡμῶν σάρκα ἤτοι σῶμα, τουτέστιν ἄνθρωπον, εἰληφέναι, καθάπερ καὶ ἄγγελος εὐηγγελίσατο. Καθὰ δὴ καὶ πᾶσαι αἱ Γραφαὶ διδάσκουσι, καὶ μάλιστα αὐτὸς ὁ Ἀπόστολος ὁ διδάσκαλος τῶν B ἐθνῶν· *Ἄνθρωπον ἀνέλαβεν ὁ Χριστὸς ἀπὸ Μαρίας τῆς Παρθένου, δι' οὗ πέπονθε.* Τὸ δὲ κεφάλαιον πάσης τῆς πίστεως καὶ ἡ βεβαιότης ἐστὶν, ἵνα Τριὰς ἀεὶ φυλάττηται, καθὼς ἀνέγνωμεν ἐν τῷ Εὐαγγελίῳ· *Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος.* Ἀκέραιος δὲ καὶ τέλειός ἐστιν ὁ ἀριθμὸς τῆς Τριάδος· ὁ δὲ Παράκλητος τὸ Πνεῦμα τὸ ἅγιον δι' Υἱοῦ ἀποσταλὲν ἦλθε κατὰ τὴν ἐπαγγελίαν, ἵνα τοὺς ἀποστόλους καὶ πάντας τοὺς πιστεύοντας ἁγιάσῃ καὶ ἀναδιδάξῃ.» Καὶ ἡ μὲν ἔκθεσις αὕτη· ᾗ δὴ Φωτεινὸν καὶ μετὰ καθαίρεσιν συνθέσθαι καὶ συνυπογράφειν παρηγγυῶντο, ἐπαγγελλόμενοι αὖθις τὴν ἀξίαν ἐπιδοῦναι τοῦ τε θρόνου καὶ τῆς ἱερωσύνης, εἴγ' ἐκ C μετανοίας ὑποβάλοι τῷ ἀναθέματι, ὅσα δὴ κακῶς ἐδογμάτισεν. Ὁ δὲ οὐδ' ἀκούειν ἠνείχετο, ἀλλ' εἰς διάλογον αὐτοὺς προὐκαλεῖτο. Καὶ δὴ βασιλικῷ κελεύσματι τῶν, ὅσοι ἐδόκουν ἐπιστήμῃ λόγου καὶ ἀξιώματι διαφέρειν εἰς ἓν ἀθροισθέντων, ἀναδέχεται τὸν λόγον Βασίλειος ὁ τηνικάδε τὴν Ἀγκυρανῶν Ἐκκλησίαν ἐπιτροπεύων. Τοῦ δ' ἀγῶνος εἰς πολὺ προελθόντος, ὀξυγράφοι τὰ παρ' ἑκατέρων εἰρημένα ἐλάμβανον. Οἷς διαφερόντως κρατεῖν ἐδόκει Βασίλειος. Φωτεινοῦ δὲ φυγὴ κατεψήφιστο· ἔνθα διάγων, τὴν οἰκείαν δόξαν λόγῳ συγκροτῶν ἦν Ῥωμαίων καὶ Ἑλλήνων φωνῇ. Ἦν γὰρ καὶ ἀμφοτέραις ταῖς γλώσσαις οὐκ ἀμοιρῶν χάριτος. Ὁ δ' ἐσπουδάζετο ταῖς Γραφαῖς ἦν, πλὴν τῆς οἰκείας, τὰς τῶν ἄλλων δόξας μηδὲν οὔσας ἀπρεπῶς ἐξελέγχειν. Περὶ μὲν οὖν D Φωτεινοῦ καὶ τῆς αὐτοῦ δόξης τοῦτον ἔσχε τὸν τρόπον.

A mini etiam dubium est, majorem esse Patrem honore, dignitate et divinitate, et ipso adeo nomine paterno majorem esse : ipso etiam testificante Filio (1), *Qui me misit Pater, major me est* [1]. Illud quoque catholicum esse nemo ignorat, duas esse personas Patris et Filii : et Patrem quidem majorem, Filium autem subjectum cum omnibus quæ ei Pater subjecit. Et Patrem principium non habere, et esse invisibilem et immortalem, et passionis expertem : Filium vero genitum ex Patre, Deum de Deo, lumen de lumine : ejusque generationem neminem nosse, sicut ante dictum est, nisi solum Patrem. Ipsum porro Filium Dominum et Deum nostrum, carnem sive corpus, hoc est hominem assumpsisse, quemadmodum et angelus re- B nuntiaverat. **755** Et Scripturæ omnes docent, atque in primis Apostolus ipse gentium doctor, *Hominem Christus ex Maria Virgine assumpsit, per quem et passus est.* Caput autem fidei totius et firmamentum est, ut Trinitas semper servetur, ita ut in Evangelio legimus, *Euntes docete omnes gentes, baptizantes eos in nomen Patris et Filii et Spiritus sancti* [2]. Integer autem et perfectus est Trinitatis numerus. Paracletus autem Spiritus sanctus, per Filium missus, juxta promissionem venit, ut apostolos et credentes omnes sanctificaret et doceret (2). » Hæc ea formula est, cui ut Photinus etiam post episcopatus abrogationem assentiretur et subscriberet, hominem sunt hortati : dignita- C tem se ei episcopalem una cum throno reddituros polliciti, siquidem per pœnitentiam quæcunque perperam docuisset, anathemate damnaret. Ille ne audire quidem hoc sustinuit, sed eos ad disputationem provocavit (3). Et jussu imperatoris die dicta in locum unum, quicunque doctrina, eloquentia et honore antecellere alios videbantur, convenientibus, conditionem disputandi accepit Basilius, qui tum Ancyranam curabat Ecclesiam. Concertatio ea longius producta, et notarii celeres utriusque dictata exceperunt : quibus longe superior fuisse existimatus est Basilius. Porro Photinus ad exsilium est damnatus. In quo ille degens, opinionem suam Græce et Latine (multa enim ei in utroque sermone erat gratia) scriptis mandavit. D Quod vero in eis maxime elaborabat, illud erat, quod præter opinionem suam, alias aliorum omnes nihil esse, parum decore probare est conatus. Photini quidem, ejusque sententiæ res, ad hunc se habuere modum.

[1] Joan. xiv, 28. [2] Matth. xxviii, 19.

(1) Verbum hoc est temporaneæ submissionis et exinanitionis, juxta illud : *Minuisti eum, et inferiorem fecisti paulisper angelis.* Psalm. viii ; Hebr. ii.

(2) *Nam qui spiritum Christi non habet, non est ejus.* (Rom. viii.)

(3) Huic disputationi multos adhibuisse Constantium senatorios viros, dicit Socrates lib. ii, cap. 30.

756 CAPUT XXXII.

Ut tyranni Occidentales sint devicti, Britannio scilicet et Magnentius. De Judæis Diocæsariensibus, et ut Gallus Cæsar sit interfectus.

Imperator autem adversus tyrannos exercitum duxit, et conditionibus pactisque certis bellum cum Britannione decidit, militibus illius ut animos mutarent, et se unum imperatorem acclamationibus renuntiarent, persuasis. Nam insidiis eis cognitis, Britannio ad pedes imperatoris supplicis habitu miserabiliter est provolutus. Et Constantius ei imperii insignia, purpuram et coronam detraxit, quietumque et privatum esse jussit : seni magis convenire dicens, ut in otio viveret, quam nomen tumultuum plenum obtineret. Sumptus autem ex publicis vectigalibus ei, ut seni, ad Prusam circa Olympum amplos attribuit : ubi ille degens, postea ad imperatorem scripsit, gratiasque ei egit, qui se tantis et tam multis malis et ærumnis, quæ in imperio essent, liberasset. Rebus de Britannione (1) prospere confectis, maximam copiarum suarum, quas secum habebat, partem, in Italiam adversus Magnentium misit. Patruelem autem fratrem suum Gallum, Constantii (frater autem hic Constantini Magni patris fuerat) filium, in Orientem et Syriam ire jussit, ut provinciis isthic adversus Persarum excursiones præsidio esset : eidemque Cæsaris dignitatem contulit, et cum nominis sui adjectione Cæsarem Constantium renuntiavit. Quo sane tempore, illo Antiochiam proficiscente, rursum crucis signum in cœlo ad Hierosolyma apparuit, solem radiis suis præcellens, arcu quem irim vocant ingenti ad instar coronæ circumfusum, hora diei tertia, Pentecostes feriis ineuntibus : Cyrillo tum Hierosolymis post Maximum res ecclesiasticas gubernante. Cæterum crucis illa lux sparsim non diffluebat, quod in cometa fieri solet, sed multo magnoque fulgore densa et perspicua consistebat. Occupaverat autem cœlo incumbens circiter quindecim stadia. Longitudo ejus, quantum colligere licuit, à Calvariæ monte ad eum qui dicitur Oliveti pertingebat : latitudo autem, quæ longitudini ei proportione conveniret. Ad miraculum timor etiam, in re tam insolita et inexspectata, omnibus incessit. Itaque omnes cum conjugibus et liberis ad templum majus Deum laudibus ferentes, relicto a quoque quod tum forte faceret, opere confugerunt. 757 Et ea res in terras omnes promulgata, homines consternavit, quod eam ex provinciis cunctis, qui peregre precationis ergo Hierosolyma venerant, ubique vulgarent. Multos sane et ex Judæis, et ex Græcis, ad Christianismum perduxit. Factus etiam de ea certior est imperator, familiarium suorum et ipsius Cyrilli litteris. Et divinitus ea

A

ΚΕΦΑΛ. ΛΒ'.

Περὶ τῆς ἥττης τῶν Ἑσπερίων τυράννων, Οὐετρανίωνος καὶ Μαγνεντίου· καὶ περὶ τῶν ἐν Διοκαισαρείᾳ Ἰουδαίων· καὶ ὡς ἀνῃρέθη Γάλλος ὁ Καῖσαρ.

Ὁ δὲ βασιλεὺς τὰ τῶν τυράννων μετήρχετο, καὶ ἐπὶ ῥηταῖς συνθήκαις ἐς ταυτὸ πρῶτον ἧκε τῷ Βρετανίωνι. Πείσας δὲ τοὺς ὑπ' ἐκεῖνον στρατιώτας μεταθέσθαι τῆς γνώμης, καὶ μόνον ἀναγορεῦσαι Κωνστάντιον, γνοὺς ἐκεῖνος τὴν ἐπιβουλήν, πρὸ τῶν ποδῶν του βασιλέως ἐκαλινδεῖτο πρηνής· καὶ ἱκέτης ἐλεεινὸς ἦν. Κωνστάντιος δὲ τὰ σύμβολα τῆς βασιλείας ἐκείνῳ περιελὼν, ἁλουργὶς δὲ ταῦτα ἦσαν καὶ στέφανος, ἐν ἡσυχίᾳ μένειν καὶ ἰδιάζειν προσέταττε· τὸν γὰρ πρεσβύτην ἀπραγμόνως μᾶλλον βιοῦν B προσῆκον ἔλεγεν, ἢ ὄνομα ἔχειν θορύβων ἔμπλεων. Πολλὴν δὲ αὐτῷ καὶ δαπάνην δημοσίων ἐκ φόρων ἀνῆκε κατὰ Προῦσαν τὴν περὶ Ὄλυμπον, οἷά γε πρεσβύτῃ· ὅπου δὴ ποιούμενος τὰς διατριβὰς, ἐς ὕστερον γράφων βασιλεῖ χάριτας ὡμολόγει, τοσούτων κακῶν, ὅσα τῇ ἀρχῇ σύνεστι καὶ φροντίδων οὕτω πολλῶν ἀπαλλάξαντι. Ὡς δὲ καλῶς αὐτῷ ἀπέβη τὰ κατὰ Βρετανίωνα, ἀπόμοιραν πλείστην τῆς περὶ αὐτὸν στρατιᾶς κατὰ Μαγνεντίου εἰς Ἰταλίαν ἔπεμπε. Τὸν δ' ἀνεψιὸν Γάλλον, ὃς παῖς μὲν ἦν Κωνσταντίου, οὗτος δὲ ἀδελφὸς Κωνσταντίνου τοῦ πατρὸς ἦν, πρὸς Ἑῴαν ἐπὶ φυλακῇ τῶν ἐκεῖσε κλιμάτων Περσικοῖς ἐνοχλουμένων ἐφόδοις εἰς Συρίαν ἔστελλε, τὴν τοῦ Καίσαρος ἀξίαν, πρὸς δὲ καὶ τὴν οἰκείαν κλῆσιν τούτῳ περιβαλὼν, Καίσαρα Κωνστάντιον ἀνειπών· C ὅτε δὴ εἰσιόντος ἐκείνου τὴν Ἀντιόχειαν, αὖθις ἐν οὐρανῷ τὸ τοῦ σταυροῦ σημεῖον ὤφθη ὑπεραστράπτον τὸν ἥλιον, ἴριδος μεγάλης στεφάνου τρόπον περιελιττούσης αὐτόν. Τρίτη ὥρα τῆς ἡμέρας ἦν, τῆς Πεντηκοστῆς ἐνισταμένης τῶν ἑορτῶν, Κυρίλλου τηνικαῦτα ἐν Ἱεροσολύμοις μετὰ Μάξιμον τὰς ἱερὰς ἡνίας διαχειρίζοντος. Πλὴν οὐχ ὥσπερ τις κομήτης ἦν τὸ φῶς ἀποῤῥέων, ἀλλὰ πυκνὸν καὶ διαφανὲς συνεστὼς ἐν πολλῷ καὶ μεγάλῳ φωτί· διῆκε δὲ κατέχον περὶ τὸ οὐράνιον κύτος ἀμφὶ δέκα καὶ πέντε στάδια, τὸ μὲν μῆκος, ὅσον εἰκάσαι, ἀπὸ τοῦ κρανίου διῆκεν ἄχρι καὶ τοῦ ὄρους, ὃ Ἐλαιῶν ἐπικέκληται· τὸ δὲ εὖρος, ὅσον τῷ μήκει ἀναλογεῖν. Πρὸς δὲ τῷ θαύματι καὶ πᾶσι δέος ἐπὶ τῷ παραδόξῳ ἐνῆν. D Καὶ ἔθεον πάντες ἐπὶ τὸ ἱερὸν, τὸν μέγαν ἀνυμνοῦντες Θεὸν, ἕκαστος καταλείψας ὅ τι τύχοιεν ἐργαζόμενοι. Πάσῃ δὲ γῇ τὸ θαῦμα φοιτῆσαν, κατέπληττε, τῶν κατ' εὐχὴν τοῖς Ἱεροσολύμοις ἐπιδημούντων ἐξ ἁπάσης γῆς διαμηνυσάντων. Ὃ καὶ πολλοὺς τῶν τε Ἰουδαίων καὶ Ἑλλήνων πρὸς τὸν Χριστιανισμὸν μεθείλκυσεν. Ἔγνω δὲ καὶ ὁ βασιλεὺς παρά τε τῶν οἰκείων καὶ Κυρίλλου γράψαντος. Κατά τι δὲ θεοπρόπιον γενέσθαι ἐλέγετο τοῖς εἰδόσι, πάλαι βίβλοις ἱεραῖς ἐμφερόμενον. Τὸ δὲ σελασφόρον ἐκεῖνο καὶ σεβάσμιον θέαμα οὐδὲ τοῖς ἐπὶ τοῦ στρατοπέδου ἀθέα-

(1) Britannionem magistrum militum in Pannonia ad Mursam milites imperatorem renuntiaverant, grandævum jam, et omnibus charum virum : quippe probrum, et priscorum morum, jucundæque civitatis : sed omnium liberalium artium expertem, adeo ut ne primarum quidem litterarum elementa, nisi in extrema ætate, addidicerit. Eutrop.

τον ἦν. Ὤφθη καὶ γὰρ τὸ σημεῖον, ἡνίκα τῶν καθ' Ἑσπέραν Βρετανίωνος καὶ Μαγνεντίου τυράννων περιεγένετο, τῆς ἐκεῖσε πονούσης στρατιᾶς ἐκεῖθεν τῇ περιουσίᾳ τῆς αἴγλης καταστραπτομένης, καὶ τὸ σημεῖον ὁρώσης. Ὁ γὰρ Μαγνέντιος τὴν πρεσβυτέραν χειρωσάμενος Ῥώμην, τὰ πάνδεινα ἔπραττε, πολλούς τε τῆς συγκλήτου ἀνῄρει, καὶ τὸν δῆμον διέφθειρεν. Ὡς δὲ ἔγνω τὴν στρατιὰν Κωνσταντίνου ἄγχιστα εἶναι, μικρὸν ὑποχωρήσας, πρὸς Γαλλίας ἐχώρει διὰ τῶν Ἰουλίων Ἄλπεων. Δίοδοι δέ εἰσιν αἱ Ἄλπεις στεναὶ, μεγίστων ὀρῶν ἑκατέρωθεν ὑφ' ἓν χωρίον ἐγγὺς τοῦ συμπτύσσεσθαι συγκλειομένων· ἃ δὴ ἐμφερεῖς εἰσι τοῖς ἐν Θερμοπύλαις στενοῖς. Αἱ μὲν οὖν Ἰούλιαι Ἄλπεις τὰς Γαλλίας τῶν Ἰταλῶν διορίζουσιν· αἱ δὲ Ἄλπεις αἳ καλοῦνται Σουσάκεις μεταξὺ Δακίας καὶ Θρᾴκης εἰσί. Συχνῶς γοῦν ἑκατέρων προσβαλόντων τῶν στρατευμάτων, ποτὲ μὲν οὗτοι, ποτὲ δ' ἐκεῖνοι περιεγίνοντο. Ὕστατον δ' ἡττηθεὶς Μαγνέντιος, περί τι φρούριον τῆς Γαλατίας κατέφυγεν· Μούρσα ἦν αὐτῷ ὄνομα. Ὅπου δὴ τὸ ἀδημονοῦν τῆς στρατείας διαλύειν πειρώμενος, καὶ παρασκευάζειν θαῤῥεῖν, ἐπεὶ κἀκεῖνον εὐφημεῖν οἷα ἔθος βασιλεῦσιν ἐχρῆν, ἠλέγχοντο οὐχ ἑκόντες Αὔγουστον Κωνστάντιον ἀντὶ Μαγνεντίου ἀναγορεύοντες. Ἐντεῦθεν συνεὶς ἐκεῖνος μὴ ἐκ Θεοῦ τὸ βασιλεύειν δεδόσθαι αὐτῷ, τὸ φρούριον ἀπολιπὼν, πρόσω ἠπείγετο. Κατόπιν δὲ τῆς στρατιᾶς Κωνσταντίου κατασπευδούσης, μόνος διαφυγὼν, εἰς Λουγδοῦνον πόλιν ἀποδιδράσκει. Κἀκεῖσε τὸν ἀδελφὸν ἐν εὐνοίας τρόπῳ δῆθεν ἀποσφάττει, πολεμίας προαρπάζων ὕβρεως καὶ χειρὸς, ὃν Καίσαρα πρότερον πεποιήκει, εἶτα τὴν μητέρα· ἔπειτα δὲ καὶ εἴ τις ἄλλος τῶν οἰκειοτάτων παρῆν. Τελευταῖον δὲ τὸ ξίφος ἑαυτῷ ὑποστήσας, ἐπηῤῥάχθη τε αὐτοῦ, καὶ διελαθεὶς κατὰ τὸ μετάφρενον, ἐξέψυξεν, οὐδ' ὅλα τέσσαρα τυραννήσας ἔτη. Μικρὸν δὲ ὕστερον, καὶ ὃς ἕτερος ἦν αὐτῷ ἀδελφὸς, Δεκέννιος ὄνομα, ἀγχόνῃ τοῦ βίου ἑαυτὸν ὑπεξήγαγεν. Ἀλλ' οὐδὲ οὕτως αἱ ταραχαὶ ἀπέλιπον τὰ κοινά. Ἕτερος γὰρ εὐθὺς τύραννος, Σιλβανὸς ὄνομα, περὶ τοὺς πρὸς δύσιν Γαλάτας ἤρτο· ὃν οὐκ ἐπιπολὺ διαρκέσαντα οἱ στρατηγοὶ Κωνσταντίου διέφθειραν. Οὐ μὴν δὲ ἀλλὰ καὶ οἱ ἐν Διοκαισαρείᾳ Ἰουδαῖοι Ῥωμαίοις ἐπαναστάντες, καὶ τὸν ζυγὸν τῆς δουλείας ἀποσεισάμενοι, ἦραν ὅπλα, καὶ τὴν Παλαιστίνην καὶ τὰ πέριξ αὐτῆς κατέτρεχον ληϊζόμενοι. Καθ' ὧν μέγα ἀνίστα τρόπαιον, ἐπιὼν ἐξ Ἀντιοχείας ἔνθα διέτριβεν ὁ Κωνστάντιος Γάλλος· καὶ τὴν πόλιν αὐτῶν ἐκ βάθρων ἀνέτρεπεν. Οὕτω δὲ κατ' αὐτῶν εὐτυχήσας, τὴν εὐημερίαν οὐκ ἤνεγκεν· νεωτερίζειν δὲ καὶ αὐτὸς ἠρέμα κατήρχετο, καὶ τυραννεῖν ἐμελέτα. Οὐκ εἰς μακρὰν δὲ κατάφωρος τῷ Κωνσταντίῳ ἐγίνετο· θράσους γὰρ ἀμετρίᾳ ληφθεὶς, τὸν τῆς Ἑῴας ἔπαρχον Δομετιανὸν, καὶ τὸν κοιαίστωρα Μόντιον, κατ' ἐξουσίαν ἀνεῖλε, μὴ τῷ βασιλεῖ τὰς αἰτίας μηνύσας τῆς ἀναιρέσεως. Ἐξ ἧς αἰτίας καὶ ἄλλων συνεπιῤῥυέντων, θανάτῳ τὸν ὑβριστὴν μετελθεῖν

quasi prodigium exhibita esse dicebatur a peritis, ut quæ antiquitus in sacris expressa esset Litteris. Splendidum hoc et venerandum spectaculum, ipsi quoque exercitui non fuit invisum. Apparuit namque signum id, cum imperator ad Occidentem Britannionem et Magnentium tyrannos devinceret : ubi exercitus vario labore fatigatus (1), miraculo tanto viso, immensa ejus luce afflatus et lustratus est. Nam Magnentius, veteri Roma capta, graviter ibi sæviebat, et multos ex senatu atque ipsa etiam plebe crudeliter necabat. Ubi autem Constantii exercitum adesse cognovit, cedens istinc, Galliam per Alpes Julias petiit. Ita enim perangustus transitus dicitur, altissimis ex utraque parte montibus in locum unum, ut prope complicentur, coeuntibus, angustiis quæ in Thermopylis sunt perquam similes. Et Alpes quidem Juliæ Gallias ab Italia dividunt. Quæ vero vocantur Susacenses Alpes, inter Daciam et Thraciam sunt. Porro ubi aliquoties acies inter se concurrere, et nunc hi nunc illi prælio superiores fuere, postremo victus Magnentius ad Mursam (2) Galliæ castellum profugit. Quo loco copias suas casu eo perculsas animare, et ad fortitudinem atque fiduciam excitare conatus est. Cum autem et ipsæ militari more acclamatione sua illi ut imperatori fausta ominari deberent, vel invitæ pro Magnentio Constantium Augustum promulgarunt. Unde ille imperium sibi non esse a Deo delatum intellexit : et castello eo derelicto, ulterius est profectus. Verum cum eum Constantii exercitus magna celeritate persequeretur, solus profugiens in urbem Lugdunensem pervenit. Atque ibi fratrem Desiderium, per benevolentiæ causam scilicet, ut eum hostium manibus et injuriis eriperet, deinde matrem, postea etiam si quis ex propinquis suis alius adesset, jugulavit. **758** Et tandem in gladium sibi ipsi intentatum incumbens, dorso etiam ipso perfosso, vitam finiit, cum non totos quatuor annos tyrannide potitus esset. Paulo deinde post, qui ei alter erat frater, Decennius Cæsar ab ipso dictus, laqueo etiam seipsum interemit. Sed enim ne sic quidem respublicæ pacatæ fuere. Statim enim tyrannus alius, nomine Sylvanus, apud Occidentales Gallos exstitit : quem non ita diu res turbantem, Constantii duces interemere. Enimvero Judæi quoque Diocæsareæ Romanis rebellantes, et servitutis jugum excutientes arma sumpsere, et Palæstinam vicinasque in circuitu regiones percurrentes vastarunt. Contra quos ex Antiochia, ubi agebat, profectus est Constantius Gallus, eisque superatis tropæum ingens statuit, et urbem eorum ex ipsis fundamentis diruit. Sed enim rebus feliciter gestis, fortunam blandientem prosperitatemque eam non bene tulit : nam et ipse ad res novas aspirare et tyrannidem meditari cœpit. Sed brevi conatus ejus

(1) Præliis istis vires Romanæ fere consumptæ sunt. Bellatorum enim quinquaginta quatuor millia periere. Oros., Eutrop.

(2) Ad Murtium, Egnat.

manifesto comperit Constantius. Siquidem ille per effrenem audaciam Orientis præfectum Domitianum et quæstorem Montium (1) suapte potestate necavit, cædis ejus causa imperatori non significata. Quæ res aliæque insuper ad eam accedentes effecere, ut imperator eum, ut sibi injurium, sublatum vellet. Et ira incitatus, ad se eum evocavit. Atque ille in deteriorem partem eam vocationem fieri suspicatus, sibique propterea metuens, etiam invitus profectus est, uxore sua Constantia, quæ pro eo precaretur, præmissa. Ea in itinere mortua est. In comitatu Galli Theophilus etiam Indus fuit, de quo supra diximus. Nam is medium se inter Gallum et Constantium gerebat, conjunctionem eorum et concordiam confirmans, cum Cæsar Gallus designaretur, et pacta fierent. At Gallus, adempta ei primum purpura, circa Phlanonem (2) insulam in Occidentalibus partibus ex insidiis Eusebii eunuchi trucidatus est. Quod quidem ita tum fieri jussit Constantius : postea autem eum facti pœnituit. Brevi post fratrem ejus Julianum ex Ionia accitum, quod imperii gravitatem secum perpenderet, Cæsarem creavit : et adversus barbaros in Galliam misit, qui res ibi turbulentas pacaret et constitueret. **759** Sed de Juliani rebus in historia sequenti accuratius omnia exponemus.

A ἐπειρᾶτο. Καὶ περιοργὴς γεγονὼς, πρὸς ἑαυτὸν μετεστέλλετο. Ὁ δ' οὐκ ἐπ' ἀγαθῷ τὴν μετάκλησιν συμβάλλων, δεδοικὼς δ' ὅμως καὶ ἄκων ἀπῄει, τὴν ἰδίαν γαμετὴν Κωνσταντίαν προπέμψας πρεσβεύσουσαν. Ἀλλ' ἡ μὲν ἐνόδιος ἐπεσχέθη θανάτῳ. Συνείπετο δ' ἐκείνῳ καὶ Θεόφιλος ὁ Ἰνδὸς, περὶ οὗ μικρὸν ὕστερον ἐροῦμεν. Συνῆν γὰρ μέσος ταῖς πρὸς Γάλλον καὶ Κωνστάντιον συνθήκαις, ἡνίκα Καῖσαρ κεχειροτόνητο, συνέχων αὐτῶν τὴν ὁμόνοιαν. Γυμνωθεὶς δὲ τῆς ἁλουργίδος ὁ Γάλλος καὶ κατὰ Φαλῶνα τὴν νῆσον γενόμενος περὶ μέρη δὴ τὰ Ἑσπέρια, ἐπιβουλαῖς Εὐσεβίου τοῦ εὐνούχου ἀναιρεῖται· κελεύσαντος μὲν τὴν ἀναίρεσιν τοῦ Κωνσταντίου, μεταμέλῳ δὲ χρησαμένου ἐς ὕστερον. Μετ' ὀλίγον δὲ τὸν ἐκείνου ἀδελφὸν Ἰουλιανὸν ἐκ τῆς Ἰωνίας μεταπεμψάμενος, χειρο- B τονεῖ Καίσαρα, τὸ τῆς ἀρχῆς βάρος ἰδὼν, καὶ πρὸς τοὺς ἐν Γαλλίᾳ βαρβάρους ἀπέστελλε, ταραχῆς ἔμπλεω τὰ ἐκεῖσε δὴ καθιστῶντα. Ἀλλὰ περὶ μὲν Ἰουλιανοῦ ἐν τῇ ἐφεξῆς ἱστορίᾳ πρὸς λεπτὸν διηγήσομαι.

CAPUT XXXIII.

Ut denuo Ariani synodos Antiochiæ et Mediolani celebrantes, Athanasium oppugnarint : et quæ consilia de perversione fidei Constantius ceperit.

Constantius cura et periculo tyrannorum liberatus, venit Romam, ubi de tyrannis triumphum sibi agendum esse duxit. Eodem tempore ad concordiam dogmatis Orientales simul et Occidentales episcopos, sicuti putabat, adducturus, synodum cogi in Italia præcepit. Julius tum, viginti quinque annis Romana Ecclesia administrata, decessit, provinciamque ejus Liberius sortitus est. Tum vero opportunitatem sibi oblatam esse existimantes, qui professionem fidei Nicænam abrogaverant, calumnias rursum contexuerunt, ut τοῦ ὁμοουσίου, consubstantialis, professores, quos antea ut sententiæ alterius sectatores exauctoraverant, ecclesiis prorsus exigerent. Constante namque adhuc superstite, non ausi fuerant fraudulenta temeritate imperia inter se committere. Quippe bellum fratri Constans denuntiaverat nisi Athanasium, sicuti dictum est, reciperet. Potissimum vero Athanasium illi expellere studio omni contendebant : qui sane etiam Constante nondum cæso, Constantio autem propter illum, Athanasium se complecti assimulante (tantum illorum erat odium), conquiescere non potuerunt. Sed enim triginta ex maligna eorum multitudine Antiochiæ congregatis, Narcisso videlicet Cilice, Theodoto Thrace, Eugenio Nicæno, Patrophilo Scythopolitano, Menophanto Ephesio, atque aliis, reditum Athanasii illi tanquam illegitimum culpabant, et omnibus ubique episcopis scribebant, ne cum illo communicarent, neve

ΚΕΦΑΛ. ΛΓ'.

Ὡς πάλιν οἱ ἐξ Ἀρείου συνόδους ἐν Ἀντιοχείᾳ καὶ Μεδιολάνοις ποιοῦντες, τοῖς περὶ Ἀθανάσιον πολεμοῦντες ἦσαν· καὶ οἷα περὶ διαστροφῆς τῆς πίστεως ἐμελέτα Κωνστάντιος.

Κωνστάντιος καὶ τῆς τῶν τυράννων φροντίδος C ἀπαλλαγεὶς, ἐκ Σιρμίου ἀπάρας, πρὸς τὴν Ῥώμην ἐγένετο· ὅπου δὴ καὶ τὸν κατὰ τῶν τυράννων θρίαμβον τελεῖν αὐτῷ καὶ κατάγειν ἐδέδοκτο δεῖν. Ἐν ταυτῷ δὲ σύμφρονας καθιστᾷν οἰόμενος περὶ τὸ δόγμα τούς τε τῆς Ἕω καὶ Ἑσπέρας ἱερέας, καὶ σύνοδον ἐν Ἰταλίᾳ γενέσθαι προσέταξεν. Τότε δὲ Ἰούλιος εἴκοσι καὶ πέντε ἔτεσι τῆς ἐν Ῥώμῃ Ἐκκλησίας προστὰς, ἀπεβίω· Λιβέριος δὲ τὸν κλῆρον τῆς ἐκείνου διακονίας ἐλάμβανεν· ὁπηνίκα καιρὸν προσήκοντα ἔχειν νομίσαντες οἱ τὴν ἐν Νικαίᾳ πίστιν ἠθετηκότες, συνέῤῥαπτον διαβολὰς, ὥστ' ἐξωθεῖν τῶν ἐκκλησιῶν, οὓς πρότερον αὐτοὶ ὡς ἑτεροδόξους καθεῖλον τῷ ὁμοουσίῳ στοιχοῦντας. Κώνστα μὲν γὰρ περιόντος ἔτι, οὐκ ἐτόλμων συγκρούειν τὰς βασιλείας· πολεμεῖν γὰρ ἐκεῖνος τῷ D ἀδελφῷ ἐπηγγέλλετο, εἰ μὴ δέξηται τοὺς περὶ τὸν Ἀθανάσιον, ὥσπερ εἴρηται. Μάλιστα δ' Ἀθανάσιον ἐλαύνειν διὰ σπουδῆς ἐποιοῦντο· οἳ δὴ καὶ Κώνσταντος μήπω φθαρέντος, Κωνσταντίου δὲ δι' ἐκεῖνον προσποιουμένου φιλεῖν Ἀθανάσιον, ὑπερβολῇ μίσους, ἐκεῖνοι οὐδὲ οὕτως ἡσυχάζειν ἠνείχοντο. Τριάκοντα δ' ἐν Ἀντιοχείᾳ τοῦ πονηροῦ στίφους ἀθροισθέντες, οἱ περὶ Νάρκισσον, τὸν Κίλικα λέγω, Θεόδωρον τὸν Θρᾷκα, τὸν Νικαέα Εὐγένιον, Πατρόφιλόν τε καὶ Μηνόφαντον, ὧν ὁ μὲν Σκυθοπόλεως, ὁ δ' Ἐφέσου ἦν ὁ Μηνόφαντος, ἐν αἰτίαις ἐποιοῦντο τὴν ἐκείνου κάθοδον· καὶ τοῖς ἁπανταχοῦ ἔγραφον ἐπισκόποις, ἐκείνῳ μὴ κοι-

(1) *Magnum.* Socrat. et Sozom.
(2) Περὶ Φλάνωνα τὴν νῆσον. Socrat. lib. II, cap. 34. Plin. in Illyrici descriptione meminit urbis Flanonæ et Absyrtii insulæ, libro III, cap. 21.

νωνεῖν, μήτε μὴν γράφειν· ἀλλὰ Γεώργιον ἐν τιμαῖς ἔχειν, ὃν αὐτοὶ κατεστήσαντο. Ἀθανάσιος δὲ οὐδ' ἐπιστροφὴν αὐτῶν ἐποιεῖτο. Καὶ τοῦτο ἦν ἕως οὗ Κωνστάντιος τοὺς τυράννους καθελὼν, μόνος τῆς Ἕω καὶ Ἑσπέρας κατῆρξεν· τοῖς γὰρ ἐν ἑσπέρᾳ γενόμενος ὁ Κωνστάντιος, τοῖς ἐκεῖσε τῶν ἱερέων τῇ ὁμοουσίου στοιχοῦσι πίστει, προσεποιεῖτο κολλᾶσθαι καὶ συμφρονεῖν· καὶ διόλου συνεῖναι τάχα ᾑρεῖτο. Τέχνῃ δὲ μετήρχετο τὰ πρῶτα μὴ βιαζόμενος, ἕως οὗ κἀκείνους ἐπιψηφίσασθαι πείσειε τοῖς κατ' Ἀθανασίου γεγενημένοις ἐπίσης τοῖς ἀνὰ τὴν Ἕω ἐπισκόποις. Καὶ γάρ πως ἐλογίζετο, ὡς εἰ ψήφῳ πάντων τῶν Ἑῴων καὶ Ἑσπερίων ἐκποδὼν Ἀθανάσιος γένοιτο, ἐκ τοῦ ῥᾷστου ἐνεῖναι τὰ περὶ τὴν θρησκείαν ὡς βούλοιτο κατορθοῦν. Καὶ δὴ περὶ Μεδιόλανα τῆς Ἰταλίας τὴν σύνοδον ἤθροιζεν. Ἐκ μὲν οὖν τῆς Ἕω ὀλίγοι δή τινες παρεγένοντο· τὸ γὰρ τῆς ὁδοιπορίας μακρὸν καὶ νόσος καὶ γῆρας τῶν πολλῶν ἐπεῖχε τὴν ἄφιξιν· Ἑσπέριοι δὲ πλείους ἢ τριακόσιοι συνελέγησαν. Τὸ δὲ σπουδαζόμενον ἦν τοῖς ἐξ Ἕω καταδικάζειν Ἀθανασίου, ὥστε ἄβατον ἐκείνῳ εἶναι τὴν Ἀλεξάνδρειαν. Καὶ ἡ μὲν ἄλλη σύνοδος, ἢ ἀπάτῃ, ἢ δέει, ἢ καὶ ἀγνοίᾳ, συνέτρεχον τῷ ψηφίσματι· μόνοι δ' ἐξ ἁπάντων Διονύσιος ὁ Ἄλβας ἐπίσκοπος, Ἰταλιῶτις δὲ αὕτη μητρόπολις, καὶ Εὐσέβιος τῶν ἐν Λιγουρίᾳ Βρεκέλλων, καὶ Τριβέρεως ὁ Παυλῖνος, ἐν Γαλλίαις δ' ἐστὶν ἡ Τρίβερις, καὶ Ῥοδανὸς καὶ Λουκίφερ, τὸν δόλον φωράσαντες, ὡς ἐπὶ τῇ ἀνατροπῇ τοῦ ἐν Νικαίᾳ δόγματος οἱ Ἑῷοι τὴν Ἀθανασίου καθαίρεσιν ἐπισπεύδουσιν, ἀναστάντες ἐβόων, δόλον εἶναι καὶ ἀπάτην τοῦ Χριστιανισμοῦ· καὶ μὴ δι' Ἀθανάσιον εἶναι τὸ εἰρημένον, ἀλλ' ἐπιβουλὴν τῶν κατὰ Θεοῦ ὀρθῶς πάλαι δεδογμένων τόν τε βασιλέα καὶ τοὺς τὰ Ἀρείου φρονοῦντας ἐπινοεῖν. Ταῦτ' εἰπόντων, ἡ μὲν σύνοδος διελύετο ἄπρακτος· ὅσοι δ' ἐπαρρησιάσαντο ὑπερορίᾳ κατεδικάσθησαν γενόμενοι ἐκποδών· μεθ' ὧν ἦν καὶ Ἱλάριος ὁ Ποικτάβων ἐπίσκοπος. Ὅτι δ' ἀληθὴς αἰτία ἦν ὡς ἐπὶ προφάσει Ἀθανασίου κατὰ τῆς πίστεως ἡ ἐν Μεδιολάνῳ ἤθροιστο σύνοδος, πιστώσεται τὰ ἑξῆς. Ἡ γὰρ οὐκ εἰς μακρὰν συστᾶσα κατὰ ταυτὸν ἔν τε Ἀριμίνῳ τῆς Ἰταλίας, καὶ ἐν Σελευκείᾳ τῆς Ἰσαυρίας, νεωτερίζειν κατὰ τῶν ἐν Νικαίᾳ δεδογμένων ἐπεχείρησαν, ὡς αὐτίκα μάλα δηλώσομεν. Ὁ γὰρ βασιλεὺς χαλεπήνας, οἰκουμενικὴν συγκροτεῖν ἐβούλετο σύνοδον, ἑλκύσαι τε τοὺς τῆς Ἑῴας ἐπισκόπους πάντας εἰς τὴν ἑσπέραν, πάντα τε κάλων κινῆσαι, εἴγε δύναιτο, ὡς ἂν πάντας ὁμόφρονας καταστήσειεν. Ἐπεὶ δ' εἰς σκέψιν τὸ πρᾶγμα δοὺς, ἐργῶδες ἐδόκει, καὶ γὰρ προσίστατό οἱ τὸ τῆς ὁδοιπορίας μακρόν· μίαν μὲν εἶναι τὴν σύνοδον ἐκέλευεν, ἐν δυσὶ δ' ἀθροισθῆναι τοῖς τόποις. Τοῖς μὲν οὖν Ἑσπερίοις ἐν Ἀριμίνῳ τῆς Ἰταλίας συνάγεσθαι προὔτρεπε· τοὺς δέ γε Ἑῴους γράμμασι κατὰ τὴν Νικομήδειαν ἀφικνεῖσθαι προσέταττεν. Ὁ μὲν οὖν

A ad illum scriberent: sed Georgium honore prosequerentur, quem ipsi episcopum constituerant. Athanasius autem nihil prorsus hæc curabat. Id ita factum, donec Constantius, tyrannis sublatis, unus ipse Orientis simul et Occidentis imperio est potitus. **760** Et Constantinus cum in Occidente esset, cum episcopis τοῦ ὁμοουσίου, consubstantialis, fidei assentientibus se conjunctum esse, et cum eis sibi convenire simulavit: et fortasse in partibus eorum esse omnino constituit. Arte certe usus, cum vim nullam eis primum adhiberet, sed tantum persuaderet, ut eamdem contra Athanasium, quam Orientales episcopi tulissent, ipsi etiam sententiam ferrent. Sic etenim quodammodo putavit, si omnium Orientalium juxta et Occidentalium cal- B culis Athanasius damnaretur, facillimum sibi fore, ut religionem pro arbitrio suo constitueret atque ordinaret. Itaque in Italia Mediolani conventus coactus est. Et ex Oriente quidem pauci admodum ibi præsto fuere. Itineris enim magnitudo, et morbus, et ætas grandior, multorum impediit adventum. Occidentales autem plures quam trecenti convenere. Enimvero Orientalium consilium fuit, ut Athanasius damnaretur, eique Alexandrina urbe intercideretur. Et reliqua synodus sive errore aut metu, seu etiam ignorantia pedibus in eam ibat. Soli vero ex omnibus Dionysius Albæ, quæ una ex metropolitanis in Italia urbs est, et Eusebius Vercellarum Liguriæ, et Paulinus Trevirorum in Gal- C lia, episcopi, et præterea Rhodanus et Lucifer (1), dolo deprehenso, Orientales evertendi Nicæni dogmatis gratia exauctorationem Athanasii urgere, assurgentes, vociferati sunt, fraude Christianismum circumveniri, neque verbis ejusmodi de Athanasio agi: sed insidias decretis rite atque ordine de Deo olim factis, imperatorem et Arianos tendere. Hæc ubi dicta, conventus rebus infectis solutus est. Qui autem liberius sententiam dixerant condemnati, solum exsilii causa verterunt. Inter quos Hilarius etiam Pictaviensium episcopus fuit. Porro verum fuisse, quod sub obtentu nominis Athanasii adversum fidem Nicænam Mediolanensis synodus sit congregata, ea quæ sequuntur confirmabunt. Nam quæ paulo post eodem tempore et Arimini D in Italia, et Seleuciæ in Isauria, acta sunt concilia, res novas contra Nicænas constitutiones molita sunt; quemadmodum mox declarabimus. Imperator enim stomachabundus universale concilium cogere, et episcopos Orientales omnes in Occidentem pertrahere volebat, **761** omnem movens funem, si quo modo facere posset, ut ad concordiam omnes adduceret. At ubi re deliberata, difficile id visum est, quod ei itineris longinquitas obstaret, unam quidem, sed duobus in locis congregandam esse synodum, statuit. Et Occidentales, Arimini, Orientales vero Nicomediæ convenire, litteris suis

(1) Lucifer Sardiniæ insulæ metropolitanus dicitur apud Theodor. lib. II, cap 15, ubi ista fusius referuntur.

jussit. Imperator sane quidem hoc sic concordiam omnium spectans instituit: sed consilium ejus aliter cessit: utrinque enim dissensio inter eos intercessit. Neque enim Arimini (1) qui convenerant, concordes erant: majus autem inter eos qui Nicomediæ quidem per terræ motum coire impediti, Seleuciæ vero deinde congregati fuerant, dissidium est ortum. Cæterum quæ utrobique sint acta, historia ipsa deinceps ostendet. In præsentia autem, quæ Athanasio per omne Constantii imperium acciderint, breviter referemus, ut ordine suo nobis procedat oratio.

CAPUT XXXIV.

Quas calamitates sub imperio Constantii magnus pertulerit Athanasius, et ut Deus sæpe eum ex maximis liberarit periculis, et ut is multa divinitus præviderit.

Ille siquidem auditis quæ adversus eum in imperatoria aula factæ fuerant comminationibus, ad tempus profugit. Deinde quinque qui sub eo erant episcopis delectis, in quibus Serapion etiam Thmuæus, vir Dei in primis amans, atque in dicendo et scribendo gravis fuit, ad imperatorem in Occidente degentem eos misit, tribus ex ecclesia sua presbyteris additis: qui, si id imperator jussisset, adversariorum calumnias confutarent. Dum illi proficiscuntur, imperatoris interea litteræ, quibus ad eum evocabatur, afferuntur. Itaque ipse cum suis in gravi erat cura et sollicitudine. Neque enim tutum satis esse putabat, dicto imperatoris audientem esse, qui in professione fidei hallucinaretur. Neque vero illi morem non gerere, periculo carebat. Mansit sane. Et qui litteras attulerat, vacuus ad imperatorem rediit. Porro æstate ineunte, alter venit, cum quodam Alexandrinæ urbis illustri cive: atque is Athanasium urbe expellere, et clerum male accipere incepit. Sed enim cum plebs rebellans vim pararet, et ipse nihil efficeret, retrocessit. **762** Postea intempesta nocte ordinum ibi militarium dux, ut qui ab imperatore missus fuerat, atque hæc curabat, Hilarius, ubi Athanasium in ecclesia occultari intellexit, quæ Theonæ dicitur, cum delecta Ægyptiorum fortique manu ei institit: et postibus effractis in templum quidem irruit, sed Athanasium quæsitum non comprehendit. Divinitus enim ei irruptionis hujusmodi consilio manifestato, paulo ante inde exiverat, milites autem tardius ad comprehendendum eum venerant. Dicitur sane hic vir multa et diversa divino judicio evasisse pericula. Quod namque Deo esset perquam charus, quæ futura erant, itidem ut præsentia, per gratiam Dei providebat. Multa certe admiranda futurorum cognitionem viro ei contestantur. Primo namque anno Constantis, et Constantio insidias ei struente, cum fuga sibi consuluisset, apud notum quemdam hominem in subterraneo et caliginoso specu, aquæ olim cisterna, latuit, nemine

(1) Sozom. lib. IV, cap. 9, 10.

A βασιλεὺς τὸ σύμφωνον πάντων οἰόμενος, οὕτως ἐκέλευεν· εἰς τοὐναντίον δὲ μεθίστατο αὐτῷ ὁ σκοπός. Καὶ ἄμφω δὲ καθ' ἑαυτοὺς διῃρέθησαν. Οὔτε γὰρ οἱ ἐν Ἀριμίνῳ πρὸς ἑαυτοὺς συνεφώνησαν· μεῖζον δὲ καὶ τὸ ῥῆγμα οἱ ἐν Νικομηδείᾳ μὲν σεισμῷ κωλυθέντες, ἐν Σελευκείᾳ δὲ ἐκεῖθεν συναθροισθέντες, εἰργάσαντο. Ἀλλ' ὅπως μὲν τὰ ἐν ἐκείναις γεγένηνται, τοῖς ἐφεξῆς ἡ ἱστορία δηλώσει· νυνὶ δὲ περὶ τῶν συμβάντων Ἀθανασίῳ παρ' ὅλην τὴν ἀρχὴν Κωνσταντίου διαληψόμεθα διὰ τὸ εὐσύνοπτον, ἵνα καθ' ὁδὸν ἡμῖν ὁ λόγος προΐῃ.

ΚΕΦΑΛ. ΛΔ'.

B *Ὅσα τῶν δεινῶν τῷ μεγάλῳ Ἀθανασίῳ συνέβη ἐν τῇ ἀρχῇ Κωνσταντίου· καὶ ὅτι τὸ Θεῖον αὐτὸν πολλάκις τῶν δεινῶν ὑπεξήγαγε, καὶ θείας μετεῖχε προγνώσεως.*

Ἐκεῖνος γὰρ πυθόμενος τὴν ἐν βασιλείοις κατασκευαζομένην αὐτῷ ἀπειλὴν, ἔφυγε μὲν πρὸς καιρόν· εἶτα πέντε τῶν ὑπ' αὐτὸν ἐπιλεξάμενος, ἐν οἷς ἦν καὶ Σεραπίων ὁ Θμουαῖος, ἀνὴρ θεοφιλὴς ἐς τὰ μάλιστα, καὶ λέγειν καὶ γράφειν δεινὸς, πρὸς βασιλέα πέμπει τῇ ἑσπέρᾳ διάγοντα, καὶ τρεῖς παραζεύξας πρεσβυτέρους αὐτῷ τῆς κατ' αὐτὸν ἐκκλησίας, εἰ μὲν βασιλεὺς κελεύοι ἀντιστησομένους ταῖς τῶν ὑπεναντίων διαβολαῖς. Ἐν ὅσῳ δ' ἐκεῖνοι ἀπέπλεον, γράμματα ἐκ βασιλέως ἐφοίτα τοῦτον μετακαλούμενα. Οἱ δὲ περὶ αὐτὸν ἐναγώνιοι ἦσαν· οὐδὲ γὰρ τἀσφαλὲς ἐνόμιζεν ἔχειν πειθόμενος βα- C σιλεῖ σφαλλομένῳ περὶ τὴν πίστιν. Ἀλλ' οὐδὲ τὸ ἀπειθεῖν ἀκίνδυνον ἦν. Ἔμενεν οὖν· καὶ ὁ τὰ γράμματα φέρων, κενὸς ἐπάνεισι. Θέρους δὲ ἐπιγενομένου, ἕτερος ἧκε μετὰ τῶν ἐν τῇ πόλει περιφανῶν, καὶ τοῦτον τῆς πόλεως ἤλαυνε· καὶ τὸν κλῆρον κακῶς διετίθει. Τοῦ δὲ λαοῦ νεωτερίζειν ἐπιβάλλοντος ἤδη, ἀνύσας οὐδὲν καὶ αὐτὸς ἀνεχώρει. Ἔπειτα νυκτὸς ἀωρὶ σὺν οὐκ ἀγεννεῖ Αἰγυπτίᾳ ἐφίσταται φάλαγγι. Καὶ ἐπεὶ μάθοι Ἀθανάσιον κρύπτεσθαι κατὰ τὴν ἐκκλησίαν, ἣ τοῦ Θεωνᾶ λέγεται, ὁ στρατηγὸς Ἱλάριος, ὃς ἐκ βασιλέως ἐπέμπετο, ἀνατρέψας τὰς θύρας, εἰσῄει μὲν εἴσω, ἥκιστα δὲ τὸν Ἀθανάσιον κατελάμβανε. Θεοῦ γὰρ τὴν ἔφοδον προμηνύσαντος, βραχύ τι χρόνου πρὸ ἐκείνων ἐξῄει, τοὺς δὲ στρατιώτας ἐφυστερῆσαι τὴν D αὐτοῦ σύλληψιν. Λόγος δ' ἔχει πολλοὺς καὶ διαφόρους κινδύνους θείοις μηνύμασιν ἀποδρᾶναι τὸν ἄνδρα· φίλος γὰρ ὢν Θεῷ μάλιστα, ὡς ἐνεστὼς τὸ μέλλον ἑώρα χαριζομένου Θεοῦ· πολλὰ γὰρ θαυμαστὰ τὴν τῶν ἐσομένων γνῶσιν ἐπιμαρτυρεῖ τῷ ἀνδρί· τῷ γὰρ πρώτῳ ἔτει Κώνσταντος τοῦ Κωνσταντίου ἐπίβουλα φρονοῦντος αὐτῷ, φυγῇ χρησάμενος, γνωρίμῳ τινὶ κατεκρύπτετο, ἐν καταγαίῳ ζοφερῷ οἰκήματι, ὃ πάλαι ποτὲ ταμεῖον ὑδάτων ἐτύγχανεν ὄν. Οὐδεὶς μέντοι συνέγνω πλὴν θεράπαινα, ἡ πιστὴ δοκοῦσα, τοῖς κατὰ χρείαν διηκονεῖτο. Ἐπεὶ δὲ σπουδὴ προὔκειτο τοῖς ἐναντίοις τὸν ἄνδρα ζωγρεῖν, ἔμελλε δὲ δώροις καταπροδι-

δύσθαι πρὸς τῆς διακόνου χρήμασιν ἐκεῖθεν ὑποφθα- A ρείσης· φθάσαν τὸ Θεῖον, τὴν ἐπιβουλὴν κατεμήνυεν. Ὁ δ' ἀλλαχοῦ μετεχώρει. Ἐκείνη δ' ὡς ψευδῆ τῶν δεσποτῶν κατειποῦσα, πληγὰς ἐλάμβανε· πολὺ γὰρ ἦν τὸ δεινὸν τοῖς φωραθεῖσι κρύπτειν τὸν Ἀθανάσιον, ὡς ταῖς βασιλικαῖς προσταγαῖς ἀντιπράττουσι, καὶ τὸ πολιτεύεσθαι καλῶς ἀφανίζουσι. Καὶ πολλοὶ διὰ τοῦτον δεινῶν ἐπειράθησαν. Παραπλήσιον δέ τι καὶ ἄλλο τούτῳ ἐπισυνέβη· τῇ γὰρ αὐτῇ αἰτίᾳ ἐπὶ Αἴγυπτον δῆθεν φεύγων, τὸν Νεῖλον ἀνέπλεεν. Ἐπεὶ δὲ, τὸν δρασμὸν καταμηνυσάντων τινῶν, ἐδιώκετο, ἄνωθεν τὸ γινόμενον ἐμυεῖτο· καὶ τοὺς πλωτῆρας ἐπὶ τὴν Ἀλεξάνδρειαν μᾶλλον ἀναστρέφειν ἐκέλευεν. Παραμείψας δὲ τοὺς διώκοντας τῷ κατάγεσθαι, τῷ τῆς πόλεως ὁμίλῳ συμμιγὴς διε- B λάνθανε καὶ ἐσώζετο. Ἐκ τοίνυν τῶν τοιούτων οὐ πρὸς τῶν ἑτεροδόξων μόνον, ἀλλὰ καὶ παρὰ τῶν Ἑλληνιστῶν, ὡς γοητείαις χρώμενος διεβάλλετο· καὶ γάρ ποτ' ἐπὶ τὴν πόλιν προϊόντος αὐτοῦ, κορώνη τὸν ἀέρα διανηχομένη ἀνέκραξε. Πλῆθος δὲ συνεστὼς Ἑλλήνων, ἀποσκώπτοντες οἷάπερ γόητα, διηρώτων τί ἂν ἡ κορώνη λαλοίη. Τὸν δ' ἠρέμα ἀστεῖον καὶ μάλα ἡδὺ γελάσαντα, Κρᾶς, φησὶ, λέγει· ὃ τῇ Ῥωμαίων φωνῇ σημαίνει τὸ αὔριον. Αἰνίσσεται δ' ὡς ἡ αὔριον ὑμῖν οὐ καλῶς ἀπαντήσει· κέλευσμα γὰρ ἐκ βασιλέως ἧκον, τὴν ἑορτὴν ὑμῶν ἐφέξει· καὶ ἤδη τὰ τῆς λαμπρότητος ἔσται ὑμῖν. Τὸ δ' ἀστεῖον Ἀθανασίου πέρας εἶχεν εὐθύς· βασιλέως γὰρ καταφοιτήσαντα γράμματα παρηγγύα τοῖς ἄρχουσι, τοῦ λοιποῦ κωλύειν τοὺς Ἕλληνας C ναοῖς παραβάλλειν, καὶ ὡς ἔθος τῇ σφῶν θρησκείᾳ τὰς ἑορτὰς ἐκτελεῖν. Καὶ ἡ ἐπὶ θύραις αὐτῶν περὶ πλείστου οὖσα τοῖς Ἕλλησι καὶ σεβάσμιος μάλιστα ἑορτὴ τηνικαῦτα ἐλύετο· καὶ ἔκτοτε οὐδαμῶς ἐπράχθη. Ἀλλὰ ταῦτα μὲν ἀποχρήσει δεῖξαι, ὡς θεῖος μάλιστα ἦν ὁ ἀνὴρ, καὶ προφητικοῦ ἠξιωμένος χαρίσματος· φυγόντος δ' ὡς εἴρηται, ὁ ὑπ' αὐτὸν κλῆρος τὰς ἐκκλησίας κατεῖχεν· ἕως οὗ τοῖς Γεώργιον προσδοκῶσιν ὁ ὕπαρχος ἥκων μετὰ στίφους παρέδωκεν. Ἐς ὕστερον δὲ καὶ αὐτὸς ἐλθὼν, κατέσχεν αὐτάς. Μὴ κατὰ σχῆμα δὲ καὶ ἦθος ἱερέως πολιτευόμενος, φοβερός τις ἐπετήδευεν εἶναι. Τοῖς δ' Ἀθανάσιον ἐπαινοῦσι καὶ μάλα θηριώδης ἦν, ἄνδρας τε καὶ γυναῖκας σύρων, οἷά τις ὠμὸς τύ- D ραννος δεσμοῖς περιέβαλεν· ὑφ' ὧν εἰς κοινὸν μῖσος ἐμπεσὼν τῷ δήμῳ μικροῦ ἂν διώλλυτο, εἰ μὴ τὸν κίνδυνον διαδρὰς, ἐς βασιλέα ἀνέτρεχεν. Οἱ δὲ τὰ Ἀθανασίου φρονοῦντες τὰς ἐκκλησίας κατέσχον, κἂν οὐκ ἐπὶ πολλῷ χρόνῳ· ὁ γὰρ τῆς Αἰγύπτου στρατηγὸς ἀφελόμενος, αὖθις τοῖς Γεωργίου ἀπέδοτο. Μετ' οὐ πολὺ δὲ καὶ αὐτὸς ἧκε, φοβερώτερος μὲν γεγενημένος, μισούμενος δὲ πλέον, ἅτε δὴ τὸν βασιλέα κεκινηκὼς εἰς θυμὸν κατ' αὐτῶν. Δύσπιστος δὲ καὶ τύφου μεστὸς διεβάλλετο· καὶ παρὰ τῶν Αἰγυπτίων μάλιστα μοναχῶν, οἷς εἵποντο μᾶλλον τὰ πλήθη, καὶ ἃ λέγειν ἀλήθειαν ᾤοντο· ὅτιπερ ἀρετὴν ἀσκοῦντες, φιλοσόφως διήνυον. Καὶ τὰ μὲν Ἀθανασίου συλλήβδην εἰπεῖν ἐπὶ Κωνσταντίου δια-

A præter ancillam conscio: quæ quod fidelis esse videretur, ad usus necessarios ei inserviebat. Postquam autem in hoc magno studio adversarii incubuere, ut virum vivum caperent, et ancilla ea, pecunia ab illis corrupta, mercede eum proditura erat: præveniens Deus insidias ei indicavit. Ita ipse alio concessit: at illa ut quæ contra heros suos falsa dixisset, plagas reportavit. Gravis siquidem eis constituta fuerat pœna, qui Athanasium celare comperti fuissent, ut qui contra imperatoria jussa niterentur, et rectam reipublicæ administrationem tollerent. Multi sane eo nomine res duras sunt experti. Persimile quiddam alio quoque ei tempore evenit. Eamdem namque ob causam in Ægyptum profugiens, adverso navigabat Nilo. Cum autem B fuga ejus indicata, quidam eum persequerentur, cœlitus id cognovit, et nautas atque vectores Alexandriam redire jussit: et in descensu persecutoribus suis præteritis, populi deinde turbæ in urbe frequentissima mistus, latuit incolumisque permansit. Quapropter non solum Ariani, sed et Græci atque gentiles eum, ut magum et præstigiatorem, tales ob res criminati sunt. Aliquando namque urbem eo ingrediente, cornix in aere volans crocitabat: et Græcorum quæ illic **763** stabat turba, scommate eum veluti impostorem persequens, quidnam cornix diceret, interrogavit. Et ille perquam urbane et suaviter ridens, Cras, inquit. Quod Latino sermone diem crastinum significat. Portendit autem, crastinum diem vobis non bene cessurum. C Mandatum enim ab imperatore veniens festum diem vestrum inhibebit, et magnificentia vestra injucunda vobis erit. Porro id Athanasii dictum exitum suum confestim habuit. Ab imperatore enim litteræ venere, quibus magistratus jubebantur, de cætero Græcos prohibere, ne ad templa accederent, et more superstitionis suæ dies festos peragerent. Et celebritas ea quæ jam aderat, et ab illis plurimi fiebat, venerationeque maxima colebatur, tum soluta est, neque postea peracta. Declarare hæc satis possunt, divinum eum virum, et prophetici doni non expertem fuisse. Ipso autem, ut dictum est, profugo, clerus ejus ecclesias tenuit: donec adveniens dux cum armatis, Georgium ex- D spectantibus eas tradidit, et ipse postea Georgius adveniens occupavit. Is quod non apparatu aut more episcopi administrationem suam instituerit, terribilem se exhibuit. In Athanasii autem laudatores ferus admodum fuit, ac viros simul et mulieres arripiens, tanquam sævus tyrannus, in vincula conjecit. Quamobrem publicum populi odium in se concitavit. Periisset certe quidem, nisi periculo vitato ad imperatorem procurrisset. Ibi tum sectatores Athanasii ecclesiis præfuere, quamvis ad breve tempus. Præfectus namque Ægypti, illis ejectis, eas factioni Georgii restituit. Nec longe post et ipse rediit, terribilior quidem quam antea, non minus autem

omnibus invisus, quippe qui imperatorem ad iram A contra eos commovisset. Infidelis vero, et fastu plenus a plerisque increpitus est: et ab Ægyptiis monachis maxime, quos hominum multitudo in primis, cum quod vera dicere existimati sunt, tum quod philosophice plane virtutem et pietatem exercere perseverarunt, sequebatur. Res Athanasii, sicuti sub Constantio vario eventu fuere, breviter et ordine expositæ, sic se habuere.

φόρως γεγενημένα, ἐφεξῆς κείμενα, τοῦτον ἔσχε τὸν τρόπον.

764 CAPUT XXXV.

Ut Liberius Julii Romæ successor, quod se Constantio opposuerit, in exsilium sit actus, et Felix locum ejus occuparit.

Imperator vero priusquam Romam iret, et solitum ob victoriam triumphum ageret, accito Liberio Romanorum episcopo, Julii successore, persuadere ei conatus est, ut in sententiam quos secum habe- B bat episcoporum iret: quorum unus Eudoxius erat. Quod ubi ille ei resistens se facturum negavit, ad exsilium est damnatus. Berrhœa autem Thraciæ, quo deportaretur, designata fuerat. Sed et alia condemnationis ejus causa fuisse dicta est: videlicet quod renuntiare Athanasii communioni noluerit eumdemque apud imperatorem defenderet, qui Athanasium accusabat, quod et ecclesias injuria affecisset, et causa necis duobus fratribus suis fuisset. Idem comprobanda esse quæ Tyri adversus Athanasium, per invidiam alienæ sententiæ sectatorum acta constitutaque fuerant, dicebat. At Liberius pœnitentiæ libellum Ursacii et Valentis Julio decessori suo oblatum imperatori C exhibuit: in quo falsa esse et ementita, quæ apud Mareoten acta erant, significantes, noxæ gratiam petierunt. Rogavit insuper, ne ita indicta causa Athanasium damnaret, neve quæ perperam decreta et manifestæ calumniæ essent, comprobaret. De fratribus autem ne prorsus episcopali manu vindicatam injuriam vellet (1), dixit: quam manum Deus non ad ejusmodi facta, sed ad sanctificationem et omne aliud bonum opus constituerit. Sed enim Constantius nihil omnino illum de sententia sua decedentem videns, biduo ad deliberandum ei permisso, nisi animum mutaret, in Thraciam deportari jussit. Atque ibi Liberius, Mihi vero, inquit, dudum hæc deliberata atque constituta sunt, et paratus adeo sum in exsilium D ire. Porro cum jam abduceretur, Constantius ei quingentos aureos misit: quos ille rejecit, et ei qui illos attulerat, imperatori renuntiare jussit: Non indigere se eis: daret eos, quos secum in aula haberet adulatoribus, et ad simulandum dissimulandumque compositis hominibus, quorum insatiabilis cupiditatis inopia animis eorum semper insidens, eosque excrucians, nunquam expleri posset. Mihi namque Christus, inquit, Patri similis, largitor semper alimentorum atque conciliator, et promus condus bonorum omnium erit. 765 Hæ Liberio causæ, ut in Thracia exsularet, exstitere. Felix autem Romanæ ecclesiæ diaconus, admini-

ΚΕΦΑΛ. ΛΕ'.

Ὡς Λιβέριος ὁ μετὰ Ἰούλιον Ῥώμης ἀντικαταστὰς Κωνσταντίῳ, ὑπερόριος γέγονε, Φῆλιξ δὲ τὸν θρόνον κατέσχε.

Ὁ δὲ βασιλεὺς, πρὶν εἰς Ῥώμην ἥκειν, καὶ τὸν εἰωθότα ἐπινίκιον θρίαμβον ἐκτελέσαι, μεταστειλάμενος Λιβέριον τὸν Ῥωμαίων ἐπίσκοπον, ὃς Ἰούλιον B διεδέξατο, πείθειν ἐπεχείρει, εἰς ταυτὸ γενέσθαι γνώμης τοῖς περὶ αὐτὸν ἱερεῦσιν· ὧν εἷς ἐτύγχανε καὶ Εὐδόξιος. Ὡς δ' ἀντέλεγε μὴ πράξειν τοῦτ' ἐνιστάμενος, ὑπερορίαν αὐτοῦ κατεδίκαζε. Βέῤῥοια δὲ τῆς Θρᾴκης ἦν αὐτῷ τὸ φυγαδευτήριον. Ἐλέγετο δὲ καὶ ἄλλη πρόφασις εἶναι τῆς καταδίκης αὐτοῦ, ὅτιπερ ἥκιστα τὴν πρὸς Ἀθανάσιον κοινωνίαν ἠρνεῖτο. Ὑπὲρ αὐτοῦ δὲ μᾶλλον καὶ βασιλεῖ ἀντέλεγεν, ἐπαιτιωμένῳ τὸν Ἀθανάσιον, ὡς τὰς ἐκκλησίας ἠδίκησε, καὶ αἴτιος τοῦ μόρου κατέστη τοῖς δυσὶν ἀδελφοῖς· καὶ ὡς στερκτέα τὰ ἐν Τύρῳ νομίζοι κατ' Ἀθανασίου βασκανίᾳ τῶν ἑτεροδόξων γεγενημένα. Ἐπεδείκνυ δὲ πρὸς τούτοις καὶ τὸ ἔγγραφον τῆς μετανοίας βιβλίον Οὐρσακίου τε καὶ Οὐάλεντος ὁ Λιβέριος βασιλεῖ· ὃ τῷ πρὸ αὐτοῦ ἐπισκόπῳ Ἰουλίῳ C ἐγχειρίσαντες, συγγνώμην ᾔτουν, ψευδῆ τὰ κατὰ Μαρεώτην γεγενημένα σημαίνοντες. Καὶ ἠξίου μὴ ἐρήμην οὕτω καταδικάζειν, μηδὲ τοῖς τότε κακῶς ψηφισθεῖσιν ἕπεσθαι, σαφοῦς συκοφαντίας οὔσης. Περί γε μὴν τῶν ἀδελφῶν, μὴ πάντως ἐξ ἱερατικῆς χειρὸς τὴν δίκην ἐκείνοις γενέσθαι προσδοκᾷν ἔλεγεν, ἣν οὐκ εἰς τοιαῦτα τὸ Θεῖον ἐνέταξεν, ἀλλ' εἰς ἁγιασμὸν, καὶ εἰς ἄλλην ἅπασαν ἀγαθὴν πρᾶξιν. Κωνστάντιος δὲ, μηδ' ὁπωσοῦν ὑφιέντα τῶν προκειμένων ὁρῶν, διορίαν ἡμερῶν δύο εἰς διάσκεψιν αὐτῷ ἐπαφεὶς, εἰ μὴ τῆς γνώμης ἀποσταίη, ἐκέλευεν εἰς τὴν Θρᾴκην ἀπάγεσθαι. Λιβέριος δὲ, Ἀλλ' ἐμοὶ, ἔφη, πάλαι δέδοκται ταῦτα καὶ ἔσκεπται· καὶ ἐν ἑτοίμῳ μοί ἐστι πορεύεσθαι. Ἐπεὶ δ' ἀπαγομένῳ D πεντακοσίους χρυσίνους ἔστελλεν, ἐκεῖνον μὲν μὴ προσδέξασθαι· εἰπεῖν δὲ τῷ κομίσαντι βασιλεῖ ἀπαγγεῖλαι μὴ χρείαν ἔχειν αὐτῶν· δοῦναι δὲ ταῦτα τοῖς περὶ τὰ βασίλεια κόλαξι καὶ ὑποκριταῖς· οἷς ἡ τῆς ἀπληστείας ἔνδεια ἀεί ποτε παρακαθημένη, ἐνοχλοῦσα κολάζει μήποτ' ἐμπίπλασθαι. Ἐμοὶ δὲ Χριστὸς, ὁ τῷ Πατρὶ ὅμοιος, ἀεὶ χορηγός ἐστι τῆς τροφῆς, ταμίας τε καὶ πρύτανις πάντων χρηστῶν. Αὗται μὲν αἰτίαι Λιβερίῳ τῆς ἐν Θρᾴκῃ φυγῆς. Φῆλιξ δὲ διάκονος τῆς ἐκεῖσε ἐκκλησίας, τὴν τοῦ θρόνου κληροῦται ἐπιτροπήν· ὃς τὴν μὲν ἐν Νικαίᾳ πίστιν ἠσπάζετο, καὶ θρησκείας χάριν ἀνέγκλητος ἦν. Ἓν δὲ αὐτῷ προσήγετο ἔγκλημα, ὅτι πρὶν ἢ τὴν τῆς ἐπισκοπῆς χειροτονίαν λαχεῖν, κοινωνῆσαι τοῖς

(1) Ne per episcoporum manus inimicitias exercueris aut vindicaris, imperator. Ecclesiasticorum namque hominum manus sanctificationem operari debent. Theodor. lib. II, cap. 16.

ἑτεροδόξοις ἠνέσχετο. Ὡς δ' εἰσῄει Κωνστάντιος A Ῥώμην, προσιόντες οἱ τοῦ δήμου, καὶ τῶν εὖ γεγονότων γυναῖκες ἐπίσημοι, ἐνέκειντο ὑπὲρ Λιβερίου δεόμενοι αὖθις ἐκεῖνον ἀπολαβεῖν· τὸν δὲ κοινωσάμενον τοῖς περὶ αὐτὸν ἱερεῦσιν, ὑπισχνεῖσθαι ἀποδώσειν πάλιν, εἴ γε ἕλοιτο εἰς ταυτὸ ἰέναι γνώμης τοῖς περὶ αὐτὸν ἐπισκόποις.

strationem ejus sortitus est. Qui Nicænam quidem fidei professionem retinebat, et in religione reprehensione carebat : unum tamen illud vitio ei vertebatur, quod priusquam episcopus ordinatus esset, cum diversæ opinionis studiosis communicare sustinuerit. Ubi vero Constantius Romam venit, populi et nobilitatis illustriores feminæ, pro Liberio deprecantes, ut illum restitueret, ei institere. Et imperator cum episcopis suis re communicata redditurum se eis hominem pollicitus est, si in eamdem cum episcopis suis concederet sententiam.

ΚΕΦΑΛ. ΛϚʹ.

Περὶ τῆς βλασφημίας Ἀετίου τοῦ Σύρου, καὶ Εὐδοξίου τοῦ Ἀντιοχείας· καὶ περὶ τῆς ἐν Ἀγκύρᾳ συνόδου· καὶ οἷα Γεώργιος ὁ Λαοδικείας καὶ Κωνστάντιος ὁ βασιλεὺς κατὰ Ἀετίου καὶ Εὐδοξίου τοῖς ἐν Ἀγκύρᾳ ἔγραψαν.

B Κατ' ἐκεῖνο δὲ καιροῦ καὶ ὁ προῤῥηθεὶς Ἀέτιος ὁ Σύρος εἰς τοὐμφανὲς ἃ περὶ Θεοῦ ἐδόξαζεν, ἐπαῤῥησιάζετο. Τηνίκαῦτα δ' ἔτι διάκονος ἦν, ὑπὸ Λεοντίου τοῦ Ἀντιοχείας τοῦ ἐκτομίου τὴν χειροτονίαν λαβών. Ἐπίσης δὲ Ἀρείῳ ἐδόξαζε, κτιστὸν καὶ ἐξ οὐκ ὄντων καὶ ἀνόμοιον τὸν Υἱὸν τῷ Πατρὶ λέγων. Τῇ δ' εἰς ἄγαν ἔριδι καὶ τῷ σφόδρα περὶ Θεοῦ τολμᾷν διαλέγεσθαι, ποικίλοις τε χρῆσθαι συλλογισμοῖς, ἐδόκει τοῖς ὁμόφροσι διάφορος εἶναι. Διά τοι τοῦτο καὶ τῆς ἐκκλησίας ἐκβληθεὶς, τεχνηέντως αὐτοὺς παρῃτεῖτο, καὶ κοινωνεῖν ἐξετρέπετο, ὡς Ἀρείῳ μετὰ τὴν ἐπιορκίαν συγγεγονότας· ἡνίκα μετάμελος γεγονὼς ἐκεῖνος, ὀμώμοκε Κωνσταντίνῳ τῷ βασιλεῖ, συνῳδὰ τῇ ἐν Νικαίᾳ πίστει φρονεῖν. C Καὶ περὶ μὲν τούτου ταύτῃ λέγεται· ἔτι δὲ τοῦ βασιλέως τοῖς ἑσπερίοις διάγοντος, ἀγγέλλεται τεθνάναι Λεόντιον, ὃν Ἀντιοχείας ἐπίσκοπον δεδηλώκαμεν. Εὐδόξιος δὲ Γερμανικίας ἐπίσκοπος ὢν, τοῖς ἐκεῖσε μέρεσι διατρίβων, διὰ τῶν θαλαμηπόλων εὐνούχων ὑπορύττει τὸν θρόνον, καὶ ἑαυτῷ περιποιεῖται τὴν Ἀντιόχειαν. Σκηψάμενος γὰρ παραμυθίας καὶ φυλακῆς ἐν χρείᾳ εἶναι τὸν τόπον, ἐδεῖτο τοῦ βασιλέως εἰς τὴν Συρίαν ἐλθεῖν. Ἐπεὶ δ' ἐπετρέπετο, σπουδῇ προσβαλὼν, τὸν θρόνον λαμβάνει, καὶ τῆς Ἀντιόχου ἐπίσκοπος αὐτόματος ἀναδείκνυται, μή τισι τῶν ἐν Συρίᾳ διασήμων ἐπισκόπων, οἷς κατά τι πάτριον ἔθος καὶ ἡ χειροτονία διέφερε, κοινωσάμενος τὸν σκοπόν· οἷον Μάρκον λέγω τὸν Ἀρεθούσης, καὶ τὸν Λαοδικείας Γεώργιον· μήτε μὴν τῶν λοιπῶν συνθεμένων. D Ἐλέγετο δὲ καὶ γνώμῃ τοῦ κρατοῦντος ταῦτα γενέσθαι καὶ τῶν ἐν τοῖς βασιλείοις κρατούντων· οἳ σύναμα Εὐδοξίῳ τὴν Ἀετίου δόξαν ἐσπούδαζον, ἀνόμοιον δοξάζοντι τῷ Πατρὶ τὸν Υἱόν. Ἐπεὶ δ' οὕτω καὶ Ἀντιοχείας ἐκράτησε, καὶ μείζονος ἐπελάβετο ἐξουσίας, περιφανῶς ἤδη τῆς Ἀετίου δόξης προΐστατο, καὶ συγκροτεῖν ἐκεῖνον μάλιστα ἐπειρᾶτο. Καὶ διὰ σπουδῆς ἦν ἐκείνῳ συνέδριον ἐπισκόπων ἀθροῖσαι, καὶ τὴν τῆς διακονίας ἀξίαν αὖθις ἐγχειρίσαι αὐτῷ. Ἀλλὰ τοῦτο μὲν πρᾶξαι ἥκιστα ἠδυνήθη· πολὺ γὰρ Ἀετίῳ τὸ μῖσος ἦν τῆς Εὐδοξίου τιμῆς. Σύνοδον οὖν τέως ἀθροίσας εἰς Ἀντιόχειαν ὁμοφρόνων αὐτῷ ἐπισκόπων, ἐν οἷς ἦσαν Ἀκάκιός τε ὁ Παλαιστίνης

CAPUT XXXVI.

De blasphemia Aetii Syri, et item Eudoxii Antiocheni. Item de synodo Ancyræ coacta. Et quæ Georgius Laodicensis episcopus et Constantius imperator contra Aetium et Eudoxium ad eam synodum scripserint.

Per idem tempus, quem supra diximus, Aetius Syrus manifesto et libere suam de Deo opinionem divulgabat. Diaconus tum adhuc erat, sicuti a Leontio Antiochiæ episcopo castrato illo creatus fuerat. Opinabatur autem itidem ut Arius, conditum, et ex non exsistentibus, atque dissimilem Patri Filium esse. At quod ingenti contentione acriusque de Deo disserere auderet, variisque uteretur ratiocinationibus, factionis suæ popularibus diversus esse atque ab eis dissidere visus est. Quam ob causam ecclesia eorum pulsus, arte quadam per dissimulationem eos vitabat, communionemque eorum detestabatur, veluti qui se Ario post perjurium conjunxissent, cum ille, pœnitentia ductus, Constantino imperatori consentanea se cum Nicæna fide sentire adjuravit. Sed de his satis. Cum imperator adhuc in Occidente esset, nuntii venere, Leontium Antiochenum episcopum diem suum obiisse. Et Eudoxius Germaniciæ antistes, qui in imperatoris comitatu erat, per cubicularios eunuchos vacantem eam sedem ambit et vindicat. Assimulans enim locum eum consolatione et custodia indigere, ut sibi in Syriam ire liceret, ab imperatore petiit. Quod ubi ei est permissum, ingenti celeritate eo venit : ac throno recepto, repente perinde atque ex se ipso ortus episcopus Antiochiæ exstitit, **766** re cum celebrioribus Syriæ episcopis, utpote cum Marco Arethusio, Georgio Laodicensi, qui eamdem sententiam sequebantur, atque aliis ad quos more quodam patrio electio pertinebat, non communicata. Dictum etiam est, de voluntate imperatoris, et eorum qui in aula rerum potiebantur, id factum esse : qui una cum Eudoxio Aetii sententiam sequebantur, dissimilem Patri Filium esse docentis. Postquam vero Antiochiam ita obtinuit, ampliorenique adeptus est potestatem, propalam jam Aetii opinionem propugnabat, et adjuvare illum maxime conabatur. Et contendebat ille quidem episcoporum cogere concilium, atque illi diaconatus honorem restituere : sed id efficere minime potuit, quod apud omnes Eudoxii dignitas et studium post Aetii odium esset. Congre-

gavit tamen tum consentientium ei episcoporum conventum Antiochiæ : in quibus erant, Acacius Cæsareæ Palæstinæ Eusebii successor, et Uranius Tyri episcopus : qui una cum simili-substantiali et consubstantiale rejiciebat, sub obtentu Occidentalium episcoporum auctoritatis, qui hoc sic Sirmii statuerint. Admirandus namque ille Hosius, atque una cum nonnullis qui ibi convenerant, cum propter contentionem qua adversus Ursacium, Valentem et Germinium usi fuerant, vim multam, ut diximus, passi fuissent, ut neque consubstantialis neque simili-substantialis Filius diceretur, concesserant, tanquam ea verba tam expresse in divinis Scriptis non apparerent; prætereaque supra humanæ mentis captum esset, de essentia Dei subtiliter nimium et anxie inquirere. Et quod eis tum visum esset, cœptis suis Hosii litteras multum allaturas esse momenti, epistolam tum Hosii aliorumque Occidentalium nomine, Sirmio ad Orientales dederant; ingentes Ursacio, Valenti et Germinio agentes gratias : et quod Occidentales recte tandem sentirent, ejus beneficii causam illis ascribentes. Sed enim Eudoxio ita res novante, multi Antiochia qui rectum dogma defendebant, et ei adversabantur, ab illo pulsi, Georgium Laodicensem adiere, eique quæ Antiochiæ agerentur exposuere. Atque ab eo litteris acceptis armati Ancyram Galatiæ sunt profecti. Basilius enim, qui ibi post Marcellum episcopatum gerebat : plures ex vicinis episcopis ad se dedicandæ quam recens construxerat ecclesiæ gratia convocaverat. **767** ibi illi per querelam re omni exposita, litteras reddidere, hisce verbis conscriptas : « Reverendissimis dominis, Macedonio, Basilio, Cecropio, Eugenio, Georgius in Domino salutem. Aetii naufragium pene omnem occupavit Antiochiam. Quos enim vos ignominia notastis, exsecrandi Arii discipulos, eos omnes Eudoxius receptos in clericorum ordinem cooptat, et Aetium hæreticum maximo honore prosequitur. Tantam igitur civitatem occupate, ne in illius naufragium orbis totus pertrahatur. Et concilio eorum coacto, quicunque adesse possunt, ab reliquis episcopis subscriptione decretorum vestrorum accepta, postulate, ut cum Aetium Eudoxius ex Antiochena ecclesia ejiciat, tum sectatores ejus ex sacro clericorum albo tollat. Aut certe si perrexerit cum Aetio dissimilem dicere, atque eos qui hoc dicere audent, illis qui id non faciunt, honore præferre, sicuti modo dixi, Antiochia vobis perierit. » Hæc Georgius. At qui Ancyræ congregati erant, cum compertum haberent, eo quod sibi ipsi Antiochenæ sedis dignitatem arrogasset, Eudoxium res novas inceptare, imperatori statim rem eam significarunt, eumdemque obsecrarunt, ut ope sua interposita videret, ne ea quæ Sardicæ, Sirmii, et in aliis conventibus constituta essent, convellerentur : in quibus omnibus Filium Patri substantia similem esse decretum sit. Legationem etiam ad imperatorem misere,

A Καισαρείας, Εὐσεβίου διάδοχος, Οὐράνιός τε ὁ Τύρου, ὃς μετὰ τοῦ ὁμοιοουσίου καὶ τὸ ὁμοούσιον ἐξετρέπετο προφάσει τῶν κατὰ δύσιν ἐπισκόπων, οἳ ἐν Σιρμίῳ ταυτὰ ἐψηφίσαντο. Ὁ γὰρ θεσπέσιος Ὅσιος σύναμά τισι τῶν ἐκεῖ συνειλεγμένων, διὰ τὴν πρὸς Οὐάλεντα καὶ Οὐρσάκιον καὶ Γερμάνιον φιλονεικίαν βιασθέντες πλεῖστα, ὡς εἴρηται, ἐνέδωκαν μήτε ὁμοούσιον, μήτε ὁμοιούσιον λέγειν τὸν Υἱόν· ἅτε δὴ τῶν ὀνομάτων μὴ ταῖς θείαις οὕτω ῥητῶς ἐμφερομένων Γραφαῖς· ἄλλως τε δὲ καὶ τὸν ἀνθρώπινον νοῦν ὑπερβαῖνον εἶναι οὐσίαν Θεοῦ πολυπραγμονεῖν. Ὡς δόξασιν οὖν τι κατορθῶσαι τὰ Ὁσίου γράμματα, ἐπιστολὴν πρὸς αὐτοὺς ἔπεμπον, πολλὴν χάριν τούτοις ὁμολογοῦντες, καὶ τοῦ ὀρθῶς φρονεῖν τοὺς ἐν ἑσπέρᾳ τὴν αἰτίαν ἐκείνοις προσγράφοντες. B Οὕτω δὲ τῷ Εὐδοξίῳ νεωτερίζοντι πολλοὶ τῶν ἐν Ἀντιοχείᾳ τοῦ ὀρθοῦ ὑπεριστάμενοι δόγματος παρ' ἐκείνου ἐλαύνονται· οἳ δὴ καὶ Γεωργίῳ τῷ Λαοδικείας προσιόντες, κατέλεγον τὰ γινόμενα. Οὗ γράμμασιν ὡπλισθέντες, εἰς Ἄγκυραν τῆς Γαλατίας ἔρχονται. Βασίλειος γὰρ ὁ τῆς ἐκεῖσε Ἐκκλησίας μετὰ Μάρκελλον τὴν ἐπιτροπὴν ἐσχηκὼς, πολλοὺς τῶν περιοίκων ἐπισκόπων ἐκάλει ἐπὶ καθιερώσει τῆς ἐκκλησίας ἣν ἐκ νέου ἐδείματο· καὶ τὰ γενόμενα ἐκτραγῳδοῦντες, τὴν ἐπιστολὴν ἐνεχείριζον, τάδε κατὰ ῥῆμα διεξιοῦσαν· « Κυρίοις τιμιωτάτοις, Μακεδονίῳ, Βασιλείῳ Κεκροπίῳ, Εὐγενίῳ, Γεώργιος ἐν Κυρίῳ χαίρειν. Τὸ Ἀετίου ναυάγιον σχεδόν που πᾶσαν κατείληφε τὴν Ἀντιόχειαν. Τοὺς γὰρ παρ' ὑμῖν ἀτιμαζομένους μαθητὰς τοῦ δυσωνύμου C Ἀρείου πάντας καταλαβὼν Εὐδόξιος, εἰς κληρικοὺς προβάλλεται, ἐν τοῖς μάλιστα τετιμημένοις ἔχων τὸν αἱρετικὸν Ἀέτιον. Καταλάβετε οὖν τὴν τηλικαύτην πόλιν, μὴ τῷ ναυαγίῳ αὐτοῦ καὶ ἡ οἰκουμένη παρασυρῇ· καὶ εἰς ταυτὸν γενόμενοι ὅσους καὶ γενέσθαι ἐγχωρεῖ, παρὰ τῶν ἄλλων ἐπισκόπων ὑπογραφὰς ἀπαιτήσατε· ἵνα καὶ Ἀέτιον ἐκβάλῃ τῆς Ἀντιοχέων ἐκκλησίας Εὐδόξιος, καὶ τοὺς αὐτοῦ μαθητὰς ὄντας, προχειρισθέντας εἰς κανόνας, ἐκκόψῃ· ἢ ἐὰν ἐπιμείνῃ μετὰ Ἀετίου ἀνόμοιον καλῶν, καὶ τοὺς τοῦτο τολμῶντας λέγειν τῶν μὴ λεγόντων προτιμῶν, οἴχεται ὑμῖν, ὡς φθάσας τέως ἔφην, ἡ Ἀντιοχέων. » Τοιαῦτα μὲν ὁ Γεώργιος· οἱ δ' ἐν Ἀγκύρᾳ, ἐπεὶ ἔκδηλον, ἐξ ὧν ἐν Ἀντιοχείᾳ ἐψηφίζετο ἑαυτὸν, ἐποίει νεωτερίζων Εὐδόξιος, D γνωρίζουσιν εὐθὺς βασιλεῖ, καὶ ἐδέοντο βοηθεῖν προνοούμενον, ὡς ἂν τά τε ἐν Σαρδικῇ καὶ Σιρμίῳ καὶ ταῖς λοιπαῖς ἐψηφισμένα συνόδοις κρατῇ· αἷς ἅπασιν ἐδόκει ὅμοιος εἶναι κατ' οὐσίαν ὁ Υἱὸς τῷ Πατρί. Καὶ πρέσβεις ἐστέλλοντο βασιλεῖ, αὐτός τε ὁ Ἀγκύρας Βασίλειος, ὁ Σεβαστείας Εὐστάθιος, καὶ Ἐλεύσιος ὁ Κυζίκου, καί τις πρεσβύτερος ἐκ θαλαμηπόλων βασιλικῶν Λεόντιος. Ὡς δὲ ἧκον, Ἀσφάλιον πρεσβύτερον κατελάμβανον, ἐν τοῖς μάλιστα τῶν Ἀετίου σπουδαστῶν ὄντα, καὶ ὅσον ἦν πρὸς βουλῆς διανύσαντα, μέλλοντά τε ἤδη σὺν βασιλικοῖς γράμμασιν ἀπιέναι. Ὡς δ' ἔγνω βασιλεὺς τὰ δι' ὧν οἱ ἐξ Ἀγκύρας πρέσβεις ἦλθον, τὴν μὲν ἐπιστολὴν ανελάμβανεν, ἣν Ἀσφάλιος ἔχων ἀπιέναι ἔμελλε· γρά-

φων δὲ τοὺς ἀμφὶ Εὐδόξιον κατεδίκαζε· καὶ γράμματα πέμπων, ἔλεγε τοιάδε· « Εὐδόξιος οὐ παρ' ἡμῶν ἧκε· μηδεὶς οὕτως οἰέσθω. Πόῤῥω τοῦ προστίθεσθαι τοῖς τοιούτοις ἐσμέν. Εἰ δὲ μετὰ τῶν ἄλλων καὶ τοῦτο σοφίζονται, εὔδηλοι δήπουθέν εἰσιν εἰς τὸ Κρεῖττον κομψευόμενοι. Τίνων γὰρ ἂν ἑκόντες ἀπόσχοιντο οἱ δυναστειῶν ἕνεκεν τὰς πόλεις ἐπιόντες, ἀπ' ἄλλης εἰς ἄλλην μεταπηδῶντες, ὥσπερ τινὲς μετανάσται πάντα μυχὸν πολυπραγμονοῦντες ἐπιθυμίᾳ τοῦ πλείονος; Εἶναι δὲ λόγος περὶ αὐτοὺς ἀγύρτας τινὰς καὶ σοφιστὰς, οὓς οὐδὲ ὀνομάζειν θέμις· ἐργαστήριον πονηρὸν τὸ δυσσεβέστατον. Πάντως που καὶ αὐτοὶ συνίετε τὸ σύστημα. Πάντως ἐκ τῶν λόγων τὸν αἴτιον γνωρίζετε, καὶ τοὺς περὶ αἵρεσιν ταύτην ἐσχολακότας· οἷς ἓν μόνον τοῦτο ἔργον ἐστὶ, τὸ διαφθείρειν τὰ πλήθη. Ἀλλ' οἱ κομψοὶ καὶ πρὸς πάντα εὔτολμοι ἤδη τι τοιοῦτον πρός τινας ἐνεανιεύσαντο· ὅτι χαίροιμεν τῇ χειροτονίᾳ, ἣν ἑαυτοὺς ἐχειροτόνησαν. Ταῦτα παρ' ἐκείνων μὲν ᾄδεται τῶν τὰ τοιαῦτα θρυλλεῖν εἰδότων. Ἔστι δ' οὐδ' ὅλως· πόῤῥω οὐδ' ἐγγύς. Καί μοι τῶν πρώτων ἀναμνήσθητε λόγων ὅτε περὶ πίστεως ἐσκοποῦμεν· ἐν οἷς ὁ Σωτὴρ ἡμῶν ἀπεδείκνυτο Υἱὸς τοῦ Θεοῦ καὶ κατ' οὐσίαν ὅμοιος τῷ Πατρί. Ἀλλ' οἱ γενναῖοι καὶ περὶ τοῦ κρείττονος λέγοντες εὐχερῶς τὰ παριστάμενα ἐς τοσοῦτον προῆλθον ἀθεΐας, ὥστε καὶ ἄλλα τινὰ παρὰ τὰ ὄντα νομίζειν, καὶ τοὺς ἄλλους πειρᾶσθαι διδάσκειν. Οἷς ὅτι μὲν εἰς κεφαλὴν τρέψεται, πάνυ πεπιστεύκαμεν· ἀρκέσει δὲ τέως εἴργεσθαι συνόδων αὐτοὺς καὶ συλλόγου κοινοῦ. Καὶ γὰρ δὴ εἰπεῖν προαχθείην ἐν τῷ παρόντι ὅσα μικρὸν ὕστερον ἐκεῖνοι πείσονται, ἂν μὴ τῆς λύσσης ταύτης ἀπόσχοιντο. Οἱ δὲ (καὶ τί γὰρ οὐκ ἐπεισάγουσι τῷ κακῷ;) τοὺς πονηροτάτους ὥσπερ ἐξ ἐντολῆς ἀγείροντες, τούτους δὴ τοὺς τῶν αἱρέσεων ἀρχηγοὺς, εἰς τὸν κλῆρον καταλέγουσι σχῆμα σεμνὸν οὕτω κιβδηλεύοντες, ὥσπερ ἐξὸν αὐτοὺς ἄγειν καὶ φέρειν ἅπαντας. Καί τοι τίς ἂν εἰς ζῶντας τελῶν, τούτων ἀνάσχοιτο, οἳ τὰς μὲν πόλεις τοῦ δυσσεβεῖν ἐμπιπλῶσι, τὴν δὲ ὑπερορίαν μιάσμασιν ἀποκρύπτουσιν; ἓν τοῦτο μόνον ἔργον ἀγαπῶντες, τὸ τοῖς καλοῖς ἀπεχθάνεσθαι διηνεκῶς; Ἐῤῥέτω πανοῦργόν τι σύστημα θειοτέροις θώκοις ἐνιδρύσαι. Νῦν ὥρα τοὺς τῆς ἀληθείας τροφίμους εἰς φῶς ἥκειν, καὶ μέσους ὅσοι τῶν ἠθῶν ἐκφυγόντες, φόδῳ κατείχοντο πάλαι. Τὰ γὰρ δὴ σοφὰ τούτων ἐξήλεγκται· καὶ μηχανῆς οὐδεὶς ἔσται τρόπος κενὸς, ὃς ἐξαιρήσεται τούτους τοῦ δυσσεβεῖν. Ἀνδρῶν ἀγαθῶν ἔργον τῇ πίστει τῶν πρώην συζῆν, καὶ ταύτην ἐπαύξειν, ὡς εἴρηται· περαιτέρω δὲ μὴ πολυπραγμονεῖν. Παραινέσαιμι δ' ἂν, καὶ τοὺς ἐκ βαράθρου ὀψέ ποτε μεταθεμένους θέσθαι ταύτῃ τῇ ψήφῳ· ἣν οἱ τὰ θεῖα σοφοὶ ἐπὶ τοῦ κρείττονος ἐψηφίσαντο, δεόντως ἐπίσκοποι. Ἐκ τοιούτων τρόπων παραβραχὺ ἐν κινδύνῳ ἦν τὴν τῶν ἀνομοίων κρατῆσαι δόξαν, εἰ μὴ βασιλεὺς τῶν ἐπισκόπων σπουδῇ καθίστατο ἐμποδών.

A ipsum Basilium Ancyranum, Eustathium Sebastiensem, Eleusium Cyzicenum, et Leontium ex imperialibus cubiculariis presbyterum. Hi ubi ad Constantium venere, presbyterum quemdam Antiochenum Asphalium, qui, Aetii studiosus maxime, quascunque voluisset res ex sententia confecerat, compererunt jamjam cum litteris imperatoriis abiturum esse. Imperator autem Ancyranorum oratorum postulatis cognitis, epistolam quam Asphalius profecturus secum laturus fuerat, retractavit, alioque scripto Eudoxium condemnavit. Cujus scripti hæc fuere verba : « Victor Constantius Maximus Augustus, sanctæ Ecclesiæ Antiochenæ. Eudoxius non a nobis ad vos missus venit : ne quis hoc putet. Longe alia nobis mens est, quam B ut ejusmodi hominibus faveamus. Quod si cum alia, tum hoc sic astute mentiuntur, satis manifestum est eos in Deum arrogantes et versutos esse. **768** A quibus enim rebus illi se libenter abstineant qui potentiam aucupantes, urbes ingressi, ex una in aliam transiliunt : et perinde atque transfugæ quidam solum subinde mutantes, angulos omnes rerum ampliorum cupiditate curiose perscrutantur. circulatores meri et fraudatores, quos ne nominare quidem fas sit? Officinæ pravæ et impiæ prorsus factionem eos esse, vos quoque intelligitis. Et satis ex verbis suis auctorem ipsum, sectatoresque hæresis hujus cognoscitis. Quorum hoc unum est studium, ut populum C depravent. At versuti isti, et ad omnem audaciam prompti, temere jam apud quosdam vulgare non dubitarunt, nos electione quam sibi ipsis subornarunt, lætari. Quæ quidem ita ab eis dicuntur, qui talia in vulgus efferre consueverunt, prorsus vero facta non sunt. Atque ipsi mihi in animum revocate doctrinam illam primam, cum de fidei sententia deliberantes inquisivimus, in qua Salvator noster et Filius Dei substantia Patri similis declaratus est. Verum boni isti viri, qui facile quæcunque eis in mentem venere, de Deo dicunt, eo processere impietatis, ut etiam alia quædam quam res ferat arbitrentur, aliosque ea docere contendant. Atque ea in capita ipsorum redundatura esse valde persuasum habemus. Sed nunc D satis erit, a synodis eos et conventibus arcere. Nam fere eo productus scribendo fueram, ut in præsentia dicerem, quæ illi brevi passuri sunt, nisi a rabie ista discesserint. Isti vero (quid enim est, quod non aggrediantur ut malum augeant?) improbissimos quosque perinde atque mandatum haberent, aggregantes : hos, inquam, hæresium antesignanos in cleri album referunt, ordinem venerandum tam turpiter dehonestantes, non aliter atque eis concessum sit agere et ferre omnia. Enimvero quis mortalium omnium istos perferat? qui urbes quidem impietate implent, exsilium autem piaculis obtegunt, unum illud studio habentes, ut omnibus bonis perpetuo sint infesti? Facessat importuna factio, et sanctis insidere thronis desinat. Nunc tempus est, ut veritatis alumni in lucem prodeant, quique medii tales

hominum mores fugientes dudum metu sese continuere. Istorum namque sapienter instituta consilia in medium producta jam apparent : nec ulla nova machinationis ratio excogitari potest, quæ illos ab impietate queat eximere. Bonorum virorum fuerit, majorum fide vivere, eamque unam, ut dictum est, adaugere, neque ulterius quidquam anxie nimis et curiose investigare. **769** Quin et illos admonuerim, ut aliquando tandem ex barathro prorumpentes, animis mutatis, ad sententiam istam accedant, quam divina præditi sapientia de Deo rite atque ordine episcopi tulere. Tantum scilicet parvo momento periculum fuit, ut dissimilium obtineret, nisi imperator ipse episcoporum opera et diligentia intercessisset.

CAPUT XXXVII.

De rebus in Sirmio actis : et ut Liberius Romam reversus, cum Felice successore suo episcopatum administrarit, donec paulo post e vivis Felix excessit.

Brevi deinde cum Roma in Sirmium Constantius rediisset, Occidentalibus episcopis precantibus, Liberius ex Berrœa reductus est. Atque ibi in præsentia eorum quos diximus, aliorumque plurimorum Orientalium episcoporum, imperator suadere Liberio, ut Filium non esse Patri consubstantialem opinaretur, tentavit. Egit id quoque Basilius, et qui cum eo erant : eamque rem illi imperatori, apud quem in magno erant pretio, suggessere. Et afferentes, quæ vel de Paulo Samosateno, vel de Photino apud Sirmium constituta fuerant omnia, et præterea formulam fidei Antiochiæ in Encæniis sive ecclesiæ consecratione, ob ὁμοουσίου, consubstantialis, causam editam allegantes, veluti contenderent quidam hæresim propriam per prætextum et occasionem consubstantialis instituere, in sententiam suam adducere studuere Liberium, et Athanasium, et Alexandrum, et Severianum, et Crescentem, Africanos episcopos. Non minus id quoque conabantur Ursacius et Valens Mursorum, et Germinius Sirmiensis episcopus, et qui præterea ex Oriente ibi aderant. Liberius autem aliam quoque seorsim fidei conscripsit professionem, quæ omnes ab ecclesiæ communione arcebat, qui Filium Patri non secundum substantiam et per omnia similem dicerent. Id propterea fecit, quod Eudoxius, et qui factionis ejus fuere, non ita pridem Antiochiæ propter Aetii hæresim congregati, cum Hosii epistolam in manibus haberent, plurimum verborum fecerant, quibus Liberium per calumniam traduxerant : perinde atque τὸ ὁμοούσιον, consubstantiale, repudiasset, et Patri Filium omnino dissimilem dixisset. Occidentales legati rebus ita bene gestis, assumpto secum Liberio, Romam reverterunt, litteras ab episcopis Sirmii congregatis ad Felicem Romanæ tum Ecclesiæ præfectum, **770** et ad clerum populumque Ecclesiæ ejusdem afferentes : quibus, ut pastorem suum libenter susciperent, admonebantur. Ambobus porro et Felici et Liberio permissum est communiter sacra curare, et ut ambo pariter sedem apostolicam administrarent, communiter consensu sacra curarent, atque tum casum acerbum qui in ordinatione Felicis accidisset, tum exsilium Liberii oblivione

ΚΕΦΑΛ. ΚΖʹ.

Περὶ τῶν ἐν Σιρμίῳ γενομένων· καὶ ὡς Λιβέριος πάλιν εἰς τὴν Ῥώμην ἐπανῆλθε, καὶ σὺν Φήλικι τῷ μετ' αὐτὸν διεῖπε τὸν θρόνον, ἕως οὗ μετὰ βραχὺ ἐτελεύτα Φῆλιξ.

A Οὐκ εἰς μακρὰν δ' ἐκ Ῥώμης εἰς Σίρμιον Κωνσταντίου γεγονότος, τῶν ἑσπερίων ἱερέων διαπρεσβευσαμένων, Λιβέριος ἐκ Βεῤῥοίας ἀνάγεται· καὶ δὴ τῶν εἰρημένων ἐκ τῆς Ἕω ἐπισκόπων καὶ ἄλλων συμπαρόντων πλείστων, βίαν ἐπῆγεν αὐτῷ βασιλεὺς, μὴ εἶναι ὁμοούσιον δοξάζειν τὸν Υἱὸν τῷ Πατρί. Ἐνέκειντο δὲ καὶ οἱ ἀμφὶ Βασίλειον, καὶ τὸν κρατοῦντα ἐπὶ τοῦτο ἠρέθιζον, διὰ πλείστης παρ' αὐτῷ τιμῆς ἀγόμενοι· οἳ δὴ πάντα συνηθροικότες ὅσα τε ἐπὶ Παύλῳ τῷ ἐκ Σαμοσάτων, καὶ B Φωτεινῷ τῷ ἐκ Σιρμίου· ἔτι δὲ καὶ τὴν ἐν Ἀντιοχείᾳ ἐκτεθεῖσαν πίστιν ἐν τοῖς ἐγκαινίοις τῆς ἐκκλησίας ἐπὶ προφάσει τοῦ ὁμοουσίου· ὡς ἐπιχειρούντων τινῶν ἰδίᾳ συνιστᾷν τὴν αἵρεσιν, παρασκευάζουσι συναινέσαι Λιβέριον, Ἀθανάσιόν τε καὶ Ἀλέξανδρον, καὶ Σεβηριανὸν καὶ Κρήσκεντα, τοὺς ἐν Ἀφρικῇ τὸ ἱερᾶσθαι λαχόντας. Ἐπίσης δὲ αὐτοῖς ἔπραττον Οὐρσάκιός τε καὶ Οὐάλης ὁ Μουρσῶν, καὶ Γερμήνιος ὁ Σιρμίου, καὶ ὅσοι ἐξ Ἕω ἐπιδημοῦντες ἦσαν. Λιβέριος δὲ καὶ ἄλλην μερικὴν ἐποίει ὁμολογίαν· ᾗ δὴ ἀπεκήρυττεν, ὅσοι μὴ κατ' οὐσίαν καὶ κατὰ πάντα ὅμοιον τῷ Πατρὶ τὸν Υἱὸν εἶναι ἔλεγον. Τοῦτο δ' ἐποίει, ἐπεὶ Εὐδόξιός τε καὶ οἱ σὺν αὐτῷ πρὸ βραχέος ἐν Ἀντιοχείᾳ συνελθόντες C ὑπὲρ τῆς Ἀετίου αἱρέσεως, ἡνίκα τὴν τοῦ Ὁσίου ἐπιστολὴν ἔσχον εἰς χεῖρας, λόγον οὐκ ἐλάχιστον ἐποιοῦντο, διαβάλλοντες, ὡς εἴη καὶ Λιβέριος τὸ ὁμοούσιον ἀποδοκιμάσας, καὶ τῷ Πατρὶ τὸν Υἱὸν ἀνόμοιον ὡς ἐπίπαν δοξάζων. Καὶ οἱ μὲν ἐκ Ῥώμης πρέσβεις τοιαῦτα κατωρθωκότες, τὸν Λιβέριον μεθ' ἑαυτῶν λαβόντες, ἐπανῆλθον εἰς Ῥώμην, γράμματα τῶν ἐν Σιρμίῳ ἐπαγόμενοι ἀσμένως τὸν οἰκεῖον ποιμένα προσδέξασθαι, ἃ πρός τε Φήλικα τὸν τηνικάδε ἡγούμενον τῆς Ῥωμαίων Ἐκκλησίας, καὶ πρὸς τὸν ἐκεῖσε κλῆρόν τε καὶ λαὸν ἐπεστέλλοντο. Παρεχώρουν τε καὶ ἄμφω Φήλικα καὶ Λιβέριον, κοινῇ τε ἱερᾶσθαι, καὶ τὸν ἀποστολικὸν θρόνον ἐπιτροπεύειν, ὁμοφρονεῖν τε καὶ ἀμνηστίαν ἔχειν τῶν ἐπισυμβάντων τῷ μέσῳ ἀνιαρῶν. Ἀγαθὸν D γὰρ ἐν τοῖς μάλιστα ὄντα Λιβέριον, καὶ στεῤῥῶς τῷ βασιλεῖ ἀντικαταστάντα ὑπὲρ τῶν ὀρθῶν τῆς Ἐκκλησίας δογμάτων, διὰ πολλῆς ἦγε στοργῆς καὶ φιλοφροσύνης ὁ τῆς Ῥώμης λαὸς, ὡς τῇ ἐκβολῇ αὐτοῦ καὶ μέχρι φόνων τὴν ὑπὲρ αὐτοῦ στάσιν χωρῆσαι. Ἀλλὰ μετὰ βραχὺ Φῆλιξ μὲν ἀπεβίω·

μόνος δὲ Λιβέριος τὰ τῆς ἱερωσύνης διεῖπε κρεῖτ- A τόν τι προβλεψαμένου Θεοῦ, καὶ ὡς χρεὼν τὰ τῆς Ἐκκλησίας προμηθουμένου, ἵνα μὴ ὁ πρῶτος τῶν ἀποστόλων θρόνος τὸ ἄδοξόν τε καὶ ἀπρεπὲς ἐπισύροιτο, δυσὶν ἡγεμόσιν οἰακιζόμενος· ὃ νόμοις Ἐκκλησίας πάντη ἀλλότριον, καὶ διχονοίας ὡς τὰ πολλὰ καθίσταται πρόξενον.

delerent. Quod namque in aliis rebus admodum bonus vir esset Liberius, quodque pro recta Ecclesiæ doctrina imperatori constanter restitisset, multa pietate et benignitate populus Romanus in eum fuit, usque adeo certe, ut in ejus ejectione per seditionem ejus causa motam res ad cædem processerit. Sed paulo post Felix mortuus est, et solus Liberius episcopatum administravit. Quod sic Deus recte providit, Ecclesiæ rebus consulens, ne primaria apostolorum sedes fœdam illam et incommodam a duobus gubernata ducibus contraheret notam : quæ res ab Ecclesiæ constitutionibus perquam est aliena, discordiamque ut plurimum conciliare solet.

ΚΕΦΑΛ. ΛΗ'.

Ὡς τὴν μελετωμένην ἐν Νικομηδείᾳ διὰ Εὐδόξιον καὶ Ἀέτιον σύνοδον σεισμὸς ἐπιγενόμενος διαλύει· καὶ δεῖν ἐδόκει ἐν ταυτῷ εἰς τὴν ἕω καὶ ἑσπέραν διαιρεθῆναι τὴν σύνοδον. B

Ταῦτα μὲν ἐν Σιρμίῳ ἐγένετο, καὶ ἔδοξεν ἥ τε ἕως καὶ ἑσπέρα ὁμοφρονεῖν· τὸ δ' ἄλλως εἶχεν. Ὁ γὰρ ἐκ βασιλέως φόβος ταῦτ' ἔπραττε. Περὶ μέντοι τῆς Ἀετίου καὶ Εὐδοξίου νεωτεροποιίας ἐν Ἀντιοχείᾳ ἐδόκει τῷ βασιλεῖ σύνοδον κατὰ Νίκαιαν πάλιν ἀθροίζειν. Τῶν δὲ περὶ τὸν Ἀγκύρας Βασίλειον ἀπολεγόντων διὰ τὸ πρώτως ἐκεῖσε γενέσθαι τὴν τῆς πίστεως ἔρευναν, ἐν Νικομηδείᾳ μᾶλλον δεῖν ἐκρίνετο γενέσθαι. Καὶ δὴ ἀνὰ τὸ πᾶν ἔθνος οἱ ἐπίσκοποι καὶ νοεῖν καὶ λέγειν ὄντες δεινοὶ ἐκεῖ συνελέγοντο. Ἐν τούτῳ δὲ σεισμὸς μέγας ἐνσκήψας τήν τε πόλιν καὶ τὸν νεωστὶ ἐγερθέντα οἶκον ἐκ βάθρων κατέσεισε καὶ κατήρειψε· καὶ πολλοὺς C ὅπη ἔτυχεν ἕκαστον, ἢ ἔσωσεν ἢ διέφθειρε· Κεκροπίου τοῦ Νικομηδείας καὶ ἄλλου δή τινος ἐπισκόπου ἀκαριαίᾳ ῥοπῇ διαφυγόντος τὸν κίνδυνον. Ὃ ἁπανταχοῦ τῇ φήμῃ δοθὲν, τὴν τῶν ἐπισκόπων ἄφιξιν ἀνεχαίτισε· καὶ γὰρ καὶ Νίκαιαν, καὶ τὴν Κωνσταντίνου, καὶ Πείρινθον, καὶ ἄλλας Θρᾳκῴας πόλεις διαφθαρῆναι ἡ φήμη κατήγγελλεν. Ἐλέγετο δὲ, Ἀρσάκιόν τινα ὁμολογητὴν ἐπὶ Λικινίου γενόμενον, ὃς ἀπὸ θηροκόμου στρατιώτης ὢν, τηνικάδε ἐν τῇ ἄκρᾳ Νικομηδείας ἐφιλοσόφει, ὄψιν θείαν τούτῳ ἀπαγγεῖλαι τὰ γενησόμενα· τὸν δὲ κατιόντα καὶ τοῖς ἐν κλήροις καὶ λαοῖς κατειπόντα, μὴ πεῖσαι. Γελοῖον δέ τινα δόξαι, ἀπροσδόκητα κακὰ προμηνύοντα. Ἀνιόντα δ' αὖθις, πρηνῆ κατὰ γῆς D κεῖσθαι δεόμενον τοῦ Θεοῦ. Ἔνθα κατὰ σχῆμα εὐχῆς μετὰ τὴν ἐπιφορὰν τοῦ κακοῦ, ἐν ἀσείστῳ πύργῳ νεκρὸς ὁ μάρτυς εὑρέθη, πολλῶν ἀναδραμόντων ἐκεῖσε τῷ τὸν σεισμὸν κατασκῆψαι. Ἐλέγετο δὲ Θεὸν δυσωπεῖν, θανεῖν ἑλόμενος μᾶλλον, ἢ συμφορὰν ταύτην καταθεάσασθαι πόλεως ἐν ᾗ τὸν Χριστὸν ἔγνω, καὶ τῆς ἐκκλησιαστικῆς φιλοσοφίας κατήρξατο. Πολλὰ δὲ αὐτῷ ὑπὲρ ἀνθρωπίνην πεποίητο δύναμιν. Ἱκανὸς δὲ καὶ δαίμονας ἐλαύνειν ἦν, καὶ ἄλλως ὀχλουμένους καθαίρειν καὶ σώφρονας καθιστᾷν. Καὶ δράκοντα δὲ, ὃς ἕτερον γένος ἦν ἑρπετῶν, καὶ φυσήματι μόνῳ τοὺς ὁδίτας διέφθειρεν, ἐπὶ λεωφόρου γὰρ ᾤκει, εὐξάμενος αὐτόματον ἐξεῖλκε τοῦ φωλεοῦ· καὶ ἑκόντα τὴν κεφαλὴν δὶς

CAPUT XXXVIII.

Ut institutam Nicomediæ propter Eudoxium et Aetium synodum motus terræ coortus solverit : et ut tum synodum in Orientem et Occidentem scindi atque dividi placuerit.

Hæc in Sirmio acta. Et pulchre convenire tum Orientalibus cum Occidentalibus est visum. Res vero aliter se habebat. Imperatoris enim metus id faciebat : cui propter Aetii et Eudoxii in urbe Antiochena excitatas res novas rursum Nicææ synodum cogere placuit. Cum autem Basilius Ancyranus contra niteretur, quod primum ibi de fide disquisitum esset, magis convenire, ut id Nicomediæ fieret, est visum. Et ex nationibus jam omnibus, qui vel a prudentia, vel ab eloquentia aliquid valerent, episcopi eo contendebant. Cum terræmotus ingens exortus urbem, et simul templum nuper admodum constructum, ex fundamentis ipsis concussit atque dejecit, multosque pro eo atque hoc vel illo quemque loco deprehendit, vel servavit, vel interemit. Cecropius quidem Nicomediensis, et alius quidam episcopus (1) parvo momento periculum evasere. Quæ res fama ubique vulgata episcoporum adventum prohibuit. Namque illa Nicæam quoque, et Constantinopolim **771** et Perinthum, aliasque Thraciæ civitates tali casu eversas esse promulgaverat. Dictum tum est, Arsacio cuidam, qui sub Licinio confessionem fidei obierat, milesque antea et leonum ferarumque aliarum domitor et custos in imperiali comitatu fuerat, tum autem Nicomediæ in arce pietati studens philosophabatur, cladem eam divina visione revelatam, eamque ab eo, ex arce digresso, clero populoque prædictam esse. Sed tantum abest ut fides ei habita sit, ut derisus etiam fuerit, qui casum tam inexspectatum prædiceret. Illum autem rursum in locum suum conscendisse, supinumque in solo jacentem Deum deprecatum fuisse. Ubi etiam in ipso cladis ejus impetu, turri ipsa immota et stabili permanente, orantis habitu martyr mortuus est repertus a multis, qui eo concurrerant, ut terræmotum ex loco superiore spectarent. Orasse autem eum, precatumque Deum esse ferunt, ut vitam prius finiret, quam eam urbis calamitatem videret, in qua Christum cognovisset, et ecclesiastica philosophia initiatus esset.

(1) Bosporanum hunc antistitem fuisse, Sozom. ait.

Multa is etiam supra vim et captum hominum fecit: dæmones namque ejecit, aliis quoque casibus afflictos homines restituit, et ad saniorem mentem multos reduxit. Et draconem sive alterius reptilium generis venenosam feram viæ publicæ incubantem, et afflatu solo viatores necantem, oratione, ex latibulo ut sponte sua prodiret, et per seipsam caput semel atque iterum terræ illideret, et sic tandem rumperetur, protraxit. Multi sane mortales Nicomediæ (1) ruinis ædificiorum interierunt, multi sibi fuga in solitudinem et agros consuluerunt. Etenim incendii flamma e furnis et balneis officinisque artificum qui ad ignem opus faciunt coorta, et ruderibus decidentium culminum circumclusa, materiaque proxima et sarmentis, ut fieri solet, ei admistis, tabulatisque resinam exsudantibus, et ad concipiendum propagandumque ignem commodis aucta, tanta alimenti copia in partes omnes proserpens, et ad seipsam revertens, veluti unum (ut ita dicam) ardentem rogum urbem ipsam effecerat. Quo incendio, quod ex ædibus transitus non pateret, multi sunt consumpti. Et quoniam Nicomediensis casus episcoporum conventum interturbavit, primum quidem imperatori, ut Nicææ rursum congregarentur, placuit. Basilius autem de eo loco diu multumque deliberavit. Et sic in urbe Nicæna, populo ibi omni terræmotu conturbato, deliberatio hærebat. **772** Porro Marco Arethusio, Georgio Alexandrino, et Basilio Ancyrano, qui tum Sirmii cum imperatore in negotio quisque suo agebant, Tarsus Ciliciæ commoda visa. Ut vero et hæc aliis minus convenire existimata est, tandem ut Seleuciæ in Isauria synodus ageretur, constitutum. Atque hoc sic decreto, quia ibi aderant Valens, Ursacius et Eudoxius, qui potissimum Anomœorum opinioni præibant, effecerunt illi, ut episcopi eo loco congregati formulæ fidei ex tempore compositæ subscriberent. In qua formula substantiæ nomen insertum non erat. Adhæc in animis ipsi secum perpendere, episcopos Seleuciæ coactos partim Nicænam fidem, partim Antiochiæ in templi dedicatione professionem editam complexuros, et per æmulationem ardentius defensuros; utramque vero formulam substantiæ nomen habere, et Filium Patri per omnia similem diserte promulgare. Ac si in locum unum episcopi convenirent, omnino eos Aetii opinionem, quam ipsi laudantes studio omni stabilire conabantur, repudiaturos esse, illis minime dubium fuit. Quid ergo faciunt? Dolum instituunt, ut Occidentales quidem Arimini, Orientales vero Seleuciæ congregarentur, ut eo facilius quod agebant perficeretur. Proclivius namque putabant, paucis quam multis, quod vellent, persuadere. Et Patribus ita segregatis, siquidem possent, utramque etiam synodum, dissidio in utraque instituto, sin minus, alteram saltem in senten

(1) Cf. Sozom. lib. IV, cap. 16.

A τῇ γῇ προσαῤῥάξαι, καὶ οὕτω διαῤῥαγῆναι. Πολλοὶ μὲν οὖν διεφθάρησαν τοῖς ἐρειπίοις· οἱ δὲ εἰς ἐρημίας διέδρασαν. Καὶ φλὸξ γάρ τις ἔκ τινος παρακειμένης ὕλης, ἀπό τε πνιγέων καὶ τῶν βαλανείων, καί τινων περὶ τὰς ἐμπύρους τέχνας πονουμένων, ἐρειπομένων τῶν ὀρόφων περικλεισθεῖσα, ἀναμιγέντων ὡς εἰκὸς φρυγάνων, καὶ ὅσα ἐλαιώδη ἐστὶ, καὶ πρὸς τὸ καίεσθαι ῥᾳδίαν τὴν ἐπίδοσιν ἔχει, ἐξαφθεῖσα τῷ τῆς τροφῆς ἀφθόνῳ, ἕρπουσά τε ἀπανταχοῦ, καὶ συναπτομένη αὖθις πρὸς ἑαυτὴν, μίαν πυρὰν, ὡς εἰπεῖν, τὴν πόλιν ἅπασαν ἐποίει· καὶ πολλοὶ τῷ πυρὶ δαπάνη ἐγένοντο, ἀδιεξόδων τῶν οἴκων γεγενημένων. Οὕτω δὲ τοῦ κατὰ Νικομήδειαν πάθους ἐμποδὼν τοῖς ἐπισκόποις γεγενημένου, πρῶτον μὲν βασιλεῖ ἐδόκει κατὰ Νίκαιαν B πάλιν γενέσθαι τὴν σύνοδον. Καὶ πολλὴ τοῖς ἀμφὶ Βασίλειον περὶ τούτου σκέψις ἐγίνετο. Ἀνεβάλλοντο δ' ἐν Νικαίᾳ, ὑπὸ σεισμῶν τεταραγμένου δῆθεν τοῦ ἔθνους. Καὶ ἐδόκει τοῖς περὶ Ἀρεθούσιον καὶ τὸν Ἀλεξανδρείας Γεώργιον, Βασίλειόν τε τὸν Ἀγκύρας τηνικαῦτα σὺν τῷ βασιλεῖ ἐν Σιρμίῳ διάγουσι περὶ Ταρσὸν τῆς Κιλικίας. Ὡς δὲ καὶ τοῦτο μὴ προσῆκον ἐδόκει, ὡρίζοντο περὶ Σελεύκειαν τῆς Ἰσαυρίας γενέσθαι τὴν σύνοδον. Τούτων οὕτω δοξάντων, ἐπεὶ παρῆσαν ἐκεῖ καὶ οἱ ἀμφὶ Οὐάλεντα καὶ Οὐρσάκιον καὶ Εὐδόξιον, οἳ τῆς τῶν Ἀνομοίων δόξης προΐσταντο μάλιστα, παρασκευάζουσι τοὺς ἐκεῖσε εὑρισκομένους τῶν ἐπισκόπων, εἰς γραφήν τινα πίστεως ἐκ τοῦ σχεδὸν γεγενημένην καθυπογράψαι, ᾗ τὸ τῆς οὐσίας οὐκ ἐνέκειτο ὄνομα. C Πρὸς δὲ τούτοις ἐν νῷ θέμενοι, ὡς οἱ ἀθροιζόμενοι ἐν Σελευκείᾳ ἐπίσκοποι, οἱ μὲν τὴν ἐν Νικαίᾳ πίστιν, οἱ δὲ τὴν ἐν Ἀντιοχείᾳ γεγενημένην ἐπὶ τῇ τοῦ νεὼ καθιερώσει, καὶ στέργουσι καὶ ζηλοῦσι. Καὶ ἄμφω δὲ τὸ τῆς οὐσίας ὄνομα ἔχουσι· καὶ κατὰ πάντα ὅμοιον διαῤῥήδην κηρύττουσι τὸν Υἱὸν τῷ Πατρί. Εἴ γε τοίνυν εἰς ἓν γένοιντο, πάντως τὴν Ἀετίου δόξαν ἀπώσονται· ἣν ἐκεῖνοι ἐπαινοῦντες διὰ σπουδῆς συνιστᾷν ἐπειρῶντο. Τί πράττουσιν; Οἰκονομοῦσι δόλῳ, τοὺς μὲν ἐκ τῆς ἑσπέρας εἰς Ἀρίμινον συνδραμεῖν, τοὺς δὲ ἐξ Ἕω εἰς τὴν τῆς Ἰσαυρίας Σελεύκειαν· ὡς ἂν εἴη εὐκόλως τὸ μελετώμενον δρᾷν· ῥᾷον γὰρ ᾤοντο τοὺς ὀλίγους πείθειν ἢ πάντας. Καὶ εἰ μὲν δυνηθεῖεν καὶ ἑκα- D τέραν σύνοδον σύμψηφον σχεῖν, μερισθέντες ἐν ἀμφοτέραις· εἴ δ' οὖν, θατέραν, ἵνα μὴ ταῖς ἁπάντων ψήφοις ἡ αὐτῶν αἵρεσις ἀποκηρυχθείη. Ἔπραττον δὲ ταῦτα διὰ τοῦ εὐνούχου Εὐσεβίου τηνικαῦτα τῆς βασιλικῆς οἰκίας προεστηκότος· οὗτος γὰρ σύμπνους ὢν τὰ μάλιστα καὶ ὁμόφρων τῷ Εὐδοξίῳ. Καὶ ἄλλοι τινὲς τῶν ἐν τέλει κεχαρισμένοι τὸ πρὸς βουλῆς ἅπαν ἤνυον. Οἷς πεισθεὶς ὁ Κωνστάντιος, ὡς ἀλυσιτελές τε τῷ δημοσίῳ διὰ τὴν πολλὴν δαπάνην, καὶ αὐτοῖς τοῖς ἱερεῦσι, διὰ τὸ τῆς ὁδοιπορίας μακρὸν, εἰς ἓν ἅπαντας συνελθεῖν, διεῖλεν εἰς δύο τὴν σύνοδον, καὶ προσέταττεν ἐν Ἀριμίνῳ καὶ Σελευκείᾳ γενέσθαι τὴν σύναξιν. Καὶ γράφων

ἔλεγε, πρῶτον μὲν τὰ περὶ τῆς πίστεως ἀμφισβητούμενα διαλύειν· ἐς ὕστερον δὲ σκέψασθαι καὶ περὶ ὧν ἄλλων κατὰ θεσμοὺς Ἐκκλησίας δεῖ· ἔτι δὲ καὶ περὶ τῶν ἀδίκως καθαιρεθῆναι δοκούντων, καὶ ὑπερορίαις κατακριθέντων, ὧν εἷς ἐτύγχανεν ὢν καὶ Κύριλλος ὁ Ἱεροσολύμων ἐπίσκοπος· ἔτι δ' ἐρευνῆσαι καὶ τοὺς νῦν ὑπὸ ἔγκλημα ποιουμένους ἐπισκόπους. Πολλῶν γὰρ κατηγορίαι ἐλέγοντο, καὶ δὴ καὶ Γεωργίου παρ' Αἰγυπτίων, ὡς εἴη ἁρπαγαῖς χαίρων τῶν ἀλλοτρίων, καί τινων ὕβρεων. Ὕστερον δὲ δέκα ἑκατέρωθεν ἐπιλεγέντας, τὰ πεπραγμένα βασιλεῖ καθιστᾷν δῆλα.

A tiam suam se pertracturos esse confidebant, illo proviso, ut ne calculis omnium hæresis eorum damnaretur. Hæc agebant per eunuchum Eusebium, imperatoriæ tum aulæ præfectum, Eudoxio quam maxime assentientem, et alios quosdam, qui magistratus et honores gerentes, et gratia pollentes, ex sententia omnia perficiebant. A quibus persuasus Constantius, perinde atque incommodum simul et reipublicæ propter graves impensas, et ipsis episcopis propter itineris magnitudinem esset, si in eodem loco convenirent, synodum divisit, eamque Arimini et Seleuciæ celebrare jussit. Atque in litteris suis constituit, ut primum controversia de fidei professione decideretur, deinde de aliis ecclesiasticis sanctionibus deliberatio fieret. Tum autem de eis qui per injuriam exauctorati et in exsilium acti visi essent, **773** in quibus etiam Cyrillus Hierosolymorum episcopus fuit, consultaretur: postea de eis quoque episcopis, qui rei agerentur, inquireretur. Permulti enim accusabantur, et ab Ægyptiis maxime Georgius: quod scilicet alienorum bonorum rapinis gauderet, et contumeliosis quibusdam hominibus delectaretur. Postremo, ut per decem delectos legatos se de actis suis certiorem facerent.

ΚΕΦΑΛ. ΛΘ'.

B

Περὶ τῆς ἐν Ἀριμήνῳ συνόδου, ἐν ᾗ οἱ ἐν ἑσπέρᾳ ἀσύμφωνοι τοῖς ἑῴοις ἐγένοντο.

Καὶ οἱ μὲν ἐπίσκοποι συνελέγοντο καθὰ δὴ καὶ ἐθέσπιζε βασιλεύς· προὐλάμβανε δὲ καὶ συνίστατο ἡ ἐν Ἀριμίνῳ· τὸ δὲ πλήρωμα τούτων ἦσαν τετρακόσιοι καὶ μικρόν τι πρός. Δεῖν δ' ἐδόκει τοῖς βαρέως πρὸς Ἀθανάσιον ἔχουσι μηδέν τι περὶ τούτου κινεῖν· οὕτω γὰρ ἄμεινον ἐδοκίμαζον. Ἐπεὶ δὲ καὶ ζήτησις εἰσήγετο περὶ πίστεως ὃν χρὴ πιστεύειν τρόπον, Οὐάλης ἐνταῦθα καὶ Οὐρσάκιος, οἳ κατ' ἀρχὰς μὲν ὑπασπισταὶ τῆς Ἀρείου δόξης ἐγένοντο, ἐν μέσῳ δὲ τῷ ὁμοουσίῳ συνέθεντο, βιβλίον τῷ ἐπισκόπῳ Ῥώμης Ἰουλίῳ ἐπιδεδωκότες, ὥσπερ εἰρήκαμεν, ἀεὶ τοῖς καιροῖς καὶ τοῖς κρατοῦσιν ὑποκλινόμενοι, οὗτοι δεῖν ἔλεγον ἄλλων ἄλλα εἰπόντων, οἷα φιλεῖ, ἀργὰς νομίζειν τὰς περὶ πίστεως προτέρας γραφάς· μόνην δ' ἐκείνην κρατεῖν, ἣν οὐ πρὸ πολλοῦ ἐν Σιρμίῳ Ῥωμαίων γλώττῃ συνέθεντο, ἣν δῆτα καὶ βασιλεὺς διὰ τιμῆς ἄγει· χρεὼν δ' εἶναι καὶ ὑμᾶς νῦν προσίεσθαι καὶ παραιτέρω μηδὲν πολυπραγμονεῖν· ἵν' ἐντεῦθεν καὶ διχόνοια πᾶσα περιαιρεθείη, μὴ τῶν ὀνομάτων ἀμφιβόλων ὄντων, ἀκριβεῖ βασάνῳ παραδιδομένων. Καὶ γάρ πως κρεῖττον εἶναι ἐτίθεντο, μετὰ τῆς ἀγροικίας ὀρθὴν ἔχειν δόξαν περὶ Θεοῦ, ἢ ξενίζουσι λόγοις ἐξ Ἑλληνικῆς τερθρείας, ἀνεπινοήτους ἐπεισάγειν λέξεις. Ἠνίττοντο δὲ διὰ τούτων, μᾶλλον καὶ προφανῶς διέβαλλον τὴν τοῦ ὁμοουσίου λέξιν, ἅτε δὴ μὴ ταῖς ἱεραῖς ἐμφερομένην Γραφαῖς. Ταῦτα λέγοντες, χάρτην προῆγον καὶ ἀναγινώσκεσθαι ᾔτουν· ἐν ᾗ ὅμοιον μὲν τῷ Πατρὶ τὸν Υἱὸν κατὰ τὰς Γραφὰς εἰσηγοῦντο, μνήμην δὲ οὐσίας ἐπὶ Θεοῦ παντάπασιν ἀπηγόρευον. Αὕτη δὲ ἦν ἐκείνη, ἣν τότε μὲν ἐταμίευον, νῦν δὲ εἰς φῶς προῆγον. Ἧ συνελαμβάνοντο μάλιστα Γερμάνιος καὶ Αὐξέντιος, καὶ Γάϊος καὶ Δημόφιλος· καὶ τοίνυν ἀναγνωσθείσης, οἱ πλεῖστοι μηδὲ νεωτέρας δεῖσθαι πίστεως τὰ νῦν διετείνοντο· ἀρχεῖσθαι δὲ τῇ ἐν Νικαίᾳ γεγενη-

CAPUT XXXIX.

De Ariminensi synodo, in qua Occidentales ab Orientalibus dissenserunt.

Episcopi, sicuti imperator jusserat, convenere: et primum quidem Arimini Occidentales quadringenti et aliquot præterea numero. Et qui graviter in Athanasium animati erant, minime omnium de eo quidquam movendum esse duxere, quod hoc sic commodius esse putarent. Cæterum postquam de fide, quomodo eam profiteri conveniret, quæstio proposita est, ibi Valens et Ursacius, qui primum Arii opinionem defenderant, medio autem tempore, libello supplici Julio Romano antistiti dato, τῷ ὁμοουσίῳ, consubstantiali, assenserant, quemadmodum diximus, temporibus sese et rebus obtinentibus semper accommodantes C aliis alia sicuti fieri solet censentibus, dixere, priores fidei formulas abolendas esse, unamque eam obtinere oportere, quæ non ita pridem Sirmii lingua Romana composita, ab ipso etiam imperatore plurimi fieret. Debere quippe synodum quoque de sententia illius professionem eam approbare, neque ulterius quidquam curiosius indagare: ut eo modo omnis discordiæ occasio, verbis nihil ambigui habentibus, quæ subtili et accurata exploratione perpensa essent, in formula insertis, præcideretur, longe præstantius esse asserentes, cum rusticitate quadam rectam de Deo tenere opinionem, quam ex Græcorum nugamentis novis petitis verbis, quæ D non intelligerentur inducere vocabula. Quibus illi dictis obscure innuebant, seu potius propalam τοῦ ὁμοουσίου, consubstantialis, verbum per calumniam reprehenderunt, veluti in sacris Litteris non expressum. Sub hæc verba charta prolata, legi eam postularunt, in qua similem Patri Filium secundum Scripturas dicebant: **774** mentionem vero substantiæ in Deo omnino fieri interdicebant, et pro eo similem per omnia Filium Patri reponi volebant. Hæc porro formula illa erat, quam antea

quidem pressam servaverant, tum vero in lucem A proferebant. Eam maxime probabant Germinius et Auxentius, et Caius et Demophilus. Ea lecta, plurimi nihil opus esse nova fidei formula eo tempore affirmabant, contentos se esse professione Nicæna. In præsentia propterea in locum unum convenisse, si quid novatum esset, ut id inhiberetur. Et utcunque ea quæ tum lecta essent, nihil haberent novarum rerum: ut dicerent tamen eos qui scriptum id composuissent, atque ut illi ipsi Arii dogma, quippe quod turbas ubique in ecclesiis concitarit, anathemati primum subjicerent, petebant. Ubi Valens et Germinius petitionem eam repudiarunt, illi formulas hæreticorum et item Nicænam in medium proferre jussere, ut illæ quidem damnatæ rejicerentur, hæc vero auctoritate B denuo et suffragiis synodi confirmaretur. Et ut de cætero neque disputatio de fide moveretur, neque synodus peteretur, sanxerunt. Sufficere enim quæ a majoribus dudum constituta essent: ea complecti posteros debere: et perquam absurdum esse, nunc demum fidem conscribere eos, qui nuper admodum credere cœpissent: et veterum traditionem abolere, per quam et ipsi et patres eorum ecclesias gubernassent, ex quibus plures martyriis et obitæ confessionis coronis condecorati fuissent. Et ii quidem sic dicta sententia, antiquitus decretis stare, nihilque novum inducere constituerunt: illi autem, Valens scilicet et reliqui, quos paulo ante nominavimus, contra nisi sunt. C Summopere namque contenderunt, ut synodus recens compositam Sirmii fidei formulam comprobaret. Tantum autem abest, ut Patres id facerent, ut etiam Ursicium, Valentem, eorumque complices damnationis sententia exauctorarint. Et synodus professionem Nicænam amplius etiam confirmavit. Illi autem damnationem ægre ferentes, ad imperatorem confugere. Porro synodus ea non solum formulæ illorum præfationem, sed ipsam quoque formulam reprehendit, cujus verba erant (1): « Composita est fides catholica in præsentia domini nostri Constantii perpetui Augusti, consulatu clarissimorum virorum, Flavii, Eusebii, et Hypatii, Sirmii, ante XI Kalen. Jun. » **775** Ac deinde: « Credimus in unum solum et verum Deum, Patrem D omnipotentem, creatorem et conditorem omnium. Nomen essentiæ per simplicitatem a Patribus positum, non intellectum vero a populis, scandalo et offendiculo est. Et quoniam Scripturæ id quoque non habent, placitum est id tollere, et deinceps nullam omnino essentiæ in Deo facere mentionem, propterea quod divinæ Scripturæ Patris et Filii substantiæ prorsus non meminere. Similem autem Filium Patri per omnia dicimus, sicuti sacræ Scripturæ et dicunt et docent. » Ridiculum porro episcopis visum est, imperatorem quidem perpetuum

μένη. Καὶ νῦν γε διὰ τοῦτ' αὐτὸν ἥκειν ἐπὶ ταῦτ', ἵν', εἴ τι νεωτερίζοιτο κατ' ἐκείνων, ἐπίσχωσιν. Εἰ δὲ τέως οὐδέν τι νεώτερον ἔχουσι τὰ ἀνεγνωσμένα, ἀλλὰ τίνες οἱ συνθέμενοι τὴν γραφὴν, ᾔτουν· οἳ δὴ πρῶτον τὸ Ἀρείου δόγμα ὑποβαλλέτωσαν ἀναθέματι· οἷα θόρυβον ταῖς ἁπανταχοῦ ἐκκλησίαις ἐμπλῆσαν. Τῶν δὲ περὶ Οὐάλεντα καὶ Γερμίνιον διαδράντων τὴν αἴτησιν, τὰς ἐκθέσεις τῶν αἱρέσεων καὶ τῆς ἐν Νικαίᾳ ἐπὶ μέσον ἐκέλευον ἄγεσθαι, ὡς ἄν γε ἐκεῖναι μὲν ἐκκήρυκτοι γένωνται, τὸ κῦρος δὲ καὶ αὖθις τοῖς ἐν Νικαίᾳ ἐπιψηφισθείη· καὶ τοῦ λοιποῦ περὶ πίστεως μὴ κινεῖν λόγον, μήτε μὴν συνόδους αἰτεῖν. Ἀπόχρη γὰρ στέργειν τὰ τοῖς πατράσιν ἔκπαλαι δόξαντα. Τῶν δ' ἀτόπων ἂν εἴη νῦν πίστιν συγγράφειν, καὶ ἄρτι ἀρχομένους πιστεύειν, τὴν ἐκ παλαιοῦ παράδοσιν ἀθετεῖν, δι' ἧς ἡμεῖς τε καὶ οἱ πρὸ ἡμῶν τὰς ἐκκλησίας ἤγομεν, ὧν οἱ πλείους μαρτυρίοις καὶ τοῖς τῆς ὁμολογίας στεφάνοις κατεκοσμήθησαν. Οἱ μὲν οὖν τοιαῦτα λέγοντες, ἐν τοῖς ἔκπαλαι δεδογμένοις μένειν ἠξίουν, καὶ μή τι πρόσφατον ἐπεισάγειν· ἐκεῖνοι δὲ, οἱ περὶ Οὐάλεντα δηλαδὴ, ἀντέβαινον, καὶ τὴν αὐτοῖς προβληθεῖσαν πίστιν στέργειν προσεβιάζοντο. Ἐπεὶ δ' οὐκ ἐπείθοντο, καθῃροῦντο. Ἡ δὲ σύνοδος τὴν ἐν Νικαίᾳ πίστιν μᾶλλον ἐκύρωσεν. Οἱ δὲ χαλεπῶς τὴν καθαίρεσιν ἐνεγκόντες, εἰς βασιλέα ἀνέτρεχον. Ἡ δὲ σύνοδος ᾐτιᾶτο μὴ μόνον τὴν προγραφὴν τῆς ἐκθέσεως, ἀλλὰ καὶ αὐτὴν ἐκείνην τὴν ἔκθεσιν. Ἔλεγε γάρ· « Ἐξετέθη πίστις ἡ καθολικὴ ἐπὶ παρουσίᾳ τοῦ δεσπότου ἡμῶν Κωνσταντίου αἰωνίου Αὐγούστου ἐν ὑπατείᾳ Φλαβίου καὶ Εὐσεβίου καὶ Ὑπατίου τῶν λαμπροτάτων ἐν Σιρμίῳ τῇ πρὸς ἕνδεκα Καλανδῶν Ἰουνίων. » Καὶ καθεξῆς· « Πιστεύομεν εἰς ἕνα τὸν μόνον καὶ ἀληθινὸν Θεὸν Πατέρα παντοκράτορα. » Περὶ δὲ τέλος καὶ ταῦτ' ἔλεγον· « Τὸ δὲ ὄνομα τῆς οὐσίας, διὰ τὸ ἁπλούστερον ὑπὸ τῶν Πατέρων τεθεῖσθαι, ἀγνοούμενον δὲ ὑπὸ τῶν λαῶν, σκάνδαλον φέρειν· διὰ τὸ μήτε τὰς Γραφὰς τοῦτο περιέχειν, ἤρεσε τοῦτο περιαιρεθῆναι, καὶ παντελῶς μηδεμίαν μνήμην οὐσίας ἐπὶ Θεοῦ εἶναι τοῦ λοιποῦ, διὰ τὸ τὰς θείας Γραφὰς μηδαμῶς περὶ Πατρὸς καὶ Υἱοῦ οὐσίας μεμνῆσθαι. Ὅμοιον δὲ λέγομεν τὸν Υἱὸν τῷ Πατρὶ κατὰ πάντα, ὡς αἱ ἅγιαι Γραφαὶ λέγουσί τε καὶ διδάσκουσι. » Γελοῖον γὰρ ἐνόμιζον τὸν μὲν βασιλέα αἰώνιον ὀνομάζειν, τὸν δὲ τοῦ Θεοῦ Υἱὸν μὴ θέλειν ἀΐδιον καλεῖν, καὶ ῥητὸν χρόνον τῆς γραφῆς ταύτης προτάττειν· διαβολὴ γὰρ ἄντικρυς ἐδόκει τῆς πίστεως τῶν προγενεστέρων· μάλιστα δ' Ἀθανάσιος ἐν αἰτίαις ἐτίθει, ὥς που γράφων πρὸς τοὺς οἰκείους ἀπήγγελλε. Παρεθέμην δ' ἂν καὶ τὴν ἐξελέγχουσαν ἐπιστολὴν, εἰ μὴ τὸ προσκορὲς τοῦ λόγου φεύγων ἐγὼ, ἐπὶ ζήτησιν τοὺς φιλομαθεῖς προὐτρέπω τὰ ἐν ἐκείνῃ δυνατῶς εἰρημένα καταμαθεῖν. Οἱ μὲν οὖν καθαιρεθέντες ἐς βασιλέα ἀνέτρεχον, ἐπιφερόμενοι καὶ τὴν ἔκθεσιν· ἡ δὲ σύν-

(1) Condemnationis ejus causam præcipuam fuisse Socrates scribit, quod Arianam dogma Arianizantes damnare noluerint, libro II, cap. 37.

οδος, εἴκοσι τῶν ἐπισκόπων διαπεμψάμενοι, γράμμασιν οἰκείοις τὰ συμβάντα τῷ βασιλεῖ κατεμήνυον· ἃ τόνδε περιεῖχον τὸν τόπον·

A seu æternum nominare, Filium autem Dei sempiternum vocare nolle: certumque tempus huic formulæ fidei præfigere, manifesta quoque calumnia ea judicata est adversus majorum fidem. Maxime vero eam Athanasius criminatus est, ut alicubi ad suos scribens ostendit. Et inseruissem hic confutatoriam ejus epistolam, nisi orationis prolixitatem fugiens, studiosis eam inquirendam, atque ex ea rem omnem cognoscendam, relinquerem. Exauctorati illi, sicuti dixi, formulam secum ferentes, ad imperatorem confugere. Concilium vero, decem ad eum legatis episcopis, litteris quoque rem actam declaravit, quæ in hanc formam scriptæ fuerant·

ΚΕΦΑΛ. Μ'.

Ἐπιστολὴ τῆς ἐν Ἀριμήνῳ συνόδου Κωνσταντίῳ πεμφθεῖσα τῷ βασιλεῖ.

« Ἔκ τε τῆς τοῦ Θεοῦ κελεύσεως καὶ τοῦ τῆς εὐσεβείας προστάγματος τὰ πάλαι δογματισθέντα γεγενῆσθαι πιστεύομεν. Εἰς γὰρ Ἀρίμινον ἐκ πασῶν τῶν πρὸς δύσιν πόλεων εἰς ταυτὸ πάντες ἐπίσκοποι συνήλθομεν, ἵνα καὶ ἡ πίστις τῆς καθολικῆς Ἐκκλησίας γνωρισθῇ, καὶ οἱ τἀναντία φρονοῦντες ἔκδηλοι γένωνται. Ὡς γὰρ ἐπιπλεῖστον διασκοποῦντες εὑρήκαμεν, ἀρεστὸν ἐφάνη τὴν πίστιν τὴν ἔκπαλαι διαμένουσαν, ἣν καὶ οἱ προφῆται καὶ τὰ Εὐαγγέλια καὶ οἱ ἀπόστολοι διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐκήρυξαν, τοῦ καὶ τῆς σῆς βασιλείας φρουροῦ, καὶ τῆς σῆς ῥώσεως προστάτου, ἵνα ταύτην κατασχόντες φυλάξωμεν, καὶ φυλάττοντες, μέχρι τέλους διατηρῶμεν. Ἄτοπον γὰρ καὶ ἀθέμιτον ἐφάνη, τῶν ὀρθῶς καὶ δικαίως ὡρισμένων τι μεταλλάττειν, καὶ τῶν ἐν Νικαίᾳ κοινῇ μετὰ τοῦ ἐνδοξοτάτου σου πατρὸς καὶ βασιλέως Κωνσταντίνου ἐσκεμμένων· ὧν ἡ διδασκαλία καὶ τὸ φρόνημα διῆλθέ τε καὶ ἐκηρύχθη εἰς πάσας ἀνθρώπων ἀκοάς τε καὶ διανοίας, ἥτις ἀντίπαλος μόνη καὶ ὀλετὴρ τῆς Ἀρείου αἱρέσεως ὑπῆρξε· δι' ἧς οὐ μόνον αὕτη, ἀλλὰ καὶ αἱ λοιπαὶ αἱρέσεις καθῃρέθησαν· ἐν ᾗ ὄντως καὶ τὸ προσθεῖναί τι, σφαλερὸν, καὶ τὸ ἀφελέσθαι, ἐπικίνδυνον ὑπάρχει. Ὡς εἴπερ καὶ θάτερον γένοιτο, ἔσται τοῖς ἐχθροῖς ἄδεια ποιεῖν ἅπερ βούλοιντο. Ὅθεν Οὐρσάκιός τε καὶ Οὐάλης, ἐπειδὴ καὶ ἔκπαλαι μέτοχοί τε καὶ σύμφρονες τοῦ Ἀρειανείου δόγματος ἦσαν καθεστηκότες, καὶ τῆς ἡμετέρας κοινωνίας χωρισθέντες ἀπεφάνθησαν. Ἧς ἵνα μετάσχωσιν, ἐφ' οἷς ἑαυτοὺς συνεγνώκεισαν πλημμελήσαντας, μετανοίας τε καὶ συγγνώμης ἠξίουν τυχεῖν· ὡς καὶ τὰ ἔγγραφα τὰ ὑπὲρ ἐκείνων γεγενημένα μαρτυρεῖ. Δι' ὧν ἁπάντων φειδὼ γεγένηται καὶ τῶν ἐγκλημάτων συγγνώμη. Ἦν δὲ ὁ καιρὸς καθ' ὃν ταῦτα ἐπράττετο, ὅτε ἐν Μεδιολάνῳ τὸ συνέδριον τῆς συνόδου συνεκροτεῖτο· συμπαρόντων δὲ καὶ τῶν πρεσβυτέρων τῆς Ῥωμαίων Ἐκκλησίας, ἐγνωκότες ἅμα καὶ τὸν μετὰ τελευτὴν ἄξιον μνήμης Κωνσταντῖνον μετὰ πάσης ἀκριβείας καὶ ἐξετάσεως τὴν συγγραφεῖσαν πίστιν ἐκτεθεικότα. Ἐπειδὴ δὲ ὡς ἐξ ἀνθρώπων ἐγένετο βαπτισθεὶς, καὶ πρὸς τὴν ὀφειλομένην εἰρήνην ἀνεχώρησεν· ἄτοπον εἶναι μετ' ἐκεῖνόν τι καινοτομεῖν, καὶ τοσούτους ἁγίους ὁμολογητὰς καὶ μάρτυρας, τοὺς καὶ τοῦ δόγματος συγγραφέας τε καὶ εὑρετὰς ὑπεριδεῖν· οἵ τινες κατὰ τὸν παλαιὸν τῆς Ἐκκλησίας θεσμὸν τῆς καθολικῆς ἅπαντες φρο-

CAPUT XL.

Epistola Ariminensis concilii Constantio imperatori missa.

« Et Dei jussu, et pietatis tuæ mandato, quæ antiquitus constituta sunt, credimus. Ariminum

B namque ex omnibus Occidentis urbibus episcopi omnes in locum eumdem convenimus, ut simul et fides Ecclesiæ catholicæ cognosceretur, et qui aliter sentiunt manifesti fierent. Atque ubi rem omnem diu multumque consideravimus, faciendum esse comperimus, ut quæ fides antiquitus obtinet, et quam prophetæ et Evangelia et apostoli per Dominum nostrum Jesum Christum imperii tui custodem, valetudinisque etiam tutorem, promulgarunt, eam a majoribus acceptam servemus, et servatam ad finem usque custodiamus. 776
Et absurdum nefariumque esse putavimus, quæ recte et legitime constituta, et Nicææ communiter una cum gloriosissimo parente tuo imperatore

C Constantino deliberata sunt, ex eis mutare quidquam: quorum doctrina et sententia ad omnes omnium hominum aures et animos vulgata pervenit, quæ una Arii hæresim expugnavit atque exstinxit: per quam non solum ea ipsa, sed et reliquæ hæreses sunt eversæ: cui omnino vel addere quidquam non tutum, vel adimere etiam periculosum est. Atque si alterutrum in ea fiat: licentia adversariis detur, ut quod libeat, facere eis liceat. Proinde Ursacius atque Valens, quod jamdudum suffragatores et participes Ariani dogmatis fuerint, a communione nostra exclusi sunt. Ad quam tamen admissi sunt, posteaquam se errasse cognoverunt, atque ut ad pœnitentiam admitterentur, et noxæ gratiam consequerentur,

D oraverunt: id quod scriptum eorum attestatur. Quapropter ut in gratiam reciperentur, et venia eis delictorum daretur, obtinuerunt. Factum id eo tempore, cum Mediolani synodus est coacta, presbyteris quoque Romanæ Ecclesiæ præsentibus. Norunt illi, eum qui etiam post obitum memoria dignus est, Constantinum omni adhibita exquisitiore cura et diligentiore investigatione, fidei professionem, quæ edita est, publicasse. Posteaquam autem baptizatus ille, inter homines esse desiit, et ad debitam sibi quietem translatus est, ineptum esse sciunt, novæ quidquam rei invehere, et tot sanctos Patres confessores et martyres dogmatis ipsius auctores atque inventores despicere: qui quidem Patres, juxta veterem Ecclesiæ catholicæ

sanctionem, omnes in eadem sententia perseveraverunt; eorumque etiam fidem Deus ad imperii tui tempora transmisit, per Dominum nostrum Jesum Christum, cujus beneficio imperium obtines, rerumque in orbe etiam nostro potiris. At rursus miserandi et ærumnosi illi impia mente nefarioque ausu præcones seipsos impiæ opinionis renuntiarunt, et veritatis constitutionem evertere conati sunt. Postquam enim, juxta mandatum tuum, synodi concilium coactum est, seductionis fraudisque suæ illi consilium detexerunt: **777** contenderunt namque versutia quadam tumultuose sese ingerentes, novare quiddam, ubi sodalitatis impietatisque ejusdem suæ compertos homines invenissent, Germinium, Auxentium et Caium, dissidii et seditionis auctores: quorum inconstans doctrina blasphemiarum omnium acervum impietate sua longe excedit. Ubi vero animadvertere nos non ejusdem hæresis esse, neque pravis opinionibus eorum assentiri, in concilium se nostrum insinuarunt, perinde atque aliud quidquam decreturi. Perbreve autem intercessit tempus, quod eorum sententias in lucem coarguens protulit. Verum enimvero ne res Ecclesiæ semper eodem affligeretur casu, turbaque et tumultus provolutus omnes comprehenderet, tutissimum visum est, ut quæ antiquitus decreta sunt, integra atque inviolata servarentur: atque illi quos diximus, a commercio communioneque nostra segregarentur. Quam ob causam oratores nostros ad clementiam tuam misimus, qui eidem concilii nostri sententiam per scriptum quoque indicent atque declarent. Quibus illud quoque præcipue mandavimus, ut ex antiquis legitimisque decretis, veritatis fidem faciant, eamque confirment. Declarabunt illi etiam sanctitati tuæ, minime futuram, sicuti Ursacius et Valens dixere, pacem, si quid in legitimis constitutionibus immutatum fuerit. Quomodo namque pacem servent, qui pacem ipsam tollunt? Quin contentio potius et turba per cœpta ejusmodi cum alibi, tum in Romana Ecclesia exorietur. Itaque clementiæ tuæ supplicamus, ut sereno vultu respicias, benignisque auribus oratores nostros audias, neque cum defunctorum injuria novare quidquam et mutare permittas, sed nos in iis quæ a majoribus nostris definita legitimeque constituta sunt, conquiescere sinas: quos profecto solerter et prudenter omnia Spiritus sancti afflatu egisse dixerimus. Quæ vero nunc ab istis novantur, fidelibus quidem incredulitatem, infidelibus autem ferocitatem afferunt. Supplicamus præterea, ut episcopos qui in longinquis alienisque regionibus degunt, et vel ætatis grandioris imbecillitate, vel paupertatis gravioris difficultate premuntur, cum bona venia redire ad suos jubeas, ne ecclesiæ, episcopis earum ab eis disjunctis, diutius in tali solitudine permaneant. **778** Adhæc insuper omnia, illud quoque te oramus, ut ne quid adimatur, neve addatur ad ea quæ prius exstabant, quid-

A νοῦντες διαμεμενήκασιν· ὧν ὁ Θεὸς τὴν πίστιν καὶ εἰς τοὺς σοὺς χρόνους τῆς βασιλείας μετέδωκε διὰ τοῦ Δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ· δι' οὗ σοι καὶ τὸ βασιλεύειν ὑπῆρξεν, ὡς καὶ τῆς καθ' ἡμᾶς οἰκουμένης κρατεῖν. Πάλιν γοῦν ἐλεεινοὶ καὶ οἰκτροὶ τῷ φρονήματι, ἀθεμίτῳ τολμήματι τῆς δυσσεβοῦς φρονήσεως, κήρυκάς τε ἑαυτοὺς ἀνήγγειλαν, καὶ ἐπιχειροῦσιν ἀνατρέπειν πᾶν ἀληθείας σύνταγμα. Ὡς γὰρ κατὰ τὸ σὸν πρόσταγμα τὸ συνέδριον τῆς συνόδου συνεκροτεῖτο, κἀκεῖνοι τῆς ἰδίας ἀπάτης ἐγύμνουν τὴν σκέψιν. Ἐπειρῶντο γὰρ πανουργίᾳ τινὶ καὶ ταραχῇ προσφέροντές τι καινοτομεῖν, τῆς τοιαύτης ἑταιρίας τοὺς συναλισκομένους εὑρόντες, Γερμίνιον, Αὐξέντιον καὶ Γάϊον, τοὺς τὴν ἔριν καὶ διχοστασίαν ἐμποιοῦντας· ὧν ἡ διδασκαλία μὴ μένουσα B πᾶν πλῆθος βλασφημιῶν ὑπερβέβηκε. Ὡς δὲ συνεῖδον οὐχὶ τῆς αὐτῆς αἱρέσεως ὄντας, οὐθ' ὁμογνωμονοῦντας ἐφ' οἷς κακῶς ἐφρόνουν, εἰς τὸ συμβούλιον ἡμῶν μετήγαγον ἑαυτοὺς, ὡς δοκεῖν ἕτερόν τι γράφειν. Ἦν δὲ ὁ καιρὸς βραχὺς ὁ καὶ τὰς γνώμας αὐτῶν ἐξελέγχων. Ἵν' οὖν μὴ τοῖς αὐτοῖς τὰ τῆς Ἐκκλησίας περιπίπτῃ, καὶ ταραχὴ καὶ θόρυβος καλινδούμενος ἅπαντας συνέχῃ, βέβαιον ἐφάνη τὰ πάλαι ὡρισμένα καὶ ἀμετακίνητα φυλάττειν· τοὺς δὲ προειρημένους τῆς ἡμετέρας κοινωνίας ἀποκεχωρίσθαι. Δι' ἣν αἰτίαν τοὺς ἀναδιδάξοντας πρέσβεις πρὸς τὴν σὴν ἐπιείκειαν ἀπεστάλκαμεν, τὴν γνώμην τοῦ συνεδρίου διὰ τῆς ἐπιστολῆς μηνύσοντας. Τοῖς δὲ πρέσβεσι, πρό γε πάντων τοῦτο παρεκελευσάμεC θα, τὸ τὴν ἀλήθειαν πιστώσασθαι ἐκ τῶν πάλαι ἀρχαίων δικαίως ὡρισμένων· οἳ καὶ τὴν σὴν ἀναδιδάξουσιν ὁσιότητα, ὅτι οὐχ ὥσπερ ἔφησαν Οὐρσάκιος καὶ Οὐάλης, ἔσται εἰρήνη, εἴπερ τι τῶν δικαίων ἀνατραπείη. Πῶς γὰρ εἰρήνην οἷόν τε ἄγειν τοὺς τὴν εἰρήνην καταλύοντας; μᾶλλον γὰρ ἔρις καὶ ταραχὴ ἐκ τούτων σὺν ταῖς λοιπαῖς πόλεσι καὶ τῇ Ῥωμαίων Ἐκκλησίᾳ γενήσεται. Διὸ δὴ ἱκετεύομεν τὴν σὴν ἐπιείκειαν, ἵνα προσηνέσιν ἀκοαῖς καὶ γαληνιαίῳ βλέμματι τοὺς ἡμετέρους πρέσβεις ἀθρήσειας, μηδὲ πρὸς ὕβριν τῶν τετελευτηκότων καινόν τι μεταλλάττειν ἐπιτρέψειας· ἀλλὰ ἐάσῃς ἐμμένειν ἡμᾶς τοῖς παρὰ τῶν προγόνων ὁρισθεῖσί τε καὶ νενομοθετημένοις, οὓς ἅπαντα μετὰ ἀγχινοίας τε καὶ φρονήσεως καὶ Πνεύματος ἁγίου πεποιηκέναι φήσαιμεν D ἄν. Τὰ γὰρ νῦν παρ' ἐκείνων καινοτομούμενα τοῖς μὲν πιστεύουσιν ἀπιστίαν ἐποίει, τοῖς δὲ ἀπιστοῦσιν ὠμότητα. Ἱκετεύομεν δὲ ἔτι, ἵνα κελεύσῃς τοὺς ἐπισκόπους τοὺς ἐν ἀλλοδαπαῖς διατρίβοντας, οὓς καὶ τὸ τῆς ἡλικίας ἐπίπονον, καὶ τὸ τῆς πενίας ἐνδεὲς τρύχει, τὴν εἰς τὰ οἰκεῖα ἀνακομιδὴν ῥᾳδίαν ποιήσασθαι, ἵνα μὴ ἔρημοι τῶν ἐπισκόπων ἀφωρισμένων αἱ ἐκκλησίαι διαμένωσιν. Ἔτι δὲ πρὸς ἅπασι καὶ τοῦτο δεόμεθα, ἵνα μηδὲν ἐλλείπῃ τι τῶν προϋπαρξάντων, μήτε πλεονάζῃ, ἀλλὰ πάντα ἄῤῥηκτα διαμένῃ, ἐκ τῆς τοῦ σοῦ πατρὸς εὐσεβείας καὶ εἰς τὸν νῦν χρόνον διαφυλαττόμενα· μήτε λοιπὸν ἡμᾶς μοχθεῖν· καὶ τῶν οἰκείων παροικήσεων ἀλλοτρίους ἐπιτρέψειας γενέσθαι· ἀλλ' ἵνα οἱ ἐπίσκοποι νῦν τῷ ἰδίῳ λαῷ μετ' εἰρήνης εἰς εὐωχίας τε καὶ λατρείας

σχολὴν ἄγοιεν, ἱκετεύοντες ὑπὲρ τῆς σῆς σωτηρίας A καὶ βασιλείας καὶ εἰρήνης, ἣν ἡ θειότης σοι εἰς τὸ διηνεκὲς χαριεῖται. Οἱ δὲ ἡμέτεροι πρέσβεις τάς τε ὑπογραφὰς, καὶ τὰς τῶν ἐπισκόπων προσηγορίας κομίζουσιν· οἵτινες καὶ ἐξ αὐτῶν τῶν θείων Γραμμάτων τὴν σὴν ἀναδιδάξουσι θεότητα. » Τοιαῦτα μὲν οἱ ἐν Ἀριμίνῳ βασιλεῖ ἔγραφον.

quam, sed ut omnia intacta integraque permaneant, sicuti a patris tui pietate ad hoc usque tempus sunt conservata, ac ne deinceps nos itineris labore affligi, atque alienos longeque dissitos a parœciis nostris esse permittas, sed ut episcopi potius cum populo suo in pace sacris epulis et rebus divinis vacare possint, pro tua salute, imperio et pace orantes, quam tibi perpetuam divinum numen largiri dignetur. Legati vero nostri et subscripti nes et nomina episcoporum secum ferunt: qui quidem etiam ex ipsis sacris Litteris de sententia nostra certiorem facient tuam pietatem. » Hæc episcopi Arimini congregati ad imperatorem scripsere.

ΚΕΦΑΛ. ΜΑ'.

Περὶ τῆς πρὸς βασιλέα διαφορᾶς τῶν ἐν Ἀριμήνῳ συνελθόντων ἐπισκόπων· καὶ περὶ τῆς ἐν Νίκῃ τῆς Θρᾴκης γεγενημένης συνόδου δολίῳ σκοπῷ. B

Οἱ δὲ περὶ Οὐάλεντα καὶ Οὐρσάκιον προλαβόντες τοὺς πρέσβεις, ἅπαντα κατέλεγον βασιλεῖ· τήν τε γραφὴν ἐπιδεικνύμενοι ἣν ἀνέγνων, καὶ τὴν σύνοδον διέβαλον, ὡς μὴ δεξαμένην τὴν ἔκθεσιν· ἐφ' ἧς γινομένης καὶ αὐτὸς συνεδριάζων παρῆν· καὶ χαλεπαίνων τῇ συνόδῳ ὑπερετίθετο τοὺς πρέσβεις μετεωρίζων, ταλαιπωρουμένους τῇ προσεδρείᾳ, διὰ τιμῆς δὲ ἄγων οὓς ἐκεῖνοι καθεῖλον. Μόλις δ' ἔγραψε παραιτούμενος, ὡς δι' ἀνάγκης ὢν, ἐπὶ πολεμίοις ἰέναι, τοὺς πρέσβεις ἰδεῖν εὐχερῶς οὐκ ἔσχεν· ἐν δὲ τῇ Ἀδριανοῦ ἐπανιόντα, προσδοκᾷν, ἵν' ἔξω τῶν θορύβων γενόμενος, τά τε τῆς πρεσβείας ἀκούσοι, καὶ τὸ χρεὼν καταπράξηται. Προσετίθει γὰρ, ὡς τὸν περὶ τῶν θείων σκέπτεσθαι μέλλοντα χρῆναι ἄμικτον C τῶν ἄλλων, καὶ εἰλικρινῆ θορύβων κεκτῆσθαι ψυχήν. Πρὸς ἃ ἡ σύνοδος ἀντεδήλου αὖθις, ὡς οὐδαμῶς ἄλλο παρὰ τὸ δόξαν ἐκείνοις πραχθείη, κἂν εἴ τι καὶ γένηται. Καὶ οὐκ ἔγραψε μόνον, ἀλλὰ καὶ οὕτω φάναι καὶ τοῖς πρέσβεσιν ἐπενετείλατο. Ἔτι δὲ προσηντιβόλει ἡμέριως τοὺς πρέσβεις δέξασθαι καὶ μετ' εὐνοίας ἰδεῖν· μαθεῖν τε ἃ δι' αὐτῶν ἀγράφως ἐμήνυον· πρὸς δὲ καὶ ἃ ἔγραφον ἐπιμελῶς ἀναγνῶναι. Καὶ γάρ πως χαλεπὸν εἶναι ἔλεγον ἐπ' αὐτοῦ βασιλεύοντος τοσαύτας ἐκκλησίας ἐν τοσούτῳ χρόνῳ χηρεύειν, ζώντων τῶν ἐπισκόπων καὶ ταῦτα· χρεὼν δ' εἶναι, εἴ γε καὶ αὐτῷ συνδοκεῖ, πρινὴ ἐπιστῆναι χειμῶνα, ἐπὶ τὰς ἰδίας ἐκκλησίας ἕκαστον ἀναστρέφειν. Τοιαῦτα καὶ ἄλλα τούτοις παραπλήσια γράψαντες, ὅσα D ἦν εἰκὸς ἱκέτας ἱερέας, ὀνόμασι καὶ λόγοις πολὺ τὸ ἐπαγωγὸν ἔχουσιν ἐν κόσμῳ θέμενοι τῇ ἐπιστολῇ, ὀλίγον χρόνον ἐπέμειναν· ὡς δὲ μηδὲν αὐτοῖς ἀντεδήλωσεν, ἐπιμείναντες εἶτα ἐπὶ τοὺς οἰκείους θρόνους ἕκαστος διελύοντο. Ὅτι μὲν οὖν καὶ οἱ ἐν Ἀριμίνῳ συνελθόντες τὴν ἐν Νικαίᾳ πίστιν ἐκύρωσαν, πρόδηλον· ὅτι δ' ἐς ὕστερον πολλοὶ τῇ προκομισθείσῃ ἐκ Σιρμίου πίστει τοῖς περὶ Οὐρσάκιον καὶ Οὐάλεντα καθυπέγραψαν, καὶ τοῦτο δηλώσομεν. Διττοὶ δὲ περὶ τούτου φέρονται λόγοι· ὁ μὲν γάρ φησιν ὡς βασιλεὺς πρόφασιν σχὼν τὴν τῆς συνόδου διάλυσιν, ὡς μὴ ἑκόντως γεγενημένην, δοῦναι κατ' ἐξουσίαν τοῖς περὶ Οὐάλεντα, ᾗ αὐτοῖς ἐστι βουλομένοις, τὰς πρὸς ἑσπέραν διοικεῖν ἐκκλησίας, καὶ τὴν ὑπ' αὐτῶν

CAPUT XLI.

De episcoporum Arimini congregatorum cum imperatore dissensione: et de synodo dolo malo Niceæ, quæ Thraciæ civitas est, coacta.

Sed Valens et Ursacius legatos prævenerunt, et imperatori rem omnem arbitratu suo exposuerunt, scriptoque quod legerant ostenso, synodum apud eum calumniose prosciderunt, ut quæ formulam non receperit, cui conscribendæ ipse affuisset. Atque ille synodo succensens, oratores, quibus diuturna mora in aula molesta erat, diem de die diffindens, differebat: contra autem, quos illi exauctoraverant, in pretio habebat. Et vix tandem excusans se, scripsit, quod necessitate urgente ut contra hostes iret, per expeditionem eam legatos facile videre non potuerit, Adrianopoli autem redeuntem se exspectare illos jusserit, ut ibi tumultibus liber, per otium et legationem audiret, et quæ opus essent constitueret. Addidit et illud, de rebus divinis deliberare volentem, negotiis aliis vacuum, animumque sincerum atque quietum obtinere debere. Ad quæ synodus rescripsit, nihil se aliud omnino quam decretum ab illis esset, etiamsi quidquam præterea statueretur, facturam. Et non modo scripsit, sed id quoque dicere legatos jussit. Insuper eidem supplicavit, ut placide oratoribus receptis, et quæ sine scripto dicturi essent benigne acciperet, et quæ ipsi scripsissent diligenter cognosceret. Durum etiam quodammodo esse significarunt, ipso imperante tot ecclesias tanto tempore vivis adhuc episcopis orbari, **779** opusque esse, si ipsi quoque videretur, prius eos ad ecclesiam quemque suam redire, quam hiems eos opprimeret. Hæc atque alia hisce similia, ita uti supplices episcopos decebat, cum oratione ad persuadendum apposita per epistolam gravem et tersam ad eum scripsissent, satis diu adhuc ibi morati sunt, cumque nihil ipse respondisset, deinde ad sedes suas sunt reversi. Atque quod episcopi quidem Arimini congregati Nicænam confirmaverint fidem, satis jam constat. Quod vero postea multi formulæ ab Ursacio et Valente ex Sirmio allatæ subscripserint, id quoque declarabimus. Qua de re duplex fertur opinio. Harum altera est: imperatorem occasione arrepta a synodo, quasi non sua voluntate soluta, Valenti ejusque

A ἀναγνωσθεῖσαν πίστιν πᾶσιν ἐκδίδοσθαι· καὶ ὅσοι μὴ ὑπογράφειν αἱροῖντο ταύτην, τῶν θρόνων ἐλαύνειν, καὶ ἄλλους εἰσάγειν οὓς ἂν ὁμοφρονεῖν γνοῖεν. Τοιαύτης δ' ἐξουσίας ἐπειλημμένους, πάντας πρὸς βίαν ἄγειν τῇ εἰρημένῃ πίστει καθυπογράφειν· καὶ τοὺς μὴ βουλομένους οὕτω ποιεῖν, ὡς τάχος ὠθεῖν. Ὧν πρῶτον Λιβέριον, μὴ πειθόμενον, πρὸς βίαν ἐξήλαυνον. Καὶ οἱ μέν φασι δευτέραν ἐξορίαν ταύτην αὐτῷ γενέσθαι, οἱ δὲ πρώτην· ὅτε καὶ τὰ κατὰ τὸν Φήλικα γέγονεν, ὡς πρὸ βραχέος εἰρήκαμεν. Ταῦτα δὲ κατὰ τὴν Ἰταλίαν διαπραξάμενοι οἱ περὶ Οὐάλεντα, τὰ ἴσα καὶ κατὰ τὴν ἕω πράττειν ἐσκόπουν. Καὶ δὴ διὰ Θρᾴκης ἰόντες, ἐπεὶ κατά τινα τοῦ ἔθνους πόλιν, ᾗ Νίκη ὄνομα ἦν, παρεγένοντο, σύνοδον ἀθροίσαντες, τὴν ἐν Ἀριμίνῳ πίστιν ἐκ Ῥωμαϊκῆς εἰς B Ἑλλάδα φωνὴν μεταβαλόντες, βεβαιοῦν ἐπειρῶντο· καὶ ἐκήρυξαν ὡς ὑπὸ οἰκουμενικῆς συνόδου ἡ ἐν Νίκῃ πίστις τὸ βέβαιον ἔσχεν ὡς χρεὼν ἐπιψηφισθεῖσα· ὡς ἄν γε τῷ παραπλησίῳ τῶν ὀνομάτων ἐπιβούλως ἀπατᾷν ἔχωσι τοὺς ἁπλουστέρους· ὥστ' αὐτὴν εἶναι οἴεσθαι τὴν ἐν Νικαίᾳ τῆς Βιθυνίας ἐξενεχθεῖσαν γραφήν. Ἀλλὰ τὸ σόφισμα ἐξηλέγχετο, καὶ ἐν καταγέλωτι ἦσαν τὰ δρώμενα. Οἱ μὲν οὖν οὕτω φασίν· ἕτερος δὲ λόγος ἔχει, ὡς τῶν ἐν Ἀριμίνῳ τῇ βραδυτῆτι τῆς βασιλικῆς ἀποκρίσεως πιεζομένων, τῷ μὴ ἐᾶσθαι ἀναχωρεῖν, οἱ θατέρᾳ δόξῃ προσκείμενοι ὑποβάλλουσί τινας εἰσηγουμένους, μὴ δεῖν εἶναι, μιᾶς λέξεως ἀντεχομένους τοῦ τῆς οὐσίας ὀνόματος, δι' αὐτῆς στασιάζειν τοὺς ἁπανταχοῦ C ἱερέας· ἔνεστι γὰρ ὅμοιον τῷ Πατρὶ τὸν Υἱὸν λέγειν, καὶ τὴν οἰκουμενικὴν διαλύειν ἔριν· μηδὲ γὰρ ἂν τοὺς ἀνὰ τὴν ἕω ἱερεῖς ἠρεμεῖν, μὴ τοῦ τῆς οὐσίας περιαιρομένου ὀνόματος. Οὕτω δὲ κομψῶς ἐπικειμένων τῶν σπουδαστῶν, μόλις πεῖσαι τὴν σύνοδον· καὶ ὑπογράφειν αἱρεῖσθαι, ἣν οἱ περὶ Οὐρσάκιον καὶ Οὐάλεντα ἔγραφον ἔκθεσιν. Ἐν δέει δὲ γεγονότες μήπως οἱ πρέσβεις δήλην καταστήσωσι βασιλεῖ τῶν ἑσπερίων ἱερέων τὴν ἐξ ἀρχῆς ἔνστασιν, καὶ τὸ αἴτιον τῆς τοῦ ὁμοουσίου ἀναιρέσεως ἐπισχεῖν τοὺς πρέσβεις κατὰ τὴν εἰρημένην πόλιν τῆς Θρᾴκης Νίκην, βουλὴν ἔθεντο, πρόφασιν εἰπόντας τὸ τοῦ χειμῶνος τραχὺ, καὶ τὸ μὴ πρὸς ὁδοιπορίαν πρόχειρον τοῖς ὑποζυγίοις· καὶ ἐν τῷ μεταξὺ τῆς βραδυτῆτος, βουλεύσασθαι τὴν ἐκτεθεῖσαν πίστιν ἐκείνοις ἐκ Ῥω- D μαϊκῆς εἰς Ἑλληνίδα φράσιν μεταβαλεῖν, καὶ τοῖς ἀνὰ τὴν ἕω διαπέμπεσθαι ἱερεῦσιν· ἐκεῖναι γὰρ οὕτως τὸ σπουδαζόμενον κατορθοῦν, κατὰ βούλησιν συγκειμένων ἐκείνων. Τὴν δὲ ῥᾳδιουργίαν μὴ κατάφωρον εἶναι διὰ τῶν ἐλεγχόντων, ὡς ἄκοντες οἱ ἐν Ἀριμήνῳ τῆς λέξεως τοῦ ὁμοουσίου ἀπέστησαν· διὰ δὲ τοὺς κατὰ τὴν ἕω ἐπισκόπους σκηπτόμενοι, ὡς παντάπασιν ἀποσειομένους τὸ ὄνομα· ὅπερ ταῖς ἀληθείαις ψευδὲς ἦν. Σχεδὸν γὰρ ἅπαντες καὶ κατ' οὐσίαν ὅμοιον εἶναι τῷ Πατρὶ τὸν Υἱὸν ἐδόξαζον. Ἡ διαφορὰ δὲ ἦν μόνον, ὅτιπερ οἱ μὲν ὁμοούσιον, οἱ δὲ ὁμοιοούσιον ὠνομάζοντο τὸν Υἱόν.

sectatoribus facultatem permisisse, ut quas vellent in Occidente ecclesias administrarent, omnibusque lectam ab eis fidem traderent: et quicunque subscribere illi nolent, sedibus suis dejicerent, atque alios factionis suæ illis subrogarent. Qua potestate accepta, illos vi omnes, ut quam diximus formulam comprobarent, adortos esse: et qui id facere noluissent, quamprimum ecclesiis expulisse. Primumque Liberium, quod dicto audiens non fuisset, vi exactum esse. Quidam sane secundam hanc proscriptionem ejus fuisse dicunt, alii autem primam, cum ea etiam quæ supra de Felici diximus, acta sunt. Atque illos, rebus ita per Italiam gestis, eadem per Orientem quoque facere constituisse. Et per Thraciam euntes, ubi in oppidum quoddam regionis ejus nomine Nica pervenissent, conventum coegisse, fidemque Arimini a se lectam, ex Latina in Græcam linguam conversam stabilire conatos esse, atque publice sermonibus sparsisse, formulam eam Nicæ a synodo universali rite atque ordine editam confirmatamque esse: ut videlicet nominum vicinitate per fraudem simpliciores scriptum id, perinde atque Nicææ in Bithynia compositum esset, accipientes, decipere possent. Verum calliditatem cavillationemque eam deprehensam, in risum atque ludibrium abiisse. Atque hoc sic nonnulli tradidere. Altera autem opinio fuit. **780** Cum episcopi Arimini congregati, quod imperator responsum differret, quodque illis redire ad sua non liceret, macerarentur: qui alteri sententiæ addicti erant, subornarunt quosdam qui dicerent, non convenire, quod quidam unum substantiæ Verbum tantopere propugnarent, ut propterea omnes ubique episcopi per seditionem dissideant. Licere similem Patri Filium dicere, et universalem orbis contentionem sopire. Episcopos Orientales, nisi substantiæ nomen tolleretur, conquieturos non esse. Hæc cum ab ejus sententiæ studiosis cum versuta quadam gravitate et vi dicta essent, ægre tandem synodum adductam esse, ut Ursacii et Valentis formulæ subscribendum putaret. Veritos quippe artifices doli istius esse, ne legati apud imperatorem Occidentalium episcoporum constantem quam inde ab initio præstitissent alacritatem, et τοῦ ὁμοουσίου, consubstantialis, tollendi causam exponerent. Quare illud eos invenisse consilium, ut oratores in oppido Thraciæ quod dictum est Nica distinerentur, per causæ ejusmodi obtentum, propter hyemis asperitatem et itinerum difficultatem jumenta progredi et viæ laborem ferre non posse. Atque in ea interim mora constituisse, fidem ab ipsis compositam ex Latino in Græcum sermonem translatam, ad Orientales mittere episcopos. Sic namque fore, cum illi ad sententiam eorum inclinati essent, ut quod ageretur perficerent; fallaciam vero talem non deprehensum iri ab eis, qui rem hanc consideraturi essent, conventum videlicet Ariminensem invitum ab ὁμοουσίου, consubstantialis, verbo recessisse: utpote ab Orientalibus episcopis, qui dictionem eam prorsus rejecissent, coactum. Quod quidem reipsa falsum erat. Fere enim omnes in Oriente,

paucis exceptis, substantia Patri similem Filium sunt opinati. Et controversia in eo tantum erat, quod partim quidem ὁμοούσιον, consubstantialem, partim autem ὁμοιούσιον, similisubstantialem, Filium dicerent. Et hæc quidem in Occidentis partibus acta.

ΚΕΦΑΛ. ΜΒ'.

Ὅσα κακὰ οἱ Ἀρειανοὶ τοῖς τὸ ὁμοούσιον σεβομένοις ἐπῆγον· καὶ περὶ τῆς Μακεδονίου ὠμότητος· καὶ ὅσα καὶ Ναυατιανοῖς διὰ τὸ ὁμοούσιον ἐπισυνέβη κακά· καὶ ὡς Μακεδόνιος, μεταθέμενος τὴν τῶν λειψάνων θήκην Κωνσταντίνου, στάσιν τῷ δήμῳ ἐποίησε· δι' οὗ χαλεπαίνοντος ἐπειρᾶτο τοῦ Κωνσταντίου.

A

Περὶ μὲν οὖν τὰ ἑσπέρια μέρη τοιαῦτα ἐπράττετο· περὶ δὲ τὴν ἕω τούτων γινομένων, πρινὴ τὴν ἐν Σελευκείᾳ σύνοδον συνελθεῖν, οὐκ ἐλάττους ἐγίνοντο ταραχαί. Οἱ γὰρ τοῦ Ἀρειανείου προϊστάμενοι δόγματος, πολύ τι θράσος ἐκ τῆς βασιλικῆς ῥοπῆς προσλαμβάνοντες, ἀκάθεκτοί τε ἦσαν, καὶ καινοτέροις ἀεὶ πράγμασιν ἐπεχείρουν. Ἀμέλει τοι καὶ οἱ ἀμφὶ τὸν Καισαρείας Ἀκάκιον, καὶ τὸν Σκυθοπολίτην Πατρόφιλον, Μάξιμον παυσάμενοι ἱερᾶσθαι, B Κυρίλλῳ τὴν τῶν Ἱεροσολύμων Ἐκκλησίαν ἐπέτρεψαν. Μακεδόνιος δὲ τὰς περὶ τὴν Κωνσταντίνου ἐπαρχίας καὶ πόλεις ἀνατρέπων ἐτάραττεν, ἐπισκόπους αὐταῖς προβαλλόμενος, οὓς ᾔδει πρὸς ὑπουργίαν τοῦ σφετέρου σκοποῦ δεξιούς. Ἐλευσίῳ μὲν οὖν τὴν Κύζικον ἐνεχείριζε, λαμπρῶς ἐν τοῖς βασιλείοις πάλαι στρατευσαμένῳ· Μαραθώνιον δὲ τῆς Νικομηδέων πόλεως ἀρχιερέα ἐδείκνυ, ὃν τῆς κατ' αὐτὸν Ἐκκλησίας διάκονον ὄντα, σπουδαῖον εἶναι λόγος ἔχει, πτωχεῖα συνιστᾷν, καὶ ἀνδρῶν καὶ γυναικῶν φροντιστήρια· καὶ τὸν μὲν βίον ἀγαθὼ καὶ ἄμφω γενέσθαι· κακῶς δὲ διαθέσθαι τοὺς ὁμοούσιον δοξάζοντας τῷ Πατρὶ τὸν Υἱὸν καὶ μάλιστα δεξιοί· πλὴν οὐχ ὥσπερ ὁ Μακεδόνιος· οὗτος γὰρ οὐ μόνον C ἀπηνῶς ἐδίωκε τοὺς ἐκτρεπομένους αὐτῷ κοινωνεῖν, ἀλλὰ καὶ εἱρκταῖς περιέκλειε, καὶ ἄκοντας ἐβιάζετο, καὶ πολλοὺς τῶν ἐν εὐλαβείᾳ ᾐκίζετο, καὶ ξύλῳ τὰ στόματα διαιρῶν, ἀκόντων τὰ μυστήρια ἐνετίθει. Πολλὴ δέ τις κόλασις αὕτη ἐδόκει, καὶ τῶν ἄλλων τιμωριῶν ὑπερφέρουσα. Ὡσαύτως δὲ καὶ γυναῖκας συναρπάζων καὶ παῖδας, καὶ ταῦτα μήπω μυηθέντας, μυσταγωγεῖν ἐβιάζετο. Εἰ δέ τις παρῃτεῖτο, ἢ καὶ ἀντέλεγε, πληγὰς ἦν ἐκεῖ καὶ μάστιγας ἐπακολουθούσας ὁρᾷν, δεσμά τε καὶ δεσμωτήρια, καὶ ὅσα τούτοις ἀκόλουθα. Ἀρκέσει δὲ πάντως ἑνὸς ἢ δυεῖν μνησθέντα, δεῖξαι ὅσον ὠμότητος τῷ Μακεδονίῳ προσῆν, καὶ τοῖς κατ' ἐκεῖνον συνηχμακόσι τὸ ἀπηνὲς καὶ ἀπάνθρωπον. Καὶ γάρ τινων γυναικῶν, αἳ τὴν αὐτοῦ ἐξετρέποντο κοινωνίαν, τοὺς μαστοὺς θί- D βαις καὶ κίσταις ἐναποκλείων ἀπέπριεν. Εἰσὶ δὲ, ὧν τὰ αὐτὰ, ποτὲ μὲν ᾠοῖς εἰς ἄκρον ἐκπυρωθεῖσι, ποτὲ δὲ καὶ σιδήρῳ πεπυρακτωμένῳ κατέκαιον. Ἀήθης τε ἦν αὕτη καὶ ξενίζουσα τιμωρία ὑπὸ τῶν Χριστὸν ὁμολογούντων ἐφευρεθεῖσα, ἐπέκεινα τῶν, ὧν οἱ ἐξ Ἑλλήνων τύραννοι πάλαι φιλοτίμως ἐξεῦρον. Ναὶ μὴν καὶ πολλὰς τῶν ἐκκλησιῶν εἰς ἔδαφος ἔῤῥιπτε, βασιλέως γράμματα προϊσχόμενος, ἃ προσέταττον τοὺς εὐκτηρίους οἴκους τῶν τὸ ὁμοούσιον κηρυττόντων εὐθὺς ἀνατρέπεσθαι. Ἐξ ἧς αἰτίας καὶ τὴν τῶν Ναυατιανῶν ἐν τῇ Πελαργοῦ ἐκκλησίαν ἠδάφιζεν,

781 CAPUT XLII.

Quæ mala Ariani intulerint consubstantiale colentibus: de Macedonii crudelitate. Quæ etiam mala Novatianis propter consubstantiale acciderint. Ut Macedonius translatis in alium locum Constantini reliquiis, tumultum populi concitarit: quam ob causam Constantius est indignatus.

In Oriente vero, priusquam synodus Seleuciæ coiret, non minores erant turbæ. Arianæ enim hæresis propugnatores ingenti confidentia ex imperiali auxilio concepta, effrenato atque impotenti erant animo, semperque novis studebant rebus. Proinde Acacius Cæsariensis, et Patrophilus Scythopolitanus, Maximo exauctorato, Cyrillo Hierosolymitanæ ecclesiæ curam commisere. Et Ma- B cedonius Constantinopolim vicinasque ei præfecturas et urbes miscens turbabat, episcopos eis quos rebus suis idoneos esse sciebat, designans: nam Eleusio Cyzicenam attribuit ecclesiam, qui antehac loco splendido in imperiali aula stipendia fecerat. Marathonium autem Nicomediæ sacrorum antistitem creavit, qui ecclesiæ ipsius diaconus cum fuisset, egregium se præstitisse virum dicitur, indigentium hominum domiciliis, virorumque et mulierum scholis exstruendis atque curandis. Et cum amborum istorum vita probaretur, affligendis tamen eis qui ὁμοούσιον, consubstantialem, Patri Filium profiterentur, nimium erant industrii: verumtamen ea in re Macedonio dissimiles. Is etenim C non modo crudeliter eos persequebatur, qui communionem ejus vitarent, sed in vincula quoque conjiciebat invitos, et judicibus tradebat. A communione ejus abhorrentes ad eam vi intentata cogebat, multosque religione præclaros pulsabat, et fuste ora eorum diducens, vel invitis sacra mysteria ingerebat. Qui quidem ingens visus est esse cruciatus, tormenta alia longe superans. Ad eumdem modum et mulieres atque pueros, qui de rebus sacris nondum instituti essent aut baptizati, arripiens, mysteriis initiari cogebat. Quod si quis renueret, aut responsaret, eum plagæ, flagra, vincula, carcer, et quæ iis convenientia sunt, consequebantur. Cæterum unius atque alterius exempli ejus mentione facta, satis omnino erit, quanta D Macedonii feritas, eorumque qui cum eo viguere crudelitas fuerit et inhumanitas, ostendere. 782 Quarumdam enim feminarum quæ ejus aversabantur communionem, mammas arcis et cistis compressas avulsit. Erant quibus easdem corporis partes nunc ovis ad summum igne tostis, nunc ferro candenti adurerent. Insolitum sane id, exoticumque supplicium, ab eis qui Christum professi sunt inventum, quod ea quæ olim Græcorum tyranni magno studio et ambitione excogitarunt, longe post se relinquit. Quin multas quoque ecclesias solo æquavit, imperatoris litteras præferens, quæ do-

mos precatorias τὸ ὁμοούσιον, consubstantiale, profitentium statim evertere jubebant. Ex qua causa etiam Novatianorum ecclesiam, quæ in vico τοῦ Πελαργοῦ, hoc est Ciconiæ, erat, est demolitus, quod eos quoque τῷ ὁμοουσίῳ, consubstantiali, assentiri sciret. Quo tempore illi egregium strenuæ manus opus ediderc, forsitan eos ut ejusdem sententiæ assertores adjuvantibus τοῦ ὁμοουσίου, consubstantialis, professoribus. Ecclesia enim illa ab eis quibus hoc commissum fuerat, eversa, illi coacta manu universi cum conjugibus et liberis, quod opus erat et conveniebat, pro se quisque afferentes, supra modum laborarunt: et brevi temporis momento, in loco cui nomen est Συκαὶ, hoc est fici (1), e regione urbis, e vestigio aliam condidere ecclesiam, eamque Ἀναστασίαν (2), id est Resurrectionem, vocavere, ex eventu ipso nomen id ei imponentes. Quam deinceps rursum, Juliano imperante atque permittente, in priorem locum materia ex Ficis deportata transtulerunt, opere utroque incredibili celeritate perfecto. Hæc cum a Macedonio ita gererentur, Novatiani fere et catholicæ Ecclesiæ τὸ ὁμοούσιον, consubstantiale, profitentes, conjuncti atque uniti sunt, eamdem obtinentes sententiam, atque eisdem exagitati malis. Pacem namque inter se agebant, conveniebant, orationesque et alia communicabant, nullo ab Arianis qui ecclesias omnes occupaverant, catholicis relicto templo. Ita consuetudinis assiduitate, et rerum adversarum æquabilitate, frustra illi esse, si inter se dissiderent, exsistimantes, ad mutuam communionem erant propensi. Et perfecta res fuisset, nisi multitudinis alacritatem parva quædam invidia intercedens impedivisset, multis morem rursum vetustum retinendum, atque communionem imperfectam aversandam esse dicentibus. **783** Eisdem porro modis Cyzici Eleusius Novatianos affligebat: templum enim eorum ibi prorsus sustulit. Idem qui Mantinei habitabant, et alii quoque in Paphlagonia Novatiani patiebantur. Quos ejicere Macedoniani cum non possent, imperatoris opem implorarunt, qui eis quatuor millia armatorum (3) attribui jussit, fore ratus, ut illi insolito armorum metu cederent atque vincerentur (4). Verum res aliter cecidit. Populus enim falcibus et clavis et securibus, aliisque armis, ut sors ferebat, correptis, cum militari manu pro se quisque congressi sunt. Et prælio utrinque commisso, multi quidem etiam ex Paphlagonibus, milites autem fere omnes conciderunt. Quamobrem a multis, necessariis etiam suis, Macedonius est reprehensus. Alienavit quoque ab eo benevolentiæ ardorem imperator, neque adeo bene posthac erga eum animatus fuit:

A ἅτ' εἰδὼς κἀκείνους τῷ ὁμοουσίῳ στοιχοῦντας· ὅτε δὴ λόγος ἔχει γενναῖα αὐτοὺς ἔργα χειρὸς διαπράξασθαι, τάχα συναιρομένων οἷάπερ ὁμόφροσι καὶ τῶν ἀπὸ τῆς ὁμοουσίου δόξης. Λυομένης γὰρ ἐκείνης δι' ὧν ἐπετρέπετο, πανδημεὶ συναθροισθέντες ἐκεῖνοι, καὶ γυναῖκες καὶ παῖδες, τὸ προσῆκον ἕκαστος μετακομιζόμενοι, ὑπερφυῶς ἐπόνουν· καὶ ἀκαριαίως εἰς τὸν ἀντιπέραν τόπον τῆς πόλεως, ᾧ Συκαὶ ὄνομα, ἀθρόον ἕτερον οἶκον ἀνίστων· καὶ Ἀναστασίαν τὸν οἶκον ὠνόμασαν, ἐκ τοῦ συμβάντος τὸ ὄνομα περιθέμενοι· ὃν αὖθις Ἰουλιανοῦ ἄρξαντος καὶ ἐπιτρέψαντος, εἰς τὸν πρότερον μετήγαγον τόπον, τὰς ὕλας μετακομίσαντες ἐκ συκῶν, ἀπείρῳ τάχει καὶ ἄμφω διαπραξάμενοι. Τούτων δὲ ὑπὸ Μακεδονίου γινομένων, μικροῦ οἵ τε Ναυατιανοὶ καὶ οἱ B τῆς καθόλου Ἐκκλησίας τῷ ὁμοουσίῳ στοιχοῦντες ἡνώθησαν, ἴσην δόξαν ἔχοντες, ἐπίσης τε ἐλαυνόμενοι· καὶ πρὸς ἀλλήλους ἐσπένδοντο, συνήρχοντό τε καὶ εὐχῆς καὶ τῶν λοιπῶν ἐκοινώνουν. Οὐδεὶς γὰρ οἶκος τοῖς ἀπὸ τῆς καθόλου Ἐκκλησίας ἐλείπετο, τοῖς Ἀρειανοῖς πάντων κατεχομένων. Τῷ δὲ συνεχεῖ τῆς ὁμιλίας καὶ τῷ τοῦ πάθους ταυτῷ κενὸν εἶναι οἰόμενοι ἀλλήλων διΐστασθαι, πρὸς τὸ κοινωνεῖν ἀλλήλοις ἦσαν. Καί γε ἂν ἐπεραίνετο, εἰ μὴ τὸ τοῦ πλήθους πρόθυμον βραχύ τι βασκανίας ἐμπεσὸν ἐπέσχε, τὸ ἐκ παλαιοῦ ἔθος χρῆναι καὶ αὖθις κρατεῖν πολλῶν λεγόντων, καὶ τὴν μὴ ἐντελῆ κοινωνίαν ἐκτρέπεσθαι. Τὰ ἴσα δὲ καὶ Ἐλεύσιος ἀνὰ τὴν Κύζικον τοῖς Ναυατιανοῖς ἐποίει. Τὴν γὰρ ἐκεῖσε ἐκκλη- C σίαν αὐτῶν ἄρδην καθεῖλεν. Ἐπίσης δὲ καὶ οἱ κατὰ τὸ Μαντίνειον οἰκοῦντες ἔπασχον, καὶ ἄλλοι Ναυατιανοὶ Παφλαγόνες· οὓς ἐξελαύνειν μὴ οἷοί τε ὄντες οἱ τῆς ἐκκλησίας Μακεδονίου, ἐδέοντο βασιλέως συναίρεσθαι. Ὁ δὲ τετρακισχιλίους ξιφήρεις στρατιώτας πέμπων, τῷ ἀήθει τῶν ὅπλων ᾤετο ὑπὸ χεῖρα σχεῖν. Τὸ δὲ ἄλλως ἀπέβαινε. Τὰ γὰρ ἐκεῖσε πλήθη, δρέπανα καὶ κορύνας καὶ ἄλλο εἴ τι ἔτυχεν ἁρπάσαντες, ἕκαστος συμβάλλουσι τοῖς στρατιώταις. Καὶ μάχης ἑκατέρωθεν συῤῥαγείσης, πολλοὶ μὲν καὶ τῶν Παφλαγόνων, τῶν δὲ στρατιωτῶν σχεδὸν ὅλοι πίπτουσι. Κἀντεῦθεν ὑπὸ μέμψιν ἦν Μακεδόνιος τοῖς πολλοῖς τῶν ἐπιτηδείων. Ἀφῄρει δὲ καὶ βασιλεὺς τὸ τῆς εὐνοίας θερμὸν, καὶ τὰ πρὸς αὐτὸν οὐκ ἐῤῥωμένως διέκειτο, ἅτε δὴ τοσούτων φόνων αἴτιον D γεγονότα. Συμβὰν δὲ καὶ τοῦτο μείζονα τὴν κατ' αὐτοῦ ἀπέχθειαν ἤγειρε βασιλεῖ· τοῦ γὰρ οἴκου ἐν ᾧ ἡ λάρναξ καὶ τὸ σῶμα ἔκειτο Κωνσταντίνου, πτῶσιν ἀπειλοῦντος, καὶ δέους οὐκ ἐλαχίστου τοῖς ἐκεῖσε δὴ παρεδρεύουσιν ἐπηρτημένου, Μακεδόνιος τὰ τοῦ βασιλέως ὀστᾶ ἀλλαχοῦ μεταφέρειν ἐσπούδαζε. Τὸ δὲ πλῆθος, μαθόντες, στασιάζοντες ἦσαν, μὴ χρῆναι λέγοντες βασιλέα μέγαν οὕτω μετακομίζειν· μηδὲν γὰρ διαφέρειν τοῦ ἀνορύττειν. Οἷς δὴ μάλιστα σύμ-

(1) Socrates Ficos tredecimam urbis Constantinopolitanæ regionem esse scribit.

(2) Ἀνάστασις et ἀναστασία vastitatem, et per contrariam significationem restitutionem atque resurrectionem designat: in utramque sane partem templo ei appellatio ista convenit.

(3) Τέσσαρας ἀριθμοὺς, Socr. Τέσσαρα τάγματα, Sozom. Τετραρίθμους στρατιώτας, Suid.

(4) In ea persecutione Novatiani Paphlagones vim vi repellentes, Macedonianam manum male accipiunt.

φωνοι ἦσαν καὶ οἱ τὸ δόγμα τῆς ἐν Νικαίᾳ συνόδου A πρεσβεύοντες, ὕβριν τοῦ βασιλέως τὴν μετακομιδὴν οἰόμενοι, ἄλλως τε καὶ διὰ σπουδῆς ποιούμενοι Μακεδονίῳ ἐναντιοῦσθαι. Ὁ δ' ἥκιστα φροντίσας τῶν εἰρημένων, μετάγει τὸ σῶμα περὶ τὸν ναόν· ὅπου δὴ καὶ ὁ νεκρὸς Ἀκακίου κεῖται τοῦ μάρτυρος· οὗ γινομένου, τῶν διαφερομένων πολλή τις γίνεται συνδρομή· ὧν οἱ μὲν δι' ἐπαίνου, οἱ δ' ἐν μέμψει ποιούμενοι τὸ πραχθὲν, τὸ μὲν πρῶτον ἠμύνοντο· ἔπειτα κατ' ἀλλήλων τραπέντες, ἐς τοσοῦτον ἀτοπίας ἐγένοντο, ὡς αὐτόν τε τὸν οἶκον, καὶ τὸν πέριξ τόπον, αἱμάτων καὶ φόνων ἔμπλεων δεῖξαι. Βασιλεὺς δ' ἔτι πρὸς ἑσπέραν διάγων, ἐπεὶ τὰ κατὰ τὴν πατρικὴν θήκην συμβάντα διέγνω, χαλεπῶς ἔφερεν· ἐμήνυέ τε Μακεδονίῳ, ὡς ὑβρισμένου αὐτῷ τοῦ πατρὸς, ἅτε παρὰ γνώμην ἐκείνου μεταθεῖναι τολμήσαντι· καὶ B ὡς αἴτιον ἡγούμενος τῆς τοῦ πλήθους φθορᾶς. Καὶ δῆτα τῶν ἑσπερίων ἀπάρας, εἰς τὴν Ἕω διέβαινεν. Ἰουλιανὸν δὲ τὸν ἀνεψιὸν Καίσαρα τηνικαῦτα χειροτονήσας ἐπὶ φυλακῇ τῶν πρὸς δύσιν ἀρχομένων μερῶν, εἰς Γαλάτας ἔπεμπεν.

utpote qui tot fuisset cædium auctor. Et cum aliud etiam quiddam accidisset, imperatoris erga eum odium magis est auctum. Templum in quo urna et corpus Constantini situm erat, ruinam minabatur. Atque ubi custodibus ejus et sacerdotibus ea de causa non minimus incessisset metus, Macedonius imperatoris ossa in alium transferre locum volebat. Ea re cognita, multitudo tumultuari cœpit, nefas esse vociferans, magnum imperatorem ita transferre: quod ea res nihil a sepulcri violatione differret. Cum quibus verbis etiam concordabant dogmatis Nicæni professores, contumeliam imperatoris translationem eam esse putantes. Ad id accessit, quod de industria Macedonio adversarentur. Ille autem verbis ejusmodi contemptis, corpus in templum transfert, ubi etiam cadaver Acacii martyris est sepultum. Quod cum fieret, ingens est populi inter se dissidentis facta concursatio. Atque his factum laudantibus, illis autem reprehendentibus, primum quidem injuriam arcentes se tuebantur: deinde vero alteri in alteros conversi, eo vecordiæ processerunt, ut et eam ipsam ædem sacram, et proximum in circuitu locum sanguine et cædibus compleverint. Imperator autem in Occidente adhuc degens, ubi quid de paterno sepulcro actum esset intellexit, gravi id tulit animo, **784** et Macedonio, injuria ab eo affectum esse patrem, qui illum præter voluntatem suam transferre ausus fuerit, ipsum quoque cædis tantæ multitudinis causam esse denuntiavit. Et postea ex Occidente ad partes Orientales transiit. Et Julianum patruelem fratrem, tum Cæsarem factum, ut provinciis Occidentalibus præsidio esset, in Galatiam misit.

ΚΕΦΑΛ. ΜΓ'.

Περὶ τῆς ἐν Σελευκείᾳ συνόδου· καὶ περὶ τῆς ἄλλης ἐκθέσεως τῆς πίστεως ἣν Ἀκάκιος ὑπηγόρευσεν. C

Ἀλλ' ὅπως μὲν Μακεδόνιος τοῦ θρόνου ἀπεσφαίρισθη, πολλῶν κακῶν βραχεῖαν δεδωκὼς δίκην, μικρὸν ὕστερον λέξω· ἐπὶ δὲ τὴν ἐν Σελευκείᾳ μεταβήσομαι σύνοδον, ἣν Κωνστάντιος διὰ τὸ τῆς ὁδοῦ δυσχερὲς ἀντίμιμον τῇ ἐν Ἀριμήνῳ κατὰ τὴν Ἕω γενέσθαι προσέταττε. Καὶ δὴ κατὰ τὴν τῆς Ἰσαυρίας Σελεύκειαν συνῆλθον ἑκατὸν καὶ ἑξήκοντα ὄντες ἐπίσκοποι. Συνῆν δὲ τούτοις καὶ Λεωνᾶς τῶν ἐκ βασιλέως ἐπισήμως πάλαι στρατευσαμένων· ἐφ' οὗ τὰ τῆς πίστεως ἐξετασθῆναι γράμμασιν ἐκέλευε βασιλεύς· πρὸς τούτῳ δὲ καὶ Λαυρίκιος τοῦ ἔθνους τὴν στρατηγίαν ἐγκεχειρισμένος, εἴ τι δέοι αὐτῷ τε καὶ τοῖς ἐπισκόποις ὑπουργεῖν ἐκ βασιλέως πρόσταγμα D ἔχων. Ἐπεὶ δὲ εἰς ἓν συνῆλθον, ὀξυγράφων παρόντων καὶ σημειουμένων τὰ παρεμπίπτοντα, ἐν μὲν δὴ τῷ πρώτῳ συλλόγῳ πολλοί τε ἀπελιμπάνοντο· ὅ τε Κωνσταντινουπόλεως Μακεδόνιος, Βασίλειός τε ὁ Ἀγκύρας, καὶ ὁ Σκυθοπολίτης Πατρόφιλος. Ὁ μὲν γὰρ νοσεῖν, ὁ δ' ὀφθαλμιᾷν, ὁ δ' ἄλλος ἄλλο τι προὐβάλλοντο. Παρῃτοῦντο δὲ ταῖς ἀληθείαις τὴν σύλλογον, ἅτε δεδιότες τῶν κατηγόρων τὰ στόματα. Ἐπεὶ δὲ διὰ τὸ ἀπεῖναι τούτους, ἡ σύνοδος τὴν τῶν ἀμφιβόλων παρῃτεῖτο ἐξέτασιν, Λεωνᾶς ἐκέλευε καὶ οὕτω τὰ ἑκάστῳ δοκοῦντα εἰς ζήτησιν ἄγειν. Οἱ μὲν οὖν πρότερον τὸ δόγμα λέγειν, οἱ δ' ἐξετάζειν τοὺς βίους τῶν ἐν ἐγκλήμασιν ὄντων ἐν αὐτοῖς εἰσηγοῦντο· τοῦτο δὲ διὰ Κύριλλον τὸν Ἱεροσολύμων, καὶ Εὐστάθιον

CAPUT XLIII.

De synodo Seleuciæ congregata, et alia fidei formula quam Acacius dictavit.

Cæterum ut Macedonius throno suo sit deturbatus, multorumque malorum exiguam eam luerit pœnam, paulo post dicam. Nunc ad synodum Seleuciæ celebratam transeo, quam Constantius propter viæ difficultatem Ariminensis æmulam in Oriente agi præcepit. Seleuciæ apud Isauros centum et sexaginta episcopi convenere. Cum quibus Leonas fuit, qui dudum apud imperatorem præclarum in aula obtinebat locum. Sub eo fidei disquisitionem litteris Constantius fieri jusserat. Affuit ibi quoque Lauricius, gentis ejus dux, mandato ab imperatore accepto, ut si qua in re opus esset, et illi et episcopis adesset. Ubi in unum locum convenere, celeresque notarii affuere, quæcunque ibi dicerentur scriptis excepturi: in primo consessu multi abesse comperti sunt, in primis Constantinopolitanus Macedonius, Basilius Ancyranus, et Scythopolitanus Patrophilus. Hic quidem ægrum se esse, ille autem ex oculis laborare, atque alius aliud quidquam prætexens: reipsa vero, quod accusatorum metuerent ora, conventum vitantes. Postquam autem propter istorum absentiam, synodus rerum controversarum dispositionem instituere detrectavit: Leonas sic quoque unumquemque, quod sibi visum esset, in quæstionem producere jussit. Ita alii primum doctrinam constituendam, alii in eorum vitam qui inter ipsos rei agebantur

inquirendum esse censuerunt: atque id propter Cyrillum Hierosolymitanum, et Eustathium Sebastiensem, atque alios protulerunt. **785** Cui rei causam etiam imperatoris litteræ, nunc de fide primum, nunc de moribus inquirere jubentes, præbuere. Proinde in verborum contentionem delapsi, alteri alteros male accepere: et rixandi studio in duas discessere partes: quarum alteri Acacius Cæsariensis præiit, et Georgius Alexandrinus, et Uranius Tyrius, et Eudoxius Antiochenus, habentes secum alios triginta et duos: alteri autem Georgius Laodiceæ in Syria, Sophronius Pompeiopolis in Paphlagonia, et Eleusius Cyzici episcopus, quos reliquus synodi cœtus secutus est. Vicit tamen eorum sententia, qui primum de fide disputandum censuerunt. Huc ubi ventum, Acacius formulam fidei Nicææ editam abrogandam, aliamque novam promulgandam esse censuit. Altera autem factio, quæ etiam numero superior erat, Nicænam formulam complectendam comprobandamque esse dixit, ut modo unum τοῦ ὁμοουσίου (consubstantialis) verbum induceretur. Contentio hæc ad vesperam usque extracta est, donec Sylvanus, Tarsensis Ecclesiæ antistes, voce magna, non opus esse, exclamavit, aliam fidei scripturam componere: sufficere enim quæ Antiochiæ prius accurate et subtiliter dictata esset: eam ipsam retinendam esse. Quibus verbis commotus Acacius, cum factionis suæ popularibus ex conventu abiit. Qui vero ibi remansere, Antiochenam fidei professionem tum in concilio recitari jusserunt. Et sic consessus solutus est. Postridie autem templum divæ Theclæ ingressi, foribus clausis, sententiis suis quæ lecta fuerant comprobarunt, seorsimque subscriptionibus confirmarunt. Quidam etiam, vices aliorum absentium obeuntes, lectores et diaconi, eorum a quibus missi fuerant nomine eis subscripserunt. Quod factum Acacius reprehendit: quæ occulto gererentur, minus laudanda esse, atque a sinistra suspicione non abesse, dicens. Conabatur autem novam inferre fidem: quam etiam, sicuti ipsi visum fuerat, a se compositam, privatim principibus viris Leonæ et Lauricio legit, et obtinere maxime contendit. Hæc in secundo congressu acta. **786** Tertio porro die, jam etiam qui abfuerant præsto erant, Macedonius Constantinopolitanus, et Basilius Ancyranus. Cæterum Acacius cum factione sua in conventum se venturum negavit, nisi qui ab ipsis et antea exauctorati, et jam accusati essent, consessu exigerentur. Et multa inde coorta rixa, placitum est tandem, ut illi secederent: quod etiam est factum. Illi enim cessere. Statuerunt hoc sic Patres, Acacium causam synodi solvendæ fingere rati, ut simul et Aetii hæresis præsenti disquisitioni eximeretur, et qui rei agebantur judicium effugerent, ipsique adeo Acaciani, de quibus arguebantur criminibus, causam non dicerent. Atque ubi illis digressis, Acacius cum suis introiit, Leonas libellum quem sibi ab Acacio et popularibus ejus datum,

A τὸν Σεβαστείας προῆγον, καὶ ἄλλους. Πρόφασιν δ' ἐδίδου αὐτοῖς τὰ βασιλέως γράμματα, νῦν μὲν τὴν πίστιν πρότερον, νῦν δὲ τοὺς βίους ἐξετάζειν ἐγκελευόμενα. Κἀντεῦθεν εἰς ἔριδας λόγων ἰόντες, πρὸς ἀλλήλους κακῶς εἶχον, καὶ ἐκ φιλονεικίας εἰς δύο μέρη διῄρηντο· ὧν τοῦ μὲν ἑνὸς Ἀκάκιος ἡγεῖτο, τῆς ἐν Παλαιστίνῃ Καισαρείας ἐπίσκοπος, Γεώργιος Ἀλεξανδρείας, Τύρου Οὐράνιος, Εὐδόξιος Ἀντιοχείας, ἔχοντες μεθ' ἑαυτῶν καὶ ἄλλους δύο πρὸς τοῖς τριάκοντα· θατέρας δὲ μερίδος ἐξῆρχε Γεώργιος Λαοδικείας τῆς Συρίας, Σωφρόνιος Πομπηϊουπόλεως τῆς ἐν Παφλαγονίᾳ, καὶ Ἐλεύσιος ὁ Κυζίκου· οἷς καὶ τὸ λοιπὸν εἵπετο τῆς συνόδου πλήρωμα. Ἐκράτει δ' οὖν ὅμως τὸ περὶ πίστεως ἐξετάζειν πρότερον. Ἐπεὶ δὲ εἰς τοῦτο κατέστησαν, τοῖς μὲν περὶ Ἀκάκιον ἀθε- B τεῖσθαι δεῖν ἐδόκει τὴν ἐν Νικαίᾳ πίστεως ἔκθεσιν· ἄλλην δέ τινα καινοτέραν ὑπαγορεύειν ὑπεσημαίνοντο· οἱ δὲ τῆς ἑτέρας φάλαγγος, οἳ δὴ καὶ τῷ ἀριθμῷ ἐπλεόναζον, ἐκείνην μὲν πᾶσαν στέργειν καὶ ἀποδοχῆς ἀξιοῦν ἔλεγον· μόνην δὲ τὴν τοῦ ὁμοουσίου ἀπεσείοντο λέξιν. Καὶ ἄχρις ἑσπέρας ἡ περὶ ταῦτα φιλονεικία ἐχώρει, ἕως Σιλβανὸς τῆς Ταρσοῦ προεστὼς Ἐκκλησίας, μέγα ἀνακραγὼν, μὴ δεῖν ἑτέραν αὖθις πίστεως ὑπαγορεύειν γραφὴν ἔλεγεν. Ἀρκεῖν γὰρ ἐκείνην ἣ ἐν Ἀντιοχείᾳ πρότερον διηκρίβωται, καὶ χρῆναι ταύτῃ ἐμμένειν. Ἐφ' ᾧ χαλεπήναντες οἱ περὶ Ἀκάκιον, τοῦ συλλόγου ἐξῆλθον. Οἱ δ' ἐναπολειφθέντες τότε μὲν τὴν εἰρημένην ἐν Ἀντιοχείᾳ ἔκθεσιν τῷ συνεδρίῳ ἀνέγνωσαν, καὶ ὁ σύλλογος διελύετο· τῇ δ' ἐπιούσῃ, εἰς τὸν τῆς θεσπεσίας Θέκλης εἰσιόντες C νεὼν, καὶ τὰς θύρας ἀποκλεισάμενοι, ἐπεψηφίζοντο τὰ ἀνεγνωσμένα, καὶ ἐκύρουν καθ' ἑαυτοὺς ταῖς ὑπογραφαῖς. Καί τινες δὲ τόπον ἑτέρων ἐπέχοντες ἀναγνῶσταί τε καὶ διάκονοι, ὑπὲρ τῶν πεμψάντων ὑπέγραφον. Ἀκάκιος δὲ ἐν μέμψει τὸ πραχθὲν ἐποιεῖτο, Τὰ ἐν ἀποκρύφῳ, λέγων, γινόμενα, πόῤῥω μέν εἰσι τοῦ καλοῦ· κακῆς δ' ὑποψίας οὐδὲν ἐλλείπει. Σπουδάζων δ' ἑτέραν πίστιν εἰσάγειν, ἣν, ὡς ἐκείνῳ δεῖν ἐδόκει, καὶ διαθέμενος, ἰδίᾳ τοῖς ἄρχουσιν ἀνεγίνωσκε, Λεωνᾷ τε καὶ Λαυρικίῳ· καὶ κρατεῖν ἐκείνην μάλιστα ἠπειγε. Τοῦτο μὲν καὶ τῆς δευτέρας συνελεύσεως τὸ ἔργον· κατὰ δὲ τὴν τρίτην ἡμέραν παρῆσαν ἤδη καὶ οἱ ἀπολειφθέντες, Μακεδόνιος ὁ τῆς Κωνσταντίνου, καὶ Βασίλειος ὁ Ἀγκύρας. Οἱ δ ἀμ- D φὶ Ἀκάκιον τοῦ συλλόγου κοινωνεῖν παρῃτοῦντο, εἰ μὴ οἱ ὑπ' αὐτῶν καθαιρεθέντες, καὶ ἤδη κατηγορηθέντες, τοῦ συνεδρίου ἐξελαθῶσι. Πολλῆς δ' ἔριδος ἀναφθείσης ἐντεῦθεν, ἐκράτει μᾶλλον ἐξάγεσθαι· καὶ ἐξήγοντο. Παρεχώρουν γὰρ ἐκεῖνοι, οἰόμενοι Ἀκάκιον πλάττεσθαι πρόφασιν διαλύειν τὴν σύνοδον, ὡς καὶ τὴν Ἀετίου αἵρεσιν τὴν παροῦσαν ἐξέτασιν διαφυγεῖν, καὶ αὐτούς γ' ἐκείνους τὰς ὧν κατηγόρηντο δίκας. Ὡς δ' οἱ περὶ Ἀκάκιον εἰσῆλθον, ἀπιόντων ἐκείνων, Λεωνᾶς βιβλίον ἐπιδεικνὺς, αὐτῷ οἱ δοθῆναι ἐκ τῶν περὶ Ἀκάκιον ἔλεγε, μὴ πίστεως ἔκδοσιν εἶναι εἰπών· καὶ κρύφα γὰρ καὶ φανερῶς τοῖς παροῦσιν ἐμάχετο. Καὶ δῆτα ἐν ἡσύχῳ καθημένων ἐκείνων, μὴ πίστεως οἰομένων εἶναι τὴν ἔκδοσιν, τηνικαῦτα ἐφανεροῦτο ἡ τῆς Ἀκακίου πίστεως

ἔκδοσις, μετὰ προοιμίου τοῦτον περιέχουσα τὸν τρόπον· « Ἡμεῖς συνελθόντες ἐν Σελευκείᾳ τῆς Ἰσαυρίας, κατὰ τὸ βασιλικὸν βούλημα, τῇ χθὲς ἡμέρᾳ, ἥτις ἦν πρὸ πέντε Καλενδῶν Ὀκτωβρίων, πᾶσαν σπουδὴν ἐθέμεθα μετὰ πάσης εὐταξίας τὴν εἰρήνην τῇ Ἐκκλησίᾳ φυλάξαι, καὶ περὶ τῆς πίστεως εὐσταθῶς διαλαβεῖν, ὡς προσέταξεν ὁ θεοφιλέστατος βασιλεὺς ἡμῶν Κωνστάντιος, κατὰ τὰς προφητικὰς καὶ εὐαγγελικὰς φωνὰς, καὶ μηδὲν παρὰ τὰς Γραφὰς ἐπεισενέγκαι τῇ ἐκκλησιαστικῇ πίστει. Ἐπεὶ δέ τινες ἐν τῇ συνόδῳ τοὺς μὲν ἡμῶν ὕβρισαν, τοὺς δὲ ἐπεστόμισαν, οὐ συγχωροῦντες λαλεῖν, τοὺς δὲ ἀπέκλεισαν ἄκοντας, τοὺς δὲ καθῃρημένους ἐκ διαφόρων ἐπαρχιῶν εἶχον μεθ' ἑαυτοὺς, καὶ παρὰ κανόνα καταστάντας ἦγον μεθ' ἑαυτῶν, ὡς πανταχόθεν θορύβου γενέσθαι πλήρη τὴν σύνοδον· καθὼς καὶ ὁ λαμπρότατος κόμης Λεωνᾶς, καὶ ὁ λαμπρότατος ἡγούμενος τῆς ἐπαρχίας Λαυρίκιος αὐτοψίᾳ παρέλαβε· τούτου ἕνεκεν διαλαλοῦμεν ταῦτα, ὡς οὐ φεύγομεν τὴν ἐκτεθεῖσαν αὐθεντικὴν πίστιν ἐν τοῖς ἐγκαινίοις τοῖς κατὰ τὴν Ἀντιόχειαν, προκομίζοντες αὐτὴν, εἰ καὶ τὰ μάλιστα οἱ πατέρες ἡμῶν κατ' ἐκεῖνο τοῦ καιροῦ πρὸς τὸ ὑποκείμενον τῆς ζητήσεως συνέδραμον. Ἐπεὶ δὲ πολλοὺς ἐθορύβησε τὸ ὁμοούσιον καὶ τὸ ὁμοιοούσιον ἐν τοῖς παροῦσι χρόνοις καὶ μέχρι νῦν, ἀλλὰ καὶ ἀρτίως λέγεται καινοτομεῖσθαι ὑπό τινων τὸ ἀνόμοιον Υἱοῦ πρὸς τὸν Πατέρα· τούτου χάριν τὸ μὲν ὁμοούσιον καὶ τὸ ὁμοιοούσιον ἐκβάλλομεν ὡς ἀλλότρια τῶν Γραφῶν· τὸ δὲ ἀνόμοιον ἀναθεματίζομεν· καὶ πάντας ὅσοι τοιοῦτοι τυγχάνουσιν, ἀλλοτρίους ἡγούμεθα τῆς Ἐκκλησίας. Τὸ δὲ ὅμοιον τοῦ Υἱοῦ πρὸς Πατέρα σαφῶς ὁμολογοῦμεν, κατὰ τὸν Ἀπόστολον λέγοντα περὶ τοῦ Υἱοῦ, *Ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου*. Ὁμολογοῦμεν δὲ καὶ πιστεύομεν εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν καὶ ἀοράτων. Πιστεύομεν δὲ καὶ εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν Υἱὸν αὐτοῦ· τὸν ἐξ αὐτοῦ γεννηθέντα ἀπαθῶς πρὸ πάντων τῶν αἰώνων· Θεὸν Λόγον ἐκ Θεοῦ μονογενῆ· φῶς, ζωὴν, ἀλήθειαν, σοφίαν· δι' οὗ τὰ πάντα ἐγένετο τά τε ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, εἴτε ὁρατὰ εἴτε ἀόρατα. Τοῦτον πιστεύομεν ἐπὶ συντελείᾳ τῶν αἰώνων εἰς ἀθέτησιν τῆς ἁμαρτίας σάρκα ἀνειληφέναι ἐκ τῆς ἁγίας Παρθένου Μαρίας, καὶ ἐνανθρωπήσαντα· παθόντα ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν· καὶ ἀναστάντα καὶ ἀναληφθέντα εἰς οὐρανοὺς, καθέζεσθαι ἐν δεξιᾷ τοῦ Πατρός· καὶ πάλιν ἐρχόμενον ἐν δόξῃ κρῖναι ζῶντας καὶ νεκρούς. Πιστεύομεν δὲ καὶ εἰς τὸ ἅγιον Πνεῦμα, ὃ καὶ Παράκλητον ὠνόμασεν ὁ Σωτὴρ, ὁ Κύριος ἡμῶν, ἐπαγγειλάμενος μετὰ τὸ ἀπελθεῖν αὐτὸν πέμψαι τοῦτο τοῖς μαθηταῖς· ὃ καὶ ἀπέστειλε· δι' οὗ καὶ ἁγιάζει τοὺς ἐν τῇ Ἐκκλησίᾳ πιστεύοντας, καὶ βαπτιζομένους ἐν ὀνόματι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Τοὺς δὲ παρὰ ταύτην τὴν

A non fidei formulam continere dicebat (1), exhibuit. Simul enim is et clam et palam eos qui in synodo aderant oppugnabat, nec minus libellus aperte et clandestine lectores infestabat. Illis igitur tacentibus, et considentibus, quod minime fidei formulam esse in scripto eo putarent, Acacii tum fidei professio est publicata, cum præfatione ad hunc concepta modum : « Nos qui Seleuciæ Isaurorum imperatoris jussu hesterno die (qui dies erat ante v Kal. Octobr.) convenimus, omni studio in hoc incubuimus, debitam moderationem omnem adhibentes, ut pacem Ecclesiæ conservaremus, et de fide graviter et constanter, sicuti Dei amantissimus imperator noster Constantius præcepit, juxta propheticas et evangelicas voces tractaremus, et nihil
B præter Scripturam in ecclesiasticam fidei professionem insereremus. Quoniam vero in synodo nonnulli quosdam ex nostris injuria affecere, quibusdam ora, non permittentes eos sententiam dicere, obstruxere, alios exclusere invitos, atque eos, quibus dignitas adempta est, ex variis provinciis, vel qui contra canones in ordinem ecclesiasticum cooptati sunt, secum adduxere, ita ut ex omni parte conventus turbis repletus sit, quemadmodum id clarissimi viri, Leonas Comes, et Lauricius provinciæ hujus præfectus, oculis ipsi suis conspexere : propterea profitemur, nos non defugere auctoritatem fidei, quæ Antiochiæ encæniis ipsis publicata est, quam etiam proferimus. **787** Quan-
C doquidem constat patres nostros id temporis in hac proposita de fide controversia inter se consensisse. Verum quoniam τὸ ὁμοούσιον (*consubstantiale*), et τὸ ὁμοιούσιον (*simile substantia*) præteritis temporibus, atque adeo nunc quoque perturbavit, et nuper admodum quidam per res novas dissimilem esse Patri Filium promulgarunt : ea ipsa de causa et τὸ ὁμοούσιον, *consubstantiale*, et τὸ ὁμοιούσιον, *simile substantia*, ut voces a Scripturis alienas, rejicimus : ἀνόμοιον hoc est, *dissimile* autem anathemati subjicimus : et omnes qui hoc opinantur, alienos ab Ecclesia esse censemus. Similitudinem vero Filii ad Patrem diserte profitemur, de Apostoli sententia, qui de Filio dicit: *Qui est imago Dei invisibilis* [1]. Profitemur
D porro, et credimus in unum Deum Patrem omnipotentem, factorem cœli et terræ, visibilium et invisibilium. Credimus vero etiam in Dominum nostrum Jesum Christum, Filium ejus, ex eo genitum citra perpessionem omnem ante omnia sæcula, Deum Verbum ex Deo unigenitum, lumen, vitam, veritatem, sapientiam : per quem omnia facta sunt, quæque in cœlis, quæque in terra, sive visibilia seu invisibilia. Hunc credimus in consummatione sæculorum, ad abolitionem peccati carnem sumpsisse e sancta Virgine Maria, et hominem factum, passum pro peccatis nostris. Qui et

[1] Coloss. I, 15.

(1) Consulto enim id celabat, Acacii partibus favens. Sozom. lib. IV, cap. 21.

resurrexit, et receptus est in cœlos, ut sedeat in dextera Patris, venturus rursum in gloria ad judicandum vivos et mortuos. Credimus autem et in Spiritum sanctum, quem Paracletum nominavit, et missurum se post suum discessum apostolis promisit, sicuti et misit Salvator et Dominus noster: per quem et sanctificat in Ecclesia credentes, et baptizatos in nomine Patris et Filii et Spiritus sancti. Qui vero præter hanc fidem aliud quidquam prædicant, eos ab Ecclesia catholica esse alienos.» Hæc est Acacii formula. Cui etiam factionis ejus fautores triginta duo illi subscripsere. Ad quam Sophronius Paphlago Pompeiopolitanus episcopus aperte hæc verba dixisse fertur: Si quotidie voluntatem suam exponere, fidei formulam edere est, destituet nos veritatis ipsius certitudo. Sophronius quidem hoc tum sic voce magna dixit: **788** ego vero censuerim, si et qui ante eos fuere, et qui eos sunt secuti, itidem de Nicæna fidei professione cogitassent atque egissent, sincerum Ecclesiæ dogma conservaturos, et deliramenta omnia longe a sacris Ecclesiæ septis abfutura fuisse. Ac tum quidem cum alteri alteros accusantes, plurima et dixissent et audissent, consessus est solutus. Quarto congressu multa futiliter nugati sunt. Et Acacius nihil obstare, quin alia fides ederetur, contendebat, quandoquidem semel Nicæna formula mutata esset; non semel, imo verum sæpius. Ad quæ Eleusius Cyzicenus: Hæc synodus, dixit, coacta est, non ut addiscat quæ prius non didicerit, neque ut probatiorem inveniat fidem, quam ea est quæ a Patribus Antiochiæ est promulgata. Nam in ejus definitionibus assensu conquiescens, quamvis aliud quidquam ab ea edatur, non tamen unquam illam relinquet. Cui ego obvians dixerim: Quomodo tandem, Eleusi pessime, qui Antiochiæ congregati fuere, Patres vocas? Multo enim magis Patres te nominare eos conveniebat, qui Nicææ convenientes, una voce τὸ *ὁμοούσιον, consubstantiale*, promulgarunt: cum quod tempore sunt vetustiores, tum quod qui Antiochiæ coacti sunt, ab illis sacrorum munerum functionem acceperunt. Quod si isti patres suos reprobarunt, parricidas potius quam Patres eos dicas. Quis itaque tales viros sequatur? Et illorum fides si reproba est, nec ordinatio eorum prorsus non potest in dubium vocari. Namque si ante istos illi Spiritum sanctum non habuere, qui per impositionem manuum maxime venit, neque isti omnino inter episcopos et sacerdotes censendi. Quomodo enim dignitatem talem ab eis accipere potuerunt, qui illam nunquam habuerint? Hisce verbis quisquam contra Eleusium venire potuisset. Porro disputatione progrediente, ad quæstionem aliam pervenere. Et quoniam in formula similem dixerant Patri Filium, Acacii factio interrogata est, quanam re similem Patri Filium profiterentur? Atque illa, voluntate sola, non autem substantia, similem dicente, alii omnes, etiam substantia similem dicen-

A πάντα ἄλλον τι κηρύττοντας ἀλλοτρίους εἶναι τῆς καθολικῆς Ἐκκλησίας.» Ἡ μὲν οὖν Ἀκακίου ἔκθεσις αὕτη· ἣν σὺν αὐτῷ καὶ οἱ περὶ αὐτὸν δύο πρὸς τοῖς τριάκοντα καθυπέγραψαν· πρὸς ἣν Σωφρόνιος ὁ Παφλαγὼν τῆς Πομπηίου ἐπισκοπεύων, διαῤῥήδην τοιαῖς λέξεσιν οὕτως εἰπεῖν λέγεται· Εἰ τὸ ἰδίαν ἑκάστης ἡμέρας ἐκτίθεσθαι βούλησιν πίστεώς ἐστιν ἔκθεσις, ἐπιλείψει ἡμᾶς ἡ τῆς ἀληθείας ἀκρίβεια. Ὁ μὲν οὖν Παφλαγὼν Σωφρόνιος ταῦτα τηνικάδε ἐδήλου· ἐγὼ δέ φημι ὡς εἰ καὶ πρὸ αὐτῶν καὶ οἱ μετ' ἐκείνους τοιάδε περὶ τῆς ἐν Νικαίᾳ πίστεως καὶ διενοοῦντο καὶ ἔπραττον, ἀκίβδηλον ἂν τὸ τῆς Ἐκκλησίας δόγμα διατετήρητο, καὶ πᾶσα φλυαρία ἦν ἂν τῶν θείων περιβόλων μακράν. Καὶ τότε μὲν τὸν σύλλογον ἔλυον, πλεῖστα πρὸς ἀλλήλους B περὶ τῶν κατηγορουμένων εἰπόντες τε καὶ ἀκούσαντες· τῇ δὲ τετάρτῃ συνεδρίᾳ πολλὴ ἀδολεσχία ὑφαίνετο. Ὁ δ' Ἀκάκιος ἰσχυρίζετο μηδὲν εἶναι τὸ ἐμποδὼν ἑτέραν πίστιν εἰσάγειν, ἐπεὶ καθάπαξ ἡ ἐν Νικαίᾳ πίστις μετεποιήθη· καὶ οὐχ ἅπαξ, ἀλλὰ δὴ καὶ πολλάκις. Πρὸς δὲ ταῦτα Ἐλεύσιος ὁ Κυζίκου, Ἡ νῦν, φησὶ, σύνοδος ἠθροίσθη, οὐχ ἵνα γνῷ ἃ μὴ ἔσχε μαθοῦσα πρότερον, οὐδ' ἵνα δοκιμωτέραν πίστιν ἐξεύρῃ, παρ' ἣν ἐν Ἀντιοχείᾳ παρὰ τῶν Πατέρων εἰλήφει· τοῖς γὰρ ἐκείνων ὅροις στοιχοῦσα, οὐκ ἄν, εἴ τι καὶ γένηται, ταύτης ἀποσταίη ποτέ. Πρὸς ἣν ἐγὼ ἀπαντῶν, Πῶς, ὦ κάκιστ' Ἐλεύσιε, φαίην ἄν, Πατέρας τοὺς ἐν Ἀντιοχείᾳ καλεῖς; Πολλῷ γὰρ κρεῖττον ἐκείνους μᾶλλον καλεῖν σε Πα- C τέρας οἳ, ἐν Νικαίᾳ συνδραμόντες, ὁμοφώνως τὸ ὁμοούσιον ἀνεκήρυξαν· ὅτι γε καὶ τοῖς χρόνοις ὑπερτεροῦσιν, καὶ οἷς οἱ ἐν Ἀντιοχείᾳ ἐλθόντες ὑπ' ἐκείνων ἔσχον τὸ ἱερᾶσθαι. Εἰ δ' ἐκεῖνοι τοὺς ἑαυτῶν Πατέρας ἠθέτησαν, πατραλοῖαι μᾶλλον, καὶ οὐ Πατέρες, κληθεῖεν ἄν. Καὶ πῶς ἄν τις ἕποιτο τοῖς τοιούτοις; Εἰ δ' ἀδόκιμος ἐκείνων ἡ πίστις, οὐδὲ ἡ χειροτονία πάντως ἐν ἀμφιλέκτοις. Εἰ γὰρ πρὸ ἐκείνων τὸ ἅγιον Πνεῦμα οὐκ εἶχον, ὃ μάλιστα τῇ ἐπιθέσει ἔρχεται τῶν χειρῶν, οὐδ' οὗτοι πάντως ἐν ἱερεῦσι. Πῶς γὰρ ἂν καὶ λαβεῖν εἶχον παρὰ τῶν μὴ καθάπαξ λαβόντων; Ταῦτα μὲν ἄν τις πρὸς Ἐλεύσιον ἀντιστὰς εἴποι· τῆς δὲ διαλέξεως γινομένης, εἰς ζήτησιν ἑτέραν καθίσταντο· καὶ ἐπεὶ τῇ ἐκδόσει ὅμοιον ἔφησαν τῷ Πατρὶ τὸν Υἱὸν, διεπυνθάνοντο D τῶν περὶ Ἀκάκιον, κατὰ τί ὅμοιον τῷ Πατρὶ τὸν Υἱὸν ὁμολογοῦσι. Τῶν δὲ κατὰ βούλησιν μόνον, οὐ μὴν δὲ καὶ κατὰ τὴν οὐσίαν ἔχειν τὸ ὅμοιον, οἱ ἄλλοι πάντες καὶ κατὰ τὴν οὐσίαν ὅμοιον ἰσχυρίζοντο λέγειν. Καὶ περὶ τούτου ἔρις πλείστη δι' ὅλης ἡμέρας ἐγίνετο. Ἐξήλεγχόν τε καὶ αὐτὸν Ἀκάκιον ὡς εἴη διαφόρως γράψας ἐν τοῖς αὐτοῦ λόγοις, οὓς καὶ ἐκδέδωκεν, ὅμοιον κατὰ πάντα τῷ Πατρὶ τὸν Υἱὸν εἰπὼν, καὶ ὁμοίως δοξάζειν αὐτοῖς. Καὶ νῦν πῶς ἀρνῇ, ἔλεγον, τὸ κατ' οὐσίαν ὅμοιον; Ὁ δὲ, Οὔτε νέος τις, οὔτε τις τῶν ἀρχαίων ἀπὸ συγγραμμάτων εὐθύνας ἔσχε. Καὶ ἔριδος πλείστης ἀναπτομένης, τέλος ὁ Κυζίκου Ἐλεύσιος, Εἰ μὲν Βασίλειος, ἔφη, ἢ Μάρκος τινὰ καθ' ἑαυτοὺς πεπραχότες εἰσὶν, ἢ ἐπί τισιν ἰδίοις ἀλλήλοις ἀντεγκαλοῦντες, οὐδὲν τὸ

ἐντεῦθεν τῇ συνόδῳ ἐστίν. Ἀλλ' οὐδὲ εἰ μὴ καλῶς ἢ ἄλλως ἔχει, ἃ αὐτοὶ ἔθεντο περὶ πίστεως, ἐπάναγκες πολυπραγμονεῖν. Χρῆναι δ' ἡγοῦμαι τῇ ἐν Ἀντιοχείᾳ ἕπεσθαι ἑπτὰ καὶ ἐννενήκοντα Πατράσι παραδεδομένῃ. Εἰ δέ τις ἄλλην εἰσηγεῖσθαι ἐθέλοι ἔκθεσιν πίστεως, τοῦτον δίκαιον πάντας ἀλλότριον τῆς εὐσεβείας καὶ τῆς Ἐκκλησίας νομίζειν. Ταῦτ' εἰπόντος, ὁ σύλλογος διελύετο αὖθις. Τῇ δὲ ὑστεραίᾳ οὐκέτι τῷ συλλόγῳ παραβαλεῖν οἱ περὶ Ἀκάκιον καὶ Γεώργιον ἤθελον. Καὶ αὐτὸς δὲ Λεωνᾶς κληθεὶς ἀπεῖπε τὴν ἔλευσιν· τὰ γὰρ ἐκείνων ἐφρόνει περιφανῶς· ἀπεστάλθαι δὲ πρὸς βασιλέως πρόφασιν ἐποιεῖτο ἐπὶ τῇ συνοδικῇ συμφωνίᾳ. Ἐπεὶ δ' οὕτως ἀτάκτως διίστασθε, ὑμῖν συνέρχεσθαι οὐ ῥᾳδίως ἔχω. Εἰ δ' ὑμεῖς αἱρεῖσθε, ἀπέλθετε, καὶ ἐν τῇ ἐκκλησίᾳ ἐρεσχελεῖτε καθήμενοι. Χρόνου δὲ τριβομένου, ἐκαλοῦντο μὲν οἱ περὶ Ἀκάκιον· οἱ δὲ ῥητοὺς εἰς τὴν Λεωνᾶ οἰκίαν γενέσθαι ἠξίουν. Διισχυρίζοντο δὲ, πρόσταγμα ἐκ βασιλέως ἔχειν κρίνειν τοὺς ἄλλους. Οἱ δὲ οὔτε τὴν αὐτὴν πίστιν ὁμολογεῖν ἠνείχοντο, ἀλλ' οὐδὲ περὶ τῶν ἐγκλημάτων ἀπολογεῖσθαι. Κληθέντες δὲ καὶ εἰς τὴν κατὰ Κύριλλον τὸν Ἱεροσολύμων ἐξέτασιν, ὃν αὐτοὶ καθεῖλον, οὐ παρεγένοντο. Ἐκεῖνοι δὲ ἀδεῶς οὐ μόνον ταῦτ' ἔπραττον, ἀλλὰ καὶ Ἀκάκιον καὶ τοὺς προσπεφευγότας τοῖς περὶ ἐκεῖνον, ἅτε δὴ τὰ ἐγκλήματα δεδοικότας, καθεῖλον· Γεώργιόν τε τὸν Ἀλεξανδρείας, καὶ Οὐράνιον τὸν Τύρου, καὶ Πατρόφιλον, καὶ Εὐδόξιον τὸν Ἀντιοχείας· τοὺς δ' ἄλλους ἀκοινωνησίας κανόνι ἐπέσχον, ἄχρις οὗ πρὸς τὰ ἐπαχθέντα ἐγκλήματα δοῖεν ἀπόλογον, καὶ τὰ ἐπ' αὐτοῖς γενόμενα τῇ ἑκάστου παροικίᾳ διεμηνύσαντο γράμμασιν. Ἀντὶ μὲν οὖν Εὐδοξίου Ἀνιανὸν τῇ Ἀντιοχέων χειροτονοῦσι, τῆς ἐκεῖσε ἐκκλησίας πρεσβύτερον, ὃν αὐτίκα οἱ περὶ Ἀκάκιον συλλαβόμενοι Λεωνᾷ καὶ Λαυρικίῳ παρέδοσαν, οἳ φρουρᾷ ἐκ στρατιωτῶν περιώρισαν· ἐς ὕστερον δὲ καὶ φυγὴν ὑπερόριον αὐτοῦ κατεδίκασαν. Τὰ μὲν οὖν τῆς ἐν Σελευκείᾳ συνόδου πραχθέντα, ὡς ἐν συντόμῳ εἰπεῖν, εἰς τοῦτο ἔληγε τέλους· οἷς δ' ἐπιμελὲς καὶ τὰ πρὸς λεπτὸν τῶν πραχθέντων εἰδέναι, ἐκ τῶν ἐκείνης ὑπομνημάτων εἴσονται, ἃ ταχυγράφοι τότε παρόντες ἠκρίβωσαν. Τούτων οὕτω γεγενημένων, οἱ περὶ Ἀκάκιον σπουδῇ ἐπὶ τὸν κρατοῦντα ἀνέρχονται· οἱ δὲ ἄλλοι ἕκαστος ἐπὶ τὰ οἰκεῖα ἤδη ἐχώρουν.

A dum esse confirmabant. Qua de re toto eo die maxima fuit contentio. 739 Convicerunt quoque ipsum Acacium, quod sibi ipsi propter variam scriptionem in libris suis quos edidisset, non constaret, in quibus prius similem per omnia Patri Filium dixerit, idemque cum ipsis senserit : nunc vero tandem substantia similem esse negaret. Ad quæ ille, neque ex recentioribus, neque ex antiquis quemquam ad scriptorum suorum rationem reddendam obstrictum esse, respondit. Contentione inde maxime gliscente, postremo Eleusius Cyzicenus, Siquidem Basilius, inquit, aut Acacius, aut Marcus, per se aliquid agant, vel ipsi mutuo sese de quopiam criminentur, nihil id ad synodum pertineat. Sed neque quæ ipsi de fide sive recte seu B perperam perscripsere, necesse habemus curiosius de eis inquirere. Peropus autem esse judico, in professione Antiochena a nonaginta et septem Patribus prodita acquiescere. Si quis autem aliam subjicere velit fidei formulam, eum æquum esse ut omnes a vera pietate et Ecclesia alienum esse censeant. Hisce verbis conventus rursum solutus. Postero autem die Acacius et Georgius cum sectatoribus suis in conventum venire noluerunt. Atque ipse Leonas, vocatus quoque, se venturum negavit. Aperte namque cum illis sentiebat, illam præ se ferens causam, ab imperatore se ad synodi concordiam conciliandam missum esse. Quandoquidem vero ita nullo servato ordine inter se dissiderent, C non facile ei esse ad eos accedere. Si vero ipsi vellent, abirent, atque in ecclesia sedentes nugas agerent. Ita tempus extrahebatur. Et vocabatur quidem cum suis in conventum Acacius. Illi autem certos episcopos in Leonæ domum, ubi frequentes ipsi esse solebant, venire voluerunt: atque insuper asseverarunt, mandatum se ab imperatore habere, ut alios judicarent. Sed neque eamdem cum aliis fidem profiteri, neque ad objecta crimina respondere, sustinuere. Quin etiam ad Cyrilli (1) Hierosolymitani causam audiendam invitati, quem ipsi episcopatu abire jusserant, non affuere. Neque enim qui eos cogeret, aderat quisquam. At alteri illi non modo libere hæc egerunt, sed Acacium etiam, et quicunque ad eum confugissent, quippe D qui intentata eis crimina diluere timuissent, dignitate privarunt : Georgium scilicet Alexandrinum, Uranium Tyrium, Patrophilum Scythopolitanum, et Eudoxium Antiochenum : alios autem excommunicationis canoni subjecere, donec de criminibus eis objectis per causæ dictionem satisfecerent. 790 Atque id quod de eis actum esset, parœciæ cuilibet perscripsere. Et in Eudoxii locum Antiochiæ Anianum surrogavere, Ecclesiæ Antiochenæ presbyterum : quem confestim Acacius comprehensum, Leonæ et Lauricio tradidit, qui sub militari custodia eum tenuere, et postea exsilio condemnavere. Et res quidem Seleuciæ in synodo actæ, sicuti eas compendiose exponere potui, hunc habuere finem. Qui vero accurate omnia cognoscere velint, ex ejus actis ea petant, quæ dispositi notarii diligentia summa confecere. Rebus ita gestis, Acacii fautores celeriter ad imperatorem sunt profecti. Alii vero domum quisque suam receperunt.

(1) Cyrillus a synodo ad imperatorem provocavit, et imperator provocationem approbavit. Factum hoc contra Ecclesiastici canonis consuetudinem. (Socrat.)

resurrexit, et receptus est in cœlos, ut sedeat in dextra Patris, venturus rursum in gloria ad judicandum vivos et mortuos. Credimus autem et in Spiritum sanctum, quem Paracletum nominavit, et missurum se post suum discessum apostolis promisit, sicuti et misit Salvator et Dominus noster : per quem et sanctificat in Ecclesia credentes, et baptizatos in nomine Patris et Filii et Spiritus sancti. Qui vero præter hanc fidem aliud quidquam prædicant, eos ab Ecclesia catholica esse alienos.» Hæc est Acacii formula. Cui etiam factionis ejus fautores triginta duo illi subscripsere. Ad quam Sophronius Paphlago Pompeiopolitanus episcopus aperte hæc verba dixisse fertur : Si quotidie voluntatem suam exponere, fidei formulam edere est, destituet nos veritatis ipsius B certitudo. Sophronius quidem hoc tum sic voce magna dixit : **788** ego vero censuerim, si et qui ante eos fuere, et qui eos sunt secuti, itidem de Nicæna fidei professione cogitassent atque egissent, sincerum Ecclesiæ dogma conservaturos, et deliramenta omnia longe a sacris Ecclesiæ septis abfutura fuisse. Ac tum quidem cum alteri alteros accusantes, plurima et dixissent et audissent, consessus est solutus. Quarto congressu multa futiliter nugati sunt. Et Acacius nihil obstare, quin alia fides ederetur, contendebat, quandoquidem semel Nicæna formula mutata esset; non semel, imo verum sæpius. Ad quæ Eleusius Cyzicenus : Hæc synodus, dixit, coacta est, non ut addiscat quæ C prius non didicerit, neque ut probatiorem inveniat fidem, quam ea est quæ a Patribus Antiochiæ est promulgata. Nam in ejus definitionibus assensu conquiescens, quamvis aliud quidquam ab ea edatur, non tamen unquam illam relinquet. Cui ego obvians dixerim : Quomodo tandem, Eleusi pessime, qui Antiochiæ congregati fuere, Patres vocas? Multo enim magis Patres te nominare eos conveniebat, qui Nicææ convenientes, una voce τὸ ὁμοούσιον, *consubstantiale*, promulgarunt : cum quod tempore sunt vetustiores, tum quod qui Antiochiæ coacti sunt, ab illis sacrorum munerum functionem acceperunt. Quod si isti patres suos reprobarunt, parricidas potius quam Patres eos dicas. Quis itaque tales viros sequatur? Et illorum fides si re- D proba est, nec ordinatio eorum prorsus non potest in dubium vocari. Namque si ante istos illi Spiritum sanctum non habuere, qui per impositionem manuum maxime venit, neque isti omnino inter episcopos et sacerdotes censendi. Quomodo enim dignitatem talem ab eis accipere potuerunt, qui illam nunquam habuerint? Hisce verbis quisquam contra Eleusium venire potuisset. Porro disputatione progrediente, ad quæstionem aliam pervenere. Et quoniam in formula similem dixerant Patri Filium, Acacii factio interrogata est, quanam re similem Patri Filium profiterentur? Atque illa, voluntate sola, non autem substantia, similem dicente, alii omnes, etiam substantia similem dicen-

A πίστιν ἄλλο τι κηρύσσοντας ἀλλοτρίους εἶναι τῆς καθολικῆς Ἐκκλησίας. » Ἡ μὲν οὖν Ἀκακίου ἔκδοσις αὕτη· ἣν σὺν αὐτῷ καὶ οἱ περὶ αὐτὸν δύο πρὸς τοῖς τριάκοντα καθυπέγραψαν· πρὸς ἣν Σωφρόνιος ὁ Παφλαγὼν τὴν Πομπηΐου ἐπιτροπεύων, διαῤῥήδην αὐταῖς λέξεσιν οὕτως εἰπεῖν λέγεται· Εἰ τὸ ἰδίαν ἑκάστης ἡμέρας ἐκτίθεσθαι βούλησιν πίστεώς ἐστιν ἔκθεσις, ἐπιλείψει ἡμᾶς ἡ τῆς ἀληθείας ἀκρίβεια. Ὁ μὲν οὖν Παφλαγὼν Σωφρόνιος ταῦτα τηνικάδε ἐβόησεν· ἐγὼ δέ φημι ὡς εἴ γε οἱ πρὸ αὐτῶν καὶ οἱ μετ' ἐκείνους τοιάδε περὶ τῆς ἐν Νικαίᾳ πίστεως καὶ διενοοῦντο καὶ ἔπραττον, ἀκίβδηλον ἂν τὸ τῆς Ἐκκλησίας δόγμα διατετήρητο, καὶ πᾶσα ἐρεσχελία ἦν ἂν τῶν θείων περιβόλων μακράν. Καὶ τότε μὲν τὸν σύλλογον ἔλυον, πλεῖστα πρὸς ἀλλήλους B περὶ τῶν κατηγορουμένων εἰπόντες τε καὶ ἀκούσαντες· τῇ δὲ τετάρτῃ συνελεύσει πολλὴ ἀδολεσχία ὑφαίνετο. Ὁ δ' Ἀκάκιος ἰσχυρίζετο μηδὲν εἶναι τὸ ἐμποδὼν ἑτέραν πίστιν εἰσάγειν, ἐπεὶ καθάπαξ ἡ ἐν Νικαίᾳ πίστις μετεποιήθη· καὶ οὐχ ἅπαξ, ἀλλὰ δὴ καὶ πολλάκις. Πρὸς δὲ ταῦτα Ἐλεύσιος ὁ Κυζίκου, Ἡ νῦν, φησὶ, σύνοδος ἠθροίσθη, οὐχ ἵνα γνῷ ἃ μὴ ἔσχε μαθοῦσα πρότερον, οὐδ' ἵνα δοκιμωτέραν πίστιν ἐξεύρῃ, παρ' ἣν ἐν Ἀντιοχείᾳ παρὰ τῶν Πατέρων εἰλήφει· τοῖς γὰρ ἐκείνων ὅροις στοιχοῦσα, οὐκ ἄν, εἴ τι καὶ γένηται, ταύτης ἀποσταίη ποτέ. Πρὸς ἣν ἐγὼ ἀπαντῶν, Πῶς, ὦ κάκιστ' Ἐλεύσιε, φαίην ἄν, Πατέρας τοὺς ἐν Ἀντιοχείᾳ καλεῖς; Πολλῷ γὰρ κρεῖττον ἐκείνους μᾶλλον καλεῖν σε Πα- C τέρας οἳ, ἐν Νικαίᾳ συνδραμόντες, ὁμοφώνως τὸ ὁμοούσιον ἀνεκήρυξαν· ὅτι γε καὶ τοῖς χρόνοις ὑπερτεροῦσιν, καὶ οἷς οἱ ἐν Ἀντιοχείᾳ ἐλθόντες ὑπ' ἐκείνων ἔσχον τὸ ἱερᾶσθαι. Εἰ δ' ἐκεῖνοι τοὺς ἑαυτῶν Πατέρας ἠθέτησαν, πατραλοῖαι μᾶλλον, καὶ οὐ Πατέρες, κληθεῖεν ἄν. Καὶ πῶς ἄν τις ἕποιτο τοῖς τοιούτοις; Εἰ δ' ἀδόκιμος ἐκείνων ἡ πίστις, οὐδὲ ἡ χειροτονία πάντως ἐν ἀμφιλέκτοις. Εἰ γὰρ πρὸ ἐκείνων τὸ ἅγιον Πνεῦμα οὐκ εἶχον, ὃ μάλιστα τῇ ἐπιθέσει ἔρχεται τῶν χειρῶν, οὐδ' οὗτοι πάντως ἐν ἱερεῦσι. Πῶς γὰρ ἂν καὶ λαβεῖν εἶχον παρὰ τῶν μὴ καθάπαξ λαβόντων; Ταῦτα μὲν ἄν τις πρὸς Ἐλεύσιον ἀντιστὰς εἴποι· τῆς δὲ διαλέξεως γινομένης, εἰς ζήτησιν ἑτέραν καθίσταντο· καὶ ἐπεὶ τῇ ἐκδόσει ὅμοιον ἔφησαν τῷ Πατρὶ τὸν Υἱὸν, διεπυνθάνοντο D τῶν περὶ Ἀκάκιον, κατὰ τί ὅμοιον τῷ Πατρὶ τὸν Υἱὸν ὁμολογοῦσι. Τῶν δὲ κατὰ βούλησιν μόνον, οὐ μὴν δὲ καὶ κατὰ τὴν οὐσίαν ἔχειν τὸ ὅμοιον, οἱ ἄλλοι πάντες καὶ κατὰ τὴν οὐσίαν ὅμοιον ἰσχυρίζοντο λέγειν. Καὶ περὶ τούτου ἔρις πλείστη δι' ὅλης ἡμέρας ἐγίνετο. Ἐξήλεγχόν τε καὶ αὐτὸν Ἀκάκιον ὡς εἴη διαφόρως γράψας ἐν τοῖς αὐτοῦ λόγοις, οὓς καὶ ἐκδέδωκεν, ὅμοιον κατὰ πάντα τῷ Πατρὶ τὸν Υἱὸν εἰπὼν, καὶ ὁμοίως δοξάζειν αὐτοῖς. Καὶ νῦν πῶς ἀρνῇ, ἔλεγον, τὸ κατ' οὐσίαν ὅμοιον; Ὁ δὲ, Οὔτε νέος τις, οὔτε τις τῶν ἀρχαίων ἀπὸ συγγραμμάτων εὐθύνας ἔσχε. Καὶ ἔριδος πλείστης ἀναπτομένης, τέλος ὁ Κυζίκου Ἐλεύσιος, Εἰ μὲν Βασίλειος, ἔφη, ἢ Μάρκος τινὰ καθ' ἑαυτοὺς πεπραχότες εἰσὶν, ἢ ἐπί τισιν ἰδίοις ἀλλήλοις ἀντεγκαλοῦντες, οὐδὲν τὸ

ἐντεῦθεν τῇ συνόδῳ ἐστίν. Ἀλλ' οὐδὲ εἰ μὴ καλῶς ἢ ἄλλως ἔχει, ἃ αὐτοὶ ἔθεντο περὶ πίστεως, ἐπάναγκες πολυπραγμονεῖν. Χρῆναι δ' ἡγοῦμαι τῇ ἐν Ἀντιοχείᾳ ἕπεσθαι ἑπτὰ καὶ ἐννενήκοντα Πατράσι παραδεδομένῃ. Εἰ δέ τις ἄλλην εἰσηγεῖσθαι ἐθέλοι ἔκθεσιν πίστεως, τοῦτον δίκαιον πάντας ἀλλότριον τῆς εὐσεβείας καὶ τῆς Ἐκκλησίας νομίζειν. Ταῦτ' εἰπόντος, ὁ σύλλογος διελύετο αὖθις. Τῇ δὲ ὑστεραίᾳ οὐκέτι τῷ συλλόγῳ παραβαλεῖν οἱ περὶ Ἀκάκιον καὶ Γεώργιον ἤθελον. Καὶ αὐτὸς δὲ Λεωνᾶς κληθεὶς ἀπεῖπε τὴν ἔλευσιν· τὰ γὰρ ἐκείνων ἐφρόνει περιφανῶς· ἀπεστάλθαι δὲ πρὸς βασιλέως πρόφασιν ἐποιεῖτο ἐπὶ τῇ συνοδικῇ συμφωνίᾳ. Ἐπεὶ δ' οὕτως ἀτάκτως διίστασθε, ὑμῖν συνέρχεσθαι οὐ ῥᾳδίως ἔχω. Εἰ δ' ὑμεῖς αἱρεῖσθε, ἀπέλθετε, καὶ ἐν τῇ ἐκκλησίᾳ ἐρεσχελεῖτε καθήμενοι. Χρόνου δὲ τριβομένου, ἐκαλοῦντο μὲν οἱ περὶ Ἀκάκιον· οἱ δὲ ῥητοὺς εἰς τὴν Λεωνᾶ οἰκίαν γενέσθαι ἠξίουν. Διισχυρίζοντο δὲ, πρόσταγμα ἐκ βασιλέως ἔχειν κρίνειν τοὺς ἄλλους. Οἱ δὲ οὔτε τὴν αὐτὴν πίστιν ὁμολογεῖν ἠνείχοντο, ἀλλ' οὐδὲ περὶ τῶν ἐγκλημάτων ἀπολογεῖσθαι. Κληθέντες δὲ καὶ εἰς τὴν κατὰ Κύριλλον τὸν Ἱεροσολύμων ἐξέτασιν, ὃν αὐτοὶ καθεῖλον, οὐ παρεγένοντο. Ἐκεῖνοι δὲ ἀδεῶς οὐ μόνον ταῦτ' ἔπραττον, ἀλλὰ καὶ Ἀκάκιον καὶ τοὺς προσπεφευγότας τοῖς περὶ ἐκεῖνον, ἅτε δὴ τὰ ἐγκλήματα δεδοικότας, καθεῖλον· Γεώργιόν τε τὸν Ἀλεξανδρείας, καὶ Οὐράνιον τὸν Τύρου, καὶ Πατρόφιλον, καὶ Εὐδόξιον τὸν Ἀντιοχείας· τοὺς δ' ἄλλους ἀκοινωνησίας κανόνι ἐπέσχον, ἄχρις οὗ πρὸς τὰ ἐπαχθέντα ἐγκλήματα δοῖεν ἀπόλογον, καὶ τὰ ἐπ' αὐτοῖς γενόμενα τῇ ἑκάστου παροικίᾳ διεμηνύσαντο γράμμασιν. Ἀντὶ μὲν οὖν Εὐδοξίου Ἀνιανὸν τῇ Ἀντιοχέων χειροτονοῦσι, τῆς ἐκεῖσε ἐκκλησίας πρεσβύτερον, ὃν αὐτίκα οἱ περὶ Ἀκάκιον συλλαβόμενοι Λεωνᾷ καὶ Λαυρικίῳ παρέδοσαν, οἳ φρουρᾷ ἐκ στρατιωτῶν περιώρισαν· ἐς ὕστερον δὲ καὶ φυγὴν ὑπερόριον αὐτοῦ κατεδίκασαν. Τὰ μὲν οὖν τῆς ἐν Σελευκείᾳ συνόδου πραχθέντα, ὡς ἐν συντόμῳ εἰπεῖν, εἰς τοῦτο ἔληγε τέλους· οἷς δ' ἐπιμελὲς καὶ τὰ πρὸς λεπτὸν τῶν πραχθέντων εἰδέναι, ἐκ τῶν ἐκείνης ὑπομνημάτων εἴσονται, ἃ ταχυγράφοι τότε παρόντες ἠκρίβωσαν. Τούτων οὕτω γεγενημένων, οἱ περὶ Ἀκάκιον σπουδῇ ἐπὶ τὸν κρατοῦντα ἀνέρχονται· οἱ δὲ ἄλλοι ἕκαστος ἐπὶ τὰ οἰκεῖα ἤδη ἐχώρουν.

dum esse confirmabant. Qua de re toto eo die maxima fuit contentio. **789** Convicerunt quoque ipsum Acacium, quod sibi ipsi propter variam scriptionem in libris suis quos edidisset, non constaret, in quibus prius similem per omnia Patri Filium dixerit, idemque cum ipsis senserit : nunc vero tandem substantia similem esse negaret. Ad quæ ille, neque ex recentioribus, neque ex antiquis quemquam ad scriptorum suorum rationem reddendam obstrictum esse, respondit. Contentione inde maxime gliscente, postremo Eleusius Cyzicenus, Siquidem Basilius, inquit, aut Acacius, aut Marcus, per se aliquid agant, vel ipsi mutuo sese de quopiam criminentur, nihil id ad synodum pertineat. Sed neque quæ ipsi de fide sive recte seu perperam perscripsere, necesse habemus curiosius de eis inquirere. Peropus autem esse judico, in professione Antiochena a nonaginta et septem Patribus prodita acquiescere. Si quis autem aliam subjicere velit fidei formulam, eum æquum esse ut omnes a vera pietate et Ecclesia alienum esse censeant. Hisce verbis conventus rursum solutus. Postero autem die Acacius et Georgius cum sectatoribus suis in conventum venire noluerunt. Atque ipse Leonas, vocatus quoque, se venturum negavit. Aperte namque cum illis sentiebat, illam præ se ferens causam, ab imperatore se ad synodi concordiam conciliandam missum esse. Quandoquidem vero ita nullo servato ordine inter se dissiderent, non facile ei esse ad eos accedere. Si vero ipsi vellent, abirent, atque in ecclesia sedentes nugas agerent. Ita tempus extrahebatur. Et vocabatur quidem cum suis in conventum Acacius. Illi autem certos episcopos in Leonæ domum, ubi frequentes ipsi esse solebant, venire voluerunt : atque insuper asseverarunt, mandatum se ab imperatore habere, ut alios judicarent. Sed neque eamdem cum aliis fidem profiteri, neque ad objecta crimina respondere, sustinuere. Quin etiam ad Cyrilli (1) Hierosolymitani causam audiendam invitati, quem ipsi episcopatu abire jusserant, non affuere. Neque enim qui eos cogeret, aderat quisquam. At alteri illi non modo libere hæc egerunt, sed Acacium etiam, et quicunque ad eum confugissent, quippe qui intentata eis crimina diluere timuissent, dignitate privarunt : Georgium scilicet Alexandrinum, Uranium Tyrium, Patrophilum Scythopolitanum, et Eudoxium Antiochenum : alios autem excommunicationis canoni subjecere, donec de criminibus eis objectis per causæ dictionem satisfacerent. **790** Atque id quod de eis actum esset, parœciæ cuilibet perscripsere. Et in Eudoxii locum Antiochiæ Anianum surrogavere, Ecclesiæ Antiochenæ presbyterum : quem confestim Acacius comprehensum, Leonæ et Lauricio tradidit, qui sub militari custodia eum tenuere, et postea exsilio condemnavere. Et res quidem Seleuciæ in synodo actæ, sicuti eas compendiose exponere potui, hunc habuere finem. Qui vero accurate omnia cognoscere velint, ex ejus actis ea petant, quæ dispositi notarii diligentia summa confecere. Rebus ita gestis, Acacii fautores celeriter ad imperatorem sunt profecti. Alii vero domum quisque suam receperunt.

(1) Cyrillus a synodo ad imperatorem provocavit, et imperator provocationem approbavit. Factum hoc contra Ecclesiastici canonis consuetudinem. (Socrat.)

CAPUT XLIV.

De rebus Constantinopoli post Seleuciæ synodum actis. Ut Aetio episcopatus abrogatus sit : et ut qui Seleuciæ congregati fuerant, et simul Occidentales Ariminensi subscripserint fidei : ac deinceps Constantinopoli quinquaginta in synodo congregati episcopi, Ariminensem fidem comprobarint, quibusdam illi verbis ab Acacio additis. Catalogus variarum fidei expositionum.

Imperator tum ex Occidentis partibus Constantinopolim venit, cum proconsulari abolita dignitate, Honoratum primum urbi præfectum constituit. Synodus, de communi sententia, decem ad imperatorem miserat episcopos : qui Constantinopolim venientes, decem quoque alios ex Arimino legatos ibi repererunt, atque etiam Acacium cum suis quæ vellet conficientem, benevolentia principis sibi per aulæ purpuratos conciliata : erant enim nonnulli ejusdem cum eo sententiæ, quidam sacris donis corrupti, alii illecebris Acacii blanditiarum deliniti. Non enim vel in consultando, vel in dicendo contemnendus vir fuit Acacius, et ad res quas instituisset conficiendas non incommodus. Ecclesiam quoque celebrem administrabat, et Eusebium Pamphili præceptorem habuerat, cujus etiam episcopatum sortitus fuerat : et cum plurima addiscere contendisset, existimatione simul et librorum copia quos a Pamphilo relictos habebat, alios antecellere judicatus est. Et quod talis erat, non difficile ei fuit, ex sententia res plerasque conficere. **791** Sedenim cum ab utraque synodo isthic adessent viginti episcopi legati, et alii item qui eo ob negotium forte venerant, de Aetio ii primum consilium habere atque judicare sunt jussi, multis etiam majorum gentium senatoribus præsentibus, quibus Honoratus quem dixi præiit. Postea vero in præsentia quoque Constantii, cum disquisitio denuo fieret, deprehensus est Aetius admodum in fide hallucinari. Proinde et imperator, et honores apud eum gerentes, male in eum fuere animati, propter manifestam blasphemiam. Acacius autem cum iis qui ei consentiebant per pœnitentiam resipuit, simulans se hæresim eam primum ignorasse. At ille in primis contendens operam dederat, ut princeps obiter et extra ordinem, causam ejus judicandam præciperet, inexpugnabilem esse argumentis Aetium putans, satisque idoneum ad eos qui secum disputando congrederentur, vel verborum persuasione, vel rationum vi convincendos, atque ad opinionem suam sine ullo negotio confirmandam. Ubi vero cœptum ei non successit, scriptum Arimino allatum in medium produxit, atque id decem illos qui Seleucia venerant episcopos recipere jussit. Eisque, quod vehementer resisterent, fierique omnino non posse dicerent, ut substantiæ nomen prætermitterent, juramenti per Dei nomen sacramento interposito, se Filium substantia dissimilem non profiteri, paratumque esse, qui aliter sentirent, eos ab Eccle-

A ΚΕΦΑΛ. ΜΔ'.

Περὶ τὴν μετὰ τῶν ἐν Σελευκείᾳ γενομένων ἐν Κωνσταντινουπόλει· ὡς καθῃρέθη Ἀέτιος, καὶ οἱ ἐκ Σελευκείας καὶ οἱ ἐξ Ἑσπέρας τὴν ἐν Ἀριμίνῳ πίστιν ὑπέγραψαν· ἔπειτα ἐν Κωνσταντινουπόλει σύνοδον πεντήκοντα ἐπισκόπων ποιήσαντες, κυροῦσι τὴν ἐν Ἀριμίνῳ ἔκθεσιν, προσθέντες αὐτοῖς τινα, οἱ περὶ Ἀκάκιον· καὶ κατάλογος τῶν διαφόρων τῆς πίστεως ἐκθέσεων.

Ὁ δὲ βασιλεὺς ἐκ τῶν Ἑσπερίων τότε εἰς τὴν Κωνσταντίνου ἐπανῆκεν· ὁπηνίκα τὴν τῶν ἀνθυπάτων παύσας ἀρχὴν, πρῶτον ἔπαρχον τῇ πόλει καθίστα, Ὡνορᾶτον ὄνομα. Δέκα δ' ἐκ κοινῆς γνώμης ἐπισκόπους ἡ σύνοδος εἰς βασιλέα ἔπεμπεν· οἳ καὶ ἐλθόντες, εὗρον μὲν καὶ τοὺς ἐκ τῆς ἐν Ἀριμίνῳ σταλέντας δέκα καὶ τοὺς ἀμφὶ Ἀκάκιον, κατωρθωκότας ὅπερ ᾑρημένοις ἦν. Διὰ γὰρ τῶν περὶ τὸν βασιλέα τὴν ἐκείνου εὔνοιαν περιποιησάμενοι· ἦσαν γὰρ οἱ μὲν ὁμοφρονοῦντες αὐτοῖς, οἱ δὲ τοῖς ἱεροῖς δώροις διεφθαρμένοι· ἄλλοι δὲ καὶ ταῖς ἴυγξι τῶν θωπειῶν Ἀκακίου διεφθορότες· καὶ γάρ πως οὐχ ὁ τυχὼν ἦν Ἀκάκιος καὶ νοῆσαι καὶ εἰπεῖν· δεινὸς δὲ λίαν καὶ τὸ βουλόμενον καταπράξασθαι, ἐκκλησίας τε περιφανοῦς προεστὼς, καὶ τὸν Παμφίλου Εὐσέβιον διδάσκαλον κληρωσάμενος, οὗ καὶ τὴν ἐπισκοπὴν διεδέξατο, πλεῖστά τε εἰδέναι ἀξιῶν, καὶ τῇ δοκήσει καὶ τῇ τῶν βίβλων κτήσει ἐκείνου, καὶ πολλῷ τῶν ἄλλων διαφέρειν κρινόμενος. Καί γε τοιοῦτος ὢν, ῥᾳδίως πάντα πρὸς τὸ δοκοῦν μετεσκεύαζεν. Ἐπεὶ δ' ἐξ ἑκατέρων τῶν συνόδων εἴκοσιν ἐνεδήμουν ἀρχιερεῖς, καὶ ἄλλοι ὡς ἔτυχεν ἐπιχωριάζοντες, πρῶτον τὰ κατὰ τὸν Ἀέτιον ζητεῖν ἐπιτρέπονται, πολλῶν καὶ τῶν ἀπὸ τῆς μεγάλης παρόντων βουλῆς, ὧν Ὡνορᾶτος ὁ προῤῥηθεὶς ἡγεῖτο· ἐς ὕστερον δὲ, καὶ παρουσιάζοντος Κωνσταντίου, γενομένης τῆς ἐξετάσεως, φωρᾶται Ἀέτιος μάλα περὶ τὴν πίστιν νοσῶν· ὡς δὴ καὶ τὸν βασιλέα καὶ τοὺς περὶ αὐτὸν κακῶς αὐτῷ διατεθῆναι τῷ τῆς βλασφημίας προδήλῳ· ἐν μεταμέλῳ δὲ γενέσθαι καὶ τοὺς περὶ Ἀκάκιον, σκηπτομένους ἄγνοιαν τῆς αἱρέσεως ἔχειν τὸ καταρχάς· καὶ ἐκ τοῦ παρήκοντος σπουδάσαι τὸν βασιλέα τὰ κατ' ἐκεῖνον δικάσαι, οἰομένους ἀκαταμάχητον ἔσεσθαι τοῖς λόγοις Ἀέτιον, ἱκανόν τε ἑλεῖν πειθοῖ καὶ ἀνάγκῃ τοὺς διομιλουμένους, καὶ ἀκονιτὶ συστῆσαι τὴν δόξαν. Ὡς δὲ πόῤῥω ἦσαν σκοποῦ, τὴν ἐξ Ἀριμίνου κομισθεῖσαν γραφὴν προῆγον εἰς μέσον· καὶ τοὺς ἐκ Σελευκείας ἥκοντας δέκα τῶν ἐπισκόπων προσέταττον καταδέχεσθαι. Ἐνισταμένους δ' ἐκείνους ὡς ἐν ἀδυνάτοις ἐστὶ τὸ τῆς οὐσίας ἐᾶν ὄνομα, ἔπειθον Θεὸν ἐπομνύμενοι, ὡς οὐκ ἀνόμοιον κατ' οὐσίαν δοξάζουσι τὸν Υἱόν· ὥστε καὶ ἑτοίμως ἔχειν ἀποκηρύττειν τοὺς ἄλλως ἔχοντας. Ἐπεὶ δ' αὖ παραδόξως καὶ οἱ Ἑσπέριοι ἐν Ἀριμίνῳ γενόμενοι τὸ τῆς οὐσίας παρέλιπον ὄνομα, περὶ πλείστου αὐτοῖς ἔλεγον εἶναι τὴν τοιαύτην τῆς πίστεως ἔκθεσιν· ᾤοντο γὰρ, εἰ ἐκείνη κρατήσοι, πάντως σιωπωμένου τοῦ τῆς οὐσίας ὀνόματος, βαθεῖαν ἀσκῆσαι σιγὴν καὶ τὸ ὁμοούσιον. Ὁ δὴ αἰδοῖ τῆς ἐν Νικαίᾳ συνόδου οἱ ἀνὰ τὴν Ἑσπέραν ἱερεῖς

περὶ πολλοῦ ἐποιοῦντο. Οὐ μὴν δὲ ἀλλὰ καὶ αὐτὸς A ὁ βασιλεὺς ταύτην τὴν ἔκθεσιν διαφερόντως ἐπῄνει· συνελογίζετο γὰρ, ὡς οἱ ἐν Ἀριμίνῳ τοσοῦτοι ὄντες οὐκ ἂν ἐς τόσον διαμάρτοιεν, ὅμοιον ὁμολογοῦντες καὶ ὁμοούσιον· καὶ μηδὲν αὐτῷ διαφέρειν κατ᾽ ἔννοιαν, εἴ γε μὴ χρῷτο ὀνόμασι, τῇ ἱερᾷ μὴ ἐγνωσμένοις Γραφῇ, ἐν ἰσοδυνάμῳ τε καὶ ἀναμφηρίστῳ ὀνόματι τὸ ὅμοιον τὴν αὐτοῦ σημασίαν ὁμολογοίη. Οὕτως οὖν ἔχων γνώμης, οὐκ ἀνίει πείθων τοὺς ἐκ Σελευκείας ἐπισκόπους, ἕως οὗ καὶ αὐτοὶ τὴν ἐν Ἀριμίνῳ πίστιν ὑπέγραψαν. Οἱ δέ γε περὶ Ἀκάκιον τῇ Κωνσταντίνου προσκαρτερήσαντες, καὶ τοὺς Βιθυνοὺς μεταστειλάμενοι ἱερέας, ἐν οἷς ἦν καὶ Μάρις ὁ Χαλκηδόνος, καὶ Οὐλφίλας ὁ τῶν Γότθων ἐπίσκοπος, ὃς πρότερον τὴν ἐν Νικαίᾳ πίστιν ἠ- B σπάζετο, ἑπόμενος τῷ πρὸ αὐτοῦ Θεοφίλῳ, τῇ συνόδῳ παρόντι καὶ συμψηφιζομένῳ τῇ δόξῃ· εἰς πεντήκοντα δὲ συνηγμένοι, τὴν ἐν Ἀριμίνῳ ἀναγνωσθεῖσαν πίστιν κυροῦσι, προσθέντες, ἐπὶ Θεοῦ τοῦ λοιποῦ οὐσίαν ἢ ὑπόστασιν μηδαμῶς ὀνομάζειν· καὶ παρὰ τὴν προκειμένην ἄλλην μὴ δέχεσθαι ἔκδοσιν πίστεως, ἢ προγεγενημένην ἢ ἐπιγενησομένην. Ἐπεὶ δὲ ταύτης ἥκιστα προεμνήσθημεν, δεῖν ἡγοῦμαι, ἐπεὶ καί τινα προστεθείκασιν, ἐκθεῖναι καὶ ταύτην ὡς οἷόν τε. Ἔχει δὲ ἡ ἐν Ἀριμίνῳ μετὰ τῆς προσθήκης ἐπὶ λέξεως οὕτως· « Πιστεύομεν εἰς ἕνα μόνον Θεὸν, Πατέρα παντοκράτορα, ἐξ οὗ τὰ πάντα· καὶ εἰς τὸν μονογενῆ Υἱὸν τοῦ Θεοῦ, πρὸ πάντων τῶν αἰώνων καὶ πρὸ πάσης ἀρχῆς γεννηθέντα ἐκ τοῦ Θεοῦ· δι᾽ οὗ τὰ πάντα ἐγένετο τὰ C ὁρατὰ καὶ τὰ ἀόρατα· γεννηθέντα δὲ, μονογενῆ μόνον ἐκ μόνου τοῦ Πατρὸς, Θεὸν ἐκ Θεοῦ, ὅμοιον τῷ γεννήσαντι αὐτὸν Πατρὶ, κατὰ τὰς Γραφάς· οὗ τὴν γέννησιν οὐδεὶς γινώσκει, εἰ μὴ μόνον ὁ γεννήσας αὐτὸν Πατήρ. Τοῦτον οἴδαμεν μονογενῆ τοῦ Θεοῦ Υἱὸν, πέμποντος τοῦ Πατρὸς, παραγενέσθαι ἐκ τῶν οὐρανῶν, ὡς γέγραπται, καταλύσει τῆς ἁμαρτίας καὶ τοῦ θανάτου· καὶ γεννηθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου τὸ κατὰ σάρκα, ὡς γέγραπται· καὶ ἀναστραφέντα μετὰ τῶν μαθητῶν· καὶ πάσης τῆς οἰκονομίας πληρωθείσης κατὰ τὴν πατρικὴν βούλησιν, σταυρωθέντα καὶ ἀποθανόντα καὶ ταφέντα· καὶ εἰς τὰ καταχθόνια κατεληλυθότα· ὃν καὶ αὐτὸς ὁ ᾅδης ἔπτηξεν· ὅστις καὶ ἀνέστη ἀπὸ τῶν νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ, καὶ διέ- D τριψε μετὰ τῶν μαθητῶν· καὶ πληρωθεισῶν τῶν τεσσαράκοντα ἡμερῶν, ἀνελήφθη εἰς τοὺς οὐρανούς· καὶ καθέζεται ἐν δεξιᾷ τοῦ Πατρός· ἐλευσόμενος ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ τῆς ἀναστάσεως ἐν τῇ πατρικῇ δόξῃ ἵνα ἀποδώσῃ ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Καὶ εἰς τὸ ἅγιον Πνεῦμα, ὅπερ αὐτὸς ὁ μονογενὴς τοῦ Θεοῦ Υἱὸς, ὁ Κύριος καὶ Θεὸς ἡμῶν, ἐπηγγείλατο πέμπειν τῷ γένει τῶν ἀνθρώπων Παράκλητον, καθάπερ γέγραπται, τὸ Πνεῦμα τῆς ἀληθείας, ὅπερ αὐτοῖς ἔπεμψεν ὅτε ἀνελήφθη εἰς τοὺς οὐρανούς. Τὸ δὲ ὄνομα τῆς οὐσίας, ὅπερ ἁπλούστερον ὑπὸ τῶν Πατέρων ἐτέθη, ἀγνοούμενον δὲ τοῖς λαοῖς, σκάνδα-

sia proscribere, ut Ariminensi formulæ subscriberent, suasit. Cum vero præter omnem opinionem Occidentales ex Arimino præsto essent episcopi, et substantiæ verbum omitterent, quam plurimi apud eos esse ejusmodi fidei professionem Acaciani dixere. Existimabant namque, si ea formula reciperetur, substantiæ nomine prorsus tacito, τὸ ὁμοούσιον, *consubstantiale*, quoque in alto futurum silentio : quod sane episcopi Occidentales ob Nicænæ synodi reverentiam magnifaciebant. Sed enim ipse etiam imperator eam formulam apprime laudavit. Reputabat namque secum, cum tot antistites viri Arimini fuerint, non tantopere lapsuros eos fuisse, ut temere ὅμοιον, hoc est similem, profiterentur, antea ὁμοούσιον consubstantialem professi. Nihil quidem apud se, quoad sensum, referre, si verbis quæ sacræ Scripturæ ignota essent, non usus, nomine ejusdem efficaciæ, et quod nihil haberet controversiæ, τῷ ὁμοίῳ, *simili* scilicet, sententiam suam profiteretur. Hæc cum ejus esset ratio, suadere episcopis Seleucia missis non desiit, **792** donec et ipsi Ariminensem formulam comprobarent. Acacius vero, atque ejus studiosi, Constantinopoli diutius morantes, Bithynos etiam accivere episcopos : in quibus erant, Maris Chalcedonis, atque Ulphilas Gotthorum episcopus, qui prius Nicænam comprobaverat fidem, decessorem suum secutus Theophilum, qui synodo Nicænæ interfuerat, et calculo suo sententiam confirmaverat. Et cum quinquaginta antistites convenissent, Arimini lectam fidei professionem auctoritate sua stabilierunt : illo insuper addito, se deinceps in Deo nequaquam substantiam aut subsistentiam nominaturos : et præter eam ipsam, aliam fidei formulam vel antea editam, vel postea edendam, non recepturos. Et quamvis hanc prius retulimus, faciendum tamen esse duxi, cum id locus poscere videatur, ut hic quoque, quantum fieri posset, insererem. Ea cum appendice sua de verbo ad verbum sic se habet : « Credimus in unum solum Deum, Patrem omnipotentem (1). Et in unigenitum Filium Dei, ante omnia sæcula, et ante principium omne genitum ex Deo, per quem omnia facta sunt, visibilia et invisibilia : genitum autem unigenitum solum ex solo Patre, Deum ex Deo, æqualem qui eum genuit Patri, secundum Scripturas; cujus generationem nemo novit, nisi solus qui eum genuit Pater. Hunc scimus unigenitum Dei Filium, mittente Patre, e cœlis advenisse, sicut scriptum est, ad abolendum peccatum et mortem; et natum esse de Spiritu sancto ex Maria Virgine, secundum carnem, sicut scriptum est; et versatum cum discipulis; et œconomia seu functione omni secundum paternam voluntatem completa, crucifixum esse, et mortuum, et sepultum. Et descendisse ad inferos, ipsumque orcum eum exhorruisse. Qui et resurrexit a mortuis tertia die,

(1) Supra cap. 39.

et versatus est cum discipulis. Et diebus quadraginta expletis, receptus in cœlos, et sedet in dextra Patris, venturus die extremo resurrectionis in gloria paterna, ut reddat unicuique secundum opera sua. Et in Spiritum sanctum, quem ipse unigenitus Dei Filius Dominus et Deus noster se missurum promisit generi hominum Paracletum seu consolatorem, quemadmodum scriptum est, **793** Spiritum veritatis, quem eis misit cum ascendisset in cœlos. Substantiæ autem nomen, quod simplicius a Patribus positum est, et populis non intellectum, scandalum seu offendiculum attulit, propterea quod et Scripturæ id non habent, placitum est tollere, et ejus de cætero nullam omnino fieri mentionem, quandoquidem divinæ quoque Scripturæ neutiquam substantiæ Patris et Filii meminere. Neque enim substantia de Patre et Filio et Spiritu sancto nominari debet. Similem autem profitemur Filium Patri, sicuti divinæ Scripturæ dicunt et docent. Omnes autem hæreses, et quæ jam antea sunt damnatæ, et si quæ novæ sunt ortæ, scripto huic promulgato adversæ, anathema sint. » Hæc est fidei formula (1) primum quidem Arimini, tum vero etiam Constantinopoli lecta. Quandoquidem vero nos vix tandem ex formularum fidei labyrintho expedivimus, breviter jam numerum etiam earum inire visum est. Ac primum quidem professio fidei Nicææ recte est dictata. Secunda formula Antiochiæ in dedicatione templi dupliciter est prolata. Tertia a Narcisso sectatoribusque ejus imperatori Constantino juniori in Galliis est exhibita. Ad has quarta Eudoxii accessit, quæ Italiæ incolis est missa. Sirmii tres aliæ editæ, quarum una Arimini quoque est recitata. Octavam Seleuciæ Acacius composuit. Nona et ultima Constantinopolitana est, cui etiam Ariminensis appendix addita, ne in Deo vel subsistentia vel substantia nominaretur. De his satis.

A λον ἔφερε, διότι μηδὲ αἱ Γραφαὶ τοῦτο περιέχουσιν, ἤρεσε περιαιρεθῆναι, καὶ παντελῶς μηδεμίαν μνήμην τοῦ λοιποῦ γενέσθαι· ἐπειδήπερ καὶ αἱ θεῖαι Γραφαὶ οὐδαμοῦ ἐμνημόνευσαν περὶ οὐσίας Πατρὸς καὶ Υἱοῦ. Καὶ γὰρ οὐκ ὀφείλει ὑπόστασις περὶ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος ὀνομάζεσθαι. Ὅμοιον δὲ λέγομεν τὸν Υἱὸν τῷ Πατρὶ, ὡς λέγουσιν αἱ θεῖαι Γραφαὶ καὶ διδάσκουσιν. Πᾶσαι δὲ αἱ αἱρέσεις, αἵ τε ἤδη πρότερον κατεκρίθησαν, καὶ αἵτινες ἐὰν καινότεραι γένωνται, ἐναντίαι τυγχάνουσι τῆς ἐκτεθείσης ταύτης γραφῆς, ἀνάθεμα ἔστω. » Τοιαύτη μὲν ἐν Ἀριμίνῳ μὲν πρότερον, τότε δὲ ἐν Κωνσταντινουπόλει ἀναγνωσθεῖσα τῆς πίστεως ἔκδοσις· ἐπεὶ δὲ μόλις ἡμεῖς τῶν ἐκθέσεων τὸν λαβύρινθον διηνύσαμεν, ἐν συντόμῳ ἤδη καὶ τὴν ἀπα- B ρίθμησιν αὐτῶν εἰς ταυτὸν ἀθροῖσαι διέγνωμεν. Πρῶτον μὲν γὰρ ἡ ἐν Νικαίᾳ πίστις ὀρθῶς ὑπηγόρευται· δευτέρα μετ' ἐκείνην ἐν Ἀντιοχείᾳ τοῖς τοῦ ναοῦ ἐγκαινίοις δισσῶς ἐξηνέχθη· τρίτη δ' ἐστὶν ἡ παρὰ τῶν περὶ Νάρκισσον τῷ βασιλεῖ Κωνσταντίνῳ τῷ νέῳ ἐν Γαλλίαις ἀπαγγελθεῖσα· ἐπὶ δὴ ταύταις τετάρτη ἡ Εὐδοξίου, ἡ τοῖς ἐν Ἰταλίᾳ ἐπέμφθη· καὶ ἐν Σιρμίῳ τρεῖς ὑπηγορεύθησαν ἕτεραι· ὧν ἡ μία καὶ ἐν Ἀριμίνῳ ἀνεγνώσθη· καὶ ἡ ἐν Σελευκείᾳ ἣν Ἀκάκιος ἔθετο· ἐνάτη δὲ καὶ τελευταία ἡ ἐν Κωνσταντινουπόλει ἐστὶν, ἡ καὶ τὴν προσθήκην ἐδέξατο, τὸ μήτε ὑπόστασιν μήτε οὐσίαν λέγειν ἐπὶ Θεοῦ. Καὶ περὶ μὲν τούτων ταῦτα.

CAPUT XLV.

Ut Acacius et Eudoxius episcopatibus privarint Macedonium, Eleusium, Basilium, et Sophronium, non doctrinæ causa, sed propter privata quædam crimina.

Verum enimvero Acacius et Eudoxius cum factionis suæ fautoribus studio quoque habuere, cum Byzantii essent, adversæ partis episcopis vicissim dignitatem adimere: non religionis quidem, sed aliarum rerum causa. Communiter quidem, quod ecclesias perturbassent, et sanctiones earum violassent; seorsim autem, unicuique alii alia crimina intentabant. **794** Atque illi de fidei professione inter se dissentientes, in sententiis exauctorationis fidei crimen non inserebant. Et primum Aetium diaconatu privant, ut qui turbæ et seditionis in Ecclesia auctor exstiterit, disputationibusque contentiose sophistarum more ad ostentationem cum mala fama, contra Ecclesiæ consuetudinem et institutum, abusus fuerit, et eumdem in scribendo modum servaverit. Hunc quidem ita, non ex animi sententia, sed ut opinionem multorum abolerent, quod fere omnibus eadem quæ ille sentire viderentur, exauctorarunt. Imperatoris

C

ΚΕΦΑΛ. ΜΕ'.

Ὡς οἱ περὶ Ἀκάκιον καὶ Εὐδόξιον ἀντικαθαιροῦσι τοὺς ἀμφὶ Μακεδόνιον καὶ Ἐλεύσιον, καὶ Βασίλειον καὶ Σωφρόνιον, οὐ διὰ τὸ δόγμα, ἀλλ' ἰδίᾳ ἐπαγαγόντες ἐγκλήματα.

Οἵ γε μὴν περὶ Ἀκάκιον καὶ Εὐδόξιον σπουδὴν καὶ αὐτοὶ ἐποιοῦντο ἀντικαθαιρεῖν τοὺς τοῦ ἑτέρου μέρους ἐν Βυζαντίῳ γενόμενοι· οὐ μέντοι διὰ θρησκείαν, ἀλλὰ δι' ἑτέρας προφάσεις. Κοινῇ μὲν, ὅτι τὰς ἐκκλησίας ἐτάραξαν, καὶ εἰς τοὺς αὐτῶν θεσμοὺς ἐξημάρτανον· ἰδίᾳ δ' ἑκάστῳ ἄλλῳ ἄλλας αἰτίας ἐπέφερον. Καίτοι γε περὶ πίστεως μὲν διεκρίνοντο· ἔν γε μὴν ταῖς καθαιρέσεσιν οὐ τὴν πίστιν ὡς ἔγκλημα ἦγον. Πρῶτον μὲν οὖν τῆς διακονίας καθαιροῦσιν Ἀέτιον, ὡς ταραχῆς καὶ στάσεως αἴτιον ταῖς ἐκ- D κλησίαις γενόμενον, καὶ ἐριστικῶς καὶ σοφιστικῶς τὰς διαλέξεις ποιούμενον, πρὸς ἔνδειξιν καὶ δυσφήμως αὐταῖς χρώμενον, καὶ μὴ κατὰ σχῆμα ἐκκλησιαστικῆς προαιρέσεως. Τοῦτον μὲν οὐκ ἀπὸ γνώμης καθεῖλον, ἀλλὰ τὴν τῶν πολλῶν δόξαν ἀποτριβόμενοι· πᾶσι γὰρ σχεδὸν ἐνομίζοντο τὰ ἐκείνου φρονεῖν καὶ αὐτοί. Τῇ δ' ἐκ βασιλέως ὀργῇ χρώμενοι συμμάχῳ, ἣν καὶ κατ' ἄλλων, μάλιστα δὲ Μακεδονίου ἐταμιεύοντο, δι' ἅσπερ εἰρήκαμεν ἀνωθεν

(1) Socrat. lib. II, cap 41.

στάσεις καὶ φόνους, καὶ διὰ τὴν μετάθεσιν τῆς θήκης τῶν ὀστῶν τοῦ πατρὸς Κωνσταντίνου, καὶ ὅτι διάκονον ἐπὶ πορνείᾳ ἑαλωκότα κοινωνίας ἠξίωσε, καθαιροῦσι καὶ τοῦτον αὐτίκα· τρίτον ἐπὶ τούτοις τὸν Κυζίκου Ἐλεύσιον, αἰτίαν ἐπάγοντες, ὅτιπερ Ἡράκλειόν τινα Τύριον, ἱερέα ὄντα τοῦ ἐν Τύρῳ Ἡρακλέους Ἑλληνίου θεοῦ, γοητείαις πλείσταις κατάφωρον, τοῦ θείου μεταδοὺς ἀπερισκέπτως βαπτίσματος, εἰς διακόνου χειροτονίαν προήγαγεν ὑποκρινόμενον τὰ Χριστιανῶν, φυγάδα τε διὰ τὰς γοητείας ἐκεῖθεν γενόμενον· καὶ ταῦτ' ἐς ὕστερον μαθὼν τοιοῦτον εἶναι, οὐ τοῦ ἱερᾶσθαι ἀπεῖρξε· καὶ ὡς ἄνδρας διὰ κατάγνωσιν ἀπεληλαμένους Μάρι τῷ ἐπισκόπῳ Χαλκηδόνος, ἀφικομένους εἰς Κύζικον, ἱερωσύνης ἀκανονίστως μετέδωκε. Βασίλειον δὲ τὸν καὶ Βασιλᾶν διωνύμως καλούμενον, ὃς ἀντὶ Μαρκέλλου τῷ τῆς Ἀγκυρανῶν θρόνῳ ἀντικατέστη, ὡς οὐδενὶ λόγῳ ἄνθρωπον βασάνοις ἐκδεδωκότα, καὶ σιδηροδεσμώτας εἱρκτῇ πολλῷ χρόνῳ ἐγκλεισάμενον· καὶ ὡς ῥάψειέ τισι συκοφαντίας δεινὰς κληρικοῖς ἐξ Ἀντιοχείας, Κίλιξί τε καὶ Γαλάταις καὶ Ἀσιανοῖς, ἀκρίτως ἄρχουσι παραδοὺς, ζημίας πρόξενος καὶ ὑπερορίου φυγῆς ἐγένετο αἴτιος· ἔτι δὲ καὶ ὡς τὸν διοδεύοντα πρεσβύτερον Διογένην ἐξ Ἀλεξανδρείας τὴν Ἄγκυραν ἀφελέσθαι τε τοὺς χάρτας οὓς ἐπεφέρετο, καὶ αὐτὸν τύψειε. Καὶ ἄλλην δὲ προσῆγον αἰτίαν, ὡς βασιλικοῖς ἀντέστη προστάγμασιν· οἷς ἐκέλευεν Ἀέτιον, καί τινας ἄλλους, ἀχθῆναι πρὸς Κεκρόπιον, λόγον ἀποδώσοντας περὶ ὧν κατηγόρηντο· καὶ ὡς Ἑρμογένει τῷ ὑπάρχῳ, καὶ τῷ ἄρχοντι Συρίας ἔγραφε, τίνας καὶ ὅπη χρὴ μετοικίζειν αὐτούς· ὑπὲρ ὧν τοῦ βασιλέως γράφοντος κατάγειν αὐτοὺς, τεχνηέντως οὗτος ἐπῆγε, τοῖς τε ἄρχουσι καὶ ἱερεῦσιν ἐναντιούμενος· ἔτι δὲ καὶ ὡς Γερμινίῳ τὸν ἐν Σιρμίῳ κλῆρον ἐπανίστη, καὶ ἐπιορκῶν ἑάλω· καὶ ὡς Ἰλλυριοῖς καὶ Ἄφροις δι' ἐπιστολῶν διχονοίας καὶ στάσεως αἴτιος ἐγεγόνει. Πρὸς δὲ καὶ δούλην δεσμῶτιν ἐβίαζε, ψευδῆ καταμαρτυρεῖν τῆς δεσποίνης· αἰσχρᾷ τε μίξει ἄνδρα γυναικὶ ὁμιλοῦντα ἐβάπτισε, καὶ διακονίας ἠξίου· καί τινα περιοδευτὴν πολλῶν φόνων γενόμενον αἴτιον τῆς ἐκκλησίας οὐ διέστησε· καὶ ὡς περὶ τὴν μυστικὴν τράπεζαν συνωμοσίας ἐποίει· καὶ τοὺς ἐν κλήρῳ παρεσκεύαζεν ἐπόμνυσθαι μὴ κατηγορεῖν ἀλλήλων· δόλῳ δὲ τοῦτο πράττειν, ὡς ἂν αὐτὸς πρῶτος ὢν τοῦ κλήρου, τὰς κατηγορίας διαφυγγάνοι. Καὶ τὰ μὲν τοῦ Ἀγκύρας Βασιλείου τῆς καθαιρέσεως αἴτια τάδε ἐγένοντο· τοῦ δ' Εὐσταθίου Σεβαστείας τῆς ἐν Ἀρμενίᾳ πρῶτον μὲν, ὡς ἡνίκα τῷ πρεσβυτερίῳ κατείλεκτο, Εὐλάλιος ὁ ἐκείνου πατὴρ κατεγνωκὼς αὐτοῦ, τῆς ἐκκλησίας ἀφώρισεν· ὅτιπερ ἀνάρμοστον τῇ ἱερωσύνῃ στολὴν ἠμφίεστο. Ἐπίσκοπος δ' ἦν Εὐλάλιος Καισαρείας τῆς Καππαδοκῶν· ἔπειτα καὶ ἐν τῇ τοῦ Πόντου Νεοκαισαρείᾳ κοινωνίας ἄπο ἐγένετο τῇ ἐκεῖσε συνόδῳ. Καθεῖλε δὲ αὐτὸν Εὐσέβιος ὁ πρῶτον μὲν Βηρυτοῦ, εἶτα Νικομηδείας, καὶ τρίτον τῆς Κωνσταντινουπόλεως Ἐκκλησίας μετὰ Παῦλον λαβὼν τὴν ἐπιτροπὴν, ἅτε δὴ ἐπί τισι διοικήσεσι καταγνωσθέντα. Ἐπὶ δὲ τούτοις, ὡς μὴ κα-

A autem ira quasi quodam subsidio usi, qua ille cum adversus alios plerosque, tum maxime in Macedonium commotus fuerat, propter eas quas antea diximus seditiones et cædes, nec non ob urnæ cinerum Constantini patris translationem: et quod insuper diaconum in fornicatione deprehensum ad communionem admisisset, ei quoque dignitatem abrogant. Eleusio præterea Cyziceno, crimine illo objecto, quod Heraclium quemdam Tyrium, sacerdotem Herculis, Græci dei, in urbe Tyro, manifestum impostorem, inconsiderate ad sacrum baptismum admissum, in diaconorum quoque ordinem legisset, cum quidem is Christianismum tantum simularet, et propter imposturas Tyro profugisset: tum autem, quod cum postea talem eum B esse cognovisset, nihilo tamen magis sacro ordine movisset. Præterea quod viros quosdam a Mari Chalcedonis episcopo, qui tum Constantinopoli conventui isti affuit, damnatos atque proscriptos, contra canones sacerdotali dignitate ornasset. Basilium quoque, qui et Basilas, ut binominis, dictus est, et pro Marcello Ancyranam Ecclesiam obtinuit, exauctorant, quod hominem quemdam præter rationem omnem ad tormenta tradidisset, et catenis vinctos longo tempore in custodia habuisset; et quod graves calumnias clericis quibusdam Antiochenis, Cilicibus, Galatis et Asianis texuisset, quibus indicta causa provinciarum rectoribus traditis multæ exsiliique causa exstitit. Item quod Diogeni presbytero Alexandria Ancyram C eunti, chartas quas secum ferebat abstulisset, eumdemque verberibus affecisset. Aliam quoque ei impegere dicam, quod imperialibus scilicet mandatis resistere ausus fuisset, quibus præcipiebatur, ut Aetius et alii quidam ad Cecropium, causam de criminibus quæ eis objiciebantur apud eum dicturi, ducerentur. Et quod Hermogeni præfecto atque etiam Syriæ rectori scripsisset, quos et quonam locorum deportandos curaret: **795** pro quibus cum imperator, in patriam eos reducere jubens, scripsisset, ipse tamen arte quadam ut aliud fieret effecisset, magistratibus simul et episcopis adversus. Insuper quod Sirmii, Germinii clerum, ne cum eo communicaret ad rebellionem D concitasset: quodque in perjurio deprehensus fuisset; quod Illyricis, Romanis et Aphris per litteras discordiæ et seditionis causam præbuisset; quod in Africanos scribens episcopos, Ursacium et Valentem calumniose criminatus esset; quod ancillam vinctam falsum contra heram suam testimonium dicere compulisset; quod virum cum muliere fœda consuetudine viventem baptizasset, eidemque diaconi dignitatem contulisset; quod exploratorem quemdam itinerum, qui multis nec s causam attulerat, ecclesia non exclusisset; quod ad mysticam mensam conjurationes fecisset, clerumque ibi jurisjurandi sacramento, ne alius alium accusaret, obstrinxisset, id quod dolo ab eo factum, ut scilicet ipse primam in clero dignitatem obti-

nens, judicia eo modo effugeret; atque ut Basilio Ancyrano episcopatus adimeretur, causæ hæ fuere. Eustathio autem Sebastiæ Armeniorum antitisti, primum quidem quod cum presbyter crearetur, cum pater ejus Eulalius (1) præjudicio suo damnaverit, et ecclesia ejecerit, propterea quod habitu qui sacerdotem non deceret, uteretur. Fuit autem Eulalius Cæsareæ Cappadocum episcopus. Deinde quod Neocæsareæ in Ponto a synodo isthic coacta excommunicatus fuerit, propterea quod minus fideliter res quasdam sibi commissas gessisset: deposuit autem illum Eusebius primum Beryti, deinde Nicomediæ, postea vero etiam Constantinopolis, post Paulum, episcopus. Adhæc, quod ei in synodo Gangrensi, propterea quod aliter quam convenit, et sensisset, et in ecclesia docuisset, episcopalis dignitas sit abrogata. Et quod in Antiochena synodo perjurii fuerit convictus: quodque conatus sit ea quæ recte in Melitinensi conventu constituta fuerant, evertere et abolere, et cum tot criminibus reus ageretur, judicis sibi tamen partes sumpserit, alienos a fide alios vocans. Eortasium vero Sardis episcopatum gerentem de gradu dejecerunt, quod episcopi Lydii ordinationem ejus non approbassent. Dracontium autem Pergamenum, quod in Galatia prius ecclesiæ episcopus præfuisset; et adempto illi episcopatu posteriore, ad priorem quoque eum redire non permisere. **796** Sophronium porro Paphlagonem, quod avaritiæ studio in Ecclesiæ pecunia quæstum fecerit; et quod semel atque iterum citatus, vix tandem venerit; et quod responso synodum dignatus non sit, profanum judicem per provocationem appellans. Præter hos Satalenorum (2) episcopum Elpidium de gradu dimovit, ut Basilii socium, et ordine sublato confusionis et turbæ auctorem, qui etiam Eusebium quemdam, cui Melitinensis synodus sacerdotalem ademerat dignitatem, temere citra inquisitionem in presbyterorum ordinem restituerit: et Nectariæ cuidam, cui propter jusjurandum violatum, communione interdictum fuerat, diaconatum contulerit; tametsi ad honorem ecclesiasticum eam non admiserit. Neon autem Seleuciæ pontifex propterea ad episcopatum deponendum est damnatus, quod ex composito in ecclesia sua Anianum Antiochiæ episcopum creari permiserit: præterea quod nonnullos sacrarum Litterarum imperitos, et ecclesiasticarum constitutionum ignaros, maleque insuper viventes, re non deliberata, episcopos fecerit; qui deinde, pecunias episcopali dignitate præferentes, litteris suis attestati sunt, malle se opes habentes res sacras curare, quam sine illis episcopatum gerere. Sylvanum autem, quod aliis et Seleuciæ et Constantinopoli contumaciæ causa fuerit. Porro Theophilum Castabalenorum (3) Ecclesiæ antistitem, quod antea ab episcopis Palæstinæ Eleutheropolis

(1) Socrat. habet *Eulabius*, lib. II, cap. 33.
(2) Satala urbs Armeniæ.

A θήκοντα καὶ φρονῶν καὶ ἐπ' ἐκκλησίας διδάσκων, παρὰ τῆς ἐν Γάγγρᾳ συνόδου τὴν ἐπισκοπὴν ἀφῃρέθη. Ἐν δὲ τῇ κατ' Ἀντιόχειαν συνόδῳ ἐπιορκίας ἑάλω· καὶ ὅτι ἐπεχείρει τὰ καλῶς δεδογμένα τοῖς ἐν Μελιτινῇ συνιοῦσιν ἀνατρέπειν καὶ διασπᾶν· τοσούτοις δ' ἐγκλήμασιν ὑπεύθυνος ὤν, δικάζειν ᾑρεῖτο, ἀλλοτρίους τῆς πίστεως τοὺς ἄλλους καλῶν. Τὸν δὲ Σάρδεων ἐπίσκοπον Ἑορτάσιον καθεῖλον, ἅτε μὴ τῶν Λυδῶν ἐπισκόπων τῇ χειροτονίᾳ καταθεμένων αὐτοῦ. Καὶ τὸν Περγάμου δὲ Δρακόντιον, ὡς ἐν Γαλατίᾳ ἐπισκοπήσαντα πρότερον· καὶ λύσαντες αὐτὸν τῆς ὑστέρας, οὐδ' ἐπὶ τὴν πρώτην ἐλθεῖν συνεχώρησαν. Σωφρόνιον δὲ τὸν Παφλαγόνα, ὡς πλεονεκτικῷ τρόπῳ τὰ τῆς Ἐκκλησίας καπηλεύοντα χρήματα, καὶ ὡς μετὰ κλῆσιν καὶ μίαν καὶ δευτέ- B ραν μόλις ἐλθόντα, μηδ' ἀπολογίας ἀξιῶσαι τὴν σύνοδον· ἔκκλητον δὲ κοσμικῶν δικαστῶν αἱρεῖσθαι. Ἐπὶ τούτοις καὶ Ἐλπίδιον καθεῖλον τὸν Σατάλων ἐπίσκοπον, ὡς σύμμαχον Βασιλείου καὶ καθηγητὴν ἀταξίας γενόμενον, καὶ ἄνδρα τινὰ Εὐσέβιον τὴν ἱερωσύνην ἀφῃρημένον τῇ ἐν Μελιτινῇ συνόδῳ, ἀκρίτως ἐπὶ τὴν τοῦ πρεσβυτέρου ἀγαγόντα ἀξίαν· καί τινα Νεκταρίαν κοινωνίας ἄπο οὖσαν διά τινας παραβάσεις ὅρκων διακονίας μὲν ἀξιώσαντα· μὴ μέντοι καὶ τῆς ἐκκλησιαστικῆς μεταδόντα τιμῆς. Νέων δὲ ὁ Σελευκείας καθῄρητο, πρῶτον μὲν ὅτι παρεχώρει τῇ αὐτοῦ ἐκκλησίᾳ χειροτονηθῆναι σπουδαίως Ἀνιανὸν Ἀντιοχείας ἐπίσκοπον· ἔτι δὲ καὶ ὥς τινας ἀπείρους Γραφῶν ἱερῶν, καὶ τῶν τῆς Ἐκκλησίας ἀμοίρους θεσμῶν, πολιτευομένους τε οὐ καλῶς, C ἀπερισκέπτως καταστήσειεν ἐπισκόπους· οἳ μετέπειτα ἀνθείλοντο τῆς ἱερωσύνης χρήματα κτᾶσθαι· καὶ ἐγγράφως εἵλοντο τὰς οὐσίας ἔχοντες λειτουργεῖν, ἢ δίχα τούτων ἐπισκοπεῖν. Τὸν δὲ Σιλβανὸν ὡς ἀπονοίας αἴτιον καταστάντα τοῖς ἄλλοις ἔν τε αὐτῇ Σελευκείᾳ, καὶ ἐν τῇ Κωνσταντίνου· καὶ Θεόφιλον τῆς ἐν Κασταβάλοις Ἐκκλησίας προστάντα, ὡς πρότερον μὲν παρὰ τῶν ἐν Παλαιστίνῃ ἐπισκόπων, Ἐλευθερουπόλεως χειροτονηθέντα, καὶ ὅρκον ἐπομοσάμενον παρὰ γνώμην, μή ποθ' ἑτέραν ὑπελθεῖν ἐκκλησίαν. Ἰστέον δὲ, ὡς τὸν Σεβαστείας Εὐστάθιον ἡ ἐν Γάγγρᾳ καθεῖλε σύνοδος, ὅτι πολλὰ παρὰ τὴν ἐκκλησιαστικὴν συνήθειαν ἔπραττε· γάμον γὰρ ἀνῄρει, καὶ κρεῶν ἀπέχεσθαι εἰσηγεῖτο. Δι' ὧν D πολλοὶ μὲν τῆς γαμικῆς συναφείας ἐλύοντο· καὶ τοὺς τὴν ἐπ' ἐκκλησίας κοινωνίαν ἐκτρεπομένους ἐπ' οἴκου κοινωνεῖν ἔπειθε· δούλους τε θεοσεβεῖν ᾐρημένους διίστα τῶν δεσποτῶν. Αὐτός τε ἔξαλλον στολὴν κατὰ σχῆμα φιλοσόφων ἐφόρει· καὶ τοὺς ἑπομένους ξενιζούσαις στολαῖς περιέστελλε. Μὴ κομᾶν δὲ τὰς γυναῖκας ἐθέσπιζε· καὶ τὰς μὲν ὡρισμένας τῶν νηστειῶν ἐξετρέπετο, τὰς δὲ Κυριακὰς μᾶλλον νηστεύειν ἐδίδασκεν· οἴκοις τε γεγαμηκότων εὐχὰς ἐκώλυε γίνεσθαι· καί τις λαϊκὸς ὢν καὶ γυναικὶ ὁμιλήσας, εἰ πρεσβυτέρου χειροτονίαν εἰλήφει, τὴν ἐκείνου εὐλογίαν καὶ κοινωνίαν ὡς μύσος ἐξέκλινε. Τοιαῦτα δὲ καὶ ἄλλα παραπλήσια καὶ εἰσ-

(3) Castabala Ciliciæ oppidum.

ἡγεῖτο καὶ ἔπραττε· δι' ἃ ἡ ἐν Γάγγρᾳ σύνοδος A τοῦτον καθελοῦσα, καὶ ἀναθέματι παραδέδωκεν.

episcopus ordinatus, non ex animi sententia juraverit, se aliam ecclesiam nunquam esse suscepturum. Observandum autem illud, quod Gangrensis synodus Eustathio Sebastiensi, antea quoque in Cæsariensi conventu exauctorato, propterea episcopatum ademerit, quod multa præter Ecclesiæ consuetudinem fecerit atque statuerit. Conjugium enim prohibuit, et a carnium cibo abstinendum esse docuit : unde factum, ut multi conjugalem conjunctionem dissolverent. Et qui communionem in ecclesia vitarent, eis in privatis ædibus ut communicarent suasit. Servos, qui Deum colere cum prætextu pietatis constituissent, etiam præter dominorum voluntatem libertate donavit. Et cum ipse singularem sibi et insolitum philosophorum more habitum sumpsit, tum novas quoque sectatoribus suis vestes dedit. Mulieres ne comam haberent, constituit. Stata jejunia aversatus, Dominicis diebus potius jejunandum esse docuit. In conjugum domibus precationes fieri prohibuit.
797 Ac si laicus quisquam, conjugem in matrimonio legitimo habens, presbyter ordinatus esset, ejus benedictionem et communionem, perinde atque piaculum abominandum, devitare jussit. Hæc ille, atque alia hisce similia et docuit et egit : quapropter Gangrensis in Paphlagonia synodus eum exauctoratum, cum institutis suis, anathemate quoque jugulavit.

ΚΕΦΑΛ. ΜϚ'.

B

Ὡς καὶ Κύριλλος ὁ Ἱεροσολύμων καθῄρηται· καὶ τίνες τοῖς τῶν καθῃρημένων θρόνοις ἀντικατέστησαν. Καὶ περὶ τοῦ σοφίσματος Εὐδοξίου τοῦ Κωνσταντινουπόλεως, καὶ τοῦ τηνικαῦτα παρὰ Ἀκακίου διωγμοῦ.

Ἐπὶ δὲ πᾶσι τούτοις τρισκαιδέκατον καθεῖλον καὶ τὸν Ἱεροσολύμων Κύριλλον, ἄνδρα ἐπ' ἀρετῇ διαβόητον, καὶ δεινὸν κατηχῆσαι λόγοις τὰ πλήθη· οὗ συγγράμματα, ἃ Κυρίλλεια ἡ Ἐκκλησία ὠνόμασεν. Αἴτια δὲ ἦσαν τῆς καθαιρέσεως πρῶτον μὲν ὡς κοινωνήσειεν Εὐσταθίῳ καὶ Ἐλπιδίῳ, οἳ ἐναντία τῇ ἐν Μελιτινῇ συνόδῳ ἐσπούδασαν, ἧς καὶ αὐτὸς μέρος τὸ κράτιστον ἦν· καὶ ὡς Βασιλείῳ καὶ Γεωργίῳ τῷ Λαοδικείας ἐπισκόπῳ κοινωνίας μεταδοὺς μετὰ τὴν ἐν Παλαιστίνῃ ἐκείνων καθαίρεσιν· ἔτι C δὲ καὶ ὡς τὴν τῶν Ἱεροσολύμων ἐπιτραπεὶς, ἅτε δὴ θρόνου ἐπιβὰς ἀποστολικοῦ, περὶ τῶν τῆς ἐνορίας δικαίων πρὸς Ἀκάκιον τὸν Παλαιστινὸν διεφέρετο. Ἐξ ὧν εἰς τὸ κατ' ἀλλήλων μῖσος ἀναρραγέντες, ὡς οὐκ ὀρθῶς περὶ Θεοῦ φρονοῖεν ἀλλήλους διέβαλλον. Ὁ μὲν γὰρ τὰ Ἀρείου πρότερον ἦν δογματίζων· Κύριλλος δὲ τοῖς τῷ ὁμοουσίῳ στοιχοῦσιν ἐξαρχῆς εἵπετο. Δολερῶς δὲ διὰ ταῦτα καὶ Ἀκάκιος πρὸς αὐτὸν ἔχων, τοὺς περὶ Παλαιστίνην ἐπισκόπους ἀθροίσας, οἳ ὁμόφρονες αὐτῷ ἦσαν, φθάνει παύσας τοῦτον τοῦ ἱερᾶσθαι, αἰτίαν μάλιστα τήνδε προβεβλημένος. Λιμὸς ἐπόνει τὴν Παλαιστίνην, τὸ δὲ πλῆθος ἐνδείᾳ τῶν ἀναγκαίων πρὸς τὸν ἐπίσκοπον ἔβλεπεν. Ἐπεὶ δὲ κἀκεῖνον, πρὸς τοῖς χρήμασι, καὶ τὰ σῖτα ἐπέλιπε, κειμήλια καὶ ἱερὰ ἔπιπλα ἀποδόμενος, ὥς γ' ἐνῆν παρεμυθεῖτο τὴν ἔνδειαν· καί τινα D λόγος ἀνάθημα σφέτερον ἐπιγνῶναι τῶν οὐκ ἀσέμνων γυναῖκα ἠμφιεσμένην. Ἐπεὶ δ' ἐρευνῇ διδοὺς ὅθεν ἔχοι ἔγνω, ὡς ἔμπορός τις αὐτό οἱ ἀπέδοτο, τῷ δ' αὖ ὁ ἐπίσκοπος· αἰτίαν ταύτην προβαλλόμενον τὸν Ἀκάκιον, καθελεῖν αὐτόν. Ταύτην αἰτίαν ἐπυθόμην τῆς καθαιρέσεως Κυρίλλου· οὐ προσήκουσάν γε μὴν τέως ἐμοὶ, ὅτι λιμοῦ καὶ πενίας ἡ πρόφασις ἦν.

CAPUT XLVI.

Ut etiam Cyrillus Hierosolymitanus episcopus episcopatu dejectus sit, et qui in locum abrogatorum suffecti. De improbo et importuno sophismate Eudoxii Constantinopolitani, et de persecutione tum ab Acacio profecta.

Post hos omnes, tredecimum damnarunt Cyrillum Hierosolymitanum, ingenti virtute et ad populum docendum egregium virum : cujus scripta sunt, quæ Ecclesia Cyrillia nominat. Ut autem damnaretur, causæ illæ fuere : primum quod cum Eustathio et Elpidio communicaverit, qui Melitinensi synodo, cujus et ipse potissima pars fuerat, adversati sunt. Et quod itidem Basilium et Georgium Laodicensem, posteaquam in Palæstina episcoporum ordine moti fuerant, in communionem receperit. Insuper cum Hierosolymorum episcopus creatus apostolicum thronum conscendisset, quod de jurisdictionis ecclesiasticæ finibus et jure metropolitano cum Acacio Palæstino disceptarit. Qua ex causa in mutuum adducti odium, alter alterum, quod non recte de Deo sentiret, est criminatus. Acacius enim Arianæ erat sententiæ, Cyrillus autem τὸ ὁμοούσιον, *consubstantiale*, laudantes probabat. Eam ob rem male in eum animatus Acacius, episcopis Palæstinis qui secum faciebant congregatis, administratione sacrorum ei interdixit : talem insuper maxime præferens causam. Fames Palæstinam affligebat, et plebs in rerum necessariarum inopia ad episcopum respectabat. Et cum illum, post pecunias, etiam frumentum defecisset, donaria templi, et sacra aulæa vendidit, et quoad potuit penuriam populi est solatus. Et quidam vir honestus donarium suum agnovisse dicitur, vestem videlicet (1), qua femina ex scenicis atque thymelicis quædam amicta erat. Ubi res inquisita est, a mercatore quodam comparatam esse, qui ab episcopo eam prius emerit, compertum est. Hujus prætextu rei Acacius Cyrillum episcopatu abire

(1) Apud Theodoretum lib. II, cap 27, scriptum est, vestem istam auro contextam, a laudatissimo imperatore Constantino Magno Macario, episcopo Hierosolymitano, ut ea indutus episcopus sacrosancti baptismi perageret cæremonias, donatam esse. Eam cum Cyrillus vendidisset, et deinceps a mercatore thymelicus saltator emisset atque induisset, in ipsa saltatione eum exanimatum concidisse.

coegit. **798** Talem quidem abdicationis ejus causam fuisse audivi, sed non satis certe tum, ut mihi videtur, convenientem : quoniam fames et penuria venditionis causa fuere. Quibuscunque autem Acacius factionisque ejus fautores dignitatem abrogaverant, eos etiam omnes Constantinopoli expulerunt. Erant autem in ea factione decem, qui sententias talium abrogationum calculis suis comprobare noluerunt. Eos in loco certo asservari jussere, ut ibi privati agerent, neque rem divinam attingentes, neque eorum quidquam quæ episcopalis muneris sunt agentes, donec abrogationum sententiis subscriberent. Et nisi intra menses sex per pœnitentiam resipiscerent, et rebus omnibus quæ synodus constituerat assentirentur, ipsis quoque ademptum ecclesias, aliisque commissum iri, qui cum eis consentirent, sicuti fieri solet, minabantur. Hoc ubi constituerunt, consiliumque suum ad exitum perduxerunt, ad episcopos ubique omnes litteras dederunt, ut Ariminensem fidei professionem una cum adjectione sua servarent, eamque subscriptionibus suis confirmarent. Aliter si facerent, solum exsilii causa verterent. Ad quæ imperatoris quoque, cœpta eorum comprobans, accessit sanctio. Certiorem quoque de his Patrophilum Scythopolitam fecere, qui se statim Seleucia ad suam contulerat Ecclesiam. Et paulo post, Eudoxius cum sectatoribus suis, alios aliis in sedibus episcopalibus substituit. Ipse quidem Eudoxius primus Macedonio surrogatus est : Basilio autem Ancyrano Athanasius. Porro Eleusio successit Eunomius, qui etiam hæresis nominis sui princeps exstitit. Et pro Eustathio Sebastiæ, divus Meletius Ecclesiæ præfectus. Macedonius Constantinopolitano episcopatu privatus, e regione urbi Orientem versus, in loco cui nomen Claustra, diutius degens, ibi adversus Spiritum sanctum blasphemiam ore minime clauso evomuit, et male vitam finivit. Porro Acacius et sectatores ejus Eudoxium in possessionem vacuam Ecclesiæ Constantinopolitanæ deduxerunt, longe ab eis quæ paulo ante judicaverant diversa statuentes. Qui enim non ita pridem Dracontio episcopatum, quod ex Galatia Pergamum transisset, ademerant, non animadverterunt, se, dum Eudoxium non in unam, sed jam in alteram Ecclesiam transferrent, contraria sibi ipsis decernere et facere. **799** Porro cum is ecclesiam recepit, tum et magna ecclesia quæ Σοφία, hoc est, Sapientia dicitur, Encænia celebravit, quindecimo Februarii mensis die. Hic ille in throno suo considens, primum divulgatam illam in ecclesia edidit vocem : Pater, inquiens, ἀσεβής, hoc est, si simpliciter accipiatur, impius : aliter, non colens. Filius autem εὐσεβής, hoc est, vere pius, et recte colens. Et tumultu ad talia verba, sicuti par erat, a populo et seditione mota, ne turbam cierent, hortatus est. Pater enim, inquit, neminem colit, et sic ἀσεβής est : Filius vero εὐσεβής, merito enim et recte Patrem colit. His dictis tumultus

A Πάντας δὲ τούτους ὅσους καθεῖλον, καὶ τῆς Κωνσταντίνου ἀπώσαντο οἱ περὶ Ἀκάκιον. Ἦσαν δ' ἐκ τοῦ μέρους αὐτῶν δέκα τὸν ἀριθμὸν, οἳ ταῖς τοιαύταις καθαιρέσεσιν ἥκιστα ᾑροῦντο ἐπιψηφίζεσθαι· οὓς καὶ ἐκέλευον ἐν τῷ ἀσφαλεῖ τηρεῖν, καὶ διάγειν ἐν ἑαυτοῖς, μήτε λειτουργίας ἅπτεσθαι, μήτ' ἐκκλησίαις τι προσῆκον ἐπισκόποις δρᾷν, ἄχρις ἂν ταῖς καθαιρέσεσιν ὑπογράψωσιν. Εἰ δ' ἐντὸς μηνῶν ἓξ μὴ χρήσωνται μεταμέλῳ, καὶ μὴ πᾶσιν ἕλωνται τοῖς τῇ συνόδῳ δεδογμένοις στοιχεῖν, καὶ αὐτοὺς ἀφαιρεῖσθαι τὰς ἐκκλησίας, καὶ ἀντικαθιστᾷν ἑτέρους αὐταῖς κοινῇ συνιόντας, ὥσπερ εἴωθε γίνεσθαι. Ὡς δὲ τοιαῦτ' ἐβουλεύσαντο, καὶ πέρας εἶχε τὸ βούλευμα, τοῖς ἁπανταχοῦ ἔγραφον ἐπισκόποις, τὴν ἐν Ἀριμίνῳ πίστιν φυλάττειν μετὰ τῆς προσθήκης,
B καὶ ὑπογραφαῖς κυροῦν· τοὺς δ' ἄλλως ἔχοντας γνώμης ὑπερορίους ἄγεσθαι. Τοῦτο δὲ καὶ θέσπισμα βασιλέως ἐκύρου. Γνώριμα δὲ ταῦτα καθίστων καὶ Πατροφίλῳ τῷ Σκυθοπόλεως· οὗτος γὰρ εὐθὺς ἀπὸ Σελευκείας εἰς τὴν οἰκείαν Ἐκκλησίαν ἀφώρμησεν. Ἔπειτα δὲ οὐ πολλῷ ὕστερον οἱ ἀμφὶ τὸν Εὐδόξιον, ἄλλους ἄλλοις ἀντικαθίστων τοῖς θρόνοις. Αὐτὸς μὲν γὰρ Εὐδόξιος πρῶτος Μακεδονίῳ ἀντικαθίστατο· Βασιλείῳ δὲ τῷ Ἀγκυρανῷ Ἀθανάσιος· τὸν δὲ Ἐλεύσιον Εὐνόμιος διεδέχετο· ὃς δῆτα καὶ ἀρχηγὸς κατέστη τῆς ἐπωνύμου αἱρέσεως. Ἀντὶ δὲ Εὐσταθίου τοῦ Σεβαστείας ὁ θεῖος Μελέτιος τὴν ἐπισκοπὴν ἐκληροῦτο. Ὁ δὲ Μακεδόνιος τὴν τῆς Κωνσταντίνου Ἐκκλησίαν ἀφαιρεθεὶς, ἀντιπέραν τῆς πόλεως πρὸς Ἕω εἴς τι χωρίον ᾧ Πύλας ὄνομα, ἐπὶ πολὺ διατρίβων,
C κἀκεῖσε τὴν κατὰ τοῦ ἁγίου Πνεύματος βλασφημίαν ἀπύλῳ στόματι ἐξερευξάμενος, κακῶς τὸ βιοῦν ἐξεμέτρει. Οἱ δὲ περὶ Ἀκάκιον τὸν Εὐδόξιον τῇ τοῦ Βύζαντος ἐνεθρόνιζον, ἐναντία τοῖς μικρῷ πρόσθεν κεκριμένοις νομοθετοῦντες. Οἱ γὰρ πρὸ βραχέος Δρακόντιον τοῦ ἱερᾶσθαι παυσάμενοι, ὅτι ἀπὸ Γαλατίας τὴν Πέργαμον μετηλλάξατο, οὐ συνίεσαν τὸν Εὐδόξιον οὐ μίαν πόλιν, ἀλλ' ἤδη καὶ εἰς δευτέραν κακῶς ἐπιβαίνοντα, ὡς ἐναντία ἑαυτοῖς διεπράττοντο. Τούτου δὲ τὴν ἐκκλησίαν ἀναβαίνοντος, τηνικαῦτα καὶ ἡ μεγάλη ἐκκλησία, ἡ Σοφία ὠνόμασται, τὰ ἐγκαίνια ἔσχε τῇ πεντεκαιδεκάτῃ τοῦ Φεβρουαρίου μηνός· ὃς καθεσθεὶς ἐπὶ τὸν θρόνον, πρῶτον τὴν πολυθρύλλητον ἀφῆκε φωνὴν, ἐπ' ἐκκλησίας εἰπών· Ὁ Πατὴρ ἀσεβὴς, ὁ δὲ Υἱὸς εὐσεβής. Θορύ-
D βου δ' ὡς εἰκὸς ἐπὶ τούτῳ καὶ στάσεως τῷ πλήθει γεγενημένης, μηδὲν ταράττεσθαι παρηγγύα· ὁ μὲν γὰρ Πατὴρ οὐδένα σέβει· ὁ δὲ Υἱὸς εὐσεβής· σέβει γὰρ, καλῶς ποιῶν, τὸν Πατέρα. Ταῦτ' εἰπόντος, ὁ μὲν θόρυβος κατεστέλλετο· γέλως δ' ἐπεχώρει πολύς· καὶ εἰς δεῦρο ἐν γέλωτι τὸ εἰρημένον διατελεῖ. Περὶ τοιαῦτα δὴ οἱ δυσσεβεῖς ἀσχολούμενοι καὶ κατασοφιζόμενοι, εἰς ἀτόπους δόξας τὴν Ἐκκλησίαν διέσπασαν, ὡς καὶ νῦν αὐτός τε καὶ Ἀκάκιος, καὶ ἀσχολίας ὑπέρτερον ἐποιοῦντο, λήθῃ δοῦναι τὰ ἐν Νικαίᾳ γεγενημένα· καὶ τὴν ἐν Ἀριμίνῳ μετὰ τῆς προσθήκης ἁπανταχοῦ διεπέμποντο· καὶ τοὺς μὴ βουλομένους, ὡς εἴρηται, ἀϊδίῳ φυγῇ ζημιοῦν· ὃ δὴ δόξαν τὴν παράλογον ἀπόνως διανύσαι σπουδὴν, ἀρχὴν

ἑτέρων συμφορῶν ἠνίσσεν· ἁπάσῃ γὰρ οὐ μόνον A ἐκκλησίᾳ, ἀλλὰ καὶ πόλει, τάραχον οὐ μικρὸν ἐνεποίει. Διωγμὸς δ' οὐδὲν ἐλλείπων τῶν πάλαι τοῖς Ἑλληνισταῖς γεγενημένων, τὴν Ῥωμαίων ἡγεμονίαν διέτρεχεν. Εἰ γὰρ καὶ ταῖς περὶ σῶμα τιμωρίαις τὸ ἧττον εἶχεν, ἀλλ' ἡ αἰσχύνη μείζονα τοῦτον ἐποίει καὶ χαλεπώτερον τοῖς ὡς χρὴ τὸ δέον διαγινώσκουσιν. Ὅ τε γὰρ διώκων καὶ ὁ διωκόμενος τῆς αὐτῆς θρησκείας ἦσαν καὶ Ἐκκλησίας. Τόσον δ' ἦν τῷ αἰσχρῷ τὸ δεινὸν ὑπερφέρον, ὅσον πρὸς τοὺς ὁμοφύλους τὰ πολεμίων δρᾷν· καὶ περὶ ἀλλοφύλους εἶναί γε τοιούτους, ὁ τῆς ἱερωσύνης ἀπεῖργε θεσμός. Τό γε μὴν καινὸν ἐπαινούμενον κατ' ὀλίγον ἐπίδοσιν εἶχε, καὶ πρὸς νεωτερισμὸν ἠρεθίζετο· καὶ εἰς αὐθάδειαν ἕρπον, τῶν ἀρχαίων καὶ πατρικῶν νόμων ὑπερεφρόνει· καὶ νόμους ἰδίᾳ ἐτίθει. B Καὶ τὰ αὐτὰ περὶ Θεοῦ δοξάζειν τοῖς ἀρχαιοτέροις οὐδαμῶς ἤθελεν· ἀλλ' ἀεὶ ξένα τινὰ περιενόει δόγματα, καὶ οὐ καθεκτῶς εἶχε, καινὰ ἐπὶ καινοτέροις ἀεὶ ἐφευρίσκων, οἷα δὴ καὶ τότε συνέβαινε.

sopitus est, et magnus subsecutus risus. Atque hodie quoque dictum id ridiculum habetur. Talibus impii illi rebus occupati, et cavillationibus ejuscemodi usi, Ecclesiam ad absurdas opiniones distraxerunt. Omnique prorsus cura et studio et ipse Eudoxius et Acacius summopere in hoc incubuere, ut in oblivionem Nicæna decreta adducerent. Proinde Ariminensem formulam cum appendice sua ad loca omnia miserunt : et qui eam non reciperent, sicut dictum est, exsilio eos perpetuo multarunt. Quod sane cum facile rem præter rationem susceptam perfecturum esse videretur, aliarum calamitatum initium præbuit : et non modo ecclesiis, sed et urbibus omnibus magnum concivit motum. Persecutio namque, quæ nulla in re Græcorum tyrannidi et crudelitati cederet, Romanum pervasit imperium. Quamvis enim, quantum ad corporum supplicia pertinet, minor fuerit : probrum tamen ipsum, majorem gravioremque eam apud eos qui rem recte putarunt, fecit. Nam et qui persequerentur, et qui persecutionem exciperent, ejusdem erant Ecclesiæ et religionis. Tanto vero id malum propter fœditatem majus fuit, quanto turpius civibus quam aliis infertur bellum : cum quidem id etiam erga exteros facere episcopalis functionis prohiberent sanctiones. Et novitas quidem laudata paulatim incrementa sua capiebat, atque ad mutationem insolitam spectabat : eoque demum præfractæ temeritatis pervenit, ut homines veteres et patrias leges contemneret, et novas sibi pro se quisque conderet. Atque equidem eadem de Deo cum antiquioribus illis sentire nolebat, sed nova identidem quædam dogmata comminiscebatur, neque se ab aliis super alias novis rebus inveniendis continere poterat. Talis tum fuit rerum status

ΚΕΦΑΛ. ΜΖ'.

Περὶ τῆς Μακεδονίου αἱρέσεως καὶ Μαραθωνίου τοῦ Νικομηδείας, καὶ Εὐσταθίου τοῦ Σεβαστείας· οἱ πρώτως κατὰ τοῦ ἁγίου Πνεύματος βλασφημεῖν ἤρξαντο, καὶ Πνευματομάχοι ὠνομάσθησαν.

C Μακεδόνιος γὰρ σύμφρων ὢν πρότερον Εὐδοξίῳ καὶ Ἀκακίῳ, ὅμως τὴν ἐκκλησίαν ἀφαιρεθεὶς, οὐκέτι παραπλησίως ἐκείνοις δοξάζειν ᾑρεῖτο· ἀλλὰ τὴν ἐν Ἀντιοχείᾳ πρότερον καὶ ἐν Σελευκείᾳ ὕστερον βεβαιωθεῖσαν πίστιν, ἣν καὶ ὁμοιοούσιον ἐκεῖνος ὠνόμαζε, κρατύνειν ᾑρεῖτο, ἣν αὐτὸν λόγος εὑρεῖν, μᾶλλον δὲ Μαραθώνιον, ὃν Νικομηδείας ποιῆσαι ἐπίσκοπον. Οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ἐν τῇ θεολογίᾳ ἓν τῆς Τριάδος λέγειν τὸ Πνεῦμα τὸ ἅγιον ἀπηρνεῖτο. Τὸν μὲν γὰρ Υἱὸν Θεὸν τέλειον εἶναι, καὶ κατ' οὐσίαν ὅμοιον ἔλεγε τῷ Πατρί· τὸ δὲ D Πνεῦμα τὸ ἅγιον ἄμοιρον καθίστα τῶν τοιούτων γερῶν. Διάκονον γὰρ αὐτὸ εἶναι καὶ ὑπουργὸν εἰσηγεῖτο, καὶ βραχύ τι τῶν ἀγγελικῶν διαφέρον ταγμάτων. Ἐκοινώνουν δὲ τῆς δόξης αὐτῷ Ἐλεύσιος ὁ Κυζίκου, Σωφρόνιός τε ὁ Παφλαγὼν, καὶ ὁ Σεβαστείας Εὐστάθιος· ὃς δῆθεν εὐγνωμονέστερος ὢν οὔτε Θεὸν οὔτε κτίσμα λέγειν ᾑρεῖτο τὸ Πνεῦμα τὸ ἅγιον. Πολλοὶ δὲ καὶ ἄλλοι σὺν αὐτοῖς ἦσαν, καὶ σχεδὸν ὅσοι μετ' αὐτῶν καθῃρέθησαν παρὰ τῶν ὑπεναντίων. Ἥκιστα δ' ἐλαχίστην καὶ μοῖραν ἐπήγοντο τοῦ ἐν Κωνσταντινουπόλει λαοῦ,

800 CAPUT XLVII.

De hæresi Macedonii, et Marathonii Nicomediæ, et Eustathii Sebastiæ episcoporum, qui primi contra Spiritum sanctum blasphema proferre verba cœperunt, et propterea Pneumatomachi appellati sunt.

Macedonius namque, etiamsi ante idem cum Eudoxio et Acacio sensisset, nihilominus tamen ex ecclesia sua deturbatus, non eamdem porro quam illi sequebatur opinionem : sed fidei professionem Antiochiæ primum, postea etiam Seleuciæ confirmatam, quam ipse seu potius Marathonius, quem Nicomediæ episcopum fecerat, ut quidam putant, ὁμοιοούσιον, hoc est *similem substantia*, appellabat, obtinere debere censuit. Verum non id modo egit, sed etiam in theologia seu divinitatis ratione exponenda, Spiritum sanctum personam unam Trinitatis dicendam esse negavit. Ac Filium quidem Deum perfectum, et substantia Patri similem esse dixit : Spiritum sanctum autem expertem honoris et dignitatis ejusmodi statuebat, famulum eum et administrum, angelicisque ordinibus paulo præstantiorem esse docens. Et in eadem cum eo sententia erant Eleusius Cyzicenus, et Sophronius Paphlago, et Eustathius Sebastiensis (1) : qui tamen aliis æquior, neque Deum neque creaturam Spiritum sanctum dicere maluit. Suffragabantur eis et alii multi, et fere omnes quibus

(1) Eustathii Sebastiensis verbum : *Ego*, inquit, *neque Deum Spiritum sanctum nominare censuerim, neque creaturam vocare ausus fuerim*. (Socrat. lib. II, cap. 45.)

a parte adversa dignitas abrogata fuerat. Nec mi- A nimam secum partem populi in urbe Constantinopolitana, atque in Bithynia, Thracia, Hellesponto, et aliis vicinis in circuitu populis trahebant. Vita namque et moribus (quos potissimum multitudo spectare solet) probatis erant. In publicum cum gravitate quadam veneranda prodibant. Instituta eorum non multum a monasticis aberant. Et sermo, affectata quadam sanctimonia mistus, vim ad persuadendum satis accommodatam præferebat. Qualis sane et Marathonius fuit : qui cum publicus rationalis fuisset, militum qui sub præfectis stipendia faciebant, loculis probe refertis, postquam eum quæstum posthabuit, egenorum publicis domibus curator præfuit, et ægrotis inserviit. Deinde asceticam sive monasticam quoque vitam, Eustathio B Sebastiensi auctore, secutus est. Insigne is etiam monasterium Constantinopoli construxit, quod ad longum duravit tempus. **801** Tam studiosus vero Macedonii hæresis fuit, ut pecunia sua expensa, propagandam eam curaverit, Marathonianosque populares ejus appellandos esse illis persuaserit. Et unus ipse, ne prorsus secta ea Constantinopoli interiret, obstitisse visus est. Macedoniani namque, ex quo tempore episcopatu Macedonius est dejectus, neque Ecclesiam, neque episcopum postea, eis quos exauctoratos paulo ante nominavimus exceptis, donec Arcadius ad imperium pervenit, habuere. Siquidem Ariani, omnes qui alterius essent quam suæ sectæ, ecclesiis exactos, plurimis etiam aliis malis affixere. Cæterum isti non tantum Macedoniani et Marathoniani, verum etiam Πνευματομάχοι, hoc est, oppugnatores Spiritus, sunt nominati. Ac qui eo tempore episcopi sedibus suis sint ejecti, operosum esset omnes recensere : ut autem breviter dicam, nulla fere fuit in Romano imperio gens, quæ calamitatem eam experta non sit.

A καὶ τῶν ἐν Βιθυνίᾳ καὶ Θρᾴκῃ καὶ Ἑλλησπόντῳ καὶ τῶν περικύκλῳ ἐθνῶν· καὶ γάρ πως τὰ περὶ τὸν βίον, ᾧ μάλιστα προσέχειν εἴωθεν ὁ πολὺς ὅμιλος, ἐπιμελῶς εἶχον. Ἡ γὰρ πρόοδος σεμνή τις ἦν αὐτοῖς· καὶ ἡ ἄλλη ἀγωγὴ οὐ πολλῷ ἀπέδει μοναχικὴ εἶναι. Ὁ δὲ λόγος κομψότητι κεκραμένος, ἦθος ἱκανὸν πείθειν προὐβάλλετο· ὁποῖος δῆτα καὶ Μαραθώνιος ἦν· ὃς ἀπὸ δημοσίων ψηφιστὴς τελῶν, τῶν ὑπὸ τοὺς ὑπάρχους στρατιωτῶν ἁδρὸν περιαθροίσας βαλάντιον, ἐπειδὴ τῆς ἐργασίας ἐκείνης ἐπαύετο, πτωχείων ἐπιμελητὴς ἦν, καὶ νοσοκομεῖν ἐπετήδευεν. Ἔπειτα τὸν ἀσκητικὸν βίον ὑπῆλθεν, ὑπὸ Εὐσταθίῳ τῷ Σεβαστείας καθηγούμενος. Οὐκ ἀγεννὲς δὲ μοναστήριον ἐν τῇ Κωνσταντίνου συνίστησιν, ὃ καὶ μέχρι πόῤῥω διήρκεσεν. Ἐς τοσόνδε B δὲ σπουδαῖος ὤφθη τῇ Μακεδονίου αἱρέσει, ὡς καὶ χρήμασιν ἰδίοις ἐπιδοῦναι παρασκευάσαι, καὶ Μαραθωνιανοὺς πεῖσαι τοὺς ἐκείνου καλεῖσθαι. Μόνος γὰρ οὗτος εἰς τὸ μὴ παντάπασιν ἐκλιπεῖν τὴν τοιαύτην αἵρεσιν ἐν τῇ Κωνσταντίνου φαίνεται καταστὰς αἴτιος. Οὐδὲ γὰρ εἶχεν ὁ Μακεδόνιος ἢ ἐκκλησίαν ἢ ἐπίσκοπον ἀφ' οὗ τῆς ἐκκλησίας ἐξώσθη, ἄχρι δὴ καὶ Ἀρκάδιος παρῆλθεν εἰς τὴν ἀρχήν. Οἱ γὰρ ἐξ Ἀρείου τοὺς ἄλλως ἢ ὡς ἐκεῖνοι δοξάζοντας καὶ τῶν ἐκκλησιῶν ἤλαυνον, καὶ ἄλλως πλείστοις δεινοῖς περιέβαλλον· οἳ οὐ μόνον Μακεδονιανοὶ καὶ Μαραθωνιανοὶ, ἀλλὰ καὶ Πνευματομάχοι κατωνομάζοντο. Ὅσοι μὲν οὖν τηνικάδε ἱερωσύνῃ προσήκοντες ἐξηλάθησαν τῶν οἰκείων, ἐργῶδες νυνὶ διαμνημονεύειν. Σχεδὸν γὰρ φάναι, οὐδὲν ἔθνος τῆς Ῥωμαίων γῆς τῆς τότε συμφορᾶς ἀπείρατον ἔμεινεν.

CAPUT XLVIII.

Ut Eudoxio Constantinopolim traducto, Meletius ex Sebastia Antiochiam sit translatus : et ut eo ejecto, Euzoius s dem ibi obtinuerit.

Cum Eudoxius ad Constantinopolitani episcopatus opes respiceret, et jam possessionem ejus obtineret, non parva per ambitionem de Antiochena sede orta est contentio. Quod namque, ut ita dicam, unusquisque episcopatum cum ad se pertinere putaret, seditiones in clero simul et populo, ut fieri solet, sunt motæ. Et cujusque opinionis sectatores, in ea episcopatus consequendi exspectatione, ex popularibus suis quemdam deligi studuerunt. Ingens namque adhuc in multitudine de dogmate erat dissidium ; unde in psalmodiis quoque non concordabant : sed unusquisque pro ea quam obtinebat opinione, carmina conformabat. Et cum talis esset Antiochiæ status, Eudoxio sectatoribusque ejus placitum est, in eam urbem transferre eum, qui dicendo atque persuadendo egregius, simulque vitæ consuetudine laudatus maxime, ejusdemque antea cum eis sententiæ suffragator fuisset, Meletium. Magnam enim conce-

C

ΚΕΦΑΛ. ΜΗ'.

Ὡς Εὐδοξίου εἰς τὴν Κωνσταντίνου μετατεθέντος, Μελέτιος ἐκ Σεβαστείας εἰς Ἀντιόχειαν μετετέθη· καὶ ὡς ἐκεῖθεν ἐλαθέντος, Εὐζώϊος κατέσχε τὸν θρόνον.

Τοῦ δ' Εὐδοξίου πρὸς τὸν τῆς Κωνσταντίνου ἐπιδόντος πλοῦτον, καὶ τοῦ θρόνου τὰς ἡνίας κρατήσαντος, οὐκ ὀλίγοις περισπούδαστος ὁ τῆς Ἀντιόχου θρόνος ἐγένετο. Ἑκάστου γὰρ, ὡς εἰπεῖν, προσήκειν ἑαυτῷ τὴν ἐπισκοπὴν οἰομένου, στάσεις ἔκ τε τοῦ κλήρου καὶ τοῦ λαοῦ οἷα εἰκὸς ἐκινοῦντο. Ἑκάστη γὰρ δόξα τὸν ἴδιον ἐπὶ προσδοκίᾳ τοιαύτῃ τῆς ἱερᾶς ἐξουσίας ἐπιλαβέσθαι ᾑροῦντο. Πολλὴν γὰρ ἔτι περὶ τὸ δόγμα εἶχον διαφορὰν τὰ πλήθη. Ἔνθεν οὐδὲ συνῳδὰ περὶ τὰς ψαλμῳδίας ἀλλήλοις ἐφρόνουν· ἕκαστοι δὲ D ὥσπερ εἶχον δόξης, μετεῤῥύθμιζον τὸ ψαλλόμενον. Οὕτω δ' ἐχούσης τῆς Ἀντιοχείας, δεῖν ἐδόκει τοῖς περὶ τὸν Εὐδόξιον ἐκ τῆς Σεβαστείας εἰς τὴν Ἀντιόχειαν, ἅτε λέγειν καὶ πείθειν δεινὸν, βίῳ δὲ καὶ πολιτείᾳ μάλιστα κράτιστον, καὶ ὁμόδοξον αὐτοῖς καθεστῶτα τὸ πρότερον, μεταθεῖναι Μελέτιον. Ἐν ἐλπίσι γὰρ ἦσαν οὐχὶ μικραῖς τοῖς τοῦ ἀνδρὸς πολλοῖς προτερήμασι μὴ μόνον Ἀντιοχεῖς θηρᾶσαι, ἀλλὰ καὶ τὰς περικύκλῳ πόλεις· μάλιστα δὲ ὅσοι

ἀπὸ τοῦ θείου Εὐσταθίου Εὐσταθιανοὶ ὠνομάζοντο, οἳ ἀπαράτρωτον τὴν ἐν Νικαίᾳ πίστιν ἐφύλαττον, ἰδίᾳ τὰς συνάξεις ποιούμενοι. Ἔλαθον δὲ παραπολὺ τῆς ἐλπίδος ψευσθέντες. Καὶ γὰρ τὴν Ἀντιόχειαν καταλαβόντι, πολλοὶ μὲν τῶν τὰ Ἀρείου φρονούντων προσῆλθον, πολλοὶ δὲ καὶ ἀπὸ θατέρου μέρους, οἳ Παυλίνῳ εἵποντο· οἱ μὲν κατὰ κλέος τοῦ ἀνδρός· πολὺς γὰρ ἦν ὁ περὶ τούτου θρύλλος καὶ πρὶν ἐπιστῆ· ἄλλοι δὲ καὶ κατὰ θέαν ἴσως· τοῖς δὲ σπουδὴ ἦν μαθεῖν, τίσι καὶ οὗτος προσκείσεται· καὶ γὰρ πολλή τις διέῤῥει φήμη, περὶ πολλοῦ καὶ αὐτὸν ποιεῖσθαι τὰ ἐν Νικαίᾳ δόξαντα, καθὰ δὴ καὶ τὸ τέλος ἔδειξε. Καὶ πρῶτον μὲν περὶ δόγματος διαλέγεσθαι ἐν δευτέρῳ ἐτίθει· τὴν δὲ ἠθικὴν διδασκαλίαν δημοσίᾳ μετεχειρίζετο. Προϊὼν δὲ, καὶ τὴν ἐν Νικαίᾳ πίστιν ἐπήγετο, καὶ τὸ ὁμοούσιον ἀνεκήρυττε. Λέγεται δὲ τὸν τηνικάδε τοῦ κλήρου ἀρχιδιάκονον, διδάσκοντι προσιόντα, ἐπιβαλεῖν αὐτῷ κοίλην τὴν χεῖρα καὶ ἐπιβύειν τὸ στόμα, τὸν δὲ τῇ χειρὶ μᾶλλον ἢ τῇ φωνῇ τὴν τῆς πίστεως γνώμην σημαίνειν· καὶ τοὺς τρεῖς δακτύλους εἰς τὸ προφανὲς ἐκτείνοντα, εἰς ταυτὸν αὖθις συνιζάνειν συνάγοντα, τὸν ἕνα μόνον ἐγείρειν ὄρθιον. Δι' ὧν εἰκόνιζεν ἅπασιν, ἃ δὴ φρονῶν λέγειν ἐπέχετο. Ἐπεὶ δ' ὁ διάκονος ἀφεὶς τὸ στόμα τὴν χεῖρα συνεῖχεν, ἐκεῖνος ἐλευθεριάσας τὴν γλῶσσαν, κομψοτέρᾳ μάλα φωνῇ ἣν εἶχε περὶ Θεοῦ δόξαν σαφῶς ἐπαῤῥησιάζετο· πᾶσί τε τὴν ἐν Νικαίᾳ πίστιν ἐτράνου, καὶ τοὺς ἄλλως φρονοῦντας πολὺ τοῦ εὐθέως διαμαρτάνειν ἐπεμαρτύρετο διαῤῥήδην. Ἐπεὶ δὲ λέγων ἢ τῇ χειρὶ δεικνὺς τὸ βούλημα τῆς ψυχῆς οὐκ ἐπαύετο παριστᾷν, ἀμοιβαδὶς, ὡς γ' ἐδίδου, ὅ τε διάκονος κἀκεῖνος, οἷα δὴ παγκράτιον ἀγωνιζόμενοι, ἐπιπολὺ φιλονεικοῦντες ἦσαν, οἱ Εὐσταθίῳ ἑπόμενοι σκιρτῶντες μέγα ἀνέκραγον, ἡδονῆς ἔμπλεῳ καθεστῶτες, οἱ δ' ἐξ Ἀρείου πλήρεις αἰσχύνης ὑπέστρεφον. Ἐπὶ δὲ τούτῳ χαλεπήναντες οἱ περὶ Εὐδόξιον, τῆς ἐκκλησίας ἀπήλασαν τὸν Μελέτιον· ἔπειτα μετεκαλοῦντο, οἷα ὁμόφρονα λογιζόμενοι, διορθώσασθαι τὰ προειρημένα. Καὶ γὰρ ἐκ τῆς Ἀρειανῆς ψήφου τὴν χειροτονίαν εἶχεν ἐν Σεβαστείᾳ. Ἐκ ταύτης δὲ πάλιν δι' ἐκείνων εἰς τὴν τῆς Συρίας Βέῤῥοιαν μετηνέχθη· καὶ ἐν τῇ κατὰ Σελεύκειαν συνόδῳ τῇ πίστει τῶν περὶ Ἀκάκιον ὑπέγραψε. Καὶ ἐν τῇ τῆς Κωνσταντινουπόλεως συνόδῳ παρῆν, συμπράττων ἐκείνοις τὰ φίλα καὶ συμψηφιζόμενος. Καὶ παρ' αὐτῶν τὸ τρίτον αὖθις, εἰς τὸν τῆς Ἀντιοχείας θρόνον μετέβαινε. Μετεστέλλοντο τοίνυν αὐτόν. Ὡς δὲ τῆς ὀρθῆς δόξης μετατίθεσθαι ἥκιστα ἤθελε, πυθόμενος βασιλεὺς, φυγὴν αὐτοῦ κατεδίκαζεν· Εὐζώϊον δὲ ὃς Ἀρείῳ συνῆν, καὶ σὺν ἐκείνῳ πρότερον καθῃρεῖτο, τὸν θρόνον ἐπέτρεπεν· οἵ γε μὴν Μελετίῳ ἑπόμενοι, καὶ δι' ἐπαίνου τὰ ἐκείνου ποιούμενοι, διατεμόντες σφᾶς τῶν Ἀρειανῶν, ἰδίᾳ ἐκκλησίαν εἶχον. Οἱ γὰρ περὶ Παυλῖνον ἐξ ἀρχῆς τῷ ὁμοουσίῳ στοιχοῦντες, οἳ Εὐσταθιανοὶ ἐκαλοῦντο, Μελέτιόν τε καὶ τοὺς περὶ αὐτὸν ἐξετρέποντο, μηδαμῶς ἐθέλοντες κοινωνεῖν, ὅτι ἐκ τῆς ἐκείνων ψήφου Μελέτιος τὴν χειροθεσίαν εἶχε, καὶ οἱ ἐκείνῳ ἑπόμενοι τῷ ἐξ ἐκείνων ἦσαν τελε-

perant spem, fore ut multis ejus viri primariis dotibus non solum Antiochenos in sententiam suam pertraherent, sed etiam vicinas circumcirca urbes, **802** et eos maxime qui a divo Eustathio Eustathiani vocabantur, et fidem Nicænam integram servabant, suas ipsi sibi synaxes et conventus seorsim agentes. Atenim magnopere opinione sui sunt falsi. Et ad Meletium, ubi Antiochiam pervenit, permulti Ariani, permulti etiam alterius partis, quæ Paulinum secuta fuerat, accessere: et alii quidem propter tanti viri gloriam (celebris enim adventum ejus præcesserat fama), alii autem videndi ejus gratia; quibus quoque studio fuit, ad quam partem inclinaturus esset, resciscere: vulgatum quippe rumoribus erat, plurimi eum Nicæna decreta facere, sicuti etiam exitus comprobavit. Ac primum ille quidem ut de dogmate verba faceret, secundo loco habuit, doctrinam autem morum publice coluit. Deinde vero progressus, Nicænam etiam fidem intulit, et τὸ ὁμοούσιον, *consubstantiale*, prædicavit. Fertur sane quidem, clericum archidiaconum ad illum, cum doceret, accessisse, cavamque ei manum injecisse, atque os obstruxisse; illum autem manu magis quam voce fidei sententiam indicasse, tres aperte digitos extendentem, eisque rursum leniter contractis, unum tantum directe erigentem. Qua ille re omnibus per imaginem quamdam exhibuit, quæ sentiens dicere non potuit. Ubi vero diaconus, ore relicto, manum ejus compressit: tum illum ore libero et voce gravi diserte sententiam de Deo suam promulgasse, et omnibus Nicænam fidem commendasse, aperte, qui aliter sentirent, eos a recta opinione aberrare testatum. Cum autem non cessaret vel verba faciens, vel manu gesticulans, animi sui sententiam vicissim, ut se res dabat, adversus archidiaconi inhibitionem atque contentionem astruere, et concertatio ea inter episcopos, perinde atque pancratio, hoc est, omni certaminum genere et viribus opibusque omnibus decertantes, diutius duraret, Eustathianos lætitia plenos exsultasse et vociferatos esse, Arianos vero pudore atque ignominia affectos cessisse. Et eam ob causam Eudoxium cum suis indignabundum, ab Ecclesia Meletium proscripsisse: eumdemque deinde ut sententiæ suæ suffragaturum (ita enim existimabat), et priora dicta correcturum, restituisse. Nam Meletius Arianorum suffragiis Sebastiæ episcopus creatus, **803** atque inde rursum per eosdem Berrhœam Syriæ translatus fuerat, et Seleuciæ in concilio Acacii fidei formulæ subscripserat. In Constantinopolitana prætereа synodo affuerat, et cum illis quæ eis placita erant, egerat et sanxerat, atque ab eisdem ad Antiochenam sedem evectus fuerat. Sed illi, ut diximus, eum restituere. Ut autem a recta sententia deduci minime potuit, imperator ea re intellecta, exsilio eum multavit: et Euzoio Arii familiari, cum quo etiam antea abdicatus fuerat, Ecclesiam Antiochenam commisit. Porro qui Mele-

tium consectati, doctrinam ejus laudabant, ab Arianis sejuncti, suas ipsi sibi ecclesias et conventus agebant. Paulini siquidem sectatores, et τοῦ ὁμοουσίου, *consubstantialis*, assertores, qui Eustathiani vocabantur, Meletium ejusque studiosos aversati sunt, neque communionem sibi cum eis esse voluerunt: propterea quod Meletius Arianorum electione episcopos ordinatus, sectatoresque ejus eorumdem baptismo initiati essent. Atque ii sane quamvis sententiis essent conjuncti, tamen propter solam ordinationis causam a seipsis sunt disjuncti. Ita factum, ut in Ecclesia Antiochena dissidium, duabus quæ idem sentirent partibus, intercederet. Eodem tempore Constantius Persas res novas moliri cognovit, et se Antiochiam contulit.

A σθέντες βαπτίσματι. Καὶ οἱ μὲν, καίπερ τὰ ἴσα φρονοῦντες, ἐπὶ τῇ τῆς χειροτονίας μόνῃ προφάσει διῄρηντο. Καὶ αὕτη ἐγένετο πρόφασις τὴν Ἀντιόχου Ἐκκλησίαν εἰς ὁμόδοξα δύο μέρη διακριθῆναι. Τηνικαῦτα δὲ πάλιν Πέρσας νεωτερίζειν κατὰ Ῥωμαίων μαθὼν Κωνστάντιος, ἧκεν εἰς Ἀντιόχειαν.

CAPUT XLIX.

Ut Acacius Antiochiæ etiam verbum simile ex Ariminensium fide eximere contenderit: et ut idem, cum præstare id non posset, conquieverit: et de Georgio Alexandrino, ut is Alexandrinis gravis molestusque fuerit.

Acacius et suffragatores ejus quiescere rursum non potuerunt: et cum eos rerum suarum pœniteret, priora decreta sua mutare sunt aggressi. Quamobrem cum paucis Antiochiam venere, atque ibi Euzoio ecclesias gubernante, et imperatore præsente, in fidei formula primum Arimini, deinde Constantinopoli edita, τοῦ ὁμοίου, hoc est similis, nomen delere atque abolere constituerunt. Jam enim non occulte, sed propalam, citra pudorem, per omnia, substantia simul et voluntate dissimilem Patri Filium, et ex non exsistentibus genitum esse docebant et prædicabant: sicuti et Arius a principio opinatus est. Iis autem maxime suffragabantur, quicunque Aetii sententiam comprobarunt: qui primus post Arium ejuscemodi nomina in publicum produxit, **804** et libere cum magna confidentia promulgavit. Unde ipse quidem ἄθεος, hoc est contemptor deum, sectatores autem ejus ἀνόμοιοι, hoc est dissimiles et non-exsistentiales, Antiochiæ ab homousianis seu consubstantialis professoribus cognominati sunt. Qui quidem tum propter Meletium segregati erant, ut a me paulo ante dictum est. Sedenim Ariani a nostris interrogati, curnam, cum antea in professione fidei suæ, Filium Deum ex Deo dixerint, dissimilem nunc atque ex non exsistentibus profiteri auderent? Propterea, responderunt, quod et Apostolus Paulus: *Omnia autem ex Deo*[1], inquit, proindeque unum etiam esse rerum omnium Filium: et ob eam causam in fidei formulis addi illud, *secundum Scripturas*. Hujusmodi illi cavillationibus objectiones eludere conati sunt. Quarum cavillationum auctor Georgius Laodicensis fuit, qui non bene locutiones ejuscemodi assecutus, superioribus temporibus hæc Origenem investigasse, et apostolicas verborum proprietates fusius interpretatum esse ignoravit. Cæterum tametsi arroganter ista in responsionibus suis jactarent, convicia tamen multorum

ΚΕΦΑΛ. ΜΘ'.

B *Ὡς οἱ περὶ Ἀκάκιον καὶ τὸ ὅμοιον ἐξελεῖν ἐσπούδαζον ἐν Ἀντιοχείᾳ ἀπὸ τῆς ἐν Ἀριμίνῳ πίστεως· καὶ μὴ δυνηθέντες, ἡσύχαζον· καὶ περὶ τοῦ Ἀλεξανδρείας Γεωργίου, ὡς βαρέως τοῖς ἐν Ἀλεξανδρείᾳ ἐφέρετο.*

Οἱ δὲ περὶ Ἀκάκιον οὐκέτι ἠνείχοντο ἠρεμεῖν· μετάμελοι δ' ἐφ' οἷς ἔπραξαν γενόμενοι, τὰ πρώην δεδογμένα σφίσιν ἀλλοιοῦν ἐπεχείρουν. Καὶ δὴ σὺν ὀλίγοις ἐν Ἀντιοχείᾳ γενόμενοι Εὐζωΐου κρατοῦντος τὰς ἐκκλησίας, καὶ τοῦ βασιλέως ἐκεῖ διατρίβοντος, περιελεῖν ἐδοκίμαζον ἀπὸ τῆς ἐν Ἀριμίνῳ πρῶτα, εἶτα ἐν Κωνσταντίνου πόλει ἐκτεθείσης πίστεως, τὸ ὅμοιον ὄνομα· οὐκέτι γὰρ κρύφα, ἀλλ' ἀνέδην οὕτω κατὰ πάντα, κατά τε οὐσίαν καὶ βούλησιν, ἀνόμοιον εἶναι τῷ Πατρὶ τὸν Υἱὸν, ἐξ οὐκ ὄντων τε γεγεννῆσθαι καὶ ἐδόξαζον καὶ ἐκήρυττον, καθὰ καὶ Ἄρειος C τὸ κατ' ἀρχὰς ἐδογμάτισε. Τούτοις δὲ τὰ μέγιστα συνεκρότουν, καὶ ὅσοι τὴν Ἀετίου δόξαν ἐπρέσβευον· ὃς πρῶτος μετὰ τὸν Ἄρειον, περιφανῶς τὰ τοιαῦτα τῶν ὀνομάτων εἰσῆξε, καὶ θαῤῥῶν ἐπαῤῥησιάζετο. Ὅθεν ἐκεῖνος μὲν ἄθεος ἠξιώθη καλεῖσθαι· οἱ δ' ἐκείνου, Ἀνόμοιοί τε καὶ Ἐξουκόντιοι πρὸς τῶν ἐν Ἀντιοχείᾳ φρονούντων τὸ ὁμοούσιον. Ὧν τότε διεσταμένων διὰ τὴν πρὸς Μελέτιον αἰτίαν, καθὼς ἄνωθεν διελάβομεν, καὶ πρὸς ἐκείνους διαπυνθανομένων, ὅτου χάριν ἐν τῇ ἐκθέσει τῆς σφῶν πίστεως, Θεὸν ἐκ Θεοῦ τὸν Υἱὸν ὁμολογοῦντες, ἀνόμοιον νῦν καὶ ἐξ οὐκ ὄντων ὀνομάζειν θαῤῥοῦσιν, Ὅτι γε, εἶπον, καὶ ὁ ἀπόστολος Παῦλος τάδε πάντα ἐκ τοῦ D Θεοῦ φησιν· ἓν δὲ τῶν πάντων εἶναι καὶ τὸν Υἱόν· διὰ γὰρ τοῦτο προσκεῖσθαι καὶ ταῖς ἐκδόσεσι τὸ, *κατὰ τὰς Γραφάς*. Τοιούτοις σοφίσμασι τὴν ἀντίθεσιν ὑποδύεσθαι ἐπεχείρουν. Ὧν σοφισμάτων εὑρετὴς Γεώργιος ὁ Λαοδικείας ἐτύγχανεν ὤν· ὃς μὴ καλῶς τοῖς τοιούτοις ἡγμένος, ἀγνοῶν ἦν, ὅπως ἐν τοῖς ἄνω χρόνοις πλατύτερον Ὠριγένης τὰ τοιαῦτα ἐξήτασε καὶ ἡρμήνευσεν. Ὅμως δ' οὖν εἰ καὶ τοιαῦτα ἐκομψεύοντο, τέως τὰ τῶν πολλῶν ὀνείδη μὴ οἷοί τε ὄντες φέρειν, μηδ' ἀντεγκαλεῖν ἐκείνους ἔχοντες ἱκανῶς, αὖθις τὴν ἐν Κωνσταντινουπόλει ἐκδοθεῖσαν πίστιν κυρώσαντες, διελύοντο, καὶ ἕκαστος οἴκαδε ἀνεχώρουν. Τότε δὲ καὶ Γεώργιος Ἀθανασίου ἔτι ἐν τῷ ἀφανεῖ καθεστῶτος, ἐλθὼν εἰς τὴν Ἀλεξάνδρειαν, οὐ μόνον χαλεπῶς διέκειτο πρὸς τοὺς ἑτέρως ἢ ὡς

[1] II Cor. v, 18.

αὐτὸς ἐδόκει δοξάζοντας, ἀλλὰ καὶ πρὸς Ἕλληνας A βαρὺς ἦν. Ὡς γὰρ ἐκείνῳ ἐδόκει κἀκείνους δοξάζειν ᾑρεῖτο, καὶ μὴ βουλομένους ἤλαυνεν. Οὐ μὴν δ' ἀλλὰ καὶ παντὶ τῷ δήμῳ τῆς πόλεως χαλεπὸς ἦν· ἐπιτιμητικὸς δ' ὡς μάλιστα τοῖς ἄρχουσιν. Ἀπεχθὴς δὲ καὶ τῷ πλήθει ἐτύγχανεν οἷα τυραννικὸς, καὶ δύναμιν ἑαυτῷ περιποιούμενος οἴκοθεν. Τὸ δ' Ἑλληνικὸν πλέον ἐξέμαινεν, ὅτι τὰ πάτρια ἐκείνους εἶργε ποιεῖν· καὶ τὰς ἑορτὰς περιῄρει· καὶ ὅτιπερ στῖφος ἐξ Αἰγύπτου στρατιωτικὸν ἐπαγαγὼν αὐτοῖς, τάς τε τῶν σφετέρων θεῶν εἰκόνας, καὶ ἀναθήματα ἕτερα, καὶ ὅσος τοῖς ναοῖς ἦν κόσμος αὐτῶν, διήρπασεν ἀφαιρούμενος. Ἃ δὴ πάντα αἴτια ἐκείνῳ τῆς ἀναιρέσεως ἐγεγόνει, ὡς ἐν τῇ ἐφεξῆς μοι δηλωθήσεται ἱστορίᾳ. Τοῦ δὲ Κυρίλλου ὃν τρόπον εἴρηται καθαιρεθέντος, τὴν τῶν Ἱεροσολύμων Ἐκκλησίαν Ἑρέν- B νιος ἐπετράπη· μεθ' ὃν ἐγεγόνει Ἡράκλειος, καὶ ἐφεξῆς Ἱλάριος· οὗτοι γὰρ μέχρι τῆς Θεοδοσίου βασιλείας διοικῆσαι τὰ τῆς τοιαύτης Ἐκκλησίας ἱστόρηνται. Μετὰ δὲ τούτους πάλιν ὁ αὐτὸς Κύριλλος τὸν οἰκεῖον ἐπανέλαβε θρόνον.

tum perferre, et per interrogationes eos urgentibus satisfacere non potuerunt. Et cum quod in adversarios crimen regererent, non haberent, confirmata denuo quam Constantinopoli ediderant formula, conciliabulum suum solverunt, et se domum singuli receperunt. Eadem hac tempestate Athanasio adhuc latente, Georgius Alexandriæ non eos modo qui diversum ab opinione sua sentirent, male accipiebat, sed Græcis quoque ipsis gravis erat. Nam eos etiam, sicuti ipsi visum esset, opinari atque sentire volebat, et facere id nolentes persequebatur : quin universæ quoque urbis ejus plebi molestum se exhibebat : principum maxime virorum objurgator, et doctis atque claris, quod eos contemnebat, nec non multitudini ipsi invisus, veluti tyrannicus, et qui dominationem sibi quasi jure suo vindicaret. In primis vero Græcæ superstitionis cultores exacerbavit, quod eos patriis suis sacris operari, diesque festos peragere prohibuit. Et militari ex Ægypto adducta manu, deorum imagines atque alia donaria, et quidquid præterea in templis eorum esset ornamenti, diripiens abstulit. Quæ sane omnia, ut necaretur, causam præbuere, sicuti libro proximo ostendemus. Cyrillo Ecclesia Hierosolymitana, eo quo supra dictum est modo, adempta est, et Herennio mandata. **805** Cui Heraclius, atque huic rursum successit Hilarius : isti namque usque ad Theodosii imperium Ecclesiam eam administrasse traditi sunt : post quos Cyrillus ipse sedem suam recuperavit.

ΚΕΦΑΛ. Ν'.

Περὶ τῆς τοῦ βασιλέως Κωνσταντίου τελευτῆς· καὶ οἷα ὁ Θεολόγος γραφῇ περὶ αὐτοῦ ἱστορεῖ.

Ὁ δὲ Καῖσαρ Ἰουλιανὸς, μάχῃ τῶν περὶ τὸν Ῥῆ- C νον βαρβάρων κρατήσας, καὶ τοὺς μὲν ξίφει ὑπαγαγὼν, οὓς δὲ καὶ ζωγρήσας, καὶ πολὺς τηνικάδε διὰ μετριοφροσύνης καὶ ἐπιεικείας πρόσχημα δόξας τοῖς στρατιώταις, βασιλεὺς Ῥωμαίων ἀναγορεύεται. Ὃ δὴ ἐς Κωνστάντιον ἀγγελθὲν, πολλὴν ἐποίει τὴν ἀγωνίαν. Καὶ δὴ τὸ θεῖον λουτρὸν πρὸς Εὐζωΐου ἐν Ἀντιοχείᾳ δεξάμενος, ἄρας ἐκεῖθεν τὴν στρατιὰν, πρὸς τὸν κατ' ἐκείνου ἐπορεύετο πόλεμον. Ἐν δὲ Μόψου κρήναις γενόμενος, αἳ ἀνὰ μέσον Καππαδοκίας καὶ Κιλικίας εἰσὶν, ἀπόπληκτος τῷ πολλῷ τῆς φροντίδος γενόμενος, τὸν βίον ἀπέλιπεν. Ὁποῖος μὲν οὖν τὸ ἦθος καὶ τὴν θρησκείαν ἐγεγόνει Κωνστάντιος, διεξῆλθον ἂν, εἰ μὴ ὁ πυρίπνους ῥήτωρ ὁ Θεολόγος Γρηγόριος τὰ κατ' αὐτὸν ἄριστα διεσάφησε. Καί γ' D ἐνὸν διὰ τῶν ἐκείνου παραστῆσαι φωνῶν οἷος ἦν, περιττὸν οἶμαι ἑτέρως λέγειν αἱρεῖσθαι. Ἐν μὲν οὖν τῷ πρώτῳ στηλιτευτικῷ κατὰ Ἰουλιανοῦ, ὥσπερ ἐπαιτιώμενος τὴν ἐκείνου ἀνάῤῥησιν, τάδε κατὰ ῥῆμα ὑπὲρ Κωνσταντίου διέξεισι· «Τί τοῦτο, ὦ θειότατε βασιλέων καὶ φιλοχριστότατε (προάγομαι γὰρ ὡς παρόντι καὶ ἀκούοντι μέμψασθαι· καὶ εἰ πολὺ κρείττονά σε γινώσκω τῆς ἡμετέρας μέμψεως μετὰ Θεοῦ τεταγμένον, καὶ τῆς ἐκεῖ δόξης κληρονομήσαντα· καὶ τοσοῦτον μεταχωρήσαντα, ὅσον μεταθέσθαι τὴν βασιλείαν); τίνα ταύτην ἐβουλεύσω βουλήν; πάντων συνέσει καὶ ἀγχινοίᾳ καταπολὺ διαφέρων, οὐ τῶν ἐπὶ σοῦ βασιλέων μόνων, ἀλλὰ καὶ τῶν ἔμπροσθεν, ὁ τὸ βαρβαρικὸν ἀνακαθαίρων κύκλῳ,

CAPUT L.

De imperatoris Constantii obitu, et quæ Gregorius Theologus de eo scripta reliquerit.

Julianus sane Cæsar Bello Barbaros ad Rhenum vicit, plerisque cæsis, quibusdam etiam captis. Et quod militibus tum propter moderationis animi et æquitatis obtentum præclarus esse videretur, imperator Romanorum ab eis est declaratus. Quæ res ubi Constantio est renuntiata, anxia cum cepit sollicitudo. Et Antiochiæ ab Euzoio sacro tinctus lavacro, exercitum inde adversus Julianum duxit. Atque ubi ad Mopsi fontes, qui inter Cappadociam et Ciliciam sunt, venit, curis confectus, per apoplexiam vitam finiit. Qualis autem et moribus et religione Constantius fuerit, in præsentia commemorarem, nisi vehementissimus orator Gregorius Theologus virtutes ejus pulcherrime ostendisset. Et cum verbis illius qualis is fuerit declarare liceat, supervacaneum esse duxi, aliter res ejus referre velle. In prima igitur in Julianum invectiva, veluti reprehendens Cæsarem eum creatum esse, hæc ad verbum pro Constantio refert : « Quid hoc rei est, imperatorum sanctissime, et Christi amantissime (eo enim provehor, ut te veluti præsentem et hæc audientem incusem : quamvis te longe superiorem reprehensione nostra esse sciam, qui ad Deum translatus sis gloriæ cœlestis hæres : et tanto a nobis longius secesseris, quanto imperium illud quod cum hoc commutasti, est augustius) ? quodnam hoc cepisti consilium ? qui prudentia et animi solertia omnes, non modo qui ætate tua, sed antea quoque fuere principes,

longe superasti : qui foris finitimas circumcirca regiones a Barbaris repurgasti, et domi tyrannos compescuisti : atque alios quidem verbis flexisti, alios autem armis vicisti : et eo sane utrumque modo peregisti, ut alterum in altero nihil tibi afferret difficultatis? Et cum multa sint bello et armis parta, majora tamen et illustriora, quæ nullo effuso sanguine constituisti tropæa? Ad quem undequaque legati et supplices ex gentibus variis veniebant, quarum nonnullæ jam imperata faciebant, nonnullæ autem facturæ erant? **806** Qui quidquid sperasses, confectum tibi jam prope fuit. Adeo manu Dei ad consilia et actiones omnes es perductus. Cujus prudentia quidem magis quam fortitudo, magis vero etiam fortitudo quam prudentia admirationi fuit : amplius autem, quam utræque istæ, laudata pietas » Et paulo post : « Quis enim eorum etiam qui aliqua saltem ex parte cum novere, nescit, illum propter veram pietatem, summumque in nos amorem, et quod nobis omnia voluerit conciliare bona, non tantum contempturum vel omnem generis sui honorem, vel imperii partem, verum etiam incolumitatem salutemque nostram imperio ipso rebusque suis omnibus, atque adeo anima ipsa, qua nihil est omnibus hominibus charius et præstabilius, commutaturum fuisse? Nemini siquidem unquam tantus rei alicujus, quantus illi, ardor et amor incessit, ut Christiani aucti honestique essent, et ad summam gloriam et potentiam pervenirent. Non enim gentes imperio ejus subactæ, non respublica præclaris legibus constituta, non ingens pecuniæ vis, non gloriæ amplitudo, non quod rex regum et esset et nominaretur ; non aliæ denique res, quibus hominum felicitas declaratur, nec denique quidquam ex omnibus rebus tantum eum exhilaravit, quantum ut nos quidem per ipsum, per nos autem ipse, et apud Deum, et apud homines laudem consequeretur, et constans nobis perpetuaque permaneret potestas. Etenim cum alia multa, tum illud præcipue sublimius, imperatorieque magis quam plerique soleant, considerans, optime noverat, cum Christianorum rebus una Romanum auctum esse imperium : atque adveniente Christo, rerum administrationem ad unius principis, quod antea ex omni parte factum nunquam fuerat, summam potestatem pervenisse. Quam ob causam merito ille mihi visus est res Christianorum tantopere ornare et fovere. Qui etiamsi dolorem aliquem nobis attulit, non id tamen vel per contemptum, vel cum contumelia, vel ut aliis præ nobis gratificaretur : sed ut omnes unum essemus, et idem sentiremus, nec ita sectis atque dissidiis dissecti atque disjuncti essemus, fecit. » Deinde eum adversus obtrectatores, qui illi ignaviam rerumque imperitiam, defuncto criminando, objiciebant, defendens, hæc addit : « Pudendum profecto esset, si tanto ab eo honore aucti, et tantum vera pietate excelluisse cum

A καὶ τοὺς οἴκοι τυράννους χειρούμενος, τοὺς μὲν λόγοις, τοὺς δὲ τοῖς ὅπλοις· καὶ τούτων ἑκάτερον, ὡς μηδὲν ὑπὸ τοῦ ἑτέρου διοχλούμενος. Οὗ μεγάλα μὲν τρόπαια τὰ μεθ' ὅπλων καὶ μάχης, μείζω δὲ καὶ περιφανέστερα τὰ ἀναίμακτα· πρὸς ὃν καὶ πανταχόθεν πρεσβεῖαι καὶ ἱκεσίαι, ὧν τὰ μὲν ὑπήκουε, τὰ δὲ ἔμελλε; Πᾶν δὲ ἦν τὸ ἐλπισθὲν ἴσον τῷ χειρωθέντι· ὁ χειρὶ Θεοῦ πρὸς πᾶσαν καὶ βουλὴν καὶ πρᾶξιν ὁδηγούμενος· οὗ μᾶλλον μὲν τῆς χειρὸς ἡ σύνεσις, μᾶλλον δὲ τῆς συνέσεως ἡ χεὶρ ἐθαυμάζετο· πλέον δὲ τῆς ἐν ἀμφοτέροις εὐδοκιμήσεως ἡ εὐσέβεια. » Καὶ μετ' ὀλίγα· « Τίς γὰρ οὐκ οἶδε καὶ τῶν μετρίως ἐκεῖνον ἐπισταμένων, ὅτι ἕνεκα μὲν εὐσεβείας καὶ τοῦ περὶ ἡμᾶς φίλτρου, καὶ τοῦ βούλεσθαι πᾶν ἡμῖν ἀγαθὸν, μὴ ὅτι ἐκεῖνον παρεῖδεν ἂν, ἢ γένους ὅλου B τιμὴν, ἢ προσθήκην τῆς βασιλείας, ἀλλὰ καὶ αὐτῆς βασιλείας καὶ πάντων τῶν ὄντων, καὶ τῆς ψυχῆς αὐτῆς, ἧς οὐδὲν τιμιώτερον, τὴν ἡμετέραν ἀσφάλειάν τε καὶ σωτηρίαν, οὐκ ἂν χαλεπῶς ἠλλάξατο; Οὐδενὶ γὰρ οὐδενὸς οὕτω πώποτε πράγματος ἔρως θερμὸς ἐνέσκηψεν, ὡς ἐκείνῳ Χριστιανοὺς αὐξηθῆναι, καὶ ἐπὶ πλεῖστον καὶ δόξης προελθεῖν καὶ δυνάμεως. Καὶ οὔτε ἔθνη χειρούμενα, οὔτε τὸ κοινὸν εὐνομούμενον, οὐ πλῆθος χρημάτων, οὐ δόξης περιουσία, οὐ τὸ βασιλέα βασιλέων εἶναι καὶ ὀνομάζεσθαι, οὐχ ὅσοις ἄλλοις ἀνθρώπων εὐδαιμονία γνωρίζεται· οὐδὲν οὕτω τῶν πάντων ἐκεῖνον εὔφραινεν, ὡς τὸ δι' αὐτοῦ μὲν ἡμᾶς, διὰ δὲ ἡμῶν ἐκεῖνον καὶ παρὰ Θεῷ καὶ ἀνθρώποις εὐδοκιμεῖν, καὶ ἀκατάλυτον ἡμῖν εἰς C τὸν ἅπαντα χρόνον παραμεῖναι τὴν δυναστείαν. Καὶ γὰρ πρὸς τοῖς ἄλλοις ἐκεῖνο ᾔδει σαφῶς, ὑψηλότερόν τε καὶ βασιλικώτερον ἢ κατὰ τοὺς πολλοὺς περὶ τούτων διανοούμενος, ὅτι τοῖς Χριστιανῶν πράγμασι καὶ συνεισῆλθε τῇ ἐπιδημίᾳ Χριστοῦ τὸ κράτος, οὔπω πρότερον τελείως εἰς μοναρχίαν νενικηκός. Καὶ διὰ τοῦτο πλέον ἐδόκει μοι περιέπειν εὖ ποιῶν τὰ ἡμέτερα· ὅς γε καὶ εἰ παρελύπησέ τι ἡμᾶς, οὐ περιφρονῶν, οὐδὲ ὑβρίζων, οὐδὲ ἄλλοις τισὶ πρὸ ἡμῶν χαριζόμενος· ἀλλ' ὥστε πάντας ἓν εἶναι καὶ συμφρονεῖν παρελύπησε, καὶ μὴ διακεκόφθαι μηδὲ διεστάναι τοῖς σχίσμασιν. Ἐφεξῆς δὲ ὑπὲρ τῶν ἐγκαλούντων εὐήθειαν, ἀπολογούμενος, καὶ ταῦτα προστίθησι· « Καὶ γὰρ ἂν αἰσχυνοίμην, εἰ τοιαύτης παρ' αὐτοῦ τυχόντες τιμῆς, καὶ τοσοῦτον αὐτὸν εὐσεβείᾳ D διαφέρειν πεπιστευκότες, μὴ τὰ δίκαια συνηγορήσαιμεν, ὃ καὶ τοῖς μηδὲν εὐεργετηκόσιν ὀφείλεται παρ' ἡμῶν, τῶν λόγου καὶ ἀληθείας θεραπευτῶν· καὶ ταῦτα μετὰ τὴν ἐντεῦθεν ἀπαλλαγὴν, ἡνίκα καὶ τὸ κολακεύειν δοκεῖν ἐκπεφεύγαμεν, καὶ πονηρᾶς ἐλεύθερος ὑπονοίας ὁ λόγος· τίς γὰρ οὐκ ἂν ἤλπισεν, εἰ μή τι ἄλλο, ταῖς τιμαῖς ποιήσειν αὐτὸν ἡμερώτερον; Καὶ γὰρ τὸ θαῤῥεῖν εἶχεν οὐ τοσοῦτον ἐκ τῆς ἐκείνου πίστεως, ὅσον ἐκ τῆς ἰδίας δυνάμεως. Καίτοι τί τοῦτ' ἀγωνίζομαι, ἑνὸν κρατῆσαι καὶ ἡττημένον; Εἰ γὰρ ὁ πιστεύσας κακὸς, τί ποτ' ἂν εἴη παρ' ἐκεῖνον ὁ πιστευθείς; Καὶ εἰ τὸ μὴ προϊδέσθαι τὸν τρόπον ὑπαίτιον, αὐτὴν γε τὴν κακίαν ποῦ θήσομεν; Ἀλλ' ὄντως ἀσυλλόγιστόν τι πρᾶγμα ἡ πονηρία, καὶ οὐκ ἔστιν ᾧ τοὺς μοχθηροὺς ἄν τις βελ-

τίους ποιήσειεν· ὁπότε κἀκεῖνος ἐξ ὧν εὐνούστερος A φανῆναι δίκαιος ἦν, καὶ εἴ τι κακίας εἶχεν ἐμπύρευμα, τοῦτ' ἀνελεῖν, ἐκ τούτων εἰς μεῖζον ἀνήφθη μῖσος· καὶ ὅπως ἂν ἀμύναιτο τὸν εὐεργέτην, ἐσκόπει. » Ταῦτα μὲν ἐν τῷ πρώτῳ διέξεισιν· ἐν δὲ τῷ δευτέρῳ *Στηλιτευτικῷ* καὶ ταῦτα προστίθησιν· « Ἐπεὶ δὲ καὶ ὑμῖν ἐστι νεκρὸς ὁ πρὸ αὐτοῦ καταλύσας τὸν βίον, ἴδωμεν κἀνταῦθα τοῖν βασιλέοιν ἀμφοῖν τὸ διάφορον· εἴ τι καὶ τοῦτο φέρει πρὸς εὐδαιμονίαν ἢ κακοδαιμονίαν τοῖς ἀπελθοῦσιν. Ὁ μέν γε παραπέμπεται πανδήμοις εὐφημίαις τε καὶ πομπαῖς, καὶ τούτοις ἡμετέροις σεμνοῖς, ᾠδαῖς παννύχοις καὶ δᾳδουχίαις, αἷς Χριστιανὸν τιμᾷν μετάστασιν εὐσεβῆ νομίζομεν· καὶ γίνεται πανήγυρις μετὰ πάθους ἡ ἐκκομιδὴ τοῦ σώματος. Εἰ δέ τῳ πιστὸς ὁ λόγος, καὶ τοῦτο διεδόθη ταῖς τῶν πιστῶν ἀκοαῖς· ὅτι ἐπειδὴ B τὸν Ταῦρον ὑπερβάλλοι τὸ σῶμα πρὸς τὴν πατρῴαν αὐτῷ πόλιν διασωζόμενον, ταύτην δὴ τὴν ὁμώνυμον ἐκείνοις καὶ μεγαλώνυμον, φωνή τις ἐκ τῶν ἄκρων ἔστιν οἷς ἐξηκούετο, οἷον ψαλλόντων τε καὶ παραπεμπόντων, ἀγγελικῶν, οἶμαι, δυνάμεων, γέρας τῆς εὐσεβείας καὶ ἀντίδοσις ἐπιτάφιος. Καὶ γὰρ εἰ καὶ τὴν ὀρθὴν δόξαν παρακινεῖν ἔδοξεν, ἀλλὰ καὶ τοῦτο τῆς τῶν ὑποδυναστευόντων σκαιότητος καὶ κακοδοξίας τὸ ἔγκλημα, οἳ ἁπλῆν καὶ ἀπαγῆ εἰς εὐσέβειαν παραλαβόντες ψυχὴν, οὐ προορωμένην τὰ βαράθρα, ἀπήγαγον ἧπερ ἐβούλοντο· καὶ προσχήματι εὐσεβείας τὸν ζῆλον κακίαν εἰργάσαντο. Ἀλλ' οὖν ἡμεῖς τὸ κοινότερον, τόν τε πατέρα ἐννοοῦντες τὸν βαλόμενον τὴν κρηπῖδα τῆς βασιλικῆς τῷ Χριστιανισμῷ C δυναστείας καὶ πίστεως, καὶ τὸν εἰς αὐτὸν κατελθόντα κλῆρον τοῦ δόγματος, ἐγεραίρομεν τὰ εἰκότα τὸ σκῆνος τοῦ δικαίᾳ βασιλείᾳ συζήσαντος, καὶ τὸν βίον καταλύσαντος ὁσίῳ τῷ τέλει, καὶ τὸ κράτος ἡμῖν καταλείψαντος. Ὡς δὲ πλησιάζοι τῇ μεγάλῃ καὶ βασιλίδι πόλει, τί δεῖ λέγειν δορυφορίας τε τοῦ στρατοῦ παντὸς, καὶ τάξιν ἐνόπλιον ὡς ζῶντι τῷ βασιλεῖ γινομένην; ἢ τῆς λαμπρᾶς πόλεως ἔκχυσιν ὀνομαστοτάτην τῶν πώποτε γενομένων ἢ ἐσομένων; Ἀλλ' ὁ θρασὺς καὶ γεννάδας ἐκεῖνος, καὶ νέᾳ τῇ πορφυρίδι καλλωπιζόμενος, καὶ διὰ τοῦτο, ὡς τὸ εἰκὸς, μέγα φρονῶν, μέρος γίνεται καὶ αὐτὸς ἐκείνῳ τῆς προπομπίου τιμῆς, τὴν αὐτὴν καὶ ἀντιδιδοὺς καὶ ἀντιλαμβάνων χάριν, τὰ μέν τι βιασθεὶς, τὸ δὲ ἑκὼν, ὥς λέγουσιν. Ὁ γὰρ στρατὸς ἅπας, εἰ καὶ D τοῦ παρόντος ἥττητο κράτους, ἀλλ' οὖν πλεῖον τῷ κατοιχομένῳ νέμων αἰδοῦς (ἐπειδὴ καὶ πεφύκαμεν εὐνούστεροί πως εἶναι τοῖς ἔτι προσφάτοις πάθεσι), τῷ φίλτρῳ προσπάσχοντες, καὶ τὸν ἔλεον τούτῳ προσάπτοντες, καὶ διὰ τοῦτο οὐκ ἀνεχόμενοι τὸ μὴ οὐχ ὡς βασιλέα τιμηθῆναι τοῦτον καὶ προσδεχθῆναι, πείθουσι τὸν ἀποστάτην καὶ συναναγκάζουσιν ὑπαντῆσαι τῷ νεκρῷ μετὰ τοῦ προσήκοντος σχήματος. Τὸ δὲ ἦν, ἀποκοσμήσαντα τὴν κεφαλὴν τοῦ διαδήματος, καὶ ὑποκύψαντα τῷ βασιλεῖ τὰ εἰκότα, οὕτως ἐπὶ τὸν τάφον συμπαραπέμψαι τοῖς ἄγουσιν ἐπὶ τὸν ἀοίδιμον τῶν Ἀποστόλων σηκόν· οἳ δὴ τὸ ἱερὸν γένος ὑπεδέξαντο καὶ διαφυλάττουσι, μικροῦ τὰ ἴσα γέρα καρπούμενον. » Καὶ ὁ μὲν Θεολόγος τοιαῦτα

certo persuasi, merito suo eum non defenderemus : **807** quod præstare etiam de nobis nihil meritis debemus, qui verbi et veritatis ministri sumus : post obitum præcipue ejus, cum jam assentationis probrum effugimus, et oratio omni suspicione superior est. Quis enim non speravit, Julianum, si aliud nihil, honore saltem accepto, mansuetiorem? Quis vero non ex fide earum rerum quæ ei creditæ sunt, etiam, præterquam quod consentaneum esset, æquiorem fore? Et simul majorem Constantius Juliani arrogatione obtinuit animum, non tam quod fidem illius magni fecerit, quam quod potentiæ suæ confisus sit. Sed cur hoc sic urgeo, cum cedens atque victus vincere, et argumentis superior esse possim? Si namque qui B alii credidit, malus est, quis tandem is fuerit, cui creditum est? Et si mores pravos non prævidisse, culpa non vacat, quo loco pravitatem ipsam ponemus? Verumenimvero res est quædam considerationis expers malitia : neque fieri potest, ut homines improbos meliores quisquam efficiat. Quando et ille, ex quibus rebus merito benevolentior esse, et si quam malignitatis habuisset scintillam, eam exstinguere debuisset, ex eis rebus ad majus excitatus est odium : et quo pacto egregia merita atque beneficia in auctore suo ulcisceretur, circumspexit. » Hæc quidem in priore Invectiva ille refert. In posteriore autem hæc scribit : « Quandoquidem vero etiam nobis funus ejus est, qui ante Julianum e vita excessit, inspiciamus hic C quantum duo isti imperatores inter se differant. Siquidem hoc quoque aliquid in defunctis vel ad felicitatem, vel ad infelicitatem confert. Ac nostri quidem funus producitur publico apparatu, auspicatisque ominibus et acclamationibus : nostris dico, et sanctioribus istis carminibus, item nocturnis hymnis et lucernarum ignibus, quibus Christiani obitum pium cohonestandum censemus : et corpus ipsum celebri lugentium conventu effertur. Quod si verba ista fidem mereantur, ad multorum certe hoc quibusdam referentibus pervenit aures : cum defuncti cadaver Taurum montem superaret, ut ad patriam urbem, cognominem eis istam et præclaram dico, duceretur, auditam esse a quibusdam ex superioribus locis vocem veluti psal- D lentium ac prosequentium, angelicarum opinor potestatum, ut honor iste pietati illius et quasi funebre munus datum sit. **808** Si etenim rectam fidei opinionem loco suo movere visus est, importunitatis errorisque procerum ejus id fuerit crimen, qui acceptum in potestatem suam, simplicem ejus, facilem et proclivem ad pietatem, et minus barathrum et perniciem providentem animum, quo vellent, duxere, et certioris inquisitionis prætextu, zelum et ardorem in pravitatem convertere. Sedenim nos communem magis, pietatis scilicet et fidei opinionem, et patrem ob oculos, et animum, qui fundamenta Christianitati imperialis potestatis et fidei jecit, sortemque quæ in illum

16 Ejusmodi agitans consilia, qui a Constantio in exsilium pulsi propter religionem fuerant, omnibus potestatem redeundi fecit : et quorum bona publicata fuerant, ea illis restituit. Edicta publicata, ne Christiani injuriis afficerentur, neve per vim aut contumeliam ad sacrificia adigerentur. Si qui vero sua sponte ad aras accedere vellent, eos prius deorum placandorum gratia lustrari purgarique debere. Annonam et immunitatem, quam Constantinus pro sua erga Deum observantia clericis concesserat, ipse abrogavit, et in publicos proventus retulit. Quæ vero viduis et virginibus, propter inopiam cleri, alimenta e publico largienda destinata erant, ægre et difficulter exigebantur. Constantinus namque, cum ecclesias constitueret atque ordinaret, ex cujusque urbis proventibus toti clero, quantum ad vitam tolerandam satis esset, rerum necessariarum tribuit,

eamque rem sanctione legis confirmavit, quæ A hucusque conservatur. Sub Juliano exactio eorum proventuum dura admodum et gravis fuit, sicuti id exactorum ipsorum testantur monumenta. Cæterum parum fuit tyranno, tam hostili esse erga nos animo, nisi suum adversus Ecclesiam odium ad excidium ejus prorsus converteret. Quæcunquè enim ei suppeditabant sacra vasa et donaria, ea abstulit, et in idolorum delubris reposuit. Vim etiam illam eis adhibuit, qui sub Constantino et Constantio templa deorum evertissent, ut vel ea celeriter restaurarent, vel æstimationem structuræ eorum persolverent. Sin hoc minus facerent, ut durius acciperentur, et in vincula conjicerentur, mandavit. Unde illud satis conjicere licet, in eo B quidem illum veteribus persecutoribus, quod corpora cum contumelia non excruciaverit, moderatiorem fuisse: rebus autem aliis, modis omnibus illos exsuperasse. Omni namque ex parte Ecclesiam affligere manifeste est visus: et uno tantum modo humanior judicatus, quod episcopos sub Constantio exsilio multatos revocavit, et in urbes suas redire permisit. Atque id ille non misericordia fecit, sicut colligere est: **17** sed ut episcopos inter se committens, ad intestinum armaret bellum, et suis ipsa dissidiis ecclesia labefactaretur. Fortasse etiam, ut Constantium apud Romani imperii subditos, in odium et invidiam adduceret: tum Græcos, qui eisdem secum operarentur sacris, favore prosequens; tum episcopos, C qui propter Christum afflicti essent, ab injuria vindicans. Itaque eunuchos quoque imperiali aula exegit. Eusebium autem, qui primum in ea locum tenuerat, morte etiam multavit: cui aliam quoque ob causam infensus fuit; suspectum enim, veluti fratris sui Galli necis suasorem, habuit. Syrum autem Aetium, auctorem et ducem hæresis Eunomii, et Constantii sententia, qui eum propter familiaritatem Galli suspectum quoque habuerat, damnatum, et in exsilium actum, perquam benignis litteris revocavit, et publica vectura reduxit. Propter Constantium quidem, Eleusium etiam Cyzicenum impensis propriis, quam solo æquaverat sub Constantio Novatianorum ecclesiam, uno atque altero mense restituere jussit. Sed et ex aliis plurimis rebus æstimare est, propter Constantii odium, cum multa in nos ipsum duriter fecisse, tum quæ ab aliis quoque fiebant, eis delectatum esse.

ἡ τοιαύτη τῷ Ἰουλιανῷ εἴσπραξις ἀπάνθρωπος πάνυ καὶ βαρυτάτη, ὡς καὶ τὰ γενόμενα τῶν πρακτόρων γραμματεῖα ἐδήλου. Οὐ μέχρι δὲ τούτων ἡ τοῦ τυράννου ἀπέχθεια ἵστατο. Ἀλλὰ τὸ πρὸς τὴν Ἐκκλησίαν μῖσος πρὸς παντελῆ καθαίρεσιν αὐτῆς ἀνηρέθιζε. Καὶ γὰρ ὅσα προσῄεσαν αὐτῇ σκεύη καὶ ἀναθήματα ἀφαιρούμενος, τοῖς τῶν εἰδώλων ἀνετίθει ναοῖς· βίαν τε τοῖς καθελοῦσι ναοὺς ἐπί τε Κωνσταντίνου καὶ Κωνσταντίου ἐπῆγε θᾶττον οἰκοδομεῖν, ἢ τὰς ἀποτιμήσεις ἐκείνων ἐκτίνειν· εἰ δ' οὔ, δεσμοῖς ὑπάγεσθαι, καὶ χαλεπῶς πάσχειν· ὥστ' ἐντεῦθεν συνάγειν ἔστι καὶ τοῦτο· ὕβρεων μὲν γὰρ ἕνεκα, καὶ σώματα περινοεῖσθαι κολάζειν, μετριώτερον τοῦτον τῶν πάλαι διωκτῶν γενέσθαι· τοῖς δὲ λοιποῖς πολλῷ τῷ μέτρῳ διαφέρειν ἐκείνων. Καὶ γὰρ ἐν ἅπασι κακῶς αὐτὴν ποιῶν διεφάνη· ἐνὶ μόνῳ δόξας εἶναι φιλάνθρωπος, ὅτιπερ τοὺς καταδικασθέντας ἐπὶ Κωνσταντίου φεύγειν ἱερέας τὴν φυγαδείαν ἀνέστειλε, καὶ πρὸς τὰς οἰκείας μετεστέλλετο πόλεις. Συνάγειν οὖν ἔστιν ἐκ τῶν ἄλλων μηδὲ τοῦτο φειδοῖ γενέσθαι, ἀλλ' ἵνα συγκρούων ἀλλήλοις τοὺς ἐπισκόπους, ἐμφυλίῳ καθοπλίσῃ μάχῃ, καὶ ὑπὸ τῶν οἰκείων πολεμεῖσθαι πείσῃ τὴν Ἐκκλησίαν· ἴσως δὲ καὶ Κωνσταντίῳ μῖσος παρασκευάζων πρὸς πᾶν τὸ ὑπήκοον· τοὺς μὲν Ἕλληνας θεραπεύων περὶ τὰ ἴσα σπουδάζοντας, τοὺς δὲ τῶν ἱερέων διὰ Χριστὸν κακῶς παθόντας λύων τὴν ἀδικίαν. Ἀμέλει τοι καὶ τοὺς εὐνούχους τῶν βασιλείων ἀπώσατο. Εὐσέβιον δὲ τὸν ἐν βασιλείοις κρατοῦντα καὶ τοῦ ζῆν ὑπεξῆγεν. Ἀπήχθητο δὲ καὶ ἄλλως αὐτῷ· ὕποπτος γὰρ ἦν, ὡς βουλαῖς ἐκείνου ὁ ἀδελφὸς ἀνῄρητο Γάλλος. Τὸν δὲ Σύρον Ἀέτιον, ὃς αἴτιος καὶ ἀρχηγὸς τῆς αἱρέσεως Εὐνομίῳ ἐγένετο, ὑπερορίαν τε ὑπὸ Κωνσταντίου καταδικασθέντα· ἦν γὰρ καὶ ὕποπτος ἐκείνῳ διὰ τὴν πρὸς Γάλλον ἀνάκρασιν· μετ' εὐμενοῦς ἐπανήγαγε γράμματος δημοσίοις ὀχήμασι. Διὰ Κωνστάντιον δὲ καὶ τὸν Κυζίκου Ἐλεύσιον προστάττει δαπάναις ἰδίαις ἣν ἐπὶ Κωνσταντίου τῶν Ναυατιανῶν ἐκκλησίαν καθεῖλεν, αὖθις οἰκοδομεῖν. Καὶ ἐν ἄλλοις πλείστοις σημειώσαιτ' ἄν τις, ὡς Κωνσταντίου διὰ μῖσος τὰ μὲν αὐτὸς τῶν δεινῶν ἐποίει, καὶ ἄλλων δὲ ποιούντων ἐνήδετο.

CAPUT VI.

Ut etiam magnus Athanasius tum apud virginem pudicam occultatus, publico se commiserit, et Ecclesiam receperit, Georgio Ariano a populo interempto.

Tum Athanasius etiam, qui multis annis latuerat, Constantii morte cognita, noctu Alexandriæ in ecclesia apparuit, et miraculo derepente omnibus quasi mortuus quispiam ab inferis reversus fuit. Ex quo enim Georgii insidiis, et Constantii jussu Ægypti præfectus eum non cepit, atque ipse fuga sibi consuluit, ad Juliani usque imperium, apud mulierem quamdam virginem Alexandriæ occul-

D

ΚΕΦΑΛ. Ϛʹ.

Ὡς καὶ ὁ μέγας Ἀθανάσιος τηνικαῦτα ὑπὸ σεμνῇ παρθένῳ κρυπτόμενος ἀνεφάνη, καὶ τὴν Ἐκκλησίαν κατέσχε, Γεωργίου τοῦ Ἀρειανοῦ ὑπὸ τοῦ δήμου ἀναιρεθέντος.

Τηνικαῦτα δὲ καὶ Ἀθανάσιος πολλοῖς κρυπτόμενος ἔτεσι, Κωνστάντιον μαθὼν τελευτήσαντα, νυκτὸς ἐπὶ τὴν Ἀλεξανδρέων Ἐκκλησίαν ἐφάνη. Καὶ θαῦμα ἔδοξεν, αἴφνης οἷά τις νεκρὸς τῶν κάτω ἀναῤῥαγείς· ἐξ ὅτου γὰρ ταῖς Γεωργίου ἐπιβουλαῖς, Κωνσταντίου κελεύσαντος, ὁ τῶν ἐν Αἰγύπτῳ ἡγεμὼν ἐκείνου ἀπέτυχε, φυγὼν ἐκεῖνος ἐς δεῦρο ἀφανὴς ἦν μέχρι τῆς παρούσης ἡγεμονίας, παρὰ

τινι γυναικὶ παρθένῳ ἐν Ἀλεξανδρείᾳ κρυπτόμενος· ἣν τοσούτῳ διαλάμπειν κάλλει ὁ τῆς ἱστορίας παραδίδωσι λόγος, ὡς κατάπληξιν ἄντικρυς εἶναι ὁρωμένην, καὶ μή τινα τῶν σωφρονεῖν ᾑρημένων εἰς λόγους ἐλθεῖν πειρᾶσθαι, ἵνα μή ποθεν ἐκπηδήσας μῶμος αὐτῷ προστριβείη. Ἐκείνη δὲ καίπερ οὕτως ἀκμάζουσα, ὅμως τοῦ σώφρονος καὶ σεμνότητος οὐκ ἀφίστατο· ἃ δὴ καὶ μόνα κοσμεῖν εἴωθε, μή τι καὶ τῆς φύσεως συναιρομένης τὰ πρὸς εὐπρέπειαν. Καὶ γάρ πως συμβαίνει μηδ' ἀληθὲς ἐκεῖνό γε οἴεσθαι, ὃ τοῖς πρὸ ἡμῶν εἴρηται, ὁποῖα τὰ σώματα, τοιαύτας εἶναι καὶ τὰς ψυχάς. Τοὐναντίον δὲ μᾶλλον πρὸς τὰ τῆς ψυχῆς ἐπιτηδεύματα, καὶ τὸ τοῦ σώματος ἦθος συσχηματίζεσθαι· καὶ ὃ ἂν τύχοι πράττων ὁ τοιοῦτος, τοιοῦτον καὶ διαφαίνεσθαι· καὶ καθ' ὃν ἂν ἐπιτηδεύοι καιρόν. B Πρὸς ὅ, οἶμαι, τὶς ἀσφαλῶς ἐξετάζων τούτῳ τῷ λόγῳ, εὐστόχως εἰπεῖν, καὶ μηδένα ἔχειν τὸν ἀντεροῦντα. Τόν γε μὴν Ἀθανάσιον θείᾳ ὄψει πρὸς τὴν παρθένον ποδηγούμενον λόγος διασωθῆναι· καὶ πάντως τὸ ἀποβὰν σκοπεῖν τις ἐθέλων, θεϊκὴν τὴν οἰκονομίαν εἶναι λογίσαιτο. Ἵνα γὰρ μήτε πράγματα οἱ περὶ Ἀθανάσιον ἔχοιεν, ἤν τις πειράζειν ᾑρεῖτο, ἢ ὅρκοις βιάζεσθαι, οὕτως οἰκονομηθῆναι διαλαθεῖν κρυπτόμενον παρὰ γυναικὶ, ἣν οὐδεὶς ᾠήθη τι τοσοῦτον διενεγκεῖν· τῷ μὲν γὰρ ἀπείρῳ κάλλει οὐδ' ὑπόνοιαν ἐδίδου τὸν ἱερέα παρ' αὐτῇ κρύπτεσθαι· ἀνδρείῳ δὲ φρονήματι προσηγάγετο· εἰς τέλος δὲ διὰ φρόνησιν τὸν θησαυρὸν διεσώσατο. Τοσοῦτον δὲ τὸ πιστὸν αὐτῷ διετήρησε διακονησαμένη καλῶς, C ὡς καὶ πόδας νίπτειν, τροφήν τε καὶ ὅσα τῆς φύσεως ἀναγκαῖα διὰ τὴν χρείαν, μόνην αὐτὴν εὖ μάλα ὑπηρετεῖσθαι, καὶ βίβλους αὐτῷ ὧν χρείαν εἶχε, κομίζειν, καὶ συχνῷ τῷ χρόνῳ ταῦτα ποιοῦσαν, μή τινα γνῶναι, ὅσοι δὴ τὴν Ἀλεξάνδρου πόλιν κατῴκουν. Καὶ ὁ μὲν οὕτω φανεὶς, τὰς ἐκκλησίας κατέσχεν, ὑπὸ παντὸς τοῦ πλήθους ἀποδεχθείς· οἱ δὲ τὰ Ἀρείου φρονοῦντες ἐκβληθέντες, ἰδίᾳ τὴν συναγωγὴν ἐποιοῦντο, Λούκιόν τινα ἐξηγεῖσθαι αὐτῶν προστησάμενοι. Ὁ γὰρ Γεώργιος ἔφθασεν ὑπὸ τοῦ δήμου διαφθαρείς. Ἐπεὶ γὰρ ἔγνωσαν τελευτῆσαι μὲν τὸν Κωνστάντιον, ἐπὶ δὲ τῶν ὅλων τὸν Ἰουλιανὸν καταστῆναι, εὐθὺς ὁρμῇ τῇ πάσῃ τὸ περὶ τὴν Ἀλεξάνδρειαν ὅσον ἐν Ἕλλησιν ἦν, εἰς στάσιν ἐχώρει· καὶ δὴ βοῇ μιᾷ ἐπ' αὐτὸν ὥρμησαν ὡς D διαχειρίσοντες. Τότε μὲν οὖν φονεύειν ἀπέσχοντο, δεσμωτηρίῳ δὲ περιεῖργον· οὐ πολλῷ δὲ ὕστερον τοῦ δεσμωτηρίου ἐξαγαγόντες, μαχαίρας ἔργον ποιοῦνται. Εἶτ' ἐπὶ καμήλου ὥς τινα φόρτον ξένον ἀναθέντες, ἐπὶ μέσης ἦγον τῆς ἀγορᾶς, δι' ἡμέρας ἐπιμαινόμενοι τῷ νεκρῷ καὶ ἀναιδῶς ἐξυβρίζοντες· δείλης δὲ ὀψίας ὥσπερ ἐμπλησθέντες, τὸ περιλειφθὲν τοῦ σώματος πυρὶ κατετέφρωσαν.

A latus latuit; quæ tantum forma excelluisse traditur, ut stuporem prorsus ea spectantibus incuteret, et nemo eorum qui castiorem vitam sectari constituissent, in colloquium ejus veniret, ne scilicet eo nomine reprehensione non careret. Atque illa tametsi ita florens et vivida esset, pudicitia tamen et sanctitate vitæ non excidit. Quæ res solæ, quamvis nihil adjumenti a natura ad decorem accedat, ornamento esse solent. **18** Ut prope verum esse non videatur, quod a majoribus dictum est: Qualia sint corpora, tales etiam esse animos. Quin e diverso potius, ad animorum instituta, corporum quoque mores conformantur: et quale quisque exercet studium, talis etiam esse apparet, quocunque id accidat tempore. Atque B ad hanc rationem si quis rem certo exigat, recte id sic eum dicturum, neque quempiam qui reluctetur, habiturum esse, existimarim. Athanasius quidem, divina providentia ad virginem hanc deductus, atque apud eam servatus est. Et si quis eventum rei considerare velit, divinam prorsus dispositionem esse reperiet. Ut enim nihil molestiæ et negotii Athanasio et familiaribus ejus exhiberetur, si quis tentare aut juramento cogere quemquam ex illis, ad eum scilicet prodendum, voluisset: recte hoc sic institutum, ut latens apud mulierem occultaretur, quam nemo id perlaturam esse putavit. Propter formæ vero venustatem neque in suspicionem cuiquam incidit, apud eam C episcopum occultari. At illa virili plane animo virum eum ad se recepit, et prudentia mira ad finem usque thesaurum tantum servavit. Tanta autem in eum honestis præstandis ministeriis fuit fide, ut se pedibus lavandis, et cibo aliisque naturæ nostræ necessariis utilibusque rebus exhibendis una ipsa rite ei inservierit, et de libris quibus opus habuit, commodaverit. Atque id cum longo tempore fecisset, nemo tamen qui Alexandrinam incoluit urbem, cognovit. Athanasius qui ita subito apparuit, ab universa multitudine receptus, in ecclesias est deductus. Ariani autem ejecti, seorsim conventus egere, Lucio quodam, qui eis episcopus præesset, lecto. Georgius enim a plebe interfectus fuerat. Postquam enim Constan- D tium decessisse, et Julianum ad imperii summam pervenisse cognitum est, statim impetu omni quidquid erat Alexandriæ Græcæ superstitionis sectatorum, ad seditionem prorupere: et clamore uno incursionem in Georgium, tanquam eum interempturi, fecere. Et tum quidem a cæde abstinuerunt, atque carceri eum incluserunt: verum non multo post inde extractum ferro necarunt. Deinde camelo quasi novum quoddam clitellarum genus impositum, per medium forum, cadaveri per furorem et contumeliam impudenter insultantes, duxerunt: circa crepusculum autem veluti ea injuria satiati, quidquid a raptatione ea superfuit corporis, igne combusserunt.

Τοῖς μὲν οὖν ἐξ Ἀρείου πρὸς τῶν σπουδαστῶν Ἀθανασίου δοκεῖ τὰ τοιαῦτα τῷ Γεωργίῳ ἐπιγενέσθαι. Ἀλλ' οὐχ οὕτως ἔχει· πλεῖον γὰρ ἦν ἐκείνῳ

19 Arianis quidem hoc sic Georgio ab Athanasii studiosis accidisse videtur: sed res aliter habet. Nam ille odio majori Græcos in se conci-

taverat, eo quod patria eorum sacra inhibuisset, templa deorum destruxisset, simulacris conviciando illusisset, et bona eorum publicasset. Adhæc invidiam quoque ejus auxit, quod multum apud imperatorem auctoritate valuisset. Solent enim multitudini, qui aliquam obtinent potestatem, esse exosi. Insuper tum quoque quod (1) de Mithrio (2) actum fuerat, tumultum contra eum motum admodum auxit. Nam locum eum diu neglectum, Constantius ecclesiæ Alexandrinæ donaverat. Georgius autem eum repurgans, ut ædem sacram Deo excitaret, subterraneum antrum reperit: in quo simulacra, et alia quædam symbola et signa Græcarum nugarum et præstigiarum, ut ita dicam, eorumque qui sacris ab ipsis instituti atque initiati fuissent, erant. Quæ sane ridicula et nova cernentibus sunt visa, proindeque merito per ludibrium irrisa. Græci autem pudore propter mysteria et arcana sua revelata affecti, confertim manu coacta, gladiis, lapidibus et clavis impetum in Christianos fecerunt, et multos occiderunt, quosdam vulnerarunt, et nonnullos etiam ex eis ad dogmatis contumeliam in crucem egerunt, atque abierunt. Georgius cœptum opus imperfectum reliquit. Græci porro Juliani imperio, tanquam opportunitate quadam oblata, pro eo atque voluere, usi, ipsum etiam Georgium interemere. Hoc ipsum imperator quoque litteris suis, magis scilicet populum Alexandrinum, quam Christianos incusans, testatur: quod ille profecto non fecisset, nisi eum veritatis vis coegisset: Christianos certe, qualescunque illos tandem, Georgianæ cædis, quam Græcos, auctores fuisse maluisset. Sed ille minime rem celavit, quamvis gravius etiam nos perstringens. In epistola enim ad Alexandrinos, stomachari se simulans, verbis eos perstringit, coercitionem remittens. Id quod se facere dicit, ob reverentiam urbis patroni dei Serapidis, et conditoris ejus urbis Alexandri, atque item avunculi Juliani, qui Alexandriæ et Ægypti præfectus fuit, vir superstitioni Græcarum nugarum deditissimus, et Christianorum hostis vehementissimus. **20** Tanto enim is erga nos odio flagravit, ut citra imperatoris sententiam, multis auctor fuerit, ut ad sanguinem usque martyrii certamen peragerent. Mihi etiam molestum non erit, epistolam eam Juliani, operi huic nostro adnectere, atque etiam quæ avunculus ejus Julianus adversus fidei nostræ professionem egerit. Epistola hisce verbis conscripta fuit:

A μῖσος ἐκ τῶν Ἑλληνιστῶν, κωλύοντι ἐκείνων τὰ πάτρια, κατασπῶντί τε τοὺς ἐκείνων νεὼς, καὶ ξοάνοις λοιδορουμένῳ, καὶ τὰς οὐσίας δημεύοντι· καὶ τὸ μεγάλα δὲ δύνασθαι παρὰ βασιλεῖ πλεῖον ἀνῆπτε τὸ μῖσος. Φιλεῖ γὰρ ὁ δῆμος πρὸς τοὺς ἐν δυνάμει ἀπεχθῶς ἔχειν. Ἔπειτα καὶ τὸ τηνικαῦτα περὶ τὸ Μιθρίον καλούμενον γεγονὸς, ἐπὶ μέγα ἦρε τὴν κατ' αὐτοῦ κίνησιν. Ἀτημέλητον γὰρ ὄντα τὸν τόπον, Κωνστάντιος τῇ Ἐκκλησίᾳ ἐκεῖνον ἐδωρεῖτο Ἀλεξανδρέων. Γεώργιος δ' ἐκκαθαίρων τὸν τόπον ὥστ' εὐκτήριον οἶκον ἀνεγεῖραι Θεῷ, ὑπόγειόν τι ἄντρον εὑρίσκει· ἐν ᾧ ξόανά τε καὶ ἄλλα σύμβολα Ἑλληνικῆς τερθρείας, ὡς ἂν τις εἴποι, τῶν παρ' αὐτοῖς μυουμένων ἢ τελουμένων ἦσαν· ἃ γελοῖά τινα καὶ ξένα ἐδόκει τοῖς θεωμένοις· οἷς δὴ καὶ ἐπισκώ- B πτοντες, διετώθαζον. Οἱ δὲ τοῖς μυστηρίοις ἐπαισχυνθέντες, ἀθρόον συλλεγέντες ξίφεσι καὶ λίθοις καὶ ῥοπάλοις τοῖς Χριστιανοῖς ἐπιτίθενται· καὶ πολλοὺς μὲν ἀναιροῦσιν, οὐκ ὀλίγους δὲ καὶ τραυματίας ἐργάζονται, πολλοὺς δ' ἐκ τούτων σταυρώσαντες, ἐφ' ὕβρει δῆθεν τοῦ δόγματος, ἀπηλλάττοντο. Καὶ τὸ μὲν ἔργον ἀτελὲς τῷ Γεωργίῳ κατελείπετο· οἱ δ' ἐκ τοῦ Ἑλληνικοῦ, τῇ τοῦ Ἰουλιανοῦ ἀρχῇ χρησάμενοι τῷ καιρῷ, καθάπερ ἠβούλοντο, καὶ αὐτὸν ἀνεῖλον Γεώργιον. Τοῦτο δὲ καὶ αὐτὸς ὁ βασιλεὺς ἰδίοις γράμμασι μαρτυρεῖ, τῷ δήμῳ τῆς Ἀλεξανδρέων μᾶλλον ἐγκαλῶν ἤπερ Χριστιανοῖς. Ὃ δῆτ' οὐκ ἂν ἐπαῤῥησιάζετο, εἰ μὴ τῇ βίᾳ τῆς ἀληθείας ἠλαύνετο. Καὶ γὰρ ᾑρεῖτο Χριστιανοὺς εἶναι C τοὺς Γεωργίου φονέας ἤπερ οἵους δήποτε Ἕλληνας. Καὶ τοῦτο οὐκ ἀποκρύπτεται· ἐν γὰρ τῇ πρὸς Ἀλεξανδρέας ἐπιστολῇ προσποιούμενος χαλεπαίνειν, μέχρι λόγων καθάπτεται, τὴν τιμωρίαν δῆθεν ὑπερτιθέμενος. Ἐπέχεσθαι δέ φησι τῇ πρὸς τὸν πολιοῦχον Σάραπιν αἰδοῖ, καὶ διὰ τὸν τῆς πόλεως οἰκιστὴν Ἀλέξανδρον, καὶ τὸν θεῖον αὐτοῦ Ἰουλιανὸν, ὃς Αἰγύπτου καὶ Ἀλεξανδρείας πρὸ καιροῦ ἦρξεν, ἀνὴρ ἐπιμᾶλλον ταῖς Ἑλληνικαῖς τερθρείαις προσεσχηκὼς, διαπύρως τε ἀπεχθανόμενος τοῖς Χριστιανοῖς. Τόσον δ' ἦν ἐκείνῳ μῖσος τὸ πρὸς ἡμᾶς, ὡς καὶ τοῦ κρατοῦντος γνώμης ἄνευ πολλοὺς παρασκευάσαι μέχρις αἵματος τὸν ἀγῶνα διαδραμεῖν. Ἐγὼ δ' οὐκ ὀκνήσω, μὴ καὶ αὐτὴν ἐκείνην τὴν ἐπιστολὴν Ἰουλιανοῦ τῷ παρόντι παραθεῖναι συντάγματι· D εἶτα καὶ ὅσα ὁ θεῖος αὐτοῦ Ἰουλιανὸς κατὰ τῆς ἡμῶν πίστεως ἔδρασεν. Ἥ γε μὴν ἐπιστολὴ τούτοις τοῖς γράμμασι περιείληπτο·

CAPUT VII.

Juliani epistola ad populum Alexandrinum missa, propter Georgii cædem.

« Imperator Cæsar Julianus Maximus Augustus, populo Alexandrino. Siquidem Alexandrum, qui

ΚΕΦΑΛ. Ζ'.

Ἐπιστολὴ Ἰουλιανοῦ τῷ δήμῳ τῶν Ἀλεξανδρέων σταλεῖσα διὰ τὸν φόνον Γεωργίου.

« Αὐτοκράτωρ Καῖσαρ Ἰουλιανὸς Μέγιστος Ἀλεξανδρέων τῷ δήμῳ. Εἰ μὴ τὸν Ἀλέξανδρον τὸν οἰ-

(1) Mithram Persæ solem esse putant, cui hostias multas sacrificant. Hujus sacris non initiabatur, nisi qui per gradus quosdam tormentorum ad ea pervenisset, et sanctum se perpessionisque expertem esse declarasset. Suid. Mithrion, Solis templum: Mithriaca, Solis sacra. Lamprid. de Commodo: Sacra Mithriaca homicidio vero polluit.

(2) In quo olim Græci, Mithræ sacrificantes, homines mactabant. (Socr. lib. III, cap. 2.)

κιστὴν ἡμῶν, καὶ πρό γε τούτου τὸν θεὸν τὸν μέγαν τὸν ἁγιώτατον Σαράπιν αἰδεῖσθε, τοῦ κοινοῦ γοῦν ὑμᾶς καὶ ἀνθρωπίνου καὶ πρέποντος πῶς οὐδεὶς εἰσῆλθε λόγος; προσθήσω δὲ, ὅτι καὶ ἡμῶν· οὓς οἱ θεοὶ πάντες, ἐν πρώτοις δὲ καὶ ὁ μέγας Σάραπις, ἄρχειν ἐδικαίωσαν τῆς οἰκουμένης· οἷς πρέπον ἦν τὴν ὑπὲρ τῶν ἠδικηκότων ὑμᾶς φυλάξαι διάγνωσιν. Ἀλλ' ὀργὴ τυχὸν ἴσως ὑμᾶς ἐξηπάτησε καὶ θυμός· ὅσπερ οὖν εἴωθε τὰ δεινὰ πράττειν, τὰς φρένας μετοικίσας. Εἶτα τῆς ὁρμῆς ἀναστείλαντες, τοῖς παραχρῆμα βεβουλευμένοις καλῶς ὕστερον ἐπήγαγε τὴν παρανομίαν. Οὐδὲ ᾐσχύνθητε, δῆμος ὄντες, τολμῆσαι ταῦτα, ἐφ' οἷς ἐκείνους ἐμισήσατε δικαίως. Εἴπατε γάρ μοι, πρὸς τοῦ Σαράπιδος, ὑπὲρ ποίων ἀδικημάτων ἐχαλεπήνατε Γεωργίῳ; Τὸν μακαριώτατον Κωνστάντιον, ἐρεῖτε δήπουθεν, ὅτι καθ' ἡμῶν παρώξυνεν· εἶτα εἰσήγαγεν εἰς τὴν ἱερὰν πόλιν στρατόπεδον· καὶ κατέλαβεν ὁ στρατηγὸς τῆς Αἰγύπτου τὸ ἁγιώτατον τέμενος τοῦ Θεοῦ, ἀποσυλήσας ἐκεῖθεν εἰκόνας καὶ ἀναθήματα καὶ τὸν ἐν τοῖς ἱεροῖς κόσμον, ὑμῶν ἀγανακτούντων εἰκότως, καὶ πειρωμένων ἀμύνειν τῷ Θεῷ, μᾶλλον δὲ τοῖς τοῦ Θεοῦ κτήμασιν. Ὁ δὲ ἐτόλμησεν ὑμῖν ἐπιπέμψαι τοὺς ὁπλίτας ἀδίκως καὶ παρανόμως καὶ ἀσεβῶς· ἴσως Γεώργιον μᾶλλον ἢ τὸν Κωνστάντιον δεδοικὼς, ἑαυτὸν παρεφύλαττεν, εἰ μετριώτερον ὑμῖν καὶ πολιτικώτερον, ἀλλὰ μὴ τυραννικώτερον προσεφέρετο. Τούτων οὖν ἕνεκεν ὀργιζόμενοι τῷ θεοῖς ἐχθρῷ Γεωργίῳ, τὴν ἱερὰν αὖθις ἐμιάνατε πόλιν, ἐξὸν ὑποβάλλειν αὐτὸν ταῖς τῶν δικαστῶν ψήφοις. Οὕτω γὰρ ἐγίνετο ἂν οὐ φόνος, οὐδὲ παρανομία τὸ πρᾶγμα, δίκη δὲ ἐμμελὴς, ὑμᾶς μὲν ἀθῴους πάντη φυλάττουσα, τιμωρουμένη μὲν τὸν ἀνίατα δυσσεβήσαντα, σωφρονίζουσα δὲ τοὺς ἄλλους πάντας, ὅσοι τῶν θεῶν ὀλιγωροῦσι, καὶ προσέτι τὰς τοιαύτας πόλεις, καὶ τοὺς ἀνθοῦντας δήμους ἐν οὐδενὶ τίθενται, τῆς ἑαυτῶν δὲ ποιοῦνται πάρεργον δυναστείας τὴν κατ' ἐκείνων ὠμότητα. Παραβάλλετε τοίνυν ταύτην μου τὴν ἐπιστολὴν, ᾗ μικρῷ πρόσθεν ἐπέστειλα· καὶ τὸ διάφορον κατανοήσατε· πόσους μὲν ὑμῶν ἐπαίνους ἔγραφον τότε· νυνὶ δὲ, μὰ τοὺς θεοὺς, ὀφείλω ὑμᾶς ἐπαινεῖν, οὐ δύναμαι δὲ διὰ τὴν παρανομίαν. Τολμᾷ δῆμος, ὥσπερ οἱ κύνες, ἄνθρωπον σπαράττειν; Εἶτα οὐκ αἰσχύνεται καὶ φυλάττειν καθαρὰς τὰς χεῖρας, ὡς προσάγειν πρὸς τοὺς θεοὺς αἵματος καθαρευούσας; Ἀλλὰ Γεώργιος ἄξιος ἦν τοῦ τοιαῦτα παθεῖν; καὶ τούτων ἴσως ἐγὼ φαίην ἂν χείρονα καὶ πικρότερα· καὶ δι' ὑμᾶς ἐρεῖτε; Σύμφημι καὶ αὐτός. Παρ' ὑμῶν δὲ, εἰ λέγοιτο τοῦτο, οὐκέτι συγχωρῶ· νόμοι γάρ εἰσιν οὓς χρὴ τιμᾶσθαι· μάλιστα μὲν ὑπὸ πάντων ἰδίᾳ καὶ στέργεσθαι· πλὴν ἐπειδὴ συμβαίνει τῶν καθέκαστόν τινας παρανομεῖν, ἀλλὰ τὰ κοινὰ γοῦν εὐνομεῖσθαι χρὴ, καὶ πειθαρχεῖν τοῖς νόμοις ὑμᾶς, καὶ μὴ παραβαίνειν ὅσαπερ ἐξ ἀρχῆς ἐνομίσθη καλῶς. Εὐτύχημα γέγονεν ὑμῖν, ἄνδρες Ἀλεξανδρεῖς, ἐπ' ἐμοῦ πλημμελῆσαι τοιοῦτό τι· ὃς αἰδοῖ τῇ πρὸς τὸν Θεὸν, καὶ διὰ τὸν θεῖον τὸν ἐμὸν καὶ ὁμώνυμον, ὃς ἦρξεν αὐτῆς τε Αἰγύπτου καὶ τῆς ὑμετέρας πόλεως, ἀδελ-

A urbem vestram condidit, et præ eo magnum atque sanctissimum deum Serapidem non veremini, quomodo publici commodi, humanitatis et decori nullam prorsus rationem habuistis? addo etiam nostri? quos dii omnes, in primis vero magnus Serapis, imperare toti orbi voluerunt. Conveniebat certe, ut judicium de iis qui injuriam vobis intulere, nobis reservaretur. Sed ira fortasse et furor vos decepit : qui sane mentem hominibus auferens, gravia solet admittere flagitia. Deinde autem impetu sedato, consilio, quod subito recte vobis captum erat, mox per contemptum legum, vim publicam adjecistis : neque vos, qui populi nomine censemini, ea tentare et facere puduit, quæ in illis recte reprehendistis atque odistis. B Dicite namque mihi, per Serapidem, quænam ob delicta Georgio succensuistis? Beatissimum, videlicet, dicetis, Constantium in nos commovit, deinde in urbem sacram exercitum induxit; et Ægypti præfectus, ubi sanctissimum Dei templum invasit, imagines, donaria, et sacrum ornatum diripuit, vobis merito indignantibus et Deum seu potius bona Dei defendere volentibus. Atque ille armatos in vos inique, illegitime et impie immittere est ausus, fortasse Georgium magis quam Constantium metuens : qui melius sibiipsi consuluisset, si moderate vobiscum et civiliter, nec tam tyrannice egisset. **21** Sed enim eas ob injurias deorum hosti Georgio infensi, C sacram piaculo contaminastis urbem, cum illum judicum calculis subjicere potueritis. Sic enim res ea non cædes, neque legum violatio, sed legitimum fuisset judicium : quod vos quidem innocuos conservasset, illum autem qui maxima commisit facinora, coercuisset, atque omnes præterea ad meliorem frugem reduxisset, qui deos contemnunt, et tantas urbes populosque florentes nihili faciunt, potestatique suæ, adversus illos severitatem, perinde atque accessionem quamdam adjiciunt. Conferte hanc cum ea quam paulo ante ad vos dedi epistola, et quantum inter se differant cognoscite. Quas enim tum ad vos laudes scripsi? Nunc vero, per deos ipsos juro, laudarem quidem vos libenter, facere id autem propter D leges violatas nequeo. Audetne populus, ut canes solent, hominem discerpere? Deinde illum ejus rei nihil pudet, neque puras manus conservare curat, ut eas absque sanguinis contaminatione innocuas ad deos tendat? Verum Georgius, qui talia pateretur, dignus erat : imo fortasse, ego dixerim, hisce graviora et acerbiora : et vestra causa dicetis? Idem ego quoque dico : sin ut a vobis hæc pateretur, dicatis, id jam non concesserim. Leges enim sunt, quæ delicta coercent. Et maxime quidem pro se quisque universi eas servare debent. Et quamvis accidat, ut ex civibus nonnulli contra leges agant, respublica tamen et populus ipse legibus regi et constitutionibus parere, neque quæ ab initio recte statuta sunt, vio-

lare debet. Felicitatis loco, viri Alexandrini, ducere potestis, quod delictum hoc vestrum in imperii mei tempora incidit : qui propter reverentiam erga Deum, et propter cognominem mihi avunculum, qui Ægypto et urbi vestræ cum imperio præfuit, fraternam erga vos benevolentiam conservo. Non enim populum aliquem audere convenit, potestatem summam, quæ contemni non debet, et severitatem sinceritatemque imperii obtinet, despicere : ne temeritatem tantam, sicuti gravem aliquem morbum, acerbiore repurgare opus sit remedio. Exhibeo autem et propono vobis, ob eas quas modo dixi causas, perquam placide cohortationem et verba, quibus vos (sat scio) persuadebimini : siquidem, ut audio, ab origine Græci estis, atque nunc etiam ex veteri illa nobilitate in animis studiisque vestris impressa est insignis aliqua et generosa indoles. Proponatur civibus meis Alexandrinis. »

A φιχὴν ὑμῖν ἔννοιαν ἀποσώζω. Τὸ γὰρ τῆς ἐξουσίας ἀκαταφρόνητον, καὶ τὸ ἀπηνέστερον καὶ καθαρὸν τῆς ἀρχῆς, οὔποτ' ἂν δήμου περιιδεῖν τόλμημα μὴ καθάπερ νόσημα χαλεπὸν, πικροτέρῳ διακαθᾶραι φαρμάκῳ. Προσφέρω δὲ ἐγὼ ὑμῖν δι' ἅσπερ ἔναγχος ἔφην αἰτίας, τὸ προσηνέστατον, παραίνεσιν καὶ λόγους· ἐφ' ὧν εὖ οἶδ' ὅτι πεισθήσεσθε μᾶλλον, εἴπερ ἐστὲ, καθάπερ ἀκούω, τὸ ἀρχαῖον Ἕλληνες· εἰ καὶ τὰ νῦν ἐπὶ τῆς εὐγενείας ἐκείνης ὕπεστιν ὑμῖν ἀξιόλογος καὶ γενναῖος ἐν τῇ διανοίᾳ καὶ τοῖς ἐπιτηδεύμασιν ὁ χαρακτήρ. Προτεθήτω τοῖς ἐμοῖς πολίταις Ἀλεξανδρεῦσι. »

22 Sic imperator scripto isto non Christianis magis quam Alexandrino populo, causam ejus cædis ascribere videtur. De Juliani autem, cujus modo meminimus, sævitia, hæc feruntur. Cum is Ecclesiæ Antiochenæ mundum atque ornatum permagni pretii auferre, et imperialibus thesauris inferre, ac templa orationumque domos fidelibus claudere constituisset : clerus quidem reliquus profugit, solus autem Theodoretus (1) presbyter ibi permansit. Hunc quod sacrorum donariorum custos esset, et indicare ea, si vellet, posset, quodque vi admota id facere nollet, arreptum crudeliter excruciavit, et postremo gladio interemit : cum quidem ad quælibet intentata sibi tormenta generosæ mentis responsum dedisset, et ita ut virum decet, pro dogmate decertasset. Julianus sacra vasa direpta, et solo illisa, per ludibrium risit : atque ubi quæ voluit blasphemans in Christum dixit, tandem contumeliam aucturus, super eis consedit. Vindicta autem statim est subsecuta.

B Καὶ ὁ μὲν βασιλεὺς τοιαῦτα γράφων, ἔοικε μὴ Χριστιανοῖς μᾶλλον ἢ τῷ δήμῳ τῆς Ἀλεξανδρέων τὴν αἰτίαν ἀνατιθείς· περὶ δὲ τῆς ἀπηνείας τοῦ προειρημένου Ἰουλιανοῦ καὶ τάδε φασί· βουλομένου γὰρ αὐτοῦ τὸν κόσμον τῆς Ἀντιοχέων Ἐκκλησίας πολυτελῆ γε ὄντα μεταθεῖναι, καὶ τοῖς βασιλικοῖς θησαυροῖς ἐντάξαι, καὶ τοὺς εὐκτηρίους δὲ τῶν οἴκων τοῖς πιστοῖς ἀποκλεῖσαι, τοὺς μὲν ἄλλους τῶν κληρικῶν ἀπιδεῖν, μόνον δὲ Θεοδώρητον τὸν πρεσβύτερον μὴ ἑλέσθαι τὴν ὑποχώρησιν. Τοῦτον δὲ φύλακα ὄντα τῶν κειμηλίων καὶ καταμηνύσαι ταῦτα δυνάμενον, ἐπεὶ μὴ τοῦθ' ᾑρεῖτο ἐκβιαζόμενος, εἰς χεῖρας λαβὼν, ᾐκίζετο ἀπηνῶς. Τέλος δὲ καὶ τὸν διὰ ξίφους ἐπῆγε θάνατον, γενναίαν ἐφ' ἑκάστῃ βασάνῳ τὴν ἀπόκρισιν προϊσχόμενον, ἀνδρείως τε ὑπὲρ τοῦ C δόγματος διαγωνιζόμενον. Τὰ δὲ σκεύη ληϊσάμενος, καὶ τῷ ἐδάφει αὐτὰ προσαῤῥάσσων, ἐτώθαζε· καὶ βλασφημῶν ὅσα γε ἦν βουλομένῳ, Χριστὸν, τέλος ἐπαύξων τὴν ὕβριν, ἐπ' αὐτῶν ἐκάθιζε. Καὶ ἡ δίκη εὐθὺς εἵπετο.

CAPUT VIII.

De Eusebio, Nestabo et Zenone fratribus, qui Gazæ martyrium sustinuerunt : et de sancto Hilarione, miraculorum editore.

Quandoquidem eo sum oratione provectus, ut Georgii et Theodoreti cædem commemorarim, aliarum quoque mentionem facere visum est, et in primis Eusebii, Nestabi (2), et Zenonis fratrum : quos Gazæorum populus de templorum eversione et Græcæ superstitionis abolitione accusatos, primum in domo quadam sub custodia habuere, deinde flagris cæsos carceri incluserunt. Postmodum cum diu multumque in theatro discurrissent, et, quod vulgus facere consuevit, alius alium concitasset, furibundi in carcerem irruerunt, et viros inde productos crudelissime necarunt, præcipites atque supinos trahentes, atque ad saxa illidentes : et alii fustibus, alii lapidibus, alii quæ sors obtulit, telis aliis diverberantes. Dicuntur mulieres quoque a lanificio excurrentes,

ΚΕΦΑΛ. Η'.

Περὶ τῶν ἐν Γάζῃ μαρτυρησάντων, Εὐσεβίου, Νεστάβου, καὶ Ζήνωνος τῶν ἀδελφῶν· καὶ περὶ τοῦ ἁγίου Ἱλαρίωνος τοῦ Θαυματουργοῦ.

Ἐπεὶ δὲ εἰς τοῦτο προήχθην, καὶ τὴν Γεωργίου καὶ Θεωδωρήτου ἀναίρεσιν διεξῆλθον, εὔλογον εἶναί μοι δοκεῖ καὶ ἄλλων μνήμην ποιήσασθαι, καὶ μάλλον Εὐσεβίου καὶ Νεστάβου καὶ Ζήνωνος τῶν ἀδελφῶν· οὓς ὁ τῶν Γαζαίων δῆμος, ἐπὶ καθαιρέσει τῶν D ἱερῶν, καὶ ἀφανείᾳ τοῦ Ἑλληνισμοῦ αἰτιώμενοι, συνεῖχον τὰ πρῶτα ἐπ' οἴκου φυλαττομένους. εἶτα δὴ καὶ μάστιγας ἐπιθέντες, δεσμωτηρίῳ καθεῖργον. Ἔπειτα ἐπὶ θεάτρου πλεῖστα καταδραμόντες, οἷά γε δῆμος φιλεῖ πράττειν, ἀλλήλους παραθήξαντες θυμοῦ πλήρεις, τὸ δεσμωτήριον κατέλαβον· καὶ τοὺς ἄνδρας, ἐκεῖθεν ἐξαγαγόντες, ὠμότατα διεχρήσαντο, πρηνεῖς καὶ ὑπτίους ἕλκοντες, καὶ προσαρηγνύντες τοῖς λίθοις· καὶ οἱ μὲν ξύλοις, οἱ δὲ λίθοις, οἱ δ' ἄλλοι ἄλλο τι ὅ τι τύχοι κρατῶν, παίοντες. Ἐλέγετό γε μὴν καὶ γυναῖκας τῶν ἱστῶν ἐξιούσας ταῖς κερκίσι

(1) Apud Sozom. *Theodorus* nominatur.

(2) Theodoret. habet *Nectorium*.

τούτους κατακεντεῖν. Οἱ δ' ἐπ' ἀγορᾶς μάγειροι καχλάζοντας λέβητας τῶν χυτροπόδων ἁρπάζοντες, γυμναῖς ταῖς σαρξὶν ἐκείνων κατέχεον. Ἦσαν δ' οἳ καὶ ὀβελίσκοις καὶ σούβλαις τούτους διέπειρον. Ἐπεὶ δ' ἱκανῶς κατακόψαντες, καὶ τὰς κεφαλὰς καὶ τὰ ὀστέα συνέθλασαν, ὡς καὶ τὸν ἐγκέφαλον δίκην ὕδατος ἀποῤῥεῖν, πρὸ τοῦ ἄστεος ἄγουσιν· ᾗ δὴ ἔθος τὰ τῶν θνησκόντων ῥίπτειν ὀστέα ζώων· ἔνθα πῦρ ἀνακαύσαντες, τούτῳ τὰ σώματα παρεδίδουν. Ὅσα γε μὴν τῶν ὀστέων διὰ τὸ στεῤῥὸν μὴ τὸ πῦρ ἐδαπάνησε, τοῖς ἐκεῖσε καμήλων καὶ ὄνων ὀστέοις ἀνέμιξαν· ὥστε μὴ ῥᾳδίαν εἶναι τοῖς βουλομένοις τὴν εὕρεσιν. Οὐ μήν γε λαθεῖν εἶχε· νύκτωρ γὰρ Θεὸς ἔχρα τινὶ γυναίῳ τὴν τῶν ὀστέων ἀνάληψιν· ἣ δὴ κατὰ τὴν θείαν σύνταξιν ἀναλεξαμένη, χύτρᾳ κατέκρυπτε, καὶ τῷ τῶν μαρτύρων ἀνεψιῷ Ζήνωνι παρετίθει ἀγνώστῳ ὄντι τῇ γυναικὶ, ἣ διάγοι τοῦ Θείου καταμηνύσαντος· ἐκρύπτετο γὰρ καὶ αὐτὸς τοῦ διωγμοῦ κινουμένου. Τοῦ γὰρ δήμου περὶ τὴν τῶν θείων αὐτοῦ ἀναίρεσιν ἔχοντος τὴν σπουδὴν, ἐκεῖνος εἰς Ἀνθηδόνα πόλιν πρὸς θάλασσαν φυγὰς ᾤχετο. Διέχει δὲ Γάζης ἡ Ἀνθηδὼν ὡσεὶ σταδίους εἴκοσι. Πόλις δὲ καὶ αὕτη, Ἑλληνισμῷ χαίρουσα, καὶ τῇ τῶν ξοάνων θεραπείᾳ ὡς πλεῖστον ἐπτοημένη. Ἐκεῖσε δὴ οὖν πολλὰ παρὰ τῶν Ἀνθηδονίων παθὼν, εἰς τὸ τῶν Γαζαίων ἐπίνειον λαθὼν ἐκρύπτετο· ὅπου δὴ τὸ γύναιον ἐκείνῳ παρατυχὸν, ἐδίδου τὰ λείψανα. Καὶ καιρῷ μέν τινι οὗτος ταῦτα οἴκοι κατεῖχεν· ὡς δὲ χρόνῳ ὕστερον Θεοδοσίου τὰ σκῆπτρα διαχειρίζοντος, καὶ τῆς Γαζαίων ἐκκλησίας τὴν ἐπισκοπὴν ἐκληροῦτο, θυσιαστήριον πρὸ τοῦ ἄστεος πήγνυσι, καὶ εὐκτήριον οἶκον ἐγείρει· καὶ τὰ ὀστᾶ τοῦ μάρτυρος ἐκεῖ κατατίθησι πλησίον τοῦ ὁμολογητοῦ Νέστορος· ὃς σύναμα τοῖς οἰκείοις ἀνεψιοῖς συλληφθεὶς, καὶ δεσμῶν καὶ μαστίγων ὡς πλεῖστον μετέσχεν. Ἠλέησάν γε μὴν οἱ ἕλκοντες, ὡραῖον ἔχοντα τὸ σῶμα ἰδόντες· καὶ προσδόκιμον ὄντα θανεῖν, μικρὸν δὲ τὸ ἆσθμα περισώζοντα, ῥίπτουσι πρὸ τῶν πυλῶν· ὃν τινες ἀνελόμενοι, παρὰ τὸν εἰρημένον ἀνεκόμισαν Ζήνωνα· παρ' ᾧ τὰ ἕλκη καὶ τὰς πληγὰς θεραπευόμενος ἐτελεύτησεν. Οἵ γε μὴν Γαζαῖοι περιδεεῖς ἦσαν τῇ τόλμῃ· καὶ φήμη διεθρυλλεῖτο, χαλεπαίνειν σφίσι τὸν βασιλέα, καὶ ἀποδεκατοῦν τὸ πλῆθος βουλεσθαι. Ψεῦδος δ' ἦν, καὶ τοῦ δήμου θρύλλος κενὸς, τῷ συνειδέναι ἃ πεπράχασι παραλόγως θορυβουμένων. Οὐδὲ γὰρ ὅπερ Ἀλεξανδρεῦσιν ἐποίει, λόγοις τάχα ἐπαιτιώμενος καὶ Γαζαίοις ἐπῆγε. Τόσον δ' οὐδ' ἐν γράμμασιν ᾐτιάσατο, ὡς καὶ τὸν τηνικάδε τοῦ ἔθνους ἡγούμενον τῆς ἀρχῆς μεθίστη καὶ ἐν ὑποψίαις οὐ καλαῖς εἶχε· καὶ ἀγώγιμον τοῖς νόμοις ποιήσας, τὸ μὴ κτεῖναι καὶ θάνατον ἐκείνου καταψηφίσασθαι, φιλάνθρωπον ἐλογίζετο. Ἐν δίκῃ δ' ἐποιεῖτο τὸν ἄνδρα· ὅτιπερ τινὰς τῶν τῆς στάσεως ἀρξαμένων Γαζαίων δεσμωτηρίῳ καθεῖρξεν, εὐθύνας κατὰ νόμους αἰτῶν. Τί γὰρ, φησὶ, τῶν κακῶν ἦσαν εἰργασμένοι, εἰ Γαλιλαίους ὀλίγους ἀνθ' ὧν

A radiis et fusis punctim eos convulnerasse : et coci in foro publici, lebetes et ollas aqua bullienti ferventes a chytropodibus raptas, corporibus eorum nudis diffudisse. Quidam verubus et subulis illos perfodisse. **23** Atque ubi satis eos concidissent, capitaque et ossa eorum adeo comminuissent, ut cerebrum ad instar aquæ difflueret, extra urbem eos, in locum ubi morticina animantia congerere soliti erant, duxerunt, atque ibi igni accensa corpora eorum combusserunt. Et quæcunque ossa propter soliditatem flamma non comsumpserat, camelorum et asinorum quæ disjecta ibi erant, ossibus miscuerunt, ut ne facile a quærentibus inveniri possent. Sed frustra id fuit. Noctu enim Deus mulierculæ cuidam, oppidi B ejus inquilinæ postea, ut reliquias eas tolleret, insinuavit. Quæ eas dispositione divina collectas, et urceo inclusas, apud martyrum eorum nepotem (1) Zenonem ipsi ignotum deposuit, Numinis indicio ad domicilium ejus deducta. Latebat nimirum et ipse, propter persecutionem excitatam. Cum enim vulgus (2) patruorum ejus cædibus occupatum esset, ipse tum Anthedonem in maritimam urbem profugit, stadiis fere viginti Gaza distantem, Græcaque superstitione maxime gaudentem, et ad simulacrorum cultum plurimum animorum consternatione stupentem. Atque ibi multa a civibus perpessus (3), in Gazæorum navale inde se contulit : et in eo loco occulte latuit. C Ubi etiam muliercula ei reperto ossa sacra dedit, quæ aliquandiu domi suæ habuit. Postea vero quam Theodosio imperante, Gazæorum episcopatum est sortitus, extra oppidum, sacrum condidit altare, et oratorium erexit, atque in eo martyrum reliquias reposuit, prope confessorem Nestorem : qui una cum consobrinis suis comprehensus, vincula et flagra permulta communiter cum eis sustinuit. Tortores autem ejus, quod forma esset præstanti, et corpore vigenti, miserti (et jam in exspectatione mortis erat, et parum admodum cum difficultate spirabat) ante portam eum abjecerunt. Quem sublatum nonnulli ad Zenonem, quem diximus, detulerunt : apud quem plagas et ulcera curans est mortuus. Gazæi, tam D audaci facinore peracto, in magno fuere timore : et fama vulgaverat iratum eis imperatorem esse, populumque eum decimare velle. Sed falsum id fuit, plebisque rumor vanus ex conscientia patrati facinoris a plerisque sparsus : ad quem præter rationem et causam omnem homines sunt tumultuati. **24** Nam ne verbis quidem fortasse, quod Alexandrinis fecerat, Gazæos ille incusavit. Quin tantum abest ut per litteras eos objurgarit, ut duci etiam qui tum ei genti præfuit, dignitatem ademerit, maleque suspectum habuerit. Et cum eum legibus obnoxium fecisset, quod sententia non

(1) Ἀνεψιὸν, *consobrinum*. (Sozom.)
(2) Ἀνεψιῶν Sozom.

(3) Sozom. flagris cæsum et urbe ejectum scribit, lib. v, cap. 9.

damnarit atque necarit, id humanitati suæ acceptum latum voluit. Objecit autem criminis loco viro ei, quod ex Gazæis quosdam seditionis et cædis ejus auctores comprehensos carceri inclusisset, pœnas ab eo legibus poscens. « Quid enim criminis, inquit, admiserunt, si paucos Galilæos ob plurimas gravissimasque ab eis acceptas injurias, ob violatos deos, et vetusta eorum templa eversa, legitima vindicta sunt ulti? » Atque hæc quidem ita sunt jactata.

A πλεῖστα καὶ μέγιστα αὐτούς τε ἠδίκησαν, καὶ εἰς θεοὺς ἐξήμαρτον, τὰ ἐκ παλαιοῦ αὐτῶν καθελόντες τεμένη, δικαίως ἠμύναντο; Καὶ τὰ μὲν οὕτω διεθρυλλεῖτο.

Eo vero tempore et Hilarion ille inter monachos præclarus, a Gazæis ad cædem quæsitus, in Siciliam abiit: et ligna humeris suis ex montibus in urbem vicinam ferens, ea vendidit, et inde vitam toleravit. Cæterum a viro quodam, qui admodum dæmoniis exagitatus, ea plaga per ipsum liberatus fuerat, indicatus, in Dalmatiam profectus est: ubi cum multa etiam edidisset miracula, et mare æstus magno impetu terram inundare solitum oratione vinxisset, inde rursus abiit: neque enim libenter apud eos qui se laudarent, degebat. In primisque studio habebat, ut migratione crebra obscurior esset, et quamprimum opinio et gloria de eo excitata dilaberetur. Postremo autem permultis ob eam quæ dicta est causam peragratis locis, Cyprum prætemavigans, Paphum pervenit, et a Cyprio ejus temporis episcopo invitatus, circa Charybrim (1) (ita enim locus nominabatur), quod eo delectaretur, perlibenter ibi versatus est, monasticæ philosophiæ, ita ut par erat, vacans. Quominus autem martyrio sit functus, fuga in causa fuit. Fuga vero usus est, quatenus divinum oraculum persecutores fugiendos esse permittit: at si quis comprehendatur, ut fortiter consistat, et persequentium tormenta et supplicia generose perferat, opus est.

Τότε δὴ καὶ Ἱλαρίων ὁ περιώνυμος ἐν μονάζουσι, πρὸς τῶν Γαζαίων ἐπιζητούμενος, πρὸς Σικελίαν ἀπῆρε· καὶ ξύλα τοῖς ὤμοις ἐκ τῶν ὀρέων τῇ πόλει κομίζων, διεπώλει, καὶ τὸ ζῆν ἐπορίζετο. Ὑπό γε μὴν ἐπισήμως δαιμονῶντος ἀνδρὸς καταφωραθεὶς, ὡς ἀπαλλάξας ἐκεῖνον τῆς μάστιγος, εἰς Δαλματίαν ἧκε. Πολλὰ δὲ κἀκεῖσε θαύματα ἐργασάμενος, ὡς B εὐχῇ πεδῆσαι τὴν θάλασσαν, ἐξ ὑπονοστήσεως κατακλύσαι τὴν ξηρὰν ὁρμῆς ἔχουσαν, ἐκεῖθεν πάλιν μεταχωρεῖ· οὐ γὰρ ἐκείνῳ φίλον παρὰ τοῖς ἐπαινοῦσιν ἔχειν διατριβήν. Ἐσπούδαζε γὰρ ἀφανὴς εἶναι ταῖς μεταβάσεσιν, ὥστε τάχιστα διαλύειν τὴν περὶ αὐτοῦ ἐπισυνισταμένην δόξαν. Τέλος δὲ πολλοὺς μετοικίσας τόπους δι' ἅπερ εἰρήκαμεν, παραπλέων καὶ Κύπρον, εἰς Πάφον κατῆρε· καὶ παρὰ τοῦ τηνικάδε Κυπρίων ἱερῶς ἡγουμένου προτραπεὶς, περὶ Χάρυβριν (χῶρος οὕτω καλεῖται), ἀγαπήσας τὸν τόπον, φίλην ἐποιεῖτο διατριβὴν, φιλοσοφῶν ὡς εἰκός. Καὶ τὸ μὴ μάρτυρα γενέσθαι τὸν ἄνδρα αἴτιον γέγονεν ἡ φυγή. Ἔφυγε δὲ, καθότι θεῖός ἐστι χρησμὸς ἀποδιδράσκειν τοὺς διώκοντας· εἰ δὲ ληφθεῖεν, γενναίως ἵστασθαι, καὶ κρείττους τῆς τῶν διωκόντων C ἀνάγκης καθίστασθαι.

25 CAPUT IX.

De calamitatibus in Phœnice et Heliopoli et Emesa toleratis: et de Æmyliano, et Dorotheo, et Domitiano, et Marco Arethusiorum episcopo.

Sed enim non apud solos Alexandrinos et Gazæos ita in nos sævitum, verum etiam Heliopoli, ad Libanum in Phœnice sita, et Arethusæ apud Syros, hisce deteriora atque crudeliora sunt facta. Quæ urbes per credulitatis summæ contentionem id egere, ut secundas partes, quæ alibi designata essent, habere arguerentur. Heliopolitani enim (quod quidem incredibile dictu esset, nisi ab eis qui tum rei gestæ adfuere, ad nos relata fuisset) sacras quasdam virgines, quæ etiam viros aspicere non sustinuerint, vestibus spoliatas et nudas, in medio populo ad spectaculum, et cujusque qui illudere eis vellet, injuriam, consistere coegerunt. Ubi autem et conspectu tali et rebus aliis, pro cujusque libidine, et sancta illarum corpora abunde contumelia affecernnt, postremo ab inferioribus eas partibus totonderunt atque disciderunt: et superficie vulneris ejus atque scissuræ, porcorum alimento, cui illi assueverant (hordeum autem fuisse, aut simile quiddam, verisimile est)

ΚΕΦΑΛ. Θ'.

Περὶ τῶν ἐν Φοινίκῃ καὶ Ἡλιουπόλει καὶ Ἐμέσῃ γεγενημένων δεινῶν· καὶ περὶ Αἰμυλιανοῦ καὶ Δωροθέου καὶ Δομετιανοῦ· καὶ περὶ Μάρκου τοῦ Ἀρεθουσίων ἐπισκόπου.

Οὐ τοίνυν παρὰ μόνοις Ἀλεξανδρεῦσι καὶ Γαζαίοις τὰ τοιαῦτα τετόλμηται καθ' ἡμῶν, ἀλλὰ καὶ ἐν Ἡλιουπόλει, τῇ πρὸς τῷ Λιβάνῳ τῆς Φοινίκης κειμένῃ, καὶ ἐν Ἀρεθούσῃ τῇ παρὰ Σύροις, χείρονα διεπράχθη, φιλονεικούντων ὠμότητος ὑπερβολῇ δεύτερα τὰ παρ' ἐκείνοις ἐλέγξαι. Οἱ μὲν γὰρ, ὃ καὶ λέγειν τοῖς πολλοῖς ἄπιστον δόξει, εἰ μή τινες παρόντες τη- D νικαῦτα τοῖς πεπραγμένοις ἀνήγγειλαν, ἱεράς τινας παρθένους, μηδ' ὄψιν ἀῤῥένων ἀνασχομένας θεάσασθαι, ἐσθῆτος γυμνὰς καταστήσαντες, ἐπὶ μέσου δήμου ἑστάναι ἠνάγκασαν, εἰς θέατρον καὶ ὕβριν βουλομένῳ παντί. Ἱκανῶς δὲ καὶ ὄψει καὶ τοῖς ἄλλοις ᾗ ἑκάστῳ ἐδόκει ταῖς ἁγίαις ἐκείναις σαρξὶν ἐνυβρίσαντες τέλος κάτωθεν ἀνακείρουσι, διχῇ τε διελόντες τὰ σπλάγχνα τροφῇ χοίρων ἣ συνήθης ἦν ἐκείνοις, κριθὴν δὲ εἶναι εἰκὸς καὶ ἄλλα ταύτῃ παρόμοια, ἐπιπολῆς τὰ σπλάγχνα καλύψαντες, ἐπὶ τὴν συνήθη βρῶσιν ἐξεκαλοῦντο τοὺς χοίρους. Ἐκεῖνοι δ' ὁρμῇ ἀγρίᾳ μὴ διακρῖναι ῥᾳδίως ἔχοντες, ὁμόσε τοῖς ἐγκάτοις ἐχώρουν· τῇ δ' ἀνάγκῃ τῆς συνήθους

(1) Sozom. habet *Charbyrim*.

τροφῆς καὶ τὴν ἔνδον ἐκείναις διάπλασιν σύναμα A ταῖς τροφαῖς κατεβίβρωσκον, ζώσαις οὕτω καὶ τοῦ πάθους αἴσθησιν κεκτημέναις. Συμβάλλω δὲ Ἡλιουπολίτας ἐς τόδε μανίας κατὰ τῶν ἱερῶν παρθένων ἐλθεῖν, ὅτιπερ καὶ πάτριον ἦν ἐκείνοις τὰς παρθένους παρὰ τοῦ προστυχόντος πρότερον ἐκπορνεύεσθαι, πρὶν ἢ μνηστῆρσι πρὸς γάμου κοινωνίαν ἐλθεῖν· ὅπερ ὁ μέγας Κωνσταντῖνος, νόμον θεὶς, ἄπρακτον ἐποίει πρῶτος· καὶ τὸν ἐκεῖσε τῆς Ἀφροδίτης νεὼν καθελὼν, ἐκκλησίαν ἀνίστη Θεῷ, ὡς ἐν τοῖς πρόσθεν κατὰ χώραν ἐλέχθη μοι. Τὸ δ' ἐν Φοινίκῃ αὐτοῖς τολμηθὲν πῶς ἄν τις παραδραμεῖν ἕλοιτο; Ἐν γὰρ ταύτῃ τὸν Ἡλιουπόλεως διάκονον Κύριλλον ἀπηνῶς ἀνελόντες, καὶ τὴν γαστέρα διατεμόντες, τοῦ ἥπατος ἀπεγεύσαντο. Καὶ οὐκ εἰς μακρὰν τοὺς τολμητὰς ἡ δίκη παρέδραμεν. Ὅσοι γὰρ τοῦ τοσούτου μύσους B μετέσχον, ὀδόντας τε καὶ γλώσσας καὶ ὑπερῴας ἀπεβάλοντο, σηπεδόνος ἀγρίας προσβαλούσης αὐτοῖς. Οὐ μὴν δὲ ἀλλὰ καὶ ὀφθαλμῶν στέρησιν ἔπαθον. Δι' ὧν τῆς εὐσεβείας ἡ δύναμις ἐκηρύττετο.

conspersa, eos ad consuetas escas provocarent. Itaque impetu agresti irruentes porci, secernere alimentum cum facile non possent, simul viscera sunt aggressi: et soliti cibi cupiditate, famisque necessitate adurgente, una cum hordeo interna etiam membra, cum illæ adhuc viverent, et cruciatum eum sentirent, depasti. Existimo autem Heliopolitanos inde eo furoris, ut sic contra sanctas virgines sævirent, evasisse, quod patrium eis fuerit, ut virgines prius prostituerent, et a quocunque vitiari curarent, quam ad conjugii communionem cum sponsis suis venirent. Quod Constantinus magnus lege lata primus ne amplius fieret, prohibuit: et Veneris templo ibi diruto, ecclesiam Deo exstruxit, quemadmodum supra loco suo a me est dictum. Quod autem ibidem insuper ausi sunt, quomodo silentio præteriri potest? Cyrillo uamque Heliopolitano diacono crudeliter occiso (1), ventrem quoque ejus inciderunt, et jecur degustarunt. Verum talia ausos vindicta statim divina est consecuta. Quicunque enim tanti piaculi participes fuere, dentes, linguas et palatum, per sævam putredinem, oculosque adeo ipsos amiserunt. Per quas plagas vis et efficacia veræ pietatis est deprædicata.

Ἐν Ἐμέσῃ δὲ τῇ ὁμόρῳ ταύτῃ πόλει, Διονύσῳ τῷ γυναικείῳ ἀνδραπόδῳ τὴν ἐκκλησίαν ἀφιέρωσαν, καὶ τὸ ἀνδρόγυνον ἐκείνου καὶ καταγέλαστον ἱδρύσαντο ἄγαλμα· ἐν τῷ τῆς Θρᾴκης δὲ Δοροστόλῳ Αἰμυλιανὸς ὁ νικηφόρος ἀγωνιστὴς ὑπὸ Καπετωλίνου τοῦ τῆς C Θρᾴκης ἐπάρχοντος, πυρὸς ἐγένετο παρανάλωμα. Δωρόθεον δὲ τὸν πολύαθλον, τὸν πολλὴν ἱστορίαν ἐκκλησιαστικὴν συγγραψάμενον, θανάτῳ παρέπεμψε. Τύρου δὲ οὗτος τὴν τῆς ἐκκλησίας εἶχεν ἐπιτροπήν. Ναὶ μὴν καὶ Δομέτιον τὸν ἐν ἀσκηταῖς περιβόητον, σπηλαίῳ κρυπτόμενον παριὼν, λίθοις ἀπανθρώπως συνέχωσε. Τὸ δέ γε Μάρκῳ ἐν Ἀρεθούσῃ γενόμενον πῶς παραδράμοιμι; Αἰσχύλου γὰρ καὶ Σοφοκλέους δεῖται τῆς μεγαληγορίας, ἵν' ἀξίως τὸ ἐκείνου τις πάθος ἐκτραγῳδήσειε. Τοῦτον γὰρ Ἀρεθούσιοι ἐπίσκοπον τούτων πάλαι γενόμενον, ἄνδρα βίῳ καὶ λόγῳ καὶ πολιᾷ πολὺ τὸ αἰδέσιμον προβαλλόμενον, ἀπηνῶς διεχρήσαντο. Εἶχον μὲν γὰρ καὶ πρότερον αὐτὸν ἐν ὀργῇ· οἷς ἐπὶ Κωνσταντίου, πολλοὺς οὐ κατὰ πειθὼ, ἀλλά τινι κρείττονι δυναστείᾳ, τοὺς ἑλληνίζοντας D ἀσπάζεσθαι τὰ Χριστιανῶν ἐποίει· καὶ τὸν παρ' αὐτοῖς σεμνόν τε καὶ πολυτελείᾳ οἰκοδομῆς ἡττώμενον οὐδενὸς νεὼν καθεῖλεν εἰς ἔδαφος. Ὡς δὲ μετεῤῥύη αὖθις τὰ πράγματα, ὁμοῦ μὲν τοῦ δήμου κεκινημένου, ἅμα δὲ καὶ κατὰ πρόσταγμα τοῦ κρατοῦντος καταδικάζοντος ἢ τὴν ἀποτίμησιν ἐκτίσαι τοῦ νεὼ, ἢ αὖθις οἷος ἦν ἀνεγεῖραι αὐτόν· ἐπεὶ καὶ πρὸς ἄμφω ἀδυνάτως εἶχεν, ἀθέμιτον δ' ἦν παντάπασι καὶ τὸ δεύτερον, μήτοι γε ἱερεῖ, ἀλλ' οὐδὲ ἰδίᾳ Χριστιανῷ ἀνδρί· φυγῇ μὲν τὰ πρῶτα ἐχρήσατο. Πολλοὺς δὲ δι' ἐκεῖνον πάσχειν μαθὼν, καὶ δεινῶν πειρᾶσθαι πλείστων, ἐπανελθὼν τῆς φυγῆς κατεμήνυεν ἑαυτὸν, δρᾷν ὅ τι βουλομένῳ ἐστὶ τῷ δήμῳ, ἑκὼν ἀνεὶς ἑαυτόν. Οἱ δὲ δέον μᾶλλον θαυμάζειν αὐτὸν

26 Porro Emesæ, quæ finitima ei urbs est, Dionyso muliebri mancipio ædem sacram dedicarunt, atque ibi statuam Androgyni, ambiguo inter marem et feminam sexu ridiculam, ei collocarunt. Dorostoli autem Thraciæ Æmylianum, invictum athletam, Capitolinus Thraciæ præfectus vivum combussit. Dorotheus item certator egregius, qui magnam conscripsit ecclesiasticam historiam, et Tyri episcopatum tenuit, neci datus. Domitium vero celebrem monachum in spelunca sua latentem, præteriens inhumanissime aggere lapidum quispiam obruit. Nec Marcus, qui Arethusæ gravia perpessus est, tacendus. Peropus autem nobis esset Æschyli et Sophoclis dicendi gravitate, ut martyrii ejus tragœdiam recte exponeremus. Hunc enim Arethusii, ubi episcopus diu fuerat, et vita et doctrina, canitieque insuper spectatum et venerandum, immaniter occiderunt. Dudum vero antea infensi ei fuerant, quod sub Constantio multos Græcæ superstitionis sectatores, non persuasione, sed potestate quadam graviore, Christianorum sacra colere coegerit, et templum celebre, structuræque pretio et magnificentia nulli secundum, solo æquaverit. Porro rerum statu mutato, cum simul et vulgus commotum esset, et imperatoris mandatum accessisset, quo Marcum sententia lata vel æstimationem templi solvere, vel id quale antea fuisset, restituere jussit; ubi utrumque facere prorsus non potuit; alterum etiam, non dico episcopo, sed ne privato quidem Christiano facere ullo modo fas fuit; primum quidem fuga usus est: at ubi multos sua causa affligi et plurimas calamitates ferre cognovit, ex fuga reversus, seipsum exhibuit, et populo, quidquid vellet, de

(1) Apud Suidam causa martyrii istius additur: quod scilicet Cyrillus sub Constantino et Constantio idolorum templa everterit.

se facere permisit. Et cum admirari virum, qui sic philosophicum plane animum ostendere decrevisset, debuisset, contemni se arbitrata multitudo, omnis in eum irruit. Tractus est per mediam urbem et senex, et episcopus: membraque ejus omnia, ut sors tulit, diverberata, lacerata et jactata. In eum quippe ætas omnis, feminæ et pueri eum indignatione et ardore desævierunt, usque adeo, ut etiam tenuibus quibusdam funiculis aures seni absciderint. **27** Pueri quoque in scholam ad magistros euntes, ludibrio eum habuere, trahentesque, atque in sublime subinde tollentes, graphiis pupugerunt, et crudeliter excruciarunt. Et jam toto corpore vulnera acceperat, parumque adhuc vita conclamata spirabat; cum eum garo et melle perunctum, in sportam ex junco confectam immiserunt, et in sublime ita æstatis tempore sublatum apibus et vespis excruciandum exposuerunt. A quibus involantibus et depascentibus, cum vivens voraretur, præclarum id verbum dixisse fertur: « Ut ego quidem sublimis sum, vos autem humi jacentes despicio! » Unde quæ deinde et ipsi et Arethusiis eventura fuerant, conjicere licet. Præfectus quidem, qui Græcorum sacra quam maxime colens, vir magnus et fortis, atque ob eam causam præclarus, tum provinciæ ei præfuit, tantam Marci generositatem admiratus est, et imperatorem reprehendit, probro se dignos esse dicens, quod ab uno sene, qui per tantam constantiam et fortitudinem tot mala animo magno pertulerit, vincerentur: adeo ut periculum esset, se quidem merito irrisum, eos autem, quibus ea mala inferrent, summa gloria auctum iri. Et ad hunc modum beatus Marcus, virili plane animo multitudinis furorem et graves illos cruciatus pertulit, ut non modo a nobis Christianis, sed etiam a Græcis ipsis simulacrorum cultoribus meritas tulerit laudes.

A ἅτε φιλοσοφεῖν ᾑρημένον, ὑπερφρονεῖσθαι νομίσαντες, πᾶς ὁ δῆμος ἐπ' αὐτὸν ἐχώρουν. Καὶ εἵλκετο διὰ μέσης τῆς πόλεως, γέρων καὶ ἱερεύς· καὶ ᾗ ἔτυχεν ἐπαίετο τῶν ἱερῶν ἐκείνου μελῶν ἕκαστον· καὶ ἐτίλλετο, καὶ ὠθεῖτο· καὶ πάσῃ δὴ προὔκειτο ἡλικίᾳ, καὶ γυναιξὶ καὶ παισὶ, σὺν ὀργῇ καὶ προθυμίᾳ· καὶ τοσοῦτον, ὡς καὶ βούλεσθαι λεπτοῖς δὴ σχοίνοις τὰ ὦτα τέμνειν τῷ γέροντι. Καὶ παῖδες δὲ ἐς διδασκάλους φοιτῶντες τὸν ἄνδρα παίγνιον εἶχον· καὶ ἕλκοντες καὶ μετεωρίζοντες, πυκνὰ ταῖς γραφίσιν ἐκέντουν ἀφειδῶς παίοντες. Ὡς δὲ τραυματίας ὅλος ἦν, καὶ ἔτι σμικρὰ ἔπνεε καὶ ἀπεγνωσμένα, γάρῳ σύναμα μέλιτι προσαλείψαντες, σαργάνῃ ἐνῆκαν· πλέγμα δέ τι τοῦτο σχοίνου πεποιημένον. Εἰς ὕψος δὲ τῷ γυργάθῳ ὕπαιθρον αἰωρήσαντες θέρους ἀκμῇ, B σφηξὶ καὶ μελίτταις ἐπαφῆκαν· ὑφ' ὧν προσιπταμένων τὰς σάρκας ζῶν ἐσθιόμενος, τὸ ἀοίδιμον ἐκεῖνο λόγος εἰπεῖν· « Ὡς ἐγὼ μὲν ὑψηλὸς εἴην, ὑμᾶς δὲ χαμαὶ κειμένους ὁρῶ. » Ἐξ ὧν ἔξεστι καὶ τὰ μετὰ ταῦτα συμβάλλειν αὐτῷ τε κἀκείνους. Λόγος γε μὴν ἔχει καὶ τὸν τηνικάδε ὕπαρχον ἐς τὰ μάλιστα Ἑλληνιστὴν ὄντα, τὸ δ' ἦθος ἄλλως γενναῖον, ὡς καὶ ἐπὶ μέγα δόξης ἐλθεῖν, θαυμάσαντα Μάρκου τῆς γενναιότητος, καὶ παῤῥησίᾳ χρησάμενον, μέμψιν βασιλεῖ ἐνεγκεῖν ὡς ἄρ' αἰσχύνης ἄξιοι, ἑνὸς ἡττημένοι γέροντος ἀνδρείως, τοσαύτῃ πείρᾳ δεινῶν γενναίως ἀνδρισαμένου· ὡς ἐν κινδύνῳ εἶναι, γέλωτος μὲν ἀξίους ἡμᾶς, ἐκείνους δὲ οἷς ταῦτα δρῶσι, δόξης ἐπὶ μέγιστον ἄγοντες. Καὶ τοιοῦτος μὲν ὁ μακάριος Μάρκος ἀνδρείως πρὸς τὸν τοῦ δήμου θυμὸν καὶ τὰς πολ- C λὰς ἐκείνας βασάνους ἀντισχών· ὡς μὴ μόνον παρ' ἡμῶν, ἀλλὰ καὶ πρὸς τῶν Ἑλληνιστῶν τῶν προσηκόντων ἐγκωμίων ἀξιωθῆναι.

CAPUT X.

De Theodulo et Tatiano Phrygibus: præterea de iis qui Ancyræ in Galatia martyrio sunt affecti, Busiride et Basilio: item de Eupsychio Cappadoce.

Eodem tempore et Macedonius, et Theodulus, et Tatianus, Phryges, egregie pro Christo certamen pertulere. In Myro namque Phrygum urbe (1), gentis ejus præses templum, quod diuturno squalore deformatum fuerat, aperuit atque repurgavit. At illi quos dixi, noctu in fanum ingressi, deorum simulacra comminuerunt. Et cum multi ejus rei suspecti in judicium pertraherentur, ipsi seipsos detulerunt. Atque ubi diis sacrificare, quod per id, si fecissent, absolvi potuissent, et præfectus ut ea re delictum suum compensarent, petiisset, noluere; primum eos torsit, et tandem nudos craticulis imposuit, ignemque succendit. Et quamvis tam crudeliter illi urerentur, attamen ad præfectum dixere: « Si, **28** Amachi (id enim illius nomen fuit), carnes assas expetis, age in alteram nos verte partem, ne tibi edenti, si se-

ΚΕΦΑΛ. Ι'.

Περὶ τῶν ἐν Φρυγίᾳ Θεοδούλου καὶ Τατιανοῦ· καὶ περὶ τῶν ἐν Γαλατίᾳ τῆς Ἀγκύρας μαρτυρησάντων, Βουσίριδος, καὶ Βασιλείου, καὶ Εὐψυχίου τοῦ ἐν Καππαδοκίᾳ.

Ἐν δὲ τούτῳ καὶ Μακεδόνιος, Θεόδουλός τε καὶ Τατιανὸς, Φρύγες ἄνδρες, τὸν ὑπὲρ Χριστοῦ ἀγῶνα D ἀντέσχον. Μίσῳ γὰρ τῇ πόλει Φρυγῶν ὁ τοῦ ἔθνους ἡγούμενος, τὸν ἐκεῖσε νεὼν ἀνοίξας χρόνῳ ῥυπῶντα, ἐξεκάθηρε. Νύκτωρ δ' ἐκείνους εἰσελθόντας, συντρίψαι τὰ εἴδωλα. Πολλῶν δ' ἐν ὑπονοίαις κειμένων, καὶ τούτου χάριν ἑλκομένων εἰς δικαστήρια, σφᾶς αὐτοὺς κατεμήνυσαν. Ἐπεὶ δὲ θύειν ἀπέσχοντο, ἐξῆν γὰρ τοῦτο πράττουσιν ἀπηλλάχθαι πραγμάτων, τοῦτ' ἀνταιτοῦντος τοῦ ἄρχοντος ὑπὲρ τῶν ἡμαρτημένων σφόδρα, τὰ πρῶτα ᾐκίζοντο· τέλος δ' ἐσχάραις γυμνοὺς ἐπιθεὶς, πῦρ κάτωθεν ὑπανῆπτεν. Οἱ δὲ καίπερ οὕτως ὠμῶς ἐκκαιόμενοι, « Εἰ ὀπτῶν κρεῶν, φασὶν, ἐπιθυμεῖς, ὦ Ἀμάχιε (τοῦτο γὰρ ὄνομα τῷ ἄρχοντι ἦν), στρέφε δὴ καὶ εἰς ἑτέραν ἡμᾶς πλευρὰν, ἵνα μή σοι ἐσθίοντι ἡμίοπτοι ὄντες, ἀηδεῖς καταστaίημεν. » Ὧδε μὲν οὖν καὶ οὗτοι γενναίως δια-

(1) Ἐν τῇ Μύρῳ. (Socr. lib. III, cap. 15.) Μίσῳ τῇ πόλει Φρυγῶν. (Sozom. lib. V, cap. 11.)

γωνισάμενοι, ἐπὶ ταῖς. ἐσχάραις τὸν βίον ἀπέλιπον, ἐθελόθυτα θύματα καὶ ἀσινεῖς θυσίαι προσενηνεγμένοι Θεῷ. Τηνικαῦτα δέ φασι καὶ Βούσιριν λαμπρὰν ὁμολογίαν ὑπενεγκεῖν καὶ ἀνδρείαν διὰ τὴν θρησκείαν ἐν Γαλατίᾳ τῇ πρὸς Ἀγκύρᾳ· ὃν πρότερον τῆς τῶν Ἐγκρατιτῶν αἱρέσεως ὄντα, κατὰ τῶν ξοάνων νεανιευσάμενον, συλλαβὼν ὁ τοῦ ἔθνους ἡγούμενος αἰκίζειν ᾑρεῖτο· παῤῥησίᾳ τε προσάγων, τῷ βασανιστηρίῳ ξύλῳ ἀναρτᾶσθαι προσέταττεν. Ὁ δὲ Βούσιρις τὼ χεῖρε τῇ κεφαλῇ ἐπιθεὶς, τὰς πλευρὰς ἐγύμνου· καὶ πρὸς τὸν ἄρχοντα στραφεὶς, « Μὴ μάτην, ἔφη, πονεῖν χρῆναι τοὺς δημίους ἐπὶ τὸ ξύλον ἀνάγοντας καὶ κατάγοντας· ἐν ἑτοίμῳ γὰρ ἔχειν ὅσον αἱροῖτο, παρέχειν αὐτοῖς τὰς πλευρὰς ξέειν. » Καί γε τὴν ὑπόσχεσιν θαυμάσας τἀνδρὸς, μᾶλλον ἐξεπλάγη τὴν πεῖραν προσάγων. Καὶ γὰρ οὕτως ἐπὶ σχήματος ἔχων διεκαρτέρει τὰς χεῖρας ἀνέχων, ἕως οὗ τῷ ἄρχοντι ξέειν ἐδόκει, εὐτόνως δεχόμενος τὰς πληγάς. Ἐν δεσμοῖς δὲ γενόμενος καὶ εἱρκταῖς, ἀνείθη αὖθις μετ' ὀλίγον ἀγγελθέντος Ἰουλιανὸν ἀνῃρῆσθαι. Καὶ ἄχρι δὲ τῆς Θεοδοσίου βασιλείας τὸ ζῆν παρέτεινεν.

miassi simus, insuavior fiat cibus (1). » Hoc pacto et isti fortiter certamine obito, in craticulis vitam finierunt, voluntaria sacrificia et innocuas victimas seipsos offerentes Deo. Tum quoque Busirim dicunt splendide et fortiter confessionem Ancyræ in Galatia propter religionem pertulisse : qui antea hæresis Encratitarum, hoc est, continentium fuit. Cum enim strenue rem adversus simulacra gereret, comprehensus, ab ejus loci præfecto tormentis est adjudicatus. Itaque in publicum productum ille ad stipitem tormentorum suspendi præcepit. Busiris autem, utraque manu in caput sublata, latera nuda exhibuit, et ad præsidem conversus : « Ne frustra, inquit, carnifices, ut me in stipitem extollant, et rursus demittant, fatiges ; paratus enim sum quandiu velis, illis ad verbera et tormenta latera præbere. » Ibi ille cum promissum viri admiratus, tum magis etiam, ubi periculum constantiæ ejus fecit, est consternatus. Nam habitum eum statumque corporis retinens, et manus constanter sustollens, quam diu præsidi visum est, excarnificandum se dedit, plagasque intenta fortitudine excepit. Deinde in carcere vinctus servatus est, liberque paulo post dimissus, ubi Julianum interfectum esse renuntiatum est. Atque is ad Theodosii usque imperium vitam produxit.

Κατὰ δὴ τοῦτον τὸν χρόνον καὶ Βασίλειον πρεσβύτερον τῆς ἐν Ἀγκύρᾳ ἐκκλησίας μαρτυρίῳ τὸν βίον λόγος διενεγκεῖν· ἀλλὰ καὶ τὸν Καισαρέα Εὐψύχιον Καππαδόκην εὐπατρίδην ὄντα, καὶ τῶν ἐπισήμων γένει, οὐ πάνυ πόῤῥω γαμετὴν ἀγόμενον, καὶ οἷον φάναι νυμφίον ὄντα ἐπιθαλάμιον· ὧν ὁ μὲν Εὐψύχιος ἀνῄρητο διὰ τὸν τῆς Τύχης νεὼν, τὴν καθαίρεσιν δυστυχήσαντα, οὗ τῇ καθαιρέσει, ὥς μοι καὶ πρότερον εἴρηται, κοινῇ πάντες οἱ Καισαρεῖς τῆς τοῦ βασιλέως ὀργῆς ἐπειράθησαν· οἱ δ' αὐθένται τοῦ δράματος, καὶ ὡς οἷον εἰπεῖν αὐτουργοὶ, ὁ μὲν δίκην ἔδοτο θάνατον· ἄλλος δ' ἀϊδίῳ ἐζημιώθη φυγῇ. Ὁ δέ γε Βασίλειος τὰ μάλιστα περὶ τὴν θρησκείαν σπουδαιότατος γεγονὼς, Κωνσταντίου μὲν περιόντος τοῖς ἐξ Ἀρείου γενναίως ἐφέρετο· διά τοι καὶ ψήφῳ τῶν ἀμφὶ Εὐδόξιον εἴργετο δημοσίᾳ ἐκκλησιάζειν· ἐπεὶ δὲ Ἰουλιανὸς ἐπὶ τῶν ὅλων καθίστατο, κύκλῳ περιιὼν δημοσίᾳ, Χριστιανοῖς ἰσχυρῶς τῆς θρησκείας ἔχεσθαι περιφανῶς παρηγγύα, καὶ μὴ τοῖς Ἑλληνικοῖς χρήμασι καὶ σπονδαῖς χραίνεσθαι, καὶ τὰς ἐκ βασιλέως τιμὰς ἀντ' οὐδενὸς ἡγεῖσθαι προὐτρέπετο· προσκαίρους δ' οὔσας μισθὸν ἐπάγειν διηνεκῆ τὴν ἀπώλειαν. Τούτοις δὴ καθεστὼς ἐν ὑπονοίᾳ καὶ μίσει τοῖς Ἑλληνισταῖς ἦν· οὕς ποτε καὶ δημοσίᾳ θύοντας ἰδὼν, ἔστη· καί γε οἰμώζων ἐπὶ μέγα, ηὔχετο μηδένα Χριστιανὸν τῆς τοσαύτης πλάνης ἐν πείρᾳ γενέσθαι. Καὶ συλληφθεὶς παρεδίδοτο· πολλαῖς τε βασάνοις ἐγκαρτερήσας παρὰ πάντα τὸν χρόνον, ἀνδρείως τὸ τοῦ μαρτυρίου διήνυσε στάδιον.

Hoc ipso tempore et Basilius, Ancyranæ ecclesiæ presbyter, martyrio est defunctus : atque item Cæsariensis Eupsychius Cappadox, veteri familia locoque claro natus, qui non ita pridem uxore ducta veluti sponsus adhuc fuit. Eupsychius propter Fortunæ templum, quod eversum non satis fortunatum fuit, et cujus gratia imperator iram in Cæsarienses universos, sicuti supra dictum, conceperat, necatus est : et qui auctores præterea atque adeo patratores ejus facinoris in fano eo evertendo fuere, alii morte, alii exsilio perpetuo sunt multati. Basilius vero, religionis Christianæ studiosissimus, sub Constantio contra Arianos strenue rem gesserat : quamobrem Eudoxii populariumque ejus sententia damnatus, publicos conventus agere prohibitus fuerat. Ubi vero Julianus imperium est adeptus, publice obambulans, **29** Christianos aperte est cohortatus, ut constanter religionem suam retinerent, et se a Græcorum sacris et libationibus piaculisque omnibus abstinerent, nec non imperatoris honores flocci facerent, ut qui fluxi et caduci non aliam mercedem afferrent, quam perniciem sempiternam. Eam ob causam illum Græcorum sacrorum sectatores suspectum habuere, atque odio prosecuti sunt. Quos etiam aliquando publice sacrificantes videns, constitit, et majorem in modum ingemiscens, ne quis Christianorum in errorem tantum incideret, precatus est. Et tandem com-

(1) Idem supplicium, eadem vox Laurentii martyris fuit :

Converte partem corporis,
Satis crematam jugiter,
Et fac periclum quid tuus
Vulcanus ardens egerit.
. . . .
. . . ' *octum est, devora.*
Et experimentum cape,
Sit crudum an assum suavius. Prudent.

prehensus, judicibus traditus est: et cruciatibus omnibus in eo certamine virili animo perlatis, martyrii cursum absolvit. Hæc quamvis præter sententiam imperatoris, nihilominus tamen facta: et quidem contra exspectationem, et animi ejus voluntatem. Verum alios quoque fortes martyres imperii ejus tempore recte se gessisse scimus: quorum constantiam et certamina omnia sigillatim commemorare, ingentis et gravis esset operæ. Hosce autem, ut dilucidiorem ecclesiasticæ rei statum facerem, collectos recensui, quamvis diversa aliquantum eorum tempora obiti pro Christo martyrii fuerint.

A Ταῦτα μὲν εἰ καὶ παρὰ γνώμην τῷ βασιλεῖ, ἀλλ' ὅμως ἐπράχθη. Πολλοὺς δὲ καὶ ἄλλους γενναίους μάρτυρας ἐπὶ τῆς αὐτοῦ ἡγεμονίας ἔγνωμεν γεγενῆσθαι· ὧν τὴν κατὰ μέρος ἀνδρείαν καὶ τὰ παλαίσματα διελθεῖν ἆθλος ἴδιος γένοιτο. Τούτους δὲ σαφηνείας χάριν συναγαγὼν διεξῆλθον, εἰ καὶ διάφορος ἦν ὁ χρόνος τοῦ ἑκάστου διὰ Χριστὸν μαρτυρίου.

CAPUT XI.

De sancto Artemio: item de sanctis Manuel, Sabel, et Ismael: et de beata Publia virgine.

Innumeros namque alios etiam per Græcos simul et barbaros excruciavit. Nam et his propter religionis nostræ odium, quidquid vellent, ut contra nos agerent, permisit: et fecerunt illi in nos longe pejora atque atrociora, quam Græci ipsi. Artemium autem generosum fidei propugnatorem, ducem et Augustalem Antiochiæ (1), qui etiam copiarum militarium ductor in Ægypto, Constantio imperante fuit, per seipsum torsit: re quidem ipsa, quod Constantio subserviens, ardoreque divino flagrans, delubra multa deorum dejecit atque evertit: et quod divorum apostolorum, Andreæ, Lucæ, et Timothei ossa, Patris, et ex Achaia et Epheso Constantinopolim pertulit: **30** obtentu vero et prætextu, quod fratri Gallo ipse necem struxerit. Bonis enim omnibus martyri spoliato, dignitateque orbato, post plurimas alias intolerabilesque pœnas, tandem et caput resecuit. Afflixit quoque oratores Persas, qui ad eum Chalcedone venerant, Manuel, Sabel, et Ismael, propterea quod Christianam colerent religionem: neque in eis legatorum jus, contra receptum gentium omnium morem, violare est veritus. Sedenim Publia quoque femina præcipuum præclarumque ex virtute nomen est consecuta: quæ cum non ita diu in matrimonio vixisset, admiratione dignum edidit fructum. Nam Joannes ille, qui longo tempore presbyter Antiochiæ fuit, et cum aliquoties legitimis suffragiis ad sedem apostolicam recipiendam lectus esset, semper dignitatem eam repudiavit, fundi istius germen exstitit. Hæc igitur virginum quæ caste vitam sibi degendam constituerant, cœtui præfuit, Deoque continue serviit, hymnis et laudibus continuis illum celebrans. Porro cum aliquando pestis ista harum ædem prætergrederetur, risu eum et convicio dignum existimantes, illa Davidicorum carminum verba voce altiore concinuerunt, quæ simulacrorum imbecillitatem traducunt: *Simulacra gentium argentum et aurum, opera manuum hominum. Similes illis fiant qui faciunt ea, et omnes qui confidunt in eis* [1]. Quod ubi prævaricator audivit, si-

ΚΕΦΑΛ. ΙΑ'.

Περὶ τοῦ ἁγίου Ἀρτεμίου· καὶ τῶν ἁγίων Μανουὴλ, Σαβὲλ, καὶ Ἰσμαὴλ, καὶ τῆς ὁσίας B *Πουπλίας τῆς παρθένου.*

Καὶ πολλοὺς μὲν ἄλλους ἀριθμοῦ κρείττους διά θ' Ἑλλήνων καὶ βαρβάρων ἐτιμωρεῖτο. Ἀνῆκε γὰρ κἀκείνους τῷ μίσει τοῦ δόγματος, πᾶν εἴ τι βούλοιντο καθ' ἡμῶν ἐνεργεῖν· καὶ ἔπραξαν πολλῷ χείρονα καὶ ἀπανθρωπότερα ἤπερ Ἕλληνες· Ἀρτέμιον δὲ τὸν γενναῖον τῆς εὐσεβείας ἀγωνιστὴν, δοῦκα ὄντα καὶ Αὐγουστάλιον Ἀντιοχείας, δι' ἑαυτοῦ ἐκολάσατο· ὃς καὶ στρατηγὸς τῶν κατ' Αἴγυπτον ἐπὶ Κωνσταντίου ἐγένετο· τὸ μὲν ἀληθὲς, ὅτι ζήλῳ θείῳ πυρούμενος, πολλὰ τεμένη τῶν εἰδώλων συνέτριψε καὶ κατέβαλε, Κωνσταντίῳ ὑπηρετούμενος· καὶ ὅτιπερ τὰ τῶν θείων ἀποστόλων ὀστᾶ ἐκ Πατρῶν καὶ Ἀχαΐας καὶ Ἐφέσου, Ἀνδρέου τε καὶ Λουκᾶ καὶ Τιμοθέου, C ἀνήγαγεν ἐν τῇ Κωνσταντίνου· τῇ δὲ προφάσει δῆθεν, ὅτι τἀδελφῷ Γάλλῳ αὐτὸς ἦν ὁ τὸν φόνον συγκερασάμενος. Τῶν ὄντων γὰρ ἁπάντων γυμνώσας τὸν μάρτυρα, καὶ τῆς ἀρχῆς παραλύσας, μετὰ πλείστας ἄλλας καὶ ἀνυποίστους βασάνους, τέλος καὶ τὴν κεφαλὴν ἀφαιρεῖται. Κολάζει πρὸς τούτῳ καὶ τοὺς ἐκ Περσίδος πρέσβεις ἐλθόντας περὶ Χαλκηδόνα, Μανουὴλ, Σαβέλ τε καὶ Ἰσμαὴλ, ὅτιπερ τὰ Χριστιανῶν πρεσβεύοντες ἦσαν, μηδὲ τὸ τῆς πρεσβείας ἀξίωμα αἰδεσθείς. Ἀλλὰ καὶ Πουπλία γυνή τις ἐξ ἀρετῆς θαυμαστὸν καὶ ἐξαίσιον ὄνομα κληρωσαμένη· ἡ δὴ πρὸς ὀλίγον τὸν ζυγὸν ὑπελθοῦσα τοῦ γάμου, καρπὸν ἀξιάγαστον ἤνεγκεν· Ἰωάννης γὰρ ὁ ἐν Ἀντιοχείᾳ πρεσβύτερος ἐπὶ μακρῷ χρόνῳ γενόμενος, τῆς ἀποστολικῆς καθέδρας τὰς ψήφους πολλάκις δεξάμενος, D ἀεὶ δὲ φεύγων τὴν προεδρίαν, τῆς τοιαύτης ἀρούρας βλάστημα ἦν. Αὕτη τοίνυν χορὸν παρθένων διὰ βίου σωφρονεῖν εἰθισμένον ἐπαγομένη, Θεῷ μὲν ἀεὶ λατρεύουσα ἦν, ἀσίγητον τὸν ὕμνον καὶ τὴν εὐφημίαν κομίζουσα· καί ποτε παριόντα τὸν ἀλάστορα, οἷα δὴ καταγέλαστον καὶ ἐπονείδιστον ἡγούμεναι, γεγωνότερον ἐκεῖνα τῶν Δαυϊδικῶν ᾀσμάτων ἐμμελῶς ᾖδον, ὅσα τὸ τῶν εἰδώλων ἀσθενὲς ἐξελέγχει, φάσκοντα· *Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων. Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς.* Ὡς οὖν τούτων ὁ παραβάτης ἠνώτιστο, σιγᾷν ἐπέταττεν. Αἱ δὲ μᾶλλον ἐπ-

[1] Psal. cxiii, 4, 5.

(1) Augustales nuncupabantur, qui primos ordines in bello ducebant, quod ab Augusto ad id muneris delecti essent. *Vegetius.* Augustalem autem præfectum in Ægypto Augustus constituit, cujus in ff. mentio fit. Et Augustonica, pars provinciæ Ægypti est. *Ammianus Marcellinus.*

ἔκειντο τοῖς ψαλμοῖς, καὶ ταῦτα δὴ προσεπᾴδουσαι· *Ἀναστήτω ὁ Θεὸς*[1], *καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ*. Ἐφ' οἷς χαλεπήνας ὁ τύραννος, τοῦ χοροῦ τὴν ἐξάρχουσαν ἀχθῆναι κελεύει. Ὁ δὲ μήτε τὸ σεμνὸν ἐκεῖνο γῆρας, μήτε μὴν τὴν ἐκ τῆς ἀρετῆς ἐπανθοῦσαν αἰδῶ λογισάμενος, πικρῶς κατὰ κόῤῥης παίειν ἐκέλευεν, ὡς καὶ ἄμφω αἵμασι φοινίξαι τὰς παρειάς. Ἡ δὲ τιμὴν μᾶλλον ἢ ἀτιμίαν τὸ ὑπὲρ Χριστοῦ πάσχειν ἡγουμένη, ἐπὶ τὸ δωμάτιον ἀνιοῦσα, αὖθις ταῖς πνευματικαῖς μελῳδίαις αὐτὸν κατεκρότει. Καὶ τοὺς ἐν αὐτῷ κορυβαντιῶντας τρόπον ἕτερον κατέστελλε δαίμονας· οὓς ἑκὼν ἑαυτῷ εἰσῳκίσατο· καθάπερ ἐκεῖνος ὁ τῆς μελῳδίας διδάσκαλος τῇ σφετέρᾳ κινύρᾳ τὸ τοῦ Σαοὺλ ἔνοχλον πνεῦμα κατέπαυε.

ΚΕΦΑΛ. ΙΒ'.

Ὅπως ὁ ἀποστάτης τὰ ἐπ' ἀγορᾶς ὤνια μιαίνειν προσέταττε· καὶ περὶ τοῦ ἁγίου Θεοδώρου τοῦ Τήρωνος· καὶ περὶ τῶν ἁγίων μαρτύρων Ἰουβεντίνου καὶ Μαξιμίνου.

Μικρὸν δὲ προϊὼν παῤῥησιαίτερον ὁ ἀποστάτης, μᾶλλον δὲ ἀναιδέστερον τῇ ἀσεβείᾳ χρώμενος, κατὰ τῆς εὐσεβείας ὡπλίζετο. Μὴ ἔχων δ' ὅ τι καὶ δρᾷν, τὰ ἐπ' ἀγορᾶς ὤνια τοῦ μιάσματος ἐπίμπλα· περιεῤῥαίνοντο γὰρ τοῖς ἐκ τῶν θυσιῶν αἵμασί τε καὶ ἀλιγήσμασιν, ὅσα ἐδώδιμα· ἄρτοι καὶ κρέα καὶ ὀπῶραι καὶ πόπανα· ἃ δὴ τὰ πρῶτα μὴ ὑφορώμενοι οἱ τῆς τοῦ σεσωκότος προσηγορίας μετεσχηκότες, θείας ἄνωθεν προμηθείας κατηξιοῦντο. Τὸν μάρτυρα γὰρ Θεόδωρον πέμψας ἀοράτως Θεὸς τῷ τῆς πόλεως ἀρχιερεῖ (Εὐδόξιος οὗτος ἦν), ἐνεκελεύετο ἀπέχεσθαι μὲν τοὺς εὐσεβεῖν ᾑρημένους τῶν ἐπ' ἀγορᾶς τεθειμένων, σῖτον δὲ λέβησιν ἕψοντας, ἃ ἐν Εὐχαΐτοις κόλλυβα εἰώθασι λέγειν, παραμυθεῖσθαι τὴν ἔνδειαν. Τοῦτο δ' ἐκέλευε κατὰ τὴν μεγάλην τῆς νηστείας ἡμέραν· ὃ δὴ καὶ ἐξ ἐκείνου ἡ Ἐκκλησία τὴν μνήμην ἀνανεουμένη τοῦ πεπραγμένου, ἐς δεῦρο πράττει πανηγυρίζουσα. Θεόδωρος δ' οὗτος ἦν, ὃς ἐκ τοῦ Τηρωνικοῦ τάγματος Τήρων ὠνόμαστο· καὶ ἐπὶ Μαξιμίνου τὸ τοῦ μαρτυρίου διήνυσε στάδιον, λάβρῳ παραδοθεὶς τῷ πυρί. Πολλοὶ δ' ὀλοφυρόμενοι, τὰ γινόμενα ἐβδελύττοντο· ὅμως τοῖς ἀποστολικοῖς θεσμοῖς ἕπεσθαι ᾑρημένοι, μετελάμβανον τῶν προκειμένων· *Πᾶν γὰρ τὸ ἐν μακέλλῳ πωλούμενον*, φησὶν, *ἐσθίετε, μηδὲν ἀνακρίνοντες διὰ τὴν συνείδησιν*[2]. Τὸ δὲ μύσος τοῦτο τοῦ ἀποστάτου ἔν τινι συμποσίῳ δύο τινὲς τούτου ἀσπιδηφόροι καλῶς ἐθριάμβευσαν, ἐπὶ στρατείᾳ λαμπρῶς διαπρέψαντες. Ἐπῇδον γὰρ ἐκεῖνα τὰ τοῦ ψαλμοῦ· *Παρέδωκας ἡμᾶς*, λέγοντες, *βασιλεῖ ἀδίκῳ καὶ παρανόμῳ, ἀποστάτῃ καὶ πονηροτάτῳ παρὰ πάντα τὰ ἔθνη τὰ ἐπὶ τῆς γῆς*. Τῶν τις δ' ὁμοτραπέζων τὸ ῥῆμα τῷ βασιλεῖ διερμήνευσεν. Ὁ δὲ τοὺς ἀρίστους ἐκείνους ἄνδρας μεταστειλάμενος, τίνα ἂν εἴη τὰ ἐπὶ τῇ διαίτῃ εἰρημένα ἀνεπυνθάνετο. Οἱ δὲ παῤῥησίᾳ χρη-

[1] Psal. LXVII, 2. [2] I Cor. X, 25.

A lentium eis imperavit. At illæ magis etiam psalmis incumbentes, illud quoque accinuere: *Exsurgat Deus, et dissipentur inimici ejus*[1]. Eam ob rem indignatus tyrannus, e psallentium choro principem adduci jussit: et neque venerandam illius senectutem, neque e virtute efflorescentem in ea observantiam veritus, tam acerbe maxillam ejus utramque diverberari præcipit, ut admodum sanguine suffunderentur. Atque illa, honorem potius quam ignominiam esse rata, quam pro Christo pertulerat injuriam, in domunculam suam est reversa, atque ibi rursum spiritualibus eum cantilenis est persecuta. Et alio quodam modo debacchantes in eo dæmones, quos ad se ille sponte sua introduxerat, compescuit: quemadmodum Psalmorum ille magister lyra
B sua sævientem in Saulo spiritum demulsit,

31 CAPUT XII.

Ut apostata res venales in foro polluendas contaminandasque mandarit. De sancto Theodoro Tirone: et de sanctis martyribus, Juventino et Maximino.

Paulum vero progressus desertor, liberius ac potius impudentius impietate usus, arma sua contra pietatem expedivit. Et cum quod faceret non haberet, res in foro venales inquinatione imbuit. Infecta namque sunt sacrificiorum sanguine et contaminatione esculenta: panes videlicet, caro, poma et placentæ. Quæ cum primum non animadverterent, qui Servatoris nomine censentur,
C cœlitus ejus rei providentia divina sunt admoniti. Nam Deus Theodoro martyre arcano modo misso, urbis ejus episcopo (Euzoius is fuit) mandavit, ut qui pie vivere statuissent, eos abstinere a rebus juberet, quæ in foro venum propositæ essent: triticum autem in ollis coquerent (κόλλυβα, hoc est, frumentum coctum apud Euchaitas (1) nominare solent), eoque inopiam solarentur. Id vero magno jejunii die præceptum: ex eo tempore facti memoriam renovans Ecclesia, et celebrem agens conventum, ad hunc usque diem observat. Theodorus autem iste est, qui ex Tironum ordine, Tironis nomen accepit, et sub Maximino ad ignem voracem damnatus, cursum suum in martyrii stadio pulchre peregit. Cæterum permulti gemitu et
D lamentis factum hoc imperatoris sunt exsecrati: nihilominus tamen apostolicis sanctionibus innixi, quæ proponebantur, sumpsere. *Omne enim*, inquit, *quod in macello venditur, edite, nihil interrogantes, propter conscientiam*[2]. Abominationem hanc desertoris duo quidam scutigeruli, qui ampla stipendia in militia faciebant, in quodam convivio perquam scite traduxerunt. Verba enim illa præstantium in Babylone puerorum concinuerunt: *Tradidisti nos regi iniquo et transgressori, desertori et pessimo supra omnes gentes terræ*. Porro ex convivis quidam rem eam ad imperatorem detulit. Et ille opti-

(1) Euchaitæ, populi Scythici sunt. (Plin. lib. VI, cap. 17.)

mos eos viros ad se accitos, quidnam id esset quod in cœna de se dixissent, interrogavit. Ibi illi qui in vera pietate educati essent, magna usi libertate, dixere : « Optimis, o imperator, legibus respublica est administrata, quas laudatissimus princeps Constantinus et filii ejus tulerunt : **32** nunc autem piaculum tantum in cibis atque poculis cernentes, merito factum id deploramus. Et cum domi vicem nostram lugemus, tum in tua præsentia, ut vides, mœrentes tristamur. » His auditis, tyrannus diverberari eos acriter jussit (1), et post cruciatus multos capite etiam plecti præcepit. Atque illi ita abducti sunt : Deus autem victoribus eis martyrii coronas donavit. Alter horum Juventinus, alter Maximinus vocatus est. Hos Antiochena civitas, ut egregios pietatis propugnatores, merito non solum sacro loculo honoravit, verum etiam magnifice anniversariæ memoriæ consecravit.

A σάμενοι, οἱ εὐσεβείᾳ τραφέντες, εἶπον, « Ὦ βασιλεῦ, καὶ νόμοις ἀρίστοις ὑπηρετούμενοι, ὡς Κωνσταντῖνος ὁ πανεύφημος βασιλεὺς, καὶ οἱ ἐκείνου παῖδες παρέδοσαν, νῦν μύσος τοσοῦτον ὁρῶντες ἔν τε βρώμασί τε καὶ πόμασιν, ὀλοφυρόμεθα τὴν ἐνέργειαν· καὶ οἴκοι μὲν θρηνοῦντες διατελοῦμεν· καὶ σοῦ δὲ παρόντος, ὡς ὁρᾷς, ἀσχάλλομεν ὀδυρόμενοι. » Ταῦτ' ἀκούσας ὁ τύραννος, πικρὰς ἐκέλευεν ἐπιθεῖναι τούτοις πληγάς. Καὶ μετὰ πολλὰς βασάνους, καὶ τὰς κεφαλὰς ἀποτμηθῆναι προσέταττεν. Καὶ οἱ μὲν ἤγοντο· Θεὸς δὲ ὡς νικηφόροις τὰ στέφη τοῦ μαρτυρίου ἐβράβευε. Τούτων ὁ μὲν Ἰουβεντῖνος, Μαξιμῖνος δὲ ὁ ἕτερος προσηγόρευτο· οὓς δὴ καὶ ἡ Ἀντιόχου πόλις, ὡς τῆς εὐσεβείας ἀγωνιστὰς προσηκόντως τιμήσασα, οὐ μόνον θήκῃ, ἀλλὰ καὶ τῇ δι' B ἔτους πολυτελεῖ παραδέδωκε μνήμῃ.

CAPUT XIII.

De reliquiis sanctorum prophetarum, Elisæi, et Joannis Præcursoris et Baptistæ.

Cum a Græcæ superstitionis professoribus ubique talia adversus Christianos patrarentur, tum illud quoque omnium maxime indignum atque horrendum Sebastiæ in Palæstina est admissum. Ossa namque Elisæi prophetæ, et Joannis Baptistæ (uterque enim sepulcrum ibi suum habuit), loculis suis extracta, et irrationalium animantium ossibus (o immanem audaciam) mista, atque igni tradita, in cineres redacta, atque in aerem disjecta sunt. Adhæc, Christiani comprehensi alicubi tanquam victimæ super aras accensas præcipitati : et homines ad alia nefanda flagitia contra nos furiis sunt concitati. Nam Patrophili apud Scythopolim reliquias effoderunt, et earum partem reliquam dissiparunt. Calvariam autem ejus altius sublatam contumelia, nihil ad exsecrandam injuriam reliqui facientes, sunt prosecuti. Plurima vero et alia, et ipse et Judæi et Græci contra nos indigna egere. Quæ cum ille audiret, certoque sciret, non modo eis non offensus, sed etiam maximopere gavisus est : cum quidem talium facinorum infamia in alios redundaret, animi autem ejus sententia illorum factis perficeretur. Verumenimvero ubi per furorem talem consilium suum minus succedere, et Christianorum animos inde augeri magis atque confirmari vidit, fraude alia episcopos eos qui propter causam aliquam sedibus suis ejecti fuerant, cum successoribus eorum, ad certamen, **33** sicuti antea diximus, impulsos commisit : et parti utrique facultatem omnem dedit, ut quæcunque possent ad res suas defendendas atque stabiliendas libere facerent. Ita illi inter se congressi, multum ignominiæ et reprehensionis quod desertori studio fuerat, veræ pietati attulere. Alia insuper dolo

ΚΕΦΑΛ. ΙΓ'.

Περὶ τῶν λειψάνων τῶν ἁγίων προφητῶν Ἐλισσαίου καὶ Ἰωάννου τοῦ Προδρόμου καὶ Βαπτιστοῦ.

Τῶν δ' Ἑλληνιστῶν τοιαῦτα κατὰ Χριστιανῶν παλαμωμένων ἁπανταχοῦ, καὶ τόδε τὸ πάντων ἀτοπώτατόν τε καὶ φρικωδέστατον λόγος ἐν Παλαιστίνῃ δραματουργηθῆναι κατὰ Σεβάστειαν· τὰ τοῦ προφήτου Ἐλισσαίου ὀστᾶ καὶ τὰ τοῦ Βαπτιστοῦ Ἰωάννου (ἐκεῖ γὰρ καὶ ἄμφω τάφου μετέσχον) τῶν θηκῶν ἐξαγαγόντες, ἀλόγων τε ζώων ὀστέοις (φεῦ τῆς C τόλμης!) ἐγκαταμίξαντες, καὶ πυρὶ παραδόντες, κατέκαυσαν· καὶ εἰς ἀέρα, κόνιν γεγενημένα, διέσπειραν. Τοὺς δὲ Χριστιανοὺς συλλαμβάνοντες, ἔστιν ὅτε βωμοῖς ἀναπτομένοις ὡς ἱερεῖα ἐπέρριπτον· καὶ εἰς πολλὴν ἄλλην ἀῤῥητουργίαν ἐξεβακχεύθησαν. Καὶ Πατροφίλου δὲ τοῦ ἐν Σκυθοπόλει τὰ λείψανα ἀνορύξαντες, τὰ μὲν ἄλλα τοῦ σώματος διεσκόρπισαν, τὸ δέ γε κρανίον ἐκείνου ἀπαιωρήσαντες, ἐνέπαιζον, οὐδέν τι μυσαρᾶς ὕβρεως ἀπολείποντες. Πολλὰ δὲ καὶ ἕτερα πλεῖστα αὐτός τε καὶ Ἰουδαῖοι καὶ Ἕλληνες καθ' ἡμῶν ἔδρασαν· ἅπερ αὐτὸς ἀκούων καὶ ἀκριβῶς ἐπιστάμενος, οὐχ ὅπως ἤχθετο, ἀλλὰ καὶ διαφερόντως ἔχαιρε, τῆς μὲν ἐν τοῖς δρωμένοις δυσκλείας εἰς ἑτέρους ἀνιούσης, τῆς D δ' αὐτοῦ γνώμης τοῖς ἐκείνων ἔργοις περαιουμένης. Καὶ δὴ συνιδὼν μηδὲν ἐκ τῆς τοσαύτης μανίας τῷ σκοπῷ περαινόμενον, μᾶλλον μὲν οὖν ἐντεῦθεν τὸ Χριστιανικὸν ἐπιῤῥωννύμενον φρόνημα, μηχανᾶται, τοὺς ἐν αἰτίαις ἐκβεβλημένους τῶν ἐπισκόπων, καὶ τοὺς ἀντ' ἐκείνων τὸν θρόνον κατέχοντας, συῤῥάξαι πρὸς πόλεμον, ὥσπερ ἄνωθεν διελάβομεν. Καὶ δὴ πᾶσαν ἐξουσίαν ἑκατέρᾳ παρεδίδου μοίρᾳ, πράττειν ὅσα καὶ δυνατὰ εἴη αὐτοῖς, πρὸς τὴν οἰκείαν σύστασιν καὶ ἀσφάλειαν. Ἐξ ὧν ἐκεῖνοι πρὸς ἀλλήλους συῤῥηγνύμενοι, πολλὴν ἀσχημοσύνην καὶ μέμψιν, ὅπερ ἦν τῷ ἀποστάτῃ σπούδασμα, προσετρίβοντο τῇ εὐσεβείᾳ. Καὶ ἄλλα δ' ἕτερα τῆς αὐτοῦ κακοτεχνίας

(1) Julianus in eis se majestatem læsam vindicare dixit, atque id ita de eis vulgatum voluit, martyrum nomen et honorem eis invidens. *Theod.*

συνεπῆγε· τούς τε γὰρ ἐν κλήρῳ κατειλεγμένους εις τὴν τῶν βουλευτῶν ἀνέστρεφε λειτουργίαν· καὶ τῶν ἐκκλησιῶν τὰ σιτηρέσια τοῖς τῶν δαιμόνων θεραπευταῖς μετεδίδου· καὶ πράττειν ἐνεδίδου, ἐξ ὧν ἀκμάσαι μὲν τὰ τῶν δαιμόνων, τὰ δὲ τῆς εὐσεβείας ὡς ἐνόμιζεν, εἰς ἀφανισμὸν συνελαθείη. Καὶ τὰ μὲν ὧδε ἐγένετο.

ΚΕΦΑΛ. ΙΔ'.

Περὶ Λουκίφερος καὶ Εὐσεβίου· καὶ περὶ τῶν ἐν Ἀντιοχείᾳ γενομένων διὰ Μελέτιον καὶ Παυλῖνον. Καὶ περὶ τῆς ἐν Ἀλεξανδρείᾳ συνόδου, ἥτις δὴ ὁμοούσιον τῷ Πατρὶ καὶ τῷ Υἱῷ τὸ ἅγιον Πνεῦμα ἐθεολόγησεν, ἡγουμένου Ἀθανασίου.

Μετά γε μὴν τὴν Ἀθανασίου κάθοδον Λουκίφερ ὁ Καρακάλων τῆς Σαρδονίας ἐπίσκοπος, καὶ Εὐσέβιος ὁ Βρεκέλλων τῶν ἐν Ἰταλίᾳ Λιγύων, ἐκ τῶν ἄνω Θηβῶν, καὶ οὗτοι γράμμασι τοῦ κρατοῦντος λυθέντες, εἰς τὴν ἕω ἐγένοντο. Ὑπερόριοι γὰρ πρὸς Κωνσταντίου ἀϊδίῳ φυγῇ ἐζημίωνται. Καὶ δὴ κοινῇ συνελθόντες, διορθοῦν τὰ κατὰ τὴν Ἐκκλησίαν σπουδὴν ἐποιοῦντο· ὁ μὲν οὖν Εὐσέβιος ἧκεν εἰς Ἀλεξάνδρειαν, ὡς ἄν γε σύναμ' Ἀθανασίῳ σύνοδον ἀθροίσῃ, καὶ τὰ ἐν Νικαίᾳ δόξαντα βεβαιώσῃ· Λουκίφερ δὲ συνθέμενος Εὐσεβίῳ, διάκονον ἀντ' αὐτοῦ τῷ Εὐσεβίῳ τῇ συνόδῳ παρίστασθαι ἔδωκε· δι' οὗ στέρξειν ὡμολόγει τὰ τῇ συνόδῳ τυπούμενα. Αὐτὸς δὲ εἰς Ἀντιόχειαν παρεγένετο, καὶ τὴν ἐκεῖσε Ἐκκλησίαν οὐ μέτρια ταραττομένην κατέλαβεν. Ἐσχίζοντο γὰρ τὰ πλήθη καθ' ἑαυτά· οὐ γὰρ μόνον τοῖς ἀπὸ τοῦ Ἀρείου αἱρέσεως διεφέροντο, ὧν τηνικαῦτα ἡγεῖτο Εὐζώϊος· ἀλλὰ καὶ οἱ Μελετίῳ ἀκολουθήσαντες, ὥσπερ δὴ καὶ διείληπται, σπουδῇ τῇ περὶ αὐτὸν, καὶ πρὸς τοὺς σφίσιν ὁμόφρονας διεκρίνοντο. Μήπω δ' ἐκείνου τῆς ἐξορίας ἐπανελθόντος, εἰς τὸν ἐκείνου τόπον Λουκίφερ Παυλῖνον χειροτονήσας ἐπίσκοπον, ἀπεχώρει αὖθις. Ὁ δ' Εὐσέβιος εἰς Ἀλεξάνδρειαν γεγονὼς, γενναίως σὺν Ἀθανασίῳ σύνοδον συνεκρότει. Καὶ δὴ πολλῶν ἐπισκόπων εἰς Ἀλεξάνδρειαν συνελθόντων, ὧν ἡγεῖτο ὁ πολὺς Ἀθανάσιος, οὐ μόνον τὴν ἐν Νικαίᾳ πίστιν κρατύνουσιν, ἀλλὰ καὶ λόγους περὶ πλείστων καὶ ἀναγκαίων ζητημάτων γυμνάσαντες, ἐβεβαίωσαν· ὅτε καὶ τὸ ἅγιον Πνεῦμα θεολογήσαντες, ὁμοούσιον καὶ ὁμότιμον τῷ Πατρὶ καὶ τῷ Υἱῷ ὡμολόγησαν· καὶ Τριάδα ὠνόμασαν· καὶ τέλειον ἄνθρωπον ὃν ὁ Θεὸς ἀνελάβετο Λόγος, καὶ ψυχῇ καὶ στόματι ὡμολόγησαν, καὶ οὐ μόνον ἔνσαρκον, ἀλλὰ καὶ ἐψυχωμένον νοερᾷ ψυχῇ ἐδογμάτισαν· καθὰ καὶ τοῖς πάλαι τὰ θεῖα φιλοσοφήσασιν ἀνδράσιν ἐδόκει. Οὐ γὰρ πρόσφατόν τινα πίστιν ἐπινοήσαντες τῇ Ἐκκλησίᾳ παρέδοσαν· ἀλλ' ἅπερ ἄνωθεν ἡ Ἐκκλησία παρέλαβεν, ἄνδρες τε θεῖοι φιλοσόφως ἀπέδειξαν τὰ Χριστιανῶν φιλοσοφοῦντες, ταῦτ' ἐκεῖνοι γυμνάσαντες ἐπεκύρωσαν. Εἰρηναῖος γὰρ ὁ Λουγδούνων ἐπίσκοπος, ὅ τε στρωματεὺς Κλήμης, Ἀπολλινάριός τε ὁ Ἱεραπολίτης,

malo induxit. Nam et in cleri ordinem cooptatos senatorum munere et ministerio perverse fungi jussit, et ecclesiarum annonam dæmonum ministris ascripsit, eamque illos exigere permisit. Quibus rebus fore credidit, ut dæmonum cultus augeretur, religio autem veræ pietatis aboleretur. Atque hæc quidem sic acta.

CAPUT XIV.

De Lucifero et Eusebio : ut Antiochiæ in locum Meletii Paulinus sit subrogatus. Item de Alexandrina synodo, quæ consubstantialem Patri et Filio sanctum Spiritum divinitus asseruit, Athanasio præsidente.

Post Athanasii autem reditum, etiam Lucifer Calaritanus (1) in Sardinia, et Eusebius Vercellensis, Ligurum (2) qui in Italia sunt, episcopi, imperatoris litteris reditu eorum probato, Thebis superioribus in Orientem pervenere. Nam a Constantio perpetuo multati fuerant exsilio. Ils porro cum inter se convenisset, res Ecclesiæ constituere, Eusebius Alexandriam concessit, ut cum Athanasio concilium cogeret, et synodi Nicænæ decreta stabiliret : Lucifer autem Eusebio (ita enim utrique placuit) diaconum, qui vicem suam synodo adesset, attribuit : per quem recipiebat, se rata habiturum quæ ibi constituerentur. Ipse vero Antiochiam profectus est, ubi Ecclesiam non parum perturbatam invenit. Erant enim in populo dissidia : quod non solum ab Arianis, quibus Euzoius præfuit, dissentirent, verum etiam eos qui Meletii partes sequebantur, eamdemque quam ipsi obtinerent sententiam, non reciperent. Cum is autem nondum ab exsilio reversus esset, Lucifer, Paulino in locum ejus substituto, inde decessit. Eusebius Alexandriæ, una cum Athanasio, animo magno concilium coegit. Et convenere eo episcopi multi, quibus cum magnus Athanasius præiret, non solum Nicænam fidei professionem roborarunt, sed etiam sermonibus quæstionibusque de rebus necessariis plurimis **34** habitis, eas deciderunt. Quo tempore divinitate etiam Spiritus sancti perpensa ὁμοούσιον, consubstantialem, eum, et ὁμότιμον, hoc est, ejusdem honoris cum Patre et Filio, sunt professi : et trinam unius Deitatem essentiæ Τριάδα, hoc est, Trinitatem, nominarunt. Perfectum quoque hominem, quem Deus suscepit Verbum, et animo et ore uno deprædicarunt : et quidem non incarnatum solum, verum etiam anima intellectuali animatum : quemadmodum et veteribus qui de divino Numine philosophati sunt, viris placitum est. Non enim illi fidem aliquam recens excogitatam Ecclesiæ tradiderunt, sed quam Ecclesia antiquitus a majoribus accepit : et quæ olim sancti viri qui prudenter et pie res Christianorum sacras tractantes prodidere, Irenæus videlicet Lugdunensis episcopus,

(1) Alii leg. *Caralitanus*.
Urbs Libyam contra, Tyrio fundata potenti,
Tenditur in longum Caralis. Claudian.

(2) Editum erat Λιβύων, *Libyum*, quod correximus. Edit.

Clemens contextor, Apollinaris Hierapolitanus, et qui antiquitus Ecclesiæ Antiochenæ præfuit Serapion, ea illi explicata confirmarunt. Isti siquidem omnes quos modo recensuimus. atque itidem alii, in lucubrationibus suis Verbum quod hominem assumpsit animatum, quippe ipsis ὁμοούσιον, consubstantialem, tradiderunt. Synodus præterea propter Cyrillum Philadelphiæ (1), quæ Arabiæ urbs est, episcopum congregata, idem in litteris ad ipsum Cyrillum suis promulgavit. Ipse quoque sapientia clarus Origenes, in omnibus suis scriptis, animatum quod humanitatem assumpsit Verbum prædicat : et potissimum id aperte astruit nono in Genesim tomo, ubi quidem Christum Adam, Ecclesiam vero Evam facit. Locupletes et idonei rei istius testes sunt, Pamphilus scriptor ecclesiasticus, et qui ex eo cognominatus est Eusebius, qui vitam ejus viri conscripsere, adversariisque ejus defensionibus pro eo compositis respondere. Hi non primum Origenem sententiæ ejus auctorem esse, sed illum arcana Ecclesiæ dogmata a majoribus per traditionem accepta explicantem, eam exposuisse dicunt.

A καὶ ὁ τῆς Ἀντιοχείας ἄνωθεν ἡγησάμενος Σαραπίων· ουτοι δὴ πάντες καὶ ἕτεροι τοῖς πεπονημένοις τούτων συγγράμμασιν ἔμψυχον τὸν ἐνανθρωπήσαντα Λόγον, ἅτε δὴ αὐτοῖς ὁμοούσιον, ἐκδεδώκασι. Καὶ μὴν καὶ ἡ διὰ Κύριλλον τὸν Φιλαδελφέα, πόλις δὲ Ἀραβίας αὕτη, συστᾶσα σύνοδος τὰ ἴσα διδάσκει πρὸς Κύριλλον γράφουσα. Ὁ δέ γε τὴν σοφίαν πολὺς Ὠριγένης πανταχοῦ τοῖς αὐτοῦ γράμμασιν ἔμψυχον τὸν ἀνθρωπήσαντα Λόγον κηρύττει· μάλιστα δὲ τοῦτο σαφῶς παρίστησιν ἐν τῷ εἰς τὴν Γένεσιν ἐνάτῳ τόμῳ· ὅπου δὴ Ἀδὰμ μὲν τὸν Χριστὸν, Εὔαν δὲ τὴν Ἐκκλησίαν κατασκευάζει. Μάρτυρες τῶν εἰρημένων ἀξιόπιστοι Πάμφιλος ὁ ἱερὸς συγγραφεὺς, καὶ ὁ τὴν ἐκείνου προσωνυμίαν εἰληφὼς, καὶ ἐξ ἐκείνου χρηματίζων Εὐσέβιος· οἳ τὸν βίον B παρατιθέμενοι τοῦ ἀνδρὸς, καὶ πρὸς τοὺς ἀπεχθῶς ἐκείνῳ διακειμένους ἀντιφερόμενοι, τὸν ὑπὲρ ἐκείνου ἀπόλογον καὶ ἄμφω ποιούμενοι, οὐ πρῶτον Ὠριγένην εἶπον ἐπὶ τὴν τοιαύτην δόξαν ἐλθεῖν, ἀλλὰ τὰ μυστικὰ τῆς Ἐκκλησίας ἑρμηνεύοντα δόγματα παραδοῦναι.

35 CAPUT XV.

Quæ eadem synodus Alexandriæ de istis verbis, substantia et subsistentia, evidenter et clare decreverit.

Quandoquidem vero quæstio de substantia et subsistentia non mediocriter ecclesias turbavit, et crebræ contentiones atque disputationes superioribus temporibus de verbis eis habitæ sunt, significatione et proprietate eorum Alexandrina quoque synodus excussa, constituit : non opus esse in Deo talibus dictionibus. In sacris enim Litteris nullibi substantiæ verbum exstare : dogmatis vero exponendi necessitate, divum apostolum Paulum subsistentiæ nomine abusum esse. Alio autem modo verba hæc usurpanda esse sanxerunt, cum quis Sabellii scilicet opinionem refellere contendat : ne nominum inopia veluti unam rem trinominem in Divinitatis contemplatione esse putemus : sed tribus usurpatis nominibus, res quæque in Trinitate tripliciter distincta, peculiari subsistentia sua intelligatur. Primus quidem videtur de substantia et subsistentia mentionem intulisse Hosius ille Cordubensis episcopus, cujus supra aliquoties meminimus. Ab imperatore enim Constantino Alexandriam missus, ut excitatam ab Ario turbam sedaret, quod etiam Sabellii Libyci dogma radicitus evellere conaretur, quæstionem de substantia et subsistentia movit : unde nugamenta multa exorta. Et quæstionem eam Nicæna, quæ postea celebrata est, synodus indignam esse ut ibi tractaretur, indicavit. Postea autem cum quidam nugari rursum de ea cœpere, concilium Alexandrinum ea quæ diximus sapienter mihi de ea constituisse videtur.

ΚΕΦΑΛ. ΙΕ'.

Ὅσα καὶ οὐσίας καὶ ὑποστάσεως ἡ τοιαύτη ἐν Ἀλεξανδρείᾳ ἀποφαντικῶς ἐδογμάτισε σύνοδος.

Ἐπεὶ δὲ καὶ ἡ περὶ οὐσίας καὶ ὑποστάσεως ζήτησις οὐ μέτρια τὰς ἐκκλησίας ἐτάραττεν, ἐριδές τε C συχναὶ καὶ διαλέξεις ἄνωθεν περὶ τούτων ἦσαν· καὶ τὴν περὶ τούτων εἴδησιν ἡ ἐν Ἀλεξανδρείᾳ σύνοδος διεξιοῦσα, τάδε ἀπέφηνε· μὴ ἐπὶ Θεοῦ δεῖν ταύταις λέξεσιν· ἐν γὰρ τοῖς ἱεροῖς Γράμμασι μηδαμῶς τὸν τῆς οὐσίας λόγον ἐμφέρεσθαι· δογμάτων δ' ἀνάγκῃ Παῦλον τὸν θεῖον ἀπόστολον τῷ τῆς ὑποστάσεως ὀνόματι καταχρήσασθαι. Καθ' ἕτερον δὲ τρόπον τὰς λέξεις ἐκλαμβάνειν ἐδοκίμασαν, ὁπηνίκα δή τις τὴν Σαβελλίου δόξαν ἀπελαύνειν πειρῷτο· ἵνα μὴ τῇ τῶν ὀνομάτων ἀπορίᾳ ὡς ἓν πρᾶγμα τριώνυμον νομίζωμεν τὴν θεολογίαν, ἀλλ' ἕκαστον τῶν ἐν τῇ Τριάδι παραλαμβανομένων ὀνομάτων ἐν ἰδίᾳ ὑποστάσει θεολογοῖτο τριχῇ διαιρούμενον. Πρῶτος δ' οὖν φαίνεται τὸν περὶ οὐσίας καὶ ὑποστάσεως ἐπινοῆσαι λόγον Ὅσιος ἐκεῖνος ὁ Κουδρούβης ἐπίσκοπος, οὗ D καὶ πρόσθεν μνείαν ἐποιησάμην. Πρὸς γὰρ τοῦ βασιλέως Κωνσταντίνου πεμφθεὶς εἰς τὴν Ἀλεξάνδρειαν, ὥστε τὴν ὑπὸ Ἀρείου γενομένην ταραχὴν κατευνάσαι, σπουδὴν θέμενος καὶ τὸ τοῦ Λίβυος Σαβελλίου δόγμα πρόῤῥιζον ἀνασπάσαι, τὸ περὶ οὐσίας καὶ ὑποστάσεως ἐκίνησε ζήτημα. Καὶ πολλή τις ἐρεσχελία διὰ τοῦτο ἀνήφθη. Ἡ μὲν οὖν ἐν Νικαίᾳ σύνοδος ἐς ὕστερον γενομένη, τὴν περὶ τούτου ζήτησιν οὐδὲ λόγου ἠξίωσεν· ὡς δὲ μετ' ἐκείνην αὖθις περὶ τούτων ἐρεσχελεῖν ἤθελον, ἡ ἐν Ἀλεξανδρείᾳ σύνοδος τὰ εἰρημένα σοφῶς μοι ὁρίσαι δοκεῖ. Ταῦτα μὲν ἡ ἐν Ἀλεξανδρείᾳ ἐδογμάτισε σύνοδος· ὅσα δ'

(1) Philadelphia urbs in Asia Mysiæ. Stephano, Lydiæ. Alia, Ægypti, alia, Syriæ est.

ἡμεῖς περὶ οὐσίας καὶ ὑποστάσεως ἴσμεν, οὐδεὶς ἂν γένοιτο φθόνος διὰ βραχέων εἰπεῖν. Οἱ παρ' Ἕλλησι τὴν φιλοσοφίαν στοιχειώσαντες ὑποστάσεως μὲν οὐδὲ μνείας τὸ παράπαν ἠξίωσαν ὄνομα· πολλοῖς δὲ ὁρισμοῖς τὴν οὐσίαν παρέδοσαν. Εἰρηναῖος δὲ ὁ παρ' κείνοις γραμματικὸς ἐν τῷ ἐπιγεγραμμένῳ κατὰ στοιχεῖον Ἀττικιστῇ καὶ βάρβαρον τὴν λέξιν καλεῖ· μηδὲ γὰρ τοῖς παλαιοῖς ἐν μνείᾳ εἶναί φησιν· εἰ δέ πού τις ἴσως καὶ μέμνηται, μὴ ἐφ' οἷς νῦν παραλαμβάνεται, εἴρηται. Σοφοκλῆς μὲν γὰρ ἐνέδραν σημαίνειν τὴν *ὑπόστασιν* ἐν Φοινίκῃ τίθεται· Μένανδρος δὲ ὑπόστασιν λέγει τὰ καρυκεύματα· καὶ ἄλλος τὴν ἐν πίθῳ τρύγα φησίν. Εἰδέναι μέντοι χρεὼν, ὡς εἰ καὶ παλαιότεροι τῶν φιλοσόφων τὴν λέξιν ἐν οὐδενὶ εἶχον, οἵ γε μὴν νεώτεροι συχνῶς τῇ τῆς ὑποστάσεως λέξει ἀντὶ τῆς οὐσίας ἐχρήσαντο. Διάφορον δὲ τὸν ὅρον τῆς οὐσίας ἀποδεδώκασιν. Εἰ δὲ ἡ οὐσία ὅρῳ διείληπται, πῶς ἐπὶ Θεοῦ ἡ φωνὴ ἀξιόχρεως κυρίως λεχθείη, μὴ δυναμένου ὅρῳ περιλαμβάνεσθαι; Ὁ δ' ἀσκητὴς Εὐάγριος ἐν τῷ μοναχικῷ αὐτοῦ συντάγματι θεολογεῖν μὲν ὡς ἔτυχε θρασέως καὶ ἀναιδῶς ἀποσυμβουλεύει· ὡς δ' ἁπλοῦν τὸ Θεῖον ὁρίζεσθαι παντάπασιν ἀποτρέπεται. Τῶν συνθέτων γὰρ τοὺς ὅρους εἶναί φησιν. Ὁ δ' αὐτὸς καὶ ταῦτα προστίθησι· « Πᾶσα πρότασις ἢ γένος ἔχει κατηγορούμενον, ἢ εἶδος, ἢ διαφορὰν, ἢ ἴδιον, ἢ συμβεβηκός· ἢ τὸ ἐκ τούτων συγκείμενον. Εἰ οὐδὲν δὲ ἐπὶ τῆς ἁγίας Τριάδος τῶν εἰρημένων ἔστι λαβεῖν, σιωπῇ προσκυνείσθω τὸ ἄῤῥητον. » Περὶ μὲν οὖν Εὐαγρίου διαληψόμεθα καὶ ἐς ὕστερον· ταῦτα δ' εἰ καὶ ἔξω τοῦ προκειμένου εἶναι δοκεῖ, ἀλλ' ὡς χρήσιμα καὶ τῇ ἱστορίᾳ συμβάλλοντα, μὴ τοσοῦτον εἶναι ἀπᾴδοντα οἴομαι.

A Hæc sane Alexandriæ decreta sunt. Quæ vero nobis de substantia et subsistentia cognita sunt, ea paucis citra invidiam exponere hic liceat. Qui a primis initiis philosophiam apud Græcos gentiles docuerunt, ne mentionem quidem ullam prorsus subsistentiæ fecerunt : οὐσίαν, hoc est, substantiam autem sive essentiam varie definierunt. Irenæus grammaticus apud eos, in libro quem *Atticistam* inscripsit, ubi litterarum ordine verba colligit et explanat, dictionem *subsistentiæ* barbaram vocat, neque eam apud veteres reperiri dicit : sin autem reperiatur, diversam ab usitata ista eam obtinere significationem ostendit. Sophocles namque in Phœnice, ὑπόστασιν, *subsistentiam*, pro insidiis collocatis posuit. Menander autem idem verbum B pro juris condimento, **36** alius rursum pro vini fece in fundo cadi subsistente usurpavit. Cæterum illud observandum, quamvis veteres philosophi dictione ea usi non sint, recentiores tamen frequenter subsistentiam pro substantia accepisse. Substantiæ autem diversas definitiones tradiderunt. At si substantia definitione comprehenditur, quanam ratione proprie et recte ea vox de Deo dicatur, quem fine ullo concludere non est? Evagrius sane Ascetes, in libro suo monastico, de divinitate disserere temere cum impudenti confidentia dissuadet, et Deum ipsum ut simplicem definire velle prorsus dehortatur. Definitiones enim non simplicium, sed compositorum esse dicit. Idem et illud C adjicit : « Propositio seu enuntiatio omnis, aut genus quod indicetur, continet, aut speciem, aut differentiam, aut proprium, aut accidens, aut ex iis compositum. Quodsi nihil harum rerum in sancta Trinitate deprehendere est : cum silentio id adoretur, quod dici atque proferri non potest. » Sed de Evagrio postea memorabimus. Hæc autem quamvis extra institutum nostrum esse videantur, utilia tamen, historiæque convenientia, neque admodum aliena esse arbitror.

ΚΕΦΑΛ. ΙϚ'.

Ἐκ τοῦ περὶ τῆς φυγῆς ἐπιγεγραμμένου λόγου Ἀθανασίου, οἷα ἐκεῖ διεξέρχεται.

Ἐπὶ δὲ τῇ συνόδῳ ταύτῃ καὶ Ἀθανάσιος τὸν ἔκπαλαι πεποιημένον περὶ τῆς φυγῆς αὐτῷ λόγον ἀνέγνω· οὗ τὰ μᾶλλον καίρια τῆς ὑποθέσεως τῇ παρούσῃ πραγματείᾳ ἐνθεῖναι σπουδάσω. Τὸν δὲ ὅλον λόγον ἐς πολὺ προηγμένον, τοῖς φιλοπόνοις ζητεῖν ἐπιτρέπω. Λέγει δὲ οὕτως·

« Ἰδοὺ ταῦτα τῶν ἀσεβῶν τὰ τολμήματα· ταῦτα δρῶντες καὶ μὴ ἐκτραπέντες ἐφ' οἷς πρότερον καθ' ἡμῶν ἐτύρευσαν κακοῖς, ἔτι καὶ νῦν κακηγοροῦσιν ἐκφυγεῖν δυνηθέντων αὐτῶν τὰς ἀνδροφόνους χεῖρας· μᾶλλον δὲ ὀδύρονται πικρῶς, ὅτι μὴ καὶ ἐκποδὼν τελέως πεποιήκασι· καὶ λοιπὸν προφασίζονται, δειλίαν ὀνειδίζοντες· ἀγνοοῦντες ὅτι καὶ τοῦτο γογγύζοντες, εἰς ἑαυτοὺς ἐπιστρέφουσι μᾶλλον τὴν μέμψιν. Εἰ γὰρ φαῦλον τὸ φεύγειν, πολλῷ χεῖρον τὸ διώκειν. Ὁ μὲν γὰρ ἵνα μὴ ἀποθάνῃ, κρύπτεται· ὁ δὲ διώκει ζητῶν ἀποκτεῖναι. Καὶ τὸ μὲν φεύγειν γέγραπται· ὁ δὲ ζητῶν ἀναιρῆσαι παραβαίνει νόμον· καὶ μᾶλλον αὐτὸς τὴν πρόφασιν τοῦ ψέγειν

CAPUT XVI.

Quæ Athanasius in oratione quam de fuga inscripsit, commemoret.

In synodo ista Athanasius librum etiam dudum a se de fuga compositum recitavit, ex quo loca quædam argumento ei maxime apposita, operi huic inseram. Orationem autem integram, quæ prolixior D est, studiosi ipsi inquirent. Ita autem scribit :

« Ecce hæc est impiorum audacia. Hæc cum fecerint, neque pudore in eis quas antea contra nos moliti sunt, insidiis, affecti sint : et nunc nos, quod sanguinarias eorum manus effugere potuerimus, criminantur, ac potius amarulenter, quod nos e medio prorsus non sustulerint, lamentantur. Et tandem causa quæsita, timiditatem nobis exprobrant : neque intelligunt, dum hoc ganniunt, in seipsos se omnem pertrahere reprehensionem. Si enim fugere malum est, multo deterius persequi. Qui enim fuga sibi consulit, ne intereat, occultando latet. At qui alium persequitur, occidere contendit. Et de fugiendo quidem scriptura exstat. Qui

autem necare alium conatur, legem transgreditur, **37** et ipse magis occasionem sui ipsius vituperandi præbet. Si igitur fugam nobis ignominiose objiciunt, seipsos potius arguant, qui nos sunt persecuti. Facessant illi cum insidiis suis, et fugere statim, quibus illi malum struunt, desinent. Sed improbitatem suam non relinquunt, et ut nos comprehendant, nihil non tentant: cum quidem sciant, eorum qui persecutionem ferunt, fugam, magnum esse persecutorum ipsorum crimen. Mitem namque et humanum nemo fugit, sed potius ferum et improbis moribus hominem. Siquidem quicunque erant in angustia constituti, et oppressi ære alieno, Saulum fugiebant, et ad Davidem profugiebant. Propterea et isti eos qui fugientes occultant, magno studio occidere conantur, ut ne habere videantur improbitatis suæ exprobratores. Verum et in hoc excæcati prorsus errant. Quanto namque fuga est manifestior, tanto quæ ex eorum insidiis provenit vel cædes, vel expulsio, fit apertior. Sive enim occidant, cædes eo magis adversus ipsos vociferatur: seu in exsilium agant, adversus seipsos ubique locorum ipsi monumenta iniquitatis suæ constituunt. Itaque si sanam obtinerent mentem, viderent profecto seipsos rebus hisce comprehensos teneri, et ad sua ipsorum consilia impingere. Quandoquidem vero mentem meliorem amisere, nihil mirum, si ad ejusmodi persecutiones producuntur. Et occidere alios quærentes, suam ipsorum non cernunt impietatem. Etenim si conviciis eos proscindunt, qui propter percussores immissos latitant, atque si calumniose accusant eos qui percussores fugiunt, quid rogo facient cum viderint Jacobum fugere fratrem suum Esau? Mosem in Madian sese recipientem, propter Pharaonis metum? Quomodo vero, qui talia garriunt, Davidi patrocinabuntur, Saulum fugienti (qui percussores in domum ejus ad illum interficiendum miserat) et in spelunca latenti, faciemque suam mutanti donec abiret ab Abimelech, et insidias sibi structas devitaret? Quid præterea isti qui temere omnia effutiunt, de magno Helia dicent, cum eum videant et Deum invocantem, mortuumque excitantem, et propter Achab atque Iezabelis minas latitantem? Tunc etenim qui ad cædem inquirebantur filii prophetarum, occultabantur in speluncis latitantes apud Abdiam. **38** An hos quidem, ut vetustiores norunt, eorum autem qui in Evangelio sunt, non meminerunt? Nam et discipuli propter metum Judæorum secesserunt, sese occultantes: et Paulus Damasci ab gentis ibi principe quæsitus, de muro in sporta demissus, percussoris effugit manus. Et cum Scriptura de sanctis talia prodat, quem prætextum aut excusationem præcipitis audaciæ suæ invenire poterunt? Nam si timiditatem probrose objiciant, adversus ipsos veluti furentes audacia ipsa facit. Sin, quasi præter voluntatem Dei hæc fecerimus, dicant, seipsos criminantur, Scripturas plane ignorantes.

A παρέχει. Εἴπερ οὖν τὴν φυγὴν ὀνειδίζουσιν, ἐντρεπέσθωσαν πλέον ἑαυτοὺς οἱ διώκοντες· παυέσθωσαν ἐπιβουλεύοντες, καὶ παύσονται καὶ οἱ φεύγοντες εὐθύς. Ἀλλὰ τῆς μὲν ἰδίας πονηρίας οὐ παύονται, τοῦ δὲ καταλαβεῖν ἕνεκα πάντα πράττουσιν, εἰδότες ὅτι τῶν διωκομένων ἡ φυγὴ μέγας ἔλεγχός ἐστι κατὰ τῶν διωκόντων· οὐδεὶς γὰρ τὸν πρᾶον καὶ φιλάνθρωπον φεύγει, ἀλλὰ μᾶλλον τὸν ἄγριον καὶ πονηρὸν ὄντα τὸν τρόπον. Πᾶς γὰρ κατώδυνος καὶ ὑπόχρεως ἀπὸ μὲν τοῦ Σαοὺλ ἔφευγε, πρὸς δὲ τὸν Δαυῒδ κατέφευγε. Διὰ τοῦτο καὶ οὗτοι τοὺς κρυπτομένους αὐτοὺς ἀναιρεῖν σπουδάζουσιν, ὑπὲρ τοῦ μὴ δοκεῖν ἔχειν τῆς ἑαυτῶν πονηρίας τὸν ἔλεγχον. Ἀλλὰ καὶ ἐν τούτῳ δοκοῦσι τυφλώττειν πλανώμενοι· ὅσῳ γὰρ ἡ φυγὴ πρόδηλος, τοσούτῳ πλέον ἡ ἐξ ἐπιβου- B λῆς γινομένη παρ' αὐτῶν ἀναίρεσις καὶ ἐξορία περιφανεστέρα γενήσεται. Ἄν τε γὰρ ἀποκτείνωσιν, ὁ θάνατος μεῖζον ἠχήσει κατ' αὐτῶν· ἄν τε πάλιν ἐξορίσωσιν, πανταχοῦ καθ' ἑαυτῶν αὐτοὶ μνημεῖα τῆς παρανομίας ἐξαποστέλλουσιν. Εἰ μὲν οὖν ἔσωζον τὰς φρένας, ἔβλεπον ἑαυτοὺς ἐν τούτοις συνεχομένους, καὶ τοῖς ἑαυτῶν προσκόπτοντας λογισμοῖς· ἐπειδὴ δὲ καὶ τὸ σωφρονεῖν ἀπώλεσαν, διὰ τοῦτο καὶ διώκοντες ἐξάγονται. Καὶ ζητοῦντες ἀνελεῖν, οὐχ ὁρῶσιν ἑαυτῶν τὴν ἀσέβειαν. Εἰ γὰρ λοιδοροῦσι τοὺς κρυπτομένους ἀπὸ τῶν ζητούντων ἀνελεῖν, καὶ διαβάλλουσι τοὺς φεύγοντας ἀπὸ τῶν διωκόντων, τί ποιήσουσιν ὁρῶντες τὸν μὲν Ἰακὼβ φεύγοντα τὸν ἀδελφὸν Ἡσαῦ, τὸν δὲ Μωϋσῆν εἰς Μαδιὰν C ἀναχωροῦντα διὰ τὸν φόβον τοῦ Φαραώ; Τί δὲ τοιαῦτα φλυαροῦντες, ἀπολογήσονται τῷ Δαυῒδ φεύγοντι τὸν Σαοὺλ (ἐπὶ τῆς οἰκίας ἀποστείλαντα αὐτὸν ἀναιρεθῆναι) καὶ κρυπτομένῳ μὲν τοῦτον ἐν τῷ σπηλαίῳ, ἀλλοιοῦντι δὲ τὸ πρόσωπον ἑαυτοῦ, ἕως οὗ παρέλθῃ τὸν Ἀβιμέλεχ, καὶ τὴν ἐπιβουλὴν ἐκκλίνῃ; Τί δ' ἂν εἴποιεν οἱ πάντα λέγοντες εὐχερῶς, τὸν μέγαν Ἠλίαν ὁρῶντες ἐπικαλούμενον τὸν Θεὸν καὶ νεκρὸν ἐγείροντα; κρυπτόμενον δὲ διὰ τὸν Ἀχαὰβ, καὶ φεύγοντα διὰ τὰς ἀπειλὰς τῆς Ἰεζάβελ; τότε γὰρ ζητούμενοι οἱ υἱοὶ τῶν προφητῶν ἐκρύπτοντο, λανθάνοντες ἐν τοῖς σπηλαίοις παρὰ τῷ Ἀβδίᾳ. Ἢ τούτοις μὲν ὡς παλαιοῖς ἐνέτυχον, τῶν δὲ κατὰ τὸ Εὐαγγέλιον οὐδεμίαν μνήμην ἔχουσι; Καὶ γὰρ οἱ μαθηταὶ διὰ τὸν φόβον τῶν Ἰουδαίων ἀνεχώρουν D κρυπτόμενοι. Καὶ ὁ Παῦλος ἐν Δαμασκῷ παρὰ τοῦ ἐθνάρχου ζητούμενος, ἀπὸ τοῦ τείχους ἐν σαργάνῃ κεχάλασται, καὶ ἐξέφυγε τοῦ ζητοῦντος τὰς χεῖρας. Τῆς τοίνυν Γραφῆς τοιαῦτα λεγούσης περὶ τῶν ἁγίων, ποίαν ἄρα πρόφασιν τῆς ἑαυτῶν προπετείας ἐξευρεῖν δυνήσονται; Ἄν τε γὰρ δειλίαν ὀνειδίσωσι, κατ' αὐτῶν ὡς μαινομένων τὸ τόλμημα· κἂν ὡς παρὰ τὸ βούλημα τοῦ Θεοῦ ποιοῦντας, αὐτοὺς διαβάλλουσιν, οὐκ εἰδότες εἰσὶ παντελῶς τὰς Γραφάς· ἐν μὲν γὰρ τῷ νόμῳ καὶ πρόσταξις ἦν κτισθῆναι καὶ πόλεις φυγαδευτηρίους, ὑπὲρ τοῦ τοὺς ζητουμένους εἰς θάνατον ὅπως δή ποτε δύνασθαι διασώζεσθαι· ἐπὶ δὲ συντελείᾳ τῶν αἰώνων παραγενόμενος αὐτὸς ὁ τῷ Μωϋσεῖ λαλήσας Λόγος τοῦ Πατρὸς, πάλιν ἐντολὴν ταύτην δίδωσι λέγων· *Ὅταν διώ-*

A *κωσιν ὑμᾶς ἐκ τῆς πόλεως ταύτης, φεύγετε εἰς τὴν ἑτέραν.* Καὶ μετ' ὀλίγα φησίν· *Ὅταν οὖν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως, τὸ ῥηθὲν διὰ Δανιὴλ τοῦ προφήτου, ἑστὼς ἐν τόπῳ ἁγίῳ· ὁ ἀναγινώσκων νοείτω· τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη· ὁ ἐκ τοῦ δώματος μὴ καταβήτω ἆραι τὰ ἐκ τῆς οἰκίας αὐτοῦ· ὁ ἐν τῷ ἀγρῷ μὴ ἐπιστρεψάτω ἆραι τὰ ἱμάτια αὐτοῦ.* Ταῦτα γὰρ εἰδότες οἱ ἅγιοι, τοσαύτην εἶχον τῆς πολιτείας ἀγωγήν· ἃ γὰρ νῦν προσέταξεν ὁ Κύριος, ταῦτα καὶ πρὸ τῆς ἐνσάρκου παρουσίας ἐν τοῖς ἁγίοις ἐλάλει. Καὶ ἔστιν οὗτος ὅρος ἀνθρώποις εἰς τελειότητα φέρων, ὃ δ' ἂν ὁ Θεὸς προστάξῃ, τοῦτο ποιεῖν. Διὰ τοῦτο καὶ αὐτὸς ὁ Λόγος, δι' ἡμᾶς γενόμενος ἄνθρωπος, κατηξίωσε ζητούμενος ὡς ἡμεῖς κρυβῆναι· καὶ πάλιν διωκόμενος, φεύγειν, καὶ τὴν ἐπιβουλὴν ἐκκλῖναι. Ἐπέτρεπε γὰρ αὐτὸν ὡς ἐκ τοῦ πεινῆν καὶ διψῆν, καὶ τοῦτο παθεῖν, οὕτω καὶ ἐκ τούτου δεικνύειν ἑαυτὸν ἐνανθρωπήσαντα. Ἐξ ἀρχῆς μὲν ἅμα τῷ γενέσθαι ἄνθρωπος, ὅτε παιδίον ἦν, αὐτὸς διὰ τοῦ ἀγγέλου ἐνετείλατο τῷ Ἰωσήφ, *Ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ φεῦγε εἰς Αἴγυπτον· μέλλει γὰρ Ἡρώδης ζητεῖν τὴν ψυχὴν τοῦ παιδίου·* καὶ ἀποθανόντος δὲ Ἡρώδου, φαίνεται δι' Ἀρχέλαον τὸν υἱὸν αὐτοῦ ἀναχωρῶν εἰς τὴν Ναζαρέτ. Ὅτε δὲ λοιπὸν καὶ Θεὸν αὐτὸν ἐδείκνυε, καὶ τὴν ξηρὰν χεῖρα πεποίηκεν ὑγιῆ, οἱ μὲν Φαρισαῖοι ἐξελθόντες, συμβούλιον ἐποίουν κατ' αὐτοῦ, ὅπως αὐτὸν ἀπολέσωσιν· ὁ δὲ Ἰησοῦς γνοὺς, ἀνεχώρησεν ἐκεῖθεν. Καὶ γὰρ C καὶ ὅτε τὸν Λάζαρον ἤγειρεν ἐκ νεκρῶν, *ἀπ' ἐκείνης*, φησὶ, *τῆς ἡμέρας ἐβουλεύσαντο ἵνα ἀποκτείνωσιν αὐτόν.* Ὁ οὖν Ἰησοῦς οὐκέτι παῤῥησίᾳ περιεπάτει ἐν τοῖς Ἰουδαίοις, ἀλλ' ἀπῆλθεν ἐκεῖθεν εἰς τὴν χώραν ἐγγὺς τῆς ἐρήμου. Εἶτα λέγοντος τοῦ Σωτῆρος, *Πρὶν Ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι*, οἱ μὲν Ἰουδαῖοι ἔλαβον λίθους, ἵνα βάλλωσιν ἐπ' αὐτόν· ὁ δὲ Ἰησοῦς ἐκρύβη, καὶ ἐξῆλθεν ἐκ τοῦ ἱεροῦ, καὶ διελθὼν διὰ μέσου αὐτῶν ἐπορεύετο, καὶ παρῆγεν οὕτως. Ἆρα ταῦτα βλέποντες, μᾶλλον δὲ κατανοοῦντες, ἐπεὶ μὴ βλέπωσι κατὰ τὸ γεγραμμένον, οὐ θέλουσι γενέσθαι πυρίκαυστοι; ὅτι ἐναντία ὧν ὁ Κύριος ποιεῖ καὶ διδάσκει, βουλεύονται καὶ φθέγγονται. Καὶ γὰρ ὅτε Ἰωάννης μεμαρτύρηκε, καὶ οἱ μαθηταὶ τὸ σῶμα ἔθαψαν, ἀκούσας ὁ Ἰησοῦς, ἀνε- D χώρησεν ἐκεῖθεν ἐν πλοίῳ εἰς ἔρημον τόπον κατ' ἰδίαν. Ὁ μὲν Κύριος ἐποίει ταῦτα, καὶ οὕτως ἐδίδασκεν· εἴθε δὲ οὗτοι κἂν οὕτως αἰσχυνθῶσι, καὶ μέχρι τῶν ἀνθρώπων στήσωσιν ἑαυτῶν τὴν προπέτειαν, καὶ μὴ πλέον ἐμμανέντες, ἐγκαλέσωσι καὶ τῷ Σωτῆρι δειλίαν, ἅπαξ κατ' αὐτοῦ βλασφημεῖν μελετήσαντες. Ἀλλ' οὔτε μαινομένων αὐτῶν τις ἀνέξεται· μᾶλλον δὲ καὶ τὰ Εὐαγγέλια μὴ νοοῦντες ἐλεγχθήσονται. Ἔστι γὰρ ἡ πρόφασις τῆς τοιαύτης ἀναχωρήσεως καὶ φυγῆς εὔλογος καὶ ἀληθής· ἣν ἐπὶ τοῦ Σωτῆρος οἱ εὐαγγελισταὶ κειμένην ἀπεμνημόνευσαν. Δεῖ δὲ ἐκ τούτων ἡμᾶς ἐπὶ πάντων τῶν

In lege enim præceptum quoque fuit, ut civitates refugii propterea conderentur, ut qui ad mortem inquirerentur, quocunque possent modo servarentur. In consummatione autem sæculorum, cum ad nos venisset ipsum idem quod cum Mose locutum est Verbum Patris, rursum mandatum hoc nobis dedit, dicens: *Quando persecuti vos fuerint ex civitate una, fugite in aliam* [1]. Et paulo post inquit: *Cum igitur videritis abominationem desolationis quæ dicta est a Daniele propheta, stantem in loco sancto: qui legit, intelligat: tunc qui in Judæa sunt, fugiant in montana: et qui in tecto est, non descendat, ut e domo sua quidquam tollat. Qui in agro, non revertatur, ut ferat vestimenta sua* [2]. Atque hæc perspecta habentes sancti homines, idipsum se- 13 cuti sunt vitæ institutum. Nam quæ nunc præcepit Dominus, eadem etiam ante adventum suum in carne cum sanctis est locutus. Atqui hic propositus est hominibus finis ad perfectionem ducens, quod Deus imperarit, id ut exsequantur. Proinde et ipsum Verbum, nostra causa homo factum, non dedignatum est, cum ad cædem quæreretur, sicuti nos, sese occultare, atque etiam cum essent qui id persequerentur, fugere, et insidias devitare. Ita enim conveniebat hoc Christum experiri, ut quemadmodum ex fame et siti, ita ex fuga etiam hominem se assumpsisse indicaret. Statim enim ab initio, cum homo factus infans etiamnum esset, ipse per angelum mandavit Josepho: *Exsurgens accipe puerum et matrem ejus, et fuge in Ægyptum: Herodes enim quæsiturus est animam pueri* [3]. Porro Herode mortuo, eumdem apparet, propter Archelaum Herodis filium, secessisse in Nazareth. **39** At cum tandem Deum se esse ostendisset, et manum aridam restituens sanasset, Pharisæi quidem aggressi consilium contra eum ceperunt, ut ipsum interimerent: Jesus vero, eo cognito, inde secessit. Rursum cum Lazarum e mortuis resuscitasset: *Ex ea ipsa*, inquit, *die consilium iniere, ut eum occiderent* [4]. Itaque Jesus non amplius propalam inter Judæos est versatus, sed inde divertit in regionem solitudini propinquam. Præterea, Servatore dicente, *Priusquam Abraham fuit, ego sum* [5], Judæi quidem lapides corripuerunt, ut illum peterent, Jesus autem abscondit se, et exivit ex templo, et per medios eos transiens abiit atque discessit. Scdenim cum hæc videntes, ac potius intelligentes, pro eo atque scriptum est, non videant, qui quæso fieri nolunt igne combusti? dum scilicet contra quam et facit et docet Dominus, ipsi et cogitant et loquuntur? Postquam namque Joannes martyrio est defunctus, et discipuli corpus ejus sepelierunt, audito eo Jesus secessit inde in navicula in desertum locum solus. Atque Dominus quidem ad hunc modum et fecit et docuit. Utinam vero boni isti viri ita verecundia afficerentur, ut saltem adversus homines præfracta sua

[1] Matth. x, 23. [2] Matth. xxiv, 15 seqq. [3] Matth. II, 13. [4] Joan. xi, 53. [5] Joan. VIII, 58.

mererentur audacia, et non eo furore abriperentur, ut Servatori quoque ipsi timiditatis crimen impingerent, qui semel blasphemare et maledictis eum incessere consulto instituerunt. Sed furorem eorum nemo sustinebit. Quin Evangelia quoque eos ignorare convincemus. Nam hujusmodi fugæ et secessus causa rationi consentanea atque vera est, quam evangelistæ de Servatore etiam memoriæ mandarunt. Proinde eamdem de sanctis omnibus opinionem habere debemus. Et quæ de Servatore humano more scripta sunt, eadem communiter ad genus humanum referre convenit. Quæ enim nostra sunt, ille suscepit, imbecillitatisque nostræ affectiones in seipso exhibuit. Quod Joannes sic scripsit : *Quærebant igitur eum comprehendere, et nemo ei injecit manus, quod nondum venerat hora ejus.* Atque etiam priusquam ea venisset, ipsemet matri dixit : *Nondum venit hora mea :* fratribus autem, qui dicti sunt, suis : *Tempus meum nondum adest.* At ubi tempus id venerat, ad discipulos,
40 *Dormite jam,* inquit, *et requiescite. Ecce enim appropinquavit hora, et Filius hominis traditur in manus peccatorum.* Itaque neque ante tempus comprehendi se permisit, neque tempore jam præsente se occultavit. Quin seipsum potius insidias ei struentibus tradidit. Hoc ipsum et beati martyres in persecutionibus, quæ tempore quæque suo acciderunt, observarunt. Qui cum persecutione expetiti fugerunt, et se occultare perrexerunt, tum inventi et deprehensi martyrium strenue obierunt. »

A ἁγίων τὴν αὐτὴν λογίζεσθαι. Ἃ γὰρ ἐπὶ τοῦ Σωτῆρος ἀνθρωπίνως γέγραπται, ταῦτα τῷ κοινῷ γένει τῶν ἀνθρώπων ἀναφέρεσθαι προσήκει· τὰ γὰρ ἡμῶν ἐκεῖνος ἀνεδέξατο, καὶ τὰ τῆς ἡμετέρας ἀσθενείας πάθη ἀνεδείκνυτο. Ἅπερ ὁ Ἰωάννης ἔγραφεν οὕτως· *Ἐζήτουν οὖν αὐτὸν πιάσαι, καὶ οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὰς χεῖρας, ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ·* καὶ γὰρ καὶ πρὸ τοῦ ταύτην ἐλθεῖν, ἔλεγεν αὐτὸς τῇ μὲν μητρὶ, *Οὔπω ἦλθεν ἡ ὥρα μου·* τοῖς δὲ χρηματίσασιν ἀδελφοῖς αὐτοῦ, *Ὁ ἐμὸς καιρὸς οὔπω πάρεστι.* Πάλιν δὲ ἐλθόντος τοῦ καιροῦ, ἔλεγε τοῖς μαθηταῖς· *Καθεύδετε λοιπὸν καὶ ἀναπαύεσθε· ἰδοὺ γὰρ ἤγγικεν ἡ ὥρα, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται εἰς χεῖρας ἁμαρτωλῶν.* Οὔτε πρὸ τοῦ τὸν χρόνον ἐλθεῖν ἠφίει
B ἑαυτὸν κρατεῖσθαι, οὔτε τοῦ καιροῦ παρόντος ἐκρύπτετο· ἀλλὰ καὶ ἔκδοτον ἑαυτὸν ἐδίδου τοῖς ἐπιβουλεύουσιν. Οὕτω καὶ οἱ μακάριοι μάρτυρες ἐν τοῖς κατὰ καιροὺς διωγμοῖς ἐφύλαττον· καὶ διωκόμενοι μὲν, ἔφευγον, καὶ λανθάνοντες ἐκαρτέρουν. Εὑρισκόμενοι δὲ ἐμαρτύρουν. »

Hæc sacer Athanasius in fugæ suæ defensione scripsit. Et talem Alexandrina synodus habuit finem.

C Καὶ ταῦτα μὲν ὁ ἱερὸς Ἀθανάσιος ἐν τῷ περὶ τῆς φυγῆς διέξεισιν ἀπολογητικῷ· καὶ τοιοῦτον ἔσχε πέρας ἡ ἐν Ἀλεξανδρείᾳ σύνοδος.

CAPUT XVII.

Ut eo tempore Antiochiæ tres episcopi fuerint, Meletius, Paulinus, et Euzoius : et ut Lucifer propter Eusebium offensus, hæreseos suæ auctor exstiterit : et ut Eusebius Vercellensis et Hilarius Pictaviensis episcopi in Occidente, Illyricis, Gallis et Italis Romana simul et Græca lingua sanam Nicænæ fidei doctrinam annuntiarint.

ΚΕΦΑΛ. ΙΖ'.

Ὡς ἐπὶ τῆς Ἀντιόχου τηνικάδε τρεῖς ἦσαν ἐπίσκοποι, Μελέτιος, Παυλῖνός τε καὶ Εὐζώϊος· καὶ ὡς Λουκίφερ δι' Εὐσέβιον λυπηθεὶς, ἰδίας αἱρέσεως καθίσταται ἀρχηγός. Εὐσέβιος δὲ ὁ Βρεκέλλων, καὶ Ἱλάριος ὁ Ποικτάβων ἐν Ἑσπέρᾳ γενόμενοι, Ἰλλυριοῖς, Γάλλοις τε καὶ Ἰταλοῖς, Ῥωμαίων καὶ Ἑλλήνων γλώσσῃ, τὰ ὑγιᾶ τῆς ἐν Νικαίᾳ πίστεως κατήγγελλον δόγματα.

Porro Eusebius, quem Vercellarum episcopum esse diximus, Alexandriæ synodo peracta, Antiochiam profectus, plebem ibi inter se dissidere invenit. Nam qui Meletii partes secuti fuerant, Paulinum a Lucifero ordinatum prorsus aversabantur, et suas sibi ecclesias atque conventus cogebant. Quapropter Paulini ordinationem moleste ferens, quod universis placita non esset, et cum neutra parte communicans, factum id quidem non probavit : Luciferi tamen, qua eum prosequebatur, observantia, publicitus nihil prolocutus, inde discessit, et illud modo dixit, episcoporum conventu eam quoque rem constitutum iri oportere. Et cum non minimum studii in eo posuisset, ut quod per dissidium, scissum erat, unione conjungeret, id tamen efficere minime potuit. Interea enim Meletius quoque ab exsilio reversus est. Qui cum sectatores suos, qui eum in pretio habebant, seorsim conventus agere invenisset, episcopali more eis præiit. Ita factum, ut tres eodem tempore Antiochiæ essent, qui pastorali mu-

Ὁ δ' Εὐσέβιος, ὃν Βρεκέλλων ἐπίσκοπον ὁ λόγος φθάσας ἐδήλωσεν, ἐκ τῆς Ἀλεξάνδρου μετὰ τὴν σύνοδον τὴν Ἀντιόχου κατέλαβε. Καὶ τὰ πλήθη εὑρὼν διαστασιάζοντα· οἱ γὰρ Μελετίῳ ἀκολουθήσαντες τὸν ὑπὸ Λουκίφερος χειροτονηθέντα Παυλῖνον παντάπασιν ἐξετρέποντο, καὶ καθ' ἑαυτοὺς ἐκκλησιάζοντες ἦσαν· ἀχθεὶς τῇ χειροτονίᾳ Παυλίνου, ὅτι μὴ
D τοῖς πᾶσιν ἐτύγχανεν εἰς ἀρέσκειαν, κακῶς μὲν εἶχε τῷ πεπραγμένῳ· τῇ γε μὴν πρὸς Λουκίφερα αἰδοῖ μηδὲν εἰς τὸ φανερὸν εἰπὼν, ἐκεῖθεν ἀπῆρεν, ἐπειπὼν, ἐπισκόπων συνδρομῇ καὶ ταῦτα σχεῖν τὴν διόρθωσιν. Οὐκ ἐλαχίστην δὲ τὸ μετὰ ταῦτα θέμενος τὴν σπουδὴν τὸ διερρωγὸς ἑνῶσαι, ἥκιστα ἴσχυσεν· ἔφθη γὰρ ἐν τῷ μέσῳ καὶ Μελέτιος τῆς ἐξορίας ἐπανελθὼν, ἐκκλησιάζον τε ἰδίᾳ εὑρὼν, ὃ μέρος αὐτὸν διὰ τιμῆς εἶχεν, ἱερατικῶς καθηγεῖτο· καὶ τρεῖς ἐν ταυτῷ τὴν Ἀντιόχου ἦσαν ποιμαίνοντες. Τῶν μὲν οὖν ἐκκλησιῶν Εὐζώϊος ἦν ἐγκρατὴς, τῆς Ἀρειανικῆς αἱρέσεως προϊστάμενος· Παυλῖνος δὲ μίαν τῶν ἔνδον τῆς πόλεως τῶν οὐκ ἐπισήμων εἶχεν, ἣν Εὐζώϊος παρεχώρησεν, ἐκ πολλοῦ τὸν ἄνδρα αἰδούμε-

νοι. Ἔξω δὲ τειχῶν πρὸς τῇ πύλῃ τῆς πόλεως τὰς συνάξεις πεποίητο καὶ Μελέτιος. Οὕτω δὲ τῶν κατὰ τὴν Ἀντιόχου ἐχόντων, Εὐσέβιος ἀνεχώρει αὖθις ἐκεῖθεν. Λουκίφερ δὲ πυθόμενος μὴ τῷ Εὐσεβίῳ ἀρεστὴν δόξαι τὴν χειροτονίαν Παυλίνου, οἷα δὴ περιυβρισμένος, ἐν δεινῷ ποιούμενος ἠγανάκτει· καὶ ἐς ταυτὸ κοινωνίας Εὐσεβίῳ ἰέναι ἥκιστα ἤθελεν. Ὡς μὴ καλῶς γὰρ πεπραγμένα τὰ τῆς συνόδου, ἀποδοκιμάζειν ᾑρεῖτο. Πολλὰ δὲ ἃ λύπην εἰκὸς γεννᾷν κινούμενα, πολλοὺς τῆς Ἐκκλησίας διέστησεν· ἐξ ἧς αἰτίας, καὶ καινή τις πάλιν αἵρεσις ἀναφαίνεται, Λουκίφερος τὴν κλῆσιν κληρωσαμένη ἐπώνυμον. Λουκίφερ μὲν οὖν οὐκ εὐπρεπῆ τὴν ὀργὴν εἶχε· ταῖς γὰρ ἰδίαις πάγαις ἡλίσκετο· δι' ὧν στέρξειν ὡμολόγει τὰ ὑπὸ τῆς συνόδου γινόμενα, τὸν οἰκεῖον πέμψας διάκονον. Αὐτὸς μὲν οὖν τὰ τῆς Ἐκκλησίας φρονήσας, καὶ διαλύσας τὸ προσιστάμενον, ἐπὶ τὸν οἰκεῖον θρόνον ἐς Σαρδονίαν ἀφίκετο· οἱ δὲ σὺν αὐτῷ τῆς λύπης μετεσχηκότες, περιλειφθέντες, ἰδίαν συνεστήσαντο αἵρεσιν, ἐς πολὺ τοῦ χρόνου τὴν Ἐκκλησίαν μαχόμενοι. Εἰς ἕω δὲ γενόμενος ὁ Εὐσέβιος, τοὺς ἠσθενηκότας τῇ πίστει οἷά τις ἰατρὸς ἄριστος ἀνεκτᾶτο, ἀπελαύνων μὲν εἴ τι νόθον· ὅσον δὲ τῆς Ἐκκλησίας γνήσιον, διδάσκων καὶ εἰσηγούμενος. Ἐκεῖθεν δ' εἰς ἑσπέραν γενόμενος, Ἰλλυριούς τε διῆλθε, καὶ τῆς Ἰταλίας ἐπέβαινε, τὰ ἴσα διαπραττόμενος. Ἔνθα δὴ καὶ Ἱλάριος πρότερον διαβὰς, ὃς Ποικτάβων ἐπίσκοπος ἦν· πόλις δὲ αὕτη Ἀκυϊτανίας· ἅτε δὴ πρῶτος ἐκ τῆς ὑπερορίας ἀνακληθεὶς, τὰ τῆς ὑγιαινούσης πίστεως κατεβάλλετο σπέρματα, Ἰταλοῖς τε καὶ Γάλλοις, ἃ μὲν χρὴ τῶν δογμάτων φεύγειν, ἃ δὲ προσίεσθαι, εἰσηγησάμενος. Ἐλλόγιμος δ' ἦν καὶ κατ' ἄμφω Ἱλάριος τῇ τε Ῥωμαίων καὶ Ἑλλήνων γλώττῃ· ὃς καὶ λόγους βίβλων Ῥωμαίοις συνέταξε, τοῖς Ἀρείου μὲν δόγμασιν ἀντιταττομένους, δυνατῶς δὲ τὴν τοῦ ὁμοουσίου δόξαν κρατύνοντας. Ἃ δὴ μικρὸν ὕστερον μετὰ τὴν ἀνάκλησιν τῶν ἐξορισθέντων ἐγένετο. Οὕτω μὲν οὖν Ἱλάριος ὁ Ποικτάβων, καὶ Εὐσέβιος ὁ Βρεκέλλων ἐν τῇ πρὸς δύσιν ἀρχομένῃ τῆς ἐν Νικαίᾳ πίστεως τὸ δόγμα διαῤῥήδην ἐκρότουν.

nere fungerentur antistites. Et ecclesiæ quidem in Euzoii potestate erant, qui Arianis præfuit : Paulinus autem intra urbem, ecclesiam unam minus celebrem obtinuit; quam ei Euzoius, quod hominem jamdudum observasset, concessit. 41 At Meletius extra urbem ad portam, conventus suos agebat. Eo in statu cum res Antiochiæ essent, Eusebius inde rursum abiit. Cæterum Lucifer ubi ordinationem Paulini Eusebio displicere intellexit, perinde atque injuria affectus esset, ægre rem ferens succensuit, neque ad communionem cum Eusebio venire voluit; et quasi in synodo non rite res acta esset, decreta ejus per calumniam rejicere instituit. Et cum multa quæ damnum, ut fieri solet, afferebant pertristi eo tempore moverentur, multos etiam ab Ecclesia ea res alienavit. Qua de causa nova quoque rursus hæresis exstitit, a Lucifero appellationem sortita. Quæ sane parum decentem iræ causam habuit. Suo enim ipsius laqueo captus tenebatur : qui diacono suo misso, se probaturum quæ synodus constituisset, professus fuerat. Et ipse quidem Ecclesiæ sententiam retinens, simultatemque remittens, ad sedem suam in Sardiniam se recepit. Qui vero cum eo dolore se affectos existimabant, in Oriente relicti, sectam sibi suam constituerunt, et longo tempore Ecclesiam oppugnarunt. Eusebius cum in Oriente esset, in fide parum firmos veluti optimus medicus curavit, atque restituit, si quid parum sinceri apud eos esset, rejiciens, quidquid autem Ecclesiæ appositum nativumque esset, docens atque instituens. Atque inde in Occidentem profectus, per Illyricum transiit : atque in Italiam venit, idipsum ubique agens. Ibi et Hilarius Pictavii, urbis Aquitanicæ episcopus, qui prius eo redierat, primus scilicet ab exsilio revocatus, sanioris fidei semina sparserat, Italos et Gallos, quæ vel fugienda vel expetenda dogmata essent, erudiens. Perquam disertus autem Latina simul et Græca lingua fuit, et libros plerosque Romanis conscripsit, qui cum Arii opinionem refellunt, tum τοῦ ὁμοουσίου, consubstantialis, sententiam graviter confirmant. Hæc statim post exsulum restitutionem facta. Ad hunc sane modum Hilarius Pictaviensis et Eusebius Vercellensis, episcopi, in Occidentali imperio Nicænæ fidei dogma clare deprædicarunt.

ΚΕΦΑΛ. ΙΗ'.

Περὶ τῶν Μακεδονιανῶν, ὡς τηνικαῦτα τὴν ἀσέβειαν ἐπαῤῥησιάζοντο, τί τε ἐφρόνουν· καὶ τίνα πρὸς τοὺς αἰτιωμένους ἐποιοῦντο ἀπόλογον.

Κατ' ἐκεῖνο δὲ καιροῦ τῇ Κωνσταντίου θαῤῥήσαντες τελευτῇ οἱ ἀμφὶ Μακεδόνιον, ὧν ἦν Ἐλεύσιος ὁ Κυζίκου, Εὐστάθιός τε ὁ Σεβαστείας, καὶ Σωφρόνιος ὁ Πομπηϊουπόλεως, εἰς προὖπτον Μακεδονιανοὶ καλεῖσθαι ἔσχον ἀρχήν. Καιροῦ δὲ λαβόμενοι, συνόδους τε συνεχεῖς ἀδεῶς ἐποιοῦντο, τοὺς ἐν Σελευκείᾳ ὁμοφρονήσαντας συγκαλούμενοι, καὶ εἰς ἴδιον διεκρίνοντο σύστημα· καὶ τοὺς τοῦ ἑτέρου μέρους αὐτοῖς, τοὺς περὶ Ἀκάκιον δηλαδὴ, ἀπεκήρυττον· καὶ τὴν παρ' αὐτῶν βεβαιωθεῖσαν ἐν Ἀριμίνῳ πί-

42 CAPUT XVIII.

De Macedonianis, ut tum magna libertate impietatem suam docuerint. Quid ii senserint, et quibus defensionibus adversus accusatores suos sint usi.

Eadem vero tempestate Macedonii sectatores, Constantii morte freti, in quibus erant Eleusius Cyzicenus, Eustathius Sebastiensis, et Sophronius Pompeiopolitanus, aperte Macedoniani vocari cœperunt. Et temporis opportunitate arrepta, frequentes libere diversis in locis synodos, eis qui Seleuciæ cum eis consenserant convocatis, coegerunt, et sectæ suæ factionem instituerunt. Tum autem qui adversæ partis erant, Acacianos videlicet, excommunicarunt : fidemque Arimini editam

irridentes, formulam Antiochenam promulgarunt, suffragiisque suis comprobarunt; quæ postea Seleuciæ quoque confirmata fuit, sicuti proximo libro diximus. Verum enimvero cum a nonnullis propter ejusmodi dissidium reprehenderentur, eisque objiceretur, qui nunc tandem se per dissidium ab Acacianis sejungerent, cum quibus antea et consensissent et communicassent? tale per Sophronium responsum dedere: « Occidentales episcopi non sanam de Consubstantiali habuere opinionem; Aetius autem in Oriente dissimilem substantia Patri Filium esse docuit: et utraque pars recta excidit sententia. Illi enim per ὁμοουσίου, consubstantialis, verbum, subsistentias Patris et Filii in unitatem unam redigentes, confuderunt: hic vero e diverso a natura Patris proprietatem Filii nimium segregavit. Nos igitur utrorumque lapsum vitantes, mediam absque periculo omni viam delegimus, pieque magis sentimus, æqualem scilicet Patri Filium subsistentia docentes. » Sic illi quidem reprehensi, defendere se conati sunt. Sed deprehenduntur, veritatem cavillatione depravare: quod non Acacium, sed Aetium, ut dissimilitudinis auctorem incusant. Videntur illi etiam aliqua ex parte et Arianos et τοῦ ὁμοουσίου, consubstantialis, assertores vitare: et per utrosque suis ipsorum vocibus convincuntur, aliud quidquam novi afferre constituisse, sicuti et Sabinus inquit, qui Latine acta synodalia conscripsit.

43 CAPUT XIX.

De sancto Athanasio, ut ab apostata inquisitus, arte mirifica profugus evaserit.

Imperator, ubi Athanasium Alexandriæ multitudinis conventus in ecclesia propalam agere, et multos Græcorum eloquentiæ vi et suavitate ad Christianam religionem pertrahere cognovit, ejici eum urbe jussit, ac si manere ibi se invito vellet, gravissimas ei denuntiavit pœnas. Ejuscemodi mandati illam prætendebat causam, quod a decessoribus suis imperatoribus exsilio damnatus, sua ipsius auctoritate episcopatum occupasset: et quod ipse eis qui a Constantio in exsilium acti essent, non in ecclesias ingressum, sed in patriam tantum reditum permisisset. Itaque eo imperatoris mandato profugere coactus, in eos qui illum circumsistentes mœrebant, et discessum ejus graviter ferebant, oculis conjectis: « Bono estote animo, filioli, inquit; nubecula est, brevi ea evanescet. » His dictis, mandata familiaribus suis dedit, et ecclesia bonis viris commendata egressus, navigio per Nilum in Ægyptum contendit. At qui a præfecto missi fuerant, consequebantur, capere virum sanctum studio omni contendentes. Et jam in propinquo persecutores adesse audiebat. Ibi eis qui cum illo in navi erant, fugam in solitudinem convertendam esse suadentibus, ipse meliorem secutus sententiam, prudenter militum effugit manus. Fuga enim posthabita ad persecutores na-

A στιν διατωθάζοντες, τὴν ἐν Ἀντιοχείᾳ πίστιν εἰσηγόν τε καὶ ἐπεψηφίζοντο· ἣ δὴ πρὸς αὐτῶν ὕστερον τὸ κῦρος ἐν Σελευκείᾳ ἔσχεν, ὡς ἐν τῷ πρὸ τούτου βιβλίῳ μνήμην ἐποιησάμην. Ὑπὸ δέ τινων ἐν μέμψει ποιουμένων τὴν αὐτῶν διαφορὰν ἐγκαλούμενοι, τί δή ποτε νῦν τοῖς περὶ Ἀκάκιον διαφέρονται, ὁμόφρονες αὐτοῖς τὸ πρότερον καὶ κοινωνοὶ καθεστῶτες, τοιάνδε διὰ Σωφρονίου τὴν ἀπόκρισιν ἐποιήσαντο· « Οἱ κατὰ δύσιν ἐπίσκοποι ἐνόσουν τὸ ὁμοούσιον· ὁ δ' Ἀέτιος ἐν τῇ ἕῳ τὸ κατ' οὐσίαν ἀνόμοιον εἰσηγεῖτο· καὶ ἄμφω τὰ μέρη τοῦ εὐθέος ἦσαν ἐκπίπτοντες· οἱ μὲν γὰρ συγκεχυμένως εἰς μίαν ἑνότητα τὰς ὑποστάσεις Πατρὸς καὶ Υἱοῦ συνῆπτον διὰ τῆς τοῦ *ὁμοουσίου* λέξεως· ὁ δὲ πάλιν ἐξ ἐναντίας σφόδρα τοῦ Υἱοῦ τὴν τῆς Πατρικῆς φύσεως οἰκειότητα B διεχώριζεν. Ἡμᾶς δὲ τὸν ὄλισθον ἑκατέρων φυγόντας, τὴν μέσην καὶ ἀκίνδυνον ἐπιλέξασθαι· καὶ εὐσεβεῖν μάλα νομίζειν, ἅτε δὴ ὅμοιον εἶναι τῷ Πατρὶ τὸν Υἱὸν καθ' ὑπόστασιν δογματίζοντας. » Ὧδε μὲν οὖν ἀπολογεῖσθαι πρὸς τὴν μέμψιν ἐμηχανῶντο· ἐλέγχονται δὲ τὴν ἀλήθειαν σοφιζόμενοι, οἷς μὴ τοὺς περὶ Ἀκάκιον, ἀλλ' Ἀέτιον ὡς τοῦ ἀνομοίου ἀρχηγὸν ᾐτιάσαντο. Δοκοῦσι γὰρ καὶ Ἀρειανοὺς ἐκκλίνειν ἐν μέρει καὶ τοὺς τιμῶντας τὸ ὁμοούσιον· δι' ἀμφοτέρων δὲ, ἕτερ' ἄττα καινοτομεῖν ᾑρημένοι ταῖς ἰδίαις φωναῖς· ὥς φησι καὶ Σαβῖνος ὁ Ῥωμαίων γλώττῃ τὰ Συνοδικὰ συνταξάμενος.

C

ΚΕΦΑΛ. ΙΘ'.

Περὶ τοῦ ἁγίου Ἀθανασίου· ὡς πρὸς τοῦ ἀποστάτου ζητούμενος, τέχνῃ θαυμασίᾳ φυγὰς ᾤχετο.

Βασιλεὺς δ' Ἀθανάσιον μαθὼν κατὰ τὴν Ἀλεξάνδρειαν παῤῥησίᾳ πλήθη ἐκκλησιάζοντα, καὶ πολλοὺς τῶν Ἑλλήνων μεταπείθοντα τῇ τῶν λόγων σειρῆνι τὸν Χριστιανισμὸν ἀσπάζεσθαι, προστάττει ἐκεῖθεν ἐλαύνεσθαι· εἰ δὲ βιάζοιτο μένειν, μεγίστας ἠπείλει ζημίας. Πρόφασιν δ' ἐποιεῖτο, οἷς φεύγειν παρὰ τῶν πρὸ αὐτοῦ καταδίκην σχὼν, μὴ προτραπεὶς, τῆς ἐπισκοπῆς ἀντελάβετο· ἀλλ' οὐδὲ τοῖς παρὰ Κωνσταντίου ἐξορισθεῖσι τὴν εἰς τὰς ἐκκλησίας εἴσοδον συγχωρῆσαι, τὴν δὲ πρὸς τὰς πατρίδας κάθοδον μόνον· ἔνθεν τοι καὶ φεύγειν κατὰ τὸ τοῦ βασιλέως θέ- D σπισμα βιαζόμενος, τοῖς περὶ αὐτὸν ἀσχάλλουσι, καὶ ἐν δεινῷ ποιουμένοις τὴν φυγαδείαν, ἀτενίσας εἶπε· « Θαῤῥεῖτε, ὦ τέκνα· νεφύδριον γάρ ἐστι, καὶ ταχέως διαλυθήσεται. » Ταῦτ' εἰπὼν, συνταξάμενος τοῖς οἰκείοις, καὶ τοῖς σπουδαιοτέροις παραθέμενος τὴν ἐκκλησίαν, ἐξελθὼν πλοίῳ, διὰ τοῦ Νείλου εἰς τὴν Αἴγυπτον ἤλαυνεν. Οἱ δὲ περὶ τὸν ἄρχοντα κατόπιν ἐδίωκον, ἐν χεροῖν θεῖναι τὸν ὅσιον πᾶσαν ποιούμενοι τὴν σπουδήν. Ἐκ τοῦ σύνεγγυς δ' εἶναι τοὺς διώκοντας πεπυσμένος, τῶν περὶ τὸ πλοῖον εἰς τὴν ἔρημον μᾶλλον φεύγειν λεγόντων, ἐκεῖνος γνώμῃ ἀρίστῃ χρησάμενος, σοφῶς διέφυγε τοὺς διώκοντας. Καὶ γὰρ ἀφέντας τὸ φεύγειν, πρὸς τοὺς διώκοντας ἐξ ἐπιστροφῆς ἐκέλευεν ἀπαντᾷν. Ὡς δὲ τοῦτ' ἐγίνετο, καὶ ἐγγὺς τῶν διωκόντων ἦσαν οἱ φεύγον-

τες, ὅπου ἂν εἴη Ἀθανάσιος, οἱ διώκοντες ἐπυνθάνοντο· τῶν δ' ἐγγὺς εἶναι καταμηνυόντων, καὶ εἰ θᾶττον ἐλαύνοιεν, οὐκ εἰς μακρὰν καταλήψοιντο, ἀπηλλάττοντο. Οἱ μὲν οὖν διώκοντες ἀκίχητα κατελάμβανον, παρατραπέντες τῇ σοφιστείᾳ· ὁ δὲ λαθὼν, εἰς τὴν Ἀλεξάνδρου εἰσήγετο· κἀκεῖσε κρυπτόμενος, παρήλαυνε τὸν διωγμὸν, ἕως οὗ τελείως ἐπαύσατο. Καὶ τὰ μὲν κατὰ Ἀθανάσιον παρὰ τῶν Ἑλληνιστῶν τοιαῦτα συνέβη.

ΚΕΦΑΛ. Κ'.

Ὡς αὖθις σφοδρότερον συνεκρότει τὸν Ἑλληνισμόν· καὶ περὶ Ἐλευσίου τοῦ Κυζίκου, καὶ Τίτου τοῦ Βόστρων· καὶ περὶ Μάρι τοῦ ἐπισκόπου Χαλκηδόνος.

Ἐν δὲ τούτῳ, καὶ Κυζικηνῶν πρὸς βασιλέα διαπρεσβευσαμένων περί τινων οἰκείων πραγμάτων, καὶ ὡς δέον εἴη τοὺς Ἑλληνικοὺς ἐπαναγαγεῖν νεὼς, θαυμάσας αὐτοὺς τῆς περὶ τὰ θεῖα τιμῆς, πάντα παρέσχεν ὧν ἐδέησαν τῇ αἰτήσει. Εἶρξε δὲ καὶ Ἐλεύσιον τὸν αὐτῶν ἐπίσκοπον ἱερᾶσθαι, ὡς τοὺς νεὼς κατασκάψαντα, καὶ τούτοις ἐνυβρίσαντα, μοναστήριά τε συστησάμενον, καὶ χηροτροφεῖα καὶ γηροκομεῖα δειμάμενον, καὶ ἄλλ' ἄττα θεοφιλῆ ἔργα διαπραξάμενον· καὶ τὸ μέγιστον, ὅτι πειθοῖ λόγων ἀμελεῖν ἔπειθε τῆς σφετέρας δόξης τοὺς ἑλληνίζοντας. Καὶ νόμον ἔθετο, Κυζίκου μὴ ἐπιβαίνειν ὅσοι δὴ αὐτόχθονες ἦσαν Χριστιανοί. Τὸ δὲ αἴτιον, ἵνα μὴ, φησὶ, διαστασιάζοιεν περὶ τῆς θρησκείας, τῶν ἐποίκων καὶ ὁμοφύλων συναιρομένων. Πρὸς δὲ καὶ τῶν ἐνδημούντων ἐριουργῶν, καὶ ὅσοι περὶ τὴν τέχνην ἠσχόληντο τοῦ νομίσματος· οὗτοι γὰρ, ἐς πολύ τι πλῆθος ἠριθμημένοι, καὶ δυσὶ μεγίστοις διαιρούμενοι τάγμασι, θεσπίσματι τῶν ἐκ πολλοῦ βασιλέων ἀνὰ τὴν Κύζικον διατρίβοντες ἦσαν, οὐκ ἐλαχίστην ἔτους ἑκάστου ἀπόμοιραν τῷ δημοσίῳ κατατιθέμενοι, οἱ μὲν χλαμύδων στρατιωτικῶν, οἱ δὲ κόμμα νομίσματος νεουργὸν παρεχόμενοι. Τὸν γὰρ Ἑλληνισμὸν δόξαν αὐτῷ συγκροτεῖν, βίαν μὲν ἐκ τοῦ προφανοῦς ἐπάγειν, καὶ τιμωρεῖσθαι πλῆθος τοσοῦτον, οὐκ εὔβουλον εἶναι ᾤετο· μόλις γὰρ ἂν τοσοῦτον καθ' ἑκάστην πόλιν οἱ ἄρχοντες τὸν ἀριθμὸν μόνον ἀπεγράψαντο. Οὐ μέντοι δὲ καὶ ἀπεῖργεν ἐς ταυτὸ συνιέναι, καὶ ὡς ἑκάστῳ βουλομένῳ ἦν εὔχεσθαι. Στεῤῥῶς γὰρ ᾔδει, ὡς οὐκ ἄν ποτε βίᾳ κατορθωθείη, ὅσα δὴ τῆς ἑκουσίου προαιρέσεως δεῖται πρὸς σύστασιν. Τούς γε μὴν ἐν κλήρῳ, καὶ τοὺς ἡγουμένους τῶν ἐκκλησιῶν καὶ τῆς πίστεως, διὰ σπουδῆς ἐποιεῖτο ὅτι μάλιστα ἀπελαύνειν. Σκοπὸς δ' ἦν αὐτῷ τὰς συνήθεις διαλύειν συνόδους τοῖς πλήθεσι, τῷ ἀπεῖναι τοὺς προεστῶτας (οὔτε γὰρ ἐκκλησιάζειν, οὔτε διδάσκεσθαι ἦν εὐχερὲς, πολλοῦ γε μὴν ἔδει τῶν θείων μετέχειν, καὶ τελεῖσθαι τὰ μυστικὰ), καὶ τῷ μακρῷ χρόνῳ ἐν λήθῃ τῆς οἰκείας καταστῆναι θρησκείας· ἄλλως δὲ καὶ σκοπῶν ὡς τοῖς πλήθεσιν οἱ ἐν κλήρῳ

A vigilum convertere, eisque obviam ire jussit. Et cum fugientes ipsi persequentibus propinqui essent, et illi ubinam Athanasius esset interrogassent, ipsi autem non procul abesse, ac si cursum celerius intenderent, statim eum comprehensuros esse respondissent, periculum evasere (1). Ita quidem persecutores calliditate ea illusi, nihil egere. Athanasius vero clam Alexandriam rediit, atque ibi latuit, donec persecutio quam fugiebat, prorsus conquievit. Hæc Athanasio a Græcæ superstitionis sectatoribus accidere.

44 CAPUT XX.

Ut Julianus denuo idololatriam Græcorum vehementius et acrius comprobarit, et de Eleusio Cyziceno, Tito Bostrensi, et Mari Chalcedonensi, episcopis.

B Interea Cyziceni legationem ad imperatorem, negotiorum quorumdam suorum causa miserunt, cum adjectione illa: Peropus esse, ut deorum templa restituerentur. Quorum religionem laudans Julianus, omnia quæcunque petierunt, eis concessit. Et Eleusio eorum episcopo re divina et urbe ipsa interdixit, quod delubra deorum solo æquasset, atque illis per injuriam illusisset: quod monasteria et ad viduas ac senes alendos, ædes construxisset, aliaque multa Deo grata opera perfecisset; denique quod verborum persuasione (id vero gravissimum erat) Græcis multis, ut superstitionem suam negligerent, persuasisset. Legem tulit, ne quis Christianorum, qui indigena non C esset, Cyzicum adiret: causamque constitutionis ejus addidit, ne scilicet propter religionem seditio moveretur, advenis popularibusque eorumdem, qui eadem cum eis sacra colerent, opem illis ferentibus, et præterea Christianis lanificis et monetariis inquilinis ad eos accedentibus. Isti enim maximo numero in frequentissimas duas classes divisi, multorum imperatorum constitutionibus, Cyzici cum conjugibus et liberis habitabant, et non minimum tributum publico inferebant: illi quidem chlamydum militarium, hi autem monetæ novæ. Græcam namque superstitionem augere maxime et comprobare volenti, vi publicitus uti, et tantam hominum multitudinem irrogata pœna D opprimere, parum commodum est visum. Ægre siquidem urbium rectores vel numerum ipsum Christiani populi inire potuerunt: neque ille etiam in locum unum eos convenire, et precationibus, ut pro se quisque vellet, uti prohibuit. Satis quippe sciebat, nihil prorsus valere in eis rebus vim adhibitam, in quibus, ut consistant, promptum et voluntarium requiritur judicium. Clerum autem, atque ecclesiarum religionisque præfectos, ut exigeret maximo contendit opere. Consiliumque ejus fuit, ut statas solitasque multitudinis synaxes, ducibus eorum sublatis, tolleret: ita enim fore

(1) Hoc Sozomenus non habet lib. v, cap. 15. Et alio loco ab eo, sicuti et a Nicephoro lib. IX, ap. 34, est commemoratum. Est autem apud Socratem, lib. III, cap. 14. Et forte bis Athanasius eodem fugæ stratagemate est usus.

arbitratus est, ut neque conventus agere, neque docere nobis, multo vero minus de rebus divinis participare, mysticaque et arcana sacra peragere, facile esset : et ut diuturniore tempore in oblivionem etiam religionis nostræ prorsus perveniremus. **45** Atque interim obtentum illum prætexuit, quod clerus facile causam seditionis multitudini præberet. Ejusmodi agitans consilia, cum neque esset neque metueretur seditio ulla, Eleusium cum suis, sicuti dixi, Cyzico discedere jussit. Dicitur sane pergravem Eleusio imposuisse conditionem, ut scilicet nisi intra menses duos, sua ipse impensa, Novatianorum ecclesiam, quam Cyzici ipse demolitus fuerat, restauraret, ex ea urbe pelleretur. Tito vero, Bostrensis tum civitatis antistiti, edicto publice promulgato, ut directus fugeret, præcepit : gravia crimina ei et clero ejus, si ad seditionem populum commovissent, minatus. Titus ea de causa libellum supplicem ad imperatorem misit, in quo non minorem esse Christianorum, quam Græcorum, in ea urbe numerum; seque multitudinem suam cohortationibus, ne ad tumultum spectet, deterrere significavit. Imperator, ut populum reliquum adversus Titum concitaret, ad Bostrenses calumniam viro intentans, litteras dedit : scripsisse illum ad se, non ipsius cohortationibus, sed populum suo ipsius consilio, ad seditionem prorumpere. Atque ille clam plebem eo pacto, ut virum eum perinde atque insidiatorem et hostem suum civitate ejiceret, permovit.

τὴν διάστασιν ῥᾴον παρέχουσι. Ταῦτ' οὖν φρονῶν μήτε τινὸς οὔσης μήτε προσδοκωμένης στάσεως, τὸν Ἐλεύσιον, καὶ τοὺς σὺν αὐτῷ ἀναχωρεῖν τῆς Κυζίκου προὐτρέπετο. Λέγεταί γε μὴν αἰτίαν ἐπιθεῖναι βαρυτάτην τῷ Ἐλευσίῳ, ἐντὸς δύο μηνῶν, εἰ μὴ τὴν τῶν Ναυατιανῶν ἐκκλησίαν, ἣν ἐν Κυζίκῳ καθεῖλεν Εὐζώϊος, οἰκείοις ἀναλώμασιν ἀνεγείροι αὖθις, ἐκεῖθεν ἐλαύνεσθαι. Τίτον δὲ τὸν τηνικάδε τῆς Βοστρηνῶν πόλεως τὰς ἡνίας διαχειρίζοντα προτροπάδην φεύγειν δημοσίᾳ ἐκήρυττεν. Ἐπεὶ γὰρ ἠπείλει ἐν αἰτίαις ποιεῖν αὐτόν τε καὶ τοὺς ἐν κλήρῳ, εἰ διαστασιάσει τὸ πλῆθος· βιβλίον βασιλεῖ πέμπων ὁ Τίτος, μὴ ἔλαττον εἶναι τὸ Χριστιανικὸν τοῦ Ἑλληνικοῦ ἔλεγεν· εἴργεσθαι δὲ ταῖς ἐκείνου παραινέσεσι μὴ πρὸς στάσιν ὁρᾷν. Σκοπῶν οὖν ἐντεῦθεν εἰς τὴν κατὰ τοῦ Τίτου στάσιν μᾶλλον αὐτοὺς ἐρεθίσαι, τοῖς ἐν Βόστροις γράφων, τὸν ἄνδρα διέβαλλεν, ὡς κατ' αὐτῶν βασιλεῖ γράφει· μὴ μέντοι δὲ διὰ τὰς ἐκείνου παραινέσεις πρὸς στάσιν χωρεῖν, ἀλλὰ ταῖς οἰκείαις γνώμαις χρωμένους. Καί γε ἠρέμα παρεκίνει τὸν δῆμον, ὡς ἐπίβουλον καὶ δυσμενῆ αὐτοῖς καθεστῶτα, τῆς πόλεως ἀπελαύνειν.

Plurima vero alia ad eumdem modum, qua ipsius jussu, qua vulgi spontanea temeritate et insultu, accidisse consentaneum est. Quorum ille malorum maxime auctor fuit, qui in eos qui talia patrare auderent, legibus non animadverteret, et verbis quidem delicta ejusmodi carperet, rebus autem ipsis ad ea peragenda cohortaretur : quippe in quo altissime odium religionis nostræ radices egerit; idque ipse sic præ se tulit. Proinde etiamsi palam ipse persecutionem non exerceret, nihilominus tamen Christiani passim a vulgo graves acceperunt clades. Fana enim Græcorum aperiebantur, et simulacrorum superstitio applausu maximo approbabatur. Ipse autem publicitus sacra sua peregit : et Constantinopoli, Fortunæ in basilica, ubi ejus deæ statua collocata fuerat, sacrificavit. Ubi etiam Maris Chalcedonis in Bithynia episcopus, manu a puero eo ductus, quod in ætate decrepita suffusio oculorum videndi vim ei ademisset, imperatorem plurimum taxavit, impium eum, contemptorem Dei, et desertorem, ignominiose appellans. **46** Ad quæ non aliud per iram respondit, quam quod cæcitatem seni exprobrans, verbis tantum illum est ultus, et quod Christum blasphemia et maledicto perstringens, non tantum eum posse dixit, quem ille coleret, Galilæum Deum, ut cæcitati ejus mederetur. Sic enim hoc ei solemne erat, ut Christum Galilæum, Christianos autem Galilæos vocaret. Cui episcopus, magna usus dicendi libertate, occurrens : « Gratias, inquit, ago Servatori meo Deo, qui ut visum amitterem, pro eo atque nunc res habent, curarit, ne

Πλεῖστα δὲ καὶ ἄλλα τοιαῦτα, τὰ μὲν προστάγμασι, τὰ δὲ καὶ δήμων αὐτομάτοις προπετείαις τε καὶ ἐπαναστάσεσι συμβῆναι εἰκός· ὧν αἴτιος ἐκεῖνος μάλιστα ἦν, ὁ μὴ κολάσει νόμων ὑπάγων τοὺς οὕτω δρῶντας παράνομα, μέχρι δὲ λόγων τὴν μέμψιν ἐπιτιθείς, ἔργοις προὐτρέπετο, ἅτε δὴ πρὸς βάθος ἐντετηκὸς τὸ πρὸς τὴν θρησκείαν μῖσος αὐχῶν. Ἔνθεν τοι καὶ μὴ προφανῶς ἐκείνου δῆθεν διώκοντος, οὐδὲν ἧττον οἱ Χριστιανοὶ δήμων ἐπιθέσεσι τὰ πάνδεινα ἔπασχον. Τὰ μὲν γὰρ τῶν Ἑλλήνων ἠνοίγοντο ἱερά· καὶ ὁ Ἑλληνισμὸς ὡς μάλιστα ἐκροτεῖτο. Ἐκεῖνος δὲ καὶ δημοσίᾳ τὰς θυσίας ἐτέλει· καὶ ἐν τῇ βασιλικῇ δὲ τῇ τῆς Κωνσταντινουπόλεως ἐπέθυε Τύχῃ, ὅπου δὴ καὶ τὸ τῆς Τύχης ἄγαλμα ἵδρυτο· ἔνθα καὶ Μάρις ὁ τῆς ἐν Βιθυνίᾳ Χαλκηδόνος ἐπίσκοπος ὑπὸ χειραγωγῷ ἠγμένος, ἦν γὰρ τῷ πολλῷ γήρᾳ ὑπόχυσιν τῶν ὀφθαλμῶν πεπονθώς, πλεῖστα τὸν κρατοῦντα διεκωμῴδησεν, ἀσεβῆ καὶ ἄθεον καὶ ἀποστάτην τοῦτον ὑβρίσας. Ὁ δὲ μηδὲν ἄλλο προσοχθίσας, τὴν τύφλωσιν ὠνείδισε τῷ πρεσβύτῃ, λόγοις μόνοις αὐτὸν ἀμυνόμενος· καὶ ἐπισκώπτων εἰς Χριστὸν ἐβλασφήμει· καὶ μηδὲ τόν, ὃν σέβεις, Γαλιλαῖον Θεὸν δυνατὸν εἶναι θεραπεύειν, τὴν πήρωσιν ἐπειπών· οὕτω γὰρ ἦν εἰωθὸς ἐκείνῳ Γαλιλαῖον μὲν τὸν Χριστόν, τοὺς δ' ἐξ αὐτοῦ Γαλιλαίους καλεῖν· ὁ δ' ἐπίσκοπος παῤῥησίᾳ χρησάμενος, πρὸς ταῦτα ὑπήντησε· « Χάριν ἔχω, φησί, τῷ ἐμῷ σωτῆρι Θεῷ, μὴ βλέπειν, τό γε νῦν ἔχον, παρασκευάσαντι, ἵνα μὴ τὸ σὸν ἴδω παμμίαρον πρόσωπον πρὸς ἀσέβειαν ἀποκλῖναν. » Ὁ δὲ τὸ πρᾶον δῆθεν ὑποκρινόμενος, οὐδὲν ἀπεκρίνατο· δεινῶς δὲ λίαν τὸ πρᾶγμα μετῄρχετο. Εἰδὼς γὰρ τοὺς ἐπὶ Διοκλητια-

νοῦ μαρτυρήσαντας ὡς διὰ τιμῆς ἦγοντο τοῖς Χριστιανοῖς, καὶ τὸ πρόθυμον τῶν μαρτυρεῖν ἠπειγμένων ὁρῶν, ὥσπερ κἂν τούτῳ τούτοις φθονῶν, ἄλλην ἐτράπετο. Καὶ τὸ μὲν τῆς ὠμότητος ὑπερβάλλον, καὶ τὸ δι' ἑαυτοῦ κολάζειν Χριστιανοὺς, ἀπεβάλλετο· ἠρέμα δὲ διώκειν οὐκ ἀπηρνεῖτο, τὸ πλεῖστον τοῖς δήμοις καὶ τῷ βουλομένῳ δεινόν τι πράττειν κατὰ Χριστιανῶν ἐφιείς. Οὕτω γὰρ ἐκείνῳ ἐδόκει τὸν Ἑλληνισμὸν κρατῦναι, τὴν ἀνεξίκακον οἷα δέλεαρ δῆθεν προβεβλημένῳ, καὶ τοῖς ἀπὸ Χριστοῦ φιλάνθρωπον, ὥσπερ καὶ πρᾶον, εἶναι ὑποκρινόμενον.

A impurissimum vultum tuum ad impietatem declinantem conspicerem. » Et ille placabilitatem quidem assimulans, nihil respondit, sed rem eam tamen graviter admodum accepit. Nam cum sciret in quo honore apud Christianos essent, qui sub Diocletiano martyrium obierunt, et insuper alacritatem eorum qui ad idem martyrium aspirarent, cerneret, gloriam eis talem invidens, aliam instituit viam. Quod enim summæ esset sævitiæ, ut per seipsum Christianos excruciandos curaret, id repudiavit : ut eos autem occulte persequeretur, non posthabuit. Quapropter vulgo populis, et aliis quicunque tandem vellent in Christianos quidquam committere, id permisit : ita demum superstitionem Græcorum invalituram arbitratus, si malorum tolerantiam veluti inescationem prætendens, placiditatem atque humanitatem etiam erga Christianos simularet.

ΚΕΦΑΛ. ΚΑ'.

Ὅτι τέχνῃ κρατύνων τὰ Ἑλλήνων ὁ Ἰουλιανὸς, τὰ τῆς ἡμετέρας ἰδιώματα πολιτείας μετεχειρίζετο ἐν τοῖς εἰδωλείοις.

Ἡδὺς μὲν γὰρ τὰ πρῶτα τοῖς πᾶσι φανεὶς, προϊὼν οὐχ ὅμοιον ἑαυτὸν παρεδείκνυ. Ὅπου μὲν γὰρ συκοφαντία τις καὶ διαβολὴ κατὰ Κωνσταντίου ἐγένετο, προθύμως ἅπαντα Χριστιανοῖς ἔπραττεν· ἔνθα δὲ μὴ τοῦτο ἦν, ὃ κοινῇ πᾶσιν ἡμῖν ἐταμίευε μῖσος, φανερῶς ἐπαῤῥησιάζετο. Σπεύδων δὲ τὴν ὑπήκοον πᾶσαν ὑπὸ τῷ Ἑλληνισμῷ γενέσθαι, χαλεπῶς εἶχεν, ὑπὸ τοῦ Χριστιανισμοῦ παρευδοκιμουμένην τὴν θρησκείαν ὁρῶν· οἵ τε γὰρ νεῷ καὶ θυσίαι καὶ αἱ πάτριοι ἑορταὶ τῶν Ἑλλήνων κατὰ πόλεις πρὸς γνώμης ἦσαν αὐτῷ· μάλιστα δ' ἠνιᾶτο λογιζόμενος πῶς ἂν καὶ εἰσέπειτα τὸ ἔμπεδον ἔχοιεν. Ἔρημα γὰρ τῆς ἐκείνου ἐπικουρίας γενόμενα, ἐν ἑτοίμῳ ἔχειν ταχεῖαν τὴν μεταβολήν. Μάλιστα δὲ καιρίαν ἐπλήττετο πολλῶν ἱερέων καὶ γαμετὰς καὶ παῖδας καὶ οἰκέτας Χριστιανίζειν μανθάνων. Καθ' ἑαυτόν τε συμβάλλων συνίστασθαι τὴν θρησκείαν ἡμῶν ἔκ τε τοῦ βίου καὶ τῆς τῶν μετιόντων αὐτὴν ἀγαθῆς πολιτείας, πάντα κάλων ἐκίνει, ὥστε δὴ καὶ τὰ Ἑλλήνων πρὸς τὰ ἡμέτερα μεταφέρειν. Τούς τε γὰρ εἰδωλικοὺς νεὼς διεσκεύαζε βήμασί τε καὶ προεδρίαις· ἀναγνώσεις τε καὶ διδασκαλίας Ἑλληνικοῖς δόγμασιν ἐγκειμένας· καὶ θυηπόλους καὶ ἀναγνώστας ἐπίσης ἡμῖν· εὐχὰς τεταγμένας ὡρῶν τε καὶ ἡμερῶν· ἔτι δὲ φροντιστήρια ἀνδρῶν καὶ γυναικῶν, καταγώγιά τε ᾠκοδόμει ξένοις τε καὶ πτωχοῖς· καὶ τὴν ἄλλην ἐπεδείκνυτο φιλανθρωπίαν, τὰ Ἑλλήνων ἐντεῦθεν σεμνύνειν αἱρούμενος. Τῶν δ' ἑκουσίων καὶ ἀκουσίων ἁμαρτημάτων, ὥσπερ ἡμῖν ἔθος, προσήκοντα ἐπίθει σωφρονίσματα. Οὐχ ἥκιστα μέντοι διὰ σπουδῆς εἶχε ζηλοῦν τὰ τῶν ἐπισκόπων συνθήματα, οἷς ἔθος τοὺς ξένους ὅθεν δή ποτε διιόντας, καὶ παρ' οὓς ἂν γένωνται, θεραπείας ἀξιοῦσθαι καταγομένους, οἷάπερ γνωρίμους καὶ φίλους διὰ τὴν τοῦ συμβόλου μαρτυρίαν· καὶ ἁπλῶς εἰπεῖν, ταῦτ' ἐν νῷ ἔχων, ἐπίσης παρεσκεύαζε τοὺς Ἑλληνιστὰς τοῖς Χριστιανοῖς βιοῦν, προσεθίζειν τε τοῖς ἐκείνων ἐπιτηδεύμασι, καὶ πλήν γε τῶν δογμάτων ἀκραιφνῶς τοῖς ἄλλοις τῆς πολιτείας ἐκείνης ἐξομοιοῦσθαι. Ὅτι δὲ τοῦτο οὕτως ἔχον ἐστὶν, ἐξ αὐτῆς τῆς τοῦ

B

CAPUT XXI.

Quomodo Julianus arte et dolo idololatriam confirmaturus, religionis nostræ proprios ritus idolorum fanis accommodare instituit.

Et primum quidem facilem et gratum se omnibus callide præbuit : progressus deinde, non eumdem, aut sui se similem exhibuit. Ubi namque calumnia aut criminatio aliqua Constantii esset, alacriter Christianis omnia tribuit. At si ea causa non exstaret : odium quod in nos communiter in pectore reconditum habebat, in apertum protulit. Et cum hoc unum maxime ageret, ut omnes imperio Romano subditi, Græcam complecterentur superstitionem, permolestum ei fuit, quod religionem suam a Christianismo gloria longe superari
C videret. Templa quidem, sacrificia, et patriæ Græcorum solemnitates, festique dies per urbes ex sententia ei fere procedebant. **47** Illa vero maxime sollicitudine angebatur, quomodo in posterum quoque cultum talem stabiliret : quod metueret, si is præsidio suo destitueretur, ne brevi rerum mutatione collaberetur. In primis sane quasi lethale vulnus ei hoc inflixit, quod multorum sacrificulorum conjuges et liberos et ministros, Christianos esse videret; et quod secum ipse consideraret, religionem nostram in sanctitate vitæ morumque integritate, eorum qui eam complectuntur, consistere, omnem movit funem, ut Græcorum mores ad instituta nostra accommodaret.
D Itaque in idolorum templis fieri curavit subsellia et primarios suggestus : instituit lectiones et doctrinas, quæ tamen Græcis dogmatibus innilerentur; præterea sacerdotes et lectores more nostro, item certas certarum horarum et dierum preces. Scholas etiam et phrontisteria virorum et mulierum philosophiæ ethnicæ addictarum, peregrinorumque et egenorum construxit domicilia, atque aliam insuper ostendit humanitatem, ut Græcorum sacra talibus rebus admirationem consequerentur majorem. Delictorum quoque quæ vel a prudentibus vel ab imprudentibus fiunt, ex consuetudine nostra pœnitentia interveniente, congruentes constituit coercitiones. Eodem etiam studio æmulari conatus est communicatoriarum litterarum tesseras, quas

episcopi dare solent, ut undecunque et ad quoscunque hinc et inde hospites adveniant, moribus nostris exceptis benigne curentur, perinde atque noti et amici per tesseræ et signi ejus testimonium. Et, ut simpliciter dicam, ejusmodi in animo versans consilia, Græcos eodem quo Christianos modo vivere instituit : eosque studiis atque institutis aliis nostris propalam assuescere, extra dogmata tamen, et æquari nobis voluit. Porro id ita se habere, ex ipsius imperatoris epistola, quam ad Arsacium, sacrorum suorum in Galatia pontificem, dedit, quantum licet, ostendam. Scribit autem ad hunc modum :

A βασιλέως ἐπιστολῆς, ἣν Ἀρσακίῳ τῷ ἀρχιερεῖ Γαλατίας ἀπέστειλεν, ὡς οἷόν τε, τοῦτο δεῖξαι πειράσομαι. Γράφει δὲ οὕτως·

48 CAPUT XLIII.

Epistola Juliani ad Pontificem Galatiæ Arsacium, ut Christianorum mores imitando consectetur.

« Græca religio nondum ex sententia nostra procedit, idque eorum qui eam complectuntur, culpa. Amplitudo enim et magnificentia deorum, optata etiam omnia et spem omnem excedit. Sed propitia sit nostris sermonibus Nemesis (1). Tantam namque tam brevi mutationem, ne votis quidem paulo ante expetere quisquam ausus fuisset. Quid igitur? an sufficere ista putamus : nec ad ea respicimus, quæ maxime impietatem deorumque contemptum auxerunt? ad eam scilicet, qua advenas excipimus hospitalitatem, ad curam mortuorum sepeliendorum, atque ad fictam vitæ sanctimoniam : quorum unumquodque apud nos singulari studio vere fieri oportere arbitror. Nec satis est te solum talem, verum etiam omnes omnino qui in Galatia sunt sacerdotes, tui similes esse convenit : quos vel terrore, vel persuasione, ut probi sint, adducito, aut sacri ministerii functionem eos deponere cogito; siquidem una cum conjugibus, liberis et servis ad deorum cultum non accesserint, sed servos aut liberos aut uxores Galilæas retinuerint; quippe erga deos ipsos impie se gerentes, contemptumque deorum cultui eorumdem præferentes. Deinde sacerdotem quemque cohortare, ne in theatro conspiciatur, ne apud caupones potet, neve arti cuiquam aut operæ pudendæ et ignominiosæ præsit. Et morem quidem gerentes honore prosequere, rebelles vero a te repelle. In urbe quaque frequentia ad excipiendos benigne hospites xenodochia exstrue, ut advenæ non nostræ tantum religionis, sed alieni etiam, quicunque petierint, aut indiguerint, humanitate nostra perfruantur. Unde autem ad eam rem pecunia suppeditet, provisum mihi est. Triginta enim millia modiorum frumenti, et sexaginta millia sextariorum vini, quotannis in eum usum per Galatiam conferri jussi; et quintam hujus tributi partem pauperibus qui sacerdotibus inserviunt, dari : reliquum autem omne advenis et hospitibus aliisque petentibus a nobis dividi debere censeo. Turpe siquidem esset, cum inter Judæos mendicus non sit, et impii Galilæi non suos tantum, sed nostros etiam homines alant, si opem et auxilium nostrum requirere nostri viderentur. 49 Porro Græcæ religionis observatores, ut ad ministerium hujusmodi aliquid etiam conferant : et vicos eo-

ΚΕΦΑΛ. ΚΒ'.

Ἐπιστολὴ Ἰουλιανοῦ Ἀρσακίῳ ἀρχιερεῖ Γαλατίας, ὥστε ἐπίσης ἡμῖν πολιτεύεσθαι.

« Ὁ Ἑλληνισμὸς οὔπω πράττει κατὰ λόγον ἡμῶν ἕνεκα τῶν μετιόντων αὐτόν. Τὰ γὰρ τῶν θεῶν λαμ- B πρὰ καὶ μεγάλα, κρείττονα πάσης μὲν εὐχῆς, πάσης δὲ ἐλπίδος· Ἵλεως δὲ ἔστω τοῖς λόγοις ἡμῶν ἡ Ἀδράστεια. Τὴν γὰρ ἐν ὀλίγῳ τοσαύτην καὶ τηλικαύτην μεταβολὴν οὐδὲ εὔξασθαί τις ὀλίγῳ πρότερον ἐτόλμα. Τί οὖν ἡμεῖς οἰόμεθα ταῦτα ἀρκεῖν; Οὐδὲ ἀποβλέπομεν ὃ μάλιστα τὴν ἀθεότητα συνηύξησεν, ἡ περὶ τοὺς ξένους φιλανθρωπία, καὶ ἡ περὶ τὰς ταφὰς τῶν νεκρῶν προμήθεια, καὶ ἡ πεπλασμένη σεμνότης κατὰ τὸν βίον. Ὧν ἕκαστον οἴομαι χρῆναι παρ' ἡμῶν ἀληθῶς ἐπιτηδεύεσθαι. Καὶ οὐκ ἀπόχρη τό σε μόνον εἶναι τοιοῦτον, ἀλλὰ πάντας ἁπαξαπλῶς οἳ περὶ τὴν Γαλατίαν εἰσὶν ἱερεῖς· οὓς ἢ δυσώπησον, ἢ πεῖσον εἶναι σπουδαίους· ἢ τῆς ἱερατικῆς λειτουργίας ἀπόστησον, εἰ μὴ προσέρχονται μετὰ C γυναικῶν καὶ παίδων καὶ θεραπόντων τοῖς θεοῖς, ἀλλ' ἀνέχοιντο τῶν οἰκετῶν ἢ υἱέων, ἢ τῶν Γαλιλαίων γαμετῶν, ἀσεβούντων μὲν εἰς τοὺς θεούς, ἀθεότητα δὲ θεοσεβείας προτιμώντων. Ἔπειτα παραίνεσον ἱερέα, μήτε ἐν θεάτρῳ παραβάλλειν, μήτε ἐν καπηλείῳ πίνειν, ἢ τέχνης τινὸς καὶ ἐργασίας αἰσχρᾶς καὶ ἐπονειδίστου προΐστασθαι. Καὶ τοὺς μὲν πειθομένους τίμα, τοὺς δὲ ἀπειθοῦντας ἐξώθει. Ξενοδοχεῖα καθ' ἑκάστην πόλιν κατάστησον πυκνά· ἵνα ἀπολαύσωσιν οἱ ξένοι τῆς παρ' ἡμῶν φιλανθρωπίας· οὐ τῶν ἡμετέρων μόνον, ἀλλὰ καὶ τῶν ἄλλων ὅστις ἂν δεηθῇ· χρημάτων δ' ὅθεν εὐπορήσεις, ἐπινενόηταί μοι τέως. Ἑκάστου γὰρ ἐνιαυτοῦ τρισμυρίους μοδίους κατὰ πᾶσαν τὴν Γαλατίαν ἐκέλευσα δοθῆναι σίτου, καὶ ἑξακισμυρίους οἴνου ξέστας. Ὧν D τὸ πέμπτον μὲν εἰς τοὺς πένητας τοὺς τοῖς ἱερεῦσιν ὑπηρετουμένους ἀναλίσκεσθαί φημι χρῆναι· τὰ δὲ ἄλλα τοῖς ξένοις καὶ τοῖς μεταιτοῦσιν ἐπινέμεσθαι παρ' ἡμῶν. Αἰσχρὸν γάρ, εἰ τῶν μὲν Ἰουδαίων οὐδεὶς μεταιτεῖ, τρέφουσι δὲ οἱ δυσσεβεῖς Γαλιλαῖοι πρὸς τοῖς ἑαυτῶν καὶ τοὺς ἡμετέρους· οἱ δὲ ἡμέτεροι τῆς παρ' ἡμῶν ἐπικουρίας ἐνδεεῖς φαίνοιντο. Δίδασκε δέ, καὶ συνεισφέρειν τοὺς Ἑλληνιστὰς εἰς τὰς τοιαύτας λειτουργίας, καὶ τὰς Ἑλληνικὰς κώμας ἀπάρχεσθαι τοῖς θεοῖς τῶν καρπῶν· καὶ τοὺς Ἑλληνικοὺς ταῖς τοιαύταις εὐποιίαις προέθιζε, διδάσκων αὐτούς, ὡς τοῦτο πάλαι ἦν ἡμέτερον ἔργον. Ὅμηρος γοῦν αὐτὸ πεποίηκεν Εὔμαιον λέγοντα·

(1) Ἀδράστεια εἶργοις στομάτων φθόνον· et, σὺν δ' ἀδραστείᾳ λέγων. Euripid. *Adrastia coerce linguarum invidiam. Cum invidia verba faciens.*

rum, ut primitias frugum diis ipsis persolvant, doce; hominesque Græcos officiis et benefactis talibus assuefac, antiquitus nostri moris operisque id fuisse eos admonens. Homerus enim Eumæum hæc ita dicentem inducit :

Ξεῖν', οὔ μοι θέμις ἔστ', οὐδ' εἰ κακίων σέθεν ἔλθοι,
Ξεῖνον ἀτιμάσαι· πρὸς γὰρ Διός εἰσιν ἅπαντες
Ξεῖνοί τε πτωχοί τε.
Δόσις δ' ὀλίγη τε φίλη τε.

A *Hospes, vel si te nostras pertingeret ædes*
Advena deterior, justos auferret honores.
Ab Jove namque venit mendicus et hospes eodem :
Et nobis sunt parva quidem, sed munera grata.

Μηδὲ τὰ παρ' ἡμῖν ἀγαθὰ παραζηλοῦν ἄλλοις συγχωροῦντες, αὐτοὶ τῇ ῥᾳθυμίᾳ καταισχύνοιμεν, μᾶλλον δὲ καταπροώμεθα τὴν εἰς τοὺς θεοὺς εὐλάβειαν. Εἰ ταῦτα πυθοίμην ἐγώ σε πράττοντα, μεστὸς εὐφροσύνης ἔσομαι. Τοὺς ἡγεμόνας ὀλιγάκις ἐπὶ τῆς οἰκίας ὅρα· τὰ πλεῖστα δὲ αὐτοῖς ἐπίστελλε. Εἰσιοῦσι δὲ εἰς τὴν πόλιν, ὑπαντάτω μηδεὶς αὐτοῖς ἱερέων· ἀλλ' ὅταν εἰς τὰ ἱερὰ φοιτῶσι τῶν θεῶν, εἴσω τῶν προθύρων. Ἡγείσθω δὲ μηδεὶς αὐτῶν εἴσω στρατιώτης· ἑπέσθω δὲ ὁ βουλόμενος· ἅμα γὰρ εἰς τὸν οὐδὸν ἦλθε τοῦ τεμένους, καὶ γέγονεν ἰδιώτης. Ἄρχεις γὰρ αὐτὸς, ὡς οἶσθα, τῶν ἔνδον· ἐπεὶ καὶ ὁ θεῖος ταῦτα ἀπαιτεῖ θεσμός. Καὶ οἱ μὲν πειθόμενοι κατὰ ἀλήθειάν εἰσι θεοσεβεῖς· οἱ δὲ ἀντεχόμενοι τοῦ τύφου δοξοκόποι εἰσὶ καὶ κενόδοξοι. Τῇ Πεσσινοῦντι βοηθεῖν ἕτοιμός εἰμι, εἰ τὴν μητέρα τῶν θεῶν ἵλεω καταστήσουσιν ἑαυτοῖς. Ἀμελοῦντες δὲ αὐτῆς, οὐκ ἄμεμπτοι μόνον, ἀλλὰ, πικρὸν εἰπεῖν, μὴ καὶ τῆς παρ' ἡμῶν ἀπολαύσωσι δυσμενείας.

Non commmittendum igitur, ut aliis bona nostra æmulari permittamus, ipsi autem per socordiam nos pudore afficiamus, seu potius deorum observantiam et religionem prodamus. Atque si hæc te ita exsequi audiero, hilarem et lætum me reddes. Provinciæ rectores perraro domi suæ vise : frequenter autem epistolas ad eos mitte. Eisdem in urbem advenientibus, nullus sacerdotum obviam eat : sed cum in deorum templa ingrediuntur, intra vestibulum saltem occurrat. Ne quis autem B miles eos ædem sacram ingredientes præcedat, sequatur tamen qui volet. Quamprimum enim magistratus solum delubri attigerit, privatus redditur. Tu siquidem, quod nosti, intra templum imperium obtines. Atque id divinæ etiam flagitant sanctiones : quibus qui parent, veri deorum sunt cultores. Qui vero fastu efferuntur, insolentis sunt jactantiæ et vanæ gloriæ aucupatores. Pessinunti subvenire paratus sum (1), si ipsi sibi deum matrem propitiam reddiderint. Eam vero si neglexerint, non modo id reprehensione non carebit, verum etiam (quod dictu acerbum est) ne ad inimicitias nos irritent, periculum fuerit.

Οὐ γάρ μοι θέμις ἐστὶ κομιζέμεν ἢ ἐλεαίρειν
Ἀνέρας οἵ τε θεοῖσιν ἀπέχθωνται ἀθανάτοισιν.

Non etenim fas est hominum succurrere rebus,
Infensi qui sint diis immortalibus ipsis.

Πεῖθε τοίνυν αὐτοὺς, εἰ τῆς παρ' ἐμοῦ κηδεμονίας ἀντέχονται, πανδημεὶ τῆς μητρὸς τῶν θεῶν ἱκέτας γενέσθαι. »

C Quapropter illis persuade, si studium curamque meam sibi conciliare volunt, ut universi simul matri deorum supplicent. »

ΚΕΦΑΛ. ΚΓ'.

Ὅσα κατὰ τῆς ἡμῶν εὐσεβείας ὁ ἀσεβὴς ἔπραττε, καὶ ὡς δόλῳ θύειν τὸν στρατὸν παρεσκεύαζε, χρυσὸν διανέμων αὐτοῖς.

Οὕτω μὲν οὖν Ἰουλιανὸς καὶ ποιῶν καὶ γράφων, ἀμαχεὶ μεταθήσειν ᾤετο τοὺς Χριστιανοὺς πατρίων ἐθῶν· καὶ πάντα κάλων, τὸ τοῦ λόγου, κινῶν ἐπὶ καθαιρέσει τοῦ δόγματος, οὔτε ῥᾳδίως εἶχε πείθειν, δι' αἰσχύνης τε ἐδόκει περιφανῶς βιάζεσθαι, φεύγων τὸ τυραννικὸς εἶναι δόξαι. Οὐ μὴν ἐνέλιπέ τι τῆς προθυμίας· πάντα δὲ κάλων, τὸ τῆς παροιμίας, ἐκίνει, πρὸς Ἑλληνισμὸν τὸ ὑπήκοον μεταθεῖναι· καὶ τὸ μὲν αὐτὸς ἔπραττε, τὸ δὲ διὰ τῶν ἀρχόντων ἐποίει. Ἀτεχνῶς δὲ προσεθίζων ἅπαντας ἑλληνίζειν, καὶ μᾶλλον τὸ στρατιωτικὸν, προηγουμένως μεταπλάττει πρὸς τὴν προτέραν ἕξιν τὸ μέγιστον σύνθημα τῶν Ῥωμαϊκῶν συμβόλων· ὃ Κωνσταντῖνος εἰς σταυροῦ σχῆμα μετατυπώσας κατὰ θείαν, ὡς εἴρηται, βούλησιν, τοῦ στρατοῦ ἡγεῖσθαι προσέταξε. Ταῖς γε μὴν δημοσίαις εἰκόσι διὰ σπουδῆς ἐποιεῖτο προσπεριγράφειν αὐτῷ τὸν ὕπατον τῶν

50 CAPUT XXIII.

Quæ contra pietatem nostram impius egerit, et ut dolo exercitum ad deorum sacrificia, donativo ea de causa dato, pellicere tentarit.

Sic Julianus, hoc cum ageret et scriberet, citra bellum Christianos se ad patrias consuetudines traducturum putavit : omnemque (quod dicitur) lapidem, ut dogma nostrum aboleret, movit. Sed persuasio difficilis ei fuit. Rursum autem si propalam vim adhiberet, probro id sibi fore credidit, quod tyranni suspicionem fugere contenderet. Non tamen propterea quidquam de ardore studioque D suo, ut subditos ad Græcam superstitionem pertraheret, remisit. Et quædam ille per seipsum agebat, quædam per præfectos suos expediebat. Ad Græcam autem omnes omnino superstitionem, potissimum vero milites assuefaciens, in primis maximum inter Romana vexilla signum, quod Constantinus in crucis formam redactum, juxta divinam (ut diximus) voluntatem, in exercitu præferri instituit, ad priorem statum reduxit. Et in publi-

(1) Apud Plin. lib. VI, cap. 32, inter Galatiæ oppida numeratur Gallorum Tolistobogorum Pessinus.

cis tabulis seipsum depingi magno studio curavit: atque insuper supremum deorum suorum Jovem affingi, veluti e cœlesti nube despectantem, coronamque et purpuream vestem atque alia imperii insignia demittentem: Mercurium itidem et Martem, utraque ex parte eum blande intuentes, et quodammodo oculorum nutu testificantes, eloquentia eum excellere, nec minus ab arte bellica pollere. Hæc et alia hisce similia plerosque ad Græcam religionem invitantia, publicis imaginibus aspergi mandavit. Atque id fecit, ut per occasionem honoris ejus, quem moribus imperatori exhibere soliti erant, paulatim eos quoque qui una depicti erant, adorare homines addiscerent, et vetusta consuetudine abusus vafritie et calliditate omni subditorum mentem et judicium furtim subverteret. Tum enim demum ex sententia consilium sibi processurum esse exsistimavit, si persuasione hujusmodi quo vellet homines duceret, et deinde quæ reliqua essent, facile aggrederetur. Legitime vero se rursus in eos animadversurum putavit, qui ei non obsequerentur, et in veteribus Romani populi moribus novare quidquam instituerent: præsertim cum adversus longam reipublicæ consuetudinem et imperium ipsum delinquere viderentur. Astutiam talem pauci intellexere: qui etiam, quod adorare imagines tales nollent, pœnas luerunt. **51** Vulgus autem, sicuti solet, ignorantia supina et animo minus sollicito, tanquam veteri legi parendum esset, ita ut sors tulit, temere ad imagines accessit. Et ille cum talia excogitaret, nihil prætera effecit. Enimvero tametsi fraus ejus ita deprehensa esset, aliam tamen tentavit viam, omnia excogitans atque experiens, ut cives suos in superstitionem vanam pertraheret. Atque id quod instituit, priori dolo non fuit inferius. Quin potius manifestiore id et majore violentia est ausus. Quapropter etiam occasionem multis, qui in aula imperatoria stipendia faciebant, præbuit, ut animos viriles exhiberent. Veluti enim in conflaturæ fornacibus explorati, et qui habiti sunt, et qui reipsa fuerunt, Christiani palam apparuere.

A θεῶν αὐτοῦ Διὰ, ὡς ἔκ τινος οὐρανίου νεφέλης προκύπτοντα, καὶ στέφος, καὶ τὴν ἁλουργὸν ἐσθῆτα, καὶ ὅσα τῆς βασιλείας σύμβολα, καταπέμποντα· πρὸς δὲ καὶ Ἑρμῆν τε καὶ Ἄρεα ἑκατέρωθεν πρὸς αὐτὸν ὁρῶντας ἡδέως, ὡσανεὶ ἐπιμαρτυροῦντας τοῖς ὀφθαλμοῖς, ὡς ἄρ' ἀγαθὸς εἴη περὶ λόγους, καὶ οὐχ ἧττον πολεμικός. Ταῦτά τε καὶ ἄλλα τούτοις προσεοικότα, καὶ πρὸς τὴν Ἕλληνα θρησκείαν ἐκκαλούμενα τοὺς πολλοὺς, παραμίγνυσθαι ταῖς δημοσίαις εἰκόσι προσέταττε. Ταῦτα δ' ἐποίει, ὡς ἄν γε προφάσει τῆς ἐξ ἔθους ἐς βασιλέα τιμῆς, καὶ τοὺς συγγεγραμμένους ἠρέμα πως ἐθίσωσι προσκυνεῖν. Τοῖς δ' ἐκ παλαιοῦ ἔθεσιν ἀποχρώμενος, περινοίᾳ πάσῃ τὴν τῶν ὑπηκόων κλέπτει προαίρεσιν. Πρὸς σκοποῦ γὰρ εἶναι αὐτῷ ᾤετο, ὡς, εἰ B οὕτως ἑκόντας πείσειεν, ἐν ἑτοίμῳ ἔχειν καὶ πρὸς τὸ λεῖπον ἐπιχειρεῖν· δικαίως δ' αὖθις κολάσειν, εἴγε ἀπειθοῖεν, καὶ νεωτερίζειν δῆθεν περὶ τὰ Ῥωμαίων ἕλοιντο ἔθη· ἄλλως τε καὶ εἰς μακρὸν πολιτείας ἔθος καὶ βασιλείαν ἐξαμαρτάνοντες. Τὸ μὲν οὖν ἐπινόημα ὀλίγοι συνῆκαν· οἳ καὶ δίκας εἰσεπράχθησαν μὴ προσκυνεῖν ἐθελήσαντες· τὸ δέ γε πλῆθος, οἷάπερ φιλεῖ, καὶ ἀγνοίᾳ καὶ γνώμῃ ἀπεριέργῳ, ὡσανεὶ νόμῳ ἡγούμενοι παλαιῷ ἕπεσθαι, ὡς ἔτυχε ταῖς εἰκόσι προσῄεσαν. Καὶ τῷ μὲν τοιαῦτα διανοουμένῳ καὶ πράττοντι οὐδὲν πλέον ἠνύετο· καίπερ δ' οὕτω τῆς τέχνης ἐληλεγμένης, ἑτέραν ἐβάδιζε, διὰ πάντων ἐπινοῶν, ὡς ἂν ἑαυτῷ ἐπίσης θρησκεύειν πείσῃ τοὺς ἀρχομένους. Ὃ δὲ διεπράττετο, οὐδέν τι τοῦ προτέρου ἐλλείπει. C Περιφανῶς δὲ καὶ βιαιότερον ἐκείνῳ ἐπετολμήθη· ὃ δὴ καὶ πρόφασιν ἀνδρίας οὐκ ὀλίγης ἔνδειξις ἦν τῶν ἐν βασιλείοις στρατευομένων. Οἷα γὰρ ἐν χωνευτηρίῳ, οἵ τε νομιζόμενοι καὶ οἱ ταῖς ἀληθείαις ὄντες Χριστιανοὶ, κατάδηλοι πᾶσιν ἐγίνοντο.

Postquam enim tempus advenit, ut imperator civibus congiarium daret, (id quod antiquitus apud Romanos Kalendis præcipue, imperatorisque et imperialium urbium natali die facere receptum fuit), secum ipse considerans, milites nostros aperti candoris et magnæ simplicitatis esse, pecuniæque cupiditate teneri, et consueto donativo facile capi posse, arte quadam, ut vel inviti dæmonibus sacrificarent, consilium invenit. Lege namque olim cautum erat, ut ad munus capiendum accedentes sacrificarent. Atque idipsum illi facere jubebantur. Propositumque simul ad ignem erat et thus et aurum. Ibi fortem animum quidam declararunt, quod adolere thura nollent, donum contemnentes. Nonnulli naturæ improbitatem veteris legis obtentu contegentes, ne intelligere quidem ad quod malum delapsi essent, potuerunt. Alii lucrosa jactura, et fortasse formidine multorum tumultuum inescati, quamvis errare se intelligerent, tamen quominus animis excruciarentur, effugere non potuerunt.

Ὡς γὰρ καιρὸς ἐνέστη βασιλέα δωρεῖσθαι τοῖς ὑπηκόοις χρήματα, ἔθος δ' ἦν ἐκ παλαιοῦ τοῦτο Ῥωμαίους πράττειν, ἔν τε ἱερομηνίαις καὶ βασιλέων καὶ βασιλίδων πόλεων γενεθλίοις τῶν ἡμερῶν, διαλογισάμενος ὡς τὸ παρ' ἡμῖν στρατιωτικὸν, D εὐηθείᾳ τὸ πλεῖστον καὶ ἁπλότητι διαζῇ, ἥττηταί τε χρημάτων τῇ κατ' ἔθος πλεονεξίᾳ ἁλώσιμον, τέχνῃ θύειν τοῖς δαίμοσι καὶ ἄκοντας οἰκονόμει. Νενόμιστο γὰρ δῆθεν ἐκ παλαιοῦ τοὺς ἐπὶ τὴν δωρεὰν παριόντας θύειν· καὶ τοῦτο ἐνεκελεύοντο δρᾷν· προὔκειτο γὰρ καὶ ὁ λίβανος καὶ χρυσός. Ἐνταῦθα τὴν ἀνδρίαν οἱ μὲν ἐνεδείξαντο· τό τε γὰρ δῶρον ἀπεώσαντο, μὴ θυμιᾷν ᾑρημένοι· οἱ δὲ τὴν μοχθηρίαν τῆς φύσεως τῷ προσχήματι τοῦ παλαιοῦ νόμου συγχώσαντες, οὐδὲ συνιέναι εἶχον οἷ κακοῦ γένοιντο. Ἕτεροι δὲ τῇ ἐπικερδεῖ ζημίᾳ, ἴσως δὲ καὶ δέει τῶν πολλῶν θορύβων δελεασθέντες, εἰ καὶ ἁμαρτάνοντες διεγίνωσκον, ὅμως οὐ διέφυγον τὸ μὴ παθεῖν. Τῶν γε μὴν ἀγνοίᾳ τινὲς τῇ τοσαύτῃ περιπεπτωκότων κακίᾳ τάδε πρᾶξαι ἱστόρηνται.

Ἐπεὶ γὰρ μετὰ τὸ θῦσαι, ἔθους γε οἶμαι ὄντος, εἱστιῶντο κοινῇ, οἷα δὴ ἐν πότοις φιλεῖ γίνεσθαι, προπίνοντες ἀλλήλοις, Χριστὸν ταῖς κύλιξιν ἐπωνόμασαν, τῶν τινα δαιτυμόνων ὑπολαβόντα εἰπεῖν λέγεται· « Ὡς ἀστεῖόν γε τοῦτο ποιεῖτε, ὃν πρὸ βραχέος ἠρνεῖσθε Χριστὸν, ἡνίκα βασιλεὺς ἐδίδου δῶρα, καὶ ὑμεῖς τῷ λιβανωτῷ ἐπεθύετε, νῦν προσκαλούμενοι. » Ἅμα δὲ τῷ λόγῳ τὴν ἀπάτην γνωρίσαντες, καὶ οἷ κακοῦ γένοιντο διαγνόντες, τοῦ συμποσίου αἴφνης ἀναπηδήσαντες, δεδακρυμένοι δημοσίᾳ ἐπέθεον, Θεὸν καὶ τοὺς σωφρονεστέρους διαμαρτυρόμενοι τῶν ἀνθρώπων, Χριστιανοὺς εἶναι σφᾶς, καὶ εἰσαεὶ διαμεῖναι οὕτως ἔχοντας δόξης διατεινόμενοι· ἀγνοῆσαι δὲ τῷ πραχθέντι, καὶ εἴ γε τοῦτο χρὴ φάναι, μόνας ἑλληνίσαι τὰς χεῖρας, μὴ τῆς καρδίας μετατεθείσης· ζήλῳ δὲ παῤῥησίας μεστῷ βασιλεῖ προσελθόντας, πρὸς πόδας ὃν ἐδεδώκει ῥῖψαι χρυσόν· γενναίῳ δὲ τῷ φρονήματι ἀνελεῖν αὐτοὺς ᾔτουν τὸ οἰκεῖον ἀπολαβόντα· μὴ γάρ ποτ' ἐν μεταμελῳ γενέσθαι ἀνθ' ὧν διὰ Χριστὸν ὅλον δοίη τὴν δίκην τὸ σῶμα· οἷς ἀπρομηθεύτως ἥμαρτεν ἡ δεξιὰ, δῶρον λαβοῦσα καὶ ἐπιθύσασα· ἐκκοπῆναι δὲ καὶ τοὺς πόδας ᾔτουν δραμόντας οὐ καίρια. Ταῦτ' ἀκούων ὁ βασιλεὺς, ἐχαλέπαινε μέν· κτεῖναι δὲ ἐφυλάξατο, μὴ καὶ γερῶν μαρτυρίας τοὺς ὑβριστὰς ἀξιώσειε. Τό γε μὴν στρατεύειν περιαιρήσας αὐτοῖς, τῶν βασιλείων ἐξήλασεν. Ἐν δὴ τούτοις ἦσαν καὶ Ἰοβιανὸς ἐκεῖνος, Οὐαλεντινιανός τε καὶ Οὐάλης, οἱ μετ' αὐτὸν τὰ τῆς βασιλείας σκῆπτρα διαδεξάμενοι. Οἱ μὲν οὖν οὕτως· ὅσοι δὲ μὴ ὀρθῇ γνώμῃ τὰ Χριστιανῶν ἠσπάζοντο, καὶ τὸ ἀληθὲς εὔδαιμον τῆς ἐνταῦθα τιμῆς καὶ τῶν χρημάτων προὐτίθεντο, ἀδεῶς ἐπὶ τὸ θύειν καὶ κεχαρισμένα βασιλεῖ πράττειν ἔθεον· ὁποῖος ἦν καὶ ὁ ἐν Κωνσταντίνου πόλει σοφιστὴς Ἐκηβόλιος· ὃς οἷά τις εὔριπος τοῖς τῶν κρατούντων ἤθεσι μεταῤῥυθμιζόμενος, ἐπὶ μὲν Κωνσταντίου διαπύρως τὰ τῶν Χριστιανῶν εἴπερ τις ἕτερος κατησπάζετο· Ἰουλιανοῦ δ' ἑλληνίζειν ἐπιβάλλοντος, γοργῶς μετετίθετο, καὶ δεισιδαίμων εἴπερ τις αὖθις ἐν Ἕλλησιν. Μετὰ δ' ἐκεῖνον πάλιν Χριστιανὸν ἑαυτὸν ὡμολόγει· πρηνὴς γὰρ πρὸ τῶν οὐδῶν τῆς ἐκκλησίας πεσὼν, δεδακρυμένα βοῶν, γοερῶς ἐπεφώνει· « Πατήσατέ με τὸ ἅλας τὸ ἀναίσθητον. » Τοιοῦτοι μὲν ἐκεῖνοι· τοιοῦτος δὲ καὶ ὁ Ἐκηβόλιος πρότερόν τε καὶ ὕστερον.

A Atque ex eis qui in tantam calamitatem ignorantia sunt prolapsi, istud fecisse traditi sunt. Cum post sacrificium id, consuetudine fortasse sic obtinente, communiter in convivio milites hilares epularentur, quod in compotationibus fieri consuevit, propinantes inter se, Christum in poculis nominatim advocabant. Ibi ex convivis quemdam verba ea excipientem, dixisse ferunt: « Perfacete hercle facitis, qui Christum nunc invocatis, quem paulo ante, cum vos imperator muneraretur, et thura in aram imponeretis, abnegastis. » **52** Cum hoc dicto errorem ærumnamque suam illi agnoverunt: et confestim e convivio prosilientes, lacrymabundi publice circumcursitarunt, Deum et saniores contestantes homines, se Christianos esse, atque in ea
B sententia perseveraturos, ignorantiaque peccasse: atque si hoc dicendum sit, manus solas Græcorum sacris operatas, mentem vero immotam permansisse, asseverarunt. Mox etiam, libertatis dicendi ardore adducti, imperatorem adiere, ad pedes ejus quod acceperant aurum abjecere, et generoso prorsus animo ab eo petiere, ut suo sibi munere accepto, eos jugularet: nunquam enim se pœnitentia ductum iri, si propter Christum totum corpus pro eo pœnas luat: quod dextra inconsiderate peccaverit, quæ et munus acceperit, et diis sacrificarit. Incidi quoque pedes sibi postulavere, qui tam importune ad donum capiendum accelerarint. Hæc imperator audiens, ira quidem commotus est:
C a cæde tamen eorum abstinuit, ne eos martyrii honore dignaretur, qui sic contumeliosi in eum fuissent. Exauctoratos vero ex aula imperiali exegit. In his fuere Jovinianus ille, Valentinianus, et Valens, qui post eum imperavere. Atque isti quidem sic se gessere. Quicunque vero non animo recto sacra Christianorum colebant, et veram beatitudinem honoribus caducis et pecuniæ posthabebant, absque timore ad sacrificandum et imperatori gratificandum procurrere: qualis etiam fuit sophista Constantinopolitanus Ecebolius, qui veluti quidam Euripus imperatorum moribus sese accommodavit. Sub Constantio enim, ardore ingenti Christianam religionem si quis alius coluit: ubi autem Julianus animum ad Græcam superstitionem
D appulit, horrendo prorsus modo animum mutavit, Græcasque ineptias et superstitionem, si quis alius, et ipse quammaxime est complexus. Post hunc porro rursum Christianum se esse professus est. In faciem enim supinus pro ecclesiæ foribus provolutus, mistis cum clamore lacrymis, miserabiliter est vociferatus: « Proculcate me salem fatuum. » Tales illi fuere: talis et Ecebolius et antehac et postea fuit.

ΚΕΦΑΛ. ΚΔ'.

Περὶ τῶν καθ' ἡμῶν νομοθεσιῶν αὐτοῦ· καὶ ὡς χρήματα συλλέγειν ἤρχετο.

Ὁ δὲ βασιλεὺς ἐν τοιούτοις ὢν περὶ πάντας Χριστιανοὺς, ἀφορμῆς λαβόμενος, καίπερ μηδὲν ἐγκαλεῖν ἔχων· ὅτι δὲ μὴ θύειν ᾔρουντο, μὴ πολιτεύεσθαι καὶ τῶν ἴσων τοῖς ἄλλοις ἀξιοῦσθαι ἐνομοτέθει γερῶν· μήτε μὴν στρατεύεσθαι κατὰ τὰ βασίλεια·

53 CAPUT XXIV.

De constitutionibus ejus contra nos publicatis, et ut pecunias colligere cœperit.

Imperator tam infesto cum esset in Christianos omnes animo, opportunitate ea arrepta, quamvis quod eis criminis loco objiceret, non habebat: tamen quod sacrificare noluissent, constitutione sanxit, ne illi cum aliis rempublicam administrarent, neve hono-

res caperent, aut in aula imperatoria mererent. Conventibus solennibus et foro eos exegit. A judicandi quoque munere, et magistratibus dignitatibusque gerendis removit. Et legem talem ferens, illud addidit: Christianas sanctiones statuere, gladio adversus eos utendum non esse, qui capitalia crimina committerent. Occasionem quoque suam esse ratus, bellum quod contra Persas, qui Orientem percurrebant, gerendum erat, quod sine pecunia nihil se recte gesturum existimaret, dolum, ut eam a Christianis exigeret, est commentus. Et quicunque diis sacrificare nollent, eis pecuniæ multam grandem dixit. Itaque cernere tum erat perquam acerbam Christianorum condemnationem, a quibus ea etiam quæ minime habebant, exigebantur, cum quidem alii omnes pro bonorum suorum facultatibus tributum penderent. Ita imperator subito per iniquam pecuniæ exactionem copiosus est factus. Quo tempore etiam Græci libere quodcunque illis visum esset, facientes, nobis insultarunt: et undequaque philosophorum colluvies confluebat, qui vetera gentilium sacra renovarunt, extisque inspiciendis et haruspicinæ vacarunt: adeo ut pueros masculos et femellas impuberes atque incorruptos, ad aras deorum mactarint, et carnes eorum degustarint. Atque hæc cum aliis in urbibus, tum maxime Athenis et Alexandriæ fecerunt. Ubi quod Athanasius episcopus flagitiis tantis obstitisset, studio et opera eorum exsilio multatus est. Qui navi per Nilum in Ægyptum tendens, cursu deinde converso in eamdem urbem rediit, sicuti paulo ante retulimus. Porro provinciarum rectores talem imperatoris religionem, opportunitatem suam esse censentes, gravius etiam quam imperator jubebat, Christianos affligebant, ampliorem pecuniam extorquentes, et plagas etiam eam ob causam corporibus ingerentes. Quod imperator cognitum parvifecit, et Christianis eum accedentibus, molestiamque propterea ei facessentibus, respondit: « Lex vobis a Christo tradita est, ut male tractati fortiter ærumnas feratis, et injuria affecti ne responsetis. » **54** Et id ex eo satis liquet, quod Amachius fecit, ut supra memoravimus. Verum non absurdum fuerit, rem eam, quod in primis memoria digna sit, paucis repetere. In parva provinciæ Phrygiæ urbe, delubrum quoddam deorum a diuturno situ et squalore repurgare, et simulacra diligenti cura restituere is jussit. Idque, ut mandatum fuerat, factum. Ea res dolorem maximum Christianis attulit. Nonnulli igitur, Macedonius videlicet, et Theodulus, et Tatianus, quod indignitatem eam ferre non possent, flagranti æmulatione incensi, noctuque fanum ingressi, statuas confregere. Præfectus eo facto ad iram concitatus, multos qui ejus rei culpa vacarent, neci dedere instituit. Et ecce facinoris egregii patratores seipsos deferentes adsunt, pulchrius esse ducentes, ut ipsi morerentur, quam alios sua causa nullo illorum commerito *periclitari cernerent*. Præfectus noxam illis, si sa-

A συλλόγων δὲ καὶ ἀγορῶν ἐξώθει· καὶ τοῦ δικάζειν, ἢ ἄρχειν, ἢ ἀξιωμάτων κοινωνεῖν, ἀπεῖργε. Καὶ ταῦτα ἐνομοθέτει, ἐπιλέγων, μὴ χρῆσθαι ξίφει κατά τινων, τῶν ἄξια εἰργασμένων θανάτου. Πρόφασιν δὲ καὶ τὴν πρὸς Πέρσας εὑρὼν ἄμυναν, τὴν Ἕω κατατρεχόντων· λογισάμενος ὡς χρημάτων ἄνευ οὐδέν τι κατορθοῦσθαι δύναται, δολίως ἐπενόει παρὰ τῶν Χριστιανῶν συλλέγειν τὰ χρήματα. Τῷ γὰρ μὴ θύειν ᾑρημένῳ, ζημιοῦν ἐς χρήματα ἔλεγε. Καὶ ἦν ἰδεῖν πικράν τινα καταδίκην κατὰ Χριστιανῶν, ἀπαιτουμένων ὅπερ ἥκιστα εἶχον· καίπερ πάντων εἰσφερόντων ἀναλόγως τῇ κτήσει. Καὶ ἐξαπίνης ὁ βασιλεὺς πλούσιος ἦν ἐκ τῆς ἀδίκου συλλογῆς τῶν χρημάτων. Ὁπηνίκα καὶ Ἕλληνες ἀδεῶς ἡμῶν κατατρέχοντες, πᾶν τὸ δόξαν δρᾷν
B εἶχον. Καὶ πανταχοῦ ξυῤῥοιά τις φιλοσόφων συνέτρεχε· καὶ τὰς ἐξ ἀρχαίου ἀνεκαίνιζον τελετάς· καὶ σπλάγχνοις καὶ ἡπατοσκοπίαις ἐσχόλαζον· ὡς καὶ παῖδας ἄῤῥενάς τε καὶ θηλείας καταθύειν ἀφθόρους, καὶ τῶν σαρκῶν ἀπογεύεσθαι. Καὶ ταῦτ' ἔπραττον καὶ κατὰ τὰς ἄλλας μὲν πόλεις, μάλιστα δ' ἐν Ἀλεξανδρείᾳ· ἔνθα δὴ τοῦ ἐπισκόπου ἀντιπράττοντος Ἀθανασίου σκευωρίαις ἐκείνων, φυγὰς πλοίῳ διὰ τοῦ Νείλου εἰς Αἴγυπτον πορευόμενος, λαθὼν τὴν Ἀλεξάνδρειαν εἴσεισιν, ὡς μικρὸν ὄπισθεν διελάβομεν. Οἱ δέ γε τῶν ἐπαρχιῶν ἄρχοντες, τὸ θρησκεύειν οὕτω τὸν βασιλέα οἰκεῖον λογισάμενοι κέρδος, καὶ μεῖζον ἢ ἐκέλευε βασιλεὺς, τὰ Χριστιανῶν κακῶς ἔπραττον· χρήματα μὲν πολλῷ
C πλείονα εἰσπραττόμενοι, καὶ σώμασι δ' ἐπῆγον οὐ μετρίας διὰ ταῦτα πληγάς. Ἃ δὴ καὶ βασιλεὺς μανθάνων, ἐν οὐδενὶ ἐποιεῖτο· προσιοῦσι δὲ Χριστιανοῖς καὶ δι' ὄχλου αὐτῷ γινομένοις, ἀντέλεγε· « Νόμος ἐστὶν ὑμῖν εἰρημένος Χριστῷ, πάσχοντας κακῶς, ὑποφέρειν γενναίως, καὶ ἀδικουμένους μὴ ἀντιλέγειν. » Καὶ τοῦτο δῆλον ἐξ ὧν Ἀμάχιος διεπράξατο, ὡς μικρῷ πρόσθεν εἰρήκαμεν. Οὐ μὴν ἀπᾷδον ἂν δόξῃ, καὶ αὖθις ἐπιδραμεῖν διὰ τὸ εὐμνημόνευτον τὴν διήγησιν. Ἔν τινι γὰρ μικρᾷ πόλει τῆς ἐπαρχίας Φρυγίας εἰδωλικόν τι τέμενος ἐκκαθαίρεσθαι τὸν ἐκ τοῦ χρόνου ῥύπον, καὶ τὰ ἀγάλματα ἐπιμελείας τῆς προσηκούσης ἐκέλευεν ἀξιοῦν. Τὸ μὲν οὖν ἔργον ἐγίνετο· τοῦτο δὲ διὰ λύπης μάλιστα ἦν τοῖς Χριστιανοῖς. Καὶ δή τινες μὴ
D τὸ θλίβον στέγειν δυνάμενοι (Μακεδόνιος καὶ Θεόδουλος ἦσαν οὗτοι, καὶ Τατιανὸς), ζήλῳ διαθερμανθέντες, νυκτὸς εἰσιόντες τὸ τέμενος, συντρίβουσι τὰ ἀγάλματα. Τοῦ δὲ ἡγεμόνος τοῖς πεπραγμένοις ἀσχάλλοντος, καὶ πολλοὺς τῶν ἀναιτίων κτείνειν σπουδάζοντος, καταγγέλλουσιν ἑαυτοὺς οἱ αὐθένται τοῦ ἔργου· μᾶλλόν τε αὐτοὶ θνήσκειν ᾑροῦντο, ἢ ἄλλους ἀναιτίους ὁρᾷν ὑπὲρ αὐτῶν κινδυνεύοντας. Ὁ δὲ ἄρχων διαλύειν τὸ ἀδίκημα τὸ αἱρεῖσθαι θύειν ἐκέλευε, μὴ βουλομένοις δ' ἀναιρεῖν, ἠπείλει. Οἱ δ' εὐγενεῖς ἐκεῖνοι καὶ τὴν ψυχὴν ἀδαμάντινοι πάνθ' ἕτοιμοι μᾶλλον ἦσαν πάσχειν, ἢ ταῖς θυσίαις μολύνεσθαι. Πολλαῖς οὖν πρότερον βασάνοις τοὺς ἁγίους ἄνδρας ἐκείνους κατασείσας, ἐπεὶ μὴ πείθειν εἶχε, τέλος ἐπ' ἐσχάραις αὐτοὺς θέμενος, καὶ

πῦρ λάβρον ὑπανάψας αὐτοῖς, οὕτω διέφθειρεν. Οἱ δὲ πρὸς τοσαύτην ὠμότητος ὑπερβολὴν, τηνικαῦτα τὴν τῆς ἀνδρίας ἐπεδείξαντο κορωνίδα, τὴν ἀοίδιμον ἐκείνην ἐπειπόντες φωνήν· « Εἰ ὀπτῶν, ὦ Ἀμάχιε, κρεῶν ἐπιθυμεῖς ἀπογεύσασθαι, κἀπὶ τὰς ἑτέρας στρέψον ἡμᾶς πλευρὰς, ἵνα μὴ τὰ πρὸς γεῦσιν ἡμίοπτοί σοι φανῶμεν καὶ ἀηδίας μεστοί. » Ἀλλ' οὕτω μὲν οἱ γενναῖοι τὸ τοῦ μαρτυρίου διήνυσαν στάδιον.

crificent, remitti jubet. Atque id illis abnuentibus, minas intentat. At præclari illi adamantinis animis viri, omnia potius perpeti, quam ut sacrificiis se contaminent, sunt parati. Ilicet ille viros sanctos multis primum excruciatos tormentis, ubi quod volebat, eis non persuasit, postremo craticulis imponit, ignem plurimum subjicit, atque ita interimit. Porro illi crudelitatem præfecti tantam, fortitudinis tum suæ coronidem esse ostendunt, præclara illa edita voce : « Si assas carnes degustare cupis, Amachi, in alterum latus nos verte, ne semicrudi et ad edendum parum tibi suaves reddamur. » Ad eum modum generosi isti viri in martyrii stadio decurrerunt.

ΚΕΦΑΛ. ΚΕ'.

Ὅτι πρὸς τοῖς ἄλλοις ὁ ἀποστάτης καὶ τῆς Ἑλληνικῆς παιδείας νόμῳ ἀπεῖργε Χριστιανούς· καὶ ὅπως Γρηγόριος ὁ μέγας, καὶ οἱ ἐκ Σύρων Ἀπολλινάριοι, τὰς θείας Γραφὰς παντοίοις μέτροις καλλύναντες, τῷ ἐκείνου σκοπῷ ἀντετάξαντο.

Πρὸς δὲ δὴ τοῖς ἄλλοις καὶ νόμῳ ἐκέλευε Χριστιανῶν παῖδας μὴ παιδεύσεως μετέχειν Ἑλληνικῆς· μηδὲ τοὺς παρ' ἐκείνοις ποιητὰς καὶ συγγραφέας διδάσκεσθαι, οὐδὲ τοῖς παρ' ἐκείνοις διδασκαλείοις φοιτᾷν· ἵνα μὴ, φησὶ, τὰς γλώσσας ἀκονώμενοι, ἐν ἑτοίμῳ εἶεν πρὸς τοὺς παρ' ἡμῖν ἀντικαθίστασθαι διαλεκτικοὺς, καὶ σεμνύνειν μὲν τὰ ἑαυτῶν, εὐέλεγκτα δὲ δεικνύωσι τὰ ἡμέτερα. Ἐλύπουν γε μὴν τοῦτον οὐ μέτρια Γρηγόριος καὶ Βασίλειος οἱ Καππαδόκαι, παντοδαπὴν ἐπιδεδειγμένοι τέχνην, καὶ τοὺς τότε ῥήτορας μεγέθει φύσεως ὑπερβάλλοντες· καὶ μᾶλλον Γρηγόριος, πρὸς παντοῖα ποιήσεων εἴδη μεταπλάττων τοὺς λόγους, ἃ ἔπη ὠνόμασε· καὶ ἄλλοι πλεῖστοι ἄνδρες ἐλλόγιμοι· ὧν οἱ μὲν τὴν ἐν Νικαίᾳ πίστιν ἐζήλουν, οἱ δὲ τὴν Ἀρείου συνεκρότουν δόξαν· ἔτι δὲ καὶ οἱ ἐκ Σύρων Ἀπολλινάριοι, πρὸς πᾶσαν ἰδέαν λόγου καὶ οὗτοι παρεσκευασμένοι· οἳ καὶ φανερώτεροι ἐντεῦθεν μᾶλλον κατέστησαν. Πατὴρ δὲ ἦσαν οὗτοι καὶ υἱός· ὁμώνυμοι καὶ ἄμφω ἴδρις λόγων παντοίων· ὁ μὲν γὰρ πατὴρ γραμματικῶν, σοφιστικῶν δὲ ὁ υἱός. Ἐπίσης δὲ χρειώδεις ἑαυτοὺς παρεῖχον Χριστιανοῖς τῷ καιρῷ, ἐγκαίρως τῇ πολυμαθίᾳ καὶ τῇ φύσει χρησάμενοι. Ὁ μὲν γὰρ, ἅτε δὴ γραμματικὴν εἰς ἄκρον ἀκριβωσάμενος, ἀντὶ μὲν τῆς Ὁμήρου ποιήσεως ἡρωϊκῷ μέτρῳ τὴν Μωσέως βίβλον καὶ τὴν Ἑβραίων ἀρχαιολογίαν συνέταττεν, ἄχρι δὴ καὶ τῆς βασιλείας τοῦ Σαοὺλ κατελθών. Εἰς εἰκοσιτέσσαρα δὲ τμήματα τὴν τοσαύτην πραγματείαν διεῖλεν, ἑκάστῳ τμήματι τοῖς παρ' Ἕλλησι στοιχείοις τὴν προσηγορίαν θέμενος, κατὰ μίμησιν τῆς Ὁμήρου ποιήσεως· καὶ τραγῳδίαν δραματικὴν ἐξειργάζετο, τὸν Εὐριπίδην μιμούμενος, καὶ τὴν Πινδάρου λύραν. Καὶ πρὸς τὰς κωμῳδίας Μενάνδρου εἰκασμένας ὑποθέσεις ἐτίθει· παντί τε μέτρῳ ῥυθμικῶς ἐχρῆτο· ἁπλῶς τε φάναι, ἐκ τῶν θείων Γραφῶν τὰς ἀφορμὰς λαμβάνων, ἰσαρίθμους ὑποθέσει τῶν ἐγκυκλίων καλουμένων μαθημάτων ἐπενόει, τὰς πραγματείας ἐν ἐλαχίστῳ χρόνῳ αὐτὰς συντεθεὶς, ἔν τε ἤθει καὶ φράσει καὶ

CAPUT XXV.

Ut insuper apostata, lege lata, Christianis Græcarum artium et institutionum litteris interdixerit : et ut Gregorius magnus, et duo Apollinares Syri, sacras Scripturas omni genere carminum expolientes, consilio et instituto ejus obstiterint.

Ad hæc, ne Christianorum pueri Græcis disciplinis erudirentur, aut poetas scriptoresque eorum legerent, scholasve publicas frequentarent, lege cavit : Ne linguis eorum, inquit, acumine perpolitis, facile disputatoribus nostris resistere, et sacra quidem sua amplificare, religionem autem nostram refellere facile queant. **55** Non parvum enim ei dolorem movere Gregorius et Basilius Cappadoces, qui omnigenam artem suam rebus multis declaraverant, ejus temporis oratores, ingenii præstantia longe superantes : præcipue Gregorius, qui verba etiam variis poematum generibus inclusit, eaque versus nominavit : et alii quamplurimi spectati viri, quorum nonnulli Nicænam sequebantur fidem, quidam Arii opinionem comprobabant. Syri etiam Apollinares, omni dicendi genere probe instructi, præclari maxime eo studio evasere, pater et filius sibi cognomines, et disciplinarum omnium periti. Et pater quidem grammaticus insignis, filius autem inter sophistas et rhetores celebris fuit. Uterque sane eo tempore utilem Christianis se præbuit, opportune et commode ingeniis suis et multijuga doctrina usi. Grammaticus enim artis suæ peritissimus, pro Homeri poemate, heroicis versibus Mosæ libros et veteres Hebræorum res usque ad Sauli regnum composuit : atque id opus in viginti et quatuor libros divisit, libro quolibet Græcorum elementorum appellatione, juxta illorum ordinem et numerum, ad Homericæ poesis imitationem inscripto. Edidit quoque, Euripidem æmulatus, tragicos actus. Pindari etiam lyram attigit, et comica argumenta ad Menandri exemplum tractavit, uniuscujusque carminis legibus rite servatis : atque, ut semel dicam, sumpta ex divinis litteris materia, argumentis eis tractandis, librisque componendis, numerum Cyclicarum, quæ vocantur, et inter se in orbem cohærent, disciplinarum æquavit : idque brevi admodum tempore est assecutus. Ita ut illi, habitu, elocutione, et dispositione nihil ab eis dif-

ferrent, qui apud Græcos hisce studiis gloriam sunt adepti, et nullus Græcæ doctrinæ modus Christianis incognitus esset. Alter autem Apollinaris junior et rhetor, eloquentiæ consultus, sacra Evangelia et epistolas Pauli in Dialogis, Platonis formam et stylum referens, ita exposuit, ut nisi homines antiquitatis venerandæ prærogativam observarent, consuetisque delectarentur, nihil profecto eis concederet, qui apud Græcos itidem maxime celebrantur, neque minus nostrorum quam illorum lucubrationes admirationi essent, et ediscerentur.
56 In primis vero istorum ingenii felicitatem suspicere convenit. Veterum enim quilibet in una quapiam re studium omne posuit. Isti vero in omni doctrina cum laude exercitati, quotiescunque usus postularet, cum stylum feliciter prius expolivissent, egregie res et sententias Christianorum tractarunt atque confirmarunt. Et imperatoris versutam calliditatem strenue refellerunt, atque adeo librorum solerti acumine fortiter convicerunt. Ego vero et Psalmorum librum heroico carmine ab patre optime expressum inveni. Insignem quoque junior Apollinaris librum elucubravit ad imperatorem ipsum, sive ad philosophos Græcos, quem de Veritate inscripsit : in quo etiam absque sacrarum litterarum testimoniis clare ostendit, longe eos a recta de Deo opinione abesse. Imperator namque eas ipsas litteras irridens, et religionem nostram ludibrio habens, ad primarios ejus temporis antistites hæc verba de libris nostris scripserat : *Legi, cognovi, damnavi*. Ad quem nomine omnium quemdam ita rescripsisse ferunt : *Legisti, sed non cognovisti; si enim cognovisses, non damnasses*. Basilii vero responsum id esse dicunt, qui eo tempore Cappadociæ ecclesias episcopus curavit. Neque adeo dissentaneum est, id scriptum ejus esse. Sed sive illius, seu alterius sit, admiratione dignus vir talis esse videtur, et dicendi libertatis et eruditionis causa. Atque hæc quidem imperator egit, et hæc Apollinares etiam resistentes ei elaborarunt.

οἰκονομίᾳ· ὡς μηδὲν διαφέρειν τῶν παρ' Ἕλλησι τούτοις εὐδοκιμησάντων· ὡς ἂν μηδεὶς τρόπος τῆς Ἑλληνικῆς παιδείας τοῖς ἠρημένοις Χριστιανίζειν ἀνήκοος ᾖ. Ὁ δέ γε νεώτερος Ἀπολλινάριος, εὖ πρὸς τὸ λέγειν ἠγμένος, τά τε ἱερὰ Εὐαγγέλια καὶ τὰς Ἐπιστολὰς Παύλου διαλογικῶς ἐξετίθει, Πλάτωνι τὸ σχῆμα καὶ τὴν φράσιν ἐξεικασμένος· ὥστ' εἰ μὴ τὸ ἀρχαιότητι διαφέρον ὡς αἰδέσιμον ἐτίμων οἱ ἄνθρωποι, καὶ τὸ σύνηθες φίλον ἐνόμιζον, οὐδὲν ἂν ἐνέλιπεν ἐπίσης τοῖς παρ' Ἕλλησιν ἐπισήμοις, καὶ τὰς τούτων σπουδὰς θαυμάζεσθαί τε καὶ ἐκδιδάσκεσθαι· μάλιστα δὲ τὸ εὐφυὲς τούτων διὰ θαύματός ἐστιν· ἕκαστος γὰρ τῶν ἀρχαίων, περὶ ἕν τι μόνον κατέτεινε τὴν σπουδήν. Οἱ δὲ τὴν ἐν λόγοις πάντων ἀσκήσαντες ἀρετὴν, χρείας καλούσης τοὺς τύπους ἀναμαξάμενοι εὐφυῶς, οὐκ ἐλάχιστα τὰ Χριστιανῶν συνεκρότουν, τὸ τοῦ κρατοῦντος σόφισμα εὐγενῶς διαλύοντες, καὶ κατὰ κράτος νικῶντες ταῖς ἐπινοίαις τῶν λόγων. Ἐγὼ δὲ καὶ τὸ τῶν Ψαλμῶν βιβλίον εὗρον αὐτοῦ ἡρῴῳ μέτρῳ εὐφυῶς μετεσκευασμένον. Οὐκ ἀγεννὴς δὲ τῷ νέῳ Ἀπολλιναρίῳ καὶ λόγος πεπόνηται πρὸς τὸν βασιλέα· εἴτουν πρὸς τοὺς παρ' Ἕλλησι φιλοσόφους· ὃν *Ὑπὲρ ἀληθείας* ὑπέγραψεν. Ἐν ᾧ δείκνυσι πόῤῥω που γεγονότας τοῦ ὀρθῶς περὶ Θεοῦ φρονεῖν. Ὁ γὰρ βασιλεὺς, ὥσπερ ἐμπαίζων, καὶ τὰ ἡμέτερα ἐπιτωθάζων, τοῖς τότε τῶν ἐπισκόπων προέχουσι, τάδε ἐπέστελλεν· *Ἀνέγνων, ἔγνων, κατέγνων*. Ἕνα δέ τινα ὡς ἐκ πάντων τάδ' αὖθις φασιν ἀντιγράψαι· *Ἀνέγνως, ἀλλ' οὐκ ἔγνως· εἰ γὰρ ἔγνως, οὐκ ἂν κατέγνως*. Βασιλείου δέ φασιν εἶναι τὸ γράμμα, τῶν ἐν Καππαδοκίᾳ ἐκκλησιῶν τηνικάδε τὴν ἐπιτροπὴν ἔχοντος. Καὶ οὐδὲν ἀπεικὸς ἐκείνου εἶναι τὸ σύγγραμμα. Εἴτε γοῦν ἐκείνου, εἴτ' ἄλλου τοῦτό ἐστι, διὰ θαύματος δίκαιον ἡγεῖσθαι τὸν ἄνδρα, τῆς τε παῤῥησίας καὶ τῆς παιδεύσεως ἕνεκα. Τοιαῦτα μὲν ὁ βασιλεὺς, τοιαῦτα δὲ καὶ οἱ Ἀπολλινάριοι ἦσαν αὐτῷ ἀντιπράττοντες.

CAPUT XXVI.

De Græcis et ethnicis artibus et litteris, etiam Christianis pietatem consectantibus eas utiles esse, easque Christianos addiscere oportere.

Verum enim vero providentia divina, simul et imperatoris consilio atque impetu, et non minus Apollinarium studio et opera, longe fuit potentior. Imperatoris enim constitutiones, ipso sublato, sicuti mox oratione progressi dicemus, brevi evanuerunt. Et illorum lucubrationes postea non in magno fuere pretio, perinde atque editæ non fuissent. Sed occurret mihi forte quisquam : Quid hoc est quod dicis? inquiens. Utilem certe Christianæ reipublicæ minime diuturnam imperatoris adversus nos contentionem (1) fuisse, atque id divinæ Providentiæ accepto ferendum esse, quilibet sane dicat. Verum Apollinarium studium, quod Christianismo impenderunt, rejicere, et Christianos, rursum Græcas disciplinarum institutiones in manibus versare,

ΚΕΦΑΛ. ΚϚ'.

Περὶ τῆς Ἑλληνικῆς παιδείας, ὅτι χρήσιμος καὶ ἡμῖν, εὐσεβεῖν ἐθέλουσι· καὶ ὡς χρεὼν ταύτην μετέρχεσθαι.

Ἡ γε μὴν θεϊκὴ πρόνοια μείζων μὲν ἑωρᾶτο τῆς τοῦ βασιλέως καὶ φρενὸς καὶ ὁρμῆς· οὐχ ἥκιστα δὲ καὶ τῆς τῶν Ἀπολλιναρίων σπουδῆς. Αἱ μὲν γὰρ τοῦ βασιλέως καθ' ἡμῶν νομοθεσίαι οὐκ εἰς μακρὰν διεῤῥύησαν, ἐκποδὼν ἐκείνου γεγενημένου, ὡς προϊόντες δηλώσομεν· αἱ δ' ἐκείνων σπουδαὶ ἐν οὐδενὶ λόγῳ κατέστησαν. Ἀλλ' ἀπαντήσοι τάχα τις ἴσως, Πῶς οὕτω φῂς; εἰπών· λυσιτελῆ μὲν γὰρ τῷ Χριστιανισμῷ φανῆναι τὴν τοῦ βασιλέως ταχίστην διαφορὰν, τῆς θείας εἶναι προνοίας πᾶς τις ἂν εἴποι· τὸ δὲ τὴν τῶν Ἀπολλιναρίων σπουδὴν ὑπὲρ Χριστιανῶν ἀπωσθῆναι, καὶ πάλιν τὴν Ἑλληνικὴν παιδείαν μεταχειρίζεσθαι τοὺς Χριστιανοὺς, οὐκ ἄν τις ἐρῇ πρὸς λυσιτέλειαν εἶναι τῷ Χριστιανισμῷ· ἐπιβλαβῆ καὶ γὰρ εἶναι τὸν Ἕλληνα λόγον, πολυ-

(1) Legere velim Græce διαφθορὰν, Latine promptum imp. interitum. Edit.

θεῖαν καὶ μύθους καὶ ψεῦδος διδάσκοντα. Ἀλλ' ἡ- A μεῖς πρὸς ταῦτα ταχίστην ἐπάξομεν τὴν ἀντιλογίαν. Τὴν Ἑλληνικὴν παίδευσιν οὔτε Χριστὸς αὐτὸς, οὔτε οἱ τούτῳ φοιτήσαντες, φαίνονταί που ὡς ἀγαθὴν παραδοχῆς ἀξιώσαντες, οὐθ' ὡς ἐπιβλαβῆ παρωσάμενοι. Καὶ τοῦτο μὴ ἄνευ θείας προνοίας οἶμαι πεποιηκέναι. Ἐντεῦθεν καὶ γὰρ οὐκ ὀλίγοι τῶν παρ' Ἕλλησι φιλοσοφησάντων οὐ μακρὰν τοῦ γνῶναι Θεὸν ἐγένοντο. Καί γε δείκνυται τοῦτο, οἷς καί τινες γενναίῳ λόγῳ ἀπαντᾷν ἔγνωσαν πρός τε τὰ Ἐπικούρου φρονοῦντας· ὃς ἀθεΐαν εἰσῆγε, καὶ αὐτόματον εἰσηγεῖτο· καὶ τὸ ἀπρονόητον εἶναι τὸν κόσμον περιφανῶς ἐδογμάτιζε. Καὶ εἰς ἔλεγχον ἐκείνους κατέστησαν τὴν ἀμαθίαν αὐτῶν ἀνατρέποντες. Χρείαν δ' οὐκ ἐλαχίστην εἰσενεγκόντες ἡμῖν, τἀληθὲς τῆς εὐσεβείας διώκουσιν. B Οὐ μὴν οὕτως ἡγμένοι, καὶ τὸ κεφάλαιον, μᾶλλον δὲ τὸ κορυφαῖον τοῦ λόγου κρατῆσαι τούτοις ἐγένετο· τοῦ γνῶναι δηλαδὴ τὸ ἐν τῷ βάθει κρυπτόμενον πρὸ τῶν αἰώνων· τὸ κατὰ Χριστόν φημι θεῖον μυστήριον· ὃ δὴ καὶ ὁ Παῦλος ἐν τῇ πρὸς Ῥωμαίους οὕτως ἔχειν παρίστησι τούτοις τοῖς ῥήμασιν· *Ἀποκαλύπτεται γὰρ ὀργὴ Θεοῦ ἀπ' οὐρανοῦ ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων τῶν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατεχόντων. Διότι τὸ γνωστὸν τοῦ Θεοῦ φανερόν ἐστιν ἐν αὐτοῖς· ὁ γὰρ Θεὸς αὐτοῖς ἐφανέρωσε. Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται· ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης· εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους, διότι γνόντες τὸν Θεὸν, οὐχ ὡς Θεὸν* C *ἐδόξασαν.* Φαίνονται μὲν οὖν διὰ τούτων ἀληθείας μὲν ἔχοντες γνῶσιν, ἣν Θεὸς αὐτοῖς δήλην καθίστησιν· ἐν ἐλέγχῳ δ' εἰσὶν, ὅτι γνόντες αὐτὸν Θεὸν, οὐχ ὡς ἐχρῆν οἷα Θεῷ τὸ σέβας ἔνειμαν. Ἐντεῦθεν οὖν ἔοικε τῇ γνώμῃ καταλελεῖφθαι τῶν ἠρημένων, τὰ Ἑλλήνων μετέρχεσθαι, καὶ διὰ τοῦτο μὴ παρ' ἐκείνων ἐκβληθῆναι τὴν παίδευσιν. Καὶ εἷς μὲν λόγος οὗτος ἡμῖν ἐνταῦθα κείσθω· ἕτερος δὲ καὶ οὗτος· αἱ τοῦ Σωτῆρος ῥήσεις θεῖα μὲν ὄντως δόγματα καὶ διδάγματα, ὀρθόν τε βίον καὶ εὐλάβειαν τοῖς ἑπομένοις σφίσι διδάσκουσι· πρὸς δὲ καὶ πίστιν θεοφιλῆ τοῖς σπουδαίοις παρέχουσιν. Ἥκιστα δὲ καὶ τέχνην διδοῦσιν, ὥσθ' ἱκανῶς ἔχειν τοῖς βουλομένοις γενναίως ἀνθίστασθαι, καὶ προσπαλαίειν ὑπὲρ αὐτῶν καλοῦντος καιροῦ. D Τὸ δ' ὅπλοις βάλλειν οἰκείοις τοὺς πολεμίους σφόδρα γενναῖον καὶ ἀνδρικόν. Τοῦτο δ' ἐλάχιστον ἦν τοῖς τὰ Χριστιανῶν ἑλομένοις, δι' ὧν οἱ Ἀπολλινάριοι καταλελοίπασι συγγραμμάτων. Ὃ δὴ τ' ἀκριβῶς εἰδὼς καὶ ὁ Ἰουλιανὸς, νόμῳ ἀπεῖργε τὰ Ἑλλήνων Χριστιανοὺς ἐκπαιδεύεσθαι. Καλῶς καὶ γὰρ ᾔδει, ὡς οἱ μῦθοι παρ' οὐδὲν τὴν ἐκείνου θήσουσι δόξαν· καὶ οὐ πόῤῥω διαβολῆς· ἃ καὶ Σωκράτης παρ' Ἕλλησιν ἐπὶ φιλοσοφίᾳ τὸ διαβόητον ἐσχηκὼς, παρ' οὐδὲν λογισάμενος, ὡς τὰ ἐκείνων παραχαράττειν ἀρξάμενος, καὶ νέα εἰσάγειν δαιμόνια, ἀπεώσθη κατακριθείς· καὶ τρίτον δοκίμους ἡμᾶς εἶναι τραπεζίτας ὁ θεῖος λόγος παρεγγυᾷ·

57 vix quispiam religioni nostræ commodum esse existimaverit: quod Græci libri detrimentum nobis afferant, deorum multitudinem, fabulas et mendacia docentes. Adversus objectionem istam statim responsum nostrum afferemus. Doctrinam Græcorum neque Christus ipse, neque ejus discipuli videntur, vel recipiendam esse ut bonam et divinitus inspiratam, vel rejiciendam ut noxiam et incommodam, censuisse. Atque id non sine providentia Dei factum esse opinor. Non pauci enim apud Græcos philosophi, non longe a cognitione Dei abfuere. Declarat id, quod nonnulli præstantibus libris adversus Epicuri sectatores pugnarunt, qui nullos deos esse asseruit, omniaque fortuito et sua sponte exsistere sensit, et mundum nulla providentia regi aperte docuit. Eos illi redarguendo, et inscitiam eorum evertendo, confutarunt, proindeque non exiguam utilitatem nobis, qui veritatem rectæ pietatis sequimur, attulerunt. Sed enim quamvis eo sint progressi, non tamen caput ipsum, seu potius doctrinæ totius summum verticem attigere, ut videlicet quod in profundo occultatum a sæculis fuit, divinum inquam Christi mysterium, cognoscerent. Quod sane sic se habere, Paulus etiam in Epist. ad Romanos hisce verbis astruit: *Revelatur enim ira Dei de cœlo super omnem impietatem et injustitiam hominum, eorum qui veritatem in injustitia detinent. Quia quod de Deo cognosci potest, manifestum est in eis: Deus enim eis manifestavit. Nam invisibilia ipsius ex creatione mundi, per ea quæ facta sunt, intellecta perspiciuntur; sempiterna quoque ejus virtus, et divinitas: ita ut sint inexcusabiles, quia cum Deum cognoverint, non sicuti Deum glorificarunt*[1]. Ex quibus verbis illud satis liquet, veritatis illos quidem habere cognitionem, quam illis Deus apertam exhibuit. Reprehenduntur autem, quod Deo cognito, non ut Deum, pro eo atque oportuit, coluerunt. Proinde illa verborum istorum videtur esse nobis relicta sententia, consectandas esse quibus visum fuerit, Græcorum disciplinas, neque per ea rejectam liberaliorem doctrinam. Et una quidem ratio nostra sic habet, altera vero illa est: Servatoris dicta et divinitus inspiratæ Scripturæ, admirandæ quidem prorsus doctrinæ sunt et institutiones, rectam vitam et religionem veram nobis tradentes. Fidem insuper Deo gratam studiosis exhibent. 58 Minime vero nos disserendi docent artem: ut satis idonei simus, cum velimus, tempore flagitante, pro eis fortiter adversariis resistere, easque colluctando defendere. Porro suis ipsius armis hostem ferire, strenui admodum et fortis viri est. Id vero ipsum Christianis ex lucubrationibus quas Apollinares reliquerunt, satis addiscere minime licuisset. Quod cum certo Julianus sciret, ne Christiani Græcorum doctrina imbuerentur, lege sanxit. Non etiam ignorabat, fabulas ethnicas famam et gloriam

[1] Rom. I, 18, 19.

A Ipsius obscuraturas (1), et criminationis causam adversus eum allaturas : quas etiam Socrates, inter Græcos philosophos præcipuam laudem consecutus, cum nihili faceret, veluti adulterare sacra Græcorum, et novos deos inferre inciperet, condemnatus est. Tertia ratio nostra hæc est. Spectatos nummularios nos esse divinum oraculum jubet, et ut pulcherrimum quodque ex rebus omnibus diligentes, quod malum est abjiciamus; quod bonum autem disquiramus, atque inventum retineamus; attenti quoque præcipue ut simus, ne quis prædam e nobis agat per inanem et vanam philosophicorum dogmatum seductionem. Id autem quomodo perspicere possimus, nisi in illorum subeamus arma? non equidem, ut eis usurpandis eadem quæ illi sentiamus ; sed ex abundanti, suis contra eos potius utamur telis. Et malum quidem aversemur, quod verum autem et opportunum est, legentes caute recipiamus. Ubicunque enim aliquid boni est, ipsius veritatis id est.

καὶ τὸ κάλλιστον ἐκλεγομένους ἐκ παντὸς τρόπου. διαῤῥίπτειν τὸ χεῖρον· τὸ δ' ἀγαθὸν αἱρεῖσθαι, καὶ εὑρόντας κατέχειν· ἐν προσοχῇ δ' εἶναι, μή τις συλαγωγεῖν αἱροῖτο κενῇ δόξῃ καὶ ἀπάτῃ τῶν ἐν φιλοσοφίᾳ δογμάτων. Τοῦτο δὲ πῶς ἂν ἔχοιμεν διειδέναι, εἰ μὴ τὰ ἐκείνων ὑπέλθοιμεν ὅπλα; Μὴ μέντοι δὲ καὶ τὰ ἐκείνων φρονεῖν, ἀλλ' ὡς ὅπλοις ἐκ περιουσίας οἰκείοις κατ' αὐτῶν χρῆσθαι. Καὶ τὸ μὲν κακὸν ἐκτρεπώμεθα· τἀληθὲς δὲ καὶ καίριον ἐκλεγόμενοι σὺν δοκιμῇ προσλαμβάνωμεν. Ὅπου γὰρ ἂν εἴη τἀγαθὸν, τῆς ἀληθείας ἐστίν.

B Quod si quis accuratiore persuasione nos hæc contorquere atque affectate dicere arbitretur, illud mihi consideret velim, ipsum divinissimum Paulum non solum Græcis doctrinis nobis non interdixisse, sed etiam alicubi in Epistolis suis, verbis earum usum esse, ut qui eas quoque attigerit. Videtur sane multa quæ a Græcis sunt dicta, didicisse. Nisi enim Epimenidis Cretensis oracula legisset, viri sacra et cæremonias instituentis (2), quomodo versum illum protulisset,

Cres semper mendax, mala bellua, venter obesus?

Unde etiam hemistichium illud sumpsisset,

Hujus namque sumus genus,

C si Arati astronomi Φαινόμενα, hoc est, de stellis apparentibus librum, non attigisset? Sed et illud,

Studiis obest convictus improbus bonis,

satis indicat, eum in Euripidis fabulis libenter versatum fuisse. Id quod itidem ante illum Solomon in eamdem sententiam **59** dixit. Verum quid opus est pluribus hanc rem persequi? Jam inde enim ab initio, veluti consuetudine et studio eo non interdicto, viri sancti favore et gratia Spiritus locupletes, et Ecclesiæ nostræ doctores insignes, a tenera ipsa ætate ad senectutem usque sedulo Græcorum libros legerunt : partim ad linguam sermonemque expoliendum, et mentem exercendam : partim ut ex rebus deterioribus id quod inest boni colligerent. Qua re illud etiam sunt assecuti, ut recte D Græcos in eo quod a decoro exciderunt, et per errorem lapsi sunt, damnare possent. Indicat hoc Basilius magnus, et Joannes, qui propter eloquentiæ suavitatem Chrysostomi nomen accepit : et magnus itidem in theologia Gregorius, qui hunc etiam locum de Græcis disciplinis in oratione funebri de magno Basilio tractat. Æquum sane est visum, cum locum tempestive huic operi, ad ea

Εἰ δέ τις ἡμᾶς πιθανότητι χρωμένους οἴεται βιαίως ταῦτα λέγειν, ἐκεῖνό γε μὴν σκοπείτω, ὡς ὁ θειότατος Παῦλος οὐ μόνον τὸν Ἕλληνα λόγον οὐ κεκώλυκεν ἐκπαιδεύεσθαι, ὥστε καὶ αὐτὸς φαίνεταί που τῶν λόγων ῥήμασιν ἐκείνων προσχρώμενος· ἅτε δὴ καὶ αὐτὴν μετελθών. Καὶ ἔοικέ γε πολλὰ τῶν εἰρημένων τοῖς Ἕλλησιν ἐγνωκώς· εἰ μὴ γὰρ τοὺς Ἐπιμενίδου τοῦ Κρητὸς ἀνέγνω χρησμοὺς, ἀνδρὸς ὀργιάζοντος, πῶς ἂν τὸ,

Κρῆτες ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί; προσήνεγκε,

Πόθεν δὲ πάλιν αὐτῷ ἐπῆλθεν εἰπεῖν τὸ,

Τοῦ γὰρ καὶ γένος ἐσμὲν,

εἰ μὴ τοῖς Φαινομένοις τοῦ ἀστρονόμου Ἀράτου προσέβαλεν; Ἀλλὰ μὴν καὶ τὸ,

Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαὶ,

δείκνυσι τοῦτον καὶ τοῖς Εὐριπίδου δράμασιν ἐμφιλοχωρήσαντα. Τοῦτο δ' ἴσως καὶ πρὸ ἐκείνου Σολομῶν εἴρηκε. Καὶ τί δεῖ πλείω περὶ τούτων διέρχεσθαι; ἀνέκαθεν γὰρ ὡς μὴ κεκωλυμένης συνηθείας, καὶ οἱ τοῦ Πνεύματος τὴν χάριν πλουτήσαντες θεῖοι ἄνδρες, καὶ τῆς καθ' ἡμᾶς Ἐκκλησίας γενναῖοι διδάσκαλοι, ἐκ πάνυ νέας τῆς ἡλικίας ἄχρι γήρως τὰ Ἑλλήνων ἀσκούμενοι διεγένοντο· τοῦτο μὲν, καὶ εὐγλωττίας χάριν καὶ γυμνασίας τοῦ νοῦ, τοῦτο δὲ, καὶ ἵν' ἐκ τοῦ χείρονος τὸ κρεῖττον καταλαμβάνωσιν, οὐ μετρίαν ἐπάγοντες αὐτοῖς τὴν κατάγνωσιν οἷς τοῦ δέοντος ἀπεσφάλησαν. Δείκνυσι τοῦτο Βασίλειος ὁ μέγας, καὶ ὁ τὴν γλῶτταν χρυσοῦς Ἰωάννης, καὶ ὁ πολὺς ἐν θεολογίᾳ Γρηγόριος· ὃς καὶ ταῦτα τῆς Ἑλληνικῆς χάριν παιδείας ἐν τῷ εἰς Βασίλειον ἐπιταφίῳ τὸν μέγαν διέξεισι· καλὸν γὰρ καὶ τούτων εἰς σύστασιν ἀπομνημονεῦσαι ἐπὶ καιροῦ τῷ παρόντι συντάγματι. Φαίνεται γὰρ οὐκ αὐτὸς μετελθὼν ἀρίστως μόνον, ἀλλὰ καὶ τοὺς ἄλλους προτρέπειν εἰς ἄσκησιν· καὶ εἰς ὕβριν τιθεὶς τοὺς ἐμ-

(1) Ex ethnicis scriptis optima quæque a piis ad Christianismum transferenda esse, docet August. IX, *De doctrina Christiana*, lib. II, cap. 40, illud tractans : *Petierunt ab Ægyptiis vasa argentea et aurea*. Id sedulo in libris *Stromatum* fecit Clemens Alexandrinus.

(2) Ὀργιάζοντος ἀνδρὸς τελετήν, Sozom.

ποδῶν καθισταμένους τοῖς ἠρημένοις παιδεύεσθαι. A Γράφει δὲ οὕτως·

quæ agimus comprobanda, inserere. Satis namque apparet, non ipsum solum optime in eis disciplinis eruditum esse: sed alios quoque illum ad eas discendas exhortari: simulque injuriarum eos accusare, qui eruditionem Græcam assectantibus obstant. Sic enim scribit:

« Οἶμαι δὲ πᾶσιν ἀνομολογεῖσθαι τῶν νοῦν ἐχόντων, παίδευσιν τῶν παρ' ἡμῖν ἀγαθῶν εἶναι τὸ πρῶτον· οὐ ταύτην μόνην τὴν εὐγενεστέραν καὶ ἡμετέραν, ἣ πᾶν τὸ ἐν λόγοις κομψὸν καὶ φιλότιμον ἀτιμάζουσα, μόνης ἔχεται σωτηρίας καὶ τοῦ κάλλους τῶν νοουμένων· ἀλλὰ καὶ τὴν ἔξωθεν, ἣν οἱ πολλοὶ Χριστιανῶν διαπτύουσιν ὡς ἐπίβουλον καὶ σφαλερὰν καὶ Θεοῦ πόῤῥω βάλλουσαν, κακῶς εἰδότες καὶ λίαν ἐπικινδύνως. Ὥσπερ γὰρ οὐρανὸν, καὶ γῆν, ἀέρα, καὶ ὅσα τούτων, οὐκ ἐπειδή τινες κακῶς ἐξειλήφασιν, B ἀντὶ Θεοῦ τὰ τοῦ Θεοῦ σέβοντες, διὰ τοῦτο περιφρονητέον· ἀλλ' ὅσον χρήσιμον αὐτῶν ἐκκαρπούμενοι, πρός τε ζωὴν καὶ ἀπόλαυσιν, ὅσον ἐπικίνδυνον διαφεύγομεν· οὐ τῷ Κτίστῃ τὴν κτίσιν ἐπανιστάντες, κατὰ τοὺς ἄφρονας, ἀλλ' ἐκ τῶν δημιουργημάτων τὸν Δημιουργὸν καταλαμβάνοντες· καὶ ὅ φησιν ὁ θεῖος Ἀπόστολος, αἰχμαλωτίζοντες πᾶν νόημα εἰς Χριστόν· ὡς δὲ καὶ πυρὸς καὶ τροφῆς, καὶ σιδήρου, καὶ τῶν ἄλλων, οὐδὲν καθ' ἑαυτὸ χρησιμώτατον ἴσμεν ἢ βλαβερώτατον, ἀλλ' ὅπως ἂν δοκῇ τοῖς χρωμένοις· ἤδη δὲ καὶ τῶν ἑρπυστικῶν θηρίων ἔστιν ἃ τοῖς πρὸς σωτηρίαν φαρμάκοις συνεκεράσαμεν· οὕτω καὶ τούτων, τὸ μὲν ἐξεταστικόν τε καὶ θεωρητικὸν ἐδεξάμεθα· ὅσον δὲ εἰς δαίμονας φέρει καὶ ἀπωλείας βυθὸν, διεπτύσαμεν. C Ὅτι μὴ κἀκ τούτου πρὸς θεοσέβειαν ὠφελήμεθα, ἐκ τοῦ χείρονος τὸ κρεῖττον καταμαθόντες, καὶ τὴν ἀσθένειαν ἐκείνων ἰσχὺν τοῦ καθ' ἡμᾶς λόγου ποιησάμενοι. Οὐκ οὖν ἀτιμαστέον τὴν παίδευσιν, ὅτι τοῦτο δοκεῖ τισιν· ἀλλὰ σκαιοὺς καὶ ἀπαιδεύτους ὑποληπτέον τοὺς οὕτως ἔχοντας· οἳ βούλοιντ' ἂν ἅπαντας εἶναι καθ' ἑαυτοὺς, ἵν' ἐν τῷ κοινῷ τὸ κατ' αὐτοὺς κρύπτηται, καὶ τοὺς τῆς ἀπαιδευσίας ἐλέγχους διαδιδράσκωσιν. »

« Omnes, opinor, qui saniore mente sunt, hoc confiteri, doctrinam inter ea quæ nobis sunt bona, præcipuam esse: non istam solum præstantiorem nostram, quæ elegantiam ostentationemque orationis omnem negligens, saluti uni et rerum intelligendarum pulchritudini inhæret: sed externam etiam illam, quam multi Christiani perinde atque insidiatricem, fallacem, et longius a Deo abducentem, contemnentes despuunt, perversa sane et periculosa persuasione. Quemadmodum namque cœlum, terram, aerem, et quæcunque in his sunt, quamvis homines nonnulli male ea accepta, quæ Dei essent, opera, pro Deo coluerunt, propterea tamen non despicimus, sed quantum utilitatis habent ex eis ad vitæ usum percipimus, quod vero noxium est in eis, fugimus: neque, quod stulti faciunt, adversus Creatorem creaturam ipsam quasi ad rebellionem commovemus: verum ex rebus conditis Conditorem deprehendimus, et quod divus Paulus ait, in captivitatem redigimus intelligentiam omnem in Christum; ac sicuti ignem, alimentum, ferrum, atque alia, per seipsa quidem vel utilia vel incommoda maxime esse ignoramus: **60** sed de eis, pro eo atque hominibus illis qui eis utuntur, videtur, judicamus (cum etiam in reptilibus feris quædam sint, quæ utiliter ad salutem pharmacis et remediis miscemus): sic quoque ex disciplinis istis quod ad veritatem inquirendam, et judicium acuendum, nec non ad contemplationem exercendam facit, id recipimus: quod autem ad dæmones ipsos et ad perditionis profundum deducit, despuentes rejecimus: propterea quod ex eis rebus in veræ pietatis studio non itidem adjuvemur, eo pacto meliora ex deterioribus addiscentes et imbecillitatem illorum in robur doctrinæ nostræ convertentes. Non igitur contemnenda est doctrina liberalior, propterea quod hoc sic quibusdam faciendum videtur: sed pravi atque ineruditi, qui in ea sunt sententia, censendi sunt, qui alios omnes sibi similes esse velint, ut in communi sui similium frequentia latere, et inscitiæ suæ reprehensionem effugere valeant. »

Καὶ ταῦτα μὲν ὁ θεῖος Γρηγόριος· Βασίλειος δὲ ὁ μέγας οὐ μόνον τὴν Ἑλληνικὴν παιδείαν ἀναγινώσκειν ἐφίησιν, ἀλλὰ καὶ γενναίῳ λόγῳ μάλιστα D τοῦτο κρατύνει· *Ὅπως ἂν νέοι ὄντες, ἐκ τῶν Ἑλληνικῶν παιδευμάτων ὠφελοῖντο διαταττόμενος*. Τοσαῦτα μὲν καὶ περὶ τῶν Ἀπολλιναρίων καὶ τῆς Ἑλληνικῆς παιδείας εἰρήσθω.

Hæc divus Gregorius. Basilius vero magnus non solum Græcorum discere permittit, sed etiam præclaro libello maxime hoc confirmat, cui titulum fecit: *Quomodo juvenes ex Græcis disciplinis utilitatem capere possint*. Hæc de Apollinaribus, et Græcorum doctrinis dicta sufficiant.

ΚΕΦΑΛ. ΚΖ'.

Ὡς εἰς Ἀντιόχειαν κατὰ Περσῶν ἐλθὼν Ἰουλιανὸς, καὶ περιυβρισθεὶς τὸν πώγωνα, τὸν κατὰ τῶν Ἀντιοχέων Μισοπώγωνα διεξῆλθε λόγον.

Βασιλεὺς δ' ἐκ Χριστιανῶν πλεῖστα συλλεξάμενος χρήματα, ἐς Πέρσας ἤδη τὸ ὅρμημα θέμενος, εἰς Ἀντιόχειαν ἧκε τῶν Σύρων. Τὸ δ' οἰκεῖον φιλότιμον Ἀντιοχεῦσι δεῖξαι βουλόμενος, τὰ ἐπ' ἀγορᾶς ὤνια καὶ τὰ ἐπιτήδεια τῆς νενομισμένης τιμῆς κατεβί-

CAPUT XXVII.

Ut Julianus expeditione in Persas suscepta, Antiochiam venerit: atque ibi propter barbam prolixam ludibrio habitus, contra Antiochenos librum, Misopogona, hoc est, Barbæ-osorem, composuerit.

Imperator autem ingenti a Christianis pecunia extorta, expeditionem adversus Persas molitus est, et Antiochiam Syriæ se contulit. Atque ibi liberalitatis suæ studium Antiochenis probare volens, res in foro venales et necessarias ad certum consti-

tutumque pretium reduxit : non considerans secum ipse, ubi militum sit frequentia, ibi accidi in urbibus rerum omnium copiam, vicinosque etiam ea de causa annonæ detrimento affici. Itaque caupones emere, et rursum vendere res ad victum necessarias quæstus gratia soliti, quod jacturam eam non ferrent, multa contra imperatorem vociferati, negotiatione sua supersederunt : eoque modo ut rerum necessariarum penuria urbem invaderet, effecerunt. Antiocheni vero (proclives enim sunt ad contumelias homines) **61** impudenter et libere imperatorem riserunt, et scommatibus in barbam ejus luserunt, quod prolixior ea esset, tondi eam ad funiculos plectendos oportere dicentes : atque item in nummis ejus qui effigiem tauri habebant, cavillati sunt, perinde atque a præcipiti tauro mundum ab ipso imperante everti jactantes. Cum enim supra alios omnes admodum superstitione teneretur, et quotidie tauros ad simulacrorum aras mactaret, et aram et taurum nummo suo imprimi curaverat. Proinde ira ex scommatibus ejusmodi percitus, male se accepturum Antiochenos minatus est : et Tarsum Ciliciæ concessit, atque inde res ad bellum necessarias exercitui suppeditare instituit. Cæterum minas satis exsecutus non est ; sed verbis tantum in Antiochenos convicia retorsit, orationemque præclaram et facetam ira remissa in eos conscripsit, quam *Antiochenam* et Μισοπώγωνα, hoc est, *Barbæ inimicam*, inscripsit. Atque eo pacto se injuriam vindicasse existimans, Persicam expeditionem, perpetua nota urbi Antiochenæ inusta, est prosecutus. Antiochiæ porro erga Christianos eadem est importunitate usus, omnibus modis id agens, ut Græcorum superstitio invalesceret. Verum quid circa Babylæ martyris sepulcrum, et in templo Apollinis Daphnæi acciderit, periniquum esset, si silentio præteriremus. Id vero inde ordior.

A βασε· μὴ συνειδὼς, ὡς ὅπου δ' ἂν στρατοπέδου πολυπλήθεια γίνεται, τὸ ἄφθονον μὲν τῶν πόλεων περιαιρεῖ· ζημία δὲ καὶ τοῖς περιοίκοις ἐγγίνεται. Οἱ τοίνυν κάπηλοί τε καὶ παλιγκάπηλοι, τὴν ἐντεῦθεν ζημίαν μὴ φέροντες, πολλὰ κατεβόων τοῦ βασιλέως, ἀποσχόμενοί τε τῆς ἐμπορίας, ἐπιλιπεῖν τὰ ἐπιτήδεια παρεσκεύασαν. Οἱ δὲ τῆς Ἀντιόχου (ἐπιρρεπεῖς γὰρ πρὸς ὕβρεις οἱ ἄνθρωποι) ἀνέδην τε τὸν βασιλέα ἐτώθαζον, καὶ ἀπέσκωπτον εἰς τὸν ἐκείνου πώγωνα, ὡς βαθὺς εἴη, καὶ δέον κείρειν αὐτὸν, καὶ σχοινία ἐκ τούτου πλέκειν· καὶ εἰς τὸ νόμισμα, ὅτι ταύρου εἶχεν εἰκόνα· ἐπίσης γὰρ τῶν ὑπτίων ταύρων ἀνατετράφθαι τὸν κόσμον ὑπ' ἐκείνῳ βασιλευόμενον. Δεισιδαίμων γὰρ, εἴπερ τις, σφόδρα γενόμενος, καὶ τοῖς εἰδώλων βωμοῖς ταύρους B θύων ἑκάστοτε, καὶ βωμὸν καὶ ταῦρον τῷ σφετέρῳ ἐντυποῦσθαι νομίσματι διετάττετο. Περιοργὴς δὲ γενόμενος, ἠπείλει κακῶς Ἀντιοχέας ποιεῖν· καὶ εἰς Ταρσὸν μετῳκίζετο, τὰ ἐπιτήδεια τῷ πολέμῳ ἐκεῖθεν πορίσασθαι ᾑρημένος. Εἰς ἔργον δὲ τὴν ἀπειλὴν ἀγαγεῖν μὴ θελήσας, λόγοις ἀντισκῶψαι τὴν Ἀντιόχου ἠθέλησε· καὶ λόγον κατ' Ἀντιοχέων γενναῖον καὶ μάλα ἀστεῖον διεξελθὼν, ὃν *Ἀντιοχεικὸν* ἢ *Μισοπώγωνα* ἐπιγράφει. Καὶ οὕτως ἀμύνασθαι δόξας, τὴν πρὸς Πέρσας ἠπείγετο, στίγματα διηνεκῆ τῇ Ἀντιοχέων πόλει καταλιπών. Χριστιανοῖς δὲ πᾶσι κἀνταῦθα ἐπίσης τῇ μοχθηρίᾳ ἐκέχρητο, περὶ πολλοῦ ποιούμενος τὰ Ἑλλήνων κρατύνειν. Οἷα γοῦν περὶ τὴν θήκην συνέβη Βαβύλα τοῦ μάρτυρος, C καὶ τοῦ ἐν Δάφνῃ νεὼ τοῦ Ἀπόλλωνος, ἄδικον παραλιπεῖν ἀδιήγητα. Ἄρχομαι δ' ἐντεῦθεν.

CAPUT XXVIII.

Quæ prævaricatori huic in Antiochenorum luco Daphne acciderint : et de tumulo sancti Babylæ martyris, et de sancto Theodoro confessore.

Inter Antiochiæ suburbia præcipuum quoddam est, in quo frequentes florent cupressi, locus valde nemorosus, et variis aliis inter cupressos arboribus conspicuus : et quæ inter arbores ipsas sunt loca, prout anni tempus fert, omnis generis beneolentes producunt flores. Instar tecti autem habet, eo loco, quæ ex ramorum et foliorum densitate ubique provenit umbra, et solis radios non facile solum ipsum pertingere sinit, neque quidquam amœnitatis regioni ei deest. Non ibi aquarum copia irriguarum desideratur : et gratum temporis temperamentum, Zephyrique et alii venti leniter ramis flatu suo incidentes, suavemque susurrum edentes, amœnitatem multam afferunt. Eo loco Græci fabula conficta, Daphnem (1) Ladonis fluvii filiam, ex Arcadia, **62** Apollinem amatorem fugientem, in nominis sui arborem esse

ΚΕΦΑΛ. ΚΗ'.

Περὶ τῶν ἐν Δάφνῃ τῆς Ἀντιοχείας γεγενημένων τῷ παραβάτῃ· καὶ τῆς σοροῦ τοῦ ἁγίου Βαβύλα καὶ μάρτυρος· καὶ τοῦ ἁγίου Θεοδώρου τοῦ ὁμολογητοῦ.

Πρὸ τῆς Ἀντιόχου ἐπίσημόν τι προάστειόν ἐστι καὶ τῶν ἄλλων ἐξαίρετον, ὃ πολλαῖς μὲν κυπαρίσσοις θάλλει, ἀλσώδης δ' ἐστὶ μάλα ὁ χῶρος, ποικιλίᾳ δένδρων ἀναμὶξ ταῖς κυπαρίσσοις ὡραϊζόμενος. Τὰ D δὲ μεταξὺ τῶν δένδρων, ὅσα ὡρῶν εἰσιν εὐώδη ἄνθη παντοδαπὰ φύεται. Ὄροφος δὲ τῷ τόπῳ ἡ πανταχοῦ τοῖς φύλλοις καὶ τοῖς κλάδοις ἐκ πυκνότητος γινομένη σκιὰ, μηδαμῶς ἐῶσα τὴν ἀκτῖνα τοῦ ἡλίου τῷ ἐδάφει προσβάλλειν. Τερπνότητος δ' οὐδὲν ἐλλείπει τῷ χώρῳ· τῷ τε γὰρ ἀφθόνῳ τῶν ὑδάτων λίαν ἐστὶ κατάρρυτος, ὡρῶν τε εὐκρασίᾳ ἠρέμα τοῖς κλάδοις τοῦ ζεφύρου καὶ τῶν λοιπῶν ἀνέμων προσπιπτόντων, καὶ λιγυρὸν οἷον ἠχούντων. Ὅπου δή φασιν Ἑλλήνων παῖδες μῦθον ὑφαίνοντες, τὴν τοῦ ποταμοῦ Λάδωνος Δάφνην, ἐξ Ἀρκαδίας φεύγουσαν Ἀπόλλω τὸν ἐραστὴν, εἰς ὁμώνυμον φυτὸν ἀμειφθῆναι· τὸν δὲ μηδ' οὕτω τὸν πόθον ἀποβαλεῖν· τὸν

(1) Est l. II. C. titulus, *De cupress. ex luc. Daphnen. vel Pers. per Ægypt. non exci. vel vend.*

Lambit Apollinei nemoris nutritor Orontes.
(Claud.)

ἔρωτα δ' οἷον παραμυθούμενον, τοῖς τῆς ἐρωμένης κλάδοις τὴν κεφαλὴν ἀναδήσασθαι, καί γε δένδρον γενομένην, περιπλακῆναι καὶ περιπτύξασθαι, καὶ μηδ' ἀπαλλάττεσθαι μάλα αἱρεῖσθαι, ἀλλὰ προσεδρεύειν ταύτῃ σὺν ἀστειότητι, κἀντεῦθεν καὶ τιμῆσαι τὸν χῶρον τῇ μακρᾷ προσεδρείᾳ· καὶ τῶν ἄλλων χώρων ἐκφανῆ ποιῆσαι καὶ κεχαρισμένον αὐτῷ. Ἐνταῦθ' οἱ σωφρονεῖν αἱρούμενοι καὶ τὸν τρόπον ἐπιεικεῖς διατρίβειν ἥκιστα ἤθελον. Μάλα γὰρ ἦν ὁ χῶρος πρὸς ῥᾳστώνην ἀνειμένος. Τοῖς γε μὴν διεφθορόσι τῶν νέων, ἐπέραστός τις διαφερόντως ἐδόκει, ἅτε δὴ καὶ τῷ μύθῳ βοηθουμένοις, ἐρωτικῷ γε ὄντι. Ἐν διπλῷ γὰρ ἐκείνοις τὸ πάθος ἀνήπτετο, εἰς παραίτησιν οὐκ ἀγεννῆ προϊσχομένοις τὸν μῦθον· ἀναίδην τε γὰρ τῇ ἀκολασίᾳ ἐχώρουν μήτ' αὐτοὶ σωφρονεῖν δυνάμενοι, ἀλλ' οὐδὲ σώφρονας τῷ χώρῳ διατρίβειν ἠνείχοντο. Μὴ γὰρ μετ' ἐρωμένης ἐκεῖσε διατριβήν τις ἔχων, ἀγεννής τις ἂν ἔδοξε μάλα καὶ ἄχαρις, καὶ ὥς ἄγος τι ἀποτρόπαιον ἐκεῖθεν ἠλαύνετο. Διὰ πλείστης δὲ τῆς τιμῆς ἦν ὁ χῶρος τοῖς ἑλληνίζουσιν. Ἄγαλμα γὰρ ἐνταῦθα ἐτύγχανεν εἰς κάλλος λίαν ἀπεξεσμένον Δαφναίου Ἀπόλλωνος· καὶ νεὼς κάλλιστος, εἰς ὕψος ἅμα καὶ μέγεθος φιλοτίμῳ ἐξειργασμένος χειρί· ὃν Σέλευκον ἀνεγεῖραι λόγος τὸν Ἀντιόχου πατέρα· ὃς καὶ τὴν ἐπώνυμον πόλιν, τὴν Ἀντιόχου φημὶ, μεγαλοπρεπῶς τὸ κατ' ἀρχὰς ἀνιστᾷ. Πίστις γε μὴν προσῆν ἐκ πολλοῦ καί τι μαντικὸν ὕδωρ ἐκ Κασταλίας τῆς πηγῆς καταῤῥεῖν ἐκεῖσε, καὶ μηδέν τι παραλλάττειν τήν τ' ἐνέργειαν καὶ προσηγορίαν ἐκείνου. Φασὶ δὲ καὶ Ἀδριανῷ τῷ βασιλεῖ ἐν ἰδιώταις ἔτι ταττομένῳ, ἐνταῦθα προφοιβασθῆναι τὸ μέλλον· δάφνης γὰρ φύλλον ἐμβάψαντα τῇ πηγῇ, τὴν τοῦ μέλλοντος ἀρύσασθαι πρόγνωσιν, γράμμασι καταμηνυθεῖσαν αὐτῷ· ἐπεὶ δὲ καὶ τέλος ἔσχεν ἡ πρόῤῥησις ἐπ' αὐτῷ, ἵνα μὴ καὶ ἄλλοις οὕτω τὸ μέλλον μανθάνειν ἐξῇ, χώμασι πολλοῖς τὴν πηγὴν ἀφανίσαι.

Ταῦτα μὲν Ἑλλήνων παῖδές φασιν· ὡς δὲ Γάλλος Καῖσαρ πρὸ Κωνσταντίου χειροτονηθεὶς ἐν Ἀντιοχείᾳ διέτριβε, τὰς ἐκεῖσε τῶν βαρβάρων ἀναστέλλων ὁρμάς· ἐπεὶ Χριστιανὸς ὤν, ἐς τὰ μάλιστα ἐτίμα τοὺς ὑπὲρ Χριστοῦ καὶ τοῦ δόγματος γενναίως ἀγωνισαμένους, ἔγνω δὴ τὸν χῶρον τῆς μακρᾶς δεισιδαιμονίας καὶ τοῦ ἀκολάστου τρόπου μάλιστα ἐκκαθᾶραι καὶ ἀπαλλάξαι. Νομίσας οὖν ὡς οὐκ ἄλλως γε περιέσοιτο τοῦ δεινοῦ, εἰ μὴ εὐκτήριον ἐκεῖσε δὴ ἀντικαταστήσειεν οἶκον, τοῦτο εὖ διαπεπραγμένος, καὶ τὴν θήκην Βαβύλα τοῦ μάρτυρος εἰς δάφνην μετήγαγεν· ὃς πρὸ πολλοῦ λαμπρῶς τὴν Ἀντιοχέων ἐπιτροπεύων, ἐπὶ Νουμεριανοῦ γενναίως τὸν ὑπὲρ Χριστοῦ ἀγῶνα διήνεγκε. Τὸ δὲ μαρτύριον ἐξ αἰτίας τοιαύτης αὐτῷ προβῆναι· ἐπίσκοπος μὲν γὰρ ἦν ὁ Βαβύλας· κατὰ δέ τινα δαίμονα γνώμην, Νουμεριανῷ ἔρως ἐμπεσεῖν, πληθούσης τῆς ἐκκλησίας εἰσελθεῖν ἐν αὐτῇ· τὸν δ' ἱεράρχην κατὰ τὰ πρόθυρα

conversam; ipsum autem deum ne sic quidem puellæ desiderium abjecisse, amoremque suum veluti solantem, amatæ virginis frondibus caput cinxisse, eamque etiam arborem factam complexum esse: neque ab ea discedere volentem, illi cum festivitate quadam assedisse, proindeque honore diuturnioris moræ eum locum prosecutum, atque aliis locis illustriorem, sibique etiam gratiorem effecisse ferunt. Hic homines casti et moderati minime versari sustinuerunt, quod regio ea ad desidiam et libidinem admodum esset proclivis. Juvenibus autem corruptis jucunda plurimum et grata visa est, et prorsus amatoria: quos etiam eam in rem fabula ipsa invitarit. Et duplex eis ad culpæ deprecationem fabulam non illepidam prætendentibus incensa est libido, ut sine pudore neque ipsi pudici essent, neque pudicos in eo loco esse paterentur. Qui enim ibi sine amica versaretur, illiberalis plane parumque gratus visus, perinde atque piaculum aliquod detestandum inde abigebatur. Græcæ autem superstitionis observatoribus præcipue in maximo locus habitus est honore. Nam statua ibi Apollinis Daphnæi (1) magna venustate exsculpta, et templum pulcherrimum altitudine et amplitudine mirifica, artificiosa manu constructum fuit: quod Seleucum, Antiochi, qui urbem eam sub suo nomine magnifice primum condidit, patrem construxisse ferunt. Creditum etiam longo tempore est, aquam ibi e fonte Castalio divinatricem, nihil prorsus ab alia illa apud Delphos, ut nomine, sic etiam efficacia differentem, profluxisse. Fama item fert, Adriano imperatori, cum privatus adhuc esset, responsum ibi de rebus futuris editum esse, cumque lauri folio in fonte tincto futuri cognitionem litteris designatam hausisse: et cum responsum id ad exitum suum pervenisset, ne aliis quoque ad eumdem modum res futuras cognoscere liceret, aggere multo fontem obstruxisse.

Hæc quidem sic Græci tradunt. Gallus autem, ubi Cæsar est a Constantio creatus, Antiochiæ vixit, Barbarorum ibi impetum et incursionem compescens. Hic ut Christianus, cum maxime eos qui pro Christo et dogmate nostro fortiter decertarunt, **63** veneraretur, locum talem a diuturna superstitione et improbo illo more liberandum atque repurgandum duxit. Postquam autem non aliter se malum tantum exstirpaturum esse putavit, nisi contra templum id orationis domum construeret, opere eo pulchre perfecto, loculum etiam Babylæ martyris in Daphnen transtulit: qui ante annos plures Antiochenæ ecclesiæ splendide antistes præfuerat, et sub Numeriano fortiter certamen pro Christo pertulerat. Martyrii ejus hæc causa fuit: Episcopatum Babylas gerebat. Numerianum autem de dæmonis cujusdam sententia cupido invasit, ecclesiam Christianorum, cum

(1) In umbroso Daphnæ luco Constantinus Magnus matri suæ Helenæ statuam collocavit. Et ob eam causam locum cum Αὐγουστεῖον, *Augusteum*, nominavit. (Suid.)

frequentissima esset, ingredi. Et advenienti ei, hierarcha ad templi vestibulum astans, ingressum præclusit: se pro virili sua affirmans non commissurum, ut ad gregem lupum ingredientem intueatur. Atque ille statim quidem cœpto destitit; episcopum autem primum de tanta audacia criminatus est: deinde sacrificare etiam dæmonibus jussit, eam unam expiationem criminisque abolitionem, et subsecuturi honoris et gloriæ conciliationem fore denuntians. Cui Babylas ingenti animo resistens, martyrii coronam recepit. Ejus tum ossa Gallus transtulit. Quod ubi est factum, dæmonium deinde oracula non edidit. Et multi quidem propterea id consiluisse existimarunt, quod sacrificiis et cultu eo quem antea ille exhibuerant, spoliatum esset. Verum rem aliter se habere compertum est. In causa enim vere erat in vicinia quiescens martyr, qui eam rem non permisit, cœptum illius vi majore prohibens. Sub Juliano enim, cum ad satietatem usque sanguine et victimis expleretur, non minus mutum fuit. Et postremo ipsi illi imperatori de eventu Persicæ expeditionis dæmonem consulenti (cum frequenter eo venisset, quod cædendis hostiis delectaretur, et multo sanguine Pythium veneraretur), causam ejus silentii indicavit. Ubi namque templum ingressus, oraculo, quæ visa essent, fidem ejus periclitans, magnificis mactatis victimis Julianus proposuit: insuper quoque petiit, ne deus, de quibus rebus inquireret, respondere gravaretur; tum ille aperte quidem non significavit, se more suo propter Babylam martyrem non respondere: **64** sed alio id modo insinuavit. Locum enim eum plenum esse cadaveribus dixit, et propterea se oracula edere minime posse. Et erant ibi multi alii sepulti. Verum Julianus Babylam martyrem solum responsis obstare judicans, confestim loculum ejus transferri jussit. Quapropter Christiani advenientes, martyrem in urbem ad quadraginta stadia intulerunt, ubi etiamnum situs est, nomine suo loco ipsi indito. Qui vero loculum ferebant senes et juvenes, aliique chorum gravem et venerandum efficientes, alius alium in via ad psalmos canendos invitarunt, sub illo quidem prætextu, quasi sudorem laboremque viæ levarent: re autem ipsa, quod zeli ardore ferrentur, ut imperatoris ineptam monstrosamque religionem reprehenderent. Et canendo præibant, qui artem eam accuratius addidicerant. inter alia autem multitudo illis succinens, et illam carminibus addidit partem: « Confundantur omnes qui adorant sculptilia, gloriantes in simulacris suis. » Tum sane, qui antea philosophum se esse professus fuerat imperator, longe alius deprehensus. Ira namque commotus, perinde atque injuria affectus esset, affligere Christianos constituit, et eadem adversus illos facere, quæ Diocletianus fecisset. Quod vero impetum ejusmodi expeditio Persica, quam urgebat, moraretur, Salustio, qui *tum præfecti magistratum* gerebat, mandavit ut

τοῦ νεὼ στάντα, τὴν εἴσοδον διατειχίζειν αὐτῷ, φάσκοντα ὅσα γε δυνατὸς εἴη, μὴ περιόψεσθαι λύκον τῷ ποιμνίῳ παρεισδυόμενον, καὶ τὸν μὲν αὐτίκα τῆς ὁρμῆς ἀνακρουσθῆναι· τὸν δ' ἐπίσκοπον ἐν αἰτίαις πρῶτα ἐτίθει τῆς τόλμης. Ἔπειτα δαίμοσι θύειν ἐκέλευε· μόνην γὰρ εἶναι τὴν ἐξοσίωσιν ταύτην, τοῦ ἐγκλήματος λύσιν, καὶ τῆς εἰσέπειτα τιμῆς τε καὶ δόξης πρόξενον. Τὸν δὲ γενναίως ἀντιταξάμενον τὸν μαρτυρικὸν ἀναδήσασθαι στέφανον· οὗ τὴν θίβην τότε μετήνεγκε. Τούτου δὲ γενομένου, λόγος μὴ τοῦ λοιποῦ τὸ δαιμόνιον χρησμὸν ἀνελεῖν. Καὶ ἐδόκει μὲν τοῖς πολλοῖς, ὡς θυσιῶν ἀμοιρῆσαν καὶ τῆς πρὶν θεραπείας ἧσπερ ἠξίωτο, σιωπᾷν. Ἀλλ' ἠλέγχθη τοῦτο οὕτως μὴ ἔχον. Αἴτιον γὰρ ἦν ἀληθῶς, ὡς ἐγγειτόνων σκηνώσας ὁ μάρτυς οὐ ξυνεχώρει τὸ ἔργον δυνάμει κρείττονι ἀπείργων, ἐκεῖνο τοῦ ἐγχειρήματος. Ἐπὶ γὰρ Ἰουλιανοῦ εἰς κόρον ἀπολαῦσαν τῶν συνήθων αἱμάτων, καὶ θυσιῶν, οὐδὲν μᾶλλον ἄναυδον ἦν. Καὶ τὸ ὕστατον καὶ αὐτῷ γε ἐκείνῳ τῷ βασιλεῖ χρησμὸν αἰτοῦντι τῆς κατὰ Περσῶν ἕνεκεν ἐκστρατείας, πυκνὰ γὰρ ἐκεῖσε οὗτος ἐπεχωρίαζε, φιλοθύτης γε ὢν, καὶ ἀφθόνοις αἵμασι γεραίρων τὸν Πύθιον, τὸ αἴτιον τῆς προτέρας σιωπῆς κατεμήνυσεν. Ἐπειδὴ γὰρ τῷ μαντείῳ πεῖραν προσῆγε περὶ ὧν οἱ αὐτῷ ἐδόκει, τῷ ἱερῷ προσβαλὼν, φιλοτίμοις θυσίαις τιμῶν τὸ δαιμόνιον, καὶ ἐδεῖτο μὴ ἀμελεῖν λέγειν περὶ ὧν ἐκείνῳ ἦν σπουδὴ ἐρωτᾷν. Τὸ δὲ περιφανῶς μὲν οὐκ ἐδήλου μὴ δύνασθαι χρησμῳδεῖν ὡς ἔθος διὰ Βαβύλαν τὸν μάρτυρα· ἕτερον δὲ τρόπον τοῦτο ἐσήμανεν· Νεκρῶν γὰρ, εἶπεν, ὁ χῶρος μεστός· καὶ διὰ τοῦτο ἥκιστα δύνασθαι χρησμῳδεῖν. Πολλοὶ μὲν οὖν καὶ ἄλλοι ἦσαν ἐκεῖσε νεκροί· ὁ δὲ Ἰουλιανὸς συμβαλὼν τὸν μάρτυρα μόνον Βαβύλαν ἐμποδὼν καθίστασθαι ταῖς μαντείαις, προστάττει αὐτίκα τὴν θίβην μετατεθῆναι τοῦ μάρτυρος. Χριστιανοὶ δ' ἐλθόντες ἐπὶ τὴν πόλιν, ἤγαγον ὡσεὶ στάδια τεσσαράκοντα· ἔνθα δὴ νῦν ὁ μάρτυς κεῖται, τὴν οἰκείαν προσηγορίαν τῷ τόπῳ θέμενος. Οἱ δὲ ἄγοντες νέοι τε καὶ γέροντες, καὶ ἄλλως σεμνὸς ὄντες καὶ χορὸς τίμιος, ἀλλήλους ἀνέπειθον δι' ἁπάσης ψάλλοντες τῆς ὁδοῦ· προφάσει μὲν τοῦ τὸν ἱδρῶτ' ἀναψύχειν, τὸ δ' ἀληθὲς, ζήλῳ ἐφέροντο, ἐξελέγχοντες τὸ τοῦ κρατοῦντος περὶ τὸ θεῖον ἀλλόκοτον. Ἐξῆρχον μὲν οὖν τοῦ μέλους, οἳ περὶ τὰ τοιαῦτα ἠκριβωμένως εἶχον· σὺν ἄλλοις δὲ τὸ πλῆθος, ξύμφωνον καὶ τοῦτο δὴ τὸ μέρος ἐπῇδεν· « Ἠσχύνθησαν πάντες οἱ προσκυνοῦντες τοῖς γλυπτοῖς, οἱ ἐγκαυχώμενοι ἐν τοῖς εἰδώλοις αὐτῶν. » Τότε δὴ ὁ πρὶν φιλοσοφεῖν ἐπαγγελλόμενος βασιλεὺς ἐξηλέγχετο. Περιοργὴς γὰρ γενόμενος ὡς ὑβρισμένος, κακῶς ποιεῖν ᾑρεῖτο Χριστιανούς· καὶ τοιαῦτά τ' ἐπ' αὐτοῖς πράττειν, οἷάπερ οἱ περὶ Διοκλητιανὸν ἐποίουν. Ἐπεὶ δὲ ἡ πρὸς Πέρσας σπουδὴ τὴν ὁρμὴν ἐκείνου ἀνέστελλε, Σαλουστίῳ ἐνεκελεύετο, ὃς τὴν ἔπαρχον τηνικαῦτα διεῖπεν ἀρχὴν, συλλαβόντα τοὺς διαφέροντας ἐν ψαλμῳδίᾳ, κολάζειν. Ὁ δὲ, καίτοι πολὺς τὴν Ἑλληνικὴν θρησκείαν ὢν, οὐδαμῶς ἐπῄνει τὸ βούλευμα. Ἀντιτείνειν δὲ οὐχ οἷός τε ὢν πρὸς τοὐπίταγμα, τῇ ὑστεραίᾳ πολλοὺς τῶν Χριστιανῶν συνελάμβανε, καὶ ὑπὸ

δεσμωτήριον ἦγεν. Ἕνα δὲ τούτων προῆγε, Θεόδωρον ὄνομα, νεανίαν τὸν χρόνον· ὃν κολάσεσιν οὐκ ὀλίγαις ὑποβαλὼν, καὶ ξύλῳ βασανιστηρίῳ ἀνήρτα. Ἱκανῶς δὲ καταξανθῆναι παρασκευάσας τὸ σῶμα, ἐπεὶ ἄληπτον ἑώρα τὸν μάρτυρα, μὴ λιπαροῦντα, ἀνώδυνον δὲ οἷον φαίνεσθαι παρεχόμενον· ὥσπερ γὰρ θεατὴς τῶν ἐπ' αὐτῷ γινομένων, ἀλλ' οὐκ ἀθλητὴς ὤν, στεῤῥῶς τὸ πάσχειν διεκαρτέρει, καὶ τὸν πρότερον αὖθις ἐπῇδε ψαλμὸν, ἔργοις δεικνύων μὴ μέλον αὐτῷ οἷς παρ' ἐκείνου ἠτάζετο· μόλις ἔλυε τῶν δεινῶν. Τότε δ' ἠφίετο, ὅτε μὴ ζῆν ἔτι τῷ κολαστῇ ἐδόκει. Ἐκείνου δὲ τὴν ἔνστασιν ἐν ἐκπλήξει ποιούμενος ὁ Σαλούστιος, παρὰ τὸν βασιλέα ἐλθὼν ἀνήγγειλεν· ὡς « Εἰ μὴ παύσαιμεν Χριστιανοῖς ἐπικείμενοι, ἐνδόξους μὲν αὐτοὺς θᾶττον, ἐν γέλωτι δ' ἡμᾶς τῷ παντὶ κείσεσθαι πράξομεν. » Δοξάντων δ' ἐν ἀμείνονι εἶναι ἃ Σαλούστιος ἔλεγεν, ἀφείθησαν οἱ δεσμῶται. Θεόδωρος δ' ἐπεβίω μετὰ τὴν ὁμολογίαν χρόνον συχνόν. Λέγεται δὲ μετὰ ταῦτα, Ῥουφῖνον εὑρόντα, ὃς τὰ ἐκκλησιαστικὰ Ῥωμαίων γλώττῃ ἐξέθετο, ἔρεσθαι εἴπερ αἴσθησιν τῶν δεινῶν πάσχων εἶχε, καὶ εἰ ἀνώδυνος ἔφερε τὰς πληγάς· τὸν δὲ φάναι, ὡς πάντῃ μὲν οὐκ ἦν ἀνώδυνος· παρεστῶτα δέ τινα νεανίαν, ὑφάσματι λεπτοτάτῳ τοὺς ἱδρῶτας μὲν ἀπομάττειν, ὕδωρ τ' ἐπιχέειν μάλα ψυχρὸν, ᾧ τὰς τῶν πόνων ἀνέψυχε φλεγμονὰς, καὶ τὸ πολὺ τῶν ἀλγηδόνων ὑφῄρει· ἐπιῤῥωννύντα τὸ πνεῦμα, καὶ ἄῤῥητον ἐνιέντα τὴν τέρψιν τοῖς πόνοις. Καί μοι δοκεῖ, μὴ ἀνθρώπινον εἶναι οὕτω τοῦ σώματος ὑπεριδεῖν, μὴ τῆς θείας προηγουμένης ῥοπῆς.

A eos qui præcipui in ea quam diximus psalmodia fuissent, comprehensos coerceret. Ille quamvis vanæ Græcorum religioni esset addictissimus, consilium id tamen non laudavit. Quod autem mandato imperatoris reluctari nequiret, postridie multos Christianos comprehendit et carceri inclusit. Et deinde ex eis unum, Theodorum nomine, adolescentem adhuc, produxit. Eum cum tormentis ingentibus subdidisset, et ad stipitem tortorium suspendi, corpusque ejus satis diverberari et concidi curasset, quod martyrem invictum esse videret, non deprecantem, neque doloris alicujus indicium præbentem (perinde enim atque non certator ipse, sed spectator earum rerum quæ in eo fiebant, esset, constanter cruciatus perfe-B rebat, et hesternum illum concinebat Psalmum, 65 reipsa nihil ad se pertinere quæ ab eo per quæstionem requirebantur, ostendens), vix tandem tantis pœnis liberavit. Id quod tum demum fecit, cum jam tortoribus vita destitutus esse videretur. Atque illius tantam fortitudinem et constantiam cum stupore admiratus Salustius, ubi ad imperatorem venit, Nisi, inquit, Christianos affligere destiterimus, ipsis quidem laudem et gloriam brevi parabimus, nos autem ridendos omnibus proponemus. » Porro Salustii sententia laudata, et captivi illi dimissi sunt, et Theodorus post confessionem eam longo vixit tempore. Dicitur autem postea Rufinus, qui historiam ecclesiasticam Latine vertit, virum eum aliquando conventum rogasse, sensissetne pœnarum tormenta, an plagas citra dolorem omnem pertulisset ? Cui ille respondit, non se quidem sine sensu cruciatum fuisse : adolescentem autem quemdam sibi assistentem fascia tenuissima sudorem abstersisse, et aquam frigidam infudisse, qua dolorum ardorem refocillarit, tormentorumque vim sustulerit : spiritui præterea suo robur indidisse, et incredibilem in tantis laboribus jucunditatem suppeditasse. Mihi certe hominis esse non videtur, corpus ipsum ita despicere, nisi divinum præsto sit auxilium.

Τοσαῦτα μὲν περὶ τοῦ θαυμαστοῦ Θεοδώρου. Ἐκ ταύτης δὴ τῆς αἰτίας ὁ μάρτυς Βαβύλας ἐν τῇ Δάφνῃ ἀπήχθη, καὶ αὖθις μετεκινήθη ἐκεῖθεν. Μετὰ δὲ μικρὸν, πῦρ αἰφνίδιον ἐμπεσὸν τῷ νεῷ τοῦ Δαφναίου Ἀπόλλωνος, αὐτόν τε καὶ τὸ ἄγαλμα καὶ τὴν ὀροφὴν πᾶσαν εἰς τέφραν ἐποίει. Ἐν ἀκαρεῖ δὲ πάντα ἦσαν γυμνὰ, οἵ τε τοῖχοι καὶ οἱ περίβολοι καὶ οἱ πρὸ τῶν πυλῶν κίονες, καὶ ὁ ὀπισθόδομος. Καὶ Χριστιανοῖς μὲν ἐδόκει τὸ πῦρ τῷ δαίμονι προσβαλεῖν αἰτησαμένου τοῦ μάρτυρος· Ἕλληνες δὲ τὸ ἔργον Χριστιανοῖς ἐνετίθουν. Ἐκ δὴ ταύτης τῆς αἰτίας ὁ τοῦ νεὼ ἱερεὺς εἰς ἐξέτασιν ἤγετο καταμηνύσων τὸν τολμητήν. Καὶ δὴ πολλὰς ὑποστὰς βασάνους, καὶ ἐν δεσμοῖς γεγονὼς, ἥκιστά τινα εἶχε καταμηνύειν. Ὃ δὴ Χριστιανοὺς ἐπὶ μέγα ἦρε· μὴ κατ' ἀνθρωπίνην ἐπιβουλὴν, θείᾳ δὲ μήνιδι τὸ πῦρ τῷ νεῷ κατασκῆψαι. Καὶ τὰ μὲν ὧδε εἶχεν· ἐκ δὲ τῶν συμβάντων τῷ τῆς Δάφνης νεῷ, ὥς γε εἰκάζειν ἔστι, διὰ Βαβύλαν τὸν μάρτυρα, μαθὼν Ἰουλιανὸς καὶ ἄλλους οἴκους εἶναι μάρτυσιν ἀνειμένους, ἄγχιστα τοῦ Διδυμαίου Ἀπόλλωνος, ὃς πρὸ τῆς Μιλήτου ἐστὶ, τοῖς Καρίαν ἔγραφεν ἡγεμόσιν· εἰ μὴ τράπεζαν

C Hæc de admirando isto Theodoro. Atque ob eam quæ dicta est causam, Babylas martyr in Daphnen translatus, atque inde rursus deportatus. Brevi vero post repentinum incendium in Daphnæi Apollinis templum incidit, quo id cum tecto omni et ipso dei simulacro conflagravit : et quasi temporis momento protinus nuda omnia apparuere, muri scilicet ipsi cum lorica sua, et columnæ quæ propylæum et posticum templi sacrarium sustinuerant. Christiani incendium id dæmoni, martyre petente, accidisse putarunt ; Græci ad Christianos auctores retulere. Ea certe quidem de causa templi sacerdos tormentis subditus est, ut incendiarium indicaret ; sed cruciatibus multis toleratis in vinculis, indicare nemi-D nem potuit. Quæ res Christianis magnæ laudi fuit. Et homines plerique non mortalis cujusquam insidiis, sed divina vindicta templum id conflagrasse, igne cœlitus demisso, existimarunt. Hæc sic se habuere. Cæterum cum satis colligere ex eo quod factum erat, liceret, cladem eam templo in Daphne propter martyrem Babylam accidisse,

66 ubi Julianus, quem id non latebat, alias etiam divis martyribus sacras ædes constructas esse, prope Apollinem Didymæum sive gemellum, qui ante Miletum est, cognovit : præfectis provinciæ Cariæ scripsit, ut quæ templa ædificium altius, et tectum, atque etiam sacram mensam haberent, in ea ignem injicerent : quæ vero dimidia ex parte absoluta essent, funditus everterent.

A καὶ ὄροφον ἔχειν, διδόναι πυρί· ὅσα δὲ τῶν οἰκοδομημάτων ἡμιτελῆ ἐστιν, ἐκ βάθρων αὐτὰ ἀνασπᾶν.

CAPUT XXIX.

De fraude Græcorum oraculorum. Commemoratio eorum quæ per vindictam divinam passi sunt, qui sacra Christianorum et res divinas contumelia affecerunt.

Sed enim quibus rebus Julianus et Græci deorum potestatem adaugere atque ostentare studuerunt, ex eis illorum imbecillitas atque seductio, divina adjuvante providentia, deprehensa sese exhibuit. Nam quæcunque ab oraculis edita sunt responsa, pene omnia aperte falsa esse, et eventui minus respondentia, cognita sunt. Exercitum quippe adversus Persas ducturus, Delphos et Dodonen (1), qui vates ibi consulerent, misit. Et illi non solum bellum, verum etiam victoriam promiserunt. Tantum vero a veritate ipsa aberrarunt, quantum postea rerum exitus ostendit. Porro ex responsis eis unum, ad mendacium redarguendum, hoc loco apponere libuit :

Nunc di deæque omnes consurgite : sumite bellum,
Atque fera certum de flumine ferte tropæum,
Dux ego vester ero Mars sævus belligerator.

Feram fluvium Tigrim nominavit, qui cognominem sibi animantem habet. Ejuscemodi oraculis deceptus miser, victoriam somniavit : et tandem confirmatus, se ad Persicum bellum armavit. Alias tum quoque, cum oracula simul et seorsim omnia respondissent, imperatoris avunculum Julianum ægrum moriturum non esse : dum responsa ipsa legeret, ærumnose et miserabiliter is vitam finiit. Multi enim qui in Christianos et veram pietatem furore suo debacchati fuerant, justas dedere pœnas : manifestissime autem omnium cum eis etiam Julianus, illustri dignitate præditus, qui tum universo Orienti cum imperio præfuit, desertoris ipsius (sicuti diximus) avunculus. 67 Præterea Felix, imperialium thesaurorum curator, et Elpidius imperatoriæ domus præfectus (comitem rerum privatarum Latina lingua vocat). Tres hi gratiosi maxime apud imperatorem erant : cui ut gratificarentur, posteriores duo veram pietatem abjuraverant. Julianus, incendii Daphnæi templi et simulacri causam inquirens, Christianos id deorum odio excitasse suspicatus, tametsi a vicinis agricolis de cœlo fulmine eam ædem tactam esse cognovit, non temperavit sibi tamen, quin adversus universarum rerum Deum arma sumeret. Itaque sacra vasa longe pretiosissima Ecclesiæ Magnæ, quam Constantinus magnus construxerat, in fiscum imperatoris inferri mandavit, et foribus templi, quod tum Ariani habebant, clausis, ne quis eo ingrederetur, curavit. Cum Juliano Felix

ΚΕΦΑΛ. ΚΘ'.

Περὶ τῆς ἀπάτης τῶν Ἑλληνικῶν χρηστηρίων· καὶ ἀπαρίθμησις τῶν κατὰ θεομηνίαν πεπονθότων, ἅτε δὴ περὶ τὰ θεῖα ἐξυβρισάντων.

Ἐξ ὧν γὰρ ἐσπούδαζεν Ἰουλιανὸς καὶ Ἕλληνες κιχρᾶν τὰ δαιμόνια, ἐκ τούτων μᾶλλον τὸ ἀσθενὲς καὶ πεπλανημένον τῆς θείας συνελαυνούσης προνοίας ἠλέγχετο. Ψευδεῖς γὰρ καὶ ἀτέλεστοι σχεδὸν B πάντες οἱ ἐκ τῶν χρηστηρίων χρησμοὶ κατά γε τὸ προφανὲς ἐγνωρίζοντο. Στρατεύειν γὰρ ἐπὶ Πέρσας μέλλων, εἰς Δελφοὺς καὶ Δωδώνην πέμψας, ἐπηρώτα τοὺς μάντεις. Οἱ δ' οὐ μόνον στρατεύειν, ἀλλὰ καὶ νικᾷν ἐπηγγέλλοντο. Τόσον δὲ τῆς ἀληθείας ἠστόχουν, ὅσον ἔδειξε τὰ ἐς ὕστερον. Ἐγὼ δὲ καὶ ἕνα τῶν χρησμῶν τοῦ ψεύδους τῷ παρόντι ἐνθήσω συγγράμματι· « *Νῦν πάντες ὡρμήθημεν θεοὶ, νίκης τρόπαια κομίσασθαι παρὰ θηρὶ ποταμῷ. Ἐγὼ δ' ἡγεμονεύσω θοῦρος πολεμόκλονος Ἄρης.* Θῆρα οὖν ποταμὸν τὸν Τίγριν ὠνόμασαν, ἐπειδήπερ ἔστιν αὐτῷ θηρίον ὁμώνυμον. Ὑπὸ δὴ τούτων ὁ δείλαιος βουκοληθεὶς τῶν χρησμῶν, τὴν νίκην ὠνειροπόλει· καὶ βεβαιωθεὶς, εἰς τὸν κατὰ Περσῶν ὡπλίζετο πόλεμον. Ἄλλοτε δὲ θεσπισάντων ἅμα πάντων καθ' C ἕκαστον τῶν μαντείων σχεδὸν, ὡς ὁ τοῦ βασιλέως θεῖος τὰ ἐκ μητρὸς Ἰουλιανὸς νοσῶν οὐ τεθνήξεται, ἐν αὐταῖς ταῖς τῶν χρησμῶν ἀναγνώσεσιν οἰκτρῶς ἐκεῖνος καὶ ἐλεεινῶς τὸν βίον κατέστρεψε. Καὶ γὰρ πολλοὶ τῶν εἰς Χριστιανοὺς καὶ τὴν εὐσέβειαν ἐκμανέντων δίκας ἔτισαν οὐ μεμπτάς· εἰς τὸ προφανέστατον δὲ καὶ ὁ ἐπιφανὴς Ἰουλιανὸς, ὁ τηνικαῦτα τῆς Ἕω πάσης ἄρχων, θεῖος ὢν, ὥς γε εἴρηται, κατὰ τὸ μητρῷον γένος τοῦ ἀποστάτου. Πρὸς δὲ καὶ Φῆλιξ ὁ τοὺς βασιλικοὺς θησαυροὺς ἐπιτετραμμένος· καὶ Ἐλπίδιος ὁ τηνικαῦτα τῆς βασιλικῆς οἰκίας προεστηκὼς (κόμητας δὲ τῶν πριβάτων τούτους ἡ Ῥωμαίων γλῶσσα καλεῖ). Οὗτοι δὲ οἱ τρεῖς τῶν τῷ βασιλεῖ κεχαρισμένων μάλιστα ὄντες, κἀκείνῳ δὲ χαριζόμενοι, τὴν εὐσέβειαν ἐξηρνήσαντο. Ἰουλιανὸς D γὰρ τὸν κατὰ τοῦ ἀγάλματος τῆς Δάφνης ἐμπρησμὸν ἐρευνώμενος, μήπου τις τῶν Χριστιανῶν μίσει τῷ τῶν θεῶν τὸ πῦρ ἔβαλεν· ἐπειδὴ παρὰ τῶν πλησιοχώρων ἀγροίκων ἀνέμαθεν οὐρανόθεν τὸν πρηστῆρα φερόμενον τεθεᾶσθαι, ὅμως οὐ καθυφῆκε μὴ κατὰ τοῦ Θεοῦ τῶν ὅλων ὁπλίζεσθαι. Καὶ δὴ προστάττει τὰ ἱερὰ τῆς μεγάλης Ἐκκλησίας σκεύη, οὐδενὸς εἰς πολυτέλειαν ἐνδεᾶ (ἣν Κωνσταντῖνος ὁ μέγας ἐδείματο), τοῖς βασιλικοῖς ταμείοις ἀποδοθῆναι· πρὸς δὲ καὶ τὰς θύρας ταύτης τοῖς Ἀρείου θιασώταις ἐκδίδου. Καὶ τῷ μὲν Ἰουλιανῷ Φῆλιξ καὶ Ἐλπίδιος τῷ νεῷ συνεισῆλθον, τῶν βασιλικῶν χρημάτων ὄντες ταμίαι, ὁ μὲν τῶν δημοσίων, ὁ δὲ τῶν ἰδίᾳ τοῦ βασι-

(1) Theodoret. addit Delum, lib. III, cap. 21.

λέως ὄντων. Τούτων ὁ μὲν Ἰουλιανὸς, ἀργαλέᾳ τε A καὶ δυστεκμάρτῳ νόσῳ βληθεὶς, ἐπὶ τεσσαράκοντα ὅλας ἡμέρας ἔκειτο ἀποπλήκτως, μήτε φθεγγόμενος, μήτε τινὰ συναίσθησιν ἔχων. Τὸ δ' αἴτιον ὅτιπερ καθέδρᾳ τοῖς ἱεροῖς ἐχρήσατο σκεύεσι, προσαῤῥάσσων τῇ γῇ· καὶ τὸν ἱεράρχην Εὐζώϊον, πειραθέντα κωλῦσαι τὸ ἄγος, κατὰ κόῤῥης παίει σφοδρῶς, ἐπειπὼν, ὡς ἔρημα τὰ Χριστιανῶν τῆς θείας τυγχάνει κηδεμονίας. Μικρὸν δὲ τέως ὑποῤῥαΐσας, πολλὰ μὲν κατεγίνωσκεν ἑαυτὸν τῆς ἀθεμίτου γνώμης· καὶ τὴν δίκην αὐτῷ συνῄσθετο ἐκεῖθεν καταῤῥαγῆναι. Καὶ μέχρι τοῦ μάρτυρα αὐτὸν ἑαυτῷ τῆς ἀνοσιουργίας γενέσθαι ἀνενεγκὼν, παντοδαποῖς ἕλκεσι καὶ σηπεδόσι τὴν γαστέρα σπασθεὶς, συνδιεῤῥάγη καὶ τὴν ψυχήν. Τῶν γὰρ ἐγκάτων τούτῳ διασαπέντων, τὴν κόπρον οὐκέτι διὰ τῶν ἀποκριτικῶν ὀργάνων παρέ- B πεμπεν, ἀλλὰ τὸ μυσαρὸν στόμα τῆς βλασφημίας γενόμενον ὄργανον, τῆς ἀποκρίσεως ἐγένετο μόριον. Τὸ δέ γε αἰδοῖον καὶ οἱ περὶ αὐτὸ πόροι ἐφθείροντο· καὶ αἱ περὶ ἐκεῖνα σάρκες κατασαπεῖσαι, πρὸς σκώληκας μετεβάλλοντο. Καὶ τὸ πάθος ἐπικρατέστερον ἦν τῆς τῶν ἰατρῶν τέχνης. Διὰ παντοδαπῆς γὰρ ἥκοντες πείρας αἰδοῖ καὶ δέει τοῦ ἄνακτος, πᾶσάν τε φαρμάκων ἰδέαν κινήσαντες, λίπεσί τε τῶν πολυτίμων ὀρνίθων οὓς ἔθυον τὰ διεφθορότα μέλη προσπλάττοντες, τοὺς ἐν βάθει κρυπτομένους σκώληκας πρὸς τὴν ἐπιφάνειαν μετεστέλλοντο. Οἱ δ' ἐπὶ μᾶλλον πρὸς τὰς ζώσας εἷρπον σάρκας κατὰ βάθος δυόμενοι. Καί γε οὐ διέλιπον κατεσθίοντες, ἕως οὗ βιαίῳ μόρῳ τὸν ἄθλιον διεχρήσαντο. Χρήσασθαι δὲ C αὐτὸν τῇ τοιαύτῃ φασὶ συμφορᾷ, Θεοῦ τὸν χόλον ἐπαύξοντος, καθότι τῆς Ἐκκλησίας καὶ τῶν ἱερῶν αὐτοῦ σκευῶν κατωρχήσατο.

A et Elpidius, imperialium pecuniarum quæstores, publicarum alter, alter privatarum, in templum id direpturi venerant. Horum Julianus difficili et incognito morbo mox correptus, ad dies quadraginta ita distentus jacuit, ut neque loqueretur, neque sentiret quidquam. Causa morbi erat, quod sacris vasis (1), quæ terræ illiserat, pro sedili usus fuerat : et episcopum Euzoium, qui piaculum tantum inhibere conatus fuerat, in caput vehementer verberaverat, dicto illo insuper ingesto, Christianorum res a divina Providentia non curari. Et valetudine paululum recuperata, cum seipsum ob nefandam sententiam suam condemnavit, tum vindictam divinam qua affligebatur, sensit (2). Et cum ita adversus seipsum impiorum facinorum B suorum testis ipse esset, ventrem deinde ejus putredo et omnis generis ulcera convulserunt, quæ ei mortem etiam attulere. Visceribus etenim atque extis putredine ea corrosis, excrementa non jam per naturalia vim expellendi obtinentia membra egerebat, verum os scelestum, quod blasphemiæ et maledictorum effecerat instrumentum, pars corporis obscœna per quam excerneret, est factum. Pudenda ipsa, et qui circa ea sunt meatus, corrupti itidem sunt : caroque eis in partibus putrefacta in vermes abiit, et morbus ipse medicorum arte longe fuit potentior. **68** Illi enim reverentia et metu imperatoris omnia experti sunt, et omni remediorum specie adhibita, pin- C guedineque pretiosarum avium, quas diis sacrificabant, membris corruptis applicata, vermes profundius latitantes, in apertum quasi quibusdam illecebris evocare contenderunt. At illi in membris occultioribus ad carnem vivam magis magisque prorepsere, neque corrodere hominem destitere, donec violenta morte miserum enecarunt. Porro tanta calamitate propterea mactatum esse ferunt, ex ira divina, quod sic Ecclesiæ et sacris ejus vasis insultaverit.

Ὁ δέ γε Φῆλιξ, τῶν ἱερῶν σκευῶν τὴν πολυτέλειαν θεασάμενος (Κωνσταντῖνος γὰρ καὶ Κωνστάντιος φιλοτίμως αὐτὰ κατεσκεύασαν), ἐπεγγελῶν καὶ ἀστειευόμενος, « Ἰδοὺ, ἔφη, ἐν ὁποίοις σκεύεσιν ὁ τῆς Μαρίας ὑπηρετεῖται υἱός. » Κἀντεῦθεν καὶ ἐξ οὐδεμιᾶς ἄλλης αἰτίας τῶν ἐν βάθει φλεβῶν μιᾶς τῆς μεγίστης ἀναῤῥαγείσης, αἷματός τε αὐλὸν ἐξέπεμπεν ἐκ τοῦ στόματος· καὶ θέαμα τοῖς ὁρῶσι γενόμενος φοβερὸν, οὐδὲ δι' ὅλης ἡμέρας ἤρκεσεν· D ἀλλὰ περὶ δείλην ὀψίαν τοῦ αἵματος ἐπιλείψαντος, καὶ τὴν ψυχὴν συναπέβαλεν.

Felix autem vasis tanti pretii conspectis (Constantinus namque et Constantius liberalissime ea comparaverant), arridens et urbane jocans, « Ecce, inquit, qualibus vasis Mariæ filius divina re peragenda colitur ? » Eamque nec ob aliam quampiam causam, ex interioribus ejus venis una quæ maxima esset, rupta, tanquam per fistulam sanguinem per os ejus emisit. Sic et ipse horrendum D cernentibus omnibus spectaculum factus, non totum perduravit diem : sed circa crepusculum, una cum sanguine jam deficiente, simul etiam animam evomuit.

Ὁ δέ γε τρίτος Ἐλπίδιος, βλασφημήσας καὶ οὗτος Χριστὸν, εἰ καὶ τῶν ἄλλων βραδύτερον, ἀλλ' οὖν φωραθεὶς τυραννίδι συμπράττων, τῶν ὄντων ἁπάντων ἔρημος γεγονὼς, εἱρκταῖς τε καὶ συμφοραῖς ἑτέραις καταβιοὺς ἀκλεῶς καταστρέφει τὸν βίον,

At tertius Elpidius, qui blasphemus quoque in Christum fuerat, tardius ille quidem quam alii pœnas luit : sed tamen inter eos qui tyrannidem affectarunt, deprehensus, bonis omnibus exutus, gravesque ærumnas alias in carcere perpessus,

(1) Theodoretus addit, Julianum ipsum in sacram quoque mensam minxisse.

(2) Verba conjugis ad Julianum apud Theodorit. : *Ut laudibus, o vir, Christum Salvatorem vehas, convenit, quod per castigationem potentiam tibi suam exhibuit. Non enim eum cognovisses, quem persequeris, nisi pro longanimitate sua divinitus hasce tibi intulisset plagas. Agnovit illa morbi causam, et imperatorem, ut eis ecclesia quibus adempta fuerat, restitueretur, rogavit. Sed frustra.* Lib. III, cap. 13.

turpiter vitam finiit, sacer et detestandus ab omnibus judicatus. Præter hos alius quidam cum reliquis in ecclesiam, quam, donaria et res alias pretiosas prædonum more auferentes, cumque qui sacra vasa curabat, contumeliis afficientes, vastarunt atque diripuerunt, ingressus: super reliquas indignitates, veste subducta, sacrificii aram petulantissime comminxit. Verum illico pergraves et acres tanti flagitii tulit pœnas. Per quæ enim peccaverat, ad interiora usque viscera putredine consumptis membris, incredibilis inde vermium vis prognata, miserandum in modum, ut dicere calamitatem eam pudeat, miserum exstinxit. Sed et Heronem illum Thebis Ægyptiis ortum, qui episcopus creatus, casu quodam ad Græcam superstitionem defecerat, **69** subito putrida invasit ægritudo, quæ totum illius corpus depasta, abominationem eum omnibus reddidit. Quapropter rebus omnibus desperatis, in viam est projectus, nullam prorsus a quopiam miserationem consecutus. Christiani namque perinde atque piaculum omnibus modis eum sunt aversati: Græci autem hactenus tantum eum, quod se errori et fraudi eorum subjecisset, agnoverunt. Et Heron quidem acerbissime et miserrime ita vita excessit. Alius autem, Theotecnus scilicet quidam, et ipse a nostra ad Græcam religionem prolapsus, carne ejus omni putrida carie consumpta, vermium materia factus est: et oculis illorum morsibus amissis, moriens per insaniam quæ eum corripuit, sua sibi dentibus conscissa atque devorata lingua, e gravibus tormentis ad longe deteriores majoresque cruciatus migravit. Sed et alii insuper talia quoque ausi, condigna sceleribus suis tulere supplicia. Ejuscemodi multa eo tempore divinum Numen exhibuit miracula, commeritas justasque ab eis qui impudenter et aperte veram pietatem oppugnarunt, pœnas exigens. De quibus hactenus.

CAPUT XXX.

De statua Christi, quam in Paneade Phœniciæ mulier illa quæ fluxu sanguinis laborabat, erexit.

Ego porro aliud quoque insigne miraculum, potentiam Christi exhibens, et vindictæ divinæ adversus impios indicium non minimum ostendens, vi temporum obrui non patiar. Phœniciæ urbs est, quæ antiquissimum nomen habuit Dan, appellatione ea ab ipso Dan, ex patriarchæ Jacobi filiis uno, accepta, qui tribus et gentis ejus locum eum tum incolentis princeps et auctor fuit. Longo deinde tempore post Herodis filius Philippus Cæsari gratificatus, de suo atque illius nomine urbem magnifice ornatam ædificiis, Philippi Cæsaream cognominavit. Græci autem propterea quod in ea Dei Panis statuam collocaverint, Paneadem vocarunt. **70** In hac ipsa urbe fons quidam est: ad hunc mulier (1) illa quæ sanguinis fluxu laboraverat, præclaram ex ære Christo

(1) Supra lib. VI, cap. 15.

A ἐπάρατος πᾶσι γενόμενος. Καὶ ἄλλος δέ τις τοῖς εἰρημένοις, τῇ ἐκκλησίᾳ συνεισελθών, ἣν ἐπόρθουν καὶ ἀπεσύλων, τά τε θεῖα κειμήλια καὶ ἀναθήματα λαφυραγωγοῦντες, καὶ τὸν ἐν αὐτοῖς θεραπευόμενον ἐξυβρίζοντες. Οὗτος δὲ πρὸς ταῖς λοιπαῖς ἀτοπίαις τὴν ἐσθῆτα ἀνασυράμενος, τῷ θυσιαστηρίῳ ἐνασελγαίνων οὖρον ἐξέκρινε· καὶ παραυτίκα, ποινὴν χαλεπὴν καὶ ὀξεῖαν εἰσπράττεται· δι' ὧν γὰρ ὕβριζε μορίων, ταῦτα μέχρι καὶ τῶν ἐντέρων διασαπεὶς, καὶ σκωλήκων ἀδιήγητον χρῆμα τεκνώσας, οἰκτρῶς ἄγαν καὶ οὐδ' ἀφηγήσεως ἀξίως καταστρέφει τὸν βίον. Ναὶ μὴν καὶ Ἥρων ἐκεῖνος ἐκ Θηβῶν τῶν Αἰγυπτίων ὁρμώμενος, καὶ εἰς ἐπισκόπους τελέσας, πρὸς Ἑλληνισμὸν ἔκ τινος συμβάματος μετεβλήθη· B ὃν παραχρῆμα νόσος σηπεδονώδης ἐπέλαβε, καὶ πᾶν αὐτοῦ καταβοσκηθεῖσα τὸ σῶμα, βδέλυγμα πᾶσιν ὑπέδειξεν. Ὁ δὲ πανταχόθεν ἀπορηθεὶς ἐν ταῖς ἀμφόδοις διέῤῥιπτο· μηδ' ὁντινοῦν μηδαμόθεν ἕλκων ἔλεον· τῶν μὲν Χριστιανῶν παντάπασιν ὡς ἄγος ἐκτρεπομένων αὐτόν· τῶν δ' Ἑλλήνων μέχρι τοῦ καθυποβαλεῖν αὐτὸν τῇ πλάνῃ μόνον διεγνωκότων. Καὶ ὁ μὲν Ἥρων πικρῶς οὕτω καὶ παναθλίως τῆς ζωῆς ἀπελήλαται. Καὶ ἄλλος δέ τις Θεότεκνος ὄνομα, ἀποῤῥυεὶς πρὸς Ἑλληνισμὸν, πᾶσαν ἀθρόως τὴν σάρκα διασαπεὶς, καὶ σκώληξιν ὕλη γενόμενος, καὶ τοὺς ὀφθαλμοὺς ὑπ' αὐτῶν γ' ἐκείνων ἐξορυχθεὶς, τελευτῶν εἰς μανίαν ἐτράπη· καὶ τὴν σφετέραν γλῶσσαν καταφαγὼν, ἐκ πικρῶν βασάνων εἰς πολὺ χαλεπώτερα κολαστήρια παρεπέμφθη· οὐ μὴν δὲ C ἀλλὰ καὶ ἕτεροι παραπλήσια τετολμηκότες, ἐφαμίλλους καὶ τὰς τιμωρίας ἐξέτισαν. Τοιαῦτα δὲ πολλὰ τὸ τηνικάδε καὶ τὸ Θεῖον ἐτερατούργει, ἀντιῤῥόπους τὰς ποινὰς παρὰ τῶν ἀναίδην κατὰ τῆς εὐσεβείας χωρούντων σαφῶς εἰσπραττόμενον. Καὶ τὰ μὲν τῶν ἀσεβῶν τοιαῦτα.

ΚΕΦΑΛ. Λ'.

Περὶ τοῦ ἐν Πανεάδι τῆς Φοινίκης ἀγάλματος τοῦ Χριστοῦ, ὃ ἡ αἱμόῤῥους ἀνίδρυσεν.

Ἐγὼ δὲ καὶ ἕτερον οὐ σμικρὸν σημεῖον τῆς τοῦ Χριστοῦ δυνάμεως ἐπαγόμενον, τῆς δὲ κατὰ τοῦ δυσσεβοῦς θεομηνίας τεκμήριον οὐκ ἐλάχιστον ὑπεμ- D φαῖνον οὐκ ἀνήσω συγκαλύψαι τὸν χρόνον. Φοίνισσα πόλις ἐστὶν, ἡ παλαίτατον μὲν ὄνομα εἶχε Δὰν, ἑλκυσαμένη τὴν προσηγορίαν ἀπὸ Δὰν, ἑνὸς τῶν παίδων τοῦ πατριάρχου Ἰακὼβ, ὃς φύλαρχος κατέστη τῶν τηνικάδε κατοικούντων τὸν τόπον. Μετὰ δὲ τοῦτο χρόνῳ πολλῷ ὕστερον, ὁ τοῦ Ἡρώδου υἱὸς Φίλιππος Καίσαρι χαριζόμενος, εἰς ἀμφοτέρων τὰς κλήσεις ἀνίστα τὴν πόλιν, καὶ ἐπὶ τὸ μεγαλοπρεπὲς ᾠκοδόμει· καὶ Φιλίππου Καισάρεια ἐκαλεῖτο. Τῶν δ' Ἑλληνιστῶν τὸ τοῦ Πανὸς ξόανον ἐν ταύτῃ καθιδρυσάντων Πανεὰς ὠνομάσθη. Ἐν οὖν τῇ Πανεάδι ταύτῃ πηγή τίς ἐστιν ἔνδον τῆς πόλεως. Παρὰ ταύτῃ δὴ τῇ πηγῇ αἱμόῤῥους ἐκείνη ἐπίσημόν τι ἄγαλμα χαλκοῦ

πεποιημένον ἀνίστη Χριστῷ, ἀμειβομένη τὸν εὐεργέτην τῇ τοῦ πάθους ἀπαλλαγῇ· χάριν δὲ πλείστην τερπνότητος τοῖς ἐκεῖσε φοιτῶσι παρεῖχε θεώμενον. Τῆς δ' εἰκόνος ταύτης κατὰ τοὺς πόδας βοτάνη τις ἀνεφύετο νοσημάτων παντοίων, μάλιστα δὲ τῆς φθινάδος νόσου ἀλεξιφάρμακον. Ἀμήχανον δ' ἦν τοῖς θεραπευομένοις τὸ αἴτιον, περὶ πλείστου ποιουμένοις τὴν ζήτησιν. Ἐλελήθει γὰρ τῷ χρόνῳ, καὶ οὗτινος ἔφερε τὴν μορφὴν, καὶ ἡ πρᾶξις δι' ἣν ἀνεστήλωτο. Τῷ γὰρ ὕπαιθρον καὶ γυμνὸν ἑστάναι στέγης τὸ θεῖον ἄγαλμα, οὐκ ἐλάχιστον καὶ τοῦ σώματος συνεχώσθη. Καὶ γὰρ ὄμβροι γῆν ἐκ τῶν ὑψηλοτέρων χώρων ἐπισυρόμενοι ἀεὶ προσετίθουν· ὑφ' ἧς ἡ τῶν ἕκαστα δηλούντων ἐγγραμμάτων γνῶσις ἄδηλος ἦν. **B** Ζητήσεως οὖν ποτε πολλῆς γενομένης περὶ τῆς χάριτος τῆς φυομένης ἐκεῖθεν, τὸ μὲν συγκεχωσμένον ἀνώρυκτο· τὰ δὲ γράμματα τὸ τῆς ἱστορίας ἀψευδὲς κατεμήνυον, καὶ τοῦ λοιποῦ ἡ μὲν πόα οὐκέτι μετ' ἐκεῖνον ὤφθη τὸν χρόνον, οὔτε ἐκεῖ, οὔτ' ἀλλαχοῦ. Τοῦτον δὲ τὸν τοῦ Χριστοῦ ἀνδριάντα καθελὼν Ἰουλιανὸς, τὸν ἑαυτοῦ τῷ κίονι ἀνθιστᾷ. Πῦρ δ' ἐξαπίνης οὐρανόθεν ἐπεισπεσὸν βίαιον, τέμνει κατὰ τὸ στῆθος τὸ ἄγαλμα· καὶ τὴν κεφαλὴν σύναμα τῷ αὐχένι ἀποβαλὸν, καθὸ καὶ τὸ διεῤῥωγὸς τῷ στέρνῳ ἐγένετο, ἐπὶ πρόσωπον πήγνυσι· καὶ εἰς πολὺ τοῦ χρόνου διέμεινε, τὴν κεραυνίαν αἰθάλην ἐναργῶς στηλιτεῦον τοῦτο τὸ ἄγαλμα. Τόν γε μὴν ἀνδριάντα Χριστοῦ μεταστησάμενοι τηνικαῦτα Χριστιανοὶ, ἐν τῷ τῆς ἐκκλησίας διακονικῷ ἔθεντο, τὰ πρέποντα θεραπεύοντες, στάσει τε σεμνοτέρᾳ τιμῶντες· **C** καὶ τὸ μεθ' ἡδονῆς τῷ χώρῳ φοιτᾷν· θεώμενοί τε τὸ εἶδος, καὶ τὸν περὶ τὸ ἀρχέτυπον πόθον ἐπιδεικνύμενοι. Τοῖς δὲ τοῦ δυσσεβοῦς τούτου χρόνοις, τὸ περὶ τὴν Πανεάδα Ἑλληνικὸν ἀναφλεγέντες, τῆς στάσεως ἀνασπασάμενοι, καὶ τῶν ποδῶν ἐκδησάμενοι, διὰ μέσης ἦγον τῆς λεωφόρου, πᾶν εἶδος ἀσεβείας διαπραττόμενοι. Τὸ μὲν οὖν ἄλλο σῶμα εἰς μέρος διέσπασαν· τὴν δὲ κεφαλὴν τῷ σύρεσθαι τῆς ὁλομελείας διαζυγεῖσαν, τῶν τινες τοῖς δρωμένοις ὡς εἰκὸς ἐπαλγούντων, λεληθότως τε ἀνελάβοντο, καὶ ὥς γε ἦν αὐτοῖς δυνατὸν, διεσώσαντο. Ὡσαύτως δὲ καὶ τἄλλα τοῦ σώματος συλλεξάμενοι, τῇ ἐκκλησίᾳ ἀνέθεντο. Τὸ δὲ φυόμενον τῆς βοτάνης ἐκεῖνο εἶδος οὐδενὶ τῶν ἰατρῶν ἢ περὶ τὰ τοιαῦτα ἐμπείρων δῆλον κατέστη. **D** Καί μοι δοκεῖ μηδὲν εἶναι θαῦμα καὶ ξένας εἶναι τὰς εὐεργεσίας ἀνθρώποις, ξενοτρόπως Θεοῦ τούτοις ἡρημένου ἐπιδημεῖν· ὅτι γε καὶ ἄλλα πλεῖστα παράδοξα κατὰ χώρας καὶ κώμας μόνοις τοῖς ἐπιχωρίοις ὡς εἰκὸς ἔγνωσται τῇ ἐξ ἀρχαίου παραδόσει διεγνωσμένα. Ὅτι δ' ἀληθὲς τὸ λεγόμενον, ἐγγὺς ὁ λόγος δηλοῦν.

erexit statuam, aliquam saltem benefactori suo ob depulsum sibi gravem morbum, officio eo gratiam rependens. Statua ipsa spectantibus plurimum præbuit gratiæ et amœnitatis. Ad hujus pedes herba enata est, præsentissimum ægritudinum omnium, potissimum vero tabidi morbi remedium. Et cum qui ea curabantur, summa diligentia causam tantæ efficaciæ inquirerent, invenire tamen eam omnino non potuere. Temporis enim diuturnitate et oblivione interciderat, cujusnam ea statua formam referret, et cujus rei gratia ibi esset collocata. Quod namque divinum simulacrum sub dio astaret, non parum corpus ejus etiam est immutatum, et imbres ex locis superioribus limum secum trahentes, statuæ ipsi aggesserant: quam ob causam cognitio ea, quæ ex litteris omnia indicantibus provenit, incerta reddita. Cæterum cum cura et diligentia majore promanans inde gratia investigaretur, terra illa effossa, litteræ tum demum apparentes, rem ipsam certo indicarunt. Et deinceps herba ea, ab eo tempore, neque eo ipso neque alio loco est conspecta. Sed enim Christi statua Julianus dejecta, suam ipse in locum ejus in columna constituit. Et ecce derepente ignis e cœlo vehemens dejectus, simulacrum illius circa pectus discidit: caputque una cum collo dejectum, et a pectore abruptum in faciem prostravit. Atque id longo postea tempore sic duravit, fuliginem eam fulminis aperte, veluti per inscriptionem columnæ incisam, testificans. Statuam autem Christi Christiani tum in Diaconicum ecclesiæ transtulerunt, et honoratiore loco positam, cultu convenienti prosecuti sunt. Locum namque eum libenter frequentantes, et imaginem ipsam inspectantes, desiderium suum et amorem erga statuæ ipsius archetypum primariumque exemplar declararunt. Impii porro imperatoris istius temporibus, qui Paneade fuere, Græcæ superstitionis sectatores, concitati, statuam eam, sicuti dixi, loco suo motam, funibus ad pedes vinctis, per mediam traxere viam, omnique impietatis genere contumeliosissime affecere. **71** Ita illi reliquum imaginis corpus comminuerunt, et caput a membris suis divulsum distraxerunt. Quod sane nonnulli, qui flagitio tanto, ita ut par erat, indoluere, clam sublatum, sicuti potuerunt, conservarunt: itidemque et alias corporis partes collectas in ecclesia reposuerunt. Herbæ, quam ibi enatam diximus, species nulli vel medicorum, vel aliorum peritiam talium rerum consectantium cognita fuit. Mihi vero minime mirandum videtur, nova hominibus exhiberi beneficia, novo subinde modo Deo ipso eos invisente. Nam alia quoque plurima miracula, quæ in certis vicis ac regionibus sunt, solis incolis, sicuti consentaneum est, ex vetusta majorum traditione nota esse, quæ sequitur narratio verissime declarat.

CAPUT XXXI.

De fonte qui Nicopoli sive in Emmaus est : et de Persæa arbore Hermopoli. morbos incurabiles incolatu Christi sanante.

In Palæstina civitas est Nicopolis nomine, quæ vicus antiquitus fuit, sacro Evangeliorum libro cognitus, in quo Emmaus nuncupatur. Eam quippe Romani postea, Judæis fortissime devictis, metropolique eorum Jerusalem capta atque eversa, ex eventu nomine imposito, Nicopolim vocarunt. Ante civitatem istam in trivio, ubi videlicet Christus post resurrectionem a mortuis, cum Cleopa comiteque ejus iter faciens, in vicum alium se properare finxit, fons quidam est, morborum hominibus omnium, atque etiam variorum animantibus ipsis laborum auxilium. Hic Christum dicunt cum discipulis suis, ubi de itinere longiore fessus esset, cum nobiscum in terris versaretur, pedes lavisse : atque ex eo tempore salubrem ad ægritudines dispellendas eam undam esse factam. Hermopoli (1) quoque Thebaidis arbor esse, quam Persæam (2) vocant, dicitur, multis morbis medicinam afferens, si vel festuca vel folium ex ea ægris applicetur. De qua illa adhuc fama apud Ægyptios obtinet, Dei Genitricem, una cum Josepho, Herodem fugientem, ductu Josephi Hermopolim venisse : **72** et quamprimum urbis portam attigisset, arborem eam adventum Christi ferre non potuisse : et quamvis procera admodum esset, ad solum ipsum tamen se demisisse, et paradisi olim satorem adoravisse. De arbore ea, hæc quæ legi, scribenda esse duxi. Ego vero eam quasi quoddam symbolum seu signum fuisse puto Christi ipsius in urbem eam adventus : aut certe, sicuti conjicere licet, eam propter proceritatem et pulchritudinem, Græcorum moribus ab urbis incolis divino honore cultam, tum commotam esse, dæmone qui per eam est cultus, exhorrescente ad præsentiam ejus, qui aboliturus et oppressurus eos omnino fuerat. Sed tum quoque cuncta Ægyptiorum simulacra diffluxere, Christi non ferentia adventum : juxta id quod de eis ab Isaia est dictum. Porro dæmone ex arbore ea pulso, ad certum rei gestæ indicium, prona et inclinata permansit, fide accedentes sanans. Harum rerum Palæstini et Ægyptii idonei fideque digni sunt testes.

A

ΚΕΦΑΛ. ΛΑ'.

Περὶ τῆς εἰς Νικόπολιν ἤτοι Ἐμμαοῦς πηγῆς· καὶ περὶ τοῦ ἐν Ἑρμουπόλει φυτοῦ τῆς Περσέας, πάθη ἀνίατα θεραπεύοντος τῇ ἐπιδημίᾳ Χριστοῦ.

Ἐν Παλαιστίνῃ πόλις ἐστὶ Νικόπολις ὄνομα· ἣν δὴ κώμην ἔκπαλαι οὖσαν, καὶ ἡ θεία τῶν Εὐαγγελίων βίβλος γινώσκει, Ἐμμαοῦς ὀνομάζουσα. Ἣν ἐς ὕστερον Ῥωμαῖοι Ἰουδαίους κατακράτος κινήσαντες, καὶ τὴν μητρόπολιν αὐτῶν Ἱερουσαλὴμ ἑλόντες καὶ κατασκάψαντες, Νικόπολιν ἀνηγόρευσαν, ἐκ τοῦ συμβάντος τὸ ὄνομα θέμενοι. Πρὸ δὴ ταύτης τῆς πόλεως περὶ τὴν τριοδίαν, ὅπου τοῖς περὶ Κλεόπαν μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν Χριστὸς συμβαδίζων ἐπὶ ἑτέραν κώμην δῆθεν ἔσπευδε μεταβαίνειν, πηγή τίς ἐστι B νόσων μὲν παντοίων ἀνθρώποις, οὐ μὴν δὲ ἀλλὰ καὶ ζώοις διάφορα νοσήματα κάμνουσιν, ἀλεξιτήριος· ὅπου δή φασι Χριστὸν τὰς κατὰ γῆν ποιούμενον διατριβὰς, σύναμα τοῖς μαθηταῖς τοὺς πόδας νίψασθαι πρὸς πλεῖστον ὁδοιπορήσαντα· καί γ' ἐξ ἐκείνου ἀλεξίκακον γενέσθαι τὸ ὕδωρ παθῶν. Καὶ ἐν Ἑρμουπόλει δὲ τῆς Θηβαΐδος δένδρον, ἡ Περσαία καλεῖται, πολλὰς ἀπελᾷν νόσους λέγεται, κάρφος ἢ φύλλον ἐκεῖθεν τοῖς κάμνουσι προσαπτόμενον· περὶ οὗ εἰσέτι λόγος παρ' Αἰγυπτίοις κρατεῖ, τὴν Θεοτόκου σύναμα Χριστῷ φεύγουσαν τὸν Ἡρώδην, εἰς Ἑρμούπολιν ἥκειν τοῦ Ἰωσὴφ ἡγουμένου· ἅμα δὲ τῷ τὴν πύλην εἰσιέναι τῆς πόλεως, τὸ δένδρον τοῦτο μὴ οἷόν τε φέρειν τὴν ἐπιδημίαν Χριστοῦ, καίπερ μέγιστον ὂν, πρὸς τοὔδαφος κλῖναι καὶ τὴν προσκύνησιν ἀπονεῖμαι C τῷ τοῦ παραδείσου ἔκπαλαι φυτουργῷ. Καὶ περὶ μὲν τοῦ φυτοῦ τοιαῦτα ἔγνων καὶ ἔγραψα· ἐγὼ δὲ οἴομαι, σύμβολόν τι τοῦτο γενέσθαι τῆς ἐπὶ τὴν πόλιν παρουσίας Χριστοῦ· ἢ ὥς γε ἔνεστιν εἰκάζειν, διά τε μέγεθος καὶ κάλλος τὸ φυτὸν καθ' Ἕλληνα νόμον θρησκείας καὶ σεβάσματος ἀξιούμενον παρὰ τῶν ἐπιχωρίων, σεισθῆναι, τοῦ θεραπευομένου δι' αὐτοῦ δαίμονος, φρίξαντος τὸν ἐκείνων καθαιρέτην ἀθρόον ἐπιφανέντα τῷ χώρῳ· οὐ μὴν δὲ ἀλλὰ καὶ πάντα τῶν Αἰγυπτίων τὰ ξόανα διεῤῥύη, τὴν ἐπιδημίαν οὐκ ἐνεγκόντα Χριστοῦ· καθὰ τὸ Ἡσαΐᾳ περὶ τούτων ῥηθέν. Τοῦ δὲ δαίμονος ἐκεῖθεν ἀπελαθέντος, εἰς δήλωσιν ἀκριβῆ τοῦ συμβάντος ἔμεινεν ἐπικλινὲς τὸ φυτὸν τοὺς πίστει χρωμένους ἰώμενον. Τούτων D δ' Αἰγύπτιοι καὶ Παλαιστῖνοι ἀξιόπιστοι μάρτυρες.

CAPUT XXXII.

Ut impius religionem nostram exstinguere conatu, etiam Judæis permiserit Hierosolymis templum restaurare : et quæ tum ibi fidem prope omnem excedentia evenerint.

Imperator autem, cum Christianis infensus, eos semper odio persequeretur, erga Judæos tamen, eorumdemque majores et duces, non parvam exhibuit mansuetudinem et benevolentiam : et ad

ΚΕΦΑΛ. ΛΒ'.

Ὡς τὰ καθ' ἡμᾶς ὁ δυσσεβὴς σβέσαι πειρώμενος, καὶ Ἰουδαίοις ἀνῆκε τὸν ἐν Ἱεροσολύμοις νεὼν ἀνιστᾷν, καὶ ὅσα παράδοξα τηνικαῦτα ἐκεῖσε ἐγένοντο.

Βασιλεὺς δὲ, εἰ καὶ Χριστιανοῖς ἐχαλέπαινε, καὶ διὰ μίσους ἀεὶ ἦν, Ἰουδαίοις μέντοι οὐ σμικρὰν εὔνοιαν καὶ πραότητα ἐδείκνυ, καὶ τοῖς προπάτορσι τούτων καὶ ἀρχηγοῖς· καὶ τῷ πλήθει δὲ αὐτῶν ἔγρα-

(1) Persæa Hermopoli ἀλεξιφάρμακος arbor. *Si quis Daphnensis luci in Syria, vel Persææ in Ægypto arborem comparaverit, quinque libris auri noverit se esse multandum*, l. 1, *De cupres. ex luc. Daphnens.* C. lib. II.

(2) Sozom. *Persidem* nominat, lib. v, cap. 21

φεν, ὑπέρ τε αὑτοῦ καὶ τῆς ἀρχῆς εὐχὰς πράττειν. Τοῦτο δ' ὡς εἰκάζειν ἐποίει, οὐ τὴν θρησκείαν γεραίρων· οὐ γὰρ ἦν ἀμαθής, ὡς μήτηρ αὕτη σχεδὸν τοῦ Χριστιανῶν δόγματος· καὶ οὓς ἐκείνη πατριάρχας τε καὶ προφήτας αὐχεῖ, τούτους δὴ καὶ ἡμεῖς· ἀλλ' ἀκριβῶς ᾔδει τὸ πρὸς ἡμᾶς ἄσπονδον Ἰουδαίων μῖσος. Ἡμῖν οὖν ἀπεχθανόμενος διὰ τῆς ἐκείνων θεραπείας λυπεῖν ὡς μάλα ἐμηχανᾶτο· ἄλλως τε καὶ τάχος ὅσον ἀπαχθῆναι αὐτοὺς πρὸς τὰς Ἑλληνικὰς θυσίας ἑτοίμους κατελογίζετο, ἐν ῥητοῖς μόνους ἐκδεχομένους βίβλους τὰς ἱεράς. Καὶ μὴ πρὸς τὸ βάθος τῆς θεωρίας ὁρῶντας, ὥσπερ Χριστιανοὶ καὶ αὐτῶν Ἑβραίων οἱ διαβεβηκότες τε καὶ σοφώτεροι. Χαίρων τοίνυν τοῖς αἵμασι καὶ τῷ δεισιδαιμονεῖν, εἰ μὴ καὶ ἄλλους ἐφελκύσειε, ζημίαν ἡγεῖτο· καὶ κατ' ἄλλον δὲ τὸν τρόπον τοὺς Σωτῆρος χρησμούς, οἳ τὴν Ἱερουσαλὴμ ἀνατετράφθαι λέγουσιν, ὥστε μηδὲ λίθον ἐπὶ λίθῳ μεῖναι, τούτους ἅτε ψευδεῖς ὁ μάταιος ἐλέγχειν διανοηθείς, τοῦτ' ἔπραττε· καίτοι γε τόσον οὐδὲν ἤνυσεν οἷς ἔσπευδεν, ὥστε καὶ ἄκων ἐβεβαίωσε τὸ ἐν αὐτοῖς ἀμετάπτωτον· καὶ ἡ καταισχύνειν δοκοῦσα τόλμα, καὶ τὰ Δεσποτικὰ λόγια ἐκφαυλίζειν, τὸ ἀκαταίσχυντον μᾶλλον ἐκείνων τε καὶ σεβασμιώτατον λέληθεν ἑαυτὴν ἀνακηρύττουσα. Ὁ γὰρ Ῥωμαίων βασιλεὺς ἐκεῖνος Ἀδριανός, ὃς καὶ Αἴλιος ἐκαλεῖτο, τὰ Ἱεροσόλυμα εἰς τέλος κατενεγκών, ὡς ἂν παντάπασι τὸ Ἰουδαίων ἔθνος αὐτῆς ἀποστήσῃ καὶ παντελῶς ἀποῤῥήξῃ· ἵνα μηδὲ μνήμη τις τοῦ πάλαι ὀνόματος αὐτοῖς καταλείποιτο, καὶ μηδ' ἐκ τῆς κλήσεως ὡς πατρίδος αὐτῆς ἀντιποιεῖσθαι πρόφασιν ἔχωσι, μεταπλάττων ὡς οἷόν τε τὴν κλῆσιν, Αἰλίαν ἐξ ἑαυτοῦ κατωνόμαζε, τοῖς Δεσποτικοῖς χρησμοῖς τὸ ἀδιάψευστον μαρτυρῶν, εἰ καὶ ἄκων ἠλαύνετο. Καὶ γάρ πως ἐδεδίει τὸ θερμουργὸν αὐτῶν εἰσάπαν καὶ ῥιψοκίνδυνον, μὴ κατὰ πρόφασιν τῆς ἐν τῇ πόλει νενομισμένης λατρείας ἀγειρόμενοι πράγματα Ῥωμαίοις παρέξωσιν. Ἰουλιανὸς δὲ τὴν καθ' ἡμῶν ὕβριν αὔξων, τοὺς τοῦ ἔθνους ἀρχηγοὺς τῶν πατρίων ἐθῶν ἀνεμίμνησκεν· καὶ ὅτου χάριν μὴ κατὰ τοὺς τοῦ Μωσέως νόμους ζῆν αἱροῖντο ἠρεύνα. Τῶν δὲ λεγόντων ἀπώμοτον εἶναι μὴ ἄλλοθί που τὰ πάτρια τελεῖν δύνασθαι, ἐκπεπτωκότας τῆς μητροπόλεως, χρήματα δοὺς αὐτοῖς ὅσον τάχος τὸν Σολομῶντος ἐγείρειν νεὼν προὐτρέπετο, ἐπίσης τε τοῖς προγόνοις θρησκεύειν τὸν παλαιὸν τρόπον θύοντας.

A eorum populum, ut pro se et imperio suo precarentur, scripsit. Atque id eum fecisse conjectura est, non quod religionem eorum colendam duceret (non enim ignorabat, veluti parentem eam esse Christiani dogmatis : et quos illa jactat patriarchas et prophetas, de eisdem nos quoque gloriari) : sed probe ei implacabile Judæorum erga nos odium perspectum fuit. Itaque nobis iratus, per suum in illos studium et curam ægre nobis facere est conatus. Præterea vero promptos paratosque eos esse arbitratus est, ut primo quoque tempore ad Græca sacrificia adducerentur, qui verba tantum et litteram sacrorum Librorum reciperent, **73** neque per contemplationem ad occultiorem eorum sensum respicerent, sicuti B Christiani, atque etiam inter Hebræos sapientiores et præstantiores faciunt. Et sanguine vanaque superstitione ipse gaudens, nisi alios quoque in idem pertraheret malum, pro detrimento ingenti habuit. Insuper et alia quadam de causa Servatoris oracula, quæ Hierosolymis talem denuntiant eversionem, ut ne lapis quidem super lapide mansurus esset, vanissimus ille mendacii arguere volens, id fecit. Tantum vero abest ut aliquid studio suo effecerit, ut invitus etiam certitudinem et immutabilitatem eorum magis confirmarit. Atque audacia ejus, quæ sibi probro affectura videbatur Dominica responsa, eaque prorsus abolitura, non sensit ipsa se, reverentiam illorum, in quæ opprobrium aliquod cadere nequeat, deprædicare. C Romanorum enim imperator ille Adrianus, qui et Ælius est dictus, et Hierosolyma evertit, ut Judæorum gentem prorsus ab ea urbe dimoveret atque dispelleret, et ne memoria quidem eis veteris nominis relinqueretur, neque ipsi ex appellatione causam aut occasionem recuperandæ patriæ haberent, nomine (sicut potuit) mutato, Æliam a seipso vocavit : ea ipsa re, quamvis invitus et imprudens, veritatem Domini nostri oraculis attestatus. Veritus namque fuerat calida præcipitiaque et periculum temere aggredientia Judæorum ingenia, ne per prætextum divini cultus, qui lege lata in urbe ea peragi deberet, exercitu coacto negotium Romanis exhiberent. D Julianus porro contumelias in nos suas adaugens, gentis ejus primarios viros patriorum morum admonuit, et quamnam ob causam non juxta Mosæ leges viverent, interrogavit. Atque illi ubi dixerunt, omnibus modis cavendum sibi esse ceu rem abjuratam, ne alibi quam Hierosolymis, qua urbe prorsus excidissent, sacra patria peragerent, data illis pecunia, ut quam possent celerrime Solomonis restaurarent templum, eos est cohortatus, ut ad exemplum majorum suorum veteri more sacrificarent, et rem divinam facerent.

Καὶ ὁ μὲν οὕτως· οἱ δὲ οὓς ἔκπαλαι ἐπεθύμουν δεδραγμένοι καιροῦ, σπουδῇ πάσῃ τοῦ ἔργου ἥπτοντο· φοβεροὶ οἷον Χριστιανοῖς ἐνορῶντες, καὶ κατ' αὐτῶν ἐπαιρόμενοι, ἠπείλουν πράττειν τὰ πάνδεινα, καὶ τοσαῦτα ὅσα δὴ αὐτοὶ πρὸς Ῥωμαίων πάλαι πεπόνθασι· μηδ' εἰς νοῦν οἱ δείλαιοι θέμενοι, ὡς οὐκ ἦν ἐγχωροῦν τοῦτ' εἰς πέρας ἐλθεῖν διαῤῥήδην τῶν ἐκ παλαιοῦ τοῖς προφήταις χρησμῶν τοῦτ' ἀπαγορευ-

Sic quidem ille. Judæi vero opportunum tandem tempus ejus rei, quam dudum desideraverant, conficiendæ nacti, studio omni in id opus incubuere. Et jam aspectu Christianos territantes, seque supra illos extollentes, clades omnes, et quascunque ipsi a Romanis olim perpessi fuerant ærumnas, se nobis illaturos esse sunt minati. **74** Sed miseris illis in mentem non venit, perfici eam rem minime

posse, quam verbis disertis veterum prophetarum oracula denegent et abnuant. Cæterum cum tanto studio ad id opus ferrentur, quicunque in arte ædificiorum condendorum celebres essent congregatis, materiam ad structuram omnem compararunt, locumque ipsum splendide repurgarunt : et sumptis ex publico impensis, argenteos etiam fieri curarunt ligones. Tanto vero in opere tali ardore fuere, et alacritate tanta elaborarunt, ut ipsæ mulieres in sinu vestibusque suis purgamenta exportarint : et quæcunque eis essent monilia, et mundum muliebrem omnem non gravate in structuram eam impenderint. Et quamvis Græci aliena ab iliis essent voluntate, tamen et ipsi eos in studio et labore eo adjuvarunt, conatum talem ad exitum suum perductum iri arbitrati : quo ipsi quoque falsas esse Christi prædictiones, oraculaque ejus intercidisse jactarent. Atque ubi jam reliquias structuræ veteris ex imis fundamentis effoderunt, et solum ita repurgarunt, ut ne lapis quidem super lapidem, juxta responsum illud, permaneret : et postridie ut primum jacerent fundamentum, ad locum eum venerunt, terræ motum ingentem ortum esse dicunt : et quod vehementi ejus concussione ex ipsis fundamentis lapides ejicerentur non paucos ex Judæis enecatos esse, qui vel ad operis spectaculum venerant, vel structuram ipsam curabant. Publica enim ædificia ipsi templo vicina soluta, atque cum impetu collapsa, eis quos intus oppressere, sepulcrorum loco fuere. Qui autem effugere voluerunt, semineces jacuere. Fuere qui crura et manus et membra alia, pro eo atque clades forte quemque comprehendit, repentino casus impetu mutilata retulerunt. Terræ motus vix conquieverat, et qui reliqui erant, opus rursum aggrediuntur, ut simul et quod magnopere cupiebant perficerent, et inevitabilem indignationem, quæ ex necessitate imperialis constitutionis eis imminebat, effugerent. Facile namque natura homines, quibus delectantur studiis et laboribus, tendere semper ad detrimentum solent : qui id unum profuturum existimant, quod sibi efficiendum proposuere, suo ipsorum ad id protracti errore : 75
neque illi utilitatem consilio ante cœptum opus capiendo deprehendere possint : neque periculis involuti, et experientia ipsa de eis admoniti, prudenter se, pro eo atque deberent, explicant : sicuti et Judæis tum accidit.

όντων. Οἱ μὲν οὖν οὕτω σπουδῇ τοῦ ἔργου εἴχοντο· καὶ τοὺς ἐπὶ τέχνῃ λαμπροὺς ἀθρόον ἀθροίσαντες, τὰς πρὸς τοῦτο ὕλας παρεσκευάζοντο· τόν τε χῶρον περιφανῶς ἐξεκάθαιρον, ἀργυρέας σκαπάνας ηὐτρεπισμένοι, ἐκ δημοσίων τῆς δαπάνης αὐτοῖς ἀνειμένης. Τοσαύτη δ' ἦν αὐτοῖς ἡ σπουδὴ καὶ προθυμία περὶ τὸ ἔργον οὕτως ἐπόνουν, ὡς καὶ τὰς αὐτῶν γυναῖκας τοῖς σφετέροις κόλποις τε καὶ κρασπέδοις τὸν χοῦν ἐκφορεῖν· ὅσα τε ἦν αὐτοῖς κόσμος καὶ περιδέραια, ἑτοίμως ἔχειν συνεισφέρειν τῇ δαπάνῃ τοῦ ἔργου. Ἕλληνες δὲ καίπερ μὴ εὖνοι ὄντες αὐτοῖς, ὅμως ἐκοινώνουν αὐτοῖς τῆς σπουδῆς, οἰόμενοι πρὸς τέλος ἀγαγεῖν τὸ ἐγχείρημα· ὡς ἂν καὶ αὐτοὶ, ψευδεῖς τὰς περὶ τοῦ Χριστοῦ προῤῥήσεις ἐλέγξωσι καὶ διαπεσεῖν τοὺς χρησμούς. Ἐπεὶ δὲ καὶ τὰ λείψανα τῆς ἐν βάθει οἰκοδομίας ἀνέσκαψαν, καὶ τοὔδαφος ἐξεκάθηραν, ὅπως μὴ λίθος ἐπὶ λίθῳ μείνῃ, κατὰ τὴν πρόῤῥησιν, τῇ ἐπιούσῃ ἐλθόντων ὡς ἂν τὸν πρῶτον θεμέλιον ὑποθήσωσι, σεισμόν φασι μέγαν ἐπιγενέσθαι· τῷ δὲ πολλῷ τῆς γῆς κλόνῳ ἐξ ἐσχάτων κρηπίδων ἀναδοθῆναι τοὺς λίθους· οὐκ ὀλίγους δὲ καὶ τῶν Ἰουδαίων διαφθαρῆναι, οἵ τε κατὰ θέαν παρῆσαν τοῦ ἔργου, καὶ οἱ τὰ τῆς οἰκοδομῆς ἐπετρόπευον. Αἱ μὲν γάρ τοι ἱεροῦ ἄγχιστα δημόσιαι οἰκοδομαὶ, αἷς δῆτα κατέλυον ἀθρόον διαῤῥυεῖσαι, οὓς μὲν ἔνδον κατέλαβον διαφθείρασαι, πολυάνδρια ἦσαν, ὅσοι δ' ἐκδραμεῖν ἴσχυσαν, ἡμιθνῆτες ἐγένοντο. Ἦσαν δ' οἳ πεπηρωμένα τὰ σκέλη καὶ τὰς χεῖρας καὶ ἄλλα δῆτα τῶν μελῶν ὡς ἔτυχεν ἕκαστος, ἐδυστύχησαν τῇ ἀθρόᾳ τοῦ συμπτώματος προσβολῇ. Ἐπεὶ δὲ μόλις ἔληγεν ὁ σεισμὸς, οἱ περιλειφθέντες αὖθις ἐπειρῶντο τοῦ ἔργου, ὁμοῦ μὲν τὸ κατὰ νοῦν ἀνῦσαι σπουδάζοντες, ὁμοῦ δὲ καὶ τὸ ἀπαραίτητον ἐξ ἀναγκαίου τοῦ βασιλικοῦ θεσπίσματος εὐλαβούμενοι· ἀταλαιπώρως γὰρ ἡ ἀνθρωπεία φύσις φιλεῖ οἷς καθ' ἡδονὴν πρόκειται πράττειν, πρὸς τὸ ἀσύμφορον (1) ῥέπειν ἀεί· κἀκεῖνο συνοῖσον οἴεται, ὃ κατορθῶσαι προὔθετο· καί γε τῇ σφετέρᾳ ἀπάτῃ ἑλκομένη, οὔτε τὸ συμφέρον ἐκ προμηθείας θηράσαι δύναται, οὔτε κινδύνων πεπειραμένη σώφρονι λογισμῷ πρὸς τὸ δέον ἐξυποστρέφει· οἷα δὴ καὶ Ἰουδαίοις τηνικαῦτα συμβέβηκε.

CAPUT XXXIII.

De igne, qui tum ibidem repente est exortus : et de iis quæ vestimentis hominum figura crucis adhæserunt, signis; et de divino Evangelio in fundamentis invento.

Impedimento namque tanto objecto, satis evidenter considerare erat, indignari instituto operi Deum. At illi denuo admota manu, quæ perficere nequirent, sunt aggressi. Sed enim cum iterum structuram experirentur, ignis ex ipsis fundamentis exsiliens, et alius item de cœlo imminens, plures etiam quam antea consumpsisse fertur. Atque id

ΚΕΦΑΛ. ΛΓ'.

Περὶ τοῦ κατασκήψαντος τότε πυρός· καὶ περὶ τῶν ἀναφανέντων τοῖς ἱματίοις σταυρικῶν τύπων· καὶ περὶ τοῦ εὑρεθέντος ἐν τοῖς θεμελίοις θείου Εὐαγγελίου.

Τοῦ γὰρ κωλύματος τούτου ἱκανοῦ γε ὄντος παριστᾷ ἀριδήλως, ὡς χαλεπαίνει τὸ θεῖον τοῖς πραττομένοις. Οἱ δὲ καὶ αὖθις χεῖρα ἐπιβαλόντες, ἀνήνυτα ἔσπευδον. Δευτέρᾳ γοῦν πείρᾳ ἐπιχειρούντων, πῦρ ἐκεῖθεν λέγεται τῶν θεμελίων ἀναπηδῆσαν, καὶ ἄλλο δὲ οὐράνιον κατασκῆψαν, καὶ πλείους ἢ πρότερον διαφθεῖραι. Καὶ τοῦτο πᾶσι λέγεται καὶ πιστεύεται,

(1) Πρὸς τὸ συμφέρον, Soz., hoc est, *ad emolumentum*. Sed utrumque verbum, quamvis diversum, recta interpretatione ad eam[dem] referri potest sententiam.

καὶ παρ' οὐδενὶ τὸ ἀμφίβολον ἔχει. Πλὴν τοῦτο διαπεφώνηται· οἱ μὲν γάρ φασι βιαζομένους εἰς τὸ ἱερὸν παριέναι, φλὸξ ἀπαντήσασα τὸ εἰρημένον εἰργάσατο· οἱ δὲ, ἅμα τῷ ἄρξασθαι τὸν χοῦν ἐκφορεῖν, τὸ ἔργον γενέσθαι λέγουσιν. Εἴτε γοῦν τὸ πρῶτον, εἴτε δὲ καὶ τὸ δεύτερον ἀληθείας ἐξέχεται, οὐδὲν ἐλλείπει πρὸς θαύματος ὑπερβολήν. Τοῦ δὲ πυρὸς, ὡς εἴρηται, κατασκήψαντος, αἵ τε σφύραι καὶ γλαρίδες καὶ πρίονες, οἱ πελέκεις τε καὶ τὰ σκέπαρνα, καὶ ὅσα πρὸς τὴν οἰκοδομὴν ἐπιτήδεια οἱ ἐργάται προσεπεφέροντο, θᾶττον εἰς χοῦν ἐλεπτύνοντο, τοῦ πυρὸς δι' ὅλης ἡμέρας ἐπινεμομένου αὐτούς. Ἰουδαῖοι δ' ἐν μεγίστῳ δέει καταστάντες, καὶ ἄκοντες ὡμολόγουν Θεὸν ἀληθῆ τὸν Χριστόν· ἥκιστα δ' αὐτῷ ἤθελον ἕπεσθαι, ἀλλὰ καὶ ἔτι τῇ τοῦ Ἰουδαϊσμοῦ ἀπάτῃ κατείχοντο. Ναὶ μὴν οὐδὲ τὸ ἐπὶ τούτοις γενόμενον θαῦμα τούτους ἦγεν εἰς πίστωσιν. Καὶ δὴ τῶν προτέρων ἦν σαφέστερον καὶ παραδοξότερον. Τῇ γὰρ ἐχομένῃ νυκτὶ αὐτομάτως ἡ ἐσθὴς πάντων τύποις σταυροῦ ἀκτινοειδῶς γεγραμμένοις κατεσημαίνετο. Ἄστρασι δ' ἐπίσης ἅπαντες ἐποικίλλοντο τὰ ἐσθήματα, ὡς ἀπὸ ἱστουργικῆς περινοίας κατεστιγμένα· ἅπερ ἡμέρας ἐπιγενομένης ἰδόντες, πλύνειν καὶ ἀποσμήχειν ἐπιχειροῦντες τὰ σταυρικὰ στίγματα, ἥκιστα δυνατῶς εἶχον. Ταῦθ' ὁρῶν ὁ τότε τῶν Ἱεροσολύμων ἐπίσκοπος Κύριλλος, τὸ τοῦ προφήτου Δανιὴλ ῥητὸν ἐπὶ νοῦν εἶχεν, ὃ καὶ Χριστῷ ὕστερον τοῖς ἱεροῖς Εὐαγγελίοις ἐπεσφραγίζετο. Προὔλεγέ τε πᾶσιν, ὡς νῦν ἥκει καιρὸς ὅτε τὸ τοῦ Σωτῆρος λόγιον πέρας ἕξει, τὸ μὴ μεῖναι λίθον ἐπὶ λίθῳ ἐν τῷ ναῷ. Ὁπηνίκα τοίνυν τοῦτ' ἔλεγε, καὶ ὁ σεισμὸς ἐπιβρίσας μέγα, τοὺς λίθους ἐκ τῶν θεμελίων ἀνέβραζε καὶ διέσπειρεν. Ἐπὶ δὴ τούτῳ καὶ ἀγρία τις ἐπιγενομένη λαίλαψ, τήν τε τίτανον καὶ τὸν γύψον εἰς ἀέρα ἐλίκμα, μεδίμνων ὄντα χιλιάδων ἀπείρων. Τὸ δ' αἴφνης ἀνερπύσαν κάτωθεν πῦρ, ὑπὲρ ἀριθμὸν ὄντας τοὺς περὶ τὸ ἔργον διαπονουμένους, καὶ ἄλλως κατὰ θέαν συῤῥεύσαντας, ἐνέπρησεν ἀκαρεῖ. Τοσοῦτον ἤνυσεν Ἰουλιανὸς ἀκύρους ἀπελέγξαι θελήσας τὰς Χριστοῦ προῤῥήσεις ἐν Ἱερουσαλήμ. Οὐ γὰρ τοῦτο μόνον, ὅσῳ καὶ τοὐναντίον ἐδείκνυ μᾶλλον αὐτὰς βεβαιῶν. Ἤρκει μὲν γὰρ τὰ γενόμενα τέρατα παραστῆσαι τἀληθὲς τοῦ χρησμοῦ.

Τὸ δὲ νῦν ῥηθησόμενον ὑπερφυὲς ὂν, μᾶλλον παραστήσει τὸ ἔργον. Ὅπερ ἐγὼ ἐν ἀποῤῥήτοις εὑρὼν, διηγήσομαι. Ἔχει δὲ οὕτω. Τῶν θεμελίων εὐτρεπιζομένων, ὡς εἴρηται, τῶν λίθων εἷς ᾧ ἡ ἐσχάτη βάσις ἐνήρμοστο, τῆς ἕδρας μετακινηθεὶς, ἄντρου τι στόμιον ὑποδείκνυσιν ἐνειργασμένον τῇ πέτρᾳ. Ὡς δὲ διὰ τὸ βάθος ἄπορον ἦν τὰ ἔνδον θεᾶσθαι, οἱ τοῖς ἔργοις ἐφεστῶτες ἠρημένοι τἀσφαλὲς διαγνῶναι, τῶν τινα ἐργατῶν σχοίνου μακρᾶς ἐκδησάμενοι καθιᾶσιν. Ὁ δὲ καθιμηθεὶς, ὕδωρ μὲν εὑρίσκει ἄχρι δὴ καὶ εἰς μέσας κνήμας συνεστηκός· ἁπανταχοῦ δὲ τὸν ἔνδον χῶρον περιελθὼν, τετράγωνον μὲν τὸ ἄντρον

A ita dicitur et creditur, neque quidquam ambiguitatis habet. Illo tantum variatur. Quidam enim aiunt, cum sacrum locum adire contenderent, flammam eis obviam, id quod dictum est, peregisse. Alii autem, simul atque agger efferri cœptus esset, id accidisse affirmant. Sive autem hoc, sive illud verum est, nihil certe tanto miraculo derogatur. Igne porro, sicuti dictum est, cœlitus demisso, mallei, scalptra, serræ, secures, asciæ, et quæcunque ad ædificationem commoda operarii comportaverant, celeriter in cinerem sunt redacta: quod incendium tale die toto grassatum sit. Et Judæi maximo correpti pavore, etiam inviti Christum verum Deum esse sunt professi: sequi tamen cum nolentes, in errore adhuc Judaico **B** conquieverunt. Sed et aliud quod ad hæc accessit miraculum, eos ad fidem non perduxit, quod prioribus et manifestius fuit et admirandum magis. Nam proxima nocte, sua sponte vestes eorum crucis signis radiorum instar conformatis, sunt consignatæ. Ita omnes vestitum tanquam stellis variegatum, et lanifica arte atque solertia distinctum habuere. Quo, illucescente die, viso, eluere et detergere crucis notas conati, nihil egere. Hæc, qui tum Hierosolymitanus episcopus fuit Cyrillus, cernens, Danielis prophetæ verbum secum ipse in animo perpendit (quod et Christus postea in sacris Evangeliis auctoritate sua comprobavit [1]),
76 et omnibus prædixit, advenisse tempus, cum **C** Servatoris oraculum, non mansurum scilicet esse lapidem super lapidem in templo, exitum suum habeat. Atque hoc cum ille diceret, terræ motus gravis ingruens, lapides reliquos ex fundamentis ejecit atque dissipavit: atque insuper sæva quædam oborta procella, calcem et gypsum innumerabilium medimnorum in aerem ventilando dispulit. Et item qui subito ex partibus inferioribus proserpsit ignis, innumeros quoque qui vel in opere ipso denuo pertinaciter instituto distinebantur, vel spectatum eo advenerant, temporis momento consumpsit. Tantum Julianus effecit, cum Christi prædictiones de Hierosolymis nulla veritatis auctoritate niti, ostendere vellet. Neque id modo ille non egit, sed etiam contrarium exhibendo, **D** magis etiam certitudinem eam comprobavit.

Atque hæc quidem prodigia ad veritatem oraculi comprobandam sufficiunt. Sane quod modo dicetur, cum mirificum sit, magis rem ipsam confirmabit. Id ego in arcanis prorsus scriptis inventum, referam. Sic enim habet. Cum fundamenta structuræ jacerentur, sicuti dictum est, et inter lapides unus, cui extrema basis coaptata fuerat, loco moveretur, speluncæ cujusdam os petræ incisum sese exhibuit: atque ubi propter profunditatem antrum id perspici prorsus non posset, qui opus id curabant, rem certam explorare volentes, ex operariis quemdam ad funem

[1] Matth. xxiv, 2.

longiorem vinctum demisere. Et ille in antrum cum pervenisset, aquam ad mediam usque suram in eo reperit: et spelunca omni ex parte explorata, quadrangulam eam esse, quantum manuum contrectatione colligere potuit, deprehendit. Deinde ad os ejus revertens, in columnam quamdam in media spelunca non admodum supra aquam exstantem incidit. Quam manu tentans, libellum in ea positum, qui tenuissimo purissimoque linteolo involutus esset, reperit. Quo accepto, fune ipso signum, ut ab eis qui illum demiserant, retraheretur, dedit. Receptus igitur, quamprimum libello ostenso, stuporem omnibus incussit: et maxime quod recens admodum et intactus is esse videretur, atque quod tam abstruso et caliginoso loco repertus esset. **77** Porro libellus explicatus, non solum Judæos, verum etiam Græcos consternavit. Statim enim ab initio litteris grandioribus promulgavit: *In principio erat Verbum, et Verbum erat apud Deum, et Deus erat Verbum.* Et, ut simpliciter dicam, Scriptura ea integrum Evangelium complectebatur, quod theologica plane virginis discipuli lingua auspicato annuntiavit. Portendit autem id una cum reliquis miraculis, quæ cœlitus eo tempore exhibita sunt, haud unquam Domini nostri verbum intercisurum, quod extremam templi et urbis desolationem prædixit. Etenim liber Deum esse et conditorem rerum omnium eum docuit, qui talia dudum sanxisset. Declaravit præterea, frustra esse eorum laborem, qui ædificationem eam tantopere urgerent: eo quod divina et immutabilis sententia extremam templo abolitionem decreto suo constituisset. Atque ex iis et hisce similibus rebus plerique omnes statim censuerunt, ut Christum Deum esse profiterentur, cui templi restauratio placita non esset. Multi sane ex ipsis brevi ad ecclesiam se contulere, et sacris nostris sacratioribus et perfectioribus instituti atque initiati, hymnis atque supplicationibus propter facinora patrata, Christum placarunt. Hæc si cui minus vera esse videntur, ei fidem faciant, qui ista viderunt (1) et audierunt, et scriptis mandarunt: sin minus, Judæi saltem et Græci persuadeant, qui opus id semiperfectum reliquerunt, seu potius inchoare neutiquam potuerunt. Præter alia, illud quoque observare convenit, Hierosolyma antea Jebus vocata fuisse, eaque Benjamini tribules habuisse, priusquam David, exercitus ductandi honoris promissione, per ducem suum Joabum capta, ducique ei quod receperat præstito, in maximam urbem redacta, metropolim et principem Judæorum totius gentis civitatem constituit, et Solymorum nomen loco indidit (2), qui deinde propter sacrum templum Hierosolyma cognominatus est. Verum de Hierosolymorum (3) quæ existimata est, restitutione hæc dicta sufficiant.

A ὅσον εἰκάσαι τῇ ἀφῇ κατελάμβανε. Καὶ δῆθ' ὑποστρέφων κατὰ τὸ στόμιον, στήλῃ τινὶ κατὰ τὸ μέσον γεγονὼς ἐντυγχάνει, βραχὺ διεχούσῃ τοῦ ὕδατος. Τὴν χεῖρα δὲ ταύτῃ ἐπιβαλὼν, βιβλίον ἐπικείμενον ἐφευρίσκει, λεπτῷ πάμπαν καὶ καθαριωτάτῳ περιειλημμένον ἡμιτυμβίῳ. Ἐκεῖνο δ' ἐπὶ χεῖρας λαβὼν, ἐσήμαινε τῇ μηρίνθῳ ὡς δεῖν αὐτὸν ἀναφέρειν. Ἀνιμηθεὶς δὲ θᾶττον, δείκνυσι τὸ βιβλίον· καὶ εἰς θάμβος πάντας καθίστη· καὶ μάλισθ' ὅτι νεουργόν τε καὶ ἀθιγῆ παρεῖχε τὴν ὄψιν, καὶ ὡς τοιούτῳ δὴ χωρίῳ ἀφεγγεῖ καὶ ζοφώδει παρευρεθέν. Τὸ δὲ ἄρα τὸ βιβλίον ἀναπτυχθὲν, οὐ μόνον Ἰουδαίους, ἀλλὰ καὶ τοὺς Ἑλληνιστὰς κατέπληξε· γράμμασι γὰρ μεγάλοις εὐθὺς κατ' ἀρχὰς ἔλεγεν· *Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος.*
B Καὶ ἁπλῶς ἡ Γραφὴ τὸ Εὐαγγέλιον ὁλόκληρον ὑπεδείκνυ, ὅπερ ἡ θεολόγος τοῦ παρθένου καὶ μαθητοῦ εὐηγγελίσατο γλῶσσα. Ἐδήλου δὲ ἄρα μετὰ τῶν ἄλλων παραδόξων ἔργων, ἃ κατ' ἐκεῖνο καιροῦ οὐρανόθεν ἐπεδείχθη, μὴ ἄν ποτε διαπεσεῖν τὴν Δεσποτικὴν ἀπόφασιν, ἥτις τὴν εἰς τέλος ἐρήμωσιν τοῦ νεὼ καὶ τῆς πόλεως προανεῖπε. Καὶ γὰρ Θεόν τε ἐθεολόγει τὸ βιβλίον τὸν ταῦτα προτεθεσπικότα, καὶ δημιουργὸν τῶν ἁπάντων. Καὶ ἔλεγχος ἦν τοῦ μάτην ἐκείνους περὶ τὴν οἰκοδομὴν πονεῖσθαι, τῆς θείας καὶ ἀμεταθέτου ψήφου τὸν εἰς τέλος τοῦ νεὼ ἀφανισμὸν καταψηφισαμένης. Ἐκ δὴ τούτων καὶ τῶν τοιούτων εὐθὺς ἐκρίνετο πᾶσι Θεὸν ὁμολογεῖν τὸν Χριστὸν εἶναι· κἀντεῦθεν μὴ ἀρέσκεσθαι τῇ τοῦ νεὼ ἀνοικοδομῇ.
C Καὶ πολλοί γ' ἐκ τούτων οὐκ εἰς μακρὰν τῇ Ἐκκλησίᾳ προσέθεντο, καὶ ἐμυοῦντο τὰ τελεώτερα· ὕμνοις τε καὶ ἱκεσίαις τῶν τολμωμένων χάριν ἐλιπάρουν Χριστόν. Ταῦτα δ' ὅτῳ πίστιν ἀληθῆ μὴ ἔχοντα φαίνεται, τέως γε μὴν πιστούσθωσαν παρὰ τῶν ἤδη ἰδόντων τε καὶ ἀκηκοότων καὶ γραφαῖς παραδόντων· εἰ δ' οὔχ, ἀλλὰ καὶ Ἰουδαῖοι καὶ Ἕλληνες τὴν πίστιν παρεχέτωσαν, ἡμιτελὲς καταλιπόντες τὸ ἔργον, μᾶλλον δὲ οὐδὲ ἀρχὴν ἐπιβαλεῖν δυνηθέντες. Εἰδέναι μέντοι πρὸς τοῖς ἄλλοις καὶ τοῦτο χρεὼν, ὡς τὰ Ἱεροσόλυμα πρότερον Ἰεβοῦς ἐκαλεῖτο. Κατῴκουν δὲ ταύτην οἱ ἐκ τῆς Βενιαμίτιδος φυλῆς τὸ γένος κατάγοντες· πρὶν ἢ Δαυὶδ ὑποσχέσει στρατηγίας αὐτὴν διὰ τοῦ στρατηγοῦ αὐτοῦ Ἰωάβου ἑλὼν, ἐκείνῳ μὲν τὴν ὑπόσχεσιν, ὡς ὑπεδέξατο, δίδωσιν· αὐτὸς δ'
D ἐν αὐτῇ πόλιν μεγίστην δειμάμενος, μητρόπολιν αὐτὴν τοῦ παντὸς Ἑβραίων ἔθνους εἶναι ἐθέσπισε, Σόλυμα τὴν χώραν κατονομάσας· ὃ διὰ τὸ ἱερὸν ἐς ὕστερον καὶ Ἱεροσόλυμα ὠνομάσθη· ἀλλὰ περὶ μὲν τῆς δοκούσης ἀνεγέρσεως τῶν Ἱεροσολύμων τοσαῦτα εἰρήσθω.

(1) Sozom. scribit, ætate sua plures adhuc testes ejusmodi superstites fuisse, lib. v, cap. ult.

(2) Clara alii Judæorum initia tradunt: Solymos, carminibus Homeri celebratam gentem, conditæ urbi Hierosolymam nomen e suo fecisse. (Cornel. Tacit.)

(3) Hierosolyma longe clarissima urbium Orientis. (Plin. lib. v, cap. 14.)

ΚΕΦΑΛ. ΛΔ'.

Ὡς ἐν Περσίδι προσβαλὼν Ἰουλιανὸς ἀπάτῃ τὰς ναῦς παρὰ τὸν Εὐφράτην διέφθειρε· καὶ εἰς μάχην γενόμενος ἀφανεῖ πληγῇ τρωθεὶς διεφθάρη.

Τηνικαῦτα δὲ καὶ πρέσβεις ἐκ Περσῶν παρῆσαν ἐπὶ ῥητοῖς καταθέσθαι τὴν μάχην αἰτοῦντες. Ὁ δὲ τούτους ὀπίσω ἀνέπεμπεν· Αὐτόν με ὄψεσθε μετ' οὐ πολὺ, ἐπειπὼν, καὶ οὐδὲν ἐμοὶ μέλον πρεσβείας. Ἔνθεν τοι καὶ τοῖς ἁπανταχόθεν τῶν μαντείων χρησμοῖς ὁ παραβάτης ἀναπεισθεὶς, ὡς ἄμαχον ἕξει τὸ κράτος κατὰ Περσῶν, σοβαρῶς καθώπλιζε τὸν στρατόν· ἐπιλέγων, μετὰ Πέρσας, Γαλιλαίους ὡς χρεὼν μετελεύσεσθαι, καὶ μάλιστα Καισαρεῖς, διὰ τὸν πολὺν καὶ μέγαν Βασίλειον καὶ τὸν θεῖον Γρηγόριον. Ἦρι δ' ὀρχομένῳ, τοῦ ἔργου εἴχετο. Καὶ δὴ τὸν Εὐφράτην B ποταμὸν διαβὰς, τήν τε Ἔδεσσαν παραδραμὼν μίσει τῶν ἐκεῖσε Χριστιανῶν, πανδημεὶ γὰρ ἡ πόλις αὕτη τὸν Χριστὸν διαφερόντως ἐτίμα, τὰς Κάῤῥας κατέλαβε· κἀν τῷ ἐκεῖσε Διὸς ἱερῷ θύσας τε καὶ εὐξάμενος, ἀμφὶ δισμυρίους τῶν περὶ αὐτὸν ὁπλιτῶν, ἐπὶ τὸν ποταμὸν προέπεμπε Τίγρητα, προφυλακῆς ἕνεκα, καὶ συμμάχους ἐσομένους εἴ που δεήσειε· καὶ Ἀρσακίῳ τῷ τῶν Ἀρμενίων ἡγουμένῳ, συμμάχῳ Ῥωμαίοις καθεστηκότι, προσβαλεῖν τοῖς ἐχθροῖς γράφει. Ἐν δὲ τῇ γραφῇ αὐθαδείᾳ πλείστῃ χρησάμενος, ἐλοιδορεῖτο μὲν ὃν διεδέξατο Κωνστάντιον, οἷάπερ ἄνανδρόν τε καὶ ἀσεβῆ· ἑαυτὸν δ' ἐπὶ μέγα ἦρεν, ὡς ἅτε ἁρμόδιον καὶ πρὸς ἀρχὴν δεξιώτατον, καὶ ὡς φίλον θεοῖς. Χριστιανὸν δὲ πυθόμενος εἶναι Ἀρσάκιον, τὴν C ὕβριν ἐπιτείνων, ἢ τό γ' ἀληθὲς σπουδάζων βλασφημεῖν εἰς Χριστὸν (τόλμῃ γὰρ ἀεὶ τοιαύτῃ ἐχρῆτο παρ' ἕκαστα), ἀπεκόμπαζεν, ὡς εἴγε ὀλιγώρως τοῖς προστεταγμένοις διατεθείη, οὐκ ἄρ' ἐπαμύνοι ὃν ἡγεῖται Θεόν. Ὡς δὲ ταῦτ' ἐν καλῷ οἰκεῖσθαι ἐνόμιζε, διὰ τῆς Ἀσσυρίων τὴν Ῥωμαίων ἐπῆγετο στρατιάν· πολλὰ δὲ φρούρια καὶ πόλεις, τὰ μὲν νόμῳ πολέμου, τῶν δὲ προδοσίᾳ ἐκράτει. Ὡς ἔτυχε δὲ, τοῖς πρόσθεν ἐχώρει, μηδὲν τῶν κατόπιν ἐπιστρεφόμενος. Ὅσα δ' ἐπόρθει, πάμπαν ἠφάνιζε, τὰ μὲν ἐκ βάθρων αὐτῶν κατασπῶν, τὰ δ' εἰς τέλος καταπιμπρῶν. Παρὰ τὸν Εὐφράτην δὲ ἰὼν, ἐγγὺς Κτησιφῶντος ἐγένετο. Περιφανὴς δὲ αὕτη ἡ πόλις καὶ δευτέρα μετὰ Βαβυλῶνα, ἔν τε τοῖς λοιποῖς καὶ τὸ τὰ βασίλεια εἰσδέξασθαι ἱκανή· ἧς οὐ πάνυ πόῤῥω ὁ Τίγρης ῥεῖ ποταμός. Καὶ ἐπεὶ τῇ Κτησιφῶντι ναυσὶ προσβαλεῖν D διὰ τῆς μέσης γῆς οὐκ ἦν ἐγχωροῦν, ἐπάναγκες δ' ἦν ἢ τὴν πόλιν παριέναι, ἢ τὰ πλοῖα ἐν δευτέρῳ ποιεῖν, τῶν τινας αἰχμαλώτων ἐτάσας, εὗρέ τινα διώρυγα τῷ χρόνῳ συγχωσθεῖσαν, δι' ἧς νῆες τὸ παλαιὸν ἐπλοΐζοντο. Καὶ τὸ προσιστάμενον χῶμα διατεμὼν, παρασύρει τὸν Εὐφράτην ἐπὶ τὸν Τίγρητα. Οὕτω δὲ ποιήσας, τὸν στρατὸν σύναμα ταῖς ναυσὶ παραπλεούσαις ἔχων, ἐπὶ τὴν πόλιν ἐχώρει. Τῶν δὲ Περσῶν σὺν λαμπρᾷ τῇ παρασκευῇ ἱππέων καὶ ὁπλιτῶν σὺν ἐλέφασιν ὑπὲρ τῆς ὄχθης ἀναφανέντων τοῦ Τίγρητος, τῶν μεταξὺ δύο μεγίστων ποταμῶν ἐναπολειφθεὶς·

(1) Carras clade Crassi nobiles. Plin. lib. v, cap. 24.

A 78 CAPUT XXXIV.

Ut Julianus impetu in Persidem facto, per errorem naves ad Euphraten exusserit : et prælio commisso, occulta plaga istuc interierit.

Tum vero legati Persarum apud imperatorem certis conditionibus de bello transacturi aderant, quos ad regem suum remisit, illo responso dato, quod brevi eum visuri essent, et quod legationes nihil moraretur. Proinde oraculorum omnium responsis prævaricator persuasus, invictum sibi esse adversus Persas robur, magnifice exercitum armavit, post Persas, Galilæos, et potissimum Cæsarienses, propter magnum Basilium et divinum Gregorium, se ita ut deberet, accepturum esse B minitatus. Porro vere primo expeditionem maturavit : et Euphrate fluvio transmisso, Edessam præteriit, propter Christianorum odium, quod universa ea urbs Christum summopere coleret. Carras (1) autem venit, atque ibi in Jovis templo sacrificiis precationibusque peractis, circiter viginti millia armatorum ad flumen Tigrim, præsidii causa, ut loca ea tuerentur, et ut illorum, sicubi opus esset, auxilio uteretur, præmisit : et Arsacio Armeniorum duci, socio populi Romani, ut hostes aggrederetur, scripsit. A que in eis litteris plurimum præcipiti temeritate usus, Constantium quidem, cui successerat, ut imbellem et impium conviciis afficiebat : seipsum autem veluti maxime imperio idoneum et commodum, diisque C amicum, laudibus ferebat. Et cum Arsacium Christianum esse audivisset, contumeliam adaugens, aut certe blasphemia et impie dicto Christum proscindere, qui ei in rebus plerisque omnibus perpetuus mos erat, studens, insolenter et gloriose apud eum jactavit, si negligentius res sibi mandatas gesturus esset, non illum ab eo adjutum iri, quem ipse Deum esse crederet : atque ubi se probe res constituisse putavit, per Assyriam Romanas duxit copias, et multa castella, urbesque plures, vel armis subactas, vel proditione deditas recepit : et temere, ut sors tulit, progrediens, locorum quæ post se reliquit, et ad quæ eum reverti oportuit, nullam curam aut rationem habuit. D Quæcunque autem cepit oppida, prorsus vastavit : annonæ et commeatus horrea quoque partim ex ipsis fundamentis evertit, partim incendio consumpsit. 79 Et iter secundum Euphratis flumen faciens, prope ad Ctesiphontem pervenit, urbem præclaram, atque a Babylone in eis regionibus secundam : quæ præter cæteras commoditates regis quoque aulam et comitatum commode recipere posset. Ab ea non longe Tigris fluit amnis. Quoniam autem navibus, propter eam quæ in medio est terram, Ctesiphontem pervenire non liceret, necessariumque esset aut urbem ipsam petere et naves relinquere, aut navibus retentis illam

Assyrias Latio maculavit sanguine Carras.
(Lucan.)

non adire : captivo quodam quæstioni tormentorum subdito, fossam quamdam illius indicio reperit, temporis diuturnitate aggere oppletam, per quam antiquitus navibus ad urbem accessus fuerat. Itaque qui ei obstabat, aggere perfosso, Euphratem in Tigrim derivavit, atque eo pacto exercitum una cum navibus ad urbem adduxit. Et Persæ, cum splendido equitum et armatorum apparatu, et cum elephantis, in ulteriore Tigridis ripa sese ostendere. Atque ipse cum inter duo maxima flumina se clausum, et exercitum in summum discrimen adductum, siquidem manere ibi vellet, sin autem reverti mallet, per vicos et oppida, quæ combusta jam essent, et rerum necessariarum penuria premerentur, eundum sibi esse videret; præmiis propositis, milites tanquam ad equestris certaminis spectaculum vocavit. Quod cum fieret, navium præfectos exonerare eas, et frumentum exercitus omne et impedimenta in undas jacere jussit, ut milites sese in summa rerum inopia et in medio periculo versari cernentes, fortes conciperent animos, et strenue in prælio cum hostibus congrederentur. Et ordinum ductoribus post cœnam convocatis, milites navibus imponere mandavit : noctuque Tigride transmisso, in ripam ulteriorem illi expositi, pugnam iniere. Quod ubi Persarum quidam sensere, strenue eis obviam processere. Cum quibus confestim Romani manu conserta, multos concidere, multos etiam somno adhuc oppressos interemere. Ac deinde die toto ingens certamen est continuatum : et pluribus rejectis, nec paucioribus occisis, ad fluvium Romani rediere, et ante urbem Ctesiphontem castra posuere.

ἐνιδών τε τὴν στρατιὰν αὐτῷ ἄρδην κινδυνεύουσαν ἀπολέσθαι, ἥν τε μένειν ἕλοιτο, εἴθ' ὑποστρέφειν, διὰ τῶν κωμῶν τε καὶ πόλεων αὐτὸς διῆλθεν, ἠθαλωμένων ἤδη, καὶ τῇ σπάνει τῶν ἀναγκαίων πιεζομένων· ἆθλα δὲ προθεὶς, ὡς ἐφ' ἱπποδρομίαν, τοὺς στρατιώτας ἐκάλει· οὗ γινομένου, τοὺς ἡγεμόνας τῶν πλοίων ἐκέλευεν ἀποφορτίζειν τὰς ναῦς· καὶ τὴν σιτηγίαν τοῦ στρατοῦ τῷ ὕδατι ἐπιῤῥίπτειν· ὡς ἂν ἐν ἀπορίᾳ τῶν ἀναγκαίων οἱ στρατιῶται γενόμενοι, καὶ σφᾶς ἐν κινδύνῳ μέσῳ ἐνειλημμένους ἰδόντες, θράσος τε ἀναλήψωνται, καὶ πρὸς τὴν μάχην ὁμόσε χωρήσαιεν. Τοὺς δὲ προὔχοντας ὁ βασιλεὺς μετὰ τὸ δεῖπνον ἀγείρας, ἐκέλευε τὴν στρατιὰν ἀνάγειν ἐπὶ τὰς ναῦς· καὶ δὴ νυκτὸς τὸν Τίγρητα πλεύσαντες, πρὸς ταῖς πέραν ἦσαν ὄχθαις. Καὶ ἐκβαίνοντες, μάχης ἥπτοντο. Ὅσοι μὲν οὖν τῶν Περσῶν ᾔσθοντο, ἀνὰ κράτος ἠμύνοντο. Πολλοῖς δὲ τούτων ἐξάπινα προσβαλόντες Ῥωμαῖοι, ἔκτειναν· καὶ δι' ὅλης ἡμέρας συνεῤῥήγνυτο μάχη λαμπρά. Πολλοὺς τοίνυν ἀποβαλόντες, οὐχ ἧττον δὲ καὶ κτείναντες, εἰς τὸν ποταμὸν ἧκον· καὶ πρὸ τῆς Κτησιφῶντος τὸ στράτευμα παρετάσσετο.

80 Cæterum imperatori ut ulterius procederet, consilium esse visum non est : sed magis ei, ut naves incenderentur, propterea quod earum causa milites multos a pugna abesse oporteret, placuit. Et jam cum copiis suis reditum in Romani imperii ditionem maturabat, Tigride amne ad sinistram relicto. Ac primum quidem in regionem fertilem, et rebus omnibus abundantem, captivorum indicio venerunt. Deinde autem senex quidam, qui vitam pro communi Persarum libertate devoverat, consulto ut caperetur, nostris occasionem præbuit. Igitur mox veluti non sua sponte captus, ad imperatorem est adductus. Et de rebus multis interrogatus, veraque dicere existimatus, ei ut sequatur persuadet : pollicitus namque est, exercitum se quamprimum ad Romanorum fines ducturum; inviam tantum quamdam duorum aut trium dierum itinere regionem peragrandam, cibaria et alias res necessarias ferendas, et copias per solitudinem ducendas esse, dictitans. Fraude ea atque seductione sapientis seu potius sophistici senis persuasus seductor, qui multos sophistica sua arte deceperat, eundum esse qua senex duceret, statuit. Tridui iter progressi, in locos incultos inciderunt : et viæ dux tortus, consilium suum, sua videlicet sponte propter cives et populares suos, se ad mortem procurrisse, cruciatusque omnes perferre paratum esse, professus est. In discrimine summo exercitus versabatur, difficultate itineris et alimentorum penuria confectus : cum splendida Persarum acies derepente adest, et

Ἐδόκει δ' οὖν βασιλεῖ, μὴ προσωτέρω ἰέναι, ἀλλὰ τὰς μὲν ναῦς ἐμπιπρᾶν, ὡς δι' αὐτὰς πολλῶν ἀπὸ τῆς μάχης γενομένων. Καί γε τὴν ἐπάνοδον ἐποιοῦντο, πρὸς τὴν ἀρχομένην αὐτῶν πορευόμενοι, ἐν ἀριστερᾷ τὸν Τίγρητα ποταμὸν διαφέντες. Καὶ τὰ μὲν πρῶτα, εὐφόρου γῆς καὶ πάντ' ἐχούσης τὰ ἀναγκαῖα ἀρκούντως ἀπέλαυον, τῶν αἰχμαλώτων ἕκαστα καταμηνυόντων· μετὰ δὲ τοῦτο πρεσβύτης τις ὑπὲρ τῆς κοινῆς ἐλευθερίας Περσῶν τὸ θανεῖν προτιμήσας, ἐξεπίτηδες ἁλῶναι πλασάμενος, καὶ ὡς δῆθεν οὐχ ἑκὼν συλληφθεὶς, ἄγεται πρὸς βασιλέα. Πολλὰ δ' ἀνακριθεὶς καὶ δόξας ἀληθῆ λέγειν, πείθει αὐτῷ ἕπεσθαι· τάχος γὰρ ὅσον ἐς τὰ Ῥωμαίων ὅρια τὴν στρατιὰν ἐπιστήσειν κατηγγυᾶτο· δυσπρόσοδον δὲ μόνην δεῖν τινα γῆν ἐλθεῖν αὐτοὺς δυεῖν ἢ τριῶν ἡμερῶν, καὶ χρῆναι τὰ ἐπιτήδεια φέρειν· δι' ἐρήμου γὰρ τῆς γῆς ἀνάγκην εἶναι τὸ στράτευμα διελθεῖν. Καὶ δὴ ταῖς ἀπάταις τοῦ σοφοῦ εἴτουν σοφιστοῦ πρεσβύτου πεισθεὶς ὁ ἀπατεὼν καὶ πολλοὺς κατασοφισάμενος, ἔγνω δεῖν ταύτῃ πορευτέον εἶναι, ἔνθα ἂν ὁ πρεσβύτης ἡγοῖτο. Ὡς δὲ προσωτέρω χωροῦντες μετὰ τρίτην ἡμέραν τόποις ἀγρίοις ἐνέβαλον, ὁ μὲν γέρων, βασάνοις ὡμολόγει τὴν πρόθεσιν, ὡς τῶν ὁμοφύλων χάριν αὐτομολήσοι πρὸς θάνατον· καί γ' ἕτοιμον ἑαυτὸν παρέχειν πρὸς πᾶν ἐπερχόμενον· ἐν δεινοῖς δ' ἀφύκτοις τῆς στρατιᾶς ἐναπειλημμένης, καὶ ἤδη ἐκτετηκόσι, τῇ τε μακρᾷ ὁδοιπορίᾳ καὶ ἐνδείᾳ τῶν ἀναγκαίων, εὐθὺς καὶ Περσικὴ παράταξις ἐπεισπίπτει τούτοις μάλα λαμπρά· καὶ μάχης καρτερᾶς συῤῥαγείσης, ἄνεμος ἐκνεφίας πνεύσας σφοδρὸν, τόν τε οὐρανὸν καὶ τὸν ἥλιον πυκνοτάτῳ νέφει ἐκάλυπτε·

καὶ τὴν κόνιν εἰς ἀέρα ἑλίκμα, σκότους πολλοῦ καὶ A ἀχλύος μάλιστα ἐπιπολαζούσης. Τὸ δὲ Περσικὸν ἐπελαῦνον, συνεπῆγε καὶ τοὺς ὑποσπόνδους κοντοφόρους Σαρακηνούς· ὧν εἷς τὸ δόρυ ἐκτείνας, ἰσχυρῶς παίει τὸν βασιλέα κατὰ τὸ περιτόναιον. Ἅμα δὲ τῇ αἰχμῇ ἐξελκομένη κόπρος ἐπηκολούθει συνεπισπωμένη τῷ αἵματι. Τὸν μὲν οὖν κτείναντα εἷς τῶν δορυφόρων ἐπελθὼν τῆς κεφαλῆς ἀφαιρεῖται· καιρίαν δὲ τρωθέντα τὸν Ἰουλιανὸν ἐπ' ἀσπίδος οἱ οἰκεῖοι ἀναλαβόμενοι, πρὸς τὴν βασιλικὴν ἀπεχώρουν σκηνήν. Τισὶ δὲ καὶ τὴν πληγὴν διὰ τὸ ἀθρόον μηδ' ὅθεν ἐπῆλθεν ἰδοῦσι, παρά τινος τῶν οἰκείων ἐνομίσθη τὸ πάθος προελθεῖν. Οἱ μὲν οὖν Πέρσην, οἱ δὲ Σαρακηνὸν, εἰσὶ δὲ οἳ καὶ Ῥωμαῖον στρατιώτην διισχυρίζονται εἶναι τὸν πλήξαντα, ἀγανακτήσαντα, ὡς εἰκὸς, ὅτιπερ ἀβουλίᾳ καὶ θρασύτητι γνώμης τοσαύτην στρατιὰν B παραπώλεσεν.

prælio ingenti commisso, turbidus ventus vehementer flare incipiens, densa nube cœlum atque solem obscurat, pulverem in aerem sublatum ventilat, caliginemque et tenebras ingentes excitat. Et Persicus exercitus in nostros irruens, socios atque auxiliares secum Saracenos hastatos adduxerat. Illorum aliquis hasta protensa, imperatorem graviter vulnerat: membrana ea quæ peritoneum dicitur, et exta omnia intrinsecus tegit, ita disrupta, ut cuspide extracta excrementa sanguine mista eam sint consecuta. Percussori ex imperatoris satellitibus quidam caput amputavit (1). Imperatorem autem ita lethaliter vulneratum, scuto impositum, satellites ejus in tabernaculum imperatorium detulerunt. **81** Porro nonnulli qui vulnus unde pervenerit, ob repentinum incursum prorsus non viderunt, a quopiam familiarium suorum inflictum esse existimarunt. Atque alii quidem Persam, alii Saracenum, sunt qui Romanum militem eum occidisse affirmant, indignatum videlicet, sicuti verisimile erat, quod imprudenti temeritate et gloriosa audacia tantum perdidisset exercitum.

Λιβάνιος δὲ ὁ Σύρος σοφιστὴς, φίλος αὐτῷ ἐς τὰ μάλιστα καὶ διδάσκαλος γεγονὼς, ἐν τῷ εἰς αὐτὸν ἐπιταφίῳ τοιάδε περὶ τοῦ κτείναντος αὐτὸν ἱστορεῖ· « Τίς οὖν ὁ κτείνας, ποθεῖ τις ἀκοῦσαι; Τοὔνομα μὲν οὐκ οἶδα· τοῦ δὲ μὴ πολέμιον εἶναι τὸν κτείναντα σημεῖον ἐναργὲς τὸ μηδένα πολέμιον ἐπὶ τῇ πληγῇ τετιμῆσθαι· καίτοι διὰ κηρύκων ὁ Πέρσης ἐκάλει τὸν ἀπεκτονότα, καὶ μεγάλων ὑπῆρχε τῷ φανέντι τυχεῖν. Ἀλλ' ὅμως οὐδ' ἔρωτι γερῶν ἠλαζονεύσατο. Καὶ πολλή γε τοῖς πολεμίοις ἡ χάρις, C ὅτι ὧν οὐκ ἔδρασαν, οὐ προσέθεντο τὴν δόξαν. Ἀλλ' ἔδοσαν παρ' ἡμῖν αὐτοῖς τὸν σφαγέα ζητεῖν. Οἷς γὰρ οὐκ ἐλυσιτέλει ζῶν· οὗτοι δὲ ἦσαν οἱ ζῶντες οὐ κατὰ τοὺς νόμους, πάλαι τε ἐπεβούλευον, καὶ τότε δυνηθέντες εἰργάσαντο· τῆς τε ἄλλης ἀδικίας ἀναγκαζούσης, οὐκ ἐχούσης ἐπὶ τῆς ἐκείνου βασιλείας ἐξουσίαν· καὶ μάλιστά γε τὸ τιμᾶσθαι τοὺς θεοὺς, οἳ τοὐναντίον ἐζήτουν. » Ὁ μὲν οὖν Λιβάνιος ἔοικε Χριστιανὸν λέγειν τὸν σφαγέα τοῦ παραβάτου· καὶ οὐδὲν ἀπεικὸς τῶν τηνικάδε στρατευόμενον εἰς νοῦν βαλεῖν, ὡς ὁ τύραννον ἀνελὼν δι' ἐπαίνου παρ' ἅπασι πέφυκεν, ἅτε δὴ τῆς κοινῆς ἐλευθερίας ἡρημένος θανεῖν· ἴσως δὲ καί τισι τῶν γνησίων ἐπαμύνων. Καὶ οὐκ ἄν τις ἐκείνῳ μέμψαιτο διὰ Θεὸν καὶ θρησκείαν ἑλομένῳ προκινδυνεῦσαι· D ἐμοὶ δὲ περὶ τῶν εἰρημένων διακριβολογεῖσθαι λελόγισται παρ' οὐδέν· καὶ γὰρ καὶ Κάλλιστος ὁ τὰ κατ' αὐτὸν ἡρώῳ μέτρῳ διεξελθὼν, τὰ κατὰ τὸν πόλεμον διηγούμενος, ὑπὸ δαίμονός φησι πληγέντα τοῦτον θανεῖν. Ὅμως τιμῶν τὸν οἰκεῖον δεσπότην οὕτως ἔγραψεν. Ἴσως δ' ἂν καὶ ἀληθείας εἴη ἐχόμενον· οὐκ ὀλίγους γὰρ ἐριννύες μετῆλθον. Ὡς δ' ἀληθέστατος λίαν καὶ σύμφωνος κρατεῖ λόγος ἁπανταχοῦ, καὶ εἰς ἡμᾶς ἀφίκετο, κατὰ θεομηνίαν Ἰουλιανὸς ἀναιρεῖται· καὶ σφαγέα τούτου βίβλοι ἡμῖν εἶναι τὸν πολὺν καὶ μέγαν Μερκούριον ἐκδεδώκασι.

Libanius sane Syrus sophista, amicus ejus intimus et præceptor, de percussore ejus in funebri oratione, quam de eo composuit, talia scribit: « Quis igitur eum interemerit, audire quispiam cupit? Nomen ejus nescio. Non hostem autem percussorem eum fuisse, apertum indicium est, quod ex hostibus nemo vulneris ejus nomine honorem et præmium acceperit: cum quidem Persarum rex per præcones percussorem ejus evocaverit, et ingentia, qui sese indicasset, præmia percepturus fuerit. Sed ne eorum quidem cupiditate quisquam est adductus, ut facinus sibi tantum per jactantiam arrogaret. Et multa profecto hostibus debetur gratia, quod cujus facti auctores non fuerunt, ejusdem sibi gloriam non vindicarunt. Sed nobis, ut interfectorem inquireremus, permiserunt, quibus illum diutius vivere bono non fuit. Sunt autem isti, qui nullis vivunt legibus. Qui quidem quod dudum sunt conati, tum demum cum possent, peregerunt: iniquitate reliqua eos cogente, cui sub illius imperio locus non fuit, et maxime deorum cultu, cui ipsi maxime sunt adversati. » Libanius quidem Christianum fuisse transgressoris percussorem, dicere videtur. Neque dissentaneum est, aliquem ex militibus qui sub signis ejus erant, hæc sic secum considerasse: quod si qui olim tyrannum sustulisset, is ab omnibus propter communem libertatem asserendam, aut aliquem ex necessariis et propinquis vindicandum, vel cum vitæ periculo facinus tantum ausus, laudem retulit: neque se quemquam reprehensurum esse, si Dei et religionis causa, se in certum periculum conjiceret. Mihi vero de his quæ dicta varie sunt, accuratius inquirere minime necessarium videtur. Nam et Callistus, qui res ejus heroico versu complexus est, rebus bellicis expositis, a dæmone eum vulneratum occubuisse dicit. Atque is tametsi herum suum honore prosequeretur, hæc tamen scripsit. Et

(1) Sozomenus, percussorem Juliani post vulnus illi inflictum, latuisse, et equo admisso fuga sibi consuluisse dicit: Καὶ τοῦ ἵππου καταλαβὼν, ὅστις ἦν, ἀπῆλθε λαθών.

fortasse hoc sic, quamvis ab homine poeta dictum, verum fuit. Non paucos enim Erinnyes ultæ sunt. At enim quemadmodum verissima **82** et constantissima, quæ ad nos quoque pervenit, ubique obtinuit fama, vindicta divina Julianum trucidatum esse constat: percussoremque ejus, libri nobis clarum illum et magnum Mercurium esse produnt.

CAPUT XXXV.

Quod visiones divinæ quibusdam apparentes, Juliani apud Persas necem portenderint.

A Hujus rei argumentum est divina quædam visio, quæ Juliano, cognomento Sabæ, monacho, virtute præclaro viro, est oblata. Qui auditis impii illius minis, sedulo Deum, ut quamprimum nos ab illius tyrannide liberaret, oravit. Et cædes ei qua in Perside peracta est die, revelata est. Discipulis namque suis, causam exstasis atque consternationis inquirentibus, rem ipsam revelavit; atque illi porro aliis viri ejus dicta indicarunt. Sed enim de visione ea cum exactior investigatio fieret, compertum est, qua hora res gesta fuerat, eadem illum eam vidisse. Sed et Didymus philosophus ecclesiasticus domicilium Alexandriæ habens, in mœrore B maximo fuit, cum propter imperatorem, qui tam impiam sequeretur religionem, tum quod ecclesias tantopere contemni videret. Quapropter jejuniis sese maceravit, et Deum precibus invocavit, ac ne noctu quidem alimenti quidquam sumpsit, propter ingentem sane dolorem, sicque in sella considens, somno obrutus est: deinde consternatione correptus, equos candidos per aerem discurrentes sibi videre est visus, et qui eis insidebant equites, voce clara promulgantes: « Renuntiate Didymo, hac ipsa hora Julianum esse cæsum: idipsum Athanasio quoque magno significetur: et Didymus exsurgens cibum capiat. » Quidam etiam ex necessariis et amicis Juliani, ad ipsum contra Persas bellum C gerentem via publica profectus, cum ex itinere profectionem accelerans, in locum quemdam diverteret, eo quod domicilii alterius ibi copia non esset, in ecclesia quadam dormire est coactus. Atque ibi vigilans magis quam somnians, sicuti asseruit, vidit, ut circa se multi convenientes (erat autem apostolorum, prophetarum et martyrum chorus), imperatoris adversus ecclesias contumeliam deplorarint: et quid facto opus esset, alius ab alio requisierit. **82** Et cum diu multumque ad eum modum deliberassent, et veluti addubitassent, duos ex illorum cœtu consurrexisse dixit, Artemium et Mercurium, qui alios bono animo esse jusserint, et alacritate singulari divinum illum conventum reliquerint, quasi ad Juliani im- D perii eversionem ire properantes. Porro qui visionem hanc vidit, eventum et finem ejus metuens, profectionem prosequi neglexit. Ac rursum ibi somno oppressus, eumdem illum cœtum denuo vidit: eosque qui prius magno studio properantes abierant, et proxima nocte bellum Juliano inferre crediti fuerant, reversos, aliis celerrime renuntiare, desertorem necatum esse, nec de cætero causam esse, cur ita sint solliciti. Quæ Julianus

ΚΕΦΑΛ. ΛΕ'.

Ὅτι θεῖαι ὄψεις τισὶ φανεῖσαι τὸν τοῦ Ἰουλιανοῦ ἐν Περσίδι θάνατον προεσήμηναν.

Τούτου δ' ἀπόδειξις θεία τις ὄψις, ἣν ἀνὴρ, Ἰουλιανὸς ὄνομα, Σαβαΐτης καθεώρα, τὴν ἀρετὴν ἄκρος· ὃς τὰς ἀπειλὰς διακούσας τοῦ ἀσεβοῦς, δεόμενος ἦν τοῦ Θεοῦ ἀπαλλάττειν τῆς ἐκείνου τυραννίδος ὡς τάχος ἡμᾶς. Καί γ' ἀπεκαλύπτετο τῷ ἀνδρὶ, καθ' ἣν ἡμέραν ἐν Περσίδι ἀνῄρητο, τὰ γενόμενα. Τοῖς γὰρ φοιτηταῖς πυνθανομένοις τὴν ἔκστασιν ἀνεῖπεν· οἱ δ' ἐσημαίνοντο τὰ λεγόμενα. Ἀκριβωσαμένοις δὲ τὰ ὁραθέντα, εὑρέθη, καθ' ἣν ὥραν ἐπράττοντο, διορῶν τὰ γενόμενα. Ἀλλὰ καὶ Δίδυμος ὁ τῆς Ἐκκλησίας φιλόσοφος, τὴν Ἀλεξάνδρου οἰκῶν, περίλυπος μάλιστα ἦν, διά τε τὸν κρατοῦντα θρησκεύειν οὕτως ἑλόμενον, καὶ διὰ τὴν τῶν ἐκκλησιῶν καταφρόνησιν. Νηστεύων οὖν διὰ ταῦτα, καὶ τὸν Θεὸν ἱλεούμενος, ὑπὸ τῆς ἄγαν μερίμνης οὐδὲ τῆς νυκτὸς τροφῆς μετασχὼν, οὕτως ἐπὶ θρόνου καθήμενος εἰς ὕπνον τρέπεται. Εἰς ἔκστασιν δ' ἐλθὼν, λευκοὺς ὑπ' ἀέρι τρέχοντας ἵππους ἐδόκει ὁρᾷν· οἱ δ' ἱππόται τούτων ἔποχοι ὄντες, ἐκήρυττον· « Ἀναγγείλατε Διδύμῳ ὡς περὶ τήνδε τὴν ὥραν ἀνῄρηται Ἰουλιανός. Τοῦτό δὲ καὶ Ἀθανασίῳ τῷ πάνυ διαμηνυέτω, καὶ ἀναστὰς [Δίδυμος] μετεχέτω τροφῆς. » Καί τις δ' ἕτερος τῶν ἐπιτηδείων μάλιστα καὶ φίλων Ἰουλιανῷ, πρὸς αὐτὸν Πέρσαις εἰσβεβληκότα, διὰ τῆς λεωφόρου ἰὼν, ἐπεὶ καταλῦσαί που συνέβη, τὴν ἄφιξιν ἐπειγόμενος, ἀπορίᾳ οἰκήματος ἔν τινι τῶν ἐκκλησιῶν καθεύδειν ἠνάγκαστο· καὶ ὕπαρ μᾶλλον ἢ ὄναρ ἰδεῖν διετείνετο, ὡς περὶ αὐτὸν συνελθόντες πολλοὶ (ἀποστόλων δ' ἦσαν καὶ προφητῶν χοροὶ καὶ μαρτύρων), τὴν εἰς τὰς ἐκκλησίας τοῦ κρατοῦντος ὕβριν ὠδύροντο· καὶ τὸ ποιητέον παρ' ἀλλήλων ᾔτουν μανθάνειν. Ἐπιπολὺ δ' οὕτω λογιζομένων καὶ ὡσανεὶ διαπορουμένων, ἐκ μέσου τούτων δύο τινὲς ἀναστάντες, Ἀρτέμιον δὲ καὶ Μερκούριον λόγος ἔχει τούτους εἶναι, θαῤῥεῖν τοῖς ἄλλοις ἐνεκελεύοντο· καὶ σπουδῇ τὸν θεῖον σύλλογον καταλελοιπότες, ὡς ἐπὶ καθαιρέσει τῆς Ἰουλιανοῦ ἀρχῆς τὴν ὁρμὴν ἔσπευδον. Ὁ δὲ τῆς ὁράσεως θεατὴς τὸ προκείμενον ὠλιγώρει. Δεδοικώς γε μὴν τὸ τέλος τῆς ὄψεως, ἐκεῖσε καθεύδων τὸν αὐτὸν αὖθις σύλλογον καθεώρα, καὶ τοὺς πρώην ἐξιόντας σπουδῇ, αὖθις ἐληλυθότας, οἳ τῇ προτέρᾳ νυκτὶ ἐπιστρατεύειν ἐδόκουν Ἰουλιανῷ· καὶ τάχος ὅσον ἀναγγεῖλαι τοῖς ἄλλοις, ὡς ὁ ἀποστάτης ἀνῄρηται· καὶ τοῦ λοιποῦ μὴ μέλον ἔστω ὑμῖν. Καὶ ἃ μὲν ἐθεάσαντο ὅ τε Ἰουλιανὸς μοναχὸς, καὶ ὁ ἐκκλησιαστικὸς φιλόσοφος Δίδυμος ὁ Ἀλεξανδρεὺς, καὶ ὁ φίλος καὶ οἰκεῖος τῷ ἀποστάτῃ, ταῦτα ἐστι· καὶ οὐδὲ τῆς ἀληθείας διέπεσεν, ἐκδήλους ἐς ὕστερον τῆς σφαγῆς γενομένης. Εἰ δέ τις αὖθις διισχυρίζοιτο μὴ κατὰ θεομηνίαν ἀνῃρῆσθαι αὐτὸν, ἅτε ταῖς ἐκκλησίαις διαλυμηνάμενον, τέως γε μὴν

ἡ προφητεία πεισάτω τοῦτον, ἥν τις θεῖος ἀνὴρ προηγόρευσε, προσφοιτῶν μὲν Λιβανίῳ, τὰ δὲ τῆς Ἐκκλησίας ἐκπαιδευόμενος. Ἐπιστρατεύοντι γὰρ ἐκείνῳ τοῖς Πέρσαις, διατωθάζων Λιβάνιος, « Νῦν δὲ ἄρα, τῷ θείῳ ἐκείνῳ ἀνδρὶ ἔλεγε, τί ἂν ὁ τοῦ τέκτονος πράττοι υἱός; Ὁ δὲ, Ξυλίνην θήκην κατασκευάζει πρὸς θάνατον, ἀντεπήγαγε, τῷ σῷ βασιλεῖ, » καὶ μετ' ὀλίγον ἧκε νεκρὸς ὁ σοβαρὸς ἐκεῖνος, καὶ μέγα φυσῶν, καὶ τὴν Ἀλεξάνδρου δόξαν ὀνειροπολῶν, ἢ καὶ μᾶλλον ὑπερβαλέσθαι τοῦτον οἰόμενος· ὃς κατὰ τὴν Πυθαγόρου δόξαν τὰς μετεμψυχώσεις τιμῶν, ἐκ μετενσωματώσεως τὴν Ἀλεξάνδρου ἔχειν ψυχὴν, μᾶλλον δὲ αὐτὸς εἶναι Ἀλέξανδρος ἐν ἑτέρῳ δηλαδὴ σώματι ἔλεγε· μηδὲ εἰδὼς ὡς ἄρα νικᾷν μὲν καλὸν, ὑπερνικᾷν δὲ ἐπίφθονον. Ἠπάτα δὲ αὐτὸν καὶ Μάξιμος ὁ φιλόσοφος, συμπαρὼν αὐτῷ καί τισι μαντείαις ἐξάγων τοῦ δέοντος.

A monachus, et ecclesiasticus philosophus Didymus Alexandrinus, et præterea desertoris ipsius familiaris et propinquus viderint, talia sunt. Neque illorum quisquam a veritate aberravit, quam cædes postea renuntiata confirmavit. Quo si quispiam adhuc illum qui sic ecclesias vastaverit, non divina vindicta interemptum esse contendat : ei id vaticinium persuadeat, quod divinus quidam vir, Libanii quidem familiaris, institutis autem ecclesiasticis probe eruditus, prædixit. Cum namque Julianus exercitum in Persas duceret, et Libanius illudens ad sanctum illum virum diceret. « Quidnam fabri faceret filius? respondens ille : Ligneum inquit, loculum ad mortem imperatoris tui elaborat. » Et parva intercessit mora, cum mortuus ille B adductus est, qui superbus et inflatus gloriam Alexandri somniaverat, ac potius longe illum superasse sibi visus fuerat : et juxta Pythagoræ sententiam, animarum transmigrationes magnifaciens, ex corporum transmutatione Alexandri animam se habere, atque adeo Alexandrum in corpore alio se esse, dixerat. Neque satis intellexit, Vincere quidem pulchrum esse : victoria autem per insolentiam abuti, invidiosum. Seduxit autem eum Maximus etiam philosophus, qui ei adfuit : et divinationibus quibusdam transversum egit.

Οὐ μὴν ἀλλὰ καὶ αὐτὸς ὅθεν ἐβλάβη, ἀμωσγέπως συνῆκε, καὶ παντάπασι τὸν τῆς συμφορᾶς οὐκ ἠγνόησεν αἴτιον. Καὶ γάρ φασι τῆς ὠτειλῆς τὸ αἷμα ἀρυόμενος τῇ κοτύλῃ, εἰς αἰθέρα διακοντίζειν, οἷά γε Χριστὸν ὁρῶν, καὶ τῆς σφετέρας σφαγῆς τὴν αἰτίαν ἐπιγράφων αὐτῷ, καὶ λέγειν, ὡς Νενίκηκας, Γαλιλαῖε, νενίκηκας. Ἄλλοι δέ φασιν ὡς τὸν ἔφορον τῆς αὐτοῦ γεννήσεως ἥλιον κατά τινα περίοδον C ἀστρονομικὴν ἐν αἰτίαις ἐτίθει, ὅτι Ῥωμαίοις ἐπήμυνεν, αὐτὸν δὲ οὐ διέσωσεν. Εἰ δ' ἀληθὲς, τελευτᾷν μέλλων, τῆς ψυχῆς χωριζομένης τοῦ σώματος, θειότερα ἢ κατ' ἄνθρωπον ἠδύνατο θεωρεῖν, ὡς καὶ Χριστὸν ὁρᾷν, λέγειν οὐκ ἔχω· οὐ γὰρ πολλῶν ὁ λόγος, ἀλλ' οὐδὲ ὡς ψεῦδος ὄντ' ἀποτρέπομαι· εἰκὸς δ' εἶναι καὶ ταῦτα, καὶ τούτων πολλῷ θαυμαστότερα γίνεσθαι, ἵνα μὴ ἀνθρωπίνῃ σπουδῇ συστῆναι τὴν ἐπώνυμον Χριστοῦ θρησκείαν ἔχοι τις λέγειν. Καὶ ὁ μὲν τοιαῦτα πράττων, καὶ τὸ αἷμα ῥαίνων, διαῤῥήδην, Κορέσθητι Ναζωραῖε, ἐπέλεγεν. Ὕβριζε δὲ καὶ τοὺς ἄλλους θεοὺς, κακοὺς καὶ ὀλετῆρας ἀποκαλῶν. Ὁ μέντοι ἄριστος ἰατρῶν ὁ Λυδὸς Ὠρειβάσιος, ὁ ἐκ Σάρδεων, αὐτῷ συνῆν. Ἀλλ' ἐχλεύαζεν ἡ πληγὴ D τὴν ἐκείνου ἅπασαν θεραπείαν· καὶ ἐν τρισὶν ἡμέραις τοὺς πολλοὺς αἰῶνας ζήσειν οἰόμενον, ἐξῆγε τοῦ ζῆν· ἐν μὲν τῷ τοῦ Καίσαρος σχήματι πέντε ἐνιαυτοὺς, ἐν δὲ τῷ διαδήματι μετὰ τὸν Κωνσταντίου θάνατον δύο πρὸς τῷ ἡμίσει διανύσαντα ἔτη. Ἔτος δ' ἦν αὐτῷ τῆς ζωῆς τηνικαῦτα πρὸς τῷ ἑνὶ καὶ τριάκοντα. Τόν γε μὴν ἅπαντα χρόνον τῆς αὐτοῦ βασιλείας ἀγανακτῶν ὁ Θεὸς συμφοραῖς ἀπείροις καὶ παντοδαποῖς κακοῖς ὑπέβαλε τὴν Ῥωμαίων ὑπήκοον. Ἥ τε γὰρ γῆ σφόδρα σειομένη, οὐκ ἀσφαλῆ παρεῖχεν οὔτ' ἐν οἴκῳ μένειν οὔτ' ἐν ὑπαίθρῳ διατριβὴν ἔχειν τοὺς περιοίκους. Ἐπὶ δὲ τῆς αὐτοῦ ἀρχῆς καὶ τὸ θρυλλούμενον ἐν Ἀλεξανδρείᾳ πάθος ἐγένετο· ὁπηνίκα σφόδρα ἡ θάλασσα πνεύσασα, τοὺς οἰκείους παρήμειψεν ὅρους, καὶ μέχρι πολλοῦ

Sed enim unde ei clades ea evenerit, quodammodo ipsemet intellexit, neque prorsus calamitatis auctorem ignoravit. Dicitur enim, cum e vulnere cava manu sanguinem hausisset, atque eum in cœlum, veluti Christum conspiciens, conjecisset, perinde atque causam cædis suæ in eum referret, vociferatus esse : Vicisti, Galilæe, vicisti. **84** Alii vero tradunt, eum solem natalis horæ suæ inspectorem, propter astronomicum quemdam circuitum accusasse, quod Persis auxilium tulerit, se autem non servaverit. Et, siquidem verum est, jam moriturus, anima secedente a corpore, divinius quodammodo quam pro hominum captu potuit, oculos intendisse ita fertur, ut etiam Christum viderit : quod sane affirmare non possum : non multi enim hoc dixerunt. Verumtamen id etiam veluti mendacium non refello. Verisimile enim est, et hoc, et eo adhuc multo admiranda magis accidisse, ne humano consilio, qui a Christo nomen habet, religionem constitisse, dicere quispiam possit. Atque ille sic se habens, et sanguine diffluens, diserte : Saturare, Nazarene, exclamavit. Alios quoque deos contumelia affecit, malos eos et perniciosos appellans. Præsto ei affuit Sardis ortus medicus præstantissimus, Oribasius Sardensis. Sed curam ejus omnem vulnus illius risit atque contempsit. Ita qui se multis sæculis victurum credidit, intra triduum est exstinctus : qui in Cæsaris dignitate quinquennium, in imperio autem a Constantii morte annos duos cum dimidio exegit. Mortuus est ætatis anno tricesimo primo. Toto sane imperii ejus tempore iratus Deus, varias calamitates et innumera mala Romanorum immisit ditioni. Siquidem terra ingenti motu concussa effecit, ut neque in domibus tuto homines manerent, neque sub dio etiam recte versarentur. Sub ipsius quoque imperio decantatissima illa urbi Alexandrinæ calamitas accidit, cum

mare vehementi æstu concitum, et ultra fines suos progressum, ita diluvio aridam et continentem terram inundavit, ut eo in locum suum regresso, in tectorum tegulis scaphæ marinæ sint repertæ. Unde Alexandrini, ab eo tempore quo talis inundatio coorta est, diem festum eum peragentes, faces multas in urbe accendunt, carminibusque et gratiarum actionibus iram Dei supplices placant, solemnitatemque anniversariam cum insigni pietate et religione observant. Siccitates etiam intensæ eo imperante cum fruges exstinxerunt, tum aerem quoque pestiferum reddidere. Quapropter hominibus rerum penuria pressis, fames admodum excrevit, **85** adeo ut homines ad insolitas prorsus vitæ agendæ rationes, et ad irrationalium animantium alimenta sint conversi. Famem vero istam pestilentia est consecuta, quæ corpora infestavit, et varios progenuit morbos, unde plurimi mortales interiere. Juliani res hunc habuere finem, omnibus quidem Christianis, præcipue tamen Antiochenis, gratum et jucundum: qui propter cædem ejus publico instituto tripudio, Maximum etiam philosophum conviliis prosciderunt, illud accinentes, « Ubi sunt divinationes tuæ, stulte Maxime? » Vicit Deus, et Christus ejus. Multa autem capita et corpora hominum jugulatorum in cistis, in puteis, et in locis secretioribus imperatoriæ aulæ, Antiochiæ sunt reperta, quos ille, res futuras inquirens, clam mactavit. Sicuti et in oppido Carris. Nam ibi templum ingressus est, foribusque probe claustris munitis, exsecranda peregit per incantationes et imposturas magica sacra. Mulier quoque post ejus mortem ibi, ita ut in sublime sublata, et ex capillis suspensa fuerat, reperta est, quam futurum investigans resecuit.

A τῆς ξηρᾶς ἦλθε, καὶ ταύτην κατέκλυσεν· ὥστε καὶ ὑπὲρ τῶν κεράμων, τοῦ ὕδατος αὖθις ὑπονοστήσαντος, θαλάττια εὑρεθῆναι σκάφη. Ὃ δὴ Ἀλεξανδρεῖς ἀεὶ διατελοῦσιν ἑορτὴν ἄγοντες ἐξ ἐκείνου καθ' ἣν ἡμέραν ἐγένετο· λύχνους πολλοὺς καίοντες ἀνὰ πᾶσαν τὴν πόλιν, χαριστηρίοις τε ᾠδαῖς τὸν Θεὸν ἱλεούμενοι, δυσωποῦσι, περιφανῶς μάλα σὺν εὐλαβείᾳ ἐτησίως ταύτην ἐπιτελοῦντες. Ναὶ μὴν καὶ αὐχμοὶ σφόδρα ἑαυτοὺς ἐπιτείναντες, ἐπὶ τῆς αὐτοῦ ἡγεμονίας, τούς τε καρποὺς ἔφθειραν, καὶ τὸν ἀέρα φθοροποιὸν ἀπειργάσαντο. Κἀντεῦθεν τῇ ἐνδείᾳ τῶν ἀνθρώπων πιεζομένων, κατὰ βάθος ὁ λιμὸς ἐχώρει, καὶ εἰς τὰς τῶν ἀλόγων ζώων τροφὰς, καὶ εἰς ἀήθη δίαιταν τὸ ἀνθρώπινον ἤλαυνε. Τῷ δὲ λιμῷ τούτῳ καὶ λιμὸς ἕτερος ἠκολούθει, καὶ τοῖς σώμασιν ἐλυ- B μαίνετο, νόσους ποικίλας ἀπογεννῶν, ἐξ ὧν τὰ πλεῖστα τῶν σωμάτων ἐφθείρετο. Καὶ τὰ μὲν κατὰ Ἰουλιανὸν τοιοῦτον ἔσχε τὸ πέρας, ἐπέραστον μὲν καὶ πᾶσι Χριστιανοῖς, διαφερόντως δ' Ἀντιοχεῦσιν· οἳ καὶ κοινὴν χορείαν τῇ τοῦ τυράννου ἀναιρέσει στησάμενοι, καὶ Μάξιμον τὸν φιλόσοφον ἐλοιδόρουν ἐπᾴδοντες· « Ποῦ σοῦ τὰ μαντεῖα, Μάξιμε μωρέ; » Ἐνίκησεν ὁ Θεὸς, καὶ ὁ Χριστὸς αὐτοῦ. Πολλαὶ δὲ κεφαλαὶ καὶ σώματα ἐσφαγμένα ἐν τοῖς κιβωτίοις καὶ φρέασι καὶ τοῖς ἀποῤῥήτοις τόποις τῶν βασιλείων εὑρέθησαν· οὓς ἔθυε κρύφα, τὸ μέλλον ἐπιζητῶν, ὡς καὶ ἐν Κάῤῥαις τῇ πόλει. Τὸν γὰρ ἐκεῖσε νεὼν εἰσιὼν, καὶ κλεῖθρα τούτῳ ἐπιβαλὼν, μυσαρὰς μαγγανείας εἰργάζετο. Καὶ γυνὴ δ' ἐκεῖσε μετὰ μόρον ἐκείνου ἀπῃωρημένη εὑρέθη, ἣν ἀνέτεμε τὸ C μέλλον διερευνώμενος.

CAPUT XXXVI.

Quæ Libanius in funebri oratione Juliani contra nos scripserit. Et responsum, dicta ejus refellens.

De impii principis hujus morte lugubrem composuit orationem Sophista Libanius, quam *Julianum* sive *Funebrem querelam* inscripsit, in qua multas ejus laudes recenset, et res quoque gestas, prout visum est ei, commemorat, mentionem quoque librorum ejus faciens, quos adversus Christianos composuit, sacra Evangelia oppugnans, et veluti falsa ea esse refellere tentans. Ubi etiam, quod ea ludibrium nugasque esse ille demonstraverit, tradit. Quod si alias illius res Libanius laudare constituisset, silentio ea præteriissem, et ad historiam nostram continuandam processissem. Quandoquidem autem dicendi vi et arte fretus, illum et libros illius laudibus efferens, religionem nostram acerbe perstringit: injuriam veritati facerem, nisi ipsum nugatorem esse ostenderem, et ea qua nos attigit parte reprehenderem atque redarguerem. **86** Sed prius pauca quædam quæ in illius oratione sunt, exponam, et deinde sententiam meam adjiciam. « Cum hibernæ, inquit, noctes longiores essent, incumbens eis libris imperator,

ΚΕΦΑΛ. ΛϚ'.

Οἷα Λιβάνιος ἐν τῷ ἐπιταφίῳ Ἰουλιανοῦ καθ' ἡμῶν γράφει· καὶ ἀντιλογία πρὸς αὐτὸν ἀνατρέπουσα τὰ εἰρημένα.

Ἐπὶ δὲ τῷ θανάτῳ τοῦ ἀσεβοῦς καὶ ὁ σοφιστὴς Λιβάνιος θρῆνον συντάττει, ὃν *Ἰουλιανὸν* ἢ *Ἐπιτάφιον* ἐπιγράφει· ἐν ᾧ πολλὰ τῶν ἐγκωμίων αὐτῷ καταλέγει, καὶ πράξεις τὰς δοκούσας αὐτῷ διεξῆλθε· ποιεῖται δὲ μνείαν καὶ τῶν βίβλων, ἃς κατὰ τῶν Χριστιανῶν συνέταττεν Ἰουλιανὸς, τοῖς θείοις D Εὐαγγελίοις ἀντιφερόμενος, καὶ ψευδῆ γε ἀπελέγχειν ταῦτα πειρώμενος· ἐν ᾧ καὶ ὡς εἴη γέλωτα καὶ φλήναφον ἀποδεῖξας αὐτὰ ἱστορεῖ. Εἰ μὲν οὖν τἄλλα ἐκείνου προὔθετο ὁ Λιβάνιος ἐπαινεῖν, ἡσυχίαν ἂν ἦγον, καὶ ἐπὶ τὸ συνεχὲς τῆς ἱστορίας ἐβάδιζον. Ἐπεὶ δὲ δεινότητι τέχνης ἐκεῖνον ἐγκωμιάζων καὶ τὰς ἐκείνου βίβλους, τῆς ἡμετέρας καθάπτεται πίστεως, ἀδικήσαιμεν ἂν καὶ αὐτὴν τὴν ἀλήθειαν, εἰ μὴ μᾶλλον καὶ ἡμεῖς αὐτὸν ὡς φλήναφον ἀπελέγξωμεν, καὶ καθαψώμεθα καὶ ἡμεῖς οἷς ἐκεῖνος καθάπτεται, τέως δὲ μέτρι' ἄττα ἐκείνου τῶν ἐν τῷ ἐγκωμίῳ φερομένων ἐκθώμεθα πρότερον, ἔπειτα καὶ τὰ ἡμέτερα παραθήσομεν. « Τοῦ χειμῶνος, φησὶ, τὰς νύκτας ἐκτείνοντος, ἐπιθέμενος ὁ βασιλεὺς ταῖς βίβλοις, αἳ τὸν ἐκ Παλαιστίνης ἄνθρωπον Θεόν τε

καὶ Θεοῦ Υἱὸν ποιοῦσι, μάχῃ τε μακρᾷ καὶ ἐλέγχων ἰσχύϊ γέλωτα ἀποφήνας καὶ φλήναφον τὰ τιμώμενα, σοφώτερος ἐν τοῖς αὐτοῖς δέδεικται τοῦ Τυρίου γέροντος. Ἵλεως δὲ οὗτος ὁ Τύριος εἴη, καὶ δέχοιτο εὐμενῶς τὸ ῥηθὲν, ὡς ἂν υἱῷ ἡττώμενος. »

Καὶ ὁ μὲν σοφιστὴς ταῦτα· ἐγὼ δὲ ἄριστον μὲν σοφιστῶν οἶδα τὸν ἄνδρα, καὶ γλῶτταν αὐχεῖν, οἵαν ἔδει δεινὸν ῥήτορα κεκτῆσθαι· ὥστε καὶ τοῦτο πᾶσι διαμαρτύρομαι, ὡς εἰ αὐτῷ γ' ἐκείνῳ μὴ τῆς ἴσης ἐκοινώνει δόξης, καὶ πλείω ἢ Χριστιανοὶ κατ' ἐκείνου εἰρήκεσαν, καὶ οὗτος ἂν εἶπε, καὶ μεγαλοπρεπῶς ἂν αὐτὰ, ἅτε δὴ σοφιστὴς ὢν, διεξῆλθεν· ὅτι γε καὶ ζῶντι μὲν Κωνσταντίῳ ἐπαίνους ἔλεξε, τελευτήσαντι δὲ, ψόγους συνέταττεν. Εἰ δὲ καὶ Πορφύριος διάδημα περιέκειτο, οἶμαι πολλῷ ἂν σεμνύναι τὰ ἐκείνου τῶν Ἰουλιανοῦ. Εἰ δὲ καὶ Ἰουλιανὸς σοφίζεσθαι ἤθελε, καὶ αὐτὸν ἂν κακὸν εἴρηκε σοφιστὴν, ὥσπερ δῆτα καὶ Ἐκηβόλιον οὗτος Λιβάνιος ἐν τῷ εἰρημένῳ Ἐπιταφίῳ. Ἐπεὶ δ' ἐκεῖνος καὶ ὡς τῆς αὐτοῦ κοινωνῶν δόξης, καὶ ὡς φίλος, εἰ δὲ βούλει, καὶ ὡς σοφιστὴς, ὅσα γ' ἐδόκει καταχαρίζεται Ἰουλιανῷ, φέρε δὴ καὶ ἡμεῖς ὡς ἂν ἰσχύος ἔχωμεν, ἀντιλέξωμεν. Ἐπιθέσθαι γάρ φησι ταῖς βίβλοις μακρὰς τὰς νύκτας τοῦ χειμῶνος ἐργαζομένου. Ἔοικε δὲ τὸ ἐπιθέσθαι δηλοῦν, ὡς διὰ σπουδῆς ἐποιεῖτο ψόγον γράψαι, ὥσπερ δῆτα σοφισταὶ ποιοῦσι τοὺς νέους γυμνάζοντες. Εἰκὸς μὲν γὰρ τὰς βίβλους πάλαι ἐπίστασθαι οἷς διηκόνητο. Ἐπέθετο δὲ μάχῃ σχολάζων μακρᾷ, ἀλλ' οὐκ ἐλέγχων ἰσχύϊ, ὡς σὺ φῄς· ἀσθενείᾳ δὲ τἀληθοῦς ὡς φιλοσκώμμων, τὰ καλῶς ἡδρασμένα ἐπεχείρησε διασύρειν. Ὁ γάρ τινι πρὸς μάχην ἰὼν, τὰ μὲν παρασκώπτων, τὰ δὲ προστιθεὶς, καὶ παντὶ τρόπῳ τὴν ἐφ' ἑκάστῳ ἀλήθειαν παρακρύπτων, ψεύδεται· καὶ ἀπεχθῶς ἔχων οὐ πράττειν μόνον, ἀλλὰ καὶ λέγειν σπουδάζει· καὶ τὰ αὐτῷ οἱ προσόντα φαῦλα τῷ ἐχθρῷ περιτιθέναι μᾶλλον οἰκονομεῖ. Ἀλλ' ὅτι μὲν καὶ ἄμφω, Ἰουλιανός φημι καὶ Πορφύριος, ὃν Τύριον καλεῖ γέροντα, φιλοσκῶπται ἦσαν, ἀπὸ τῶν ἰδίων συγγραμμάτων σαφῶς ἐπιδείξομεν. Ἐν μὲν γὰρ τῇ ἐπιγεγραμμένῃ αὐτῷ *Φιλοσόφῳ Ἱστορίᾳ* Πορφύριος τὸν Σωκράτους βίον ὡς μάλιστα διασύρει, τοσαῦτα συκοφαντῶν, ὅσ' ἂν οὐδὲ Ἄνυτος οὐδὲ Μέλιτος οἱ παρανόμων ἐκεῖνον γραψάμενοι ἐνενόησαν· καὶ ταῦτα Σωκράτην ὃν ἐπὶ σωφροσύνῃ καὶ δικαιοσύνῃ καὶ ταῖς λοιπαῖς ἀρεταῖς οὐ Πλάτων μόνον καὶ Ξενοφῶν, ἀλλὰ καὶ ὁ λοιπὸς τῶν φιλοσόφων θίασος, διαφερόντως θαυμάσαντες ὡς θεοφιλῆ, καὶ ὡς μεῖζον ἢ κατὰ ἄνθρωπον φρονήσαντα, ἐκδεδώκασιν. Ὁ δὲ παραβάτης τὸν πατέρα ζηλώσας, τὰ ἴσα εἰς τοὺς πρὸ αὐτοῦ Καίσαρας διειργάσατο· πᾶσι γὰρ μῶμον ἐπαγαγὼν, οὐδὲ τοῦ φιλοσόφου ἐφείσατο Μάρκου. Τοσοῦτόν γε μὴν Κωνσταντίνου τοῦ μεγάλου καὶ Κωνσταντίου τοῦ υἱοῦ κατατρέχει, ὡς συνάγειν ἐνὸν εἶναι, μὴ δι' ἄλλο τι ἑλέσθαι τὸ σύνταγμα, ἢ διὰ τὸ σκῶψαι τούτους ὡς θεοφιλεῖς ἄνδρας, καὶ ἐπ' ἀρεταῖς καὶ ἀνδρίαις καὶ τῇ ἀληθεῖ φιλοσοφίᾳ τὸ διαβόητον ἐσχη-

qui hominem Palæstinum Deum et Dei Filium faciunt, ingenii contentione et vi eos refutavit, religionemque eam risum prorsus et nugas esse declaravit. Qua in re sapientiorem se Tyrio sene præstitit. Sed hoc mihi ignoscat Tyrius iste, et placide hoc dictum ferat, quod a filio sit victus. »

Hæc sophista ille. Atque ego quidem eum virum optimum fuisse sophistam, et ab eloquentia plurimum potuisse, ut oratorem egregium, scio. Quapropter apud omnes etiam contestor, illum, nisi in eadem cum Juliano, in religione, fuisset opinione, plura etiam in illum quam Christiani dixerint, et quidem ut hominem sophistam, splendidius dicturum fuisse; quoniam et in Constantium viventem quidem orationes laudatorias composuit, in defunctum autem invectivas conscripsit. Ac si Porphyrius imperiale sumpsisset diadema, scripta illius longe Juliani libris, stylo ea celebrans, ut equidem puto, prætulisset. Si vero Julianus artem sophisticam exercuisset, eum ipsum quoque sophistam non bonum fuisse dixisset: sicuti de Ecebolio fecit, in eadem de Juliano oratione funebri sua. Cæterum cum ille ejusdem sententiæ cum Juliano particeps, amicusque ejus, et si addere libet, sophista, quæcunque ei visa sunt, Juliano tribuerit: age nos quoque quoad possumus, eum confutemus. Incubuisse enim illum, inquit, libris longioribus hiemis noctibus. Videtur autem per verbum *incumbendi* significare, studio illi fuisse, invectivas scribere, sicuti sophistæ studium collocant in adolescentibus exercendis. Consentaneum vero est, libros istos eum antea novisse, quibus videlicet in sacro aliquando ministerio usus fuerit. Et incubuit illis studio et contentione diuturniore, sed eos vi dicendi non redarguit et refellit, ut tu dicis, verum imbecillitate potius ingenii, et defectu veritatis, ut homo facetus, et scommatibus libenter ludens, quæ probe fundata sunt, convellere et traducere est conatus. Nam qui cum alio hoc pugnæ genere congreditur, quædam adulterans atque depravans, quædam de suo adjiciens, modisque omnibus in re et sententia quaque veritatem supprimens, mentitur et fallit: atque odio et inimicitiis infestus, non facere solum, sed etiam dicere hostiliter studet: **87** ac quæcunque sibi insunt mala, inimico ea suo imponere contendit. Sed enim quod ambo, Julianus inquam, et Porphyrius, quem Tyrium senem vocat, scommatum consectatores fuerint, id ex libris eorum aperte ostendemus. In *Philosophica* enim, quam ita Porphyrius inscripsit, *Historia*, mirum est quantopere vitam philosophorum coryphæi Socratis cavillando taxet, tot in eum confictis sycophantiis, quot neque Anytus, neque Melitus, qui illum, quod res novas contra leges veteres induceret, accusarunt, unquam excogitarunt. Atque id quidem in Socratem, quem propter temperantiam, justitiam, et reliquas virtutes non solum Plato et Xenophon, verum etiam reliquus

philosophorum cœtus præcipue miratus, ut diis (1) charum, et supra hominis captum sapientem, commendarunt, ille fecit. Transgressor vero patrem æmulatus, idem eis fecit, quibus successit, imperatoribus. Omnes namque reprehendit, et ne Marco quidem philosopho pepercit. Adeo sane in Constantinum magnum et Constantium filium ejus est invectus, ut facile existimare liceat, non aliam ob causam illum scribendi laborem suscepisse, quam ut istos proscinderet utpote viros Dei amantes, et qui fortitudine, virtutibus aliis, et vera philosophia laudem magnam consecuti essent. Verum ambos hos conviciatores fuisse, ampliore probatione mihi opus non est. Sufficiunt enim ista, ad certam malevolentis illius animi declarationem: et paulo post verbis suis mihi admirandus ille Gregorius suffragabitur, qui naturam et mores apostatæ optime depinxit.

A κότας. Ἀλλ' ὅτι μὲν ὑβρισταὶ καὶ ἄμφω ἦσαν, οὐ δεῖ μοι πλειόνων· ἀπόχρη γὰρ καὶ ταῦτα εἰς γενναίαν παράστασιν τῆς αὐτοῦ κακομηχάνου ψυχῆς· μαρτυρήσει δέ μοι τοῖς λόγοις μικρὸν ὕστερον καὶ ὁ θαυμαστὸς Γρηγόριος, τὴν φύσιν αὐτοῦ καὶ τὸ ἦθος ἄριστα διαγράφων.

Porro quod etiam ante istos permulti doctrinæ nostræ veritatem vi oppugnare aggressi sunt, e divinis oraculis quædam pervertentes, quædam autem ad sensum suum detorquentes, non pauci ostenderunt, qui cum illis congressi, cavillationes eorum confutatas in publica monumenta retulerunt. In primis vero doctissimus Origenes, qui longo ante Julianum tempore fuit, quæcunque in sacris Litteris turbas ciere, aut lectores earum perturbare visa sunt, probe distinxit, subjectisque contrariis argumentis, et locis quibusque, ita ut debuit, declaratis, eorum qui eos male et imperite acciperent, nugas longas et sophisticas aggressiones refellit. Indicant hoc, quæ is ad Galatam Marcellum composuit, et quæ ad Porphyrium (2) quem diximus, luculenter rescripsit, **88** libellis de rebus ejuscemodi editis, quibus propter copiam verborum veritatis effecit, ut illi quod contra dicerent, non haberent. Quos libros si non ita cursim Julianus legisset, nunquam ad cavillationes et blasphemias scribendas delapsus esset. Sed enim Juliano studio fuisse, ut scommatibus et dicacitate uteretur, non apud eos qui solidam pietatis veritatem et formam tenent, sed simplices et imperitos homines, ex eo satis constat. Ubi enim e Scripturis, quæcunque hominum more, prout res ferunt, ad captum nostrum, de Deo, et præcipue de Christi œconomia, salutisque nostræ administratione dicta sunt, decerpsit, et ejus generis dicta quædam collegit, deinde hisce verbis infert: « Horum igitur omnium, nisi ratio quæpiam est, arcanam aliquam, ut ego puto, contemplationem habens, multas libri isti de Deo continent blasphemias. » Hæc quidem in tertio suo *Contra Christianos* libro refert: In eo autem libro quem *De Cynicismo* inscripsit, quomodo conveniat sacras fingere fabulas disserens, hæc scribit: « De rebus ejuscemodi veritatem occultari oportet, vult enim natura occultari, et quod de deorum essentia occultum est, nudis verbis in aures impuras, conjici non sustinet. » Ex quibus verbis satis apparet, suspicionem eum obtinere, mysticum quiddam et arcanum sacram tegere Scripturam. Videtur quoque indignari, non

Ὅτι δὲ καὶ πρὸ αὐτῶν πολλοὶ τοῦ καθ' ἡμᾶς δόγματος βιάσασθαι τὴν ἀλήθειαν ἐπεχείρησαν, τινὰ μὲν τῶν θείων χρησμῶν παρατρέψαντες, ἄλλα δὲ καὶ B πρὸς τὸν ἴδιον σκοπὸν ἐκλαβόμενοι, ἔδειξαν μὲν πολλοὶ εἰς ἀντίῤῥησιν καταστάντες ἐκείνοις, καὶ στηλιτεύσαντες ἐλέγχῳ τὰ ἐκείνων σοφίσματα. Πρὸ δὲ πάντων ὁ τὴν γνῶσιν πολὺς Ὠριγένης, μακρῷ χρόνῳ καὶ πρὸ Ἰουλιανοῦ γεγονώς· τὰ δοκοῦντα ταράττειν ταῖς ἱεραῖς βίβλοις διευκρινήσας, ἀνθυπενεγκών τε καὶ ὡς χρεὼν σαφηνίσας, τῶν κακῶς καὶ ἀγνωμόνως ταύταις διακειμένων, τὴν μακρὰν ἐρεσχελίαν καὶ τὰς σοφιστικὰς ἐπιχειρήσεις ἐξήλεγξε. Δείκνυσι δὲ ἃ πρός τε τὸν Γαλάτην Μάρκελλον συνέταξε, καὶ ἃ πρὸς τὸν εἰρημένον Πορφύριον γενναίως ἀντεῖπε· βίβλον ἐφ' ἑκάστῳ τούτων συντεταχώς, καὶ ἀφώνους ἀπελέγχων τῇ τῶν λόγων τῆς ἀληθείας περιουσίᾳ· οἷς εἰ μὴ, ὡς ἔτυχεν, ἐνέτυχεν C Ἰουλιανὸς, οὐκ ἂν οὕτω σοφίζεσθαι καὶ βλάσφημα γράφειν ἐξεκυλίετο. Ὅτι δὲ σκῶψαι διὰ σπουδῆς ἔθετο Ἰουλιανὸς, οὐ πρὸς τοὺς τὴν ἀληθῆ μόρφωσιν τῆς εὐσεβείας περικειμένους, ἀλλὰ πρὸς τοὺς ἰδιώτας καὶ ἁπλούστερον διακειμένους, δῆλον ἐκεῖθέν ἐστι. Ὅσα γὰρ τῆς Γραφῆς οἰκονομικῶς ἀνθρωπικώτερον τέτακται, ἐκλαβόμενος, καὶ τοιαῦτα δή τινα ἐπισυνείρας, ἔπειτα ἐπιφέρει, λέγων ἐπὶ λέξεως οὕτως· « Τούτων τοίνυν ἕκαστον, εἰ μὴ λόγος ἐστὶν ἀπόῤῥητον ἔχων τινὰ θεωρίαν, ὅπερ ἐγὼ νενόμικα, πολλῆς γέμουσιν οἱ λόγοι περὶ τοῦ Θεοῦ βλασφημίας. » Ταυτὶ μὲν ἐν τῷ τρίτῳ αὐτοῦ κατὰ Χριστιανῶν βιβλίῳ διέξεισιν· ἐν δὲ τῷ λόγῳ ὃν *Περὶ κυνισμοῦ* ἐπιγράφει, φιλοσοφῶν ὅπως δεῖ πλάττειν τοὺς μύθους τοὺς ἱερεῖς, καὶ ταῦτά φησιν· « Δεῖ D κρύπτειν τὴν περὶ τῶν τοιούτων ἀλήθειαν· φιλεῖ γὰρ ἡ φύσις κρύπτεσθαι· καὶ τὸ κεκρυμμένον τῆς τῶν θεῶν οὐσίας οὐκ ἀνέχεται γυμνοῖς εἰς ἀκαθάρτους ἀκοὰς ῥίπτεσθαι ῥήμασιν. » Ἐξ ὧν δὴ φαίνεται ἐν ὑπονοίαις εἶναι μυστικόν τι καὶ ἀπόῤῥητον κρύπτειν τὴν θείαν Γραφήν. Ἔοικε δὲ καὶ ἀγανακτεῖν, ὅτι μὴ πάντες τὴν ἴσην ὑπόνοιαν περὶ τούτων ἔχουσι· καὶ τῶν Χριστιανῶν κατατρέχειν ἐντεῦθεν, ἅτε δὴ ἁπλούστερον δεχομένων τὰ ῥήματα. Ἐχρῆν δὲ μὴ οὕτω διὰ τὴν τῶν πολλῶν ἁπλότητα κατὰ τῶν ἱερῶν ἐκτυφωθῆναι Γραφῶν, μηδὲ μισῆ-

(1) Justinus philosophus et martyr Christi, Socratem et Heraclitum in eodem catalogo sanctorum cum Abraham et Elia recenset, tanquam verbi Dei cultores.

(2) Fuit Porphyrius condiscipulus Origenis, apud Plotinum magistrum, et usque ad tempora Probi Imp. vixit. Suid.

σαι καὶ ἀποστρόφως ἐκείναις ἔχειν κακῶς ἐκείνῳ τε νοουμέναις, ὅτι μὴ πάντες ὡς αὐτῷ γ' ἐκείνῳ ἐδόκει, ἐνόησαν. Ἔοικε δὲ τὰ ἴσα καὶ αὐτὸς τῷ πατρὶ καὶ διδασκάλῳ Πορφυρίῳ παθεῖν· πληγὰς γὰρ ἐκεῖνος ἐν Καισαρείᾳ ὑπό τινων Χριστιανῶν ἐνεγκὼν, μὴ φέρων τὴν ὕβριν, οἷα μελαγχολήσας, ἐξόμνυται μὲν τὸν Χριστιανισμόν· τῷ δὲ τῶν πληγωσάντων μίσει, εἰς τὸ βλασφημεῖν Χριστὸν καὶ τὰς Χριστιανῶν ἐξεκυλίσθη Γραφάς· ὥς φησιν ὁ Παμφίλου Εὐσέβιος, ἀνατρέπων ἄριστα τὰς καθ' ἡμῶν αὐτοῦ συγγραφάς. Ὁ δὲ Ἰουλιανὸς ὑπεροψίᾳ πλείστῃ κατὰ Χριστιανῶν τὴν ὁρμὴν ἐσχηκὼς διὰ τοὺς ἁπλουστέρους, ἴσῳ πάθει πρὸς τὴν Πορφυρίου λύσσαν ἀπέκλινεν· καὶ ἄμφω τοιγαροῦν μετὰ γνώσεως ἑλόμενοι τὴν δυσσέβειαν, ἀποτρόπαιοι τὰς τῆς ἑκουσίου ἁμαρτίας εἰσπραττόμενοι δίκας. Ἐπεὶ δ' ὁ Λιβάνιος ἐπιχλευάζων ὥσπερ, Τὸν ἐκ Παλαιστίνης, φησὶν, ἄνθρωπον, Θεόν τε καὶ Θεοῦ παῖδα ποιοῦσιν, ἔοικεν αὐτὸς ἐπιλελῆσθαι ὅπως ἐπὶ τέλει τοῦ εἰρημένου λόγου τὸν Ἰουλιανὸν ἀποθεοῖ, φάσκων οὕτως· Τὸν πρῶτον ἄγγελον τῆς τελευτῆς μικροῦ κατέλευσαν, ὡς Θεοῦ καταψευδόμενον· καὶ αὖθις μικρὰ εἰρηκώς· « Ὦ δαιμόνων μὲν, φησὶ, σὺ τρόφιμε, δαιμόνων δὲ μαθητὰ, δαιμόνων δὲ παρεδρευτά. » Εἰ καὶ ἄλλως οὗτος δῆθεν ἐνόει μὴ τὴν ὁμωνυμίαν ἐκκλίνας, ὅμως ταῦτα λέγειν δοκεῖ, ἃ καὶ Χριστιανοὶ λέγοντες ὀνειδίζονται. Εἰ οὖν ἐπαίνων μόνον ἦν ἐκείνῳ φροντὶς, ἔδει τὴν ὁμώνυμον ἀπώσασθαι λέξιν, ὥσπερ δῆτα καὶ ἀλλαχοῦ πεποιηκὼς φαίνεται· λοιδορηθεὶς γὰρ διὰ λέξιν, τῶν ἑαυτοῦ λόγων ἐξέωσεν.

eamdem secum omnes opinionem de hac habere. Et in Christianos invehitur, quod simplicius verba oraculorum accipiant. Minime vero propter multorum simplicitatem, illum tanto fastu adversus sacras Scripturas efferri oportuit, neque odisse eas aut aversari propterea debuit, quod quas ipse perperam intellexerit, non omnes, siculi ei visum esset, accepissent. Verum idem ei accidisse videtur, quod patri et magistro ejus Porphyrio evenit. A quibusdam namque Christianis Cæsareæ verberatus ille, quod injuriam eam non bene ferret, veluti atra bile percitus, Christianismum quidem abjuravit: eorum autem qui plagis illum affecerant, odio, ad Christum et Christianorum Scripturas impie conviciis proscindendas est progressus: quemadmodum Eusebius Pamphili inquit, qui ejus adversus nos compositos libros optime refutavit. Julianus autem per arrogantiam ingentem, propter simpliciores, impetu furioso contra Christianos concepto, eodem modo ad Porphyrii rabiem declinavit. **89** Itaque ambo detestandi: quippe qui prudentes atque scientes impietatem complexi sint, et voluntarii propterea consultoque admissi peccati supplicium pendant. Enimvero Libanius, dum, veluti nos irridens, Palæstinum hominem, inquit, Deum Deique Filium faciunt, oblitus esse videtur, quomodo in fine ejus quæ dicta est orationis, Julianum in numerum deorum referat: primum Juliani obitus nuntium pene lapidibus obrutum esse, veluti is adversus Deum mentiretur, dicens. Et paucis interpositis verbis, rursum exclamans: « O dæmonum alumne, dæmonum sectator, dæmonum assessor. » Et quamvis ille hisce verbis aliud sentiret, tamen non vitato æquivoco seu ambiguo verbo, idem dicere videtur, quæ et Christiani ipsi per convicium de Juliano dicunt. Quod si Sophista unum hoc, ut apostatam laudaret, egit, dictionem certe ambiguam rejicere debuisset. Quod quidem alibi eum fecisse, apparet. Nam de verbo quodam probrose reprehensus, in orationibus suis id induxit.

Ἀλλ' ὅπως ὁ κατὰ Χριστὸν ἄνθρωπος θεολογεῖται· καὶ ὡς τὸ μὲν φαινόμενον ἄνθρωπος ἦν, Θεὸς δὲ τὸ νοούμενον· καὶ ἄμφω πάλιν ὅπως ἐστὶ καὶ ἄνθρωπος, ἄμφω Γραφαί τε θεῖαι ἀριδήλως διεξιᾶσι, καὶ Χριστιανῶν παῖδες ἴσασιν. Ἕλληνες δὲ, πρὸ τοῦ πιστεῦσαι, πῶς ἂν εἰδεῖεν; Προσίσταται γὰρ ἐκεῖνο θείῳ χρησθὲν Πνεύματι· *Ἐὰν μὴ πιστεύσητε, οὐδὲ μὴ συνῆτε.* Μᾶλλον μὲν οὖν αὐτοὺς καὶ ἐγκαλύπτεσθαι ἔδει, πολλοὺς ἀνθρώπων ἀποθεώσαντας· καὶ ταῦτα τίνας; Εἴθε μὲν οὖν, κἂν εἰ δίκαιοι καὶ σώφρονες· ἢ τὸν τρόπον γε ἦσαν χρηστοί· νῦν δὲ τοὐναντίον ἅπαν, ἀδικίᾳ καὶ μέθῃ καὶ διαφθορᾷ, ζήσαντας. Δείκνυσι τοῦτο Ἡρακλῆς, καὶ Διόνυσος, καὶ Ἀσκληπιός· καθ' ὧν συνεχῶς ὀμνὺς Λιβάνιος οὐκ αἰσχύνεται· ὧν τοὺς ἔρωτας καὶ τὴν περιττὴν φλυαρίαν εἰ καιρὸς ἐδίδου ἀπαριθμεῖσθαι, πλατὺς ἂν καὶ ἄσβεστος ἀνεῤῥάγη γέλως τοῖς σώφροσι. Πλὴν ἀποχρήσει τοῖς ἐθέλουσιν ὡς τάχος ἰδεῖν, ὅ τε Ἀριστοτέλους πέπλος, ὁ Διονύσου στέφανος, καὶ ὁ πολυμνήμων Ῥηγίνου, καὶ ὁ τῶν ποιητῶν χορὸς, οἳ

Verum enimvero quomodo Christus homo Deus quoque sit, et quod in eo apparet, homo: quod autem intelligentia percipitur, Deus sit: et rursum quomodo idem homo Deus exsistat, utrumque satis clare divinæ ostendunt Litteræ, atque id Christiani norunt. Græcæ autem superstitionis cultores, priusquam credant, quomodo id scire queant? Obstat namque illud, quod divini Spiritus oraculo dicitur est: *Si non credideritis, non intelligetis* [1]. Quin illos obducta veste, pudore potius affici conveniebat, qui homines multos in deorum numerum retulerint, atque eos quosnam quæso? Optandum sane esset, justos eos et temperantes, aut aliter morum integritate probatos fuisse. Verum contraria omnia in eis reperiuntur: quippe qui injustitia, ebrietate, et stupris probrosis vitam transegerint. Declarat hoc Hercules, Dionysius, et Æsculapius: per quorum numina dum Libanius continue in libris suis jurat, non erubescit tamen. Atqui illorum amores insanos et nugamenta alia, si per tempus referre

[1] Isa VII, 9.

(3) Κακῶς. Ita enim legendum etiam apud Socr. lib. III, cap. 23

liceret, prolixum profecto perpetuumque sanis et prudentibus viris moverent risum. Sed ad eam rem cuivis quamprimum cognoscendam suffecerit, Aristotelis peplum, Dionysii corona, πολυμνήμων, hoc est, multa memorans, Rhegini liber, et poetarum turba: qui rebus illorum expositis, deliramenta potius et nugas quam theologiam posteris reliquere.
90 Cæterum Græcos proclives magis et promptos esse ad homines deorum honoribus cohonestandos, et quidem præter decorum et rationem omnem, ex iis quæ paucis commemorabimus, satis liquebit. Etenim Rhodiis, cum aliquando calamitate gravi premerentur, oraculum promulgavit, si Atyn insanorum sacrorum in Phrygia sacerdotem colerent, fore ut ærumna sua liberentur. Responsum id tale fuit:

Atyn implorate deum: namque alter Adonis,
Alter et est donator opum crinitus Iacchus.

Oraculum sic habuit; quod Atyn Phrygium, qui se ipsum præ amoris insania eviravit (1), eisdem cum Adonide et Baccho honoribus colere jubet. Alexandro autem Macedoni, cum in Asiam transiret, Pythius dæmon, amphictyonibus ei faventibus, tale edidit oraculum:

Supremum celebrate Jovem, celebrate Minervam,
Et divum humano latitantem in corpore regem,
Stirpis Alexandrum cælestis, ut ordine recto,
Et mores hominum componat legibus æquis.

Et oraculum quidem istud potentiæ Alexandri assentans, Deum illum fecit. Cleomedem vero pugilem præterire nefas esset, quem divinis auctum honoribus, tali etiam ornarunt oraculo:

Ultimus heroum Cleomedes Astypaleus.
Jam Deus est: sacris illum venerantor, et aris.

Quod propter responsum, Diogenes Cynicus et Œnamaus philosophus oraculum Pythii Apollinis sprevere. Cyziceni Adrianum imperatorem tredecimum esse deum promulgarunt. Sed et ipse Adrianus (5), amasium suum Antinoum in numerum deorum retulit. Hæc sane sophistarum præstantissimus Libanius merito traducat, ludibriumque et gerras esse recte dicat: qui quidem, si quisquam alius, et ipse oracula deorum et μονόβιβλον, hoc est, unicum illum librum, quem Alexandrini de Alexandri vita conscripserunt (3), maxime novit. Atque illum etiam, supra eos quos diximus, Porphyrium deum facere non pudet. Propitius enim, inquit, sit senex Tyrius: quod videlicet imperatoris scripta illius libris præferat. Hæc sic per digressionem retuli, propter Libanii Sophistæ contumelias, quas in nostram evomuit religionem. Qui et ipse postea dicitur divini Basilii consuetudine adductus, superstitioni suæ nuntium remisisse, et Christianus factus esse.

A τὰ περὶ αὐτῶν συνταξάμενοι, λῆρον μᾶλλον ἢ θεολογίαν καταλελοίπασιν. Ὅτι δ' Ἕλλησι μᾶλλον πρόχειρον τὸ ἀνθρώπους ἀποθεοῦν, εἰ καὶ πέρα τοῦ δέοντος, ἀλλ' οὖν ἀρκέσει καὶ τινων ὀλίγων ἐπιμνησθῆναι. Καὶ γάρ ποτε Ῥοδίοις συμφορᾷ περιπεσοῦσιν ἐκήρυττεν ὁ χρησμὸς Ἄττυν, τὸν ἱερέα τῆς ἐν Φρυγίᾳ μανικῆς τελετῆς, ἀξιοῦν θεραπείας, καὶ οὕτω λύεσθαι. Ἐγὼ δὲ καὶ αὐτὸν τὸν χρησμὸν ὡς εἶχεν ἐπὶ λέξεως παραθήσομαι·

Ἄττυν ἱλάσκεσθε θεὸν μέγαν ἁγνὸν Ἄδωνιν
B *Εὔβιον, ὀλβιόδωρον, ἐϋπλόκαμον Διόνυσον.*

Καὶ οὗτος μὲν ὁ χρησμός· τὸν Φρύγιον Ἄττιν, ἅτ' ἐκ μανίας ἐρωτικῆς ἑαυτὸν ἀποκόψαντα, Ἀδώνιδι καὶ Διονύσῳ ἴσα τιμᾷ· τὸν δὲ Μακεδόνα Ἀλέξανδρον, ἡνίκα ἐπὶ τὴν Ἀσίαν διέβαινε, τὸ ἐν Πυθοῖ δαιμόνιον ἔχρα, τῶν Ἀμφικτυόνων Ἀλεξάνδρῳ χαριζομένων, τάδε·

Ζῆνα θεῶν ὕπατον, καὶ Ἀθηνᾶν Τριτογένειαν
Τιμᾶτε· βροτέῳ τ' ἐν σώματι κρυπτὸν ἄνακτα
Ὃν Ζεὺς ἀρίσταις γοναῖς ἔσπειρεν ἀρωγὸν,
Εὐνομίης θνητοῖσιν Ἀλέξανδρον βασιλῆα.

Τοῦτο μὲν ἴσως τὸ δαιμόνιον τὴν δυναστείαν κολακεῦον, ἐθεοποίει· τὸ δὲ τοῦ πύκτου Κλεομήδους πῶς ἂν παραδράμοιμι; ὃν θεϊκῆς τιμῆς ἀξιώσαντες, τοιόνδε καὶ περὶ αὐτοῦ ἐξέδωκαν τὸν χρησμόν·

C
Ὕστατος ἡρώων Κλεομήδης Ἀστυπαλεεύς·
Ὃν θυσίαις τιμᾶτε, ὡς μηκέτι θνητὸν ἐόντα.

Δι' ὃν χρησμὸν, ὅ τε κύων Διογένης, καὶ Οἰνόμαος ὁ φιλόσοφος τῆς ἐν Πυθίᾳ μαντείας περιεφρόνησαν· οἱ δὲ Κυζικηνοὶ τὸν βασιλέα Ἀδριανὸν τρισκαιδέκατον θεὸν ἀνηγόρευσαν. Οὐ μὴν δὲ ἀλλὰ καὶ αὐτὸς Ἀδριανὸς Ἀντίνοον τὸν ἑαυτοῦ ἐρώμενον ἀπεθέωσε. Ταῦτα μὲν οὖν ὁ τῶν σοφιστῶν ἄριστος Λιβάνιος διασύρει, καὶ γέλωτα καὶ φλήναφον ἡγεῖται. Καὶ ταῦτα εἴπερ τις μάλιστα εἰδὼς τοὺς χρησμοὺς, καὶ τὸ μονόβιβλον ὃ εἰς τὸν Ἀλεξάνδρου βίον ἐπέγραψαν οἱ Ἀλεξανδρεῖς. Ὁ δὲ οὐκ ἐγκαλύπτεται πρὸς τοῖς εἰρημένοις ἀποθεῶν καὶ Πορφύριον· Ἵλεως γὰρ, φησὶν, εἴη ὁ Τύριος γέρων· ἅτε δὴ D προκρίνων τὰ τοῦ βασιλέως τῶν ἐκείνου βιβλίων. Καὶ ταῦτα διεξῆλθον, εἰ καὶ παρεκβατικώτερον, διὰ τὴν ὕβριν Λιβανίου τοῦ σοφιστοῦ, ἣν κατὰ τῆς ἡμετέρας ἐξηρεύξατο πίστεως· κἂν ἐς ὕστερον καὶ τοῦτον λόγος ἔχῃ, ταῖς συνουσίαις Βασιλείου τοῦ θεοῤῥήμονος τὴν οἰκείαν δεισιδαιμονίαν καταλιπεῖν, καὶ τὰ Χριστιανῶν ἑλέσθαι.

(1) Eviravit omnes Veneri vagæ pueros. Varr.

(2) *Quid loquar Antinoum, cælesti sede locatum?*
Illum delicias nunc divi Principis, illum
Purpureo in gremio spoliatum sorte virili,
Adrianique Dei Ganymedem, non cyathos diis
Porgere, sed medio recubantem cum Jove fulcro,
Nectaris Ambrosii sacrum potare lyæum,
Cumque suo in templis vota exaudire marito?
(Prudent. lib. I *Contra Symmachum*.)

(6) Ὁ Ἀδρίας εἰς τὸν Ἀλέξανδρον βίον ἐπέγραψεν. Socrat. lib. III, cap 23. Quem Adrianus *De vita Alexandri* inscripsit. Fortasse enim pro Adria, legendum *Adrianus*.

ΚΕΦΑΛ. ΛΖ'. A

Ἐκ τοῦ δευτέρου κατὰ Ἰουλιανοῦ στηλιτευτικοῦ λόγου Γρηγορίου τοῦ θεοῤῥήμονος περὶ τοῦ ἤθους, καὶ τρόπου, καὶ διαπλάσεως, καὶ τοῦ θανάτου καὶ ταφῆς τοῦ Ἰουλιανοῦ.

Ἐγὼ δ' ὁποῖος ἦν Ἰουλιανὸς τόν τε τρόπον καὶ τὸ ἦθος καὶ τὴν πλάσιν τοῦ σώματος, καὶ ὁποίαν ἔσχε τὴν τελευτὴν, καὶ ὡς ἀποθεοῦν ἑαυτὸν εἵλετο, οὐκ ἄλλον ἀξιόπιστον παρέξομαι μάρτυρα ἢ τὸν πολὺν καὶ μέγαν ἐν θεολογίᾳ Γρηγόριον, αὐτῷ τε συγγενόμενον, καὶ σύναμα τοῖς διδασκαλείοις φοιτήσαντα, καὶ ὡς οὐκ οἶδ' εἴ τις ἕτερος τὰ κατ' ἐκεῖνον εἰδότα, καὶ ὡς χρεὼν διαπαίξαντά τε καὶ στηλιτεύσαντα. Ἐν γοῦν τῷ δευτέρῳ *Στηλιτευτικῷ* Ἰουλιανοῦ καὶ κατὰ Ἑλλήνων τοιάδε περὶ τούτου κατὰ λέξιν φησί· « Ταῦτα τοῖς μὲν ἄλλοις ἡ πεῖρα παρέστησε, καὶ ἡ δυναστεία προσλαβοῦσα τὴν ἐξουσίαν· ἐμοὶ δὲ καὶ πόῤῥωθεν τρόπον τινὰ ἑωρᾶτο, ἐξ οὗ τῷ ἀνδρὶ συνεγενόμην Ἀθήνησιν· ἦλθε γὰρ κἀκεῖσε, ἄρτι τῶν κατὰ τὸν ἀδελφὸν αὐτοῦ νεωτερισθέντων πρὸς βασιλέα, τοῦτο αὐτὸ παραιτησάμενος. Διττὸς δὲ αὐτοῦ τῆς ἐπιδημίας ὁ λόγος· ὁ μὲν εὐπρεπέστερος, καθ' ἱστορίαν τῆς Ἑλλάδος καὶ τῶν ἐκεῖσε παιδευτηρίων· ὁ δὲ ἀποῤῥητότερος καὶ οὐ πολλοῖς γνώριμος, ὥστε τοῖς ἐκεῖ θύταις καὶ ἀπατεῶσι περὶ τῶν καθ' ἑαυτὸν συγγενέσθαι, οὔπω παῤῥησίαν ἐχούσης τῆς ἀσεβείας. Τότε τοίνυν οὐ φαῦλος ἐγὼ τοῦ ἀνδρὸς εἰκαστὴς οἶδα γενόμενος, καίτοι γε οὐ τῶν εὖ πεφυκότων περὶ ταῦτα εἷς ὤν· ἀλλ' ἐποίει με μαντικὸν ἡ τοῦ ἤθους ἀνωμαλία, καὶ τὸ περιττὸν τῆς ἐκστάσεως, εἴπερ μάντις ἄριστος ὅς εἰκάζει καλῶς. Οὐδενὸς γὰρ ἐδόκει μοι σημεῖον εἶναι χρηστοῦ, αὐχὴν ἀπαγὴς, ὦμοι παλλόμενοι καὶ ἀνακοπτόμενοι, ὀφθαλμὸς σοβούμενος καὶ περιφερόμενος καὶ μανικὸν βλέπων, πόδες ἀστατοῦντες καὶ μετοκλάζοντες, μυκτὴρ ὕβριν πνέων καὶ περιφρόνησιν, προσώπου σχηματισμοὶ καταγέλαστοι τὸ αὐτὸ φρονοῦντες, γέλωτες ἀκρατεῖς καὶ βρασματώδεις, νεύσεις καὶ ἀνανεύσεις σὺν οὐδενὶ λόγῳ, λόγος ἱστάμενος καὶ κοπτόμενος πνεύματι, ἐρωτήσεις ἄτακτοι καὶ ἀσύνετοι, ἀποκρίσεις οὐδὲν τούτων ἀμείνους, ἀλλήλαις ἐπεμβαίνουσαι καὶ οὐκ εὐσταθεῖς, οὐδὲ τάξει προϊοῦσαι παιδεύσεως. Τί ἂν τὰ καθ' ἕκαστον γράφοιμι; Τοιοῦτον πρὸ τῶν ἔργων ἐθεασάμην, οἷον ἐπὶ τῶν ἔργων ἐγνώρισα. Καὶ εἴ μοι παρῆσάν τινες τῶν τηνικαῦτα συνόντων καὶ ἀκουσάντων, ἐμαρτύρησαν ἄν· οἷς ἐπειδὴ ταῦτα ἐθεασάμην, εὐθὺς ἐφθεγξάμην, οἷον κακὸν ἡ Ῥωμαίων γῆ τρέφει· καὶ προαγορεύσας, καὶ γενέσθαι ψευδόμαντις ἐμαυτῷ κατηυξάμην. Κρεῖσσον γὰρ ἢ τοιούτων πλησθῆναι τὴν οἰκουμένην κακῶν· καὶ τοιοῦτον ἀναφανῆναι τέρας, οἷον οὔπω πρότερον· πολλῶν μὲν ἐπικλυσμῶν θρυλλουμένων, πολλῶν δὲ ἐμπρησμῶν καὶ βρασμῶν γῆς καὶ χασμάτων· ἔτι δὲ καὶ ἀνδρῶν ἀπάνθρωποι καὶ θηριώδεις, ἀλλοκότων τε καὶ συνθέτων φύσεις καινοτομηθεῖσαι. Ταύτης τοι καὶ τέλος ἄξιον ἀπηνέγκατο τῆς ἀπονοίας. Οὐχ εἷς δὲ περὶ τούτου λέγεται λόγος· ἄλλος δὲ ἄλλῳ συντίθεται καὶ συμφέρεται, τῶν τε παρόντων ὁμοίως

CAPUT XXXVII.

Ex secunda Gregorii Theologi in Julianum invectiva, de ingenio, moribus, gestu corporis, morte et sepultura Juliani.

91 Verum quali morum consuetudine et corporis statu Julianus fuerit, quomodo vitam finierit, et seipsum deum facere voluerit, non locupletiorem adducere testem possum, quam magnum illum in theologia Gregorium, qui cum illo vixit, easdemque scholas frequentavit, et res ejus melius quam alius quisquam perspectas habuit, easdemque pro eo atque par fuit, risit, atque in *Invectivis* suis traduxit. Igitur in Invectiva secunda contra Julianum et Græcæ religionis sectatores, de eo hæc refert : B « Atque hæc quidem aliis experientia et potentia potestatem adepta exhibuit : mihi vera quodammodo longius antea sunt cognita, ex quo tempore Athenis cum homine fui. Venit namque eo quoque non ita multo post, quam frater ejus novas fuerat contra imperatorem res molitus, culpam eam a se amoliens. Et duplicem præ se perfectionis Atticæ tulit causam : alteram quidem honestiorem, ut Græciæ res cognosceret, et scholas Atticas videret : alteram autem occultiorem, et paucis notam, ut sacrificulis ibi et seductoribus de rebus eis quibus maxime studebat, daret operam, impietate tanta nondum apertam obtinente libertatem. Tum igitur non malum me, viro eo cognoscendo, conjectorem esse memini. Et quamvis non unus ex C eis essem, qui in tali arte sunt egregii, tamen me vatem effecit morum ejus inæquabilitas, et stupor maximus : siquidem qui bene conjectat vates, is perhibetur optimus. Non boni sane hominis indicia mihi esse visa sunt, cervix non consistens, humeri quos subinde jactaret ac reduceret mobiles : oculi errabundi et vagi, furibundumque quiddam cernentes : **92** pedes instabiles, et genibus nutantes : nasus contumeliam et contemptum spirans : vultus deridiculus, et idem vitium secum ferens : risus immoderatus, et corpus cachinno concutiens : nutus sive annuens seu renuens, ratione carens : sermo consistens, et respiratione concisus : interrogationes incompositæ, et ineptæ : responsiones nihilo illis meliores, aliæ aliis imminentes, sibi- D que minime constantes, neque ab institutione liberalioris doctrinæ provenientes. Sed quid ego singula commemorem? Talem eum ante actiones ejus esse vidi, qualem in actionibus ipsis cognovi. Ac si mihi adessent, qui tum mecum fuere, et me audiere, testes illi essent, postquam ista vidi, statim me dixisse : Deus bone, quantum malum Romanum fovet imperium? Prædixique adeo ista, et me falsum vatem esse optavi. Et melius profecto id fuisset, quam ut sic orbis noster tantis oppleretur malis, et tale in eo exsisteret portentum et prodigium, quale antea nunquam : cum quidem multa aquarum vulgatæ sint eluviones, multæ exustiones, multæ concussiones, et hiatus terræ, præterea hominum inhumanæ et feræ species, monstrosæ-

que et mistæ novo prorsus et insolito modo naturæ. Verum dignum quoque tanta vecordia et importunitate exitum tulit. De quo non una exstat opinio, quod alii aliud dicant et circumferant, tam qui pugnæ affuerunt, quam qui ab ea longius abfuerunt. Quidam, a Persis eum jaculo confossum esse dicunt, cum temere incompositis excursionibus, non sine stoliditate nunc huc nunc illuc perequitans, uteretur. Sunt qui tale quiddam de eo memorant. In tumulum eum editiorem conscendisse, ut quasi e specula exercitum lustraret, et quantum ex eo bello copiarum superesset, cognosceret. Atque cum ingens ei, speque adeo sua amplior multitudo esse visa esset, ita eum dixisse: Quam grave futurum est, si omnes isti in Romanorum ditionem reducentur? Quo ejus verbo, tanquam illis salutem invidentis militem quemdam qui id excepit, commotum, quod iram non perferret, nulla salutis suæ ratione habita, ense latus ejus perfodisse (1). Alii porro id ausum esse dicunt, ex Barbaris ridiculum quemdam ex eis hominem, qui exercitum, ut in mœrore solatio, et in compotationibus ludibrio sint, sequi solent. Nonnulli etiam cædis ejus laudem Saraceno cuidam tribuunt. **93** Verum utcunque se res habeat, vulnus quidem certe ille lethale accepit, orbi universo lætum et salutare. Et ictu uno multorum extorum, quibus male crediderat, persolvit pœnas. Mirum sane est, quomodo vanus ille, qui per aruspicinam omnia se nosse putavit, unum hoc, plagam scilicet extorum et viscerum suorum non perspexerit. Cæterum illud quoque hominis factum minime prætereundum videtur, quod inter alia multa maximum dæmoniacæ ipsius mentis est indicium. Jacebat in fluminis littore, graviter ex vulnere laborans, et quod multos ante se gloriam esse consecutos sciret, ita ut plus quam homines atque adeo dii esse crediti sint, propterea quod arte quapiam ex hominum numero sublati fuerint: ejuscemodi et ipse laudis atque opinionis amore captus, simul quod eum hujusmodi mortis generis et turpitudinis, in quam per inconsultam temeritatem inciderat, puderet: quid rogo molitur, et quid agit? neque enim cum vita etiam improbitas exstinguitur. Conjicere se in amnem conatur: in cœpto tam arcano fidis quibusdam adjutoribus, et perinde atque in re quapiam divina, sacerdotibus usus. Et nisi ex imperialibus eunuchis quidam consilio eo deprehenso, aliisque propter flagitii odium communicato, impetum talem prohibuisset, exstitisset ex ea clade apud imperitos homines novus Deus. Et quæ deinde sequuntur: mortuum eum mimi et homines ridiculi, cum omni scenica fœditate duxerunt, funusque ejus prosecuti sunt, tibiis canentes, et saltitantes, religionisque abjurationem, belli cladem, et mortem ipsam probrose ei objicientes. Quid enim mali passus non est? quid vero non audivit earum rerum, quas genus id hominum juveniliter audet? quod injuriam pro arte habet:

A τῇ μάχῃ καὶ τῶν ἀπόντων. Οἱ μὲν γὰρ αὐτὸν ὑπὸ Περσῶν κατηκοντίσθαι φασὶν ἀτάκτοις ἐκδρομαῖς χρώμενον, καὶ ᾄττοντα τῇδε κἀκεῖσε σὺν ἐμπληξίᾳ· οἱ δὲ τοιοῦτόν τινα ἐπ' αὐτῷ διηγοῦνται λόγον· Ἐπί τινα λόφον τῶν ὑψηλῶν ἀνελθὼν, ὡς ἐκ περιωπῆς τὸν στρατὸν ὄψει λαβεῖν, καὶ ὅσος ὑπελείφθη τῷ πολέμῳ μαθεῖν. Ἐπειδή οἱ φανῆναι πολὺ τὸ πλῆθος καὶ τῆς ἐλπίδος ἀφθονώτερον, Ὡς δεινὸν, εἰπεῖν, εἰ πάντας τῇ Ῥωμαίων γῇ τούτοις ἐπανάξομεν· ὡς ἄν τις βασκαίνων αὐτοῖς τῆς σωτηρίας. Ἐφ' ᾧ τινα τῶν στρατιωτῶν χαλεπήναντα καὶ οὐ κατασχόντα τὴν ὀργὴν, ὦσαι κατὰ τῶν σπλάγχνων τὸ ξίφος, ἀλογήσαντα τῆς σωτηρίας. Ὡς δὲ ἄλλοι τῶν γελοιαστῶν βαρβάρων τινὰ τοῦτο τολμῆσαι· οἳ τοῖς στρατιώταις ἕπονται, λύπης τε ψυχαγωγία καὶ πότοις ἥδυσμα. B Εἰσὶ δὲ οἳ καὶ Σαρακηνῶν τινι τὸ κλέος τοῦτο διδόασι. Πλὴν δέχεται πληγὴν κα[illegible]ν ὄντως καὶ παντὶ τῷ κόσμῳ σωτήριον· καὶ μιᾷ τόλμῃ πολλῶν σπλάγχνων ἀπαιτεῖται δίκην κακῶς πιστευθέντων. Ὃ καὶ θαυμάζω, πῶς πάντα γινώσκειν ὁ μάταιος ἐντεῦθεν οἰόμενος, ἓν τοῦτο, τὴν καθ' ἑαυτοῦ σπλάγχνων πληγὴν ἠγνόησεν. Ἄξιον δὲ μηδὲ τοῦτο παραδραμεῖν τοῦ ἀνδρὸς, μεγίστην τῆς ἐκείνου κακοδαιμονίας ἐπὶ πολλοῖς ἔχον ἀπόδειξιν. Ἔκειτο μὲν ἐπὶ τῇ ὄχθῃ τοῦ ποταμοῦ, καὶ π[illegible]ήρως εἶχε τοῦ τραύματος. Πολλοὺς δὲ εἰδὼς τῶν πρὸ αὐτοῦ δόξης ἠξιωμένων, ὡς ἂν ὑπὲρ ἄνθρωπον νομισθεῖεν, τέχναις τισὶν ἐξ ἀνθρώπων ἀφανισθέντας, καὶ διὰ τοῦτο θεοὺς νομισθέντας, ἔρωτι τῆς αὐτοῦ C δόξης ἑαλωκὼς, καὶ ἅμα τῷ τρόπῳ τῆς τελευτῆς διὰ τὸ τῆς ἀβουλίας ἄδοξον αἰσχυνόμενος, τί μηχανᾶται καὶ τί ποιεῖ; οὐδὲ γὰρ τῷ βίῳ συναναλίσκεται πονηρία. Ῥίψαι κατὰ τοῦ ποταμοῦ πειρᾶται τὸ σῶμα· καὶ πρὸς τοῦτο ἐχρῆτό τισι τῶν πιστῶν ἑαυτῷ συνεργοῖς καὶ μύσταις τῶν ἀποῤῥήτων. Καὶ εἰ μὴ τῶν βασιλικῶν εὐνούχων τις τὸ πρᾶγμα αἰσθόμενος, καὶ τοῖς ἄλλοις καταμηνύσας, μίσει τοῦ κακουργήματος τὴν ὁρμὴν διεκώλυσε, κἂν ἐφάνη τοῖς ἀνοήτοις Θεὸς νέος ἐξ ἀτυχήματος· τὰ δ' ἑξῆς μῖμοι γελοίων ἦγον αὐτὸν, καὶ τοῖς ἀπὸ τῆς σκηνῆς αἴσχεσιν ἐπομπεύετο καταυλούμενός τε καὶ κατορχούμενος, καὶ τὴν ἄρνησιν καὶ τὴν ἧτταν καὶ τὸ τέλος ὀνειδιζόμενος. Καὶ τί γὰρ οὐ πάσχων κακὸν, τί δὲ οὐκ ἀκούων, οἷς οἱ τοιοῦτοι νεανιεύονται, τέχνην τὴν ὕβριν D ἔχοντες; ἕως ἡ Ταρσέων αὐτὸν ὑποδέχεται πόλις, οὐκ οἶδ' ὅπως καὶ ἀνθ' ὅτου τὴν ὕβριν ταύτην κατακριθεῖσα. Ἔνθα δέ οἱ τέμενος ἄτιμον καὶ τάφος ἐξάγιστος καὶ ἀπόπτυστος, καὶ οὐδὲ θεατὸς εὐσεβῶν ὄψεσιν· ὡς δὲ ἐγώ τινος ἤκουσα, μηδὲ τῷ τάφῳ προσλαμβανόμενος, ἀλλ' ὑπὸ τῆς σεισθείσης δι' αὐτοῦ γῆς ἀποσειόμενος καὶ ἀναβρασσόμενος· προοίμιον τῆς ἐκεῖσε οἶμαι κολάσεως. Ὁ μὲν οὖν οὕτω βασιλεύσας, οὕτω δὲ στρατηγήσας, οὕτω καὶ τὸν βίον αἰσχρῶς καταλείπει. »

(1) Apud Socratem est, Julianum equo insidentem, et quidem propter rerum secundarum spem et fiduciam inermem, cum circum militares copias obequitaret, eas ad fortitudinem cohortando, ex improviso hasta percussum esse quæ brachium et latus ejus perfoderit.

donec eum Tarsensis urbs excepit, nescio quomodo, aut quam ob causam ad contumeliam talem condemnata. Ibi ille tumulum habet inhonoratum et sepulcrum exsecrandum maxime et despuendum, neque pii alicujus oculis conspiciendum. Et sicuti ego quidem de quopiam audivi, ne sepulcrum quidem eum recepit: verum quæ ejus causa commota est terra, cadaver ejus excussit atque rejecit, ut hoc sit futurorum suppliciorum quasi quoddam præludium. Et quidem sic qui imperaverit, sic bellum gesserit, sic quoque turpiter vitam finivit.»

ΚΕΦΑΛ. ΛΗ'.

Περὶ τῆς βασιλείας τοῦ εὐσεβοῦς βασιλέως Ἰοβιανοῦ ἐν Περσίδι.

A

Οἱ δέ γε στρατιῶται καὶ στρατηγοὶ τῇ ἑξῆς βασιλέα ἀναδεικνύουσιν Ἰοβιανὸν, ἄνδρα ἐπιφανῆ τά τε ἄλλα καὶ τὴν εὐσέβειαν καὶ τὸ εἶδος, τυραννίδος ὡς ἀληθῶς ἄξιον· ὃς χιλίαρχος ὢν πρότερον, ὁπηνίκα Ἰουλιανὸς τοῖς στρατευομένοις αἵρεσιν προὐτίθει, ἢ θύειν ἢ τὴν ζώνην ἀποτίθεσθαι, τὸ δεύτερον ᾑρεῖτο μᾶλλον ἢ τοιοῦτον ἀσεβὲς ἐπίταγμα ἐκπληροῦν. Ὁ μὲν οὖν βασιλεὺς, τῇ τοῦ ἐπικειμένου πολέμου βίᾳ, οἷάπερ στρατηγὸν ἄριστον, σὺν τοῖς λοιποῖς ἦγεν αὐτόν· τότε δὲ εἰς τὸ βασιλεύειν μεταξὺ τῆς πολεμίας ἅτε δὴ τῶν ἄλλων διαφέρων αἱρεθεὶς, παρῃτεῖτο τὴν ἡγεμονίαν, καὶ τὰ τῆς βασιλείας οὐ προσίετο σύμβολα, λέγων μὴ δύνασθαι βασιλεύειν
B ἀνδρῶν Ἑλληνίζειν μαθόντων, ἐν Χριστιανοῖς ἐκεῖνος τελῶν· εἰσότε δὴ κοινῇ φωνῇ Χριστιανοὺς εἶναι σφᾶς ὡμολόγησαν. Ἐν μέσῳ δὲ τῷ πλάνῳ καὶ τῇ ταραχῇ τῶν πραγμάτων ἀπολειφθεὶς, τῆς στρατιᾶς ἐκ τῆς πρὸ αὐτοῦ στρατηγίας ἐμπλήκτου καμνούσης τῇ σπάνει τῶν ἐπιτηδείων, ἔγνω δεῖν καὶ ἀναγκαῖον εἶναι πρὸς συμβάσεις χωρεῖν. Καὶ δή τινα τῶν ὑποτελῶν Ῥωμαίοις παραδοὺς Πέρσαις, τήν τε Σύρων ἀρχήν φημι καὶ τὴν ἐν Μεσοποταμίᾳ Νίσιβιν, ἐπὶ συνθήκαις τὰ τοῦ πολέμου διέλυεν· ἀπρεπῶς μὲν Ῥωμαίοις πράξας, ἀναγκαίως δ' ὅμως, ὥσπερ οὐ βασιλείας, ἀλλ' ἥττης κληρονόμος γενόμενος· ὡς εἴγε μὴ τοῦτ' ἔπραττε (καὶ Πέρσαι μετριάζειν εἰδότες, καὶ ὅρῳ τὴν εὐπραγίαν μετρεῖν, ἢ καί τι ἕτε-
C ρον δείσαντες εἰς συμβάσεις ἐτράποντο, καὶ ταῦτα φιλανθρώπους οὕτω καὶ ἀδοκήτους)· οὐδὲν ἐκώλυε μηδὲ πυρφόρον, τὸ τοῦ λόγου, ὑπολειφθῆναι. Νῦν δ' ὁ μὲν βιαζόμενος διασῶσαι νεῦρα τῇ Ῥωμαίων ἀρχῇ, ἐπὶ συνθήκαις οὕτως αἰσχραῖς τε καὶ ἀναξίαις συνέβαινεν ἀβουλίᾳ μᾶλλον τοῦ πρὸ αὐτοῦ στρατηγήσαντος ἢ σφῶν αὐτῶν ἀνανδρίᾳ· καί γε ἀγνώμων παρ' ἐμοὶ κριτῇ γένοιτο, ὃς ἐκεῖνον ἀφεὶς, τούτῳ τὰ τῆς μέμψεως ἐπιγράφοι· ὁ γὰρ στάχυς τοῦ σπείραντος μᾶλλον ἢ τοῦ θερίσαντος· καὶ ὁ ἐμπρησμὸς οὐ τοῦ σβέσαι μὴ δυνηθέντος, ἀλλὰ τοῦ καθάπαξ ἐμβαλόντος. Καὶ τὸ τοῦ Ἡροδότου, « Τοῦτο τὸ ὑπόδημα ἔρραψε μὲν Ἱστιαῖος, ὑπεδήσατο δὲ Ἀρισταγόρας. »

94 CAPUT XXXVIII

De imperio pii imperatoris Joviniani, in Perside.

Postridie autem et milites et exercitus duces Jovinianum imperatorem renuntiant, virum cum rebus aliis, tum vera pietate illustrem, prorsusque forma et statura corporis imperio dignum; qui tribunus antea fuerat, cum Julianus optionem militibus offerret, ut vel diis sacrificarent, vel cingulum militiæ et dignitatis deponerent. Atque ille alterum hoc facere maluit, quam impiæ jussioni parere. Julianus porro necessitate quod tantopere urgebat belli adductus, secum hunc, ut ducem optimum, cum aliis in Persidem duxit. Tum autem in hostili regione, ut aliis præstantior, imperator lectus, dignitatem eam rejecit, et insignia imperatoria non recepit: non posse se dicens, qui Christianus sit, imperare viris, qui græcissare, superstitionesque sectari didicissent; donec una omnes voce Christianos se esse sunt professi. Cæterum in errore medio et rerum turba a Juliano relictus, quod exercitus priore imperio consternatus esset, rerumque necessariarum inopia premeretur, necessitatem sibi impositam esse cognovit, ut bellum pacificatione transigeret. Quapropter loca quædam quæ Romanis tributa pensitabant, Syriæ scilicet imperium, et quæ in Mesopotamia est Nisibim, ex pactis conventis, Persis concessit, et bellum id solvit[2]. Quod quidem non e dignitate imperii ille, necessario tamen fecit, ut qui non imperii, sed cladis hæres esset Ac nisi hoc fecisset, et nisi Persæ moderate se gerentes, et prosperum rerum successum certo fine claudentes, aut aliud quippiam metuentes, conditiones pacis tam humanas et inopinatas proposuissent, nihil profecto obstitisset, quin ex eo bello ne ignifer quidem quod aiunt, incolumis evasisset. Quare necessitate adactus, ut nervos suos Romano imperio conservaret, conditionibus turpibus atque indignis cum hostibus decidit: temeritate magis proxima imperatoris, quam sua aut militum suorum timiditate: me quidem judice periniquus fuerit, qui illo relicto, culpam ejus pacificationis in hunc conferat. Seges enim satoris potius quam messoris est: et incendium non ejus qui id exstinguere possit, sed qui id semel excitarit, esse creditur: 95 quodque apud Herodotum est, « Calceum quidem istum consuit Histiæus, induit autem Aristagoras.»

(1) Gregorii Nazianzeni hæc verba sunt.
(2) Theodoritus tricennales inducias pactas esse scribit.

CAPUT XXXIX.

Ut Jovinianus episcopis exsulantibus exsilium remiserit, et ut statu Christianorum sacra in ecclesiis honorifice restituerit, et idolorum cultum aboleverit.

Imperator Jovinianus experientia edoctus, divina vindicta Julianum gravibus malis afflictum esse, ad omnes ubique præsides scripsit, ut cunctos libere rem divinam facere, conventus cogere, et Deum ex animo colere paterentur et ut una in imperio Romano observaretur fides et religio, Christianorum videlicet, juraque pristina ecclesiis reddidit. Et quæcunque clero, viduis et virginibus dudum a Constantino et filiis ejus, divini cultus augendi gratia concessa legibusque firmata, a Juliano autem propter summum ejus in fidem nostram odium, pessimo consilio adempta et accisa fuerant, privilegia et beneficia restituit. Ad præfectum prætorio quoque generalem dedit constitutionem, ut deinceps capitaliter in eum animadverteretur, qui sacram virginem, non dicam rapere, sed attentare tantummodo, jungendi matrimonii causa, aut oculos impudicos ei adjicere auderet. Eamque legem ut promulgaret, adductus est, quod homines quidam improbi atque impudici, scelestas atque incestas hujusmodi nuptias, vel vi illata, vel persuasione adhibita, virginibus corruptis, contraxerant; sub Juliani imperio, impotenti consuetudine et fœda libidine flagitia talia audere permittente, et religione tum nostra periclitante. Itaque ecclesiæ Dei rursum sunt apertæ: Græcorum autem templa clausa, et ipsi dii terræ cavernas et recessus subiere. Et qui ad id usque tempus vilibus palliis usi fuerant, ad communem rediere vestitum. Quæ publice fieri consueverant libationes et sanguinariæ contaminationes, quibus sub Juliano ad satietatem abusi erant, finem suum habuere. Quicunque autem episcopi ab Juliano revocati ab exsilio non erant, tum reducti, domum quisque suam rediit.

ΚΕΦΑΛ. ΛΘ'.

Ὡς Ἰοβιανὸς ἀνῆκε τὰς ἐξορίας τοῖς ἐπισκόποις, καὶ τὰ πρώην ἔθιμα ταῖς τῶν Χριστιανῶν ἐκκλησίαις αὖθις ἐβράβευσε· τὰ δὲ τῶν εἰδώλων ἠφάνιζεν.

Ὁ δὲ βασιλεὺς Ἰοβιανὸς διὰ πείρας γνοὺς τῷ πρὸ αὐτοῦ βασιλεῖ τὰ δεινὰ ἐπισκῆψαι Θεοῦ κατὰ μῆνιν, τοῖς ἁπανταχοῦ ἡγεμόσιν ἔγραφεν, ἐᾷν ἀδεῶς πάντας θρησκεύειν, καὶ ταῖς ἐκκλησίαις ἀθροίζεσθαι, καὶ τὸ θεῖον θερμῶς θεραπεύειν, καὶ μόνην ἡγεῖσθαι πίστιν ἐν πάσῃ τῇ ἀρχομένῃ τὴν τῶν Χριστιανῶν. Καὶ τὰ πρὶν ἔθιμα ταῖς ἐκκλησίαις ἀφίησι· τοῖς τε κλήροις καὶ χήραις καὶ παρθένοις, ὅσα ἦσαν ἐξ ἀρχαίου προνόμια ἐπί τε Κωνσταντίνου καὶ τῶν παίδων ἐκείνου ἐπ' ὠφελείᾳ τῆς θρησκείας δωρηθέντα τε καὶ νομοθετηθέντα, Ἰουλιανὸς δὲ μίσει τῆς πίστεως προσαφείλετο, κακοσχόλῳ γνώμῃ περιαιρήσας, εἴασεν αὖθις. Τῷ δὲ τὴν ὕπαρχον ἀξίαν ἐπιτετραμμένῳ γενικὴν ἐτίθει νομοθεσίαν εἰς κεφαλὴν τιμωρεῖν, τὸν τοῦ λοιποῦ ἱερὰν παρθένον μνᾶσθαι ἑλόμενον, ἢ ἀκόλαστον ὄψιν ἐπιβάλλειν τολμῶντα, μήτοι γε διαρπάζειν ταύτην πειρώμενον. Τὸ δὲ προήχθη νομοθετεῖν, ὅτιπερ ἄνδρες δή τινες μοχθηροὶ καὶ ἀκόλαστοι γάμους τοιούτους ἀκολάστους ἐτέλεσαν, βίαν ἐπιβαλόντες ἢ καὶ πειθοῖ τινι προσφθαρέντες, τοῦ Ἰουλιανοῦ βασιλεύοντος· τῆς ἀκολάστου διαίτης, τῆς τ' αἰσχρᾶς ἐπιθυμίας τοιαῦτ' ἐπιτρεπούσης τολμᾷν, τῆς θρησκείας δυσπραγούσης. Αἱ μὲν οὖν ἐκκλησίαι τοῦ Θεοῦ ἠνοίγοντο, τὰ δὲ ἱερὰ τῶν Ἑλλήνων αὖθις ἐκλείοντο· αὐτοὶ δ' ὑπὸ μυχοῖς γῆς θεοὶ κατεδύοντο. Οἱ δὲ τοῖς τρίβωσι χαίροντες εἰς τὸ κοινὸν μετετίθεντο σχῆμα. Ἡ δὲ δημοσίᾳ γινομένη σπονδὴ, καὶ ὁ δι' αἵματος μολυσμὸς, ἔληγεν· οἷς κατακόρως ἐπὶ Ἰουλιανοῦ ἀπεχρήσαντο. Ὅσοι δὲ τῶν ἐπισκόπων μὴ ἔφθασαν ὑπὸ Ἰουλιανοῦ ἀνακληθῆναι, μετεστέλλοντο ἤδη, καὶ οἴκαδε ἕκαστος ἵετο.

96
CAPUT XL.

Ut Joviniano etiam Macedoniani Antiochiæ libellum supplicem obtulerint; et ut synodus ibidem Nicænam fidem approbarit, confessionemque suam scriptam ad imperatorem miserit.

Paulo deinde post, ecclesiarum præsides quæstiones de dogmatibus rursus moverunt. Nam sub Juliani imperio, quod fides omnino periclitata esset, quieti omnes esse perseveraverant: communiter precibus Deum, ut religionem a tanta liberaret tyrannide, implorantes. Ita enim quodammodo natura hominum fert, ut inter se quietem, aliunde eis discrimine imminente, cives agitent: at si pacem cum exteris habeant, seditiones domi concitent. Sed enim ecclesiarum antistites, quod principis pietatem nossent, præoc-

ΚΕΦΑΛ. Μ'.

Ὡς ἐπὶ τούτου καὶ οἱ Μακεδονιανοὶ ἐν Ἀντιοχείᾳ παρὰ Μελετίῳ γενόμενοι, τὴν ἐν Νικαίᾳ πίστιν κυροῦσιν, ἔγγραφον τὴν ὁμολογίαν ταύτης διαπεμψάμενοι βασιλεῖ.

Οὐ πολλῷ δ' ὕστερον τοῖς τῶν ἐκκλησιῶν προεστῶσιν αἱ περὶ δογμάτων ζητήσεις αὖθις κεκίνηντο. Καὶ γὰρ ἐπὶ τῆς Ἰουλιανοῦ ἀρχῆς ὡς εἰς τὸ παντελὲς κινδυνευούσης τῆς πίστεως, ἅπαντες ἡσυχῇ διετέλουν κοινῇ τὸν Θεὸν ἱλεούμενοι τῆς τοσαύτης ἀπαλλάττεσθαι τὴν θρησκείαν τυραννίδος. Καὶ γάρ πως οὕτω φίλον τῇ ἀνθρωπίνῃ φύσει, ἠρέμα πρὸς τὸ ὁμόφυλον διακεῖσθαι, ὑφ' ἑτέρων πειραζομένῃ, δεῖν δ' ἀπηλλαγμένοις τῶν ἔξωθεν, πρὸς σφᾶς αὐτοὺς διαστασιάζειν. Καὶ δὴ τοῖς τῶν ἐκκλησιῶν προεστῶσι, τὸ εὐσεβὲς τοῦ ἄνακτος ἐγνωκόσι, προτρέ-

(1) Constitutione publice proposita, Jovinianus restitui ecclesiis annonam jussit. Verum quod fames gravior propter Juliani impietatem tum grassaretur, et frumentum ægre penderetur, τριτημόριον, *hoc est, tertiam* ejus partem clero exhiberi curavit. Quamprimum autem fames sævire desiisset, integrum se frumenti numerum eis præbiturum est pollicitus. (Theodoritus, lib. IV, cap. 4.)

(2) L. *Si quis*. C. De episc. et cler.

χειν ἦν σπουδή. Πᾶσι γὰρ ἐδόκει τὸν βασιλέα τῇ σφετέρᾳ πίστει προσθήσεσθαι, παρ' αὐτοῦ τε τὴν κατὰ τῶν δοκούντων αὐτοῖς ἀντιπάλων παῤῥησίαν ὑπάρξειν νομίζοντες. Ὁ δ' ἐξ ἀρχῆς τῇ ὁμοουσίου πίστει προσέκειτο· καὶ πᾶσι τοῦτο περιφανῶς ὡμολόγει. Καὶ πρῶτοι πάντων παρῆσαν Μακεδονιανοί· οἳ τῶν μὲν Ἀνομοίων καλουμένων τὴν αἵρεσιν ἀπεστρέφοντο, τὸ δὲ ὁμοιούσιον ἀντὶ τοῦ ὁμοουσίου ἐδέχοντο· οἳ καὶ βιβλίον βασιλεῖ δόντες, χάριν ἔχειν ὡμολόγουν Θεῷ τῆς αὐτοῦ ἕνεκεν ἡγεμονίας· ᾔτουν δὲ τοὺς τὸ ἀνόμοιον δογματίζοντας τῶν ἐκκλησιῶν ἀπελαύνεσθαι, αὐτοῖς δ' ἐπιτρέπειν αὐτάς. Πρὸς δὴ τούτοις ἢ τὰ ἐν Ἀριμίνῳ καὶ Σελευκείᾳ κύρια μένειν, καὶ τὰ βίᾳ παρά τινων γεγενημένα ἀργεῖν· ἢ τοῦ πρώην σχίσματος μένοντος, ἐπιτρεπτέα γε εἶναι τοῖς ἁπανταχοῦ ἐπισκόποις ὅπη βούλοιντο συνελθεῖν, μή τινος κοσμικοῦ κοινωνοῦντος· καὶ μὴ εἰς πέρας προβαίνειν, εἴ τις ἐν μέρει τι πράττειν ἕλοιτο, ἢ ἀπατᾷν, ὥσπερ ἐπὶ Κωνσταντίου συνέβη. Ἐδήλουν δὲ μηδὲ εἰς τὸ στρατόπεδον ἀφικέσθαι, ἵνα μὴ δι' ὄχλου εἶεν. Εἰ δ' ἐπιτρέψειε βασιλεύς, ἀσμένως ποιεῖν ἅπαντα δαπάναις καὶ ὑποζυγίοις τοῖς οἴκοθεν. Οἱ δὲ τὸ βιβλίον βασιλεῖ δόντες ἦσαν οὗτοι· Βασίλειος ὁ Ἀγκύρας, Σιλβανὸς Ταρσοῦ, Σωφρόνιος Πομπηϊουπόλεως, Παυσίνικος Ζήλων, Λεόντιος Κομάνων, Καλλικράτης Κλαυδιουπόλεως, Θεόφιλος Κασταβάλων, καὶ ἕτεροι. Ὁ δὲ βασιλεὺς τὸ βιβλίον δεξάμενος, οὐδὲ ἀποκρίσεως ἀξιοῖ, τοῦτο μόνον φθεγξάμενος· « Ἐγὼ τὴν μὲν φιλονεικίαν μισῶ· τοὺς δὲ τὴν ὁμόνοιαν ἀσπαζομένους λίαν ἀγαπῶ καὶ τιμῶ. » Ὃ δὴ καὶ τὰς τῶν ἄλλων φθάσαν εὐθὺς ἀκοὰς, τὸ ἔντονον τῆς φιλονεικίας ἐχάλα, καὶ τὰ κατὰ σκοπὸν τῷ βασιλεῖ ἔπραττον. Ὅ τε φιλόνεικος αὐτῶν, τῶν περὶ Ἀκάκιον λέγω, τρόπος ἠλέγχετο, καὶ ὡς ἀεὶ πρὸς τὸ δοκοῦν τοῖς κρατοῦσιν ἀπέκλιναν, ἐμφανῶς ἔδειξαν· ἐπειδὴ γὰρ τὸν Ἀντιοχείας Μελέτιον ἐπὶ πλεῖστον βασιλεῖ διὰ τιμῆς ὄντα ἑώρων, ἐκεῖ γὰρ τηνικαῦτα διέτριβεν· εἰς λόγους ἐκείνῳ ἐλθόντες, πείθουσι σύνοδον ἐν Ἀντιοχείᾳ πάλιν γενέσθαι. Ἦν δὲ Μελέτιος οὗτος, ὃς μικρῷ πρόσθεν αὐτῶν χωρισθεὶς, τῷ ὁμοουσίῳ προσέθετο. Καὶ τοίνυν ἐς ταυτὸ συνελθόντες ἐν Ἀντιοχείᾳ τῶν Σύρων, τὴν ἐν Νικαίᾳ βεβαιοῦσι πίστιν, καὶ κυροῦσι, τὸ ὁμοούσιον ἀναμφηρίστως δοξάζειν τὸν Υἱὸν τῷ Πατρί. Κοινωνοὶ δὲ τῆς συνόδου ταύτης καθίσταντο ὁ εἰρημένος θεῖος Μελέτιος, τὴν τῆς Ἀντιόχου ἔχων ἐπιτροπήν· Εὐσέβιός τε ὁ Σαμοσάτων, Πελάγιος Λαοδικείας τῆς Σύρων, καὶ Ἀκάκιος ὁ Καισαρείας τῆς Παλαιστίνης, καὶ Εἰρηνίων ὁ Γάζης, καὶ ὁ Ἀγκύρας Ἀθανάσιος, διὰ Ὀρφίτου καὶ Ἀετίου πρεσβυτέρων, Τῖτος Βόστρων, Θεότιμος Ἀράβων, Λουκιανὸς Ἀρκῶν, καὶ ἕτεροι πλεῖστοι καὶ ἐλλόγιμοι ἄνδρες. Ταῦτα δὲ πράξαντες, καὶ τῷ βασιλεῖ τὰ ἐγνωσμένα αὐτοῖς διαπέμπονται, γράψαντες οὕτως· « Τῷ εὐσεβεστάτῳ καὶ θεοφιλεστάτῳ ἡμῶν δεσπότῃ Ἰοβιανῷ, Νικητῇ Αὐγούστῳ, ἡ τῶν ἐν Ἀντιοχείᾳ συνελθόντων ἐπισκόπων ἐκ διαφόρων ἐπαρχιῶν σύνοδος τὴν ἐκκλησια-

A cupandum sibi cum esse studio magno putabant. Et pro se quisque omnes, imperatorem ad factionis suæ fidem accessurum, proindeque se illius auctoritate majorem libertatem contra eos qui sibi adversari viderentur, habituros esse credebant. At ille jam inde ab initio τοῦ ὁμοουσίου consubstantialis professioni addictus fuerat, et id tum manifeste præ se tulit. Primi omnium affuere Macedoniani, qui quidem hæresim eorum qui ἀνόμοιοι, hoc est, dissimiles, dicebantur, rejiciebant, et τὸ ὁμοιούσιον similem substantia pro τοῦ ὁμοουσίου consubstantiali, recipiebant. Et libellum ii imperatori obtulerunt, in quo Deo gratias de imperio ejus agebant: ac deinceps petebant, ut eis qui dissimile asserebant, ex ecclesiis expulsis, ipsis illæ gubernandæ B committerentur. Præterea ut vel ea quæ Arimini et Seleuciæ statuta fuerant, firma manerent: et quæ a nonnullis per vim contra ea acta erant, irrita essent: vel priore schismate atque dissidio durante, episcopis omnibus quocunque vellent loco convenire liceret. In quo conventu ne quis sæcularis adesset, neve finem suum consequeretur, si quis seorsim quidquam egisset, aut fallere instituisset, sicuti sub Constantio factum esset, rogarunt. Illud quoque significarunt, se citra principis voluntatem, in aulam et comitatum imperialem, ne molesti esse viderentur, non venturos. Sin id eis permitteretur, perlibenter id facturos esse sumptibus et jumentis propriis, ostenderunt. 97 Qui vero principi ita supplica- C runt, fuere, Basilius Ancyranus, Sylvanus Tarsensis, Sophronius Pompeiopolitanus, Pausinicus (1) Zelorum, Leontius Comanorum (2), Callicrates Claudiopolitanus, Theophilus Castabalenus, et alii. Imperator libello supplici accepto, responsum eis non dedit, sed illud tantum dixit: ego contentionis studium odi, concordiæ autem assectatores unice amplector et colo. » Quod dictum ubi ad aliorum quoque aures pervenit, intentionem contentionis laxavit, et ut imperatoris consilium succederet, effecit. [Altercationis namque studium, eorum qui Acacii auctoritatem sequebantur, et semper opiniones suas ad principum arbitrium aperte accommodabant, deprehensum est. Nam cum D Meletium Antiochiæ episcopum apud imperatorem, qui tum ibi erat, in magno pretio esse viderent, cum eo collocuti, ut rursum Antiochiæ synodus celebraretur, effecere. Meletius autem is fuit, qui paulo ante ab eis sejunctus, ad τοῦ ὁμοουσίου consubstantialis professionem accesserat. Itaque concilio Antiochiæ Syrorum coacto, Nicænam fidem, ut scilicet citra controversiam ὁμοούσιος Consubstantialis Patri Filius diceretur, stabiliunt atque confirmant. In ea synodo fuere, divus, quem diximus, Meletius Antiochenus antistes, Eusebius Samosatenus, Pelagius Laodiceæ Syrorum, Acacius Cæsareæ Palæstinæ, Irenion Gazæ, Athana-

(1) Socrates habet, *Pasinicus*.

(2) Zela et Comana, oppida Cappadociæ. Plin.

sius Ancyræ, per Orphitum et Actium presbyteros, Titus Bostrensis, Theotimus Arabum, Lucianus Arcorum, atque alii plures (1) episcopi, viri insignes. Ea re acta, ad imperatorem quoque quæ decreverant ad hunc modum scripsere: « Piissimo, Dei amantissimo Domino nostro Joviniano, Victori, Augusto, quæ Antiochiæ episcoporum ex diversis provinciis convenit synodus. Quod pietas tua, princeps, ecclesiasticam pacem et concordiam conciliare studuerit, et ipsi probe novimus, Dei amantissime imperator. Quod vero et caput ejuscemodi unionis esse formam veræ et rectæ fidei eadem bene perceperit, et id quoque non ignoramus. Quapropter ne et nos inter eos recenseamur, qui dogmata veritatis adulterando depravant, ad pietatem tuam referimus, **98** nos dudum celebratæ sanctæ Nicænæ synodi fidei professionem recipere, atque tenere. Et quod in ea quibusdam peregrinum et insolens videtur esse verbum ὁμοούσιον, consubstantiale, id nos, certam a patribus accepisse dicimus interpretationem. Significat id enim, ex substantia Patris Filium esse genitum, et similem esse substantia Filium Patri. Neque enim quasi perpessio quæpiam, in ineffabili generatione intelligitur: neque juxta usum aut consuetudinem aliquam Græcorum, substantiæ verbum accipitur. Sed ad Arium, qui ex non exsistentibus nobis Filium impie producere ausus est, evertendum, id usurpatur. Quemadmodumet nunc qui exorti sunt ἀνόμοιοι, hoc est, dissimiles, graviore adhuc audacia et temeritate ad ecclesiasticam concordiam pessumdandam, impudenter feruntur. Relationi autem huic nostræ etiam subjunximus exemplum ipsius Nicænæ fidei, ab ipsis qui eam promulgarunt episcopis editæ: quam sane et complectimur. Est autem talis: Credimus in unum Deum patrem omnipotentem: et reliqua ipsius formulæ, sine mutatione omni, ita ut convenit, allegata. Atque episcopi quidem qui Antiochiæ convenerant, hæc decreverunt, disertis verbis Nicænam fidem confirmantes.

A στικὴν εἰρήνην τε καὶ ὁμόνοιαν. Ὅτι σου καὶ πρώτη πρεσβεύειν ἐσπούδακεν ἡ εὐσέβεια, εὖ ἴσμεν καὶ αὐτοὶ, θεοφιλέστατε βασιλεῦ· ὅτι δὲ κεφάλαιον τῆς τοιαύτης ἑνότητος τῆς ἀληθοῦς καὶ ὀρθοδόξου πίστεως καλῶς ὑπείληφας τὸν χαρακτῆρα, οὐδὲ τοῦτο ἀγνοοῦμεν. Ἵνα τοίνυν μὴ μετὰ τῶν παραχαρασσόντων τὰ δόγματα τῆς ἀληθείας τετάχθαι νομιζώμεθα, ἀναφέρομεν τῇ σῇ εὐλαβείᾳ, ὅτι τῆς ἁγίας συνόδου τῆς ἐν Νικαίᾳ πάλαι πρότερον συγκροτηθείσης τὴν πίστιν, καὶ ἀποδεχόμεθα καὶ κατέχομεν· ὁπότε καὶ τὸ δοκοῦν ἐν αὐτῇ τισι ξένον ὄνομα, τὸ τοῦ ὁμοουσίου φαμὲν, ἀσφαλοῦς τετύχηκε παρὰ τοῖς Πατράσιν ἑρμηνείας· σημαινούσης ὅτι ἐκ τῆς οὐσίας τοῦ Πατρὸς ὁ Υἱὸς ἐγεννήθη, καὶ ὅτι ὅμοιος κατ' οὐσίαν τῷ Πατρί. Οὔτε δὲ ὡς πάθους τινὸς περὶ τὴν B ἄῤῥητον γέννησιν ἐπινοουμένου, οὔτε κατά τινα χρῆσιν Ἑλληνικὴν λαμβάνεται τὸ ὄνομα τῆς οὐσίας· εἰς ἀνατροπὴν δὲ τοῦ ἐξ οὐκ ὄντων περὶ τοῦ Υἱοῦ ἀσεβῶς τολμηθέντος Ἀρείῳ· ὥσπερ καὶ οἱ νῦν ἐπιφοιτήσαντες Ἀνόμοιοι ἔτι θρασύτερον καὶ τολμηρότερον ἐπὶ λύμῃ τῆς ἐκκλησιαστικῆς ὁμονοίας ἀναισχύντως παῤῥησιάζονται. Συνετάξαμεν δὲ τῇδε ἡμῶν τῇ ἀναφορᾷ καὶ τὸ ἀντίγραφον τῆς αὐτῆς πίστεως τῆς ἐν Νικαίᾳ ὑπὸ τῶν συγκροτηθέντων ἐπισκόπων τεθείσης· ἥντινα καὶ ἀγαπῶμεν. Ἔστι δὲ αὕτη· Πιστεύομεν εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα· καὶ τὰ λοιπὰ τοῦ μαθήματος, ἀπαραλλάκτως ὡς χρεὼν εἰρημένα. » Καὶ οἱ μὲν ἐν Ἀντιοχείᾳ συνελθόντες ἱερεῖς τοιάδε ἐπεψηφίσαντο αὐτοῖς ῥητοῖς τὴν ἐν Νικαίᾳ πίστιν κυρώσαντες.

CAPUT XLI.

De sancto Athanasio, ut ab exsilio revocatus, in magno honore apud Jovinianum fuerit, et res ecclesiarum Ægyptiarum denuo cum potestate administrarit.

Tum vero et Athanasius cleri Alexandrini episcopus, de amicorum consilio Antiochiam profectus cum imperatore fuit: atque ibi rebus quas oportuit ei suggestis, Alexandriam rediit. Sunt autem qui dicunt, ab imperatore potius eum evocatum esse, ut illi quæ de religione agenda essent, exponeret. Et cum ibi res Ecclesiæ rite constituisset, et certa apud imperatorem fidei fundamenta jecisset, domum revertisse. Qui autem Antiochiæ Arianorum hæresi præfuit Euzoius, ut opinionis suæ ex eunuchis quidam nomine Probatius Ecclesiæ Alexandrinæ præficeretur, maximo studio contendit. Atque eam ob causam Euzoii suasu Alexandrinus quidam **99** Lucius, presbyter a Georgio creatus, apud imperatorem, Athanasium vehementer criminando detulit, quod temporibus superioribus in episcopatu suo semper reus actus, et a prioribus imperatoribus exsilio ut seditionis

C ΚΕΦΑΛ. ΜΑ'.

Περὶ τοῦ ἁγίου Ἀθανασίου, ὡς τῆς ἐξορίας ἀνακληθεὶς, διὰ τιμῆς πλείστης τῷ Ἰοβιανῷ ἐγένετο· καὶ τῶν κατ' Αἴγυπτον ἐκκλησιῶν αὖθις ἐγκρατὴς κατέστη.

Τηνικαῦτα δὲ καὶ Ἀθανάσιος τοῦ κλήρου τῶν Ἀλεξανδρέων προεστηκὼς, τισὶ τῶν οἰκειοτάτων συμβούλοις χρησάμενος, κατὰ τὴν Ἀντιόχου γενόμενος, τῷ βασιλεῖ συγγίνεται· καὶ τὰ περὶ ὧν ἐχρῆν ὑποθέμενος, ἀνεχώρει αὖθις. Εἰσὶ δὲ οἵ φασιν, ὡς ὁ βασιλεὺς μᾶλλον αὐτὸν μετεστείλατο, ὅσα δὴ πρακτέα τῇ θρησκείᾳ εἰσηγησόμενον. Καὶ δὴ τὰ κατὰ τὴν Ἐκκλησίαν καλῶς διαθέμενος, καὶ τὸ τῆς πίστεως ἀσφαλὲς ἑδράσας τῷ βασιλεῖ, νόστου ἐμέ-D μνητο. Ὁ δὲ τῆς Ἀρειανῶν θρησκείας ἐν Ἀντιοχείᾳ προεστὼς Εὐζώϊος τῆς ἴσης πίστεως σπουδὴν ἐποιεῖτο πλείστην, κἀπὶ τῆς Ἀλεξάνδρου τῶν τινα εὐνούχων προεστηκέναι· Προβάτιος ἦν ὄνομα τῷ εὐνούχῳ. Καὶ δὴ τοῖς περὶ Εὐζώϊον εἰσηγησαμένοις Ἀλεξανδρεύς τις Λούκιος πρεσβυτέρου ἀξίαν ἠμφιεσμένος ἐκ τῶν Γεωργίου χειρῶν ἐς βασιλέα εἰσήγετο· πλεῖστά τε Ἀθανάσιον ἐβλασφήμει, ὡς ἀεὶ γραφὰς ὑπομένων τοῖς πρώην χρόνοις, ὑπερόριος τοῖς πρὸ αὐ-

(1) Eorum nomina sunt apud Socrat. lib. III, cap. 25.

τοῦ βασιλεῦσιν ἐκρίνετο, καὶ ὡς ἅτε δὴ στάσεως καὶ διχονοίας αἴτιον, ἕτερον εἰσάγεσθαι τῇ Ἀλεξάνδρου ἐδεῖτο ἐπίσκοπον. Ὁ δὲ βασιλεὺς, οὐκ ἠγνόει γὰρ ὅσα αὐτῷ μοχθηρῶς οἱ ἐξ Ἀρείου ἐφρόνησαν, ἥκιστα ταῖς κατηγορίαις προσέθετο· ἀμέλει τοι καὶ Λούκιον ἐκέλευεν ἡσυχῇ καθῆσθαι· Προβάτιον δὲ καὶ τοὺς περὶ αὐτὸν εὐνούχους, ὡς αἰτίους γε τῶν τοιούτων καθεστηκότας θορύβων, προσέταττε σωφρονίζεσθαι. Τὸν δ' Ἀθανάσιον τῇ τότε συνουσίᾳ καὶ ἀστειότητι φίλον ἄριστον ποιησάμενος, ἐπ' Αἴγυπτον ἔπεμπε, τὰς ἐκκλησίας καὶ τὸν ἐκεῖσε λαὸν ᾗ ἐδόκει κελεύσας παιδεύειν. Πλεῖστα δέ φασιν ἐπαινέσαι τὸν ἄνδρα τοῦ τε βίου καὶ ἀρετῆς ἕνεκα, καὶ τῶν λόγων, σὺν θαυμαστῇ φρονήσει καλλυνομένων, καὶ τοῖς ἐκείνῳ περὶ τὴν θρησκείαν ὁριζομένοις ἐγγράφως.

ΚΕΦΑΛ. ΜΒ'.

Περὶ τῆς ἐν Ἀλεξανδρείᾳ συνόδου, ἧς τὸν ὅρον ὁ πολὺς Ἀθανάσιος τῷ βασιλεῖ διεπέμψατο· καὶ ὡς ἡ ἐν Νικαίᾳ πίστις πολὺν χρόνον πολεμηθεῖσα, εἰς τὴν προτέραν κατάστασιν ἦλθεν.

Ἀθανάσιος δὲ τὴν Ἀλεξάνδρου μετὰ τιμῆς τῆς προσηκούσης καταλαβὼν, ἐπεὶ βασιλεὺς ἐδήλου ἔγγραφον αὐτῷ πέμπειν τῆς ἀμωμήτου πίστεως τὴν ἀκρίβειαν, σύνοδον τοπικὴν κηρύξας, καὶ τοὺς ἐλλογιμωτέρους τῶν ἐπισκόπων ἀθροίσας, ἀντέγραφε τούτῳ τὴν ἐν Νικαίᾳ πίστιν διατηρεῖν ἀπαράτρωτον, ὡς τοῖς εὐαγγελικοῖς συμβαίνουσαν δόγμασιν. Ἐγὼ δὲ τῆς τῶν ἐντευξομένων ἕνεκεν ὠφελείας, καὶ αὐτὴν ἐκείνην τὴν ἐπιστολὴν, ὡς ἐπὶ λέξεως εἶχεν, ἐνθήσω τῇ συγγραφῇ· ἔστι δὲ αὕτη· « Τῷ εὐσεβεστάτῳ καὶ φιλανθρωποτάτῳ Νικητῇ Αὐγούστῳ Ἰοβιανῷ Ἀθανάσιος καὶ οἱ λοιποὶ ἐπίσκοποι, οἱ ἐλθόντες ἐκ προσώπου πάντων τῶν ἀπὸ τῆς Αἰγύπτου καὶ Θηβαΐδος καὶ Λιβύης ἐπισκόπων· πρέπουσα θεοφιλεῖ βασιλεῖ φιλομαθὴς προαίρεσις καὶ πόθος τῶν οὐρανίων. Οὕτω γὰρ καὶ τὴν καρδίαν ἔχεις ἐν χειρὶ Θεοῦ, καὶ τὴν βασιλείαν μετ' εἰρήνης πολλαῖς ἐτῶν περιόδοις ἐπιτελέσεις. Θελησάσης τοίνυν τῆς σῆς εὐσεβείας μαθεῖν παρ' ἡμῶν τὴν τῆς καθολικῆς Ἐκκλησίας πίστιν, εὐχαριστήσαντες ἐπὶ τούτῳ Κυρίῳ, ἐβουλευσάμεθα πάντων μᾶλλον τὴν παρὰ τῶν Πατέρων ὁμολογηθεῖσαν ἐν Νικαίᾳ πίστιν ὑπομνῆσαι τὴν σὴν θεοσέβειαν. Ταύτην γὰρ ἀθετήσαντές τινες, ἡμῖν μὲν ποικίλως ἐπεβουλεύσαντο, ὅτι μὴ πειθόμεθα τῇ Ἀρειανῇ αἱρέσει· αἴτιοι δὲ γεγόνασιν αἱρέσεως καὶ σχισμάτων τῇ καθολικῇ Ἐκκλησίᾳ. Ἡ μὲν ἀληθὴς καὶ εὐσεβὴς εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πίστις φανερὰ πᾶσι καθέστηκε, καὶ ἐκ τῶν θείων Γραφῶν γινωσκομένη τε καὶ ἀναγινωσκομένη· ἐν ταύτῃ γὰρ οἱ ἅγιοι τελειωθέντες, ἐμαρτυρήθησαν, καὶ νῦν ἀναλύσαντές εἰσιν ἐν Κυρίῳ· ἔμεινε δὲ ἡ πίστις ἀβλαβὴς· εἰ μὴ πονηρία τινῶν αἱρετικῶν παραποιῆσαι ἐτόλμησεν. Ἄρειος γάρ τις καὶ οἱ σὺν αὐτῷ διαφθεῖραι ταύτην, καὶ ἀσέβειαν ἐπεισαγαγεῖν κατ' αὐτῆς ἐπεχείρησαν, φάσκοντες ἐξ οὐκ ὄντων, καὶ κτίσμα, καὶ ποίημα καὶ τρεπτὸν εἶναι τὸν Υἱὸν τοῦ Θεοῦ. Καὶ πολλούς τε ἐν τούτοις

A et discordiæ auctor multatus fuerit, et proinde alium Alexandrinis episcopum dari petiit. Jovinianus autem, quem non latebat Arianos hostili plane in illum esse animo, criminibus eis minime motus, Lucium quietum esse, Probatium autem et reliquos ejus eunuchos, veluti turbæ talis auctores, modestius se gerere jussit. Athanasium porro cum sibi temporis ejus consuetudine amicissimum fecisset, in Ægyptum remisit, ecclesiasque ei et populum ibi arbitrio suo instituendum commisit. Porro plurimum is virum eum laudasse dicitur, propter virtutem, et vitæ innocentiam, orationis etiam festivæ venustatem, pruden'ia quadam admiranda temperatam: et propter ea quæ B is de religione nostra rite decreta, in scripta retulit.

CAPUT XLII.

De synodo Alexandrina, cujus decretum magnus Athanasius ad imperatorem misit: et ut professio fidei Nicæna multo jam tempore exagitata, in pristinum statum sit restituta.

Sed enim Athanasius Alexandriam cum eo, quo par erat, honore reversus, quod ei imperator significaverat, ut ad se certam irreprehensibilis fidei formulam mitteret, synodo provinciali coacta, et spectatissimis quibusque episcopis ad se evocatis, principi, ut Nicænam fidem inviolatam atque integram, quæ scilicet Evangelicis dogmatibus conC veniat, servaret, rescripsit. Verum nihil obstat, quin utilitatis eorum gratia qui ista legent, epistolam ejus de verbo ad verbum hic apponam. Ea sic habet: « Piissimo et humanissimo Victori Augusto Joviniano, Athanasius et reliqui episcopi, qui nomine omnium Ægypti et Thebaidis et Libyæ convenerunt, episcoporum: Admodum, Dei amantem imperatorem, discendi studium, cœlestiumque rerum desiderium decet. Sic namque cum cor in manu Dei habebis, tum imperium in pace multorum curriculis annorum administrabis. Cum igitur cognoscere a nobis pietas sua catholicæ Ecclesiæ fidem velit, **100** gratiis Deo de tali animo tuo actis, visum nobis est præ omnibus aliis, pietati tuæ a patribus Nicææ promulgatam fidem in meD moriam redigere. Qua nonnulli proculcata, nobis quidem illi varias moliti sunt insidias quod hæresim Arianam sequi noluerimus: auctores autem sectarum et dissidiorum Ecclesiæ universali exstitere. Ipsa sane vera et pia in Dominum nostrum Jesum Christum fides, aperta est et manifesta omnibus, ex divinis Scripturis cognita atque collecta. In qua sancti homines consummati, egregie martyrio sunt defuncti: et nunc corporum vinculis soluti in Domino conquiescunt. Et permansisset illa incorrupta, nisi quorumdam hæreticorum improbitas immutare eam atque depravare fuisset ausa. Arius siquidem, et populares ejus, corrumpere illam, et impietatem adversus eam subintroducere conati sunt: Filium Dei ex non existenti-

...turam facturamque, et mutationi ...e dicentes. Ac multos profecto per ...nt, adeo ut etiam qui viderentur esse ...llorum abrepti sint blasphemiam. Sed ... Patres mature illis obviam euntes, ...nus, concilio Nicææ coacto, Arianam ...resim anathemate confoderunt, catho... et universalis Ecclesiæ fidei professio... ...riptum retulerunt : ut ea ipsa ubique ...ta, suborta exstingueretur hæresis. Et ...est atque celebrata in ecclesia omni. Cæ...um renovare Arianam hæresim nunc quo...entes, nonnulli quidem a Patribus Nicææ ...gatam fidem abrogare audeant, quidam au...æ se quidem obtentu quodam ferant profes...ı ejus, re ipsa vero eam negent, perperam τὸ ...σιον consubstantiale interpretantes, qui blas...ia etiam Spiritum sanctum appetunt, eo quod ...turam eum per Filium factam et conditam esse ...nt : necessario ad pietatem tuam, eam ipsam ...ænam fidei professionem, detrimento eo quod ...hujusmodi blasphemia multi populi capiunt, ...rpenso, mittendam esse duximus, ut pietas tua ...uam accurate ea scripta sit, cognoscat, et quan...um a veritate aberrent, qui præter hanc aliud ...locent, videat. Illud scito, Christianissime Auguste, ...a sæculo hanc esse prædicatam fidem, et hanc ipsam professos esse, qui Nicææ convenere Patres :
101 Atque etiamnum suffragiis suis eam comprobare omnes quæ passim sunt ecclesias, in Hispania, et Britannia, et Gallia, et Germania, et Italia omni, et Campania, et Dalmatia, Mysia, Macedonia, et cuncta Græcia, in Africa tota, in Sardinia, Cypro, Creta, Pamphylia, Lycia, Isauria, in Ægypto omni, Libya, Ponto, et Cappadocia, atque hisce vicinis terris. Ipsas quoque Orientis ecclesias, paucis exceptis quæ cum Arianis sentiunt. Omnium enim earum quas recensuimus comperta nobis est sententia, quod ab eis epistolas habeamus. Et scimus, Dei amantissime Auguste, quamvis pauci quidam fidei isti adversentur, nihil tamen eos præjudicii afferre posse orbi universo. Atque illi longo jam tempore ab Ariana infecti lue, contentione etiam majore nunc veræ resistunt pietati. Et ut pietas tua fidem Nicænam cognoscat, quamvis antea cognitam, attamen sicuti ea a trecentis decem et octo episcopis est promulgata, subjungere litteris hisce voluimus. Est autem talis : Credimus in unum Deum Patrem omnipotentem, omnium visibilium et invisibilium factorem : Et in unum Dominum Jesum Christum, Filium Dei, genitum ex Patre, unigenitum, hoc est, ex substantia Patris, Deum de Deo, lumen de lumine, Deum verum de Deo vero : genitum, non factum, consubstantialem Patri, per quem omnia facta sunt, quæque in cœlis sunt, quæque in terris. Qui propter nos homines, et propter nostram salutem, descendit : et incarnatus homo factus, et passus est : et resurrexit tertia die, ascendit in cœlos, venturus judicare vivos et mor-

A ἠπάτησαν, ὥστε καὶ τοὺς δοκοῦντας εἶναί τι συναπαχθῆναι αὐτῶν τῇ βλασφημίᾳ. Καὶ φθάσαντες μὲν οἱ ἅγιοι Πατέρες ἡμῶν, συνελθόντες, ὡς προεῖπον, ἐν τῇ κατὰ Νίκαιαν συνόδῳ, τὴν μὲν Ἀρειανὴν αἵρεσιν ἀνεθεμάτισαν, τὴν δὲ τῆς καθολικῆς Ἐκκλησίας πίστιν ὡμολόγησαν ἐγγράφως. Ὥστε, ταύτης πανταχοῦ κηρυττομένης, ἀποσβεσθῆναι τὴν ἀναφθεῖσαν αἵρεσιν παρὰ τῶν αἱρετικῶν. Ἦν μὲν οὖν αὕτη κατὰ πᾶσαν ἐκκλησίαν ἀναγινωσκομένη τε καὶ κηρυττομένη. Ἀλλ' ἐπειδὴ τὴν Ἀρειανὴν αἵρεσιν ἀνανεῶσαι βουλόμενοί τινες μὲν αὐτὴν τὴν ἐν Νικαίᾳ παρὰ τῶν Πατέρων ὁμολογηθεῖσαν πίστιν τετολμήκασιν ἀθετῆσαι, τινὲς δὲ σχηματίζονται ὁμολογεῖν αὐτήν, ταῖς δὲ ἀληθείαις ἀρνοῦνται, παρερμηνεύοντες τὸ ὁμοούσιον, καὶ οὗτοι βλασφημοῦντες
B τὸ Πνεῦμα τὸ ἅγιον ἐν τῷ φάσκειν αὐτοὺς κτίσμα εἶναι καὶ ποίημα διὰ τοῦ Υἱοῦ γεγονός, ἀναγκαίως καὶ ἡμεῖς θεωρήσαντες ἐπιδοῦναι τῇ σῇ εὐσεβείᾳ, τὴν ἐν Νικαίᾳ ὁμολογηθεῖσαν πίστιν ἐσπουδάσαμεν· ἵνα γνῷ σου ἡ θεοσέβεια μεθ' ὅσης ἀκριβείας γέγραπται, καὶ ὅσον πλανῶνται οἱ παρ' αὐτὴν διδάσκοντες. Γίνωσκε, θεοφιλέστατε Αὔγουστε, ὅτι αὕτη μὲν ἡ ἐξ αἰῶνος κηρυττομένη· ταύτην δὲ ὡμολόγησαν οἱ ἐν Νικαίᾳ συνελθόντες Πατέρες, καὶ ταύτῃ σύμψηφοι τυγχάνουσι πᾶσαι αἱ κατὰ τόπον ἐκκλησίαι αἵ τε κατὰ τὴν Σπανίαν καὶ Βρεττανίαν καὶ Γαλλίας· καὶ αἱ τῆς Ἰταλίας πάσης καὶ Καμπανίας, Δαλματίας τε καὶ Μυσίας, Μακεδονίας καὶ πάσης Ἑλλάδος, καὶ αἱ κατὰ Ἀφρικὴν πᾶσαι, καὶ Σαρδανίαν,
C καὶ Κύπρον, καὶ Κρήτην, Παμφυλίαν τε καὶ Λυκίαν, καὶ Ἰσαυρίαν, καὶ αἱ κατὰ πᾶσαν Αἴγυπτον, καὶ Λιβύην, καὶ Πόντον, καὶ Καππαδοκίαν, καὶ τὰ πλησίον μέρη, καὶ αἱ κατὰ ἀνατολὰς ἐκκλησίαι παρεξ ὀλίγων τῶν τὰ Ἀρείου φρονούντων. Πάντων γὰρ τῶν προειρημένων τῇ πείρᾳ ἐγνώκαμεν τὴν γνώμην, καὶ γράμματα ἔχομεν, καὶ οἴδαμεν, θεοφιλέστατε Αὔγουστε, ὅτι κἂν ὀλίγοι τινὲς ἀντιλέγωσι ταύτῃ τῇ πίστει, οὐ δύνανται πρόκριμα ποιεῖν πάσῃ τῇ οἰκουμένῃ. Πολλῷ γὰρ χρόνῳ βλαβέντες ὑπὸ τῆς Ἀρειανῆς αἱρέσεως φιλονεικότερον νῦν ἀνθίστανται τῇ εὐσεβείᾳ· καὶ ὑπὲρ γινώσκειν τὴν σὴν εὐσέβειαν, καίτοι γινώσκουσαν, ὅμως ἐσπουδάσαμεν, τὴν ἐν Νικαίᾳ πίστιν ὁμολογηθεῖσαν ὑπὸ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἐπισκόπων ὑποτάξαι. Ἔστι δὲ αὕτη·
D Πιστεύομεν εἰς ἕνα Θεόν, Πατέρα παντοκράτορα, πάντων ὁρατῶν καὶ ἀοράτων ποιητήν· καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστὸν Υἱὸν τοῦ Θεοῦ· γεννηθέντα ἐκ τοῦ Πατρὸς μονογενῆ, τουτέστιν ἐκ τῆς οὐσίας τοῦ Πατρός· Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ· γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί· δι' οὗ τὰ πάντα ἐγένετο, τά τε ἐν τῷ οὐρανῷ καὶ τὰ ἐπὶ τῆς γῆς, τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα, σαρκωθέντα, ἐνανθρωπήσαντα, παθόντα καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ· ἀνελθόντα εἰς τοὺς οὐρανούς, ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς· καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον. Τοὺς δὲ λέγοντας, Ἦν ποτε ὅτε οὐκ ἦν, καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο, ἢ ἐξ ἑτέρας ὑποστάσεως ἢ οὐσίας φάσκοντας εἶναι, τούτους

ἀναθεματίζει ἡ ἁγία καθολικὴ καὶ ἀποστολικὴ Ἐκ- A κλησία. Ταύτῃ τῇ πίστει, θεοφιλέστατε Αὔγουστε, ἐπιμένειν ἀναγκαῖον ὡς θείᾳ καὶ ἀποστολικῇ, καὶ μηδένα μετακινεῖν αὐτὴν πιθανολογίαις καὶ λογομαχίαις, ὅπερ ἐποίησαν ἐξ ἀρχῆς οἱ Ἀρειομανῖται, ἐξ οὐκ ὄντων τὸν Υἱὸν τοῦ Θεοῦ λέγοντες, καὶ ὅτι ἦν ποτὲ ὅτε οὐκ ἦν, καὶ κτιστὸς καὶ ποιητὸς, καὶ τρεπτός ἐστι· διὰ τοῦτο γὰρ, καθὰ προείπομεν, καὶ ἡ ἐν Νικαίᾳ σύνοδος ἀνεθεμάτισε τὴν τοιαύτην αἵρεσιν, τῆς δὲ ἀληθείας πίστιν ὡμολόγησεν. Οὐ γὰρ ἁπλῶς ὅμοιον εἰρήκασι τὸν Υἱὸν τῷ Πατρὶ, ἵνα μὴ ἁπλῶς ὅμοιος Θεοῦ, ἀλλ' ἐκ τοῦ Θεοῦ Θεὸς ἀληθινὸς πιστεύσηται· ἀλλὰ καὶ ὁμοούσιον ἔγραψαν, ὅπερ ἴδιόν ἐστι γνησίου καὶ ἀληθινοῦ Υἱοῦ ἐξ ἀληθινοῦ καὶ φύσει Πατρός. Ἀλλ' οὐδὲ ἀπηλλοτρίωσαν τὸ Πνεῦμα τὸ ἅγιον ἀπὸ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, ἀλλὰ μᾶλλον B συνεδόξασαν αὐτὸ τῷ Πατρὶ καὶ τῷ Υἱῷ ἐν τῇ μιᾷ τῆς ἁγίας Τριάδος πίστει, διὰ τὸ καὶ μίαν εἶναι τὴν ἐν τῇ ἁγίᾳ Τριάδι θεότητα. Τούτοις δὴ τοῖς γράμμασιν ὁ βασιλεὺς ἐντυχὼν, βεβαίως ἡδράσθη, καὶ ἣν εἶχε περὶ τῶν θείων γνῶσίν τε καὶ διάθεσιν ἔδειξε· τοὺς γὰρ δοξάζοντας τὸ ὁμοούσιον δι' αἰδοῦς εἶχε, καὶ δώροις φιλοτίμως ἠμείβετο. Καὶ γὰρ πρόθεσις ἦν ἐκείνῳ, ὥς γ' ἐνῆν, πειθοῖ μᾶλλον ἢ βίᾳ τὴν τῶν διεστιώτων ἀνακόψαι φιλονεικίαν, καὶ μηδενὶ δι' ὄχλου τῶν ὁπωσδήποτε ᾑρημένων πιστεύειν ἔσεσθαι· ἀγάπης δ' ἐλλείπειν μηδὲν, καὶ εἰς τὸ ἀκρότατον τῆς τιμῆς ἔχειν, ὅσοι δὴ ἑνοῦν τὴν Ἐκκλησίαν μᾶλλον σπουδάσωσι. Τοῦτο δὲ οὐ μόνον οἱ Χριστιανοὶ, ἀλλὰ καὶ ὁ παρ' Ἕλλησι περιβόητος Θεμίστιος ὁ φιλόσο- C φος πρᾶξαι αὐτὸν μαρτυρεῖ ἐν τῷ πρὸς αὐτὸν λόγῳ ὃν *Ὑπατικὸν* ἐπιγράφει. Διεξελθὼν γὰρ τὰς ἐκείνου ἀρετὰς, καὶ ὑπερθειάσας μάλα τὸν ἄνδρα, ἐν τούτῳ μᾶλλον ἐξαίρει, οἷς ἀνῆκε θρησκεύειν ἑκάστῳ ὡς βούλοιτο· δι' οὗ φησι καὶ τῶν κολάκων τὴν ἀκόλαστον ἐνίκησε τρόπον· οὓς καὶ διαπαίζων ἀστείως μάλα καὶ περιφανῶς, οἴκοθεν αὐτοὺς διελέγχεσθαι λέγει ἁλουργίδα καὶ οὐ Θεὸν θεραπεύοντας· καὶ κατ' οὐδὲν διαφέρειν Εὐρίπου, νῦν μὲν ἐπὶ τοῦτο, νῦν δ' ἐπ' ἐκεῖνο, καὶ τοὐναντίον τὸ ῥόθιον μεταῤῥέοντος.

tuos. Et in Spiritum sanctum. Eos autem qui dicunt, fuisse aliquando cum non fuerit, et quod ex non exsistentibus factus sit, aut ex alia subsistentia vel substantia, aut quod creatus vel mutabilis vel alterabilis sit, anathemate ferit sancta catholica et apostolica Ecclesia. In hac fide, Dei amantissime Auguste, ut divina et apostolica, necessario acquiescendum. Neque ea a quopiam movenda, aut mutanda venit, persuasionis aut contentionis verbis ullis. Id quod Ariomanitæ primum fecerunt, ex non exsistentibus Filium Dei esse, et fuisse aliquando cum non fuit, et conditum creatumque atque adeo mutationi obnoxium esse dicentes.
102 Quam ob causam etiam, sicuti antea diximus, synodus Nicæna anathemati subjecit hæresim eam, veramque fidem promulgavit. Non enim simpliciter patres illi similem Patri Filium dixerunt, ne simpliciter Deo similis, sed ex Deo Deus verus esse crederetur. Sed et ὁμοούσιον consubstantialem adjecerunt, quod id proprium sit germani, verique ex vero et nativo Patre Filii. Non etiam illi Spiritum sanctum alienarunt a Patre et et Filio, sed potius cum eum Patre et Filio conglorificarunt, in una sanctæ Trinitatis fide, propterea quod una etiam sit in ea ipsa sancta Trinitate divinitas. » Hisce litteris imperator lectis, solide est confirmatus : et quam de rebus divinis obtinuit affectionem et sententiam, aperte statim declaravit. Qui enim consubstantiale professi sunt, eos observavit, et liberaliter muneratus est. Illud quoque is propositum habuit consilium, ut persuasione potius quam vi, inter dissidentes contentionis dirimeret studium : nec cuipiam, qualemcunque tandem consectaretur fidem, molestiam facesseret, neque quidquam ad charitatem summam faceret reliqui. Eis vero qui ad concordiam et unanimitatem Ecclesiam reducere studerent, maximum exhiberet honorem. Id illum fecisse, de eo non solum Christiani, verum etiam qui apud Græcos celebris habetur, Themistius philosophus testatur, in oratione ad eum scripta, quam *Consularem* nominavit. Virtutibus enim ejus commemoratis, divinisque additis laudibus, eo illum nomine potissimum effert, quod unicuique quam vellet, religionem sequi permisit. Qua re illum impotentem adulatorum assentationem fregisse dicit : quos perquam facete et luculenter irridens, ex moribus eorum deprehendi ait, purpuram ipsos magis quam Deum colere : neque aliqua re ab Euripo differre, nunc huc, nunc illuc, atque in contrarium adeo momentum refluente.

ΚΕΦΑΛ. ΜΓ'. D

Ὡς ὁ βασιλεὺς Ἰοβιανὸς ἐν Δαδαστάνοις ἥκων, ἐτελεύτα τὸν βίον, μεγίστη ζημία τοῖς εὐσεβέσι γενόμενος.

Τοῦτον μὲν οὖν τὸν τρόπον ὁ βασιλεὺς τῶν τηνικαῦτα ἐκταράσσειν καὶ ἐρεσχελεῖν τὴν Ἐκκλησίαν ᾑρημένων τὸ θράσος ἀνέσχε· καὶ ἡ ἐν Νικαίᾳ πίστις, οὕτω πολὺν τὸν ἐν μέσῳ χρόνον πολιορκηθεῖσα, ἐπὶ τῆς παρούσης ἡγεμονίας εἰς τὴν προτέραν ἐπανῆλθε δόξαν τε καὶ ὁμολογίαν. Οὐ μὴν ἐπὶ πλεῖστον οὕτω προελθεῖν ἔμελλε, καὶ μὴ τῆς ὁμοίας αὖθις συγχύσεως πειραθῆναι. Καὶ γὰρ οὐδὲ τοῖς ἐπὶ Κωνσταν-

103 CAPUT XLIII.

Ut imperator Jovinianus in Dadastanis, cum magna piorum omnium jactura, vitam finierit.

Ad hunc modum Jovinianus, audaciam eorum qui tum nugamentis suis turbare Ecclesiam constituerant, compescuit. Et Nicæna fides longo, quod intervenit, tempore oppugnata, sub imperio ejus ad pristinam rediit gloriam et professionem. Verum successus is, ne ea ad similem rursus reciderct turbam et confusionem, minime futurus erat diuturnus. Non enim eis rebus, quæ Ecclesiæ sub

Constantio accidere, solis, magni illius patris Antonii divinatio ad exitum suum pervenit : sed reliquum adhuc ad improbitatem explendam aliquid fuit, quemadmodum id postea ærumnæ sub Valentis imperio toleratæ ostenderunt. Priusquam enim sub Constantio Ariani ecclesiis regendis primas obtinerent, in somnis videre sibi visus est admirandus ille et magnus Antonius, mulos cum impetu in sanctius sacrarium inferri, atque ibi salientes calcibusque se petentes, sacram evertere mensam. Cum autem evigilasset, somnium id retulit et exposuit, futurum scilicet, ut adulterinorum monstrorumque dogmatum confusio Ecclesiam Dei occuparet, et alienæ doctrinæ assertorum insultus sacram pessumdaret mensam. Porro non vanam fuisse, aut mendacem visionem, simul et interpretationis ejus prædictionem, quæ deinde subsecuta, et postea etiam imperante Valente acta sunt, satis declararunt. De his satis. Imperator autem Jovinianus celeritate magna Antiochia discedens, Constantinopolim contendebat, et Tarsum cum venisset, Juliani ibi corpus, justis funeralibus peractis, sepeliit : non consulto, sed casu potius quodam et errore, cadavere ejus ex adverso tumulo ei qui Maximini continebat ossa, ita condito, ut via publica utrumque sepulcrum dirimeret. Ibi vero consul quoque renuntiatus, Constantinopolim proficiscens, ad Bosporum venit, in locum cui Dadastana nomen est, Galatiæ, et Bithyniæ limitem : ubi senatus ei occurrit, et quem diximus, Themistius, consularem de eo editam orationem recitavit, **104** quam postea in urbe Constantinopolitana etiam magna cum libertate publicavit. Frigus autem ingens invaluit, et imperator in diversorio quodam avidius copiosiore sumpto cibo, in cubiculo, quod nuper admodum calce erat incrustatum, se confestim ad somnum capiendum composuit. Et quod ex igne largius accenso tepor humorem ex parietibus recens dealbatis eliceret, atque is sensim se per nares insinuans, meatus per quos accipitur et redditur spiritus, obturaret, strangulationem imperatori attulit, unde mors est consecuta. Circiter octo menses in imperio transegit, vir bonus et honestus; sub quo et ecclesiasticæ et publicæ res prosperos habituræ fuerant successus, nisi per adversam prorsus fortunam, repentina mors, quæ illum oppressit, tantum bonum Romanorum imperio invidisset. Obiit autem suo et Varoniani filii, quem nobilissimum Ancyræ in Galatia renuntiaverat, consulatu, decimo septimo mensis Februarii die, cum imperasset, ut dictum est, circiter menses octo; ætatis anno tricesimo tertio. Porro decimus iste historiarum liber triennii tempus complectitur, cum quidem a mundo condito quinquies millesimus octingentesimus septuagesimus quintus (1), a Domini autem nativitate trecentesimus et septuagesimus ageretur annus.

A τίου τῇ Ἐκκλησίᾳ μόνοις συμβᾶσιν ἡ τοῦ μεγάλου πατρὸς Ἀντωνίου πρόῤῥησις ἐπεραίνετο, ἀλλ' ἐλείπετο καί τι πρὸς τὴν τῆς κακίας ἐκπλήρωσιν, ὡς ἔδειξε τὰ ἐπὶ Οὐάλεντος γενόμενα ὕστερον. Λόγος γὰρ ἔχει πρὶν ἢ τοὺς ἐξ Ἀρείου τῶν ἐκκλησιῶν ἐπὶ Κωνσταντίου κατάρξαι, ἰδεῖν κατ' ὄναρ τὸν πολὺν καὶ μέγαν Ἀντώνινον, ἡμιόνους εἰσφρῆσαι τῷ θυσιαστηρίῳ· σκιρτᾷν τε καὶ λακτίζειν ἔνδον, καὶ τὴν ἱερὰν τράπεζαν ἀνατρέπειν. Διυπνισθέντα δὲ φάναι τὸν ὄνειρον ἐπιλύοντα, ὡς νόθων καὶ ἀλλοκότων δογμάτων ἐπιμιξία τὴν Ἐκκλησίαν Θεοῦ καταλήψεται, καὶ ἑτεροδόξων ἐπανάστασις τὴν ἱερὰν κατορχήσεται τράπεζαν. Ἀλλ' ὅτι μὲν ἀψευδὴς ἥ τε θέα καὶ ἡ ἐπὶ ταύτῃ τῆς λύσεως πρόῤῥησις, ἔδειξε τά τε γεγενημένα ἐς ὕστερον, καὶ ὅσα μετὰ ταῦτα ἐπὶ τῆς ἡγε-
B μονίας Οὐάλεντος διεπράχθη. Ταῦτα μὲν οὕτως. Ὁ δὲ βασιλεὺς Ἰοβιανὸς ὅσον τάχος ἐξ Ἀντιοχείας ἀπάρας ὡς ἐπὶ τὴν Κωνσταντινούπολιν καὶ εἰς Ταρσὸν τὴν τῶν Κιλίκων γενόμενος, ἐκεῖ τὸ Ἰουλιανοῦ σῶμα θάπτει, ὅσα ἐπικήδεια νόμιμα ἐκτελέσας· οὐ κατὰ πρόνοιαν δὲ, ἀλλὰ κατά τινα περιφορὰν, ἀντικρὺ τῆς σοροῦ ἣ τὰ Μαξιμίνου κατεῖχεν ὀστᾶ, τὸν νεκρὸν ἐκείνου κατέθετο, λεωφόρου ἀπ' ἀλλήλων τὰς θήκας διατειχιζούσης. Ἐκεῖσε δὲ ὕπατος ἀναγορευθεὶς, ἐπὶ τὴν Κωνσταντίνου τὸ ὅρμημα ἔθετο· κἀκεῖθεν ἐπὶ τὸν Βόσπορον γίνεται, ἔν τινι χώρῳ ὃς μεθόριόν ἐστι Γαλατίας καὶ Βιθυνίας· Δαδάστανα δὲ τῷ χωρίῳ τὸ ὄνομα· ἔνθα καὶ ἡ σύγκλητος αὐτὸν καθυπήντα, καὶ ὁ προῤῥηθεὶς Θεμίστιος τὸν ἐπ' αὐτῷ ἐκδοθέντα
C ὑπατικὸν λόγον ἀνέγνω· ὃν καὶ ἐν Κωνσταντινουπόλει ἐς ὕστερον ἐπεδείξατο ἐπὶ παῤῥησίᾳ πολλῇ. Αὐτὸς δ' ἐκεῖσε χειμῶνος ἐπικειμένου πολλοῦ ἔν τινι καταλύσας σταθμῷ, τροφῆς τε πολλῆς ἀφειδέστερον μετασχὼν, ἐν οἰκίσκῳ τινὶ ἄρτι πρόσφατον ἐκ τιτάνου δεξαμένῳ τὴν κόνιν, πρὸς ὕπνον εὐθὺς κατακλίνεται. Διὰ δὲ τὸ ἀλέαν ἐγγενέσθαι, πυρὸς ἀναφθέντος πολλοῦ, νοτὶς ἐκ τῶν νεοχρίστων τοίχων ἀναδοθεῖσα, ἠρέμα διὰ τῶν ῥινῶν παρεδύετο· καὶ τοὺς ἀναπνευστικοὺς πόρους ἐμφράξασα, εἰς πνιγμονὴν ἐλαύνει τὸν βασιλέα. Καὶ οὕτω διαφθαρεὶς, ἐτελεύτα τὸν βίον, ἀμφὶ ὀκτὼ μῆνας τῇ βασιλείᾳ διαγενόμενος· ἀνὴρ οὕτω καλός τε κἀγαθὸς, ἐφ' ᾧ καὶ τὰ δημόσια καὶ τὰ τῶν ἐκκλησιῶν ἔπραξεν ἂν εὐτυχῶς, εἰ μὴ ἐξαπίνης ὁ θάνατος ἐπιστὰς τοσοῦτον καλὸν
D τὴν Ῥωμαίων δυστυχῆσαι πεποίηκεν. Ἐτελεύτησε δὲ ἐν ὑπατείᾳ αὐτοῦ τε καὶ Βαρωνιανοῦ τοῦ υἱοῦ αὐτοῦ, ὃν ἐν Ἀγκύρᾳ τῆς Γαλατίας ἐπιφανέστατον ἀνηγόρευε, τῇ ἑπτακαιδεκάτῃ τοῦ Φεβρουαρίου μηνός· βασιλεύσας μὲν, ὡς εἴρηται, ἀμφὶ μῆνας ὀκτὼ, ζήσας δὲ τὰ πάντα ἔτη τρία πρὸς τοῖς τριάκοντα. Περιέχει δὲ καὶ ἡ παροῦσά μοι δεκάτη τῶν ἱστοριῶν χρόνον ἐτῶν τριῶν· ὁπηνίκα κόσμου μὲν ἔτος ,εωοε', ἀπὸ δὲ τῆς θείας τοῦ Κυρίου γεννήσεως τριακοσιοστὸν καὶ ἑβδομηκοστὸν ἐπεραίνετο.

(1) Secundum recentiores. 4345.

ΝΙΚΗΦΟΡΟΥ ΚΑΛΛΙΣΤΟΥ

ΞΑΝΘΟΠΟΥΛΟΥ

ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΙΣΤΟΡΙΑΣ

ΤΟΜΟΣ ΙΑ'.

—

NICEPHORI CALLISTI

XANTHOPULI

ECCLESIASTICÆ HISTORIÆ

TOMUS XI.

—

ΚΕΦΑΛ. Α'.

Περὶ διαίτης καὶ πολιτείας τοῦ βασιλέως Οὐαλεντινιανοῦ· ἔτι δὲ καὶ περὶ τοῦ ἀδελφοῦ αὐτοῦ Οὐάλεντος.

A 'Αλλ' οὕτω μὲν ἀποστάτης ἀνῄρηται· οὕτω δὲ καὶ Ἰοβιανὸς ὁ εὐσεβέστατος βασιλεὺς ἐν τοῖς μεθορίοις Γαλατῶν τε καὶ Βιθυνῶν ἐτελεύτα τὸν βίον. 'Εκ δὲ τῆς Γαλατῶν ἑβδομαῖοι καταλαβόντες τὴν Νίκαιαν ὁ στρατὸς, βασιλέα Ῥωμαίων ἀναγορεύουσιν Οὐαλεντινιανόν· ὃς τά τε ἄλλα ἀγαθὸς ὢν ἀνὴρ καὶ τῆς ἡγεμονίας ἄξιος ἐκ Παννονίας εἷλκε τὸ γένος· Κίβαλις δ' ἦν αὐτῷ ἡ πατρίς. Πολὺς δὲ καὶ τὴν τακτικὴν ἐπιστήμην ἐτύγχανεν ἐκ νέου τῇ στρατείᾳ γεγυμνασμένος· χαίρων δὲ μεγαλοψυχίᾳ, ἐσαεὶ τῆς παρούσης τύχης μείζων ἐδόκει. Τηνικαῦτα δ' ἔλαχε παρὼν ἀπὸ τῆς ὑπερορίου φυγῆς. B Καὶ γάρ φασι τοῦτον, ἡνίκα Κωνστάντιος ἐβασίλευσε, τῶν τινα Σιλεντιαρίων ἰδεῖν, πυρὸς φλόγα κατὰ τὸ δειλινὸν τοῦ στόματος ἀφιέντα, ὁπηνίκα μετὰ τροφὴν εἰς ὕπνον ἐτρέπετο· ὃ καὶ Κωνσταντίῳ ἐσήμηνεν· καὶ γὰρ ἔτυχε πέμψας αὐτὸν, ἐκεῖνον δὴ μεταστείλασθαι χρείας καλούσης. Ὁ δὲ βασιλεὺς περιδεὴς γεγονὼς τῇ τοῦ θεάματος ἀγγελίᾳ, παραλυπῆσαι μὲν τὸν ἄνδρα ἥκιστα δίκαιον ἔκρινε· τό γε μὴν δέος αὐτοῦ ἀνακτώμενος, περὶ τὰ τέρματα τῆς Ῥωμαίων ἔπεμπε γῆς, ὥστε φρουρεῖν μὲν τἀκεῖσε, τὰς δὲ τῶν βαρβάρων ἀναστέλλειν ὁρμάς. Λόγος δ' ἐς ὕστερον, καὶ τοῦ καταλόγου τῶν Ἰοβιανῶν ἄρξαι, καὶ συνταγματάρχην τῷ Ἰουλιανῷ καταστῆναι. Ὁπηνίκα δ' ἐκεῖνος ἐπὶ τῶν ὅλων ἐγένετο, αὖθις ἀπελάσαι τοῦτον τοῦ τάγματος, C καὶ ἀϊδίῳ ζημιῶσαι φυγῇ· προφάσει μὲν, ὡς μὴ χρεὼν τὴν ὑπ' αὐτὸν στρατιὰν τοῖς πολεμίοις

109 CAPUT I.

De vita et moribus imperatoris Valentiniani, et de fratre ejus Valente.

Et ita quidem Julianus desertor cæsus est. Ita etiam Jovianus piissimus imperator in finibus Galatiæ et Bithyniæ e vita excessit. Exercitus autem die septima (1), Nicæam venit et ibi Valentinianum Romanorum imperatorem renuntiavit: qui cum rebus aliis bonus vir, tum imperio ipso dignus, Cibali e Pannonia oriundus fuit, rei militaris (ut qui a juvenali ætate in castris vixisset) apprime peritus, animi autem magnitudine præsenti semper fortuna præstantior visus. Affuit vero tum Nicææ ab exsilio reversus. De quo illud fertur, Silentiarium quemdam eum ignis flammam sub Constantio, cum curato corpore cubitum ivisset, circiter vesperam ex ore spirantem vidisse. Silentiarius enim ad accersendum eum negotii cujusdam gratia ab imperatore, cui id etiam indicavit, missus fuerat. Imperator Constantius prodigii ejus nuntio perterritus, **110** offendere quidem et perturbare virum eum iniquum esse censuit. Ut autem timori suo consuleret, ad Romani imperii fines eum misit, ut ibi in præsidio esset, et Barbarorum excursiones prohiberet. Postea quoque legioni Jovianorum (2) præfuisse, et ordinum ductor cum Juliano fuisse traditur. At postquam ille rerum est potitus, dignitate ea spoliatum Valentinianum perpetuo mactasse exsilio dicitur, illo quidem sub prætextu, quod copias sibi commissas non rite in aciem contra hostes duxisset: revera autem, cum Julia-

(1) Februarii 25 die. (Socrates.)

(2) Jovianos Maximianus imperator vocavit milites eos qui fortiter in Illyrico rem gesserant, a Diocletiano Jovio: sicuti alios a seipso Herculianos.

nus in Gallia occidentali adhuc esset, et templum quoddam (1) sacrificii gratia peteret, Valentiniano præsente (vetus enim consuetudo erat, ut qui Jovianæ et Herculianæ, ita ab Jove et Hercule dictis cohortibus præessent, principem a tergo sequerentur) et jam templum ingredientem sacerdos frondibus quibusdam roscidis conspergeret, et gutta una in Valentiniani vestem incideret, quod is factum tale ægre ferens, cum sacerdotem conviciis prosciderit, tum ipso vidente Juliano, ense eam partem vestis, in quam humor ex conspersione ea pervenerat (tanto Christianam pietatem consectabatur ardore) resciderit atque abjecerit. Unde deinceps illi Julianus infensus, non multo post eum condemnatum Melitinæ in Armenia perpetuo exsulare jussit: eam quam diximus prætexens causam, quod milites ejus segniter rem gessissent. Qua in re ei martyrii honorem, quod pro religione Valentinianus subiturus fuerat, invidit. Nam eam ob causam aliis quoque Christianis pepercit, quod eos ex periculis hujusmodi laudem et gloriam consequi animadverteret. Ubi autem Jovianus ad imperium pervenit, ab exsilio est revocatus. Porro Joviano defuncto, Nicææ totius exercitus et eorum maxime qui primarias gerebant dignitates, in primis autem Datii patricii, qui ex Galatia ad eum litteras dederat, Secundi præfecti, Arinthei ducis, et Glaiphi, qui domesticis præfuit, consilio et voluntate imperator est electus. **111** Et cum imperatoris sumptis insignibus in clypeo, militari more, circumferretur, exercitus eum, ut sibi imperii socium asscisceret, rogavit. Atque ille manu eis, ut silerent, innuens, gravi et imperiali sententia, « Vestrum quidem, inquit, fuit ut privatum me ad imperialem extolleretis dignitatem: res autem administrare, non jam vestri, sed principis ipsius arbitrii esse, vos ipsi quoque dixeritis. Itaque vos deinceps imperata facere et quietos esse, me autem, quid facto opus sit, curare decet. » Ac tum quidem militibus non cessit: postquam vero Constantinopolim venit, tricesimo a suscepto imperio die, socium sibi imperii fratrem Valentem adjunxit. Et provincias orientales, et quasdam etiam occidentales ad Illyricum usque fratri concessit: reliquas ad occidentalem Oceanum pertinentes, et continentem ex adverso omnem, usque ad extremos Libyes, sibi attribuit, ut toti imperaret Occidenti. Brevi etiam deinde Gratianum filium adhuc adolescentulum, ad imperium evectum, moribus institutisque suis assuefecit. Sedenim fratres ambo Christiani quidem jam inde ab initio fuere, cultu vero divino et moribus variarunt. Nam Valens, ab Eudoxio Ariano baptizatus, acer fuit dogmatis Ariani æmulator, molestumque ei fuit, quod non omnes eamdem sequi sententiam cogeret. Valentinianus autem, Nicænæ professionis propugnator, ornandos quidem religionis suæ populares duxit,

παραστησάμενον· τὸ δ' ἀληθὲς, ὅτιπερ ἐν τοῖς πρὸς δύσιν Γαλάταις ἔτι ὢν Ἰουλιανὸς, ἐπεὶ πρός τινα νεὼν ἤχεν ὡς θύσων παρόντος καὶ Οὐαλεντινιανοῦ (ἔθος γὰρ ἦν ἐκ μακροῦ τοῦ τῶν Ἰοβιανῶν καὶ Ἐρκουλιανῶν τάγματος ἡγουμένου· στρατιωτικὰ δὲ τάγματα ταῦτα, τὸ μὲν ἀπὸ Διὸς, τὸ δ' ἀφ' Ἡρακλέους τὴν προσηγορίαν κτησάμενα· κατόπιν τῷ βασιλεῖ ἕπεσθαι), ὡς τοῦ νεὼ ἤδη ἐπιβαίνειν ἔμελλε, καθ' Ἕλληνα νόμον τοὺς εἰσιόντας θαλλοῖς τισι διαβρόχοις ῥαίνων ὁ ἱερεύς. Καὶ δὴ μιᾶς τῶν σταγόνων ἐμπεσούσης τῷ ἱματίῳ, Οὐαλεντινιανὸς βαρέως ἤνεγκε, καὶ διελοιδορεῖτο τῷ ῥαίνοντι· ὑπερφυῶς γὰρ τὰ Χριστιανῶν ἠσπάζετο. Καὶ τοίνυν, τοῦ βασιλέως ὁρῶντος, περιελὼν μαχαίρᾳ ὅσον ἐκ τῆς ψεκάδος διάβροχον, τῆς ἐσθῆτος ἀπέῤῥιπτε. Κακῶς δ' ἐντεῦθεν διατεθεὶς Ἰουλιανὸς, οὐ πάνυ πόῤῥω κατεδίκαζεν αὐτὸν τὴν τῆς Ἀρμενίας Μελιτινὴν εἰς τὸ διηνεκὲς κατοικεῖν· πρόφασιν εὑρηκὼς τὴν τῶν περὶ αὐτὸν στρατιωτῶν ῥᾳστώνην. Καὶ γὰρ ἐφθόνει, μὴ διὰ τὴν θρησκείαν τιμῆς αὐτὸν μαρτυρικῆς ἀξιώσειεν· ἐπεί τοί γε καὶ τῶν ἄλλων Χριστιανῶν ἐξ αἰτίας τοιαύτης ἐφείδετο· ἐννοῶν ὡς τοῖς κινδύνοις τὸ εὐκλεεῖς εἶναι πορίζονται. Ὡς δὲ Ἰοβιανὸς τὴν βασιλείαν παρέλαβε, μετάπεμπτον κἀκεῖνον ἐκ τῆς ὑπερορίας ποιεῖται· πρὸς Νίκαιαν δὲ γεγονότος, συμβὰν ἐκεῖνον τὸν βίον ἀπολιπεῖν, βουλῇ τοῦ στρατοπέδου παντὸς, καὶ τῶν τὰς μεγάλας διεπόντων ἀρχὰς, καὶ μάλιστα Δατίου τοῦ πατρικίου ἐκ Γαλατίας διαμηνυσαμένου, Σεκούνδου τε τοῦ ἐπάρχου, καὶ Ἀρινθαίου τοῦ στρατηγοῦ, καὶ Γλαΐφου, τῶν δομεστίκων δ' οὗτος ἡγεῖτο, εἰς τὸ βασιλεύειν αἱρεῖται. Καὶ δὴ τὰ σύμβολα περιθέμενον, καὶ ἐπὶ τῆς ἀσπίδος, ὡς ἔθος, ὀχούμενον, ὁ στρατὸς ἐδεῖτο κοινωνόν τινα τῇ ἀρχῇ προσλαβέσθαι. Ὁ δὲ τῇ χειρὶ σιγᾷν ἐπιτρέψας, ἀτρέμα δὲ καὶ βασιλικῷ τῷ φρονήματι, « Ὑμέτερον μὲν, ἔφη, ἐξ ἰδιώτου ἐμὲ βασιλέα ποιεῖν· τό γε μὴν τὰ πρακτέα διευθετεῖν οὐ τῶν ἀρχομένων, τοῦ δὲ βασιλεύοντος ἡ κρίσις, πάντως ἂν καὶ ὑμεῖς φαίητε. Δεῖ οὖν ὑμᾶς τοῦ λοιποῦ ὑπ' ἀρχὴν ὄντας, ἡσυχίαν ἄγειν· ἐμοὶ δὲ τοῦ ποιητέου μελήσει. » Καὶ τότε μὲν οὐκ εἶξε τοῖς στρατιώταις· ἐν δὲ τῇ Κωνσταντίνου γενόμενος, μετὰ τριάκοντα ἡμέρας τῆς ἀνακηρύξεως προσλαμβάνει τῇ ἀρχῇ καὶ τὸν ἀδελφὸν Οὐάλεντα. Καὶ τὰ μὲν πρὸς ἀνίσχοντα ἥλιον τἀδελφῷ διενείματο, καὶ τῆς ἑσπέρας ἄχρις Ἰλλυριῶν· τὰ δ' ἐκεῖθεν ἐπὶ τὸν ἑσπέριον ὠκεανὸν καὶ Λιβύων, τὴν ἀντικρὺ ἤπειρον ἄχρις ἐσχάτων πᾶσαν ἑαυτῷ ἀπεκλήρωσε, καὶ τῆς Ἑσπέρας ἐβασίλευσε πάσης. Μετ' οὐ πολὺ δὲ καὶ παῖδα Γρατιανὸν ἔτι μειράκιον τῇ βασιλείᾳ ἐπιβιβάσας, πρὸς τὸν ἑαυτοῦ συνήσκει τρόπον. Ἄμφω δὲ τἀδελφὼ Χριστιανοὶ μὲν ἦσαν τὸ ἐξ ἀρχῆς· τήν γε μὴν καὶ θρησκείαν τὸν τρόπον διάφοροι· Οὐάλης μὲν γὰρ τῷ Ἀρειανῷ Εὐδοξίῳ χρησάμενος βαπτιστῇ, διάπυρος ἦν ζηλωτὴς τῶν Ἀρείου δογμάτων, καὶ ἐν δεινῷ ἐποιεῖτο, μὴ πάντας βιάζεσθαι τὰ ἴσα ἐκείνῳ φρονεῖν· Οὐαλεντινιανὸς δὲ τῆς ἐν Νικαίᾳ ὑπεριστάμε-

(1) *Templum* Fortunæ. (Eutrop.)

νος πίστεως, τοὺς ὁμοδόξους ὠφελεῖν μὲν ἐπειρᾶτο, A οὐδὲν δὲ τοῖς ἄλλως δοξάζουσι διηνώχλει. Ἄμφω δὲ περὶ τὴν τῶν ἄλλων πραγμάτων διοίκησιν παραπλήσιοι ἀλλήλοις ὄντες ἐτύγχανον.

ΚΕΦΑΛ'. Β.

Τίνες τηνικαῦτα τῶν μεγάλων πόλεων τὴν ἐπιτροπὴν κατὰ διαδοχὴν ἐκληρώσαντο.

Κατὰ τοῦτον δὲ τὸν χρόνον, τῆς μὲν Ῥωμαίων Ἐκκλησίας τὰς ἡνίας εἶχε Λιβέριος, ὃς Ἰούλιον διεδέξατο· πρὸ ἐκείνου δὲ Σίλβεστρος ἐπὶ Κωνσταντίνου ἡγήσατο. Ἐπὶ δὲ τῆς Ἀλεξάνδρου τῆς μὲν ὁμοουσίου πίστεως ὁ πολὺς Ἀθανάσιος προειστήκει, Γεώργιον καὶ Γρηγόριον τοὺς αἱρεσιώτας διαδεξάμενος· οἷ πάλιν αὐτὸν Ἀθανάσιον, ὃς Ἀλέξανδρον· Ἀλέξανδρος δὲ Ἀχιλλᾶν· ὁ δὲ Πέτρον τὸν B ἐπὶ Μαξιμιανοῦ μαρτυρήσαντα. Τῶν δ' ἐν Ἀντιοχείᾳ τῆς μὲν Ἀρείου θρησκείας Εὐζώϊος ὑπερίστατο· τῆς δὲ ὁμοουσίου πίστεως διχῇ διῄρηντο οἱ προστάται· τῶν μὲν γὰρ Παυλῖνος ἡγεῖτο, τῶν δὲ ὁ θεῖος Μελέτιος. Οὗτοι δὲ τῶν ἐξ Ἀρείου ἦσαν διάδοχοι· ὧν ὁ μὲν προσεχὴς Μελετίῳ Εὐδόξιος ἦν, Λεόντιος δὲ πρὸ ἐκείνου. Πρὸ δὲ τούτου Στέφανος, ὃς Φλάκιτον, Φλάκιτος δὲ Εὐφρόνιον, οὗτος δ' Εὐλάλιον διεδέξατο. Πάντες δ' οὗτοι τῆς Ἀρείου λύσσης ἦσαν ἀνάπλεῳ. Πρὸ δὲ τοῦ Εὐλαλίου Εὐστάθιος ὁ μέγας εὐσεβῶς τῆς Ἀντιόχου ἡγεῖτο, τοῦ μάρτυρος Φιλογονίου διάδοχος· τοῦ δὲ Φιλογονίου προηγεῖτο Βιτάλιος. Τῶν δ' ἐν Ἱεροσολύμοις Κύριλλος ἐπὶ τῶν ἱερῶν οἰάκων αὖθις καθῆστο· ὃς πρῶτον μὲν Μάξιμον διεδέξατο· πρὸ δὲ Μαξίμου ὁ πολὺς Μακάριος C καθηγήσατο. Μακάριος δὲ διάδοχος Ἕρμωνος ἦν· τὸν δὲ Κύριλλον Ἐρέννιος διεδέχετο· ὃν Ἡράκλειος· τὸν δ' Ἱλάριος· τοῦτον δ' αὖθις τὸ τηνικάδε ὁ θειότατος Κύριλλος. Τῶν δὲ τῆς Κωνσταντινουπόλεως ἐκκλησιῶν τηνικαῦτα ἐκράτει Εὐδόξιος, τὴν Ἀρείου δόξαν μάλα πρεσβεύων. Οἱ δὲ τῆς ὁμοουσίου πίστεως ἔνδον τῆς πόλεως οἰκίσκῳ βραχυτάτῳ τὰς συναγωγὰς ἐποιοῦντο. Τῆς δὲ Μακεδονιανῆς θρησκείας ἔτι κατὰ τὰς πόλεις τῶν εὐκτηρίων οἴκων οἱ ἐν Σελευκείᾳ ἐκράτουν, διδαχθέντες ἃ οἱ περὶ Ἀκάκιον. Εὐδόξιος δὲ Μακεδόνιον διεδέξατο· πρὸ δὲ τούτου ὁ ὁμολογητὴς Παῦλος τὴν ἐπισκοπὴν ἐκληροῦτο· τούτου δὲ προῆν ὁ Ἀρειανὸς ἐκ Νικομηδείας Εὐσέβιος. Οὗτος δὲ Ἀλέξανδρον διεδέχετο· ὃς Μητροφάνους D διάδοχος ἐχρημάτιζεν. Οὕτω μὲν τὰ τῶν ἐκκλησιῶν τηνικαῦτα ἐφέρετο.

ΚΕΦΑΛ. Γ'.

Περὶ τῆς ἐν Λαμψάκῳ γενομένης συνόδου· καὶ ὡς ὑπερόριοι οἱ τοῦ ὁμοουσίου ἐγένοντο.

Ἐπεὶ δ' ἡ τῶν ἑσπερίων πραγμάτων φροντὶς ἐπὶ Ῥώμην ἐκάλει τὸν Οὐαλεντινιανὸν, καὶ διὰ τῆς Θρᾴκης ἰὼν ἐπορεύετο· οἱ ἀνὰ τὴν Βιθυνίαν καὶ τὸν Ἑλλήσποντον ἱερεῖς, καὶ ἄλλοι ὅσοι τῷ ὁμοουσίῳ προσέκειντο, Ὑπατιανῷ τῷ τῆς Περίνθου Ἡ-

nihil autem eis molestiæ, qui ab eo dissentirent, intulit. Cæterum in rebus administrandis pares fuere.

CAPUT II.

Qui eo tempore in magnis urbibus ecclesiarum curam per successionem sortiti sint.

Ea tempestate Ecclesiæ Romanæ gubernacula tenuit Liberius, Julii successor. Ante eum autem Sylvester sub Constantino Ecclesiam eam rexerat. Alexandriæ (1) autem consubstantialis professioni magnus præfuit Athanasius, Georgio et Gregorio hæreticis subrogatus : qui tamen et ipsi ei successerant. Ante Athanasium Alexander, ante Alexandrum Achillas, **112** ante hunc Petrus, qui sub Maximiano martyrio est defunctus, episcopus ibi fuit. Porro Antiochiæ Arianis præiit Euzoius. Consubstantialis autem professionis duo erant antistites : alteri namque parti Paulinus, alteri divus præfuit Meletius. Isti autem Arianis successere. Et hujus quidem decessor proximus Eudoxius, illius autem Leontius fuerat. Ante hunc episcopatum ibi gesserat Stephanus, cui præcessit Placitus, Placito Euphronius, Euphronio Eulalius, qui omnes Ariana rabie repleti fuerant. Ante Eulalium magnus Eustathius pie Ecclesiam Antiochenam gubernavit, Philogonii martyris successor : Philogonium vero Vitalis præcessit. Hierosolymis autem Cyrillus denuo episcopalem obtinuit dignitatem, qui primum quidem Maximo successit. Maximum autem magnus Macarius præcessit, Hermonis successor. Cyrillo Erennius substitutus, atque huic rursum Heraclius, Heraclio Hilarius, cui tum rursus divus successit Cyrillus. At Constantinopoli Ecclesiam eo tempore tenuit Eudoxius, magnus Arianæ opinionis propugnator. Consubstantialis autem professores intra urbem in parva domo conventus agebant. Templis Macedonianæ religionis in urbibus, plerisque adhuc tum præfuerunt, qui in Seleucia fidei formulam promulgaverant, eadem quæ Acacius sentientes. Eudoxius Macedonio successerat, Macedonius Paulo confessori, Paulus Nicomediensi Eusebio Ariano, Eusebius Alexandro, quem præcessit Metrophanes. Hic quidem tum Ecclesiarum fuit status.

113 CAPUT III.

De concilio Lampsaceno, et ut in exsilium pulsi sint consubstantialis cultores.

Postquam (2) vero rerum occidentalium cura Valentinianum Romam vocavit, atque is per Thraciam iter fecit, qui in Bithynia et Hellesponto fuere, aliique item episcopi, τοῦ ὁμοουσίου, consubstantialis, fidei addicti, ab Hypatiano Heracleæ

(1) Alexandriæ tum Arianis præiit Lucius. (Socrat.)

(2) Socrat. lib. IV, cap. 2, Macedonianos episcopos synodum istam petiisse a Valente scribit : Valentemque, non gravate, ut ea cogeretur, consensisse, propterea quod existimaverit rem omnem ibi ex sententia Eudoxii et Acacii actum iri.

sive Perinthi episcopo, ut ad imperatorem legatus iret, petierunt, ut episcopos omnes constituendi dogmatis gratia in unum locum convenire juberet. Qui ubi ad imperatorem legationem eam pertulit, imperator (1), « Mihi, inquit, negotiis occupato, et reipublicæ curis distento, res ejusmodi inquirere non facile est. Vos autem, quibus hæc procuratio mandata est, quocunque vultis loco conventum agite, et de rebus omnibus pie deliberate. » Hoc accepto responso, Lampsaci convenere, et duobus mensibus post, de rebus plerisque statuere (erat autem is annus a synodo Seleucena septimus), in primis, ut irrita essent, quæ Constantinopoli Eudoxii et Acacii suggestione sancita erant; atque ut etiam aboleretur ea fidei formula, quæ ibi producta fuerat, perinde atque ab episcopis occidentalibus dictata; cui etiam nonnulli subscripserant, promissione ea adducti, quæ ipsis de abolenda dissimilitudine secundum substantiam facta fuerat, qua tamen in re promissorum mendacio decepti erant. Acquiescendum autem esse sententiæ ei, quæ similem substantia Patri Filium profitetur; quod peropus esset et necessarium, ut in fidei formula ad subsistentias discriminatim significandas verbum ὁμοίου, hoc est, similis, adderetur. Solam vero in Ecclesiis omnibus frequentari debere, quæ Seleuciæ quidem confirmata, antea autem Antiochiæ promulgata esset, fidem, cum in ea urbe ecclesiæ dedicatio est celebrata. Insuper, ut qui sedibus suis ab eis expulsi erant, qui Filium Patri dissimilem esse opinarentur, episcopatus suos reciperent, quod illegitime scilicet ex ecclesiis suis essent deturbati. Quod si quis quemquam de re aliqua accusare vellet, ut ei id facere cum conditione illa liceret, ut idem et ipse subiret periculum. Judices autem inter eos ut essent provinciæ ejus episcopi, sententiam rectam sequentes. Testes autem episcopi ex finitimis producerentur regionibus, quibus cujusque vita probe cognita esset. **114** Hisce decretis factis, Eudoxium sectatoresque ejus evocatos, primum ad facinorum eorum quæ perpetrassent, pœnitentiam invitarunt. Ubi illi autem id contempsere, res actas ad Ecclesias omnes perscripserunt. Cæterum veriti, ne Eudoxius aulam imperialem sibi conciliaret atque ipsis calumniam intenderet, placitum eis est acta Lampsacena ad imperatorem referre. Atque ita Valenti, qui fratrem ad veterem Romam proficiscentem usque ad Illyricum comitatus produxerat, redeunti, ad Perinthum Thraciæ rem omnem exposuere. Verum Eudoxius cum popularibus suis eos prævenerat, et aulæ studia sibi conciliata habebat. Itaque imperator Lampsacenis legatis, ne ab Eudoxio dissiderent, suasit. Atque ubi illi Eudoxii res, quas Constantinopoli atque etiam in synodo Seleuciæ fraudulenter ege-

A ρακλείας ἀρχιερεῖ προσιόντες, ἠξίουν πρὸς βασιλέα πρεσβεύειν, ὥστε προτραπῆναι ἅπαντας εἰς ἓν συνελθεῖν ἐπὶ διορθώσει τοῦ δόγματος. Τοῦ δὲ προσιόντος, καὶ τὴν πρεσβείαν τῶν ἐπισκόπων ἀγγείλαντος, ὁ βασιλεὺς, « Ἐμοὶ, φησὶ, πράγμασιν ἐνειλημμένῳ, καὶ τὰ τοῦ πλήθους ἐπιτετραμμένῳ, οὐκ εὐχερὲς τὰ τοιαῦτα διερευνᾶσθαι. Ὑμῖν δὲ οἷς τοῦτο μέλει, ὅπη βούλεσθε καθ' ἑαυτοὺς γενόμενοι, θεοφιλῶς ἕκαστα διασκέψασθε. » Κατὰ δὴ ταύτην τὴν ἀπόκρισιν ἐς Λάμψακον γεγονότες, ἐπὶ δυσὶ μησὶ τὴν ψῆφον ἐξήνεγκαν· τοῦτο δ' ἦν ἕβδομον ἔτος ἀπὸ τῆς ἐν Σελευκείᾳ συνόδου. Καὶ προηγουμένως μὲν ἄκυρα εἶναι ἐθέσπιζον τὰ ἐν Κωνσταντινουπόλει πεπραγμένα σπουδῇ τῶν περὶ Εὐδόξιον καὶ Ἀκάκιον· καὶ τὴν ἣν ἐκεῖσε προεκόμισαν πίστεως ἔκθεσιν, ὡς τοῖς B ἑσπερίοις ὑπαγορευθεῖσαν ἐπισκόποις· ἣν καί τινας ἔπεισαν ὑπογράψαι ἐπὶ ὑποσχέσει τῆς τοῦ ἀνομοίου κατ' οὐσίαν ἀποκηρύξεως, ὃ διεψεύσαντο ἀθετεῖν· στέργειν δὲ τὸ, ὅμοιον εἶναι κατ' οὐσίαν τὸν Υἱὸν τῷ Πατρί· εἶναι γὰρ ἐπ' ἀνάγκης τὴν τοῦ ὁμοίου προσθήκην διὰ τὴν σημασίαν τῶν ὑποστάσεων· μόνην δὲ πολιτεύεσθαι πίστιν ἁπάσῃ τῇ Ἐκκλησίᾳ, τὴν ἐν Σελευκείᾳ μὲν τὸ κῦρος δεξαμένην καὶ βεβαιωθεῖσαν, πρότερον δ' ἐν Ἀντιοχείᾳ ἐκτεθεῖσαν, ἡνίκα ἡ ἐκεῖσε δὴ Ἐκκλησία τὴν ἀφιέρωσιν ἔσχε. Τοὺς δὲ τῶν θρόνων ἀπωσθέντας παρὰ τῶν ἀνόμοιον τὸν Υἱὸν τῷ Πατρὶ δοξαζόντων ἀναλαμβάνειν αὖθις τὴν ἱερωσύνην, ὡς ἀθέσμως τῶν οἰκείων θρόνων ἀπελαθέντας. Εἰ δέ τις ἄλλο τι αὐτῶν κατηγορεῖν βούλοιτο, τοῦτο πράττειν τὸν ἴσον κίνδυνον ἀναῤῥίC πτοντα· δικαστὰς δ' εἶναι τοὺς ὀρθὰ φρονεῖν ᾑρημένους τῶν ἐπισκόπων τῷ ἔθνει· τοὺς δὲ μάρτυρας ἐκ τῶν πέλας εἶναι ἐπαρχιῶν, οἳ τὰ ἑκάστῳ βεβιωμένα εἰδεῖεν ἂν ἐς ταυτὸ συνιόντες. Ταῦτα διαταξάμενοι, τοὺς περὶ Εὐδόξιον συγκαλοῦντες, μετάνοιαν ἀπῄνουν τῶν πεπραγμένων πρότερον. Ὡς δ' ἥκιστα ἤκουον, ταῖς ἁπανταχοῦ ἐκκλησίαις τὰ πεπραγμένα ἐδήλουν. Ἐν νῷ δὲ θέμενοι τὸν μὴ ὑφ' ἑαυτὸν ποιήσηται τὰ βασίλεια, καὶ ἐς διαβολὴν αὐτῶν καταστаίη, ἔγνωσαν βασιλεῖ τὰ ἐν Λαμψάκῳ γενόμενα ἀναφέρειν. Καὶ δὴ ἐπανιόντι Οὐάλεντι περὶ τὴν ἐν Θρᾴκῃ Πέρινθον ἐντυχόντες, τὰ πεπραγμένα ἐδήλουν. Τῷ γὰρ ἀδελφῷ ἀποδημοῦντι ἐς τὴν πρεσβυτέραν Ῥώμην, μέχρι τῆς Ἰλλυρίδος συνῆλθεν. Ἀλλὰ D προλαβὼν Εὐδόξιος σὺν τοῖς ἀμφ' αὐτὸν, ὡς ἐκείνῳ ἐδόκει διέθετο τὰ ἀνάκτορα. Καὶ δὴ τῶν ἐκ Λαμψάκου πρέσβεων βασιλεῖ προσιόντων, μὴ διαφέρεσθαι πρὸς Εὐδόξιον ἐκείνους ἠξίου. Ὡς δὲ τὴν ἐν Κωνσταντινουπόλει γενομένην ἀπάτην τῷ Εὐδοξίῳ, ἔτι δὲ καὶ τὰ κατὰ τῆς ἐν Σελευκείᾳ συνόδου ἐπῃτιῶντο· εἰς θυμὸν ὁ βασιλεὺς ἐκτραπεὶς, τοὺς μὲν πρέσβεις ὑπερορίαν οἰκεῖν κατεδίκαζε· τοῖς δὲ περὶ Εὐδόξιον τὰς ἐκκλησίας προσέταττε δίδοσθαι. Αὐτὸς δὲ τὴν τῶν Σύρων κατελάμβανεν Ἀντιόχειαν· ἐδεδίει γὰρ, μὴ οἱ Πέρσαι τὰς ἐπὶ Ἰοβιανοῦ τριακον-

(1) Verba hæc apud. Soz. lib. VI, cap. 7, sic habent: Ἐμοὶ μετὰ λαοῦ τεταγμένῳ οὐ θέμις τοιαῦτα πολυπραγμονεῖν. Οἱ δὲ ἱερεῖς, οἷς τούτου μέλει, καθ' ἑαυτοὺς ὅπῃ βούλονται συνίτωσαν. Hoc est: *Mihi, qui laicus sum, talia curiose inquirere fas non est: episcopi vero, quibus hoc est curæ, quo volunt loco conventum agant.*

τούτοις σπονδὰς λύσαντες, τοῖς ἐκεῖσε ἐπίθωνται A μέρεσιν. Ἐκείνων δὲ μηδὲν νεωτεριζόντων, ἐπ' Ἀντιοχείας διατρίβων τὰς ἐκκλησίας ἐτάραττε. Καὶ Μελέτιον μὲν τὸν θεῖον ὑπερορίῳ φυγῇ ἐζημίωσε· τοῦ δὲ Παυλίνου διὰ πολλὴν μετριότητα τοῦ ἤθους ἐφείσατο. Καὶ ὅσοι δὲ Εὐζωΐῳ μὴ κοινωνεῖν ᾑροῦντο, ὑπερορίους ἐποίει· καὶ ἄλλως δὲ ἐπιτρίβων ᾔκιζετο καὶ ἐζημίου ἐς χρήματα.

rat, accusantes reprehenderunt : ira percitus imperator oratores quidem in exsilium egit, ecclesias autem eorum Eudoxii studiosis mandari jussit. Ipse vero Antiochiam Syriæ est profectus. Veritus namque fuerat, ne Persæ, tricennali, quæ sub Joviniano facta fuerat, pace soluta, in regionem eam excurrerent. Porro ubi illi novarum rerum nihil moliri comperti sunt, Antiochiæ mansit, atque ibi Ecclesias turbavit. Nam divum Meletium solum exsilii causa vertere coegit : Paulino autem propter singularem morum modestiam pepercit. Quicunque autem communicare cum Euzoio nollent, eos aut exsilio multavit, aut aliter, verberibus scilicet afficiens et multam eis dicens, male accepit.

ΚΕΦΑΛ. Δ'.

B

Περὶ τῆς τυραννίδος Προκοπίου· καὶ περὶ τοῦ τείχους Χαλκηδόνος, καὶ τοῦ εὑρεθέντος ἐκεῖσε χρησμοῦ· καὶ περὶ τοῦ ἐν Κωνσταντινουπόλει ἀγωγοῦ.

Καί γε εἰς πολλὴν ἂν ὠμότητα προὐχώρει, εἰ μὴ Προκόπιος τυραννήσας πρὸς βραχὺ τῆς ὁρμῆς ἐκεῖνον ἀνέστειλεν. Οὗτος γὰρ εἰς Ἰουλιανὸν τὸ γένος ἀνάγων, ἐπὶ Ἰοβιανοῦ τὸ τυραννεῖν ἐπιβάλλει. Τὴν δὲ Χαλκηδόνα καταλαβὼν, λάθρα τε τὴν Κωνσταντινούπολιν εἰσιὼν, τὴν βασιλείαν ἁρπάζει. Στρατὸν δ' οὐκ ἐλάχιστον ἐν βραχεῖ ἀθροίσας, κατὰ τοῦ κρατοῦντος ἐφέρετο. Οὐάλης δ' ἐκ Συρίας ἐλάσας, περὶ Νακώλειαν τούτῳ συῤῥήγνυται· ἐκεῖθεν δ' ἡττηθεὶς, εἰς Νίκαιαν παραγίνεται. Προδοσίᾳ δὲ τῶν περὶ αὐτὸν ἁλοὺς, Γομαρίου τε καὶ Ἀγγέλωνος, C δεσμώτης Οὐάλεντι παραδίδοται· ξέναις δὲ τιμωρίαις καὶ ἄμφω ἀνῄρηνται· τοὺς μὲν γὰρ πρίοσιν ἀπηνῶς διελὼν, ἀπέκτεινεν, ἐν δευτέρῳ τοὺς ὅρκους θέμενος οὓς αὐτοῖς ὀμωμόκει ὥστ' εὔνους ἐσαεὶ εἶναι. Προκοπίου δὲ δένδρεσι δύο οὐ μακρὰν διεστῶσιν ἐπικάμψας τὰ ἄκρα, ἑκατέρῳ φυτῷ ἑκάτερον προσῆψε σκέλος· ἔπειτ' ἀφῆκεν ἐγείρεσθαι. Τὰ δὲ πρὸς τὴν εἰωθυῖαν στάσιν ἀνορθωθέντα, τὸν ἄνδρα διέσπασε· καὶ οὕτως ὁ τύραννος, διχῇ διαιρεθεὶς, ἀπεφθάρη. Ὁ δὲ βασιλεὺς λύειν τὰ τείχη Χαλκηδόνος τῆς καταντικρὺ Βυζαντίου κειμένης ἐκέλευεν. Ἔφθη γὰρ ἐπαρασάμενος ἑαυτῷ τοῦτο πράξειν νικήσας τὸν τύραννον, ὅτιπερ Χαλκηδόνιοι τυραννικὰ φρονήσαντες, τὴν βασιλέως στοργὴν ἠθέτησαν· προσιόντα γὰρ περιύβρισαν, τὰς τῆς πόλεως αὐτῷ D ἐπιζυγώσαντες πύλας. Τὸ μὲν οὖν τεῖχος τῇ κελεύσει τοῦ κρατοῦντος ἐλύετο· ἐξάπινα δὲ οἱ λίθοι ἐν Κωνσταντινουπόλει πρὸς τὸ δημόσιον λουτρὸν μετεφέροντο Κωνσταντιανόν. Καὶ δὴ λυομένου τοῦ τείχους, ἔν τινι λίθῳ μεταρσίῳ γράμμασι κατὰ βάθος κεχαραγμένος χρησμὸς εὕρηται παλαιὸς διεξιὼν, ὡς ἡνίκα δαψιλὲς ὕδωρ ὑπάρξοι τῇ πόλει, τηνικαῦτα τὸ μὲν τεῖχος ὑπουργήσει λουτρῷ· ἔθνη δὲ μυρία τὴν Ῥωμαίων ἐπελθόντα γῆν, πολλά τε δράσει κακά· τέλος δὲ καὶ αὐτὰ φθαρέντα διόλωνται. Κωλύει δὲ ἄρα οὐδὲν φιλομαθίας χάριν καὶ τὸν χρησμὸν προσθεῖναι τῇ ἱστορίᾳ.

115 CAPUT IV.

De tyrannide Procopii; et de muro Chalcedonis, ibique invento oraculo : et de aquæductu Constantinopolitano.

Et profecto ad graviorem ille feritatem processisset, nisi impetum ejus Procopius, ad tyrannidem aspirans, ad breve tempus inhibuisset. Is namque genus suum ad Julianum referens, et sub Joviniano tyrannidem affectans, Chalcedonem occupaverat, et clam Constantinopolim ingressus, imperium arripuerat. Tum vero, non contemnendo coacto exercitu, adversus imperatorem infestis signis est profectus. Cui Valens ex Syria obviam progressus, circa Nacoliam certamine cum eo est congressus, et victus inde Nicæam pervenit. Sed mox Procopius a proditoribus Comario et Agelone, quos fidos sibi esse putaverat, captus et vinctus Valenti est traditus. In utrumque porro proditorem novo supplicii genere, jurejurando quo se illis benevolum semper fore receperat spreto, animadvertit. Crudelem enim in modum serris dissectos interemit. Procopius autem ad arborum duarum non longe inter se distantium vertices adductos pedibus alligatus, eisdem mox ad naturalem statum suum redire permissis, discerptus est. Sic scilicet tyrannus in duas distractus partes interiit. Imperator autem Chalcedonis, quæ e regione Byzantio sita est, muros dirui jussit : nam id se, sibi ipsi quoque dira precatus, facturum esse tyranno devicto juraverat, propterea quod Chalcedonii tyranni partes secuti, pietatem et fidem imperatori debitam abjecerant. Nam eum, cum ad urbem eam accessisset, contumeliose conviciis proscissum portis clausis exclusere. Mœnia igitur principis jussu diruebantur, et saxa statim Constantinopolim ad publicum lavacrum, quod Constantianum vocatum est, exstruendum transferebantur. Enimvero cum sic murus dirueretur, in sublimi quodam saxo, litteris altius incisis oraculum conscriptum repertum est, illud denuntians : Ubi copiosiore aqua urbs abundatura esset, tum fore ut murus lavacro inserviat; gentes autem innumeræ, Romanorum vastantes imperium, multum afferant detrimenti, tandem vero et ipsæ cæsæ intereant. Sed nihil obstat, quominus studiosorum causa oraculum ipsum hic apponatur.

Ἀλλ' ὅτε δὴ (φησὶ) νύμφαι δροσερὴν κατὰ ἄστυ [χορείην

116 *In media liquidas cum ducent urbe choreas,*

Vitrea volventes lætæ vestigia nymphæ,
Mœniaque excipient trepidante lavacra susurro :
Tum variæ numerum superantia millia gentis
Effera Mavortis sævi spirantia vires,
Undis transmissis flavi resonantibus Istri,
Mysos exscindent armis, Scythicosque colonos.
Atque ubi Threicios fera gens invaserit agros,
Hic illos fatum bellantes opprimet atrox.

Accidit porro postea, ut aquæductus quem Valens exstruxit, plurimum aquæ urbi suppeditaret, et barbaræ nationes maxime adversus Romanos moverentur, sicuti paulo post a me dicetur. Alii oraculum hoc alio accepere modo. Eo enim aquæductu perfecto, Clearchus præfectus urbi in Theodosii foro lavacrum maximum fieri curavit. Id opus, copiosa aqua (1) dictum, cujus gratia urbs anniversarium conventum celebrare est solita : B atque id ipsum obscurius per oraculum verbis hisce significatum esse existimarunt :

In media liquidas cum ducent urbe choreas,
Vitrea volventes lætæ vestigia nymphæ.

Hæc de oraculo. Cæterum cum Chalcedonensium muri, sicuti diximus, frangerentur, cives Constantinopolitani et Bithyni, Nicomedienses et Nicæni, imperatori supplicarunt, ne mœnia tam firma et ampla frustra dirui pateretur. Et ille, quamvis ira plenus, ægre quidem, attamen precibus eorum acquievit : et juramento quod debebat, tribuens, diruendo simul et restaurando minoribus aliis saxis structuram eam restituit; quod opus ad finem quoque suum est perductum. Hæc C mœnibus Chalcedoniorum accidere (2). Post bellum adversus Procopium gestum, grando maxima lapidibus ingentibus persimilis e cœlo decidit, et motus terræ graves variis in locis exstitere, qui præ aliis locis maximum Nicææ Bithynorum urbi, ea universa prostrata, damnum dedere. Duodecimus is erat a Nicomediensi subversione annus. Nec multum intercessit temporis, cum alius terræ motus obortus, idem Germæ Hellesponti civitati fecit. Hæc porro omnia turbarum ecclesiasticarum fuerunt indicia. **117** Grandinem namque et terræ motus multi mortales Dei adversus imperatorem ira accidisse dixerunt, propterea quod multos ad episcopalem dignitatem evectos in exsilium egerat, alios autem mox acturus fuerat, qui Eudoxio D in fidei sententia non suffragarentur. Atque in ejusœmodi calamitatibus nihil prorsus vel Eudoxius vel imperator de studio suo remittebant, quod uterque a se dissentientes crudeliter abigere conaretur. Multique adeo sacri viri ad exsilium condemnabantur. Soli autem, divina providentia, propter excellentem virtutem, exsulare jussi non sunt, Basilius magnus Cappadocum Ecclesiæ antistes, et Gregorius, qui tum Nazianzi (quod tenue oppidum prope Cæsaream situm est) Ecclesiæ præfuit. De quibus viris paulo post dicemus.

A *Τερπόμεναι στήσονται ἐϋστεφέας κατ' ἀγυιάς,*
Καὶ τεῖχος λουτροῖο πολύστονον ἔσσεται ἄλκαρ·
Δὴ τότε μυρία φῦλα πολυσπερέων ἀνθρώπων,
Ἄγρια μαργαίνοντα, κακὴν ἐπιειμένα ἀλκὴν,
Ἴστρου καλλιρόοιο πόρον διαβάντα σὺν αἰχμῇ,
Καὶ Σκυθικὴν ὀλέσει χώρην, καὶ Μυσίδα γαῖαν.
Θρηϊκίης δ' ἐπιβάντα σὺν ἐλπίσι μαινομένῃσιν,
Αὐτοῦ κεν βιότοιο τέλος καὶ πότμον ἐπίσποι.

Ὁ μὲν δὴ χρησμὸς οὗτος· συνέβη δ' οὕτω μετὰ χρόνον τὸν ὁλκὸν τοῦ ὕδατος ὃν Οὐάλης κατεσκεύασε, δαψιλὲς χορηγῆσαι τὸ ὕδωρ τῇ πόλει, καὶ τὰ τῶν βαρβάρων φῦλα μάλιστα κινηθῆναι, ὡς μετὰ βραχύ μοι λελέξεται· καὶ κατ' ἄλλον δὲ τρόπον τινὲς τὴν τοῦ χρησμοῦ ἔννοιαν ἐξελάβοντο· τοῦ γὰρ ὑδραγωγοῦ κατασκευασθέντος ὑδρεῖον μέγιστον ἐν τῇ Θεοδοσίου ἀγορᾷ ὁ τῆς πόλεως ὕπαρχος Κλέαρχος κατεσκεύαζεν· ὃ δαψιλὲς ὕδωρ ὠνόμασται· ἐφ' ᾧ καὶ ἡ πόλις ἐτησίαν ἦγε πανήγυριν. Καὶ τοῦτο αἰνίττεσθαι τῷ χρησμῷ εἰρημένον,

.... χορείην
Τερπόμεναι στήσονται ἐϋστεφέας κατ' ἀγυιάς.

Καὶ τὰ μὲν τοῦ χρησμοῦ τοιαῦτα· τοῦ δὲ Χαλκηδονέων τείχους λυομένου, οἱ τῆς Κωνσταντίνου καὶ Βιθυνοὶ, οἵ τ' ἐκ τῆς Νικομήδους καὶ Νικαεῖς, ἱκέται τοῦ βασιλέως ἐγίνοντο, μὴ τὰ Χαλκηδόνος τείχη οὕτω μὲν στεῤῥότητος, οὕτω δὲ μεγέθους ἔχοντα, ἐπικενῆς παραλύειν. Ὁ δὲ καίπερ περιοργὴς ὢν, μόλις μὲν, ὅμως τὴν πρεσβείαν ἐδέχετο. Τῷ δ' ὅρκῳ ἀφοσιούμενος τὸ εἰκὸς, ἅμα τε λύειν, ἅμα τε ἀνοικοδομεῖν, ἑτέροις βραχυτέροις λίθοις τὴν οἰκοδομὴν ἤγειρεν· ὃ καὶ εἰς πέρας ἤγετο. Ἀλλὰ περὶ τοῦ C Χαλκηδονέων τείχους τάδε συνέβη. Μετὰ δὲ τὸν κατὰ Προκόπιον πόλεμον χάλαζα μεγίστη οὐρανόθεν ἠνέχθη, λίθοις μεγάλοις ἐξεικασμένη· σεισμοί τε κατὰ διαφόρους τόπους ἐξαίσιοι ἐπεγένοντο· οἳ μάλιστα τῶν ἄλλων, Νικαίᾳ τῇ Βιθυνῶν ἐλυμήναντο, πάμπαν αὐτὴν καταστρέψαντες. Ἔτος δ' ἦν τοῦτο δωδέκατον μετὰ τὴν τῆς Νικομηδείας καταστροφήν. Οὐ πολλῷ δὲ ὕστερον ἕτερος σεισμὸς ἐπιγενόμενος, τὰ ἴσα Γέρμῃ τῇ ἐν Ἑλλησπόντῳ ἐποίει. Ἦσαν δὲ ἄρα ταῦτα τεκμήρια τῆς τῶν ἐκκλησιῶν ταραχῆς. Τήν τε γὰρ χάλαζαν καὶ τοὺς σεισμοὺς πολλοὶ κατὰ θεομηνίαν ἔφασκον γενέσθαι βασιλεῖ· ὅτιπερ πολλοὺς τῶν ἱερᾶσθαι λαχόντων ὑπερορίους ἐποίει· ἄλλους δὲ ποιεῖν ἔμελλε, μὴ τὰ ἴσα Εὐδοξίῳ αἱρουμένους D φρονεῖν. Ἃ δὴ γενόμενα οὐδεμίαν ἀναστολὴν ἐποίει Εὐδοξίῳ, οὔτε μὴν βασιλεῖ. Σπουδὴν δ' ἐποιοῦντο τοὺς μὴ ὁμοφρονοῦντας ἀπηνῶς ἐλαύνειν. Καὶ πολλοὶ μὲν τῶν ἱερῶν ἀνδρῶν φεύγειν κατεδικάζοντο· μόνοι δὲ θείᾳ προνοίᾳ δι' ὑπερβάλλουσαν ἀρετὴν ἄγευστοι φυγῆς μεμενήκεσαν. Βασίλειός τε ὁ μέγας τῆς ἐν Καππαδοκίᾳ ἐκκλησίας ἡγεμονεύων, καὶ Γρηγόριος ὁ τηνικαῦτα τῆς Ναζιανζοῦ προεστὼς, πολίχνης εὐτελοῦς ἄγχιστα τῆς Καισαρέων διακειμένης· περὶ ὧν μικρὸν ὕστερον διαλήψομαι.

(1) Ὑδραγωγόν. (Socrat.)
(2) Julii, Joviano et Lucino coss. Socr. lib. IV, cap. 10.

ΚΕΦΑΛ. Ε'.

Περὶ Ἐλευσίου τοῦ Κυζίκου, καὶ Εὐνομίου· ἔτι δὲ καὶ περὶ Ἀγελίου τοῦ ἐπισκόπου τῶν Ναυατιανῶν.

D conveniente : cum quidem vir humanus et modestus fuisse dictus sit. Quod inde satis patet; cum enim in publicum venisset balneum, et famuli fores lavacri clausissent, ubi pro foribus stare plurimos cognovit, ministris, ut eas recluderent, præcepit, atque ut communiter et libere, qui vellent, lavatione uterentur, illos admonuit : quod itidem in interiori conclavi fecit. Atque ubi nonnulli ingressi eum circumsteterunt, ut una cum eo in calidis aquis lavarent, eos est cohortatus. Cæterum cum illi sic stantes tacerent, honorem statione ejusmodi haberi sibi ratus, celeriter aquas calidas reliquit, et abiit. At illi aquas ejus piaculum ha-

(1) Theod. eod. cap. 14.
(2) Plin. lib. v, c. 24. Pulchrum exemplum τῆς πειθαρχίας.

resis contraxisse existimantes, per cuniculos eas eniserunt, atque aliis immissis lavarunt. Id vero postquam Eunomius cognovit, statim urbe relicta, domum est reversus : stultum esse ratus, in ea manere urbe, quæ publico et communi in eum flagraret odio. Atque ita ille quidem sua sponte Samosatis discessit. Ariani autem alium eo misere, Lucium nomine, lupum revera, non pastorem. At oves tametsi pastorem non haberent; quæ tamen pastorum sunt, fidei dogma sartum tectum conservantes, fecere. Porro quantum Samosatenorum et in hunc odium fuerit, inde liquebit. Pueri quidam pilam inter se impellentes in foro ludebant, et Lucius prætéribat. Accidit autem, ut pila ex cujusdam pueri manibus excidens, per mulæ ejus qua Lucius vehebatur, pedes volveretur. Atque illi ululatum ingentem edidere, piaculo pilam repletam esse opinati. Lucius clamorem eum non intelligens, ex comitibus quemdam paulisper ibi manere, et rem ipsam perspicere jussit (1). Et ecce pueri per accensum ignem, lustrare ita piaculum volentes, pilam jecerunt. Puerile hoc quidem fortasse, satis tamen idoneum, quod demonstret, quam constans civitas ea odium erga eos habuerit, qui fidei doctrinam depravare ausi fuissent. **142** Sedenim Lucius non eo quo Eunomius, fuit animo. Verum suasionibus suis apud magistratus tantum effecit, ut e sacro ordine multos quidem urbe exigerent : qui vero ei vehementius resisterent, longius etiam abigerent. Sic Evolcius ille diaconus Oasim deportatus : Antiochus autem presbyter, et magni Eusebii cognatione clarus (sororis enim ejus filius fuit), permultis primariis virtutibus pollens, ad quasdam ultimas Armeniæ oras in exsilium missus est. Ubi vero divinus Eusebius, post multa pro vera pietate obita certamina, postremo etiam martyrii recepit coronam : provinciales, conventu coacto, cui etiam Jovianus, qui Pergensis episcopus, brevi tempore Arianam secutus fuerat religionem, interfuit, Antiochum in locum avunculi communibus suffragiis subrogarunt. Atque is ubi ad sacram mensam accessit, et, ut mos est, inclinatus in genua magna vi procidit, conversus, quoniam Jovianum dextram capiti suo imponentem conspexit, suffragium illius rejecit, et reliquis quoque electoribus suis restitit, dicens, nequaquam se ejus dextræ consecrationem seu ordinationem suscepturum, quæ per blasphemias divina suscepisset mysteria. » Sed hæc longe post sunt facta. Eo vero tempore in interiorem Armeniam concessit. Divus autem Eusebius ad Istrum vitam egit, Gotthis tum Thraciam percurrentibus, et urbes ejus populantibus : quemadmodum ipse scripto quodam suo testatus est.

A ροῦντες τὸ δόγμα τῆς πίστεως. Ἀλλ' ὅπως καὶ τοῦτον διὰ μίσους εἶχον, ἐντεῦθεν ἔσται κατάδηλον. Μείρακές τινες ἀνὰ τὴν ἀγορὰν παίζοντες, σφαῖραν ἀλλήλοις ἀντέπεμπον· τοῦ δὲ Λουκίου παριόντος, συνέβη τὴν σφαῖραν τῶν τινος παίδων τῆς χειρὸς ἐκπεσοῦσαν, διὰ τῶν τῆς ἡμιόνου ποδῶν διελθεῖν, ἧ ἔποχος ἦν Λούκιος. Οἱ δ' ἀνωλόλυξαν, μίσους ἔμπλεω καταστῆναι τὴν σφαῖραν νομίσαντες. Ὁ δὲ τὴν βοὴν ἀγνοῶν, ἑνὶ τῶν ἀκολούθων προσέταττε μικρὸν παραμεῖναι καὶ διαγνῶναι τὸ δρώμενον. Οἱ δὲ παῖδες πῦρ ἀνάψαντες, τὴν σφαῖραν ἔνδον ἠκόντιζον, καθαίρειν οὕτω τοῦ ἄγους βουλόμενοι. Καὶ μειρακιῶδες μὲν ἴσως τοῦτο· ὅμως ἱκανόν ἐστι δεῖξαι ὅσον ἡ πόλις αὕτη ἔντροφον εἶχε τὸ μῖσος πρὸς τοὺς τὸ δόγμα τῆς πίστεως ᾑρημένους παρα-B χαράττειν. Ὁ δὲ Λούκιος οὐ κατὰ τὸν Εὐνόμιον διετίθετο, ἀλλὰ πολλοὺς μὲν τῶν ἱερωμένων ἐξέωσε, τοὺς ἄρχοντας ἀναπεισθείς, τοὺς δὲ σφόδρα ἀντεχομένους καὶ μακρὰν ἤλασεν. Εὐόλκιον γὰρ ἐκεῖνον διακονίας ἠξιωμένον, εἰς Ὄασιν κατεδίκαζεν. Ἀντίοχον δὲ πρεσβυτέρου καθέδρας μετεσχηκότα, καὶ συγγενείᾳ τοῦ μεγάλου Εὐσεβίου κοσμούμενον (ἀδελφιδοῦς γὰρ ἦν ἐκείνου, πολλοῖς διαλάμπων τοῖς προτερήμασιν), εἴς τινα τῆς Ἀρμενίας ἐσχατιὰν κατεδίκαζεν. Ὡς δὲ ὁ θεῖος Εὐσέβιος μετὰ πολλοὺς τοὺς ὑπὲρ εὐσεβείας ἀγῶνας, τέλος καὶ τὸν τοῦ μαρτυρίου ἀνελάμβανε στέφανον, εἰς ταυτὸ ἡ τοῦ ἔθνους σύνοδος συνελθοῦσα, παρόντος καὶ Ἰοβιανοῦ· Πέργης δ' οὗτος ἐπίσκοπος ἦν, ὃς C ἐπ' ὀλίγον τῆς Ἀρειανικῆς μετέσχε θρησκείας· καὶ τὸν Ἀντίοχον ψηφιζομένων εἰς τὴν τοῦ θείου διαδοχὴν, ἐπεὶ τῇ ἱερᾷ τραπέζῃ προσῄει, καὶ κλίνων κατ' ἔθος τὰ γόνατα σὺν πολλῇ βίᾳ, στραφεὶς καὶ Ἰοβιανὸν ἑώρα τὴν δεξιὰν τῇ κεφαλῇ ἐπιθέμενον, ἀπεσείσατο τὴν χειροτονίαν, καὶ τῶν χειροτονούντων διΐστατο, εἰπὼν, « μηδαμῶς ἀνέξεσθαι χειροτονίας καὶ δεξιᾶς, ἣ διὰ βλασφημίας τὰ θεῖα μυστήρια παρεδέξατο. Ταῦτα μὲν πολλῷ ὕστερον ἐγεγόνει· τότε δὲ, εἰς τὴν ἐνδοτέραν Ἀρμενίαν διέβαινεν. Ὁ δέ γε θεῖος Εὐσέβιος παρὰ τὸν Ἴστρον διῆγε, τηνικαῦτα τὴν Θρᾴκην Γότθων κατατρεχόντων, καὶ τὰς ἐκεῖσε πόλεις ληϊζομένων, ὡς αὐτὸς ἰδίῳ συγγράμματι καθιστόρησεν.

CAPUT XXII.

De Barse, et tyrannide ea quam in civitate Edessa Valens in martyrio seu templo sancti Thomæ perpetravit.

Porro Barsen Edessenorum episcopum, cujus ingens est gloria in Phœnicia, Ægypto et Thebaide, siquidem has peragrans virtutis suæ splendore illustravit, ut insulam Aradum incoleret,

D

ΚΕΦΑΛ. ΚΒ'.

Περὶ Βάρσου, καὶ περὶ τῶν ἐν Ἐδέσσῃ πεπραγμένων Οὐάλῃ ἐν τῷ μαρτυρίῳ τοῦ ἁγίου ἀποστόλου Θωμᾶ.

Καὶ Βάρσην δὲ, ὃς τὴν Ἐδεσσηνῶν πόλιν διΐθυνεν, οὗ πολὺ κλέος ἐν Φοινίκῃ καὶ Αἰγύπτῳ καὶ Θηβαΐδι· καὶ γὰρ αὐτοῖς ἅπασι διερχόμενος, τὰς τῆς ἀρετῆς ἀπήστραπτε λαμπηδόνας, τοῦτον δὲ εἰς

(1) Theod. cod. c. 15.

Ἄραδον κατεδίκαζε τὴν νῆσον οἰκεῖν. Ἐπεὶ δ' ἀποστολικοῖς χαρίσμασι διαπρέπων, τῷ τῆς διδασκαλίας φωτὶ τὰ πλήθη πρὸς αὐτὸν εἷλκε, καὶ τὰ τῶν νοσημάτων ὅσα ἰατρῶν ἀπείρηκε τέχνη, ἰᾶτο· ἐκεῖθεν εἴς τινα πόλιν Αἰγυπτίαν μεθίστα, Ὀξύρυγχον ὄνομα. Ὡς δὲ κἀκεῖ πάντας ἐφεῖλκε κατὰ κλέος τῆς ἀρετῆς, εἴς τινα ἐσχατιὰν οὐ πόῤῥω τῶν γειτονούντων βαρβάρων μετετίθει (Φιλὼ ἦν ὄνομα τῷ χώρῳ) τὸν τῶν οὐρανίων θαλάμων ἄξιον. Φασὶ μέντοι ἐν Ἀράδῳ ἐς δεῦρο τὴν ἐκείνου διαμένειν κλίνην πλείστης ἠξιωμένην τιμῆς· πολλοὺς γὰρ ἐπ' ἐκείνης κατακλινομένους τῶν νοσούντων τὴν ὑγείαν διὰ τῆς πίστεως δρέπεσθαι. Οἷα δὲ καὶ ἐν Ἐδέσσῃ τῇ πόλει τῷ Οὐάλεντι πέπρακται, οὐ θέμις διδόναι σιγῇ. Ἐπειδὴ γὰρ τὸν εἰρημένον Βάρσην τῆς ποίμνης ἐστέρησε, Λύκον ἀντικαθίστη. Ὡς δὲ τὸ πλῆθος δυσχεραῖνον τὴν κοινωνίαν σφοδρῶς ἀπεσείετο, πάντες τὴν πόλιν καταλιπόντες πρὸ τοῦ ἄστεος συνηθροίζοντο· ἦν δ' ἐκεῖσε Θωμᾷ τῷ ἀποστόλῳ ἐπιφανὲς εὐκτήριον· ὃ ἱστορῆσαι βουλόμενος Οὐάλης, σύναμα τῷ ὑπάρχῳ, Μόδεστος οὗτος ἦν, ἧκεν ἐντειλάμενος πρότερον, τὸ συνιστάμενον ἐκεῖσε πλῆθος μετὰ τῆς ὁπλιτικῆς περὶ αὐτὸν δυνάμεως διασκεδάσαι, ῥάβδοις καὶ ῥοπάλοις παίοντας, εἰ δὲ δεήσει, χρησομένους καὶ ξίφει. Ὁ δὲ τὸ κελευόμενον ἔδρα· καὶ λάθρα τοῖς Ἐδεσσηνοῖς ἐδήλου φυλάξασθαι τὴν ὑστεραίαν, μὴ εἰς τὸν εἰωθότα συνελθεῖν τόπον· πρόσταγμα γὰρ βασιλέως εἶναι τιμωρίαν ἐπάγειν οἷς ἁλῶναι συμβαίη. Καὶ ὁ μὲν οὕτως ἠπείλει καίπερ ἑτερόδοξος· ἢ μηδένα ἢ ὀλίγους κινδυνεῦσαι προμηθούμενος, ἢ ἴσως καὶ παραιτούμενος ἑαυτὸν πρὸς τὴν τοῦ κρατοῦντος ὀργήν. Ἐδεσσηνοὶ μέντοι ἐν δευτέρῳ θέμενοι τὰς ἀπειλάς, ἅμα ἕῳ πρόθυμοι μᾶλλον ἢ πρότερον ἐπὶ τὸν τόπον ἐχώρουν, καὶ τὸ εἰωθὸς ἔπραττον. Ἀγγελθέντος δὲ Μοδέστῳ τοῦ πράγματος, οὐκ εἶχεν, ὅ τι καὶ δράσειεν. Ἀμηχάνως δ' ἔχων, ὅσον τάχος στίχα στρατιωτικὴν ἐπαγόμενος, διῄει τὴν ἀγοράν, καὶ ἐπὶ τὸ πεδίον ᾔει. Γυναίῳ δέ τινι περιτυχών, βρέφος ἐφέλκοντι τῇ χειρί, ἀκόσμως δὲ καὶ παρὰ τὸ πρέπον γυναικὶ τὸ φᾶρος εἰκῇ πως ἐπισυρομένῃ, καὶ ὡς ἐπί τι σπουδαῖον δῆθεν τὴν τῶν ἡγουμένων στρατιωτικὴν διακόπτοντι φάλαγγα, ὁ ὕπαρχος συλληφθῆναι ταύτην ἐκέλευε, καὶ ὅτου χάριν σπεύδει, τὴν αἰτίαν ἀπῄτει. Τῆς δ' εἰπούσης, Ἐπὶ τὸ πεδίον ἔνθα οἱ τῆς εὐσεβείας θεράποντες· ἔγνων γάρ, ἔγνων τὰς ὑφ' ὑμῶν τυρευομένας ἐπιβουλάς· καὶ σπεύδω καὶ αὐτὴ τῶν ἴσων ἐκείνοις ἀξιωθῆναι γερῶν, ἵνα μὴ κατόπιν δρόμου γεγενημένη τῆς παρὰ Θεῷ δόξης ἁμάρτω. Τὸ δὲ παιδίον τί, φησί, μεθ' ἑαυτῆς ἄγεις, αὖθις ὁ ὕπαρχος ἀνηρώτα. Ἡ δέ, Ἵνα καὶ αὐτὸ τῆς ἴσης ἀξιωθείη τιμῆς, μετασχὸν τῶν παθῶν. Καταπλαγεὶς δὲ τῆς ἀνδρείας ἐκείνης τὴν γενναιότητα, καὶ ἐκ ταύτης τὴν ἁπάντων τεκμηράμενος προθυμίαν, εἰς τὰ βασίλεια καθ-

A Valens condemnavit. Quoniam vero apostolicis donis clarus, doctrinæ suæ luce multitudinem ad se pertrahebat, et morbos quos medici curari posse desperaverant, sanabat, in Ægyptiam inde urbem quamdam Oxyrynchum nomine est deportatus (1). **143** Ubi vero et ibi virtutis gloria animos omnium in se convertit, in extremos quosdam fines a quibus non longe Barbari aberant (Philo locus is nominatur) translatus est, cum quidem cœlesti domicilio esset dignus. Etiamnunc in Arado lectulum esse dicunt, quem plurimo honore Deus sit dignatus, quod ægroti multi in eum repositi valetudinem per fidem recuperent. Verum enimvero quæ Edessæ etiam crudeliter Valens egerit, silentio ea mandare non licet. Cum namque
B Barsen, quem diximus, a grege suo exclusisset, Lycum (2) pro eo substituit: quam rem quia multitudo ægre tulit, et communionem ejus respuit, relicta urbe omnes extra ejus mœnia conventus egere. Erat autem ibi Thomæ apostoli insigne oratorium, quod videre volens Valens, una cum præfecto Modesto, quosdam prius cum mandato eo misit, ut multitudinem ibi congregatam, armatorum quos secum ducebat opera dissiparent, baculis et clavis eam pulsantes, si vero opus esset, gladios quoque adhibentes. Præfectus imperata facere, et clam Edessenis denuntiare, ne postridie more suo in loco eo convenirent. Mandatum enim ab imperatore esse, ut in eos qui ibi deprehensi
C essent, graviter animadverteretur. Præfectus sane, quamvis diversæ sententiæ et religionis, ad eum modum illis est minatus: vel quod neminem aut paucos certe periclitari vellet, vel quod fortasse imperatorem graviter indignantem opera sua uti nollet. Edesseni vero minarum denuntiationem parvi pendentes, una cum diluculo alacrioribus etiam quam antea animis in locum designatum convenere, et solita sacra sua peregere. Quod ubi Modesto est indicatum, cum quod faceret non haberet, consilii inops, quam celerrime militari manu contracta, per forum ad campum eum contendit: et in mulierculam incidit, manu puellum raptantem, palliumque sic temere et incomposite, contra quam feminam decet, trahentem, atque
D adeo militarem ductorum phalangem, perinde atque ad rem magni momenti properaret, rumpentem. Eam jussu suo comprehensam, cujusnam rei gratia tantopere festinaret, interrogat. Tum illa (3): In campum eum, inquit, in quo veræ pietatis cultores sunt congregati. **144** Novi enim, et certo novi vestras quas struitis insidias: et propterea eo venire propero, ut æqualia cum illis consequar præmia, ne scilicet cursu intermisso tardius vadens, gloria quæ a Deo est, excidam. Puerum autem (præfectus subinfert) quid ita te-

(1) Theod. eod. cap 16.
(2) Λύκος, Lycus, proprium esse hoc loco nomen potest: alioqui λύκος lupus Græcis dicitur, et sic appellativum nomen fuerit.

(3) Animus enim divina æmulatione succensus, humanum non capit metum, sed terriculamenta omnia pro risu habet et ludicro. Theod. lib. IV, cap. 26.

cum ducis? Et rursum illa : Ut et ipse, ait, post A afflictionem et ærumnam toleratam, honoris ejus particeps fiat. Ille animo ad tam generosam fortitudinem mulieris consternatus, ubi ex ejus unius aliorum omnium conjecisset alacritatem, ad imperialem domum reversus, imperatori rem omnem indicavit, et ut a consilio cœptoque suo desisteret suasit : turpem et adversam dicens ex tali facto consecuturam famam, atque Edessenorum nihilo magis alacritatem exstinctum iri. Verbis hisce innumeram multitudinem præfectus conservavit. At imperator ubi illum contumeliosis vocibus proscidit, pugno etiam cecidit : multitudinis nihilominus duces comprehensos cogi præcepit, ut per optionem vel cum Lyco seu lupo, et non pastore, communicarent, vel citra moram urbe excederent, atque ad ultimas oras exsulatum irent.

υπέστρεφε· καὶ κοινωσάμενος αὐτῷ βασιλεῖ, ἔπειθε μὴ εἰς πέρας ἄγειν τὰ δόξαντα· αἰσχρότητα γὰρ εἶναι ἐκ τοῦ δρωμένου καὶ δύσκλειαν· ἐκείνοις δὲ, μὴ ἐφικτὸν εἶναι, σβέσαι τὴν προθυμίαν. Ταῦτ' εἰπὼν, τὸ πλῆθος ἀπείρατον διετήρει. Λοιδορησάμενος δ' ἐκεῖνος τὸν ὕπαρχον καὶ πὺξ παίσας, ἀλλά γε τοὺς ἡγουμένους τοῦ πλήθους προσέταττε συλληφθέντας, ἢ τῷ Λύκῳ, καὶ οὐ ποιμένι, κοινωνεῖν ἑλέσθαι, ἢ θᾶττον τῆς πόλεως ἀπελᾶν, καὶ ἐπί τινας ἐσχατιὰς γῆς παραπέμπειν.

CAPUT XXIII.

De Eulogio et Protogene, ut magnifice pro fide decertaverint : et ut post reditum ab exsilio, alter Edessæ, alter autem Carris Ecclesiæ episcopi præfuerint.

Porro ubi præfectus illos omnes congregasset, imperatoris mandata in medium protulit, lenibus utens verbis, stolidumque esse dicens, eos tam paucos et imbecilles homines contra imperatorem tantum, et tot populis imperantem niti. Illi autem taciti omnes constitere, in ducem suum (Eulogius is erat, vir vita simul et doctrina condignam laudem consecutus) respectantes. Ad hunc igitur Modestus conversus : Quid ita tandem, inquit, o senex, non respondes? Atqui, respondit ille, responso nihil opus esse, qui interrogatus non essem, putavi. Rursum præfectus : Multa certe ad vos, quæ utilia vobis essent, exponens, verba feci. Tum Eulogius : Illa quidem ad universos sunt dicta. Ego autem ineptum esse existimavi, si multis rejectis, ipse responderem. **145** Quod si me solum percunctatus fueris, illico tibi sententiam meam exponam. Ibi præfectus : Ergo ut cum imperatore tibi communio sit, facito. » Eulogius vero magna cum gratia facete admodum arridens : « Offert enim, inquit, et una cum imperio sacerdotium quoque sortitus est (1) : » Verum ille ironicum et amarulentum dictum sentiens, graviter id tulit, et jactis in senem conviciis, ad alia hæc insuper addidit : « Non hoc dixi, attonite et stulte, sed communicare te debere, cum quibus ille præcipit, episcopis. At ego, inquit, et senex sum, et pastoris non expers : cujus vocem ut germanam intelligo, et doctrinam sequor, neque mihi tam perniciosa et pestifera herba opus est. » Hisce verbis furore incensus, celeriter octoginta ex eis qui multitudinis essent velut columnæ, comprehensos in Thraciam relegavit. Atque illi vincti circumeuntes, benigne a multis sunt curati. Vici enim et civitates eis obviam progredientes, tanquam veræ pietatis defensoribus debitum præstiterunt honorem. Porro invidia nunquam non aciem instruens, ad impera-

B

ΚΕΦΑΛ. ΚΓ'.

Περὶ Εὐλογίου καὶ Πρωτογένους, ὡς ὑπὲρ τῆς πίστεως ἠγωνίσαντο· καὶ μετὰ τὴν ἐπάνοδον ὁ μὲν τῆς Ἐδεσσηνῶν, Πρωτογένης δὲ τῆς ἐν Καῤῥαῖς ἐκκλησίας προέστησαν.

Ἐπεὶ δὲ πάντας ἀθροίσας τὰ τῷ βασιλεῖ προσταττόμενα εἰς μέσον ἐτίθει, ἠπίοις τὰ πρῶτα χρώμενος λόγοις· ἠλίθιον γὰρ εἶναι ἔλεγε βασιλεῖ τοσούτῳ καὶ τοσούτων κατάρχοντι, βραχυτάτοις οὕτως ἀντιτείνειν ἀνθρώποις· ὡς δ' ἅπαντες ἐν σιγῇ ἦσαν, πρὸς τὸν τούτων ἡγούμενον ἀφορῶντες (Εὐλόγιος οὗτος ἦν, ἀνὴρ βίῳ καὶ λόγῳ τὸ ἀξιέπαινον ἔχων)· ὁ ὕπαρχος πρὸς ἐκεῖνον στραφεὶς, Τί δή ποτε, ἔφη, πρεσβύτα, οὐκ ἀποκρίνῃ; Ὁ δὲ, Οὐκ οἴομαι δέον εἶναι, μηδὲν ἐρωτώμενος, ἀποκρίνεσθαι. Καὶ μὴν ἐκεῖνος, Πολ- C λοὺς, φησὶ, διεξελήλυθα λόγους, τὰ συνοίσοντα ὑμῖν εἰσηγούμενος. Ὁ δ' Εὐλόγιος, Ἐκεῖνα μὲν πρὸς ἅπαντας εἴρηται· καί γε ἄτοπον ᾤμην, τοὺς πολλοὺς παρωσάμενος, αὐτὸν ἀποκρίνασθαι· εἰ δ' ἐμὲ μόνον ἔροιο, τὸ δοκοῦν εὐθύς σοι δηλώσω. Καὶ ὁ ὕπαρχος, Τοιγάρ τοι βασιλεῖ κοινωνῆσαι ἑλοῦ, ὁ δὲ, ἀστείως μάλα καὶ χαρίεντι τῷ ἤθει προσμειδιάσας, Προσφέρει γὰρ, ἔφη, καὶ μετὰ τῆς βασιλείας καὶ τὸ ἱερᾶσθαι κεκλήρωται. » Ὁ δὲ χαλεπῶς εἰρωνείας ἐπῃσθημένος, λοιδορησάμενος δὲ τῷ πρεσβύτῃ, πρὸς τοῖς ἄλλοις καὶ ταῦτα ἐπήγαγεν· « Οὐ τοῦτο εἶπον, ἐμβρόντητε, ἀλλὰ κοινωνῆσαι οἷς ἐκεῖνος ἐπισκόποις κελεύει. Ἀλλ' ἐγὼ, φησὶν ὁ πρεσβύτης, καὶ ποιμένος οὐκ ἄμοιρος· οὗ τῆς φωνῆς ὡς γνησίας ἐπῃσθημένος, καὶ τοῖς ἐκείνου δόγμα- D σιν ἕπομαι· καὶ οὐ χρή μοι τῆς τοιαύτης νοσερᾶς πόας καὶ θανασίμου. » Τούτοις ἀναφλεγεὶς εἰς θυμὸν, θᾶττον ὀγδοήκοντα τούτων συλλαβὼν, ὅσοι τοῦ πλήθους ἦσαν ὥσπερ στηρίγματα, πρὸς Θρᾴκην ἐξέπεμπεν. Οἱ δὲ δέσμιοι διιόντες, πολλῆς τινος ἀπήλαυον τῆς κηδεμονίας· καὶ κῶμαι γὰρ καὶ πόλεις ἐξιοῦσαι προσυπήντων, ὡς εὐσεβείας προμάχοις τὸ εἰκὸς ἀφοσιούμεναι γέρας. Ὁ δὲ φθόνος ἀεὶ στρατεύων, εἰς βασιλέα θᾶττον ἀπέτρεχε· καὶ παμπόλλης, ἔλεγε, πρόξενος τιμῆς ἐγεγόνει ἡ παρ' ὑμῖν νομισθεῖσα ἐξορία τοῖς καταδίκοις. Ὁ δὴ μαθὼν ἐκεῖνος, κατὰ δύο διαιρεθῆναι προστάττει· καὶ

(1) Apud Theodoret. dictum hoc per interrogationem effertur : *An cum imperio episcopatum etiam fuit?* Lib. IV, cap. 18.

τοὺς μὲν Θρᾴκην, τοὺς δ' Ἀραβίαν καὶ Θηβαΐδα οἰκεῖν, καὶ ἄλλους ἀλλαχοῦ διασπαρῆναι τοῖς πολιχνίοις. Εἰ δέ που καὶ ἀδελφοὶ παρῆσαν, ἀπ' ἀλλήλων διίστα. Εὐλόγιον μέντοι καὶ Πρωτογένην τὰ δεύτερα μετ' ἐκεῖνον ἔχοντα, εἰς Ἀντινὼ τὴν Θηβαίων ἐξώριζεν. Ὅση δ' ἐκείνων ἡ ἀρετὴ, ἐντεῦθεν δειχθήσεται. Ἐπεὶ γὰρ σύμφρονά τινα ἐπίσκοπον εὗρον ἐκεῖσε, κοινωνεῖν εἵλοντο, καὶ τῶν ἐκκλησιαστικῶν μετεῖχον συλλόγων. Ὀλίγων δὲ σφόδρα ἀθροιζομένων, ὡς ἔγνωσαν τὴν αἰτίαν, Ἕλληνας εἶναι ἐποίκους τῆς πόλεως, τὰ εἰκότα τῆς πλάνης θρηνήσαντες, οὐ δεῖν ἐνόμισαν μέχρι τοῦ κόψασθαι ἵστασθαι· ἀλλ' ὡς εἰκὸς, καὶ τῆς ἐκείνων ἰατρείας φροντίδα ἐποίουν. Καὶ Εὐλόγιος μὲν οἰκιδίῳ ἑαυτὸν καθείρξας, ἡσυχῇ καθῆστο, τὸν τῶν ὅλων ἐκδυσωπῶν Θεόν. Ὁ δὲ Πρωτογένης, τὰ ἱερὰ γράμματα ἐκπεπαιδευμένος, καὶ γράφειν μάλα ἐξησκημένος, διδασκαλείου μειρακίων προΐστατο, τόπον εἰς παιδαγωγεῖον ἐπιτήδειον εὑρηκώς. Ἀμέλει καὶ γράφειν εἴς τε κάλλος καὶ τάχος, καὶ τὰ ἱερὰ ἐξεπαίδευε λόγια· τά τε Δαυϊδικὰ μέλη καὶ τὰ πρόσφορα τῆς ἀποστολικῆς διδασκαλίας ἐκμανθάνειν παρεσκευάζετο. Ἐπεὶ δὲ τῶν μειρακίων ἓν νόσῳ κατειργασμένον θανεῖν προσδόκιμον ἦν, ἐπὶ τῆς οἰκίας ὁ Πρωτογένης ἥκων, καὶ τῇ τῆς χειρὸς ἀφῇ τὸ λυποῦν ποιεῖν ἐδραπέτευεν, οἱ τῶν ἄλλων πατέρες διαγνόντες, ἐπὶ τῆς οἰκίας τὸν πρεσβύτην ἀνῆγον ἕκαστος, καὶ τοῖς ἀῤῥωστοῦσι τῶν παίδων ἐπικουρεῖν ἠντιβόλουν. Ὁ δὲ μὴ δύνασθαι βοηθεῖν ἔλεγεν, εἰ μὴ πρότερον ὁ νοσῶν τὸ θεῖον ὑπέλθοι λουτρόν. Οἱ δὲ τῷ πόθῳ τῆς ἀπαλλαγῆς ἠπειγμένοι, θᾶττον ἐπείθοντο, καὶ διὰ τῆς σωματικῆς νόσου καὶ τὴν ψυχικὴν ὑγείαν ἐδρέποντο. Εἰ δέ τις καὶ τῶν ἐῤῥωμένων πεισθεὶς τῆς θείας χάριτος μετασχεῖν ἤθελε, παρὰ τὸν Εὐλόγιον ἰὼν, καὶ τὴν θύραν πατάσσων, ἀνοίγειν ἔπειθε· καὶ τῷ θηράματι καὶ τὴν ἐν Χριστῷ ἐπιβάλλειν παρεκάλει σφραγῖδα· ὡς δ' ἐκεῖνος ἐχαλέπαινεν, ἅτε διακοπτομένης αὐτοῦ τῆς εὐχῆς, ὁ Πρωτογένης, « Ἀλλ' ἀναγκαιοτέρα πάντως, ἔλεγεν, ἡ τῶν πλανωμένων ἐπιστροφὴ πρὸς Χριστόν. » Καὶ διὰ θαύματος ἦν τὸ πραττόμενον· πῶς Πρωτογένης, τοσαῦτα θαυματουργῶν, καὶ πρὸς τὸ τῆς ἀληθείας φῶς τοσαῦτα ποδηγῶν πλήθη, παραχωρῶν τῶν πρωτείων Εὐλογίῳ ἑωρᾶτο· καί γ' ἐνομίζετο ἐπὶ πολὺ πλείονα εἶναι Πρωτογένους τὴν ἀρετὴν, καὶ ὑπερτεροῦσαν τῆς Εὐλογίου ὡς μάλιστα. Ὡς δὲ τὰ τοῦ κλύδωνος ἔληγε, καὶ μετὰ τῶν ἄλλων καὶ οὗτοι ἀνήχθησαν, δεδακρυμένοι προὔπεμπον τούτους οἱ ἐπιχώριοι· καὶ μάλιστα ὁ ἐπίσκοπος τοσαύτης συμμαχίας ἐστερημένος. Ὁ μὲν οὖν Εὐλόγιος Βάρσου τοῦ θείου τέλει χρησαμένου τοῦ βίου, τῆς ἐκείνου ἐκκλησίας τοὺς οἴακας ἐγχειρίζεται. Ὁ δὲ θαυμαστὸς Πρωτογένης, τὴν ἠκανθωμένην πόλιν ἐξ Ἑλληνικῆς τερθρείας Καρῶν γεωργεῖν ἐπιστεύθη· ἣν καὶ φιλοπόνως ἐξεργασάμενος, τὸν θεῖον τῆς εὐσεβείας καρπὸν ἐδρέψατο. Ἀλλὰ τοῦτο μὲν ὕστερον.

A torem mox procurrit, et multorum honorum causam esse dixit, quod condemnatis exsilium fore putaretur. Imperator re cognita, disgregari eos, et binos partim in Thraciam, partim in Arabiam, quosdam in Thebaidem, atque alios alio in oppida dispergi jussit (1). Si qui etiam inter eos fratres essent, disjungi curavit (2). Eulogius sane, et Protogenes, qui secundas ab illo ferebat, Antinoen (3) Thebæorum oppidum deportati sunt. Quanta autem illorum virtus fuerit, illud indicabit. Cum namque sententiæ suæ episcopum ibi reperissent, communicare cœperunt, et ecclesiasticos conventus egerunt. Porro cum pauci valde ad eos convenirent, et causam ejus rei esse comperirent, quod Græcæ superstitionis studiosi oppidani essent : ubi B pro eo atque decet, errorem eum eluxissent, non cessandum sibi esse, usque dum ipsi pectora sua plangerent, duxerunt, sed ita ut par erat, illorum quoque medicinæ et salutis curam gesserunt. Et Eulogius quidem in domunculam quamdam se ipsum abdidit, ibique tacitus vixit, rerum universarum Deum precibus exorans. Protogenes autem sacras Litteras edoctus, et in scribendi arte valde exercitatus, ludum litterarium aperuit, commodo scholæ puerilis loco invento. **146** In ea et pulchre et celeriter adolescentulos scribere, et sacra docuit oracula, ita ut illi Davidica carmina, et alia apostolicæ doctrinæ consona addiscerent. Cum autem ex pueris unus morbo confectus, in exspectatione mortis esset, Protogenes in domum ubi is jacebat, C venit, et manus contrectatione ægritudinem fugavit. Quod ubi aliorum parentes cognoverunt, in suas quisque ædes senem adduxerunt, et ut invalidis eorum liberis opem ferret, rogarunt. Tum ille se auxilio eis non prius esse posse dixit, quam ægri divinum subirent lavacrum, Et illi, quod eos desiderium recuperandæ suis valetudinis adurgeret, statim dicto audientes fuere, atque ita per corporis morbum, animæ quoque salutem sunt consecuti. Si quis autem valentium quoque ab eo persuasus divinam gratiam ambiret, ad Eulogium vadens, et fores pulsans, ut ille eas apperiret, et ei quem venatus esset, sigillum in Christo imponeret, rogabat. Atque ubi Eulogius eam rem, quod in precaD tione identidem interpellaretur, gravius tulit, Protogenes : « Atqui (inquit) longe necessaria magis est errantium ad Christum conversio. » Id vero factum admirationi erat omnibus, Protogenem videlicet, qui tanta ederet miracula, et tantam multitudinem ad veritatis lucem produceret, partes primas Eulogio concedere. Et omnes longe præstantiorem superioremque Protogenis virtutem ipsius Eulogii vita esse exsistimabant. Cæterum postquam persecutionis procella sævire desiit, atque una cum aliis et isti ab exsilio reducti sunt, incolæ ejus regionis lacrymantes eos produxerunt : potissimum vero episcopus ipse, qui auxilio tanto orbabatur. Et Eulogius quidem divo Barsæ vita de-

(1) *Tripart.* lib. VII, cap. 33.
(2) Infra lib. XII, cap. 5.

(3) Al. *Antinoum.*

functo, ecclesiæ ipsius gubernacula suscepit. Admirando autem Protogeni, Carræ civitas Græcarum præstigiarum spinis obsita, excolenda credita est: qua labore multo repurgata, cœlestem veræ pietatis fructum percepit. Sed de his postea.

147 CAPUT XXIV.

De sancto Flaviano et Diodoro, ut ipsi gregem Meletii rexerint, cum nondum episcopalem dignitatem suscepissent.

Valens diutius Antiochiæ commoratus, Euzoio ibi ecclesias regente, Judæis, et ethnicis Græcis, atque etiam qui Christianorum nomine censentur, et diversa ab Evangelica doctrina dogmata complecterentur, omnibus quæ animis eorum placita essent, ut libere peragerent, permisit. Nam impius error sub Joviniano quidem exstinctus, a Juliano autem excitatus, paulatim reflorescebat (1), et Dialia, Dionysia et Cereris sacra, non in angulis, imperatore veluti præeunte, peragebantur: et homines in medio foro, nemine obsistente, bacchantium, qui numine afflantur, more, discurrebant. Eorum vero tantum, qui catholicæ Ecclesiæ doctrinam sequebantur, implacabilis hostis erat. Et primum quidem recens constructam ecclesiam, quam illis Jovinianus dederat, ademit; deinde vero ex aliis quoque eos sacris ædibus exegit. Atque ubi illi sub dio agentes, ad montis radices Deum consuetudine sua hymnis et laudibus celebrarent, et varias easdemque adversas aeris mutationes, aliquando quidem cum pluviis et nive et immenso frigore conflictati, aliquando autem æstu solis admodum adusti perferrent, ne eo quidem loco ut permanerent voluit, et immissis in eos militibus, ærumnosum hoc vitæ agendæ institutum dissipavit. Flavianus autem et Diodorus generosi veritatis athletæ tum florebant: qui imminentes gregi Christi fluctus, veluti scopuli quidam, quamprimum in spumam redegerunt. Illi enim post Meletium in exsilium ejectum, pro grege Christi decertabant, cum lupis ipsis fortiter obviam eundo, tum Christi ovibus convenientem doctrinam proponendo. Atque ubi ex locis ad radices montis sitis deturbati sunt, ad proximi fluminis ripas oves paverunt: non frustra, perinde atque illi in Babylone captivi, ad salices carminum organa suspendentes: sed libere Deum, juxta divinum Davidem, in omni loco dominationis ejus laudantes. Verum ne hoc quidem in loco diu eos durare, orthodoxorum et recte sentientium hostis passus est: **148** sed primo quoque tempore inde etiam secedere coegit, conventumque eum solvere atque dissipare est conatus. Sedenim divinum duorum istorum virorum, qui pro pastoribus rem gerebant, par, spiritualem gregem, ad id quod in Christo est bellum, exercuit, atque ubi pabulandum esset, monstravit. Et generosus quidem Diodorus, perinde atque præaltus et pellucidus amnis, divino flumine suos potavit. Adversus alienos autem vehementius cum impetu ruens, illegitima dogmata diluit et abolevit: non

A

ΚΕΦΑΛ. ΚΔ'.

Περὶ τοῦ ἁγίου Φλαβιανοῦ καὶ Διοδώρου, ὡς τὴν ποίμνην Μελετίου αὐτοὶ διεῖπον, μήπω ἱερατικοῦ ἐπιβάντες βαθμοῦ.

Πλεῖστον δ' ὅτι χρόνον ἐν Ἀντιοχείᾳ διατρίψας Οὐάλης, Εὐζωΐου τῶν ἐκκλησιῶν ἡγουμένου, Ἰουδαίοις μὲν καὶ Ἕλλησι καὶ πᾶσι Χριστιανῶν ὄνομα περικειμένοις, τἀναντία δὲ τῆς εὐαγγελικῆς διδασκαλίας ἀσπαζομένοις, τὰ θυμήρη πράττειν ἀδεῶς εἴασεν. Ἀμέλει καὶ ἡ ἐπὶ Ἰοβιανοῦ μὲν σβεσθεῖσα πλάνη, ἀπὸ Ἰουλιανοῦ δὲ ἐξαφθεῖσα, κατὰ μικρὸν πάλιν ἤνθει· καὶ τὰ Διάσια καὶ Διονύσια, τά τε Δήμητρος ἔργα, οὐκ ἐν γωνίᾳ, ἅτε δὴ βασιλέως κατάρχοντος, ἐτελοῦντο· καὶ βακχεύοντες ἄνδρες ἔθεον κατὰ μέσης τῆς ἀγορᾶς, οὐδενὸς ἐμποδὼν καθεστῶ- B τος. Μόνοις δ' ἐχθρὸς ἄσπονδος ἦν τοῖς φρονοῦσι τὰ τῆς καθόλου ἐκκλησίας διδάγματα. Καὶ δὴ πρῶτον ἀφῄρει αὐτῶν τὴν νεόδμητον Ἐκκλησίαν, ἣν Ἰοβιανὸς ἔδοτο· καὶ τῶν ἄλλων ἱερῶν περιβόλων ἐξήλαυνεν. Ὡς δ' ἐκεῖνοι ἐν ὑπαίθρῳ διάγοντες παρὰ τὰς ὑπωρείας τοῦ ὄρους ὕμνουν μὲν, ὡς ἔθος, Θεὸν, τῶν δ' ἐναντίων τοῦ ἀέρος μετεῖχον μεταβολῶν, ποτὲ μὲν ὑετοῖς καὶ νιφετοῖς καὶ κρυμοῖς προσπαλαίοντες, ἄλλοτε δὲ φλογμοῖς ἡλιακοῖς σφόδρα κατακαιόμενοι, οὐδ' ἐν ταύταις ἐᾷν αὐτοὺς ἤθελε· στρατιώτας δὲ πέμπων, καὶ τὴν ἐπίπονον ταύτην διαγωγὴν διεσκέδαζεν. Φλαβιανὸς δὲ καὶ Διόδωρος οἱ γενναῖοι τῆς ἀληθείας ἀγωνισταὶ τηνικαῦτα διέλαμπον· καὶ τὰ προσβάλλοντα κύματα τῇ ποίμνῃ Χριστοῦ, οἷά τινες πρόβολοι, πρὸς ἀφρὸν ὡς τάχος διέ- C λυον. Αὐτοὶ γὰρ μετὰ Μελέτιον γενόμενον ὑπερόριον τῆς ποίμνης ἀντεποιοῦντο Χριστοῦ· τοῖς μὲν λύκοις ἀνδρείως ἀντιταττόμενοι, τοῖς γε μὴν Χριστοῦ θρέμμασι τὴν προσήκουσαν διδασκαλίαν προσφέροντες. Ὡς δὲ κἀκ τῆς ὑπωρείας ἠλαύνοντο, παρὰ τὰς ὄχθας τοῦ γείτονος ποταμοῦ τὰ πρόβατα ἔνεμον, οὐκ εἰκῇ, κατὰ τοὺς ἐν Βαβυλῶνι αἰχμαλώτους, παρὰ τὰς ἰτέας κρεμῶντες τὰ τῶν ᾠδῶν ὄργανα, ἀλλ' ἀδεῶς ὕμνουν Θεὸν, κατὰ τὸν θεῖον Δαυῒδ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ. Ἀλλ' οὐδ' ἐν ἐκείνῳ τῷ χώρῳ ἐπιπολὺ διατρίβειν εἴασεν ὁ τῶν ὀρθοδόξων μόνων πολέμιος· ἀλλ' ὡς τάχος κἀκεῖθεν ἀφίστα, καὶ τὴν συναγωγὴν διασπᾷν ἐπειρᾶτο. Ἡ θεία τῶν ὑποποιμένων τουτωνὶ ξυνωρὶς, γυμνάζουσα D μὲν ἦν τὸ πνευματικὸν τοῦτο ποίμνιον πρὸς τὴν ἐν Χριστῷ μάχην, καὶ ᾗ δὴ νέμεσθαι, ἐπεδείκνυον. Καὶ ὁ μὲν γενναῖος Διόδωρος, οἷά τις ποταμὸς βαθυδίνης καὶ διειδέστατος, τὸ θεῖον νᾶμα τοῖς σφετέροις ἐπῆγαγε· ῥαγδαῖος δὲ τοῖς ἀλλοτρίοις κατιὼν, τὰ νόθα τῶν δογμάτων ἐπέκλυζε καὶ ἠφάνιζε, μὴ τὸ τοῦ γένους περιφανὲς οὐδαμῶς ἐν λόγῳ τιθέμενος, φέρων δ' εὖ μάλα τὸ πάσχειν ὑπὲρ τῆς πίστεως. Φλαβιανὸς δὲ καὶ αὐτὸς τῶν εὖ γεγονότων ὢν, τὸ εὐσεβὲς τῆς εὐγενείας προὐτίθει· καὶ καθά τι,

(1) Theod. eod. cap. 24, 25.

παιδοτρίβης Διοδώρῳ καθίστατο, παραταττομένῳ πρὸς τὸ ἱερὸν τῆς εὐσεβείας πένταθλον· ὃς δὴ καὶ ἐπ' ἐκκλησίας δημηγορεῖν οὐκ εἶχεν, ἅτε νέος ὤν, καὶ μήπω εἰς ἱερωσύνης παραγγελίας βαθμόν. Οὐκ ἐλαχίστην μέντοι μοῖραν εἰσῆγεν ἐνθυμημάτων καὶ γραφικῶν νοημάτων τοῖς τοῦτο δρῶσιν ἐκ προτροπῆς. Καὶ οἱ μὲν τοῖς ἐξ Ἀρείου βλάσφημα βάλλουσι συνεχῆ τόξα κατέτεινον· ὁ δὲ καθάπερ ἔκ τινος βελοθήκης ἢ φαρέτρας τῆς σοφῆς διανοίας ἐκείνου τὰ βέλη τῶν νοημάτων πυκνὰ προσέφερε. Καὶ ἐπ' ἐκκλησίας μὲν λέγειν οὐκ εἶχεν, ὡς εἴρηται· οἴκοι δὲ καὶ δημοσίᾳ τοὺς διαλόγους τιθέμενος, τὰς ἄρκυς τῶν δυσσεβούντων διέσπα, ἀραχνίων κατ' οὐδὲν διαφέρειν δεικνὺς τά γ' ἐκείνοις ἀναντίῤῥητα δοκοῦντα τῶν προβλημάτων.

magni ille generis sui præclari splendorem faciens, afflictiones autem et ærumnas pro fide non gravate ferens. Flavianus vero, qui et ipse ex nobilitate erat, veram pietatem generis claritati longe quoque præposuit. Is veluti quidam ludimagister, Diodoro ad sacrum pietatis quinquertium instructo affuit : atque in ecclesiis quidem ille concionari non potuit, quod junior adhuc ad sacerdotii gradum non conscendisset : sed non pœnitendum enthymematum seu argumentorum, atque ex Scripturis depromptarum sententiarum momentum eis, qui id legitima cohortatione exciti faciebant, suppeditavit. Et illi quidem adversus Arianos blasphema verba jactantes, continue arcum intendebant : hic autem veluti ex pharetra quapiam, sic ex sapienti mente sua, frequentia sententiarum tela subministrabat. Et in ecclesia, quemadmodum diximus, docere non potuit : domi vero et in publicis disputationibus impiorum retia disrupit, et nihil ab aranearum telis differre ostendit, quas ipsi irrefragabiles esse putabant quæstiones atque propositiones.

ΚΕΦΑΛ. ΚΕ'.

Περὶ τῶν ὁσίων Ἀφραάτου καὶ Ἰουλιανοῦ· ὡς τὰς ἐν ἐρήμῳ λιπόντες διατριβὰς, τῆς ποίμνης Χριστοῦ ὑπερίσταντο.

Οὐ μικρὰ δὲ τῷ ἀγῶνι τούτοις τηνικαῦτα συνήρατο καὶ ὁ τὴν πολιτείαν ἐκεῖνος πολὺς Ἀφραάτης· οὗ τὸν βίον καὶ ὁ σοφὸς Θεοδώριτος ἐν τῇ παρ' αὐτοῦ συγγραφείσῃ βίβλῳ τῆς φιλοθέου ἱστορίας συνέγραψε. Καὶ οὗτος γὰρ τῆς ἡσύχου διαγωγῆς προτιμήσας τὴν σωτηρίαν τῆς Χριστοῦ ποίμνης, τὴν ἀσκητικὴν καλύβην ἀφεὶς, τῆς μάνδρας ἐπεμελεῖτο Χριστοῦ· καὶ ἱδρῶσι περιεῤῥεῖτο πάντοθεν τοὺς λύκους ἐλαύνων. Ἀλλ' ὅσος μὲν ὁ τῆς ἀρετῆς αὐτῷ πλοῦτος, καὶ οἷα ποιῶν ὑπὲρ ἄνθρωπον ἐγεγόνει, ἡ εἰρημένη βίβλος τῷ βουλομένῳ δηλώσει. Ἐγὼ δὲ ἓν τῶν ἐκείνου, ὃ προσῆκον εἶναι νομίζω τῇ παρούσῃ δὴ πραγματείᾳ, δώσω τῷ λόγῳ. Ὀρόντης ὁ ποταμὸς, ἐκ μὲν βοῤῥᾶ παραῤῥεῖ τὰ ἐπὶ τῆς Ἀντιόχου βασίλεια· στοὰ δέ τις μεγίστη κατὰ μεσημβρίαν διώροφος ἀνεγήγερται τῷ τῆς πόλεως περιβόλῳ, πύργοις ὑψηλοῖς ἑκατέρωθεν κοσμουμένη· μεταξὺ δὲ τῶν βασιλείων οἴκων καὶ τοῦ ποταμοῦ ὁδός τίς ἐστιν, ὑποδεχομένη τοὺς ἐκ τῶν ἐκεῖσε διιόντας πυλῶν, καὶ εἰς τοὺς γείτονας ἀστικοὺς ἀγροὺς παραπέμπουσα. Ταύτην δὴ τὴν ὁδὸν ὁ θεσπέσιός ποτε Ἀφραάτης ἰὼν, εἰς τὸ τῆς πίστεως ἀπῄει γυμνάσιον, τοῖς Χριστοῦ προβάτοις τὴν ἁρμόττουσαν εἰσοίσων τροφήν. Ὃν ἄνωθεν βασιλεὺς παριόντα ἑώρα τῆς στοᾶς ὑπερκύπτων (σισύραν γὰρ ἠμφίεστο)· καὶ βαθεῖ τῷ γήρᾳ πεπονηκὼς, θᾶττον διέτρεχε. Τινὸς δ' εἰπόντος τῷ βασιλεῖ, ἐκεῖνον εἶναι τὸν Ἀφραάτην, οὗτινος τὸ τῆς πόλεως ἐξέχεται πλῆθος, ὁ βασιλεὺς, « Ποῦ δὴ βαδίζεις; ἄνωθεν ἠρώτα τὸν ὅσιον. » Ὁ δὲ, « Ὑπὲρ τῆς σῆς βασιλείας, φησὶ, προσευξόμενος. » Καὶ ὁ βασιλεὺς, « Ἀλλ' ἐχρῆν σε νόμοις ἑπόμενον μοναχῶν, οἴκοι μένειν, καὶ ἡσυχῇ καθήμενον τοῦτο δρᾷν. » Ὁ δὲ θεῖος πρεσβύτης σοφῶς μάλα ἐπέφερεν· « Εὖ, φησὶ, λέγεις, ὦ βασιλεῦ, τοῦτό με δρᾷν ἔδει, καὶ τοῦτο διετέλουν πράτ-

CAPUT XXV.

De sancto Aphraate et Juliano : ut monasticam in solitudine vitam relinquentes, gregem Christi sint tutati.

Non parum vero (1) illis tum in certamine hoc opis quoque attulit insigni vita præclarus ille Aphraates, quam sapiens Theodoritus in volumine Dei amantium historiæ conscripsit. Nam et hic quieto vitæ instituto gregis Christi salutem prætulit : et monasticum relinquens tuguriolum, ovilis Christi curam gessit, et multo diffluens sudore, lupos undique ab eo repulit. Cæterum quam locuples virtute fuerit, et quæ supra captum hominis fecerit, **149** is quem diximus liber evolvere eum volenti ostendet. Ego vero unum quiddam illius actorum huic loco accommodatum, recensendum in opere hoc duxi. Orontes fluvius ab Aquilonari parte imperialem Antiochiæ domum præterlabitur. Porticus autem quædam maxima duorum culminum, in parte meridionali ad urbis mœnia, prælatis turribus utraque ex parte conspicua, est exstructa. Inter imperiales ædes et amnem via est, quæ per portam quæ isthic est, euntes excipiens, in vicinos suburbanos agros deducit. Hanc viam aliquando divus insistebat Aphraates, ad fidei gymnasium iturus, et ovibus Christi congruens pabulum allaturus. Eum e superiore loco porticus prospectans imperator vidit : sisyra enim, seu veste ex ovium villosis pellibus consuta, amictus, et senio multo confectus, celerius tamen currebat. Et quidam imperatori, hunc esse Aphraatem illum, ex quo totius urbis multitudo penderet, dixit. Et ille e porticu virum sanctum interrogans : « Quonam, inquit, vadis? » Atque Aphraates, « Pro imperio tuo precaturus, » respondit. « Atqui, » imperator intulit, « domi te, qui leges monachorum sequeris, manere, ibique quiete considentem hoc facere oportuit. » Tum divinus senex perquam sapienter ait : « Recte tu quidem, o imperator, di-

(1) Theod. cap. 26.

functo, ecclesiæ ipsius gubernacula suscepit. Admirando autem Protogeni, Carræ civitas Græcarum præstigiarum spinis obsita, excolenda credita est: qua labore multo repurgata, cœlestem veræ pietatis fructum percepit. Sed de his postea.

147 CAPUT XXIV.

De sancto Flaviano et Diodoro, ut ipsi gregem Meletii rexerint, cum nondum episcopalem dignitatem suscepissent.

Valens diutius Antiochiæ commoratus, Euzoio ibi ecclesias regente, Judæis, et ethnicis Græcis, atque etiam qui Christianorum nomine censentur, et diversa ab Evangelica doctrina dogmata complecterentur, omnibus quæ animis eorum placita essent, ut libere peragerent, permisit. Nam impius error sub Joviniano quidem exstinctus, a Juliano autem excitatus, paulatim refforescebat (1), et Dialia, Dionysia et Cereris sacra, non in angulis, imperatore veluti præeunte, peragebantur: et homines in medio foro, nemine obsistente, bacchantium, qui numine afflantur, more, discurrebant. Eorum vero tantum, qui catholicæ Ecclesiæ doctrinam sequebantur, implacabilis hostis erat. Et primum quidem recens constructam ecclesiam, quam illis Jovinianus dederat, ademit; deinde vero ex aliis quoque eos sacris ædibus exegit. Atque ubi illi sub dio agentes, ad montis radices Deum consuetudine sua hymnis et laudibus celebrarent, et varias easdemque adversas aeris mutationes, aliquando quidem cum pluviis et nive et immenso frigore conflictati, aliquando autem æstu solis admodum adusti perferrent, ne eo quidem loco ut permanerent voluit, et immissis in eos militibus, ærumnosum hoc vitæ agendæ institutum dissipavit. Flavianus autem et Diodorus generosi veritatis athletæ tum florebant: qui imminentes gregi Christi fluctus, veluti scopuli quidam, quamprimum in spumam redegerunt. Illi enim post Meletium in exsilium ejectum, pro grege Christi decertabant, cum lupis ipsis fortiter obviam eundo, tum Christi ovibus convenientem doctrinam proponendo. Atque ubi ex locis ad radices montis sitis deturbati sunt, ad proximi fluminis ripas oves paverunt: non frustra, perinde atque illi in Babylone captivi, ad salices carminum organa suspendentes: sed libere Deum, juxta divinum Davidem, in omni loco dominationis ejus laudantes. Verum ne hoc quidem in loco diu eos durare, orthodoxorum et recte sentientium hostis passus est: **148** sed primo quoque tempore inde etiam secedere coegit, conventumque eum solvere atque dissipare est conatus. Sedenim divinum duorum istorum virorum, qui pro pastoribus rem gerebant, par, spiritualem gregem, ad id quod in Christo est bellum, exercuit, atque ubi pabulandum esset, monstravit. Et generosus quidem Diodorus, perinde atque præaltus et pellucidus amnis, divino flumine suos potavit. Adversus alienos autem vehementius cum impetu ruens, illegitima dogmata diluit et abolevit: non

A

ΚΕΦΑΛ. ΚΔ'.

Περὶ τοῦ ἁγίου Φλαβιανοῦ καὶ Διοδώρου, ὡς τὴν ποίμνην Μελετίου αὐτοὶ διεῖπον, μήπω ἱερατικοῦ ἐπιβάντες βαθμοῦ.

Πλεῖστον δ' ὅτι χρόνον ἐν Ἀντιοχείᾳ διατρίψας Οὐάλης, Εὐζωΐου τῶν ἐκκλησιῶν ἡγουμένου, Ἰουδαίοις μὲν καὶ Ἕλλησι καὶ πᾶσι Χριστιανῶν ὄνομα περικειμένοις, τἀναντία δὲ τῆς εὐαγγελικῆς διδασκαλίας ἀσπαζομένοις, τὰ θυμήρη πράττειν ἀδεῶς εἴασεν. Ἀμέλει καὶ ἡ ἐπὶ Ἰοβιανοῦ μὲν σβεσθεῖσα πλάνη, ἀπὸ Ἰουλιανοῦ δὲ ἐξαφθεῖσα, κατὰ μικρὸν πάλιν ἤνθει· καὶ τὰ Διάσια καὶ Διονύσια, τά τε Δήμητρος ἔργα, οὐκ ἐν γωνίᾳ, ἅτε δὴ βασιλέως κατάρχοντος, ἐτελοῦντο· καὶ βακχεύοντες ἄνδρες ἔθεον κατὰ μέσης τῆς ἀγορᾶς, οὐδενὸς ἐμποδὼν καθεστῶ-
B τος. Μόνοις δ' ἐχθρὸς ἄσπονδος ἦν τοῖς φρονοῦσι τὰ τῆς καθόλου ἐκκλησίας διδάγματα. Καὶ δὴ πρῶτον ἀφῄρει αὐτῶν τὴν νεόδμητον Ἐκκλησίαν, ἣν Ἰοβιανὸς ἔδοτο· καὶ τῶν ἄλλων ἱερῶν περιβόλων ἐξήλαυνεν. Ὡς δ' ἐκεῖνοι ἐν ὑπαίθρῳ διάγοντες παρὰ τὰς ὑπωρείας τοῦ ὄρους ὕμνουν μὲν, ὡς ἔθος, Θεὸν, τῶν δ' ἐναντίων τοῦ ἀέρος μετεῖχον μεταβολῶν, ποτὲ μὲν ὑετοῖς καὶ νιφετοῖς καὶ κρυμοῖς προσπαλαίοντες, ἄλλοτε δὲ φλογμοῖς ἡλιακοῖς σφόδρα κατακαιόμενοι, οὐδ' ἐν ταύταις ἐᾷν αὐτοὺς ἤθελε· στρατιώτας δὲ πέμπων, καὶ τὴν ἐπίπονον ταύτην διαγωγὴν διεσκέδαζεν. Φλαβιανὸς δὲ καὶ Διόδωρος οἱ γενναῖοι τῆς ἀληθείας ἀγωνισταὶ τηνικαῦτα διέλαμπον· καὶ τὰ προσβάλλοντα κύματα τῇ ποίμνῃ Χριστοῦ, οἷά τινες πρόβολοι, πρὸς ἀφρὸν ὡς τάχος διέ-
C λυον. Αὐτοὶ γὰρ μετὰ Μελέτιον γενόμενον ὑπερόριον τῆς ποίμνης ἀντεποιοῦντο Χριστοῦ· τοῖς μὲν λύκοις ἀνδρείως ἀντιταττόμενοι, τοῖς γε μὴν Χριστοῦ θρέμμασι τὴν προσήκουσαν διδασκαλίαν προσφέροντες. Ὡς δὲ κἀκ τῆς ὑπωρείας ἠλαύνοντο, παρὰ τὰς ὄχθας τοῦ γείτονος ποταμοῦ τὰ πρόβατα ἔνεμον, οὐκ εἰκῆ, κατὰ τοὺς ἐν Βαβυλῶνι αἰχμαλώτους, παρὰ τὰς ἰτέας κρεμῶντες τὰ τῶν ᾠδῶν ὄργανα, ἀλλ' ἀδεῶς ὕμνουν Θεὸν, κατὰ τὸν θεῖον Δαυῒδ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ. Ἀλλ' οὐδ' ἐν ἐκείνῳ τῷ χώρῳ ἐπιπολὺ διατρίβειν εἴασεν ὁ τῶν ὀρθοδόξων μόνων πολέμιος· ἀλλ' ὡς τάχος κἀκεῖθεν ἀφίστα, καὶ τὴν συναγωγὴν διασπᾷν ἐπειρᾶτο. Ἡ θεία τῶν ὑποποιμένων τουτωνὶ ξυνωρὶς, γυμνάζουσα
D μὲν ἦν τὸ πνευματικὸν τοῦτο ποίμνιον πρὸς τὴν ἐν Χριστῷ μάχην, καὶ ᾗ δὴ νέμεσθαι, ἐπεδείκνυον. Καὶ ὁ μὲν γενναῖος Διόδωρος, οἷά τις ποταμὸς βαθυδίνης καὶ διειδέστατος, τὸ θεῖον νᾶμα τοῖς σφετέροις ἐπήγαγε· ῥαγδαῖος δὲ τοῖς ἀλλοτρίοις κατιὼν, τὰ νόθα τῶν δογμάτων ἐπέκλυζε καὶ ἠφάνιζε, μὴ τὸ τοῦ γένους περιφανὲς οὐδαμῶς ἐν λόγῳ τιθέμενος, φέρων δ' εὖ μάλα τὸ πάσχειν ὑπὲρ τῆς πίστεως. Φλαβιανὸς δὲ καὶ αὐτὸς τῶν εὖ γεγονότων ὢν, τὸ εὐσεβὲς τῆς εὐγενείας προὐτίθει· καὶ καθά τι,

(1) Theod. eod. cap. 24, 25.

παιδοτρίβης Διοδώρῳ καθίστατο, παρατατομένῳ A πρὸς τὸ ἱερὸν τῆς εὐσεβείας πένταθλον· ὃς δὴ καὶ ἐπ' ἐκκλησίας δημηγορεῖν οὐκ εἶχεν, ἅτε νέος ὤν, καὶ μήπω εἰς ἱερωσύνης παραγγελίας βαθμόν. Οὐκ ἐλαχίστην μέντοι μοῖραν εἰσῆγεν ἐνθυμημάτων καὶ γραφικῶν νοημάτων τοῖς τοῦτο δρῶσιν ἐκ προτροπῆς. Καὶ οἱ μὲν τοῖς ἐξ Ἀρείου βλάσφημα βάλλουσι συνεχῆ τόξα κατέτεινον· ὁ δὲ καθάπερ ἔκ τινος βελοθήκης ἢ φαρέτρας τῆς σοφῆς διανοίας ἐκείνου τὰ βέλη τῶν νοημάτων πυκνὰ προσέφερε. Καὶ ἐπ' ἐκκλησίας μὲν λέγειν οὐκ εἶχεν, ὡς εἴρηται· οἴκοι δὲ καὶ δημοσίᾳ τοὺς διαλόγους τιθέμενος, τὰς ἄρκυς τῶν δυσσεβούντων διέσπα, ἀραχνίων κατ' οὐδὲν διαφέρειν δεικνὺς τά γ' ἐκείνοις ἀναντίῤῥητα δοκοῦντα τῶν προβλημάτων.

magni ille generis sui præclari splendorem faciens, afflictiones autem et ærumnas pro fide non gravato ferens. Flavianus vero, qui et ipse ex nobilitate erat, veram pietatem generis claritati longe quoque præposuit. Is veluti quidam ludimagister, Diodoro ad sacrum pietatis quinquertium instructo affuit : atque in ecclesiis quidem ille concionari non potuit, quod junior adhuc ad sacerdotii gradum non conscendisset : sed non pœnitendum enthymematum seu argumentorum, atque ex Scripturis deprompta-rum sententiarum momentum eis, qui id legitima cohortatione exciti faciebant, suppeditavit. Et illi quidem adversus Arianos blasphema verba jactantes, continue arcum intendebant : hic autem veluti ex pharetra quapiam, sic ex sapienti mente sua, frequentia sententiarum tela subministrabat. Et in ecclesia, quemadmodum diximus, docere non potuit : domi vero et in publicis disputationibus impiorum retia disrupit, et nihil ab aranearum telis differre ostendit, quas ipsi irrefragabiles esse putabant quæstiones atque propositiones.

ΚΕΦΑΛ. ΚΕ'. B

Περὶ τῶν ὁσίων Ἀφραάτου καὶ Ἰουλιανοῦ· ὡς τὰς ἐν ἐρήμῳ λιπόντες διατριβὰς, τῆς ποίμνης Χριστοῦ ὑπερίσταντο.

Οὐ μικρὰ δὲ τῷ ἀγῶνι τούτοις τηνικαῦτα συνήρατο καὶ ὁ τὴν πολιτείαν ἐκεῖνος πολὺς Ἀφραάτης· οὗ τὸν βίον καὶ ὁ σοφὸς Θεοδώριτος ἐν τῇ παρ' αὐτοῦ συγγραφείσῃ βίβλῳ τῆς φιλοθέου ἱστορίας συνέγραψε. Καὶ οὗτος γὰρ τῆς ἡσύχου διαγωγῆς προτιμήσας τὴν σωτηρίαν τῆς Χριστοῦ ποίμνης, τὴν ἀσκητικὴν καλύβην ἀφεὶς, τῆς μάνδρας ἐπεμελεῖτο Χριστοῦ· καὶ ἱδρῶσι περιεῤῥεῖτο πάντοθεν τοὺς λύκους ἐλαύνων. Ἀλλ' ὅσος μὲν ὁ τῆς ἀρετῆς αὐτῷ πλοῦτος, καὶ οἷα ποιῶν ὑπὲρ ἄνθρωπον ἐγεγόνει, ἡ εἰρημένη βίβλος τῷ βουλομένῳ δηλώσει. Ἐγὼ δὲ ἓν τῶν ἐκείνου, ὃ προσῆκον εἶναι νομίζω τῇ παρούσῃ C δὴ πραγματείᾳ, δώσω τῷ λόγῳ. Ὀρόντης ὁ ποταμὸς, ἐκ μὲν βοῤῥᾶ παραῤῥεῖ τὰ ἐπὶ τῆς Ἀντιόχου βασίλεια· στοὰ δέ τις μεγίστη κατὰ μεσημβρίαν διώροφος ἀνεγήγερται τῷ τῆς πόλεως περιβόλῳ, πύργοις ὑψηλοῖς ἑκατέρωθεν κοσμουμένη· μεταξὺ δὲ τῶν βασιλείων οἴκων καὶ τοῦ ποταμοῦ ὁδός τίς ἐστιν, ὑποδεχομένη τοὺς ἐκ τῶν ἐκεῖσε διιόντας πυλῶν, καὶ εἰς τοὺς γείτονας ἀστικοὺς ἀγροὺς παραπέμπουσα. Ταύτην δὴ τὴν ὁδὸν ὁ θεσπέσιός ποτε Ἀφραάτης ἰὼν, εἰς τὸ τῆς πίστεως ἀπῄει γυμνάσιον, τοῖς Χριστοῦ προβάτοις τὴν ἁρμόττουσαν εἰσοίσων τροφήν. Ὃν ἄνωθεν βασιλεὺς παριόντα ἑώρα τῆς στοᾶς ὑπερκύπτων (σισύραν γὰρ ἠμφίεστο)· καὶ βαθεῖ τῷ γήρᾳ πεπονηκὼς, θᾶττον διέτρεχε. D Τινὸς δ' εἰπόντος τῷ βασιλεῖ, ἐκεῖνον εἶναι τὸν Ἀφραάτην, οὗτινος τὸ τῆς πόλεως ἐξέχεται πλῆθος, ὁ βασιλεὺς, « Ποῦ δὴ βαδίζεις; ἄνωθεν ἠρώτα τὸν ὅσιον. » Ὁ δὲ, « Ὑπὲρ τῆς σῆς βασιλείας, φησὶ, προσευξόμενος. » Καὶ ὁ βασιλεὺς, « Ἀλλ' ἐχρῆν σε νόμοις ἑπόμενον μοναχῶν, οἴκοι μένειν, καὶ ἡσυχῇ καθήμενον τοῦτο δρᾷν. » Ὁ δὲ θεῖος πρεσβύτης σοφῶς μάλα ἐπέφερεν· « Εὖ, φησὶ, λέγεις, ὦ βασιλεῦ, τοῦτό με δρᾷν ἔδει, καὶ τοῦτο διετέλουν πράτ-

CAPUT XXV.

De sancto Aphraate et Juliano : ut monasticam in solitudine vitam relinquentes, gregem Christi sint tutati.

Non parum vero (1) illis tum in certamine hoc opis quoque attulit insigni vita præclarus ille Aphraates, quam sapiens Theodoritus in volumine Dei amantium historiæ conscripsit. Nam et hic quieto vitæ instituto gregis Christi salutem prætulit : et monasticum relinquens tuguriolum, ovilis Christi curam gessit, et multo diffluens sudore, lupos undique ab eo repulit. Cæterum quam locuples virtute fuerit, et quæ supra captum hominis fecerit, **149** is quem diximus liber evolvere eum volenti ostendet. Ego vero unum quiddam illius actorum huic loco accommodatum, recensendum in opere hoc duxi. Orontes fluvius ab Aquilonari parte imperialem Antiochiæ domum præterlabitur. Porticus autem quædam maxima duorum culminum, in parte meridionali ad urbis mœnia, prælatis turribus utraque ex parte conspicua, est exstructa. Inter imperiales ædes et amnem via est, quæ per portam quæ isthic est, euntes excipiens, in vicinos suburbanos agros deducit. Hanc viam aliquando divus insistebat Aphraates, ad fidei gymnasium iturus, et ovibus Christi congruens pabulum allaturus. Eum e superiore loco porticus prospectans imperator vidit : sisyra enim, seu veste ex ovium villosis pellibus consuta, amictus, et senio multo confectus, celerius tamen currebat. Et quidam imperatori, hunc esse Aphraatem illum, ex quo totius urbis multitudo penderet, dixit. Et ille e porticu virum sanctum interrogans : « Quonam, inquit, vadis? » Atque Aphraates, « Pro imperio tuo precaturus, » respondit. « Atqui, » imperator intulit, « domi te, qui leges monachorum sequeris, manere, ibique quiete considentem hoc facere oportuit. » Tum divinus senex perquam sapienter ait : « Recte tu quidem, o imperator, di-

(1) Theod. cap. 26.

cis me id facere debere : facturusque id adeo constanter fueram, si pax Christi ovibus esset. Sed cum multa quædam insaniæ caligo loca omnia occuparit, et maximus insuper subrepat timor, ne plurimo imminente periculo, a feris oves dilanientur, necessitas mihi quoque incumbit, ut vigilem, omnemque funem moveam, ne quod grex Christi capiat detrimentum. Age enim, o imperator, si puella essem domi in conclavi abdita, fusos manibus tractans, et lanificium meum curans, atque alicunde subito conspicerem flammam exortam, et omni ex parte paternæ domui circumfusam, fœdo incendio eam jamjam consumpturam, quid me facere oporteret? dic, te per Deum oro. Utrumne me sic sedere, et penates patrios conflagrantes despicere, ignemque proserpentem exspectare : an conclavi statim relicto, sursum et deorsum currere, aquam in manibus habere, et modis omnibus flammam exstinguere conari oporteret? **150** Satis sane scio, dicturum te, faciendum mihi esse, quod et sagacis sanæque mentis puella faceret. Id ipsum vero nunc quoque fieri debere existimo. Cum tu enim quasi fulmen quoddam in paternam domum nostram incideris, et veriorem pietatem omnem igne vastes, undiquaque circumcursamus, flammam gliscentem exstinguere satagentes. » Hæc quidem ille dixit. Imperator autem ad minas usque progressus, silere eum coegit. Ex cubiculariis autem imperatoris quidam, qui sanctum virum propter animi temeritatem gravius tractaverat, in balneum confestim ingressus, ut principi lavationem præpararet, mente captus, et in calidas aquas delapsus, ibi vitam finivit. Imperator aliquandiu exspectans, et extrahi ea mora tempus querens, aliis causam ejus rei inquisitam sibi renuntiare præcepit. Qui cum eo venissent, et omnia circumspexissent, illum in calidis undis morte frigida peremptum repererunt. Quod ubi imperator cognovit, opus id quidem petulantis, Aphraatæ sancto illatæ injuriæ et contumeliæ esse, recte arbitratus est : de impio autem dogmate eumdem, juxta indurati cordis Pharaonem, retinuit animum. Et perinde atque fulmine afflatus et attonitus imperator, miraculo eo magis etiam est contra veram pietatem concitatus. Eadem tempestate idem quod Aphraates, plurimum laudatus ille Julianus fecit. Nam hic quoque solitudine relicta, Antiochiam venit. Cum enim mendacii artifices, Ariani inquam, per sycophantiam virum sanctum traducere conarentur, veluti factionis eorum esset, et dogmati Ariano consentiret : Flavianus, Diodorus, et Aphraates, veritatis lumina, Acacium illum qui postea Berrœensem civitatem sacrorum antistes optime administravit, ad celebrem illum virum cum hujusmodi postulatis misere, ut multorum (1) millium hominum misertus veniret, et cum adversariorum redargueret mendacium, tum veritatem libere confir-

(1) Theod. cap. 27.

A των, ἐν εἰρήνῃ τῶν Χριστοῦ θρεμμάτων μενόντων. Ἐπεὶ δὲ πολλή τις τὸ πᾶν κατέχει σκοτόμαινα, καὶ δέος ὑφέρπει πλεῖστον, μὴ θηριάλωτα γένηται, μεγίστου ἐπηρτημένου κινδύνου, ἀνάγκη κἀμὲ γρηγορεῖν, καὶ πάντα κάλων κινεῖν, ἀλώβητον διασῶσαι τὴν ποίμνην Χριστοῦ. Ἆρα γάρ, ὦ βασιλεῦ, εἴγε κόρη τις ἐτύγχανον ὤν, οἴκοι τε καὶ πρὸς θάλαμον κεκρυμμένη, καὶ πρὸς ἄτρακτον ἐρείδουσα χεῖρας, καὶ τῆς οἰκείας ταλασίας καθεστῶσα εἰς ἐπιμέλειαν· εἶτά ποθεν ἐξαπίνης φλόγα προσπεσοῦσαν ἑώρων, τὴν πατρῴαν οἰκίαν ἁπανταχοῦ περιθέουσαν, καὶ κατεπειγομένην ἀπηνέστερον δαπανᾷν, τί με δρᾷν ἔδει, εἰπὲ πρὸς Θεοῦ; Ἆρ' ἐχρῆν ἡσυχῇ καθῆσθαι, καὶ τὴν πατρικὴν ἑστίαν οὕτως ἐμπιπραμένην περιορᾷν, καὶ τὸ πῦρ ἕρπον προσμένειν· ἢ τὸν θάλα-
B μον λιποῦσαν εὐθὺς, ἄνω καὶ κάτω χωρεῖν, ὕδωρ μετὰ χεῖρας ἔχουσαν, καὶ παντὶ τρόπῳ σβεννύειν πειρᾶσθαι τὴν φλόγα; Οἶδα πάντως, τοῦτο ἐρεῖς, ὃ καὶ κόρη ἀγχίνους, καὶ φρενὸς ὑγιοῦς ἀντιποιουμένη, ἔδρασεν ἄν· ὃ κἀγὼ νομίζω ἄρτι χρῆναι δρᾷν. Σοῦ γὰρ οἷά τινος κεραυνοῦ ἐπὶ τὴν πατρῴαν ἡμῶν οἰκίαν κατασκήψαντος, καὶ τὸ σύμπαν πυρπολοῦντος τῆς εὐσεβείας, ἁπανταχοῦ περιθέομεν τὸ τῆς φλογὸς ἀκμάζον σβέσαι πειρώμενοι. » Ταῦτα ὁ μὲν εἶπεν· ὁ δὲ μέχρις ἀπειλῆς προχωρήσας, σιγᾷν ἠναγκάζετο. Τῶν τις δὲ περὶ τὸν βασιλικὸν κοιτῶνα θρασύτερον τῷ ὁσίῳ διατεθεὶς, περὶ τὸ βαλανεῖον εὐθὺς εἰσιὼν, ὥστ' αὐτὸ βασιλεῖ εὐτρεπίσαι, τὸ λογιστικὸν ἐκτραπεὶς, εἰς τὴν θερμοῤῥόην διολισθήσας,
C καὶ ἀκράτου μετασχὼν τοῦ θερμοῦ, τὸν βίον ἀπέλιπεν. Ἐπεὶ δ' ὁ βασιλεὺς ἐπιπολὺ διατρίβων τὸ βραδὺ κατῃτιᾶτο τοῦ χρόνου, ἑτέροις ἐπέτρεπε μηνύειν τὸ αἴτιον. Ὡς δ' ἧκον πάντα περισκοποῦντες, ὁρῶσιν ἐκεῖνον ἔνδον τοῦ ἀκράτου θερμοῦ, τῷ ψύχει διαλυόμενον τῆς νεκρώσεως. Ὃ δὴ οἱ περὶ τὸν βασιλέα μαθόντες, ἔργον μὲν εἶναι τῆς ἐς Ἀφραάτην, τὸν ὅσιον, παροινίας καλῶς ἐλογίσαντο· πρός γε μὴν τὸ δυσσεβὲς δόγμα κατὰ τὸν σκληροκάρδιον διέκειντο Φαραώ. Ὁ δὲ ἐμβρόντητος βασιλεὺς τῇ θαυματουργίᾳ μᾶλλον κατὰ τῆς εὐσεβείας ὡπλίζετο. Κατ' ἐκεῖνο δὲ καιροῦ τὰ ἴσα τῷ Ἀφραάτῃ καὶ ὁ πολυύμνητος Ἰουλιανὸς ἔπραττε· τὰς γὰρ ἐν ἐρήμῳ διατριβὰς καὶ οὗτος καταλιπὼν, τὴν Ἀντιόχου κατέλαβεν. Ἐπεὶ γὰρ οἱ τοῦ ψεύδους ἐργάται, οἱ τὰ
D Ἀρείου λέγω φρονοῦντες, συκοφαντεῖν ἐπειρῶντο τὸν ὅσιον, ὡς τῆς αὐτῶν εἴη φατρίας, καὶ τοῖς ἐκείνων στοιχεῖ δόγμασι· Φλαβιανὸς καὶ Διόδωρος καὶ Ἀφραάτης οὗτος, οἱ τῆς ἀληθείας φωστῆρες, Ἀκάκιον ἐκεῖνον, ὃς τὴν Βεῤῥοιαίων πόλιν εἰσέπειτα διίθυνεν ἄριστα, πρὸς τὸν πανεύφημον ἐκεῖνον ἄνδρα προσάγοντες, δέησιν ἔπεμπον, πολλῶν ἀνθρώπων μυριάδας οἰκτεῖραι· ὥστ' ἰόντα, τὸ μὲν τῶν ἐναντίων διελέγξαι ψεῦδος, τὴν δ' ἀλήθειαν παῤῥησιάσαι, καὶ τὸ τῆς πίστεως δόγμα κηρῦξαι. Καὶ ἃ μὲν οὗτος καὶ ἅπαξ καὶ δεύτερον εἰσιὼν τὴν Ἀντιόχου παράδοξα διεπράξατο, ἡ φιλόθεος ἱστορία διδάξει τοῖς βουλομένοις· ὅτι δὲ τὸ τῆς πόλεως σύμ

παν εἰς τὸν τῆς ἀληθείας ἤθροισε σύλλογον, οὐδένα A οἶμαι μὴ ἀκριβῶς διειδέναι, ὅσοι καλῶς τὰ ἀνθρώπινα ἐξετάζειν εἰώθασι· φιλεῖ γὰρ τὰ τῶν ἔργων παράδοξα πάντας ἕλκειν ὡς ἐπίπαν πρὸς ἑαυτὰ, καὶ πείθειν τὴν ἴσην δόξαν τῷ ἐνεργοῦντι ἀσπάζεσθαι. Ὅτι δ' ἐξαίσια καὶ λόγον ἐκβαίνοντα διετέλεσεν Ἰουλιανὸς, οὐχ ἡμεῖς μόνον, ἀλλὰ καὶ οἱ τῆς ἀληθείας μαρτυροῦσι κατήγοροι. Τοῦτο δὴ καὶ Ἀντώνιος ἐκεῖνος, ὁ τῆς μοναχικῆς ἡγησάμενος πολιτείας, ἐπὶ τῶν Κωνσταντίου διεπράξατο χρόνων· ἐν δευτέρῳ γὰρ τὰς ἐν ἐρήμῳ διατριβὰς θέμενος, τὴν Ἀλεξάνδρου πόλιν ἁπανταχοῦ περιῄει, γλώσσῃ τρανοτέρᾳ διαμαρτυρούμενος ἅπασιν, ὡς Ἀθανάσιος πρόμαχος μὲν τῆς ἀληθείας ἐστὶ, καὶ τῶν ἀποστολικῶν συνήγορος διδαγμάτων· οἱ δὲ τῆς Ἀρείου B μετεσχηκότες λύττης πόῤῥω τῆς ἀληθείας ἐκτρέχουσιν. Οὕτω καλῶς σκοποῦντες οἱ θεῖοι ἐκεῖνοι ἄνδρες, ᾔδεσαν ἑκάστῳ καιρῷ τὸ προσῆκον ἁρμόττειν· καὶ τηνίκα μὲν χρὴ τὴν ἡσυχίαν ἀσπάζεσθαι, τηνίκα δὲ τὴν ἔρημον παραιτουμένους, προτιμᾷν τὰς ἐν πόλει διατριβάς.

ΚΕΦΑΛ. ΚϚ'.

Περὶ τῆς τελευτῆς Ἀθανασίου, οὗ Πέτρος διάδοχος. Ἔτι δὲ καὶ περὶ τῆς τοῦ Ἀρειανοῦ Λουκίου ὠμότητος, ὃν οἱ Ἀρειανοὶ ἐπὶ τῆς Ἀλεξάνδρου κατέστησαν, ἐξελάσαντες Πέτρον.

Τοιαῦτα καὶ ἐν Ἀντιοχείᾳ ὁ δυσσεβὴς Οὐάλης C ἐνήργει. Μετιτέον δ' ἐντεῦθεν ἐπὶ τὰ κατὰ τὴν Ἀλεξάνδρου τούτῳ γενόμενα. Ἠρέμα γὰρ εἶχεν ἡ κατ' Αἴγυπτον Ἐκκλησία περιόντος Ἀθανασίου, δι' ἃς αἰτίας μικρὸν ἄνωθεν διελάβομεν· ὑπερτέρει γὰρ τὸ πλῆθος ἐνθάδε τῶν εὐσεβεῖν ᾑρημένων τῆς Ἀρειανικῆς φάλαγγος, σφόδρα τῷ Ἀθανασίῳ προσκείμενον. Ἔνθερμον δὲ μάλιστα ὂν καὶ πρὸς στάσιν ἐπιῤῥεπῶς ἔχον, παρεῖχε δέος, μὴ στάσεως κινηθείσης τὰ δημόσια παραβλάψειε πράγματα. Ὅθεν ἔκ τινος θείας προνοίας ἀπείρατος τῶν δεινῶν διέμεινεν Ἀλεξάνδρεια, ἕως οὗ περιῆν ὁ τῆς ἀληθείας ἀγωνιστὴς Ἀθανάσιος. Ἐπεὶ δ' ἐκεῖνος μετὰ τοὺς πολλοὺς κινδύνους καὶ τοὺς ἴσους στεφάνους εἰς τὴν ἄπονον μετεχώρησε λῆξιν, ἀμφὶ τεσσαράκοντα καὶ ἓξ ἔτη τῇ ἀρχιερωσύνῃ ἐμπρέψας, Πέτρος, ἀνὴρ D ἄριστος καὶ ἐλλόγιμος, τοῦ κλήρου διάδοχος γίνεται, αὐτῆς ἐκείνης ψηφισαμένης τῆς μακαρίας κεφαλῆς πρότερον· ἔπειτα καὶ τῶν τῆς ἐπαρχίας ἐπισκόπων πάντων συμψήφων γεγενημένων, τῆς τε ἱερωσύνης πάσης, καὶ τῶν ἐν τέλει καὶ ἀξιώμασι προεχόντων τῆς πόλεως. Καὶ τὸ δημῶδες δ' ἅπαν ἐπεκύρου ταῖς εὐφημίαις τὴν μεθ' ἡδονῆς βούλησιν. Κοινωνὸς γὰρ Ἀθανασίῳ τῶν μακρῶν ἱδρώτων ἐγένετο, ἀεὶ τῷ μεγάλῳ τούτῳ συνὼν, ἔν τε ταῖς ἀποδημίαις καὶ τοῖς οἴκοι διατριβαῖς, παντοδαποῖς σὺν ἐκείνῳ προσπαλαίων κινδύνοις· ἔνθεν τοι καὶ ὅσοι γειτνιάζοντες ἦσαν τῶν ἱερέων, καὶ ὅσοι τὸν ἡσύχιον βίον μετῄεσαν, τὰς ἀσκητικὰς καταλιπόντες παλαίστρας, ἠξίουν μάλα τὸν Πέτρον διάδοχον τοῦ θρόνου γενέ-

mans, fidei doctrinam deprædicaret. Et quæ vir iste semel atque iterum Antiochiam adveniens mirifice peregerit, Dei amantium historia quemvis edocebit. Quod vero urbs tota opera ipsius ad conventum se et cœtum veritatis contulerit, neminem non certo nosse puto, qui recte res humanas dijudicare consueverit. **151** Opera namque præter opinionem hominum edita, omnes omnino ad se pertrahere, eamdemque cum eorum auctore sententiam complecti, persuadere solent. Julianum porro præcipua quædam et rationem superantia miracula perfecisse, non nos solum, sed etiam veritatis accusatores testantur. Idem vero Antonius ille monasticæ auctor vitæ, Constantii temporibus fecit. Posthabita enim quandoque solitudine, Alexandrinam urbem ubique perambulans, verbis clarioribus omnibus est attestatus, Athanasium quidem veritatis esse propugnatorem, et apostolicorum dogmatum defensorem: qui vero Arii rabie affecti essent, a veritate ipsa longe aberrare. Adeo rem ipsam recte putantes divini illi viri, tempori cuique munia sua tribuerunt, quando vel quietiorem vitam complecti, vel locis relictis solis degere in urbibus potius deberent, minime ignorantes.

CAPUT XXVI.

De obitu Athanasii, cujus successor fuit Petrus. Præterea de crudelitate Lucii Ariani: quem Ariani Alexandrinæ Ecclesiæ, Petro pulso, præfecerunt.

Talia impius Valens Antiochiæ quoque egit. Transeundum autem hinc ad ea quæ Alexandriæ sunt gesta. Quiete siquidem in Ægypto Ecclesia fuit, Athanasio superstite, ob eas quas supra narravimus causas. Multitudo namque ea, quæ veram pietatem sibi sequendam statuerat, Arianam phalangem superabat: idque propter suum erga Athanasium amorem. Et cum ea esset ardentior, et ad seditionem movendam propensior, metum de se præbuit, ne tumultu concitato, respublica detrimento mulctaretur. Proinde divina quadam providentia immunis a gravibus malis Alexandria permansit, tantisper dum veritatis propugnator superfuit Athanasius. Ubi autem ille post pericula plura, nec coronas pauciores, ad vitæ conditionem laboris omnis expertem, ad quadraginta et sex annos episcopatum cum gloria magna functus, discessit: Petrus, vir optimus et clarissimus, in functionem ejus successit, suffragio quidem primum beati illius capitis, deinde etiam episcoporum provinciæ ejus universorum, **152** totiusque cleri et eorum qui Alexandriæ primos honores et magistratus gerebant, votis et calculis, plebe etiam cuncta faustis acclamationibus consilium id perquam libenter confirmante. Particeps enim diuturnorum sudorum Athanasii fuerat, nunquam a magno illo viro vel domi vel peregre discedens, variisque cum illo periculis colluctans. Quapropter quicunque erant finitimi episcopi, et qui tranquillam vitam sectabantur, monasticas relinquentes

palæstras, maxime hoc egerunt, ut Petrus in illius A locum substitueretur. Postquam autem is sacram recepit sedem, nulla interposita mora, gentis ejus præfectus, contracta ex Judæis et Græcis manu, ecclesiam circumvallavit, et Petrum exire jussit. Quod nisi faceret, se illum vel invitum inde ejecturum esse, minatus est : quod quidem ille fecit, cum ut voluntati imperatoris morem gereret, tum maxime impietati ipse suæ satisfaceret. Quod namque ex idolorum nefaria superstitione penderet, splendide se festum diem acturum esse putabat, si veræ pietatis navem in tempestatem conjiceret. Ac primum quidem Petrus in carcerem inclusus est : postea autem profugiens, cum scapham commode nactus esset, Romam ad consentientem sibi B ejus urbis episcopum Damasum trajecit. Et brevi post Euzoius, qui Antiochiæ Arianæ præiit religioni, tempus opportunum nactus, consilium invenit, ut Alexandriam ipse iret, et ecclesias ibi Lucio Ariano traderet. Quod cum imperatori quoque placuit (adhuc enim is Antiochiæ erat), cum satellitio multo, et militari quæ eum sequebatur manu sane quam frequenti profectus est, atque una cum eo magnus imperatoris quæstor. Habebant ii ab imperatore ad præfectum provinciæ Palladium, mandatum, ut is quacunque in re opus esset, Lucio et Euzoio non deesset. Et Petrus quidem, sicuti dictum est, in carcere asservatus est : postea etiam Romam navigavit. At Lucius Arianus in sacram Athanasii sedem est collocatus. Itaque C Ægyptii longe graviores in exteros animos concepere. Simul atque enim improviso advenerat Lucius, statim ecclesias occupare contendit. Atque ubi plebs contra niti cœpit, bellum adversus clericos et sacras virgines est institutum. **153** Et aliæ super alias illatæ calamitates Ecclesiæ catholicæ sectatores afflixerunt. Perinde enim atque feræ agrestes gregi Christi Ariani imminentes, partim in exsilium egere, partim captos in vincula conjecere : quos rursum ex vinculis productos, variis subdidere suppliciis. Quidam enim unguiis et flagris bubulis cæsi, quidam ardentibus facibus adusti, atque alii bonis primum spoliati, aliis mox sunt affecti cruciatibus. Tormentis vero tam varii generis superesse, admirabile est visum. Quod si D quis prius vita excessisset, quam tanta mala expertus, aut si ad tolerabilius exsilium damnatus esset, fortunatum id, et quod alicui invideri posset, habitum est. Sed quis exponere possit, quæ mala in Lucii introitu acciderint ? Quorum quidem Sabinus, qui res ecclesiasticas conscripsit, minime meminit, quod amicorum sibi Arianorum dedecora premere maluerit. Optime autem ea beatus Petrus, postquam e carcere profugit, in scripto quodam suo tanquam tragœdiam exposuit, et ad omnes ubique ecclesias misit. Quod scriptum, cum prius unum saltem nefarium impii Lucii flagitium memoravero, volumini huic inseram.

A σθαι. Ὡς δὲ τοῖς ἱεροῖς ἐνίδρυτο θώκοις, εὐθὺς ὁ τοῦ ἔθνους ἡγεμὼν, τὸν ἐξ Ἰουδαίων καὶ Ἑλλήνων περιαθροίσας ὅμιλον, τὴν ἐκκλησίαν περιεκύκλου. καὶ ἐξιέναι τὸν Πέτρον ἐκέλευεν· εἰ δ' οὖν, ἀλλ' αὐτός γε καὶ ἄκοντα τοῦτον ἐξελάσειν ἠπείλει, τὰ θυμήρη δῆθεν πράττων τῷ βασιλεῖ· τὸ δ' ἀληθὲς, τῇ σφετέρᾳ δυσσεβείᾳ ἀφοσιούμενος τὸ εἰκός. Τῆς γὰρ τῶν εἰδώλων δυσσεβείας ἐξηρτημένος, ἄγειν ᾤετο λαμπρὰν ἑορτὴν, εἰ ἐν ζάλῃ τὴν τῆς εὐσεβείας ὁλκάδα ἐμβάλλει. Καὶ πρῶτα μὲν ὁ Πέτρος καθείργνυτο· ἔπειτα διαδρὰς καὶ σκάφους εὐτυχήσας, εἰς Ῥώμην ἀνέπλεεν ὡς πρὸς ὁμόδοξον Δάμασον τὸν Ῥώμης ἐπίσκοπον. Οὐ πολλῷ δὲ ὕστερον, Εὐζώϊος ὁ ἐν Ἀντιοχείᾳ τῆς Ἀρειανικῆς προεστὼς B θρησκείας, τὸν καιρὸν ἁρπάσας, συνέῤῥαπτεν αὐτὸς εἰς Ἀλεξάνδρειαν κατελθεῖν, ἐπὶ τῷ παραδοῦναι Λουκίῳ τῷ Ἀρειανῷ τὰς ἐνθάδε ἐκκλησίας. Καὶ ἐπεὶ καὶ βασιλεῖ ἐδόκει, ἔτι γὰρ περὶ τὴν Ἀντιόχου διῆγε, σὺν δορυφορίᾳ κατῄει πολλῇ, καὶ στρατιωτικῆς πλείστης ἑπομένης χειρός· σὺν αὐτῷ δὲ καὶ Μάγνος ὁ τῶν βασιλικῶν ταμίας χρημάτων. Καὶ πρόσταγμα δὲ βασιλέως τῷ τοῦ ἔθνους ἡγεμόνι Παλλαδίῳ ἐπέμπετο, ὅ τι ἂν δέῃ Λουκίῳ καὶ Εὐζωΐῳ καθυπουργεῖν. Καὶ Πέτρος μὲν καθεῖρκτο, ὡς εἴρηται· ἔπειτα δὲ καὶ εἰς Ῥώμην ἀπέπλει. Λούκιος δὲ ὁ Ἀρειανὸς τοῖς ἱεροῖς Ἀθανασίου θώκοις ἐνίδρυτο. Ἐντεῦθεν δὲ περὶ τοὺς ἀλλαχόσε συνέβαινε πολλῷ χαλεπώτερον διατεθῆναι τοὺς ἐν Αἰγύπτῳ· ἅμα γὰρ εἰσπεσὼν, ἐπεχείρει κατέχειν C τὰς ἐκκλησίας. Ἐπεὶ δ' ἀντέπνει τὸ πλῆθος, ἐπλέκετο μὲν ἡ στάσις τοῖς κληρικοῖς καὶ ταῖς ἱεραῖς παρθένοις· καὶ συμφοραὶ συμφορὰς τοὺς ἀπὸ τῆς καθόλου Ἐκκλησίας διαδεχόμεναι ἐξεπίεζον· οἷα γάρ τινες θῆρες ἀγρίως τῇ ποίμνῃ Χριστοῦ ἐπιθέμενοι, τοὺς μὲν εἰς φυγὴν ἔτρεπον, οἱ δὲ δεσμῶται ἦσαν συλλαμβανόμενοι· αὖθις δ' ἐκ τῶν δεσμῶν προαγόμενοι, ποικίλαις ὑπεβάλλοντο τιμωρίαις· ὄνυξι γὰρ καὶ βοείαις ᾐκίζοντο. Ἦσαν δὲ οἳ καὶ λαμπάσι πυρὸς ἀνεφλέγοντο· καὶ παντοδαπὰς ὑφίσταντο τιμωρίας, τὰ οἶκοι πρῶτον διαρπαζόμενοι. Ἐπιβιῶναι δὲ τῷ ποικίλῳ τῶν βασάνων, παράδοξον ἐλογίζετο. Τὸ δέ γε πρὸ τοῦ πεῖραν σχεῖν τῶν δεινῶν ἀπαλλαγῆναι τοῦ ζῆν, ἢ τό γε μετριώτερον, φυγὴν καταδικασθῆναι μακάριόν τε καὶ ζη- D λωτὸν ἐνομίζετο. Καὶ πῶς ἄν τις ἐκδιηγήσαιτο, ὅσα κακὰ ἐπὶ τῇ εἰσόδῳ Λουκίου γεγένηντο; Ὧν Σαβῖνος μὲν ὁ τὰ ἐκκλησιαστικὰ συγγραψάμενος ἥκιστα μέμνηται, τὰ τῶν φίλων Ἀρειανῶν ἐλαττώματα συγκαλύπτειν αἱρούμενος· ἄμεινον δ' αὐτὰ ὁ μακάριος Πέτρος ἐν ἰδίῳ συγγράμματι ἀρίστως ἐξετραγῴδησε, καὶ ταῖς ἁπανταχοῦ ἐκκλησίαις μετὰ τὴν ἐκ δεσμωτηρίου φυγὴν διεπέμψατο. Ὃ δῆτα, μετὰ διήγησιν μιᾶς ἀνοσιουργίας Λουκίου τοῦ ἀσεβοῦς, τῷ παρόντι ἐνθήσω συγγράμματι.

ΚΕΦΑΛ. ΚΖ'. A

Περὶ τοῦ γενομένου διωγμοῦ τοῖς κατ' Αἴγυπτον μοναστηρίοις παρὰ Λουκίου· καὶ περὶ τῶν μαθητῶν Ἀντωνίου τοῦ μεγάλου, καὶ τῶν δύο ἁγίων Μακαρίων, ὡς ὑπερόριοι διὰ τὴν πίστιν γενόμενοι, πολλὰ θαύματα διεπράξαντο.

Ὁ μὲν οὖν ἀξιάγαστος Πέτρος οὕτω φυγὰς εἰς Ῥώμην ἀπέπλει· οἱ δὲ τῆς Ἀρείου συμμορίας, καίπερ βραχεῖς ὄντες, τῶν κατ' Αἴγυπτον ἦρξαν ἐκκλησιῶν. Οὐκ εἰς μακρὰν δὲ καὶ πρόσταγμα ἐκ βασιλέως τῷ τοῦ ἔθνους ἡγουμένῳ ἐπέμπετο, διαγορεῦον τοὺς τῆς ἐν Νικαίᾳ πίστεως ὑπερισταμένους, ἔκ τε τῆς Ἀλεξάνδρου καὶ πάσης τῆς Αἰγυπτιακῆς διοικήσεως ἐξελαύνεσθαι, ὅσους ἂν κελεύσειε Λούκιος. Εὐζώϊος μὲν οὖν, ὅσα γε ἦν αὐτῷ πρὸς βουλῆς ἐπὶ τῆς Ἀλεξάνδρου ἀνύσας, αὖθις τὴν Ἀντιόχου B κατέλαβεν· ὁ δὲ Λούκιος, καθὼς προσετέτακτο, τὸν ἡγεμόνα τῆς κατ' Αἴγυπτον στρατιᾶς σὺν πολλῷ πλήθει συμμίκτῳ Ἑλλήνων καὶ Ἰουδαίων καὶ τῶν ἀπὸ τῆς σφετέρης δόξης ληΐζων διῄει, καὶ τὸ στρατήγιον ἐπήγνυ κατὰ τῶν ἐν ἐρήμοις διατριβόντων μοναχῶν. Ἐν ἐλπίσι καὶ γὰρ ἦν, ὡς εἰ τούτοις δι' ὄχλου γένηται, ἡσυχίας μάλιστ' ἐρῶσι, πειθηνίους ἕξειν, καὶ οὕτω καὶ τῶν ἐν πόλει περιγενέσθαι Χριστιανῶν· ἐπεί τοί γε πολλοὶ τηνικαῦτα καὶ θεσπέσιοι ἄνδρες ἦσαν τῶν κατ' Αἴγυπτον καὶ Θηβαΐδα μοναστηρίων προεστηκότες, τὴν Ἀρείου δόξαν μάλιστα ἐκτρεπόμενοι· οἷς τὰ πλήθη ἑπόμενα, τὰ ἴσα φρονεῖν περὶ πολλοῦ ἐποιεῖτο. Οὔτε γὰρ περὶ δογμάτων ἀδολεσχεῖν ἤθελον, οὔτ' ἠπίσταντο· παρ' ἐκείνοις δ' εἶναι τὴν ἀλήθειαν ᾤοντο, οἷς καὶ C Θεὸς ἐπακούων ἐνήργει παράδοξα· καὶ τοῖς λόγοις τῆς πίστεως, τὰ τῆς ἀρετῆς ἔργα ἐπεμαρτύρουν· ὁποίους τηνικαῦτα ἡγεμόνας εἶναι τῶν μοναχῶν ἔγνωμεν· τοὺς δύο φημὶ Μακαρίους, τὸν Ἀλεξανδρέα καὶ τὸν ἀστὸν, ὧν καὶ πρόσθεν ἐμνήσθημεν· Παμβώ τε καὶ Ἡρακλείδην ἐκεῖνον ἀρίστως μαθητευθέντας τῷ καθηγεμόνι τῆς ἀρετῆς καὶ τῶν ἀνὰ τὴν Αἴγυπτον μοναστηρίων, Ἀντωνίῳ τῷ πάνυ, καὶ τοὺς λοιποὺς αὐτοῦ φοιτητάς. Καὶ δὴ λογισάμενος Λούκιος ὡς οὐκ ἐγγένηταί σφισιν ἐν τῷ ἀσφαλεῖ καθεστάναι, καὶ τῆς καθόλου Ἐκκλησίας κρατῆσαι, εἰ μὴ τοὺς τῶν μοναχῶν ἄκρους ὁμοφρονεῖν αὐτοῖς ἀναγκάσοι, ἐπεχείρει τῷ ἔργῳ· καὶ ἐπεὶ πείθειν οὐκ εἶχε, τὴν βίαν προσῆγε. Καὶ ἔνοπλοι γυμνοῖς D καὶ μηδὲ χεῖρα αἱρουμένοις προτείνειν εἰς ἄμυναν ἐπελθόντες, ἐλεεινῶς ἐξεπόρθησαν· ὡς εἶναι λόγου κρείσσω τὰ κατ' αὐτῶν γενόμενα πάθη. Τέλος διημάρτανε τοῦ σκοποῦ, τοὺς αὐχένας ἑτοίμως πάντων ὑποκλινόντων τοῖς ξίφεσι· καὶ εἴ γε δέοι θανεῖν, μᾶλλον προθύμως ἑλέσθαι, ἤ τι τῶν ἐν Νικαίᾳ δοξάντων μετακινῆσαι. Καὶ δὴ λέγεται, προσδοκίμων αὐτοῖς ἐπιθέσθαι τῶν στρατιωτῶν, τινὰ πρὸς αὐτοὺς γενέσθαι, τὰ τῶν ποδῶν ἄρθρα διασεσεισμένον· ποσὶ δὲ μὴ δυνάμενον οἰκείοις ἐπιστηρίζεσθαι, ῥάβδοις τὴν τῶν ποδῶν χρείαν ἀποπληροῦν. Καὶ

CAPUT XXVII.

De persecutione quam Lucius monasteriis Ægypti intulit, et de discipulis Antonii magni: et de duobus sanctis Macariis, ut propter fidem exsulantes, multa miracula ediderint.

Ac Petrus quidem ille admiratione dignus, ad eum modum Romam concessit. Qui vero factionis Arianæ erant, quantumvis pauci, ecclesiis in Ægypto imperarunt. Nec ita multo post, mandatum quoque ab imperatore ad gentis ejus præfectum missum est, quod Nicænæ fidei propugnatores a Lucio indicatos Alexandria et omni Ægyptia diœcesi ejici jubebat. Porro Euzoius confectis Alexandriæ ex sententia rebus, rursum se Antiochiam contulit: Lucius vero, quemadmodum mandatum fuerat, et Ægyptii exercitus dux, cum magna multitudine ex Græcis et Judæis et Arianis mistim collecta, hostiliter prædas egit, et infesta signa contra monachos solitudinem incolentes duxit. **154** Ea enim spe erat, si iis quietem maxime consectantibus molestiam turbulenter afferret, in potestate eos sua fore: proindeque et eos qui in urbibus essent, Christianos, a se devictum iri: quandoquidem multi ea tempestate venerandi in Ægypto et Thebaide viri monasteriis præibant, Arii opinionem maxime aversantes. Quos plebs ipsa secuta, ut eadem cum illis de religione sentiret, maximi faciebat. Neque enim illi de dogmatibus nugari voluere, ac ne potuere quidem. Penes eos autem veritatem esse arbitrati sunt, quorum preces Deus exaudiret, miraculorum edendorum facultatem eis tribuens, et qui fidei verba virtutis operationibus tanquam testimoniis confirmarent: quales tum monachorum duces fuisse novimus, Macarios duos, Alexandrinum et Urbanum, quorum antea meminimus: item Pambo, et Heraclidem illum, qui optime ab Antonio magno virtutis et Ægyptiorum monasteriorum antistite sunt eruditi, et alios ejusdem discipulos. Et cum Lucius secum ipse reputaret, fieri neutiquam posse ut res Arianorum in tuto essent, et ipsi universalem sibi Ecclesiam subjicerent, nisi eos qui inter monachos summi essent, in sententiam suam pedibus ire cogerent, rem eam est agressus. Et (1) quia suadendo nihil efficeret, ad vim se convertit. Itaque armati, nudis, et qui ne manum quidem defendendi causa extendere vellent, ingruentes (2), miserandum in modum eos afflixerunt, ita ut cladem illis illatam verbis exponere non liceat. Postremo tamen cœptum id frustra fuit, quod omnes parati essent jugulum inclinatum gladiis præbere, et, si opus esset, mori potius alacriter, quam aliquid de Nicænis decretis mutare. Fertur vero et illud, cum impetum imminentium militum exspectarent, quemdam apud eos fuisse, ex pedibus propter articu-

(1) Sozom. eod. cap. 20.

(2) Valens impietatem quam dudum meditans fuerat, operibus explens, legem tulit, ut monachi militarent: nolentes per tribunos et milites fustibus interfici jussit. (Eutrop.)

lorum convulsionem adeo laborantem, ut illis insistere non posset, sed scipionibus quibusdam illorum vicem et usum expleret. Hunc illi oleo unctum in nomine Christi, quem Lucius persequeretur, surgere et domum ire jusserunt. At ille exsiliens, statim iter perfecit, eadem prorsus cum monachis istis colenda esse prædicans, quibus Deus, Lucium (1) accusantibus, gratiam suam concederet, et aurem tam benigne præberet, ut se tam diuturno morbo liberarint. **155** Verum ne iis quidem ipsis rebus eis consilii cœptique sui pœnitentia incessit. Noctu enim hos oppressos atque comprehensos in insulam quamdam circumcirca lacu ingenti circumdatam miserunt, quam antiquitus homines superstitionis dæmoniacæ, qui doctrinam nostram prorsus non audissent, incolebant. Erat autem adhuc ibi perniciosi et pestiferi dæmonis antiquissimum delubrum, cujus cultu etiamnum maxime tenebantur. Postquam autem insulam attigerunt, sacerdotis filia, a dæmone agitata, ad eos venit. Quæ ubi cursu et clamore indecenti ad eos contenderet, insulæ incolæ, novitate ejus rei consternati, eam sunt secuti. Ubi vero ad navem, qua divini illi senes ad littus appulerant, accessit, dæmonium illam convellens humi projecit, et magno per illam clamore edito obsecravit, « Quidnam, inquiens, ad nos venistis, magni Dei ministri? Insulam namque istam jamdudum nos absque molestia et turba omni tenemus, et omnibus prope hominibus ignoti, et lacubus istis circumvallati hic latemus. Quod si deinceps vobis hanc regionem incolere visum est, libenter decedemus. » Talia dæmon per puellam vociferabatur. Qui simulatque ab illis increpitus silere jussus est, puella e vestigio cum pudore et modestia ad seipsam rediit. Et pater ejus atque insula omnis cum incolis universis Christianismum suscepit: templumque quod ibi erat, repurgatum, atque in ecclesiam transformatum, Christo dedicavit. Ea res quamprimum Alexandriam renuntiata Lucio non parum attulit mœroris. Factum enim inde est, ut non solum alienorum, verum etiam popularium suorum odium incurreret; perinde atque is qui non cum hominibus, sed cum ipso prorsus Deo bellum gereret. Itaque occulte statim, ut Macarii ad studia sua et in solitudinem redirent, præcepit. Satis quidem hæc crudelem Lucii impietatem indicant. Exactius tamen animi ejus inhumanitatem divini Petri litteræ declarant: quarum ego prolixitatem fugiens, quæ loco huic accommodata sunt, ex eis decerpam, et historiæ adjiciam. Scribit autem ad hunc modum :

A δὴ τοῦτον ἐλαίῳ χρίσαντες, παρεκελεύοντο ἐπὶ τῷ Χριστοῦ ὀνόματι, ὃν Λούκιος διώκει, ἀνίστασθαι, καὶ οἴκαδε ἐπιέναι. Ὁ δ' εὐθὺς ἀλλόμενος, τὴν ὁδὸν ἤνυεν, ἄρδην κηρύττων ὡς τὰ ἴσα τούτοις χρεὼν σέβειν, οἷς καὶ Θεὸς τὴν χάριν ἐπιψηφίζεται, τῇ κατηγορίᾳ Λουκίου· οἷς καὶ οὖς παρέσχεν εὐήκοον, τὸν κάμνοντα τοῦ παλαιοῦ ἀπαλλάξας πάθους. Οὐ μὴν καὶ τούτων γενομένων, μεταμέλος ἐκείνοις εἰσῄει ἐπιβουλεύουσι· νύκτωρ καὶ γὰρ ἐπιόντες, καὶ τούτους ἀναρπασάμενοι, ἐπί τινα νῆσον ἀπήγαγον, κύκλῳ λίμνην περιβεβλημένην πολλήν, ἣν ἐξ ἀρχαίου ἄνδρες ᾤκουν δεισιδαιμονίᾳ μάλα συζῶντες, καὶ τοῦ καθ' ἡμᾶς δόγματος πάμπαν ἀνήκοοι. Ἦν δ' αὐτοῖς ἐκεῖσε καὶ παλαίτατον τέμενος ἀλάστορος δαίμονος, οὗ πολὺ τὸ σέβας παρ' αὐτοῖς ἐντετηκὸς B μάλιστα ἦν. Ἐπεὶ δὲ τῆς νήσου ἐπέβαινον, δαίμονι κατάσχετον γενομένην τὴν τοῦ ἱερέως θυγατέρα παρ' ἐκείνους ἥκειν. Ὡς δὲ δρόμῳ θέουσα βοῇ ἀκόσμῳ τοῦ πρόσω εἴχετο, οἱ τὴν νῆσον οἰκοῦντες, τῷ ξένῳ τοῦ πράγματος ἔκπληκτοι γεγονότες, κατόπιν ἐδίωκον. Ἐπεὶ δ' ἐπὶ τὴν ναῦν ἣ τοὺς θείους πρεσβύτας καθώρμιζεν, ἐγεγόνει, σπαράξαν αὐτὴν τὸ δαιμόνιον, εἰς γῆν ἔῤῥιπτε· μέγα δὲ κράζον δι' ἐκείνης, ἐποτνιᾶτο, « Ἵνα τί, λέγων, πρὸς ἡμᾶς ἥκετε, Θεοῦ μεγάλου θεράποντες; τήνδε γὰρ ἡμεῖς τὴν νῆσον ἐκ πολλοῦ κατοικοῦμεν, οὐδενὶ δι' ὄχλου γινόμενοι, πᾶσι δ' ἀνθρώποις σχεδὸν ἀγνῶτες ὄντες· καὶ ταυταισὶ ταῖς λίμναις περιπεφραγμένοι λανθάνομεν. Εἰ δὲ τοῦ λοιποῦ φίλον ὑμῖν τῷ χώρῳ τούτῳ ἐνδιαιτᾶσθαι, ἑκόντες ἀναχωρήσομεν. » Καὶ τοιαῦτα μὲν C ὁ δαίμων διὰ τῆς κόρης ἐφθέγγετο. Ἐπεὶ δ' ἐπετιμᾶτο παρ' ἐκείνων σιγᾷν, ἡ μὲν παῖς αὐτίκα σώφρων ἦν· ὁ δὲ τῆς κόρης πατὴρ καὶ ἡ νῆσος ἅπασα πανδημεὶ τὰ Χριστιανῶν κατησπάζετο· καὶ τὸν ἐκεῖσε νεὼν μετασκευασάμενοι, εἰς ἐκκλησίαν καθίστων Χριστοῦ. Τάχος δὲ ταῦτα τὴν Ἀλεξάνδρειαν ἔφθανε· καὶ οὐ μέτρια ἐλύπει τὸν Λούκιον. Συνέβαινε γὰρ ἐντεῦθεν, μὴ παρὰ τῶν ἀλλοτρίων μόνον, ἀλλὰ καὶ παρὰ τῶν οἰκείων ἐν μίσει εἶναι, ἅτε δὴ μὴ ἀνθρώποις, ἀλλ' ἀντικρὺς Θεῷ διὰ μάχης ἰών. Καὶ αὐτίκα λάθρα τοὺς ἀμφὶ Μακάριον ἐπὶ τὰ οἰκεῖα ἤθη καὶ τὴν ἔρημον ἐπανιέναι προσέταττεν. Ἱκανὰ μὲν οὖν καὶ ταῦτα τοῦ Λουκίου δεῖξαι τὴν τῆς ἀσεβείας ὠμότητα· λεπτότερον δὲ οἶμαι διδάD ξειν τοῦ θεσπεσίου Πέτρου τὰ γράμματα τὸ τῆς γνώμης ἀπάνθρωπον. Ἐγὼ δὲ τὸ μῆκος τῆς ἐπιστολῆς φεύγων, ὅσα πρόσφορα τῇ μετὰ χεῖρας ὑποθέσει, ἐκεῖθεν ἐρανισάμενος, τῇ συγγραφῇ παραθήσω. Γράφει δὲ οὕτω·

(1) In his Theodoretus fuisse scribit dues Macarios, et Isidorum, lib. IV, cap. 21. (Theod. eod. cap. 21.)

ΚΕΦΑΛ. ΚΗ'.

A

Ἐπιστολὴ Πέτρου τοῦ Ἀλεξανδρείας ἐπισκόπου, διηγουμένη ὅσα δεινὰ Οὐάλης καὶ οἱ ἐξ Ἀρείου τοῖς κατ' Αἴγυπτον ἔπραξαν.

« Ὁ τοῦ ἔθνους ἡγεμονεύων Παλλάδιος, ἐθνικὸς ὢν τὴν αἵρεσιν, καὶ τῶν εἰδώλων ἀεὶ προκυλινδούμενος, κατὰ Χριστοῦ στρατεύεσθαι πολλάκις μελετήσας, τὰ προειρημένα συναθροίσας πλήθη, ὁρμᾷ κατὰ τῆς ἐκκλησίας, ὡς ὑποτάξαι βαρβάρους ἐπαγόμενος. Τότε δὴ, τότε χείριστα γέγονεν· ἃ δὴ καὶ μόνον ὑπαγορεῦσαι θέλων, τῆς μνήμης ὀδύνην μοι παρεχούσης, ἐπαφῆκα δακρύων ἀμέτρων φοράν· καὶ ἐπὶ πολὺ ἔμεινα ἂν τοῦτο πάσχων, εἰ μὴ θείῳ λογισμῷ λωφῆσαι παρεσκεύασα. Ἐν γὰρ τῇ καλουμένῃ ἐκκλησίᾳ Θεωνᾶ ἐπεισελθόντα τὰ πλήθη, ἀντὶ B ῥημάτων σεμνῶν εἰδώλων εὐφημίας ἐπήφιον, ἀντὶ θείων Γραφῶν ἀναγνώσεως κρότους χειρῶν ἀσέμνους, καὶ κεκλασμένας μετ' αἰσχρότητος φωνάς· κατὰ τῶν τοῦ Χριστοῦ παρθένων ὕβρεις, ἃς γλῶττα προφέρειν οὐκ ἀνέχεται· αἰσχρὸν γάρ ἐστι καὶ λέγειν· καὶ γὰρ μόνον τις τῶν εὖ φρονούντων ταύτας ἀκούσας, ἔβυσε τὰς ἀκοάς· καὶ μᾶλλον ηὔξατο ἂν γενέσθαι κωφὸς, ἢ αὐτήκοος γενέσθαι τῆς αἰσχρολογίας αὐτῶν· ἀλλ' εἴθε λόγοις ἀρκούμενοι, λόγοις ἐξημάρτανον, καὶ μὴ πράξει τὴν τῶν λόγων ἐνίκων ἀσέλγειαν· εὐύποιστος γὰρ ἡ λοιδορία κἂν οἵα δή ποτ' οὖν τυγχάνῃ, παρ' οἷς οἰκεῖ Χριστοῦ φρόνησις καὶ θεῖα διδάγματα. Αὐτοὶ τοίνυν οὗτοι ὀργῆς σκεύη τυγχάνοντες, κατηρτισμένοι εἰς ἀπώλειαν, τὴν ῥῖνα σιμώσαντες, ψόφον ἀσελγῆ ἀπὸ τῶν C μυκτήρων μακρὸν, καὶ, ἵν' οὕτως εἴπω, ὡς ἀπὸ κρουνοῦ προχέοντες, τὴν μὲν ἐσθῆτα διέῤῥησσον τῶν ἁγίων τοῦ Χριστοῦ παρθένων, ὧν ἡ ἄσκησις τύπον ἁγίων ἀγγέλων ἐχαρακτήριζεν· ὡς δ' ἡ φύσις ἔχει, γυμνὰς πᾶσαν τὴν πόλιν ἐθριάμβευον, διαπαίζοντες μετὰ ἀσελγείας ὃν τρόπον ἐβούλοντο· καὶ ὅλως ὠμὰ καὶ ξένα τὰ γενόμενα, γυμνοῦντες δημοσίᾳ περιῆγον. Εἰ γοῦν τις ἐπὶ τούτοις συμπαθῶν ἐκώλυε παραινέσεως χρώμενος λόγοις, τραυματίας ἀπελύετο. Ἀλλὰ φεῦ τῶν συμφορῶν! πολλαὶ βιαίαν φθορὰν ὑπέστησαν σώματος· πολλαὶ τῶν παρθένων ῥοπάλοις κατὰ κεφαλῆς τυπτόμεναι, ἔμενον ἀχανεῖς, οὐκ ἐπιτρεπομένων τῶν σωμάτων οὐδὲ τῇ ὁσίᾳ παραδίδοσθαι ταφῇ. Πολλὰ οὖν μέχρι σήμερον, τῶν γονέων ὀδυρομένων, οὐχ εὑρίσκεται σώματα.

156 CAPUT XXVIII.

Epistola Petri Alexandrini episcopi, exponens quæ mala et clades Valens et Ariani in Ægypto piis intulerint.

« Palladius gentis præfectus, cum ethnicus et gentilis superstitionis esset, atque ad pedes simulacrorum semper provolveretur, et quod sæpe antea bellum adversum Christum meditatus esset, ea quam diximus multitudine contracta, impetum in ecclesiam fecit, perinde atque barbaros subjugare pergeret. Tum sane, tum res pessimæ sunt admissæ: quas cum dictare tantum vellem, quod memoria earum dolorem mihi renovaret, ingentem vim lacrymarum emisi. Ac diu profecto in eo luctu permansissem, nisi divina cogitatione mœrorem B eum laxavissem. Postquam namque in ecclesiam, quæ Theonæ dicitur, turbæ populorum irruerunt, pro sacris verbis acclamationes faustas simulacrorum, pro divinarum Scripturarum lectione impuros manuum plausus, et infractas fœdasque voces ediderunt. Contra Christi virgines eas contumelias evomuerunt, a quibus proferendis lingua abhorret: turpe enim est eas proloqui; atque si quis sanæ mentis eas modo audiat, aures obstruat, et surdus potius fieri optet, quam ut ipse tam fœdorum verborum auditor sit. Sed utinam verbis contenti, verbis saltem sæviissent, et factis ipsis verborum impuritatem non superassent. Perferri enim ab eis qualecunque etiam convicium facile potest, in qui- C bus Christi sensus et divina doctrina est. Isti igitur ipsi qui sunt vasa iræ, præparati ad interitum, nasum deprimentes, sonitum impudicum naribus, eumdemque ingentem, perinde atque (ut ita dicam) ex aquæductu emiserunt, et vestem sanctarum Christi virginum, quarum vitæ institutum typum atque formam sanctorum angelorum expressam refert, dilacerarunt: atque ut natura ipsa fert, nudas eas per urbem omnem veluti in triumpho duxerunt, lascive atque impudice, quo placitum esset modo, eis illudentes, et (fera prorsus et inaudita, quæ fiebant, erant) publicitus ita nudatas circumagentes. Ac si quis earum propter rei indignitatem misertus, blandis admonitionis vocibus usus factum inhiberet, is vulnere inde D reportato abibat. **157** Sed, o calamitates! Multæ virgines violentam corporis constuprationem sustinuerunt, multæ clavis in caput diverberatæ sine voce manserunt, cum quidem corpora quoque justæ sepulturæ mandari non permitterentur. Quapropter ad hodiernum usque diem parentibus adhuc misere vociferantibus multa corpora non reperiuntur.

Ἀλλὰ τί τὰ μικρὰ πρὸς τὰ μεγάλα διεξέρχομαι; Τί δὲ τούτοις ἐμβραδύνω, καὶ μὴ σφοδρῶς ἐπὶ τὰ κατεπείγοντα βαίνω; Ἐφ' οἷς εὖ οἶδα ὅτι θαυμάσετε καὶ μενεῖτε ἐπὶ πολὺ σὺν ἡμῖν ἀχανεῖς ἐξιστάμενοι τῆς φιλανθρωπίας τὸν Κύριον, ὅτι μὴ ἄρδην τὸ ὅλον συνέστειλεν. Ἃ γὰρ κατὰ τὸ γεγραμμένον μήτε γέγονε μήτε ἠκούσθη ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, ταῦτα ἐπ' αὐτοῦ τοῦ θυσιαστηρίου ἐπετέλουν οἱ δυσσεβεῖς. Ὡς γὰρ ἐν κρηπῖδι σκηνῆς ἀτάκτου παῖδα τὴν ἄῤῥενα φύσιν ἐξαρνησάμενον, καὶ τὴν

« Verum quid ego parva hæc, si cum magnis aliis conferas, commemoro? Quid his immoror, et non potius ad ea quæ majoris sunt indignitatis, statim transeo? quæ vos, sat scio, admirabimini, et diutius nobiscum consternabimini, ad Domini erga genus humanum amorem et benignitatem, quod non res simul universas prorsus deleverit, obstupescentes. Quæ namque, juxta id quod scriptum est, neque facta sunt, neque audita in diebus patrum nostrorum, ea in ipso sanctiore sacro-

rum altari peregerunt impii. Nam veluti in proscenio ludorum dissolutorum, ut puer sexum masculi abnegans, et mulieris expetens, stibio (sicuti scriptum est) oculis perunctis, et fuco facie rubricata, quemadmodum quæ apud eos sunt simulacra, habitu muliebri, in ipso sanctiore altari, ubi descensum Spiritus sancti invocamus, conversione scite in orbem facta, huc atque illuc manibus gesticulans saltaret, fecerunt: prolixe admodum ridentes, atque nefarias voces addentes. Alii autem et hoc ipsum factum non satis ad obscenam temeritatem esse putantes, et quæ jam patrata fuerant, decora potius quam nefanda existimantes, ex ipsis quemdam obscena fœditate notissimum, veste detracta, et pudenda etiam corporis parte, prout naturæ fert habitus, nudata, ecclesiæ throno imposuerunt, et fœdum contra Christum concionatorem appellarunt: nam pro divinis verbis turpitudinem protulit, pro oratione gravi et sancta impudicam lasciviam, pro pietate impietatem, ac temperantia fornicationem, adulterium, masculorum concubitum, furtum, cibum et potum una cum aliis ejusmodi ad vitam utilia et commoda esse docens.

A γυναικείαν ποθήσαντα, στίμμει κατὰ τὸ γεγραμμένον τοὺς ὀφθαλμοὺς διαχρισάμενον, καὶ φύκει τὰς ὄψεις ἐρυθήναντα, ὡς τὰ παρ' αὐτοῖς εἴδωλα θηλυμόρφῳ τῷ σχήματι ἐπ' αὐτοῦ τοῦ θυσιαστηρίου, ἔνθα κάθοδον τοῦ ἁγίου Πνεύματος ἐπικαλούμεθα, εὐκύκλῳ τῇ στροφῇ ὧδε κἀκεῖσε τὼ χεῖρε σχηματιζόμενον, ὀρχεῖσθαι παρεσκεύασαν· πλατὺ μὲν γελῶντες, ἀθέσμους δὲ ἐπαφιέντες φωνάς. Οἱ δὲ πάλιν καὶ τοῦτο πρὸς ἀταξίαν ἡγησάμενοι, καὶ τὰ παρῳχηκότα εὐπρεπῆ μᾶλλον ἤπερ ἄθεσμα λογισάμενοι, ἐξ αὐτῶν ἕνα γνωριμώτατον ἐν αἰσχρότητι, ὁμοῦ τὴν ἐσθῆτα καὶ τὴν αἰδῶ γυμνωσάμενον, ὡς ἡ φύσις ἔχει σχήματος, τῷ τῆς ἐκκλησίας ἐπιβιβάσαντες θρόνῳ, δημηγόρον αἰσχρὸν κατὰ Χριστοῦ προσαγορεύσαντες. B Ἀντὶ γὰρ θείων ῥημάτων αἰσχρότητα προὐβάλλετο, ἀντὶ σεμνῶν λόγων ἀσέλγειαν, ἀντ' εὐσεβείας ἀσέβειαν, ἀντὶ ἐγκρατείας πορνείαν, μοιχείαν, ἀρσενοκοιτίαν, κλοπὴν, πόσιν καὶ βρῶσιν τῷ βίῳ πρὸς τοῖς ἄλλοις εἰσηγούμενος εἶναι χρήσιμα.

« Cum hæc ita se haberent, et ego ex ecclesia secederem, (quomodo enim id non facerem, cum ibi militaris furor obtineret, **158** cum plebs ad dissolutam licentiam venalis, cum largitiones pecuniarum, cum ethnicorum seu gentilium manus maximis nixæ pollicitationibus regnarent?) successor meus in eam est missus, qui episcopatum veluti profanam dignitatem auro redemit, Lucius quidam, lupi (λύκου) improbitatis et actionum studiosus, non recte sentientium episcoporum concilio, non legitimorum verorumque clericorum calculis, non populi flagitatione, sicuti ecclesiasticæ produnt sanctiones, lectus. Aderant autem ei (simplici namque et facili introitu urbem ingredi non potuit) non episcopi aliqui, non presbyteri, non diaconi, non populi catervæ: non eum monachi hymnos et laudes ex Scripturis concinentes produxere; sed Euzoius affuit, qui dudum, cum diaconus nostræ hujus Alexandriæ esset, una cum Ario in sancta et magna synodo Nicææ, ordine motus, præsidentia sua nunc Antiochenam vastat ecclesiam; et comitatensium largitionum comes, qui secum immensam militum multitudinem adduxit, omni genere impietatis semper clarus, nomine Magnus: nam Juliani temporibus ecclesiam Beryti, quæ Phœniciæ insignis urbs est, incendit, quam sub Joviniano beatæ memoriæ principe impendio ipse suo restituere est coactus; capite etiam prope plexus, nisi multis deprecantibus imperator humanissimus ei pepercisset.

« Τούτων δὲ οὕτως ἐχόντων, κἀμοῦ τῆς ἐκκλησίας ὑπαναχωρήσαντος (πῶς γὰρ οὐχὶ, ὅπου στρατιωτῶν ἔφοδοι, ὅπου δῆμος πρὸς ἀταξίαν ἀργυρώνητος, ὅπου φιλοτιμίαι χρημάτων καὶ ἐθνικῶν πλήθη μετὰ μεγίστων ὑποσχέσεων;) ἡμέτερος δῆθεν ἀποστέλλεται διάδοχος, χρυσίου τὴν ἐπισκοπὴν ὡς ἀξίωμα κοσμικὸν ἡγησάμενος, Λούκιός τις, λύκου τὴν πονηρίαν C καὶ τὰς πράξεις ἔχειν ἐσπουδακὼς, οὐκ ἐπισκόπων ὀρθοδόξων συνόδῳ, οὐ ψήφῳ κληρικῶν ἀληθινῶν, οὐκ αἰτήσει λαῶν, ὡς οἱ τῆς Ἐκκλησίας διαγορεύουσι θεσμοί. Τῷ δὴ τοιούτῳ συνῆσαν (ἁπλῇ γὰρ εἰσόδῳ τῆς πόλεως ἐπιβαίνειν οὐκ ἠδύνατο) οὐκ ἐπισκόπων τινὲς, οὐ πρεσβυτέρων, οὐ διακόνων, οὐ λαῶν πλήθη, οὐ προῆγον τοῦτον μονάζοντες ὕμνους ἐκ Γραφῶν ἀναπέμποντες· ἀλλ' Εὐζώϊος ἦν, ὁ πρώην μὲν σὺν Ἀρείῳ καθαιρεθεὶς, διάκονος ὢν τῆς καθ' ἡμᾶς Ἀλεξανδρείας ἐν τῇ κατὰ Νίκαιαν ἁγίᾳ καὶ μεγάλῃ συνόδῳ, ἄρτι δὲ προστασίᾳ τὴν Ἀντιοχέων λυμαινόμενος· καὶ ὁ τῶν κομητατησίων δὲ λαργιτιώνων κόμης, στρατιωτῶν ἐπαγόμενος πληθὺν ἄμετρον, ὁ ἐν πάσῃ ἀσεβείᾳ ἀεὶ γνωριζόμενος, Μάγνος τοὔνομα· ὃς ἐν Ἰουλιανοῦ καιροῖς τὴν Βηρυτίων ἐκκλησίαν D ἐμπρήσας, Φοινίκων δ' αὕτη πόλις ἐπιφανὴς, ἐν τοῖς ἐπὶ τοῦ τῆς μακαρίας μνήμης Ἰοβιανοῦ χρόνοις ἐξ οἰκείων ἀνορθῶσαι ταύτην κατηναγκάσθη, ὀλίγου καὶ τὴν κεφαλὴν τμηθεὶς, εἰ μὴ φιλανθρωπίας ἐκ πολλῆς περιδρομῆς ἔτυχε βασιλικῆς.

« Convenit ergo ex isto vestrum pietatis studium, quod ad vindictam factorum excitari velim, existimare, qualia et quanta in Christi Ecclesiam, eo ipso quem diximus tyranno nobis imminente, commissa sint flagitia. Simulatque enim, qui a pietate vestra et recte ubique sentientibus Christianis atque episcopis sæpius est damnatus, Lucius in urbem justis de causis sibi infestam per-

« Ἀναλογίσασθαι τοίνυν ἐκ τούτου τὸν ὑμέτερον ζῆλον προσήκει, ὃν διεγερθῆναι πρὸς ἐκδικίαν τῶν γενομένων παρακαλῶ, οἷα καὶ ἡλίκα τὰ πλημμεληθέντα κατὰ τῆς Χριστοῦ Ἐκκλησίας, τοιούτου τυράννου τοῦ προειρημένου καθ' ἡμῶν ἐπαναστάντος. Ἅμα γὰρ ὁ παρὰ τῆς ὑμετέρας θεοσεβείας καὶ τῶν ἁπανταχοῦ ὀρθοδόξων καὶ τῶν ἐπισκόπων πολλάκις ἀπαγορευθεὶς Λούκιος, τῆς πρὸς αὐτὸν ἀπεχθῶς δια-

νεμέσεως, ἐπ' εὐλόγοις ταῖς προφάσεσιν ἐπέστη πόλεως· οὐ γὰρ (1) μόνον, ὡς ὁ δύσφημος ἐν Ψαλμοῖς ἄφρων λέγει, Οὐκ ἔστι Θεὸς ἀληθινὸς ὁ Χριστὸς, ἀλλὰ καὶ τοῖς ἐπιτηδεύμασι διεφθάρη· καὶ διέφθειρε, χαίρων ἐπὶ ταῖς βλασφημίαις ταῖς κατὰ τοῦ Σωτῆρος πεμπομέναις παρὰ τῶν τῇ κτίσει λατρευόντων παρὰ τὸν κτίσαντα· πῶς γὰρ οὐχὶ, ὅπου γε παραπλήσιον Ἕλλησιν ἔχων τὸ φρόνημα, προσφάτῳ τολμᾷ ὁ ἀλιτήριος σέβειν Θεῷ; Ἐπ' ὄψεσι γὰρ αὐτοῦ τούτους τοὺς ἐπαίνους ἔπεμπον· Καλῶς ἦλθες, ἐπίσκοπε, Υἱὸν μὴ λέγων. Ὁ Σαράπις σε φιλῶν εἰσήνεγκε, τὸ πάτριον εἴδωλον ἑαυτῶν ὀνομάζοντες. Αὐτίκα γὰρ ῥοπῆς οὐδεμιᾶς παρελθούσης, ὁ προειρημένος Μάγνος, ὁ τῆς ἀσεβείας αὐτῷ κοινωνὸς ἀδιαίρετος, καὶ δορυφόρος πικρὸς καὶ σατράπης ὠμότατος, συναθροίσας καὶ τὰ ὑπὸ τὴν ἑαυτοῦ φροντίδα ἐπανακείμενα πλήθη, πρεσβυτέρους καὶ διακόνους τὸν ἀριθμὸν ἐννεακαίδεκα συλλαβόμενος, ὧν τινες τὸ ὀγδοηκοστὸν ὑπερβεβήκασιν ἔτος, ὡς ἁλόντας ἐπὶ μυσαρῷ τινι καὶ νόμῳ Ῥωμαίων ἐχθρῷ, δημόσιον ὁρίσας κριτήριον κατηνάγκαζεν (οὐκ εἰδὼς τοὺς ὑπὲρ τῆς ἀρετῆς Χριστιανῶν νόμους) τὴν πατρῴαν παρὰ τῶν ἀποστόλων διὰ τῶν Πατέρων ἀποδοθεῖσαν ἡμῖν προδιδόναι πίστιν· ἡδόμενον ἐπὶ τούτῳ καὶ τὸν φιλανθρωπότατον Αὔγουστον Οὐάλεντα διισχυριζόμενος· Πείσθητε, τάλανες, λέγων μεγάλῃ τῇ φωνῇ, τῷ τῶν Ἀρειανῶν φρονήματι, πείσθητε· συγγνωμονήσει γὰρ ὑμῖν τὸ Θεῖον, κἂν ἀληθῆ σέβητε θρησκείαν, οὐκ αὐθαιρέτως ἀλλὰ πρὸς ἀνάγκην τοῦτο πράξασι. Τῇ μὲν γὰρ ἀνάγκῃ ἀπολογία περιλείπεται· τῷ δὲ αὐθαιρέτῳ ἀκολουθεῖ κατηγορία· διὸ τοιούτους λογισμοὺς πρὸ ὀφθαλμῶν τιθέμενοι, ἥκετε πρόθυμοι μέλλησμὸν ἀποθέμενοι πάντα, τῷ Ἀρείου ὑπογράφοντες δόγματι, ὃ νῦν κηρύττει ὀνομαστὶ Λούκιος λέγων· εὖ εἰδότες ὡς πειθαρχοῦντες, χρήματα καὶ πόρους καὶ γέρας παρὰ βασιλέως ἕξετε· ἀπαναινόμενοι δὲ, εἱρκτῆς καὶ στρεβλῶν, καὶ βασάνων, καὶ μαστίγων, καὶ δαμαστηρίων πεῖραν λήψεσθε· χρημάτων ὁμοῦ καὶ κτημάτων στερηθέντες, καὶ τῆς πατρίδος μεταναστάντες, εἰς χαλεποὺς οἰκῆσαι τόπους καταχριθήσεσθε. Ἀλλ' οὗτος μὲν ὁ γενναῖος, ἀγάπῃ τὴν ἀπειλὴν κεράσας, μεταναστῆσαι τῆς εὐσεβοῦς τοὺς πάντας καὶ προὐτρέπετο καὶ κατηνάγκαζε γνώμης· οἱ δὲ πικρότερον βασάνου πάσης τὴν εἰς εὐσέβειαν προδοσίαν ἡγησάμενοι (ἔχει γὰρ οὕτω), τοιοῖσδε πρὸς αὐτὸν ἀναγκαζόμενοι ἀπήντησαν ῥήμασιν, ἀρετῇ καὶ γενναίῳ φρονήματι ὁμοῦ τὴν ἀπάτην καὶ τὰς ἀπειλὰς ὑποτάξαντες· Πέπαυσο λοιπὸν, πέπαυσο τούτοις ἡμᾶς ἐκφοβῶν τοῖς ῥήμασιν· ἔπεχε εἰκαῖα προφέρειν ἐπιχειρήματα. Ἡμεῖς γὰρ οὔτε νέηλυν οὔτε πρόσφατον σέβοντες Θεὸν, κἂν ἐπαφρίζῃς κυμαίνων εἰκῇ καὶ προσρήσσῃ ὡς βίαιος ἄνεμος, τῆς εὐσεβείας ἄχρι θανάτου ἐμπολιτευόμεθα δόγμασιν· οὐκ ἀδύναμον, οὐκ ἄσοφον, οὐ χωρὶς ἀληθείας πώποτε φρονήσαντες Θεόν· οὐ ποτὲ μὲν ὄντα Πατέρα, ποτὲ δὲ μὴ ὄντα, κατὰ τὸν δυσσεβῆ τοῦτον Ἀρειανὸν, χρονικὸν ἢ πρόσκαιρον δοξάζοντες τὸν Υἱόν. Εἰ γὰρ κτίσμα κατὰ τοὺς Ἀρειομανίτας ὁ Υἱὸς, οὐχ ὑπάρχων Πατρὶ εἰς τὸ εἶναι συστήσεται, καὶ ὁ Πατὴρ οὐχ ὑφεστῶτος

A venit. Non enim solum, ut infamis ille in Psalmis insipiens, dicit : Non est Deus verus Christus, sed etiam studiis suis et ipse corruptus est, et alios corrupit; blasphemiis quæ in Servatorem ab eis effunduntur, qui creaturam prætérito Creatore colunt, gaudens. Quidni autem hoc faceret, cum consimilem cum Græcis obtinens sensum, cultum audeat exhibere recens promulgato Deo, homo pestilentissimus? Nam in ipsius conspectu ejuscemodi decantatæ sunt laudes : **159** Auspicato advenisti, episcope, qui Filium non dicas. Serapis te, cui charus es, adduxit : patrio sic eorum idolo nominato. Confestim momento nullo prætermisso, is quem diximus Magnus, conjunctissimus illi impietatis socius, et satelles acerbissimus, satra- B pesque crudelissimus, collectis quæ sub ejus cura sunt cohortibus, presbyteros et diaconos decem et novem comprehendit, quorum nonnulli octogesimum excessere annum. Atque eos non aliter atque in abominando quopiam et legibus Romanis adverso scelere captos, publico instituto judicio, cogere (Christianorum virtutis leges ignorans), ut patriam ab apostolis per Patrum traditiones acceptam fidem proderent, conatus est. Eaque re delectatum iri humanissimum Valentem Augustum confirmavit : Sequimini, o miseri, magna voce dicens, Arianorum sententiam; sequimini, et id persuaderi vobis patimini. Ignoscet enim vobis Deus, etiamsi veram colitis religionem, qui non C arbitrio id vestro, sed necessitate adducti faciatis. Necessitati namque sua reliqua est defensio : voluntate autem sua consulto quidquam facientem crimen et accusatio consequitur. Quapropter rationes ejusmodi ob oculos vobis ponentes, nulla mora interposita, propensis animis ad partes hasce concedite, et Ariano dogmati subscribite, quod nunc nominatim Lucius prædicat : illud persuasum habentes, si dicto principis audientes fueritis, pecunias, opes et honores accipietis; sin contra nitemini, carcerem, fidiculas, tormenta, flagra, et coercionem experiemini; et cum pecuniis simul et possessionibus multati, tum patria ejecti, ad loca dura et gravia incolenda condemnabimini. Ita quidem generosus (si Deo placet) vir, minas D charitate temperans, cohortatione simul et necessitate, a pia sententia omnes abducere volebat. At illi cruciatibus omnibus pietatis proditionem acerbiorem esse putantes, et recte quidem (sic enim res habet), hujuscemodi ei verbis necessario, virtute et animo præsenti, insidias simul et minas ejus refellentes, obviam iere : Desine tandem, desine talibus nos terrere verbis : intermitte vana afferre epicheremata et aggressiones. Nos siquidem neque nuperum neque novitium colentes Deum, quamvis fluctibus frustra tumescens despumes, et tanquam violentus ventus incumbas, **160** tamen ad mortem usque in veræ pietatis dogmatibus perdurabimus : non invalidum, non insipientem, non a veritate sejunctum credentes atque colentes

i eum; neque qui aliquando quidem fuerit Patrem (1), aliquando autem non fuerit, juxta impium hunc Arianum, temporalem aut momentaneum opinantes Filium. Nam si, ut furentes Ariani volunt, creatura est Filius, non exsistens Patri ὁμοούσιος, consubstantialis, eo etiam ut non fuerit, redigeretur Pater, non subsistente scilicet Filio, non exsistens aliquando, secundum ipsos, Pater. Sin semper Pater est, subsistente videlicet qui ex eo est vero (Filio, et quidem non juxta defluxum germinis (perpessioni enim Deus obnoxius non est); quomodo non amens et insanus est, qui fuisse aliquando opinatur, cum non fuerit Filius: per quem omnia ut essent, secundum gratiam, constitere? Nostri igitur ex orbe universo Patres, a quibus excidentes isti merito ἀπάτορες, hoc est, sine patre, facti sunt, Nicææ coacti, prava Arii opinione, quam junior iste nunc defendit, anathemate jugulata, non ἑτεροούσιον, hoc est, alterius substantiæ, quod nunc nos dicere cogere vultis, Filium a Patre dixerunt, verum ex ejus substantia. Quod sic per piam sententiam rite intelligentes, ex multis divinorum verborum argumentis ὁμοούσιον, consubstantiale, sunt professi.

«Talia atque his similia cum dixissent, in carcere eos diebus multis habuit, futurum ratus, ut a pia dimoveret sententia. Illi autem, quemadmodum generosissimi quique athletæ, in stadio metum omnem exstinguentes, et seipsos per divinas cogitationes fortibus Patrum factis instruentes, fidiculas etiam ipsas et tormenta pro gymnasio et exercitio virtutis habentes, fortissimam de vera pietate obtinuere mentem. Atque eis qui theatrum et spectaculum, ut beatus Apostolus scribit, et angelis et hominibus facti essent, sic decertantibus accurrit civitas universa, Christi athletas spectatura, qui constantia, torquentis quæsitoris vincebant flagra, et per patientiam tropæa contra impietatem statuebant, triumphumque de Arianis exhibebant: cum quidem acerbus iste inimicus, eos per minas et insidias sibi subjectos, se eis qui in Christum impii sunt, dediturum existimaret. Sedenim tormentorum vi et impetu per graves adinventiones jam defessus, populo omni multifariam ploratu vario quiritante, acerbus ille et ab omni humanitate alienus quæsitor, **161** collecta rursum ad dissolutam confusionem manu illa sua, ad judicium illos, seu potius ad pristinam præjudicatamque condemnationem, in portum maris vocat, cum quidem more suo simulacrorum cultores et Judæi contra eos magno redemptos emitterent clamores. Et quia illi in apertam furentium Arianorum impietatem pedibus ire nollent, plebe cuncta pro tribunali plangente, sententia fertur: Alexandria eos ejectos, Heliopolim Phœniciæ incolere debere, ubi ex habitatoribus omnibus ali quis Christi nomen (simulacrorum enim cultui dediti sunt omnes) ne audire quidem sustinet. Et e vestigio eis scapham conscendere jussis, in portu ipse stans (in propinquo enim, in lavacro publico, condemnationis adversus eos sententiam

A τοῦ Υἱοῦ, οὐκ ὢν ποτε κατ' αὐτοὺς Πατήρ. Εἰ δὲ ἀεὶ Πατήρ ἐστιν, ὑφεστῶτος δηλονότι τοῦ ἐξ αὐτοῦ ἀληθινοῦ, καὶ οὐ κατ' ἀπόῤῥοιαν γεννήματος (ἀπαθὴς γὰρ ὁ Θεός)· πῶς οὐκ ἄφρων καὶ μανιώδης, ὁ, Ἦν ὅτε οὐκ ἦν, φρονῶν τὸν Υἱὸν, δι' οὗ τὰ πάντα εἰς τὸ εἶναι κατὰ χάριν συνέστη; Οἱ γοῦν ἡμέτεροι κατὰ πᾶσαν τὴν οἰκουμένην Πατέρες, ὧν ἐκπεσόντες οὗτοι εἰκότως ἀπάτορες γεγόνασιν, ἐν Νικαίᾳ συνελθόντες, ἀναθεματίσαντες τὴν Ἀρείου κακοδοξίαν, ἧς ὁ νεώτερος οὗτος νῦν προΐσταται, οὐχ ἑτεροούσιον, ὃ νῦν ἡμᾶς εἰπεῖν καταναγκάζεις, τὸν Υἱὸν εἰρήκασι τοῦ Πατρὸς, ἀλλ' ἐκ τῆς αὐτοῦ οὐσίας· ὃ καλῶς μετ' εὐσεβοῦς διανοίας νοήσαντες, ἐκ πολλῆς τῶν θείων ῥημάτων συλλογῆς ὁμοούσιον ὡμολόγησαν.

B Τὰ δὴ τοιαῦτα καὶ τὰ τούτοις παραπλήσια λέγοντας καθεῖρξεν ἡμερῶν πολλῶν, οἰόμενος τῆς εὐσεβοῦς μετακινήσειν γνώμης. Οἱ δὲ μᾶλλον, ὥσπερ ἐν σταδίῳ τῶν ἀθλητῶν οἱ γενναιότατοι, δειλίαν πᾶσαν ἀποσβέσαντες, ἐπαλείφοντες ἑαυτοὺς τοῖς τῶν Πατέρων διὰ θείων λογισμῶν ἀνδραγαθήμασι, γενναιότατον εἶχον περὶ τὴν εὐσέβειαν τὸ φρόνημα, γυμνάσιον ἀρετῆς τὰς στρέβλας ἡγούμενοι. Οὕτω τοίνυν ἀγωνιζομένων, καὶ θέατρον, ὡς ὁ μακάριος Ἀπόστολος γράφει, γενομένων καὶ ἀγγέλοις καὶ ἀνθρώποις, ἐπ-
C έτρεχεν ἡ πόλις ἅπασα, ἀθλητὰς θεασομένη Χριστοῦ, καρτερίᾳ τοῦ βασανίζοντος δικαστοῦ νικῶντας τὰς μάστιγας, καὶ τρόπαια δι' ὑπομονῆς κατὰ ἀσεβείας ἐπαίροντας, καὶ θριάμβους κατὰ Ἀρειανῶν ἐπιδεικνυμένους· οὓς ὑποτάξας ὁ πικρὸς οὗτος πολέμιος δι' ἀπειλῶν καὶ ἀπάτης, τοῖς εἰς Χριστὸν ἀσεβοῦσιν ἐκδώσειν ἐνόμιζεν. Ἀποκακήσας τοιγαροῦν ταῖς τῶν βασάνων δι' ἐπινοίας χαλεπῆς προσβολαῖς, ἁπάντων τῶν λαῶν ὀδυρομένων ποικίλως διὰ πολλὰ τῷ θρήνῳ, ὁ πικρὸς καὶ πάσης ἀποξέων φιλανθρωπίας, τὰ συνήθη πάλιν πρὸς ἀταξίαν συναθροίσας πλήθη, ἐπὶ κρίσιν αὐτοὺς, μᾶλλον δὲ ἕωλον κατάκρισιν, καλεῖ πρὸς τῷ τῆς θαλάσσης λιμένι, πολυωνήτων συνήθως κατ' αὐτῶν ἐπαφιεμένων τῶν βοῶν
D παρὰ τῶν εἰδωλολατρῶν καὶ τῶν Ἰουδαίων· καὶ μὴ θελησάντων εἶξαι τῇ προφανεῖ δυσσεβείᾳ τῶν Ἀρειομανιτῶν, ἀποφαίνεται, τῶν λαῶν πρὸ τοῦ δικαστηρίου πάντων ὀδυρομένων, τῆς Ἀλεξανδρείας μεταναστάντας, τὴν Ἡλιούπολιν τῆς Φοινίκης οἰκῆσαι. Ἔνθα τῶν ἐνοικούντων οὐδεὶς, κἂν ἀκοῦσαι τὸ τοῦ Χριστοῦ ἀνέχηται ὄνομα, εἰδωλικοὶ γὰρ οἱ πάντες, παρ' αὐτὰ σκάφους ἐπιβῆναι προστάξας, αὐτὸς ἑστηκὼς ἐπὶ τοῦ λιμένος· πλησίον γὰρ ἐν δημοσίῳ λουτρῷ τὴν κατάκρισιν κατ' αὐτῶν ὥρισε, γυμνὸν ἐπιδεικνύμενος τὸ ξίφος, νομίσας ἐκ τούτου φοβεῖν τοὺς τῇ διστόμῳ μαχαίρᾳ τοὺς πολεμίους δαίμονας πολλάκις κατατρώσαντας. Οὕτω δὴ οὖν ἀποπλεῖν αὐ-

(1) Mihi videtur hoc loco vox ista, *Patrem*, esse delenda: sin autem est retinenda, sicuti retineri potest, paulo post conjunctio *et* addenda erit: et legendum, *et temporalem aut*, etc.

τοὺς κελεύει, οὐκ ἐμβαλλομένους ἐπιτήδεια, οὐ παραμύθιόν τι τὸ σύνολον τῆς ἐξορίας ἔχοντας· καὶ τὸ θαυμαστὸν καὶ ἄπιστον, τῆς θαλάσσης ἐπαφριζούσης, καὶ δυσχερῶς οἶμαι δι' αὐτὸ τοῦτο φερούσης, καὶ μὴ βουλομένης, ἵν' οὕτως εἴπω, δι' ὑποδοχῆς τῶν ἀνδρῶν ἀδίκῳ κοινωνῆσαι κελεύσματι· ἐνέφηνε γὰρ καὶ τοῖς ἀγνοοῦσι τὴν βάρβαρον τοῦ κρίναντος προαίρεσιν. Ἔστι γοῦν ἀληθῶς εἰπεῖν, Ἐξέστη οὐρανὸς ἐπὶ τούτῳ· ἐστέναξε γὰρ ἡ πόλις ἅπασα, καὶ μέχρι δὲ νῦν θρηνεῖ. Καὶ οἱ μὲν ἄλλ' ἐπ' ἄλλῃ τῇ χειρὶ κτύπον ἐκ στηθῶν μακρὸν ἀπέπεμπον· οἱ δὲ τὰς χεῖρας ὁμοῦ καὶ τοὺς ὀφθαλμοὺς εἰς οὐρανὸν ἀνέτεινον, τὴν βίαν διαμαρτυρούμενοι· μονονουχὶ λέγοντες, Ἄκουε, οὐρανὲ, καὶ ἐνωτίζου, γῆ, ὅτι παράνομα τὰ γινόμενα· καὶ ὅλον οἰμωγῆς τὸ πᾶν ἐπεπλήρωτο· καὶ μέλη καὶ θρῆνος ἦν ἐν πάσῃ τῇ πόλει χορεύων, καὶ ποταμὸς ἐκ δακρύων σχεδὸν καλύπτων πλημμῦραι τὴν θάλασσαν, τοῖς ἅπασιν ἄφνω προσεγίνετο. Ὅτε τοίνυν ὁ προειρημένος ἐπὶ τοῦ λιμένος παρὼν τοῖς ἐρέσσουσιν ὑψοῦν τὰ ἱστία προσέταττε, τότε σύμμικτος οἰμωγὴ παρθένων καὶ γυναικῶν, πρεσβυτέρων καὶ νέων, καὶ θρῆνοι προσπεπλεγμένοι δάκρυσιν ὀξέσιν, αἱ τῶν ἁπάντων βοαὶ, τῆς ἐπαφριζούσης θαλάσσης τὸν προσρησσόμενον σωρὸν τῷ κύματι κτύπον ἐκάλυπτον.

A tulit), et strictum ostentans gladium, quod eo se exterriturum putabat, qui ancipiti mucrone dæmones adversarios sæpenumero convulnerassent, sic demum soluta navi abire jubet : cum nihil rerum necessariarum in navim comportassent, neque aliquod prorsus exsilii solamen haberent : ipso etiam mari ad tam admirandam et incredibilem indignitatem spumis suis excandescente, et (ut puto) factum hoc graviter ferente, atque adeo, ut ita dicam, per virorum eorum susceptionem se tam iniquo mandato polluere nolente. Quare ignorantibus quoque barbaram prorsus judicis manifesto indicavit sententiam. Vere igitur dici potest, cœlum ad hoc obstupuisse; ingemuit namque urbs tota, atque etiam nunc plangit. Et ii quidem alternis manibus pectora pulsantes, ingentem sonitum B edidere. Alii autem manus simul atque oculos in cœlum tendentes, de tanta vi sunt protestati, tantummodo non dicentes : Audite, cœli, et auribus percipe, terra, quoniam quæ fiunt, iniqua et contra leges sunt : et omnis hæc universitas fletu repleta est, et cantilenæ miserabiles et planctus totam urbem sunt pervagati. Ac derepente plorantibus omnibus, lacrymarum fluvius, fere exundatione sua mare obruens, est obortus. Itaque cum is quem diximus in portu astans, remiges tollere et pandere vela jussit : tum commistus virginum et feminarum, senum et juvenum ploratus et planctus, lacrymis acribus implicitus, clamorque universorum, strepitu suo maris spumantis infractos fluctuum acervos suppressit.

« Ἀλλ' οὕτω τῶν προειρημένων ἀποπλεόντων εἰς τὴν Ἡλιούπολιν, ἔνθα δεισιδαίμων πᾶς, ἔνθα τοῦ διαβόλου τὰ πρὸς ἡδονὴν ἐπιτηδεύματα, ἔνθα θηρίων ἐφέστια φοβερὰ (ὄρη γὰρ κύκλῳ πανταχόθεν οὐρανῷ προσπελάζοντα)· οἱ πάντες λοιπὸν μέσῃ τῇ πόλει, κοινῇ καὶ ἕκαστος ἰδίᾳ ὀλοφυρόμενοι, καὶ στεναγμῶν ἐπιπέμποντες ῥήματα, οὐδὲ δακρύειν ἐπετρέποντο κελεύσει τοῦ τῆς πόλεως ἐπάρχου Παλλαδίου, δεισιδαιμονεστάτου καὶ αὐτοῦ τυγχάνοντος. Πολλοὶ γὰρ τῶν κλαιόντων ἁρπαζόμενοι καὶ φυλακιζόμενοι πρότερον, εἶτα αἰκιζόμενοι, ξεόμενοι, βασανιζόμενοι τοῖς Φεννησίοις καὶ Προκοννησίοις παρεδίδοντο μετάλλοις, ἄνθρωποι τῆς Ἐκκλησίας δι' ἔνθεον ζῆλον ὑπέρμαχοι. Οἱ πλείους γὰρ ἦσαν μονάζοντες, ἔρημον οἰκοῦντες δι' ἄσκησιν· μεθ' ὧν, εἴκοσι καὶ τριῶν τυγχανόντων, μικρὸν ὕστερον ὁ διάκονος ὁ παρὰ τοῦ ἀγαπητοῦ ἡμῶν Δαμάσου τοῦ τῆς Ῥώμης ἐπισκόπου κομίσας ἡμῖν ὁμοῦ παρακλητικὰ καὶ κοινωνικὰ γράμματα, ὀπίσω τὼ χεῖρε δεθεὶς ὑπὸ δημίων, δημοσίᾳ ἤγετο ὥσπερ τις τῶν κακούργων περιβόητος· ὃς φονέων βασάνοις ἐπέκεινα κοινωνήσας, λίθοις καὶ μολιβδίσι κατ' αὐτῶν τῶν αὐχένων ἐπιπολὺ μαστιζόμενος, ἐπέβαινε σκάφους ἐπὶ θαλάττης, παραπλησίως τοῖς ἄλλοις, τοῦ θείου σταυροῦ ἐπὶ μετώπου τὸ σημεῖον χαρακτηρίσας, οὐ τημελείας, οὐ θεραπείας τυχὼν, τοῖς κατὰ Φέννησον παρεκδοθῆναι μετάλλοις. Ἔστι δὲ ταῦτα τοῦ χαλκοῦ. Ἔτι γοῦν βασανίζοντος τοῦ δικαστοῦ ἁπαλὰ παιδαρίων σώματα, τινὲς παρ' αὐτὰ μεμενήκασιν, οὐδ' ὁσίας ταφῆς κοινωνήσαντες, γονέων καὶ ἀδελφῶν καὶ συγγενῶν, καὶ πάσης, ὡς ἔπος εἰπεῖν, τῆς πόλεως, μίαν αὐτῷ αἰτούντων δο-

« Hoc modo cum illi, quos diximus, Heliopolim, C **162** ubi simulacra superstitiose colunt omnes, ubi diaboli voluptuaria vigent studia, ubi ferarum sunt horrenda domicilia (montes enim ex omni parte ad cœlum usque prominentes eam circumdant), navi soluta navigarent, in media deinde urbe omnes in universum et pro se quisque miserabiliter vociferando, et verba luctuosa ingemiscentes edendo, lacrymare quoque edicto præfecti urbis, Palladii, sunt prohibiti, qui et ipse summopere idolis addictus erat. Permulti namque qui plorabant, comprehensi et primum in vincula conjecti, deinde diverberati, cæsi et cruciati, ad Phennesia et Proconnesia metalla sunt damnati, homines propter divinum zelum egregii Ecclesiæ propugnatores : quorumque plures monachi erant, D solos locos per virtutis et pietatis exercitium incolentes. Cum quibus (erant autem viginti et tres) paulo post diaconus quidam, qui a dilecto fratre nostro Damaso Romanæ urbis episcopo, ad nos consolatorias simul et communicatorias litteras attulerat, revinctis in tergum manibus non aliter quam insignis quisquam ex maleficis latro, publice a carnificibus est ductus. Atque ubi crudelius etiam quam homicidæ solent, est excruciatus, saxisque et plumbeis uncis in cervicibus admodum flagellatus, scapha in mare descendit, atque itidem ut alii signum divinæ crucis in fronte impressum habens, curæ atque solatii omnis expers, Phennesum in metalla, quæ æris sunt, missus est. Insuper cum quæsitor tenera puerorum excarnifi

caret corpora, nonnulli apud ea permansere cadavera justa sepultura fraudantes : cum quidem parentes et fratres et cognati, urbs denique (propemodum) tota, unum hoc suos sepeliendi extremum solatium sibi concedi peterent. Sed, o immensam prætoris et judicis, ac potius condemnatoris inhumanitatem ! qui pro pietate decertarunt, ne homicidis quidem, corporibus eorum sepultura carentibus, conferuntur; qui bonum peregere certamen, feris et volucribus esca projiciuntur ; qui patribus propter conscientiam pro misericordiæ affectu condolendum sibi esse statuere, perinde atque injustum quid et impium admisissent, capite plectuntur. Quænam Romanorum lex, quæ barbarorum sententia, in eos qui per pietatem patribus condolerent, animadvertit? Ubi veterum quisquam unquam tam illegitimum et impium facinus fecit? Jussit quondam Pharao Hebræorum occidi masculos. **163** At invidia et metus hoc illi subjecit edictum. Verum quanto illa vetera, quam præsentia hæc, humaniora? quanto ad optionem injuriæ desiderabiliora? quanto ad collationem iniquitatis meliora? Quamvis vitiositates a seipsis inter se non disgregentur; ea quæ dicta sunt, infida, inhumana, gravia, fera, barbara, crudelia et acerba sunt.

θῆναι τὴν ὑστάτην ταύτην παράκλησιν. Ἀλλ' ὢ πολλῆς ἀπανθρωπίας τοῦ δικάζοντος, μᾶλλον δὲ τοῦ κατακρίνοντος! οἱ δι' εὐσέβειαν ἀθλήσαντες φονεῦσιν οὐ συνεκρίνοντο, ἄταφοι μένοντες τὰ σώματα· οἱ καλῶς ἀγωνιζόμενοι θηρίοις καὶ πτηνοῖς πρὸς βορὰν ἐῤῥιπτοῦντο· οἱ συμπαθῆσαι βεβουλευμένοι πατράσι διὰ τὴν συνείδησιν, τὴν κεφαλὴν ὡς παράνομα δράσαντες ἀπετέμνοντο. Ποῖος νόμος Ῥωμαίων, ποία δὲ γνώμη βαρβάρων τοῖς πατράσι συμπαθοῦντας ἠμύνατο; Ποῦ τις τῶν παλαιῶν ποτε ἔδρασε τοιοῦτόν τι παράνομον; Ἐκέλευσέ ποτε Φαραὼ, ἀναιρεῖσθαι τῶν Ἑβραίων τὰ ἄῤῥενα· ἀλλὰ φθόνος καὶ δέος ὑπέβαλε τοῦτο τὸ πρόσταγμα. Πόσῳ τὰ τότε τῶν νῦν φιλανθρωπότερα; πόσῳ ποθεινὰ πρὸς αἵρεσιν ἀδικήματα; πόσῳ βελτίονα πρὸς σύγκρισιν ἀνομήματα; Κἂν ἀλλήλων αἱ κακίαι μὴ χωρίζωνται, ἄπεστι τὰ λεγόμενα ἀπάνθρωπα καὶ δεινὰ, ὠμὰ καὶ βάρβαρα, ἀνηλεῆ καὶ πικρά.

Occidentales episcopi ad hunc modum eos qui rebus novis intendebant, in partibus eis compescuere, inviolatumque ab initio fidei dogma conservavere, adeo ut perpaucos esse contigerit, qui aliter opinandum sibi esse duxerint. Et prope is solus fuit Auxentius. Sed non longe post ipse quoque morte est sublatus (1). Cæterum eo exstincto, de episcopi electione multitudo est tumultuata, quod alii hunc, alii illum designarent. Cum igitur in magno esset discrimine Mediolanum : pro se enim quisque consilio cœptoque ei non succedente, facturum se ea minabatur, quæ fieri in turbis ejuscemodi solent : eorum incompositum motum suspectum habens, qui tum consularem obtinebat dignitatem, gentemque eam a Valentiniano præfectus curabat Ambrosius, cum multitudine non contemnenda in ecclesiam venit, atque ibi quæ optima esse censeret, ut scilicet a contentione desisterent, et rem juxta Ecclesiæ leges agerent, suasit. Deinde de concordiæ commodis eos, et quæ bona pacata consilia capientes consequi soleant, admonuit. Adhuc ille concionabatur, cum subito tumultu et seditione sopita, in ipsum honestatis et concordiæ suasorem, omnes episcopatus suffragia conferunt : eumque, ut baptizaretur, hortantur (nondum enim sacramento eo initiatus fuerat), et ut episcopalem apud eos dignitatem susciperet, supplicantes orant. Eo enim tantum pacto fore, ut ipsi unanimes sint et de fide concordent. **175** Atque ubi ille quidem baptismum libenter approbavit, et quoad potuit, administrationem sacram distulit, palamque adeo rem eam rejecit, et multitudo magis etiam ei institit, neque se quidquam de consilio suo, quidquid etiam accideret, remissuram confirmavit, res imperatori Valentiniano renuntiatur : qua ille audita, precatus primum est : deinde Deo gratias egit, qui eos ad episcopale munus vocaret, quos ipse reipublicæ administrationi præfecisset. Et cum inter se, et populi vehementem petitionem, et Ambrosii constantem reluctationem conferret, optime perspexit electionem ejus viri Ecclesiæ Mediolanensi ad concordiam retinendam bono esse. Quapropter quam primum initiationem et consecrationem eum suscipere jussit. Simul atque autem divinum baptismum subiit, et caput consecrationi subdidit, plebs universa ad concordiam rediit, et tranquillitas Ecclesiæ reddita est, quæ quidem tempore multo propter malam Auxentii administrationem dissensione periclitata fuerat. Quoniam vero rebus hisce agendis, modis omnibus optimus affuit imperator, talem Servatori Deo is concinuit hym-

(1) Socrat. eod. cap. 30.

num : « Gratias tibi, inquiens, ago, omnipotens Domine et Servator noster, quod huic viro ego quidem corporum, tu autem animarum curam commiseris, et judicii mei calculum æquum esse comprobaris. » Porro Ambrosius non multo post perquam libere cum imperatore collocutus, res quasdam non recte a magistratibus actas reprehendit. Atque imperator, « Hanc ego dicendi libertatem tuam, ait, jamdudum noram : et cum perspecta mihi ea esset, non modo non inhibui, verum etiam suffragio meo electionem tuam, ut episcopus fieres, adjuvi. Perge itaque, sicuti divina jubet sanctio, sanare animarum nostrarum delicta. » Hæc Mediolani acta. Qualis autem Ambrosius et vita et doctrina, tum autem egregio in ecclesiam ardore fuerit, et quam viriliter atque divine episcopatum gesserit, multa admonendi libertate apud præcipuos magistratus tempestive usus, in sequenti dicetur libro.

A τισι τῶν πραγμάτων, ὡς οὐ καλῶς παρὰ τοῖς ἄρχουσι πραττομένων. « Ταύτην σου τὴν παῤῥησίαν πάλαι ποτὲ ᾔδειν ἐγὼ, ἔφη ὁ βασιλεύς· καί γ' ἐπιστάμενος, οὐ μόνον ἐπέσχον, ἀλλὰ καὶ σύμψηφος ἐγενόμην τῇ ἀρχιερωσύνῃ. Ἰάτρευε οὖν, ὡς ὁ θεῖος ὑπαγορεύει θεσμὸς, τὰ τῶν ἡμετέρων ψυχῶν ἁμαρτήματα. » Ταῦτα μὲν ἐν Μεδιολάνοις ἐγένετο· ὁποῖος δὲ Ἀμβρόσιος τὸν βίον καὶ λόγον καὶ τὸν ὑπὲρ τῆς Ἐκκλησίας ζῆλον, καὶ ὡς μάλα ἀνδρείως καὶ θεοειδῶς τὴν ἱερωσύνην διήνυσε, παῤῥησίᾳ πολλῇ πρὸς τὰς ὑπερεχούσας ἀρχὰς ἐγκαίρως χρώμενος, ἐν τῷ ἐφεξῆς ῥηθήσεται τόμῳ.

176 CAPUT XXXIII.

Ut magnus Valentinianus e vita excesserit. De Valentiniano juniore, et de Justina et Severa imperatricibus, et de liberis utriusque narratio.

Ea tempestate, quod (1) Sauromatæ Romanam ditionem, eamque imperii partem quæ ad Occidentem vergit, excursionibus vexarent, Valentinianus cum ingenti belli apparatu adversus eos est profectus. Atque illi tantam imperatoris expeditionem formidantes, legatis missis pacem ab eo petierunt. Quos ubi defoimes esse vidisset, an universi tales essent Sauromatæ, interrogavit. Et cum illi dixissent, optimos quosque qui et genere et forma præstarent, ab eis legatos solere mitti : ira atque furore multo correptus, gravia pati dixit, et maxime infortunatum esse, quod ad tempora sua pervenisset Romanorum imperium, si Sauromatæ, gens tam barbara et informis, in qua reliquos isti excellerent, sedibus suis contenti esse nollent : sed confidentia tanta impulsi, ditionem suam percurrerent, et bellum titillatione quadam illecti Romanis inferrent. Et cum ita indignaretur, et magnopere vociferaretur, nimia vocis intentione convulsa in eo esse interiora viscera, venamque et arteriam quamdam ruptam dicunt, unde sanguine plurimo profuso vita eum reliquerit, in castello quodam Germaniæ (2), cui Brigitio nomen fuit, decimo septimo mensis Novembris die, cum quinquaginta quinque prope annos natus esset, et tredecim (3) annis imperium bene admodum et præclare administrasset. Eo vero, patrio monumento illato, sexto die post, qui in Italia fuit exercitus cognominem ei filium juniorem Valentinianum imperatorem, in oppido Italiæ Aquino renuntiavit. Neque ita multo post imperatores quoque Gratianus frater et Valens, suffragio suo

B ## ΚΕΦΑΛ. ΛΓ'.

Ὡς ἀπεβίω ὁ μέγας Οὐαλεντινιανός· καὶ περὶ τοῦ νεωτέρου Οὐαλεντινιανοῦ· καὶ διήγησις περὶ Ἰουστίνης καὶ Σευήρας τῶν βασιλισσῶν, καὶ τῶν παίδων ἀμφῶν.

Τηνικαῦτα δὲ Σαυροματῶν τὴν Ῥωμαίων κατατρεχόντων, καὶ ὅσον τὸ πρὸς δύσιν τῆς ἀρχομένης, Οὐαλεντινιανὸς σὺν πολλῇ τῇ παρασκευῇ ἐπέξεισι κατ' αὐτῶν. Ἐκεῖνοι δὲ πρὸς τὴν τοσαύτην τοῦ βασιλέως ὁρμὴν δείσαντες, πρέσβεις πέμψαντες, ᾔτουν εἰρήνην· οὓς ἰδὼν οὐκ εὐφυῶς ἔχοντας, εἰ τοιούτους εἶναι Σαυρομάτας πάντας διεπυνθάνετο. Τῶν δ' εἰπόντων τοὺς παρ' αὐτοῖς ἀρίστους εἶναι καὶ γένει καὶ εἴδει πρεσβευομένους, θυμῷ καὶ ὀργῇ πολλῇ κατάσχετος γεγονὼς, Ἦ δεινὰ νῦν πάσχειν C ἔφη τὴν Ῥωμαίων ἀρχὴν περιελθοῦσαν αὐτῷ, καὶ τὰ μάλιστα δυσπραγεῖν, εἰ Σαυρομάται βάρβαρον οὕτω γένος καὶ δύσμορφον, ὧν οἱ κρείττους οὗτοι, οὐκ ἐθέλει μένειν ἐφ' ἑαυτοῦ· ἀλλ' οὕτω θράσει ῥέον τὴν αὐτοῦ διαθέει ἀρχὴν, καὶ πόλεμον κατὰ Ῥωμαίων κινεῖν γαργαλίζεται. Χαλεπαίνοντος δ' οὕτω καὶ μέγα ἀνακραγότος, τῷ τῆς διατάσεως τῆς φωνῆς ἀμέτρῳ σπαραχθῆναί φασι τὰ ἔνδον, φλέβα δέ τινα καὶ ἀρτηρίαν διαῤῥαγῆναι· αἵματος δ' ἐντεῦθεν πλείστου ἀναδοθέντος, τὸν βίον ἀπολιπεῖν, ἔν τινι φρουρίῳ τῶν Γαλλιῶν, ᾧ Βεργιτίων ἦν ὄνομα, τῇ ἑπτακαιδεκάτῃ τοῦ Δεκεβρίου μηνὸς, ἔτη μὲν γεγονὼς ἀμφὶ τὰ πεντήκοντα, τριακαίδεκα δ' ἐν τῇ βασιλείᾳ εὖ μάλα καὶ λίαν ἐπισήμως διαγενόμενος. Τούτου δὲ τοῖς πατρῴοις μνήμασιν ἐνσοριασθέντος, D ὁ κατὰ τὴν Ἰταλίαν στρατὸς μεθ' ἡμέραν ἕκτην τὸν ὁμώνυμον αὐτῷ παῖδα, τὸν νέον Οὐαλεντινιανὸν, βασιλέα ἀναγορεύουσιν, ἐν Ἀκίνῳ πόλει τῆς Ἰταλίας. Οὐκ εἰς μακρὰν δὲ οἱ βασιλεῖς, Γρατιανός τε ὁ ἀδελφὸς καὶ Οὐάλης, σύμψηφοι καὶ αὐτοὶ ἐγένοντο τῇ ἐκείνου ἀρχῇ, εἰ καὶ χαλεπαίνοντες ἦσαν τὰ πρῶτα· ἅτε δὴ τῶν στρατιωτῶν,

(1) Eutropius scribit, Sauromatas se per Pannonias in ditionem Romanam diffudisse, eamque vastasse. Idem Brigitionem Quadorum oppidum esse dicit. Quados autem nonnulli hodie Austriacos, nonnulli Silesios fuisse opinantur. Quod si posterius hoc verum est, ad oppidum Brigam, ut nunc dicitur, Valentinianus mortuus fuerit.

(2) Nicephorus hoc loco pro Germania Gallias habet. Sed animadvertere est, cum aliis quoque locis Germanorum nomen non usurpasse, sed pro eis Gallos posuisse. Socr. cod. cap. 32.

(3) Alii di unt undecim.

ἐπιτροπῆς αὐτῶν ἄνευ, τὰ ἐπίσημα τῆς ἀρχῆς περι- A
βαλλόντων αὐτόν. Εἰδέναι μέντοι χρεὼν, ὡς ὁ νέος οὗτος Οὐαλεντινιανὸς ἐξ Ἰουστίνης ἐγεγόνει τῷ μεγάλῳ Οὐαλεντινιανῷ· ἐπέγημε δὲ ζώσης ἔτι τῆς προτέρας αὐτοῦ γυναικὸς, ᾗ Σευήρα ἦν ὄνομα. Αἰτία δὲ τοῦ γάμου τοιάδε ἐγένετο· Ἰουστίνῃ ταύτῃ πατὴρ Ἰοῦστος ἐτύγχανεν ὤν, ὃς ἐπὶ τῶν Κωνσταντίου χρόνων τῆς περὶ Πίκενον ἐπαρχίας τὴν ἀρχὴν ἔχων, ὄναρ ἰδεῖν λέγεται, ὡς βασιλικὴν ἁλουργίδα δεξιόθεν γεννήσοι. Τὸ δὲ ὄναρ ἀφελῶς ἐκείνῳ ῥηθὲν, εἰς πολλοὺς διεχύθη. Οὐ πολλῷ δ' ὕστερον καὶ τὰς Κωνσταντίου ἔφθανεν ἀκοάς. Ὁ δὲ συμβαλὼν τὸ ὄναρ ὡς βασιλέα γεννήσοι, πέμψας, ἐκεῖνον μὲν τῆς κεφαλῆς ἀφαιρεῖται· τὸ δέ γ' ἐκείνου θυγάτριον Ἰουστῖνα αὕτη, ὀρφανὴ πατρὸς γενομένη, δυστυχῶς μὲν εἶχε, B
παρθενίαν δ' ὅμως ἠσπάζετο. Ἐς ὕστερον δὲ καὶ γνώριμος τῇ τοῦ βασιλέως Οὐαλεντινιανοῦ γυναικὶ Σευήρᾳ καθίσταται. Πυκνῶς δ' αὐτῇ παραβάλλουσα εἰς φιλίαν ἐκ τῆς συνεχοῦς ὁμιλίας αὐτῇ ἀνακίρναται· τῆς δὲ μακρᾶς συνηθείας κρατυνθείσης, ἤδη καὶ κοινωνὸς αὐτῇ καθίστατο τῶν λουτρῶν. Καί ποτε συλλουομένην ταύτην ἡ Σευήρα ἰδοῦσα, καίπερ οὖσα γυνὴ, ὅμως τοῦ κάλλους ἐκείνης ἡττᾶτο, καὶ ἐπὶ τόσον ὡς καὶ τἀνδρὶ καὶ βασιλεῖ διεξιέναι περὶ αὐτῆς· ὅτιπερ τοσοῦτον περίεστι κάλλος τῇ θυγατρὶ τοῦ Ἰούστου, ὡς καὶ αὐτὴν καίπερ οὖσαν γυναῖκα, τοῦ κάλλους ἐρασθῆναι τῆς παρθενίας. Ὁ δὲ βασιλεὺς τῆς Σευήρας τοῖς λόγοις τρωθεὶς, παρ' ἑαυτῷ τὴν βουλὴν ἐταμίευεν· ἐβουλεύσατο γὰρ καὶ τὴν Ἰουστίναν ἀγαγέσθαι, καὶ ἄμφω νομίμους ἔχειν C
γυναῖκας· καὶ νόμον δημοσίᾳ προὐτίθει, παντὶ βουλομένῳ ἐξεῖναι δύο κατὰ ταυτὸν νομίμους ἔχειν γυναῖκας. Καὶ ὁ μὲν νόμος κατὰ πᾶσαν ἐχώρει πόλιν· ὁ δὲ καὶ τὴν Ἰουστίναν πρὸς τῇ Σευήρᾳ ἀνάγει πρὸς τὰ βασίλεια, καὶ τῆς ἴσης αὐτῷ τιμῆς μεταδίδωσιν. Ἐκ μὲν οὖν Σευήρας Γρατιανὸς πρότερον τῷ Οὐαλεντινιανῷ ἐγεννήθη, ὃν ἔμπροσθεν καὶ βασιλέα τῆς ἑσπέρας ἀνεῖπεν· ἐκ δὲ Ἰουστίνης ταύτης τὸν νέον γεννᾷ Οὐαλεντινιανὸν, ὃν ὁ στρατὸς, ὡς εἴρηται, παρὰ γνώμην τοῖν δυοῖν βασιλέοιν, τοῦ τε ἀδελφοῦ καὶ θείου φημὶ, ἠξίωσεν ἀναῤῥήσεως. Ἐγένοντο δὲ ταύτῃ καὶ θυγατέρες τρεῖς· Ἰούστα, Γράτα καὶ Γάλλα· ὧν αἱ μὲν δύο διὰ βίου τὴν παρθενίαν ἠσπάσαντο· τὴν δὲ Γάλλαν ἐς ὕστερον ὁ βασιλεὺς ἔγημε Θεοδόσιος ὁ μέγας, ἐξ ἧς αὐτῷ καὶ D
Πλακιδία θυγάτηρ ἐγίνετο. Ἐκ γὰρ τῶν προτέρων αὐτῷ σπερμάτων Ὀνώριον καὶ Ἀρκάδιον ἔσχεν, ἐκ Πλακίλλης τῆς προτέρας αὐτοῦ γυναικός· ἣν πρὶν τὴν βασίλειον ἀρχὴν ἀναζώσασθαι, νομίμως ἡρμόσατο. Περὶ μὲν οὖν Θεοδοσίου καὶ τῶν υἱῶν κατὰ χώραν λελέξεται.

A imperium ejus comprobarunt, quamvis id primum moleste tulerint, videlicet quod milites sine eorum jussu imperialia ei tribuerint insignia. Illud quippe notandum est, juniorem hunc Valentinianum magno Valentiniano ex Justina progenitum esse, quam vivente adhuc priore ejus conjuge Severa uxorem superinduxit. Causa earum nuptiarum hæc fuit: Justinæ huic pater fuit Justus; hic Constantii temporibus Picenum provinciam habens, in somnis sibi ipsi visus est, quemadmodum dicitur, imperialem purpuram dextro femore gignere. 177
Somnium id simplici animo ab eo expositum, sermonibus deinde multorum divulgatum est, nec multo post ad Constantii quoque pervenit aures, qui ex visione ea imperatorem illum progeniturum esse
B conjectans, immisso percussore caput illius rescindi jussit. Porro filiola ejus Justina, cum ei patre orbatæ res duræ essent, virginitatis tamen florem conservavit. Deinde vero in notitiam Severæ imperatoris Valentiniani conjugis pervenit. Et cum frequentius eam adiret, per continuam consuetudinem in amicitiam quoque ejus est admissa: atque ea cum magis atque magis familiaritate confirmata esset, tandem etiam in lavationis communionem se insinuavit. Et aliquando simul lavantem cum eam Severa inspexisset, quamvis femina esset, forma ejus usque adeo est capta, ut de ea etiam marito imperatori diceret: tam præstantem scilicet Justi filiæ esse formam, ut ipsa quoque florem pudicitiæ et
C virginitatis ejus adamarit. Imperator Severæ verbis ictus, consilium suum secum ipse celavit. Nam et Justinam ipsam ducere, et utramque legitimam habere uxorem constituerat. Itaque legem (1) publice promulgat, ut cuicunque libitum esset, duas legitimas uxores habere liceret. Ita simul et lex ea in urbibus omnibus proponitur, et Justinam imperator in regiam suam uxorem inducit, eodemque cum Severa loco honorifice habet. Atque ex Severa quidem Gratianum antea Valentinianus susceperat, quem etiam Occidentis imperatorem dudum declaraverat. Justina autem ista juniorem Valentinianum ei genuit, quem exercitus, sicuti dixi, præter duorum imperatorum fratris et patrui sententiam, imperatorem esse jussit. Huic tres quo-
D que fuere filiæ, Justa, Grata et Galla: quarum duæ virginitatem in vita sunt complexæ. Gallam vero postea Theodosius magnus uxorem duxit, ex qua ei Placidia filia prognata est. Nam Honorium et Arcadium in matrimonio priore genuerat ex prima conjuge Placilla, quam prius legitime sibi conjunxerat, quam imperium ipsum suscepit. De Theodosio autem atque ejus filiis tempore suo dicetur.

(1) Itidem antehac Julius Cæsar legem latam voluit, uti uxores liberorum quærendorum causa quas et quot ducere vellent, liceret, propter impudicitiam suam scilicet et adulteriorum infamiam: o minum mulierum vir, et omnium virorum mulier. (Sueton.) Populosas fore tali lege Romani imperii terras causatus est, perinde atque Barbarorum regiones, apud quos polygamia coleretur. (Eutrop.) Procopius sane Cæsariensis alicubi monogamiam plurimum detrimenti Romanis ditionibus attulisse scribit.

178 CAPUT XXXIV.

Qui eo tempore in Ægypto floruerint philosophici et divini viri, discipuli et discipulorum discipuli Antonii magni : Joannes, Or, Amon, Theonas, Benus, Copres, Helles, Elias, Apelles, Isidorus, Serapion, Dioscorus, Eulogius et Apollos.

Sed enim ex Occidente rursum ad Orientis res transeamus. Atque ubi prius de ecclesiasticis philosophis, ita ut pollicitus sum, dixero (magnus enim tum, et haud scio an alio itidem tempore unquam, eorum proventus fuit), ad profana progrediar. Atque morti impii Valentis aliquantum cum delectatione immoratus, finem etiam undecimo huic historiarum tomo imponam. Verum enimvero quæ initia monasticæ vitæ institutum habuerit, et quinam ejus veluti patres et duces exstiterint, in Maximi Constantini, deinde etiam in filii ejus Constantii historia commemoravimus. Nam de Antonio et Paulo simplici, item de Ammone et Eutychiano, qui in Olympo fuit, præterea de Spyridone, Nicolao et Parthenio, hierarchis edendis miraculis claris, cum historiam de Constantino scriberemus, egimus : Antonii autem discipulos, duos videlicet Macarios, Pambo, Paphnutium, Apollonium, et Anub, in Constantii res gestas conjecimus. In quibus etiam Ægyptios monachos celebravimus, qui in Sceti et Tabennesio sunt philosophati ; præterea qui in Syria et Palæstina virtutem piis exercitiis meditati sunt, quique in Ponto, et Europa, et Italia ipsa angelorum vitæ æqualem duxere vitam : atque item alios qui sapientes quidem et religionis nostræ fuere, fidei tamen doctrinam sanam ad finem usque non conservarunt. Hoc autem loco eos qui postea viguerunt, persequemur, qui cum patres priores illos habuere, tum patres ipsi multorum secundum Deum filiorum exstitere. Eos in compendio, quantum mihi eorum res cognoscere licuit, breviter percurram. Imperii istius tempore secundum eos quos antea diximus Dei amantes viros, **179** in Ægypto Joannes ille enituit (1), cui prophetiæ donum, et rerum quæ multis ignotissimæ sunt, cognitionem Deus tribuit, ut futuras scilicet perinde atque præsentes, non minus quam prisci vates, cerneret. Habuit is aliud insuper a Deo acceptum donum, ut morbis incurabilibus imperaret, atque dicto citius eos fugaret, ægrotosque sanaret. Præter hunc et celeber ille Or tum claruit, qui ab ipsa infantia vitam solitariam in eremo consectatus, nullum laborem alium, præterquam Deum laudibus ferre novit : herbis quibusdam agrestibus earumque radicibus vitam tolerans. Aquam bibit loco quovis, quamcunque ei obiter terra in qua versaretur, præbuit. Ubi autem ad senectutem pervenit, visione quadam divina Thebaidem incolere jussus, multorum monasteriorum dux factus est. Eisdem autem et hic, quibus Joannes, divinis locuples fuit donis. Precatione namque sola non morbos

(1) Sozom. eod. cap. 28.

A ΚΕΦΑΛ. ΛΔ΄.

Περὶ τῶν κατ' ἐκεῖνο καιροῦ ἀκμασάντων φιλοσόφων θείων ἀνδρῶν ἐν Αἰγύπτῳ, οἳ μαθηταὶ καὶ μαθητῶν μαθηταὶ τοῦ μεγάλου Ἀντωνίου ἐγένοντο· Ἰωάννου, Ὢρ, Ἀμὼν, Θεωνᾶ, Βήνου, Κόπρη, Ἑλλῆ, Ἠλία, Ἀπελλῆ, Ἰσιδώρου, Σεραπίωνος, Διοσκόρου, Εὐλογίου καὶ Ἀπολλώ.

Ἀλλ' ἐξ ἑσπέρας αὖθις ἐπὶ τὰ κατὰ τὴν ἕω γενόμενα διαβήσομαι. Καὶ πρότερον περὶ τῶν ἐκκλησιαστικῶν φιλοσόφων διαλαβὼν, καθὰ δῆτα καὶ ὑπεσχόμην (φορὰ γὰρ πολλὴ τούτων εἴπερ ποτὲ τηνικαῦτα ἐπήνθει), πρὸς τὰ ἑξῆς βαδιοῦμαι· καὶ τῷ τέλει τοῦ δυσσεβοῦς Οὐάλεντος ἐμφιλοχωρήσας, τέλος καὶ τῇ παρούσῃ μοι ἑνδεκάτῃ τῶν ἱστοριῶν ἐπιθήσω. Ἀλλ' ὅπως μὲν ἡ μοναχικὴ πολιτεία τὴν B ἀρχὴν ἔσχε, καὶ τίνες ὥσπερ πατέρες καὶ ἀρχηγοὶ ταύτης ἐγένοντο, φθάνομεν ἔν τε τῇ κατὰ τὸν μέγιστον Κωνσταντῖνον ἱστορίᾳ, καὶ ἐν τῇ τοῦ υἱοῦ αὐτοῦ Κωνσταντίου αὖθις διαλαβόντες. Ἀντωνίου γὰρ καὶ Παύλου τοῦ Ἁπλοῦ, Ἀμμοῦν τε καὶ Εὐτυχιανοῦ τοῦ ἐν τῷ Ὀλύμπῳ, ἔτι δὲ Σπυρίδωνος καὶ Νικολάου καὶ Παρθενίου τῶν ἐν θαύμασι περιβοήτων ἱεραρχῶν, ἡ κατὰ τὸν Κωνσταντῖνον διέξεισιν ἱστορία. Περὶ δὲ τῶν Ἀντωνίου μαθητῶν, τῶν δύο, φημὶ, Μακαρίων, Παμβώ τε καὶ Παφνουτίου, Ἀπολλωνίου τε καὶ Ἀνοὺβ, ἡ κατὰ Κωνσταντίου συγγραφὴ περιέχει· ἐν ᾗ καὶ περὶ τῶν ἐν Αἰγύπτῳ διέξιμεν μοναχῶν, ἤγουν τῶν ἐν Σκήτει καὶ Ταβεννησίῳ φιλοσοφησάντων, καὶ περὶ τῶν ἐν Συρίᾳ καὶ Παλαιστίνῃ ἀσκησάντων· ἀλλὰ δὴ καὶ περὶ τῶν ἐν Πόντῳ C καὶ Εὐρώπῃ καὶ Ἰταλίᾳ ἰσαγγέλως βεβιωκότων μνείαν ἐποιησάμην· καὶ περὶ ἄλλων σοφῶν μὲν καὶ τοῦ ἡμετέρου σεβάσματος, οὐ μὴν δὲ ὑγιῶς τὸ τῆς πίστεως δόγμα διεξεληλυθότων. Ἐν δὲ τῷ παρόντι περὶ τῶν ἐφεξῆς ἀκμασάντων διαληψόμεθα, οἳ πατέρας μὲν τοὺς προειρημένους ἔσχον, πατέρες δ' οὗτοι πολλῶν κατὰ Θεὸν υἱῶν ἐγένοντο· οὓς ἐν συνόψει διαδραμοῦμαι καθ' ὅσον μοι μαθεῖν περὶ αὐτῶν ἐξεγένετο. Ἐπὶ δὴ τῆς ἡγεμονίας ταύτης μετὰ τοὺς προειρημένους θεοφιλεῖς ἄνδρας ἐν Αἰγύπτῳ διέπρεπεν Ἰωάννης ἐκεῖνος, ᾧ τῆς προφητείας τὴν χάριν καὶ τὰ πολλοῖς ἀδηλότατα Θεὸς ἐδωρήσατο· ὡς ἐνεστῶτα ὁρᾷν τὰ ἐσόμενα, καὶ οὐχ ἧττον ἢ οἱ πάλαι προφῆται. Πρὸς δὴ τούτῳ καὶ δεύτερον ἄλλο δῶρον πρὸς Θεοῦ λαβὼν εἶχε, ταῖς ἀνιάτοις ἐπιτάττειν τῶν D νόσων, καὶ θᾶττον ἢ λόγος φυγαδεύειν ταύτας, καὶ ἰᾶσθαι τοὺς κάμνοντας. Ἐπὶ δὴ τούτῳ καὶ ὁ περιβόητος Ὢρ ἐγνωρίζετο· ὃς ἐκ βρεφικῆς ἡλικίας τὰς ἐν ἐρήμῳ διατριβὰς ἀσπασάμενος, οὐδέν τι ἄλλο ἢ Θεὸν ὑμνεῖν ἔργον εἶχε, βοτάναις τισὶν ἀγρίαις καὶ ταῖς ἐκ τούτων ῥίζαις τρεφόμενος. Ποτὸν δὲ εἶχεν ὕδωρ ὁπηδήποτε καὶ ἐκ τοῦ παρήκοντος σχεδιασθὲν τῇ διατριβῇ. Ἐπεὶ δὲ πρεσβύτης ἐγένετο, εἰς Θηβαΐδα ὀμφῇ τινι θείᾳ μετοικισθεὶς, καθηγεμὼν πολλῶν μοναστηρίων ἐγένετο. Ἐπίσης δὲ Ἰωάννῃ καὶ οὗτος τῆς θείας ηὐμοίρησε χάριτος. Εὐχῇ γὰρ μόνῃ οὐ μόνον νόσους, ἀλλὰ καὶ δαίμονας ἤλαυνεν. Ἀμύητος δὲ γραμμάτων ὢν, ἥκιστα βίβλων ἐδεῖτο

πρός γε ἀνάμνησιν. Πᾶν γὰρ ὅπερ ἀκούσειε καὶ εἰς νοῦν λάβοι καθάπαξ, ὑπέρτερον ἁπάσης λήθης ἦν ταμιευόμενον, καὶ καιρῷ τῆς χρείας πρόχειρον ἑωρᾶτο. Τηνικαῦτα δὲ καὶ Ἀμὼν ἐκεῖνος ἐφιλοσόφει περὶ τόδε τὸ κλίμα· ὃς τῶν ἐν τῇ νήσῳ Ταβέννῃ καθηγησάμενος, τρισχιλίους εἶχε τοὺς μαθητευομένους· ἐν οἷς καὶ Βῆνος ἦσαν καὶ Θεωνᾶς μοναχικῶν ταγμάτων καθηγεμόνες. Καὶ ἄμφω δὲ τοῦ τε προγινώσκειν καὶ προφητεύειν τὴν χάριν εἰλήφεισαν ἐκ Θεοῦ. Θεωνᾶν μέντοι φασὶν εἰς ἄκρον ἀσκῆσαι τήν τε Αἰγυπτίων καὶ Ἑλλήνων καὶ Ῥωμαίων σοφίαν καὶ παίδευσιν, καὶ ἐπὶ τριάκοντα ἔτεσι φιλοσοφῆσαι τὴν σιωπήν· τὸν δὲ Βῆνον οὕτως ἀσκῆσαι, ὡς μηδέποτε ὀργισθῆναί τινι· μήτε μὴν ὀμόσαι, ἀλλ' οὐδὲ ψεύσασθαι· θρασὺν δὲ λόγον ἢ εἰκαῖον ἢ ὀλιγωρίας ἄξιον μηδέποθ' ἑλέσθαι διὰ στόματος ἐνεγκεῖν. Ναὶ μὴν καὶ Κόπρης καὶ Ἑλλῆς καὶ Ἡλίας κατ' ἐκεῖνο καιροῦ ἐγνωρίζοντο. Ὁ μὲν οὖν Κόπρης εἰλήφει χάριν δαιμόνων τε κρατεῖν, καὶ ποικίλων νοσημάτων ἰᾶσθαι τὰ πάθη. Τοσαύτην δὲ τῷ Ἑλλῇ γενέσθαι χάριν τῶν παραδόξων, καίπερ ἔτι τὴν κατὰ μοναχοὺς ἐκπαιδευόμενον ἀγωγήν, ὡς καὶ ἄνθρακας φέρειν ἐν κόλπῳ, καὶ μὴ τὴν ἐσθῆτα καίειν· κἀντεῦθεν καὶ τοὺς συνομίλους ἐφέλκειν, καὶ πρὸς ζῆλον τῆς πολιτείας διερεθίζειν, ἅτε δὴ τῆς ἀγαθῆς βιοτῆς ἐφεπομένην ἐχούσης καὶ τὴν τῶν παραδόξων ἔργων ἐπίδειξιν. Ὁ δ' Ἡλίας ἄγχιστα τῆς Ἀντινόου πόλεως τὸ τῆς φιλοσοφίας ἐκέκτητο ἐργαστήριον, ὑπὲρ τοὺς δέκα καὶ ἑκατὸν χρόνους γενόμενος. Ἔλεγε δὲ μόνος τὴν ἔρημον οἰκῆσαι πρὸ τοῦ ἐκεῖσε ἐλθεῖν ἐπὶ ἔτεσιν ἑβδομήκοντα. Οὕτω δὲ γήρως ἔχων, ἀνδρείως μέχρι τέλους τῷ ἀγῶνι καὶ νηστεύων διεκαρτέρει, ὥσπερ τῆτες ἢ πρότριτα τὸ τῆς μοναχικῆς πολιτείας στάδιον ὑποδύς. Περὶ δὲ Ἄχωριν καὶ Ἀπελλῆς ἐκεῖνος διέπρεπε, καταπλήττων τοῖς παραδόξοις τῶν ἔργων τὰ κατ' Αἴγυπτον μοναστήρια· ὅν φασι χαλκεύοντα, τοῦτο γὰρ ἦν αὐτῷ ἐπιτήδευμα, νύκτωρ τὸν δαίμονα εἰς μορφὴν εὖ ἔχουσαν γυναικὸς μεταβληθέντα, ἐπιβουλεύειν πειρᾶσθαι τῇ τοῦ ἀνδρὸς σωφροσύνῃ· τὸν δὲ τὸν μύδρον τῶν ἀνθράκων ἠρέμα ἐξερυσάμενον, κατὰ πρόσωπον βαλεῖν τὸ δαιμόνιον, καὶ καταφλέξαι αὐτό· ἐκεῖνο δ' εὐθὺς ἀποδρᾶναι γοερὸν τετριγὸς καὶ ὀλοφυρόμενον. Πατέρες δὲ τὸ ἐπίσημον ἔχοντες τῶν μοναχῶν τηνικαῦτα ἦσαν Ἰσίδωρός τε καὶ Σεραπίων, καὶ ἐπὶ τούτοις Διόσκορος. Ὁ μὲν οὖν Ἰσίδωρος κύκλῳ ξύλοις καὶ τοίχοις περιθριγγώσας τὸ μοναστήριον, διὰ σπουδῆς ἐποιεῖτο, μηδένα τῶν ὑπ' αὐτῷ ταττομένων θύραζε προϊέναι, ἀλλ' ἀρκούντως ἀπολαύοντα τῶν ἐπιτηδείων κατὰ χώραν μένειν· ὁ δὲ Σεραπίων ἀμφὶ μυρίους κτησάμενος μαθητάς, περὶ τὴν Ἀρσενοΐτην διέτριβεν. Οἱ δ' ὑπ' αὐτῷ ταττόμενοι οἰκείοις ἱδρῶσι τὸ ζῆν ἐπορίζοντο, καὶ πολλοῖς τῶν δεομένων ἐπήρκουν. Ὥρᾳ θέρους ἀμῶντες ἐπὶ μισθῷ, τὸν ἀρκοῦντα σῖτον ἑαυτοῖς ἐπετίθουν, καὶ ἄλλοις ἐχορήγουν τῶν μοναχῶν. Τῷ δέ γε Διοσκόρῳ ἑκατὸν ἐγένοντο φοιτηταί. Ἱερᾶσθαι δὲ λαχών, πολλὴν περὶ τὴν τῶν

A solum, sed et dæmones abegit. Et cum litteris initiatus non esset, minime tamen ad memoriam libris opus habuit. Quidquid enim semel auditum mente complexus esset, id supra oblivionem omnem conservabat : et quocunque tempore usu ejus opus esset, promptum ad manus habebat. Tum vero in eadem regione etiam philosophatus est Amon ille, qui in Tabenna insula monasteriis præsidens, tria millia discipulorum habuit : in quibus erant Benus et Theonas, monasticorum ordinum duces. Ambo vero et prædictionis gratiam Deo acceptam tulere. Theonam certe quidem dicunt ad summum Ægyptiorum et Græcorum et Romanorum sapientiam et disciplinam perdidicisse, et ad triginta annos silentium coluisse. Benus autem ita vitam insti- B tuit, ut nunquam alicui irasceretur, neque juraret, neque mendacium diceret. Vocem etiam temerariam aut vanam et nihili, nunquam ex ore protulit. Spectati quoque eo tempore fuere Copres, Helles et Helias. In iis Copres dæmonum expellendorum et variorum morborum sanandorum gratiam acceperat. Helles autem tantum habuit miraculorum edendorum donum, ut tum etiam cum monastici instituti disciplinam disceret, candentes in sinu carbones tulerit, et vestes non adusserit. 180 Quare sodales suos ad æmulationem instituti sui, et vitæ ejus bonæ, quæ manifesto prodigiorum exhibendorum consequentem virtutem obtineret, excitavit atque pertraxit. Helias porro prope urbem Antinoum monasticæ philosophiæ suæ habuit offi- C cinam, qui centesimum et decimum excessit annum. Dixit is autem, prius se ad annos septuaginta solum in solis locis habitasse, quam in eo pervenerit. Et cum ea esset ætate, ad finem tamen usque in certamine cœpto viriliter jejunans perduravit, perinde atque eo ipso, aut tertio inde anno monasticæ vitæ studium esset ingressus. Ad Achorin autem et Apelles ille enituit, monasteria Ægypti mirificis factis suis obstupefaciens : quem dicunt aliquando, cum æs procuderet (nam hoc ei erat studium), et noctu dæmon in venustæ mulieris formam mutatus, pudicitiæ ejus insidias tendere conaretur, candentem massam ex carbonibus sensim protraxisse, atque in faciem dæmonis conjecisse, D eamque ustulasse, atque illum confestim luctuosum quiddam stridentem atque ululantem profugisse. Patres autem monachorum celebres tum fuere, Isidorus, Serapion, et prætcrea Dioscorus. Atque Isidorus monasterio circumcirca tignis et muro septo, hoc studio habebat, ne quis eorum qui in disciplina ejus erant (1), foras progrederetur : sed ubi quantum satis est rebus necessariis usus esset, in loco suo maneret. Porro Serapion ad decem millia discipulorum habens, circa Arsenoiten vixit : qui vero ei parebant, sudore suo victum parabant, eumdemque indigentibus etiam præbebant. Et æstatis tempore mercede metentes, quantum opus esset fru-

(1) Socrates asceten quemdam solitum fuisse dicere scribit, monachum opus non facientem, homini avaro, qui aliena appetat, persimilem esse lib. IV, cap. 23.

suasione imperatorem in sententiam suam adducere nequivit, eo ibi relicto, in ecclesiam aliam transiit, populo pastorem suum sequente. Concurrit eo fere civitas universa, cum imperatorem ipsum visura, tum novi quidquam factum iri existimans. Ille solus cum satellitibus suis in templo relictus, factum id non modeste tulit, sed veluti contumelia affectus, comprehendi Britannionem, et in exsilium deportari jussit. Eumdem tamen brevi reduxit: nam Scythas metuebat, ne propter episcopi damnationem ad novas res aspirarent, iracundiam eorum et fortitudinem perspectam habens. Locorum etiam situ: quippe qui quasi medius quidam murus, adversus ejus oræ barbaros objecti essent, Romanorum orbi perquam necessarios esse sciebat. Atque quidem Britannio imperatore superior evadens, ad mores suos rediit, vir honestus maxime, et vitæ instituto præclarus, ut ipsi testabantur Scythæ: ut autem semel dicam, clerus omnis, et Ecclesia in Oriente omnis, imperatoris iram propter religionem est experta. Valens quidem tam gravia in Thracia et Constantinopoli, in Nicomedia et Cappadocum Cæsarea, adhæc Antiochiæ et in Ægypti ecclesiis patravit.

166 CAPUT XXX.

De Valentiniani in religionem divinam reverentia observantia; et de Romana synodo, quæ Trinitatem consubstantialem esse promulgavit: et de Damaso et Ursicio Romanis episcopis, qui Liberio successerunt.

Ego vero ab Oriente ad imperii Occidentalis res transibo: quod quidem immune a talibus ærumnis perduravit, propterea quod eam Romani imperii partem Valentinianus administrabat, flagranti in Nicæna decreta amore nulli concedens, et singularem maxime erga Deum pietatem obtinens, ita ut nihil prorsus sive melius seu deterius sibi de rebus ecclesiasticis præcipiendum, neque novi quidquam præter ea quæ semel constituta essent, introducendum duxerit. Excedere namque talia explorationem sive cognitionem suam putavit: quamvis princeps alioqui optimus esset, et rebus ipsis imperio se idoneum esse declararit. Etenim tum quoque, sicuti et antea, quæstio multa per Asiam et Phrygiam orta est: an Spiritum sanctum ὁμοούσιον, consubstantialem, Patri et Filio profiteri oporteat. Et plurima de tali quæstione usque adeo erat verborum contentio, ut non minoris momenti ea haberetur, quam quæ antea de Deo Verbo fuerat. Nam quidam dissimilem, quidam autem consubstantialem esse contendebant, sicuti et Filium. Atque in eo solo parti utrique conveniebat, quod Spiritum sanctum administrum dicerent: at ordine tertium, honoreque et substantia (1) alium esse confirmarent. Erant autem qui quod de Filio opinarentur, idem quoque de Spiritu statuerent: et veluti Filium ejusdem sub-

A ραν ἐκκλησίαν ἀφίκετο· καὶ ὁ λαὸς κατόπιν ἠκολούθησε τῷ ποιμένι. Σχεδὸν δὲ πᾶσα ἡ πόλις συνέῤῥευσεν, ὀψόμενοί τε ἅμα τὸν βασιλέα, καὶ καινόν τι προσδοκήσαντες ἔσεσθαι. Ὁ δὲ μόνος σὺν τοῖς περὶ αὐτὸν δορυφόροις ἀπολειφθείς, οὐ μετρίως ἤνεγκε τὸ πραχθέν· ἀλλ' ὡς περιυβρισμένος, συλληφθῆναι προσέταξε Βρεταννίωνα, καὶ ὑπερόριον ἄγεσθαι. Ἀλλ' οὐκ εἰς μακρὰν αὖθις ἐπανῆγε· τοὺς γὰρ Σκύθας ἐδεδίει, μή τι διὰ τὴν τοῦ ἐπισκόπου καταδίκην νεωτερίσωσι, τό τε θυμῶδες καὶ ἀνδρεῖον ἐπιστάμενος, τῇ τε θέσει τῶν τόπων, ἀναγκαίους μάλιστα τῇ Ῥωμαίων οἰκουμένῃ ὄντας, καὶ οἷά τι μεσότειχον τῶν ἐκείνῃ βαρβάρων προβεβλημένους. Καὶ οὕτω μὲν Βρεταννίων ὑπέρτερος τοῦ κρατοῦντος γενόμενος, εἰς τὰ οἰκεῖα ἤθη ἀνέστρεφεν, ἀνὴρ B ἀγαθός τε μάλιστα, καὶ τῇ τοῦ βίου ἀγωγῇ περιβόητος, ὡς αὐτοὶ μαρτυροῦσι Σκύθαι. Ὡς δ' εἰπεῖν, πᾶς κλῆρος καὶ Ἐκκλησία πᾶσα τῆς ἕω τῆς τοῦ βασιλέως ἐπειράθη ὀργῆς διὰ τὴν θρησκείαν. Καὶ τοιαῦτα μὲν Οὐάλης, ἔν τε Θρᾴκῃ καὶ τῇ Κωνσταντίνου, Νικομηδείᾳ τε καὶ τῇ Καππαδοκῶν, πρὸς δὲ τῇ Ἀντιοχείᾳ καὶ ταῖς κατ' Αἴγυπτον ἐκκλησίαις δεινὰ διεπράξατο.

ΚΕΦΑΛ. Λ'.

Περὶ τῆς εἰς τὰ θεῖα αἰδοῦς Οὐαλεντινιανοῦ· καὶ περὶ τῆς ἐν Ῥώμῃ συνόδου, ἥτις Τριάδα ὁμοούσιον ἀνεκήρυξε· καὶ περὶ Δαμάσου καὶ Οὐρσικίου τῶν Ῥώμης ἐπισκόπων, οἳ διάδοχοι Λιβερίου ἐγένοντο.

C Ἐγὼ δ' ἐκ τῆς ἕω πρὸς τὰ κατὰ τὴν ἑσπέραν τῆς ἀρχομένης γενόμενα διαβήσομαι· ταῦτα γὰρ ἀπείρατα τῶν δεινῶν διαμεμενήκεσαν· καθότι τῶν ἐπέκεινα Ῥωμαίων Οὐαλεντινιανὸς ἦρχεν, εἴπερ τις ὢν διάπυρος ἐραστὴς τῶν δεδογμένων τῇ ἐν Νικαίᾳ συνόδῳ, εὐλαβῶς τε περὶ τὰ θεῖα μάλιστα διακείμενος· ὡς μηδὲν χεῖρον ἢ ἄμεινον κατὰ τὰς ἐκκλησίας ἐπιτάττειν αἱρεῖσθαι, μηδὲ καινότερα εἰσάγειν παρὰ τὰ καθάπαξ νομοθετηθέντα· κρείττω γὰρ τῆς ἐκείνου δοκιμασίας ἐνόμιζε, καίπερ βασιλεὺς ἄριστος γεγονώς, καὶ ἱκανὸς ἄρχειν μάλιστα διὰ τῶν πραγμάτων φανείς. Καὶ γὰρ τηνικαῦτα, καθὰ καὶ πρότερον ζητήσεως ἀνὰ τὴν Ἀσίαν καὶ Φρυγίαν πολλῆς D γενομένης, εἰ χρεὼν καὶ τὸ Πνεῦμα τὸ ἅγιον ὁμοούσιον δοξάζειν Πατρί τε καὶ Υἱῷ· οἷα φιλεῖ πλείστης ἐρεσχελίας καὶ περὶ τοῦ τοιούτου ζητήματος γενομένου, ὡς μὴ ἐν ἐλάττονι ταύτας νομίζεσθαι ἢ ἐπὶ τοῦ Θεοῦ Λόγου συνέβησαν πρότερον. Οἱ μὲν οὖν ἀνόμοιον, οἱ δ' ὁμοούσιον διετείνοντο εἶναι καθάπερ καὶ τὸν Υἱόν· κατὰ τοῦτο δὲ μόνον καὶ ἄμφω τὰ μέρη εἰς ἓν συνῄεσαν, ὅτιπερ διακονικὸν αὐτὸ ἔλεγον, τῇ τε τάξει τρίτον καὶ τῇ τιμῇ· καὶ τῇ οὐσίᾳ ἀλλοῖον εἶναι διισχυρίζοντο. Ἦσαν δὲ οἵ, ὃ περὶ τοῦ Υἱοῦ ἐδόξαζον, τὸ αὐτὸ καὶ περὶ τοῦ Πνεύματος ἐδογμάτιζον· καὶ καθάπερ τὸν Υἱὸν ὁμοούσιον καὶ ὁμότιμον καὶ ὁμόδοξον τῷ Πατρὶ ἔτεθον, οὕτω δὴ καὶ περὶ τοῦ ἁγίου Πνεύματος ὡμολόγουν, Πατρί τε καὶ

(1) Οὐσίᾳ. Hic et Niceph. et Sozom. habent, ἐξουσίᾳ, hoc est, potestate.

Υἱῷ κηρύττοντες ὁμοούσιον. Στεῤῥῶς δὲ τῆς τοιαύτης A ὑπερίστατο δόξης παρὰ μὲν Σύροις Ἀπολλινάριος ὁ Λαοδικεὺς, ἀνὰ δὲ τὴν Αἴγυπτον ὁ πολὺς Ἀθανάσιος, ἔτι περιὼν τότε, παρὰ δὲ Καππαδόκαις καὶ ταῖς περὶ τὸν Εὔξεινον ἐκκλησίαις Γρηγόριος καὶ Βασίλειος.

Τῆς δὲ τοιαύτης, ὡς εἴρηται, ζητήσεως κινουμένης, καὶ τῆς φιλονεικίας πολλῆς διὰ ταῦτα ἐπιδιδούσης, Οὐαλεντινιανὸς τῷ πολλῷ τῆς περὶ τὰ θεῖα εὐλαβείας οὐδὲν λέγειν εἶχε· παρεχώρει δὲ τοῖς τοιαῦτα πεπιστευμένοις τὸ ποιητέον ἐξενεγκεῖν. Ὁ μαθὼν ὁ τηνικαῦτα τῆς Ῥωμαίων Ἐκκλησίας τὰς ἡνίας ἔχων Λιβέριος, τοὺς περὶ αὐτὴν ἱερέας ἀθροίσας κελεύσει τοῦ κρατοῦντος, ταῖς ἀνὰ τὴν ἕω B ἔγραψεν ἐκκλησίαις, Τριάδα ὁμοούσιον καὶ ὁμόδοξον πρεσβεύειν. Ὁ γενόμενον οἷα δὴ καθάπερ τῇ Ῥωμαίων Ἐκκλησίᾳ καλῶς ἐγκριθὲν, ἡσυχῇ μενεῖν ἕκαστον παρεσκεύασε· καὶ τέλος αἴσιον ἡ περὶ τοῦ Πνεύματος ζήτησις εἰληφυῖα, τῆς μακρᾶς ἐρεσχελίας ἐπαύσατο· ἐκύρωσε γὰρ καὶ αὕτη ἡ σύνοδος, τὴν ἐν Νικαίᾳ πίστιν κρατεῖν. Παραθήσομαι δὲ καὶ ἄμφω τὰ γράμματα, τοῦ τε βασιλέως καὶ τῆς συνόδου, ἃ τοῖς ἀνὰ τὴν ἕω ἀμφισβητοῦσι περὶ τῆς ὀρθῆς δόξης ἀπέστειλαν. Τὰ μὲν οὖν τοῦ βασιλέως, τάδε διήγγελλον·

« Αὐτοκράτορες μέγιστοι, ἀεισέβαστοι, νικηταὶ, Οὐαλεντινιανὸς καὶ Γρατιανὸς ἐπισκόποις διοικήσεως Ἀσιανῆς, Φρυγίας, Καροφρυγίας, Πακατια- C νῆς, ἐν Κυρίῳ χαίρειν. Συνόδου τηλικαύτης συγκροτηθείσης ἐν τῷ Ἰλλυρικῷ, καὶ ζητήσεως πολλῆς γενομένης περὶ τοῦ σωτηρίου λόγου, ἀπέδειξαν οἱ τρισμακαριώτατοι ἐπίσκοποι, τὴν Τριάδα ὁμοούσιον Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι· ἣν οὐδ' ὅλως ἐκκλίνοντες, λειτουργίας τὰς κατὰ δίκαιον ἐπιβαλούσας αὐτοῖς, θρησκεύουσι τὴν θρησκείαν τοῦ μεγάλου βασιλέως. Κηρύττειν δὲ ταύτην προσέταξε τὸ ἡμέτερον κράτος· οὕτως μέντοι ἵνα μὴ λέγωσί τινες, ὅτι ἀνῆκε θρησκεία βασιλέως τοῦ διέποντος τὴν γῆν ταύτην, μὴ ἀνεχόμενοι τοῦ ἐντειλαμένου ἡμῖν τὰ περὶ τῆς σωτηρίας. Ὡς γάρ φησι τὸ Εὐαγγέλιον τοῦ Θεοῦ ἡμῶν, ὅπερ ἐπίκρισιν ταύτην ἔχει, ἀποδίδοσθαι τὰ τοῦ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ· D τί λέγετε ὑμεῖς οἱ ἐπίσκοποι καὶ προεστῶτες τοῦ σωτηρίου λόγου; εἰ οὕτως ἔχει τὰ τῆς ἀποδείξεως ὑμῶν; Οὕτως μέντοι ἀγαπῶντες ἀλλήλους, παύσασθε ἀποχρῆσθαι ἀξιώματι βασιλέως· καὶ μὴ διώκετε τοὺς ἀκριβῶς τῷ Θεῷ λειτουργοῦντας· ὧν ταῖς εὐχαῖς καὶ

A stantiæ et ejusdem honoris et ejusdem gloriæ cum Patre colebant, sic etiam de Spiritu sancto, Patri et Filio ὁμοούσιον, consubstantialem ipsum prædicantes, profiterentur. Pro hac opinione fortiter apud Syros Apollinaris Laodicensis, in Ægypto magnus Athanasius adhuc superstes, apud Cappadoces vero et ecclesias Ponti Gregorius et Basilius decertarunt.

Hac ipsa quæstione, sicuti dixi, mota, cum de ea ingens contendendi studium increbuisset, Valentinianus pro insigni sua in Deum pietate, quod diceret, non habebat. Quibus autem talia credita essent, eis ut quid facto opus esset, proferrent et statuerent, concessit. Quo cognito, qui tum Ecclesiam Romanam adhuc gubernabat Liberius, **167**

B finitimis episcopis principis jussu convocatis, orientalibus scripsit ecclesiis, ut Trinitatem ejusdem substantiæ et ejusdem gloriæ deprædicarent. Quod factum, utpote re semel a Romana Ecclesia rite et ordine dijudicata, ut quietus quisque esset, effecit; et quæstio de Spiritu sancto debitum finem consecuta, diuturnæ verborum concertationi modum imposuit. Eadem synodus etiam fidem Nicænam auctoritate sua roboravit. Subjungam autem utrasque et imperatoris et synodi litteras, quas in Orientem ad eos qui de recta opinione ambigebant, dederunt. Imperatoris sic habebant:

« Imperatores Maximi semper Augusti, victores, Valentinianus (1) et Gratianus (2) episcopis diœ-

C cesis Asianæ, Phrygiæ, Carophrygiæ, Pacatianæ, in Domino salutem. Cum tanta in Illyrico acta sit synodus, et quæstio ingens de salutari verbo tractata, ter beatissimi episcopi decreverunt Trinitatem ὁμοούσιον, consubstantialem, Patris et Filii et Spiritus sancti. Quam qui colunt, nequaquam ministerium et functionem sibi creditam, ita ut par est, defugientes, religionem regis magni colunt: eamque deprædicari nostra præcepit sublimitas. Atque ita quidem ne aliqui dicant, religionem imperatoris, qui hanc terram gubernat, consectatos se esse, non satis eum qui de salute mandatum nobis dedit, audientes. Sicuti enim Evangelium Dei nostri, quod quidem hanc rem

D decidens dijudicat, dicit: Danda sunt, quæ Cæsaris sunt, Cæsari, et quæ Dei Deo (3): quid vos vero dicitis, episcopi et salutiferi verbi præfecti? An sic quoque vestra comparata sunt decreta? Itaque mutua charitate vos invicem complectentes, majestate et auctoritate imperatoris abuti desi-

(1) Valentinianus, juxta Theodoretum, scripto huic Valentis quoque nomen inseruit, vel quod adhuc is in catholica sententia esset, vel ut eum tacita cohortatione in viam reduceret. Quorum alterum mihi verisimilius esse videtur. Valentem itidem, ut Valentinianum fratrem, orthodoxum primum fuisse, sed postea a conjuge, perinde ut ab Eva Adamum, seductum eum esse; cujus suasu ille adversus Gothos in Thraciam excurrentes non longe ab imperio suscepto bellum gesturus, sacri baptismi lavacrum, priore religionis sententia mutata, ab Eudoxio Constantinopolitano episcopo Ariano susceperit, Theod. scribit, lib. IV, cap. 12.

(2) Et Valens. Theod. lib. IV, c. 8.

(3) Tales quippe supra verbis Themistii dicti sunt purpuram magis quam Deum colere, lib. X, cap. 42. Theod. Ὅτι ἀνήκαμεν τῇ θρησκείᾳ βασιλέως τοῦ διέποντος τὴν γῆν αὐτὴν, hoc est, se hoc religioni imperatoris, qui regionem hanc gubernat, consectandæ tribuisse, lib. IV, cap. 8.

rite, et persequi eos qui accurate et diligenter Deo sacris operantur et serviunt, supersedete. Eorum sane precibus et bella in terris sopiuntur, et apostatarum rebelliumque angelorum incursus repelluntur. Iidem orationibus suis perniciosos omnes dæmones propellere student. Et cum in rempublicam secundum leges quod debent conferunt, tum principis potestati non resistunt, sed sincere et cœlestis Regis mandata servant, et legibus nostris parent : vos autem inobedientes apparuistis. Nos quidem usi sumus tolerantia ab ipso ἄλφα usque ad ω (1), vos autem vobis ipsis retribnistis.

A πόλεμοι καταπαύονται ἐπὶ τῆς γῆς, καὶ ἀγγέλων ἀποστατῶν ἐπιβάσεις ἀποστρέφονται, καὶ πάντας δαίμονας φθοριμαίους ἀποστρέψειν διὰ δεήσεως σπουδάζοντες· καὶ τὰ δημόσια κατὰ νόμους εἰσκομίζειν ἴσασι. Καὶ οὐκ ἀντιλέγουσι τῇ τοῦ κρατοῦντος ἐξουσίᾳ, ἀλλ' εἰλικρινῶς καὶ τὴν τοῦ ἄνωθεν βασιλέως ἐντολὴν φυλάττουσι, καὶ τοῖς ἡμετέροις νόμοις ὑποτάσσονται, ὑμεῖς δὲ ἀπειθεῖς ἐδείχθητε εἶναι. Ἡμεῖς μὲν ἐχρησάμεθα τῷ α ἕως τοῦ ω, ὑμεῖς δὲ αὐτοῖς ἀπεδώκατε.

168 « Itaque ut mundi et immunes a peccato vestro simus, quemadmodum Pilatus in disquisitione et judicio versantis inter nos Christi, cum necare eum nollet, sed in afflictione solaretur, ad Orientis partes conversus aqua flagitata manus suas abluit, dicens : *Mundus sum et impollutus a sanguine justi hujus :* sic celsitudo nostra semper præcipit, non persequendos, neque tanquam fluctibus obruendos, neque æmulatione et invidia opprimendos, qui in Christi agro opus faciunt, neque adeo rejiciendos dispensatores Regis magni esse, ut ne hodie quidem sub ditione nostra crescere videamini, at brevi post, cum flagitatore sive exhortatore necis, ea quæ testamenti illius sunt, veluti in Zachariæ sanguine, patiamini. Cum quo, qui ei consensere, a cœlesti imperatore nostro Jesu Christo, ante adventum etiamnum ejus, disrupti sunt, ad judicium mortis una cum consequente eos lethali dæmone traditi. Mandatum hoc edidimus, Amegetio, et Ciceronio, et Damaso, et Dialampone, et Bretesio audientibus. Quin et acta ad vos misimus, ut præclaræ ejus synodi decreta noritis : quorum capita litteris hisce adjuncta, hæc complectuntur. Profitemur, juxta sententiam magnæ et orthodoxæ recteque sentientis synodi, ὁμοούσιον, consubstantialem, esse Patri Filium. Et τὸ ὁμοούσιον, consubstantiale, non ita accipimus, sicuti et olim quidam non vere ei subscribentes exposuerunt, et nunc alii, Patres illos vocantes, ac vim sententiamque verbi abolentes, litteramque sequentes, intelligunt, per consubstantiale simile significari, quatenus nulli reliquarum per eum factarum creaturarum Filius æquiparandus, soli Patri similis atque æqualis sit. Qui enim hoc ita exponunt, præcipuam creaturam esse impie Filium Dei docent. Sed nos, sicuti et nunc Romanæ et Gallicæ synodi, sentimus, unam et eamdem esse substantiam Patris et Filii et Spiritus sancti, in tribus personis, hoc est, in tribus perfectis subsistentiis. Profitemur vero, juxta formulam Nicænam, Filium Dei consubstantialem, incarnatum esse ex sancta virgine Maria, et in hominibus habitasse, et implevisse omnem pro nobis functionem, in nativitate, et passione, et resurrectione, et in cœlos ascensione. **169** Eumque reditu-

« Ἡμεῖς μέντοι καθαροὺς ἑαυτοὺς ἀφ' ὑμῶν εἶναι θέλοντες, ὡς καὶ Πιλᾶτος ἐπὶ τῆς ἐξετάσεως τοῦ ἐν
B ἡμῖν πολιτευομένου Χριστοῦ, μὴ θέλοντος αὐτὸν ἀνελεῖν, καὶ ὑπὲρ τοῦ παθεῖν αὐτὸν παρακληθέντα, ἐπιστραφεὶς ἐπὶ τὰ τῆς ἀνατολῆς μέρη, καὶ αἰτήσας ὕδωρ ἐπὶ χειρῶν, ἐνίψατο αὐτοῦ τὰς χεῖρας, λέγων· *Ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ δικαίου τούτου·* οὕτως καὶ τὸ ἡμέτερον κράτος διαπαντὸς ἐνετείλατο, μὴ διώκειν, μήτε ἐπικλύζειν, μήτε ζηλοῦν τοὺς ἐργαζομένους τὸ χωρίον τοῦ Χριστοῦ, μήτε τοὺς διοικητὰς ἀπελαύνειν τοῦ μεγάλου Βασιλέως· ἵνα μὴ σήμερον μὲν ἐπὶ τοῦ ἡμετέρου κράτους αὔξειν δόξητε, καὶ μεταξὺ τοῦ παρακεκλημένου παθεῖν τὰ τῆς διαθήκης αὐτοῦ, ὡς ἐπὶ Ζαχαρίου τοῦ αἵματος· ἀλλ' οἱ μετ' αὐτοῦ μεταξὺ τῆς ἀφίξεως ὑπὸ τοῦ ἄνωθεν βασιλέως ἡμῶν Ἰησοῦ Χριστοῦ ἐῤῥάγησαν παραδοθέντες εἰς κρίσιν θανάτου μετὰ τοῦ συνδρα-
C μόντος αὐτοῖς φθοριμαίου δαίμονος. Τοῦτο προσετάξαμεν ἐπὶ Ἀμεγητίου, καὶ Κικερωνίου, καὶ Δαμάσου, καὶ Διαλάμπωνος, καὶ Βρεντησίου ἀκροατῶν γενομένων. Ἅπερ καὶ αὐτὰ τὰ πραχθέντα ἐξαπεστάλκαμεν πρὸς ὑμᾶς, ἵνα γνῶναι ἔχητε τὰ πραχθέντα ἐν τῇ ἐναρέτῳ συνόδῳ· ἃ δὴ καὶ παρέζευξε τοῖς γράμμασιν ἐν κεφαλαίῳ ταῦτα δὴ δογματίζοντα. Ὁμολογοῦμεν ἀκολούθως τῇ μεγάλῃ καὶ ὀρθοδόξῳ συνόδῳ, ὁμοούσιον εἶναι τῷ Πατρὶ τὸν Υἱὸν, καὶ οὐχ οὕτω νοοῦμεν τὸ ὁμοούσιον, ὡς καὶ πάλαι τινὲς ἐξηγήσαντο, μὴ ἀληθινῶς ὑπογράψαντες· καὶ νῦν ἕτεροι, πατέρας ἐκείνους καλοῦντες, τὴν δύναμιν τῆς λήξεως ἀθετήσαντες, καὶ ἑπόμενοι τοῖς γράμμασι, τὸ ὅμοιον δηλοῦσθαι διὰ τοῦ ὁμοουσίου· καθ' ὃ οὐδενὶ τῶν λοιπῶν κτισμάτων δι' αὐτοῦ γενο-
D μένων ἐμφερὴς ὁ Υἱός· ἀλλ' ἢ μόνῳ τῷ Πατρὶ ἀφωμοίωται. Οἱ γὰρ τοιαῦτα ἐξηγούμενοι, κτίσμα ἐξαίρετον ἀσεβῶς τὸν Υἱὸν τοῦ Θεοῦ δογματίζουσιν. Ἡμεῖς δὲ φρονοῦμεν, ὡς καὶ αἱ σύνοδοι νῦν, αἵ τε κατὰ Ῥώμην καὶ αἱ κατὰ Γαλλίαν, μίαν εἶναι καὶ τὴν αὐτὴν οὐσίαν τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, ἐν τρισὶ προσώποις, τουτέστιν, ἐν τρισὶ τελείαις ὑποστάσεσιν· ὁμολογοῦμεν δὲ κατὰ τὴν ἔκθεσιν τὴν ἐν Νικαίᾳ, σεσαρκῶσθαι τὸν Υἱὸν τοῦ Θεοῦ τὸν ὁμοούσιον ἐκ τῆς ἁγίας Παρθένου Μαρίας, καὶ ἐν ἀνθρώποις ἐσκηνωκέναι, καὶ πεπληρωκέναι πᾶσαν τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν ἐν γενέσει καὶ πάθει καὶ ἀναστάσει, καὶ τῇ εἰς οὐρανοὺς ἀνα-

(1) Epiphanius Scholasticus, qui Tripartitam historiam vertit, aliam lectionem secutus, vertit : Nos subjicimur ei qui primus et novissimus, lib. VII, cap. 9.

βάσει. Καὶ πάλιν ἥξειν ἀποδιδόντα ἡμῖν τὴν ὁμοίωσιν τὴν θείαν παρ' ἑαυτοῦ, κατὰ τὴν ἑκάστου βιοτὴν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως· σαρκὶ ὁρώμενον καὶ τὴν ἑαυτοῦ θείαν δύναμιν ἐπιδεικνύντα, Θεὸν ὄντα σαρκοφόρον, καὶ οὐκ ἄνθρωπον Θεοφόρον. Καὶ τοὺς τἀναντία φρονοῦντας ἀναθεματίζομεν· καὶ τοὺς μὴ γνησίως ἀναθεματίζοντας τὸν εἰπόντα ὅτι Πρὶν γεννηθῆναι οὐκ ἦν ὁ Υἱός· ἀλλὰ γράψαντα ὅτι καὶ Πρὶν ἐνεργείᾳ γεννηθῆναι, δυνάμει ἦν ἐν τῷ Πατρί. Τοῦτο γὰρ καὶ ἐπὶ πάντων τῶν κτισμάτων ἐστὶ τῶν μὴ ἀεὶ ὄντων μετὰ τοῦ Θεοῦ· καθ' ὃ καὶ ὁ Υἱὸς ἀεὶ μετὰ τοῦ Πατρός ἐστιν ἀϊδίῳ γεννήσει γεγεννημένος.» Τοιαῦτα μὲν τὰ βασιλέως γράμματα ἦσαν· τὰ δὲ τῆς συνόδου τοῦτον διηγόρευον τρόπον· «Οἱ ἐπίσκοποι τοῦ Ἰλλυρικοῦ ταῖς ἐκκλησίαις τοῦ Θεοῦ, καὶ ἐπισκόποις διοικήσεως Ἀσιανῆς, Φρυγίας, Καροφρυγίας, Πακατιανῆς, ἐν Κυρίῳ χαίρειν. Συνελθόντων ἡμῶν ἐπὶ τὸ αὐτὸ, καὶ ζητήσεως πολλῆς γενομένης περὶ τοῦ σωτηρίου λόγου, ἀπεδείξαμεν ὁμοούσιον εἶναι τὴν Τριάδα Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος. Καὶ ἦν δίκαιον γράμματα ἀποχαράξαι πρὸς ὑμᾶς· οὐ σοφίσμασι τὰ τῆς θρησκείας τῆς Τριάδος γράφοντας, ἀλλ' ἐν ταπεινοφροσύνῃ καταξιωθέντας· τουτὶ ἡμῶν τὸ γράμμα ἀπεστάλκαμεν διὰ τοῦ ἀγαπητοῦ ἀδελφοῦ ἡμῶν καὶ συλλειτουργοῦ Ἐλπιδίου τοῦ πρεσβυτέρου. Οὐ γὰρ ἐν τοῖς τῶν ἡμετέρων χειρῶν γράμμασιν, ἀλλ' ἐν ταῖς τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ βίβλοις γέγραπται· *Ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλῶ, ἐγὼ δὲ Κηφᾶ. Μὴ Παῦλος ἐσταυρώθη ὑπὲρ ὑμῶν; ἢ εἰς τὸ ὄνομα Παύλου ἐβαπτίσθητε;* Καὶ ταῦτα μὲν ἤρκει τῇ ἡμετέρᾳ ταπεινώσει μήτε τὸ καθόλου γράμματα ἀποχαράξαι πρὸς ὑμᾶς διὰ τὸν τηλικοῦτον φόβον ὃν αὐτόθι κηρύσσετε πάσῃ ὑφ' ὑμᾶς ἐπαρχίᾳ, ἀποχωρίζοντες τὸ ἅγιον Πνεῦμα ἀπὸ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ. Ἀνάγκην οὖν ἔσχομεν πρὸς ὑμᾶς πέμψαι τὸν κύριον ἡμῶν καὶ συλλειτουργὸν Ἐλπίδιον, ἀπὸ τῆς βασιλευούσης Ῥωμαίων ἀρχῆς, τοῦτο τὸ κήρυγμα ἔχοντα, καταμαθόντα, εἴγε ἄρ' οὕτως ἔχει τὸ κήρυγμα ὑμῶν. Οἱ γὰρ μὴ ὁμοούσιον τὴν Τριάδα κηρύττοντες ἀνάθεμα ἔστωσαν, καὶ εἴ τις τούτοις φωραθείη κοινωνῶν, ἀνάθεμα ἔστω· τοῖς δὲ κηρύττουσιν ὁμοούσιον τὴν Τριάδα ἡ βασιλεία τῶν οὐρανῶν ἡτοίμασται. Παρακαλοῦμεν οὖν ὑμᾶς, ἀδελφοὶ, μὴ ἑτεροδιδασκαλεῖν, μηδὲ ἑτεροδοξεῖν, ἀλλ' ὁμοούσιον ἀεὶ καὶ διὰ παντὸς κηρύττοντες τὴν Τριάδα, δυνηθῆτε κληρονομῆσαι τὴν τοῦ Θεοῦ βασιλείαν. Περὶ τούτου γράφοντες καὶ ὑπόμνησιν ἔχοντες ἐχαράξαμεν τουτὶ ἡμῶν τὸ γράμμα, καὶ περὶ τῶν καθισταμένων ἐπισκόπων ἢ κατασταθέντων συλλειτουργῶν, ἐὰν μὲν εἶεν ἐκ τῶν ἐν τέλει χρησαμένων ἐπισκόπων ὑγιεῖς· εἰ δὲ μὴ, ἐξ αὐτοῦ τοῦ πρεσβυτερίου, ὁμοίως τε καὶ πρεσβυτέρους καὶ διακόνους ἐξ αὐτοῦ τοῦ ἱερατικοῦ τάγματος, ἵν' ὦσιν ἀνεπίληπτοι πανταχόθεν, καὶ ἀπὸ τοῦ βουλευτηρίου

[1] I Cor. I, 13.

A rum, ut nobis retribuat similitudinem divinam (1) a seipso, juxta vitam cujusque in die judicii, carne spectabilem et divinam virtutem suam exhibentem, Deum σαρκοφόρον, id est, carnem seu hominem, ferentem, et non hominem Θεοφόρον, hoc est, Deum ferentem. Ac qui diversa sentiunt, anathemate jugulamus: nec minus et eos, qui non directe et ex animo anathemati eum subjecere, qui dixit non prius Filium, quam genitus sit, exstitisse: quique scripsit priusquam actu genitus sit, potestate eum in Patre fuisse. Hoc namque et in creaturis omnibus est, quæ non semper cum Deo sunt. At Filius perpetuo sempiterna generatione genitus cum Patre est.» Tales quidem imperatoris fuere litteræ. Synodi autem ipsius in hæc B verba sunt scriptæ: «Episcopi Illyrici ecclesiis Dei et episcopis diœcesis Asianæ, Phrygiæ, Carophrygiæ, Pacatianæ, in Domino salutem. Conventu a nobis acto, et disquisitione multa facta, de salutari verbo, decrevimus consubstantialem esse Trinitatem Patris et Filii et Spiritus sancti. Et æquum esse duximus, litteras ad vos exarare. Non nos quidem ut arte quapiam cultum Trinitatis perscriberemus, sed submissa humilitate dignos nos ea re existimantes, epistolam hanc nostram per dilectum fratrem et administrum nostrum Elpidium presbyterum daremus. Non enim in manuum nostrarum litteris, verum in ipsius Servatoris Christi Jesu libris scriptum est: *Ego quidem* C *sum Pauli, ego vero Apollo, ego autem Cephæ. Num Paulus crucifixus est pro vobis? aut in nomen Pauli baptizati estis*[1]? Et humilitati quidem nostræ satis esse convenireque videbatur, nihil prorsus ad vos dare litterarum, propter horrorem tantum, quem istic omni sub vobis prædicatis provinciæ, segregantes Spiritum sanctum a Patre et Filio. Sed necessitas imposita nobis est, ut ad vos mitteremus dominum et administrum nostrum Elpidium, ab urbe quæ est imperii Romani caput, litteras habentem, exploraturum an ita se habeat prædicatio vestra. Qui enim Trinitatem consubstantialem non prædicant, anathema sint. Et si quis cum eis communionem habere compertus fuerit, anathema sit. D Trinitatem autem consubstantialem prædicantibus regnum cœlorum præparatum est. **170** Cohortamur igitur vos, fratres, ne aliter doceatis, neve secus sentiatis: sed Trinitatem constanter semper consubstantialem prædicantes, cernere poteritis hæreditatem regni Dei. Hac de re cum ad vos hasce litteras scriberemus, commonefacere etiam vos voluimus, de creandis, vel etiam creatis episcopis, eorumque administris, ut scilicet legantur ex sanæ mentis et doctrinæ, qui magistratum (2)

(1) Sic habet Niceph. et Tripartita. Theodorit. autem, Ut nobis retribuat juxta cujusque vitam, etc.

(2) Ἐκ τῶν ἐν τέλει χρησαμένων ἐπισκόπων ὑγιεῖς. Theod. lib. IV, cap. 9, hoc est, sani qui magistratum gesserint episcopi: quod de episcopis

episcopalem gesserint, præfectis, siquidem exstent : sin minus, ex ipsis presbyteris. Consimiliter presbyteri et diaconi, ex ipso sacro clericorum ordine, ut omni ex parte irreprehensibiles sint, qui non ex curia vel ex militari magistratu sint lecti. Propterea vero plura ad vos scribere noluimus, quod ex omnibus unum ad vos miserimus, dominum et collegam nostrum Elpidium, diligenter perspecturum prædicationem vestram, an ea sic se habeat uti ex domino et collega nostro Eustathio audivimus. Quod reliquum est, etiamsi aliquando errori implicati fueritis, tamen veterem hominem exuentes, induite novum. Nam et ipse frater et collega noster Elpidius, veram fidei (1) professionem vos docebit, quod sancta Trinitas consubstantialis est Deo et Patri cum Filio et Spiritu sancto : sanctificata, glorificata, et manifestata est : Pater in Filio, Filius in Patre, cum sancto Spiritu, in sæcula. Hoc namque manifestato, manifeste sanctam Trinitatem consubstantialem profiteri poterimus, juxta fidem Nicææ dudum promulgatam : quam et Patres confirmarunt. Itaque fides hæc si prædicata fuerit, cum exitiosi dæmonis plagas effugere, tum eo exstincto, pacificis litteris pacate viventes mutuo nos venerari poterimus. Scripsimus sane vobis, ut exauctoratos esse sciretis insanientes Arianos, qui non profitentur, ex substantia Patris esse Filium, neque Spiritum sanctum, quorum nomina subjecimus : Polychronius, Telemachus, Faustus, Asclepiades, Amantius, Cleopater. Atque hæc quidem ita, in gloriam Patris et Filii et Spiritus sancti, in sæcula sæculorum, amen. Valere vos optamus Patri et Filio Servatori nostro Christo cum sancto Spiritu, multis annorum curriculis. » Et laudatissimus quidem imperator, tantam apostolicorum dogmatum gessit curam.

A καὶ στρατιωτικῆς ἀρχῆς. Εἰς τοῦτο οὖν αὐτὸ οὐκ ἠβουλήθημεν διὰ πολλῶν ἀποχαράξαι, διὰ τὸ ἀποσταλῆναι ἕνα ἐκ πάντων τὸν κύριον ἡμῶν καὶ συλλειτουργὸν Ἐλπίδιον, ἐπισπουδῶς καταμαθόντα τὸ κήρυγμα ὑμῶν, εἴ γε οὕτως ἔχει ὥσπερ ἀκηκόαμεν παρὰ τοῦ κυρίου ἡμῶν συλλειτουργοῦ Εὐσταθίου. Λοιπὸν εἰ καί ποτε ἐν πλάνοις γεγενημένοι ἦτε, ἀποθέμενοι τὸν παλαιὸν ἄνθρωπον, ἐνδύσασθε τὸν καινόν. Καὶ γὰρ ὁ αὐτὸς ἀδελφὸς καὶ συλλειτουργὸς Ἐλπίδιος διδάξει ὑμᾶς κηρύξαι τὴν ἀληθῆ πίστιν· ὅτι ἡ ἁγία Τριὰς ἡ ὁμοούσιος τῷ Θεῷ καὶ Πατρὶ σὺν ἁγίῳ Πνεύματι, ἡγίασται, δεδόξασται, πεφανέρωται Πατὴρ ἐν Υἱῷ, Υἱὸς ἐν Πατρὶ σὺν ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας. Φανερωθέντος γὰρ τούτου, φανερῶς δυνησόμεθα τὴν ἁγίαν Τριάδα ὁμολογεῖν ὁμοούσιον, B κατὰ τὴν πάλαι ἐκτεθεῖσαν πίστιν τὴν ἐν Νικαίᾳ, ἣν καὶ οἱ Πατέρες ἐβεβαίωσαν. Κηρυττομένης οὖν τῆς πίστεως ταύτης, δυνησόμεθα τοῦ ἀλιτηρίου δαίμονος ἐκφυγεῖν [τὰς μεθοδίας]. Σβεσθέντος γὰρ τούτου, δυνησόμεθα εἰρηνικοῖς γράμμασιν ἑαυτοὺς προσκυνεῖν ἐν εἰρήνῃ διάγοντες. Ἐγράψαμεν οὖν ὑμῖν ἵνα εἰδέναι ἔχητε τοὺς καθαιρεθέντας Ἀρειομανίτας, τοὺς μὴ ὁμολογοῦντας ἐκ τῆς οὐσίας τοῦ Πατρὸς τὸν Υἱὸν, μήτε τὸ ἅγιον Πνεῦμα· ὧν τὰ ὀνόματα ὑπετάξαμεν· Πολυχρόνιος, Τηλέμαχος, Φαῦστος, Ἀσκληπιάδης, Ἀμάντιος, Κλεόπατρος. Καὶ ταῦτα μὲν οὕτως εἰς δόξαν Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ἐῤῥῶσθαι ὑμᾶς εὐχόμεθα τῷ Πατρὶ, καὶ τῷ Υἱῷ C τῷ Σωτῆρι ἡμῶν Χριστῷ σὺν ἁγίῳ Πνεύματι, πολλαῖς ἐτῶν περιόδοις. » Ὁ μὲν δὴ πανεύφημος βασιλεὺς τοσαύτην τῶν ἀποστολικῶν δογμάτων ἐποιεῖτο φροντίδα.

171 Cæterum Liberio ad vitam meliorem translato, in thronum ejus Damasus substitutus est, neque vita neque eruditione et doctrinæ sanitate illo inferior (2) : sub quo evenit, ut Ecclesia Romana turbaretur, ex causa hujusmodi : Ursicius (3) quidam diaconus, Damasi competitor, eo quod in episcopatus petitione spe sua frustratus, repulsam passus esset, non bene injuriam eam tulit, et suos sibi conventus seorsim agere instituit. Et cum clandestine a quibusdam episcopis consecratus (4) esset, seorsim concionari, et multitudinem ad se trahere cœpit. Ita factum, ut alii hunc, alii Damasum episcopali munere fungi vellent. Ea ex re ingens contentionis studium obortum, et ex

(1) Περὶ διολκὸν τῆς Αἰγύπτου, Sozom. lib. VI, cap. 29: Διολκὸς ὁ ἀπὸ Λεχαίου ἕως Κεγχρεῶν τόπος, Hesych. Plin. lib. V, cap. 4. de Isthmo: *Angusta cervice Peloponnesum contingit Hellas. Corinthiacus hinc, illinc Saronicus appellatur sinus. Lechææ hinc, Cenchreæ illinc angustiarum termini, longo et ancipiti navium ambitu, quos magnitudo plaustris transvehi prohibet.* Ab ea navium transvectione Græci eas angustias διολκὸν vocant. Qualis etiam transvectio ad Ægyptum est, de qua Plin. lib. V, cap. 9: *Naves plicatiles humeris transferunt, quoties ad cataractas ventum est.* Ad quem fortasse locum monachi isti vixere.

quæ iis qui sacris initiati sunt, a sacerdotibus accipere fas est, sed angelum descendentem ei dare solitum esse, cujus manum ipse usque ad juncturam ejus viderit, affirmavit. Macario autem honor ille a Deo obtigit, ut dæmonibus imperaret. Occasio ei et causa, ut monasticam philosophiam sequeretur, fuit cædes, quam inconsulto patravit. Cum enim jam adolescentulus esset, et oves ad Mariam lacum pasceret, in ludo æqualem quemdam suum interemit: pœnam autem delicti timens, in solitudinem profugit: et sub dio ibi agens, postea tugurium sibi parvum condidit, in quo viginti quinque annis vixit. In eo vitæ instituto magnas Deo de casu suo egit gratias, cædemque eam salutarem sibi esse dixit, videlicet quod ea sibi philosophiæ ejus meliorisque vitæ causa exstitisset. Porro Apollonius, cum plurimam vitæ partem in mercatura transegisset, in ætate affecta Scetim se contulit. Et cum propter senectam jam ingravescentem et inutilem, neque scribere, neque aliud quidquam recte tractare posset, omni genere medicamentorum atque cibariorum, quæ ægrotis convenire arbitrabatur, ære suo comparato, in solitudinem ad monachorum domicilia afferebat, et quotidie ad nonam usque horam sic circuibat, invalidos curans. In hac ille nova quidem, et ab aliis variante, sibi tamen conveniente, atque a se primum inventa virtutis exercendæ ratione, vitam peregit. Moriturus autem, alii cuidam remedia ea dedit, et idem officium illum obire jussit, per quod consequendæ etiam salutis spem proponebat.

λαχὼν, ἐπὶ παιδιᾷ τῶν τινα ὁμηλίκων ἀπέκτεινε· δείσας δὲ τὸ δίκην δοῦναι, ἀνὰ τὴν ἔρημον φυγὰς ἦν. Ἐν ὑπαίθρῳ δ' ἐκεῖσε διάγων, ἔπειτα βραχύ τι οἰκίδιον ἑαυτῷ κατεσκεύασεν· ἐν ᾧ εἴκοσι πρὸς τοῖς πέντε διεβίω ἔτη. Φιλοσοφῶν δὲ, πολλὴν ὡμολόγει χάριν τῇ συμφορᾷ, καὶ τὸν φόνον σωτήριον ἔλεγεν, ἅτε αὐτῷ πρόξενον τῆς φιλοσοφίας καὶ τοῦ ἀγαθοῦ βίου γεγενημένον. Ὁ δὲ Ἀπολλώνιος τὸν πλεῖστον τοῦ βίου χρόνον ἐμπορικῶς διαζήσας, πρὸς γῆρας ἤδη ἐλαύνων, τὴν Σκῆτιν κατέλαβε. Συνιδὼν δὲ ὡς διὰ τὸ τῆς ἡλικίας ἔξωρον οὔτε γράφειν, οὔτ' ἄλλο τι οἷός τέ ἐστι μεταχειρίσασθαι, εἴδη παντοίων φαρμάκων καὶ ἐδεσμάτων ἃ τοῖς κάμνουσι λυσιτελεῖν ᾤετο, οἴκοθεν ὠνησάμενος, καὶ ταῖς τῆς ἐρήμου μοναῖς προσβάλλων, ἑκάστῃ ἄχρις ἐνάτης ὥρας περιῄει, θεραπεύων τοὺς κάμνοντας. Καί γε ξένην καὶ παρηλλαγμένην, ἐπιτηδείαν δ' ὅμως αὐτῷ ταύτην τὴν ἄσκησιν καινοτομήσας, οὕτω διὰ βίου ἐπολιτεύσατο. Ἐπεὶ δ' ἐτελεύτα τὸν βίον, ἄλλῳ τινὶ τὰ φάρμακα παραδοὺς, τὰ ἴσα ποιεῖν ἐκέλευε, δι' οὗ καὶ σωτηρίας τυχεῖν ἐλπίδα προὐτίθει.

184 CAPUT XXXVI.

De Mose Æthiope, Paulo, Pachone, Stephano, et altero Mose.

Moses autem Æthiops, conditione servus, propter naturæ suæ improbitatem ex heri sui domo profugit: atque ubi prædari didicisset, paulo post prædonum cohortis præfectus fuit. Et cum nefaria multa scelera peregisset, et ad cædes patrandas audax factus esset, ex præfracta quadam temeritate monasticam ingressus est vitam, philosopharique prorsus incepit, strenue admodum ad virtutem grassans. Quod autem priore vitæ instituto, et corporis valida constitutione, rursum ad voluptatem per imaginationes incitatus alliceretur, variis exercitiis carnem domare summopere contendit. Et quandoque quidem solo pane absque obsonio usus, quandoque autem plurimo opere perfecto, ad quinquaginta die quolibet precationes fecit. Et sex continuis annis noctes totas pervigilio exegit, stans atque orans, ita ut neque genua inclinaret, neque prorsus oculis ad somnum propendens conniveret. Porro noctu monachorum domicilia circumiens, clam uniuscujusque hydriam auferebat, eamque aqua repletam in locum suum reponebat. Idque ingentis laboris fuit, propterea quod inde locus ubi aqua fluebat, aliis quidem decem, nonnullis autem viginti, quibusdam etiam triginta stadiis abesset. Perlongo vero tempore pristinum suum retinuit robur, quamvis multum studii in hoc collocaret, ut id debilitaret, et carnem diuturna ærumna extenuaret. Dicunt autem, aliquando prædones eum quatuor, qui officinam quietis suæ

ΚΕΦΑΛ. ΛϚ'.

Περὶ Μωσέως τοῦ Αἰθίοπος, Παύλου, Παχὼν, Στεφάνου καὶ ἑτέρου Μωσέως.

Ὁ δ' Αἰθίοψ Μωσῆς τὴν τύχην δοῦλος ὢν, διὰ φύσεως μοχθηρίαν τῆς οἰκίας τοῦ δεσπότου ἠλαύνετο· λῃστεύειν δὲ μαθὼν, μετὰ βραχὺ τοῦ λῃστρικοῦ συντάγματος καθηγήσατο. Πλεῖστα δ' ἀνόσια εἰργασμένος, καὶ τολμηρὸς περὶ φόνους γενόμενος, ἔκ τινος περιπετείας τὰ τῶν μοναχῶν ὑποδύεται· καὶ φιλοσοφεῖν ἀθρόον κατήρχετο, εὖ μάλα προσβαίνων τῇ ἀρετῇ. Τῇ προτέρᾳ δὲ διαίτῃ καὶ εὐεξίᾳ πρὸς ἡδονῶν φαντασίας αὖθις ὑποθελγόμενος καὶ ἐρεθιζόμενος, ἀσκήσεσι ποικίλαις τὴν σάρκα λίαν ἐκτῆξαι ἐφιλονείκει. Καὶ ποτὲ μὲν ἄρτῳ μόνῳ δίχα ὄψου ἐχρῆτο· πῇ δὲ πλεῖστον ἔργον ἀνύων, ἐπὶ πεντήκοντα, ἡμέρας ἑκάστης, ἐποίει εὐχάς. Καὶ ἓξ δὲ ἔτη κατὰ συνέχειαν διετέλεσεν, ὁλοκλήρους νύκτας διάγων, ἑστὼς ἐπὶ προσευχαῖς· μήτε γόνυ κλίνων, μήθ' ὅλως μύων πρὸς ὕπνον τοὺς ὀφθαλμούς. Καὶ νύκτωρ δὲ τὰς οἰκήσεις τῶν μοναχῶν περιιὼν, ὑφαιρεῖτο λάθρα τὴν ὑδρίαν ἑκάστου· καὶ πληρῶν ὕδατος, κατὰ χώραν αὖθις ἐτίθει. Λίαν γὰρ ἦν ἐργῶδες αὐτῷ· καὶ γὰρ στάδια διεῖχεν ὁ τόπος ὅθεν ἔῤῥει τὸ ὕδωρ, ἄλλῳ μὲν δέκα, ἑτέρῳ δὲ εἴκοσι, καὶ ἄλλῳ τριάκοντα· ἐς πολὺ δὲ τοῦ χρόνου ἐπὶ τῆς προτέρας ἰσχύος διέμεινε. Καίτοι γε πολλὴν εἰσενεγκὼν τὴν σπουδὴν ὥστ' αὐτὴν καθελεῖν, καὶ τὴν σάρκα τῇ μακρᾷ ταλαιπωρίᾳ ἐκτῆξαι. Καὶ δὴ λέγεται λῃστάς ποτε καταδραμόντας τὸ τῆς ἡσυχίας αὐτῷ ἐργαστήριον, συλλαβέσθαι πάντας καὶ δῆσαι· ἐπ' ὤμων τε θέμενον, τέσσαρες δ' ἦσαν, ἐπὶ τὴν ἐκκλησίαν αὐτοὺς ἀγαγεῖν, καὶ τοῖς Πατράσιν ἐπιτρέπειν τὸ ποιη-

τέον περὶ αὐτῶν· μηδὲ γὰρ εἶναι τοῦ λοιποῦ αὐτῷ θεμιτὸν ἔλεγε, μηδένα κακῶς ποιεῖν. Καὶ γάρ φασι, μηδενὶ μηδέποτε τοσαύτην ἀπὸ κακίας εἰς ἀρετὴν ἐγγενέσθαι μεταβολήν. Ὥστ' εἰς ἄκρον μὲν αὐτῆς ἀπιέναι, ἄῤῥητον δέ τι δέος ἐμποιῆσαι τοῖς δαίμοσι. Καὶ τὸ παράδοξον, ὅτι καὶ πρεσβύτερος τῶν ἐν Σκήτει ἐγένετο, καὶ ταῦτα πλείστους ἀπεκτονὼς, ὁπηνίκα τοῦ τῆς λῃστείας καθηγεῖτο συντάγματος. Τοιοῦτος δὲ ὢν, πολλοὺς καὶ λίαν ἀρίστους καταλέλοιπε μαθητάς. Ἀμφὶ τὰ πέντε δὲ καὶ ὀγδοήκοντα γενόμενος ἔτη, τὸν βίον ἀπέλιπεν. Ἐπὶ δὲ τῆς αὐτῆς ἡγεμονίας καὶ Παῦλος διέλαμπε καὶ Παχὼν, Στέφανός τε καὶ Μωσῆς, Λίβυες μὲν ἄμφω τὸ γένος, καὶ Πιὼρ ὁ Αἰγύπτιος. Ὁ μὲν οὖν Παῦλος ἐν Φέρμῃ ἐφιλοσόφει· ὄρος δὲ τοῦτο ἐν Σκήτει, οὐ μείους ἢ πεντακοσίους ἀσκητὰς ἔχον. Οὐδὲν δὲ εἰργάζετο· ἀλλ' οὐδέ τι παρά του ἐλάμβανε, πλὴν ὅσον ἤσθιεν. Εὐχὰς δὲ καθ' ἑκάστην ἀνελλιπεῖς ἔπραττε, καθά τινα φόρον ἀποδιδοὺς τῷ Θεῷ, εἰς τριακοσίας τὸν ἀριθμόν. Ὡς ἂν δὲ μὴ γένοιτο αὐτῷ ἀστοχῆσαι τοῦ ἀριθμοῦ, τοσαύτας ψηφῖδας τῷ κόλπῳ ἐνθέμενος, ἐν ἑκάστῃ εὐχῇ, μίαν ἐκβάλλων ἐῤῥίπτει· ὧν δῆτ' ἀναλωθεισῶν, δῆλον ἦν τὰς ἴσας εὐχὰς πεπληρῶσθαι τοῖς λίθοις. Παχὼν δὲ καὶ αὐτὸς ἐν Σκήτει φιλοσοφῶν, ἐκ νέου πάμπαν εἰς βαθὺ γῆρας ἐλάσας, οὔτε σῶμα, καίπερ ὑγιῶς ἔχον, οὔτε πάθος, ἀλλ' οὐδὲ δαίμων, αἰτιᾶσθαι εἶχον, ὡς ὑφειμένως καὶ ἀνάνδρως περὶ τὴν ἐγκράτειαν εἶχε, καὶ ὧν δεῖ κρατεῖν τὸν κατ' ἐκεῖνον φιλοσοφήσαντα. Στεφάνῳ δ' οἴκησις περὶ τὸν Μαρεώτην ἦν οὐ πολλῷ τῆς Μαρμαρικῆς ἄποθεν. Τῷ δ' ἠκριβωμένῳ λίαν τῆς φιλοσόφου ἀσκήσεως ἐπὶ ἑξήκοντα ἔτεσι δόκιμος γέγονε μοναχός. Γνώριμος δ' ὢν τῷ μεγάλῳ Ἀντωνίῳ, πρᾶος λίαν καὶ σοφὸς ἐγεγόνει· καὶ ἐν ταῖς συνουσίαις τοσοῦτον ἡδὺς καὶ ὠφέλιμος, ὡς καὶ ἱκανῶς ἔχειν τὰς τῶν σφόδρα λυπουμένων ψυχὰς τῷ ἤδει τῶν λόγων κατακηλεῖν, καὶ πρὸς εὐθυμίαν μεταῤῥυθμίζειν, εἰ καὶ χρόνῳ πολλῷ καὶ ἀπαραιτήτως εἰς ἀπαλλαγὴν εἶχον. Οὐ μὴν δὲ ἀλλὰ καὶ περὶ τὰς οἰκείας συμφορὰς τοιοῦτος ἐτύγχανεν· ἀμέλει τοι καί ποτε πάθους ἀνιάτου αὐτῷ κατασκήψαντος, τὰ μὲν διεφθορότα τῶν μελῶν τοῖς θεραπεύειν εἰδόσι τέμνειν ἀνῆκεν· αὐτὸς δ' ὥσπερ ἄλλου πάσχοντος, τὰ συνήθη διαπραττόμενος, φύλλα φοινίκων ἐν χεροῖν ἔχων, ἔπλεκε τὴν σειράν· καὶ τοῖς παροῦσι καθίστατο σύμβουλος, μὴ ἐπὶ τοῖς παροῦσι δυσφόρως ἔχειν, ἀλλὰ μηδ' ἄλλο τι λογίζεσθαι, ἢ ὅτιπερ πρὸς χρηστὸν τέλος ὁ Θεὸς πράττειν, ἐκβαίνει· καί γε αὐτῷ συνοίσειν τοιούτων πειρωμένῳ δεινῶν. καὶ ὑπὲρ τῶν γεγενημένων ἴσως ἀμπλακημάτων· ὧν ἄμεινον ἐνταῦθα μᾶλλον τὴν ἔκτισιν ὑποσχεῖν, ἢ πρὸς τὴν μέλλουσαν ταμιεύεσθαι βιοτήν. Μωσῆν δὲ πραότητι καὶ ἀγάπῃ ἐσάγαν παρειλήφαμεν εὐδοκιμῆσαι, καὶ ἰάσεις δὲ κατορθῶσαι πλείστας μόνῃ εὐχῇ, καὶ ταῦτ' ἀνιάτων παθῶν.

A percurrebant, cepisse, vinxisse, atque in humeros sublatos in ecclesiam deportasse, et patribus quid de eis statuerent, permisisse: nefas esse dicentem, ut in posterum mali quidquam alicui ipse inferret. Neque unquam quemquam fuisse ferunt, qui tantopere mutatus a vitiis ad virtutem summam, quam pertigit, pervenerit. Incredibilis vero fuit dæmonibus terror. **185** Et quod supra opinionem omnium est, presbyter etiam in Sceti factus est, cum quidem quamplurimos eo tempore quo latronum manum duxerat, interemisset. Et quia talis erat, multos eosque optimos post se reliquit sectatores. Et vitam circiter annum octogesimum quintum finivit. Eadem ætate etiam floruit Paulus, et Pachon, et Stephanus et Moses,
B genere utrique Libyes, et præterea Pior Ægyptius. Paulus in Pherme, qui mons in Sceti est, monasticam vitam egit, non pauciores quam quingentos monachos habens. Nihil autem operis fecit: neque a quopiam quidquam præterquam quod ederet accepit. In orationibus quotidie sine intermissione se exercens, eas veluti quoddam tributum ad trecentas numero Deo offerebat. Ne autem ab eo numero aberraret, totidem lapillos in sinum deposuit, et ad precationes singulas singulos ejiciebat calculos. Quibus ad eum modum consumptis, precationes totidem absolutas ei esse constabat. Pachon quoque in Sceti monasticam exercuit, a juventute ad multum usque senium. Neque vero corpus, quod
C validum alioqui obtinebat, neque affectio aliqua, atque adeo ne dæmon quidem ipse deprehendere in eo potuit, quod mollius se, aliterque quam virum deceat, in temperantiæ studio et rebus eis quas supprimere philosophum monasticum convenit, gesserit. Stephano autem circa Mareoten non longe a Marmarica domicilium fuit. Hic accurato atque exacto ejus generis philosophiæ instituto, annis sexaginta spectatus fuit monachus. Quod autem notus etiam Antonio magno fuerat, mitis valde et sapiens evasit. In familiaribus colloquiis tam suavis et commodus, ut facile eorum qui vel maximo tenerentur mœrore, animos verborum gratia demulceret, et ad moderationem et jucunditatem traduceret, quamvis tempore multo illi
D consolationem omnem aversati essent. Quin etiam in suis ipse ærumnis talem se præstitit. Atque aliquando incurabili malo correptus, membra quidem affecta medicis curanda atque secanda permisit: ipse vero perinde atque alius in eo casu esset, solitum laborem continuans, et palmarum folia in manibus habens, catenam complicuit: atque eis qui cum eo erant auctor suasorque fuit, ne casus hujus vitæ ægre ferrent, nec aliud quidquam cogitarent quam quod ad finem bonum Deo adjuvante evaderet. **186** Sibi, quod talibus expeteretur ærumnis, idque propter perpetrata forte peccata, commodum atque utile esse dixit: quæ peccata hic luere præstaret, quam ut ad futuram punienda reservarentur vitam. Mosen autem gloriam ingentem mansuetudine et charitate consecutum esse accepimus: qui etiam ægritudines plurimas, atque eas incurabiles, precatione sola [illegible]

CAPUT XXXVII.

De Pior. Didymo, Arsesio, Ammonio, et fratribus qui Macri seu Longi appellati sunt.

Pior admodum adolescens monasticam philosophiam complexus, cum paternam relinqueret domum, votum Deo nuncupavit, nunquam se propinquorum (1) suorum cuiquam in conspectum venturum esse. Postquam vero quinquagesimo anno post soror ejus vivere illum accepit, continere seipsam non potuit: atque indicio, quod ei præter opinionem omnem acciderat, in immensam sublata lætitiam, summopere, ut eum videret, expetivit. Quapropter loci ejus episcopum flens atque vociferans rogavit, ut in Scetim litteras daret, quibus efficeret, ut frater ad eam mitteretur. Ille feminæ senectutem miseratus, monachorum antistitibus, ut Pior (2) mitteretur, scripsit. Is, ut hoc faceret, jussus, cum contra niti non posset (non enim Ægyptiis, imo etiam aliis monachis fas est, imperata non facere), in patriam venit, fratre alio secum ducto. Atque ubi pro foribus paternarum ædium fuit, præsentiam suam sorori insinuavit. Et cum strepitum pedum ejus sentiret, et janua aperta strideret, oculis connivens, de nomine sororem compellans: « Ego, inquit, Pior sum, frater tuus: conspectu meo, sicuti visum tibi est, fruere. » Atque illa quidem fratrem satis intuita, Deo, qui desiderium ejus implevisset, gratias egit: ipse autem ad fores precatione habita, rursum discessit, et in regionem solitam revertit. Cum autem puteum foderet, amaram in eo invenit aquam: ad quam tamen, ea utens, ad mortem usque permansit. Tam sublimis vero temperantia ejus post obitum primum ipsius cognita est. Cum enim alii in loco eo philosophandum sibi esse statuissent, perferre id non potuerunt. Mea porro sententia, nisi sibi ita perdurandum esse proposuisset, non difficile ei fuisset, oratione sola aquam eam in dulcem vertere: quippe qui eo loco, ubi nulla esset, eam elicuerit. **187** Cum enim Moses, quem diximus, puteum foderet, et jam ad profundam altitudinem perventum esset, neque vena aliqua liquorem ullum polliceretur, adeo ut jam desperaret, et laborem tantum relinqueret: obiter circa meridiem Pior advenit, et primum eum salutavit, deinde pusillanimitatem et incredulitatem fodientium reprehendit. Sub hæc, ubi in fossam descendisset, et ligone tertium terram impulisset, derepente scaturiens prodiit aqua, et puteum replevit. Atque ubi petiit, ut ad precationem abire sibi liceret, et illi ut cibum cum eis caperet, rogarunt: morem illis non gessit, non ea de causa se venisse dicens, effectum autem esse id cujus causa venerat. Eadem tempestate multi circa Scetim magni Antonii floruere

ΚΕΦΑΛ. ΛΖ'.

Περὶ Πιώρ, Διδύμου, Ἀρσησίου, Ἀμμωνίου, καὶ τῶν ἀδελφῶν, οἷς Μακροὶ ὄνομα ἦν.

Ἐκ πάνυ δὲ νέου Πιὼρ τῷ φιλοσοφεῖν προσχωρήσας, ὁπηνίκα τὴν πατρῴαν οἰκίαν ἀπέλιπεν, σύμφωνα ἐποίει Θεῷ ὥστε μηδενί ποτε τῶν οἰκείων εἰς ὄψιν ἐλθεῖν. Ἐπεὶ δὲ μετὰ πεντήκοντα ἔτη μάθοι τοῦτον ἡ ἀδελφὴ ζῆν, κατέχειν ἑαυτὴν οὐκ εἶχε, τῷ παραλόγῳ δὲ τῆς μηνύσεως ὑπὸ ἀμέτρου ληφθεῖσα χαρᾶς, περὶ πλείστου ἐποίει τοῦτον θεάσασθαι· καὶ ὀλοφυρομένη τὸν παρ' ἐκείνοις κατηντιβόλει ἐπίσκοπον, τοῖς ἐν Σκήτει γράψαι τὸν ἀδελφὸν πέμπειν. Καὶ ὁ μὲν ἐλεήσας τοῦ γήρως τὴν ἄνθρωπον, τοῖς καθηγηταῖς ἔγραφε τὸν Πιὼρ πέμπειν. Καὶ δὴ κελευσθεὶς, ἐπεὶ μὴ ἀντιτείνειν εἶχε (μηδὲ γὰρ θεμιτὸν εἶναι Αἰγυπτίοις μοναχοῖς, οἶμαι δὲ καὶ τοῖς ἄλλοις, ἀπειθεῖν τοῖς ἐπιταττομένοις), πρὸς τὴν πατρίδα ἧκε, καὶ ἄλλον τῶν ἀδελφῶν συμπαραλαβών. Ὡς δ' ἔξω τῆς πατρικῆς οἰκίας ἐγίνετο, τὴν παρουσίαν ἐμήνυεν. Ἐπεὶ δὲ τοῦ ψόφου τῶν ἐκείνης ποδῶν ᾔσθετο, καὶ τὸ θυρίδιον ἐκλαυσία, μύσας τοὺς ὀφθαλμοὺς, ἐξ ὀνόματος προσεῖπε τὴν ἀδελφὴν, ἐπειπών· « Ἐγὼ Πιὼρ ὁ σὸς ἀδελφός· καὶ δὴ τῆς θέας ἐς ὅσον βούλει ἀπόλαυε. » Ἡ μὲν οὖν ἱκανῶς θεασαμένη, χάριτας ὡμολόγει Θεῷ, τῆς ἐφέσεως εἰς πέρας ἐλθούσης· ὁ δὲ παρὰ τὴν θύραν εὐξάμενος, ἀνεχώρει αὖθις, καὶ ἐπὶ τὸν εἰωθότα χῶρον ἐχώρει. Ἀνορύξας δὲ φρέαρ, πικρὸν εὗρε τὸ ὕδωρ· ὁ δὲ παρέμενε μέχρι τελευτῆς τοῦ πικροῦ ἐκείνου μεταλαμβάνων. Τὸ δὲ τῆς ἐγκρατείας ἐκείνῳ ὑπερφυὲς μετὰ τὴν ἐκείνου τελευτὴν διεγνώσθη· ἄλλων γὰρ ᾑρημένων ἐπ' ἐκείνῳ τῷ τόπῳ φιλοσοφεῖν, ἀφόρητον ἦν. Ἐγὼ δ' οἶμαι, εἰ μὴ καὶ οὕτω ἐφιλοσόφει, ὅμως μὴ χαλεπὸν εἶναι εὐχῇ μόνῃ καὶ εἰς γλυκεῖον ποιότητα μεταστῆσαι τὸ ὕδωρ· ὃς καὶ μὴ ὂν ἀναβλύσαι ἐποίησε. Φασὶ καὶ γάρ ποτε τοὺς ἀμφὶ τὸν προειρημένον Μωσέα φρέαρ ὀρύσσοντας, ἐπεὶ εἰς βάθος τε μέγα κατῄεσαν, καὶ οὐδ' ἡ φλὲψ ὑπισχνεῖτο ἀνάδοσιν δίυγρον, ἀπαγορεύσιν ἤδη μέλλειν, καὶ τὸν τοσοῦτον κόπον ἐᾷν. Μέσης δ' ἡμέρας ἐκ τοῦ παρήκοντος τὸν Πιὼρ ἐπιστάντα, ἀσπάσασθαι πρότερον, εἶτα μικροψυχίαν καὶ δυσπιστίαν ὀνειδίσαι αὐτοῖς· μετὰ δὲ τοῦτο κατελθόντα τὸ ὄρυγμα, τῇ σκαλίδι τρίτον πλῆξαι τὴν γῆν· παραχρῆμα δὲ πηγάσαι τὸ ὕδωρ, καὶ πληρῶσαι τὸ ὄρυγμα. Ἐπεὶ δ' ἐπ' εὐχὴν ἀπιέναι ᾔτει, δεομένων ἐκείνων τροφῆς μετασχεῖν, οὐκ ἠνέσχετο, ἐπειπὼν μὴ ἐπὶ τούτῳ ἥκειν, ἠνύσθαι δὲ αὐτῷ δι' ὃ παραγέγονε. Κατὰ δὲ τοῦτον τὸν χρόνον πολλοὶ τῶν μαθητευθέντων τῷ μεγάλῳ Ἀντωνίῳ διέπρεπον περὶ Σκῆτιν· ὧν γηραλέοι Ὠριγένης καὶ Δίδυμος καὶ Κρονίων ἦσαν· ὁ δὲ Κρονίων καὶ ὑπὲρ τὰ δέκα καὶ ἑκατὸν διαγέγονεν ἔτη. Πρὸς δὴ τούτοις σύγχρονοι τούτοις Σεραπίων ὁ μέγας, Πουτουβάστης τε καὶ Ἀρσίων, καὶ ὁ περιβόητος Ἀρσήσιος· οἳ τῇ τοιαύτῃ καταγεγηρακότες φιλοσοφίᾳ, τῶν τῇδε μο-

(1) Τοῦ λοιποῦ μηδένα τῶν οἰκείων ὄψεσθαι. Soz. Hoc est: *Nunquam se postea propinquorum suorum quemdam visurum esse.*

(2) Pior ambulans cibum capiebat. Cuidam autem causam ejus rei inquirenti, Nolo, inquit, cura corporis ut justo opere, sed succisivo tantum uti, ne scilicet cibo capiendo aliqua ex parte voluptate corporis anima fruatur.

νασηρίων προΐσταντο. Τούτων ὁ μὲν Δίδυμος οὐδενὶ ἀνθρώπων συνέμεινεν ἄχρις οὗ ἐτελεύτα, καίπερ ἐννενήκοντα ἔτη βιούς· ὁ δ' Ἀρσήσιος τοῖς ἐπταικόσι τῶν νέων συγγνώμην παρεῖχεν· ἀφώριζε δὲ τοὺς προκόψαντας, λέγων ὡς « Ὁ νέος ἀφορισθεὶς, καταφρονητὴς γίνεται· ὁ δ' εἰς ἀρετὴν προήκων, θᾶττον τῆς ἐπιτιμήσεως λαμβάνει τὴν αἴσθησιν. » Τῶν δ' αὖ μέσην ἀγόντων τὴν ἡλικίαν πολλοί τε καὶ ἀγαθοὶ ἦσαν· ἐν οἷς Ἀμμώνιός τε καὶ Εὐσέβιος, πρὸς δὲ Διόσκορος ἐγνωρίζοντο, οἳ ἀδελφοὶ μὲν ἀλλήλοις ἤστην· Μακροὶ δ' ἐκ τῆς ἡλικίας εἶχον ἐπώνυμον. Ἀμμώνιον δὲ λόγος ἐπὶ τόσον φιλοσοφίας ἐλθεῖν, εἰς τόσον δὲ καὶ ἡδονῆς καὶ ῥαστώνης γενέσθαι ὑπέρτερον, ὡς πλὴν ἄρτου μόνου μηδὲν ἕτερον γεύσασθαι πυρὶ συγγενόμενον. Εἰσάγαν δὲ καὶ φιλολόγος ἐγένετο, ὥστε καὶ τὰ Ὠριγένους καὶ Διδύμου **B** καὶ Εὐαγρίου σπουδάσματα γενναίως διεξελθεῖν. Ἐπὶ τόσον δὲ ἀπερίεργος ἦν, ὡς σύνοιμ' Ἀθανασίῳ τῷ μεγάλῳ συνέκδημος εἰς Ῥώμην γενόμενος, μηδὲν ἄλλο τῶν τῆς πόλεως ἐκκρίτων ἐλέσθαι καθιστορῆσαι, μόνον δὲ τὸ Πέτρου καὶ Παύλου μαρτύριον, καὶ τὸν οἶκον ᾧ τὰ ἱερὰ ἐκείνων τεθησαύρισται σώματα. Εἰς ἐπισκοπῆς δὲ χειροτονίαν συλλαμβάνεσθαι μέλλων, ἐπεὶ πολλὰ τοὺς ἐπὶ τοῦτ' ἐλθόντας λέγων οὐκ ἔπειθε, μαχαίρᾳ τὸ δεξιὸν ἀποτεμὼν οὖς, « Κἂν νῦν ἄπιτε, ἔφη· ἐπεί τοί γε τοῦ λοιποῦ οὐδ' αἱρούμενον ὁ τῆς Ἐκκλησίας νόμος εἰσδέχεται· χρῆναι γὰρ τὸν ἱερέα σῶον εἶναι. » Ὡς δ' ἀναχωρήσαντες παρὰ τῶν ἡγουμένων περὶ πολλοῦ τὰ τοιαῦτα Ἰουδαίοις εἶναι εἶπον· τῇ δὲ τοῦ Θεοῦ Ἐκκλησίᾳ ἐν οὐδενὶ τὰ τοιαῦτα τίθεσθαι, ἢν μόνον τοῖς **C** ἔνδον καὶ τοῖς τρόποις ἄρτιος εἴη ὁ ἱερεύς· αὖθις ὑποστρέφοντες συλλαβεῖν ἐπειρῶντο· ὁ δὲ, ἦ μὴν καὶ τὴν γλῶσσαν ἐκτεμεῖν διώμνυτο, εἰ βίαν αὖθις ἐπάγειν πειρῷντο. Ἐν νῷ δ' ἐκείνων τὴν ἀπειλὴν θεμένων, κατὰ χώραν εἴων τὸν μέγαν. Καὶ ἐξ ἐκείνου Ἀμμώνιος ὁ *παρώτης* ὠνόμαστο. Τοῦτ' αὐτὸ ἐς ὕστερον καὶ Εὐάγριος πέπονθεν ὁ φιλόσοφος. Καὶ οὗτος γὰρ ὑπὸ Θεοφίλου τοῦ Ἀλεξανδρείας εἰς ἐπισκοπὴν καθελκόμενος, τέχνῃ παντοίᾳ χρησάμενος, τὴν ἱερωσύνην ἀπείπατο, μηδὲν μέντοι ἀκρωτηριάσας τοῦ σώματος· καί ποτε τῷ Ἀμμωνίῳ τούτῳ περιτυχὼν, ἀστεϊζόμενος κατεμέμφετο λέγων, ὡς κακῶς πράξειε μάλα, καὶ ἐνέχεσθαι δίκας διδόναι Θεῷ τῇ τοῦ μέλους διακοπῇ. Ὁ δ' Ἀμμώνιος, **D** « Σὺ δὲ ἄρα, ὑπολαβὼν εἶπεν, ὦ Εὐάγριε, οὐκ οἴει τὰς ἀξίας διδόναι δίκας, διὰ φιλαυτίαν τὴν γλῶσσαν ἀποτεμὼν καὶ μὴ τῇ δοθείσῃ πρὸς πολλῶν ὠφέλειαν χρησάμενος χάριτι; » Ἀλλὰ περὶ μὲν Εὐαγρίου μετὰ βραχὺ διαλήψομαι.

A discipuli : in quibus grandævi fuere, Origenes, Didymus et Cronion, qui etiam centum et decem annos natus, excessit. Insuper eodem cum eis tempore exstitere, Serapion magnus, Putubastes, Arsion et præclarus Arsesius : qui in philosophia hac consenuerunt, et monasteriis præfuerunt. Ex eis Didymus nulli cohabitavit homini, ad extremum usque vitæ diem, quamvis nonaginta vixisset annos. Arsesius (1) autem juvenibus lapsis delicti gratiam faciebat, ætate autem et virtute provectiores excommunicabat, verbis hisce utens : « Juvenem quidem, si per excommunicationem repudietur, despectorem fieri : qui vero in virtute profecisset, eum celeriter objurgationis sensum percipere. » Eorum porro qui in media stataque **B** essent ætate, multi et boni fuere monachi. In eis Ammonius et Eusebius, præterea Dioscorus et Euthymius, qui cum fratres essent, propter corporis staturam Longi sunt appellati. Ammonium fama est eo laudis in philosophia hac pervenisse, et adeo voluptate et deliciis omnibus superiorem fuisse, ut præter panem solum nihil cocti degustarit. Valde etiam litterarum et eruditionis studiosus fuit, ita ut Origenis et Didymi et Evagrii scripta diligenter et feliciter legeret (2). Adeo vero a curiositate abfuit, ut Athanasium magnum Romam comitatus, ex præclaris præcipuisque urbis ejus rebus non aliud spectandum sibi censuerit, quam Petri et Pauli martyrium, et ædem eam in qua illorum corpora veluti thesaurus sunt condita. **C**

188 Porro cum ad episcopalem aliquando consecrationem abducendus esset, et ad eos multa, qui illum ejus rei gratia convenerant, dixisset, neque tamen eis quod volebat, persuasisset, amputata sibi auricula dextra : « Vel nunc demum, inquit, abite, quandoquidem deinceps etiam volentem Ecclesiæ constitutio non recipit Sacerdotem namque integrum atque immutilatum esse oportet » Atque ubi qui ex præcipuis ad ipsum missi erant, ab eo discederent; et a Judæis quidem talia observari et magnifieri, Ecclesiam autem Dei parvipendere, si modo animo et moribus salvus commodusque sit episcopus, inter se dicerent ; ad eum reversi, comprehendere tentarunt. Ibi ille : **D** « Si vim ei inferre pergerent, linguam quoque sibi recisurum esse, adjuravit. » Quibus minis illi perpensis, in loco suo virum magnum reliquerunt. Et ex eo tempore Ammonius παρώτης (3), quasi aure carentem dicas, cognominatus est. Hoc idem in Evagrio philosopho accidit. Nam cum a Theophilo Alexandrino ad episcopatum traheretur, ubi artibus variis se excusando usus esset, sacerdotali dignitati, sibi ea interdicendo, nuntium remisit (4), non tamen summo aliquo corporis membro resecto. Atque is ubi in Ammonium istum incidisset, urbane eum carpsit, male admodum fecisse Deoque ob membrum resectum pœnas daturum esse, inquiens. Ad quem subinferens Ammonius, « Tu vero, inquit, o Evagri, an non condignas persolves pœnas, qui propter φιλαυτίαν, hoc est, nimium sui amorem, linguam tibi abscidisti, nec gratia tibi ad multorum utilitatem data usus es? » Sed de Evagrio paulo post dicemus.

(1) Socr. Arsenium vocat.

(2) Ammonius, comes Athanasii, Romæ non aliud quam S. Petri et Pauli martyrium spectavit.

(3) Ammonius, παρώτης, hoc est, *sine aure*, cognominatus. Inviti olim admodum homines pii ad episcopatum evehebantur.

(4) Et profugit, Socrat. Μηδὲν ἀκρωτηριάσας τοῦ σώματος.

nium tui ipsius amorem, linguam resecueris, et ea quæ tibi ad utilitatem multorum concessa est gratia, usus non fueris? » Verum de Evagrio paulo post dicemus.

189 CAPUT XXXVIII.

De monte Nitria, et loco a Cellis dicto Item de alio loco, cui nomen est Rinocurura, et de sanctis, Dionysio, Mela et Solone.

Circa Scetim mons est, quem accolæ Nitriam vocant, propterea quod vicus quidam vicinus ei est, in quo nitrum colligitur. In eo monte (1) ingens est hujus generis philosophorum multitudo, et monasteria contigua non pauciora quam quinquaginta. Eorum quædam sunt, in quibus monachi communiter, quædam in quibus seorsim habitant. Est et alius locus ad interiorem solitudinem vergens, et ab istis stadiis septuaginta distans, ad monasticam exercendam perquam commodus. Cellarum is nomen habet, quod monachorum ibi domicilia non continenter, sed sparsim constructa sunt. Tantum vero ea inter se dissita fuere, ut ea incolentes alius alium nec cernere nec audire posset. In hebdomade autem semel, primario et Dominico die, in ecclesiam convenire soliti erant. Quod si eo die quis non comparuisset, satis constabat, eum vel ærumna vel morbo aliquo oppressum fuisse. Porro ad eum visendum non simul omnes, sed diverso tempore veniebant, pro se quisque quod ei suppeteret, ad illum curandum, commodum morbi afferens remedium. Absque hoc si esset, alius alium non adibat : præterquam si quis discendi causa sermones animæ utiles et salubres auditurus, cum audiret, qui ejus rei peritus esset. Cellas quoque eas illi inhabitabant, quibus ad summum philosophiæ hujus pervenire, et sibi ipsis ductores esse contigisset : ut recte ab aliis segregati, quietem sequi et sibi ipsis vivere possent. De Sceti, et qui ibi philosophati sunt, monachis, hæc dixisse satis sit. Nam si singula oratione persequenda essent, metus esset, ne in eam prolixius productam, reprehensionis quispiam aculeum immitteret. Et cum illi suum sibi vivendi modum instituissent, fieri necessario aliter non potuit, quin varie, ut par est, pro cujusque ætatis captu, opera, mores, instituta, et diætas dispertirent. Alius item locus, cui nomen Rhinocorura (2) fuit, multis ex eo tempore indigenis (3) monachis celeber fuit. Inter eos insignes fuere Dionysius qui ad partem urbis Aquilonarem domunculam suam habuit : **190** Mela ille, qui eo tempore ecclesiam ejus loci gubernabat : et Solon, Melæ simul et frater germanus, et in sede ipsa successor. De Mela (4) illud memoriæ proditum

A

ΚΕΦΑΛ. ΛΗ'.

Περὶ τοῦ τῆς Νιτρίας ὄρους καὶ τῶν λεγομένων Κελλίων, καὶ τῶν Ῥινοκουρούρων· καὶ περὶ τῶν ὁσίων, Διονυσίου, Μέλανός τε καὶ Σόλωνος.

Ἀμφὶ δὲ τὴν Σκῆτιν ὄρος ἐστὶν ὃ Νιτρία ἐγχωρίως καλεῖται· καθότι κώμη τις ταύτῃ ὅμορός ἐστιν, ἐν ᾗ τὸ νίτρον συλλέγουσιν. Ἐν δὲ τῇ Νιτρίᾳ ταύτῃ πολύ τι πλῆθος ἀνδρῶν φιλοσόφων ἐστί. Καὶ μοναστήριά εἰσιν ἐν τούτῳ οὐχ ἧττον ἢ πεντήκοντα συνεχῆ ἀλλήλοις· ὧν τὰ μὲν κατὰ συνοικίαν εἰσὶ, τὰ δὲ καὶ καθ' ἑαυτὰ τὴν οἴκησιν ἔχει. Πρὸς δὲ τὴν ἐνδοτέρω τούτοιν ἔρημον ἕτερός ἐστι τόπος ἀμφὶ στάδια διεστὼς ἑβδομήκοντα, πρὸς τὸ φιλοσοφεῖν δεξιῶς ἔχων, ὃς Κελλία προσαγορεύεται· ὅτιπερ οὐ κατὰ B συνοικίας, ἀλλὰ σποράδην τὰ τῶν μοναζόντων εἰσὶν οἰκήματα. Ἐπὶ τοσοῦτον δ' ἕτερον ἑκατέρου διέχει, ὡς τοὺς ἐνοικοῦντας τούτοις μήθ' ὁρᾷν ἀλλήλους, μήτ' ἐπαΐειν. Εἰσάπαξ δ' εἰς ταυτὸν τῆς ἑβδομάδος συντρέχουσιν ἐκκλησιάζοντες τῇ πρώτῃ καὶ κυριωνύμῳ τῶν ἡμερῶν. Εἰ δέ τις κατὰ ταύτην μὴ φανείη, δῆλός ἐστιν ἢ τινι πάθει ἢ νόσῳ κατισχυμένος. Καὶ δὴ κατὰ θέαν ἀπίασιν αὐτοῦ οὐκ ἐν ταυτῷ, ἀλλ' ἐν διαφόροις καιροῖς, ὅ τι λάχοι ἑκάστῳ πρὸς θεραπείαν ἐπιτήδειον καὶ τῆς νόσου ἀλεξιφάρμακον εἰσκομίζων. Ἄνευ δὲ τῆς προφάσεως ταύτης οὐκ ἄν τις παρ' ἄλλον ἥκοι ἐκτὸς, εἰ μή τις ὡς μαθησόμενος παραγένοιτο, λόγων ἀκοῦσαι ψυχῇ πραγματευομένων τὴν λυσιτέλειαν παρὰ τὸν ὃς τὰ τοιαῦτα φράζειν ἐπίσταται. Ἐκεῖνοι δὲ τοῖς τοιούτοις οἰκοῦσι C κελλίοις, οἷς ἐς ἄκρον τῆς φιλοσοφίας ἀνιέναι συνέβη· καὶ σφᾶς ἄγειν ἰσχύς ἐστι, χωρισθεῖσι τῶν ἄλλων δι' ἡσυχίαν· καὶ καθ' ἑαυτοὺς ἔχουσι τὴν διατριβήν. Περὶ μὲν οὖν Σκήτεως καὶ τῶν ἐνθάδε φιλοσοφούντων τοσαῦθ' ἡμῖν εἰρήσθω. Τὸ γὰρ τοῖς καθ' ἕκαστον τούτων ἐπεξιέναι δέος ὑφέρπει μὴ, μηκυνομένην τὴν γραφὴν μώμου τις ἐπαφήσοι κέντρον. Ἐκείνοις γὰρ ἰδίαν πολιτείαν συστησαμένοις, ἐπάναγκες ἦν καὶ ἔργα καὶ ἤθη καὶ ἀγωγήν τε καὶ δίαιταν πρόσφορα ἡλικίᾳ ἑκάστῃ ὡς εἰκὸς διανεῖμαι. Καὶ ἄλλος δὲ τόπος, ᾧ Ῥινοκούρουρα ἦν ὄνομα, πολλοῖς οἴκοθεν ἀνδράσιν ἐξ ἐκείνου τηνικαῦτα διέλαμπεν· ὧν ἐπίσημοι τῷ φιλοσοφεῖν ἐγένοντο Διονύσιος, ὃς τῷ πρὸς βοῤῥᾶν τῆς πόλεως μέρει τὸ D φροντιστήριον εἶχε· καὶ Μέλας ἐκεῖνος ὁ κατ' ἐκεῖνο καιροῦ τὴν τῶν Ῥινοκουρούρων ἐκκλησίαν ἰθύνων· καὶ Σόλων, ὃς κασίγνητος τῷ Μέλανι ὢν, καὶ τοῦ θρόνου ἐγεγόνει διάδοχος. Περὶ δὲ Μέλανος ἱστοροῦσιν, ὡς ἡνίκα οἱ τῆς ὁμοουσίου ὑπεριστάμενοι πίστεως τῶν ἐκκλησιῶν ἐξηλαύνοντο· ἐπεὶ καὶ οἱ τὸν

(1) Sic hodie in Atho monte viginti duo insignia sunt monasteria Græcorum monachorum, ordinis divi Basilii, quæ tributi nomine Turcarum tyranno quotannis ex vinetis et olivetis suis pendunt sex millia obolorum Turcicorum. Mons is a Christianis, ἅγιον ὄρος, hoc est, sanctus mons, dicitur : a Rutenis, Suvata hora.

(2) Rhinocurura urbs Ægypti, ab antiquis incolis sic dicta, quorum mutilati fuere nasi. Stephanus.

(3) Οὗτοι ἐπεισάκτοις, ἀλλ' οἴκοθεν ἀνδράσιν ἀγαθοῖς : hoc est, non advenis, sed originariis bonis viris.

(4) Melæ, Rhinocururæo episcopo, qui ab Arianis ad eum expellendum missi fuerant, propter reverentiam ejus exsilium remittunt.

Μέλανα ἐξῶσαι κατέλαβον, εὗρον μὲν ἐκεῖνον τοῖς A τῆς ἐκκλησίας λύχνοις ἐνασμενίζοντα, οἷά γε ὑπηρετῶν ἔσχατον· τάς τε γὰρ θρυαλλίδας κατεῖχε, καὶ ἐπίῤῥυπος ἦν τὴν ἐσθῆτά τε καὶ τὴν ζώνην· περὶ δὲ τοῦ ἐπισκόπου πυθόμενοι, ἀποκρίνασθαι αὐτὸν τοῦτον μηνύσαι· ἀγαγεῖν δὲ τοὺς ἄνδρας παρὰ τὸ ἐπισκοπεῖον· καὶ οἷά γε τῇ ὁδῷ κεκμηκότας, τοῖς ἐνοῦσι θρέψαι, τράπεζαν παραθέμενον. Μετὰ δὲ τὴν τροφὴν νιψάμενος, ἐκείνοις γὰρ διηκονεῖτο ἑστιωμένοις, ἑαυτὸν κατεμήνυσε· τοὺς δ' ἐν θαύματι τὸν ἄνδρα πεποιηκότας, δηλῶσαι οὗ χάριν ἧκον· τῇ γε μὴν πρὸς αὐτὸν αἰδοῖ ἄδειαν αὐτῷ φυγῆς παρασχεῖν· τὸν δ' ἀποδοχῆς ἀξιώσαντα ἀποκρίνασθαι μὴ ἂν ἑλέσθαι ταυτὰ τοῖς ὁμόφροσι τῶν ἱερέων παθεῖν, τὸ ἄκοντα πρὸς τὴν ὑπερορίαν ἀφῖχθαι· ἀλλ' ἑκόντι τὴν ὑπερόριον ὑπομεῖναι φυγήν. Οὗ δὴ γενόμενος, B ἅτ' ἐκ νέου τῷ φιλοσοφεῖν εἰθισμένος, διὰ πάσης ἀρετῆς ἥκων περιβόητος ἦν. Σόλων δὲ τὸν ἐμπορικὸν βίον ἀπαρνησάμενος, τὸν τίμιον μαργαρίτην ὠνεῖτο. Ὑπὸ γὰρ τῷ ἀδελφῷ Μέλανι καὶ τοῖς ἐκεῖσε διδασκάλοις τὸ βιοῦν μεταθέμενος, καὶ ἐπιμελῶς παιδευθεὶς, ὅτι πλείστην περὶ τὸ Θεῖον ἐπεδείξατο τὴν σπουδήν· μάλιστα δ' ἦν ἀγαθὸς τοῖς πέλας ἁπλότητι βίου χρώμενος. Τοιούτων δὲ καθηγεμόνων τὸ κατ' ἀρχὰς ἡ Ῥινοκουρούρων ἐκκλησία ἐπιτυχὴς γενομένη, ἐπὶ πολὺ τοῦ χρόνου διήρκεσε τοῖς ἐξ ἔθους χρωμένη θεσμοῖς, καὶ ἀγαθῶν ἀνδρῶν εὐφορίαν πηγάζουσα. Ὃ δὲ ξενίζον εἶχεν ἡ τοιαύτη ἐκκλησία, καὶ τῶν ἄλλων ἐπίσημον μάλιστα, ὅτιπερ τοῖς αὐτόθι κληρικοῖς κοινή τε ἦν οἴκησις, καὶ τράπεζά τε καὶ C ἀγωγὴ καὶ δίαιτα μία, καὶ πάντα δὴ τὰ λοιπά. Τοσαῦτα καὶ περὶ τῶν Ῥινοκουρούρων.

est. Cum de ecclesiis ὁμοουσίου, consubstantialis, fidei defensores exigerentur, atque eo qui ipsum quoque ejicerent, advenissent, repererunt eum veluti servorum extremum ecclesiæ lucernis adornandis hilariter incumbentem. Lucernarum enim lineos funiculos in manibus habebat, veste simul et cingulo sordidatus. Atque cum illi episcopum requirerent, indicaturum se eis illum respondit, eosque in domum episcopalem duxit: atque ubi is eis de via fessis, mensa apposita, pro rerum tenuium copia cibum dedisset, atque edentibus ministrasset, sublata mensa manus lavit, et seipsum eis indicavit. Illi virum admirati, causam adventus sui cum ostendissent, remittere se ei exsilium, propter reverentiam ejus, dixerunt. Quod posteaquam accepisset, eis respondit, non idem se, quod alii consentientes sibi episcopi fecissent, commissurum esse, ut invitus solum exsilii causa verteret, sed sua sponte in exsilium iturum. Atque cum ibi esset, veluti qui ab adolescentia monasticæ philosophiæ assuevisset, omni genere virtutis præclarus admodum fuit. Solon autem, ubi mercaturæ renuntiasset, pretiosam mercatus est margaritam. Nam sub fratre Mela ejusque loci magistris fideliter atque diligenter edoctus, mutatione vitæ plurimum in rebus divinis studii ostendit, et morum simplicitate erga proximos bonus maxime fuit. Ecclesia Rhinocruræ postquam tam egregios primum duces nacta est, longo deinde tempore consuetis constitutionibus uti perrexit, et viros præclaros protulit. Illud porro novum, et inter alia maxime insigne in ecclesia ea fuit, quod clerici ibi domicilium, mensam, morum institutum, et diætam unam, aliaque adeo omnia haberent communia. Hæc de Rhinocurura.

ΚΕΦΑΛ. ΛΘ'.

Περὶ τῶν ἐν Παλαιστίνῃ μοναχῶν, Ἡσυχᾶ, Ἐπιφανίου τοῦ Κύπρου, Σαλαμίνη, Ἀμμωνίου, Σιλβανοῦ καὶ Ζαχαρίου.

Ἐν δὲ τούτῳ καὶ κατὰ Παλαιστίνην πολύ τι στῖφος φιλοσόφων ἤνθει ἀνδρῶν. Ἔτι γὰρ περιῆσαν τῷ βίῳ οἱ κατὰ τὴν Κωνσταντίου βασιλείαν ἡμῖν εἰρημένοι, τῇ μοναχικῇ πολιτείᾳ καὶ ἐπιστήμῃ ἐμπρέποντες. Καὶ ἄλλοι δ' ἐπὶ τούτοις συνήκμαζον ταῖς ἐκείνων ἀγαθαῖς συνουσίαις, ἐς πολύ τι χρῆμα ἐπιδιδόντες τῆς ἀρετῆς· καὶ προσετίθεντο τοῖς ἐνταῦθα D φροντιστηρίοις, οὐ τὴν τυχοῦσαν εὔκλειαν τούτοις πορίζοντες· ὧν πρώτιστος Ἡσυχᾶς ἦν, ἑταῖρος ὢν ἐς τὰ μάλιστα τῷ παμμεγίστῳ τὴν κατὰ Θεὸν βιοτὴν Ἱλαρίωνι· πρὸς δὲ καὶ ὁ πολὺς τὴν ἀρετὴν Ἐπιφάνιος, ὃς πολλῷ χρόνῳ ὕστερον καὶ τῆς ἐν Σαλαμῖνι τῆς Κύπρου ἐκκλησίας τὴν ἐπιτροπὴν ἔσχεν. Ὁ μὲν οὖν Ἡσυχᾶς τὸ τῆς ἡσυχίας ἐργαστήριον ἐπὶ Γάζης, ἔνθα δὴ καὶ ὁ ἑταῖρος εἴτ' οὖν διδάσκαλος καὶ σύμπνους αὐτῷ Ἱλαρίων, εἶχεν. Ὁ δὲ ἱερὸς Ἐπιφάνιος περὶ κώμην τινὰ Βησανδούκην ὄνομα, ὅθεν καὶ ὥρμητο, νομοῦ Ἐλευθερουπόλεως· νέᾳ δὲ πάμπαν τῇ ἡλικίᾳ ἀρίστοις χρησάμενος διδασκάλοις, καὶ παιδείας χάριν μοναστικῆς οὐκ ἐλάχιστον ἀνύσας ἐν Αἰγύπτῳ χρόνον, παρά τε τοῖς ἐκεῖσε δὴ καὶ Πα-

191 CAPUT XXXIX.

De Palæstinæ monachis, Hesycha, Epiphanio Cyprio, Salamine, Ammonio, Sylvano et Zacharia.

In Palæstina quoque eo tempore plurimi floruere solitarii philosophi. Adhuc enim superstites erant, quos, cum de Constantini imperio ageremus, diximus scientia et vita monastica effulgentes. Sed et alii cum illis institutis illorum enituere, qui virtutis profectu, non pœnitenda laude et gloria monasteria auxerunt. Horum præcipuus fuit Hesychas, Hilarioni illi, vita ea quæ secundum Deum est, longe præstantissimo, sodalis charissimus. Item virtute præclarus Epiphanius, qui longo post tempore ecclesiæ Salaminiæ in Cypro episcopus præfuit. Et Hesychas quidem quietis officinam apud Gazam instituit, eodem quo sodalis seu magister, in rebus omnibus secum consentiens Hilarion, loco; sacer autem Epiphanius, circa quemdam vicum Besanducem, præfecturæ Eleutheropolis, ubi etiam ortus fuerat. Hic in prima ætate optimis usus præceptoribus, et doctrinæ monasticæ gratia longo tempore in Ægypto moratus, apud Ægyptios simul et Palæstinos, per virtutis studium, insignem adeptus fuerat laudem: nec minus etiam apud Cyprios, apud

quos episcopatum gessit. Unde conjicere licet, ea de causa præclaram eum famam per orbem omnem esse consecutum. Cum enim in ampla et maritima, eademque populosissima urbe sacrorum antistes esset, et cum illustri virtutis gloria civiles quoque res tractaret, brevi tempore non civibus solum, sed advenis etiam undecunque eo appellentibus notissimus fuit, qui eum partim convenerunt et viderunt, partim ex sermonibus eorum qui illum viderant, cognoverunt. Prius autem quam in Cyprum veniret, eo quo diximus tempore in Palæstina vitam egit, cum in monasteriis ibidem sancte et graviter admodum eniterent, Salamines, Physcon, Malchion et Crispion, claro loco nati, et fratres, circa Betheleam vicum præfecturæ Gazæ, studia virtutis exercentes. Habuerunt et ii Hilarionem magistrum. **182** Fertur namque, cum aliquando simul isti apud eum fuissent, et simul domum reverterentur, ex eorum medio Malchionem solum quodammodo raptum disparuisse : atque ubi rursum subito apparuisset, idem cum fratribus iter carpsisse: et paulo post e vita excessisse, juvenilem quidem adhuc ætatem agentem, sed virtute et Dei amore non multum eis qui in tali studio consenuerunt, concedentem. Tum Ammonius quoque decem fere stadiis ab eis distans, et circa vicum Chapharchoubrau Gazæ subditum casam suam habens, clarus fuit, ex eo vico oriundus : vir qui accurate et constanter in instituto monastico perduraverit. Sed et Sylvanus in Palæstina ortus, eo, ut mihi videtur, tempore superstes fuit : qui eum a Deo accepit honorem, ut angeli ei inservierint. Et cum primum in Ægypto philosophatus esset, in montem Sina inde transiit : postea autem in torrente Geraræ maximum, pulcherrimum et clarissimum bonorum virorum construxit monasterium : cui post eum admirandus præfuit Zacharias.

CAPUT XL.

De Syriæ et Edessæ monachis, Ephraim, Aphraate, Juliano, Barse et Eulogio, qui episcopatum in monasteriis gesserunt.

Ex Ægypto et Palæstina, ad eos monachos qui in Syria et finitima ei Perside fulserunt, transeundum : qui cum Ægyptiis quam maxime certantes, quam plurimi et virtute clarissimi evasere. Circa Nisibim ad montem cui Sigoron nomen est, vitæ sanctitate celebres fuere, Batthæus, et Eusebius, et Barges, et Hallas, et Abbos, et Abdaleus, et Zeno, et Heliodorus, et Lazarus, qui episcopus etiam est factus. Qui quod non ita pridem novum hoc philosophiæ institutum exercere incepissent, βοσκοὶ, hoc est, pascentes, seu pabulatores, cognominati sunt : propterea quod tecta non haberent, nec panem, aut vinum aut opsonium aliquod gustarent : sed continenter in montibus versantes,

λαιστινοῖς, ἐπίσημόν τι κλέος ἐκτᾶτο τῷ ἐπιπόνῳ τῆς ἀρετῆς· ἔπειτα δὲ καὶ παρὰ Κυπρίοις, ὧν καὶ τῆς ἱερωσύνης ἡγήσατο· δι' ὧν εἰκάζειν ἔστιν, ὡς ἐντεῦθεν μᾶλλον ἀοίδιμον τὴν φήμην ἀνὰ πᾶσαν τὴν ὑφήλιον ἐκληρώσατο. Ἔν τε γὰρ πόλει μεγάλῃ καὶ παραλίῳ, καὶ ὅμιλον οὐκ ἐλάχιστον κεκτημένῃ τὸ ἱερᾶσθαι λαχὼν, καὶ μετὰ περιφανοῦς τῆς ἐξ ἀρετῆς δόξης πράγμασι πολιτικοῖς ἐμβαλὼν, ἐν βραχεῖ χρόνῳ οὐ τοῖς ἀστοῖς μόνον, ἀλλὰ καὶ τοῖς ὅθεν δή ποτε καταίρουσι ξένοις γνώριμος ἐσάγαν ἐγένετο τοῖς μὲν καὶ εἰς πεῖραν ἥκων καὶ θεαθεὶς, τοῖς δὲ καὶ παρὰ τῶν ἰδόντων πυθομένοις τοιοῦτον εἶναι. Πρινὴ δ' ἐς Κύπρον ἐλθεῖν, κατὰ τοῦτον τὸν χρόνον ἐν Παλαιστίνῃ διέτριβεν· ὁπηνίκα δὴ ἐν τοῖς κατ' ἐκείνην φροντιστηρίοις σεμνῶς μάλα διέπρεπον Σαλαμίνης τε καὶ Φύσκων καὶ Μαλχίων· πρὸς δὲ καὶ Κρισπίων· εὐπατρίδαι ὄντες καὶ ἀδελφοὶ ἀμφὶ Βηθελέαν κώμην, νομοῦ Γάζης, τὸ τῆς ἀρετῆς ἐργαζόμενοι μέλι. Καὶ οὗτοι δὲ διδασκάλῳ ἐχρήσαντο Ἱλαρίωνι. Λέγεται γάρ ποτε ἅμα οὗτοι παρ' ἐκεῖνον γενόμενοι, ἅμα καὶ οἴκαδε ἀναστρέφειν· ἁρπαγῆναι δέ πως ἐκ μέσου τούτων μόνον Μαλχίωνα, καὶ οὐδαμοῦ φαίνεσθαι· αἴφνης δὲ πάλιν ἀναφανῆναι, τὴν ἴσην ὁδὸν τοῖς ἀδελφοῖς διιόντα, καὶ μετὰ βραχὺ μεταλλάξαι τὸ ζῆν, ἔτι μὲν ἐν νέᾳ τῇ ἡλικίᾳ, οὐ μέντοι παραπολὺ τῶν ἐν φιλοσοφίᾳ γηρασάντων κατὰ τὸ τῆς ἀρετῆς θεοφιλὲς ἐνδεᾶ. Τηνικαῦτα δὲ καὶ Ἀμμώνιος ἐγνωρίζετο, ἀμφὶ δέκα στάδια διεστὼς τούτων. Περὶ δὲ κώμην Γάζῃ ὑποκειμένην, Χαφαρχουβρὰν ὄνομα, τὰς οἰκήσεις εἶχεν, ἧς καὶ θρέμμα ἐτύγχανεν· ἀνὴρ εἰς ἀκρίβειαν καὶ ἀνδρίαν μοναστικῆς πολιτείας διαγενόμενος. Ναὶ μὴν ἀλλὰ καὶ Σιλβανὸς τηνικαῦτα, οἶμαι, τῷ ζῆν περιῆν, Παλαιστίνης ὁρμώμενος· ὃν λόγος ὑπ' ἀγγέλων ὑπηρετεῖσθαι γέρας λαβεῖν. Ἐν Αἰγύπτῳ γὰρ τὰ πρῶτα φιλοσοφήσας, ἐκεῖθεν ἐπὶ τὸ Σίναιον ὄρος μετέβαινεν. Ἐς ὕστερον δ' ἐν τῷ χειμάῤῥῳ Γεράρων μεγίστην τε καὶ καλλίστην καὶ λίαν ἐπίσημον ἀγαθῶν ἀνδρῶν μάνδραν ἐπήξατο, ἧς μετ' αὐτὸν ὁ θαυμάσιος ἀφηγήσατο Ζαχαρίας.

ΚΕΦΑΛ. Μ'.

Περὶ τῶν ἐν Συρίᾳ καὶ Ἐδέσσῃ μοναχῶν, Ἐφραῒμ καὶ Ἀφραάτου καὶ Ἰουλιανοῦ, Βάρσου τε καὶ Εὐλογίου, ἐν μοναστηρίοις τὴν ἐπισκοπὴν ἐσχηκότων.

Ἐκ δὲ τῆς Αἰγύπτου καὶ Παλαιστίνης ἐπὶ τοὺς κατὰ Συρίαν καὶ τὴν ὅμορον Περσίδα διαλάμψαντας μετιτέον· οἳ δὴ πρὸς τοὺς ἐν Αἰγύπτῳ διαμιλλώμενοι μάλιστα, εἰς πλῆθος ἅμα καὶ μέγεθος ἐπέδωκαν ἀρετῆς. Ἀμέλει ἀμφὶ μὲν Νίσιβιν περὶ τὸ Σιγόρων ὄρος καλούμενον, ἐπίσημον βίον εἶχον Βατθαῖος καὶ Εὐσέβιος, καὶ Βαργῆς, καὶ Ἀλλᾶς καὶ Ἀββῶς, καὶ Ἀβδάλεως, καὶ Ζήνων, καὶ Ἡλιόδωρος, καὶ Λάζαρος, ὃς καὶ ἐπίσκοπος ἐγεγόνει· οὓς δὴ καὶ Βοσκοὺς κατωνόμαζον, οὐ πάνυ πόῤῥω καινῆς φιλοσοφίας κατάρξαντας· οὕτω δ' ἐκάλουν σφᾶς, ὅτιπερ οὔτ' οἰκίαι παρ' αὐτοῖς ἦσαν· ἀλλ' οὐδὲ ἄρτου ἢ οἴνου ἢ ὄψου τινὸς ἀπεγεύοντο· ἀλλ' ἀεὶ τοῖς ὄρεσι διατρίβοντες, κατὰ τοὺς τῆς Ἐκκλησίας νόμους, εὐχαῖς

καὶ ὕμνοις τὸ Θεῖον ἐγέραιρον· καὶ ἡνίκα καιρὸς A καλοίη τροφῆς, ἅρπην ἕκαστος ἀνὰ χεῖρας ἔχων, καθάπερ νομὴν διφῶντες περιίασι· καὶ τὰς προσφόρους περιτυχόντες τῶν βοτανῶν ἐσιτίζοντο. Καὶ τοῖς μὲν οὕτω καινή τις ἐνεοχμώθη φιλοσοφία. Περὶ δὲ Κάῤῥας ἐφιλοσόφει Εὐσέβιος, ἑκουσίᾳ καθείρξει ἑαυτὸν ἀπρόϊτον ἐπισχών. Ναὶ μὴν καὶ Πρωτογένης ὁ μετὰ Βῖτον τῆς αὐτόθι παροικίας ἐπιτροπεύσας· Βῖτον ἐκεῖνον τὸν ἀοίδιμον ἀσκητὴν, ὃν φασι τὸν ἐν βασιλεῦσιν ἀπόστολον Κωνσταντῖνον πρῶτον ἰδόντα, διισχυρίζεσθαι πάλαι πολλάκις τὸ Θεῖον δι' ἐπιφανείας αὐτὸν ὑποδεῖξαι· καὶ παρεγγυήσασθαι ὅ τι ἂν εἰσηγοῖτο, ἀμέσως πειθαρχεῖν αἱρεῖσθαι. Βατθαῖος δὲ ἐπὶ τοσοῦτον ἤλασεν ἀσιτίας, ὡς καὶ σκώληκας ἐκ τῶν ὀδόντων ἕρπειν. Ἀλλᾶν δὲ ἐπὶ ἑβδομήκοντα ἔτη ἄρτου τὸ παράπαν μὴ γεύσασθαι. Ἡλιοδώρῳ δὲ τὸ B ἐγκρατὲς ἦν, ὡς ἀΰπνους τὰς πολλὰς τῶν νυκτῶν διακαρτερεῖν, καὶ τὴν νηστείαν ἐν ἑβδομάσι πλείσταις ἐπισυνάπτειν. Ἤκμαζε δ' ἐν Φαδανᾷ τηνικαῦτα καὶ Ἀώνης ἐκεῖνος. Τόπος δ' ἐστὶ τὸ Φαδανὰ, ἔνθα Ἰακὼβ, ὁ τῷ Ἰσαὰκ γεννηθεὶς, ἐκ Παλαιστίνης ἥκων εἰς γάμον ὡμίλει παρθένῳ οὔσῃ τῇ γυναικί· πρῶτός τε τὸν λίθον τοῦ ἐνθάδε φρέατος ἐκκυλίσας, τὴν ποίμνην ἐπότιζε. Τὸν δ' Ἀώνην τοῦτον λόγος ἔχει πρῶτον παρὰ Σύροις κατάρξαι τῆς ἐνθάδε πρὸς ἀκρίβειαν φιλοσοφίας· ὥσπερ δῆτα παρ' Αἰγυπτίοις τὸν πολὺν καὶ μέγαν Ἀντώνιον. Συνῆσαν δὲ τούτῳ καὶ Γαδδανᾶς τε καὶ Ἄζιζος, πρὸς τὴν ἴσην ἀρετὴν ἁμιλλώμενοι. Πολλοὶ δὲ καὶ ἀνὰ τὴν ἐκ γειτόνων Ἔδεσσαν καὶ τὰ πέριξ ταύτης ἐπίσημοι ἄν- C δρες ἤνθησαν· ὧν οἱ εὐδοκιμώτατοι Ἰουλιανός τε ἦν, καὶ ὁ περιβόητος ἐν Σύροις Ἐφραίμ· ὃς καὶ πολλὰ βιβλία τῇ Ἐκκλησίᾳ Χριστοῦ καταλέλοιπε· περὶ ὧν ἀκριβέστερον ἐν τῇ Κωνσταντίου βασιλείᾳ διέλαβον. Πρὸς δὴ τούτοις Βάρσης τε καὶ Εὐλόγιος ἦσαν, οἳ μετὰ τὸν πολὺν τῆς ἀσκήσεως ἆθλον, ἐς ὕστερον καὶ ἐπισκόπω ἄμφω ἐγένοντο, οὔ τινος πόλεως, τιμῆς δὲ χάριν, ἐν τοῖς ἰδίοις μοναστηρίοις, τὴν τῆς ἐπισκοπῆς κληρωσάμενοι χειροτονίαν, ἀμοιβὴν ὡς ἄν τις φαίη τῆς κατὰ Θεὸν ἀκριβεστάτης φιλοσοφίας τὴν τοσαύτην εἰληφότες ἀξίαν· καθὰ δὴ καὶ Λάζαρος ὁ πρὸ βραχέος μετὰ τὸν ὅσιον Ἡλιόδωρον ἐν μνείᾳ γεγενημένος ἡμῖν.

de ecclesiarum more, precibus atque hymnis Deum colentes celebrarent. Et cum tempus cibi capiendi esset, pro se quisque falcem in manibus habens, et veluti pabulum inquirens circuibat, et herbas commodas nactus, eis vescebatur. **193** Atque ad hunc quidem isti modum novam agendæ vitæ philosophiam instituerunt. Apud Carras autem philosophatus est Eusebius, qui voluntario carcere seipsum, ut adiri non posset, cohibuit. Item Protogenes, qui post Vitum parœciam illam regebat: Vitum, inquam, inclytum illum monachum, quem ferunt cum primum inter imperatores apostolum Constantinum vidisset, sancte affirmasse, eum sibi dudum sæpenumero a Deo per apparitionem ostensum esse; proindeque sedulo cohortatum esse, ut quod suggessisset atque jussisset, citra exceptionem omnem obsequenter faceret. Porro Bathæus usque adeo a cibo sumendo abstinuit, ut vermes etiam ex dentibus ejus prorreperent: Hallas septuaginta (1) totis annis panem prorsus non attigit. Heliodoro tanta fuit temperantia, ut noctes plures pervigilaret, et jejunium hebdomadibus totis continuaret. Floruit tum etiam in Phadana (quo loco Jacob Isaaci filius ex Palæstina veniens, uxorem suam virginem in matrimonium duxit, primumque ibi revoluto a puteo lapide gregem ejus potavit) Aonas ille, quem fama est primum ibi apud Syros accuratum hoc philosophiæ genus colere cœpisse: quemadmodum id apud Ægyptios magnus fecit Antonius. Cum eo fuere et Gaddanas, et Azizus, in ejusdem virtutis laude concertantes. Multi vero et apud vicinam Edessam, et circum ea loca celebres floruere viri: inter quos clarissimi fuere, Julianus, atque apud Syros decantatus Ephraim, a quo multi libri Ecclesiæ sunt editi: de quibus certius in Constantii imperio commemoravi. Exstitere præterea Barses et Eulogius, qui ambo post longum monastici exercitii certamen episcopi (2) sunt facti, non in urbe aliqua, sed honoris gratia in monasteriis suis episcopalem consecuti consecrationem; ita ut recte aliquis dignitatem eam tanquam præmium seu remunerationem pro exactissimo philosophandi instituto eos accepisse dicat. Sicuti et Lazarus, de quo paulo ante, post sanctum Heliodorum, mentionem fecimus.

ΚΕΦΑΛ. ΚΑ'. D

Περὶ τῶν ἐν τῇ Κοίλῃ Συρίᾳ καὶ Ἀντιοχείᾳ μοναχῶν· ἔτι δὲ καὶ περὶ τῶν ἐν Γαλατίᾳ, Καππαδοκίᾳ τε καὶ Βιθυνίᾳ καὶ περὶ τὸν Εὔξεινον πόντον φιλοσοφησάντων ἀνδρῶν· καὶ δ' αἰτία δι' ἣν οἱ πάλαι ἀσκηταὶ μακροβιώτατοι διεγένοντο.

Ἡ δέ γε Κοίλη Συρία καὶ ἡ ὑπὲρ ταύτην, τῆς Ἀντιόχου μόνης ἐκτὸς, ὀψὲ καὶ βράδιον τὸν Χριστιανισμὸν παρεδέξατο. Πλὴν οὐδὲ αὕτη ἄμοιρος ἐκκλησιαστικῶν φιλοσόφων ἐγένετο· οἳ καὶ μᾶλλον ἀνδρείως τε εἶχον, ὅτι γε καὶ μῖσος οὐ μέτριον μετ' ἐπιβουλῆς πρὸς τῶν ἐνοικούντων Ἑλληνιστῶν αὐτοῖς

194 CAPUT XLI.

De Cœlesyriæ et Antiochiæ monachis. Item de monachis qui in Galatia, Cappadocia, Bithynia, et ad Pontum Euxinum philosophati sunt, et causa, cur veteres monachi longævi fuerint.

Cœlesyria autem, et quæ supra eam est regio, sola Antiochia excepta, serius quidem Christianismum suscepere, non tamen ecclesiasticis philosophis caruere. Qui eo fortius ut viri egregii se gesserunt, quo majus in eo incolarum Græcæ superstitionis studiosorum, atque illis insidian-

(1) Octogima. Sozom.

(2) Supra eod. cap. 23.

tium, flagravit odium : non illos quidem vindicta utentes, sed magno animo illatas injurias et plagas excipientes. Qualis Valentinus ille fuit, quem alii Emesenum, alii Arethusium genere fuisse tradiderunt. Et alter ei cognominis monachus, et Theodorus, qui ambo a Tittis vico præfecturæ Apameæ oriundi fuere. Item Marosas Nechelis ortus, Bassus, Bassones, et Paulus, cui patria fuit Telmisus (1). Hic cum multis in locis multa monachorum cœnobia instituisset, et præclare plures ad philosophiam hanc consectandam cohortatus fuisset, postmodum in regione cui nomen est Jugatum, insigne et splendidum monachorum construxit domicilium, atque ibi vitam in senectute multa finivit. Monstratur eo loco adhuc, quod omnibus notum est, sepulcrum ejus. Omnes vero prope quos recensuimus monachi, longævi fuere : id quod dispositione et providentia Dei mihi factum esse videtur, videlicet ut tam diuturno et exacto vitæ instituto incrementum religio caperet : quod non Syros tantum, sed et Persas atque Sarracenos plurimos ad fidem nostram pertraxit, et Græcæ superstitionis sectatores plerique ut cultum suum abnegarent, effecit. Ex quibus omnibus plurimi persuasi sunt, ut philosophiam monasticam summopere colerent, et ad eorum quos modo diximus, exemplum monachorum sodalitatibus præirent. Facilis autem conjectura est, hoc genus philosophiæ (2) initio inde sumpto, ad Galatas usque et Cappodoces, finitimosque eis populos, item ad Euxinum Pontum, Bithyniam, et Hellespontum pervenisse, qui sane antiquitus doctrinam Christianam flagrantibus animis complectentes, permultos divinæ hujus philosophiæ habuere sectatores. Quorum plures in communibus domiciliis per urbes et vicos habitarunt, vel quod nondum traditionibus et exemplis eorum qui dicti sunt, assuevissent, **195** vel quod propter hiemis asperitatem regiones illæ, et maxime Pontus, Cappadocia, et Galatia, natura frigidissimæ sint, proindeque non facile plurimi in solis ibi locis degere possent. Verumtamen non omnino montes earum ab ejuscemodi philosophis vacui fuere. Tempore namque procedente, vehementi atque ardenti rerum divinarum studio frigus etiam cessit. Atque in eis partibus cum multi alii præclare vixere, quemadmodum alibi a me dictum est ; tum post Eustathium et Basilium magnum, præ cæteris celebres maxime fuere, Leontius ille (3), cui deinde Ancyranus commissus est episcopatus : et Prapidius, qui quantumvis senex, admodum multas pro episcopo rexit urbes (4). Præfuit vero nobilissimæ etiam illi hospitali domui, cui cognomen est Basilias : nam a Basilio magno Cæsariensi episcopo constructum pauperum domicilium, cum nomen ejus obtinet, tum ad tempora multa perdurat. An-

A ἦν, ἥκιστα μὲν ἀμύνῃ χρωμένοις, εὐψύχως δὲ τὰς ἐπιφερομένας ὕβρεις τε καὶ πληγὰς δεχομένοις. Οἷος Οὐαλεντῖνος ἐκεῖνος ἦν, ὃν οἱ μὲν Ἐμισηνὸν, οἱ δ' Ἀρεθούσιον τὸ γένος εἶναι ἔλεγον· καὶ τὸν ἕτερον, αὐτῷ δὲ ὁμώνυμον· καὶ Θεόδωρον· οἳ καὶ ἄμφω ἀπὸ Τιττῶν τοῦ Ἀπαμέων ὡρμῶντο νομοῦ· καὶ Μαρώσαν τὸν ἐκ Νεχελῶν· καὶ Βάσσον, καὶ Βασσώνην, καὶ Παῦλον, ᾧ πατρὶς Τελμισὸς ἦν. Οὗτος δὲ πολλὰς συνοικίας μοναχῶν κατὰ διαφόρους τόπους συστησάμενος, καὶ καλῶς ἐπὶ τὸ φιλοσοφεῖν προτρέψας, ὕστερον τὴν ἐς τὸ Ἰευγάτον οὕτω καλούμενον χωρίον λαμπρὰν καὶ περιφανῆ συνοικίαν καταστησάμενος μοναχῶν, ἐκεῖσε δὴ καὶ τὸν βίον ἀπέλιπεν εἰς βαθὺ γῆρας ἐλάσας. Δείκνυται δὲ καὶ ὁ τάφος ἐκείνου εἰσέτι πᾶσι κατάδηλος. Σχεδὸν δὲ καὶ ὅσους B τῶν μοναχῶν διήλθομεν, μακρόβιοι πάντες ἐγένοντο. Καί μοι δοκεῖ τὸ οὕτως ἐπιπολὺ διαγενέσθαι τοῦ χρόνου οἰκονομῆσαι τὸ Θεῖον, ὡς ἂν ἡ θρησκεία εἰς ἐπίδοσιν προχωρήσοι. Τῇ γὰρ τοσαύτῃ ἀκριβεῖ ἐπὶ μακρὸν πολιτείᾳ οὐ Σύρους μόνον, ἀλλὰ καὶ Περσῶν καὶ Σαρακηνῶν τοὺς πλείστους πρὸς τὴν σφετέραν πίστιν καθείλκυσαν· καὶ Ἕλληνας ὅτι πλείστους ἀρνήσασθαι τὸ οἰκεῖον παρεσκεύασαν σέβας. Καὶ ἐκ τούτων πάντων πλείστους μοναδικῆς φιλοσοφίας εἰς ἄκρον ἐλθεῖν ἔπεισαν, καὶ στίφους μοναχῶν ἐπίσης αὐτοῖς καθηγήσασθαι. Ἔνεστι δὲ συμβάλλειν, ὡς ἐκεῖθεν ἡ τοιαύτη ἀρξαμένη φιλοσοφία καὶ μέχρι Γαλατῶν καὶ Καππαδοκῶν καὶ τῶν ὁμόρων αὐτοῖς, καὶ περὶ τὸν Εὔξεινον πόντον καὶ Βιθυνίαν καὶ Ἑλ- C λήσποντον ἔφθανεν· οἳ δὴ ἐκ παλαιοῦ τὸ δόγμα θερμῶς πρεσβεύοντες, πολλοὺς τοὺς κατὰ Θεὸν φιλοσοφήσαντας ἔσχον· ὧν οἱ πλείους κατὰ συνοικίας ἐν πόλεσι καὶ κώμαις ᾤκουν, ἅμα μὲν τὸ μήπω παραδόσει ἢ τύποις δή τισιν εἰθισμένοι τῶν πρόσθεν εἶναι· ἴσως δὲ καὶ ὑπὸ τῆς τοῦ χειμῶνος χαλεπότητος, φύσει ψυχροτάτων ὄντων τῶν τῇδε χώρων, καὶ μάλιστα τῶν ἀνὰ τὸν Πόντον Καππαδοκῶν τε καὶ Γαλατῶν, οὐκ εὐχερὲς ἦν ἀνὰ τὴν ἔρημον διατρίβειν τοὺς πλείστους. Ὡς ἐπίπαν γὰρ οὐδὲ ἄμοιρα ἦσαν τὰ ὄρη τῶν τοιούτων φιλοσόφων. Προϊόντι γὰρ τῷ χρόνῳ τῇ σφοδρᾷ περὶ τὸ Θεῖον καὶ θερμῇ σπουδῇ ἐν δευτέρῳ τὰ τοῦ ψύχους ἦσαν. Τοῖς δ' ἐκεῖσε μέρεσι πολλοὶ μὲν καὶ ἄλλοι δοκίμως ἐβίωσαν, ὥσπερ μοι καὶ ἀλλαχοῦ εἴρηται· μετὰ δὲ τοὺς περὶ Εὐστά- D θιον καὶ τὸν πολὺν καὶ μέγαν Βασίλειον δοκιμώτατοι τῶν ἄλλων ἐγένοντο Λεόντιος ἐκεῖνος ᾧ ἐς ὕστερον ἡ τῶν Ἀγκυρανῶν ἐπετράπη ἐπισκοπή· καὶ Πραπίδιος, ὃς καίπερ γηραλέος μάλα γενόμενος, πολλὰς ἐπεσκόπει πόλεις. Προέστη δὲ καὶ τοῦ ἐπισημοτάτου πτωχείου, ᾧ Βασιλειὰς ἐπώνυμον ἦν· Βασιλείῳ γὰρ τῷ πάνυ Καισαρείας ἐπισκόπῳ κατασκευασθὲν, καὶ τὴν ἐκείνου ἐκληρώσατο κλῆσιν, ἐς πάνυ πόῤῥω περιγενόμενον. Ἐν μέντοι τῇ Ἀντιόχου πολλοὶ καὶ ἄλλοι διέλαμπον· ἐν οἷς μετὰ Ἰουλιανὸν καὶ Ἀφραάτην ἐκεῖνον Μαριανός τε καὶ Εὐσέβιος ἦσαν, Παλλάδιός τε καὶ Συμεώνης καὶ Ἀβραάμης, καὶ ἄλλοι

(1) Sozom. Telmissum vicum esse dicit.

(2) Sozom. ad ætatem usque suam et Theodosii Junioris imperium nonnullos ex hisce monachis durasse scribit. lib. vi, cap. 34.

(3) Sozom. habet *Leo*.

(4) Soz. *vicos*.

πρὸς τούτοις, οἳ ἀκήρατον τὸ κατ' εἰκόνα διέσωζον. Ἐν δὲ τῷ παρακειμένῳ ὄρει τῇ πόλει, ὃ πολλοῖς λειμῶσιν ὡραΐζετο, Πέτρος ὁ Γαλάτης διέπρεπε, καὶ ὁ τούτῳ ὁμώνυμος, ὁ Αἰγύπτιος· Ῥωμανός τε, καὶ Σευῆρος καὶ Ζήνων, καὶ Μωσῆς καὶ Μάλχος. Πολλοὶ δὲ καὶ ἄλλοι τηνικαῦτα ἦσαν τὰς τῆς μοναχικῆς φιλοσοφίας ἀφιέντες μαρμαρυγάς· ἐν μὲν τῇ Χαλκιδέων ἐρήμῳ Ἄβιτος καὶ Μαρκιανὸς καὶ Ἀβραάμης, καὶ πολύ τι ἄλλο πλῆθος οὐκ εὐαρίθμητον, σώματι παθητῷ τὴν ἀπαθῆ ζωὴν μετερχόμενοι· ἔν γε μὴν τῇ Ἀπαμέων Ἀγαπητὸς καὶ Συμεώνης καὶ Παῦλος. Πούπλιος δ' ἐν Ζευγματέων ἐφιλοσόφει· ἐν δὲ τῇ Κυρεστῶν Ἀκεψιμᾶς ὁ πανεύφημος· ὃς οἰκίσκῳ βραχυτάτῳ καθεῖρκτο, ἐν ᾧ ἑξηκοντούτην χρόνον ὁσίως διήνυσεν, οὔτε εἰς λόγους ἥκων τινί. Ἦν δὲ τῷ τότε καὶ Ζευγμάτιος ὁ πολὺς, ὃς τὴν ὄψιν ἀφῃρημένος, οὐ καλύβην ᾤκει, ἀλλὰ περιῄει κύκλῳ τὸ ἀκραιφνὲς τῆς πίστεως καταγγέλλων. Ὧν δὴ τὴν πολιτείαν ἄριστα κατὰ μέρος ἑκάστου Θεοδώρητος ὁ Κύρου ἐν τῇ φιλοθέῳ ἱστορίᾳ συνέγραψεν. Τούτων δὲ πάντων κοινὴ πολιτεία, ὡς εἰπεῖν, ἦν, τῆς μὲν ψυχῆς ὅτι πλεῖστον ἐπιμελεῖσθαι, καὶ ταύτην πρὸς ἀπαλλαγὴν τῶν ἐνθένδε ἐθίζειν· τὸν δέ γε πολὺν αὐτοῖς χρόνον εὐχῇ τε καὶ νηστείᾳ καὶ ὕμνοις τῷ Θείῳ προσήκουσι διατρίβειν· σώματος δὲ πάντάπασιν ἀμελεῖν, καὶ τῆς ἐπὶ τούτῳ ῥᾳστώνης τε καὶ ἐπιμελείας· χρημάτων δὲ καὶ τῆς περὶ τὰ πράγματα ἀσχολίας πάμπαν ἀπεξενῶσθαι, καὶ πρὸς τὴν κατ' ἀγγέλους βιοτὴν ἁμιλλᾶσθαι.

tiochiæ multi alii enituere monachi, in quibus secundum Julianum et Aphraatem illum, Marianus fuit et Eusebius, Palladius et Symeones, Abrahames et alii insuper, qui integrum atque immortale, id quod ad imaginem Dei conditum est, conservarunt (1). In monte eo pratis multis perquam amœno, qui urbi adjacet, Petrus Galata enituit, et cognominis huic Ægyptius. Præterea Romanus, et Severus, et Zeno, et Moses, et Malchus, aliique multi eo tempore monastica ibi philosophia splendidi et illustres fuere. In solitudine Chalcidis, Abitus, et Marcianus, et Abrahames, et quamplurimi alii, non facile sub numerum cadentes (2) corpore perpessionibus obnoxio, vitam affectionibus vacuam, excoluere. Item in Apameensium eremo Agapetus et Symeones, et Paulus. In Zeugmatensium autem solis locis Publius et Paulus philosophati sunt. Item in solitudine urbis Cyri, Acepsimas ille decantatissimus, qui in tuguriolo exiguo inclusus sexaginta annos sancte ita peregit, ut neque conspiceret, neque alloqueretur quemquam. Fuit tum quoque magnus ille Zeugmatius, qui oculis captus, non in casam aliquam se abdidit, sed loca pleraque circumiens, sinceram fidei professionem annuntiavit. Quorum vitam sigillatim omnium pulcherrime Theodoretus Cyri episcopus, in Dei amantium historia conscripsit. **196** Porro omnium istorum commune, ut ita dicam, consilium et institutum erat, ut quam maximam animæ curam gererent, eamque a rebus et studiis hujus vitæ per desuetudinem abalienarent, et longioris vitæ suæ tempus in precationibus, jejuniis hymnisque, et Deum decentibus laudibus consumerent: corpus autem deliciarumque ejus et voluptatis studium negligerent, nec non pecuniam et negotiorum occupationes omnino a se repellerent, et ad vitam angelicam imitatione contenderent.

ΚΕΦΑΛ. ΜΒ'.

Περὶ Εὐαγρίου τοῦ φιλοσόφου, καὶ τοῦ βίου καὶ τῆς ἀγωγῆς αὐτοῦ.

Μετά γε μὴν τὸν Σύρον Ἐφραὶμ ἐπισημοτάτω ἐγενέσθην καὶ τὴν κατ' ἄμφω φιλοσοφίαν Δίδυμος ὁ Ἀλεξανδρεὺς, καὶ Εὐάγριος ὁ Αἰγύπτιος. Ἀλλὰ περὶ μὲν Διδύμου, τίς τε ἦν, καὶ ὅσα συγγράμματα καταλέλοιπεν, ἐν τῇ ἐνάτῃ μοι διείληπται τῶν ἱστοριῶν· περὶ δὲ Εὐαγρίου βραχέα διεξελθεῖν δίκαιον, εἰ καὶ ἄμφω περὶ τὸ ὑγιὲς τῆς πίστεως δόγμα χωλαίνοντες ἦσαν, καίπερ πλεῖστα λόγων βέλη κατὰ τῶν τῆς ἀληθείας ἀφιέντες ἐχθρῶν. Οὗτος ἐξ Ἰβήρων εἷλκε τὸ γένος, οἳ περὶ τὸν Εὔξεινον οἰκοῦσι πόντον. Σοφὸς δὲ λίαν καὶ ἐλλόγιμος ὁ ἀνὴρ ἐγεγόνει· καὶ λεπτὸς μὲν νοῆσαι, φράσαι δὲ τὸ νοηθὲν καὶ λίαν δεινός. Διάκρισίν γε μὴν εἶχεν εὐχερῶς συλλαβεῖν, ὅσοι τῶν λογισμῶν ἢ πρὸς ἀρετὴν, ἢ πρὸς κακίαν ἑώρων· ὑποθέσθαι δ' ἱκανὸς πῶς χρεὼν τοὺς μὲν ἐπιτηδεύειν, τοὺς δ' αὖ φυλάξασθαι. Ἀλλὰ τὴν μὲν ἐνοῦσαν αὐτῷ τοῦ λόγου χάριν αἱ γραφαὶ παραστήσουσιν ἃς καταλέλοιπεν· τὸ δὲ ἦθος μέτριος ἦν. Τύφου δὲ καὶ ὑπεροψίας οὐδαμῶς αὐτῷ τι προσῆν.

CAPUT XLII.

De Evagrio philosopho, et vita institutisque ejus.

Post Ephraim Syrum, celeberrimi in utraque philosophia fuere Didymus Alexandrinus, et Evagrius monachus Ægyptiacus. Cæterum de Didymo qui fuerit, et quæ scripta post se reliquerit, in nono historiæ hujus libro a me est dictum. De Evagrio autem æquum visum est hic pauca dicere: quanvis ambo isti in sana fidei doctrina claudicarent, utcunque plurima scriptorum suorum tela in veritatis hostes sint jaculati. Evagrius ex Iberibus, qui circa Euxinum Pontum colunt, genus duxit. vir sapiens et clarus admodum, inveniendo subtilis et ingeniosus, et in eloquendo quod invenisset, gravis et acer. Perfacile etiam, quænam cogitationes vel ad virtutem, vel ad vitia spectarent, dijudicavit, nec minus idoneus ad subjiciendum et docendum, ut illæ quidem excolendæ, hæ autem cavendæ essent, fuit. Porro eam quæ in oratione ejus inest gratiam, scripta quæ edidit indicabunt (3). Morum quoque singulari moderatione

(1) Theodor. lib. IV, cap. 28.

(2) Sed et Christianæ jam inde ab initio idem qui monasticæ vitæ finis est: carnis mortificatio, et spiritus renovatio. Atque ille demum vere Christianus est, qui ad veterem monachatum quamproximo accedit.

(3) Sozom. lib. VI, cap. 30.

fuit, a fastu et superbia maxime alienus. Et sicuti justarum laudum præconiis minime est ad arrogantiam sublatus, ita etiam conviciis injustis haudquaquam ad indignationem commotus. Sacras Litteras sub Gregorio Theologo optime addidicit: nam ejus quoque fuit archidiaconus, cum ille Constantinopolitanæ præesset ecclesiæ. Quod autem natura vultu esset venusto, et præterea vestitu eleganti uteretur, **197** ex magistratibus quidam zelotypia erga uxorem laborans, cum eum illi innotuisse cognovisset, clam ei cædem moliebatur. Et ad rem consilium id collatum fuisset, nisi ea ipsa nocte Deus horrendam quidem, sed salutarem visionem Evagrio dormienti exhibuisset. Videre namque sibi visus est capitalis criminis causa se captum, atque in carcere manus pedesque ferreis catenis vinctum esse. Cum autem jam ad tribunal judicis sisti, et pœnas dare deberet, accessisse quemdam, qui sacrum Evangeliorum codicem ei ostenderit, et tam gravibus vinculis eum liberaturum promiserit, si quamprimum ex urbe discederet, et facturum se id esse jurisjurandi sacramento confirmaret: seque imposita libro dextra ad eum modum jurasse, simulque et compedibus solutum esse, et e somno evigilasse. Ita ille divina visione persuasus, vigilando sibi structum atque creatum periculum effugit. Atque ubi in animo constituisset, decere se monasticam consectari vitam, Constantinopoli Hierosolyma venit. Inde in Ægyptum (1), ad visendos, qui in Sceti philosophabantur, monachos profectus, ad montem Nitriam, monasticam sibi construxit casam, et ibi cum duobus Macariis, Ægyptio et Alexandrino, qui alios antecellebant, fuit: quorum cum æmularetur vitam, factis quoque ipsis philosophiam monasticam est consecutus. Deinde etiam (2) sub Theodosii Junioris imperio, cum eo quem diximus Ammonio, est versatus. Prodigia autem eadem quæ præceptores ejus edidit. Libri ab eo plurimi et maxime necessarii compositi sunt, inter quos quidam *Monachus*, sive de practice et operatrice virtute inscriptus est: quidam Γνωστικὸς, hoc est, Cognitor, sive de eo qui cognitionem est consecutus. Hic in quinquaginta capita est divisus. Scripsit etiam librum alium, qui confutationem seu invectivam continet adversus tentatores dæmones. Id opus in octo divisit sectiones, juxta octo deliberationum seu cogitationum numerum. Item problemata prognostica sexingenta. Et præterea στιχηρὰ, hoc est, versuum duos libros, reliquit: alterum ad eos qui in cœnobiis aut in conventibus sunt, monachos: alterum autem ad eas quæ virginitatem colunt, sanctimoniales. Omnia vero scripta ejus admiranda sunt, et sententiis et elocutione ad persuadendum prorsus accommodata. Et qui ea leget, qualis is vir fuerit, cognoscet. **198** Operæ pretium autem esse puto, breviter quædam ex ejus operibus in historiam hanc inserere (3), atque in primis quæ de monachis commemorat, hisce propemodum verbis.

Οὔτε γὰρ εἰς ὄγκον ἤρτο τοῖς ἐκ τῶν δικαίων ἐπαίνων κρότοις, καὶ πρὸς τὰς ἀδίκους τῶν λοιδοριῶν ἥκιστα ἤσχαλλεν. Τούς γε μὴν ἱεροὺς τῶν λόγων ἄριστα ὑπὸ Γρηγορίῳ τῷ Θεολόγῳ πεπαίδευτο· ἐγένετο δὲ αὐτῷ καὶ ἀρχιδιάκονος, ὁπηνίκα τῆς ἐν Κωνσταντινουπόλει ἐκκλησίας τὴν ἐπιτροπὴν εἶχεν. Ἐπεὶ δ' ἀπὸ φύσεως ἀστεῖος μάλα τὴν ὄψιν ἦν, φιλόκαλός τε τὴν ἀναβολὴν, τῶν τις ἐν τέλει ζηλοτύπως μάλιστα περὶ τὴν γαμετὴν ἔχων, μαθὼν γνώριμον αὐτῇ καθεστάναι, θάνατον αὐτῷ κρύφα ἐμηχανᾶτο. Καὶ εἰς ἔργον ἂν προέβαινε τὸ δεινὸν, εἰ μὴ κατ' ἐκείνην τὴν νύκτα φοβεράν τινα καὶ σωτήριον ὄψιν κατέπεμπε τὸ Θεῖον καθεύδοντι· ἐδόκει γὰρ ὡς ἐπ' ἐγκλήματι συλληφθεὶς, δεσμώτης ἐκ σιδήρων χεῖρας καὶ πόδας ἦν. Ἤδη δὲ μέλλων δικαστηρίῳ παρίστασθαι καὶ διδόναι τὴν δίκην, προσιών τις τὴν ἱερὰν τῶν Εὐαγγελίων πυκτὴν ὑπεδείκνυ, καὶ τῶν κατεχόντων ἀπαλλάττειν ὑπισχνεῖτο δεσμῶν, εἰ θᾶττον ἀναχωρήσοι τῆς πόλεως, καὶ τῷ πιστῷ τῆς πράξεως ὅρκον εἰς βεβαίωσιν προσαπῄτει. Ὁ δ' ἐπιθεὶς τῇ βίβλῳ τὴν δεξιὰν, ἦ μὴν ὧδε πράξειν ἐπώμνυτο· καὶ αὐτίκα τῆς πέδης λυθεὶς, καὶ τοῦ ὕπνου ἀνίετο· καὶ τὸν ὕπαρ τορευόμενον διέφυγε κίνδυνον, τῇ θείᾳ ὀμφῇ πεισθείς. Καὶ προσήκειν ἑαυτῷ τὸν ἀσκητικὸν μετελθεῖν βίον ἐν νῷ θέμενος, ἐκ τῆς Κωνσταντίνου εἰς Ἱεροσόλυμα παρεγένετο· ἔπειτ' ἐκεῖθεν κατὰ θέαν τῶν ἐν Σκήτει φιλοσόφων εἰς Αἴγυπτον ἧκε· καὶ περὶ τὸ τῆς Νιτρίας ὄρος τὴν ἀσκητικὴν καλύβην ἐπήξατο. Τοῖς ἐν Σκήτει δὲ διαφέρουσι δυσὶ Μακαρίοις, τῷ Αἰγυπτίῳ καὶ τῷ Ἀλεξανδρεῖ, συνεγένετο· καὶ τὸν ἐκείνων βίον ζηλώσας, καὶ τὴν δι' ἔργων φιλοσοφίαν ἐκτήσατο. Ἔπειτα τῷ προειρημένῳ Ἀμμωνίῳ ἐπὶ τῆς ἐχομένης βασιλείας συνῆν. Τοσούτων δὲ τεραστίων αὐτουργὸς ἐγεγόνει, ὅσων δηλαδὴ καὶ οἱ παιδευταί. Ἐσπουδάσθη δὲ αὐτῷ καὶ βιβλία πλεῖστα καὶ ἀναγκαιότατα· ὧν τὸ μὲν *Μοναχὸς* ἢ περὶ πρακτικῆς τὴν ἐπιγραφὴν ἔχει· τὸ δὲ, *Γνωστικὸς*, ἢ περὶ τοῦ καταξιωθέντος γνώσεως. Ἐν κεφαλαίοις δὲ οὗτος πεντήκοντα τὴν διαίρεσιν ἔχει. Καὶ ἄλλο δὲ βιβλίον συνεγράφη αὐτῷ, ὃ ἀντίρρησιν ἔχει πρὸς τοὺς πειράζοντας δαίμονας. Ὀκτὼ δὲ διαιρεῖται τοῖς τμήμασι, κατὰ τὸν ἀριθμὸν τῶν ὀκτὼ λογισμῶν. Καὶ προβλήματα δὲ καταλέλοιπε προγνωστικὰ ἑξακόσια, καὶ στιχηρὰ δύο· τὸ μὲν ἓν πρὸς τοὺς ἐν κοινοβίοις ἢ ἐν συνοδίαις ὄντας τῶν μοναχῶν· τὸ δ' ἕτερον πρὸς παρθενίαν ἀσκούσας προσφωνεῖ. Θαυμάσια δὲ πάντα, καὶ νοήμασι καὶ φράσει μεστῇ τὸ ἐπαγωγὸν ἐπαυχοῦντα. Καὶ οἷος γέγονεν ὁ ἀνὴρ, ὁ τούτοις ἐντυχὼν εἴσεται. Χρῆναι δ' ἡγοῦμαι καὶ ἐκ τῶν ἐκείνου βραχέα τῇ συγγραφῇ παραδοῦναι, καὶ μᾶλλον ἃ περὶ μοναχῶν διεξέρχεται· ὧδε γὰρ κατὰ ῥῆμα φησίν.

(1) Cum ipso Gregorio Nazianzeno cum Ægyptum petiisse, scribit Socr. lib. IV, cap. 23.

(2) Ἐπὶ τῆς ἐχομένης βασιλείας.
(3) Socrat. eod. cap. 23.

ΚΕΦΑΛ. ΜΓ'.

Οἷα ὁ αὐτὸς Εὐάγριος ἔν τισι τῶν συγγραμμάτων περὶ τῶν τότε κατὰ ῥῆμα διέξεισι μοναχῶν.

« Ἀναγκαῖον καὶ τὰς ὁδοὺς τῶν προοδευσάντων μοναχῶν ὀρθῶς διερωτᾷν, καὶ πρὸς αὐτὰς κατορθοῦσθαι. Πολλὰ γάρ ἐστιν ὑπ' αὐτῶν ῥηθέντα τε καὶ πραχθέντα καλῶς· ἐν οἷς καὶ τοῦτό τις ἔφησεν, ὅτι τὴν ξηροτέραν καὶ μὴ ἀνώμαλον δίαιταν, ἀγάπῃ συζευχθεῖσαν, θᾶττον ἀπάγειν τὸν μοναχὸν εἰς τὸν τῆς ἀπαθείας λιμένα. Ὁ δὲ αὐτὸς ταρασσόμενός τινα νύκτωρ τῶν ἀδελφῶν, τῶν φασμάτων ἀπήλλαξεν, ἀσθενοῦσι μετὰ νηστείας ὑπηρετεῖσθαι προστάξας. Οὐδενὶ γὰρ οὕτως, ἐρωτηθεὶς ἔφησεν, ὡς ἐλέῳ τὰ τοιαῦτα κατασβέννυται πάθη. Τῷ δικαίῳ Ἀντωνίῳ προσῆλθέ τις τῶν τότε σοφῶν· καὶ, Πῶς διακαρτερεῖς, ὦ πάτερ, εἶπε, τῆς ἐκ τῶν βιβλίων παραμυθίας ἐστερημένος; Ὁ δ' Ἀντώνιος, Τὸ ἐμὸν βιβλίον, ὦ φιλόσοφε, ἔφησεν, ἡ φύσις τῶν γεγονότων ἐστίν· καὶ πάρεστιν, ὅτε βούλομαι, τοὺς λόγους ἀναγινώσκειν τοὺς τοῦ Θεοῦ. Ἠρώτησέ με τὸ σκεῦος τῆς ἐκλογῆς καὶ Αἰγύπτιος γέρων Μακάριος, Τί δή ποτε μνησικακοῦντες μὲν τοῖς ἀνθρώποις, τὴν μνημονευτικὴν δύναμιν τῆς ψυχῆς ἀφανίζομεν· δαίμοσι δὲ μνησικακοῦντες, ἀβλαβεῖς διαμένομεν; Κἀμοῦ πρὸς τὴν ἀπόκρισιν ἀπορήσαντος καὶ παρακαλοῦντος τὸν λόγον μαθεῖν, Διότι, φησὶν ἐκεῖνος, τὸ μὲν πρότερον πάθος παρὰ φύσιν, τὸ δὲ δεύτερον κατὰ φύσιν ἐστὶ τοῦ θυμοῦ. Παρέβαλον κατ' αὐτὴν σταθερὰν μεσημβρίαν τῷ ἁγίῳ πατρὶ Μακαρίῳ· καὶ λίαν ὑπὸ τῆς δίψης φλεγόμενος, ᾔτουν ὕδωρ πιεῖν· ὁ δέ φησιν, Ἀρκέσθητι τῇ σκιᾷ· πολλοὶ γὰρ ὁδοιποροῦντες νῦν καὶ ταύτης ἐστέρηνται. Εἶτα λόγους μου πρὸς αὐτὸν περὶ ἐγκρατείας γυμνάζοντος, Θάῤῥει, φησὶν, ὦ τέκνον· ἐν ὅλοις εἴκοσιν ἔτεσιν οὔτε ἄρτου, οὔτε ὕδατος, οὔτε ὕπνου κόρον εἴληφα. Τὸν μὲν γὰρ ἄρτον μου ἤσθιον σταθμῷ· τὸ δὲ ὕδωρ ἔπινον μέτρῳ· τοῖς τοίχοις δὲ ἐμαυτὸν παρακλίνων, μικρόν τι τοῦ ὕπνου μέρος ἀφήρπαζον. Ἐμηνύθη τινὶ τῶν μοναχῶν θάνατος τοῦ πατρός. Ὁ δὲ πρὸς τὸν ἀπαγγείλαντα, Παῦσαι, φησὶ, βλασφημῶν. Ὁ γὰρ ἐμὸς πατὴρ ἀθάνατός ἐστιν. Ἐκέκτητό τις τῶν ἀδελφῶν Εὐαγγέλιον μόνον· καὶ τοῦτο πωλήσας, ἔδωκεν εἰς τροφὴν τοῖς πεινῶσιν, ἄξιον μνήμης ἐπιφθεγξάμενος ῥῆμα· Δι' αὐτὸν γὰρ, φησὶ, τὸν λόγον πεπώληκα τὸν λέγοντα, *Πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς*. Ἔστι δέ τις περὶ τὴν Ἀλεξάνδρειαν νῆσος, κατ' αὐτὸ τὸ Βόρειον, πέραν τῆς λίμνης κειμένη τῆς καλουμένης Μαρίας· προσοικεῖ δὲ αὐτῇ μοναχὸς, τῆς παρεμβολῆς τῶν Γνωστικῶν δοκιμώτατος· ὅστις ἀπεφήνατο πάντα τὰ πραττόμενα ὑπὸ τῶν μοναχῶν πράττεσθαι δι' αἰτίας πέντε· διὰ Θεὸν, διὰ φύσιν, διὰ ἔθος, δι' ἀνάγκην, διὰ ἔργον χειρῶν. Ὁ δὲ αὐτὸς ἔλεγε πάλιν μίαν μὲν εἶναι τῇ φύσει τὴν ἀρετήν· εἰδοποιεῖσθαι δὲ αὐτὴν ἐν ταῖς δυνάμεσι τῆς ψυχῆς. Καὶ γὰρ τὸ φῶς τὸ ἡλιακὸν ἀσχημάτιστον μὲν, φησὶν, ἐστι· ταῖς δὲ δι' ὧν εἰσβάλλει θυρίσι σχηματίζεσθαι πέ-

¹ Matth. XIX, 21.

CAPUT XLIII.

A

Quæ Evagrius in quibusdam libris de ejus temporis monachis de verbo ad verbum scripserit.

« Necessarium quoque est, vias eorum qui nobis præierunt, monachorum rite inquirere, et ad eas vitam nostram componere. Multa enim ab eis et dicta et acta sunt præclare. In quibus illud quidam dixit: Aridiorem et minus inæqualem diætam charitati conjunctam, celeriter monachum ad indolentiæ portum ducere. Idem fratrem quemdam, qui subinde noctu pavore turbabatur, spectris liberavit, ægrotis cum jejunii cultu inservire jussum. Non alia enim re facilius, interrogatus respondit, quam misericordia ejuscemodi terrores et pertur- **B** bationes exstingui. Antonium Justum conveniens ex sapientibus quidam: Quomodo, o pater, inquit, in monastica vita perdurare potes, qui consolatione ea quæ ex libris percipitur, careas? At liber meus, o philosophe, Antonius respondit, natura ipsa rerum creatarum est. In eis cum mihi visum est, oracula Dei legere licet. Interrogavit me aliquando electionis illud vas, senex Ægyptius Macarius, Quid ita injuriarum erga homines memoriam retinentes, vim animæ reminiscendi enecaremus: adversus dæmones autem, cum acceptorum ab eis malorum reminiscimur, detrimentum nullum sentiremus? Cum autem ego, quod responderem, non haberem, atque id discere vellem, rogatus ille: Propterea, **C** inquit, quod prior illa affectio præter naturam, posterior autem secundum naturam iræ est. Adveni aliquando ipso meridionali tempore ad sanctum patrem Macarium; et quod siti admodum arderem, aquam ab eo petii. Et ille: Contentus esto, inquit, umbra. Multi enim viatores et navigantes hac nunc carent. Deinde cum apud eum verba de continentia et temperantia facerem: Confide, inquit, o fili, et bono esto animo. Ego totis annis viginti neque panem, neque aquam, neque somnum ad satietatem cepi. **199** Panem namque meum ad certum libræ pondus comedi, aquam ad constitutam mensuram bibi, et parieti acclinatus exiguam aliquam somni partem rapui. Monacho cuidam nuntius venit de patris morte, atque ille ad nuntian- **D** tem: Desine, inquit, blasphemare, et impie loqui: Pater enim meus immortalis est. Ex fratribus quidam unicum Evangelii librum in bonis suis habuit: quo et ipso vendito, pretium ejus ad esurientium alimenta dedit, memoria digno verbo illo addito: Propter illud oraculum librum vendidi, quod dicit: *Vende ea quæ habes, et da pauperibus* ¹. Insula quædam est circa Alexandriam, septentrionem versus, ultra lacum qui Maria dicitur, sita. Habitat in ea monachus Gnosticorum ordinis celeberrimus, qui omnia quæ a monachis gererentur, ob quinque causas fieri dixit: propter Deum, propter naturam, propter consuetudinem, propter necessitatem, propter manuum opus. Idem ipse unam esse dixit

natura virtutem, ejusque formam in animæ viribus effigiari. Nam et lumen solis ait sine forma esse: formam autem id recipere, per quas penetrat, fenestris. Alius quidam monachus: Propterea, inquit, voluptates mihi subtraho, ut iræ causam et occasionem præcidam. Scio enim illam semper propter voluptates oppugnari, mentemque meam perturbare, et cognitionem ipsam fugare. Ex senibus etiam quidam dixit, Charitatem ciborum et pecuniarum depositum servare nescire. Idem: Non scio, inquit, eadem in re bis a dæmonibus me deceptum esse. Hæc ad verbum Evagrius, in eo libro quem *Practicum* inscripsit, exposuit. Quæ vero etiam in Gnostico suo dicat, audiamus. Quatuor virtutes, earumque considerationes esse, a Justo Gregorio didicimus: prudentiam, fortitudinem, temperantiam, et justitiam. Et prudentiæ quidem officium esse is dixit, considerare et contemplari, verbis non adhibitis, sanctas et intellectuales potestates. Has namque a sapientia manifestari tradidit. Fortitudinis autem in veritate cognita, etiamsi bellum et discrimen tibi paretur, constanter perseverare, neque ad res falsas transire. Temperantiæ porro semina a primo agricola jacta recipere, posteram autem et furtim aspersam ab adversario sementem rejicere. **200** Justitiæ vero, juxta dignitatem et commoditatem cujusque orationem attemperare, vel obscure annuntiando, vel per ænigmata et ambages significando, vel etiam aperte indicando, ad simpliciorum utilitatem et profectum. Veritatis autem columna Basilius Cappadox dixit: Cognitionem seu scientiam quæ ab hominibus provenit, continua meditatio et exercitium adauget: eam autem quæ gratia Dei contingit, justitia, placabilitas iræ expers, et misericordia. Et priorem illam, etiam qui affectionibus obnoxii sunt, obtinere possunt; posteriorem vero, qui ab affectionibus alieni sunt, tantum perspiciunt, qui etiam precationis tempore mentis suæ lucem eos circumfulgentem vident. Lux illa Ægypti sanctus Athanasius: Mensam, inquit, Moses ad Borealem partem statuere jussit. Sciant igitur Gnostici, et qui scientiæ seu contemplationi operam navant, quinam adversus eos adversarius spiret, et tentationem omnem magno sustineant animo, atque alacriter ad se venientes alimentis foveant. Thmuitarum ecclesiæ angelus ille Serapion dixit, mentem spirituali cognitione et scientia imbutam perfecte purgari; charitatem, flammantes iræ partes curare; temperantiam autem, affluentes malas cupiditates et libidines sistere. De providentia et judicio semper tecum ipse rationes reputa, magnus ille et doctus doctor Didymus ait, earumque materiam fac tecum in memoria circumferas; nam omnes fere in his hallucinantur. Et doctrinam quidem de judicio, in varietate corporum, ipsiusque mundi; de providentia autem, in moribus atque modis, qui nos a vitiis et ignorantia ad virtutem vel cognitionem ducunt, invenies.» Hæc gustus tantum gratia, ex Evagrii scriptis apposuimus.

φυχεν. Ἄλλος δέ τις τῶν μοναχῶν, Διὰ τοῦτο περιαιρῶ τὰς ἡδονὰς, ἔφη, ἵνα τὰς τοῦ θυμοῦ περικόψω προφάσεις· οἶδα γὰρ αὐτὸν ἀεὶ μαχόμενον ὑπὲρ τῶν ἡδονῶν, καὶ ἐκταράσσοντά μου τὸν νοῦν, καὶ τὴν γνῶσιν ἀποδιώκοντα. Ἔλεγε δέ τις τῶν γερόντων, ὅτι Ἡ ἀγάπη παραθήκας βρωμάτων ἢ χρημάτων τηρεῖν οὐκ ἐπίσταται. Ὁ δὲ αὐτὸς, Οὐκ οἶδα, φησὶν, εἰς ταυτὸν δὶς ὑπὸ δαιμόνων ἀπατηθείς. Ἐν μὲν οὖν τῷ ἐπιγεγραμμένῳ αὐτοῦ *Πρακτικῷ* ταῦτα κατὰ λέξιν φησὶν Εὐάγριος· οἷα δὲ καὶ ἐν τῷ *Γνωστικῷ* αὐτοῦ διέξεισιν, ἀκουσώμεθα. Τέσσαρας ἀρετὰς καὶ τὰς θεωρίας αὐτοῦ παρὰ τοῦ δικαίου Γρηγορίου μεμαθήκαμεν εἶναι· φρόνησιν καὶ ἀνδρίαν, σωφροσύνην καὶ δικαιοσύνην. Καὶ φρονήσεως μὲν ἔργον ἔλεγεν εἶναι τὸ θεωρεῖν τὰς νοερὰς καὶ ἁγίας δυνάμεις δίχα τῶν λόγων· τούτους γὰρ ὑπὸ τῆς σοφίας δηλοῦσθαι παραδέδωκεν· ἀνδρίας δὲ τὸ ἐγκαρτερεῖν τοῖς ἄθλοις καὶ πολεμούμενον, καὶ μὴ ἐμβατεύειν εἰς τὰ μὴ ὄντα. Καὶ τὸ παρὰ τοῦ πρώτου γεωργοῦ δέχεσθαι σπέρμα, καὶ ἀπωθεῖσθαι τὴν ἐπισπορέα, τῆς σωφροσύνης ἴδιον ἀπεκρίνατο εἶναι. Δικαιοσύνης δὲ πάλιν τὸ κατ' ἀξίαν ἑκάστου λόγον ἀποδιδόναι, τὰ μὲν σκοτεινῶς ἀπαγγέλλουσαν, τὰ δὲ δι' αἰνιγμάτων σημαίνουσαν, τινὰ δὲ καὶ φανεροῦσαν πρὸς ὠφέλειαν τῶν ἁπλουστέρων. Τῆς ἀληθείας ὁ στῦλος ὁ Καππαδόκης Βασίλειος, Τὴν ἀπ' ἀνθρώπων, φησὶν, ἐπισυμβαίνουσαν γνῶσιν προσεχὴς μελέτη καὶ γυμνάσιον κρείσσονα ποιεῖ· τὴν δὲ ἐκ Θεοῦ χάριτος ἐγγινομένην δικαιοσύνη καὶ ἀοργησία καὶ ἔλεος. Καὶ τὴν μὲν προτέραν δυνατὸν καὶ τοὺς ἐμπαθεῖς ὑποδέχεσθαι· τῆς δὲ δευτέρας οἱ ἀπαθεῖς μόνοι εἰσὶ δεκτικοί· οἳ καὶ παρὰ τὸν καιρὸν τῆς προσευχῆς τὸ οἰκεῖον φέγγος τοῦ νοῦ περιλάμπον αὐτοὺς θεωροῦσι. Τῶν Αἰγυπτίων ὁ ἅγιος φωστὴρ Ἀθανάσιος, Τὴν τράπεζαν, φησὶ, Μωϋσῆς εἰς τὸ Βόρειον μέρος στῆσαι προσέταξε. Γινωσκέτωσαν οἱ Γνωστικοὶ τίς ὁ πνέων ἐστὶ κατ' αὐτῶν, καὶ πάντα πειρασμὸν γενναίως ὑπομενέτωσαν, καὶ μετὰ προθυμίας τοὺς προσιόντας τρεφέτωσαν. Ἔλεγε δὲ ὁ τῆς Θμουϊτῶν Ἐκκλησίας ἄγγελος Σεραπίων, ὅτι ὁ νοῦς μὲν πεπωκὼς πνευματικὴν γνῶσιν, τελείως καθαίρεται· ἀγάπη δὲ τὰ φλεγμαίνοντα μόρια τοῦ θυμοῦ θεραπεύει· πονηρὰς δὲ ἐπιθυμίας ἐπιῤῥεούσας ἵστησιν ἐγκράτεια. Τοὺς περὶ προνοίας καὶ κρίσεως κατὰ σαυτὸν ἀεὶ γύμναζε λόγους, φησὶν ὁ μέγας καὶ γνωστικὸς διδάσκαλος Δίδυμος· καὶ τούτων τὰς ὕλας διὰ μνήμης φέρειν πειράθητι. Ἅπαντες γὰρ σχεδὸν ἐν τούτοις προσπταίουσι· καὶ τοὺς μὲν περὶ κρίσεως λόγους ἐν τῇ διαφορᾷ τῶν σωμάτων καὶ τοῦ κόσμου εὑρήσεις, τοὺς δὲ περὶ προνοίας ἐν τοῖς τρόποις τοῖς ἀπὸ κακίας καὶ ἀγνωσίας ἐπὶ τὴν ἀρετὴν, ἢ ἐπὶ τὴν γνῶσιν ἡμᾶς ἐπανάγουσιν.» Ταῦτα μὲν γεύματος χάριν ἐκ τῶν Εὐαγρίου ὑμῖν παρεθέμεθα.

ΚΕΦΑΛ. ΜΔ'.

Μνεία ἐν συνόψει τῶν τηνικαῦτα περιβοήτων ἀνδρῶν· ὡς Θεοῦ προνοίᾳ ἀντιῤῥόπους τῷ μεγέθει τοῦ κλύδωνος τοῦ τότε ὁ χρόνος τούτους ἐπήνεγκε.

A Κατὰ δὲ τὸν αὐτὸν χρόνον πολλοὶ καὶ ἄλλοι ἔν τε διαφόροις τόποις, καὶ μοναστηρίοις διέλαμπον θαυμαστοὶ καὶ θεοφιλεῖς ἄνδρες, οὓς ἐν μνείᾳ τό γε νῦν ἔχον ποιεῖν ἔξω τοῦ προκειμένου γενοίμεθα· ἑκάστου τόν τε βίον καὶ πολιτείαν καὶ ὅσα ἐνήργησαν θαύματα. Εἰ δέ τῳ σκοπὸς τὰ περὶ αὐτῶν ἀκριβῶς διειδέναι, τί τε εἶπον καὶ ἔπραξαν πρὸς τὴν τῶν ἀκουόντων ὠφέλειαν, ὅπως τε καὶ θῆρες αὐτοῖς ὑπετάγησαν, Παλλάδιος ὁ Εὐαγρίῳ μαθητευθεὶς τὰ περὶ αὐτῶν πάντα εἰς ἓν ἀθροίσας βιβλίον, ἄριστα διεξῆλθε· καὶ τούτῳ τοῖς βουλομένοις ἐν- B τυγχάνειν προτρέπομεν. Ἐν ᾧ οὐκ ἀνδρῶν μόνων, ἀλλὰ καὶ γυναικῶν βίους ἐφαμίλλως πολιτευσαμένων τοῖς προειρημένοις θείοις ἀνδράσιν εὐλαβῶς διεξέρχεται. Ἀλλὰ Εὐάγριος μὲν καὶ Παλλάδιος ἐπὶ τῆς ἐχομένης ἤνθησαν βασιλείας. Οὗτοι μὲν οὖν ἀσκηταὶ καὶ τῆς ἀρετῆς ἐπιμελεῖς φροντισταὶ, κατ' ἐκεῖνο διέπρεπον τοῦ καιροῦ· ἐν δ' ἐπισκόποις Βασίλειός τε ὁ μέγας καὶ Γρηγόριοι ἄμφω, ὅ τε Θεολόγος καὶ ὁ τῶν Νυσσαέων φωστήρ· ὁ μὲν σύσκηνος καὶ σύμπνους ἐκείνῳ καὶ ἐφ' ἅπασι συνεργῶν, ὁ δ' ἀδελφὸς ὡς μάλιστα καθεστώς. Συνήργει δὲ αὐτοῖς καὶ Πέτρος ἀδελφὰ φρονῶν, τοῖς αὐτοῖς πατράσι χρησάμενος οἷς καὶ Βασίλειος· καὶ παιδείας μὲν τῆς θύραθεν οὐκ εἰς τόσον ἥκων, ἐπίσης δ' ἐκείνοις τὰς τοῦ βίου C μαρμαρυγὰς ἀφιείς. Οὗτοι μὲν ἐν Καππαδοκίᾳ διέλαμπον· ἐν δὲ Πισιδίᾳ Ὄπτιμος, καὶ ἐν τῇ Λυκαόνων ὁ πολὺς Ἀμφιλόχιος, ὑπὲρ τῆς προγονικῆς γενναίως ἀνθιστάμενοι πίστεως. Ἐν μὲν οὖν τῇ ἕῳ οὗτοι πρόβολοι, μετ' Ἀθανάσιον, τῆς ἱερᾶς ἡμῶν πίστεως ἦσαν· ἐν δὲ τῇ ἑσπέρᾳ Δάμασος τῆς Ῥωμαίων Ἐκκλησίας ἡγούμενος, πολὺ τὸ τῆς ἀληθείας φέγγος ἀπέστιλβε· καὶ ὁ θεῖος Ἀμβρόσιος τῆς Μεδιολάνων ἐγκεχειρισμένος τοὺς οἴακας· οἳ καὶ πόῤῥωθεν λαχόντες οἰκεῖν, πυκνὰ τὰ τῆς ἀληθείας βέλη κατέπεμπον. Καὶ ἄλλοι δὲ πλεῖστοι τὰς ἐσχατιὰς τῆς γῆς οἰκεῖν ἠναγκασμένοι, οἷά τισιν ἀκοντίοις τοῖς γράμμασι χρώμενοι, τοὺς πολεμίους τῆς Ἐκκλησίας ἠκόντιζον, τοὺς δὲ γνησίους ἐστήριζον. D Τῷ γὰρ μεγέθει τοῦ κλύδωνος ὁ τῶν ὅλων πρύτανις ἀντιῤῥόπους ἔπεμψε καὶ τοὺς κυβερνήτας· τῶν τε ποικίλῳ καὶ σφοδρῷ τῶν πολεμίων καὶ στρατηγῶν ἀνάλογον ἀντέταξεν ἀρετήν· καὶ τῷ ἀκμαίῳ τῆς νόσου ταῖς τῶν καιρῶν δυσχερείαις τὰ ἀλεξίκακα καὶ πρόσφορα ἐπέστησε φάρμακα· φορὰν τοσούτων ἀνδρῶν ἔν τε τοῖς πλήθεσι καὶ ταῖς ἐκκλησίαις, πρὸς δὲ καὶ μοναστηρίοις καὶ ὄρεσιν ἀναδείξας. Οὐ ταύτης δὲ τῆς προμηθείας τὰ ἡμέτερα κατηξίωσεν ὁ τῶν ὅλων Θεὸς, ἀλλὰ καὶ ἄλλης μεγίστης κηδεμονίας πρύτανις ὤφθη. Ἑλκύσας γὰρ τὸ Γότθων ἔθνος ἐπὶ Θρᾴκης, τὸν αἴτιον τῆς συγχύσεως κατῆγεν ἐπὶ τὸν Βόσπορον· καὶ προφανεῖ παραδέδωκεν ἀπωλείᾳ τὸν κατὰ Θεοῦ μόνου καὶ τῶν ἐκείνου θερα-

201 CAPUT XLIV.

Brevis commemoratio tanquam in summa clarorum ejus ætatis virorum, ut eos divina providentia id tempus tanquam scopulos contra immensos fluctus et tempestates tulerit.

Eodem autem tempore multi etiam alii in diversis locis et monasteriis eluxere, admirandi et Dei amantes viri, quos commemorare hoc loco si velimus, et cujusque vitam, mores et acta recensere, ab instituto nostro longe produceremur. Quod si quis accurate ea cognoscere cupiat, quid illi scilicet et fecerint et dixerint ad auditorum utilitatem, atque etiam ut feræ subjectæ eis fuerint, Palladius Evagrii discipulus, qui res eorum in unum collegit librum, optime exposuit: quem qui B volunt, legere possunt. Nam in eo non virorum tantum, sed et mulierum, quæ cum eis, quos diximus, divinis viris morum sanctitate certarunt, vitas pie descripsit. Evagrius autem et Palladius, quod proxime secutum est, imperio floruerunt (1). Atque ii quidem monachi seduli que et diligentes virtutis doctores, eo tempore enituere. Inter episcopos vero Basilius magnus et Gregorii ambo, Theologus videlicet, et Nyssenæ urbis luminare: alter illius contubernalis, atque in rebus omnibus consentiens adjutor et socius, alter autem frater conjunctissimus. Administer etiam eorum fuit, fraterno prorsus animo, Petrus, eisdem quibus Basilius parentibus prognatus, profanis quidem litteris non tan- C topere imbutus, virtutis autem splendore illis non inferior. Isti in Cappadocia fulsere. In Pisidia autem Optimus, et in Lycaoniæ metropoli magnus Amphilochius, pro fide a majoribus accepta, fortiter depugnarunt. Et ii tanquam propugnacula sacræ religionis nostræ, in Oriente post Athanasium fuere. In Occidente autem, Damasus Romanæ Ecclesiæ præfectus, multa veritatis luce coruscavit: et præterea divus Ambrosius, Mediolanensis antistes: qui quamvis longa locorum intercapedine dissiti essent, multa tamen veritatis tela contra hostes emisere. Insuper et alii plurimi, qui extremas terræ oras incolere coacti fuerant, veluti quasdam sagittas, in Ecclesiæ adversarios epistolas sunt jaculati, et suos simul scriptis confirmarunt. **202** Universi- D tatis namque hujus moderator, adversus tantam fluctuum et tempestatis magnitudinem, rectores quoque e diverso misit egregios: et contra multitudinem et vehementiam hostium, convenientem ducum opposuit virtutem; atque adversus morbum temporum difficultate vigentem, commoda et præsentia exhibuit remedia; qui tantum tantorum virorum in populi multitudine, in ecclesiis atque in ipsis monasteriis et montibus, proventum dederit. Nec eo tantum modo rerum universarum Deus rebus nostris consulere est dignatus, sed et alterius maximi beneficii procurator atque conciliator esse visus est (2). Pertracta namque Gotthorum gente in Thraciam, auctorem etiam turbæ et confu-

(1) Post Valentis mortem. Socrat.

(2) Sozom. lib. VI, cap. 35.

sionis ad Bosporum adduxit, atque in apertam eum tradidit perniciem, qui adversus solum Deum atque illius ministros bellum gerere noverat: exitiosum dico Valentem. Id quomodo sit factum, ubi prius unum ejus nefarium scelus exposuero, dicam, et ad finem ejus progrediar. Ac de eis qui juxta ecclesiæ sanctiones philosophati sunt, hæc pro eo atque potui, dixi.

CAPUT XLV.

De interitu Græcorum idololatrarum, propter oracula quædam litteris distincte designata, initio facto a littera Θ usque ad Δ. De astronomia, et Themistio philosopho: et quibus is verbis Valentem lenierit, ut de persecutione nonnihil remitteret.

Qui vero Græcam superstitionem sequebantur, et qui natalibus præclari erant, fere talem ob causam interiere. Qui inter eos excellebant, quod tantà incrementa capere ecclesias nostras et Christianismum viderent, eamque rem indignabundi ægre ferrent, consilium cepere, oraculis atque aliis quibusdam incantationibus, quis in Romano imperio Valenti successurus esset, cognoscendi. Et tripode e lauro facto, verbisque et evocationibus quibusdam, ut fieri in talibus mos est, peractis, quod volebant effecere: ut scilicet litterarum, machinis quibusdam tripodis et oraculi eas ordinantibus (1), collectione, imperatoris nomen appareret. Et cum hiantes ad Theodorum respectarent, qui in imperiali aula stipendia faciebat, superstitione quidem Græcum, doctrina autem et philosophia probe eruditum, quoniam litterarum compositio ordine suo usque ad Δ pertigerat, **203** et Valentis in imperio successorem indicarat, oraculum philosophos ita in fraudem et imposturam adduxit, ut quamprimum Theodorum imperaturum esse opinarentur. Ea res ubi ad Valentem est delata, perinde atque vitæ ejus insidiæ structæ essent, non moderate ea ferens, palam impatientiam præ se tulit. Itaque indignatus, et Theodorum et tripodis illius artifices cepit: atque hos quidem supplicio ignis inhumanissime affecit, Theodorum autem capite multavit. Itidem vero per omnem imperii ejus ditionem in philosophos est animadversum. Nec in eos tantum, verum etiam in eos qui vestitu eorum uterentur. Cujus periculi metu etiam si quis alii studio vacaret, fimbriato pallio non utebatur, ne in suspicionem, operam eum navare sacrificiis et oraculis, veniret. Ego quidem utrosque stultitiæ condemnarim, tum imperatorem ipsum, qui eo iræ et inhumanitatis processerit: tum philosophos, qui per audacem temeritatem atque cupiditatem rem philosophia minime dignam aggressi sint. Ille enim stoliditate plenus, cum se successorem sublaturum esse exsistimaret, neque inquirentibus, neque ei de quo oraculum editum erat parcendum duxit (2).

(1) Fuit litterarum ordo θεοδ. Ordinavit autem eas mendacii et cædis auctor Satanas.

(2) Ac si certa immutabiliaque essent, quæ semel ex astrorum cursu collecta censuissent, statuere eos conveniebat, quicunque tandem is esset, cui sidera successionem destinassent, eum superstitem fore (Sozom. lib. vi, cap. 35).

A πευτῶν εἰδότα στρατεύειν· Οὐάλεντα λέγω τὸν ἀλιτήριον. Ὅπως δὲ γέγονε, μίαν αὐτοῦ πρότερον ἀνοσιουργίαν εἰπὼν, ἐπὶ τὸ τέλος αὐτοῦ βαδιοῦμαι. Περὶ μὲν οὖν τῶν κατὰ τοὺς Ἐκκλησίας θεσμοὺς φιλοσοφησάντων ἐφ' ὅσον μοι δυνατὸν τοσαῦτα διείλαβον.

ΚΕΦΑΛ. ΜΕ'.

Περὶ τῆς ἀπωλείας τῶν Ἑλληνιστῶν διὰ τὴν αἰτίαν τῶν καταστίκτων γράμμασι χρησμῶν, ἀρχομένων ἀπὸ τοῦ θ στοιχείου ἄχρι τοῦ δ· καὶ περὶ φιλοσοφίας, καὶ Θεμιστίου τοῦ φιλοσόφου. Οἷα οὗτος εἰπὼν Οὐάλεντι, μικρὸν ἐκεῖνον τοῦ διώκειν ἀνέσχεν.

Τῶν δ' Ἑλληνιστῶν καὶ τῶν ὅσοι γένους ἐπισή-B μου ἦσαν, σχεδὸν διεφθάρησαν, αἰτίαν σχόντες τοιάνδε· οἱ γὰρ προὔχειν ἐν τούτοις νομίζοντες τὴν τῆς ἡμετέρας Ἐκκλησίας καὶ τοῦ Χριστιανισμοῦ εἰς τόσον αὔξησιν ὁρῶντες, δυσχεραίνοντες ἦσαν· καὶ λίαν ἀσχάλλοντες, βουλὴν ἔπραττον, ὥστε μαντείαις καί τισιν ἄλλαις ἐπαοιδίαις μαθεῖν, ὃς ἄρα μετὰ Οὐάλεντα τῆς Ῥωμαίων ἡγήσοιτο. Καὶ δὴ τρίποδα ξύλινον δάφνης πεποιημένον κατασκευάσαντες, τὸ πρὸς βουλῆς ἐξετέλεσαν. Ἐπικλήσεις γὰρ καὶ λόγους οἷς ἐκείνοις ἔθος ποιεῖν, συλλογῇ γραμμάτων τοῦ τρίποδος μηχανήμασι κατὰ στοιχεῖον συντεθειμένων, τοὔνομα τοῦ βασιλέως συλλαβεῖν ἐπειρῶντο. Κεχηνόσι δὲ αὐτοῖς πρὸς Θεόδωρον, ἄνδρα τῶν ἐν τοῖς βασιλείοις στρατευομένων, Ἕλληνα μὲν τὴν θρησκείαν, λόγου δὲ καὶ φιλοσοφίας ἡμμένον, ἐπεὶ μέ-C χρι τοῦ δέλτα κατὰ συνθήκην τῶν στοιχείων σύνταξις ἧκε, καὶ τὴν προσηγορίαν ὑπέφαινε τοῦ μετ' Οὐάλεντα ἄρξοντος, εἰς φενάκην ἦγε τὸ μαντεῖον τοὺς φιλοσόφους· καὶ ὅσον οὔπω Θεόδωρον ἄρξειν ᾤοντο. Ἐπεὶ δ' Οὐάλῃ ἡ ἐπιχείρησις ἐγνωρίζετο, ἅτε δὴ πρὸς ζωὴν ἐπιβουλευθεὶς, οὐ μετρίως ἔφερε τὸ γενόμενον· καὶ δῆλος ἦν οὐκ ἀνεκτῶς ἔχων. Σφόδρα δὲ χαλεπήνας, τόν τε Θεόδωρον καὶ τοὺς τρίποδος τεχνίτας συνεῖχε. Καὶ τοὺς μὲν πυρὶ ἀπανθρώπως ἐκόλασε, Θεόδωρον δὲ ἀφῃρεῖτο τὴν κεφαλήν. Ἐπίσης καὶ οἱ ἀνὰ πᾶσαν αὐτοῦ τὴν χώραν φιλοσοφοῦντες ἐφθείροντο· οὐ μόνον δ' ἐκεῖνοι, ἀλλὰ καὶ οἳ ἐσθῆτι μόνῃ τῇ ἐκείνων ἐχρῶντο. Τῷ δέει δὲ τοῦ κινδύνου οὐδὲ ἄλλως τις ἐπιτηδεύων κροκωτῷ ἐχρῆτο τρίβωνι, ὡς D ἂν μὴ δι' ὑπονοίας γένοιτο, τὴν σχολὴν περὶ τελετὰς καὶ μαντείας ἔχων. Ἐγὼ δ' ἂν μοι δοκῶ καὶ ἀμφοτέρων πολλὴν καταγινώσκειν εὐήθειαν· τοῦ τε γὰρ βασιλέως τῆς ἐπὶ τόσον ὀργῆς καὶ ἀπανθρωπίας, καὶ τοὺς φιλοσόφους τῆς ἄγαν προπετείας τε καὶ ἐφέσεως, καὶ τῆς μὴ κατὰ φιλοσοφίαν ἐπιχειρήσεως. Ὁ μὲν γὰρ εὐηθείας ἀνάπλεως ὢν, ἀναιρήσειν ᾤετο τὸν μετ' αὐτὸν βασιλεύσοντα· καὶ οὔτε τῶν ζητούντων, οὔτε περὶ οὗ ἐμαντεύοντο φειδώ τινα ἔσχεν· οἱ δ' ὡς ἐπ' αὐτοῖς ὃν βασιλέα καθαιρεῖν, καὶ αὖθις ἐγείρειν, εἰς τόσον δῆτ' ἀνοίας προήχθησαν. Ὡς δὲ

A ἐγώ τινος ἤκουσα, οὐδὲ τῶν ὁμωνύμως ἐκείνῳ ἐχόντων τινὸς Οὐάλης ἐφείσατο, οἵτινες τέως ἦσαν ἐπίσημοι, ἔκ τε τῆς αὐτῆς προσηγορίας ἢ καὶ ὁμοίας, ἀπὸ τοῦ Θῆτα δ' ὅμως τὴν ἀρχὴν ἐχούσης. Καὶ τοίνυν Θεόδοτοι καὶ Θεόγνωστοι, καὶ Θεοδόσιοι καὶ Θεόδουλοι ἀπεκτείνοντο· ἐν οἷς καί τις Θεοδοσίολος, ἀνὴρ τῶν ἐπισήμως στρατευομένων, εὐπατρίδης, ἐξ Ἱσπανίας ἕλκων τὸ γένος. Πολλοὶ δὲ τῷ δέει κατεπτηχότες, καὶ τὰς ἐξ ἀρχαίου κλήσεις, ἃς οἱ γονεῖς αὐτοῖς ἐχαρίσαντο, ἀπηρνοῦντο, μετατιθέμενοι διὰ τὸ τοῦ καιροῦ δυσχερές. Ἐμοὶ δὲ πρὸς τοὺς φιλοσόφους τοσαῦτα ῥητέον· « Εἰ μὲν, ὦ οὗτοι, τῇ τῶν ἄστρων φορᾷ τὰ τοιαῦτ' ἐλογίζεσθε, ἐχρῆν προσδοκᾷν τὸ ἐσόμενον· εἰ δὲ τῆς Θεοῦ βουλῆς ἤρτηται, εἰς τί τὸ περιεργάζεσθαι; Οὐ γὰρ ἔστι B προγνώσει τινὶ καὶ σπουδῇ ἀνθρωπίνῃ τὸ δόξαν εἰδέναι Θεῷ. Εἰ δέ που καὶ τοῦτ' ἐξὸν εἶναι δοίημεν, οὐ δήπου καλῶς εἶχεν, ἀνθρώπους γε ὄντας, εἰ καὶ πάντων σοφίᾳ διαφέροντας, ἄμεινόν τι Θεοῦ βουλεύεσθαι. Εἰ δ' ἁπλῶς οὕτω τῇ ἐφέσει τῆς περὶ τὸ μέλλον εἰδήσεως ἀλογίστως ἐπὶ τὸν προφανῆ κίνδυνον ἤλασθε, τοὺς ἐκ πολλοῦ τεθέντας Ῥωμαίοις νόμους ὑπεριδόντες, πάντως καὶ συγγνώμης ὡς πορρωτέρω δρῶντες ἐλάθετε. Καίπερ ὁπηνίκα τὸ ἑλληνίζειν καὶ θύειν ἀκίνδυνον ἦν, τέως ταυτὰ τῷ πάλαι καθ' ὑμᾶς Σωκράτει φρονῆσαι ἐχρῆν· ὃς παρὰ δίκην τὸ κώνειον μέλλων πίνειν, ἐξὸν σώζεσθαι, αἰδοῖ νόμων καθ' οὓς ἐτράφη, καίπερ πρὸς ἰσχύος ὂν, τὸ δεσμωτήριον οὐ διέδρασεν. »

A Hi autem perinde atque in eis situm esset, ut imperatorem vel exauctorarent, vel denuo constituerent, ad tantam sunt dementiam producti. At Valens, nemini prorsus eorum qui Theodoro cognominis, per eamdem aut similem etiam quæ a litteris Theo initium sumeret, appellationem, et aliquatenus tum celebres essent, pepercit. Itaque, Theodoti, Theognosti, Theodosii, et Theoduli necati sunt: in quibus etiam Theodosiolus quidam fuit, vir magna militiæ gloria, ex Hispania, ubi claro loco natus fuerat, genus trahens. Multi etiam metu territi, vetera sua nomina a parentibus ipsis imposita abnegarunt, eaque aliis, temporum periculosa difficultate adducti, commutarunt. Mihi vero cum philosophis istis ita expostulare libet: « Quod si, o viri B boni, ex astrorum cursu talia colligitis, exspectare vos quod futurum erat, oportebat. Sin ex consilio divino ista pendent, quid curiositate ista et inani opera vestra opus erat? Fieri enim non potest, ut præcognitione et studio humano, id quod Deo placitum statutumque est, investigetur. **204** Atque ut vobis id facere licuisse donemus, non scitum sane fuit, homines vos quamvis sapientia omnibus præstantes, melius quidquam Deo ipso statuere. Si vero temere ita futurarum rerum cognoscendarum cupiditate, vos præter rationem, in apertum discrimen, legibus, quæ jamdudum a Romanis, cum Græcam superstitionem sequi, et diis sacrificare liberum erat, sunt latæ, contumaciter violatis, conjecistis, admisisse vos, quod venia prorsus dignum non sit, facinus ignorastis. Atque equidem idem vos tum sentire oportuit, quod Socrates vester sensit: qui iniquo judicio circumventus, aconito epoto moriturus, cum incolumis esse, et e carcere profugere posset, reverentia legum, sub quibus educatus fuerat, id non fecit. »

C Ἀλλ' ὅπως μὲν ἕκαστος δόξης περὶ ταῦτ' ἔχει, φρονείτω τε καὶ λεγέτω. Οὐάλης δ' ἔτι πρὸς τῇ παρ' Ὀρόντῃ διατρίβων Ἀντιοχείᾳ, ἐπέτριβε τοὺς ἑτέρως ἢ ὡς αὐτῷ ἐδόκει περὶ τὸ Θεῖον δοξάζοντας, καὶ ἀνακράτος ἐξήλαυνεν· ἕως οὗ Θεμίστιος ὁ φιλόσοφος τὸν προσφωνητικὸν αὐτῷ ἀναγνοὺς λόγον, τοῦ χαλεπαίνειν οὕτω μετρίως ἀπέπαυσε. Παρῄνει γὰρ ἐν αὐτῷ μὴ ξενίζεσθαι τὴν διαφωνίαν τῶν ἐκκλησιαστικῶν δογμάτων, πολλῷ τῶν παρ' Ἕλλησι μείω γε οὖσαν· παρὰ γὰρ ἐκείνοις ὑπὲρ τὰς τριακοσίας εἶναι δόξας, κἀντεῦθεν καὶ πλείστην εἶναι συμβαίνει τὴν διαφορὰν ἐν πλήθει δόξης. Ἐπεί τοί γε καὶ Θεῷ φίλον ἔλεγεν ἴσως τὸ μὴ πρόχειρον εἰς γνῶσιν εἶναι· διάφορόν τε πᾶσιν ἐγκεῖσθαι δόξαν, ὅπως ἑκάστῳ μᾶλλον δέος ἐνείη τῷ ἀκαταλήπτῳ τῆς γνώσεως, D λογιζομένῳ πηλίκος ἂν εἴη καὶ οἷος, οὗ μετρίως ἐφίκετο. Ἐκ τοίνυν τῶν τοιούτων τοῦ φιλοσόφου λόγων μετριώτερος γενόμενος, οὐ πάνυ χαλεπαίνων ὡς πρότερον, τὰς κολάσεις ἐπῆγεν. Οὐ μὴν παντελῶς ἔληγε τῆς ὁρμῆς· ἀλλ' ἀντὶ θανάτου ἐξορίαν ἐπετίθει τοῖς ἱερᾶσθαι λαχοῦσιν· ἄχρις οὗ κοινῶν φροντίδων ἐπιφοραὶ γενόμεναι ἀπησχόλησαν τὴν περὶ τὰ τοιαῦτα σπουδήν.

C Sed quisque hac de re, ut sibi visum est, et sentiat, et loquatur. Valens sane Antiochiæ ad Orontem adhuc degens, eos qui aliter quam ipsi videretur, de Deo sentirent, affligere, et modis omnibus persequi et ejicere pergebat: donec Themistius philosophus eam quam ad illum orationem scripserat, recitavit; qua ut indignationem et tumultuationem eam temperaret, effecit. Cohortatus enim eum est, ne admiraretur tanquam in re nova, quod aliqua esset in ecclesiasticis dogmatibus dissensio: eaque minor longe, quam apud Græcæ superstitionis cultores. Apud (1) illos enim supra trecentas esse opiniones: in quarum tanto numero, plurimas etiam dissensiones esse contingat. Et fortasse gratum id esse Deo dixit, quod non facile D esset ad cognitionem ejus venire, proindeque variam omnes de eo conciperent opinionem: ut eo magis illum quisque vereatur, quo minus cognitionem ejus, quæ incomprehensibilis est, percipiat: secum ipse considerans, qualem et quantum eum esse oporteat, cujus tenuem saltem ac mediocrem notitiam sit assecutus. Quapropter ejus philosophi oratione adductus, cum se ad moderationem dedisset, non usque adeo ut antea succensebat, nec suppliciis et cruciatibus sæviebat. Neque tamen

(1) Sozom. eod. cap. 36.

omnino a cœpto destitit, sed pro pœnis capitalibus exsilium episcopis et sacerdotibus imponebat : quoad usque graves de republica curæ, quominus rebus ejusmodi vacare posset, effecere.

205 CAPUT XLVI.

De Mavia Arabiæ regina, ut ea bellum contra Romanos ceperit, ac mox cum iisdem pacem sanxerit : et de Mose primo Arabum episcopo.

Cum namque Sarracenorum (1) princeps diem suum obiisset, et fœdera cum Romanis aliquando inita, rupta essent : Mavia (2) illius conjux, res ejus gentis administrans, Phœniciam, et Palæstinam, et oram ad Ægyptum vergentem, quæ Nilum adverso flumine navigantibus, regione quæ Arabica dicitur, ad sinistram est, invasit atque vastavit. Bellum id quamvis a femina illatum, haudquaquam facile fuit. Nam eam cum Romanis maximam, et haud scio an alias majore fortitudine, pugnam commisisse dicunt. Res sane ad eum metum pervenit, ut copiarum militarium dux in Phœnicia, Orientalis exercitus ducem ad auxilium sibi ferendum evocarit. Atque ille vocationem talem, hostium scilicet contemptu, risit; et rem ita instituit, ut qui eum vocaverat in acie non esset, sed a pugna segregatus spectator tantum ejus esset. Verum prælio commisso, et Mavia strenue resistente, Orientis dux cum suis in fugam versus, vix tandem a Palæstinis et Phœnicibus militibus servatus est. Eorum enim præfectus ubi illum subinde se convertentem fugere vidit, stultum esse putavit, extra pugnam ita consistere, uti ei mandatum fuerat. Proinde signis illatis, cominus cum Arabibus est congressus. Ita factum, ut ille tempus fugiendi in locum tutum haberet : ipse vero sensim se recipiens, atque etiam terga vertens, tela emitteret, et hostes ingruentes jaculis submoveret. Quæ res a multis diu est memorata, ab ipsis etiam Sarracenis carminibus celebrata. Et quia bellum hoc magnum et grave Romanis imminebat, legatos ad Maviam de pace mittendos esse visum est. At illa primum pacis conditiones cum Romanis superbe rejecit. Ubi vero doctrina sacrorum nostrorum est initiata, pacem ita recepit, si Moses, qui tum in vicina solitudine philosophice degebat, episcopus ditionis suæ populorum consecraretur : vir virtute, et vitæ sanctioris severitate, prodigiisque et signis multis illustris. 206 Quod ubi ita fieri debere Imperator eis significavit, quibus ea imperii pars curanda commissa fuerat, Moses assumptus, et ad Lucium qui eo tempore Alexandrinæ Ecclesiæ episcopatum administrabat, ut ab eo consecraretur, adductus est. Ibi ille ad eum palam et libere in præsentia omnium : « Abstine te, inquit; indignus enim sum, qui nomen et honorem episcopi obtineam. At si nutu suo me ea dignitate dignatur Deus, testem illum facio, nunquam te mihi manus impositurum esse, quas cruore et tabe sanctorum virorum conspurcasti. » Lucius, non recte illum

(1) Theodoretus habet, *Ismaelitarum*, lib. IV, cap. 23.

A

ΚΕΦΑΛ. ΜϚʹ.

Περὶ Μαυΐας τῆς ἐξ Ἀράβων· ὅπως μετὰ Ῥωμαίων μάχην ἄρασα, αὖθις ἐπὶ σπονδὰς ἐχώρει· καὶ περὶ τοῦ πρώτου ἐπισκόπου αὐτῶν Μωσέως.

Καὶ γὰρ τοῦ Σαρακηνῶν κατάρχοντος τεθνηκότος, αἱ πρὸς Ῥωμαίους σπονδαὶ διελύοντο. Καὶ δὴ Μαυΐα ἡ αὐτοῦ γαμετὴ τὴν τοῦ ἔθνους ἐπιτροπὴν ἔχουσα, Φοινίκην τε καὶ Παλαιστίνην καὶ τὰ πρὸς Αἴγυπτον ἐξ εὐωνύμων τοῖς τὸν Νεῖλον ἀναπλέουσι κατὰ τὸ Ἀράβιον καλούμενον κλίμα ἐπιοῦσα, ἐδῄου. Ὁ δὲ πόλεμος, οὐχ ὡς παρὰ γυναικὸς δῆθεν ἐσκευασμένος, ῥᾴδιος ἦν· καὶ γάρ φασι μεγίστην τε καὶ καρτερὰν, εἴπερ ποτὲ, καὶ ταύτην συῤῥαγῆναι τὴν μάχην Ῥωμαίοις· καὶ ἐς τόσον δέους ἐλθεῖν, ὡς καὶ B τῶν κατὰ τὴν ἕω ταγμάτων τὸν ἐξηγούμενον σύμμαχον τὸν ἐν Φοινίκῃ στρατηγὸν μετακαλέσασθαι συλλαβεῖν. Τὸν δὲ γελάσαι μὲν τὴν κλῆσιν, καὶ ἀπόμαχον γενέσθαι συμβουλεῦσαι τὸν κεκληκότα· τῆς δὲ παρατάξεως γενομένης Μαυΐας ἀντιστρατηγούσης τραπῆναι τὸν τῶν ἀνατολικῶν ἐξηγούμενον, καὶ μόλις διασωθῆναι παρὰ τῶν Παλαιστινῶν καὶ τῶν ἐν Φοινίκῃ στρατιωτῶν. Ἐπεὶ γὰρ οἶδεν ἐκεῖνον φεύγοντα προτροπάδην, ἔξω μάχης ἑστάναι, ὥσπερ ἦν προστεταγμένον, εὔηθες ᾤετο. Καὶ δὴ προσβαλὼν, κατὰ στόμα προσυπήντα τοῖς Ἄραψι· τῷ δὲ καιρὸν ἐδίδου φεύγειν ἐν ἀσφαλεῖ. Αὐτὸς δὲ ἠρέμα ἀναχωρῶν, ἀφίει καὶ φεύγων τὰ βέλη, καὶ τοὺς πολεμίους εἰστρέχοντας, τοῖς βέλεσιν ἀπεκρούετο· ἃ δὴ καὶ πολλοῖς ἐπὶ μακρὸν διὰ μνήμης ἦσαν· Σαρακηνοὶ δὲ C καὶ ἐν μέλεσιν ᾖδον. Σφοδρᾶς δὲ τῆς μάχης ἐπικειμένης, δεῖν ἐδόκει πρεσβείαν ὑπὲρ εἰρήνης πρὸς Μαυΐαν ποιεῖν. Τὴν δ' ὑπερφρονοῦσαν, τὰ μὲν πρῶτα μὴ καταδέχεσθαι τὰς Ῥωμαϊκὰς σπονδάς· τὰ ἡμέτερα δὲ μυηθεῖσαν, ἐς ὕστερον δέξασθαι, εἴγε καὶ ὁ τηνικάδ' ἐν ταῖς πέλας ἐρήμοις φιλοσοφῶν Μωσῆς ἐπίσκοπος τοῖς ὑπὸ τὴν ἀρχὴν αὐτῆς χειροτονηθείη, ἀνὴρ ἀρετῇ καὶ ἀκριβείᾳ βίου, σημείοις καὶ τέρασι πολλοῖς διαλάμπων. Τοῦ δὲ βασιλέως μηνύσαντος οἷς ἐπιτέτραπτο ἡ τῶν ἐνθάδε ἡγεμονία, συνελαμβάνετο Μωϋσῆς, καὶ ἐπὶ χειροτονίαν παρὰ τὸν τηνικαῦτα τὴν Ἀλεξάνδρου λαχόντα Λούκιον ἤγετο. Ὁ δὲ παῤῥησίᾳ πάντων, « Ἐπίσχες, ἔφη· οὐ γὰρ ἀξίως ἔχω, ὄνομα καὶ τιμὴν ἀρχιερωσύνης κληροῦσθαι. Εἰ δ' ἄρα μοι καὶ ἀναξίως ἔχοντι D τοῦτ' ἐπινεύοι Θεὸς, τοῦτον ἐπιμαρτύρομαι ὡς οὐκ ἄρα μοι τὰς σὰς αὐτὸς χεῖρας ἐπιβαλεῖς, αἵμασι καὶ λύθροις πεφυρμένας ἁγίων ἀνδρῶν. » Πρὸς δὲ ταῦτα ὁ Λούκιος μὴ ὅσια ποιεῖν ἔλεγε, πρὶν μαθεῖν τὴν ἐκείνου πίστιν, ἀποσειόμενον. Εἰ δὲ λόγος διαβολῆς, κριτὴν γενέσθαι, καὶ τὰ κατ' αὐτὸν ἀκούειν προὐτρέπετο. Μωσῆς δὲ, « Ἀλλὰ σαφῆ τὴν σὴν πίστιν δείκνυσιν ἡ τῶν ἐπισκόπων καὶ πρεσβυτέρων ὑπερορία, καὶ ὅσοι ἐν μετάλλοις πικρῶς τὸ ζῆν διανύουσι. Καί γε σὺ ἐκεῖνα, οἶμαι, Χριστοῦ γνω-

(2) Mavia filiam suam Victori Romano duci nuptui collocat.

ρίσματα οἴει, ἃ παντάπασιν ἀλλοτρίως πρὸς Χριστὸν ἔχει, καὶ πρὸς τοὺς ὀρθῶς δοξάζοντας τῶν ἀνθρώπων. » Ταῦτα δὲ λέγων ἐπώμνυτο, μὴ ἂν ὑποσχεῖν ποτε τὴν χάραν Λουκίῳ. Καὶ δὴ οἱ τῶν Ῥωμαίων ἡγεμόνες παραιτησάμενοι Λούκιον, πρὸς τοὺς ἐν φυγῇ ὄντας τῶν ἐπισκόπων τὸν Μωσῆν ἄγουσιν· ἐξ ὧν τὸ χρίσμα τῆς ἱεραρχίας λαβὼν, περὶ τοὺς Σαρακηνοὺς ἦλθε· καὶ τὰ μεταξὺ Ῥωμαίων καὶ ἐκείνων διαλυσάμενος, θεοφιλῆ τὴν ἱεραρχίαν ἐτέλει· καὶ λίαν βραχεῖς εὑρὼν, σχεδὸν πάντας Χριστιανίσαι παρεσκευάσατο. Ἡ δὲ Μαυΐα εἰρήνην τοῦ λοιποῦ ἦγε Ῥωμαίοις, ὡς καὶ θυγατέρα αὐτῆς Βίκτορι τῷ στρατηλάτῃ κατεγγυῆσαι. Τοσαῦτα καὶ περὶ τούτων.

facere dixit, qui prius fidem ejus, quam cognovisset, rejiceret. Quod si calumnia alicujus delatoris adductus ea verba ille protulisset, judicem eum esse voluit, et ut res suas audiret, hortatus est. Moses autem: « Atqui fidem tuam, ait, liquido satis ostendit episcoporum et presbyterorum exsilium, et illi præterea qui in metallis acerbissimam degunt vitam. An tu vero illas Christi notas esse putas, quæ a Christo et ab hominibus recte de Deo sentientibus prorsus sunt alienissimæ? » Atque ad hæc verba juramentum adjecit, nunquam se Lucio caput subjecturum esse. Quam ob causam Romani duces, Lucio rejecto, Mosen ad episcopos, qui in exsilio agebant, duxere. A quibus ille episcopali unctione accepta, ad Sarracenos transiit: et pacificatione rebus inter eos et Romanos compositis, pie sancteque episcopatum administravit; et cum paucos ibi Christianos reperisset, omnes prope ad religionem nostram pertraxit. Mavia autem deinceps pacem cum Romanis habuit, adeo ut filiam suam Victori duci in matrimonium collocarit. Hæc hactenus.

ΚΕΦΑΛ. ΜΖʹ.

Περὶ τοῦ γένους τῶν Ἰσμαηλιτῶν καὶ Ἀγαρηνῶν, εἴτουν Σαρακηνῶν, πόθεν τὴν ἀρχὴν ἔσχον, καὶ ὅπως τὸν Χριστιανισμὸν παρεδέξαντο.

Τὸ δὲ τῶν Σαρακηνῶν φῦλον, τὰ μὲν πρῶτα τὴν τοῦ Ἰσμαὴλ προσηγορίαν λαβὸν, παῖς δὲ οὗτος τοῦ Ἀβραὰμ, Ἰσμαηλῖται ἀπὸ τοῦ προπάτορος ὠνομάζοντο τοῖς ἀρχαίοις· ἀποτριβόμενοι δ' ἐκεῖνοι τὸν ἐκ τοῦ νόθου μῶμον, καὶ τῆς δουλείας τὸν ἔλεγχον (δούλη γὰρ ἡ μήτηρ ἐκείνῳ Ἄγαρ), Σαρακηνοὺς σφᾶς αὐτοὺς μᾶλλον ὠνόμασαν, ὡς ἀπὸ Σάῤῥας δῆθεν καταγόμενοι τῆς γαμετῆς Ἀβραάμ. Ἐκεῖθεν δὲ τὴν τοῦ γένους σειρὰν ἕλκοντες, ἐπίσης Ἑβραίοις ὡς ἐπίπαν τὴν πολιτείαν αὐχοῦσι· τήν τε γὰρ περιτομὴν ὡς ἐκεῖνοι ἀσπάζονται, καὶ τῶν ὑείων κρεῶν ἀπέχονται· καὶ πολλὰ ἔθιμα ἐκείνων φυλάττειν σπουδάζουσιν. Εἰ δὲ μὴ διόλου ἐπίσης πολιτεύονται, ἢ τῷ χρόνῳ δοτέον, ἢ καὶ τῇ ἐπιμιξίᾳ τῶν περικύκλῳ ἐθνῶν. Καὶ γὰρ Μωσῆς πολλῷ χρόνῳ ὕστερον γεγονὼς, τοῖς ἐξ Αἰγύπτου διαφυγοῦσιν ἐνομοθέτει. Οἱ δὲ πρόσοικοι τούτων, οἷα δεισιδαίμονες, τὴν ἐξ Ἰσμαὴλ πατρικὴν ἀγωγὴν διέφθειραν· καθ' ἣν μόνην οἱ ἐξ ἀρχαίου Ἑβραῖοι ἐπολιτεύοντο, πρὸ τῆς Μωσέως νομοθεσίας ἀγράφοις κεχρημένοι τοῖς ἔθεσι. Καὶ σέβας ἐπίσης τοῖς ὁμόροις ἔνεμον, παραπλησίως τιμῶντες καὶ ὀνομάζοντες δαίμονας· καὶ τῷ θρησκεύειν τοῖς πέλας ἐπίσης σαφῶς ὑπέφαινον τὴν τῶν πατρῴων νόμων παραποίησιν. Οἷα δὲ φιλεῖ, τῷ πολλῷ χρόνῳ τὰ μὲν ἡ λήθη ἀπέκρυπτε, τὰ δ' ἐπρέσβευεν. Εἶτα τῶν τινες αὐτῶν Ἰουδαίοις συγγεγονότες, ὅθεν τὴν ἀρχὴν ἔσχον, ἀνεδιδάσκοντο, καὶ ἐπὶ τὸ συγγενὲς αὖθις ἀνέτρεχον, καὶ πάλιν τοῖς Ἑβραίων ἔθεσι καὶ νόμοις ἐχρήσαντο. Ἐξ ἐκείνου δὲ καὶ ἔτι σχεδὸν οἱ πάντες Ἰουδαϊκῶς ζῶσιν. Οὐ πάνυ δὲ πόῤῥω τῆς Οὐάλεντος ἀρχῆς καὶ τὰ Χριστιανῶν ἐτελέσθησαν, μετασχόντες τῆς θείας χάριτος, τῶν προσοικούντων αὐτοῖς ἱερέων καὶ ἀσκητῶν εἰς τοῦτο δὴ ποδηγούντων, οἳ ταῖς ὁμόροις τῶν ἐρημιῶν ὁσίως φιλοσοφοῦντες, τῷ καλῶς βιοῦν καὶ

CAPUT XLVII.

De Ismaelitarum et Agarenorum sive Saracenorum gente, unde initium sumpserint, et quomodo Christianismum susceperint.

Porro Sarracenorum gens primum cognomine ab Ismaele accepto, qui Abrahæ filius fuit, Ismaelitæ ab antiquis, de primi eorum parentis appellatione, vocati sunt. Ut autem maculam illegitimi ortus, et servitutis notam (serva enim fuit mater illius Agar), a se amolirentur, Sarracenos se ipsos nominarunt, **207** perinde atque a Sarra Abrahæ conjuge stirpem ducerent. Cæterum seriem generis inde trahentes, eodem cum Judæis vivendi more utuntur. Nam circumcisionem ita ut illi colunt, et a suillis carnibus abstinent, multaque præterea illorum instituta servant. Quod si non ex omni parte juxta illorum ritus vivunt, aut tempori id ascribendum est, aut finitimorum populorum, qui se eis immiscuere, confusioni. Moses etenim, qui longo post tempore exstitit, profugis tantum ex Ægypto Judæis leges dedit. At gentes istis vicinæ, idolorum addictæ superstitioni, patrios eorum mores ab Ismaele acceptos, quibus antiquitus Hebræi usi sunt ante Mosæ legum promulgationem, non scripto jure, sed recepta tantum consuetudine viventes, corrupere: eumdemque eis quem ipsæ haberent, religionis cultum tradidere. Proinde factum, ut illi pariter cum vicinis populis, dæmones et nominarent et colerent: atque ejusmodi depravata religione, aperte patriarum legum præ se ferrent depravationem et transgressionem. Atque uti fieri solet, tempus longum ritus quosdam oblivione suppressit: quosdam autem ut colerentur, reliquos fecit. Deinde vero cum quidam ex eis cum Judæis commercium haberent, ab illis unde orti essent, didicere, et se rursum cognationi suæ adjunxere, Hebræorum moribus et legibus denuo utentes. Atque ex eo tempore etiamnum omnes fere Judaico ritu vivunt. Verum non ita diu

ante Valentis imperium, Christianorum quoque sacris sunt operati, ubi divinæ gratiæ participes facti sunt, finitimis episcopis et monachis eos ad id ducentibus, qui in propinquis solitudinibus sancte viventes, morum integritate, factisque admirandis egregiam obtinebant famam. Quo tempore tribum quamdam apud eos omnem ad Christi religionem transiisse ferunt, cum Zacomus ejus tribunus baptismi gratiam suscepisset, per causam et occasionem ejusmodi. Carebat is liberis, ætate jam senescens: et cum monachum quemdam magna gloria virum adiisset, cum alia pleraque ei per colloquium exposuit, tum ærumnam quoque eam et casum deploravit. Supra modum enim apud Srracenos magni penditur liberorum procreatio: nec apud eos modo, sed etiam, ut arbitror, apud barbaros omnes. Ille bono animo eum esse, precatione facta, et reverti domum jussit, fore pollicitus, ut brevi pater fieret, si modo in Christum sibi credendum esse statueret. **208** Postquam autem dictum id eventus comprobavit, et filius progenitus, precationem illam veram fuisse confirmavit, et ipse Zacomus religione nostra est initiatus, et tribum eam omnem cui præfuit, ad camdem gratiam adduxit. Ab eo tempore tribum istam admodum floruisse, magnaque et numero et amplitudine incrementa cœpisse, atque Sarracenis et Persis formidabilem fuisse dicunt (1). Verum de Ismaelitis, sive Sarracenis, uti postea Christianismum susceperint, et de primo eorum episcopo, quæ comperta mihi sunt, sic habent.

τοῖς παραδόξοις τῶν ἔργων διεθρυλλοῦντο· ὅτε δὴ λέγεται, καὶ φυλὴν ἅμα πᾶσαν ἀθρόαν μεταπεσεῖν εἰς Χριστὸν, Ζακόμου τοῦ παρ' αὐτοῖς φυλάρχου τὴν τοῦ βαπτίσματος εἰληφότος χάριν προφάσει τοιᾷδε· Ἄπαις ὢν ὁ Ζάκομος, κατεγήρα τὸν βίον. Καὶ δὴ παρά τινι μοναχῷ ἥκων, κλέος πολὺ ἐπαυχοῦντι, τά τε ἄλλα διομιλούμενος, καὶ τὴν ἐνοῦσαν ἀπωδύρετο συμφοράν. Καὶ γὰρ ὑπερφυῶς περὶ πολλοῦ ἐστι Σαρακηνοῖς ἡ παιδοποιΐα· οὐχ αὐτοῖς δὲ μόνον, ἀλλ' οἶμαι καὶ βαρβάροις ἅπασιν. Ὁ δὲ θάῤῥος ἐνιείς, ἀναχωρεῖν ἐκέλευεν ἐπευξάμενος, καὶ ὑπεσχημένος μετ' οὐ πολὺ πατέρα γενέσθαι παιδὸς, εἰ μόνον ἕλοιτο πιστεύειν Χριστῷ. Ἐπεὶ δ' εἰς πέρας ἧκεν ὁ λόγος, καὶ ὁ παῖς τεχθεὶς ἀληθῆ τὴν εὐχὴν ἔπραττεν, αὐτός τε ὁ Ζάκομος ἐμυεῖτο, καὶ τοὺς ὑπ' αὐτὸν ἅπαντας ἦγεν ἐπὶ τὴν χάριν. Ἐξ ἐκείνου τὴν φυλὴν ταύτην εὐδαιμονῆσαι λόγος, καὶ ἐς πλῆθος καὶ μέγεθος ἐπιδοῦναι, καὶ Σαρακηνοῖς τε καὶ Πέρσαις φοβερὰν γενέσθαι. Ἀλλὰ περὶ μὲν τῶν Ἰσμαηλιτῶν ἤτουν Σαρακηνῶν ὅπως τὸν Χριστιανισμὸν καὶ ἐσύστερον παρεδέξαντο, καὶ ὅσα περὶ τοῦ πρώτως αὐτοῖς ἐπισκοπήσαντος ἐπυθόμην, ὧδε ἔσχεν.

CAPUT XLVIII.

De Gotthorum et Hunnorum gente, quomodo et qua ex causa Istrum transgressi, in Romanorum ditionem impetum fecerint: et de Athanarico et Fridigerne. Præterea de Ulphila, eorum episcopo: et ut postea moto contra Romanos bello, Valentem ex Antiochia Constantinopolim pertraxerint.

Verum enim vero non hæc tantum, sed et alia longe deterior et exitiosior res Valentis impetum cohibuit. Gotthi (2) namque, qui primum ultra Istrum domicilia habuere, et aliis ibi Barbaris imperavere, ab Hunnis inde expulsi, Romanorum fines transierunt. Sunt autem Hunni isti, quos veteres Nebros (3) appellarunt, Riphæorum (4) montium accolæ: unde Tanais fluvius ortum trahens, undas suas in Mæotidem paludem provolvit. Hæc gens antehac ignota fuit Thracibus, qui Istrum accolunt, atque ipsis etiam Gotthis. Quamvis enim finitimi sibi invicem essent, alteri tamen alteros ignorarunt. Maximus namque lacus eos dirimens, effecit, ut gens quæque, quam ipsa coleret terram, continentis finem esse, et ulte-

ΚΕΦΑΛ. ΜΗ'.

Περὶ τοῦ ἔθνους τῶν Γότθων καὶ Οὔννων, ὅπως καὶ ἐκ ποίας αἰτίας εἰς τὴν Ῥωμαίων διὰ τοῦ Ἴστρου ἐπεραιώθησαν· καὶ περὶ Ἀθαναρίχου καὶ Φιριτιγένους· ἔτι δὲ καὶ Οὐλφίλα τοῦ παρ' αὐτοῖς ἐπισκόπου· καὶ ὅπως ὕστερον κατὰ Ῥωμαίων κινηθέντες, Οὐάλεντα ἐξ Ἀντιοχείας εἰς τὴν Κωνσταντινούπολιν εἵλκυσαν.

Οὐ τοῦτο δὲ μόνον τὴν ὁρμὴν ἀνέσχεν Οὐάλεντος, ἀλλὰ καὶ ὃ τούτου χεῖρόν τε καὶ ὀλεθριώτερον. Γότθοι γὰρ οἱ τὰ μὲν πρῶτα πέραν Ἴστρου τὰς οἰκήσεις εἶχον, τῶν ἐκεῖσε βαρβάρων τὸ κράτος αὐχοῦντες, παρὰ δὲ τῶν Οὔννων ἐκεῖθεν ἐξελαθέντες, περὶ τὰ Ῥωμαίων ὅρια διεπεραιώθησαν. Εἶεν δ' ἂν Οὖννοι οὗτοι, οὓς οἱ παλαιοὶ Νεβροὺς κατωνόμαζον, παρὰ τὰ Ῥιπαῖα ὄρη κατῳκημένοι· ἐξ ὧν ὁ Τάναϊς εἰς τὴν Μαιώτιδα λίμνην κατασυρόμενος, τὸ ῥεῖθρον ἐκδίδωσιν· ἄγνωστον γὰρ ἦν Θρᾳξὶ μάλιστα τοῦτο τὸ ἔθνος, οἱ τὰ παρίστρια νέμονται, καὶ Γότθοις αὐτοῖς. Πάλιν Θρᾷκες καίπερ ἀλλήλοις προσοικοῦντες, ἑκάτεροι ἐν ἀδήλῳ ἦσαν ἀλλήλοις. Μεγίστη γὰρ λίμνη ἑκατέρους διατειχίζουσα ἦν, καὶ ἕκαστον ἔθνος ᾤετο, τὴν παρ' αὐτῷ οἰκουμένην καὶ τέλος

(1) Sozom. eod. cap. 37.

(2) Gotthi ab Hunnis sedibus suis pulsi, Istro transito, ad Rom. imperii fines pervenerunt. Filmer Gotthorum rex, ex Scantia, sive Scandinavia septentrionali insula cum exercitu progressus, in Scytharum Getarumque terras, mulieres sagas inter suos reperit, Alraunas vernaculo sermone vocatas. Eas ex castris suis proscriptas, in solis Scytharum locis habitare coegit. Ibi ex earum concubitu homines sylvestres, quos nonnulli Faunos Ficarios vocant (Faunos, autem immortales animas non habere, aut humano semine natos esse, Augustinus scribit), Hunnos gentem ferocissimam procrearunt. Quæ supra Mæotidem paludem primum exilis, tetra et inhumana, sedes habuit. Paulus Diaconus, et Jornandes.

(3) Al. *Neuros* et *Neuritas* dicunt. Nebros seu Neuros Plin. apud Borysthenem posuit, lib. IV, cap. 12.

(4) Sigismundus ab Herbestain, Baro Austriacus, perpetuus Cæsarum sui temporis orator, fontem Tanais in latissima infinitaque in Moscovia planitie vidit. Proindeque cum multis eruditis viris, de montibus Hyperboreis seu Riphæis addubitat.

εἶναι πάσης ξηρᾶς· τὸ δ' ἐπέκεινα θάλασσαν ἄπλετον καὶ ὕδωρ ἀπέραντον. Βοῦς δέ τις οἴστρῳ ποτὲ πληγεῖσα, διέθει τὸ ὕδωρ τῆς λίμνης, καὶ εἰς τὸ πέραν διέβαινε. Κατόπιν δὲ βουκόλος ἑπόμενος, ἐπεὶ τὸ τέλος τοῦ ὕδατος ἐθεᾶτο, τοῖς ὁμοφύλοις ἐσήμανεν. Ἔχει δὲ καὶ ἄλλος λόγος, ἔλαφον μᾶλλον, οὐ βοῦν ὑποδεῖξαι τὴν στίβον, ἐξ ἐπιπολῆς καλυπτομένην τοῖς ὕδασιν, ἅτε δὴ τῷ θηρᾶσθαι, τὰς ἄρκυς διαφυγοῦσαν τῶν Οὔννων· οἳ τηνικαῦτα τῷ κατόπιν διώκειν πέραν γενόμενοι, καὶ θεασάμενοι τὴν χώραν, ἀέρι μὲν μετριωτέρῳ χρωμένην, καὶ ἄλλως δὲ πρὸς γεωργίαν ἡμέρως ἔχουσαν· καὶ ἱκανῶς θαυμάσαντες, τότε μὲν ἀπηλλάττοντο, καὶ τῷ καθηγεμόνι τοῦ ἔθνους τὰ θεαθέντα ἀπήγγελλον. Ἔπειτ' ὀλίγους τῶν Γότθων ἐπιστρατεύσαντας, ἀποπειρᾶσθαι τοῦ χώρου· οὐ πολλῷ δ' ὕστερον καὶ πανστρατὶ ἐπελθεῖν, καὶ πολέμου νόμῳ τῶν ἐκεῖσε περιγενέσθαι, καὶ ἐν κατασχέσει γενέσθαι τῆς γῆς. Τοὺς δ' ἐκεῖθεν ἀπαναστάντας, διαβῆναι μὲν τὸν Ἴστρον, καὶ ἐς τὰ Ῥωμαίων ὅρια περαιοῦσθαι· εἶτα καὶ ἐς βασιλέα πέμψαι πρέσβεις, συμμάχους ἐσαεὶ σφᾶς καθεστάναι Ῥωμαίοις διομνυμένους. Ἐδεῖτο δὲ ἡ πρεσβεία, ξυγχωρεῖν αὐτοῖς, ὅπη βουλομένοις εἴη, τὰς οἰκήσεις ποιεῖν. Ἔπραττε δὲ τὴν πρεσβείαν Οὐλφίλας ὁ παρ' αὐτοῖς ἐπίσκοπος. Ἐπεὶ δὲ πρεσβεία κατὰ γνώμην αὐτοῖς ἐχώρει, προὐτρέποντο τὴν Θρᾴκην οἰκεῖν· καὶ μέχρι πολλοῦ εἰρηνικῶς πρός τε αὐτοὺς καὶ πρὸς ἡμᾶς εἶχον. Εἶτα καθ' ἑαυτοὺς διαστασιάζοντες, διχῇ διῃροῦντο· ὧν τοῦ μὲν ἑνὸς τμήματος Ἀθανάριχος ἡγεῖτο, Φιρτιγένει δὲ τὸ ἄλλο μέρος προσέκειτο. Καὶ δὴ μάχῃ πρὸς ἀλλήλους συῤῥαγέντες μεγάλῃ, Φιρτιγένης πλεῖστον ἡττώμενος, ἐς Ῥωμαίους πέμψας αὐτῷ οἱ βοηθεῖν ἐδεῖτο. Καὶ βασιλεὺς ἐπέτρεπε συμμαχεῖν τοὺς ἐνθάδε στρατιώτας αὐτοῖς. Οὕτω δὲ συμμαχόμενος Φιρτιγένης, τοὺς ἀμφὶ Ἀθανάριχον φυγάδας ἐδείκνυ, καὶ τῇ μάχῃ ἐκράτει. Ὡσανεὶ δὲ χάριν ἀποδιδοὺς Οὐάλεντι, καὶ παντὶ τρόπῳ ἀνόθευτον τὸ πιστὸν, καὶ τὸ φίλος εἶναι καὶ ἔσεσθαι βεβαιῶν, ἐπίσης βασιλεῖ τῆς περὶ τὸ θεῖον δόξης κοινωνεῖν ἤθελε· καὶ τοὺς ὑπ' αὐτὸν βαρβάρους ἔπειθεν ὧδε φρονεῖν. Καί γ' εὐθὺς ἔπραττε τὸ πρὸς βουλῆς, καὶ εἰς Χριστιανισμὸν σὺν τοῖς περὶ αὐτὸν στρατεύμασι μετεβάλλετο. Καὶ τοῦτ' οἶμαι αἴτιον γενέσθαι τὴν Ἀρείου πίστιν τὸ σύμπαν ἔθνος ἀσπάσασθαι, τὸ ταῦτα τὸ ἐξ ἀρχῆς πρεσβεῦσαι Οὐάλεντι. Οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ Οὐλφίλας ὁ παρ' αὐτοῖς ἱερωμένος τὰ μὲν πρῶτα τῇ καθόλου Ἐκκλησίᾳ κοινωνῶν ἦν, μηδέν τι διαφερόμενος· τοῖς δὲ περὶ Εὐδόξιον καὶ Ἀκάκιον συγγενόμενος, καὶ ἀπερισκέπτως τῆς ἐν Κωνσταντινουπόλει συνόδου ἐπὶ Κωνσταντίου μετεσχηκὼς, διέμεινε κοινωνῶν τοῖς ἱερεῦσιν οἳ τῆς ἐν Νικαίᾳ ὑπερίσταντο πίστεως· ἔπειτα ἐν Κωνσταντινουπόλει γενομένῳ, τῶν ἀπὸ τῆς Ἀρειανῆς αἱρέσεως περὶ

riora loca immensis maris undis teneri crederet (1). Cum autem bos aliquando ab œstro ictus lacum trajecisset, et in ulteriorem ripam pervenisset, eumque pastor insequens aquarum terminum vidisset, rem eam popularibus suis indicavit. Alia quoque fama fert, non bovem, sed cervum potius, vadosum hunc tramitem, summis aquis tectum, indicasse, cum retia venantium Hunnorum effugisset : qui tum feram persequentes, ultra lacum pervenere, regionemque eam inspexere, in qua et cœlum esset temperatum, et terra ad agriculturam facilis : eamque admirati, tum quidem ad sedes suas rediere, et duci suo ea quæ vidissent, renuntiavere. **209** Postea vero cum paucis bello Gotthis illato, amplius regionem eam exploraront : deinde etiam brevi cum universis copiis eo transgressi, et bello illos vicere, et terram occupavere. Illi autem sedibus suis pulsi, Istro transmisso, ad Romani imperii terminos consedere : et ad imperatorem oratores, qui se belli socios perpetuo Romanorum fore, jurejurando confirmarent, misere. Petebant autem illi, ut eis quo visum esset loco, domicilia habere permitteretur. Legationis ejus princeps fuit Ulphilas, eorum qui inter illos Christiani erant, episcopus. Re ex sententia eorum confecta, Thraciam colere jussi sunt. Et aliquandiu simul et inter se ipsos, et erga Romanos quieti pacatique fuere. Deinde vero per seditionem inter se dissidentes, in duas discessere factiones : quarum alterius Athanarichus (2) dux fuit, altera Fridigernis auspicia secuta est. Et pugna inter se commissa acri, Fridigernes victus, auxiliares a Romanis copias per legationem petiit. Imperator auxilium ei ferre, quæ tum ibi erant, copias jussit. Quibus fretus Fridigernes, prælio rursus cum adversariis Athanarichi sociis contendit, eosque victor profligavit. Ut autem is gratiam Valenti referret, et pignore aliquo, se illi modis omnibus sincere fidum et amicum fore confirmaret, eamdem cum imperatore de Deo opinionem suscipere, atque in eamdem sententiam, qui sub eo essent Barbaros adducere statuit. Id quod statim, sicuti volebat, confecit. Nam cum exercitu suo universo ad Christianismum transit. Atque hanc opinor causam fuisse, cur gens ea omnis Arii fidem sit secuta eamdem ab initio, quam Valens, opinionem professa. Non hanc vero solam; sed Ulphilas quoque accessit, qui apud eos episcopatum gessit. Nam is primum cum Ecclesia catholica, nihil ab ea dissidens, communicavit. Et cum in synodo Constantinopolitana sub Constantio, nulladum conventione intercedente, cum Eudoxio et Acacio esset, nihilominus in communione cum episcopis Nicænam fidem propugnantibus, permansit : postea vero

(1) Sozom. lib. VI, cap. 37.

(2) Nam Athanarichus, sive Alarichus, rex Gotthorum, Christianos in gente sua crudelissime persecutus fuerat, et sedibus suis in Romanam ditionem expulerat. Paulus Diaconus, Oros. Factum hoc Valentiniano III et Valente III coss. Quo tempore etiam Hispaniæ regnum ab Athanaricho initium sumpsisse fertur. Mich. Ritius, lib. I *De regibus Hispan.*

Constantinopoli versanti, cum Ariani de dogmate suo dissererent, et legationem se ei ex sententia apud imperatorem confecturos esse, **210** si idem cum ipsis sentire in animum induceret, pollicerentur, utilitate ea illectus, aut etiam fortasse, quod melius esse, si ita de Deo opinaretur, censeret, cum Arianis communicavit, et gentem universam ab ecclesia universali abduxit. Gotthi namque, quod ipso auctore atque duce ad veriorem pietatem se contulissent, et illius beneficio humaniore mansuetioreque vivendi instituto uterentur, facile admodum ei parebant, et quocunque ille duceret, sequebantur: nihil mali esse, ex animo persuasum habentes, quidquid ille vel diceret, vel faceret: omnibusque id adeo æmulari volentibus, in commodum prorsus atque utilitatem cessurum esse arbitrantes. Quin etiam ingens ille persæpe virtutis suæ ediderat specimen, multis fortiter pro Christiana doctrina prius toleratis periculis, quam gens ea quæ tota ex Græca superstitione pendebat, ad Christianismum est conversa. Primus etiam ipsis litteras invenit, et sacras Scripturas eis translatas proposuit. Atque equidem, quamobrem Barbari plerique omnes Istrum accolentes, Arii dogma sequerentur, causa et occasio hæc fuit. Sed enim temporibus eis ingens multitudo eorum qui Fridigernis animi inclinatione sequebantur partes, propter Christi nomen ab Athanaricho cæsa est. Quod namque Ulphilas eis etiam qui illi subditi erant, Christianam fidem suscipere persuaderet, valde id moleste ferens, perinde atque patrii ritus abolerentur, suppliciis in eos plurimum est grassatus. Et quosdam quidem accusatos, quod publice Christianismum dogma cum magna libertate defenderent, inter quos unus etiam erat admirandus ille Nicetas: alios autem ne appellatos quidem, occidit. Dicitur enim sculptum quoddam simulacrum in curru collocasse, atque id per tabernacula eorum qui Christum profiterentur, ducere, eique simul et sacrificare, et adorationis reverentiam exhibere: qui vero id facere noluissent, eos una cum tabernaculis comburere jussisse. Imo hoc etiam longe pejus et mirabilius aliud factum esse legi. Multi siquidem eorum vi, qui eis, ut sacrificarent, crudeliter instabant, coacti, non viri modo, sed et mulieres, quarum aliæ recens natos fetus ab uberibus dependentes circumferebant, aliæ infantes et pueros qui aliquantulum gradiri et veluti pedibus terram metiri possent, trahebant, in ecclesiæ tabernaculum confugerunt. **211** Eos vero Græci idololatræ ibi templo incenso in cinerem redegerunt. Non multum intercessit temporis, cum dissidentes inter se Gotthorum factiones, in gratiam et concordiam rediere: atque ingenti confidentia et immensa dementia sublati, Thraces male acceperunt: oppidaque et vicos percurrentes, crudelissime vastarunt. Quod ubi Valens Antiochiæ adhuc degens cognovit, tum demum experientia magistra (1) erroris sui

(1) *Stultorum* magister, eventus. (Liv.)

A τοῦ δόγματος διεξιόντων, ὑπισχνουμένων τε τὴν πρεσβείαν ἐπιτελῆ τὰ ἐς βασιλέα πράττειν, εἰ τὰ ἴσα σφίσι δοξάζειν ἕλοιτο, τῇ χρείᾳ δελεασθεὶς, ἢ ἴσως καὶ ἄμεινον εἶναι τοῦτ' οἰηθεὶς δοξάζειν περὶ Θεοῦ, ἐκοινώνει τοῖς περὶ Ἄρειον, καὶ τὸ σύμπαν φῦλον τῆς καθόλου Ἐκκλησίας διίστα. Καὶ γὰρ τὸ Γότθων γένος ὑπ' ἐκείνῳ καθηγεμόνι πρὸς τὴν εὐσέβειαν μεταβαλόντες, καὶ δι' ἐκείνου ἡμερωτέρᾳ πολιτείᾳ χρησάμενοι, ῥᾳδίως μάλα ἐκείνῳ ἐπείθοντο, καὶ ἧπερ ἂν ἄγοι, εἵποντο· μηδέν τι φαῦλον εἶναι νομίζοντες ἐκ ψυχῆς, ὅ τι ἂν ἐκεῖνος λέγοι ἢ πράττοι· συντελεῖν δ' ἐς ἅπαν χρήσιμον τοῖς ἡρημένοις ζηλοῦν. Οὐ μὴν δὲ ἀλλὰ καὶ πολλήν τινα πεῖραν τῆς ἐκείνου δέδωκεν ἀρετῆς, πολλοῖς ἐγκαρτερήσας κινδύνοις ὑπὲρ τοῦ δόγματος, πρὶν ἢ τὸ B ἔθνος εἰς τὸ Χριστιανίζειν μετέβαλε κατάκρας τῆς Ἑλληνικῆς ἐξημμένον θρησκείας. Καὶ γράμματα δ' ἐφεῦρεν αὐτοῖς πρῶτος, καὶ τὰς Θείας Γραφὰς μεταφράσας αὐτοῖς παραδέδωκεν. Αἴτιον μὲν οὖν ὡς ἐπίπαν τοῖς περὶ τὸν Ἴστρον βαρβάροις τὰ Ἀρείου φρονεῖν, καὶ πρόφασις ἥδε ἐγένετο· καιροῖς δ' ἐκείνοις ὑπ' Ἀθαναρίχου πολύ τι πλῆθος διὰ Χριστὸν ἀνῃρεῖτο, Φιρτιγένει προσκείμενον. Καὶ γὰρ Οὐλφίλα πείθοντος, καὶ τοὺς ὑπ' ἐκεῖνον τὰ Χριστιανῶν ἀσπάζεσθαι, χαλεπαίνων σφόδρα, ἅτε δῆτα τῶν πατρίων ἀφανιζομένων ἐθῶν, τιμωρεῖν ἐς πλεῖστον ἐπέβαλε· τοῖς μὲν εὐθύνην προσάψας, ὡς δημοσίᾳ παῤῥησιασαμένους ἀνεῖλεν ὑπὲρ τοῦ δόγματος· ὧν εἷς καὶ ὁ θαυμαστὸς Νικήτας ἐτύγχανεν· ἄλλους δὲ καὶ λόγων ἄνευ διέφθειρε. Καὶ γὰρ λέγεται ξόανόν C τι κατασκευασάμενον, ἐφ' ἁρμαμάξης στῆσαι· καὶ τοῦτ' ἐκέλευε κατὰ σκηνὴν περιάγειν τῶν ἠγγελμένων Χριστιανίζειν, καὶ τούτῳ πείθειν, θύειν τε ἅμα καὶ προσκυνεῖν· αἳ δὲ μὴ τοῦθ' αἱροῖντο ποιεῖν, ἅμ' αὐταῖς καταπιμπρᾷν ταῖς σκηναῖς· καὶ ἄλλο δέ τι τούτου πολλῷ χεῖρον καὶ περιπαθέστερον ἔγνων γενόμενον. Πολλοὶ γὰρ τῇ βίᾳ τῶν θύειν κατεπειγόντων ἠναγκασμένοι, οὐκ ἄνδρες μόνον, ἀλλὰ καὶ γυναῖκες, ὧν αἱ μὲν ἄρτι γεννηθέντα βρέφη ἐπιμαστίδια περιέφερον, αἱ δὲ νήπια καὶ παιδάρια μικρὸν βηματίζειν δυνάμενα, ἐπὶ τὴν σκηνὴν τῆς ἐκκλησίας κατέφυγον. Τῶν δ' Ἑλληνιστῶν πῦρ ἐπαφέντων ἐκείνοις, εἰς τέφραν διέφθειραν. Μικρὸν δ' ὅσον εἰς ὁμόνοιαν τὰ διχῇ διαιρεθέντα τῶν Γότθων ἦλθον. D Θράσει δὲ πολλῷ καὶ ἀμέτρῳ ἐπηρμένοι τῇ ἀπονοίᾳ, Θρᾷκας κακῶς ἐποίουν· καὶ πόλεις καὶ κώμας ταύτης ἐπῄεσαν δῃοῦντες ἐς μάλιστα· ὃ δῆτα μαθὼν Οὐάλης ἔτι διατρίβων κατὰ τὴν Ἀντιόχειαν, τὸ κακὸν τῇ πείρᾳ ἐμάνθανε τῆς διαμαρτίας. Ὤετο γὰρ αὐτῷ χρήσιμον καὶ τῇ ἀρχομένῃ εἶναι τὸ ἔθνος· καταπλήττειν δὲ καὶ τοὺς ἐναντίους ἐντεῦθεν, ὡς ἀεὶ πρὸς ὅπλα καὶ μάχας ἐσκευασμένον. Οὕτω δ' ἐπισφαλῶς δοξάζων, τῶν οἰκείων στρατευμάτων ἠμέλει· καὶ ἀντὶ τοῦ διδόναι μᾶλλον αὐτοῖς καὶ εἰς στρατείαν ἐπιλέγεσθαι, ἐκ τούτων μάλιστα εἰσέπραττε τὸ χρυσίον, ὀγδοήκοντα χρυσίνους ὑπὲρ ἑκάστου Γότθου τοὺς συντελεστὰς ἀπαιτεῖσθαι κελεύσας· ὃ δὴ καὶ ἀρχὴ γέγονε τοῦ τηνικαῦτα πρὸς καιρὸν δυστυχῆσαι τὴν Ῥωμαίων ἀρχήν. Πάμπαν δὲ τῆς

ἐλπίδος σφαλεὶς, ἀφίστατο μὲν εἰς ἐξορίαν πέμπειν τοὺς τὸ ὁμοούσιον φρονοῦντας· θᾶττον δὲ τὴν Ἀντιόχειαν καταλιπὼν, ἐπὶ τὴν Κωνσταντινούπολιν ἐλαύνων εἰσῄει· ὁπηνίκα δὴ καὶ ὁ τῶν ἄλλως φρονούντων πόλεμος μετριάζων ἔλωφα, καὶ ἀνακωχὴν ἐλάμβανε. Τότε δὴ καὶ Εὐζωΐου τοῦ τὴν Ἀντιόχου ἐπιτροπεύοντος τελευτήσαντος, Θεόδωρος ὁ τῆς κατὰ Πείρινθον Ἡρακλείας προεστὼς ἐκκλησίας, εἰς τὸν ἐκείνου μετετίθετο θρόνον, ἅτ' ἐπίσης Εὐζωΐῳ φρονῶν, καὶ τῆς ἐκεῖσε τῶν Ἀρειανῶν συμμαχίας προΐστατο· ἀνεθάρρουν δ' αὖθις κατὰ πόλεις καὶ οἱ τὸ δόγμα τῆς ἐν Νικαίᾳ συνόδου πρεσβεύοντες, καὶ μάλιστα ἡ κατ' Αἴγυπτον Ἀλεξάνδρεια. Ἐπεὶ καὶ Πέτρος ὁ τῆς ὀρθῆς προϊστάμενος δόξης, ἐκ τῆς ἐν Ῥώμῃ ἐπανῆκε φυγῆς, Δαμάσου τοῦ Ῥωμαίων ἡγουμένου ὠχυρωμένος τοῖς γράμμασιν· ἃ τήν τ' ἐκείνου χειροτονίαν ἐκύρουν, καὶ τὴν ἐν Νικαίᾳ δόξαν ἐκράτυνον. Ὧ δὴ καὶ Ἀλεξανδρεῖς τὰς ἐκκλησίας παρέδωκαν τὸν Λούκιον ἐξελάσαντες· ὃν δῆτα καὶ καταπλεύσαντα ἡ Κωνσταντίνου ἐδέχετο.

perniciem perdidicit. Gentem (1) namque quæ semper in armis, et ad prælia instructa esset, et sibi et imperio commodos, atque etiam ad hostes perterrendos idoneos fore, ratus fuerat. Atque hac periculosa opinione concepta, militares copias suas parvifecit: et pro eo quod stipendium illis dare, et delectu habendo militari sacramento obstringere cives suos debuisset, pecuniam et tributum ab eis exegit. Nam aureos octogenos in singulos Gotthos a tributariis populis pendi jusserat. Quæ quidem res tum, ut Romanum imperium ad tempus rebus adversis periclitaretur, in causa fuit. Atque ita ille spe sua cum prorsus excidisset, desiit eos in exsilium mittere, qui ὁμοουσίου, consubstantialis, fidem profitebantur: et celeriter Antiochia relicta, Constantinopolim contendit. Quo tempore etiam, aliter sentientium, Arianorum videlicet, bellum, quasi per quasdam inducias, aliquo modo conquievit. Euzoio quoque Antiocheno episcopo mortuo, Theodorus Heracleæ Perinthi antistes, qui eamdem cum defuncto obtinebat sententiam, in illius locum est suffectus: ubi etiam Arianorum factioni præiit. Animos vero etiam receperunt in urbibus, qui Nicænæ synodi dogma deprædicabant (2): potissimum autem in civitate Alexandrina. Quandoquidem et Petrus rectæ opinionis defensor, Roma, Damasi episcopi Romani litteris munitus, quibus et ordinatio ejus comprobabatur, et doctrina Nicæna confirmabatur, redierat. Cui etiam Alexandrini ecclesias gubernandas dedere, Lucio ejecto, quem navi advenientem Constantinopolis excepit.

ΚΕΦΑΛ. ΜΖ'.

Περὶ τοῦ ἐλέγχου Οὐαλεντινιανοῦ, καὶ τῆς ἐνστάσεως Τερεντίου, Τραϊανοῦ, καὶ ἑτέρων στρατηγῶν πρὸς Οὐάλεντα· καὶ ὡς, τῶν Γότθων τὴν Θρᾴκην ληϊζομένων, πρὸς τῶν πολιτῶν οὗτος ἐλοιδορεῖτο.

Οὐάλης δὲ τὴν οἰκείαν ἀσθένειαν ἐγνωκὼς, πρὸς τὸν ἀδελφὸν πέμπων, ἔτι γὰρ τῷ ζῆν περιῆν, ἀμύνειν ἐδεῖτο. Τὸν δὲ φάναι λέγεται, μὴ ὅσιον εἶναι ἐπαμύνειν ἀνδρὶ διὰ μάχης ἰόντι Θεῷ· εὔλογον δὲ τὸ θράσος μᾶλλον ἐκείνῳ σμικρύνειν τῷ μὴ συμμαχεῖν αἱρεῖσθαι. Ὃ δὴ μαθὼν ἐκεῖνος, ἀνίας μᾶλλον ἔμπλεως ἐγίγνετο πλείονος. Καὶ τοῦ μὲν θράσους ἥκιστα ἔληγεν· ἐπέκειτο δὲ μᾶλλον τῇ ἀληθείᾳ διαμαχόμενος. Καὶ γὰρ Τερεντίῳ τῷ στρατηγῶν ἀρίστῳ, εὐσεβείᾳ δὲ εἴπερ τινὶ κοσμουμένῳ, ἐκ τῶν κατ' Ἀρμενίαν ἐπανήκοντι τροπαίων, ἐπεὶ ἐκ προτροπῆς δωρεὰν ἣν βούλοιτο αἰτεῖν ἐνεδίδου, πάντ' ἐκεῖνος παρωσάμενος, χρυσὸν καὶ ἄργυρον, καὶ δυναστείαν καὶ χώραν, μίαν εὔλογον καὶ εὐσεβῆ δέησιν ᾔτει· ἣν δὲ αὕτη, μίαν τῶν ἐκκλησιῶν παρασχεθῆναι τοῖς τῆς καθόλου Ἐκκλησίας ὑπερμαχοῦσι τῇ Ἀντιόχου· τὸν μὲν χάρτην ἀναγνοὺς διαῤῥήσσει, ἄλλα δ' αἰτεῖν προσέταττεν. Ὁ δὲ τὴν ἱκεσίαν σύντομον ἀθροίσας, « Ἐδεξάμην, ἔφη, ὦ βασιλεῦ, καὶ ἔχω τὸ δῶρον, καὶ ἕτερον οὐκ αἰτήσω· σκοποῦ γὰρ κριτὴς ὁ τῶν ὅλων

212 CAPUT XLIX.

Quomodo Valentinianus Valentem arguerit: item quomodo eidem Terentius libere restiterit: id quod Trajanus quoque, et alii duces ordinumque ductores fecerunt: et ut Gotthis Thraciam vastantibus, cives Valentem conviciis incesserint.

Valens imbecillitatis suæ conscius, ad fratrem qui adhuc superstes erat, legatos qui auxilium peterent, misit. Quem quidem dixisse ferunt, non æquum piumque esse ei auxilium ferre, qui bellum cum Deo gerat (3): magis autem convenire, subsidio denegato, confidentiam illius imminuere. Quod ubi illi renuntiatum est, majorem etiam quam antea mœrorem contraxit. Neque admodum tamen a confidentia sua destitit, magisque adeo etiam veritatem expugnare instituit. Cum enim Terentio, ducum omnium præstantissimo, pietateque supra alios ornatissimo, a victoriis in Armenia reportatis reverlenti, optionem sua sponte obtulisset, ut a se quod vellet, peteret, atque ille auro, argento, præfecturis, provinciis, rebus denique aliis omnibus posthabitis, unum quiddam rationi consonum et pium postularet, ut scilicet Antiochiæ unam saltem Ecclesiæ catholicæ propugnatoribus concederet ecclesiam: ipse petitionis libellum lectum laceravit, et aliud illum petere jussit. Tum Teren-

(1) Experitur tandem valde se errasse Valens, qui Gotthos gentem bellicosam in Thraciam receperit, stipendiumque ei quotannis dederit. Sic avorum nostrorum memoria Græci in Europam ex Asia Turcas adduxerunt.

(2) Theod. eod. cap. 31.

(3) Οὐχ ὅσιον ἐπαμύνειν ἀνδρὶ πολεμοῦντι Θεῷ, δίκαιον δὲ τὴν τούτου καταπαύειν θρασύτητα. Hoc autem non postremo Gotthico, in quo Valens interiit, sed alio et tempore et bello itidem Gotthico factum, superstite etiam tum Valentiniano seniore.

tius libelli fragmentis collectis: « Habeo, inquit, o imperator, et donum teneo, neque aliud petam. Consilii enim mei judex erit, qui judex est omnium. » Gotthorum autem bellum metuens Valens, ipse quidem tum Constantinopoli se continuit: Trajanum autem ducem, armatum cum exercitu non contemnendo adversus eos misit. Ubi vero ille, **213** ne primum quidem congressum eorum sustinens, victus rediit, ignaviam ei et timiditatem cum convicio imperator objecit. Ille autem cum ea dicendi libertate, quæ virum fortem et strenuum decet, « Non ego, inquit, o imperator, victus sum, sed tu ipse sponte tua victoriam a teipso rejicis, qui ita cum Deo belligeraris, et auxilium quod ab eo pervenit, repellens ad hostes potius transmittis. Deus semper vincit. Et victoria illis favere solet, qui auspicium ductumque ejus sequuntur. Is nunc ab adversariorum partibus stat, quod cum tu bello persequeris. Non enim prorsus nescius es, quibus viris ex ecclesiis ejectis, quos in illorum locum substitueris. » Hæc ita se habere, non Terentius tantum, et Trajanus, sed et Rodantus et Victor, qui et ipsi belli duces fuere, affirmarunt: imperatoremque ipsum, ne reprehensione ea, quæ cum veritate conjuncta esset, gravius commoveretur, rogarunt. Exsecratione etiam multorum est expetitus, quod Constantinopoli moraretur. Nam Gotthi Thracia omni vastata, et suburbanis etiam ædificiis cunctis direptis, nemine scilicet erumpente, mœnia quoque ipsa adoriri contendebant. Id urbs moleste tulit: et imperatorem, qui non dudum exiisset, sed ita bellum cunctando duceret, accusarunt. Ne a conviciis quidem abstinuere, quasi ipse socordia sua bellorum esset auctor. Postremo ludis Circensibus propalam adversus eum vociferati, arma ab eo, quibus in bello uterentur, petiere. Imperator autem veluti ingenti injuria affectus esset, furore plenus contra Barbaros est progressus, plurima civibus comminatus: daturos videlicet illos sibi, si reverteretur, pœnas condignas, de contumeliis a vulgo sibi illatis, et quod non ita dudum Procopii tyrannidi se conjunxissent. Quin etiam urbem ipsam se solo æquaturum, et aratro proscissurum esse, denuntiavit.

κριτής. » Δειμαίνων δὲ τὸν τῶν Γότθων πόλεμον ὁ Οὐάλης, αὐτὸς μὲν τέως ἐν τῇ Κωνσταντίνου διέτριβε· Τραϊανὸν δὲ τὸν στρατηγὸν καθοπλίσας, σὺν ἀξιομάχῳ στρατῷ κατ' ἐκείνων ἐξέπεμπεν. Ἐπεὶ δ' ἐκεῖνος μηδὲ τὴν πρώτην προσβολὴν ὑπομείνας, ἡττης ἔμπλεως ἐπανῆκε, μαλακίαν ἐκείνῳ καὶ δειλίαν ἐγκαλῶν ὁ βασιλεὺς διελοιδορεῖτο· ὁ δὲ παῤῥησίᾳ προσηκούσῃ ἀνδρὶ γενναίῳ χρησάμενος, « Οὐχ ἡττήθην ἐγὼ, φησὶ, βασιλεῦ· σὺ δ' ἑκὼν τὴν νίκην ἐκβάλλεις σαυτοῦ, διαμαχόμενος τῷ Θεῷ, καὶ τὴν ἐκεῖθεν ῥοπὴν ἀπωθούμενος, τοῖς ὑπεναντίοις προΐῃς μᾶλλον· νικᾷ δὲ Θεὸς ἀεί. Ἡ δὲ νίκη τοῖς ὑπ' ἐκείνῳ στρατηγουμένοις προσγίνεσθαι εἴωθε. Συντάττεται δ' ἐκείνοις ὑπὸ σοῦ πολεμούμενος. Οὐ γὰρ ἀγνοεῖς πάντως τίνας τῶν ἐκκλησιῶν ἐλάσας, τίνας ἀντικατέστησας. » Ταῦτ' οὐ Τερέντιος καὶ Τραϊανὸς, ἀλλὰ καὶ Ῥόδαντος καὶ Βίκτωρ, στρατηγοὶ δὲ καὶ οὗτοι, οὕτως ἔχειν συνέθεντο. Καί γε βασιλεῖ παρῄνουν, μὴ σφόδρα χαλεπαίνειν ἐπ' ἐλέγχοις ἀληθείᾳ συνεζευγμένοις. Πολὺ δὲ αὐτῷ καὶ τὸ μύσος ἤκμαζε τῇ Κωνσταντίνου ἐνδιατρίβοντι· οἱ γὰρ Γότθοι τὴν Θρᾴκην πᾶσαν λῃσάντες, καὶ τὰ προάστεια πάντα δῃώσαντες, ἅτε δὴ μηδενὸς ἐπεξιόντος, καὶ τοῖς τείχεσιν ἐπεχείρουν ἤδη προσβάλλειν. Ἡ δὲ πόλις χαλεπῶς ἔφερε. Καὶ ὅτι μὴ θᾶττον βασιλεὺς ἐπεξῄει, ἀλλ' ὑπερετίθει τὸν πόλεμον, ᾐτιῶντο· καὶ διελοιδοροῦντο τούτῳ, ὡς αὐτὸς εἴη μᾶλλον τῇ ῥᾳστώνῃ τοὺς πολεμίους ὑπενεγκών. Τέλος καὶ ἱπποδρομίᾳ εἰς τοὐμφανὲς κατεβόων αὐτοῦ, καὶ ὅπλα ὥστε πολεμεῖν ᾔτουν. Ὁ δὲ βασιλεὺς, ἅτε δὴ περιυβρισμένος, θυμῷ πολλῷ κατὰ τῶν βαρβάρων ἐξήλαυνε· πλεῖστα τοῖς πολίταις ἐπαπειλούμενος, ἢν ὑποστρέψῃ, ἀξίαν λήψεσθαι δίκην τῶν ἐκ τοῦ δήμου ὕβρεων· καὶ ὅτιπερ οὐ πάνυ πόῤῥω τῇ τυραννίδι Προκοπίου προσέθεντο. Ἠπείλει δ' ἐρημώσειν τὴν πόλιν, καὶ ἄροτρον κατ' αὐτῆς ἐμβαλεῖν.

214 CAPUT L.

De sancto Isaacio, qui liberrime Valentem est allocutus, et ut Valens alicubi circa Adrianopolim cum Gotthis acie congressus, ex fuga in tugurium rusticum, in quo multum stramenti fuit, pervenerit, ibique igni consumptus perierit.

Tum etiam Isaacium illum, qui circa Constantinopolim monasticam casam habuit, cum aliis rebus vir bonus, tum quodvis adire discrimen propter Deum promptus et paratus, ferunt, cum Valentem una cum exercitu exeuntem videret, ad eum accessisse, et manibus frenum equi, quo ille vehebatur, arripuisse, et voce magna dixisse: « Quonam, o imperator, proficisceris, qui adversus Deum bellum geris, neque illius opem tibi concilias? Nam ille quodammodo contra te Barbaros excitavit, quoniam et tu adversus illum impiorum hominum peregrinas et blasphemas linguas exacuisti, eosque qui pro eo atque decet, de illo opinantur, atque

ΚΕΦΑΛ. Ν'.

Περὶ τῆς τοῦ ἁγίου Ἰσαακίου τοῦ μοναχοῦ παῤῥησίας· καὶ ὡς συμβαλὼν τοῖς Γότθοις Οὐάλης περί που τὴν Ἀδριανοῦ, καὶ ἐν δωματίῳ καταφυγὼν χόρτον ἔχοντι, διεφθάρη παρὰ τῶν πολεμίων, δαπάνη γενόμενος τῷ πυρί.

Τότε δὲ καὶ Ἰσαάκιον ἐκεῖνον περὶ τὴν Κωνσταντίνου μοναχικὴν σκηνὴν ἔχοντα, φασὶν ἰδόντα σύναμα τῇ στρατιᾷ τὸν Οὐάλεντα ἐξερχόμενον· ἦν δὲ ὁ ἀνὴρ ἀγαθὸς τά τε ἄλλα, καὶ ἐν ἑτοίμῳ ἔχων διὰ τὸ Θεῖον πάντα κίνδυνον ὑποστῆναι· προσελθόντα, ταῖν χεροῖν τοῦ χαλινοῦ τοῦ ἵππου δράξασθαι ᾧ ἐπoχος ἦν, καὶ βοῇ μεγάλῃ χρησάμενον ἐπειπεῖν· Ποῖ δὴ βαδίζεις, ὦ βασιλεῦ, κατὰ Θεοῦ στρατευσάμενος, καὶ μὴ τὴν ἐκείνου ἀρωγὴν ἐπισπώμενος; Καὶ γάρ πως αὐτὸς κατὰ σοῦ τὸ βάρβαρον ἤλασεν, ἔτι γε καὶ σὺ κατ' αὐτοῦ τὰς τῶν δυσσεβούντων ἀλλοθρόους καὶ βλασφήμους γλώσσας παρέθηξας· καὶ τοὺς ᾗ χρὴ περὶ αὐτοῦ δοξάζοντας καὶ ὑμνοῦντας, τῶν ἱερῶν περιβό-

λων ἀπήλασας. Ἀπόδος τοίνυν τοῖς ὀρθῶς δοξάζουσι, καὶ τὸ ἀκραιφνὲς τῆς ἐν Νικαίᾳ πίστεως τὸν ὅρον φυλάττουσι, τὰς ἀφαιρεθείσας ἐκκλησίας, καὶ ἀπονητὶ νικήσεις τὴν μάχην. Εἰ γὰρ παύσῃ σὺ πολεμῶν, παύσεται δηλαδὴ καὶ ὁ ὑπὸ σοῦ πολεμούμενος. Εἰ δὲ θέμενος ἐν δευτέρῳ τὰ εἰρημένα πρὸς παράταξιν ἔλθῃς, αὕτη σε πεῖρα διδάξει, ὅσῳ δὴ σκληρὸν τό τε πρὸς κέντρα λακτίζειν, καὶ τὸ εἰς τὸν οὐρανὸν τιθέναι γλῶτταν ἀκόλαστον· οὔτε γὰρ αὐτὸς ἐπανήξοις, καὶ ὅσον δὴ ἐπάγῃ τῆς στρατιᾶς, ἀπολέσεις. » Ὀργῇ δ' ἀμέτρῳ χρησάμενος ὁ κρατῶν, « Ἀλλ' ἐπανήξω, ἔφη, σὺν πολλῷ τῷ τροπαίῳ, καὶ τὴν ἀξίαν δίκην τῆς σῆς εἰσπράξομαι τόλμης, ἀπελέγχων σου τὴν ψευδῆ προφητείαν. » Καὶ αὐτίκα συλληφθῆναι τὸν ἄνδρα προσέταττε, καὶ ὑπὸ φρουρὰν γενέσθαι ἕως οὗ ὑποστρέψειεν. Ὁ δ' ἀπιὼν ἐβόα, « Κτεῖνον, εἰ φωραθείη τῶν λόγων τὸ ψεῦδος. » Εἰ δ' εἰς ἔργον ἀπέβη τῷ ὁσίῳ τὰ ῥήματα, δηλώσει τὰ πράγματα. Ἐπεὶ γὰρ σύναμα τῷ στρατῷ ἐξῄει, οἱ μὲν βάρβαροι τραπέντες ὑπεχώρουν· ὁ δ' ἐπιδιώκων, τὴν Θρᾴκην παραμείψας, τὴν Ἀδριανοῦ κατελάμβανεν, ἣ ἐν τοῖς ὁρίοις Μακεδονίας ἐστίν. Οὐ πάνυ δὲ πόῤῥω γενόμενος, τοῖς βαρβάροις ἐν τῷ ἀσφαλεῖ καθεστῶσιν, ἐξαπίνης συμβάλλει, μὴ προδιαθέμενος, μηδ' ὅπως χρὴ συντάξας τὴν στρατιάν. Τῷ δ' ἀθρόῳ τῶν βαρβάρων τῆς προσβολῆς τῆς ἵππου διασπασθείσης αὐτῷ, καὶ τοῦ ὁπλιτικοῦ τραπέντος συντάγματος, ἄλλος ἀλλαχοῦ ἔφευγον· οἱ δ' ἐπιόντες, ἀδεῶς ἔκτεινον. Ὁ δὲ βασιλεὺς καὶ αὐτὸς ἀνακράτος φεύγων, ἀποβὰς τοῦ ἵππου, ἅτε δὴ ἀμηχανίᾳ πολλῇ συσχεθεὶς, ἔν τινι τῶν κατ' ἀγροὺς οἰκημάτων χόρτῳ τὴν στέγην ἐπηλυγάζοντι ἑαυτὸν καταχρύπτει, σὺν τοῖς ἑπομένοις ὀλίγοις οὕτω λανθάνειν πειρώμενος. Οἱ δὲ βάρβαροι ῥύμῃ ἀσχέτῳ φερόμενοι, ὥσπερ τἄλλα τὰ ἐν ποσὶν, οὕτω δὴ καὶ τὸ οἴκημα πυρὸς δαπάνην ἐποίουν, μηδεμίαν, ὥς φασι, περὶ τοῦ βασιλέως λαβόντες ὑπόνοιαν· καὶ σὺν τῇ κώμῃ καὶ τὸν τῆς ἀληθείας ἀντίπαλον κατετέφρωσαν. Ὅτε δὴ λόγος τὸν θεοφιλῆ ἄνδρα τὸν Ἰσαάκιον, ὀπτώμενον τῷ δωματίῳ Οὐάλεντα ᾐσθημένον, τῆς ἐκεῖθεν ἐμφορεῖσθαι κνίσσης, καὶ τοῖς ἐν φρουρᾷ καταγγεῖλαι, ὡς νῦν Οὐάλης πυρὶ κατατήκεται· ἡ δὲ ὄσφρησις τῆς ἐκεῖθεν ἀποῤῥεούσης δυσοδμίας αἰσθάνεται. Οἱ μὲν οὖν οὕτω φασὶ φθαρῆναι Οὐάλεντα· οἱ δὲ καὶ τοῦτο δὴ προστιθέασιν· ὡς εἰσῄει μὲν τὸ δωμάτιον λαθεῖν ἐπειγόμενος, καὶ μέχρι τινὸς ἐλάνθανε· παρέτρεχον γὰρ ἐκεῖνον οἱ βάρβαροι πρόσω ἱέμενοι· κρύπτεσθαι γὰρ ἐκεῖσε τὸν βασιλέα οὐδ' ἐν ὑπονοίαις ἦσαν. Ὡς δ' οἱ πλείους τῶν βαρβάρων ὑπερβαλόντες τὸν τῇδε χῶρον διέβησαν, ὀλίγων ὕστερον ἐπιόντων, τῶν τινες περὶ τὸν βασιλέα ὑπὲρ στέγης τοῦ δωματίου γενόμενοι, κατ' ἐκείνων τὰ βέλη ἠφίεσαν. Οἱ δὲ Οὐάλεντα κρύπτεσθαι ἐνθάδε ὑποτοπάσαντες, βοαῖς σὺν ἀλαλαγμῷ μεγάλῳ ἐχρῶντο, ὡς ἐνθάδε Οὐάλης ἐστίν. Οἱ δὲ προστυχόντες, ἔμπροσθέν τε καὶ ὄπισθεν, ὃ ἤκουον τοῖς μετ' αὐτοὺς ἐδήλουν. Ὡς ἀχαρεὶ καὶ τοὺς ποῤῥωτέρω πολεμίους ἀκοῦσαι, καὶ εἰς ἓν ἅπαντας συνελθεῖν· οἳ δὴ καὶ περικύκλῳ τὸ δωμάτιον συλλαβόντες, καὶ ὕλην μάλα πλείστην περιαθροίσαντες,

A illum rite laudibus vehunt, ex sacris ædibus ejecisti. Redde igitur recte sentientibus, et sinceræ fidei Nicænæ decretum servantibus, quas ademisti ecclesias: et labore nullo victor in bello evades. Si enim tu adversari illi desieris et quieveris, quiescet scilicet et ille quem tu oppugnas. Sin verbis hisce contemptis, in aciem perveneris, re ipsa experiere, quam durum sit contra stimulum calcitrare, et in cœlum impotentem linguam tollere. Neque enim ipse redibis: et quas tecum ducis, copias perdes. » Imperator autem vehementiore ira commotus: « Ego vero, inquit, redibo cum præclaro tropæo, et dignas a te temeritatis tuæ summam pœnas, prædictionemque tuam falsam esse B ostendam. » Et confestim comprehendi hominem, et in custodia asservari, donec rediret, jussit. At ille adductus vociferabatur: « Eneca etiam, inquiens, si mendacia esse deprehenderis verba mea. » Num autem ad rem collata sint sancti viri dicta, res ipsa gesta declarabit. Postquam enim cum copiis imperator est egressus, Barbari conversi retrocesserunt: quos ille insequens, Thracia post se relicta, Adrianopolim venit, quæ in Macedoniæ finibus sita est. Atque ubi non longe ab hostibus abfuit, cum ipsi in tuto loco essent, ex improviso ordinibus non dispositis, neque acie pro eo atque debuit structa, eos est adortus. Cum vero Barbari confertim ruentes, equitatus ejus impetum et impressionem distraherent, et graviorem armaturam in fugam C verterent, alius alio se recepit: hostes autem eis imminentes, metu nullo, cædem multam **215** fecere. Imperator quoque ipse cum ex equo per desperationem summam descendisset, quantum poterat fugiens, in quamdam villæ domunculam stramentis contectam, cum paucis qui eum secuti fuerant, latere ibi volens, se abdidit. Barbari autem impetu et celeritate maxima insequentes, sicuti alia ad quæ venerant tecta, ita domunculam eam quoque incenderunt: cum quidem, ut dicitur, nihil de imperatore suspicarentur. Sic illi una cum vico eo, veritatis etiam hostem in cineres redegerunt. Quo tempore fama est, Deo dilectum virum Isaacium, cum Valentem in domuncula ea assum sentiens, nidore ejus repleretur, eis qui secum in D custodia erant, annuntiasse: nunc jam Valens igne torretur, et nares profluentem ab eo odorem ingratum sentiunt. Nonnulli quidem ita Valentem interiisse dicunt. Alii autem illud addunt, subiisse quidem illum, cum occultare se properaret, domunculam, atque ibi aliquantulum latuisse, quod Barbari cursum suum tenentes præterirent, et imperatorem ibi occultari nemo suspicaretur. Ubi autem maxima hostium pars eo loco superato abiisset, et pauci postea advenirent, quosdam imperatoris fugæ comites in tectum domunculæ conscendisse, et tela in Barbaros conjecisse. Atque illos tum demum occultari ibi Valentem suspicatos, ingenti clamore et jubilatu, utpote victores, Valentem isthic esse vociferatos esse. Idque et qui

prætererant, et qui consequebantur, cum audissent, suis porro significasse : ita ut fere etiam hostes illi, qui longius abierant, id audierint, atque omnes in eum locum convenerint. Eosque domuncula circumdata, et materia plurima aggesta, ignem deinde in eam injecisse : unde mox secundo, casu quodam, vento afflante, flamma sit excita. Atque ita materiam eam una cum eis quæ in domuncula erant rebus, et præter alios ipsum quoque imperatorem conflagrasse, et in cinerem redactum esse. Alii vero memoriæ prodidere : cum Barbari fugientes insequerentur, Valentem ingenti metu perculsum, habitu mutato, peditibus se immiscuisse, **216** deinde postquam equites rem prodidissent, et a pugna per desperationem destitissent; quippe qui hostium impressione disjecti essent, eos omnes concidisse : inter quos ipse etiam jacens latuerit, quod signum nullum exstaret, quod eum imperatorem esse indicaret. Interiit autem Valens annis quinquaginta exactis. Imperavit una cum fratre Valentiniano annis tredecim (1) : post illius autem obitum aliis tribus, et mensibus aliquot. Continet vero undecimus iste historiarum liber, sedecim annorum tempus : cum a mundo condito quinquies millesimus octingentesimus primus (2), a nativitate autem Domini trecentesimus octogesimus sextus ageretur annus.

A ἔπειτα πῦρ ἐνῆκαν· καὶ αὐτίκα φλὸξ ἀνηγείρετο ἐπιφόρῳ ἐκ τοῦ παρήκοντος ἐλαυνομένη τῷ πνεύματι. Καὶ ἡ μὲν ὕλη ἐκαίετο· ἅμα δὲ καὶ τὰ ἐπικείμενα τῷ δωματίῳ τοῦ φλέγοντος ἦσαν· σὺν τοῖς ἄλλοις δὲ καὶ αὐτὸν τὸν βασιλέα εἰς τέφραν καθίστα. Ἱστόρηται δ' ἄλλοις ὡς τῇ τῶν βαρβάρων ἐπιδιώξει, εἰς δέος μέγα Οὐάλης γενόμενος, ἀμείψας τὸ σχῆμα, εἰς τὸ τῶν πεζῶν εἰσήλασε στῖφος. Ἔπειτα τῶν ἱππέων προδεδωκότων, καὶ τὴν μάχην ἀπειπόντων, ἅτε τῇ τῶν βαρβάρων συμβολῇ διαιρεθέντων, ἀθρόως πάντας πεσεῖν· ὅπου δὴ σὺν τοῖς λοιποῖς κείμενον καὶ αὐτὸν λαθεῖν, μή τινος ὄντος συμβόλου ὃ τοῦτον ὡς βασιλέα μηνύσειεν. Τελευτᾷ δὲ Οὐάλης ζήσας τὰ πάντα ἔτη πεντήκοντα· ὧν τὰ μὲν τρισκαίδεκα σύναμα τῷ ἀδελφῷ Οὐαλεντινιανῷ ἐβασίλευσε· μετὰ B δὲ τὴν ἐκείνου τελευτὴν καὶ ἕτερα τρία ἔτη ἐκράτησε πρὸς μησί τισι· περιέχει δὲ καὶ ἡ παροῦσα ἑνδεκάτη μοι τῶν ἱστοριῶν χρόνων ἐτῶν ις'. Ὁπηνίκα κόσμου μὲν ἔτος ,εωπα'. Ἀπὸ δὲ τῆς θείας τοῦ Κυρίου γεννήσεως τς' καὶ π' ἐπεραίνετο.

(1) V Id. Aug. Ann. duobus, mensibus quinque, diebus tredecim. (Diacon.)

(2) Neoterici chronici ponunt 4359.

ΝΙΚΗΦΟΡΟΥ ΚΑΛΛΙΣΤΟΥ

ΤΟΥ ΞΑΝΘΟΠΟΥΛΟΥ

ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΙΣΤΟΡΙΑΣ

ΤΟΜΟΣ ΙΒ'.

NICEPHORI CALLISTI

XANTHOPULI

ECCLESIASTICÆ HISTORIÆ

TOMUS XII.

222 CAPUT I.

De imperio Gratiani et Valentiniani junioris, et ut socium imperii Theodosium Magnum admiserint.

Postquam Valens ita e vita excessit; Barbari victoria quæ eis præter opinionem obtigerat, elati, Thraciam omnem percurrentes, etiam propinqua Constantinopoli circumcirca loca vastarunt. Et cum

C

ΚΕΦΑΛ. Α'.

Περὶ τῆς βασιλείας Γρατιανοῦ καὶ Οὐαλεντινιανοῦ τοῦ νέου, καὶ ὡς κοινωνὸν τῆς ἀρχῆς καὶ Θεοδόσιον τὸν Μέγαν προσίεντο.

Λιπόντος δ' οὕτω τὸν βίον Οὐάλεντος, οἱ βάρβαροι τῷ παρὰ δόξαν ἐπαρθέντες τροπαίῳ, πᾶσαν ἐπῆλθον τὴν Θράκην δηοῦντες, καὶ τὰ κύκλῳ τῆς Κωνσταντίνου κατέτρεχον. Ἐν κινδύνῳ δὲ τῶν

πραγμάτων ὄντων, ὄφελος οὐκ ἐλάχιστον ἐγένοντο οἱ ἀπὸ Μαυΐας πεμφθέντες σύμμαχοι ἐκ Σαρακηνῶν. Πολλοὶ δὲ καὶ τῶν ἐκ τοῦ δήμου μισθῷ ῥητῷ, Δομνίκης χορηγούσης τῆς Οὐάλεντος γυναικὸς, ἕκαστος τὸ προστυχὸν ὅπλον ποιούμενοι, ἀντεπεξῄεσαν τοῖς βαρβάροις, γενναίως τε ἀμυνόμενοι, τῆς πόλεως πορρωτέρω ἀπήλασαν. Γρατιανὸς δὲ, ὁ ἀδελφιδοῦς μὲν Οὐάλεντος, παῖς δὲ Οὐαλεντινιανοῦ, σύναμα τἀδελφῷ τῷ νέῳ δηλαδὴ Οὐαλεντινιανῷ, πᾶσαν τὴν Ῥωμαίων ἀρχὴν ὑφ' ἑαυτὸν ἐποιεῖτο· καὶ γὰρ πάλαι μὲν τὴν τῆς Εὐρώπης ἀρχὴν ἐκληροῦτο μετὰ τελευτὴν τοῦ πατρός· καὶ ἕως ἔτι περιῆν ἐκεῖνος, τῆς ἀρχῆς ἐκοινώνει· νῦν δὲ καὶ τὴν Ἀσίαν ἅπασαν καὶ τὰ λειπόμενα προσεκτᾶτο Λιβύης, ἄπαιδος ἀναιρεθέντος Οὐάλεντος. Καὶ δὴ θρηνεῖ μὲν τὸν θεῖον· ἐκόψατο δὲ τὴν Ῥωμαίων ἀρχὴν οὕτω κακῶς δῃουμένην. Μεμψάμενος δὲ καὶ τὴν γνώμην ἐκείνου, ἣν διετέλεσεν ἔχων περὶ τοὺς ἄλλως ἢ ὡς ἐκείνῳ ἐδόκει δοξάζοντας, νόμῳ ἐκέλευεν ὡς ἑκάστῳ βούλησις ἐστι, θρησκεύειν, καὶ ἀδεῶς μάλα ἐκκλησιάζειν, πλὴν τῶν ὅσοι τὰ Μανιχαίου καὶ Φωτεινοῦ καὶ Εὐνομίου ἐφρόνουν· καὶ τοῖς ὑπὸ Οὐάλεντος καταδικασθεῖσι τῶν ἐπισκόπων φυγὴν ἐπέτρεπε κάθοδον. Ἔπειτα συνιδὼν πρὸς τὸ τῆς τοσαύτης ἀρχῆς μέγεθος, καὶ ὡς οἱ ἀμφὶ τὸν Ἴστρον βάρβαροι τὴν Ἰλλυρίδα καὶ τὴν Θρᾴκην δῃοῦντες οὐκ ἔληγον, ναὶ μὴν καὶ Ἀλαμανοὶ Γαλάταις ἐν τῇ πρὸς ἑσπέραν ἀρχομένῃ ἐπέκειντο τὰ ἔσχατα κακουργοῦντες, κοινωνὸν τῇ ἀρχῇ προσελάμβανε Θεοδόσιον· ἄνδρα εὐγενῆ τε καὶ περιώνυμον ἐν ταῖς στρατηγίαις, καὶ πλεῖστα ταῖς ὑπὲρ τῶν ὁμοφύλων μάχαις ἀγωνισάμενον· καὶ πρὸ τῆς Γρατιανοῦ χειροτονίας ἄξιον παρὰ πάντων εἰς τὸ βασιλεύειν κρινόμενον. Οὗ δὴ χάριν, ὑπὸ τῶν ὁμοτίμων τοῖς τοῦ φθόνου κέντροις βαλλόμενος, ἀπόμαχος ἐν Ἰσπανίαις διέτριβεν. Ἐκεῖθεν γὰρ ὥρμητο εὐπατρίδης εἴπερ τις μάλιστα ὢν τῶν ἀμφὶ τὸ Πυῤῥηναῖον ὄρος Ἰβήρων· Ἰβηρίδας γὰρ τὰς Ἰσπανίας καλοῦσι· τοῦ δι' αὐτῶν ῥέοντος ποταμοῦ τὴν προτέραν ἐκνικήσαντος ὀνομασίαν. Ἐκεῖθεν τοίνυν τὸν ἄνδρα μεταστειλάμενος, τὰ μὲν πρῶτα στρατηγὸν τοῦτον ἐχειροτόνει, καὶ μετὰ τῆς ἐνούσης αὐτῷ ἐξέπεμπε στρατιᾶς· ὃς δὴ καὶ τῇ πίστει φραξάμενος, ἔπεισι τοῖς τὴν Θρᾴκην καταθέουσι τῶν βαρβάρων, καὶ σὺν κόσμῳ διατάξας τὴν στρατιὰν, ὁμόσε χωροῦσι προσβάλλει. Ἐκεῖνοι δὲ μὴ ἐνεγκόντες τὴν ἐμβολὴν, ἐν ἀταξίᾳ ἦσαν· καὶ τροπῆς γενομένης, ἀνακράτος ἡττῶντο· οὐ γὰρ ὑπὸ Ῥωμαίων μόνον, ἀλλὰ καὶ ὑπ' ἀλλήλων ἐκτείνοντο. Πολλῶν τοίνυν ἀναιρεθέντων, ὀλίγων δὲ δυνηθέντων διαφυγεῖν εἰς τὸν Ἴστρον, εὐθὺς ἣν εἶχεν ἐπεδείκνυτο στρατηγίαν. Τὸν γὰρ στρατὸν ταῖς γειτονούσαις τῶν πόλεων διαφεὶς, αὐτὸς ὅσον τάχος ἐλαύνων, αὐτάγγελος τῆς νίκης τῷ Γρατιανῷ παρῆν. Παράδοξον δ' οἷον ἐδόκει τὸ ἔργον καὶ ἄπιστον. Ὅσοι γὰρ τῷ φθόνῳ ἐτήκοντο, οὐ μόνον νικῆσαι, ἀλλὰ καὶ διαφθεῖραι τὴν στρατιὰν, καὶ φυγῇ χρήσασθαι διετείνοντο. Ὁ δὲ αὐτοὺς ἐκείνους πέμπειν

A res in discrimine esset, non parum opis auxiliares copiæ Sarracenorum, quas Mavia miserat, tulere. Multi etiam e populo, stipendio a Dominica (1), Valentis conjuge, constituto conducti, arreptis quæ tum tempus offerebat armis, barbaris obviam iere: eosque fortiter dimicantes longius ab urbe propulere. Gratianus autem Valentis quidem fratris filius, Valentiniani vero proles, una cum fratre Valentiniano juniore, totius Romani imperii administrationem suscepit. Dudum namque post patris mortem Europæ imperium obtinuerat: eoque superstite, imperii socius fuerat. Tum autem Asia omnis, et quidquid supererat Libyæ, quod Valens absque liberis decessisset, in potestatem ejus venit. **223** Et luxit ille quidem patruum, imperiumque B Romanum ita vastatum esse flevit. Consilio autem illius et sententia, quam de eis retinuerat qui de religione aliter atque ei placuisset opinati fuissent, improbata, constitutionem, ut quam quisque vellet, religionem sequeretur, conventusque ecclesiasticos semoto metu libere omnes agerent, præterquam Manichæi, et qui Photini et Eunomii sectæ essent, tulit. Et episcopis, quos Valens ad exsilium damnaverat, reditum permisit. Deinde imperii magnitudinem et molem secum ipse considerans, quod et Barbari Istrum accolentes, Illyricum et Thraciam exscindere non desisterent, et Alamani Gallis Occidentalibus imminerent, eisque extrema damna inferrent, socium imperii sibi ascivit Theodosium, C claro loco natum, atque imperatoriis artibus celebrem virum, qui pro popularibus suis sæpe bello decertaverat, et antequam Gratianus imperator creatus esset, dignus ab omnibus habitus fuerat, ut ei imperium committeretur. Cujus rei gratia, per collegarum suorum, qui eosdem cum eo gerebant honores, invidiam, in Hispaniis extra militiam vivebat. Ibi enim ortus fuerat, circa Pyrenæos Iberorum montes, generis nobilitate nemini secundus. Iberiam namque Hispaniam vocant, nomine eo ab Ibero amne, qui per eam fluit, sumpto. Inde Gratianus virum accitum, primum exercitus ducem legit, et cum eis quas contraxerat copiis, contra hostes misit. Atque ille fide munitus, in Thraciam adversus Barbaros eam vastantes duxit, et acie D optime structa, irruentibus illis occurrit. Qui impressionem ejus non ferentes, ordines ipsi suos turbarunt: et mox terga vertentes, magna vi sunt devicti. Non enim a Romanis solum, sed a se mutuo quoque cædebantur. Atque ita quamplurimis cæsis, cum pauci ad Istrum profugissent, statim rursus imperatoriæ artis scientiam ostendit. Copiis enim in vicinas urbes, ut ibi præsidio essent, impositis, itineribus maximis ad Gratianum, ut ipsemet victoriæ suæ nuntius esset, contendit. Res ea quod præter opinionem omnium accidisset, quodammodo fide caruit. Nam qui ei invidebant, non solum eum non vicisse, verum etiam amisso exercitu profu-

(1) Sozom. ex publico eam stipendium constituisse dicit.

gisse confirmabant. **224** At ipse ut aliqui ad rem inspiciendam mitterentur petiit, qui occisorum Barbarorum numerum inirent, quem ex spoliis facile colligere possent. Imperator certos homines qui rem explorarent misit. Theodosius autem aliquandiu apud eum manens, visionem divinam vidit, quam ei aperte universitatis hujus exhibuit Deus. Videre enim visus est Antiochenæ Ecclesiæ episcopum divum Meletium, imperialem sibi chlamydem circumdantem, et capiti coronam ex magni pretii materia imponentem. Nocturnum hoc visum ex familiaribus cuidam postridie mane exposuit. Et ille nihil ambigui id habere, sed clara satis et aperta, quæ significarentur, esse dixit. Intercessere dies pauci, et qui ad res investigendas missi fuerant, reversi, plurima Barbarorum millia cecidisse renuntiarunt. Ea re persuasus imperator, ita ut par erat, simul et militiæ ducem et imperatorem Theodosium, Sirmii creavit, imperiumque ei Valentis omne attribuit. Atque hoc sic in Sirmio confecto, ipse quidem in Italiam est profectus: illum autem ad Orientale, quod ei concesserat imperium, misit.

CAPUT II.

Qui eo tempore magnarum urbium sacras habenas rexerint: et de Macedonianis, ut rursum illi Ecclesiam catholicam turbarint.

Eo tempore Damasus Ecclesiæ Romanæ præfuit, Liberii successor. Hierosolymis Cyrillus adhuc superstes ecclesiam rexit. Antiochiæ ecclesia in tres partes divisa erat: post Euzoium enim, Theodorus Perinthius ecclesiis præfuit, Arianæ religionis propugnator: ὁμοουσίου, consubstantialis, vero fidei suffragatores, partim Paulino, partim Meletio, qui nuper admodum ab exilio redierat, paruere. Porro Alexandriæ Ariani quidem Lucium antistitem habuere, qui tum profugus Constantinopoli degebat. Catholicæ autem Ecclesiæ, post Petrum, Timotheus frater præiit. Constantinopoli Eudoxii successor Demophilus ecclesias gubernavit: ὁμοουσίου, consubstantialis, autem religionis episcopus Evagrius in exsilio vivebat. At sectatores ejus Demophilum aversantes, et suos sibi conventus agentes, a Gregorio Magno curabantur. **225** Atque, Hierosolymis exceptis, per Orientem ecclesiæ prope omnes in Arianorum potestate erant. Enimvero Macedoniani post initam cum Liberio conciliationem, non admodum a Nicæni decreti sectatoribus dissensere. Aliquandiu enim in urbibus simul et in ecclesiis commercia inter se habuere, et veluti ejusdem sententiæ suffragatores libere communionem coluere. Postquam autem Gratiani constitutio cuilibet, quam vellet religionem complectendi facultatem dedit, episcopi quidam ecclesiis suis, quas sub Valente amiserant, receptis, denuo se ab aliis segregavere. Ii Antiochiæ in Caria conventu coacto, ὁμοουσίου, consubstantialis, vocem repudiarunt, et pro ea sicuti antea ὁμοιοούσιον, æquisubstantiale, confir-

A ἐδεῖτο, τὸ τῶν ἀνῃρημένων βαρβάρων στῖφος ἀναριθμεῖν. Καὶ γὰρ εἶναι ῥᾴδιον ἔλεγε τοῖς σκύλοις τεκμηριῶσαι τὸν ἀριθμόν. Καὶ ὁ μὲν βασιλεὺς τοὺς ὀψομένους ἀπέστειλε· Θεοδόσιος δ' ἐκεῖσέ πη ἐγκαρτερῶν, ὄψιν θεσπεσίαν ἑώρα, ἣν αὐτὸς σαφῶς ὁ τῶν ὅλων παρεδείκνυ Θεός· τὸν γὰρ θεῖον τῆς Ἀντιοχέων Ἐκκλησίας ἡγεμόνα Μελέτιον καθεώρα, χλαμύδα βασιλικὴν αὐτῷ περιτιθέντα, καὶ στεφάνῳ ἐξ ὕλης πολυτελοῦς ἀναδοῦντα τὴν κεφαλήν. Ταῦτα νύκτωρ ἰδὼν, ἕωθεν τινὶ τῶν συνήθων ἀπήγγειλεν. Ὁ δὲ μηδὲν ἀμφίβολον τὴν ὄψιν ἀνεῖπε· σαφῆ γὰρ εἶναι τὰ αἰνισσόμενα· ἡμερῶν δ' ὀλίγων διαγενομένων, ἐπανῆκον μὲν οἱ πεμφθέντες· πολλὰς δὲ μυριάδας τῶν βαρβάρων πεσεῖν ἤγγελον. Οἷς πεισθεὶς βασιλεὺς, καὶ ὡς χρεὼν στρατηγὸν ἐψηφίσατο,
B καὶ βασιλέα ἐχειροτόνησε, καὶ τὴν ὅσην Οὐάλης διεῖπε παρεδίδου ἀρχήν. Ταῦτα ἐν Σιρμίῳ διαπραξάμενος, αὐτὸς μὲν ἐπὶ τὴν Ἰταλίαν ἐξώρμησεν· ἐκεῖνον δὲ εἰς τὴν πρὸς ἕω ἀρχομένην καὶ αὐτῷ οἱ δοθεῖσαν ἐξέπεμπεν.

ΚΕΦΑΛ. Β'.

Τίνες τηνικαῦτα τῶν μεγάλων πόλεων τὰς ἱερὰς ἡνίας διεχειρίζοντο· καὶ περὶ τῶν Μακεδονιανῶν, ὡς αὖθις τὴν καθόλου Ἐκκλησίαν ἐτάρασσον.

Κατὰ δὲ τοῦτον τὸν χρόνον τῆς μὲν ἐν Ῥώμῃ Ἐκκλησίας τὴν ἐπιτροπὴν Δάμασος εἶχε, διαδεξά-
C μενος τὸν Λιβέριον· τῆς δ' ἐν Ἱεροσολύμοις ἔτι Κύριλλος περιὼν ἐκράτει. Ἡ δ' Ἀντιόχου τριχῇ διῄρητο. Μετὰ γὰρ Εὐζώϊον Θεόδωρος ὁ Πειρίνθιος τῶν ἐκκλησιῶν ἦρχε, τῆς Ἀρειανῆς προεστὼς θρησκείας. Ὅσοι δὲ τῆς ὁμοουσίου πίστεως ἦσαν, οἱ μὲν Παυλίνῳ, οἱ δὲ Μελετίῳ συνῆσαν ἄρτι τῆς ὑπερορίας ἐπανιόντι. Κἀν τῇ Ἀλεξάνδρου δὲ οἱ μὲν ἐξ Ἀρείου Λούκιον εἶχον ἡγούμενον, τηνικαῦτα φυγῇ ἐν τῇ Κωνσταντίνου χρησάμενον· τῆς δὲ καθόλου Ἐκκλησίας μετὰ Πέτρον Τιμόθεος ὁ ἀδελφὸς προειστήκει. Ἀνὰ δὲ τὴν Κωνσταντίνου τῶν μὲν ἐκκλησιῶν Δημόφιλος ἦρχεν, Εὐδοξίου διάδοχος· τῆς δὲ ὁμοουσίου θρησκείας Εὐάγριος ἐν ὑπερορίᾳ διάγων. Οἱ δὲ τὸν Δημόφιλον ἐκτρεπόμενοι, καθ' ἑαυτοὺς ἦσαν, ὑπὸ Γρηγορίῳ τῷ πάνυ ἀγόμενοι.
D Σχεδὸν δὲ πλὴν Ἱεροσολύμων τῶν ἀνὰ τὴν ἕω ἐκκλησιῶν οἱ ἐξ Ἀρείου ἐκράτουν. Μακεδονιανοὶ δὲ μετὰ τὰς πρὸς Λιβέριον συνθήκας οὐ πάνυ τι διεφέροντο πρὸς τοὺς τὰ ἐν Νικαίᾳ δόξαντα στέργοντας· μέχρι γάρ τινος κατὰ πόλεις καὶ ἐκκλησίας ἀλλήλοις ἐπεμίγνυντο, καὶ ὡς ὁμοδόξοις ἀδεῶς ἐκοινώνουν. Ὡς δὲ ὁ Γρατιανοῦ νόμος ἄδειαν παρεῖχεν ἑκάστῳ θρησκεύειν, ὡς βούλοιτο, τῶν τινες ἐπισκόπων τὰς οἰκείας ἐκκλησίας καταλαβόντες, ἃς ἐπὶ Οὐάλεντος ἀφῃρέθησαν, διακρίνεσθαι αὖθις σπουδὴν ἐποιοῦντο· καὶ δὴ κατὰ τὴν Καρίας Ἀντιόχειαν συνελθόντες, τὴν τοῦ ὁμοουσίου φωνὴν ἀπεβάλλοντο· ἐκύρουν δὲ ὡς καὶ πρόσθεν τὸ ὁμοιοούσιον, καὶ τὴν ἐν Νικαίᾳ πίστιν ἠθέτουν, καὶ ἰδίᾳ ἦσαν ἐκκλησιάζοντες. Ἀλλ' ἥκιστα τοῦ ἐπιχειρήματος ὤναντο· πολλοὶ γὰρ ἔριν

καταγνόντες αὐτῶν, ὡς Εὐρίπων δίκην ἄλλοτε εἰς ἄλλας δόξας μεταχωρούντων, παντάπασι τῆς κοινωνίας αὐτῶν ἀπέστησαν, καὶ στεῤῥῶς τοῖς τοῦ ὁμοουσίου προσέθεντο, καὶ ἡνώθησαν.

marunt, professionem fidei Nicænam abolentes, et ecclesias suas seorsim celebrantes. Verum frustra illis id cœptum fuit : nam permulti contentione eorum perspecta, quod ad instar Euripi, nunc in hanc, nunc in illam sententiam pedibus irent, a communione eorum se omnino abstinuerunt, et constanter ὁμοουσίου, consubstantialis, fidei laudatoribus per unionem conjunxerunt.

ΚΕΦΑΛ. Γ'.

Ὡς Γρατιανοῦ νόμῳ οἱ ἐξ Ἀρείου ἠλαύνοντο, καὶ οἱ τῆς ὁμοουσίου πίστεως ταῖς ἐκκλησίαις εἰσήγοντο· καὶ ὅσα διὰ Παυλῖνόν τε καὶ Μελέτιον ἐν Ἀντιοχείᾳ συνέβη.

Γρατιανὸς δὲ, ὡς εἴρηται, τὰς ἀπαρχὰς τῆς βασιλείας ἀνατιθεὶς τῷ παμβασιλεῖ τῶν ὅλων Θεῷ, νόμον ἔγραφεν ἀνιέντα τοῖς φυγαδευθεῖσι τῶν ἐπισκόπων τὴν κάθοδον· καὶ τῶν μὲν ἱερῶν σηκῶν τοὺς ἐξ Ἀρείου ἐλαύνεσθαι, τοῖς δὲ τῆς ἐν Νικαίᾳ πίστεως ὑπερισταμένοις τὰς ἐκκλησίας αὖθις διδόναι. Καὶ Σάπωριν δὲ στρατηγὸν ἀπέστελλε τῇ Ἕῳ ταῦτα διαπραξόμενον, ἐπίσημον ἄνδρα μάλα διαγενόμενον. Καὶ ἀπαραβάτως ἐν ἑκάστῳ ἔθνει εἰς πέρας ὁ θεῖος οὗτος νόμος ἐγίνετο. Κατὰ δὲ τὴν Ἀντιόχου πολλή τις ἦν ἡ φιλονεικία τῷ πλήθει, αἰτίαν σχοῦσα τοιάνδε· οἱ γὰρ τῆς ὁμοουσίου πίστεως καὶ τῶν ἀποστολικῶν δογμάτων ὑπερασπίζοντες διῄρηντο. Οἱ μὲν γὰρ εὐθὺς μετὰ τὴν Εὐσταθίῳ γενομένην ἐπιβουλὴν τῆς Ἀρειανικῆς λύσσης διακριθέντες καθ' ἑαυτοὺς ἦσαν, Παυλίνῳ ἀγόμενοι· οἱ δὲ μετὰ τὴν χειροτονίαν Εὐζωΐου τῶν δυσσεβούντων διαστάντες, ὑπὸ τῆς σοφωτάτης Μελετίου ποιμαντικῆς διιθύνοντο. Ἀλλὰ Παυλῖνος μὲν δι' ὑπερβάλλουσαν ἐπιείκειαν πρὸς Οὐάλεντος εἰς τὴν ὑπερορίαν οὐκ ἤγετο· Μελέτιος δὲ πρότερον ὑπερορίᾳ κατακριθεὶς, πρὸς Ἰουλιανοῦ ἐπανήγετο· καὶ αὖθις ἐπὶ Οὐάλεντος τὴν φυγὴν καταδικασθεὶς, τῷ Γρατιανοῦ θεσπίσματι τηνικαῦτα κατὰ τὴν Ἀντιόχου ἐπάνεισι· καὶ ἐλθὼν, Παυλῖνον εὑρίσκει ἤδη πρὸς βαθὺ γῆρας ἐλάσαντα· καί γ' εὐθὺς ἅπαντες ὅσοι τῆς ἐκείνου μοίρας ἦσαν, πάντα κάλων ἐκίνουν, σύνθρονον γενέσθαι Παυλίνῳ Μελέτιον. Τοῦ δὲ Παυλίνου τὴν συνεδρίαν ἐκτρεπομένου, καὶ παρὰ τὸν ἐκκλησιαστικὸν κανόνα τὴν πρᾶξιν εἶναι διατεινομένου· ἅτε δῆτα Μελετίου ὑπὸ Ἀρειανῶν τὴν χειροτονίαν προσειληφότος οὐκ ἀνασχόμενα τὰ πλήθη, ἔν τινι τῶν πρὸ τῆς πόλεως ἱερῶν τὸν Μελέτιον ἐνθρονίζουσιν. Οὗ δὴ γενομένου, πολλή τις ἐρεσχελία εἰσέῤῥει· καὶ ἐκ τῆς ἄγαν φιλονεικίας εἰς ἀτόπους ἐπιχειρήσεις ἐτρέποντο· καὶ προσεδοκᾶτο στάσις ἑκατέρωθεν τοῦ λαοῦ χαλεπαίνοντος. Ἔπειτα θαυμασίας ἐπιγενομένης βουλῆς, εἰς ὁμόνοιαν ἦλθον συνθηκῶν τοιῶνδε γεγενημένων· συνεδόκει γὰρ ὅρκοις πεδῆσαι ὅσοι δὴ ἐπιτήδειοι ἐπισκοπεῖν ἐνομίζοντο, ἢ καὶ προσεδοκῶντο· ὧν ἕτεροι μὲν πέντε ἦσαν, καὶ Φλαβιανὸς αὐτός· ὥστε μηδένα εἰς τὴν ἐπισκοπὴν παρελθεῖν· οὔτε μὴν σπουδάσαι, οὔτ' ἀνέξεσθαι τὴν χειροτονίαν, κἂν εἴ τι καὶ γένηται, ἐπ' αὐτοῖς ἐρχομένην, ἕως ἂν περιῶσι τῷ βίῳ Παυλῖνός τε καὶ Μελέτιος· ὧν θατέρου προτελευτήσαντος, τὸν περιλειπόμενον κατέχειν καὶ τοῦ ἀποιχομένου τὸν θρόνον· καὶ μετὰ τὴν ἐκείνου λοιπὴν ἐπιβίωσιν οὕτως ἕνα τῶν ὑποψήφων, ὃν ἂν τὸ

CAPUT III.

Ut Gratiani constitutione Ariani relegati, et ὁμοουσίου, consubstantialis, fidei professores ecclesiis sint præfecti, et quæ propter Paulinum et Meletium Antiochiæ acciderint.

Gratianus, quemadmodum diximus, imperii sui primitias rerum universarum imperatori simul et Deo consecrans, legem promulgavit, per quam cum exsules episcopos restituit, tum Arianos ex sacris ædibus deturbari, easque Nicænæ fidei propugnatoribus reddi permisit. Et Saporem ducem, præclarum admodum virum, qui eam executioni mandaret, in Orientem misit. Et divina ea constitutio in provincia quaque ad legitimum finem suum rite est deducta. Antiochiæ vero ingens erat in plebe contentio et dissidium, ob causam ejusmodi : Qui ὁμοουσίου, consubstantialis, fidem et Apostolica dogmata defendebant, in duas abierant partes : quidam namque statim post structas Eustathio insidias, ab Ariana rabie abhorrentes, sub Paulino antistite conventus suos cogebant. Quidam autem ab Euzoii electione impiorum commercium refugientes, sub sapientissimo pastore Meletio pascebantur. **226** Et Paulinus quidem propter excellentem humanitatem a Valente in exsilium actus non fuerat. Meletius vero cum primum exsilio multatus esset, a Juliano restitutus fuerat : et denuo sub Valente deportari jussus, Gratiani edicto fretus tum Antiochiam redierat, et Paulinum in extrema jam senectute viventem invenerat. Ibi qui factionis ejus erant omnes, omnem movere funem, ut in eodem cum Paulino, throno Meletius collocaretur. Paulinus eam rem non admisit ; factum ejusmodi adversus ecclesiasticos canones esse dictitans, quod Meletius ab Arianis consecrationem accepisset. At populus id non ferens, Meletium in throno templi cujusdam suburbani collocavit. Quo facto, multa verborum rixa est oborta. Et res ex nimio contendendi studio in cœpta absurda abiit : plebeque ex parte utraque indignante, seditio in exspectatione fuit. Deinde vero consilio mirifico invento, ad concordiam res pactis hujusmodi est reducta. Placitum namque est, ut qui ad episcopalem functionem obeundam, vel jam tum essent, vel aliquando futuri essent idonei, quorum quidem quinque alii, et Flavianus sextus erat, jurisjurandi sacramento obligarentur, neminem eorum episcopatum suscepturum, neque ad dignitatem eam anhelaturum, atque adeo neque electionem, si forte ea de quopiam fieret, approbaturum esse, tantisper dum Paulinus et Meletius in vita manerent, atque ut altero defuncto alter qui superstes esset, in illius

succederet locum : post ejus ipsius vero obitum, ut unus ex eis qui suffragiorum calculis digni essent, a Spiritu sancto electus, episcopalem cathedram obtineret. Conventis hisce juramento confirmatis, multitudo fere omnis consensit : pauci tantum Luciferi sectatores, consecrationem Meletii ab alienæ sententiæ suffragatoribus acceptam reprehendentes, dissensionem foverunt.

CAPUT IV.

De Apollinaris errore, et de sancto Flaviano, et Meletio : quæque sedi Antiochenæ evenerint : et de Sapore duce et Eulalio Amasenorum episcopo.

227 Tum vero Apollinaris (1) pietatis persona sumpta, alterius factionis Antiochiæ exstitit auctor. Nam sub apostolicorum dogmatum defendendorum prætextu, brevi mirificus esse veræ pietatis oppugnator apparuit. Adulterinas quippe de æterna et immortali natura opiniones commentus, gradus quosdam et dignitates inter se differentes introduxit. Ad hæc salutis etiam nostræ administrationis mysterium imperfectum reddidit, animamque rationalem, qua corpus omne regitur, ejus quæ nobis obtigit salutis expertem esse dixit : propterea quod hanc quoque non itidem, sicuti reliquam corporis naturam, Deus Verbum receperit, proindeque ei neque sanationem neque honorem aliquem tradiderit. Verum, corpus (2) quidem nugatus est in cœlo ab intellectuali (3) militia omni adorari : animam vero in terris manentem, ut quæ recepta non sit, huc usque incuratam, peccatique ignominia circumdatam esse. Atque alia etiam absurditatis ejusmodi plena blatterans, aliquando quidem et Dominum ipsum ex Virgine carnem recepisse, aliquando vero eam secum e cœlo descendisse, interdum etiam Verbum ipsum in carnem mutatum, nihil ex carne nostra sumpsisse, dixit. Atque insuper aliis nonnullis deliris et nugacibus fabulis adinventis, divinis eas Servatoris promissionibus conjunxit. Quas singulatim, præterquam quod de eis antea quoque diximus, in præsentia recensere supervacaneum esse puto. Tum quidem ille non tantum sectatoribus suis pestem hanc communicavit, sed ex nostris etiam multos ea infecit. Quamvis postea populares ejus, suam ipsorum obscuritatem et fidei nostræ splendorem illustrem cernentes, paucis exceptis, omnes ad ecclesiam se catholicam contulerint, et de communione quidem nostra participaverint, ægritudinis autem suæ venenum non omnino evomuerint, atque id permultis sanam opinionem obtinentibus furtim obtruserint. Unde etiam tanquam a radice mala, unam esse et divinitatis et carnis naturam et divinitatem passioni non obnoxiam passionem subiisse (id quod supra quoque aliqua-

(1) Apollinaris hæresis, Deum Verbum animam humanam cum carne non assumpsisse, et propterea eam in priore damnatione permansisse.

A Πνεῦμα τὸ ἅγιον ἐπιλέξηται, τὴν ἐπισκοπικὴν καθέδραν κληροῦσθαι. Ἐπὶ τούτοις δὴ τῶν ὅρκων γεγενημένων, σχεδὸν τὸ σύμπαν ὡμονόησε πλῆθος. Βραχεῖς δὲ λίαν οἱ ἀπὸ Λουκίφερος διεφέροντο, τὴν Μελετίου αἰτιώμενοι χειροτονίαν, ὡς ὑπὸ ἑτεροδόξων γεγενημένην.

ΚΕΦΑΛ. Δ'.

Περὶ τῆς Ἀπολλιναρίου ἀπάτης· καὶ περὶ τοῦ ἁγίου Φλαβιανοῦ καὶ Μελετίου ὅσα τῷ θρόνῳ τῆς Ἀντιόχου ἐγένετο· καὶ περὶ Σάπωρος τοῦ στρατηγοῦ, καὶ Εὐλαλίου τοῦ ἐπισκόπου Ἀμασείας.

Τηνικαῦτα δὲ καὶ Ἀπολλινάριος τὸ τῆς εὐσεβείας
B περιθέμενος προσωπεῖον, συστήματος ἑτέρου ἐν Ἀντιοχείᾳ καθίστατο ἀρχηγός. Σχήματι γὰρ τῶν ἀποστολικῶν δογμάτων δοκῶν ὑπερίστασθαι, μετ' ὀλίγον ὑπερφυής τις ὤφθη τῆς εὐσεβείας πολέμιος. Κίβδηλα γάρ τινα περὶ τῆς ἀκηράτου φύσεως ἐπινοήσας, βαθμούς τινας καὶ διαφόρους ἀξίας εἰσῆγε· πρὸς δὲ καὶ τὸ τῆς οἰκονομίας μυστήριον ἀτελὲς ἐποίει· καὶ ἐστερῆσθαι τὴν λογικὴν ψυχὴν ᾗ πᾶν διοικεῖται τὸ σῶμα, τῆς γεγενημένης ἔλεγε σωτηρίας· μηδὲ γὰρ προσειλῆφθαι καὶ ταύτην ὡς καὶ τὰ λοιπὰ τοῦ σώματος τὸν Θεὸν Λόγον· καὶ διὰ τοῦτο μηδὲ ἰατρείας μηδὲ τιμῆς μεταδοῦναι. Ἀλλὰ τὸ μὲν σῶμα ἐληρώδει ἄνω προσκυνεῖσθαι ὑπὸ πάσης στρατιᾶς νοερᾶς, τὴν δέ γε ψυχὴν κάτω μείνασαν, ἀθεράπευτον ἐς δεῦρο ὡς ἀπρόσληπτον εἶναι τὴν τῆς
C ἁμαρτίας ἀτιμίαν περικειμένην. Καὶ ἄλλα δ' ἕτερα τῆς ἴσης ἀτοπίας ἀνάπλεω φληναφῶν, ποτὲ μὲν ἐκ τῆς παρθένου καὶ αὐτὸν ἀνειλῆφθαι τὴν σάρκα τὸν Κύριον ἔλεγεν, ἄλλοτε δ' ἐξ οὐρανοῦ σὺν αὐτῷ κατεληλυθέναι· ποτὲ δὲ καὶ αὐτὸν τὸν Λόγον εἰς σάρκα μετατραπῆναι, μηδὲν ἐκ τῆς ἡμετέρας προσειληφότα· καί τινας ἑτέρους ληρώδεις μύθους ἐξευρηκώς, ταῖς θείαις τοῦ Σωτῆρος παρεζεύγνυ ἐπαγγελίαις, ἃ κατὰ μέρος τῷ παρόντι διεξιέναι περιττὸν εἶναι νομίζω. Τέως γε μὴν ἐκεῖνος οὐ μόνον τοῖς ἐκείνῳ ἑπομένοις τῆς οἰκείας λύμης μετέδωκεν, ἀλλὰ καὶ πολλοὺς τῶν ἡμετέρων ταύτης ἐνέπλησε. Κἂν ἐς ὕστερον τὸ τῆς καθ' ἡμᾶς πίστεως ὁρῶντες περιφανές, πλὴν ὀλίγων ἅπαντες τῇ καθόλου Ἐκκλησίᾳ
D προσῆλθον, καὶ τῆς μὲν κοινωνίας μετέσχον· τῆς δ' οἰκείας νόσου τὸν ἰὸν οὐκ ἐξήμεσαν, ἀλλὰ καὶ πολλοῖς τῶν ὑγιῶς ἐχόντων ταύτης κρύφα μετέδωκαν. Ἐντεῦθεν δ' ὡς ἀπὸ κακῆς ῥίζης ἡ μία φύσις τῆς θεότητος καὶ τῆς σαρκὸς ἀνεφύη δόξα, καὶ τὸ προσάπτειν πάθος τῷ ἀπαθεῖ τῆς θεότητος· καὶ τἄλλα ὅσα μεγίστην ἔριν τῷ τε πλήθει καὶ τοῖς ἡγουμένοις καὶ πόλεμον ἀκήρυκτον ἤγειρεν. Ἀλλὰ ταῦτα μὲν ὕστερον ἐγεγόνει· τηνικαῦτα δ', ὡς εἴρηται, Σάπωρος τοῦ στρατηγοῦ ἐκεῖσε γεγενημένου κατὰ τὴν Ἀντιόχειαν, ὥστε καταστῆσαι ἃ κηρύσσει Δάμασος καὶ αὐτὴν στέργειν, καὶ τὸν νόμον Γρατια-

(2) *Terrenum*, Theod.
(3) Ὑπὸ τῶν ἀοράτων προσκυνεῖται δυνάμεων. Theod.

νοῦ προβάλλοντος, Παυλῖνος διισχυρίζετο αὐτὸς εἶναι τῆς Δαμάσου μερίδος. Ἐπίσης δὲ καὶ Ἀπολλινάριος ἔλεγε καταχρύπτων τὴν νόσον. Ἡσυχῇ δὲ καθῆστο Μελέτιος τῶν ἑκατέρων λόγων ἐπακροώμενος. Ὁ δέ γε θεῖος Φλαβιανὸς ἔτι τι τῷ τῶν πρεσβυτέρων ἐμπρέπων βαθμῷ, ἠρέμα τοῦ στρατηγοῦ ἐπαΐοντος, πρὸς Παυλῖνον ἔφη· « Εἰ ἃ δογματίζει Δάμασος στέργεις, ὦ οὗτος, δεῖξον ἡμῖν τὴν τῆς δόξης συγγένειαν· ἐκεῖνος γὰρ μίαν οὐσίαν τῆς Τριάδος ὁμολογεῖ, καὶ τὰς τρεῖς ὑποστάσεις διαῤῥήδην κηρύττει. Σὺ δ' ἔοικας ἐξ ὧν λέγεις, τὴν τῶν ὑποστάσεων ἀναιρεῖν τριάδα. Συμφώνει τοίνυν ἐκείνῳ τοῖς δόγμασι, καὶ κατὰ τὸν τῆς Ἐκκλησίας θεσμὸν τὰς ἐκκλησίας ἀσφαλῶς κάτεχε. » Καὶ τὸν μὲν οὕτω κατασιγάσας, πρὸς τὸν Ἀπολλινάριον ἐπιστραφεὶς, ἔφη· « Θαῦμά μοι ἔπεισιν, ὦ φιλότης, πῶς οὕτως ἀνέδην πρὸς τὸ ψεῦδος δὴ κεχηνὼς οὐκ ἐντρέπῃ, καὶ ταῦτ' ἀκριβῶς εἰδὼς ὡς ὁ θεσπέσιος Δάμασος τελείαν εἰληφέναι τὴν ἡμετέραν φύσιν τὸν Θεὸν Λόγον πλατεῖ δογματίζει τῷ στόματι. Σὺ δ' εἰς ἅπαν ἐναντία μάλα φρονεῖς· μὴ γὰρ ψυχὴν, μηδὲ νοῦν τὸ ἡμέτερον προσειλῆφθαι φῂς ἐκείνῳ· ἃ δὴ τῆς καθ' ἡμᾶς φύσεως καιριώτερα· καὶ διὰ τοῦτο καὶ τῆς σωτηρίας ἐκεῖνα στερεῖς. Εἰ δὲ ψευδῆ σου κατηγοροῦμεν, ἀλλὰ νῦν δεῖξον ὡς συμφωνεῖς Δαμάσῳ τἀναντία σοι δογματίζοντι, τὴν σοι καινοτομηθεῖσαν νόσον ἀποβαλλόμενος, καὶ τοὺς ἱεροὺς σηκοὺς κάτεχε. » Ὁ μὲν οὖν θεῖος Φλαβιανὸς οὕτω τοῖς ἀληθέσιν ἐλέγχοις τὴν τῶν ἀμφοτέρων ἐπεστόμισε παῤῥησίαν· Μελέτιος δὲ, πάντων ἀνθρώπων πραότατος, ἡμέρως πρὸς Παυλῖνον ἔφη· « Ἐπεὶ μή σοι μόνῳ, ἀλλὰ καὶ ἐμοὶ λόγοις οἷς οἶδεν ὁ ἀληθινὸς ποιμὴν καὶ τῶν προβάτων Κύριος, τὴν τούτων ἐνεχείρισε προστασίαν, ἄμφω δὲ τὰ ποίμνια ἀλλήλοις ὡς εἰκὸς κοινωνεῖ, καὶ τὴν ὑγιᾶ βοτάνην τῆς εὐσεβείας σιτίζονται, τὴν θανάσιμον πόαν καὶ νοσερὰν τῶν αἱρετικῶν ἐκτρεπόμενα, εἰ δοκεῖ, συνάψωμεν, ὦ φιλότης, τῆς εὐσεβείας τὰ θρέμματα, καὶ ὑπὸ μίαν μάνδραν ποιήσωμεν, τὴν τῆς ποιμαντικῆς διαλύσαντες ἔριν. Καὶ ἄμφω δὲ τὰ πρόβατα νέμοντες, κοινὴν καὶ τὴν θεραπείαν ἐκ τῆς διδασκαλίας προσάγωμεν. Εἰ δὲ ὁ μέσος θρόνος τὴν φιλονεικίαν διερεθίζει, καὶ τοῦτ', εἰ βούλει, θᾶττον διαλῦσαι πειράσομαι. Χρῆναι γὰρ εἰσηγοῦμαι, ἐν μὲν τῷ θρόνῳ μέσῳ εὐλαβῶς τὸ ἱερὸν Εὐαγγέλιον προτεθῆναι· ἡμᾶς δὲ παρ' ἑκάτερα καθῆσθαι τὴν ὑφεδρίαν ἀσπαζομένους. Καὶ εἰ μὲν ἐμοὶ πρώτῳ τὸ πέρας τοῦ βίου ἐπέλθοι, αὐτὸς μόνος κληρώσῃ τὸν θρόνον· εἰ δὲ σὺ τοῦτο πρότερον πάθοις, ἐγὼ πάλιν ὥς γε δύναμις τῆς ποίμνης ἡγήσομαι. Ταῦτα φιλοφρόνως ἐν εὐλαβεῖ καταστήματι ὁ θεῖος εἶπε Μελέτιος. Ὁ δὲ Παυλῖνος ἥκιστα τοῖς λόγοις συνέθετο. Σάπωρις δὲ κριτὴς τῶν λόγων γενόμενος, τῷ μεγάλῳ Μελετίῳ τὰς ἐκκλησίας ἐπέτρεψεν. Ὁ δὲ Παυλῖνος αὖθις τῆς ἀποκριθείσης ἐκείνῳ μοίρας εἰσάπαξ ἡγεῖτο. Ἔπειτα, ὥσπερ ἄνωθεν εἴρηται, τῶν ὅρκων γεγενημένων τοῖς ὑποψήφοις, πρὸς ὁμόνοιαν ἦλθον τὰ πλήθη. Ἀπολλινάριος δὲ διαμαρτὼν τοῦ σκοποῦ,

tenus ex Gregorio Nazianzeno retulimus), opinio pullulavit : et alia præterea quæ **228** et multitudini et ejus antistibus, contentionem in maximam bellumque implacabile peperere, prodierunt. Verum hæc postea accidere. Tum autem, sicuti dixi, cum Antiochiæ Sapores dux esset, atque Gratiani constitutionem, ut quam fidem Damasus deprædicaret, in ea quoque Antiochia acquiesceret, prætenderet, servandamque juberet : Paulinus quidem Damasi partium se esse affirmavit. Idem quoque Apollinaris, morbum celans, dixit. Meletius autem utriusque verba audiens, tacitus sedit. Ibi tum divinus Flavianus, in presbyterorum etiamnum ordine consistens, duce placide audiente, ad Paulinum : « Si in eadem, inquit, cum Damaso, o bone, sententia acquiescis, exhibe nobis opinionis conjunctionem et affinitatem. Ille namque substantiam unam Trinitatis profitetur, et tres subsistentias disertis verbis deprædicat. Tu vero, sicuti verba tua declarant, subsistentiarum trinitatem prorsus tollis. Quapropter ad illius te, per consensum, dogmata adjunge : et ecclesias, juxta earum sanctiones, tuto obtine. » Atque ubi hunc ita silere coegit, ad Apollinarim conversus : « Valde te admiror, ait, o amice, qui tam impudenter mendacio inhians, non erubescas : cum quidem certo scias, Damasum, hominem admirandum, quod Deus Verbum perfectam naturam nostram susceperit, ore pleno propalam docere. Tu vero contraria prorsus sentis. Non enim ab illo animam et mentem nostram, quæ in natura nostra præstantissima sunt, assumptam esse dicis, et propterea salute utramque privas. Quod si falso te arguimus, at tu novarum rerum tuarum morbo abjecto, te Damaso diversa prorsus a te docenti, consentire ostende, et sacrarum ædium curam obtine. » Et divinus quidem Flavianus, ad hunc modum veraci confutatione utriusque dicendi obturavit licentiam. Meletius autem hominum omnium mitissimus, perplacide Paulino dixit : « Quandoquidem (1) non tibi soli, sed mihi quoque ratione et verbis, quæ verus pastor et idem ovium Dominus novit, istorum curam et administrationem mandavit, et greges utrique pro eo atque convenit, inter se communicant, et salutarem herbam noxio illo et lethali hæreticorum pabulo vitato depascunt et carpunt : **229** conjungamus, o amice, si videtur, veræ pietatis oves, easque in ovile unum aggregemus, atque quæ nobis intercessit de pastorali munere contentione soluta, uterque oves pascat, communiterque eis, docendo curam exhibeat : sin vero, qui in medio est, contendendi, ac dissidendi studium excitat thronus, et id sopire statim conabimur. Oportere siquidem censeo, in medio throno cum reverentia religiose sacrum poni Evangelium : nos autem utraque ex parte considere, in inferiore subsellio acquiescen-

(1) Theod. lib. v, cap. 3 : Quandoquidem et mihi harum curam ovium mandavit Dominus, et tu aliarum regendarum suscepisti provinciam, etc.

tes. Quod si me quidem primum ex hac vita migrare contigerit, solus ipse throno potiere : sin tu prior diem tuum obieris, ego itidem pro virili meæ gregi præero.» Hæc quidem ita pio vultu divinus dixit Meletius. Paulinus autem conditionem eam non accepit. Porro Sapores dictorum talium judex, Meletio magno ecclesias gubernandas attribuit, Paulinus vero rursum factioni suæ, quam sibi ab aliis sejunctam aggregaverat, præfuit. Postea vero, sicuti diximus, jusjurandum a designatis episcopatus competitoribus acceptum, et plebs ad concordiam est reducta. Sed enim Apollinaris ubi spe sua excidit, perinde atque ecclesiæ ei ademptæ essent, propalam et clare hæresim docuit, et ducem se novæ opinionis constituit. Lectoque et ordinato Antiochiæ Vitali, homine vitæ sanctitate, sicuti supra a nobis dictum est, præclaro, et qui antea quidem ecclesiastica doctrina enituerit, postea autem contagioso Apollinaris morbo infectus fuerit, ipse Laodiceam, ubi plurimum erat, concessit. Permulti vero et alii episcopi ab exsilio, quo sub Valentis imperio mulctati fuerant, reversi, Meletii sententiam sunt secuti : nihil prorsus de prærogativa et præeminentia sedis episcopalis contendentes, sed multitudinis concordiam quam maxime procurantes. Quin etiam Arianos, qui pro eis, ecclesiis præfecti fuerant, precibus interpositis, rogarunt, ne inde discederent, neve per dissensionem ecclesiam Christi conscinderent : quam unicam exsistentem, atque unicam a Deo juxta et ab apostolis traditam, dissidendi contentio, primarumque sedium ambitio, hominum vanæ gloriæ studentium, in multas divisit : sed ut veram pietatem profitentes, ipsi primos ecclesiarum thronos retinerent. **230** Studio hæc habuere cum multi alii, tum Eulalius Amasenæ ecclesiæ ad Pontum procurationem sortitus. Dicitur namque, post reditum, alium pastorem Arianæ sectæ, qui ecclesiam regeret, eos autem qui illi debitam præstarent obedientiam, vix quinquaginta numero invenisse : eumdemque tamen concordiæ desiderio et cupiditate illi conditionem, precibus adjunctis, tulisse : qua sede honoratiore et prærogativa throni, tanquam concordiæ opinionumque conjunctionis mercede proposita, cedebat, ut ecclesiam modo ambo administrarent. Ille autem conditionem talem rejecit, nec multo post a suis etiam, quibus præibat, est relictus : qui se etiam frequentiori pie credentium multitudini aggregarunt.

A ἅτε δὴ τὰς ἐκκλησίας ἀφαιρεθεὶς, διαῤῥήδην τὴν αἵρεσιν ἐπαῤῥησιάζετο, καὶ καινῆς δόξης ἀρχηγὸν ἑαυτὸν καθίστα· καὶ χειροτονήσας ἐν Ἀντιοχείᾳ Βιτάλιον, σεμνῷ μὲν βίῳ κοσμούμενον, καὶ τοῖς τῆς Ἐκκλησίας δόγμασι διαπρέποντα πρότερον, τὴν δ' Ἀπολλιναρίου νόσον ὕστερον εἰσδεξάμενον, αὐτὸς εἰς Λαοδίκειαν μετεχώρει· ἐκεῖσε γὰρ τὰ πλεῖστα διέτριβε. Πολλοὶ δὲ καὶ ἄλλοι τῶν ἐπισκόπων ἀπὸ τῆς συμβάσης φυγῆς αὐτοῖς ἐπὶ τῆς βασιλείας Οὐάλεντος ἐπανήκοντες, ἐπίσης Μελετίῳ ἐφρόνουν· περὶ μὲν προεδρίας μὴ διαφερόμενοι τὸ παράπαν, τὴν δὲ τοῦ πλήθους ὁμόνοιαν μάλιστα προτιμῶντες· οἳ καὶ δέησιν προσῆγον τοῖς ἐξ Ἀρείου τῶν ἐκκλησιῶν ἀντ' αὐτῶν προεστῶσι μὴ ἐκεῖθεν ἀναχωρεῖν, μηδὲ B διχονοίᾳ τέμνειν τὴν Ἐκκλησίαν Χριστοῦ· ἣν μίαν οὖσαν καὶ ἐκ Θεοῦ καὶ τῶν ἀποστόλων μίαν παραδοθεῖσαν φιλονεικίαι καὶ φιλοπροεδρίαι ἀνδρῶν κενοδόξων εἰς πολλὰς κατεμέρισαν· ἀλλὰ τὴν εὐσέβειαν ὁμολογοῦντας, τὴν τῆς Ἐκκλησίας προεδρίαν κατέχειν. Ταύτης δὲ τῆς σπουδῆς πολλοὶ μὲν ἄλλοι ἐγένοντο· ἦν δὲ καὶ Εὐλάλιος ὁ τῆς πρὸς τῷ Πόντῳ Ἀμασείας τὸν κλῆρον λαχών. Καὶ γάρ φασι, μετὰ τὴν ἐπάνοδον ἕτερον ἐξ Ἀρείου εὑρεῖν ποιμένα τῆς Ἐκκλησίας ἡγούμενον· τοὺς δὲ πειθομένους αὐτῷ τελείως μηδὲ εἰς πεντήκοντα ἀριθμεῖσθαι· τὸν δ' Εὐλάλιον τὴν ὁμόνοιαν ἀσπαζόμενον, ἐκείνῳ δέησιν ἐπιπέμψαι τῆς προεδρίας παραχωροῦντα· ἆθλον ὡς ἄν τις εἴπῃ τῆς ὁμοφροσύνης καὶ τῆς ἐς ταυτὸ δόξης C κληρωσάμενον ταύτην, ἄμφω δὲ τὴν Ἐκκλησίαν ἰθύνειν. Ὁ δ' οὐκ ἐπείθετο· μετὰ βραχὺ δὲ καὶ ὧν ἡγεῖτο, ἀφίστατο· ἅτε δὴ κἀκείνων τῷ πολλῷ τῶν εὐσεβούντων πλήθει προστεθειμένων.

CAPUT V.

De Meletio, et Diodoro Tarsensi episcopo. Item de Acacio BerrhϾ episcopo, et aliis : et de sancto Eusebio Samosateno episcopo, ut certamen martyrii impleverit.

Divus Meletius multitudinis concordia conciliata, Diodorum quidem illum, de quo paulo ante diximus, qui persona et habitu alio, una cum Flaviano Ecclesiæ scapham in sæva illa tempestate præclare gubernaverat, pastorem Tarsi constituit, et Cilicum gentem ei attribuit : episcopatum autem Apamææ Joanni dedit : qui vir cum generis nobilitate clarus, tum multis splendidisque primariarum virtutum ornamentis spectatus fuit. Præterea vero vitæ sanctitas et doctrina insignis in eo conjunctæ, clariorem etiam eum reddiderant Qui et ipse, itidem ut Flavianus et Diodorus, sacræ

ΚΕΦΑΛ. Ε'.

D *Ἔτι περὶ Μελετίου καὶ Διοδώρου τοῦ Ταρσοῦ· καὶ Ἀκακίου τοῦ Βεῤῥοίας, καὶ ἑτέρων· καὶ περὶ τοῦ ἁγίου Εὐσεβίου ἐπισκόπου Σαμοσάτων, ὡς τὸν μαρτυρικὸν ἆθλον διήνυσεν.*

Ὁ δέ γε θεῖος Μελέτιος, τῆς ὁμονοίας τοῦ πλήθους γεγενημένης, Διόδωρον μὲν ἐκεῖνον, περὶ οὗ μικρὸν ἄνωθεν διελάβομεν, τὸν καὶ ἐν σχήματι ἑτέρῳ σὺν Φλαβιανῷ τὸ τῆς Ἐκκλησίας σκάφος τῷ δεινῷ ἐκείνῳ κλύδωνι λαμπρῶς οἰακίσαντα, Ταρσῶν ποιμένα καθίστα· καὶ τὸ τῶν Κιλίκων ἔθνος αὐτῷ ἐνεχείριζεν· τὴν δὲ τῆς Ἀπαμείας ἱερατικὴν ἀξίαν Ἰωάννῃ ἀπένειμεν. Οὗτος δὲ καὶ ἄλλως μὲν περιφανὴς ἦν γένει· πολλοῖς δὲ οἴκοθεν καὶ λαμπροῖς ἐσεμνύνετο προτερήμασι. Βίος γὰρ καὶ λόγος ἐπ' αὐτῷ συνδραμὼν, οὐχ ἧττον ἐκόσμει τὸν ἄνδρα. Ἐπίσης δὲ Φλαβιανῷ καὶ Διοδώρῳ καὶ οὗτος τῷ τῆς ζάλης καιρῷ

μοφρόνων τὰ πλήθη συνέχων, διδασκαλίαις
ζε. Συνεργὸν δὲ καὶ οὗτος εἶχε τὸν περιώνυ-
τέφανον, ὃν δὴ καὶ τοῦτον Μελέτιος εἰς
οὐκ ἔλαττον μετεστείλατο. Τὴν γὰρ Γερμα-
πόλιν τῇ νόσῳ Εὐδοξίου νοσοῦσαν τὰ
, τοῦτον ἰατρὸν ἀπέστειλεν ἄριστον· καὶ
ὰ πάσης παιδείας ἐχώρει, τῆς τε ἡμετέρας,
δῆτα παρ' Ἕλλησι· καὶ τῆς ἐλπίδος ἥκιστα
ανε· τῇ γὰρ πνευματικῇ χρώμενος σύ-
καὶ τοὺς λύκους εἰς πρόβατα μετεσκεύαζεν.
ς δὲ Μελετίῳ καὶ ὁ πολὺς Εὐσέβιος διεπράττετο
ρορίας ἐπανιὼν εἰς Σαμόσατα. Καὶ γὰρ Ἀ-
ἐκεῖνον οὐ πολὺ κλέος ἐν βίῳ, τὴν Βέῤῥοιαν
ἐπέτρεπε· τὴν δὲ Ἱεράπολιν τῷ θαυμαστῷ
ιζε Θεοδότῳ, τῇ ἀσκητικῇ πολιτείᾳ μάλιστα
ομένῳ· τὸν δ' Εὐσέβιον εἰς Χαλκίδα ἐχειροτό-
ῇ Κύρῳ δὲ Ἰσίδωρον ἐπεσφράγιζεν. Ἀξιέπαι-
καὶ ἄμφω θείῳ ζήλῳ κοσμούμενοι (ἧς οὐκ εἰς
ν καὶ ὁ πολὺς ἡγήσατο Θεοδώρητος). Φασὶ δὲ
καὶ Εὐλόγιος ἐκεῖνον τὸν μετὰ Πρωτογένους εἰς
ὼ τὴν νῆσον ὑπὲρ τῆς εὐσεβείας ἐξορισθέντα,
δεσσαν ἐπιτρέψαι, Βάρσου τοῦ θείου θανάτῳ
όνον καὶ τὸν βίον λιπόντος. Αὐτὸς δ' Εὐλόγιος,
γένην τὸν τῶν ἄθλων αὐτῷ κοινωνὸν ταῖς Κάῤ-
ρίστη, ἰατρὸν νοσούσῃ πόλει σφόδρα δωρούμε-
εξίκακον. Ἐπὶ πᾶσι δὲ τούτοις ὁ θεῖος Εὐσέ-
ῇ Δολίχνῃ Μάριν ἐχειροτόνει ἐπίσκοπον· τῆς
ιανικῆς νόσου ἡ Δολίχνη ἐπέπληστο· ὃν πολ-
ῖς τῆς ἀρετῆς εἴδεσι διαλάμποντα αὐτὸς ἐκεῖ-
ῖς ἱερατικοῖς καθιδρύσαι θρόνοις θελήσας, τὴν
ην κατέλαβεν. Εἰσιόντι δὲ τὸ τεῖχος τοῦ ἄστεος
ίῳ, γυνή τις τῆς Ἀρείου ἔμπλεως βδελυρίας,
ον ἄνωθεν διαφεῖσα, κατὰ κεφαλῆς βάλλει τὸν
Καὶ τότε μὲν τὴν κάραν συνέτριψε· μικρὸν δ'
ν σφακελλισθεὶς τὸν ἐγκέφαλον, πρὸς τὴν
ο λῆξιν μετέβαινεν. Ὃν τελευτῶντα λόγος κατ-
σαι ὅρκοις ἀσφαλιζόμενον, μηδεμίαν τὴν δρά-
εἰσπράξασθαι ποινὴν τῷ τολμήματι· τὸν γὰρ
ἐζήλου καὶ οὗτος δεσπότην, *Πάτερ*, λέγοντα,
αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. Τοῦτο μὲν
τέλος μετὰ τοὺς παντοδαποὺς καὶ ποικίλους
ς ὑπὲρ τῆς εὐσεβείας ἐδέξατο ὁ Εὐσέβιος· καὶ
ν Θρᾴκῃ βαρβάρους διαφυγὼν, τὰς τῶν δυσσε-
ων χεῖρας διαφυγεῖν οὐκ ἴσχυσεν· ἀλλ' ὑπ'
ν τὸν τοῦ μαρτυρίου στέφανον ἀνεδήσατο.
μὲν ὕστερον ἐγεγόνει· ὁ δὲ θεῖος Μελέτιος,
μονοίας διὰ τῶν ὅρκων γεγενημένης, κατέ-
εν εἰς Κωνσταντινούπολιν· ἡνίκα εἰς ταυτὸ
συνιόντες ἐπίσκοποι, δεῖν ᾤοντο Γρηγόριον τὸν
ἐκ τῆς Ναζιανζοῦ μεταθεῖναι, καὶ τὴν τῆς
αντίνου τελείως ἐπισκοπὴν ἐγχειρίσαι.

A procellæ tempore sententiæ suæ populos in officio retinens, doctrina confirmavit. Fuit huic ea in re collega quoque magni ille nominis Stephanus, quem itidem Meletius ad certamen non exiguum accivit. Nam hunc Germaniciæ civitati, quæ Eudoxii morbo summo cum periculo laborabat, optimum misit medicum. Omni enim liberaliori doctrinæ in sacris simul et profanis disciplinis operam navaverat, et conceptam de se spem minime fefellerat. Spirituali namque fistula usus, etiam lupos in oves convertit. **231** Ad eumdem modum magnus quoque Eusebius egit, ubi ab exsilio Samosata reversus est. Nam Acacio illi, cujus propter vitam egregiam ingens erat gloria, ecclesiam Berrhœæ regendam commisit. Hierapolim autem ad- B mirando attribuit Theodoto, qui vita monastica celebris maxime fuit. Eusebium porro Chalcidis (1), et Isidorum Cyri episcopum fecit (cujus ecclesiæ brevi quoque post magnus præfuit Theodoritus): ambo vero isti divino ardore ac zelo clari fuere. Hunc præterea dicunt, Eulogium illum, qui cum Protogene in insulam Antinoem (2), veræ pietatis ergo deportatus fuerat, Edessam misisse, cum ibi divus Barses morte sua simul et thronum et vitam reliquisset. Ipse autem Eulogius Protegeném certaminum suorum socium Carris præfecit, urbi ei valde ægrotanti, quasi quemdam medicum, malorum depulsorem donans. Insuper divinus Eusebius oppido Dolichæ Marim episcopum dedit; quod qui- C dem oppidum Ariana contagione infectum maxime erat. Eo Eusebius venit, ut ipse Marim vario virtutum genere refulgentem, in possessionem episcopalis sedis induceret. Sed enim ei oppidum ingredienti, mulier quædam Arianis deliramentis plena, ex superiore loco tegulam in caput conjecit. Et ita tum quidem viri sancti caput comminutum est: paulo vero post, ubi cerebrum putredine correptum esset, moriens ille, ad meliorem migravit vitam. Quem fama est, jam animam agentem, jurejurando amicos obstrinxisse, ne a femina, quæ facinus tantum ausa fuerat, pœna quæpiam exigeretur; ea in re Dominum suum æmulatus, qui dixit: *Pater, ignosce illis peccatum hoc, quia nesciunt quid faciunt*. Hunc vitæ D finem, post varia multipliciaque pro vera pietate obita certamina, consecutus est Eusebius. Qui cum in Thracia Barbarorum feritatem effugisset, impiorum hæreticorum manus evadere non potuit, sed per illos coronam martyrii suscepit. Atque hæc quidem postea sunt facta. Divus vero Meletius concordia jurisjurandi sacramento confirmata, Constantinopolim appulit, cum eo multi convenis-

piscopi, necessarium esse rati, ut divinum Gregorium ex Nazianzo transferrent, eique episco- Constantinopolitanum cum summa potestate committerent.

Theod. *Chalcedonis*, sed perperam, ut puto. nim etiam Chalcis non longe ab Antiochia um sita. Epiphan.

(2) Theodorus non habet *insulam*: lib. v, cap. 4. Supra lib II, cap. 25.

232 CAPUT VI.

Ut imperatores Theodosius et Gratianus, hic quidem Alemanorum, ille vero Barbarorum ad Istrum colentium, res composuerit : et ut Theodosius, cum Thessalonicæ esset, postea æger ab Ascholio sit baptizatus : et ut idem Theodosius professionem fidei suæ publicarit, omnibusque mandarit, Trinitatem ὁμοούσιον (consubstantialem) colere, et divum apostolum Petrum in fide sectari.

Imperatores ambo, alter quidem in paternam imperii partem, quam sibi et fratri reservaverat, se recepit, alter autem ad datam sibi ditionem, Illyricum inquam et Orientales provincias, est profectus; atque utrique res bellica ex sententia successit. Gratianus enim Alemanos Occidentem vastantes devicit : Theodosius autem rursus cum Barbaris ad Istrum congressus, prælio eos superavit. Qui vero ex conflictu eo superfuere, socios se deinceps Romanorum fore precibus interpositis polliciti, conditionibus pacis acceptis, et obsidibus datis, in Theodosii potestatem venere. Rebus hisce recte compositis, Constantinopolim is iturus, Thessalonicam pervenit. Atque ibi statim morbo qui mortem minabatur, correptus, postquam ab Ascholio, cui tum Thessalonicensis Ecclesiæ administratio credita erat, initiatus et baptizatus est, meliuscule habuit. Quod namque a majoribus suis acceptam Christianam religionem coluerat, mirifice in Nicænis decretis acquiescebat. Tum autem, quod et Ascholius sententiam eam defendebat, admodum delectabatur. Præterea vero quod idem et vita et doctrina bonus, ad virtutes omnes quas episcopalis requirit dignitas, appositus esset, atque insuper quod gens Illyricorum ab Ariana rabie abhorreret, magnopere lætabatur. Et Ascholium, de aliis populis, quam de religione obtinerent opinionem, percunctatus, Occidentem omnem usque ad Macedoniam, et ecclesias ejus, concordes esse intellexit; quod omnes ex æquo cum Patre Deum Verbum et Spiritum sanctum colerent, et aperte Trinitatem ὁμοούσιον, consubstantialem, profiterentur : ulteriores vero Orientalis imperii regiones usque adeo inter se dissidere, ut diversæ etiam in vulgo hæreses essent, et factiones; Constantinopolim vero magis etiam quam loca alia de rebus talibus blaterare, et magis Ariana peste refertam esse didicit. Cujus rei causam quoque Ascholius addidit, Occidentem scilicet propterea malis ejusmodi liberum esse, quod Constantinus Constantini maximus, et Constans minimus natu filius, **233** successoresque deinde eorum Valentinianus et Gratianus ipse, patriam fidem integram conservassent. In Orientem autem variis ex partibus malum hoc pervenisse dixit : quod hæresis auctor et dux Arius, Alexandriæ in Ægypto ortus, et presbyter ibi factus, blasphemiæ et maledicentiæ venenum ibi evomuerit; post hunc autem Eusebius Cæsariensis (1), et Patrophilus Scythopoli-

ΚΕΦΑΛ. Ϛʹ.

Ὡς ὁ βασιλεὺς Θεοδόσιος καὶ Γρατιανὸς, ὁ μὲν τὰ τῶν Ἀλαμανῶν, ὁ δὲ τῶν παριστρίων βαρβάρων καλῶς διαθέμενοι, ἐν Θεσσαλονίκῃ γενόμενος, ὕστερον ὡς νοσήσας Θεοδόσιος, ὑπὸ Ἀσχολίου βαπτίζεται· καὶ ὅρον τῆς ἰδίας ἐξήνεγκε πίστεως, κελεύων Τριάδα ὁμοούσιον σέβειν ἅπαντας, καὶ τῷ θείῳ ἀποστόλῳ Πέτρῳ κατὰ τὴν πίστιν ἀκολουθεῖν.

Ἄμφω δὲ οἱ βασιλεῖς, ὁ μὲν ἐπὶ τὴν πατρῴαν μοῖραν ἀνέστρεψεν, ἣν αὐτῷ τε καὶ τἀδελφῷ κατελίμπανεν· ὁ δ' ἐπὶ τὴν δοθεῖσαν, Ἰλλυριοὺς φημι καὶ τὰ πρὸς ἀνίσχοντα ἥλιον ἐπορεύετο. Πρὸς γνώμης δὲ καὶ ἀμφοτέροις τὰ τῶν πολεμίων κατώρθωτο. Ὁ μὲν γὰρ Ἀλαμανοὺς τὴν ἑσπέραν δῃοῦντας ἐνίκα· Θεοδόσιος δὲ, καὶ ἔτι τοῖς ἀμφὶ τὸν Ἴστρον βαρβάροις ἐπιπεσὼν, τῶν μὲν μάχῃ ἐκράτει, οἱ δ' ἐναπολειφθέντες, φίλα τοῦ λοιποῦ φρονεῖν Ῥωμαίοις ἀντιβολοῦντες, σπονδὰς ἐποιοῦντο ὁμήρους διδόντες. Ἐπεὶ δὲ ταῦτα τούτῳ κατώρθωτο, ἐπὶ τὴν Κωνσταντινούπολιν ἰὼν, τὴν Θεσσαλονίκην κατέλαβεν. Εὐθὺς δὲ νόσῳ θάνατον ἀπειλούσῃ περιπεσὼν, πρὸς Ἀσχολίου τοῦ τηνικάδε τὴν τῆς Θεσσαλονίκης ἐπιτετραμμένου ἱερουργίαν ἐμυήθη· καὶ βαπτισθεὶς ῥᾷον ἔσχε. Καὶ γὰρ ἐκ προγόνων τὰ Χριστιανῶν ἀσπαζόμενος, τὰ ἐν Νικαίᾳ δόξαντα ὑπερφυῶς ἔστεργε. Ὅτι δὲ καὶ Ἀσχόλιος τῆς τοιαύτης ὑπερίστατο δόξης, μάλα ἐφήδετο· πρὸς δὲ καὶ ὅτι ἔργῳ τε καὶ λόγῳ ἀγαθὸς ἦν, καὶ πρὸς ἅπασαν ἀρετὴν ἱερωσύνῃ προσήκουσαν δεξιός· ἔτι δὲ μᾶλλον ἐνήδετο τῷ Ἰλλυριῶν ἔθνει, μὴ τῆς Ἀρείου λύσσης μετεσχηκότι. Πυνθανόμενος δὲ Ἀσχολίου καὶ περὶ τῶν ἄλλων ἐθνῶν ὅπως ἔχουσι περὶ τὸ θεῖον δόξης, τὴν μὲν ἑσπέραν ἅπασαν ἄχρι δὴ Μακεδόνων, ὁμονοεῖν ἐμάνθανε τὰς ἐνθάδε ἐκκλησίας· πάσας γὰρ ἐπίσης τῷ Πατρὶ τὸν Θεὸν Λόγον καὶ τὸ Πνεῦμα τὸ ἅγιον σέβειν, Τριάδα ὁμοούσιον διαῤῥήδην ὁμολογούσας. Τὰ δ' ἐκεῖθεν καὶ τὰ πρὸς Ἕω τῆς ἀρχομένης ἐς τοσαῦταν διαστασιάζειν ἀλλήλοις, ὡς καὶ τοὺς λαοὺς ἐν διαφόροις εἶναι αἱρέσεσιν. Ἐπέκεινα δὲ τῶν ἄλλων χώρων τὴν Κωνσταντινούπολιν τὰ τοιαῦτα ἐρεσχελεῖν, καὶ μᾶλλον τῆς Ἀρείου λώβης ἔμπλεω καθεστάναι. Αἴτιον δ' εἶναι τὸ τὴν μὲν ἑσπέραν ἐλευθέραν τούτων εἶναι, τὸ διατηρῆσαι Κώνσταν τὸν πρεσβύτερον τῶν Κωνσταντίνου παίδων, καὶ τὸν νεώτατον Κωνσταντῖνον, τὴν πατρῴαν πίστιν ἀκήρατον· καὶ τὸν ἐκείνους διαδεξάμενον Οὐαλεντινιανὸν, καὶ Γρατιανὸν αὐτόν. Τῇ γε μὴν Ἑῴᾳ πολλαχόθεν ἐπεισέφρησε τὸ κακόν· ὅς τε γὰρ τῆς αἱρέσεως ἀρχηγὸς Ἄρειος Ἀλεξανδρείας τῆς κατ' Αἴγυπτον ὥρμητο· καὶ πρεσβύτερος αὐτῆς καθεστὼς, τὸν ἰὸν τῆς βλασφημίας ἐκεῖ ἀπηρεύξατο· ἐπὶ δὴ τούτῳ Εὐσέβιος ὁ Καισαρείας, καὶ Πατρόφιλος ὁ Σκυθοπόλεως, καὶ ὁ Σύρος Ἀέτιος, τῆς Παλαιστίνης ἦσαν γεννήματα. Παυλῖνος δὲ καὶ Γρηγόριος ὁ τῆς Ἀλεξάνδρου Φοίνικες ἦσαν. Ἔτι δὲ καὶ ὁ Λαοδικείας Θεόδοτος, καὶ ὁ μετὰ τοῦτον Γεώργιος, καὶ ὁ κατὰ διαδοχὴν Ἀθανάσιος, καὶ τέταρτος Νάρκισσος, Κίλικες· οἳ τὰ κακῶς καταβληθέντα σπέρματα, μᾶλλον

(1) Theodoritus, *Cæsariensis* non habet, lib. v, cap. 7. At Nicephorus hunc pro fautore Arianorum habens, in nomenclatura illorum hic recenset, *Cæsariensis* diserte addito verbo.

δὲ ζιζάνια, πονηραῖς ἀρδείαις ἐξέθρεψαν. Πρὸς δὲ καὶ οἱ Βιθυνοὶ, Εὐσέβιος ὁ Νικομηδείας, καὶ Θεογόνιος ὁ Νικαίας, καὶ Μηνόφαντος ὁ Ἐφέσιος· καὶ Μάρις ὁ Χαλκηδόνιος, Θεόδωρός τε ὁ Πειρίνθιος, καὶ ἕτεροι ἀπὸ Θρᾴκης ἐκ τῆς κακίας τὸ ἐπίσημον ἐσχηκότες· οἳ δὴ πάντες μέχρι πολλοῦ διαγεγόνασι τὰ πονηρὰ κατάρδοντες καὶ διαθάλποντες δόγματα. Τούτοις δ' αὖ τῶν πονηρῶν σπερμάτων καταβολεῦσιν οὐχ ἥκιστα τὰ μέγιστα συνεβάλλετο ἥ τε Κωνσταντίου εὐκολία (φείδομαι γὰρ κουφότης εἰπεῖν, κατὰ τὸν Θεολόγον Γρηγόριον, αἰδούμενος τὴν εὐλάβειαν), καὶ ἡ ἐσχάτη μοχθηρία Οὐάλεντος. Ταῦτ' οὖν μαθὼν, καὶ τῆς ἀρχῆς ἐφαψάμενος, δεῖν ἐκείνῳ πρὸ τῶν ἄλλων ἐδόκει τῆς τῶν ἐκκλησιῶν συμφωνίας ἐπιμελήσασθαι. Ἄμεινον δ' εἶναι λογισάμενος ὅπως ἔχει δόξης περὶ τὸ θεῖον προεκθεῖναι τοῖς ἀρχομένοις, ὥστε B μὴ δόξαι βίαν ἐπάγειν, παρὰ νόμον ἐπιτάττων θρησκεύειν, ἐκ Θεσσαλονίκης νόμον τοῖς ἐν Κωνσταντινουπόλει κατέπεμπεν· ᾤετο γὰρ ὡς ἀπό τινος ἀκροπόλεως ἐκεῖθεν ἀνὰ τὴν ὑπήκοον πᾶσαν, καὶ ταῖς ἄλλαις τῆς Ἕω πόλεσι τὴν γραφὴν διελθεῖν ἀθρόον. Ἐδήλου δὲ τὰ γραφόμενα, πάντας αἱρεῖσθαι θρησκεύειν, ὡς ἐξ ἀρχῆς Πέτρος ὁ τῶν ἀποστόλων κορυφαῖος ἐδίδαξεν· ᾧ τηνικαῦτα Δάμασος ὁ Ῥωμαίων, καὶ Πέτρος ὁ Ἀλεξανδρείας, ἐπίσκοποι εἵποντο· πρὸς δὴ τούτῳ ἐσήμαινε μόνην καθολικὴν Ἐκκλησίαν ὀνομάζεσθαι, ἥτις δὴ Τριάδα ὁμοούσιον διαῤῥήδην καὶ στόματι καὶ καρδίᾳ κηρύττει. Τοὺς δ' ἄλλως ἔχοντας δόξης αἱρετικοὺς καλεῖσθαι, ἀχρείους τε εἶναι, καὶ τιμωρίαν ὑπέχειν, εἴ γε τολμῷεν παῤῥησιάζεσθαι. C

A tanus, et Aetius Syrus in Palæstina exstiterint; Paulinus vero, et Gregorius Alexandriæ episcopus, e Phœnicia prodierint; Theodotum præterea Laodicensem, et successorem ejus Georgium, atque hujus rursum Athanasium, et quartum Narcissum Cilicia protulerit: qui male jacta semina, seu potius zizania, sinistra irrigatione foverint. Insuper vero, Bithyni fuerint Eusebius Nicomediensis (1), et Theognis Nicænus, et Menophantus Ephesius, et Maris Chalcedonensis, et Theodorus Perinthius: alios porro, qui vitiis et malitia celebre nomen sunt consecuti, Thracia dederit, atque hi omnes longo tempore parva dogmata rigarint atque foverint; talibus vero malæ sementis satoribus non parum momenti contulerit Constantii facilitas (ne, B juxta Gregorium theologum, dicam levitas, religionem scilicet et pietatem veritus), et extrema Valentis improbitas. Hæc ubi Theodosius cognovit, imperio suscepto in primis faciendum sibi esse putavit, ut de ecclesiis in gratiam et concordiam redigendis cogitaret. Optimum vero esse ratus, ut sententiam de Deo suam civibus et subditis suis declararet (ne cui vim inferre videretur, religionem sequendam illegitime præcipiens), constitutionem ex Thessalonica Constantinopolim misit. Inde enim veluti ex summa quadam arce scriptum suum (2) per ditionem omnem, ad alias quoque Orientis urbes omnino perventurum esse existimavit. Constitutio talis, religionem eam complecti omnes jussit, quam ab initio apostolorum princeps Petrus docuit, quem tum Damasus Romanæ et Petrus Alexandrinæ urbis episcopi sequerentur. Ad hæc insuper significavit, solam eam nominari catholicam et universalem Ecclesiam, quæ Trinitatem ὁμοούσιον, consubstantialem, diserte et corde et ore deprædicaret; diversum autem sentientes, hæreticos vocari, inutilesque esse, et pœnam sustinere debere, si publice docere auderent.

ΚΕΦΑΛ. Ζ'.

Περὶ τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου, ὡς ἐν Κωνσταντινουπόλει σμικρῷ οἰκίσκῳ τὰς συνάξεις ποιούμενος, τῆς ὁμοουσίου προΐστατο πίστεως· καὶ διήγησις περὶ τοῦ ναοῦ τῆς ἁγίας Ἀναστασίας.

Ταῦτ' ἐκεῖθεν προσφωνήσας, οὐκ εἰς μακρὰν καὶ αὐτὸς τὴν Κωνσταντίνου κατέλαβε. Τότε δὲ ἔτι οἱ ἐξ Ἀρείου τῶν ἐκκλησιῶν ἦρχον, Εὐάγριον ἐξελάσαντες· ὧν ἡγεῖτο Δημόφιλος. Ὁ δ' ἐκ Ναζιανζοῦ D Γρηγόριος ὁ Θεολόγος τῶν Τριάδα ὁμοούσιον δοξαζόντων ἀντὶ Εὐαγρίου προΐστατο, ἐν οἰκίσκῳ βραχυτάτῳ τὰς συνάξεις ποιούμενος· ὅν τινες τῆς ἴσης θρησκείας τότε μὲν εἰς ἱερὸν οἶκον μεθίστων· χρόνῳ δ' ὕστερον καὶ εἰς περιφανῆ νεὼν καὶ τῶν λίαν ἐπισήμων οἴκων Θεῷ ἐν τῇ Κωνσταντίνου οὗτος ἐγένετο, οὐ μόνον κάλλει καὶ μεγέθει τῶν πολλῶν διαφέρων, ἀλλὰ καὶ τὸ περιφανὲς ἄλλως αὐχῶν ταῖς ἐνταῦθα γινομέναις θεοσημίαις. Θεία γὰρ ἐκεῖσε δύναμις ἐπιφθάνουσα, πολλοῖς ὕπαρ τε καὶ ὄναρ ἐπιφαινομένη, οὐ ποικίλων καὶ ἀνιάτων ἀπαλλάττει μόνον νόσων,

234 CAPUT VII.

De sancto Gregorio theologo, ut Constantinopoli in parva domo Synaxes et collectus celebrans, ὁμοουσίου, consubstantialis, fidei præierit; et de templo sanctæ Anastasiæ.

Hac ibi lege lata, non multo post ipse quoque Constantinopolim se contulit. Tum vero Ariani adhuc ecclesias gubernabant, Evagrio ejecto: quibus præfuit Demophilus. Gregorius autem Nazianzenus theologus, pro Evagrio eis qui Trinitatem ὁμοούσιον, consubstantialem, profitentur, præiit, in ædicula quadam conventus agens (3). Quam religionis ejusdem sectatores quidam tum quidem in sacrum delubrum commutarunt: aliquo vero tempore post, ex ea celebre templum inter alias præclaras Dei ecclesias Constantinopoli est factum; quod non tantum pulchritudine et magnificentia reliquis præstaret, verum etiam claritatem ex divinis, quæ in eo edita sunt, miraculis consecutum esset. Vis enim divina multis ibi et vigilantibus,

(1) Hic ille est Eusebius, qui primum Beryti, mox Nicomediæ, et tandem Constantinopolis, per transitionem, ex una sede in aliam contra sacros canones, fuit episcopus.

(2) L. II, C. *De summ. Trin. et fid. cath.*

(3) Sozom. lib. VII, cap. 5.

et aliquando in somnis apparens, non varios tantum et incurabiles morbos repulit, sed etiam ærumnis et casibus gravibus, quæ in hominum vitam incidunt, multos liberavit. Ab hominibus autem bonæ fidei per manus nobis traditum est, Christi Matrem semper virginem Mariam eam esse : nam eo habitu et forma esse multis visa est. Vocant autem ædem eam Anastasiam (1) seu Resurrectionem, illam, ut conjicere licet, ob causam : quod Nicænæ fidei dogma, quod jam Constantinopoli propter ingentem vim et potentiam diversæ factionis interciderat, et intermortuum fuerat, rursum ibi opera et studio Gregorii excitatum revixerit. Audivi quoque ex quibusdam, vera se dicere contendentibus, mulierem in eo templo (2) gravidam ex superioribus ambulacris decidisse, atque interiisse. Cum autem populus, qui tum ibi convenerat, preces pro ea ad Deum fudisset, eam vitæ restitutam, nullo prorsus tali casu fœtui illato damno resurrexisse : atque inde loco ei cognomen inditum esse, quod Deus scilicet opus id peregisset. Hæc hactenus.

A ἀλλὰ καὶ δυσπραγίαις καὶ περιπετείαις ἄλλως βιωτικαῖς κάμνοντας ἠλευθέρωσε. Πιστῶν δὲ κατὰ διαδοχὴν παρειλήφαμεν, τὴν Χριστοῦ μητέρα εἶναι Μαρίαν τὴν ἀειπάρθενον· οὕτω γὰρ σχήματος ἔχουσα, πολλοῖς διεφάνη. Καλοῦσι δὲ τὸν δόμον Ἀναστασίαν, ὥς γε εἰκάζειν ἔστιν, ὅτιπερ τὸ δόγμα τῆς ἐν Νικαίᾳ πίστεως, ἐν τῇ Κωνσταντίνου πεπτωκὸς ἤδη καὶ τεθνηκὸς διὰ τὸ τῆς δυνάμεως περιὸν τῶν ἑτέρωσε δοξαζόντων, ἐνταῦθα πάλιν ἀνέστη καὶ ἀνεβίω ταῖς Γρηγορίου σπουδαῖς. Ὡς δὲ παρά τινων ἐπυθόμην, ἀληθεύειν διατεινομένων, ὡς γυνή τις ἐνταῦθα ἐγκύμονι βαρουμένη φόρτῳ, ἐκ τῶν μετεώρων διολισθοῦσα στοῶν, τέθνηκε. Κοινὴν δ' εὐχὴν δεδρακότος ἐπ' αὐτῇ τοῦ πλήθους, ἔτυχε γὰρ τηνικάδε ἐκκλησιάζον, ἀναστῆναι αὖθις μετεσχηκυῖαν τοῦ ζῆν, μηδαμῆ τοῦ B βρέφους διαλυμανθέντος τῷ πτώματι· καὶ τὴν προσηγορίαν ἐκεῖθεν εἰληφέναι τὸν χῶρον, οἷα Θεῷ διαπεπραγμένου τοῦ ἔργου. Περὶ μὲν τούτου ταύτῃ.

235 CAPUT VIII.

De Arianis et Eunomianis, ut ex ecclesiis ejecti in proprias redierint patrias; et ut Gregorius Ecclesiæ catholicæ præfuerit; et de Eunomii vi et gravitate

Imperator statim cum mandatis ad Demophilum misit, qui ei denuntiarent, ut vel Nicænæ assentiretur synodo, populumque ad unionem et pacem complectendam adduceret : vel, nisi hoc faceret, quamprimum ab ecclesiis discederet. Atque ille minime faciendum esse ratus, ut

Illos adversum, qui possent plura, veniret :

convocata multitudine, et imperatoris sententia ei promulgata, inter alia hæc dixit verba : « Fratres, quando quidem divinum præcipit oraculum, si nos persequantur homines, ut ex civitate una transeamus in aliam [1], et imperator nos ex oratoriis expellit, scitote nos die crastino extra urbis muros ecclesiam et conventum acturos. » Atque hæc cum dixisset, abiit; et deinde ad mœnia urbis cum sectatoribus suis convenire, et sacra peragere solitus est; non ita ut decuit evangelica sententia percepta. Fugientes enim hujus mundi conversationem, ad summam urbem, cœlestem Jerusalem, anhelare nos, dictum id fortasse sub obscuriore significatione jubet. Exiit vero cum eo una Lucius, qui cum Alexandriæ Arianam hæresim defenderet, eam ob causam inde pulsus, Constantinopoli morabatur : ubi tum Demophilus ecclesias, ex eis decedens, reliquit. Imperator cum Gregorio eas ingressus,

ΚΕΦΑΛ. Η'.

Περὶ τῶν Ἀρειανῶν καὶ Εὐνομιανῶν, ὡς ἐξηλάθησαν τῶν ἐκκλησιῶν, καὶ εἰς τὰς ἰδίας ἀνεχώρουν πατρίδας· καὶ ὡς Γρηγόριος τῆς καθόλου Ἐκκλησίας ἐκράτει· καὶ περὶ τῆς Εὐνομίου δεινότητος.

Ὁ δὲ βασιλεὺς εὐθὺς πέμψας, Δημοφίλῳ παρεκελεύετο, ἢ τοῖς ὅροις τῆς ἐν Νικαίᾳ συνόδου στοιχεῖν, C καὶ τὸν λαὸν εἰς ἓν ἄγειν, καὶ τῆς εἰρήνης ἐξέχεσθαι· ἢ μὴ βουλόμενον, θᾶττον ἀναχωρεῖν τῶν ἐκκλησιῶν. Ὁ δὲ τὸ πρὸς κρείσσονας ἀντιφέρεσθαι μὴ δεῖν λογισάμενος, τὸ πλῆθός τε συνεκάλει, καὶ τὴν βασιλέως γνώμην ἐδήλου ἐν μέσοις ταῦτ' ἐπειπών· « Ἀδελφοί, ἐπεὶ θεῖος κελεύει χρησμὸς διωκομένους ἡμᾶς ἐκ τῆσδε τῆς πόλεως εἰς ἑτέραν μεταχωρεῖν, ὁ δὲ βασιλεὺς τῶν εὐκτηρίων ἡμᾶς ἐξελαύνει· ἴστε, τῇ ὑστεραίᾳ ἔξω τειχῶν ἐκκλησιαζόμενοι. » Τοιάδε εἰπὼν, ἀπῆρε, καὶ παρὰ τὸ τεῖχος τοῦ λοιποῦ ἐκκλησίαζεν· οὐχ ὥς γε ἐχρῆν τὴν εὐαγγελικὴν ἐκλαβόμενος ἔννοιαν· φεύγοντας γὰρ τὴν ἐν κόσμῳ διαγωγὴν, πρὸς τὴν ἄνω πόλιν τὴν Ἱερουσαλὴμ μετασκευάζεσθαι ὁ λόγος ἴσως αἰνίσσεται. Ἐξῄει δὲ σὺν αὐτῷ καὶ Λούκιος, ὃς τὴν D Ἀρείου δόξαν ἐπὶ τῆς Ἀλεξάνδρου κρατύνων, ἐκεῖθεν ἐξελαθεὶς, τῇ Κωνσταντίνου διέτριβε. Τῶν δ' ἀμφὶ Δημόφιλον τὰς ἐκκλησίας λιπόντων, ὁ βασιλεὺς εἰσελθὼν σύναμα Γρηγορίῳ, ταύτας αὐτῷ ἐνεχείριζεν ἐπευχόμενος. Ἦν δ' ἔτος τὸ τηνικαῦτα Γρατιανῷ μὲν πέμπτον ἐν τῇ ἀρχῇ, Θεοδοσίῳ δὲ πρῶτον, ὑπατευόντων. Ἀφ' οὗ δὲ οἱ περὶ Ἄρειον τοὺς εὐκτηρίους οἴκους κατέσχον, οὐχ ἧττον ἢ τεσσαράκοντα. Ἀλλ' ὁ μὲν Δημόφιλος ἐξελαθεὶς, τὴν

[1] Matth. x, 23.

(1) De Anastasia ista, post discessum e Constantinopoli suum, inter alia verba Gregorius ipse sic cecinit :

Inclyta Anastasiæ salve ædes, quæ morientem
Erexit rectam per mea verba fidem.
Et post fata tui memor ipse, animæque piorum,
Mandabant precibus teque tuosque Deo.

(2) In eo templo fœmina gravida ex superiori loco delapsa, et mortua, precibus populi una cum fetu restituta est.

ἑαυτοῦ πατρίδα καταλαμβάνει τὴν Βέῤῥοιαν. Καὶ Θεόδωρος τῆς Ἀντιόχου ἀπωσθεὶς, εἰς τὴν Θρᾴκην ὅθεν ἐγένετο, ἀπεχώρει· ὡσαύτως δὲ καὶ ὁ Νικαίας Ὑπάτιος παρὰ τὴν γεννησαμένην Τύρον ἐν Συρίᾳ μετέβαινε· καὶ ἄλλοι ἀλλαχοῦ διεσπείροντο. Οἱ δ' ἐν Ἀντιοχείᾳ πρεσβύτεροι, Ἀστέριος καὶ Κρισπῖνος, καὶ τὸ ἄλλο ὑπὸ Θεόδωρον πλήρωμα συνεδριάσαντες, πολλῶν καὶ ἄλλων ἐπισκόπων ἐκ τῶν πέριξ πόλεων συνδραμόντων, πρὸς τοὺς περὶ Εὐνόμιον ἔπεμπον, τὴν αὐτῶν κοινωνίαν ἐπιζητοῦντες. Οἱ δ' ἀντεπέστελλον, δέχεσθαι μὲν αὐτοὺς, πλὴν ἀποψηφισαμένους τὴν ἐπ' Ἀετίῳ καταχειροτονίαν καὶ τοῖς ἐκείνου συγγράμμασι· προσαπῄτουν δὲ καὶ τοῦ βίου τὴν διακάθαρσιν· καὶ γάρ πως ἔν τισιν οὐ καθαροῖς διαιτήμασι προσεφύροντο. Οἱ δὲ τότε μὲν τὴν αἴτησιν οὐ προσήκαντο· ἐς ὕστερον δὲ καὶ τὸ ἐπ' ἐκκλησίας κακίζειν Εὐνόμιον καὶ τοὺς περὶ ἐκεῖνον προήχθησαν, μετεωρολέσχας ἀποκαλοῦντες, πλήρεις τε ἀπονοίας καὶ σκαιότητος, οἷς αὐτοῖς τοιαῦτα προτείνειν ἔγνωσαν. Οἱ δὲ τῆς Ἀρείου αἱρέσεως πλῆθος οὐ μέτριον ὄντες, ῥοπαῖς ταῖς ἀνέκαθεν Κωνσταντίου τε καὶ Οὐάλεντος, ἀδεῶς ἐς ταυτὸ γινόμενοι, περὶ Θεοῦ καὶ τῆς αὐτοῦ οὐσίας προπετῶς διαλόγους ἐποίουν. Καὶ βασιλέως πειρᾶσθαι ἀνέπειθον, ὅσοι ὁμόφρονες ὄντες τοῖς ἀνακτόροις διέτριβον. Καὶ γὰρ ἐν ἐλπίσιν ἦσαν καὶ τοῦτον εἴσω θέσθαι χειρῶν, καθὰ δὴ καὶ Κωνστάντιον. Ὃ δὴ καὶ οἱ τῆς καθόλου Ἐκκλησίας διὰ πολλῆς ἐποιοῦντο φροντίδος, καὶ ἐν δέει μεγίστῳ καθίσταντο, τὴν Εὐνομίου ἐν τοῖς διαλόγοις δεινότητα ὑπειδόμενοι. Οὐ πάνυ γὰρ οὗτος πόῤῥω διάφορος Κυζικηνοῖς καταστὰς, ἐπὶ τῆς ἡγεμονίας Οὐάλεντος, τῆς Ἀρείου συμμορίας ἑαυτὸν ἀποκρίνας, ἀντιπέραν τῆς Κωνσταντίνου κατὰ τὴν ἐν Βιθυνίᾳ Χαλκηδόνα ἡσυχῇ καθῆστο. Πολὺ δὲ πλῆθος ἐκ τῆς Βυζαντίδος πρὸς αὐτὸν διεπεραιοῦτο· ἄλλοι δὲ καὶ ἀλλαχόθεν συνέῤῥεον, οἱ μὲν πεῖραν προσάγοντες, οἱ δὲ εἴ τι λέγοι καινότερον, ἀκουσόμενοι. Ἡ δὲ περὶ αὐτὸν φήμη καὶ εἰς βασιλέα διέτρεχε. Καί γε ἂν καὶ εἰς λόγους ἧκε τῷ βασιλεῖ, εἰ μὴ ἡ θεοφιλὴς Πλακίλλα ἡ βασιλὶς ἀνέκαθεν τὰ δόξαντα ἐν Νικαίᾳ πρεσβεύουσα, ἐπέσχε σπουδῇ τῇ πάσῃ, μὴ τὸ παράπαν ἐκείνῳ εἰς λόγους ἐλθεῖν. Ἐδεδίει γὰρ μάλιστα, μὴ πρὸς τὴν ἐκείνου μεταστήσοι δόξαν τὸν ἄνδρα τῷ ἐπαγωγῷ τοῦ ἤθους καὶ τῷ τοῦ λόγου δεινῷ.

A fausta omnia per orationem apprecatus, eas illi commendavit. Et postea ibi qui Trinitatem consubstantialem profiterentur, ecclesias obtinebant. Erat is annus, quo Gratianus in imperio quintum, Theodosius autem primum consul fuit. Ex quo autem Ariani sacra templa tenuerant, anni non pauciores quam quadraginta lapsi erant. Cæterum Demophilus expulsus, in patriam suam Berrhœam se recepit. Theodorus Antiochia ejectus, in Thraciam, unde ortus fuerat, abiit. Itidem etiam Hypatius Nicæa Tyrum Syriæ, quæ eum genuerat, rediit. Et alii item alio dispersi sunt. Porro Antiochiæ Asterius et Crispinus presbyteri, et reliqui factionis ejus quæ Theodori auspicia secuta fuerat, conciliabulo coacto, ad quod etiam alii multi ex B vicinis urbibus episcopi convenere, legationem ad Eunomianos misere, conjunctionem communionemque eorum ambientes. **236** Quibus illi per epistolam, ita se eos recepturos esse responderunt, si suffragia sua, quibus Aetii lectionem et consecrationem damnaverant, antiquarent, et scripta illius reciperent. Petierunt quoque, ut vitam illi prius lustrationibus perpurgarent, quod videlicet impuris quibusdam institutis infecti essent. Hanc illi petitionem tum quidem receperunt. Postea vero eo etiam producti sunt, ut in Ecclesiasticis conventibus Eunomio et popularibus factionis ejus, per maledicta detraherent : μετεωρολέσχας, hoc est, de rebus cœlestibus sublimibusque cum fastu et C insolentia verborum nugantes, dementiaque et improbitate plenos, qui sibi talia prætendenda esse statuissent, eos cognominantes. Porro Ariani, quod eorum non mediocris esset multitudo, ex momento quod illis jam inde ab initio sub Constantio et Valente accesserat, metu nullo conventus agebant, et de Deo atque ejus substantia temere disputabant. Animum quoque imperatoris ipsius, illi per factionis suæ homines, qui in imperiali aula versabantur, tentandum esse duxerunt : illa spe concepta, hunc quoque, sicuti et Constantium, in potestatem eorum adductum iri. Quæ res eis quoque qui catholicæ Ecclesiæ erant, magnam attulit curam. Quapropter in maximo fuere metu, Eunomii in disputationibus vim suspectam haben- D tes. Non ita pridem enim is, cum sub Valentis imperio a Cyzicenis dissidere cœpisset, et seipsum ab Arianorum sodalitate segregasset, Chalcedonem Bithyniæ e regione Constantinopoli sitam, ubi privatus considebat, se contulerat. Et multitudo ingens e Constantinopoli ad eum ventitabat. Alii quoque aliunde ad eum confluebant, qui partim de vita et doctrina ejus periculum faciebant : partim, si novi quidquam diceret, cupide eum auscultabant. Et jam fama quoque nominis ejus ad imperatorem pervenerat. Fuisset ille ad colloquium etiam principis admissus, nisi Dei amantissima ipsius conjux Placilla, quæ jam inde ab initio decreta Nicæna constanter profitebatur, cura et studio omni obsistendo hoc egisset, ne cum illo prorsus colloqueretur. Maxime quippe verita est, ne institutorum vitæ illecebris, et verborum vi atque gravitate, imperatorem ille in sententiam suam abduceret.

237 CAPUT IX.

De Amphilochii Iconii episcopi ad Theodosium dicendi libertate.

Hæc cum ita fierent, ac ejus rei studium apud Arianos vigeret, magnus Amphilochius, de quo antea quoque mentionem fecimus, unus ex eis qui tum Constantinopolim advenerant, episcopis, non ille quidem in rebus agendis versatus, sed alioqui senex venerandus, atque in rebus divinis acri mente præditus, imperatorem adiisse, eique ut Arianorum conventus ab urbibus semoveret, supplicasse dicitur. Imperator autem, petitionem eam, quod durior inhumaniorque esse videretur, non comprobavit. At sapiens ille senex tum quidem tacitus abiit, et consilio deinde sapientiore facinus memoria dignum fecit. Cum namque rursum cum reliquis episcopis in aulam venisset, et imperatorem, ita ut decet, atque ut alii episcopi fecerant, pie et suaviter admodum consalutasset : filium ipsius Arcadium, qui nuper ad imperium lectus fuerat, non eadem illi impertita reverentiæ observantia, inhonoratum reliquit. Verum ad eum accedens, et veluti cum puero colloquens, manuque eum demulcens : « Salve et tu, o puer, inquit. » Imperator, quod senem Amphilochium rudiori animo esse, et rusticius agere existimaret, quomodo filium salutare deberet, docuit. Atque ille, sufficere ei honorem talem, dixit. Imperator autem ira percitus, et veluti filius injuria affectus esset, graviter commotus, cum convicio episcopum abduci jussit. Ille porro quamvis protruderetur, conversus tamen paululum, consiliumque in animo occultatum proferens : « Videsne, inquit, o imperator, quam tu procaciter filio illatam contumeliam non fers, sed amarulenter propter submissiorem compellationem, in nos excandescis? Sic scilicet existimare te oportuit, succensere etiam cœlestem Imperatorem et Patrem Unigeniti, propter eos qui non communem illi tribuunt honorem, sed dissimilem et longe minorem Patre vocare audent. » Imperator cum inde rem actam intelligeret, et verba ea admiraretur, quamprimum ad se sacerdotem Dei accersivit, et ad pedes ejus provolutus, veniam ab eo petiit. Neque aliter quam ipse dixisset, se rem habere, professus est. **238** Atque in ea sententia confirmatus, postea eos qui aliter quam Nicææ statutum fuerat, opinarentur, aversatus est. Contentiones in foro et inanes conventus inhibuit (1), disputationibus de Deo et natura ejus finem omnino imposuit : et constitutione publice proposita, periculum qui ei non parcrent, denuntiavit, pœnam ei quoque qui contra venire ausus esset, comminatus. Ita factum, ut Arianis et Eunomianis pulsis, τοῦ ὁμοουσίου, consubstantialis, fidei professores ecclesias moderarentur.

A ΚΕΦΑΛ. Θ'.

Περὶ τῆς πρὸς Θεοδόσιον παῤῥησίας τοῦ ἁγίου Ἀμφιλοχίου τοῦ ἐπισκόπου Ἰκονίου.

Τοιούτων δὴ γινομένων, καὶ τῆς περὶ ταῦτα σπουδῆς παρὰ Ἀρειανοῖς ἀκμαζούσης, λέγεται τὸν πολὺν Ἀμφιλόχιον, οὗ καὶ πρώην ἐμνήσθημεν, ἕνα γε ὄντα τῶν ἐπιδημούντων ἐπισκόπων, πράγμασι μὲν ἥκιστα ἐντριβῆ, πρεσβύτην δ' ἄλλως καὶ περὶ τὰ θεῖα νοῦν ἔχοντα, βασιλεῖ προσιέναι, καὶ ἀντιβολῆσαι τοὺς τῶν Ἀρειανῶν συλλόγους τῶν πόλεων ἐξελαύνεσθαι. Ὁ δὲ βασιλεὺς, ὡς ἂν ἀπηνῆ τὴν αἴτησιν ἡγησάμενος, οὐκ ἐδέξατο. Ὁ δὲ σοφὸς ἐκεῖνος πρεσβύτης, τό γε νῦν ἔχον ἐν σιγῇ παρελθὼν ἐπινοίᾳ σοφωτέρᾳ, μνήμης ἄξιον διεπράξατο. Αὖθις γὰρ σὺν τοῖς λοιποῖς ἐπισκόποις εἰς τὰ βασίλεια B παρελθὼν, τὸν μὲν βασιλέα, ὥς γε εἰκὸς, καθὰ καὶ οἱ λοιποὶ τῶν ἱερέων, ἠσπάσατο εὐσεβῶς καὶ ἠπίως μάλα· τῷ δὲ τοῦ βασιλέως παιδὶ Ἀρκαδίῳ, νεωστὶ δὲ τὴν τῆς βασιλείας χειροτονίαν εἰλήφει, ἀγέραστον καταλέλοιπε μὴ τὴν ἴσην ἀπονείμας τιμήν. Ἀλλὰ προσελθὼν, καθὰ δὴ νηπίῳ διαλεγόμενος, τῷ δακτύλῳ σαίνων, « Χαίροις καὶ σὺ, παιδίον, » φησί. Βασιλεὺς δὲ ἰδιωτικώτερον οἷά γε πρεσβύτην νομίσας διακεῖσθαι τὸν Ἀμφιλόχιον, ὅπως δεῖ ἀσπάζεσθαι τὸν υἱὸν, ἐξεπαίδευεν. Ὁ δ', « Ἀπόχρη, » ἔλεγε, « καὶ ταύτης αὐτῷ τῆς τιμῆς. » Περιοργὴς δὲ γενόμενος βασιλεὺς ὡς περιυβρισμένῳ τῷ παιδὶ χαλεπαίνων, μεθ' ὕβρεων ἐξάγειν τὸν ἱερέα ἐκέλευεν. Ὁ δὲ καίπερ ὠθούμενος, μικρὸν ἐπιστραφεὶς, ἔφη, C τὸν ἐπινοίᾳ κρυπτόμενον ἀνακαλύπτων σκοπόν· « Ὁρᾷς, ὦ βασιλεῦ, ὡς οὐ φέρεις τὴν τοῦ παιδὸς παροινίαν, ἀλλ' ἡμῖν χαλεπαίνεις πικρῶς τῷ τῆς προσρήσεως ὑφειμένῳ; Οὕτω δὴ νομίζειν χρεὼν καὶ τὸν οὐράνιον Βασιλέα καὶ Πατέρα ἀγανακτεῖν τοῦ Μονογενοῦς, τοὺς μὴ τὸ ἴσον ἐκείνῳ προσνέμοντας γέρας, ἀλλ' ἄνισον καὶ πολλῷ τοῦ Πατρὸς ἧττονα τολμῶντας ἀποκαλεῖν. » Συνεὶς δ' ἐντεῦθεν ὁ βασιλεὺς τά τε πεπραγμένα καὶ τὰ εἰρημένα θαυμάσας, ὡς τάχος τὸν ἱερέα Θεοῦ μετεστέλλετο· καὶ τοῖς ποσὶν ἐκείνου ἑαυτὸν ἐπιῤῥίπτων, συγγνώμην ᾔτει, καὶ μὴ ἄλλως ἔχειν ἐτίθετο. Καὶ ἐν τῷ ἀσφαλεῖ γενόμενος, τοῦ λοιποῦ τοὺς παρὰ τὴν δόξαν ἐν Νικαίᾳ δοξάζοντας, ἐξετρέπετο· τάς τ' ἐπ' ἀγορᾶς ἔριδας καὶ τοὺς ἐπικενῆς συλλόγους ἀνέσχε· καὶ D περὶ Θεοῦ καὶ τῆς αὐτοῦ φύσεως λόγους κινεῖν παντάπασιν ἔπαυσε. Καὶ νόμον δ' ἐπὶ μέσου ὁρίσας, οὐκ ἀκίνδυνον ἐποιεῖτο τὸν μὴ φυλάττοντα· προσηπείλει μέντοι καὶ τιμωρίαν ἐπάγειν τῷ τολμητῇ. Ἐξελαθέντων δ' ἐντεῦθεν Ἀρειανῶν τε καὶ Εὐνομιανῶν, οἱ τῆς ὁμοουσίου πίστεως τῶν ἐκκλησιῶν κατεκράτησαν.

(1) Theodosius conventibus publicis sectæ Arianæ interdicit, l. II C. *De sum. Trin. et fid. cath.*

ΚΕΦΑΛ. Ι'.

Περὶ τῆς ἁγίας δευτέρας οἰκουμενικῆς συνόδου· ἡ δὴ σπουδῇ Θεοδοσίου βασιλέως καὶ Μελετίου τοῦ Ἀντιοχείας τῷ Θεολόγῳ τὴν τῆς Κωνσταντίνου ἐπισκοπὴν ἐνεχείρισεν.

Διά τοι τοῦτο, ὅσον τάχος καὶ σύνοδον ἐπισκόπων ἐς ταυτὸ συνελθεῖν ἐκάλει ἐκ μόνης τῆς ὑπ' αὐτὸν ἀρχομένης, ὥστε τὰ ἐν Νικαίᾳ δόξαντα βεβαιῶσαι· διασκέψασθαί τε καὶ ᾧ προσήκει τὸν τῆς Κωνσταντίνου ἐγχειρίσαι θρόνον. Οἰόμενος δὲ πρὸς ἰσχύος εἶναι τοὺς ἀπὸ Μακεδονίου τῇ καθόλου Ἐκκλησίᾳ ἑνῶσαι, ἐπεί τοί γε οὐ πάνυ τι πολὺ διεφέροντο κατὰ τὸ δοκοῦν περὶ Θεοῦ ἑκατέρῳ συστήματι, καὶ τούτους εἰς τὴν σύνοδον μετεστέλλετο. Καὶ δὴ συνῆλθον ἀπὸ μὲν τῶν ὁμοούσιον κηρυττόντων Τριάδα ἀμφὶ ἑκατὸν καὶ πεντήκοντα· θατέρας δὲ μοίρας B ἓξ καὶ τριάκοντα ἦσαν, ἐξ Ἑλλησπόντου οἱ πλείους ὄντες. Τούτων δὲ προεστῶτες ἦσαν Ἐλεύσιος ὁ Κυζίκου, καὶ Μαρκιανὸς ὁ Λαμψάκου· τῶν δὲ τῆς καθόλου Ἐκκλησίας Τιμόθεος ὁ τῆς Ἀλεξάνδρου διαδεξάμενος τὸν ἀδελφὸν Πέτρον, τὸν τῆς Ἀθανασίου προεδρίας κληρονόμον γενόμενον· Μελέτιός τε ὁ τῆς Ἀντιόχου ἐπίσκοπος, ἤδη πρότερον διὰ τὴν Γρηγορίου κατάστασιν τὴν Κωνσταντίνου καταλαβών· καὶ ὁ τῶν Ἱεροσολύμων Κύριλλος, μετάμελος τηνικαῦτα γενόμενος· τὴν γὰρ Μακεδονίου δόξαν ἠσπάζετο πρότερον· πρὸς δὲ τούτοις Ἀσχόλιος ὁ Θεσσαλονίκης, Διόδωρός τε ὁ Ταρσοῦ, καὶ ὁ περιώνυμος Βεῤῥοίας Ἀκάκιος· οἳ δὴ πάντες τὴν ἐν Νικαίᾳ γραφὴν ἀσπαζόμενοι, ἐπειρῶντο τοὺς περὶ Ἐλεύσιον C σφίσιν ὁμοφρονῆσαι· ἦγόν τε εἰς μνήμην τὴν εἰς Λιβέριον αὐτοῖς γενομένην πρεσβείαν, ἐν ᾗ διὰ τῶν περὶ Εὐστάθιόν τε καὶ Σιλβανὸν τὴν ἐν Νικαίᾳ πίστιν στέργειν συνέθεντο· ἑκουσίῳ τε γνώμῃ χρόνῳ πολλῷ ἀδιάκριτον εἶχον τὴν κοινωνίαν· παρῄνουν τε μὴ δίκαια πράττειν, καθάπαξ τὴν ὁμογνώμονα πίστιν προσειληφότας θερμῶς, αὖθις ἀφανίζειν τὰ καλῶς αὐτοῖς ἐγνωσμένα. Οἱ δ' ἐν δευτέρῳ τὰ τῶν παραινέσεων θέμενοι, τὴν Ἀρείου δόξαν κρείττονα νομίζειν εἰπόντες ἀναφανδὸν, καὶ μή ποτε καταδέξασθαι ὁμοούσιον τῷ Πατρὶ τὸν Υἱὸν ἀνειπεῖν, εἰ καὶ τἀναντία πρὸς Λιβέριον εἶπον, ἀπηλλάττοντο· καὶ τοῖς κατὰ πόλιν τὰ ἴσα φρονοῦσιν ἔγραφον, μηδαμῶς τὴν ἐν Νικαίᾳ πίστιν προσδέξασθαι. Οἱ δὲ τῆς καθόλου Ἐκκλησίας ἐπιμείναντες, περὶ χειρο- D τονίας ἐπισκόπου τῇ Κωνσταντίνου βουλὴν διεσκέπτοντο. Λέγεται δὲ τὸν βασιλέα διὰ θαύματος κατά τε βίον καὶ λόγων περιουσίαν ποιούμενον τὸν Γρηγόριον, ἐκεῖνον πρῶτον ἄξιον τῆς καθέδρας ψηφίσασθαι· συμψήφους δὲ καὶ τὴν σύνοδον μάλα γενέσθαι, τῆς ἀρετῆς αἰδουμένους τὸν ἄνδρα. Μάλιστα δὲ πάντων τῷ θείῳ Μελετίῳ δεῖν ἐδόκει τῷ Γρηγορίῳ τὴν τῆς Κωνσταντίνου ἐπισκοπὴν βεβαιοῦν. Ἐν δευτέρῳ γὰρ τὸν τῆς μεταθέσεως ἐποιεῖτο κανόνα, αἰτιωμένων τινῶν. Ἤδει γὰρ ἀκριβῶς ὁ θεόληπτος τὸν τῶν ἐκεῖνον γεγραφότων σκοπόν. Ἡ γὰρ σύνοδος ἐκείνη, τὰς τῆς φιλαρ-

A CAPUT X.

De sancta secunda universali synodo, quæ Theodosii imperatoris et Meletii episcopi Antiocheni studio et opera. Constantinopolitanum episcopatum Theologo demandarit.

Proinde primo quoque tempore synodum quoque episcoporum imperator in locum unum, ex imperii sui provinciis duntaxat, convenire jussit, ad Nicæna decreta confirmanda : atque ut ibidem, cuinam Constantinopolitanæ Ecclesiæ sedes committenda esset, deliberaretur. Quod autem Macedonianos universali Ecclesiæ aggregari atque uniri posse existimaret, quia non admodum opinione sua de Deo, ab utraque parte et factione, dissidebant, eos quoque ad conventum evocavit. Et convenerunt ab eis qui Trinitatem ὁμοούσιον, consubstantialem, prædicant, circiter centum et quinquaginta : alterius autem sectæ triginta et sex, quorum plures ex Hellesponto erant. His præibant, Eleuzius Cyzicenus, et Marcianus Lampsacenus. Inter catholicos præcipui erant, Timotheus qui Alexandriæ in locum Petri fratris sui, ejusdemque Athanasii successoris, subrogatus fuerat; Meletius Antiochiæ episcopus, qui pridem Gregorii causa Constantinopolim venerat : et Hierosolymitanus Cyrillus, qui cum antea Macedonii opinionem secutus fuisset, tum per pœnitentiam resipuerat; præterea Ascholius Thessalonicæ, Diodorus Tarsi, et clarissimus ille Acacius Berrhœæ, episcopi. Ii sane omnes in Nicænis decretis acquiescentes, Eleusium et populares ejus in sententiam suam adducere conabantur : in memoriam eis redigentes, quam ad Liberium miserant legationem, in qua per Eustathium, Sylvanum, et Theophilum, se Nicænam fidem secuturos receperint. **239** Tum autem, quod sua ipsorum voluntate, longo tempore se ab eorum communione non segregassent : non recte eos facere dicentes, cum semel flagrantibus animis eamdem cum eis fidem susceperint, quod ita recte ab eis constituta rursum antiquarent. At illi cohortatione tali spreta, cum aperte Arii opinionem judicio suo meliorem censeri, neque unquam fore ut Patri Filium ὁμοούσιον, consubstantialem, esse faterentur, quamvis aliter Liberio polliciti essent, dixissent, discesserunt : et ad factionis suæ populares, ubicunque in urbibus essent, ut nequaquam Nicænam fidem complecterentur, litteras dederunt. Qui vero ab universali Ecclesia stabant, ibi manentes, de eligendo Constantinopolitano episcopo consilium habebant. Et primus ibi imperator Gregorium, propter vitam et eruditionem præstantem admiratus, dignum illum ea sede calculo suo judicasse dicitur. Qua in re synodus ei, quod virtutem ejus viri revererentur, suffragata est. Potissimum vero divo ipsi Meletio videbatur, Gregorio Constantinopolitanum episcopatum confirmandum

(1) Sozom. lib. VII, cap. 7, catholicos episcopos convocatos esse scribit : ex imperii Theodosii provinciis duntaxat, non addit. Et synodus hæc Constantinopoli, sicuti plerique omnes tradunt, est celebrata. Id.

esse, hac in parte canone de episcoporum translatione, quem nonnulli consilium hoc reprehendentes objiciebant, posthabito. Optime quippe divinus Pater eorum virorum mentem et consilium, qui illum promulgaverant, tenebat. Synodus namque illa (1), ut occasionem ambitus in ecclesiis præcideret, canonem eum proposuerat, quod multa tum ex competitorum ambitiosa prensatione provenissent mala. Quod si ambitus abesset, nihil prorsus exstare impedimenti censuit, ut modo vita aut doctrina multis aliis præstantior, aut simul utraque hæc constarent, aut communis denique publica cum magna commoditate utilitas per translationem in exspectatione esset.

A χίας ἀφορμὰς περιτέμνουσα, τοῦτον ἐξέθετο, πολλῶν τηνικαῦτα ἐκ φιλαρχίας προβεβηκότων κακῶν. Εἰ δὲ τὸ φιλαρχεῖν ἀπείη, οὐδὲν πάντως τὸ προσιστάμενον, εἴ γε μόνον βίος ἢ λόγος, ἢ καὶ ἄμφω ταῦτα, τῶν πολλῶν ὑπεραίρων ἐστίν· ἢ κοινή τις καὶ μεγίστη ὠφέλεια τῇ μεταθέσει καλῶς προσδοκᾶται.

240 CAPUT XI.

Ut Gregorius, quosdam ex Ægyptiis offendi cernens, propter episcopatus sui mutationem, seu translationem, sedem Constantinopolitanam repudiarit: et concordia ecclesiarum nihil habens antiquius, in propriam redierit patriam: et de Maximo Cynico philosopho.

Gregorius sane primum munus episcopale suscepit, et thronum conscendit (quomodo enim tot et tantorum virorum cohortationem despiceret?) et gregem, quem exiguum receptum, frequentissimum fecerat, evangelicis humoribus rigans fovit, eosque qui extra illum oberrarent, verborum sagena captos ad ovile adduxit. Ubi vero paulo post quosdam, et eos maxime qui ex Ægypto advenerant, electioni suæ intercedere, eamque reprehendere sensit, oratione ad eos in ultimo digressu habita, episcopatum rursum deposuit. At enim ab ipsa statim synodo, divinus Meletius ad vitam doloris expertem transiit: et a multis, præcipue vero a Gregorio, Nyssenæ Ecclesiæ luce, funebribus orationibus est concelebratus. Et ante obitum quoque ejus episcopi Ægyptii secessionem fecere, inter alia illud carpentes, quod Gregorius, cum paternum antea episcopatum et Nazianzenam ecclesiam administrarit, ad Constantinopolitanam tum sedem quasi tertio loco evectus esset. Et jam Timotheus Alexandrinus Maximum quemdam Cynicum philosophum, Gregorii quidem discipulum, Apollinaris autem labe maxime infectum, in abdito loco, apud Choraulæ cujusdam domum, Cynico capillo ejus inciso, pastorem Constantinopolitanum legerat atque consecrarat. Verum qui tum ibi congregati erant, facinus tam absurdum reprobantes, haudquaquam consecrationem eam laudarunt. Nam plerique viri divino ardore et spirituali sapientia pleni erant: qualis Helladius ille fuit, Basilii magni successor: Gregorius, et Petrus, eisdem cum Basilio parentibus orti: Amphilochius Iconii, quæ Lycaoniæ urbs est: Optimus Pisidiæ, Diodorus Ciliciæ, Pelagius Laodiceæ, Eulogius Edessæ, Acacius Berrhœæ, Isidorus Cyri, Cyrillus Hierosolymorum, Gelasius Cæsareæ Palæstinæ, Acacii, qui Eusebio Pamphili substitutus fuerat,

ΚΕΦΑΛ. ΙΑ'.

Ὡς Γρηγόριος τινὰς τῶν Αἰγυπτίων σκανδαλιζομένους ὁρῶν διὰ τὴν μετάθεσιν δῆθεν, παρῃτεῖτο τὸν θρόνον, τῆς ὁμονοίας τῶν ἐκκλησιῶν φροντίζων, καὶ ἐπὶ τὴν ἰδίαν πατρίδα διέβαινε· καὶ περὶ Μαξίμου τοῦ Κυνικοῦ φιλοσόφου.

B Γρηγόριος δὲ τὰ μὲν πρῶτα προστατεῖν εἵλετο, καὶ ἐπὶ τὸν θρόνον ἀνέβαινε (πῶς γὰρ καὶ παριδεῖν εἶχεν ὑπὸ τοσούτων παρακαλούμενος;); καὶ ποίμνην ἣν ἐκ σμικρᾶς μεγάλην ἐποίει, καὶ ταῖς εὐαγγελικαῖς ἀρδείαις ἐξέθρεψε, καὶ τοὺς ἔξω πλανωμένους τῇ σαγήνῃ τῶν λόγων ἐζώγρησεν· ἐπεὶ δὲ μετ' ὀλίγον ᾔσθετό τινας ἀντιλέγοντας, καὶ μάλιστα τοὺς ἥκοντας ἐξ Αἰγύπτου, τὸν συντακτήριον αὐτοῖς προσφωνήσας, αὖθις τὴν ἐπισκοπὴν παρῃτεῖτο. Ὡς γὰρ μετὰ τὴν σύνοδον καὶ τὴν τῆς χειροτονίας μετάθεσιν εὐθὺς ὁ θεῖος Μελέτιος πρὸς τὴν ἄλυπον μετέβαινε βιοτὴν, λόγοις ἐπιταφίοις παρὰ πολλῶν καὶ μάλιστα παρὰ Γρηγορίου τοῦ Νυσσαέων φωστῆρος ἀνευφημούμενος, C οἱ ἐξ Αἰγύπτου στασιάζοντες ἦσαν· ἄλλα τε αἰτιώμενοι, καὶ ὅτι τὴν πατρικὴν πρότερον ἰθύνας ἐπισκοπὴν, καὶ Ναζιανζὸν αὐτὴν, ὡς εἰς τρίτον ἤδη καὶ τὸν τῆς Κωνσταντίνου θρόνον ἐπέβαινε. Καὶ δῆτα Τιμόθεος ὁ τῆς Ἀλεξανδρείας Μάξιμόν τινα φιλόσοφον Κυνικὸν ἐφευρὼν, τῷ θείῳ Γρηγορίῳ ἐς μαθητείαν τελέσαντα· ἔμπλεως δὲ τῆς Ἀπολλιναρίου λώβης μάλιστα ἦν· καὶ τὰς ἐκείνου κυνικὰς τρίχας περιελὼν, ἐν παραβύστῳ παρά τινι χοραύλου οἰκίᾳ τοῦτον τῆς Κωνσταντίνου ποιμένα ἐχειροτόνει. Ἀλλ' οἱ τηνικαῦτα συνειλεγμένοι τὸ τῆς πράξεως ἄτοπον εὐθὺς ἀπεώσαντο, καὶ οὐδαμῶς τῷ πεπραγμένῳ συνῄνεσαν· ζήλου γὰρ θείου καὶ σοφίας πνευματικῆς ἔμπλεῳ ἄνδρες ἦσαν οἱ πλείους· οἷος Ἑλλάδιος ἐκεῖνος ὁ τοῦ μεγάλου Βασιλείου διάδοχος, Γρηγό- D ριός τε καὶ Πέτρος, οἳ τῶν αὐτῶν ὠδίνων Βασιλείῳ μετέλαχον· ὁ Ἰκονίου τε Ἀμφιλόχιος· τῆς Λυκαονίας δὲ ἥδε ἡ πόλις· ὁ Πισίδων Ὄπτιμος, καὶ ὁ Κίλιξ Διόδωρος, καὶ ὁ Λαοδικείας Πελάγιος· ὅ τε τῆς Ἐδεσσηνῶν Εὐλόγιος, Ἀκάκιος ὁ Βεῤῥοίας, ὁ Κύρου Ἰσίδωρος, Κύριλλός τε ὁ Ἱεροσολύμων, καὶ ὁ Καισαρείας τῆς Παλαιστίνης Γελάσιος, διαδεξάμενος τὸν Ἀκάκιον, ὃς τὸν Παμφίλου Εὐσέβιον· καὶ ἕτεροι πλεῖστοι, ἀρετῆς μὲν ἀθληταὶ, τῷ βίῳ δὲ τὸν λόγον

(1) Joannes Psellus de secunda œcumenica synodo scribens, inter alios, hos ponit versiculos:

Αὐτὴ τὸν Μακεδόνιον ἀνέσπασε ῥιζόθεν,
Τὸ Πνεῦμα τὸ πανάγιον ἀλλοτριοῦντα μάτην
Τῆς ὑψηλῆς θεότητος, καὶ πλάσμα βλασφημοῦντα.

Hoc est

Rejecit hæc Macedonium radicitus,
Qui Spiritum temere creaturam vocans,
Deitate summa segregat sanctissimum.

κοσμοῦντες· οἳ δὴ πάντες τὸ πραχθὲν μυσαττόμενοι τῶν Αἰγυπτίων διακριθέντες, τῷ μεγάλῳ Γρηγορίῳ συνῆσαν. Καὶ ἅμα γινόμενοι, τάς τε πανηγύρεις καὶ τελετὰς καὶ σύμπαν τῇ Ἐκκλησίᾳ τὸ εἰωθὸς, ὡς εἰκὸς, ἀδεῶς ἐπετέλουν. Οὓς ὁ θεῖος παρεκάλει Γρηγόριος, ἐπιεικέστατος καὶ ἀτυφότατος εἴπερ τις μάλα γενόμενος, συμφωνεῖν πρὸς ἀλλήλους ἑλέσθαι, καὶ τὴν εἰρήνην ἀσπάζεσθαι· ὅτι γε καὶ τὴν συνάθροισιν διὰ ταύτην γενέσθαι· καὶ προτιμᾷν μὲν αὐτὴν, τῆς δ' ἑνὸς ἀδικίας ὑπερορᾷν. « Καὶ γὰρ ἐγὼ, ἔλεγε, τῶν πολλῶν φροντίδων ἀπαλλαγεὶς, τὴν ἐκ πολλοῦ μοι φίλην αὖθις ἡσυχίαν ἀσπάσομαι· καὶ ὑμῶν ἡ περισπούδαστος εἰρήνη προσγένηται μετὰ τὸν μακρὸν ἐκεῖνον καὶ δυσκαταγώνιστον πόλεμον. Ἔμοιγε γὰρ τῶν λίαν ἀτόπων εἶναι λογίζεται, ἄρτι τῆς τῶν ἐναντίων μάχης ἀπαλλαγέντας, κατ' ἀλλήλων ὁπλίζεσθαι, καὶ βάλλειν ὡς ἔτυχε, καὶ τὴν ἰσχὺν ἐν τοῖς μὴ προσήκουσιν ἀναλίσκειν· οὕτω γὰρ ἐπίχαρτοι καὶ τοῖς δυσμενέσι γενοίμεθα. Εἴγε τοίνυν ἐμοὶ πείθοισθε, ἄνδρα τινὰ εὑρηκότες τοῦ θρόνου ἀντάξιον, καὶ νοῦν θεῖον ἔχοντα, τὴν τῆς Ἐκκλησίας τούτῳ προστασίαν ἀνάθεσθε· ὃς Θεῷ κυβερνώμενος, καλῶς ἄρα διάθοιτο πάντα. » Τούτοις ἐκεῖνοι μὴ ἀντιλέγειν ἔχοντες, καὶ ἄκοντες ἐνεδίδοσαν. Καὶ τὸν μὲν Κυνικὸν Μάξιμον εὐθὺς τῆς ἱερατικῆς ἀξίας γυμνώσαντες, τῶν ἱερῶν περιβόλων ἐξήλαυνον, ἐκκήρυκτον ποιησάμενοι, καὶ διὰ τὸ παραλόγως μὲν τῷ θρόνῳ ἐπιπηδῆσαι, μάλιστα δ' ὅτι, ὥσπερ εἴρηται, καὶ τῆς Ἀπολλιναρίου φρενοβλαβείας ἔμπλεως καθειστήκει. Γρηγόριος δὲ τὸν θρόνον λιπὼν, ἐπὶ τὴν πατρίδα Ναζιανζὸν ἀνεχώρει αὖθις, καὶ ἡσυχῇ καθῆστο διάγων καθ' ἑαυτὸν, μηδενὶ σκανδάλου καταλιπὼν πρόφασιν, τῷ ἑκὼν ὑποχωρῆσαι τοῦ θρόνου. Καί γε τόνδε τὸν ἄνδρα σοφώτατον μάλα διαγενόμενον καὶ τῶν ἄλλων πάντων ἕνεκα, οὐχ ἥκιστα δὲ καὶ τοῦ παρόντος ἔπεισί μοι θαυμάζειν. Οὔτε γὰρ ὑπὸ τῆς εὐγλωττίας ἐπῆρτο, οὔτε μὴν ἥττονι κενῆς δόξης ὀφθέντι, ἔφεσις ὑπεισέῤῥει προστατεῖν ἐκκλησίας τοσαύτης, ἣν μηδ' εἶναι κινδυνεύουσαν, ἐς πολύ τι καὶ μέγα ἐπιδοῦναι ταῖς οἰκείαις διδασκαλίαις παρεσκευάσατο· ἀλλὰ καὶ τὴν παρακαταθήκην τοῖς ἐπισκόποις εὐθὺς ἀπέδωκεν, οὔτε τοὺς πόνους προβεβλημένος ἢ τοὺς κινδύνους, οὓς διήνεγκε πρὸς τὰς αἱρέσεις ζυγομαχῶν. Καίτοι γε τὸ προσιστάμενον ὀλίγον ἢ οὐδὲν ἦν, ὥστε κατέχειν τὸν θρόνον καὶ ἡγεῖσθαι τῆς Κωνσταντίνου, ἑτέρου ἐπισκόπου κατὰ Ναζιανζὸν ἐπικηρυχθέντος. Ἥ γε μὴν σύνοδος τὰ ἐξ ἀρχαίου φυλάττουσα ἔθιμα, ὃ ἐγχειρίσασα ὤφθη, παρ' ἑκόντος ἀπείληφε, μηδὲν ὅσα τῷ ἀνδρὶ προσῆσαν θεῖα πλεονεκτήματα, αἰδοῦς ἀξιώσασα.

A successor, et alii quamplurimi episcopi, egregii virtutis athletæ et concertatores, doctrinam vita ipsa exornantes. Qui omnes factum tale exsecrantes, se ab Ægyptiis sejunxerunt, et Gregorio magno affuerunt. **241** Nam una cum eo conventus, et sacra, et ritus Ecclesiæ, recepto more omnes libere peragebant. Quos divinus Gregorius, si quis alius, et ipse humanus et humilis, maxime adhortatus est, ut concordiam et pacem inter se, cujus gratia conventus quoque coactus esset, colerent, eamque injuriæ hominis unius, quam contemnere deceret, præferrent. « Ego enim, inquit, curis multis liberatus, exoptatam mihi dudum et gratam quietem persequar. Et vobis simul, post diuturnum illud et inexpugnabile bellum, tanto studio expetita pax B continget. Meo quidem judicio perabsurdum esset, si nuper admodum hostilis pugnæ periculo defuncti, arma inter nos ipsos sumeremus, et sicuti sors ferret, tela temere conjiceremus, roburque omne in quibus minime decet certaminibus consumeremus. Sic scilicet hostibus quoque ipsis, ut clade nostra lætarentur, causam præberemus. Quapropter si consilium meum sequi voletis, viro alicui per disquisitionem invento, qui divina mente præditus, sede hac dignus sit, quique Deo actiones ejus gubernante, rite omnia et ordine faciat atque constituat, ecclesiæ præfecturam committetis. » Contra verba hæc, cum quod dicerent, non haberent, vel inviti ei cesserunt. Et confestim Maximum Cynicum C episcopali dignitate nudatum atque excommunicatum ædibus sacris ejecerunt, cum quod præter rationem illegitime thronum invasisset, tum maxime, sicuti dictum est, quod Apollinaris vecordibus intemperiis agitaretur. Gregorius autem sede relicta, in patriam Nazianzum reversus, vitam quietam privatus transegit: neque cuipiam eo quod sua sponte throno cessit, scandali sive offendiculi occasionem præbuit. Sed enim virum hunc longe sapientissimum, cum alias ob res omnes valde, tum vero hac ipsa de causa non minus admirari libet. Neque enim eloquentia, qua plurimum pollebat, ad superbiam elatus est: neque ab inani gloria victus, administrationem ecclesiæ tantæ expetivit, quam ipse, cum prope jam interiisset, ad eam rur- D sum amplitudinem doctrina sua provexerat: sed illico episcopis depositum reddidit, neque labores quos pertulerat aut pericula quæ adversus hæreses per intestinum bellum pugnans adierat, prætendit: **242** cum quidem ut sedem eam retineret, et ecclesiam Constantinopolianam administraret, alio jam Nazianzi episcopo declarato, vel parum, vel nihil prorsus impedimenti esset. Atque synodus quidem mores priscos conservans, id quod ei in manus tradiderat, ab ipso non invito recepit: nihil omnino divinas dotes, quæ in eo viro erant, reverita.

ΚΕΦΑΛ. ΙΒ'.

Περὶ βίου καὶ ἀγωγῆς Νεκταρίου, ὃς Γρηγόριον διεδέξατο· καὶ ὡς ἄρτι βαπτισθεὶς, ἐπὶ τὴν καθέδραν ἀνέβαινεν.

Μεγίστη δὲ καὶ πεφροντισμένη βουλὴ τῷ τε βασιλεῖ καὶ τοῖς ἐπισκόποις ἐγένετο, καὶ μάλιστα τοῦ

CAPUT XII.

De vita et moribus Nectarii, Gregorii successoris: et ut nuper baptizatus, cathedram episcopalem conscenderit.

Cæterum maxima cura et deliberatio imperatori et episcopis incumbebat, imperatore potissimum

eos cohortante, ad diligentem exactamque disquisitionem adhibendam, ut quam optimus atque honestissimus vir inveniretur, cui urbium maximæ recte administrationis committerentur habenæ. Porro synodus hac in re non eumdem quem imperator obtinebat animum. Pro se enim quisque, ut ex necessariis suis et amicis quispiam honorem sedis ejus consequeretur, laborabat. Quod consilium cum episcopi omnes texerent, Nectarius quidam Tarsi Cilicum ortus, primariæ nobilitatis vir, senatoriaque dignitate clarus, et humanitate morum admirationem omnium promeritus, tum autem prætoris magistratu et honore conspicuus, Constantinopoli degens, in patriam jamjam iturus, ad Diodorum Tarsi episcopum venit, ut ab eo, sub cujus scilicet episcopatu censeretur, cum precatione benedictionem acciperet; atque si opus esset, litteras ejus secum ferret. Et commodum tum accidit, ut Diodorus secum ipse consideraret, quemnam ad functionem propositam eligi conveniret. Et Nectarium ingredientem conspicatus, statim illum in animo suo idoneum ad sedem eam suscipiendam judicavit. Et intra seipsum affectione propensus in eum fuit, canitiem illius venerandam cernens, speciemque episcopo dignam, morumque simul humanitatem eximiam perpendens. Et alio quodam sub prætextu eum ad episcopum Antiochenum adductum, mirifice laudavit: et illum ut secum ei faveret, rogavit. Ille vero, quod multi præclari viri designati essent, veluti in re gravi et seria apud seipsum subridens, Diodori suffragium abrogavit: **243** Nectario tamen nihilominus vocato, paulisper eum secum manere jussit. Interea imperator in charta describi jussit eorum nomina, quem quisque aptum esse ad tantam Ecclesiæ scapham gubernandam putaret: ut sibi illis in scripto repræsentatis, unius ex omnibus eligendi potestas relinqueretur. Et alii quidem alios, pro ut cuique visum erat, adnotarunt. Antiochenæ vero Antistes ecclesiæ, postquam ex sententia sua quos volebat in libello nominavit, extremo loco, ut Diodoro gratificaretur, Nectarium etiam subjecit. Imperator charta in manus accepta, in qua designatorum nomenclatura descripta erat, ubi ad Nectarii nomen pervenit, constitit. Et altius, more suo, rem mente revolvens, secum ipse consultavit: et digito Nectarii nomini impresso, denuo eorum qui calculos et suffragia episcoporum meriti fuerant, nomina percurrens, ubi rursum ad Nectarium pervenit, diu multumque re deliberata, eum ipsum præ omnibus sede ea dignum esse censuit. Ad id factum obstupuere omnes, verbisque et ore omnium quærebatur, quisnam Nectarius iste esset, quæ studia ejus, atque unde ortus esset. Ut vero nondum quoque initiatum esse cognoverunt, amplius etiam admirati, et ad imperatoris judicium animis consternati sunt. Ego quidem id etiam Diodorum ignorasse puto: neque enim credibile est, non initiato eum suffragari tantopere ausurum fuisse. Sed illum jam

A κρατοῦντος ἀκριβῆ ποιῆσαι τὴν βάσανον παρεγγυωμένου, ὅπως ὅτι μάλιστα καλός τε καὶ ἀγαθὸς εὑρεθείη, ᾧ δεήσει τὴν τῆς μεγίστης τῶν πόλεων καταπιστεῦσαι ἡνίαν. Ἀλλ' ἡ σύνοδος οὐ τὴν αὐτὴν εἶχε τῷ κρατοῦντι γνώμην. Ἕκαστοι δὲ τῶν τινα προσφιλῶν καὶ ἄλλως ἐπιτηδείων τὴν τῆς καθέδρας ἠξίουν ἐπιτρέπειν τιμήν. Τῆς δὲ τοιαύτης σπουδῆς τοῖς ἐπισκόποις ἅπασι λογοποιουμένης, Νεκτάριός τις ἀνὴρ ἐκ Ταρσοῦ τῆς Κιλίκων ὁρμώμενος, εὐπατρίδης τε καὶ τοῦ πρώτου γένους, ἐπίσημος τῇ συγκλήτῳ βουλῇ, ἐπιεικὴς τὸν τρόπον, καὶ διὰ πάντων ὡς εἰπεῖν θαυμαζόμενος, τηνικαῦτα δὲ τὴν τοῦ πραίτωρος χειρίζων ἀρχὴν, τῇ Κωνσταντίνου διατρίβων, ἤδη δ' ἀπαίρειν πρὸς τὴν οἰκείαν πατρίδα παρεσκευασμένος, πρὸς Διόδωρον τὸν Ταρσοῦ ἐπίσκοπον B παρεγένετο, συνταξόμενος καὶ εὐχὴν λαβεῖν· εἰ δέ που καὶ δεήσοι, καὶ ἐπιστολὰς κομισόμενος. Συνέβαινε δὲ Διοδώρῳ τηνικαῦτα ἐν φροντίδι εἶναι, τίνα χρεὼν ἐπιλεγῆναι τῇ προκειμένῃ σπουδῇ. Καὶ δὴ Νεκτάριον εἰσιόντα ἰδὼν, εὐθὺς κατὰ νοῦν ἄξιον τῆς καθέδρας ἔκρινε· καὶ ἀοράτως αὐτῷ προσετέθη πολιὰν ὁρῶν πολὺ τὸ αἰδέσιμον ἔχουσαν, τό τε ἱεροπρεπὲς τοῦ εἴδους, καὶ τὸ τοῦ ἤθους μάλα ἐπιεικές. Καὶ προφάσει δῆθεν ἑτέρᾳ παρὰ τὸν τῆς Ἀντιόχου ἐπίσκοπον αὐτὸν ἀγαγὼν, ὑπερφυῶς ἐπῄνει τὸν ἄνδρα· καὶ ἐδεῖτο σπουδὴν καὶ αὐτῷ κατατίθεσθαι τῷ γε παρόντι. Ὁ δὲ πολλῶν περιβοήτων ὑποψήφων ὄντων, ὡς ἐπὶ ἔργῳ μάλα πεφροντισμένῳ καθ' ἑαυτὸν μειδιῶν, τὴν Διοδώρου ψῆφον διέγραφε· Νεκτά- C ριον δ' ὅμως καλέσας, βραχύν τινα χρόνον παρηγγύα μένειν. Ἐν τοσούτῳ δὲ καὶ βασιλεὺς προσέταττε χάρτῃ ἐγγράφειν ὧν ἕκαστοι δοκιμάζουσι τὰ ὀνόματα, ὡς ἀξίων ὄντων τοσοῦτον σκάφος τῆς Ἐκκλησίας ἰθύνειν, καὶ πάντας μὲν αὐτῷ ἐγχειρίζειν, αὐτῷ δέ οἱ τὴν τοῦ ἑνὸς αἵρεσιν ἐπιτρεπτέαν εἶναι. Καὶ οἱ μὲν ἄλλοι τοὺς αὐτοῖς δοκοῦντας ἀνέγραφον· ὅ γε μὴν τῆς Ἀντιόχου πρόεδρος προεκθέμενος τῷ χάρτῃ οἳ ἄρα πρὸς βουλῆς ἦσαν αὐτῷ, ἐς ὕστερον πάντων, διὰ τὴν πρὸς Διόδωρον χάριν, καὶ Νεκτάριον ὑποτίθησιν. Ὁ δὲ βασιλεὺς τὸν χάρτην μετὰ χεῖρας λαβὼν, ἐν ᾧ κατάλογος τῶν ἐγγραφέντων ἦν, ἐπὶ Νεκτάριον ἐλθὼν, ἔστη. Σύννους δ' ὡς τὰ πολλὰ γενόμενος, καθ' ἑαυτὸν ὕφαινε τὴν βουλήν· καὶ δὴ τῷ Νεκταρίου ὀνόματι τὸν δάκτυλον ἐπιθεὶς, D ἀνατρέχει αὖθις τὰς κλήσεις τῶν ὑποψήφων· καὶ ἐπανελθὼν αὖθις εἰς Νεκτάριον, καὶ πολλὰ βουλευσάμενος, τοῦτον πρὸ πάντων ἄξιον τῆς καθέδρας κρίνει. Ἔκπληξις δ' ἐπὶ τῷ γεγονότι κατεῖχεν ἅπαντας· καὶ τοῖς ἁπάντων στόμασιν ᾔγετο, τίς ἂν εἴη οὗτος Νεκτάριος, καὶ τίνα ἐπιτηδεύοι, καὶ ὅθεν. Ὡς δ' ἐπυνθάνοντο καὶ ἀμύητον ἔτι εἶναι, ἐπὶ πλεῖον εἶχον τὸ θαῦμα, καὶ τῷ βασιλεῖ τῆς ἐπ' ἐκείνῳ γνώμης ἐξίσταντο. Οἶμαι δὲ τοῦτο καὶ Διόδωρον ἀγνοεῖν. Οὐ γὰρ ἂν εἰκὸς ἐπ' ἀμυήτῳ τοσαύτην ψῆφον ἐξενεγκεῖν ἀπεθάῤῥησεν· οἷα δὲ εἰκὸς, πολιὸν ὄντα πάλαι μυηθῆναι ὑπέλαβε. Ταῦτα δὲ Θεοῦ δίχα συμβαίνειν, οὐκ ἔγωγε οἶμαι. Ὡς δὲ καὶ βασιλεὺς τοῦτο μάθοι, καίπερ πολλῶν ἱερέων ἀντιτεινόντων, ὅμως τὴν γνώμην ἔστερξεν ἐπ' αὐτῷ. Ἐπεὶ δὲ

πάντες συμβάντες τὴν τοῦ κρατοῦντος ψῆφον ἐκύρουν, εὐθὺς ἐμυεῖτο Νεκτάριος. Ἔτι δὲ τὴν μυστικὴν ἐσθῆτα ἠμφιεσμένος, κοινῇ τῆς συνόδου ψήφῳ τῆς Κωνσταντίνου ἐπίσκοπος ἀνηγόρευτο. Ταῦτα δ' οὕτω συμβῆναι πολλοῖς ἐπιστεύθη, Θεοῦ τῷ βασιλεῖ χρήσαντος. Εἰ δ' ἀληθὲς, εἴτε καὶ μὴ, οὐκ εἰσάπαν ἐμοὶ ἀκριβοῦσθαι ἔστιν· ἐμαυτὸν δ' ἄρα πεισαίμην, μὴ ἀθεεὶ τὴν τοιαύτην συμβῆναι πρᾶξιν, τῷ τε ἀήθει τῆς χειροτονίας καὶ ξένῳ, καὶ τοῖς μετὰ ταῦτα τεκμηριούμενος. Πράῳ γὰρ ὄντι καὶ ἀγαθῷ τὰ πάντα, εἰκὸς Θεὸν τὴν ἱερωσύνην διὰ τῆς τοσαύτης συνόδου ἐγχειρίσαι αὐτῷ. Ἡ μὲν οὖν Νεκταρίου χειροτονία οὕτω τὴν ἀρχὴν συμβᾶσα, τοιόνδε καὶ πέρας αἴσιον ἔσχεν.

A canum, ut æquum fuerat, initiatum fuisse opinatus est. Ego vero non sine nutu Dei hoc accidisse puto. Atque ubi id princeps quoque rescivit, quamvis ex episcopis multi contra niterentur, in sententia tamen sua ille conquievit. Postquam vero, qui convenerant, omnes imperatoris calculum confirmarunt, extemplo Nectarius baptismo initiatus, atque etiamnum mystica veste indutus, communibus synodi suffragiis episcopus Constantinopoli declaratus est. Hæc sic accidisse, Deo tanquam instrumento ipso principe utente, a multis creditum est. Sed verumne id sit, an secus, affirmare certo non possum. Mihi quidem ipse persuaserim, rem tantam non sine Providentia divina actam esse, cum propter insolitum novumque electionis et consecrationis morem, tum propter earum rerum quæ consecutæ sunt, magnitudinem, conjecturam hanc faciens. **244** Quod namque placidus, et in rebus omnibus bonus fuit, verisimile est, Deum illi per synodum tantam, episcopatum commisisse. Consecratio quidem Nectarii tale consecuta initium, auspicatum quoque habuit finem.

ΚΕΦΑΛ. ΙΓ'.

Περὶ ὧν ἡ ἁγία δευτέρα οἰκουμενικὴ ἐθέσπισε σύνοδος, διελοῦσα τὰς ἐπαρχίας, κυρώσασά τε τὴν ἐν Νικαίᾳ πίστιν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον θεολογήσασα, κανόνας ἐξέθετο.

Ἔπειτα ἐς ταυτὸ οἱ ἱερεῖς ἅπαντες συνιόντες ἅμα Νεκταρίῳ, τἀσφαλὲς τὸν ὅρον ἔχειν τῆς ἐν Νικαίᾳ πίστεως ἐπρυτάνευον, καὶ πᾶσαν αἵρεσιν ἀπεκήρυττον. Καὶ τὰς ἐπαρχίας διανειμάμενοι, πατριάρχας κατέστησαν· ἐθέσπισάν τε κατὰ τοὺς πάλαι κανόνας τοὺς ἐπισκόπους ἐπὶ τῶν ἰδίων μένειν ἐκκλησιῶν, καὶ μὴ ὡς ἔτυχε ταῖς ἀλλοτρίαις ἐνορίαις ἐπιβαίνειν, μηδὲ ἀκλήτους μηδὲν προσηκούσαις χειροτονίαις ἐπιβάλλειν. Τοῦτο γὰρ πρώην συνέβαινε, τῆς καθόλου Ἐκκλησίας διωκομένης. Ὅσα γε μὴν παρ' ἑκάστοις συμβαίνει, τὴν τοῦ ἔθνους σύνοδον, ὡς ἐκείνῃ κριθείη, διοικεῖν τε καὶ πράττειν. Μετὰ δὲ τὸν Ῥώμης τὸν τῆς Κωνσταντίνου ἐπίσκοπον τὸ πρεσβεῖον ἔχειν, ἅτε δὴ τῆς νέας Ῥώμης ὄντα ἐπίτροπον. Οὐ μόνον γὰρ ἡ πόλις οὕτω προσηγορεύετο, γερουσίᾳ τε καὶ δήμων τιμαῖς καὶ ἀρχαῖς ἐσεμνύνετο· ἀλλὰ καὶ σύμβολα καὶ ἔθιμα τῶν ἐν Ἰταλίᾳ Ῥωμαίων ηὔχει· τά τε γέρα καὶ τὰ ἐκ τιμῆς δίκαια ἐπίσης ἑκατέρᾳ ἴσα ἦν. Ἀμέλει καὶ κληροῦται Νεκτάριος τὴν Θρᾴκην αὐτὴν καὶ τὴν Μεγαλόπολιν· τὴν δὲ κατὰ Πόντον διοίκησιν ἀπὸ Βιθυνῶν ἄχρις Ἀρμενίων Ἑλλαδίῳ τῷ μετὰ Βασίλειον τῆς Καππαδοκῶν ἡγησαμένῳ ἔδοσαν, καὶ Γρηγορίῳ τῷ Νύσσης· πόλις δὲ καὶ αὕτη Καππαδοκῶν. Τὴν δὲ τῆς Μελιτηνῆς ἐπαρχίαν Ὀτρηΐῳ ἀφῆκαν. Τὴν δ' Ἀσιανὴν διοίκησιν Ἀμφιλόχιος ὁ Ἰκονίου, καὶ Ὄπτιμος ὁ τῆς Πισίδων Ἀντιοχείας ἐλάγχανον· Αἴγυπτος δὲ τῷ Ἀλεξανδρείας Τιμοθέῳ ἀνεῖτο. Τὴν δὲ διοίκησιν τῶν κατὰ τὴν ἕω ἐκκλησιῶν τοῖς ὑπ' αὐτὴν ἐπισκόποις ἐπέτρεψαν· οἷον τῷ Λαοδικείας Πελαγίῳ, καὶ Διοδώρῳ τῷ Ταρσοῦ τῆς Κιλικίας· τὰ οἰκεῖα πρεσβεῖα μόνα τῇ Ἀντιόχου καταλιπόντες,

B CAPUT XIII.

De quibus rebus sancta secunda universalis synodus decreta tulerit, diœceses et provincias ecclesiasticas ordinans: et ut Nicænam idem comprobans, et de Spiritu sancto sententiam exponens, canones condiderit.

Postea episcopi omnes una cum Nectario congregati, ut Nicænæ fidei decretum certum esset, constituerunt. Hæresim omnem damnarunt: et provinciis divisis, patriarchas constituerunt. Sanxerunt quoque juxta veteres canones, ut episcopi in ecclesiis suis manentes, non temere in aliarum diœcesium fines transirent, neve se illegitimis ordinationibus non vocati ingererent: id quod antea, cum universalis Ecclesia persecutionibus exagitaC retur, factum fuerat. Quæcunque vero apud quosque acciderent, ut gentis ejus synodus pro arbitrio suo ea ordinaret et statueret. Præterea, ut secundum Romanæ urbis episcopum, Constantinopolitanus antistes primum ac præcipuum obtineret honorem, ut qui novæ Romæ curator sit. Non enim urbs ea tantum ita nominata est, et populi honoribus magistratibusque exornata, verum etiam signis moribusque et legibus cum Romanis in Italia eisdem gloriatur, atque utrique ex æquo paria sunt et dignitatis præmia, et honorum jura. Igitur diœcesibus ordinandis Nectarius quidem Thraciam sortitus est, et Megalopolim (1): Ponticam autem diœcesim (2) a Bithynia usque ad Armenios, Helladio, qui Basilio in Cappadocia successerat: et D Gregorio Nyssæ, quæ et ipsa Cappadocum civitas est, episcopo attribuerunt. Provinciam autem Melitinensem Otreio reliquerunt. Asianam vero administrationem Amphilochius Iconii, et Optimus Antiochiæ in Pisidia, episcopi acceperunt. Ægyptus porro sub Timotheo Alexandrino permansit. Gubernationem autem Orientalium ecclesiarum episcopis earum permisere, videlicet Pelagio Laodi-

(1) Per Megalopolim, hoc est, magnam urbem, Constantinopolis hoc loco intelligenda.

(2) Apud Sozomenum est: Diœcesim istam Ponticam a Bithynia usque ad Armenios esse concessam Helladio Cæsariensi, et Gregorio Nysseno, et Otreio Melitinensi, episcopis. Lib. VII, cap. 9.

censi, et Diodoro Tarsensi. Antiochiæ vero sola sua relinquentes privilegia, Meletio etiam adhuc superstiti tribuerunt. Urbibus autem circa Thraciam et Scythiam (1) sitis, Terentium Tomitanum et Martyrium Marcionopolitanum præfecere. **245** Quos cum imperator omnes visos collaudasset, sententia sua calculos quoque eorum comprobavit. Et erat eorum illustris gloria: quippe qui ecclesias, pro eo atque par est, administrarent. De Maximo vero decrevere, ut neque esset, neque nomen episcopi haberet : quos vero consecrasset clericos, et quæcunque egisset, irrita ut omnia essent. Constitutione quoque imperator sanxit, ut firma et perpetuà esset Nicænæ fidei auctoritas : atque ut omnes omnium locorum ecclesiæ illis committerentur, qui subsistentia trium ejusdem honoris et ejusdem gloriæ personarum, divinitatem unam Patris et Filii et Spiritus sancti profiterentur (2). Et canonibus quibusdam ecclesiarum exornandarum gratia promulgatis, etiam Spiritus sancti gloriam, utpote similem atque æqualem Patri et Filio, Nysseno id quod illi deesset supplente.

CAPUT XIV.

De Cyriaco Adanorum, et Martyrio Cilicum episcopo : et ut reliquiæ sancti Pauli episcopi Constantinopolitani Constantinopolim sint relatæ : et de Meletio Antiocheno, et ut Meletio Flavianus successerit : et de offendiculis, quæ propter sedem episcopalem rursum Antiochiæ sunt concitata.

His ita actis, simul et synodus finem suum habuit, et reliqui episcopi ad sedes suas redierunt. Nectarius autem Cyriacum Adanorum episcopum secum retinuit, ut episcopalem disciplinam ab eo addisceret : hunc enim ad breve tempus a Diodoro Tarsensi petierat. At ille non hunc solum, sed et alios plurimos Cilices apud eum reliquit. In quibus et Martyrius, medicus optimus, erat; quem commissorum in juvenili ætate peccatorum, sibi conscium habebat Nectarius. Eum tum in diaconorum numerum cooptare studebat : Martyrius vero ministerii ejus functionem refugiebat. Affirmabat namque, indignum se esse tanto munere, testemque vitæ male peractæ ipsum Nectarium laudabat. Et ille : « Quid, inquit, exsistimas? Ego qui nunc episcopus sum, an non juvenis aliquando inconsiderate magis quam tu vitam egi? Teipsum testem facio, qui administer mihi improbæ sæpe libidinis fuisti. » Martyrius porro : **246** « At tu, vir beate, ait, nuper admodum per baptismum omnem labem abluisti, cum etiam episcopalem dignitatem es consecutus. Utrumque vero, et sacrum lavacrum, et munus episcopale, delictorum esse remedium et expiationem, ex sacris novimus constitutionibus (1). Ac tu quidem nunc nihil mihi differre videris a recens genito infante. Ego vero jamdudum divino purgatus lavacro eumdem per libidinem

(1) Mihi sub Scythiæ nomine Gotthorum provincia significari videtur.
(2) L. 1 C. *De sum. Trin.*

ἅπερ ἔτι τότε ζῶντι Μελετίῳ ἐνεχείρισαν· τὰς δὲ περὶ Θρᾴκην καὶ Σκυθίαν πόλεις Τερεντίῳ τῷ Τομέων, καὶ Μαρτυρίῳ τῷ Μαρκιανουπόλεως. Οὓς δῆτα πάντας καὶ βασιλεὺς ἰδών τε καὶ ἐπαινέσας, ἐγίνετο σύμψηφος, αὐτοῖς συγγενόμενος· ὧν καὶ δόξα λαμπρὰ ἐπεκράτει οἷα τὰς ἐκκλησίας ὡς χρεὼν ἰθυνόντων. Μάξιμον δὲ μηδ' εἶναι, μηδὲ ὄνομα ἐπισκόπου ἔχειν· τοὺς δὲ παρ' αὐτοῦ χειροτονηθέντας κληρικοὺς καὶ τὰ πεπραγμένα σύμπαντα ἄκυρα εἶναι. Καὶ νόμῳ ἐκύρου βεβαίαν ἐσαεὶ διαμένειν τὴν ἐν Νικαίᾳ πίστιν· καὶ τὰς ἁπανταχοῦ ἐκκλησίας ἐκείνοις διδόναι, οἷς ὁμολογεῖν θέμις ἐν ὑποστάσει τριῶν προσώπων ἰσοτίμων καὶ ὁμοδόξων θεότητα μίαν Πατρός τε καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος. Καί τινας δὲ κανόνας τῆς ἐκκλησιαστικῆς ἕνεκεν εὐκοσμίας ἐκθέμενοι, καὶ τὴν τοῦ παναγίου Πνεύματος δόξαν, ὡς ἰσότιμον καὶ ὁμόδοξον τῷ Πατρὶ καὶ τῷ Υἱῷ τῷ θείῳ συμβόλῳ τῆς ἐν Νικαίᾳ πίστεως προσετίθεσαν, τοῦ Νύσσης Γρηγορίου τὸ λεῖπον τῷ ἱερῷ συμβόλῳ ἀναπληρώσαντος.

sancto Nicænæ fidei symbolo adjecerunt : Gregorio

ΚΕΦΑΛ. ΙΔ'.

Περὶ Κυριακοῦ τοῦ Ἀδάνων ἐπισκόπου καὶ Μαρτυρίου τοῦ Κίλικος· καὶ περὶ τῆς ἀνακομιδῆς τῶν λειψάνων τοῦ ἁγίου Παύλου τοῦ Κωνσταντινουπόλεως, καὶ Μελετίου τοῦ Ἀντιοχείας· καὶ ὡς Μελέτιον Φλαβιανὸς διεδέχετο· καὶ σκάνδαλα πάλιν ἀνεκινοῦντο διὰ τὸν θρόνον τῆ Ἀντιόχου.

Ἐπεὶ δὲ τάδε ἐγένετο, καὶ ἡ σύνοδος πέρας εἶχεν, οἱ μὲν λοιποὶ τῶν ἐπισκόπων εἰς τὰ οἰκεῖα ἐπανῆεσαν ἤθη· Νεκτάριος δὲ Κυριακὸν τὸν Ἀδάνων ἐπίσκοπον παρ' ἑαυτῷ κατεῖχεν, ὥστε τὴν ἱερατικὴν τάξιν παρ' αὐτοῦ ἐκπαιδεύεσθαι· τοῦτον γὰρ χρόνον ἐπίβραχυν ᾔτει Θεόδωρον τὸν Ταρσοῦ· ὁ δὲ οὐ τοῦτον μόνον, ἀλλὰ καὶ ἑτέρους πλείστους Κίλικας αὐτῷ εἴασεν· ὧν εἷς καὶ Μαρτύριος ἦν, ὃν ὡς ἄριστον ἰατρὸν ἐκέκτητο· ἦν δ' αὐτῷ καὶ συνίστωρ τῶν ἐν νεότητι πλημμεληθέντων· ὃν τηνικαῦτα Νεκτάριος διάκονον χειροτονεῖν σπουδὴν ἐποιεῖτο. Τὴν δὲ λειτουργίαν Μαρτύριος ἀπεσείετο· διετείνετο γὰρ ἀνάξιον εἶναι διακονίᾳ τοσαύτῃ· καὶ μάρτυρα τῶν οὐ καλῶς βεβιωμένων αὐτῷ Νεκτάριον ἐποιεῖτο. Ὁ δὲ, « Τί, φησὶν, οἴει; Ἐγὼ δ' ὁ νῦν ἱερεὺς οὐκ ἀμελέστερον σοῦ ἐν νεότητι διαγέγονα βίον; Μάρτυς δὲ σὺ αὐτὸς, πολλαῖς μὴ προσηκούσαις ἀκολασίαις ἐμοὶ διακονησάμενος. » Τὸν δὲ, « Ἀλλὰ σὺ, ὦ μακάριε, » φάναι, πρότριτα βαπτισθεὶς, πᾶσαν ἀπεξύσω κηλῖδα, ἐφ' ᾧ καὶ ἱερωσύνης μεταλαχεῖν σοι ἐγένετο. Ἄμφω δὲ, τό τε θεῖον λουτρὸν καὶ ἡ ἱερωσύνη, ἀμπλακημάτων εἶναι λυτήρια τοῖς θείοις ἔγνωμεν νόμοις. Καί γε σὺ τὸ νῦν ἔχον οὐδέν μοι δοκεῖς διαφέρειν τῶν ἀρτιτόκων βρεφῶν. Ἐγὼ δ' ἐκ πολλοῦ τῷ θείῳ λουτρῷ καθαρθεὶς, τῇ ἴσῃ τῆς ἀκολασίας ζωῇ διετέλεσα χρώμενος. » Ταῦτα λέγων, τὸν τῆς ἱερωσύνης οὐχ ὑπέστη ζυγόν. Ὃν ἐγὼ τῆς ἀγαθῆς παραιτή-

(3) Ἀμφότερα δὲ καθάρσια ἁμαρτημάτων, τὸ θεῖον ἐνομοθέτησε. Sozom.

σεως ἐπαινῶν, κατὰ τοῦτο καὶ μέρος τῆς παρούσης γραφῆς τοῦτον ἐποιησάμην. Μετὰ δὲ τὴν σύνοδον ὁ βασιλεὺς πυθόμενος ὅσα Παύλῳ τῷ τῆς Κωνσταντίνου πάλαι συνέβη ἀρχιερεῖ, ὡς πρὸς τῶν Ἀρειανῶν ἐν ὑπερορίᾳ ἀγχόνῃ τοῦ ζῆν ἀπηλλάγη, ἐντίμως τὸν ἐκείνου νεκρὸν εἰς τὴν Κωνσταντίνου μετακομισάμενος, κατέθετο τῷ νεῷ, ὃν Μακεδόνιος ὁ ἐπιβουλεύσας αὐτῷ κατεσκεύασεν· ὃς καὶ εἰσέτι τὴν κλῆσιν Παύλου φέρει, μέγιστός τε καὶ λίαν ἐπίσημος ὤν, περί που τὸ δεύτερον διακείμενος· ὃν οἱ ἀγνοοῦντες Παῦλον τὸν θεῖον ἀπόστολον εἶναι νομίζουσιν. Ὑπὸ δὲ τοῦτον τὸν χρόνον καὶ τὸ θεῖον τοῦ Μελετίου λείψανον ἐκ τῆς Κωνσταντίνου εἰς τὴν Ἀντιόχειαν ἐκομίσθη, καὶ ἐγγειτόνων Βαβύλα τοῦ μάρτυρος κατετέθη. Ἐλέγετο δὲ προστάγματι βασιλέως ἀνὰ πᾶσαν τὴν λεωφόρον παρὰ τὸ εἰωθὸς Ῥωμαίοις ἐντὸς τειχῶν κατὰ πόλεις εἰσδεχθῆναι, εὐχαῖς τε καὶ ψαλμῳδίαις ἀμοιβαδὸν κατὰ πόλεις τιμᾶσθαι, ἄχρις ἂν ἐς αὐτὴν διακομισθείη τὴν Ἀντιόχειαν. Τοσοῦτον δ' ἐντετηκέναι τὸ φίλτρον ἅπασί φασι τοῦ ἀνδρὸς, ὡς καὶ τοίχοις καὶ σανίσι καὶ δακτυλίοις τὸν ἐκείνου τύπον ἐγγράφεσθαι. Καὶ Μελέτιος μὲν τοιᾶσδε ἠξιώθη ταφῆς· ἀντ' αὐτοῦ δὲ τῷ ἐκείνου συστήματι χειροτονεῖται Φλαβιανὸς, ἐν δευτέρῳ τοὺς δοθέντας θέμενος ὅρκους· Παυλῖνος γὰρ ἔτι ζῶν διετέλει. Κἀντεῦθεν αὖθις μικρὸν τὴν Ἀντιοχέων ἠρεμήσασαν πόλιν ταραχαὶ διελάμβανον· πολλοὶ γὰρ ἀπὸ Φλαβιανοῦ διαῤῥαγέντες, προσεῤῥύησαν τῷ Παυλίνῳ· οὗ δὴ χάριν οὐ μόνον οἱ κατὰ τὴν Ἀντιόχου, ἀλλὰ καὶ αὐτοὶ οἱ πέριξ ἱερεῖς διεφέροντο. Οἵ τε γὰρ Αἰγύπτιοι καὶ Ἀράβιοι καὶ Κύπριοι, ὡς ἐπὶ ἠδικημένῳ ἠγανάκτουν Παυλίνῳ. Σύροι δὲ καὶ Φοίνικες καὶ Παλαιστινοὶ, καὶ ὅσοι περὶ τὴν Ἀρμενίαν, Καππαδοκίαν τε καὶ Γαλατίαν, καὶ ἀνὰ τὸν Εὔξεινον πόντον, τούτων οἱ πλείους προσέκειντο τῷ Φλαβιανῷ. Δάμασος δὲ ὁ Ῥώμης ἐπίσκοπος καὶ οἱ ἀνὰ τὴν δύσιν ἱερεῖς πλεῖστα Φλαβιανῷ ἐχαλέπαινον· καὶ ἔστελλον μὲν Παυλίνῳ· καὶ ὡς ἀρχιερεῖ τῆς Ἀντιοχέων Ἐκκλησίας προσεφθέγγοντο τὰς συνήθεις ἐπιστολὰς, ἃς συνοδικὰς εἰωθὸς καλεῖν· Φλαβιανὸν δὲ παντάπασιν ἐξετρέποντο. Οὐχ ἧττον δὲ τοὺς ἀμφὶ Διόδωρον τὸν Ταρσοῦ, καὶ τὸν Βεῤῥοίας Ἀκάκιον, ὡς τὴν χειροτονίαν ἐπιβαλόντας αὐτῷ αἰτιώμενοι, ἀκοινωνήτους ἔκρινον. Τἀσφαλὲς δὲ γνῶναι περὶ τούτου βουλόμενοι, ἔγραφεν αὐτός τε καὶ Γρατιανὸς, εἰς τὴν Ἑσπέραν ἐκ τῆς Ἕω τούτους μετακαλούμενοι.

vitæ cursum tenere perseveravi. » His dictis, sacerdotii non subiit jugum. Cujus cum non possim deprecationem pulchram non laudare, ut partem aliquam etiam hoc loco in præsenti historia obtineret, volui. Post synodum celebratam, ubi imperator cognovit, quid Paulo Constantinopolitano olim episcopo accidisset, ut scilicet in exsilio ab Arianis suffocatus enectusque fuerit, translato honorifice corpore ejus Constantinopolim, in templo id reposuit, quod Macedonius, qui insidiatus illi fuerat, construxit. Id nunc quoque appellationem Pauli retinet, maximum atque præclarissimum, et quodammodo a paucis aliis secundas ferens. Qui vero rem eam ignorant, divum apostolum Paulum conditum ibi esse arbitrantur. Sub idem tempus, sacræ etiam Meletii reliquiæ Constantinopoli Antiochiam sunt perlatæ, et proxime apud martyrem Babylam repositæ. Dictum autem est, imperatoris jussu corpus ejus in publicis viis omnibus, præter Romanorum morem, intra urbium mœnia receptum : precationibus et psalmodiis alternis in urbibus decantatis, donec Antiochiam pertigit, honoratum esse. Tantum vero viri hujus desiderium in animis hominum omnium relictum esse ferunt, ut illius formam et effigiem in parietibus et tabulis depingi, et in annulis exsculpi curaverint. Meletius quidem tanto cum honore humatus est. Cui, ad gregem illius pascendum, Flavianus substitutus est : jusjurandum, quo obstrictus fuerat, parvifaciens. Paulinus enim adhuc vivebat. Proinde urbem Antiochenam, quæ paululum conquieverat, turbæ rursum exceperunt. Multi namque a Flaviano desciscentes, Paulino se adjunxerunt. Cujus sane rei gratia, non solum Antiocheni ipsi, verum etiam vicini circumcirca episcopi, inter se dissensere. **247** Ægyptii namque, Arabes, et Cyprii, propter Paulinum, veluti injuria is affectus esset, indignabantur : Syri autem, Phœnices, Palæstini, et qui Armeniam, Cappadociam et Galatiam incolunt, quique ad Pontum Euxinum sunt, maxima ex parte Flaviano favebant. Porro Damasus Romæ episcopus, et Occidentales antistites, Flaviano plurimum succensebant : et ad Paulinum scribentes, in epistolis quas synodales appellare mos est, ei nomen præsulis Antiochenæ ecclesiæ tribuebant, Flavianum autem prorsus aversabantur. Neque vero minus Diodorum Tarsensem, et Acacium Berrhœum, qui illi manus imposuerant accusabant : quos etiam a communione excluserunt. Ut vero certius rem eam cognoscerent, et ipsi et Gratianus ad eos litteras dederunt, ex Oriente in Occidentem eos evocantes.

ΚΕΦΑΛ. ΙΕ'.

Ὡς Θεοδόσιος ὁ βασιλεὺς δευτέραν πάλιν ἐποίει συναγωγὴν, συμφωνῆσαι τὰς ἐκκλησίας βουλόμενος· καὶ ὅσα Σισίνιος ὁ Ναυατιανὸς συνεβούλευε· καὶ ὡς μὴ δυνηθεὶς τοῦτο δρᾶσαι, ὑπερόριον φυγὴν τῶν αἱρετικῶν κατεδίκαζεν.

Ὁπηνίκα κατ' ἐκεῖνον τὸν χρόνον τῶν Ἀρειανῶν ἐξωθουμένων τῶν εὐκτηρίων, εἰσαγομένων δὲ τῶν

CAPUT XV.

Ut Theodosius imperator secundum rursus coegerit concilium, ad concordiam redigere volens ecclesias. Et quæ Sisinius Novatianorum episcopus de concordia suaserit : et ut ad exsilium hæreticos, ubi voti compos fieri non potuit, Theodosius damnarit.

Eodem tempore (1), cum Ariani ex sacris ædibus deturbarentur, et Catholici in possessionem earum

(1) Sozom. lib. VII, cap. 12.

vacuam inducerentur, non parvæ exortæ sunt turbæ. Quapropter imperator Theodosius exiguo a priore synodo temporis intervallo, antesignanos vigentium tum hæresium rursum convocavit, ut alternum istorum fieret : videlicet, ut vel ipsi aliis opinionem suam persuaderent, vel ab aliis ad aliam complectendam persuaderentur, de rebus quæ in controversia essent ; in unam eamdemque sententiam omnes adductum iri ratus, si in publico auditorio opiniones dubiæ per disputationem discuterentur. Cum autem universi convenissent (factum id eo anno, quo filium Arcadium Augustum renuntiavit), consilium de synodo celebranda cum Nectario Constantinopolitano communicavit, cohortatus, ut quæstiones unde hæreses orirentur, omnes, in publicam deducerentur disputationem, quo cum una fieret Ecclesia, atque unum inter omnes consentiens constitueretur dogma, tum universi religionem, ita uti decet, colerent, neque quidquam controversiæ relinqueretur. Nectarius plurima secum animo revolvens, Novatianorum episcopum Agelium accersiit, ejusdem cujus ipse erat de consubstantiali sententiæ virum : **248** qui quod factis potius virtutem (1) declararet, et a verborum nugamentis et fastu alienus prorsus esset, alium vicem suam ad dispiciendum quid facto opus esset, atque etiam (si hoc usus ferret) ad disputandum, designavit, Sisinium nomine, qui tum in lectorum ordine enitebat ; et brevi post episcopatum ejus suscepit : hominem ad inveniendum perquam ingeniosum, et ad id quod invenisset, eloquendum valde commodum : nec minus ad arcanos et latentes sacræ Scripturæ sensus inquirendum, eosque copiose suavi lingua exponendum, sane quam idoneum, nec non profanæ simul et sacræ philosophiæ egregie peritum. Is, quod rectissime tum dicere visus est, suasor fuit, ne qua cum eis qui aliter opinarentur, susciperetur disputatio, ut quæ aliam ex alia rixam et contentionem parere soleret : sed ut illi interrogarentur, an eos sacrorum oraculorum interpretes, qui prius exstiterint, quam dissensio in ecclesiis orta sit, admitterent. Ac siquidem sententias illorum rejicerent, tum fore dixit, ut eos etiam factionis suæ populares ejiciant : sin vero idoneos illos ad declarationem seu decisionem controversiarum esse putarent, statim illorum libros in medium proferri debere. Atque hoc sic suasit, quod certo sciret, veteres cum in divinis litteris coæternum Patri Filium invenerint, haudquaquam initio aliquo generationem ejus incepisse, dicere ausos fuisse. Ut autem et Nectario et imperatori optimum hoc consilium esse visum est, omnibus qui evocati fuerant coactis, cognoscere primum, quid de veterum scriptis illi sentirent, tentavit. Atque ubi illi clamore et admiratione suam erga illos affectionem et pietatem indicarunt, aperte pronuntiavit : si

A ἀπὸ τῆς καθόλου Ἐκκλησίας, οὐκ ἐλάχισται ταραχαὶ τούτοις συνέβησαν· οὗ χάριν ὁ βασιλεὺς Θεοδόσιος ὀλίγον διαλιπὼν τῆς προτέρας συνόδου, τοὺς ἀρχηγοὺς τῶν ἀκμαζουσῶν τηνικαῦτα αἱρέσεων μετεκαλεῖτο αὖθις, ἵνα θάτερον γένηται· καὶ ἢ πείσωσιν ἢ πεισθῶσιν οἷς διεφέροντο. Οἰόμενος γὰρ ἦν ταυτὸ φρόνημα πᾶσιν ἐνθεῖναι, τὰ τῶν δοξῶν ἀμφίβολα εἰς κοινὴν ἀκρόασιν εἰ γυμνάσειεν. Ἐπεὶ δὲ συνῆεσαν ἅπαντες, ἡνίκα καὶ τὸν υἱὸν Ἀρκάδιον Αὔγουστον ἀνηγόρευε, τῷ τῆς Κωνσταντίνου Νεκταρίῳ ἐκοινωνοῦτο περὶ τῆς γενησομένης συνόδου· παρηγγύα τε ὅσα τῶν ζητημάτων τὰς αἱρέσεις ἐποίει, εἰς κοινὴν προκεῖσθαι διάλεξιν· ὡς ἂν Ἐκκλησία μία γένοιτο, καὶ ἓν δόγμα σύμφωνον ἅπασι κατασταίη· καθὸ θρησκεύειν πάντας προσήκει, μή τι ἔχον ἀμφήριστον. B Πλεῖστα δὲ μεριμνῶν Νεκτάριος, Ἀγέλιον μετεστέλλετο τὸν τῆς Ναυατιανῶν αἱρέσεως προϊστάμενον· τῆς γὰρ αὐτῆς δόξης ἐκείνῳ κατὰ τὸ ὁμοούσιον ἦν· ὁ δὲ τοῖς ἔργοις μᾶλλον τὴν ἀρετὴν ἐπιδεδειγμένος· τῇ δὲ τερθρείᾳ τῶν λόγων καὶ τῷ ταύτης κομψῷ παντάπασιν ἀτριβὴς ὤν, ἕτερον ἀντ' αὐτοῦ τοῦ ποιητέου προσεβάλλετο, εἴγε χρεία γένοιτο καὶ εἰς ἅμιλλαν καταστῆναι λόγων, Σισίνιον ὄνομα, τηνικαῦτα τῷ τῶν ἀναγνωστῶν βαθμῷ διαπρέποντα, ὃς μετὰ μικρὸν καὶ τὴν αὐτοῦ ἐπετράπη ἐπισκοπήν· νοῆσαι μὲν δεξιὸν, φράσαι δὲ τὸ νοηθὲν μάλα δεινόν· ἐπιτήδειον δὲ ἄλλως τῆς ἱερᾶς Γραφῆς ἀναδιφῆσαι τὸ βάθος, καὶ λαμυρᾷ γλώσσῃ ἐπεξηγήσασθαι, ἴδριν τε τῶν παρ' Ἕλλησι καὶ τῶν παρ' ἡμῖν φιλοσοφησάντων· C ὃς δὴ τότ' ἄριστα λέγειν δοκῶν, σύμβουλος ἦν, ὥς τε τὰς μὲν τῶν ἄλλως δοξαζόντων διαλέξεις ἐκκλῖναι, ἅτε δὴ μάχην καὶ ἔριν γεννᾷν ἱκανάς· εἰς ἐρώτησίν γε μὴν ἐλθεῖν, εἰ τοὺς τῶν ἱερῶν λόγων καθηγητὰς, οἳ πρὶν ἢ τὴν διάστασιν ταῖς ἐκκλησίαις γεννῆσαι, προσίενται. Κἂν ἄρα τὰς ἐκείνων δόξας ἀπώσωνται, πάντως καὶ ὑπὸ τῶν τὰ σφέτερα δοξαζόντων ἐξελαθήσονται· εἰ δὲ εἰς ἀπόδειξιν ἱκανοὺς εἶναι τῶν παρισταμένων λογίσονται, αὐτίκα τὰς ἐκείνων βίβλους ἐπὶ μέσου προσενεγκεῖν. Ἀκριβῶς γὰρ ἠπίστατο ὡς οἱ παλαιοὶ συναΐδιον τῷ Πατρὶ τὸν Υἱὸν εὑρηκότες ταῖς θείαις Γραφαῖς, οὐδαμῶς ἐξ ἀρχῆς τινος τὴν γέννησιν ἔχειν εἰπεῖν ἐτόλμησαν. Ὡς δὲ καὶ Νεκταρίῳ καὶ βασιλεῖ ἀρίστη ἡ βουλὴ συνεδόκει, συναγαγὼν ἅπαντας, ἐπειρᾶτο διαγινώ- D σκειν, πῶς ποτε γνώμης ἔχουσι περὶ τὰς τῶν παλαιοτέρων γραφάς. Τῶν δὲ βοῇ καὶ θαύματι τὴν περὶ ἐκείνους μηνυσάντων στοργὴν, εἰς προὖπτον ἐδήλου, ὡς εἰ μάρτυρες οὗτοι τοῦ δόγματος ἀξιόχρεῳ, ἆρά γε καὶ τὰς ἐφ' ἑκάστῳ ζητήσεις παύσουσιν, εἴ γε στέρξειαν, ὡς ἄρ' ἐκείνοις δοξάσαι καὶ εἰπεῖν περὶ τούτων ἐγένετο. Ἐπεὶ δὲ καὶ περὶ τούτων οἱ τῶν αἱρέσεων ἀρχηγοὶ διχῇ διῄρηντο (οὐ τὰ ἴσα γὰρ πᾶσι περὶ τὰς τῶν παλαιοτέρων δόξας ἐδόκει), καθ' ἑαυτὸν γενόμενος ὁ κρατῶν, συνῆκεν ὡς διὰ τοῦτο τὸ προτεθὲν ἀποσείονται, ἅτε δὴ τοῖς οἰκείοις διαλόγοις τεθαρρηκότες. Καὶ δῆτα τῷ τῆς γνώμης ἀχθεσθεὶς ἀνωμάλῳ, ἐκέλευσεν ἑκάστην αἵρεσιν γραφῇ

(1) Τὴν ἀρετὴν τοῦ βίου διὰ τῶν ἔργων φέρων· κομψότητος δὲ καὶ τερθρείας λόγων ἀτριβής. Sozom.

τὴν οἰκείαν ἐγχαράττουσαν δόξαν, ἐγχειρίζειν αὐτῷ. Ὡς δ' ἧκεν ἡμέρα καθ' ἣν ὥριστο ταῦτα, ἐκ μὲν τῶν ὁμοούσιον δοξαζόντων Τριάδα παρῆν Νεκτάριος καὶ Ἀγέλιος, τῶν δὲ τῆς αἱρέσεως Ἀρείου παρασπιζόντων Δημόφιλος. Εὐνόμιος δὲ αὐτὸς ὑπὲρ τῆς οἰκείας δόξης παρῆν· Ἐλεύσιος δὲ ὁ Κυζίκου ὑπὲρ τῶν καλουμένων Μακεδονιανῶν. Πάσας δὲ τὰς τῶν αἱρέσεων ἐπελθὼν δόξας ὁ βασιλεὺς, μόνην ἔκρινεν ἀληθῆ καὶ διὰ θαύματος ἦγεν, ἣ δὴ Τριάδα ὁμοούσιον εἰσηγεῖτο· τὰς δὲ λοιπὰς διεῤῥήγνυ ὡς τῇ ἀληθείᾳ διαμαχομένας. Οἱ μὲν οὖν τὴν Ναυάτου νοσοῦντες αἵρεσιν οὐδαμῇ κακῶς ἔπραττον, ἅτε δὴ τῇ καθόλου Ἐκκλησίᾳ, πλὴν ἑνὸς, τὰ ἴσα φρονοῦντες, καὶ τῷ ὁμοουσίῳ μάλα προσκείμενοι· αἱ δὲ λοιπαὶ τῶν αἱρέσεων, κακῶς πρὸς τοὺς σφετέρους ἱερεῖς ἐχαλέπαινον, ἅτε δὴ ἀμαθῶς τῷ κρατοῦντι διομιλησάμενοι· ὧν οἱ πλεῖστοι καὶ τὰς ἐκείνων δόξας διαπτύσαντες, πρὸς τὴν ἐπαινεθεῖσαν μετεῤῥύησαν πίστιν. Βασιλεὺς δ' ἐντεῦθεν νόμον ἐτίθει, καὶ τοὺς μὴ τῷ ὁμοουσίῳ στοιχοῦντας ἐκέλευε μηδ' ὅλως ἐκκλησιάζειν· ἀλλὰ μηδὲ περὶ πίστεως τοῦ λοιποῦ τολμᾷν διδάσκειν· ἀλλὰ μηδὲ τὴν οἵαν δή τινα χειροτονίαν ποιεῖν· ἐξελαύνεσθαι δὲ τοὺς μὲν καὶ ἀγρῶν καὶ πόλεων· ἀτίμους δ' ἄλλους εἶναι, καὶ μὴ τῆς ἴσης πολιτείας μετέχειν τοῖς ἄλλοις. Προσεπέγραψε δὲ τοῖς νόμοις καὶ τιμωρίας σφοδρὰς, εἴ τι γνοίη παρὰ τὸ νομοθετηθὲν δρώμενον. Ἀλλ' οὐκ ἐπεξῄει· ἐς δέος γὰρ τοὺς σπουδαστὰς ἐκείνων ἐμβάλλειν ἤθελε. Καὶ σπουδή τις ἦν τὴν ὑπ' αὐτῷ ἀρχομένην ὁμοφρονεῖν αὐτῷ περὶ τὴν τοῦ θείου δόξαν. Ὅθεν καὶ διὰ πολλῆς ἦγε τιμῆς, οὓς μετατιθεμένους ἐξ αἱρέσεων διεγίνωσκε. Τῆς δὲ συνόδου ταύτης συγκροτουμένης ἐκ δευτέρου τῇ Κωνσταντίνου, ὡς εἴρηται, Θεοδοσίου κρατοῦντος, ἧκεν ἐξ Ἑσπέρας τούτοις ἐπιστολή· ὥστε πρὸς τὴν Ῥώμην καὶ αὐτοὺς ἀφικέσθαι συνόδου μεγίστης κἀκεῖ κροτουμένης, καὶ ἵνα καὶ τὰ κατ' Ἀντιόχειαν Παυλίνῳ καὶ Φλαβιανῷ γενόμενα διαγνοῖεν. Ἀλλὰ τὴν μὲν πρὸς Ῥώμην ἀποδημίαν, ὡς ἀκερδῆ, οἱ ἐν τῇ Κωνσταντίνου ἀθροισθέντες ἐπίσκοποι παρῃτήσαντο· ἐπέστελλον δὲ καὶ οὗτοι, τόν τ' ἐπεγερθέντα τῇ Ἐκκλησίᾳ μέγιστον κλύδωνα τῶν αἱρέσεων διαγγέλλοντες· ἠρέμα δέ πως καὶ τῆς ἐκείνου ἀμελείας καθήπτοντο· ἐν κεφαλαίῳ δὲ τὸ ἀποστολικὸν φρόνημα τῷ γράμματι ἐγκατέσπειραν. Σαφέστερον δὲ τὸν ἀνδρεῖον ἐκείνων νοῦν καὶ τὴν ἀληθῆ σοφίαν, αὐτά γ' ἐκεῖνα παραστήσει τὰ γράμματα, τάδε κατὰ ῥῆμα διεξιόντα·

testes illi dogmatis classici et idonei essent, facile eos quæstionem rei cujuslibet decisuros, si ipsi in eo acquiescerent, quod illi de controversiis ejusmodi et senserint et dixerint. Quandoquidem autem etiam de eo hæresium duces dissentiebant (non omnibus enim eadem de veterum opinionibus sententia erat), rem secum ipse perpendens imperator intellexit propterea illos propositam sibi conditionem repudiare, quod disputationibus suis confiderent. Quamobrem iniquam sententiam eorum moleste ferens, hæresim quamque libellum, opinionem cujusque complectentem, offerre sibi jussit. **249** Atque ubi dies constituta advenit, ex eis qui Trinitatem ὁμοούσιον, consubstantialem, profitebantur, Nectarius affuit, et Agelius : ex Arianis autem, Demophilus : hæresis suæ nomine, Eunomius : Eleusius autem Cyzicenus, Macedonianorum partes propugnans. Porro imperator opinionibus hæreticorum omnibus perlectis, solam admiratus est, et veram esse indicavit, quæ Trinitatem ὁμοούσιον, consubstantialem, deprædicat : reliquas vero ut veritati repugnantes, conscidit. Enimvero eis qui Novati hæresi laborant, nihil adversi accidit : quippe qui Ecclesiæ catholicæ, præterquam in re una, consentirent, et ὁμοουσίῳ, consubstantiali, admodum inhærerent Reliquæ autem hæreses graviter episcopos suos accepere, quod non satis considerate cum imperatore egissent. Plurimi etiam ex eis, opinione illorum spreta, ad sententiam laudatam transiere. Deinde imperator legem tulit (1), ne a Consubstantialis fidei professione abhorrentes, conventus aliquos ecclesiasticos agerent : neve postea de fide docere auderent, aut eligendi consecrandique quempiam, potestatem haberent. Sanxit præterea, ut illi partim ex agris et urbibus pellerentur, partim infamia notarentur, neque quidquam cum reliquis civibus commune haberent. Constitutionibus (2) ejusmodi pœnas graves addidit, si quemquam contra decreta sua commisisse comperisset. Sed eas exsecutioni non mandavit : metum enim tantum hæresium studiosis incutere voluit ; et id maxime studio habuit, ut populi imperio ejus subjecti, eamdem secum de Deo obtinerent opinionem. Quapropter magno etiam eos prosecutus est honore, quos ab hæreticis ad ecclesiam universalem transiisse cognovit. Cum synodus Constantinopoli iterum, sicuti dictum est, sub imperatore Theodosio ageretur, ex Occidente litteræ venerunt, ut ipsi quoque Romam ad concilium ibi maximum institutum, in quo de rebus etiam Antiochenis inter Paulinum et Flavianum decideretur, venirent. Cæterum qui Constantinopoli congregati erant episcopi, profectionem Romanam ut incommodam detrectarunt. Epistolam autem scripserunt, in qua excitatam in Ecclesia ab hæreticis procellam maximam exposuerunt : et aliquantulum negligentiam et incuriam illorum perstrinxerunt, summatimque apostolicam sententiam inseruerunt. **250** Sed virilem eorum animum, veramque sapientiam, illæ ipsæ litteræ declarabant, in hæc verba conceptæ :

(1) L. *Omnes vetitæ* C. De hæretic. et Manich.
(2) L. *Cuncti hæretici.* cum Ll. sequentibus. Eod.

CAPUT XVI.

Epistola Constantinopolitanæ synodi, ad Occidentales episcopos scripta.

« Reverendissimis dominis, et maxime piis fratribus atque collegis, Damaso, Ambrosio, Brittoni, Valeriano, Ascholio, Anemio, et reliquis sanctis episcopis, in magna urbe Romana coactis ; sancta synodus orthodoxorum et recte sentientium episcoporum in magna urbe Constantinopolitana congregatorum, in Domino salutem. Pietatem vestram tanquam ignaram docere, et ærumnarum vim nobis ab impotenti dominatione Arianorum illatarum commemorare, superfluum fortasse est. Non enim exsistimamus pietatem vestram, res nostras tam nihil ad se pertinere judicare, ut de eis commonefacienda sit, in quibus condolere eam nobiscum oportuit. Neque tales sunt quas pertulimus tempestates, ut latere tenuitate sua potuerint. Et tempus persecutionum propinquum, recentem adhuc memoriam conservat, non eis tantum qui afflicti sunt, sed etiam qui per charitatem afflictorum miserias, suas ipsorum ærumnas esse reputant. Heri namque, propemodum, et nuper admodum, alii quidem exsilii vinculis soluti, ad ecclesias suas per afflictiones innumerabiles postliminio redierunt. Quorumdam autem in exsilio defunctorum relatæ sunt reliquiæ. Quidam etiam post reditum, cum in ferventem adhuc hæreticorum incidissent furorem, acerbiora quoque domi, quam in longinquis et alienis terris, mala pertulere : lapidibus ad necem usque, siculi beatus Stephanus, obruti. Alii variis concisi verberibus et flagris, stigmata et notas adhuc Christi et vibices in corpore suo circumferunt. Pecuniarum vero multas, et excussiones urbium, et privatorum bonorum publicationes, insidias structas, contumelias, et vincula, quisnam enumerare queat? Revera profecto in nobis afflictiones multiplicatæ sunt supra numerum, fortasse vel quod peccatorum pœnas persolvimus : **251** vel quod benignus Deus pro suo in homines amore, per tantam vim et multitudinem malorum nos exercuit. Quo nomine Deo agimus gratias, qui per tot et tantas afflictiones servos suos castigarit, et secundum multitudinem miserationum suarum nos rursum eduxerit in refrigerium. Nobis vero diuturno opus esset otio, et tempore multo, ad ecclesiarum restitutionem, ut perinde atque ex longa ægritudine, paulatim sedula cura Ecclesiæ corpus confirmantes, ad pristinam valetudinem et sanitatem reduceremus. Quanquam enim maxime a vehementi injuria persecutionum videmur esse liberati, et ecclesias diutius ab hæreticis detentas nuper recuperavimus : graves tamen adhuc nobis imminent lupi, qui etiam ex ovilibus depulsi, in silvis et saltibus greges diripiunt, conventus contra nos cogunt, vulgi seditiones movent, et nihil quod in ecclesiarum detrimentum cedat, non tentant. Quapropter, quod diximus, ampliore nos otio et tempore longiore abundare oportebat. Sed enim cum

A

ΚΕΦΑΛ. ΙϚʹ.

Ἐπιστολὴ τῆς ἐν Κωνσταντινουπόλει συνόδου πρὸς τοὺς δυτικοὺς ἐπισκόπους γραφεῖσα.

« Κυρίοις τιμιωτάτοις καὶ εὐλαβεστάτοις ἀδελφοῖς καὶ συλλειτουργοῖς, Δαμάσῳ, Ἀμβροσίῳ, Βρίττωνι, Οὐαλεριανῷ, Ἀσχολίῳ, Ἀνεμίῳ, Βασιλείῳ, καὶ τοῖς λοιποῖς ἁγίοις ἐπισκόποις τοῖς συνεληλυθόσιν ἐν τῇ μεγάλῃ πόλει Ῥώμῃ, ἡ ἁγία σύνοδος τῶν ὀρθοδόξων ἐπισκόπων τῶν συνεληλυθότων ἐν τῇ μεγάλῃ πόλει Κωνσταντινουπόλει ἐν Κυρίῳ χαίρειν. Τὸ μὲν ὡς ἀγνοοῦσαν διδάσκειν τὴν ὑμετέραν εὐλάβειαν, καὶ διηγεῖσθαι τῶν παθημάτων τὸ πλῆθος, τῶν ἐπαχθέντων ἡμῖν παρὰ τῆς Ἀρειανῶν δυναστείας, περιττὸν ἴσως. Οὔτε γὰρ οὕτω πάρεργον τὰ καθ' ἡμᾶς κρίνειν τὴν ὑμετέραν ἡγούμεθα θεοσέβειαν, ὡς δεῖ-
B σθαι τοῦ μαθεῖν ταῦτα οἷς ἐχρῆν συναλγεῖν· οὔτε τοιοῦτοί τινες οἱ περισχόντες ἡμᾶς χειμῶνες, ὡς λανθάνειν ὑπὸ σμικρότητος· ὅ τε χρόνος τῶν διωγμῶν νεαρὸς, ἔναυλον ἔτι φυλάττων τὴν μνήμην οὐ τοῖς πεπονθόσι μόνον, ἀλλὰ καὶ τοῖς δι' ἀγάπην τὰ τῶν πεπονθότων οἰκειουμένοις. Χθὲς γὰρ, ὡς εἰπεῖν, ἔτι καὶ πρώην οἱ μὲν τῶν τῆς ἐξορίας λυθέντες δεσμῶν εἰς τὰς ἑαυτῶν ἐκκλησίας διὰ μυρίων ἐπανήκασι θλίψεων· τῶν δὲ καὶ τελειωθέντων ἐν ταῖς ἐξορίαις ἐπανεκομίσθη τὰ λείψανα. Τινὲς δὲ καὶ μετὰ τὴν τῆς ἐξορίας ἐπάνοδον, ἔτι βράσσοντι τῷ τῶν αἱρετικῶν περιπεσόντες θυμῷ, πικρότερα τῶν ἐπὶ τῆς ἀλλοτρίας, ἐπὶ τῆς οἰκείας ὑπέμειναν, λίθους παρ' αὐτῶν τελειωθέντες κατὰ τὸν μακάριον Στέ-
C φανον· ἄλλοι διαφόροις καταξανθέντες αἰκίαις, ἔτι τὰ στίγματα τοῦ Χριστοῦ καὶ τοὺς μώλωπας ἐν τῷ σώματι περιφέρουσι. Χρημάτων δὲ ζημίας καὶ προτιμήσεις πόλεων, καὶ τὰς τῶν καθ' ἕνα δημεύσεις καὶ συσκευὰς, καὶ ὕβρεις καὶ δεσμωτήρια, τίς ἂν ἐξαριθμήσασθαι δύναιτο; Ὄντως ἐφ' ἡμᾶς αἱ θλίψεις ἐπληθύνθησαν ὑπὲρ ἀριθμόν· ἴσως μὲν, ἐπειδὴ δίκας ἁμαρτημάτων ἐτίνομεν· ἴσως δὲ, καὶ τοῦ φιλανθρώπου Θεοῦ διὰ τοῦ πλήθους τῶν παθημάτων ἡμᾶς γυμνάζοντος. Τούτων μὲν οὖν τῷ Θεῷ χάρις, ὃς καὶ διὰ τοσούτων τοὺς ἑαυτοῦ δούλους ἐπαίδευσε, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν αὐτοῦ πάλιν ἐξήγαγεν ἡμᾶς εἰς ἀναψυχήν· ἡμῖν δὲ, μακρᾶς μὲν ἔδει σχολῆς καὶ πολλοῦ χρόνου πρὸς τὴν τῶν ἐκκλησιῶν ἐπανόρθωσιν, ἵν' ὥσπερ ἐκ μακρᾶς ἀῤῥωστίας
D ταῖς κατὰ μικρὸν ἐπιμελείαις τὸ σῶμα τῆς Ἐκκλησίας ἐκνοσηλεύοντες, πρὸς τὴν ἀρχαίαν τῆς Ἐκκλησίας ὑγίειαν ἐπαναγάγωμεν. Καὶ γὰρ εἰ τὰ μάλιστα δοκοῦμεν τῆς τῶν διωγμῶν ἀπηλλάχθαι σφοδρότητος, καὶ τὰς ἐκκλησίας χρονίως παρὰ τῶν αἱρετικῶν κατασχεθείσας ἀρτίως ἀνακομίζεσθαι, πλὴν ἀλλὰ βαρεῖς ἡμῖν οἱ λύκοι, καὶ μετὰ τὸ τῆς μάνδρας ἐξωσθῆναι, κατὰ τὰς νάπας τὰ ποίμνια διαρπάζοντες, ἀντισυνάξεις τολμῶντες, δήμων κινοῦντες ἐπαναστάσεις, ὀκνοῦντες οὐδὲν εἰς τὴν τῶν Ἐκκλησιῶν βλάβην. Ἦν μὲν οὖν, ὅπερ εἰρήκαμεν, ἀναγκαῖον πλείονα ἡμᾶς προσασχοληθῆναι χρόνον· ἐπειδὴ μέντοι τὴν περὶ ἡμᾶς ἀδελφικὴν σώζοντες στοργὴν, καὶ τὴν ἀγάπην ἐπιδεικνύμενοι, σύνοδον ἐπὶ τῆς Ῥώμης Θεοῦ βουλήσει συγκροτοῦντες, καὶ ἡμᾶς ὡς

οἰκεῖα μέλη προσεκαλέσασθε διὰ τῶν τοῦ θεοφιλεστάτου βασιλέως γραμμάτων, ἵν' ἐπειδὴ τότε τὰς θλίψεις μόνοι κατεδικάσθημεν, νῦν ἐν τῇ τῶν αὐτοκρατόρων περὶ τὴν εὐσέβειαν συμφωνίᾳ μὴ χωρὶς ἡμῶν βασιλεύσητε, ἀλλὰ καὶ ἡμεῖς ὑμῖν κατὰ τὴν ἀποστολικὴν φωνὴν συμβασιλεύσωμεν· εὐχὴ μὲν ἦν ἡμῖν, εἰ δυνατὸν ἅπασιν ἀθρόως καταλιποῦσι τὰς ἐκκλησίας, τῷ πόθῳ ἢ τῇ χρείᾳ χαρίσασθαι. Τίς γὰρ ἡμῖν δῷ πτέρυγας ὡσεὶ περιστερᾶς, καὶ πετασθησόμεθα, καὶ πρὸς ὑμᾶς καταπαύσομεν; Ἐπειδὴ δὲ τοῦτο παντελῶς ἐγύμνου τὰς ἐκκλησίας ἄρτι τῆς ἀνανεώσεως ἀρχομένας, καὶ τὸ πρᾶγμα παντάπασιν ἦν τοῖς πολλοῖς ἀδύνατον· συνδεδραμήκειμεν γὰρ εἰς τὴν Κωνσταντινούπολιν ἐκ τῶν πέρυσι γραμμάτων τῶν παρὰ τῆς ὑμετέρας τιμιότητος μετὰ τὴν Ἀκυληΐας σύνοδον πρὸς τὸν θεοφιλέστατον βασιλέα Θεοδόσιον ἐπισταλθέντων, πρὸς μόνην ταύτην τὴν μέχρι Κωνσταντινουπόλεως παρασκευασάμενοι, καὶ παρὰ ταύτης μόνης τῆς συνόδου τῶν ἐν ταῖς ἐπαρχίαις μεινάντων ἐπισκόπων συγκατάθεσιν ἐπαγόμενοι· μείζονος δὲ ἀποδημίας, μήτε προσδοκήσαντες χρείαν, μήτε προακούσαντες ὅλως, πρὶν ἐν Κωνσταντινουπόλει συνελθεῖν· πρὸς δὲ τούτοις καὶ τῆς προθεσμίας διὰ στενότητα μήτε πρὸς παρασκευὴν μακροτέρας ἀποδημίας ἐνδιδούσης καιρὸν, μήτε πάντας τοὺς ἐν ταῖς ἐπαρχίαις κοινωνικοὺς ἐπισκόπους ὑπομνηματισθῆναι καὶ τὰς παρ' αὐτῶν συγκαταθέσεις λαβεῖν· ἐπειδὴ ταῦτα, καὶ πολλὰ πρὸς τούτοις ἕτερα τὴν τῶν πλειόνων ἄφιξιν διεκώλυσεν· ὃ δεύτερον ἦν εἴς τε τῶν πραγμάτων ἐπανόρθωσιν, καὶ τὴν τῆς ὑμετέρας περὶ ἡμᾶς ἀγάπης ἀπόδειξιν, τοῦτο πεποιήκαμεν, τοὺς αἰδεσιμωτάτους καὶ τιμιωτάτους ἀδελφοὺς καὶ συλλειτουργοὺς ἡμῶν ἐπισκόπους, Κυριακὸν, Εὐσέβιον, καὶ Πρισκιανὸν, προθύμως καμεῖν ἄχρις ὑμῶν δυσωπήσαντες· δι' ὧν τὴν ἡμετέραν προαίρεσιν εἰρηνικὴν οὖσαν καὶ σκοπὸν ἑνώσεως ἔχουσαν ἐπιδείκνυμεν· καὶ τὸν ζῆλον ἡμῶν τὸν ὑπὲρ τῆς ὑγιοῦς πίστεως φανερὸν ποιοῦμεν. Ἡμεῖς γὰρ, εἴτε διωγμοὺς, εἴτε θλίψεις, εἴτε βασιλικὰς ἀπειλὰς, εἴτε τὰς τῶν ἀρχόντων ὠμότητας, εἴτε τινὰ πειρασμὸν ἕτερον παρὰ τῶν αἱρετικῶν ὑπεμείναμεν, ὑπὲρ τῆς εὐαγγελικῆς πίστεως τῆς ἐν Νικαίᾳ τῆς Βιθυνίας παρὰ τῶν τριακοσίων δεκαοκτὼ Πατέρων κυρωθείσης ὑπέστημεν. Ταύτην γὰρ καὶ ἡμῖν καὶ πᾶσι τοῖς μὴ διαστρέφουσι τὸν λόγον τῆς ἀληθοῦς πίστεως συναρέσκειν δεῖ· ἣν μόλις ποτὲ πρεσβυτάτην οὖσαν καὶ ἀκόλουθον τῷ βαπτίσματι, καὶ διδάσκουσαν ἡμᾶς πιστεύειν εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος: δηλαδὴ θεότητος καὶ δυνάμεως καὶ οὐσίας μιᾶς τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος πιστευομένης, ὁμοτίμου τε τῆς ἀξίας καὶ συναϊδίου τῆς βασιλείας ἐν τρισὶ τελειοτάταις ταῖς ὑποστάσεσιν, ἤγουν τρισὶ τελείοις προσώποις· ὡς μήτε τὴν Σαβελλίου νόσον χώραν λαβεῖν, συγχεομένων τῶν ὑποστάσεων, εἴτουν τῶν ἰδιοτήτων ἀναιρουμένων, μήτε μὴν τὴν Εὐνομιανῶν καὶ Ἀρειανῶν καὶ Πνευματομάχων βλασφημίαν ἰσχύειν, τῆς οὐσίας ἢ τῆς φύσεως ἢ τῆς θεότητος τεμνομένης, καὶ

A fraternam vestram erga nos pietatem conservantes, et dilectionem exhibentes, indicto Romæ, de voluntate Dei, concilio, per Dei amantissimi imperatoris litteras, nos quoque, ut membra vestra propria, eo evocaveritis, ut posteaquam tum quidem soli nos calamitatibus addicti atque adjudicati fuimus, nunc tandem in consentienti ipsorum imperatorum de vera pietate concordia, non sine nobis regnetis, sed et nos una vobiscum, juxta apostolicam vocem, regnemus: in votis nobis erat, si fieri posset, ut simul omnes, ecclesiis relictis, seu desiderio seu usui vestro, per gratificandi studium satisfaceremus. Quis enim nobis alas veluti columbæ tribuat, ut volitemus, et apud vos requiescamus? B Cum vero id, si fieret, prorsus ecclesias nudaret, quæ nuper renovari cœperunt, et res hæc multis omnino impossibilis sit: convenimus namque Constantinopolim litteris proximis adducti, quas reverentia vestra post synodum Aquileiensem, ad Dei amantissimum imperatorem Theodosium dedit, ad solam hanc, Constantinopolim usque, profectionem instructi, **252** et de una hac synodo ab eis qui in provinciis permansere episcopis, assensionem acceptam habentes. De longiore autem profectione neque necessitatem aliquam exspectavimus: neque quidquam omnino prius audivimus, quam Constantinopoli convenimus. Ad hæc, ea est constituti temporis angustia, ut neque ad iter longius nos instruendi spatium habeamus: neque omnes in provinciis communionis nostræ episcopos, C de profectione tali certiores facere, et consensum eorum accipere possimus. Cum hæc, et multa præterea alia, adventum complurium impedirent: quod reliquum erat, simul et ad res pleraque corrigendas, et nostram erga vos charitatem declarandam, faciendum duximus, ut reverendissimos atque honorandos maxime fratres et collegas nostros, Cyriacum, Eusebium, et Priscianum, episcopos, quo viæ laborem Romam usque alacribus subirent animis, exoraremus: per quos voluntatem et sententiam nostram pacificam esse, et unionis conjunctionisque consilium et finem sibi proposita habere, ostendimus: ardoremque simul pro saniore fide nostrum, manifesto declaramus. Nos enim, sive D persecutiones, seu afflictiones, sive imperatorum minas, seu magistratuum crudelitatem, sive etiam aliam quampiam tentationem et periculum ab hæreticis sustinuimus, pro evangelica fide Nicææ apud Bithynos a trecentis decem et octo Patribus confirmata, quidquid id fuit, pertulimus. Eam enim et nobis, et vobis, aliisque adeo omnibus qui veræ fidei verbum non pervertunt, complacere oportet: quippe quæ antiquissima et baptismo consentanea sit, credere nos docens in nomen Patris et Filii et Spiritus sancti, videlicet ut divinitas et potestas una Patris et Filii et Spiritus sancti, et ejusdem honoris dignitas, et coæternum regnum in tribus perfectis subsistentiis, sive tribus perfectis personis, credatur: ita ut neque Sabellii contagio locum

habeat, subsistentiis confusis, seu proprietatibus sublatis: neque Eunomianorum et Arianorum et Pneumatomachorum blasphemia seu maledicentia invalescere possit, substantia vel natura vel divinitate dividenda, et increatæ consubstantialique et coæternæ Trinitati, posteriore quapiam sive creata seu alteri substantiali natura inducenda. **253** Inhumanationis etiam Domini rationem minime perversam retinemus, neque vel anima vel mente carentem, aut imperfectam carnis dispensationem credentes: certo quippe scientes, perfectum quidem ante sæcula fuisse Deum Verbum, perfectum vero hominem in extremis diebus propter salutem nostram esse factum. Et fides quidem quæ a nobis constanter deprædicatur, in summa sic se habet: de qua ampliorem etiam animorum consolationem percipere poteritis, si non gravabimini decreti libellum, quod Antiochiæ a synodo ibi coacta factum, et item id quoque quod proxime Constantinopoli ab universali concilio promulgatum est, legere. In quibus et fusius fidem professi sumus, et hæreses nuper per res novas, exortas, et a nobis anathemate confessas, in scriptum retulimus. Porro de singularibus ecclesiarum administrationibus, veterem scitis esse sanctionem, et sanctorum Nicææ congregatorum Patrum decretum, ut in provincia quaque, provinciæ ejus episcopi, et cum eis, si illi velint, finitimi quoque electiones et consecrationes, ex usu publico peragant. Juxta ejusmodi constitutionem, cum alias apud nos ecclesias ordinari atque administrari, tum in celeberrimis quibusque antistites renuntiatos esse, scitote. Proinde in recens fundata, ut ita aliquis dicat, Constantinopolitana ecclesia, quam nuper tanquam ex ore leonis, sic ex blasphemia et maledicentia hæreticorum eripuimus, per miserationes Dei, in universali synodo, communi et publico consensu in ipsius Dei amantissimi imperatoris Theodosii conspectu, clero omni et civitate cuncta suffragante, reverendissimum et Dei amantissimum Nectarium episcopum legimus. In vetustissima vero, proindeque apostolica ecclesia Antiochiæ apud Syros, in qua prima venerandum Christianorum nomen exstitit, provinciales et Orientalis diœcesis episcopi conventu acto, canonice et legitime reverendissimum et Dei amantissimum Flavianum antistitem crearunt, ecclesia tota consentiente, et quasi voce una virum eum cohonestante. **254** Quam consecrationem ut ordinariam et legitimam, synodi etiam communitas comprobavit. In ea vero ecclesia, quæ aliarum omnium mater est, Hierosolymis, reverendissimum et Dei amantissimum Cyrillum episcopum esse scimus, rite jamdudum a provincialibus episcopis electum, qui sane diversis in locis plurimum adversus Arianos decertavit. Quæ cum legitime et canonice apud nos acta obtineant, ut in eis pietas etiam vestra læta et gratulabunda acquiescat, hortamur, spirituali scilicet charitate intercedente, et Domini timore favorem hominum

τῇ ἀκτίστῳ καὶ ὁμοουσίῳ καὶ συναϊδίῳ Τριάδι μεταγενεστέρας τινὸς ἢ κτιστῆς ἢ ἑτεροουσίου φύσεως ἐπαγομένης. Καὶ τὸν τῆς ἐνανθρωπήσεως δὲ τοῦ Κυρίου λόγον ἀδιάστροφον σώζομεν, οὔτε ἄψυχον, οὔτε ἄνουν, ἢ ἀτελῆ τὴν τῆς σαρκὸς οἰκονομίαν παραδεχόμενοι· ὅλον δὲ εἰδότες τέλειον μὲν πρὸ αἰώνων ὄντα Θεὸν Λόγον, τέλειον δὲ ἄνθρωπον ἐπ' ἐσχάτου τῶν ἡμερῶν διὰ τὴν ἡμετέραν σωτηρίαν γενόμενον. Τὰ μὲν οὖν κατὰ τὴν πίστιν τὴν παρ' ἡμῶν ἀνυποστόλως κηρυττομένην, ὡς ἐν κεφαλαίῳ τοιαῦτα· περὶ ὧν καὶ ἐπὶ πλεῖον ψυχαγωγηθῆναι δυνήσεσθε, τῷ τε ἐν Ἀντιοχείᾳ τόμῳ παρὰ τῆς ἐκεῖ συνελθούσης συνόδου γεγενημένῳ καταξιώσαντες ἐντυχεῖν, καὶ τῷ πέρυσιν ἐν Κωνσταντινουπόλει παρὰ τῆς οἰκουμενικῆς ἐκτεθέντι συνόδου· ἐν οἷς πλατύτερον τὴν πίστιν ὡμολογήσαμεν, καὶ τῶν ἔναγχος καινοτομηθεισῶν αἱρέσεων ἀναθεματισμὸν ἔγγραφον πεποιήκαμεν. Περὶ δὲ τῶν οἰκονομιῶν τῶν κατὰ μέρος ἐν ταῖς ἐκκλησίαις παλαιὸς, ὡς ἴστε, θεσμὸς κεκράτηκε, καὶ τῶν ἐν Νικαίᾳ ἁγίων Πατέρων ὅρος· καθ' ἑκάστην ἐπαρχίαν τοὺς τῆς ἐπαρχίας καὶ εἴπερ ἐκεῖνοι βούλοιντο, σὺν αὐτοῖς τοὺς ὁμόρους πρὸς τὸ συμφέρον ποιεῖσθαι τὰς χειροτονίας· οἷς ἀκολούθως, τάς τε λοιπὰς ἐκκλησίας παρ' ἡμῖν οἰκονομεῖσθαι γινώσκετε· καὶ τῶν ἐπισημοτάτων ἐκκλησιῶν ἀναδεδεῖχθαι τοὺς ἱερεῖς· ὅθεν τῆς μὲν ἐν Κωνσταντινουπόλει νεοπαγοῦς, ὡς ἂν εἴποι τις, ἐκκλησίας, ἣν ὥσπερ ἐκ στόματος λέοντος τῆς τῶν αἱρετικῶν βλασφημίας ὑπόγυιον ἐξηρπάσαμεν διὰ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ, τὸν αἰδεσιμώτατον καὶ θεοφιλέστατον Νεκτάριον ἐπίσκοπον κεχειροτονήκαμεν ἐπὶ τῆς οἰκουμενικῆς συνόδου μετὰ κοινῆς ὁμονοίας ὑπ' ὄψεσι καὶ τοῦ θεοφιλεστάτου βασιλέως Θεοδοσίου, παντός τε τοῦ κλήρου καὶ πάσης ἐπιψηφιζομένης τῆς πόλεως. Τῆς δὲ πρεσβυτάτης καὶ οὕτως ἀποστολικῆς Ἐκκλησίας τῆς ἐν Ἀντιοχείᾳ τῆς Συρίας, ἐν ᾗ πρώτῃ τὸ τίμιον τῶν Χριστιανῶν ἐχρημάτισεν ὄνομα, τὸν αἰδεσιμώτατον καὶ θεοφιλέστατον ἐπίσκοπον Φλαβιανὸν οἵ τε τῆς ἐπαρχίας καὶ τῆς ἀνατολικῆς διοικήσεως συνδραμόντες κανονικῶς ἐχειροτόνησαν, πάσης συμψήφου τῆς Ἐκκλησίας, ὥσπερ διὰ μιᾶς φωνῆς, τὸν ἄνδρα τιμησάσης· ἥνπερ ἔνθεσμον χειροτονίαν ἐδέξατο, καὶ τὸ τῆς συνόδου κοινόν. Τῆς δέ γε μητρὸς ἁπασῶν τῶν ἐκκλησιῶν τῆς ἐν Ἱεροσολύμοις τὸν αἰδεσιμώτατον καὶ θεοφιλέστατον Κύριλλον ἐπίσκοπον εἶναι γνωρίζομεν, κανονικῶς τε παρὰ τῶν τῆς ἐπαρχίας χειροτονηθέντα πάλαι, καὶ πλεῖστα πρὸς τοὺς Ἀρειανοὺς ἐν διαφόροις τόποις ἀθλήσαντα· οἷς ὡς ἐνθέσμως καὶ κανονικῶς παρ' ἡμῖν κεκρατηκόσι, καὶ τὴν ὑμετέραν συγχαίρειν παρακαλοῦμεν εὐλάβειαν, τῆς πνευματικῆς μεσιτευούσης ἀγάπης, καὶ τοῦ Κυριακοῦ φόβου πᾶσαν μὲν καταστέλλοντος ἀνθρωπίνην προσπάθειαν, τὴν δὲ τῶν ἐκκλησιῶν οἰκοδομὴν προτιμοτέραν ποιοῦντος τῆς πρὸς τὸν καθ' ἕνα συνηθείας ἢ χάριτος. Οὕτω γὰρ τοῦ τε τῆς πίστεως συμφωνηθέντος λόγου, καὶ τῆς Χριστιανικῆς κυρωθείσης ἐν ἡμῖν ἀγάπης, παυσόμεθα λέγοντες τὸ παρὰ τῶν ἀποστόλων κατεγνωσμένον· *Ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλῶ,*

ἐγὼ δὲ Κηφᾶ. Πάντες δὲ Χριστοῦ φανέντες, ὃς ἐν ἡμῖν οὐ μεμέρισται, Θεοῦ καταξιοῦντος ἄσχιστον τὸ σῶμα τῆς Ἐκκλησίας τηρήσομεν, καὶ τῷ βήματι τοῦ Κυρίου μετὰ παῤῥησίας παραστησόμεθα. » Ταῦτα κατά τε τῆς Ἀρείου καὶ Ἀετίου καὶ Εὐνομίου μανίας, καὶ μέντοι καὶ κατὰ Σαβελλίου καὶ Φωτεινοῦ, Μαρκέλλου τε καὶ Παύλου τοῦ Σαμοσατέως, καὶ Μακεδονίου γεγράφασιν. Ὡσαύτως δὲ καὶ τὴν Ἀπολλιναρίου καινοτομίαν προφανῶς ἀπεκήρυξαν, εἰρηκότες· « Καὶ τὸν τῆς ἐνανθρωπήσεως δὲ τοῦ Κυρίου λόγον ἀδιάστροφον σώζομεν, οὔτε ἄψυχον, οὔτε ἄνουν ἢ ἀτελῆ τὴν τῆς σαρκὸς οἰκονομίαν παραδεχόμενοι.

A omnem et affectionis in aliquem inclinationem contrahente, ecclesiarumque ædificationem et commodum consuetudini et gratiæ alicujus singulari præferente. Sic namque fidei verbo ad consensum et concordiam redacto, et Christiana charitate confirmata, illud usurpare, quod ab apostolis est damnatum, desinemus: *Ego quidem sum Pauli, ego autem Apollo, ego vero Cephæ*[1]. Sed cum omnes nos Christi esse constiterit, qui in nobis divisus non est, Deo bene juvante, integrum atque indivisum Ecclesiæ corpus conservabimus, et ad tribunal Domini cum fiducia et libertate consistemus. » Hæc illi contra Arium et Aetium et Eunomium, atque adversus rabiem et insaniam Sabellii, Photini, Marcelli, Pauli Samosateni, et Macedonii, scripserunt. Atque itidem Apollinaris quoque res novas propalam damnaverunt, dicentes: « Inhumanationis quoque Domini rationem minime perversam retinemus, neque vel anima vel mente carentem aut imperfectam carnis dispensationem credentes. »

ΚΕΦΑΛ. ΙΖ'.

B

Συνοδικὴν Δαμάσου ἐπισκόπου Ῥώμης κατὰ Ἀπολλιναρίου καὶ Τιμοθέου γραφέν.

Καὶ Δάμασος δὲ ὁ πανεύφημος ταύτην μαθὼν ἀναφυεῖσαν τὴν αἵρεσιν, οὐκ Ἀπολλινάριον μόνον, ἀλλὰ καὶ Τιμόθεον τὸν ἐκείνου γε φοιτητὴν καθελὼν ἀπεκήρυξε. Καὶ τοῦτο τοῖς τὴν Ἑῴαν ἰθύνουσιν ἐπισκόποις διὰ γραμμάτων δεδήλωκεν· ἅπερ ἐνθεῖναι τῇ συγγραφῇ νενόμικα χρήσιμον. Ἔχουσι δὲ ἐπὶ λέξεως οὕτως· « Ὅτι τῇ ἀποστολικῇ καθέδρᾳ τὴν ὀφειλομένην αἰδῶ ἡ ἀγάπη ὑμῶν ἀπονέμει, ἑαυτῆς τὸ πλεῖστον παρέχεσθε, υἱοὶ τιμιώτατοι, καὶ τὰ μάλιστα τῇ ἁγίᾳ Ἐκκλησίᾳ, ἐν ᾗ ὁ ἅγιος Ἀπόστολος καθεζόμενος, ἐδίδαξε πῶς προσήκει ἡμᾶς τοὺς οἴακας ἰθύνειν οὓς ἀνεδεξάμεθα. Ὅμως ὁμολογοῦμεν ἑαυτοὺς ἐλάττονας C εἶναι τῆς τιμῆς. Ἀλλὰ διὰ τοῦτο οἵῳ δή ποτε τρόπῳ σπουδάζομεν, εἴ πως δυνηθείημεν πρὸς τὴν δόξαν τῆς μακαριότητος αὐτῆς παραγενέσθαι. Γινώσκετε τοίνυν ὅτι τὸν πάλαι Τιμόθεον τὸν βέβηλον, τὸν μαθητὴν τοῦ Ἀπολλιναρίου τοῦ αἱρετικοῦ μετὰ τοῦ ἀσεβοῦς αὐτοῦ δόγματος καθεῖλομεν· καὶ οὐδαμῶς πιστεύομεν αὐτοῦ τὰ λείψανα λόγῳ τινὶ τοῦ λοιποῦ ἰσχύειν. Εἰ δ' ἔτι ἐκεῖνος ὁ ὄφις ὁ παλαιὸς ἅπαξ καὶ δεύτερον καταδηχθεὶς πρὸς ἰδίαν τιμωρίαν ἀναζῇ, ὅστις ἐκτὸς τῆς Ἐκκλησίας ὑπάρχει, ὃς σφῆλαι τοῖς ἑαυτοῦ θανατηφόροις φαρμάκοις τινὰς ἀπίστους διαπειράζων οὐ παύεται, ταύτην ὥσπερ φθοράν τινα ἐκκλίνατε. Ὅμως ὑμεῖς μεμνημένοι τῆς ἀποστολικῆς πίστεως ταύτης, μάλιστα ἥτις ἐν Νικαίᾳ παρὰ τῶν Πατέρων ἐγγράφως ἐξετέθη, βεβαίῳ βαθμῷ ἰσχυρῶς τῇ πίστει D ἀμετακίνητοι διαμείνατε· καὶ μὴ ματαιολογίας καὶ ἠφανισμένας ζητήσεις μετὰ τοῦτο ὑπομείνητε ἀκούειν τοὺς κληρικοὺς ἢ τοὺς λαϊκοὺς ὑμῶν. Ἤδη γὰρ ἅπαξ τύπον ἐδώκαμεν, ἵνα ὁ γινώσκων ἑαυτὸν Χριστιανὸν ἐκεῖνο φυλάττοι ὅπερ παρὰ τῶν ἀποστόλων παρεδόθη, λέγοντος τοῦ ἁγίου Παύλου, *Εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω*. Ὁ γὰρ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ ὁ Κύριος ἡμῶν, τῷ γένει τῶν ἀνθρώπων διὰ τοῦ ἰδίου πάθους πληρεστάτην ἀπέδωκε τὴν σωτηρίαν, ἵνα ὅλον τὸν ἄνθρωπον, ταῖς

CAPUT XVII.

Synodalis epistola Damasi episcopi Romani, contra Apollinarem et Timotheum scripta.

Sed enim Damasus, vir celeberrimus, ubi hanc quoque hæresim exortam esse cognovit, non Apollinarem modo, sed et Timotheum sectatorem ejus exauctoratum semel atque iterum proscripsit. Atque id episcopis Orientalibus per epistolam significavit: quam ut historiæ adnecterem, ex usu esse putavi. Ea de verbo ad verbum sic habet: « Quod apostolicæ sedi **255** charitas vestra debitam exhibet observantiam, vobis ipsis plurimum, et maxime Ecclesiæ sanctæ eo honore tribuitis, filii reverendissimi, in qua considens sanctus Apostolus docuit, quomodo nos quæ suscepimus gubernacula regere conveniat. Ac nos quidem judicio nostro, honore tanto inferiores sumus: verum tamen ea de causa, quocunque possumus modo, operam damus, si aliqua ex parte ad gloriam beatitudinis ejus accedere possimus. Scitote igitur, Timotheum jam olim impurum ac profanum Apollinaris hæretici discipulum, una cum impio ejus dogmate, a nobis exauctoratum, damnatumque esse. Et haudquaquam credimus, reliquias ejus ratione aliqua in futurum robur accepturas. Sin vero serpens ille antiquus, qui extra Ecclesiam est, semel atque iterum morsu enectus, ad suam ipsius pœnam reviviscat, et ut mortifero veneno suo infideles quosdam pessumdet, tentare non desinat, eum perinde atque præsentem pestem declinate. Et simul memoria retinentes fidem Apostolicam, eamque in primis quæ Nicææ a Patribus in scriptum est relata, in fide gradu firmo immobiles fortiter atque perseveranter consistite. Et posthac clericos aut laicos vestros, vanas disceptationes, et abrogatas quæstiones, audire non patimini. Jam enim semel typum et formam proposuimus, ut quicunque se Christianum esse agnoscit, illud servet quod ab apostolis est traditum: sancto Paulo videlicet dicente: *Si quis vobis evangelizaverit præter id quod accepistis*,

[1] I Cor. I, 12.

anathema sit. Siquidem Christus Filius Dei, Dominus noster, hominum generi per passionem suam plenissimam contulit salutem, ut hominem universum peccatis obnoxium a peccato omni liberaret. Hunc si quis sive in humanitate, seu in divinitate defectum aliquem habuisse dicat, diabolici is spiritus plenus, gehennæ se filium esse ostendit. Quid igitur denuo a me Timothei condemnationem petitis, qui et hic apostolicæ sedis judicio, præsente etiam Alexandrinæ urbis episcopo Petro damnatus est, una cum magistro suo Apollinari? Qui etiam in judicii die debitas pœnas et cruciatus sustinebit. Sin leviores quosdam homines, ille perinde atque spem aliquam habens, persuasione sua ducit, quicunque veram in Christum spem professione Apollinaris mutavit, **256** itidem ut ille peribit, Ecclesiæ canoni reluctans. Deus vos filii reverendissimi, conservet incolumes.»

A ἁμαρτίαις ἐνεχόμενον, πάσης ἁμαρτίας ἐλευθερώσῃ. Τοῦτον, εἴ τις ἤτοι ἀνθρωπότητος ἢ θεότητος ἔλαττον ἐσχηκέναι εἴποι, πνεύματος διαβόλου πεπληρωμένος, τῆς γεέννης υἱὸν ἑαυτὸν ἀποδείκνυσι. Τί τοίνυν πάλιν παρ' ἐμοῦ ζητεῖτε τὴν καθαίρεσιν Τιμοθέου, ὃς καὶ ἐνταῦθα κρίσει τῆς ἀποστολικῆς καθέδρας, παρόντος καὶ Πέτρου τοῦ ἐπισκόπου τῆς Ἀλεξανδρέων πόλεως, καθῃρέθη ἅμα τῷ διδασκάλῳ αὐτοῦ Ἀπολλιναρίῳ; Ὃς καὶ ἐν ἡμέρᾳ τῆς κρίσεως τὰς ὀφειλομένας τιμωρίας καὶ βασάνους ὑπομενεῖ. Εἰ δέ τινας κουφοτέρους πείθει ἐκεῖνος ὥς τινα ἐλπίδα ἔχων, ὅστις τὴν ἀληθῆ ἐλπίδα τὴν εἰς Χριστὸν τῇ ὁμολογίᾳ μετέβαλε, μετὰ τούτου ὁμοίως ἀπολεῖται, τῷ κανόνι τῆς Ἐκκλησίας ἀντιπαλαίσας. Ὁ Θεὸς ὑμᾶς ὑγιαίνοντας διαφυλάττοι, υἱοὶ τιμιώτατοι.»

CAPUT XVIII.

Aliud synodale ejusdem edictum, contra varias hæreses compositum.

Enimvero quædam etiam alia, qui in magna urbe Roma congregati erant, adversus varias hærese scripsere. Ea necessario operi nostro inferenda esse duxi. Et primum universalis fidei professionem Damasus papa ad Paulinum in Macedonia episcopum, qui etiam Thessalonicæ fuerat, misit (1). Atque inter alia ille hæc quoque commemorat: «Quandoquidem post concilium Nicænum error iste emersit, ut quidam impuro ore dicere audeat, Spiritum sanctum per Filium esse: anathemate eos ferimus, qui non eum libertate omni, una cum Patre et Filio unius et ejusdem substantiæ et potestatis exsistere Spiritum sanctum prædicant. Anathemati itidem subjicimus Sabellii erroris sectatores, qui Patrem et Filium eumdem esse dicit. Anathemate jugulamus Arium et Eunomium, qui tametsi diversis verbis, pari tamen impietate, Filium et Spiritum sanctum unum esse confirmavit. Item Macedonianos, qui ex Arii radice succrescentes, non impietatem, sed cognomen tantum mutarunt. Item Photinum, qui Ebionis hæresim renovans, Dominum nostrum Jesum Christum ex Maria tantum profitetur. Item eos qui duos esse Filios affirmant, alterum ante sæcula, alterum post carnem ex perpetua virgine Maria assumptam. Anathemate præterea mactamus illos, qui Dei Verbum pro rationali anima in carne humana versatum esse contendunt. Hoc ipsum namque Dei Verbum, non pro rationali et intellectuali anima in suo ipsius corpore fuit: sed nostram, hoc est rationalem et intellectualem sine peccato animam suscepit et servavit. Non minus anathemate persequimur eos qui dicunt, Verbum Dei a Patre extensione et contractione segregatum esse, et subsistere id non posse; aut qui finem id suum habiturum esse blasphemant. Eos porro qui ex ecclesiis in alias transeunt ecclesias: **257** tantisper alienos

B

ΚΕΦΑΛ. ΙΒ'.

Ἕτερον συνοδικὸν τοῦ αὐτοῦ, σχεδιασθὲν κατὰ διαφόρων αἱρέσεων.

Καὶ ἄλλα δέ τινα συναθροισθέντες ἐν τῇ μεγάλῃ Ῥώμῃ γεγράφασι κατὰ διαφόρων αἱρέσεων, ἅπερ ἀναγκαῖον ᾠήθην ἐντεῖναι τῇ συγγραφῇ· καὶ πρῶτον τὴν ὁμολογίαν τῆς καθολικῆς πίστεως, ἣν ὁ πάππας Δάμασος πρὸς τὸν ἐπίσκοπον Παυλῖνον ἐν Μακεδονίᾳ ἀπέστειλεν, ὃς ἐν Θεσσαλονίκῃ ἐγένετο· ἐν οἷς καὶ τάδε διαγορεύουσιν· «Ἐπειδὴ μετὰ τὴν ἐν Νικαίᾳ σύνοδον αὕτη ἡ πλάνη ἀνέκυψεν, ὥστε τολμᾷν τινα βεβήλῳ στόματι εἰπεῖν τὸ Πνεῦμα τὸ ἅγιον γεγενῆσθαι διὰ τοῦ Υἱοῦ, ἀναθεματίζομεν τοὺς μὴ μετὰ πάσης ἐλευθερίας κηρύττοντας σὺν τῷ Πατρὶ καὶ Υἱῷ τῆς μιᾶς καὶ τῆς αὐτῆς οὐσίας τε καὶ ἐξουσίας C ὑπάρχειν τὸ ἅγιον Πνεῦμα. Ὁμοίως δὲ ἀναθεματίζομεν καὶ τοὺς τῇ Σαβελλίου ἀκολουθοῦντας πλάνῃ· τὸν αὐτὸν λέγοντας καὶ Πατέρα καὶ Υἱόν. Ἀναθεματίζομεν Ἄρειον καὶ Εὐνόμιον, οἳ τῇ ἴσῃ δυσσεβείᾳ, εἰ καὶ τοῖς ῥήμασι διαφέρονται, τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα ἓν εἶναι διισχυρίζονται. Ἀναθεματίζομεν τοὺς Μακεδονιανούς, οἵτινες ἐκ τῆς Ἀρείου ῥίζης καταγόμενοι, οὐχὶ τὴν ἀσέβειαν, ἀλλὰ τὴν προσηγορίαν ἐνήλλαξαν. Ἀναθεματίζομεν Φωτεινόν, ὃς τὴν τοῦ Ἐβίωνος αἵρεσιν ἀνακαινίζων, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν μόνον ἐκ τῆς Μαρίας ὁμολογεῖ. Ἀναθεματίζομεν καὶ τοὺς δύο Υἱοὺς εἶναι διισχυριζομένους· ἕνα πρὸ τῶν αἰώνων, καὶ ἄλλον μετὰ τὴν τῆς σαρκὸς ἐκ τῆς ἀειπαρθένου Μαρίας ἀνάληψιν. D Ἀναθεματίζομεν κἀκείνους, οἵτινες ἀντὶ λογικῆς ψυχῆς διισχυρίζονται, ὅτι ὁ τοῦ Θεοῦ Λόγος ἐστράφη ἐν τῇ ἀνθρωπίνῃ σαρκί. Αὐτὸς γὰρ οὗτος ὁ τοῦ Θεοῦ Λόγος οὐχὶ ἀντὶ τῆς λογικῆς καὶ νοερᾶς ψυχῆς ἐν τῷ ἑαυτοῦ σώματι γέγονεν· ἀλλὰ τὴν ἡμετέραν, τουτέστι λογικὴν καὶ νοεράν, ἄνευ τῆς ἁμαρτίας ψυχὴν ἀνέλαβε καὶ ἔσωσεν. Ἀναθεματίζομεν καὶ τοὺς λέγοντας τὸν Λόγον τοῦ Θεοῦ τῇ ἐκτάσει καὶ τῇ συστολῇ ἀπὸ τοῦ Πατρὸς κεχωρίσθαι, καὶ ἀνυπόστατον αὐτὸν εἶναι, ἢ μέλλειν τελευτᾷν βλασφημοῦντας. Τοὺς δὲ ἀπὸ ἐκκλησιῶν εἰς ἑτέρας ἐκκλησίας μετ-

(1) *In eo* forte conventu, de quo supra cap. 10. Sed is conventus Constantinopoli actus.

ελθόντας ἄχρι τοσούτου ἀπὸ τῆς ἡμετέρας κοινωνίας ἀλλοτρίους ἔχομεν, ἄχρις οὗ πρὸς αὐτὰς ἐπανέλθωσι τὰς πόλεις, ἐν αἷς πρῶτον ἐχειροτονήθησαν. Ἐὰν δέ τις, ἄλλου ἀπὸ τόπου εἰς τόπον μετελθόντος, ἐν τόπῳ τοῦ ζῶντος ἐχειροτονήθη, ἄχρι τοσούτου σχολάσει ἀπὸ τοῦ ἀρχιερατικοῦ ἀξιώματος ὁ τὴν ἰδίαν πόλιν καταλείψας, ἄχρις οὗ ὁ διαδεξάμενος αὐτὸν ἀναπαύσηται ἐν Κυρίῳ. Εἴ τις μὴ εἴπῃ ἀεὶ τὸν Πατέρα καὶ ἀεὶ τὸν Υἱὸν καὶ ἀεὶ τὸ Πνεῦμα τὸ ἅγιον εἶναι, ἀνάθεμα ἔστω. Εἴ τις μὴ εἴπῃ ἀληθινὸν Θεὸν τὸν Υἱὸν τοῦ Θεοῦ, ὡς ἀληθινὸν τὸν Πατέρα αὐτοῦ, καὶ πάντα δύνασθαι, καὶ πάντα εἰδέναι, καὶ τῷ Πατρὶ ἴσον, ἀνάθεμα ἔστω. Εἴ τις εἴπῃ ὅτι ἐν σαρκὶ διάγων ὁ Υἱὸς τοῦ Θεοῦ ὅτε ἦν ἐν τῇ γῇ, ἐν τοῖς οὐρανοῖς καὶ σὺν τῷ Πατρὶ οὐκ ἦν, ἀνάθεμα ἔστω. Εἴ τις εἴπῃ ὅτι ἐν τῷ πάθει τοῦ σταυροῦ τὴν ὀδύνην ὑπέμεινεν ὁ Υἱὸς τοῦ Θεοῦ καὶ Θεὸς Λόγος, καὶ οὐχὶ ἡ σὰρξ σὺν τῇ ψυχῇ ἥνπερ ἐνεδύσατο, ἡ μορφὴ δούλου ἥνπερ ἑαυτῷ ἀνέλαβεν, ὡς εἴρηκεν ἡ ἁγία Γραφὴ, ἀνάθεμα ἔστω. Εἴ τις μὴ εἴπῃ τὸν Θεοῦ Λόγον παθόντα σαρκὶ καὶ ἐσταυρωμένον σαρκὶ, καὶ θανάτου γευσάμενον σαρκὶ, γεγονότα τε πρωτότοκον ἐκ τῶν νεκρῶν καθὸ ζωή ἐστι καὶ ζωοποιὸς, ὡς Θεὸς, ἀνάθεμα ἔστω. Εἴ τις μὴ εἴπῃ ὅτι ἐν τῇ σαρκὶ ἣν ἀνέλαβε, καθέζεται ἐν δεξιᾷ τοῦ Πατρὸς, ἐν ᾗ καὶ ἐλεύσεται κρῖναι ζῶντας καὶ νεκροὺς, ἀνάθεμα ἔστω. Εἴ τις μὴ εἴπῃ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς εἶναι ἀληθῶς καὶ κυρίως, ὡς καὶ τὸν Υἱὸν ἐκ τῆς θείας οὐσίας καὶ Θεὸν Θεοῦ Λόγον, ἀνάθεμα ἔστω. Εἴ τις μὴ εἴπῃ πάντα δύνασθαι τὸ Πνεῦμα τὸ ἅγιον, καὶ πάντα εἰδέναι καὶ πανταχοῦ παρεῖναι, ὡς καὶ τὸν Υἱὸν καὶ τὸν Πατέρα, ἀνάθεμα ἔστω. Εἴ τις εἴποι τὸ Πνεῦμα τὸ ἅγιον ποίημα, ἢ διὰ τοῦ Υἱοῦ γεγενῆσθαι, ἀνάθεμα ἔστω. Εἴ τις μὴ εἴπῃ πάντα διὰ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος τὸν Πατέρα πεποιηκέναι, τουτέστι τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, ἀνάθεμα ἔστω. Εἴ τις μὴ εἴπῃ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος μίαν θεότητα, ἐξουσίαν, θειότητα, δυναστείαν, μίαν δόξαν, κυριότητα, μίαν βασιλείαν, μίαν θέλησιν, καὶ ἀλήθειαν, ἀνάθεμα ἔστω. Εἴ τις τρία πρόσωπα μὴ εἴπῃ ἀληθινὰ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, ἴσα, ἀεὶ ζῶντα, τὰ πάντα κατέχοντα τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, πάντα δυνάμενα, πάντα κρίνοντα, πάντα ζωοποιοῦντα, πάντα δημιουργοῦντα, πάντα σώζοντα, ἀνάθεμα ἔστω. Εἴ τις μὴ εἴπῃ προσκυνητὸν τὸ Πνεῦμα τὸ ἅγιον παρὰ πάσης τῆς κτίσεως, ὡς καὶ τὸν Υἱὸν καὶ τὸν Πατέρα, ἀνάθεμα ἔστω. Εἴ τις περὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καλῶς φρονήσῃ, περὶ δὲ τοῦ ἁγίου Πνεύματος οὐκ ὀρθῶς ἔχει, αἱρετικός ἐστι· ὅτι πάντες οἱ αἱρετικοὶ, περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ περὶ τοῦ ἁγίου Πνεύματος κακῶς φρονοῦντες, ἐν τῇ τῶν Ἰουδαίων καὶ τῇ τῶν ἐθνικῶν ἀπιστίᾳ τυγχάνειν ἐλέγχονται. Εἴ τις δὲ μερίσῃ θεότητα, Θεὸν τὸν Πατέρα λέγων ἀνὰ μέρος, καὶ Θεὸν τὸν Υἱὸν, καὶ Θεὸν τὸ Πνεῦμα τὸ ἅγιον, διισχυριζόμενος τρεῖς Θεοὺς λέγεσθαι, καὶ οὐχὶ μίαν θεότητα ἐν τρισὶν ὑποστάσεσι, καὶ μίαν

a communione nostra esse ducimus, dum ad easdem, in quibus primum ordinati sunt, urbes revertantur. Si quis vero, alio, ex uno loco in alium transeunte, in illius adhuc viventis locum sit per ordinationem surrogatus, tamdiu ille qui urbem suam reliquit, episcopali dignitate carebit, donec successor ejus in Domino obdormierit. Si quis non perpetuo Patrem et perpetuo Filium, et perpetuo Spiritum sanctum esse dicat, anathema sit. Si quis non dicat, Filium genitum ex Patre, hoc est, ex substantia ejus divina, anathema sit. Si quis non dicat, verum Deum esse Dei Filium, sic uti verum Deum Patrem ejus, et illum omnia posse, et omnia nosse, Patrique similem esse, anathemata sit. Si quis dicat, cum in carne degens Filius Dei in terris fuit, eumdem in cœlis et cum Patre non fuisse, anathema sit. Si quis dicat, in passione crucis Filium Dei et Deum Verbum, divinitate, et non carne una cum anima, quam in servi sibi assumpta forma, ut sancta Scriptura dixit, induit, dolorem pertulisse, anathema sit. Si quis non dicat Dei Verbum carne passum, et carne crucifixum, et carne mortem gustasse, primogenitum factum ex mortuis, pro eo atque vita est et vivificans, quippe Deus, anathema sit. Si quis non dicat, cum in carne quam assumpsit, ad dextram Patris sedere, in qua etiam adveniet judicaturus vivos et mortuos, anathema sit. Si quis non dicat, Spiritum sanctum vere et proprie ex Patre esse, quemadmodum et Filium, eumdemque Deum Dei Verbum, ex divina substantia, anathema sit. Si quis dicat, Spiritum sanctum non perinde omnia posse, omnia scire, et ubique terrarum adesse, ut Patrem et Filium, anathema sit. Si quis dicat, Spiritum sanctum creaturam, aut per Filium factum esse, anathema sit. Si quis non dicat, Patrem per Filium postea incarnatum et Spiritum sanctum creasse omnia, visibilia videlicet, et invisibilia, anathema sit. Si quis non dicat, Patris et Filii et Spiritus sancti unam deitatem, potestatem, divinitatem, potentiam, unam gloriam, unam proprietatem, unum regnum, unam voluntatem et veritatem, anathema sit. Si quis non dicat, tres esse veras personas Patris et Filii et Spiritus sancti, æquales, semper viventes, omnia et visibilia et invisibilia continentes, omnia potentes, omnia judicantes, omnia vivificantes, omnia creantes, omnia servantes, anathema sit. **258** Si quis non dicat Spiritum sanctum perinde atque Filium et Patrem ab omni creatura adorandum esse, anathema sit. Si quis de Patre et Filio recte sentiat, de Spiritu vero sancto hallucinetur, hæreticus est. Quoniam omnes hæreticos, de Filio Dei, et de Spiritu sancto perperam sentientes, in Judæorum et ethnicorum infidelitate hærere constat. Si quis divinitatem dividat, sigillatim Deum Patrem dicens, et Deum Filium, et Deum Spiritum sanctum, et contendat tres (1) deos dicendos esse, et non unum Deum propter unam divinitatem in tribus

(2) Quædam exemplaria non habent, *tres*.

subsistentiis, unamque potestatem, quam esse credimus et scimus, Patris et Filii et Spiritus sancti; aut e diverso subtrahens Filium et Spiritum sanctum, existimet solum Patrem Deum dicendum, vel unum ipsum Deum credendum esse, anathema sit. Nam nomen deorum et angelis, et omnibus sanctis, a Deo per gratiam impositum atque tributum est. De Patre autem et Filio et Spiritu sancto, propter unam et æqualem divinitatem, non deorum nomina, sed Dei nostri nomen significatur et declaratur. Ut credamus, nos in Patrem et Filium et Spiritum sanctum baptizari, et non in archangelorum aut angelorum nomina: sicuti hæreticos, aut Judæos, aut ethnicos insanos. Ipsa igitur hæc Christianorum est salus, ut fidem habentes Trinitati, ipsi Patri et Filio et Spiritui sancto, et baptizati in ipsam, unam scilicet Deitatem et potestatem et divinitatem et substantiam, in ipsum Deum credamus. »

CAPUT XIX.

De rebellione Maximi. Et ut Justina mater Valentiniani, negotium facesserit Ambrosio episcopo Mediolanensi, et populus propter eum seditionem moverit; et de Cleobulo subnotario.

Hæc quidem Gratiano adhuc superstite acta. Cum autem synodi, quas diximus, celebrarentur, et Gratianus bello Alemanico occupatus esset, Maximus quidam ex Britanniæ partibus coortus, tyrannus exstitit. Et quia universum Romanorum imperium sibi subjicere in animo habuit. Valentinianum primum aggressus est, etiamnum adolescentulum, in Italia degentem: **259** cum quidem Probo, qui consularem obtinebat potestatem, rerum ibi administrandarum summa commissa esset. Quo tempore Justina etiam magni quidem Valentiniani conjux, junioris autem mater, Ariana dudum infecta labe, cum marito vivente de ea propalam non quidquam agere, neque eos affligere qui ὁμοουσίου, consubstantialis, fidem profitebantur, ausa fuisset, juvenili admodum filii ætate tum confisa, Mediolani, quo se receperat, negotium Ambrosio magno, cujus supra quoque meminimus, exhibuit, et ecclesias ibi turbavit, novas adversus verum dogma res molita. Magnopere namque, ut Ariminensis fides obtineret, contendit. Et naturæ illecebris atque inescationibus freta, hamum primum filio, quem ille tener adhuc, nequedum discrimen boni et mali habens, devoraret, præbuit. Conata vero etiam est Ambrosium in potestatem suam redigere: facile se rem quam volebat confecturam esse arbitrata, si illum expugnasset. Postquam vero ille magis etiam contraria docuit, et illam quidem ut a cœpto desisteret cohortatus est; filio ejus, ut paternam simul et religionem et hæreditatem integram retineret, admonito: varietatem quoque dogmatum, quod videlicet ea quam mater induceret sententia prorsus cum Christi doctrina et apostolorum prædicatione pugnaret, proposuisset; graviter id ferens Justina,

A δυναστείαν, ἥνπερ εἶναι πιστεύομεν καὶ οἴδαμεν τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος· ἢ πάλιν ὑπεξελόμενος τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον, ὡς μόνον ὑπονοήσῃ τὸν Πατέρα Θεὸν λέγεσθαι ἢ πιστεύεσθαι ἕνα Θεὸν, ἀνάθεμα ἔστω. Τὸ γὰρ ὄνομα τῶν Θεῶν καὶ τοῖς ἀγγέλοις καὶ τοῖς πᾶσιν ἁγίοις παρὰ τοῦ Θεοῦ ἐτέθη καὶ ἐχαρίσθη. Περὶ δὲ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος διὰ τὴν μίαν καὶ ἴσην θεότητα οὐχὶ τῶν Θεῶν ὀνόματα, ἀλλὰ τοῦ Θεοῦ ἡμῶν ἐνδείκνυται, καὶ σημαίνεται, ἵνα πιστεύωμεν, ὅτι εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα μόνον βαπτιζόμεθα, καὶ οὐχὶ εἰς τὰ τῶν ἀρχαγγέλων ὀνόματα, ὡς οἱ αἱρετικοὶ, ἢ ὡς Ἰουδαῖοι, ἢ ἐθνικοὶ παραφρονοῦντες. Αὕτη τοίνυν ἡ τῶν Χριστιανῶν σωτηρία ἐστὶν, ὥστε πιστεύοντες τῇ Τριάδι, B τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, καὶ βαπτιζόμενοι εἰς αὐτὴν, μίαν θειότητα καὶ δυναστείαν καὶ θεότητα καὶ οὐσίαν, εἰς αὐτὸν πιστεύωμεν. » Ταῦτα μὲν ἔτι Γρατιανοῦ περιόντος ἐγένετο.

ΚΕΦΑΛ. ΙΘʹ.

Περὶ τῆς ἀναστάσεως Μαξίμου· καὶ ὡς Ἰουστῖνα ἡ μήτηρ Οὐαλεντινιανοῦ, πράγματα παρεῖχεν Ἀμβροσίῳ τῷ ἐπισκόπῳ Μεδιολάνων· καὶ ὡς ἐστασίασε δι' αὐτὸν ὁ λαός. Καὶ περὶ Κλεοβούλου τοῦ ὑπογραμματέως.

Ὁπηνίκα δὲ τὰ τῶν εἰρημένων συνόδων ξυνέβαινε, Γρατιανῷ πρὸς τὸν κατ' Ἀλαμανοὺς πόλεμον κάμνοντι, Μάξιμός τις ἐκ τῶν κατὰ Βρετταννίαν μερῶν ὁρμηθεὶς, τύραννος ἠρθη. Ὑφ' ἑαυτὸν δὲ τὴν ἡγεC μονίαν Ῥωμαίων ἅπασαν θεῖναι διανοούμενος, πρῶτον μὲν Οὐαλεντινιανῷ κομιδῇ νέῳ ἔτι καθεστηκότι, καὶ κατὰ τὴν Ἰταλίαν τὴν διατριβὴν ἔχοντι, ἐπιτίθεται, Πρόβου τὴν τῶν ἐκεῖσε πραγμάτων διοίκησιν ἐπιτετραμμένου, ὃς τὴν ὕπατον ἀρχὴν διεχείριζεν· ὅτε καὶ Ἰουστῖνα ἡ γυνὴ μὲν τοῦ μεγάλου Οὐαλεντινιανοῦ, τοῦ δὲ νέου μήτηρ, τὴν Ἀρειανῶν νόσον πάλαι εἰσδεδεγμένη, ζῶντος μὲν τοῦ ἀνδρὸς, οὐκ εἶχε ταύτην παῤῥησιάζεσθαι, οὐδέ τι γοῦν βλάπτειν, οἳ ἐφρόνουν τὸ ὁμοούσιον· τῷ δὲ κομιδῇ νέῳ τῆς τοῦ παιδὸς ἡλικίας ἄρτι θαῤῥοῦσα, καταλαβοῦσα τὴν Μεδιόλανον, πράγματα παρεῖχεν Ἀμβροσίῳ τῷ πάνυ, οὗ μνείαν καὶ ἐν τοῖς ἀνόπιν ἐποιησάμην· καὶ τὰς ἐκεῖσε ἐκκλησίας ἐτάραττεν, ἐπιχειροῦσα νεωτερίζειν κατὰ τοῦ ἀληθοῦς δόγματος· περὶ πολλοῦ γὰρ πεD ποίητο τὴν ἐν Ἀριμίνῳ πίστιν μᾶλλον κρατεῖν· καὶ τῷ τῆς φύσεως θαῤῥοῦσα δελέατι καταπιεῖν τὸ τῆς αἱρέσεως ἄγκιστρον, πρῶτον τῷ παιδὶ παρεῖχεν, ἅτε δὴ ἁπαλῷ ὄντι καὶ μηδεμίαν διάκρισιν ἔτι τοῦ καλοῦ καὶ τοῦ χείρονος ἔχοντι. Ἐπεχείρει δὲ καὶ Ἀμβρόσιον εἴσω θέσθαι, ἡγουμένη ὡς εἰ τούτου περιέσοιτο, θᾶττον ἀνύσειν τὸ σπουδαζόμενον. Ὡς δ' ἐκεῖνος τοὐναντίον μᾶλλον εἰσῆγε, κἀκείνην μὲν τοῦ τοιαῦτα ἐπιχειρεῖν παρῄνει παύεσθαι, τῷ δὲ παιδὶ τὴν πατρῴαν πίστιν καὶ τὸν κλῆρον ἄσυλον διατηρεῖν ὑπετίθει, καὶ τὸ τῶν δογμάτων διάφορον, ὡς τὰ μὲν εἰσηγούμενα τῇ μητρὶ ἄντικρυς τῇ τοῦ Χριστοῦ διδασκαλίᾳ καὶ τοῖς τῶν ἀποστόλων κηρύγμασι διὰ μάχης εἰσί· χαλεπήνασα Ἰουστῖνα, ἀπάτῃ τὸν παῖδα μετήρχετο· καὶ ὡς ἅτε δὴ περιυβρισμένη, διέβαλε

τὸν ἐπίσκοπον τῷ παιδὶ, καὶ τιμωρεῖν ἐδεῖτο. Ὁ δ' A ἀληθεῖς εἶναι δείξας τὰς διαβολὰς, στρατιωτῶν πλῆθος ἔπεμπε, καὶ λόχοις πελταστῶν τοὺς ἐκκλησιαστικοὺς περιβόλοις ἐκύκλου. Ἐπεὶ δὲ μόλις βίᾳ εἰστριβόμενοι εἴσω θυρῶν ἐγένοντο τοῦ νεὼ, εἷλκον εὐθὺς τὸν Ἀμβρόσιον, καὶ ὑπερόριον ἄγειν ἐσπούδαζον. Ἀλλ' ἀντέσχον τὸ πλῆθος τῆς πόλεως περιχυθέντες αὐτῷ· καὶ θανεῖν ᾑροῦντο μᾶλλον, ἢ οὕτως ἔχοντα τὸν σφῶν ἱερέα περιιδεῖν. Ἐντεῦθεν δ' εἰς μείζονα τὴν ὀργὴν ἐξαφθεῖσα ἡ Ἰουστίνα, καὶ νόμῳ τὸ δόξαν κρατῦναι διισχυρίζετο. Καὶ δὴ μετάκλητον ἐποίει Κλεόβουλον, ἄνδρα ἐπὶ τοῖς τῶν θεσμῶν γραμματείοις ἐντεταγμένον· καὶ θυμῷ ζέουσα, ὅσον τάχος ἐκθεῖναι νόμον ἐπέτρεπε, στερκτέα γε πάσῃ Ἐκκλησίᾳ τὰ ἐν Ἀριμίνῳ δόξαντα εἶναι. Ἐκεῖνον δὲ τὴν πρᾶξιν ὑποπαραιτούμενον (τῆς γὰρ ὁμοουσίου πίστεως ἦν), μείζονα δώσειν ὑπισχνεῖτο τιμὴν, εἴ γε B πράξειε, δελεάζουσα. Ἀλλὰ πείθειν καὶ οὕτως ἥκιστα εἶχε· τὴν γὰρ οἰκείαν ζώνην περιελὼν, πρὸ τῶν ποδῶν ἐτίθει τῇ βασιλίδι, μήθ' ἣν εἶχε, μήτε μὴν μείζονα ἐπὶ μισθῷ ἀσεβείας ἔχειν αἱρούμενος. Ὡς δὲ καὶ ἔτι ἐνίστατο, μὴ ἂν ποτε μεταθέσθαι τῆς δόξης ἐς πλεῖστον ἰσχυριζόμενος· ἑτέρους καλέσασα, τὸν νόμον εὐθὺς ἐξετίθετο. Διηγόρευε δὲ ἀδεῶς συνιέναι τοὺς τὰ ἴσα φρονοῦντας τοῖς ἐν Ἀριμίνῳ συνελθοῦσιν, ἔπειτα ἐν Κωνσταντινουπόλει· τοὺς δ' ἑτέρως δοξάζοντας καὶ ἐμποδὼν γεγενημένους, καὶ ἕτερα τῷ ἀρτίως τεθέντι βασιλικῷ νόμῳ δεησομένους, θάνατον τὴν ζημίαν εἶναι.

A fraude puerum est aggressa. Et veluti contumelia affecta esset, episcopum apud illum calumniata est: et ut in eum etiam animadverteretur, postulavit. Atque ille calumniis eis credens, militarem manum misit, et Cetratorum agminibus ecclesiam cinxit: qui vi tandem, cum per irruptionem intra sacras ædes pervenissent, confestim Ambrosium (1) correptum traxere, et in exilium agere voluere. Cæterum urbis multitudo illi circumfusa restitit: et mortem sibi perferendam potius statuit, quam ut sic antistitem suum tractari pateretur. Quare amplius ad iram commota Justina, decretum suum lege etiam confirmare contendit. Itaque Cleobulum, qui in decuria scribarum in sacrarum constitutionum tabulario militabat, ad se accivit: et furore B fervens, quamprimum legem edi jussit, ut ecclesiæ omnes in decretis Ariminensibus acquiescerent. **260** Quod ubi ille facere detrectavit, erat enim ὁμοουσίου, consubstantialis, fidei studiosus, hominem inescatione alliciens, ampliorem illi, si quod ipsa juberet, fecisset, honorem est pollicita. Verum ne ita quidem id illi persuadere potuit. Cingulum namque suum sibi detractum ad pedes principis feminæ deposuit, neque eum ipsum quem habebat, neque splendidiorem etiam, tanquam impietatis præmium, honorem retinendum esse ratus. Sed enim cum insuper ei magis instaret, atque ille nunquam se sententiam mutaturum esse vehementer confirmaret, aliis evocatis, statim legem composuit. Constituit autem, ut tuto atque libere, qui eadem sentirent, quæ episcopi Arimini, ac deinde etiam Constantinopoli congregati statuissent, conventus haberent. Quod si qui diversæ essent opinionis, illisque obsisterent, et aliud quam nova ista imperialis constitutio mandaret, petere auderent, eos morte mulctandos esse sanxit.

ΚΕΦΑΛ. Κ'.

C

Περὶ Γρατιανοῦ, ὡς δόλῳ ἀνῃρέθη ὑπὸ Ἀνδραγαθίου· καὶ ὡς Οὐαλεντινιανὸς ὁ νέος τὸν τύραννον δεδοικὼς, ἐς Ἰλλυριοὺς ἧκεν.

Ἐν τούτοις δ' οὔσης τῆς τοῦ βασιλέως μητρὸς, καὶ διὰ πολλῆς ποιουμένης σπουδῆς τὸν εἰρημένον νόμον κρατύνειν, φήμη διέτρεχε δόλῳ Ἀνδραγαθίου, ὃς τοῦ τυραννήσαντος Μαξίμου στρατηγὸς ἦν, Γρατιανὸν ἀνῃρῆσθαι τὸν βασιλέα. Ἀνδραγάθιος γὰρ οὗτος ἐφ' ἁρμαμάξῃ (κλίνη δ' ἂν εἴη τοῦτο βασιλικῇ φορείῳ προσεοικυῖα) ὀχούμενος ἀπεκρύβη, ἣν ἡμίονοι ἐπεφέροντο· καὶ τοῖς ἡγουμένοις τῶν δορυφόρων λέγειν ἐκέλευεν, ὡς ἡ τοῦ βασιλέως εἴη Γρατιανοῦ γαμετὴ, καὶ εἰς ἐκεῖνον λαμπρῶς προπομπεύουσα ἄγεται. Γρατιανὸς δὲ τοῦτο μαθὼν, ὡς ἔναγχος γήμας, νέος τε ὢν καὶ ἐρωτικῶς πρὸς τὴν γυναῖκα ἔχων, ὑπὸ D σφοδρᾶς τῆς ἐφέσεως ταύτην θεάσασθαι, ἀπερισκέπτως περὶ Λουγδοῦνον πόλιν τῶν Γαλλιῶν, τὸν ποταμὸν διαβὰς, εἰς τὰς τοῦ πολεμίου χεῖρας ἐμπίπτει, καθάπερ τυφλός. Ἐκπηδήσας γὰρ τοῦ φερέτρου ὁ Ἀνδραγάθιος, τὸν Γρατιανὸν εὐθὺς συνέσχε· καὶ οὐκ εἰς μακράν γε διεχειρίζετο τὸν καλὸν ἀριστέα. Ὡς

CAPUT XX.

De Gratiano, ut dolo ab Andragathio sit interfectus: et ut Valentinianus junior tyrannum Maximum timens, in Illyricum pervenerit.

Cum in hoc sic imperatoris mater esset, et studio omni in id incumberet, ut constitutio ejusmodi servaretur, fama increbuit, Andragathii dolo, qui Maximi tyranni dux erat, Gratianum imperatorem necatum esse. Andragathius enim iste in curru lecticæ imperiali persimili, ad quem mulæ junctæ erant, latens vehebatur. Jusserat is satellitum Gratiani ductoribus renuntiari, imperatoris adesse conjugem, ut scilicet et ille cum apparatu magnifico obviam honoris causa progrederetur. Id ubi Gratianus audivit, quod non ita pridem eam duxisset, et juvenis esset, mulieremque vehementer D amaret, desiderio ejus videndæ ingenti accensus, apud Lugdunum Galliæ urbem, satis inconsiderate amne superato, in hostiles manus, perinde atque cæcus esset, incidit. Andragathius namque lectica exsiliens, Gratianum statim comprehendit: et brevi post, cum ut bellatorem atque victorem optimum

(1) Præclarum est apud Theodor. lib. v, cap. 13, Ambrosii ad Valentinianum juniorem verbum: Tum juvenis indignatus, propalam e templo Ambrosium exire jussit. At ille, *Libens id*, inquit, *non fecero. Neque enim lupis ovium caulam prodam, neque blasphemis templum divinum concedam. Quod si necare me vis, in ipsa ecclesia in me ensem aut cuspidem stringe. Perlibenter enim cædem eam tulero.*

interfecit. **261** Qui urbes suas moderate et juste administrans, et paternam fidei opinionem adaugens, ita vitam sine liberis finiit, viginti et quatuor annos natus: cum annis quindecim una cum Theodosio, solus autem anno uno et mensibus sex imperasset. Ea clade renuntiata, Justina iram adversus Ambrosium suam remisit. Porro Maximus ingenti atque forti exercitu (1) ex Britannis, et finitimis eorum Gallis et Celtis, aliisque loca ea incolentibus populis coacto, in Italiam ducebat, Valentiniani etiam junioris imperium ibi in potestatem suam perventurum esse arbitratus. Jam enim, quod Gratianus habuerat, obtinebat. Copias autem eas ducebat, illo quidem sub prætextu, ut ne quid de patriis dogmatibus per res novas immutaretur, et ut ecclesiam constitueret atque ordinaret: non enim, quæ Ambrosio a Justina acciderant, ignorabat: revera autem omnem, quod dicitur, lapidem movens, illud agebat, ut tyranni opinionem a se amoliretur, et Romanorum imperium non tam vi quam legibus sibi parasse videretur. Itaque ad Valentinianum scribens, imperatorem se renuntiatum esse significavit: et cum simul, ut bellum cum vera pietate gerere supersederet, paternamque religionem integram atque illæsam conservaret, cohortatus est: litteris eis etiam, nisi obsecundaret, minis additis. Ea porro verba factis ipsis comprobavit. Cum exercitu enim, quem secum habebat, Mediolanum versus, ubi ille erat, progressus est. Valentinianus autem expeditione atque adventu tyranni cognito, ne quid se indignum pateretur, veritus in Illyricum profugit. Atque inde Thessalonicam venit: experientia edoctus, quem maternorum consiliorum perceperit fructum. Fuit cum eo ibi et mater et præfectus Probus. Valentinianus etiam temporum necessitate adductus, vel invitus imperialia Maximi, a quo ad eum legati venerant, insignia admisit.

σωφρόνως καὶ δικαίως τὰς πόλεις ἰθύνων, καὶ τὴν πατρῴαν δόξαν τῆς πίστεως αὔξων, οὕτως ἄπαις ἐτελεύτα τὸν βίον· ἀμφὶ εἴκοσι καὶ τέσσαρα διαγεγονὼς ἔτη, πεντεκαίδεκα δ' ἐκ τούτων βεβασιλευκώς. Τῆς δὲ τοσαύτης συμφορᾶς ἀγγελθείσης, καὶ Ἰουστῖνα τῆς κατὰ Ἀμβροσίου ὀργῆς ἔληγεν. Ὁ δὲ Μάξιμος πολλήν τινα καὶ οὐκ ἀγεννῆ στρατιὰν ἠθροικὼς ἔκ τε Βρεττανῶν καὶ τῶν ὁμόρων αὐτοῖς Γαλατῶν Κελτῶν τε καὶ τῶν ἄλλως προσοικούντων τῇδε ἐθνῶν, ἐπὶ τὰ πρὸς Ἰταλίαν ᾔει, εἴσω θέσθαι καὶ τὴν τοῦ νέου ἀρχὴν Οὐαλεντινιανοῦ δοκιμάζων, ἤδη γὰρ τὴν Γρατιανοῦ ἐχειρώσατο. Καὶ ἐκίνει τὴν δύναμιν, προφάσει μὲν, ὡς μή τι δῆθεν νεωτερισθείη περὶ τὰ πάτρια δόγματα καὶ τὴν τῆς ἐκκλησίας κατάστασιν· καὶ γὰρ ἔγνω τὰ τῷ Ἀμβροσίῳ ἐξ Ἰουστίνης συμβάντα· τὸ δ' ἀληθὲς, τὸ τύραννος εἶναι δῆθεν ἀποσειόμενος, πάντα κάλων ἐκίνει πραγματευόμενος, τὴν βασιλείαν Ῥωμαίων νόμῳ καὶ οὐ βίᾳ περιποιήσασθαι ἑαυτῷ. Καὶ δὴ γράφων Οὐαλεντινιανῷ, τὴν ἀνάῤῥησιν ἐδήλου· παρηγγύα τε ἅμα καὶ τὸν κατὰ τῆς εὐσεβείας πόλεμον διαλύειν. Ἔτι δὲ παρῄνει τὴν πατρῴαν εὐσέβειαν διαφυλάττειν ἀλύμαντον· καὶ ἀπειλὴν δὲ προσετίθει τοῖς γράμμασιν, εἴ γε μὴ πείθοιτο. Ἀμέλει καὶ τοῖς λόγοις ἐπετίθει τὸ ἔργον. Τὴν γὰρ περὶ αὐτὸν δύναμιν ἠθροικὼς, ἐπὶ τὴν Μεδιόλανον ὥρμησεν, ἔνθα κἀκεῖνος ἦν. Ὁ δὲ μαθὼν τοῦ τυράννου τὴν ἔφοδον, δείσας μή τι πάθοι τῶν ἀπρεπῶν, εἰς Ἰλλυριοὺς ᾤχετο φεύγων· ἐκεῖθεν δὲ εἰς Θεσσαλονίκην ἧκε, πείρᾳ μαθὼν, τίνων ἐκ τῆς μητρικῆς ἀπώνατο συμβουλῆς. Ἧκε δὲ αὐτῷ καὶ ἡ μήτηρ, καὶ Πρόβος ὁ ὕπαρχος. Τῇ δὲ τοῦ καιροῦ ἀνάγκῃ πεισθεὶς Οὐαλεντινιανὸς, τὰ τῆς βασιλείας Μαξίμου καὶ ἄκων προσίετο σύμβολα, πρέσβεων ἐκεῖθεν ἡκόντων.

262 CAPUT XXI.

Ut Theodosius sine pugna et sanguine tyrannum vicerit, et de fama ab Arianis contra Theodosium sparsa: et de Symmacho philosopho, et ut Theodosius venia sit dignatus.

Laudatissimus imperator Theodosius, ubi vidit quæ adversus Ambrosium, rerum novandarum studio incepta atque perpetrata fuerant, et simul de tyranni legatione, et præterea quæ litteris suis significaverat, scripsit profugo juniori imperatori, non mirandum esse, quod in tanto metu imperator is esset; tyranno autem tantum suppetierit virium, ut imperatorem in fugam verterit. « Ille enim, inquit, rectæ fidei opinioni subsidium fert: imperator vero, dum rectam sententiam oppugnat, contra Deum bellum movet. Et tu quidem cœlesti armatura nudatus, fugæ te commisisti: ille autem recta opinione munitus, su-

ΚΕΦΑΛ. ΚΑ'.

Ὡς Θεοδόσιος ἀμαχεὶ τοῦ τυράννου περιεγένετο· καὶ περὶ τῆς φήμης τῶν Ἀρειανῶν· καὶ περὶ Συμμάχου τοῦ φιλοσόφου ὡς συμπαθείας ἠξίωτο.

Θεοδόσιος δὲ ὁ πανεύφημος βασιλεὺς, μαθὼν ὅσα τε ἐνεωτερίσθη Ἀμβροσίῳ, καὶ τὰ ἐπ' ἐκείνῳ γεγενημένα, ἔτι δὲ καὶ τὴν τοῦ τυράννου πρεσβείαν, καὶ ὅσα τοῖς γράμμασι διελάμβανε, τῷ δραπέτῃ καὶ νέῳ ἔγραφε βασιλεῖ, μὴ χρῆναι θαυμάζειν, εἰ τῷ μὲν βασιλεῖ τοσοῦτον ὕπεστι δέος· ὁ δὲ τύραννος οὕτω κρατεῖ, ὡς καὶ φυγάδα βασιλέα ποιεῖν· « Ἐκεῖνος μὲν γὰρ, φησὶ, τῇ ὀρθῇ δόξῃ ἐπικουρεῖ· ὁ δὲ βασιλεὺς Θεῷ διὰ τῆς ὀρθῆς πεπολέμηκε δόξης, αὐτῇ ἀνθιστάμενος. Καὶ σὺ μὲν τῆς ἄνωθεν πανοπλίας γυμνωθεὶς, ἀπέδρας· ἐκεῖνος δὲ τῇ ὀρθῇ δόξῃ φραττόμενος, περιγίνεται καὶ τοῦ δεσπότου κρατεῖ· τῇ γὰρ εὐσεβείᾳ πάντως καὶ ὁ ταύτης νομοθέτης συμπαρεῖ-

(1) De motu Germanico anni 1546 versiculi :

Causam consiliis texitis improbis,
Qualem perdomita jam prope Gallia
Omni, cum peteret Marte tyrannico
Urbes Maximus Italas,
Sacrorum titulo perfida filio
Justinæ arma ferox acrius inferens:
Victus succubuit qui sine prælio,
At divum non sine numine.

ναι φιλεῖ.» Ταῦτα μὲν οὖν καὶ πόῤῥω ὢν ἀπέστελλε Θεοδόσιος· οὐ πολλῷ δ' ὕστερον καὶ στρατιὰν ἀξιόμαχον ἠθροικὼς, καὶ οὗτος ἔπεισι τῷ τυράννῳ· ἐδεδίει γὰρ μὴ καὶ περὶ τὸν νεώτερον βασιλέα τι διαπράξηται Μάξιμος· κἀντεῦθεν κραταιωθεὶς, καὶ τὴν τῆς Ἕω πᾶσαν ἀρχὴν ὑπ' αὐτὸν θείη. Ἐν ταυτῷ δὲ καὶ πρεσβεία Περσῶν ἧκεν εἰρήνην ἐξαιτουμένη. Προσγίνεται δ' αὐτῷ τηνικαῦτα καὶ παῖς ἕτερος ἐκ Πλακίλλης αὐτῷ γεννηθεὶς τῇ ἐνάτῃ τοῦ Σεπτεμβρίου μηνὸς, ὃν Ὀνώριον κατωνόμασε. Λαμπρῶς δὲ τὰ κατὰ τὴν στρατιὰν ἐξαρτίσας, τὸν υἱὸν Ἀρκάδιον τῇ Κωνσταντίνου καταλιπὼν, αὐτὸς τὴν Θεσσαλονίκην κατέφθανε· καὶ Οὐαλεντινιανῷ συγγενόμενος, πρῶτα μὲν τὴν ψυχὴν αὐτῷ ἐθεράπευε, τὴν πατρῴαν πίστιν ἀνασωσάμενος, καὶ τὴν ἐκ μητρὸς ἐπεισρυεῖσαν νόσον ἐξήλαυνεν· ἔπειτα δὲ θαῤῥεῖν παρηγγύα, καὶ μὴ ἐπὶ τῇ ἀρχῇ δεδιέναι. Καὶ τοὺς μὲν παρὰ Μαξίμου ἥκοντας πρέσβεις οὔτ' ἀπεσείετο πάμπαν, ἀλλ' οὐδὲ προσίετο ἐς τὸ φανερόν. Τὰς δὲ δυνάμεις ἀναλαβὼν, εἰς τὴν ἑσπέραν πρὸς τὴν Ἰταλίαν ἐχώρει. Φῆμαι δ' ἐκεῖθεν πρὸς τὸ ἑκάστῳ δοκοῦν ἀφικνοῦντο. Φιλοῦσι γὰρ οἱ ἄνθρωποι καὶ περὶ ὧν ἥκιστ' ἐπίστανται, λόγους πλάττειν· καὶ μάλιστα εἰ καί τισι προφάσεσιν εἰλημμένοι ὄντες τυγχάνουσι, τὰς περὶ ὧν σπουδάζουσι φήμας ἐξάπτειν, ἅτε δὴ νεωτέρων πραγμάτων ἀεὶ ὀριγνώμενοι. Ὃ δὴ καὶ τηνικαῦτα τοῖς ἀνὰ τὴν Κωνσταντίνου συνέβαινε. Περὶ γὰρ τοῦ πολέμου ἄλλος ἄλλο τι ἐθρύλλει πλάττων, πάντες δὲ τὰ χείρω μᾶλλον ἐπῆγον, καίπερ μηδενὸς τῷ πολέμῳ γεγενημένου, αὐτοὶ ὡσανεὶ παρόντες τοῖς πεπραγμένοις τὰ συμβαίνοντα δῆθεν ἱστόρουν. Οἱ δ' Ἀρειανοὶ θυμομαχοῦντες ὡς τῶν ἐκκλησιῶν ἀπεληλαμένοι, ἐλογοποίουν ὡς ὁ τύραννος μᾶλλον ἐπικρατέστερος τοῦ βασιλέως ἐγένετο, καὶ τόσοι καὶ τόσοι τῶν ἡμετέρων πεπτώκασι· καὶ ὅτι ὅσον οὔπω, καὶ αὐτὸς ὁ κρατῶν ὑπὸ χεῖρα τῷ τυράννῳ πεσεῖται. Καὶ ἄλλων δέ τινων ἐπιγενομένων, τὰ παρ' αὐτοῖς πλαττόμενα ὡς ἀληθῆ γε εἶναι ᾤοντο, καὶ ὁμολογούμενα. Ἐντεῦθεν τοίνυν παραλόγῳ ῥύμῃ θαῤῥήσαντες, ἀθρόον εἰσδραμόντες, κατὰ τῆς τοῦ ἐπισκόπου Νεκταρίου οἰκίας πῦρ ἐνιέντες, ταύτην ἐνέπρησαν· ὅτιπερ τῶν ἐκκλησιῶν αὐτὸς ἐγκρατὴς ἦν. Τοῦτο μὲν τοιοῦτον ἐγένετο· τῷ δὲ βασιλεῖ Θεοδοσίῳ τὰ τοῦ πολέμου κατὰ γνώμην ἐχώρει. Οἱ γὰρ ὑπὸ τὸν τύραννον στρατιῶται τὸ τῆς παρασκευῆς Θεοδοσίου ἀξιόμαχον δείσαντες, καὶ τῇ φήμῃ καταπλαγέντες, τὸν τύραννον συλλαβόμενοι, ὑπὸ τοὺς πόδας τῷ βασιλεῖ ῥίπτουσιν· ὃν ἐκεῖνος, ἀδικεῖν νομίσας τὰς πρὸς Γρατιανὸν συνθήκας, εἰ μὴ ποινὴν εἰσπράξαιτο τῆς ἐκείνου σφαγῆς, εὐθὺς αὐτὸν ἀναιρεῖ. Ὁ δὲ τὸν Γρατιανὸν δόλῳ ἀνελὼν Ἀνδραγάθιος, τὰ κατὰ τὸν Μάξιμον διαγνοὺς, σὺν αὐτοῖς ὅπλοις εἰς τὸν παραῤῥέοντα ποταμὸν ἥλατο, καὶ ἀπεπνίγη φθαρείς. Ἡ δὲ ἀρχὴ τῷ νέῳ Οὐαλεντινιανῷ ἅπασα σέσωσται. Οὕτω δὲ τὸν πόλεμον διαθέμενος Θεοδόσιος, σὺν τῷ νεω-

A perior est, et herum suum vincit. Prorsus enim veræ pietati auctor et legislator ejus adesse solet.» Atque hæc quidem, cum longe adhuc abesset, Theodosius ad Valentinianum scripsit. Brevi vero post, exercitu strenuo collecto, contra tyrannum duxit. Metuebat namque, ne contra juniorem imperatorem Maximus rem etiam recte gereret, atque inde majoribus comparatis viribus, Orientis etiam imperium sibi subjiceret. Fuit tum Persarum apud eum legatio, pacem petens. Filius quoque alter ex Placilla ei nono Septembris mensis die natus est, quem Honorium nominavit. Sedenim exercitu rebus omnibus magnifice instructo, et Arcadio filio Constantinopoli relicto, Thessalonicam profectus est, ubi Valentinianum B convenit. Et primum animam ejus, fide paterna restituta, et morbo materno depulso, curavit: deinde bono etiam animo esse, neque de imperio metuere eum jussit. Legatos autem qui a Maximo venerant, neque rejecit prorsus, neque propalam admisit. Copiisque receptis, ad Occidentem in Italiam contendit. Fama vero inde, pro eo atque cuique visum erat, afferebatur. Consueverunt enim homines etiam de rebus quas ignorant, sermones confingere, et majores quoque, præcipue si quam habent causam et prætextum, de eis quibus favent, rumores excitare, ut qui rerum semper novarum cupidi sunt. **263** Quod tum quoque Constantinopoli accidit. De bello enim alius aliud C commentus, in vulgus id spargebat, omnes vero deteriora magis nuntiabant. Et quamvis nemo bello interfuisset, perinde tamen atque in re præsenti bellum geri vidissent, quæ ibi accidissent, narrabant. Porro Ariani, qui ab ecclesiis repulsi fuerant, in animis ipsi suis bellum agitantes, rumores serebant, imperatorem scilicet a tyranno victum, et tot atque tot nostrorum cæsos esse; primo quoque etiam tempore imperatorem ipsum in tyranni manum perventurum. Et cum alia quædam insuper vulgarentur, quæ ab eis excogitata fuerant, pro veris certisque rebus habebantur. Proinde concursu ingenti facto, vecordi confidentia et impetu, in episcopi Nectarii ædes ignem injecerunt, easque incenderunt, propterea quod ecclesias is mo- D deraretur. Atque hæc quidem sic agebantur. Imperator autem Theodosius bellum ex sententia gessit. Milites namque quos tyrannus habebat, apparatum bellicum et ingentes Theodosii copias veriti, ipsaque adeo fama eorum territi tyrannum captum ad imperatoris pedes abjecere (1). Et Theodosius, quod se Gratiano, quocum fœdus pepigerat, injuriam, si tyranno parceret, neque ab eo cædis patratæ pœnas sumeret, facturum esse putaret, confestim illum necari jussit. Andragathius vero, qui Gratianum fraude circumventum occide-

(1) Conferat mihi, quæso, pius prudensque lector, cum tyrannide Maximi istius, per circumstantias omnes, seditionem et rebellionem Germanicam, ejusque exitum, quem an. 1546 et 1547, vidimus; et rem prorsus eamdem inveniet. Mores rediisse, qui Theodosii fuere tempore jures, pessimos, cum Maximus bello periret imperii sociis rebellis.

rat, ubi quid Maximo accidisset, cognovit, cum ipsis armis in præterfluentem amnem insiluit, atque ibi interiit. Ita Valentiniano juniori imperium omne restitutum est. Et Theodosius bello feliciter confecto, cum imperatore juniore Romam victor ingressus, clarissimum lætus egit triumphum. Recte etiam is in Italia Mediolanensem constituit atque ordinavit Ecclesiam, cum e vita commodum Justina excessisset. Theodosius, cum adhuc Romæ esset, e Constantinopoli eo ad se filium Honorium, valde adhuc tenerum, adducendum curavit. Et cum Romæ victoriæ sacra peregit, tum clementiam placabilitatemque suam manifesto declaravit : potissimum vero in Symmacho exconsule. Hic **264** namque senatus Romani princeps, in magna, propter egregia quæ in eo erant ornamenta, fuit admiratione, maximeque propter eloquentiam et peritiam Latini sermonis laudatus est. Multas enim, et admodum præclaras Romana lingua edidit orationes. Scripsit etiam ad Maximum tyrannum adhuc superstitem. Quam ob causam criminis perduellionis et læsæ majestatis reus factus, quod se damnatum iri metueret, tanquam ad asylum in ecclesiam confugit. Adeo autem imperator iste religiose Christianismum coluit, et adeo Ecclesiæ fuit obediens, ut non eos modo qui ejusdem cum eo essent fidei, magnopere honorarit, et præclaram illis opinionem conciliare studuerit, verum etiam Novatianos, idem nobiscum una re excepta sentientes, civiliter et placide admiserit. Itaque Leontius Novatianorum ecclesiæ tum in Romana urbe antistes, qui deprecator apud eum

A τέρῳ βασιλεῖ τὴν Ῥώμην ὡς νικηφόρος κατέλαβε, καὶ ἐπινίκιον κατήγαγε θρίαμβον εὐφραινόμενος. Καλῶς δὲ ἄρα καὶ τὰ κατὰ τὴν ἐν Ἰταλίᾳ Ἐκκλησίαν διέθηκε Μεδιόλανον· τέλει γὰρ βίου καὶ Ἰουστίνα ἐχρήσατο. Ἔτι δ' ἐν τῇ Ῥώμῃ ὢν Θεοδόσιος, ἐκ τῆς Κωνσταντινουπόλεως κομιδῇ νήπιον ὄντα τὸν υἱὸν Ἀρκάδιον μετεστέλλετο. Τοὺς δ' ἐπινικίους τελῶν ἐν Ῥώμῃ, καὶ τὴν σφετέραν ἀνεξικακίαν δήλην ἐποίει· καὶ μάλιστα ἐπὶ Συμμάχῳ τῷ ἀπὸ ὑπάτων. Οὗτος γὰρ πρῶτος ὢν τῆς ἐν Ῥώμῃ συγκλήτου βουλῆς, διὰ θαύματος ἦν τοῖς προσοῦσιν αὐτῷ ἀγαθοῖς, μάλιστα δ' ἐπῃνεῖτο ἐπὶ παιδεύσει λόγων Ῥωμαϊκῶν· πολλοὺς γὰρ καὶ ἄγαν ἀρίστους λόγους τῇ σφετέρᾳ γλώσσῃ ἐξέδοτο. Γέγραφε δὲ καὶ πρὸς τὸν τύραννον Μάξιμον ἔτι περιόντα· οὗ χάριν ἔνοχος τῷ τῆς καθοσιώσεως ἐγεγόνει ἐγκλήματι. B Δείσας τοίνυν τὴν καταδίκην, ὡς εἰς χρησφύγετον τὴν Ἐκκλησίαν κατέδραμεν. Οὕτω δ' ἦν ὁ βασιλεὺς εὐλαβῶς περὶ τὸν Χριστιανισμὸν ἔχων, καὶ τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ πειθήνιος, ὡς μήτοι γε τοὺς τῆς ἴσης αὐτῷ πίστεως ὑπερτιμᾷν τε, καὶ τὸ δόξαν ἐκείνοις αἱρεῖσθαι ποιεῖν· ἀλλὰ γὰρ καὶ Ναυατιανοὺς τὰ παραπλήσια τῇ θρησκείᾳ πλὴν ἑνὸς δοξάζοντας ἡμέρως καὶ ἀστείως μάλα προσίεσθαι. Ὑπὲρ τοίνυν Συμμάχου Λεόντιος πρεσβεύων, ὃς τῆς ἐν Ῥώμῃ τῶν Ναυατιανῶν Ἐκκλησίας τηνικαῦτα ἡγεῖτο, οὐκ ἀπετύγχανε τοῦ σκοποῦ· ἐκείνῳ γὰρ τὴν χάριν ἀφοσιούμενος, συνεχώρει τῷ Συμμάχῳ τὸ ἔγκλημα· ὃς δὴ καὶ τῆς συγγνώμης ἀξιωθεὶς, τὸν ἀπολογητικὸν τῷ βασιλεῖ ἐσχεδίαζεν. Ὁ μὲν οὖν καθ' ἑσπέραν πόλεμος τοιάνδε τὴν C ἀρχὴν ἐσχηκὼς, τοιοῦτον αἴσιον καὶ τὸ τέρας ἐλάμβανε Θεοῦ πρυτανεύοντος.

pro Symmacho fuit, spe sua frustratus non est. Nam ei gratificatus imperator, peccatum tantum Symmacho remisit. Qui veniam consecutus, orationem qua se defendit, ad imperatorem conscripsit. Et bellum quidem Occidentale tali initio cœptum, optatum, Deo bene adjuvante, habuit finem

CAPUT XXII.

De fœdis consuetudinibus et moribus, quos ex urbe Roma ejecit imperator Theodosius.

Theodosius imperator, cum in Italia moraretur, plurimum emolumenti in Romanam contulit urbem, cum ea quæ antea non habebat liberaliter tribuendo, tum pleraque quæ antiquitus ei erant fœda atque pudenda adimendo. Fuit enim Romæ probrum quoddam tale : Erant ibi ædificia maxima, in quibus annona urbis asservabatur. Qui vero præfecti eis erant, Romana lingua mancipes dicti, temporis processu prædonum domicilia effecerant (1). Cum enim ad latus cujusque ædificii, juxta loci situm, in parte inferiori pistrinum esset, qui ei præfuere, tabernis constructis, in quibus etiam meretrices ad quæstum prostabant, per illas insidias eis tendebant, qui annonæ comparandæ gratia ad domos eas veniebant. **265** Erant vero, qui eam tantum ob causam ut fœdæ voluptati inservirent, eo accedebant. Machina enim quadam ex prostibulo in pistrinum deferebantur. Potissimum vero peregre advenientibus et advenis hoc

ΚΕΦΑΛ. ΚΒ'.

Περὶ τῶν αἰσχρῶν συνηθειῶν, ἃς περιεῖλε τῆς Ῥώμης ὁ βασιλεὺς Θευδόσιος

Βασιλεὺς δὲ διατρίβων ἐν Ἰταλίᾳ, πλεῖστα τὴν Ῥωμαίων ὤνησε πόλιν, τῷ μὲν τῷ δοῦναι φιλοτίμως ἃ μὴ πρότερον εἶχε, καὶ τῷ περιελεῖν τὰ προσόντα ἐκείνῃ μοχθηρὰ ἐκ μακροῦ, καὶ αἰσχύνης ἔμπλεω καθιστῶντα. Μία δ' ἦν αὐτῇ αἰσχύνη τοιαύτη· Μέγιστοι δόμοι κατὰ τὴν Ῥώμην ἦσαν, οἷς ὁ τῇ πόλει D χορηγούμενος σῖτος ἐτίθετο· οἳ δὴ τῶν οἴκων τούτων τὴν ἀρχὴν ἔχοντες, οὓς Ῥωμαίων φωνὴ μάγκιπας ὀνομάζει, τῷ χρόνῳ προήκοντι λῃστήρια τοὺς οἴκους εἰργάσαντο. Ἐπεὶ γὰρ οἱ μυλῶνες τῆς τῶν τόπων θέσεως οὕτω διδούσης κατὰ βάθους ἦσαν πρὸς πλευρὰν ἑκάστῳ οἰκήματι, οἱ τούτων προϊστάμενοι καπηλεῖα κατεσκευακότες, καὶ πόρνας ἐν αὐτοῖς προστησάμενοι, διὰ τούτων ὥσπερ λόχον καθίστων τοῖς χρείᾳ τροφῶν τοῖς οἴκοις ἐπερχομένοις. Ἦσαν δὲ οἳ καὶ τῷ αἰσχρᾷ ἡδονῇ δουλεύειν ἐθέλειν μόνῃ ἐκεῖσε ἐγίνοντο· μηχανῇ γάρ τινι διὰ τοῦ πορνείου τῷ μυλῶνι ἐνέπιπτον· μάλιστα δὲ τοῦτο τοῖς ἐνδημοῦσι τῶν ξένων ἐπισυνέβαινε· καὶ οἱ οὕτως ἐα-

(1) Socr. lib. v, cap. 18.

λωκότες, ἀνάγκης ἐπικειμένης, ἀλεῖν διὰ βίου κατεί- χοντο, μὴ τὴν ἐκεῖθεν λύσιν ποσῶς συγχωρούμενοι· ὡς καὶ τοῖς οἰκείοις παρεσχῆσθαι δόξαν, ὅτι πάλαι τεθνήκασι ταύτῃ τῇ ἄγρᾳ. Καί τις τῶν Θεοδοσίῳ στρατευσαμένων ἐνέπεσεν. Ὡς δ' ἥκιστα τούτῳ συνεχωρεῖτο ἡ ἔξοδος, καθὰ δὴ τὰ καὶ τοῖς λοιποῖς, τὸ παρὰ τῶν μηρῶν ἠωρημένον ξίφος σπασάμενος, τοὺς ἐπέχοντας διεχρήσατο. Οἱ δ' ἄλλοι, δέει τοῦ μὴ τὰ ἴσα παθεῖν, συνεχώρουν ἐκείνῳ τὴν ἔξοδον. Ἃ δῆτα μαθὼν Θεοδόσιος, τοὺς μὲν κολάσει ὑπῆγε· τοὺς δὲ λῃστρικοὺς ἐκείνους οἴκους καὶ τὰ πορνεῖα ἐκ βάθρων ἀνέτρεπε. Ταύτην μίαν αἰσχύνην τῆς βασιλευούσης τῶν πόλεων περιεῖλεν ὁ Θεοδόσιος· ἑτέραν δὲ τήνδε· Εἴ ποτε μοιχείας πάθει γυνὴ ἁλοῦσα ἔτυχεν, οὐκ ἐκκοπῇ τῆς ἁμαρτάδος, ἀλλὰ προσθήκῃ μᾶλλον τῆς ἀκρασίας τὴν τιμωρίαν Ῥωμαῖοι ἐπῆγον· βραχυτάτῳ γὰρ οἰκίσκῳ τὴν ἁμαρτήσασαν περικλείοντες, ἔπειτ' ἀναιδῶς εἴων τῷ βουλομένῳ τὴν ἀκόλαστον ἡδονὴν ἐκπληροῦν. Καὶ τὸ δὴ πάσης ἀτοπίας ἐπέκεινα, ὅτι καὶ κώδωνας ἀπῃώρουν κατὰ τὸν καιρὸν τῆς ἀκαθάρτου μίξεως· ὥστε σειομένους ἠχεῖν, ἵνα μὴ λάθῃ τοὺς ὅποι δή ποτε παριόντας τὸ δρώμενον, ἀλλὰ τῇ τῶν κωδώνων ἠχῇ ἡ μεθ' ὕβρεως τιμωρία γνωρίζοιτο. Ἣν καὶ ταύτην πυθόμενος ὁ σωφρονέστατος οὐκ ἤνεγκε βασιλεύς· ἀλλὰ καὶ ταύτην τὴν ἀναιδῆ συνήθειαν ἐξηφάνιζε, τὰ σεῖστρα παντάπασιν ἀφανίσας. Οὕτω γὰρ τὰ ἐφ' ὕβρει οἰκήματα ἐκεῖνα ἐκάλουν· ἄλλοις δὲ νόμοις ὑποκεῖσθαι τὰς οὕτως ἁλούσας ἐνομοθέτει. Τῶν μὲν δύο τούτων ἐφυβρίστων συνηθειῶν ὁ θειότατος βασιλεὺς τὴν Ῥωμαίων πόλιν ἀπήλλαξε· πάντα δὲ καταστησάμενος ὡς χρεὼν, τῇ μὲν Ῥώμῃ τὸν Οὐαλεντινιανὸν τὴν βασιλείαν ἐκεῖσε διέπειν ἀφῆκεν· αὐτὸς δὲ σύναμα τῷ παιδὶ Ὀνωρίῳ εἰς τὴν Κωνσταντινούπολιν ἦλθε.

A accidebat. Qui deinde ad eum modum capti, et necessitate circumventi, molere per vitam omnem cogebantur, usque adeo libertate et aliquo inde reditu negato, ut necessarii et propinqui eorum jamdudum eos fatis concessisse opinarentur. In hanc decipulam quidam etiam Theodosii miles incidit. Atque ubi illi quoque, sicuti et reliquis, abire inde non permitteretur, stricto quem ad femur suspensum gerebat ense, eos qui se retinebant, interemit. Et alii, ne idem paterentur, metu conterriti, abire eum sunt passi. Eam rem postquam Theodosius cognovit, nequam illos homines suppliciis subdidit, prædonumque latebras illas et lupanaria ex fundamentis ipsis evertit. Atque unam quidem hanc fœditatem in principe urbe sic
B Theodosius sustulit. Alteram autem illam : Si quando mulier in adulterio comprehenderetur, non coercitione criminis, sed potius accensione libidinis, Romani in eam animadvertebant. Domunculæ enim arctæ, quæ adulterium commisisset, inclusam, impudenter deinde impotentem cujuslibet voluptatem et petulantiam explere permittebant. Et quod omnem excedit absurditatem, tintinnabula sibi homines libidinosi, impuri concubitus tempore accommodabant, ut commota illa resonarent, et prætereuntes quandocunque flagitium tantum non lateret, sed potius tintinnabulorum sonitu pœna illa cum injuria et contumelia conjuncta indicaretur. Quam et ipsam ubi cogno-
C vit, pudicissimus non tulit imperator, sed tam impudentem et obscenam consuetudinem abolevit. Nam ei sistra (ita enim quæ ad tantam contumeliam exstructæ erant domunculæ vocabantur) omnino evertit, et adulteras aliarum legum coercitionibus constitutione lata (1) subjecit. Duabus hisce contumelia plenis consuetudinibus divinissimus imperator urbem Romam liberavit. Et rebus omnibus recte constitutis, Romam quidem et imperium Occidentale Valentiniano administrandum reliquit : ipse vero cum Honorio filio Constantinopolim est reversus.

ΚΕΦΑΛ. ΚΓ'.

Περὶ τῆς ἰσαγγέλου πολιτείας Ἀρσενίου τοῦ Μεγάλου· ὃς τῶν βασιλέων διδάσκαλος πρότερον ἦν.

Κατὰ δὲ τοῦτον τὸν χρόνον, ὁ βασιλεὺς τοῖς παισὶ διδάσκαλον ἀρετῆς ἐπιστῆσαι θελήσας, Ἀρσένιον ἐκεῖνον οὗ τὸ κλέος τῆς ἀρετῆς εἰς πᾶσαν διέδραμε τὴν ὑπ' οὐρανὸν εὑρηκὼς, ἐγχειρίζει τούτους αὐτῷ. Καὶ ὃς τοὺς παῖδας καταλαβὼν, ἁπάσης παιδείας καθηγητὴς ἐγνωρίζετο, ἐλευθερίως ἀνάγων, καὶ πατρὸς τρόπον ἐπέχων αὐτοῖς· μηδὲ γὰρ δεδιέναι τὸ τῆς βασιλείας ὕψος ἐκείνῳ παρηγγύα ὁ Θεοδόσιος, ἀλλ' ὅσα καὶ δούλοις αὐτοῖς χρῆσθαι. Ὁ δὲ τῇ πολλῇ μετριοφροσύνῃ τοὐναντίον μᾶλλον ἐποίει· ὡς καί ποτε τὸν βασιλέα, ἐξαπίνης εἰσιόντα τὸν δόμον, εὑρεῖν μὲν ἐκείνους σοβαρῶς προκαθημένους, τὸν δ' Ἀρσένιον ἑστῶτα, καὶ τὴν διδασκαλίαν προσφέροντα· χαλεπήναντα δ' ἐπὶ τούτῳ τὸν βασιλέα, ψιλῶσαι μὲν ἐκείνους τῶν παρασήμων· τὸ δ' ἀοίδιμον ἐκεῖνο

CAPUT XXIII.

De angelica Arsenii Magni vita, qui antea imperatorum præceptor fuerat.

D **266** Sub idem tempus, imperator, liberis suis virtutis magistrum præficere volens, Arsenio illi, cujus gloria terram sub sole omnem pervagata est, invento, eos commisit : quibus ille susceptis, cum disciplina omni præceptoris, tum liberali educatione patris illis loco fuit. Imperator enim illum, ne quem ex imperii sublimitate conciperet metum, sed illis potius ut servis uteretur, admonuerat. Tantum vero, ut id ille fecerit, abest, ut insigni modestia et moderatione diversum potius fecerit. Et cum derepente Theodosius ad eos aliquando venisset, pueros quidem cum splendore magnifico considentes, Arsenium autem inter docendum eis astantem reperit. Qua de causa imperator indignatus, cum illos insignibus principalibus nuda-

(1) Quatuor ejus constitutiones exstant in C. sub tit. *Ad. leg. Jul. de adult.*

vit, tum sempiterna memoria dignum et vere imperiale illud verbum est prolocutus : « Si tales se præbituri essent, ut mores vitamque suam ad disciplinam et leges Dei componerent, propensum et illum fore ut eis imperium in manus tradat, ad civium et subditorum commodum et utilitatem accommodatum : sin minus, conducibilius eis esse dixit, ut sic privati vitam exigerent, quam doctrina nulla cum periculo imperarent. » Sed gravis ea provincia Arsenio visa est, qui curas ejusmodi odisset, et a talibus turbis et tumultibus alienissimus esset. Proinde Deum est precatus, ut honesta præberetur causa, qua præsentibus liberaretur vinculis. Et Deus brevi id fecit. Admisit delictum quoddam Arcadius: quod quia impunitum relinquere non potuit, flagello illum coercens Arsenius castigavit. Atque ille factum id tanquam injuriam ægre ferens, mortem est ei molitus. Consilium id clam cœptum ubi Arsenius rescivit, insolenti vestitu illo rejecto, quamprimum in Scetim se contulit, et cœlitus ad se delatam vocem audiit : « Arseni, tumultus fuge, et salvabere. » Et vivente quidem Theodosio, latuit. Postquam autem Arcadius ad imperium pervenit, angelicam eum consectari vitam innotuit. Proinde imperator ad eum scribens, cum precationem benedictionemque ejus, tum peccati gratiam ab eo petiit. **267** Eidemque, ut Ægypti totius tributum pauperibus præberet, permisit. Sed hoc ille non recepit. Cum vero ad virtutem summam pervenisset, rusticum se et litterarum omnium imperitum esse assimulavit, cum quidem monumenta memoria digna et libros plurimos reliquerit : quos historia, quæ de eo est conscripta, refert. Et ad hodiernum usque diem in Sceti atque Romæ et Constantinopoli monastica ejus vita in primis celebratur. Potuissem quidem quædam illius facete dicta præclareque acta commemorare. Cum vero propositum argumentum me alia persequi cogat, ad historiam ejus lectorem rejicio : mihique eo unde digressus sum, redeundum esse duco.

A καὶ βασιλικώτατον ἀναφθέγξασθαι· « Εἰ μὲν ἁρμόζοντας ἑαυτοὺς διαθῶσι, Θεοῦ παιδείᾳ καὶ νόμοις κατηρτισμένους, δυνατὸς ἐκεῖνος καὶ τὴν βασιλείαν ἐγχειρίσαι αὐτοῖς, πρὸς τὸ λυσιτελὲς ἡρμοσμένην ὧν ἄρχουσιν· εἰ δ' οὖν, ἀλλ' οὕτως ἀποδιῶναι μᾶλλον λυσιτελήσει ἢ ἄρχειν ἀπαιδεύτως καὶ σφαλερῶς. » Ἀλλ' ἤχθετο τοιούτοις ἐμπεσὼν ὁ Ἀρσένιος μισόφροντις ὤν, καὶ ὄχλων ἄλλως καὶ θορύβων ἐπιεικῶς ἀνομίλητος· ὅθεν ἐδεῖτο Θεοῦ εὐπρεπῆ παρασχεῖν αἰτίαν, δυναμένην τῶν παρόντων ἀνεῖναι δεσμῶν. Καὶ ὃς θᾶττον παρεῖχεν. Ἐπεὶ γὰρ Ἀρκάδιος ἐπλημμέλησε πρᾶγμα μὴ παροφθῆναι δυνάμενον, μέτεισιν ἐκεῖνον μάστιξι σωφρονίζων Ἀρσένιος. Ὁ δὲ τὴν ὕβριν μὴ ἐνεγκὼν, θάνατον ἐκείνου προσεμελέτα. Μαθὼν δὲ Ἀρσένιος τὸ ἀπόρρητον, τὴν ἀλαζόνα **B** περιβολὴν ἐκείνην ἀποδυσάμενος, θᾶττον πρὸς τὴν Σκῆτιν ἀνέτρεχε· καὶ φωνῆς ἄνωθεν ἠχούσης ἤκουεν, « Ἀρσένιε, φεῦγε τοὺς θορύβους, καὶ σώζῃ. » Καὶ ζῶντος μὲν Θεοδοσίου ἐλάνθανεν, Ἀρκαδίου δὲ παρελθόντος εἰς τὴν ἀρχὴν, ἐγνωρίζετο τὸν ἀγγελικὸν μετιὼν βίον. Ὅθεν βασιλεὺς αὐτῷ γράφων, εὐχήν τε ᾔτει καὶ συγγνώμην τῷ ἁμαρτήματι. Ἀνῆκέ τε τὸν τῆς Αἰγύπτου ἅπαντα φόρον πένησι παρασχεῖν. Ὁ δ' οὐκ ἐλάμβανε. Τάχος δ' εἰς ἄκρον ἀρετῆς καταστὰς, ἀγροῖκον ἑαυτὸν καὶ τὸ μηδὲν εἰδέναι προσεποιεῖτο, ἔργα δὲ μνήμης ἄξια καὶ λόγους πλείστους καταλελοιπὼς, οὓς ἡ κατ' αὐτὸν ἱστορία διέξεισιν ἐς δεῦρο. Ἀνά τε Σκῆτιν καὶ Ῥώμην καὶ τὴν Κωνσταντίνου πολὺ τὸ ἐπ' ἀσκήσει φέρεται **C** περιώνυμον. Ἐνῆν μὲν οὖν καί τινα τῶν ἀστείως εἰρημένων τε καὶ πεπραγμένων αὐτῷ μνημονεῦσαι· ἐπεὶ δὲ κατεπείγει δὴ τὸ προκείμενον, ἐπ' ἐκεῖνα τοῖς ταῦθ' ἱστοροῦσι προτρέπομεν· ἡμῖν δ' ἐπὶ τὸ προκείμενον τὸν λόγον ἰτέον.

CAPUT XXIV.

De episcoporum successione, et de tumultu qui denuo Antiochiæ obortus est, propter Flavianum, Paulino defuncto : et ut post multum tempus, imperatoris et Theophili Alexandriæ episcopi opera, Ecclesiæ ejus dissidium sit sopitum, magna cum difficultate populo in concordiam redacto.

Eadem tempestate Timotheus, et Cyrillus, qui Alexandrinæ et Hierosolymitanæ Ecclesiæ thronis eminuerant, vita defuncti, alter quidem Alexandriæ Theophilum, alter autem Hierosolymis Joannem successorem habuit. Paulo vero post, cum et Demophilus, qui Constantinopoli Arianæ præfuerat religioni, vitam morte commutasset, qui factionis ejus erant, administrationem eam Marino cuidam Thraci, qui alii episcopatui præfectus fuerat, commisere. Sed is cum ibi non ita diu durasset, discessit. Sub quo etiam Arianorum secta in duas factiones est dissecta, sicuti postea dicemus. Et Dorotheus qui Antiochiæ in Syria, ut hæresi ei

ΚΕΦΑΛ. ΚΔ'.

Περὶ τῆς τῶν ἐπισκόπων διαδοχῆς· καὶ περὶ τῆς ἐν Ἀντιοχείᾳ πάλιν γενομένης ταραχῆς διὰ Φλαβιανὸν Παυλίνου τελευτήσαντος· καὶ ὡς χρόνῳ πολλῷ σπουδῇ τοῦ βασιλέως καὶ Θεοφίλου τοῦ Ἀλεξανδρείας, ὁ τῆς τοιαύτης Ἐκκλησίας θόρυβος κατηυνάσθη, εἰς ὁμόνοιαν τοῦ λαοῦ ἐλθόντος.

D Ὑπὸ δὴ τὸν χρόνον τοῦτον Τιμόθεος καὶ Κύριλλος οἱ τῆς Ἀλεξάνδρου καὶ Ἱερουσαλὴμ τοῖς θρόνοις ἐμπρέποντες, τὸ βιοῦν μεταλλάξαντες, ὁ μὲν ἐν Ἀλεξανδρείᾳ Θεόφιλον, ὁ δὲ Ἰωάννην ἔσχον διαδόχον. Μετὰ βραχὺ δὲ καὶ Δημοφίλου, ὃς τῆς ἐν Κωνσταντινουπόλει τῆς Ἀρειανῆς θρησκείας προΐστατο, τὸ βιοῦν μεταλλάξαντος, Μαρίνῳ τινὶ ἐκ Θρᾴκης ὄντι οἱ περὶ ἐκεῖνον τὴν προστασίαν ἐπέτρεπον, ὃς ἄλλης ἐπισκοπῆς προειστήκει. Ἀλλ' οὐ πολὺν διανύσας χρόνον, ἐξέστη. Ἐπ' αὐτοῦ δὲ καὶ ἡ Ἀρειανῶν θρησκεία εἰς δύο ἐτμήθη, ὡς ὕστερον λέξομεν. Οἷα δ' ἐπιτηδειότερος Θεόδωρος ὁ παρὰ τῇ Σύρων Ἀντιοχείᾳ τῆς τοιαύτης ἐπιτροπεύσας αἱρέσεως, προ-

κριθεὶς, ἐκεῖθεν ἥκων προΐστατο τῆς αἱρέσεως. Ἐν A δὲ τούτῳ καὶ Παυλίνου ἐν Ἀντιοχείᾳ τελευτήσαντος, οἱ ὑπ' ἐκείνῳ ταττόμενοι ἰδίᾳ πάλιν τὰς συναγωγὰς ἐποιοῦντο, τὸν Φλαβιανὸν ἐκτρεπόμενοι, ἅτε δὴ τοὺς ἐπὶ Μελετίῳ γεγενημένους ὅρκους, μὴ προσῆκον ὄν, παραβάντα, καίπερ οὐδὲν περὶ τὸ δόγμα διαφερόμενοι. Εὐάγριον δέ τινα μετὰ ταῦτα τῇ Παυλίνου διαδοχῇ καθιστῶσι. Τοῦ δὲ βραχύ τι ἐπιβιώσαντος, οὐδαμῶς ἕτερος εἰς τὸν ἐκείνου τόπον κατέστη, Φλαβιανοῦ ἀντιπράττοντος. Ὅσοι δὲ τὴν πρὸς Φλαβιανὸν κοινωνίαν ἐξετρέποντο, ἰδίᾳ συναγόμενοι ἐκκλησίαζον. Ὁ μὲν γὰρ Παυλῖνος ἐβουλήθη, Μελετίου θανόντος, τὴν τῆς Ἐκκλησίας ἅπασαν ἡγεμονίαν λαβεῖν· ἀντέλεγε δὲ ὁ τῶν ἱερέων χορὸς, μὴ χρῆναι λεγόντων τὸν μὴ τὰς Μελετίου συμβουλὰς προσδεξάμενον μετὰ τελευτὴν τὸν ἐκείνου κλῆρον B λαβεῖν, ἀλλ' ἐκεῖνον ὃς πολλοῖς πόνοις τὴν ἐκείνου διετήρησε ποίμνην, ἐκεῖνον καὶ τῶν ἐκείνου προβάτων γενέσθαι ποιμένα. Ὃ δὴ, ὡς εἴρηται, τοῖς τε Ἑσπερίοις καὶ Ἑῴοις δυσμένειαν μακροτάτην εἰργάσατο· οἳ οὐδὲ μετὰ τὸν Παυλίνου θάνατον τὸ πρὸς ἐκεῖνον δυσμεναίνειν ἀπέθεντο· ἀλλὰ καὶ μετὰ τὸν Εὐάγριον Φλαβιανῷ χαλεπαίνοντες ἦσαν, καὶ ταῦτα τοῦ Εὐαγρίου παρὰ πάντα ἐκκλησιαστικὸν προβεβλημένου θεσμόν· ὁ γὰρ Παυλῖνος μόνος αὐτὸν προεβάλλετο, πολλοὺς κανόνας εἰς ταυτὸν ἀθετήσας. Οὔτε γὰρ ἕτερον ἀνθ' ἑαυτοῦ τὸν τελευτῶντα χειροτονεῖν ἐνδιδόασιν· εἰς ἓν δὲ συνιέναι καὶ τοὺς τῆς ἐπαρχίας ἅπαντας ἐπισκόπους διαγορεύουσιν. Ἀλλὰ καὶ τριῶν ἄνευ ἐπισκόπων μὴ γίνεσθαι χειροτονίαν C ἐπισκόπου θεσπίζουσι. Ταῦτ' οὐδὲ συνιδεῖν ἐθελήσαντες, Εὐάγριον μὲν προσεδέχοντο, Φλαβιανὸν δὲ παντάπασιν ἀπεσείοντο, καὶ τοσοῦτον, ὡς καὶ ταῖς βασιλικαῖς ἐνοχλεῖν κατ' αὐτοῦ ἀκοαῖς· ὃς διὰ ταῦτα ἐνοχληθεὶς πολλάκις ἤγαγέ τε αὐτὸν εἰς τὴν Κωνσταντίνου, καὶ εἰς Ῥώμην ἀφικέσθαι ἐβίαζεν. Ὁ δὲ τὸν χειμῶνα προβαλλόμενος, ἔαρος ὑπολάμποντος ὑπισχνεῖτο περᾶναι τὸ προσταττόμενον. Καὶ τότε μὲν ἀφεθεὶς, εἰς τὴν οἰκείαν ποίμνην ἀφίκετο· καὶ πάντα λίθον, τὸ τοῦ λόγου, ἐκίνει ὑφ' ἑαυτὸν τὸ στασιάζον ποιῆσαι. Ὃ δὴ καὶ κατὰ μικρὸν ἴσχυσε διαπράξασθαι, ἐκμειλιξάμενος Θεόφιλον τὸν τῆς Ἀλεξάνδρου ἐπίσκοπον, δι' οὗ καὶ Δάμασον τὸν τῆς Ῥώμης ἐπίσκοπον ἀρίστως κατήλλαξε. Καὶ ἄμφω γὰρ ἐς πλεῖστον κατὰ Φλαβιανοῦ ἐχαλέπαινον· οὐ D μόνον ὅτι ἐν δευτέρῳ τοὺς ὅρκους ἐποίει, ἀλλ' ὅτι καὶ αἰτίαν οὐκ ἐλαχίστην παρεῖχε τοὺς τὸ ἴσον δόγμα πρεσβεύοντας ἐπὶ τόσον διείργεσθαι. Βραδύνοντι δὲ τὴν ἐς Ῥώμην ἄφιξιν τῷ Φλαβιανῷ, ὁ θεσπέσιος Δάμασος, καὶ ὁ μετ' ἐκεῖνον Σιρίκιος, καὶ Ἀναστάσιος ὃς Σιρίκιον διεδέξατο, τοῦ εὐσεβοῦς βασιλέως γράμμασι σφοδρότερον ἥπτοντο· τοὺς μὲν σφετέρους λέγοντες θᾶττον καταλύειν πολέμους, τοὺς δὲ κατὰ Χριστοῦ θρασυνομένους, καὶ τῶν ἐκείνου θείων θεσμῶν ἀλογίστως ἔχοντας, οὕτως ἐπὶ τῆς τυραννίδος ἐᾷν. Ὅθεν καὶ πάλιν ἐκεῖνον μετακαλούμενος, τὴν ἐπὶ Ῥώμην στέλλεσθαι κατηνάγκαζε· καὶ δῆτα ἐλθὼν, τῇ σοφωτάτῃ παῤῥησίᾳ χρησάμενος ἀνεφθέγξατο· « Εἰ μὲν, ὦ βασιλεῦ, τῆς

præesset, electus fuerat, tanquam illo ad id munus obeundum magis idoneus, Constantinopolim inde venit, et sectæ suæ præiit. Interea Paulino quoque Antiochiæ defuncto, qui auctoritatem ejus et auspicia secuti erant, suos sibi conventus, Flavianum aversantes, egere, veluti qui jusjurandum Meletio præstitum minus decenter et illegitime violasset: cum quidem illi de dogmate nihil ab eo dissiderent. Evagrium autem quemdam postea Paulino subrogarunt. Cumque is ad breve tempus supervixisset, alius in locum ejus, Flaviano renitente, substitutus non est. Qui igitur a Flaviani communione abhorrebant, seorsim, siculi dictum est, conventus ecclesiasticos celebrarunt. **268** Paulinus quidem, ubi Meletius decessit, universam Ecclesiæ administrationem suscipere voluit. Verum ei sacerdotum restitit cœtus. Minus enim convenire dicebant, ut is, post Meletii mortem, locum illius sortiri deberet, qui consilia ejus repudiasset: sed ut ille potius ovium pastor fieret, qui labore multo ovile ejus conservasset. Quæ sane res, uti dictum est, simultatem diuturnam inter Occidentales et Orientales excitavit. Et Occidentales neque post Paulini obitum animorum suorum adversus Flavianum acerbitatem deposuerunt, post Evagrii etiam mortem illi succensentes, idque Evagrio contra ecclesiasticas sanctiones omnes antistite designato. Solus namque Paulinus episcopum eum destinaverat, canonibus multis proculcatis. Non enim illi morituro alium in locum suum subrogare episcopum permittunt, sed episcopos provinciæ omnes ad electionem scilicet coire jubent: quin etiam sine tribus episcopis episcopi ordinationem fieri non debere statuunt. Hæc cum intelligere nollent, Evagrium illi quidem susceperunt, Flavianum vero prorsus repudiarunt, usque adeo ut ejus causa imperatoris etiam obtunderent aures. Qui cum molestia hac de re sæpius conventus, cum Flavianum Constantinopolim evocavit, tum Romam etiam adire coegit. Atque ille hiemis incommoditatem prætexens, vere illucescente, imperata se executurum esse pollicitus est. Ac tum quidem dimissus, ad gregem suum Flavianus rediit, nihilque non tentavit, ut eos qui per seditionem secesserant, sibi conjungeret. Quod etiam paulatim demum effecit, conciliato sibi postea Alexandrino episcopo Theophilo, per quem optime quoque Damasi Romani antistitis favorem est consecutus. Ambo enim isti Flaviano plurimum infensi fuerant, quod non modo jurisjurandi sacramentum violasset, verum etiam plurimum causæ præbuisset, ut homines, idem dogma profitentes, tantopere per secessionem inter se dissiderent. Ubi vero Romam adire Flavianus distulit, divus Damasus, et post hunc Siricius, atque hujus postea successor Anastasius, litteris suis pietatem imperatoris perstrinxerunt: illud ei objicientes, quod bella ille quidem sua primo quoque tempore conficeret, **269** eos au-

tem qui insolenter se in Christum gererent, illiusque sacras constitutiones præter rationem omnem contemnerent, tyrannidem suam exercere pateretur. Itaque illi imperator denuo accito Romanæ profectionis suscipiendæ necessitatem imposuit. Et ille postquam Constantinopolim venit, sapientissime libertate dicendi apud imperatorem usus : « Siquidem, o imperator, inquit, aliqui religionem meam, tanquam minus rectam, aut vitam etiam, veluti episcopali muneri non convenientem, arguunt et reprehendunt, accusatores ipsos judices accipio, in sententia quam illi laturi sunt, vel invitus acquieturus : sin de throno et cathedra lis est, nihil opus judicio est : statim namque cuivis cedam, et me a præsidendi honore longissime sejungam. Tu vero, o imperator, cui placitum est, Antiochenam sedem committe. » Tantam viri ejus dicendi libertatem et constantiam Theodosius admiratus, in patriam eum suam redire, et quem sortitus fuerat gregem rite pascere jussit. At ubi, satis longo intercedente tempore, Romam rursus imperator venit, eisdem reprehensionis et accusationis aculeis ab episcopis est expetitus, perinde atque Flaviani tyrannidem comprimere supersederit. Ibi tum, quodnam tyrannidis genus id esset, ut in medium proferrent, Theodosius eos est hortatus : seipsum Flavianum, et veluti syndicum atque patronum ejus designatum esse, subjiciens. Atque ubi illi cum imperatore jure non contendendum esse dicerent, suasor illis fuit, ut ecclesias postea per concordiam conjungerent, contentionem tollerent, et inutile dissidendi atque jurgandi studium exstinguerent. « Paulinus siquidem, inquit, jamdudum vivere desiit. Evagrii autem ordinatio non secundum ecclesiæ constitutiones processit. Insuper vero Ecclesiæ Orientales omnes valde ex Flaviani episcopatu pendent. Ad hæc neque Asianæ, neque Ponticæ, neque adeo Thraciæ ecclesiæ, se ab illius communione abstinent. Illyricum denique omne illum Orientalium ecclesiarum primariam curam obtinere novit. » Talibus imperatoris dictis episcopi Occidentales ad lenitatem adducti, contentionem se soluturos, simultatem depositUros, et legatos, si qui inde venirent, suscepturos esse receperunt. **270** Ea re Flavianus cognita, Theophili iram placavit. Qui deinde presbytero suo ad Damasum misso (Isidorus is erat), inimicitias omnes solvit : e re Ecclesiæ esse illi renuntians, ut propter populi concordiam Flaviano delictum, quod juramento violato admiserat, remitteretur. Verum et ipsemet oratores Romam misit, ex episcopis et item presbyteris et diaconis Antiochenis : viros laudatos, quorum princeps erat Acacius, qui ecclesiam Berrhœæ apud Syros gubernabat, et gloriam magnam terra marique consecutus fuerat. Ii inimicitiis, quæ ad decem et septem annos duraverant, sopitis, ecclesiis concordiam conciliarunt. Nam communione cum Occidentalibus re-

A ἐμῆς θρησκείας ὡς οὐκ ὀρθῆς οὔσης τινὲς καταμέμφονται, ἢ τὸν βίον αἰτιῶνται ὡς ἱερᾶσθαι ἀνάξιον, αὐτὸς τοὺς κατηγόρους αἱροῦμαι κριτὰς, καὶ τὴν ἐκεῖθεν φερομένην ψῆφον στέρξω καὶ ἄκων· εἰ δὲ περὶ θρόνου καὶ καθέδρας ἡ διαμάχη, οὔτε δίκης μοι χρεία, καὶ τοῖς βουλομένοις θᾶττον ἐκστήσομαι· καὶ τοῦ προεδρεύειν ὡς πορρωτάτω γενοίμην· καὶ δὴ ᾧ βούλει τὸν τῆς Ἀντιόχου θρόνον πάρεχε, βασιλεῦ. » Τὴν δὴ τοσαύτην μετὰ παῤῥησίας ἐλευθερίαν τοῦ ἀνδρὸς ὁ βασιλεὺς ἀγασθεὶς, αὖθις τὴν ἐνεγκαμένην καταλαβεῖν ἐπέτρεπε, καὶ τὴν λαχοῦσαν ποίμνην ποιμαίνειν ὡς χρεὼν παρηγγύα. Ἐπεὶ δ' ἱκανοῦ χρόνου παραῤῥυέντος ὁ βασιλεὺς αὖθις ἐς Ῥώμην ἀφίκετο, τοῖς ἴσοις κέντροις τῶν κατηγορημάτων παρὰ τῶν ἐπισκόπων ἐπλήττετο, ἅτε δὴ μὴ τὴν B τυραννίδα Φλαβιανοῦ καταλύειν αἱρούμενος. Ὁ δὲ ἀλλὰ τί ἂν εἴη τὸ τῆς τυραννίδος εἶδος ἐπὶ μέσης λέγειν προὐτρέπετο· αὐτὸν γὰρ εἶναι Φλαβιανὸν ὑπετίθει, καὶ ὡς σύνδικον προβεβλῆσθαι. Ὡς δ' ἐκεῖνοι βασιλεῖ δικάζεσθαι μὴ δεῖν ἔλεγον εἶναι, τοῦ λοιποῦ ἐκείνοις παρῄνει ὁμονοίᾳ συνάπτειν τὰς ἐκκλησίας, καὶ λύειν τὴν ἔριν, καὶ τὴν ἀνόνητον σβέσαι φιλονεικίαν. « Παυλῖνός τε γὰρ, φησὶν, ἐκ πολλοῦ ἀπεβίω· ἡ δ' Εὐαγρίου χειροτονία οὐ κατὰ θεσμοὺς Ἐκκλησίας προὔβη. Ἄλλως τε καὶ αἱ τῆς ἕω ἅπασαι ἐκκλησίαι σφόδρα τοῦ Φλαβιανὸν προεδρεύειν ἐξέχονται. Ἐπὶ δὴ ταύταις καὶ αἱ Ἀσιάτιδες, καὶ αἱ ἀνὰ τὸν Πόντον· ἀλλ' οὐδ' αἱ κατὰ Θρᾴκην διοικούμεναι τῆς ἐκείνου κοινωνίας ἀφίστανται· ναὶ μὴν C καὶ τὸ Ἰλλυρικὸν ἅπαν ἐκεῖνον οἶδε τῶν κατὰ τὴν ἕω ἐκκλησιῶν τὴν ἱερωσύνην κεκληρωμένον. » Τοῖς βασιλικοῖς τοίνυν τούτοις λόγοις μαλακισθέντες οἱ τῆς ἑσπέρας ἐπίσκοποι, καταλύσειν τὴν ἔριν συνέθεντο, καὶ τὴν δυσμένειαν ἀποθέσθαι, καὶ τοὺς ἐκεῖθεν ἥκοντας πρέσβεις εἰσδέξασθαι. Ταῦτα δὲ μαθὼν ὁ Φλαβιανὸς, θεραπεύει τὴν ὀργὴν Θεοφίλου. Ὁ δὲ, τὸν οἰκεῖον πρὸς Δάμασον πέμψας πρεσβύτερον (Ἰσίδωρος ἦν αὐτῷ ὄνομα), διαλύει τὸ ἔχθος· λυσιτελεῖν εἰπὼν δι' ὁμόνοιαν τοῦ λαοῦ ἐν δευτέρῳ θέσθαι τὸ πλημμεληθὲν διὰ τὸν ὅρκον Φλαβιανῷ. Ἀλλὰ καὶ αὐτὸς πρέσβεις ἐς Ῥώμην ἔπεμπεν, ἄνδρας ἀξιεπαίνους τῶν τε ἐπισκόπων καὶ πρεσβυτέρων καὶ διακόνων τῆς Ἀντιόχου· ὧν ἐπίσημος Ἀκάκιος ἦν, ὁ τὴν παρὰ Σύροις Βέῤῥοιαν διιθύνων, D ἀνὴρ μέγα κλέος ἔν τε γῇ καὶ θαλάσσῃ κτησάμενος· οἱ τὴν μακρὰν δυσμένειαν καταλύσαντες, δι' ἑπτακαίδεκα ἐτῶν τὴν ὁμόνοιαν ταῖς ἐκκλησίαις ἐβράβευσαν. Τῆς γὰρ κοινωνίας ἐκεῖθεν δοθείσης, καὶ ὁ ἐν Ἀντιοχείᾳ λαὸς κατὰ βραχὺ τὴν εἰρήνην ἠσπάσαντο. Ἐπίσης δὲ τοῦτο γνόντες καὶ οἱ κατ' Αἴγυπτον ἱερεῖς, τὴν ἐκ μακροῦ σβέσαντες ἔριν, τῆς ὁμοφροσύνης ἐγένοντο. Τηνικαῦτα δὲ τῆς μὲν Ῥωμαίων Ἐκκλησίας Ἰννοκέντιος ἡγεῖτο, διαδεξάμενος Ἀναστάσιον· τῆς δὲ Ἀλεξάνδρου Θεόφιλος, ἀνὴρ πυκνὸς τὰς φρένας καὶ ἀνδρεῖος τὸ φρόνημα· ὃς τὸν Τιμόθεον, Τιμόθεος δὲ τὸν ἀδελφὸν Πέτρον, ὃς τὸν πολὺν Ἀθανάσιον διεδέχετο. Τὸν δὲ Ἱεροσολύμων μετὰ Κύριλλον Ἰωάννης, εἶτα Νέ..ως ἐκληροῦτο τὸν θρόνον. Τὴν μὲν οὖν τῶν ἐκκλησιῶν εἰρή-

νην τοῦτον τὸν τρόπον ὁ θεοφιλὴς βασιλεὺς ἐπρυτάνευσεν· οἱ δὲ Ἀρειανοὶ, παντάπασι τὴν Ἀντιόχου λιπόντες, ἔξω τὰς συναγωγὰς ἐποιοῦντο. Καὶ τὰ μὲν κατὰ Ἀντιόχειαν ὧδε ἔσχε.

A dintegrata, Antiochena quoque plebs pacem paulatim est complexa. Itidem vero, ea recognita, Ægyptii episcopi, longi temporis contentione exstincta, ad concordiam se adjunxerunt. Romanæ tum Ecclesiæ præfuit Innocentius, Anastasii successor: Alexandrinæ Theophilus, vir cordatus et virilem obtinens mentem. Successit is Timotheo, Timotheus fratri Petro, quem magnus præcessit Athanasius. Hierosolymis vero post Cyrillum Joannes, et post hunc Nepos episcopalem sedem est sortitus. Ad hunc modum Deo charus imperator ecclesiis pacem restituit. Ariani autem, Antiochia omnino relicta, extra urbis mœnia conventus suos habuere. Res Antiochenæ sic se habuere.

ΚΕΦΑΛ. ΚΕ'.

Περὶ τῆς ἐν Ἀλεξανδρείᾳ γενομένης στάσεως διὰ τὴν κατάλυσιν τῶν εἰδωλικῶν νεῶν· καὶ περὶ τῆς εἰς τοῦτο σπουδῆς Θεοφίλου τοῦ Ἀλεξανδρείας ἐπισκόπου.

Κατὰ δὲ τοῦτον τὸν χρόνον καὶ ἀνὰ τὴν Ἀλεξάν- B δρου μεγίστη ἀνεῤῥιπίζετο ταραχὴ, αἰτίαν ἴσχουσα τοιάνδε· ἐπεὶ γὰρ ὁ πιστότατος βασιλεὺς ταῖς ἐκκλησίαις, ὥς γ' ἐνῆν, παρασχόμενος τὴν εἰρήνην, καὶ τῆς Ἑλληνικῆς πλάνης τὴν σπουδὴν μετετίθει, νόμους ἔγραφε θεσπίζοντας τὰ τῶν εἰδώλων τεμένη ὅπου δήποτε τῆς ὑπ' αὐτῶν ἀρχομένης εὑρίσκοιντο, ἐξ αὐτῶν ἀνατρέπεσθαι τῶν κρηπίδων. Ὁ μὲν γὰρ μέγιστος καὶ πᾶσαν εὐφημίαν ἥττονα τῆς ἐκείνου δόξης κληρωσάμενος Κωνσταντῖνος, πρῶτος εὐσεβείᾳ τὴν βασιλείαν κοσμήσας, εὑρών τε πᾶσαν ὡς εἰπεῖν τὴν γῆν περὶ τὰ εἴδωλα μεμηνυῖαν, θύειν μὲν δαίμοσι πάμπαν ἀπεῖργε· τοὺς δ' ἐκείνων βωμοὺς οὐκ ἀνέτρεπε· προσέταττε δὲ κλειομένους, ἀβάτους πᾶσι διατηρεῖσθαι. Ἐπίσης δὲ τούτῳ καὶ οἱ παῖδες C ἔπραττον. Ἀπηνὲς γὰρ ᾤοντο ἄρδην οὕτω ποιεῖν τὴν μετάθεσιν· ἠρέμα δὲ καὶ κατὰ μικρὸν ἐπὶ τὴν ἀληθῆ μεθέλκειν θρησκείαν. Ὁ δὲ Ἰουλιανὸς τὴν ἀσέβειαν αὖθις ἀναζῆν ἐποίει, καὶ ἐπὶ μέγα τῆς ἐξαπάτης ἦρε τὴν φλόγα. Ἀλλ' Ἰοβιανὸς, ἀντιπράττων αὖθις, τὴν περὶ τὰ εἴδωλα θεραπείαν ἀνεῖργεν. Ἐπίσης δὲ αὐτῷ καὶ Οὐαλεντινιανὸς ἔπραττε τὴν τῆς Εὐρώπης ἡγεμονίαν ἰθύνων. Ὁ δ' ἀδελφὸς ἐκείνου Οὐάλης πάσῃ μὲν θρησκείᾳ ἀνῆκε λατρεύειν, ὥς γε ἦν βουλομένη, καὶ θεραπείας τῆς ἀνηκούσης τὰ θρησκευόμενα ἀξιοῦν· μόνοις δὲ τοῖς τὴν ἀμώμητον πίστιν ὁμολογοῦσιν ἐχθρὸς καθίστατο προφανής. Παρὰ πᾶσαν τοίνυν αὐτοῦ τὴν ἀρχὴν σπονδαί τε καὶ θυσίαι τοῖς εἰδώλοις παρὰ τοῖς βουλομένοις ἀνήγοντο· καὶ τὸ ἐπιβώμιον ἀνήπτετο πῦρ· δημο- D θοινίαι τε καὶ βακχεῖαι κατὰ τὴν ἀγορὰν ἐτελοῦντο, καὶ οἱ περὶ Διόνυσον ἀνεχόρευον· καὶ σὺν αἰγίσι διατρέχοντες, κύνας ἔφθειρον διασπῶντες, καὶ πάντα δρῶντε, ὅσα τὴν αἰσχύνην προσμαρτυρεῖ τῷ πρώτως διδάξαντι. Ἃ δὴ πάντα Θεοδόσιος εὑρὼν ὁ πιστότατος βασιλεὺς ἔτι τελούμενα, πρόῤῥιζά τε ἀνέσπασε, καὶ ἀφανείᾳ παντελεῖ παραδέδωκε. Τότε δὲ τῇ Θεοφίλου σπουδῇ πρόσταγμα κατεπέμπετο τοὺς ἐν Ἀλεξανδρείᾳ τῶν εἰδώλων νεὼς καταστρέφεσθαι, αὐτῷ γ' ἐκείνῳ τὴν περὶ τούτων φροντίδα ἀνατιθέν. Ἐξουσίαν τοίνυν εἰληφὼς ὁ Θεόφιλος, πάντα λίθον ἐκίνει ἐξεπίτηδες τὰ τῶν Ἑλλήνων καθυβρίσαι μυστήρια. Καὶ τὸ μὲν Μίθριον ἀνέτρεπε, κατέστρεφε δὲ τὸ Σαράπιον. Τοῦ μὲν οὖν τὰ φονικὰ ἔργα

CAPUT XXV.

De seditione Alexandriæ propter demolitionem templorum idolorum orta: et de singulari ea in re Theophili episcopi Alexandrini studio et opera.

Eodem porro tempore maxima etiam Alexandriæ excitata est turba, talem ob causam: Postquam fidelissimus imperator ecclesiis, quantum potuit, pacem præstitit, adversus Græcos errores omne conferens studium, constitutiones tulit: quibus sanxit, ut simulacrorum delubra, ubicunque locorum in imperio suo invenirentur, ex ipsis fundamentis everterentur. Nam maximus ille Constantinus, qui ingentem quidem, minorem tamen virtute et gloria sua, consecutus est laudem, **271** et primus vera pietate imperium exornavit, cum omnem (prope dixerim) terrarum orbem in idolorum cultu insanientem invenisset, sacrificare quidem dæmonibus prorsus prohibuit, aras autem eorum non sustulit, mandato illo promulgato, ut deorum templa clausa, quo a nemine adiri possent, servarentur. Idem filii ejus fecere. Crudelitatis enim esse putarunt, repente prorsus tantam instituere mutationem, satius esse existimantes, quietis consiliis paulatim homines ad veram pertrahere religionem. Julianus autem, ut impietas revivisceret, fecit, errorisque et seductionis flammam plurimum auxit. Post hunc Jovinianus actiones illius abrogans, idolorum cultum suppressit. Idem a Valentiniano, qui Europæ imperium habuit, factum. Hujus vero frater Valens, religionem quidem omnem ut statis cæremoniis coleretur, admisit, in eos autem solos qui fidem irreprehensibilem profitentur, aperte hostili fuit animo. Quapropter in imperio ejus toto libationes et sacrificia simulacris, ab eis quibus hoc placitum erat, offerebantur, ignis in altaribus accendebatur, epulationes publicæ, et numine afflatorum discursationes, in foro peragebantur, et sacerdotes Bacchi choreas ducebant, et cum scutis discurrentes canes concerpendo necabant: nihil denique earum rerum reliqui faciebant, quæ primo earum inventori probrum et fœditatem attestantur. Quæ sane omnia adhuc celebrari solita cum religiosissimus imperator comperisset, radicitus sustulit, modisque omnibus abolevit. Tum vero Theophili opera jussio promulgata est, ut Alexandriæ idolorum templa everterentur, procurationem talem ipsi illi injungens. Itaque is, potestate ea accepta,

consulto omnem movit lapidem, ut Græcorum mysteria cum contumelia traducerentur. Evertit igitur Mithrium, evertit etiam Serapidis templum: atque in illo quidem veluti in solemni pompa, cædes patratas: in hoc autem, spectatoribus Serapidis sacra ridenda proposuit (1). Phalli namque et Ithyphalli, turpiter nudati atque producti, Theophili jussu, per forum trahebantur. At qui Alexandriæ erant Græci, et in primis qui philosophiæ operam dabant, re inopinata consternati,
272 cum dolorem conceptum ferre non possent, manu coacta, per impetum et impressionem intolerabilem, non minus atque antea fecerant, ingentem edidere stragem. Subito namque tumultu Christianos invadentes, plurimam fecere cædem: neque paucos etiam vulneravere, ac deinde recessere. Repugnabant quidem illis Christiani, sed eos cædibus patrandis Græci longe superarunt: neque prius a conflictu eo destitere, quam animos suos hostium sanguine profuso exsatiarunt. Cæterum Græcos ex ea re metus invasit, ab imperatoris vindicta sibi timentes. Quapropter eo quod illis visum fuerat peracto, furoreque cædium cruore exstincto, pro se quisque in eum quem sors offerebat locum se ubi lateret, abdebat. Aliqui etiam timore vehementiore correpti, patriam relinquentes, in urbes alias commigrarunt. In quibus duo erant, qui ab ineunte ætate maxime in litterarum doctrina fuerant educati, Helladius et Ammonius (2); ille quidem Jovis, hic autem Simiæ sacerdos. Malum id ubi conquievit, in templorum demolitione, Theophilo plurimum dehinc operæ navarunt, militarium in Ægypto ordinum dux Romanus, et Alexandrinæ urbis præfectus Evagrius. Nam Græci quidam Serapidis ædem illam pulchritudine et amplitudine celeberrimam, tum autem ornamentis suis dispoliatam atque fœdé deformatam, in tumulo quodam sitam, occupaverant: atque inde non secus atque ex aliqua arce de improviso prorumpentes, multos ex nostris comprehensos, tormentis excruciabant, et dæmonibus sacrificare cogebant. Si qui vero id vehementius detrectarent, eos in crucem agebant. Quorumdam etiam crura frangebant et alios aliter enecabant. Porro cum aliquandiu dimicatio ejusmodi durasset, magistratus quos diximus, homines eos adeuntes, ut aliquando tandem conflictationem eam posthaberent, et templum Serapidis relinquerent, sunt hortati. Quod ubi illi non fecere, res ea ad imperatorem est relata. Ut autem in cœpto illi suo obstinatiores essent, conscientia tam temerariæ audaciæ, qua tantopere in re mala usi fuerant, faciebat. Erat præterea apud eos sophista quidam Olympius, qui auctor illis fuit, ut

A ἐπόμπευεν· ἐν πολλῷ δὲ καταγέλωτι τοῖς θεωμένοις ἦσαν καὶ τὰ Σεράπιδος· οἵ τε γὰρ φαλλοὶ καὶ ἰθύφαλλοι, Θεοφίλου κελεύοντος, διὰ τῆς ἀγορᾶς εἵλκοντο αἰσχρῶς ἀνακαλυπτόμενοι. Οἱ τοίνυν κατὰ τὴν Ἀλεξάνδρου Ἕλληνες, καὶ μᾶλλον ὅσοι φιλοσοφίᾳ προσεῖχον, τῷ ἀδοκήτῳ καταπλαγέντες, καὶ τὴν λύπην ἐνεγκεῖν μὴ δυνάμενοι, ἀθρόον ὁρμῇ ἀσχέτῳ χρησάμενοι, οὐχ ἧττον ἢ πρότερον μείζονα ἐδραματούργουν κακά. Τῶν γὰρ Χριστιανῶν καταδραμόντες ἐξάπινα, πλεῖστον φόνον εἰργάσαντο. Οὐκ ὀλίγους δὲ καὶ τραυματίας πεποιηκότες, ἔπειτ' ἀνεχώρουν ἐκεῖθεν. Ἠμύνοντο μὲν οὖν καὶ Χριστιανοί· ἀλλ' ὑπερτεροῦντες ἦσαν τοῖς φόνοις οἱ Ἕλληνες· καὶ οὐ πρότερον πολεμοῦντες ἀπέσχοντο, ἕως οὗ εἰς κόρον τοῦ κτείνειν ἐγίγνοντο. Φόβος ἐντεῦθεν εἰσέῤῥει τοὺς
B Ἑλληνίζοντας, τὴν ἐκ τοῦ βασιλέως ἐπεξέλευσιν δεδιότας. Καὶ δὴ ὃ ἐδόκει τούτοις καταπραξάμενοι, καὶ τὸν θυμὸν τοῖς ἐκ τῶν φόνων αἵμασι σβέσαντες, ὅπη ἔτυχεν ἕκαστος κατεκρύπτοντο. Ἄλλοι δὲ τῷ πολλῷ τοῦ δέους καὶ τὴν πατρίδα λιπόντες, εἰς ἑτέρας πόλεις μετέβαινον. Ἐξ ὧν καὶ δύο ἦσαν, λόγοις μάλιστα συντραφέντες, Ἑλλάδιος καὶ Ἀμμώνιος. Ὁ μὲν οὖν τοῦ Διός, Ἀμμώνιος δὲ τοῦ Πιθήκου ἱερεὺς ἐτύγχανεν ὤν. Λωφήσαντος δὲ τοῦ κακοῦ, τῇ τῶν νεῶν καταλύσει οὐκ ἐλάχιστα συνήραντο Θεοφίλῳ ὅτε τῆς Αἰγύπτου τῶν στρατιωτικῶν ταγμάτων ἐξηγούμενος Ῥωμανὸς, καὶ Εὐάγριος ὁ τὴν ὕπαρχον ἐν Ἀλεξανδρείᾳ χειρίζων ἀρχήν. Τὸ γὰρ Σαράπιον ἐκεῖνο καταλαβόντες τῶν Ἑλλήνων τινές· νεὼς
C δὲ οὗτος κάλλει καὶ μεγέθει διαφανέστατος ἐπὶ γεωλόφου τινὸς ὑπερκείμενος· κἀκεῖθεν δ' ὥς ἔκ τινος ὁρμητηρίου ἐξαπιναίως ἰόντες, πολλούς τε τῶν ἡμετέρων συσχόντες, βασάνοις ᾔκαζον καὶ θύειν ἠνάγκαζον. Σφοδρῶς δὲ παραιτουμένους, τοὺς μὲν ἀνεσκολόπιζον· ἦσαν δὲ, ὧν καὶ τὰ σκέλη συνέθλων· καὶ ἄλλους ἄλλως ἀνῄρουν. Καιρῷ δὲ πολλῷ τῆς μάχης κρατούσης, οἱ ἄρχοντες παρ' αὐτοὺς ἰόντες, ὀψέ ποτε τῆς μάχης λήγειν παρῄνουν, καὶ τὸ Σαράπιον ἀναχωροῦντας ἐᾷν. Ἐπεὶ δ' οὐδαμῶς ἐπείθοντο, ἐγνώριζον βασιλεῖ τὰ πραττόμενα. Φιλονεικοτέρους δ' ἐκείνους μᾶλλον ἐποίει τὸ συνειδέναι τόλμῃ ἐπὶ κακοῖς χρήσασθαι. Ἄλλως τε καί τις Ὀλύμπιος σοφιστὴς παρὼν αὐτοῖς, ἔπειθε μὴ τῶν πατρίων ἐθῶν ἀμελεῖν, ἀλλ' ἄχρι δὴ καὶ θανάτου
D ἐγκαρτερεῖν τοῖς δεινοῖς. Τῶν δὲ ξοάνων ἀφανιζομένων, ὁρῶν ἀθυμοῦντας, καθίστατο σύμβουλος μὴ οὕτω τὴν θρησκείαν ἐᾷν· ἔλεγε γὰρ « ὕλην εἶναι φθαρτὴν καὶ ἰνδάλματα τὰ ἀγάλματα, καὶ τούτου χάριν εἰς ἀφανισμὸν ἄγεσθαι. Τὰς δ' ἐν ἐκείνοις οἰκουρούσας δυνάμεις, ἐκείνων λυομένων, εἰς οὐρανοὺς ἀναπτῆναι. » Τοιαῦτ' ἐκεῖνος λέγων, τὴν τῶν Ἑλλήνων πληθὺν κατέχων, τῷ Σαραπίῳ προσέμενεν. Ὁ δὲ βασιλεὺς διαγνοὺς τὰ γενόμενα, τοὺς μὲν ἀναιρεθέντας Χριστιανῶν μαρτυρικῆς ἠξίου τιμῆς,

(1) Sozomenus Theophilum quoque scribit, Dionysii templum, sibi ab imperatore donatum, in formam sacræ ædis redegisse, et istic quoque in adytis obscena Phallorum et Ithyphallorum simulacra, et monumenta alia spurca reperisse, lib. VII, cap. 15.

(2) Grammaticos hos fuisse, præceptoribusque se eis Constantinopoli juvenem usum esse, dicit Socrates, lib. V, cap. 16.

ὑπὲρ τῆς ὑγιοῦς προκινδυνεύσαντας πίστεως·
ἃ τὸν φόνον ἐργασαμένους συγγνώμης ἠξίου
ι· ἵν' ἐντεῦθεν τὸ ὑπερβάλλον τῆς εὐεργεσίας
λαγέντες, ἴσως Χριστιανίζειν ἕλοιντο. Τοὺς
ς καὶ ἔτι καταλυθῆναι ὡς αἰτίους στάσεως τῷ
γεγενημένους προσέταττε γράμμασι. Τῶν δὲ
τούτου βασιλικῶν γραμμάτων ἐς κοινὸν ἀνα-
θέντων, μέγα ἀναβοῆσαι Χριστιανοὺς, ὅτιπερ
τίαις εὐθὺς τοὺς Ἑλληνίζοντας ἐποιεῖτο·
ους δὲ δειληφθέντας, λιπεῖν τὸ Σαράπιον, καὶ
ιν ἑλέσθαι· καὶ οὕτω τοὺς Χριστιανοὺς αὐτὸ
χεῖν. Ὀλύμπιον δὲ τοῦτον εἶχε λόγος ἐν τῷ
τῆς νυκτὸς τῆς πρὸ ταύτης ἡμέρας καθ' ἣν
συνέβη, ἀκοῦσαί τινος ἔνδον τοῦ Σαραπίου ψάλ-
; Ἀλληλούϊα. Ἐπεὶ δὲ τῶν θυρῶν οὐσῶν ἐν τῷ
ισί, ἡσυχίας τε πολλῆς οὔσης, τῆς ἴσης φωνῆς
χε, καὶ αὖθις, οὐδένα δ' ἑώρα, συνῆκε δὴ τὸ
νον· καὶ κρύφα ἐξιὼν, πλοίου τε εὐτυχήσας,
ταλίαν κατέπλευσεν. Ἐντεῦθεν τὰ μὲν ἱερὰ
ῆ κατεστρέφετο· τὰ δ' ἀγάλματα καὶ ἰνδάλματα
ῶν ἐδίδοντο μὲν τῷ πυρὶ, καὶ εἰς λέβητας καὶ
χρείας τῇ Ἐκκλησίᾳ Ἀλεξανδρέων μετ-
ίζετο· δαπάνην δὲ τοῖς πτωχοῖς τοὺς πολυτε-
τέθει θεοὺς, χαριζόμενος βασιλεύς. Τὰ τοίνυν
τῶν ἀγαλμάτων εἰς κόνιν λεπτύνας Θεόφιλος,
ον ἀχώνευτον κατελίμπανεν· ὃ καὶ δημοσίᾳ
ήσας, ἔλεγε, τοῦτο δεῖν φυλάττειν, ἵνα μὴ τῷ
προήκοντι εἰς ἄρνησιν οἱ Ἕλληνες ἔλθωσι,
οις θεοῖς τὸ σέβας νείμαντες. Ἐφ' ᾧ δὴ πλεῖ-
νιᾶτο ὁ προῤῥηθεὶς Ἀμμώνιος ὁ τοῦ Πιθή-
ρεὺς· δεινὸν εἶναι λέγων τῇ τῶν Ἑλλήνων
εἴη, ἐπὶ καταγέλωτι καὶ τὸν ἕνα θεὸν τὸ
τήριον ἀποδράσαι· εἴθε δὲ κἀκεῖνος τῇ
ι ἐδίδοτο. Ὁ δ' Ἑλλάδιος διισχυρίζετο,
νέα εἴη ἄνδρας ἐν τῇ συμπληγάδι φονεύ-

A τὸν αὐτοῦ διδάσκαλον Ἀέτιον ἐκβληθέντα οὐ προσεδέχοντο, ἐν τοῖς κατὰ τὴν Κωνσταντινούπολιν προαστείοις διατρίβων καὶ ἐν οἰκίαις, καθ' ἑαυτὸν ἐκκλησίαζε, καὶ οὓς κατὰ τῆς εὐσεβείας ἔγραφε λόγους, ἀδεῶς ἐπεδείκνυτο. Καὶ πολλοὺς εἷλκε τοῖς ἐξαπάταις τῶν λόγων εἰς τὸν ἴσον τῆς ἀπωλείας βόθυνον, ὡς ἐν βραχεῖ πολύ τι πλῆθος πρὸς ἑαυτὸν ἐπισπάσασθαι, καὶ ἐπὶ τόσον, ὥς καί τινας τῶν ἐπὶ τοῦ κοιτῶνος τοῦ βασιλέως πρὸς ἑαυτὸν ἐφελκύσαι. Ὁ διαγνοὺς Θεοδόσιος, ἐκτόπως ἐκεῖνον στέργοντας, τούτους μὲν τῶν ἀνακτόρων ἐξήλαυνε· τοὺς δ' Εὐνόμιον ἁρπασομένους ἐκ τῆς Χαλκηδόνος τὴν ταχίστην ἐξέπεμπε· καὶ πρὸς τὴν Ἁλμυρίδα φυγαδεύειν ἐνεκελεύετο. Ἡ δ' Ἁλμυρὶς χωρίον τῆς ἐν Εὐρώπῃ Μυσίας ἐστὶ, παρὰ τὸν Ἴστρον κείμενον· ὃ δὴ οὐκ εἰς B μακρὰν ἑάλω ὑπὸ τῶν ἐκεῖσε διαβάντων βαρβάρων, τοῦ Ἴστρου τῷ κρυστάλλῳ ἠπειρωθέντος. Εὐνόμιος δ' ἐκεῖθεν εἰς Καισάρειαν τῆς Καππαδοκίας ὑπερορίζεται· μεμίσητο δ' ὑπερφυῶς τοῖς ἐκεῖσε, ὅτι λόγους μετὰ Βασιλείου τοῦ ταύτης ἐπισκόπου συνέταξεν. Ἔπειτα εἰς τοὺς οἰκείους διάγειν ἀφείθη ἀγρούς· Δακορηνοὶ δὲ τὸ ὄνομα τοῖς ἀγροῖς· κώμη δὲ αὕτη Καππαδοκῶν· ἦν δ' ὀνομαζομένη Δακόρα ἀπὸ νομοῦ τῆς πρὸς τῷ Ἀργαίῳ Καισαρείας. Οὐ μετὰ πολὺ δὲ τῆς ἐπανόδου θανὼν, ἔτυχε τῆς ἐν τῇ πατρίδι ταφῆς. Τοῦτον δὴ τὸν Εὐνόμιον πλεῖστον ἐκθειάζει ὁ ἐκκλησιαστικὸς Φιλοστόργιος· τήν τε γὰρ σύνεσιν καὶ τὴν ἀρετὴν, ἀπαράμιλλον εἶναι σαφῶς φληναφεῖ· τό τε τοῦ προσώπου σχῆμα καὶ τὰ μέρη εἰς τὸ εὐπρεπέστατον C ἐξωραΐζει· καὶ τοὺς ἐκ στόματος ῥέοντας λόγους μαργαρίσιν ἐοικέναι λέγει· κἂν προϊὼν τραυλὸν αὐτὸν εἶναι ὁμολογῇ· ἣν δὴ καὶ ἀποσεμνύνει εἰς πολλὴν γλαφυρότητα. Ἀλλὰ μὴν καὶ τοὺς ἀλφοὺς οἳ τὸ πρόσωπον αὐτοῦ κατέστιζον, κόσμον καὶ αὐτοὺς ἐμποιεῖν τῷ προσώπῳ αὐτοῦ διατείνεται. Πάντα, δὲ τοὺς ἄλλους λόγους ὑπερθειάζων αὐτοῦ, ἐπὶ μᾶλλον τῶν ἄλλων διαφέρειν φησὶ τὰς ἐκείνου ἐπιστολάς.

CAPUT XXX.

Eunomianorum, Macedonianorum, et Arianorum hæreses, in multas alias hæreses esse divisas: et quibus ex causis quæque earum ab alia sit sejuncta.

Sic quidem diem suum obiit Eunomius. Sectatores autem ejus in diversas discessere sectas. Primus Theophronius quidam genere Cappadox fuit, qui ab eo in contentiosa disputandi ratione edoctus, sectatoribus ejus se conjunxit. Et mediocriter, seu crasse potius, ut rectius quispiam dixerit, in Aristotelis Prædicamentis, et ejusdem *Περὶ ἑρμηνείας*, hoc est, *De interpretatione* seu enun-

ΚΕΦΑΛ. Λ'.

Περὶ τῆς τῶν Εὐνομιανῶν καὶ Μακεδονιανῶν καὶ Ἀρειανῶν εἰς πολλὰ διαιρέσεως· καὶ ἐκ ποίων αἰτιῶν τούτων ἕκαστοι κατὰ σφᾶς αὐτοὺς ἀπ' ἀλλήλων διέστησαν.

D Οὕτω μὲν οὖν ἐτελεύτα Εὐνόμιος· οἱ δὲ ἀπ' αὐτοῦ εἰς διάφορα τμήματα διῃρέθησαν. Καὶ δὴ πρῶτος Θεοφρόνιός τις Καππαδόκης τὸ γένος· ὃς τὰ ἐριστικὰ παρ' αὐτοῦ παιδευθεὶς τοῖς ἐκείνου συνίστατο· μετρίως δὲ, παχυμερῶς δὲ μᾶλλον, εἰπεῖν οἰκειότερον, διὰ τῶν Ἀριστοτέλους ἐλθὼν κατηγοριῶν, καὶ τοῦ *Περὶ ἑρμηνείας* σύνοψιν καὶ ὥσπερ εἰσαγωγήν τινα τοῖς παρ' αὐτοῖς συλλογισμοῖς καταλέλοιπεν·

(1) Hoc loco apud Niceph. et apud Sozom. lib. VII, cap. 17, Chalcedonensis civitas perinde atque ex suburbiis Byzantii unum designatur. Supra cap. 8, col. et apud Sozom. lib. VII, cap. 6.

(2) Ex eodem alveo et super Istropolim lacus gignitur LXIII M. P. ambitu: Halmyrim vocat Plin. lib. IV, cap. 12.

(3) Eunomius Halmyride Cæsaream Cappadocum transfertur. Patria hæc ejus fuit. *Sozom.*

(4) Chalcedone Eunomium privatum vixisse dictum est. Socrates quoque Constantinopoli in ædibus privatis conventus eum egisse scribit, lib. V, cap. 20.

ὃ *Περὶ τῆς τοῦ νοῦ γυμνασίας* ἐπέγραψεν· ἔπειτα προσοχθίσας τοῖς ὑπ' αὐτὸν ὁμοθρήσκοις, ὡς εἰς παράλογον ἐμπεσὼν ἀτοπίαν, ἅτε δὴ μὴ μένειν ἐπ' αὐτῶν τῷ διδασκάλῳ λόγων ἐθέλων, ἐκβέβληται. Πολυπράγμων γὰρ μάλιστα ὤν, ἀπὸ τῶν ἐν ἱεραῖς Γραφαῖς κειμένων ὀνομάτων συνῆγεν, ὡς ὁ Θεὸς τὸ μὴ ὂν προειδώς, γινώσκων δὲ καὶ τὸ ὄν, μεμνημένος δὲ καὶ τοῦ γεγονότος, οὐ πάνυ τι ὡσαύτως ἔχει, ἅτε δὴ μεταβάλλων τὴν γνῶσιν πρός τε τὸ ἐνεστὼς, καὶ τὸ μέλλον καὶ τὸ παρῳχηκός. Διὰ τοίνυν ταῦτα ἀποβληθεὶς, τὴν ἀπ' ἐκείνου παρασυνάγων ἐπώνυμον συνεστήσατο αἵρεσιν. Καὶ ἄλλος δέ τις, Εὐψύχιος ὄνομα, κατὰ τὴν Κωνσταντινούπολιν οὐ πάνυ πόῤῥω, ψυχρῷ τινι ζητήματι τῶν Εὐνομιανῶν χωρισθεὶς, ἰδίας καὶ οὗτος προέστη αἱρέσεως. Τηνικαῦτα γὰρ ζητήσεως οὔσης, εἰ τὴν ἐσχάτην ὥραν ὁ Υἱὸς γινώσκει, ἀντέκειντο μὲν πλεῖστοι τὰ ἐν Εὐαγγελίοις εἰρημένα προφέροντες, μηδὲ τοῦτον εἰδέναι τὴν ὥραν διαγορεύουσιν· Εὐψύχιος δὲ, γράφων διισχυρίζετο, μὴ ἄμοιρον τῆς τοιαύτης γνώσεως καθεστάναι, ἀνενδεῶς ἐκ Πατρὸς πάντα προσειληφότα. Τῶν τοίνυν τῆς αἱρέσεως προϊσταμένων μὴ προσιεμένων τὰ εἰρημένα, ἀπέστη μὲν κοινωνεῖν ἐκείνοις· πρὸς δ' Εὐνόμιον ὑπερόριον ὄντα ἧκε. Παρεγένοντο δ' ἐκεῖσε καὶ ἄλλοι ἐκ τῆς ἐν Κωνσταντινουπόλει Εὐνομιανῶν συμμορίας, ὥστε δικάσασθαι τούτῳ, καὶ εἴγε χρεία καλοίη, διαλεξόμενοι. Ὁ δῆτα γνοὺς ὁ Εὐνόμιος, τὰ μὲν προβαλλόμενα Εὐψυχίῳ ἐπῄνει, καὶ κοινωνίας αὐτῷ μετεδίδου, καίτοι νόμου κωλύοντος, μὴ θεμιτὸν εἶναι τοῖς ἑτέρωθεν ἥκουσι μὴ συνεύχεσθαι γραμμάτων δίχα, ἃ πρὸς τοὺς ὁμοδόξους δηλοῖ, τινῶν σημείων ἀγνώστως τοῖς ἄλλοις ἐγγραφομένων ταῖς ἐπιστολαῖς· εὐθὺς δὲ τοῦ Εὐνομίου τὸ ζῆν ἀποῤῥήξαντος, ἥκιστα προσίετο τὸν Εὐψύχιον ὁ μετ' Εὐνόμιον ἐν Κωνσταντινουπόλει τῆς αἱρέσεως προϊστάμενος. Ἤχθετο γὰρ ζηλότυπος ὤν, ὅτιπερ τἀναντία Εὐψυχίῳ σπουδάζων, μήπω κληρικῷ γεγονότι, ἥκιστα διαλύειν εἶχε τὸ προκείμενον ζήτημα. Κἀντεῦθεν ἀντιπνεύσας οὗτος, πολλῶν ὁμοφρόνων ἐπιῤῥυέντων, ἰδίαν χωρισθεὶς Εὐψύχιος αἵρεσιν προεστήσατο. Τό γε μὴν παραχαράττειν τὴν θείαν βάπτισιν, καὶ μὴ εἰς Τριάδα, ἀλλ' ἅπαξ εἰς τὸν θάνατον Χριστοῦ καταδύειν, οὐκ Εὐνόμιον, ἀλλὰ τοὺς ἀπ' ἐκείνου Θεοφρόνιον καὶ Εὐψύχιον ὁ πολὺς λόγος ἐπαιτιᾶται. Αὗται μὲν αἰτίαι πρὸς συντομωτέραν εἴδησιν εἴρηνται, ἀφ' ὧν οἱ περὶ Εὐνόμιον διῃρέθησαν. Οἱ μὲν οὖν Θεοφρονίῳ ἑπόμενοι Εὐνομιοθεοφρονιανοὶ, οἱ δὲ Εὐψυχίῳ Εὐνομιοευψυχιανοὶ ὠνομάσθησαν. Ἀλλ' ἐπεξέρχεσθαι πάντας τοὺς διὰ ταῦτα κινηθέντας λόγους, μακρὸν ἂν εἴη καὶ οὐδαμῶς ῥᾴδιον, ἐφ' ἕτερα προκειμένης μοι τῆς σπουδῆς. Τότε δὲ καὶ παρὰ Μακεδονιανοῖς πρὸς καιρὸν διχόνοια γέγονεν· ἧς ἦρξεν παρ' αὐτοῖς Εὐτρόπιός τις πρεσβύτερος, ἰδίαν συναγωγὴν ἔχων· πρὸς ὃν Καρτέριος ὁ τῆς θρησκείας προεστὼς ἀντεφέρετο. Ἐν ταυτῷ δὲ καὶ τοῖς ἀνὰ τὴν Κωνσταντινούπολιν Ἀρειανοῖς ζήτησις ἤρετο, « Εἰ πρὶν εἶναι τὸν Υἱὸν (ὡμολόγητο γὰρ παρ'

A *tiatione*, libro versatus, compendium, veluti quamdam introductionem, de eis quibus ipsi utuntur syllogismis et ratiocinationibus editum reliquit, quod *De exercitio mentis* inscripsit. Deinde popularium suorum odio expetitus, quod ad ineptam et insanam prolapsus esset absurditatem, quippe qui in magistri sui doctrina acquiescere nollet, rejectus ab eis est. Quod namque curiosus maxime esset, ex nominibus quæ in sacris Scripturis posita sunt, **284** collegit, quod Deus, id quod non exstat, præsciens, id autem quod exstitit, memoria tenens, non eodem semper modo se habeat : utpote qui cognitionem transferat ad præsentia, ad futura et ad præterita. Atque eam ob rem repudiatus, conventus suos sibi seorsim cogens, sub B nomine suo hæresim instituit. Non multo post alius quidam, Eupsychius (1) nomine, in urbe Constantinopolitana, propter frigidam quamdam quæstionem ab Eunomianis sejunctus, suæ ipse quoque hæresis auctor exstitit. Cum namque quæstio orta esset, an Filius extremam horam norit, et plurimi evangelica dicta proferentes, ne ipsum quidem horam eam scire dicerent; Eupsychius sententia sua in scriptum relata, confirmavit, Filium non expertem ejus cognitionis esse, qui a Patre omnia locupletissime acceperit. Cum autem qui hæresi ei præibant, dicta ejus non admitterent, a communione eorum descivit, et ad Eunomium exsulantem se contulit. Quo etiam alii C ex urbe Constantinopolitana Eunomianæ sectæ venere, ut ibi eum calumniose arguerent, atque etiam, si usus ita ferret, de causa cum eo disputarent. Quod ubi Eunomius cognovit, ea quæ Eupsychius proferret, laudavit et ad communionem eum admisit : cum quidem id constitutio vetaret, quæ nefas esse decernit, peregre advenientes ad communes preces admittere, si litteras secum non afferant, quæ ad ejusdem opinionis populares, per notas ita scriptæ, ut ab aliis legi non possint, dantur. Postquam autem brevi Eunomius e vita migravit, hæresis ejus post Eunomium Constantinopoli præses, Eupsychium minime admisit. Ægre enim is tulit, quod æmulatione quadam ducebatur, se contraria Eupsychio, qui nondum clericus erat, D sentientem, quæstionem propositam solvere non posse. Quapropter adversandi studio ille, cum multi ad eum opinioni suæ suffragantes confluerent, ab Eunomianis segregatus, hæresim suam induxit. Porro quod divinus etiam baptismus ita per adulterinum usum depravatus est, ut non in Trinitatem, sed semel in mortem Christi mersio fiat; non Eunomio sed discipulis ejus Theophronio et Eupsychio, multorum opinione atque sermone ascribitur. Causas hasce breviter exposuimus, ut quisque norit, quamobrem Eunomiani in diversas discesserint partes. **285** At qui Theophronium secuti sunt, Eunomiotheophroniani :

(1) Sozom. Eutychium nominat libro VII, cap. 17.

qui vero Eupsychium, Eunomioeupsychiani (1) cognominati sunt. Disputationes autem et orationes omnes quæ de his quæstionibus habitæ sunt, commemorare, perlongum et prorsus difficile esset, præsertim cum aliud mihi propositum sit institutum. Tum vero apud Macedonianos etiam ad tempus discordia exstitit, cujus auctor fuit Eutropius quidam presbyter, seorsim conventus agens. Ei vero Carterius Macedonianæ sectæ antesignanus restitit. Eodem tempore et ab Arianis Constantinopoli illud in quæstionem vocatum est : « An priusquam Filius fuerit (profitebantur enim eum ex non existentibus exstitisse), Pater tum Pater vocari potuerit. » Et Dorotheus quidem qui Antiochia accitus, ibi pro Marino administrationem sectæ hujusmodi obtinebat, aperte decernebat, « fieri non posse, priusquam Filius subsisteret, ut Pater vocaretur : quod Patris nomen ex eis esset, quæ ad aliquid referrentur. » Marinus vero diversum censuit : et prius etiam Patrem quam Filius fuerit Patrem profitebatur : sive quod ita ex animo sentiret, seu quod Dorotheo adversaretur, ut qui ei hæresi ea gubernanda prælatus fuerit. Et talem ob causam in partes duas multitudo, quæ eos sectabatur, discessit. Et Dorotheus quidem in sacra sua æde permansit. Qui autem Marini partium erant, novis conditis ecclesiis, in eis conveniebant. Qui etiam Psathyriani sive Gotthiani vocati sunt : propterea quod vir quidam ψαθυροπώλης, hoc est, placentarum venditor, quæ ex liborum genere sunt, nomine Theoctistus, opinionem hanc magnopere defendit. A Gotthis autem illis nomen inditum, quod Selinas Gotthorum episcopus tantopere ei sententiæ addictus fuit, ut ad eam gentem Gotthicam omnem adduxerit. Nam obsequentes sibi admodum Barbaros habuit, nimirum qui ad docendum non solum patria eorum, verum etiam Græca lingua appositus fuerit : Ulphilæ illius Gotthorum episcopi, de quo supra quoque diximus, cum res Valentis exponeremus, primum subscriba, deinde etiam successor factus. Nec ita multo post dissidium quoque intercessit ei quem diximus Marino et Agapio, qui factionis ejus ecclesiæ Ephesi episcopus a Marino creatus præfuit. **286** Quorum discessio parum abfuit quin bellum prorsus, Gotthis maxime Agapio faventibus, moverit. Quam ob causam permulti præfectorum suorum concertationem et dissidendi studium reprehendentes, ad catholicam se Ecclesiam contulere, qui etiam nullo discrimine ad communionem sunt admissi. Atque hæc quidem causa exstitit, cur primum Ariani segregati, in factiones abierint. Et ex eo tempore illi, in quibus sunt urbibus, seorsim suos quæque conventus secta agit. Constantinopoli vero, eos triginta et quinque annis dissidentes, tandem ad concordiam vir quidam consularis Plinthas (2), sectæ eorum sectator, eque-

(1) Alii : Eunomioeutychiani.

A αὐτοῖς ἐξ οὐκ ὄντων γεγενῆσθαι) ὁ Πατὴρ Πατὴρ καλεῖσθαι τότε ἠδύνατο. Ἀμέλει καὶ Δωρόθεος μὲν, ὃς ἀντὶ Μαρίνου ἐκ τῆς Ἀντιόχου μετακληθεὶς, τὴν ἡγεμονίαν τῆς τοιαύτης αἱρέσεως διὰ χειρὸς εἶχε, διαῤῥήδην ἀπέφηνε, « Μὴ δυνατὸν εἶναι πρὶν τὸν Υἱὸν ὑποστῆναι, Πατέρα καλεῖσθαι· τῶν γὰρ πρός τι τὸ Πατὴρ ὄνομα. » Ὁ δὲ Μαρῖνος τοὐναντίον μᾶλλον ἐδόξαζε· καὶ πρὶν εἶναι τὸν Υἱὸν, Πατέρα τὸν Πατέρα διωμολόγει· ἢ ὅτι καὶ ταῖς ἀληθείαις οὕτως ἐδόξαζεν, ἢ καθότι καὶ διάφορος Δωροθέῳ ἦν, ἅτε δὴ προκριθέντι τῆς αὐτῶν αἱρέσεως προεστάναι. Ἐκ τοιαύτης δὲ τῆς αἰτίας εἰς ἑκατέραν μοῖραν τὸ παρ' ἐκείνοις πλῆθος διίστατο. Καὶ Δωρόθεος μὲν ἐπὶ τῶν ἰδίων εὐκτηρίων ἐπέμεινεν· οἱ δ' ἀμφὶ Μαρῖνον, ἑτέρας νεουργήσαντες ἐκκλησίας, ταύταις συνήγον-
B το· οἳ καὶ Ψαθυριανοὶ ὄνομα ἐκληρώσαντο, ἤτοι Γοτθιανοί· ὅτιπερ ἀνήρ τις ψαθυροπώλης (πεπάνου δὲ τοῦτο εἶδος), Θεόκτιστος ὄνομα, ὑπερφυῶς τῇ δόξῃ ταύτῃ συνίστατο. Ἐκ Γότθων δὲ, ἐπεὶ καὶ Σελίνας ὁ τούτων ἐπίσκοπος οὕτω διαφερόντως τῆς δόξης ἐξείχετο, ὡς καὶ σύμπαν τὸ Γοτθικὸν πρὸς τὴν ὁμοίαν ἐφελκῦσαι δόξαν. Πειθήνιον γὰρ τὸ βάρβαρον μάλα ἦν τούτῳ, ἅτε δὴ καὶ διδάσκειν ἄριστα ἱκανῷ, οὐ κατὰ τὴν πάτριον μόνον φωνὴν, ἀλλά γε δὴ καὶ κατὰ τὴν Ἕλληνα. Ὃς ὑπογραφεὺς τὰ πρῶτα γενόμενος Οὐλφίλᾳ ἐκείνῳ τῷ πρώτῳ ἐπισκόπῳ τῶν Γότθων, οὗ καὶ ἀνωτέρω μνήμην ἐποιησάμην ἐπὶ Οὐάλεντος, ὕστερον καὶ διάδοχος ἐκείνου καθίστατο. Οὐκ εἰς μακρὰν δὲ διάφοροι καθίσταντο ὅ τε εἰρημέ-
C νος Μαρῖνος καὶ Ἀγάπιος τῆς ἐν Ἐφέσῳ ἐκκλησίας παρ' αὐτοῖς προϊστάμενος. Ἡ δ' ἑκατέρου διάκρισις πόλεμον ἀνεῤῥίπιζεν ἄντικρυς, τῶν Γότθων μάλιστα προσκειμένων τῷ Ἀγαπίῳ· ἐξ ἧς αἰτίας λόγος πολλοὺς καταμεμψαμένους τὴν τῶν προεστώτων διαμάχην τε καὶ φιλονεικίαν τῇ καθόλου προσελθεῖν Ἐκκλησίᾳ, καὶ κοινωνίας ἀδιακρίτως τυχεῖν. Αὕτη μὲν αἰτία καὶ τὸ τοὺς Ἀρειανοὺς τὸ ἐξ ἀρχῆς χωρισθῆναι· ἐξ ἐκείνου τε κατὰ πόλεις ἐν αἷς εἰσιν ἰδίᾳ ἐκκλησιάζουσι. Τοὺς δὲ κατὰ τὴν Κωνσταντίνου διαφερομένους πέντε καὶ τριάκοντα ἔτη ὕστερον ἤγαγεν εἰς ὁμόνοιαν ἀνήρ τις ἐξ ὑπάτων, Πλινθᾶς ὄνομα, ὁμόφρων μὲν αὐτοῖς, ἵππου δὲ καὶ πεζῆς δυνάμεως τὴν ἡγεμονίαν λαχών· ἐπίσημος δ' ἐν τοῖς βασιλείοις μάλιστα ἦν· ὁπηνίκα καὶ συνόδου τοῖς Ἀρεια-
D νοῖς γενομένης, ἐψήφιστο, μὴ ἂν ἄλλοτε τὰς τοιαύτας ζητήσεις, αἳ τὴν διάστασιν ἤγαγον, εἰς μέσον προενεγκεῖν. Ταῦτα μὲν οὖν μικρὸν ἐγένοντο ὕστερον· ἴσως δ' ἂν καὶ ἄλλαι κατὰ πόλεις αἱρέσεις καὶ διαιρέσεις ἐγένοντο. Ἐμοὶ δὲ οὐ θέμις πρὸς λεπτὸν πάντα διεξιέναι, ἀλλὰ τῶν καιρίων μόνον καὶ ἀναγκαίων ἐφάπτεσθαι, καὶ μάλιστα τῶν ἀνὰ τὴν Κωνσταντίνου, ἧς ἐγὼ καὶ θρέμμα καὶ γέννημα, ὡς ἐπισημοτέρων, καὶ μὴ λαθεῖν δυναμένων. Εἰ δέ τῳ σκοπὸς περὶ τῶν τοιούτων μανθάνειν αἱρέσεων, ὅθεν τε καὶ ὅπως ἤρξαντο, καὶ ἐπὶ τίσι προέκοψαν, ἐντυχεῖν προτρέπομεν τοῖς Παναρίοις· βιβλίον δὲ τοῦτο Ἐπιφανίῳ τῷ τῆς Κύπρου ἡγησαμένῳ ἐκδοθὲν ἐκ-

(2) Sozom. addit consularem fuisse.

κλησίας· ἔτι δὲ καὶ Θεοδωρήτῳ τῷ τῆς Κυρεστηνῶν προσεδρεύσαντι, καὶ τῷ θεσπεσίῳ Ἰωάννῃ τῷ ἐκ Δαμασκοῦ· πολλὰ γὰρ καὶ ἄμφω περὶ τούτων διεξίασι.

A stribus simul et pedestribus copiis præfectus, magni in aula imperiali nominis, reduxit. Quo tempore synodo etiam ab Arianis coacta statutum est, ne quando posthac quæstiones, quæ secessionem tantam attulissent, in medium proferrentur. Hæc quidem paulo post facta. Fortasse autem aliæ quoque in urbibus passim sectæ et sectiones Arianorum fuere, quas mihi omnes exacte referre fas non est. Sed satis fuerit nunc, præcipuas et necessarias attigisse, et eas potissimum quæ Constantinopoli, cujus ego alumnus et soboles sum, fuere : quippe quæ præclariores aliis exstitere, et propterea latere non potuerunt. Si quis autem consilium ejuscemodi hæresium cognoscendarum cepit, unde et quomodo initia sua sumpserint, et quibus auctoribus incrementa sua acceperint, eum ut Panaria (1) legat hortor : liber autem is ab Epiphanio, qui ecclesiam Cypri administravit, editus est ; præterea Theodoritum Cyri episcopum, atque insuper admirandum illum Joannem Damascenum : nam et hi ambo permulta de iis disserunt.

ΚΕΦΑΛ. ΚΑ'.

Ὡς καὶ Ναυατιανοὶ πρὸς ἀλλήλους στασιάσαντες διὰ τὴν τοῦ Πάσχα ζήτησιν, ἑτέραν συνεστήσαντο αἵρεσιν τὴν τῶν Σαββατιανῶν λεγομένην.

Κατὰ τοῦτον δὲ τὸν χρόνον καὶ Ναυατιανοὶ πρὸς σφᾶς διενεχθέντες ἀπ' ἀλλήλων τε διεκρίθησαν, καὶ τὴν τῶν καλουμένων Σαββατιανῶν αἵρεσιν συνεστήσαντο. Ἦν γάρ τις παρ' ἐκείνοις πρεσβύτερος Σαββάτιος ὄνομα, πρὸς Μαρκιανοῦ εἰληφὼς τὴν χειροτονίαν· ὃς ἀπὸ Ἰουδαίων ἑλόμενος τὰ Χριστιανῶν, οὐδὲν ἧττον τῇ προλήψει δουλεύειν ἐσπούδαζε· πρὸς δὲ καὶ κρύφα τῆς ἐπισκοπῆς μετεχειρίζετο δράξασθαι· ὃς σύναμα Θεοκτίστῳ καὶ Μακαρίῳ, πρεσβυτέροις καὶ αὐτοῖς οὖσιν, οἳ τοῖς ἐν Πάζου κώμῃ συνελθοῦσιν ἐφείποντο, ὁπηνίκα Οὐάλης ἐπὶ τῶν σκήπτρων ἦν, ἠξίου τὴν ἑορτὴν τοῦ Πάσχα ἅμα C Ἰουδαίοις ἐπιτελεῖν. Καὶ πρῶτα μὲν τῆς τε πολιτείας χάριν (ἀρίστῳ γὰρ βίῳ ἐχρῆτο ἀσκήσεως) τοῦ ἐκείνων συστήματος ἐχωρίζετο· ἔπειτα δὲ καί τινας ἀναξίους οἰόμενος τῆς τῶν θείων μεταλήψεως μυστηρίων, τοῦτο πρόφασιν δῆθεν ποιούμενος, ὑπερετίθει τὴν ἑορτήν. Ὡς δὲ δῆλος ἦν νεώτερα εἰσηγούμενος, Μαρκιανὸς μὲν ἑαυτὸν τῆς ἀτόπου χειροτονίας ἐπὶ Σαββατίῳ ἐμέμφετο, πολλάκις εἰπὼν, « Ἄμεινον ἄρα ἦν ἐπ' ἀκάνθαις, ἢ ἐκείνῳ τὰς χεῖρας ἐπιβαλεῖν. » Ὡς δ' ἑώρα τὴν ὑπ' αὐτῷ ἐκκλησίαν διχῇ διατεμνομένην, καὶ πρὸς ἕτερον μεταῤῥέουσαν, τοὺς τῆς αὐτῷ κοινωνοῦντας αἱρέσεως ἐπισκόπους εὐθὺς εἰς Σάγγαρον μετεστέλλετο· χωρίον δὲ τοῦτο τῆς Βιθυνῶν ἐπαρχίας πρὸς θάλασσαν κείμενον, οὐ πάνυ πόῤῥω διεστηκὸς τῆς Ἑλενοπόλεως· D ὅπου δὴ συνελθόντες μετεκαλοῦντο καὶ τὸν Σαββάτιον. Ὡς δὲ τὸ τῆς λύπης αἴτιον ἀπῃτεῖτο, τὴν τῆς ἑορτῆς εἰσῆγε διαφοράν· δεῖν γὰρ ἔλεγε ταύτην ἐπιτελεῖν ὡς καὶ Ἰουδαῖοι τελοῦσι, καὶ οἱ ἐν Πάζῳ οὐ πρὸ πολλοῦ συνελθόντες ἐτύπωσαν. Οἱ δὲ προεδρίας ἔρωτι τάδε αὐτὸν σκήπτεσθαι ἐν νῷ θέμενοι, ὅρκοις ἐξησφαλίζοντο, ὡς οὐκ ἄν ποτε ἕλοιτο αὐτῷ γενέσθαι ἐπίσκοπος. Τοῦ δὲ ὅρκῳ ὁμολογήσαντος μὴ τὴν προεδρίαν καταδέξασθαι, ταύτην αἰτίαν ἐκεῖνοι μὴ λογισάμενοι ἱκανὴν τὴν Ἐκκλησίαν αὐτῶν

287 CAPUT XXXI.

B *Ut etiam Novatiani, per seditionem propter quæstionem celebrandi Paschatis inter se dissidentes, hæresim Sabbatianorum constituerint.*

Per idem tempus Novatiani quoque inter se dissidentes, per secessionem, Sabbatianorum, quæ vocatur, hæresim constituerunt. Erat enim apud eos presbyter quidam Sabbatius nomine, a Marciano ordinatus : qui quod ex Judæis ad Christianismum pervenisset, nihilominus præsumptæ et anticipatæ Judæorum opinioni inservire studuit, et clam etiam episcopatum affectavit; necnon una cum Theoctisto et Macario et ipsis presbyteris, eis adhærentibus, qui sub Valentis imperio conventum in Pazo vico habuerant, festum diem Paschæ cum Judæis celebravit. Ac primum quidem propter vitæ institutum (quam optimam monasticis exercitiis agebat), a Novatianorum se corpore sejunxit : deinde vero quosdam participatione divinorum mysteriorum indignos reputans, talemque prætextum obtendens, eum quem diximus diem festum in aliud transtulit, de Judæorum sententia scilicet, tempus. Postquam autem manifesto apparuit, res novas eum moliri, Marcianus seipsum propter importunam Sabbatii ordinationem reprehendit : identidem dicere solitus, « Melius se facturum fuisse, si spinis potius quam illi manum imposuisset. » Atque ubi is ecclesiam suam in partes duas divisam, et quosdam ad alium desciscere vidit, episcopos hæresis suæ, qui cum eo communicabant, statim Sangarum convocavit. Est is locus Bithynorum provinciæ, ad mare, non longe ab Helenopoli situs. Eo quoque ab episcopis congregatis Sabbatius evocatus est. Ibi causam mœroris sui dicere jussus, festi diei ejus dissensionem allegavit. Nam eum cum Judæis, sicuti etiam non ita pridem, qui in Pazo Phrygio vico convenerant, statuissent, peragendum esse dixit. Cæterum illi propterea hoc eum præ se ferre considerantes, quod ad episcopatum anhelaret, jurisjurandi sacramento eum obstrinxerunt, ne unquam episco-

(1) Panarium hoc opus etiam Ἀγκυρωτὸν dicitur apud Socrat. lib. v, cap. 24. Sed utrumque et Panarii et Ancyroti opus diverso nomine Græce et Latine editum exstat ; hoc compendiosum, illud sanequam prolixum.

patum sibi expetendum statueret. Postquam ille A juravit, se episcopatum suscepturum non esse, non satis causæ esse putantes, cur ecclesia eorum factionibus divideretur, placitum eis est, ut omnes consentirent, atque eodem in loco ecclesiasticos conventus agerent; festum autem Paschæ diem, quo quis vellet tempore celebraret. **288** Et ea de re canonem promulgarunt, quem ἀδιάφορον, hoc est, arbitrarium et indifferentem vocarunt. Statuerunt quoque, ne decretum eorum qui Pazi convenerant, universali canoni præjudicaret : quod et prisci illi viri, et maxime qui apostolis proximi fuere, etiamsi de Paschæ festo die plurimum inter se dissiderent, invicem tamen inter se communicassent, et aliis in rebus omnibus prorsus non B dissensissent. Et quod prætereа Novatiani in vetere Roma haudquaquam cum Judæis, sed post æquinoctium cum reliquis Romanis, qui Petri et Pauli apostolorum traditione utebantur, Pascha peregissent : nec ob eam causam, quod Paschæ festo celebrando inter se dissentirent, discessionem ab eis qui communem cum eis haberent religionem, fecissent. Proinde re bene deliberata, indifferentem, quem diximus, canonem protulere, ut quilibet pro eo atque ei placitum esset, ex consuetudine aliqua, aut præsumpta opinione, Pascha celebrans perficeret : non quidem ut ea res aliquam in communione dissensionem afferret, verum ut qui sic discrimine nullo festum diem agerent, in Ecclesiæ communione concordarent. C Ejusmodi canone confirmato, Sabbatius, qui scilicet jurejurando obstrictus esset, cum Judæorum observationem sequeretur, præterquam si festus dies in idem cum illis tempus incideret (1), receptis statisque jejuniis alios præveniebat, et clam solemnes ritus perficiens, Pascha peragebat, legitimoque (2) et vespertino Sabbati tempore vigiliis et precationibus aliis interesse solitus, postridie cum reliquis communiter de festo die participavit, divinaque mysteria percepit. Hoc sic cum annis aliquot latenter faceret, diutius seipsum occultare non potuit. Cum enim brevi celebritatem ex ea re consecutus esset, permultos ex simplicioribus ad se pertractos æmulatores habuit, et maxime Phryges et Galatas. Qui quoniam patrio more sic jejunabant, morem eum ut rectiorem confirmari putaverunt. Itaque hunc secuti, clam etiam una cum Judæis Pascha celebrarunt. Et Sabbatius suos sibi paulatim conventus agens, a reliquis Novatianis secessit : et jurejurando pro nihilo habito, episcopatum apud sectatores suos suscepit, sicuti paulo post dicam.

A διαιρεῖν, ὁμονοεῖν μὲν ἅπαντας καὶ κατὰ ταυτὸν ἐκκλησιάζειν ἐδόκει· τὴν δ' ἑορτὴν τελεῖν ἕκαστον ὅτε δή ποτε βούλοιτο, ἐκθέμενοι καὶ περὶ τούτου κανόνα ὃν *ἀδιάφορον* κατωνόμασαν· μηδὲ τοὺς ἐν Πάζῳ συναχθέντας πρόκριμα τῷ καθολικῷ κανόνι γενέσθαι. Καὶ γὰρ καὶ οἱ ἀρχαῖοι ἐκεῖνοι ἄνδρες, καὶ μᾶλλον ὅσοι ἐγγυτέρω τῶν ἀποστόλων ἦσαν, περὶ τῆς τοῦ Πάσχα ἑορτῆς διαφωνοῦντες ὡς μάλιστα, τέως ἀλλήλοις κοινωνοῦντες ἐφ' ἅπασι τοῖς ἄλλοις οὐδαμῶς διεφέροντο· ὅτι γε καὶ οἱ ἐν τῇ πρεσβυτέρᾳ Ῥώμῃ Ναυατιανοὶ οὐδαμῇ σύναμα Ἰουδαίοις τὸ Πάσχα ἐτέλεσαν· ἀλλ' ἀεὶ μετ' ἰσημερίαν τοῦτο ἐποίουν σὺν τοῖς λοιποῖς Ῥωμαίοις, Πέτρου καὶ Παύλου τῶν ἀποστόλων τῇ παραδόσει χρωμένοις. Οὐδὲ γὰρ πρὸς τοὺς οἰκείους τῆς πίστεως διεκρίνοντο, μὴ B ἐπίσης αὐτοῖς ἐπιτελοῦντας τὸ Πάσχα· διά τοι τοῦτο καλῶς δῆθεν λογισάμενοι, τὸν ἀδιάφορον προῆγον κανόνα· ὡς ἂν ἑκάστῳ βούλησις ἔκ τινος συνηθείας τε καὶ προλήψεως, τὸ Πάσχα ἑορτάζων ἐπιτελοῖ· μὴ μέντοι τοῦτο πρὸς κοινωνίαν διάφορον εἶναι· ἀλλὰ τοὺς ἀδιαφόρως ἑορτάζοντας συμφώνους εἶναι τῇ κοινωνίᾳ τῆς Ἐκκλησίας. Καὶ τοίνυν τοῦ κανόνος τούτου βεβαιωθέντος, ὁ Σαββάτιος, ἅτε δὴ τοῖς ὅρκοις δεθεὶς, ὅμως τοῖς Ἰουδαίοις ἑπόμενος, εἰ μὴ κατὰ ταυτὸν ἐκείνοις συνέβη γενέσθαι τὴν ἑορτὴν, προφθάνων ἐνήστευεν, ὥσπερ ἦν ἔθος· καὶ λεληθότως τὰ νενομισμένα πράττων, ἐπετέλει τὸ Πάσχα, κατὰ τὴν τοῦ Σαββάτου ἑσπέραν καιρῷ προσήκοντι, τῇ τε ἀγρυπνίᾳ καὶ ταῖς ἄλλαις εὐχαῖς παρὼν, τῇ δ' C ἑξῆς κοινῶς σὺν τοῖς λοιποῖς μετεῖχε τῆς ἑορτῆς, τῶν θείων μυστηρίων ἁπτόμενος. Καὶ τοῦτο ἐπὶ ἔτη πολλὰ ποιῶν διελάνθανεν· ἀλλ' οὐκ ἐπιπολὺ κρύπτειν ἑαυτὸν ἠδύνατο· ἐπίσημος γὰρ ἐντεῦθεν ἐν οὐ πολλῷ γεγονὼς, πολλοὺς τῶν ἁπλουστέρων ἐφελκόμενος ζηλωτὰς ἔσχε· καὶ μάλιστα Φρύγας καὶ Γαλάτας, οἳ πάτριον ἔχοντες οὕτω νηστεύειν, ᾤοντο δικαιοῦσθαι. Τούτῳ ἑπόμενοι καὶ λάθρα σύναμα Ἰουδαίοις τὴν τοῦ Πάσχα ἑορτὴν ἐποίουν. Ἀλλὰ Σαββάτιος ἠρέμα παρασυνάγων, ἐκείνων τε ἀπέστη, καὶ τοὺς ὅρκους θέμενος παρ' οὐδὲν, τῶν αὐτῷ ἑπομένων τὴν ἐπισκοπὴν ἀνεδέξατο, ὡς μετὰ μικρὸν διαλήψομαι.

289 CAPUT XXXII.

Sententia et judicium auctoris de festo Paschæ. De Quartodecimanis et Montanistis, ut Pascha celebrent.

Sed enim ego et Sabbatium et sectatores ejus demiror, quid eis in mentem, ut festum hunc diem innovarent, venerit : cum ab initio Judæi veteres, sicuti Eusebius Pamphili memoriæ prodidit, Josephum, Philonem, Aristobulum, et non paucos alios

D ΚΕΦΑΛ. ΛΒ'.

Ἐπίκρισις καὶ διαλογισμὸς τοῦ συγγραφέως περὶ τῆς τοῦ Πάσχα ἑορτῆς· καὶ περὶ τῶν Τεσσαρεσκαιδεκατιτῶν, καὶ τῶν Μοντανιστῶν, ὅπως τὸ Πάσχα τελοῦσιν.

Ἐγὼ δὲ θαυμάζω Σαββάτιον καὶ ὅσοι αὐτῷ ἠκολούθησαν, πῶς τὰ τοιαῦτα ἐνεωτέρισαν· τῶν κατ' ἀρχὰς Ἑβραίων, ὡς ὁ Παμφίλου Εὐσέβιος ἱστορεῖ, μάρτυρα παράγων Ἰώσηπόν τε καὶ Φίλωνα, ἔτι δὲ Ἀριστόβουλον καὶ οὐκ ὀλίγους ἄλλους, μετ' ἰσημε-

(1) Hoc est, si omnes eodem tempore Pascha peragere contingeret. Soz. Sic ille bis eodem anno Pascha celebrare quandoque solitus est.

(2) More Judaico scilicet.

ρίαν ἐαρινὴν τὰ διαβατήρια θυόντων, κατὰ τὸ πρῶ- A τον δωδεκατημόριον τμῆμα τοῦ Ζωδιακοῦ τοῦ ἡλίου ὁδεύοντος, ὃ Κριὸς τοῖς Ἕλλησιν ὀνομάζεται· τεσσαρεσκαιδεκαταίας τηνικαῦτα τῆς σελήνης τὴν πορείαν ποιουμένης, καὶ κατὰ διάμετρον τῷ ἡλίῳ καθεστηκυίας. Ἐπὶ δὲ τούτοις καὶ Σαμαρεῖται, οἳ διαφερόντως τὰ καίρια τῆς Μωσέως νομοθεσίας ζηλοῦσιν, οὐκ ἂν τὴν τοιαύτην τελέσειν ἀνέχονται ἑορτὴν, πρὶν ἢ τὸν νέον τελεσφορεῖσθαι καρπόν. Τῶν νέων γὰρ, φησὶν, ἑορτὴν αὐτὴν ὁ νόμος καλεῖ· ὡς μὴ θέμις ὂν ἑορτάζειν, τούτων δὴ μὴ φανέντων· ὡς ἐπάναγκες εἶναι συμβαίνειν φθάνειν τὴν ἐν τῷ ἦρι ἰσημερίαν. Καὶ τοίνυν τοὺς περὶ τοῦτο μιμουμένους Ἰουδαίους, θαυμάζω ὅτι μὴ τὴν παρ' ἐκείνοις ἀρχαιότητα μᾶλλον ἐπῄνεσαν. Συνάγειν οὖν ἔστιν, B ὡς ἄνευ τούτων, καὶ τῶν, οἳ Τεσσαρεσκαιδεκατῖται προσονομάζονται, ἐπίσης Ῥωμαίοις καὶ Αἰγυπτίοις καὶ Παλαιστινοῖς, καὶ οἱ ἀπὸ τῶν ἄλλων αἱρέσεων, ταύτην ἐπιτελοῦσι τὴν ἑορτήν. Οἱ δ' ἐκ τοῦ Ναυάτου τὴν ἀναστάσιμον ἡμέραν μόνην ἐπιτελοῦσιν, Ἰουδαίοις καὶ οὗτοι ἑπόμενοι. Εἰς ταυτὸ δὲ τοῖς Τεσσαρεσκαιδεκατίταις καταστρέφουσι· πλὴν εἰ μὴ κατὰ συγκυρίαν τῇ τεσσαρεσκαιδεκάτῃ τῆς σελήνης ἡ πρώτη τοῦ Σαββάτου ἡμέρα συμπεσοῦσα τύχοι· κατόπιν γὰρ γίνονται τῶν Ἰουδαίων ὅσαις ἂν ἡμέραις συμβαίνῃ τὴν ἐχομένην Κυριακὴν ὑστερίζειν τῆς τεσσαρεσκαιδεκαταίας τῆς σελήνης. Οἱ δέ γε Μοντανισταὶ, οὓς καὶ Πεπουζίτας καὶ Φρύγας εἰωθὸς ὀνομάζειν, καινήν τινα ἐπινοήσαντες μέθοδον, κατὰ ταύτην καὶ τὸ Πάσχα τελοῦσι. Καὶ προηγουμένως C μὲν ἐν μέμψει ποιοῦνται, ὅσοι διὰ τὸ Πάσχα τὸν σεληναῖον δρόμον κατεξετάζουσι· χρῆναι γὰρ λέγουσι μὴ τοῦτον, ἀλλὰ τὸν ἡλιακὸν κύκλον ζητεῖν, εἴ γε ὀρθῶς ἐξετάζειν τὸ Πάσχα βούλοιντο. Καὶ τίθενται μὲν ἕκαστον μῆνα ἡμερῶν εἶναι τριάκοντα· ἀρχὴν δὲ τούτων πρώτην τὴν ἐαρινὴν ἰσημερίαν· ἣ ῥηθείη ἂν ὀρθῶς εἶναι κατὰ Ῥωμαίους πρὸ ἐννέα καλανδῶν Ἀπριλλίων. Ὅτι γε, φασὶ, τηνικαῦτα καὶ οἱ δύο μεγάλοι φωστῆρες τὴν ἀρχὴν ἔσχον, δι' ὧν οἵ τε χρόνοι καὶ οἱ ἐνιαυτοὶ μετροῦνται. Καὶ δῆλον ἐξ ὧν ἡ σελήνη διὰ ὀκταετηρίδος τῷ ἡλίῳ εἰς ταυτὸν ἑνώσεως ἔρχεται, νουμηνίας ἀμφοῖν συμβαινούσης· ἐπείπερ ἡ ὀκταετηρὶς τοῦ τῆς σελήνης δρόμου ἐννέα καὶ ἐνενήκοντα μησὶ περαιοῦται· ἡμέραις δὲ δισχιλίαις ἐννακοσίαις εἴκοσι δύο, δι' ὧν ὁ ἥλιος τοὺς ὀκτὼ δια- D νύει δρόμους· ὡς συμβαίνειν ἕκαστον ἔτος λογίζεσθαι ἀνὰ ἡμερῶν τριακοσίων ἑξήκοντα πέντε· πρὸς δὲ καὶ τεταρτημορίου ἡμέρας μιᾶς. Ἀπὸ γὰρ τῆς πρὸ ἐννέα καλανδῶν Ἀπριλλίων, ἅτε δὴ ἀρχῆς τῆς κτίσεως ταύτης καταλογιζομένης, συνάγουσι τὴν εἰρημένην ταῖς θείαις Γραφαῖς τεσσαρεσκαιδεκαταίαν· ἣν δὴ καὶ λέγουσι ταύτην εἶναι τὴν πρὸ ὀκτὼ εἰδῶν Ἀπριλλίων, καθ' ἣν ἀεὶ τὸ Πάσχα τελοῦσιν. Εἰ δὲ πολλάκις συμβαίη καὶ τὴν ἀναστάσιμον αὐτῇ συνέρχεσθαι, τῇ ἐχομένῃ Κυριακῇ ἑορτάζουσι· γέγραπται γὰρ ἀπὸ δεκατεσσάρων μέχρις κα' τὸ Πάσχα

(1) Τὸ πρῶτον δωδεκατημόριον. Sozom.
(2) Ἐν διαμέτρῳ, Sozom.
(3) Πρὶν τὸν νέον τελεσφορεῖσθαι καρπόν. Sozom.

testes laudans, τὰ διαβατήρια, hoc est Paschalia pro transitu sacrificia, sacrificarint, post æquinoctium vernum, sole primam duodecimam (1) partem, quæ a Græcis Aries appellatur, zodiaci circuli ingresso; luna autem per diametrum (2) et rectam lineam soli opposita, tum quartæ decimæ diei cursum tenente. Ad hæc Samaritani, qui præcipue tempora secundum constitutiones Mosaicas observant, non prius festum hunc diem peragunt, quam novos fructus (3) crescentes conspiciant. Novarum enim, inquiunt, frugum festum in lege dicitur: ut id celebrare, antequam illi appareant, nefas sit: proindeque vernum æquinoctium ferias eas præcedere necessario debeat. Quapropter cum Judæos sibi imitandos proposuerint, eos admiror, quod non potius antiquitatem, quæ apud eos est, laudaverint. Et satis colligere licet Sabbatianis istis, atque eis qui Τεσσαρεσκαιδεκατῖται, sive Quartodecimani vocantur, exceptis, hæreses alias omnes festum Paschæ cum Romanis et Ægyptiis et Palæstinis peragere. Novatiani igitur isti Resurrectionis diem solam peragunt, Judæos et ipsi secuti (4). In idem vero cum Quartodecimanis tempus incidunt, nisi forte in quartamdecimam diem lunæ prima dies Sabbati inciderit; tanto enim Judæis posteriores evadunt, quotcunque diebus adveniens Dominica dies a præcedente decima quarta die lunæ abfuerit. Montanistæ vero, quos etiam Pepuzitas et Phryges appellare consuetudo est, quadam ratione inventa, juxta eam Pascha celebrant. Atque in primis eos reprehendunt, qui propter festum Paschæ lunæ cursum observant. Non illum enim, sed solis orbem, eis qui rite Paschæ diem inquirere velint, inspiciendum esse censent. **290** Et mensem quemlibet dierum triginta, atque principium earum æquinoctium vernum (5) faciunt: quæ dies, secundum Romanos, rite ante IX Kalend. April. dicitur. Ea namque etiam magna hæc duo luminaria initium suum habuisse allegant, per quæ tempora et anni significantur. Idque ex eo liquere asserunt, quod luna per octennium cum sole conveniat, et ambo initium novum sumant. Quandoquidem octennalis lunæ cursus nonaginta et novem mensibus perficiatur: diebus autem bis mille nongentis viginti duobus, quibus etiam sol octonos absolvat cursus, ita ut annus quilibet censeatur esse dierum trecentorum sexaginta quinque, et quartæ unius diei partis. Ex ea namque die, quæ est ante IX Kalend. April., quippe quæ principium creationis solis et primi mensis existimetur esse, colligunt atque computant eam quæ in sacris Litteris dicitur, decimam quartam diem quam esse dicunt ante VIII Id. April. in qua semper festum Paschæ agunt. Quod si ita, ut sæpe fit, in eam Resurrectionis quoque dies concurrat, proxima Dominica die id

(4) Sozom. lib. VII, cap. 18.
(5) Æquinoctium vernum ante IX Calend. April.

A τελεῖν. Οὐ τοίνυν μοι καλῶς πρᾶξαι δοκοῦσιν οὐθ' οἱ ἔκπαλαι περὶ τῆς ἑορτῆς ταύτης φιλονεικήσαντες, οὐδ' οἱ τότε τοῖς Ἰουδαίοις ᾑρημένοι ἀκολουθεῖν· οἶμαι γὰρ, οὐκ εἰς νοῦν ἔθεντο, ὡς τοῦ Ἰουδαϊσμοῦ μετατιθεμένου πρὸς Χριστιανισμὸν, ἐξ ἀνάγκης οἱ τύποι τοῦ ἀκριβοῦς παρετρέποντο, ὡς αὐτόθεν δειχθήσεται· καὶ γὰρ οὐδεὶς Χριστοῦ νόμος Ἰουδαΐζειν προτρέπει Χριστιανοῖς· μᾶλλον δὲ καὶ ἐκώλυσε, καθὰ διαῤῥήδην ὁ θεῖος Ἀπόστολος ἀπεφήνατο, μήτοι γε ἀπαγορεύων τὴν περιτομὴν, τὸ τοῦ νόμου κεφάλαιον, ἀλλὰ καὶ περὶ ἑορτῶν παραινῶν μηδαμῶς διακρίνεσθαι. Καὶ δὴ Γαλάταις γράφων, ταῦτά φησι· *Λέγετέ μοι, ὑπὸ νόμον θέλοντες εἶναι, τὸν νόμον οὐκ ἀκούετε;* Καὶ βραχέα περὶ τούτου διαλεχθεὶς, ἔπειτα δείκνυσι, δοῦλον μὲν εἶναι τὸν τῶν Ἰουδαίων B λαόν· τὸ δ' ἐλεύθερον ἔχειν, ὅσοι δὴ Χριστῷ ἠκολούθησαν· ἐν οἷς παραινεῖ μηδὲ ἡμέρας παρατηρεῖν καὶ ἐνιαυτούς. Ἐν δὲ τῇ πρὸς Κολοσσαεῖς λαμπρᾷ κηρύττει φωνῇ σκιὰν εἶναι τὰ παραφυλάγματα· διὸ ἐπιφέρει, λέγων· *Μηδεὶς ὑμᾶς κρινέτω ἐν βρώσει ἢ ἐν πόσει, ἢ ἐν μέρει ἑορτῆς, ἢ νουμηνίας, ἢ Σαββάτου· ἅτινά ἐστι σκιὰ τοῦ μέλλοντος.* Ἐν δὲ τῇ πρὸς Ἑβραίους ταῦτα πάντα ἐπισφραγίζων φησί· *Μετατιθεμένης γὰρ τῆς ἱερωσύνης, ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται.* Φαίνεται τοίνυν, ὡς οὔτε ἡ ἱερὰ τῶν Εὐαγγελίων βίβλος, οὔτε μὴν ὁ θεῖος Ἀπόστολος, ζυγὸν δουλείας νόμου ἡμῖν ἐπέθηκαν· ἀλλὰ καὶ τὸ Πάσχα καὶ τὰς λοιπὰς τῶν ἑορτῶν τῇ εὐγνωμοσύνῃ τῶν εὐεργετηθέντων C τιμᾶν κατέλιπον ὅπως δή ποτε βούλονται. Ὅθεν ἐπεὶ τὰς ἑορτὰς μάλιστα φιλοῦσιν οἱ ἄνθρωποι, ἅτε δὴ ἐν αὐταῖς ἀνιέμενοι τῶν πόνων, τηνικαῦτα ὡς ἑκάστῳ βούλησις ἦν κατὰ χώρας, τὴν τοῦ σωτηρίου πάθους μνήμην ἔθει τινὶ ἐκ παραδόσεως κρατούμενοι ἐπετέλεσαν. Οὐ γὰρ πάντως νόμῳ τινὶ τὸν Σωτῆρα ἢ τοὺς μαθητὰς τοῦτο παραφυλάττειν ὁρίσασθαι· ἀλλ' οὐδὲ ὑπὸ καταδίκην ἢ τιμωρίαν ἢ κατάραν, ὡς ὁ τοῦ Μωσέως εἶχε νόμος, τὰ Εὐαγγέλια ἢ οἱ ἀπόστολοι τὸν μὴ οὕτω τελοῦντα εἰσήγαγον ἢ προσηπείλησαν· κατὰ δὲ μόνην ἱστορίαν τοῦ Μωσαϊκοῦ Πάσχα τὴν μνείαν οἱ θεῖοι εὐαγγελισταὶ ἐποιήσαντο· τὸν Σωτῆρα πεπονθέναι τῷ τῶν Ἀζύμων καιρῷ, μεγάλης οὔσης παρ' αὐτοῖς ἑορτῆς· ἵν' ἐνδείξωνται, ὅτι κατὰ τὰς ἑορτὰς μᾶλλον μιαιφονεῖν ᾑροῦντο. Τοῖς D μὲν οὖν θείοις ἀποστόλοις σκοπὸς οὐχὶ περὶ ἡμερῶν ἑορτασίμων κρίνειν τε καὶ νομοθετεῖν, ἀλλὰ θεοφιλῆ βίον καὶ ἀρετὴν καὶ θεοσέβειαν παρασχεῖν τε καὶ εἰσηγήσασθαι. Καί μοι δοκεῖ, ὥσπερ ἄλλα τε πλεῖστα κατὰ τόπους συνήθειαν ἔσχον, οὕτω καὶ περὶ τὴν τοῦ Πάσχα ἑορτὴν συμβῆναι. Ἐκ γάρ τινος συνηθείας παρ' ἑκάστοις ἔθνεσιν ἰδιάζουσαν ἔσχε τὴν παρατήρησιν· ὡς εὔδηλον εἶναι τὸ μηδένα τῶν ἀποστόλων μηδέν τι περὶ ταύτης νομοθετῆσαι τῆς ἑορτῆς.

festum celebrant. Scriptum enim est, inquiunt, a decima quarta usque ad vicesimam primam Pascha esse peragendum. Mihi sane non recte fecisse videntur, qui olim de festo hoc die tantopere dissidentes contenderunt : multo vero minus, qui hac in parte Judæos sibi imitandos esse statuerunt. Sed (1) illis, ut opinor, in mentem non venit, quod Judaismo in Christianismum mutato, ex necessitate quadam figuræ rei ipsi cesserint, sicuti hoc inde satis constabit. Nulla namque Christi lex Christianis ut judaizent præcipit : præcipit autem? Imo potius id prohibet : quemadmodum disertis verbis divinus Apostolus sanxit, non solum de circumcisione, quæ legis est caput, vetans, verum etiam de diebus festis cohortans, ut nequaquam disceptantes segregemur. Et ad Galatas scribens : *Dicite mihi*, inquit, *qui sub lege esse vultis, legem non auditis* [1] ? Atque ubi de hoc pauca disseruit, deinde ostendit, Judæorum populum servum esse : libertatem autem eos obtinere, qui Christum sequuntur. Ubi etiam admonet, non observandos esse dies et annos. In Epistola autem ad Colossenses clara prædicat voce, umbram esse observationes ejusmodi. Quapropter infert, dicens:
291 *Nemo vos judicet in cibo aut in potu, aut in parte diei festi, aut neomeniæ, aut Sabbati, quæ sunt umbra futurorum* [2]. Ad Hebræos autem, hæc omnia veluti sigillo confirmans, dicit : *Translato enim sacerdotio, necessario etiam legis translatio subsecuta est* [3]. Satis igitur liquet, neque sacrum Evangeliorum librum, neque divum ipsum Apostolum Christianis jugum servitutis legis imposuisse: sed ut et Pascha et reliquos festos dies honorifice, quandocunque eis visum esset, peragant, animi gratitudini eorum qui beneficio sunt affecti, reliquisse. Proinde quia homines maxime ferias amant, a laboribus in eis conquiescentes, tum sicuti cuique visum erat, in regionibus passim, consuetudine quadam per traditionem accepta adducti, salutiferæ passionis memoriam colentes celebrarunt. Neque enim vel Servator ipse, vel ejus discipuli, lege ulla id observandum esse statuerunt : sed neque in eum qui hoc ita non perageret, condemnationem, aut pœnam, aut exsecrationem, sicuti Mosæ lex facere solita fuerat, vel evangelica vel apostolica scripta induxerunt, aut comminati sunt. Divi vero evangelistæ historia sua scribenda, Mosaici Paschæ festi obiter saltem mentionem fecere : Servatorem scilicet azymorum tempore passum esse, cum celebre apud Judæos ageretur festum: ut ostenderent illi, festis potissimum diebus cædes eos perpetrare constituisse. Ipsis profecto sanctis apostolis consilium illud propositum non fuit, ut sibi de diebus festis judicium sumerent, aut de eis leges ferrent : sed potius Deo gratam vitam, virtutem et veram erga Deum pietatem traderent atque inducerent. Mihi quidem

[1] Galat. IV, 21. [2] Coloss. II, 17. [3] Hebr. VII, 12.

(1) Admiratur Nicephorus cum Socr. lib. V, cap. 22, eos qui vel pertinaciter de festo die Paschæ disceptent, vel Judæos eo celebrando imitentur.

videtur, quemadmodum alia plurima plerisque in locis suam obtinuere consuetudinem, ita id quoque de Paschæ festo accidisse; quod ex more quodam apud gentes, quæque suam habuit observationem: ut satis manifestum sit, neminem apostolorum quidquam de festo hoc die legis factione constituisse.

ΚΕΦΑΛ. ΛΓ'.

Ὅτι τοῖς παλαιοῖς ἔθει ἀρχαίῳ μᾶλλον ἢ νόμῳ ἐτελεῖτο ἐκ παραδόσεως ἡ τοῦ Πάσχα ἑορτή.

Ὅτι δ' ἐξ ἀρχῆς ἔθει μᾶλλον ἢ νόμῳ τὸ Πάσχα τὴν παρατήρησιν ἔσχεν, ἐκ τῶν πραγμάτων σαφῶς παραστήσομεν. Καὶ γὰρ κατὰ τὴν μικρὰν Ἀσίαν ἀπὸ τῶν ἀποστόλων τὸ Σάββατον παριδόντες, τὴν τεσσαρεσκαιδεκάτην τῆς σελήνης ἐτήρησαν. Οὕτω δὲ πράττοντες, οὐδαμῶς διεφέροντο πρὸς τοὺς ἄλλως αὐτὸ πράττοντας· ἕως οὗ Βίκτωρ ὁ τῆς Ῥώμης ἐπίσκοπος, πλεῖστα διαθερμανθεὶς, γράμματι τοῖς κατὰ τὴν Ἀσίαν τὴν τεσσαρεσκαιδεκάτην τιμῶσιν ἀκοινωνησίαν κατεδίκαζεν. Ἐφ' ᾧ πάλιν Εἰρηναῖον τὸν ἐν Λουγδούνῳ τῶν Γαλλιῶν ἐπισκοποῦντα Βίκτωρι τἀναντία δι' ἐπιστολῆς σημῆναι. Κατατρέχει B μὲν γὰρ αὐτοῦ, ἐν μέμψει δὲ τὸ θερμὸν τῆς πράξεως τίθεται· διεξιὼν τε διδασκαλικώτερον, ὡς καὶ οἱ ἀρχαιότεροι κοινωνοῦντες κατὰ πᾶν ἀλλήλοις τοῦ Χριστιανισμοῦ, περὶ τὸν τοῦ Πάσχα διεφώνουν καιρὸν, μηδὲν τοῦτο ἡγούμενοι πρόκριμα· προστιθεὶς ὡς καὶ Πολύκαρπος τῆς Σμυρναίων ἐπίσκοπος γεγονὼς, ὃς ἐπὶ Γορδιανοῦ τὸν τοῦ μαρτυρίου ὕστερον ἀνεδήσατο στέφανον, τῇ Ῥώμῃ ἐπιδημήσας, Ἀνικήτῳ τῷ Ῥωμαίων ἐπισκόπῳ καθίστατο κοινωνὸς, μήτι διακρινόμενος περὶ τοῦ Πάσχα· ὅτιπερ καὶ αὐτὸς ὁ Πολύκαρπος ἐγχωρίῳ τινὶ συνηθείᾳ τῆς Σμυρναίων κατὰ τὴν τεσσαρεσκαιδεκάτην τὸ Πάσχα διατελῶν ἦν· ὡς καὶ ὁ Παμφίλου Εὐσέβιος μαρτυρεῖ κατὰ τὴν πέμπτην τῆς ἐκκλησιαστικῆς αὐτοῦ Ἱστορίας. C Δείκνυται τοίνυν, ὡς ἔφην, ὅτι τινὲς ἐν τῇ μικρᾷ Ἀσίᾳ τὴν τεσσαρεσκαιδεκάτην τῆς σελήνης ἐτήρουν· ἄλλοι δὲ τῶν ἐν τοῖς ἀνωτέρω τῆς ἕω τὸ μὲν Σάββατον μᾶλλον ἐτήρουν τῆς ἑορτῆς· περὶ δὲ τὸν μῆνα διεφέροντο μᾶλλον· ὧν οἱ μὲν τοῖς Ἰουδαίοις ἕπεσθαι ἤθελον, καὶ ταῦτα τῆς ἀκριβείας πάλαι διολισθήσασιν· οἱ δὲ τοῦτο μᾶλλον διὰ μίσους τιθέμενοι μετὰ τὴν ἐαρινὴν ἰσημερίαν τελεῖν τοῦτο ἡροῦντο· δεῖν λέγοντες ἀεὶ τὸ Πάσχα ποιεῖν, ἐν Κριῷ τοῦ ἡλίου ὄντος, τῷ κατ' Ἀντιοχέας Ξανθικῷ, κατὰ δὲ τοὺς Ῥωμαίους Ἀπριλλίῳ μηνί· πειθομένους μὴ ταῖς νῦν πλανωμένοις Ἰουδαίοις, ἀλλὰ τοῖς ἀρχαιοτέροις μάλιστα καὶ Ἰωσήπῳ τῷ πάνυ· ὡς ἐκεῖνος ἐν τῷ τρίτῳ τῆς *Ἰουδαϊκῆς* Ἀρχαιολογίας διέξεισιν. Οἱ μὲν οὖν κατὰ τὴν μικρὰν Ἀσίαν καὶ τὰ ἀνώτερα τῆς ἑῴας D οὕτω πρὸς ἑαυτοὺς διὰ τὴν ἑορτὴν διεφώνουν· οἱ δὲ λοιποὶ πάντες ὅσοι τὸν Χριστιανισμὸν παρεδέξαντο, καὶ οἱ κατὰ τὴν ἑσπέραν πᾶσαν ἄχρις ὠκεανοῦ, μετὰ ἰσημερίαν ἐαρινὴν τὸ Πάσχα τελοῦντες εὑρίσκονται, ἀρχαιοτέρᾳ συνηθείᾳ ἑπόμενοι· οἳ δὴ πάντες οὕτω ποιοῦντες τὸ Πάσχα, οὐδαμῶς ποτε πρὸς σφᾶς αὐτοὺς διαφωνοῦντες ἐφάνησαν· καὶ οὐχ ὡς ὁ τῶν πολλῶν θρύλλος ἔχει, ἡ ἐπὶ Κωνσταντίνου ἐν Νικαίᾳ

292 CAPUT XXXIII.

Quod veteres consuetudine magis antiqua, quam lege ulla, juxta Patrum traditionem, Pascha celebrarint.

Porro quod ab initio Pascha moribus magis quam legibus observatum sit, re ipsa declarabimus. Qui namque minorem Asiam incoluere, plurimi ab apostolorum temporibus Sabbato despecto, decimam quartam lunæ diem observarunt. Quod cum facerent, nequaquam ab aliis, qui hoc non itidem facerent, dissidebant: quoad Victor (1) urbis Romanæ episcopus, plurimum commotus, litteris Asianos quartam decimam diem colentes damnavit atque excommunicavit. Quam ob causam e diverso Irenæus Lugdunensis in Galliis episcopus, ad Victorem litteras dedit, quibus illum objurgat, et facinus tam calidum reprehendit: perdocte exponens, quod cum antiquiores etiam communionem rerum omnium inter se in Christianismo retinerent, et de Paschæ festi tempore variarent, nullum id putaverint esse præjudicium; adjiciens præterea, Polycarpum Smyrnæ episcopum, qui sub Gordiano postea coronam martyrii recepit, Romam venisse, et cum Aniceto ejus urbis episcopo communicasse, nihil de festo Paschæ cum eo discrepantem. Nam et ipse Polycarpus patria quadam Smyrnensium consuetudine, decima quarta die Pascha celebrabat: sicuti Eusebius quoque Pamphili in quinto ecclesiasticæ Historiæ suæ libro testatur. Constat igitur, sicuti dixi, quosdam in minore Asia decimam quartam lunæ diem observasse. Alii vero, qui in superioribus Orientis partibus habitant, Sabbatum festo eo celebrando magis coluere. Cæterum de mense eis major fuit contentio. Quidam namque Judæos sequi voluerunt, cum quidem jamdudum certiore observatione illi excidissent. Alii vero ab eo abhorrentibus, post æquinoctium vernum Pascha agendum potius visum est: celebrandum id semper esse dicentibus, cum sol in Ariete sit, secundum Antiochenos Xanthico, secundum Romanos autem Aprili mense. Qui quidem non eos qui tum delirabant, Judæos, sed antiquissimos, et magnum illum in primis Josephum, 293 sicuti is hac de re in tertio *Antiquitatum Judaicarum* libro refert, secuti sunt. Ac illi quidem qui minorem Asiam et superiores Orientis partes tenent, ad hunc modum de festo hoc die dissenserunt. Alii vero omnes, qui Christianismum susceperunt, et Occidentales cuncti ad Oceanum usque, post vernum æquinoctium Pascha peragere inveniuntur, vetustiorem consuetudinem sequentes. Qui sane universi ita festum Paschæ celebrantes, nunquam inter se discordare

(1) Juxta morem citra judicium Sozomenum exscribit. Lege *Anicetus*. Edit.

visi sunt. Neque vero quemadmodum multorum sermonibus fertur, magna illa sub Constantino Nicææ celebrata synodus, ejuscemodi diei Paschæ celebrandi errorem induxit : sed ipse potius divus Constantinus, paucos illos qui a recepta observatione dissentiebant, litteris suis cohortatus est, ut partem majorem sequerentur : et eam imitantes, eodem modo cum illa festum diem peragerent. Epistolam eam imperatoris totam, in tertio libro eorum quos de vita Constantini Eusebius conscripsit, invenies. Ex ea autem particulam quæ de festo Paschæ scripta est, hic apponam : quæ de verbo ad verbum sic habet : « Est ordo quidam bene institutus, quem omnes occidentalium et meridionalium et septentrionalium orbis terræ partium, et quædam etiam orientalium regionum ecclesiæ servant. Quapropter cum in præsentia recte omnes id constitutum esse existimarunt, tum ipse solertiæ quoque vestræ placiturum esse recepi, ut quod per urbem Romanam, et Italiam, Africam, Ægyptum omnem, Hispanias, Gallias, Britanniam, Libyam, cunctam Græciam, Asianam et Ponticam provinciam, et Ciliciam, concordi et una prorsus sententia servatur, idem quoque vestra non gravate suscipiat prudentia : quæ illud secum consideret, non solum majorem esse in eis quos enumeravimus locis ecclesiarum numerum, verum etiam communiter maxime idem omnes velle, sanctissimum esse, accuratioremque rationem ut nulla omnino nobis cum Judæorum perfidia intercedat communio, efflagitare. » Imperatoris epistola sic habebat. Verum enimvero Quartodecimanos ferunt a Joanne apostolo decimæ quartæ diei lunæ observationem accepisse : **294** Romanis autem et Occidentalibus partibus Petrum et Paulum, apostolorum maximos, eam quæ ibi frequentatur tradidisse consuetudinem. Scriptum quidem hac de re decretum edere nemo potest. Sapienter vero Victor et Polycarpus exstinxisse de die festo contentionem videntur. Quandoquidem autem Occidentales episcopi traditionem Petri et Pauli minime dehonestandam duxerunt, et Asiani quoque Joannis evangelistæ institutum servandum esse contenderunt, de communi consilio placitum est, ut quique, sicuti assueverant, festum diem agerent, mutuam autem communionem nequaquam rescinderent. Stultum (1) quippe quam maxime esse opinati sunt, consuetudinum ejusmodi variantium gratia, a mutua conjunctione discedere, cum eis de rebus religionis præcipuis per consentientem concordiam conveniret.

μεγάλη σύνοδος τὴν τοιαύτην παρέτρεψεν ἑορτήν. Καὶ γὰρ αὐτὸς μᾶλλον ὁ θειότατος Κωνσταντῖνος τοῖς περὶ ταύτην διαφωνοῦσιν ὀλίγοις οὖσι παρῄνεσε γράμμασι, τοῖς πλείοσιν ἕπεσθαι, καὶ μιμουμένους, ἐπίσης ἑορτάζειν αὐτοῖς. Ἀλλὰ τὴν μὲν ὅλην τοῦ βασιλέως ἐπιστολὴν ἐν τῷ τρίτῳ τμήματι τῶν εἰς τὸν βίον Κωνσταντίνου γραφέντων ζητῶν εὑρήσεις. Τό γε μὴν μέρος ὃ περὶ τοῦ Πάσχα διέξεισιν, ἐνταῦθ' ἐγὼ παραθήσομαι, οὕτω κατὰ λέξιν διαγορεῦον· « Ἔστι τις τάξις εὐπρεπής, ἣν ἅπασαι αἱ τῶν δυτικῶν καὶ μεσημβρινῶν, καὶ ἀρκτῴων μερῶν τῆς οἰκουμένης παραφυλάττουσιν ἐκκλησίαι, καί τινες τῶν κατὰ τὴν ἑῴαν τόπων. Οὗ ἕνεκεν ἐπὶ τοῦ παρόντος καλῶς ἔχειν πάντες ἡγήσαντο. Καὶ αὐτὸς δὲ τῇ ὑμετέρᾳ ἀγχινοίᾳ ἀρέσειν ὑπεσχόμην· ἵνα ὅπερ δ' ἂν κατὰ τὴν Ῥωμαίων πόλιν καὶ Ἰταλίαν τε καὶ Ἀφρικὴν, καὶ ἅπασαν Αἴγυπτον, Ἱσπανίας, Γαλατίας, Βρεταννίας, Λιβύης, ὅλην Ἑλλάδα, Ἀσιανήν τε διοίκησιν καὶ Ποντικὴν, καὶ Κιλικίαν, μιᾷ καὶ συμφώνῳ φυλάττεσθαι γνώμῃ, ἀσμένως τοῦτο καὶ ἡ ὑμετέρα προσδέξηται σύνεσις· λογιζομένους, μὴ μόνον ὡς πλείων ἐστὶ κατὰ τοὺς προειρημένους τόπους ἐκκλησιῶν ἀριθμὸς, ἀλλὰ καὶ ὡς τοῦτο μάλιστα κοινῇ πάντας ὁσιώτατόν ἐστι βούλεσθαι. Ὅπερ καὶ ὁ ἀκριβὴς λόγος ἀπαιτεῖν δοκεῖ, καὶ οὐδεμίαν μετὰ τῆς Ἰουδαίων ἐπιορκίας ἔχειν κοινωνίαν. » Ἀλλ' ἡ μὲν τοῦ βασιλέως ἐπιστολὴ αὕτη· οἱ δὲ Τεσσαρεσκαιδεκατῖται ὑπὸ Ἰωάννου τοῦ ἀποστόλου τὴν τῆς σελήνης τεσσαρεσκαιδεκάτην παρατηρεῖν εἰληφέναι φασίν. Οἱ δὲ κατὰ τὴν Ῥώμην καὶ τὰ ἑσπέρια μέρη, Πέτρον καὶ Παῦλον τοὺς μεγίστους τῶν ἀποστόλων, τὴν τοιαύτην ἐκεῖ παραδεδωκέναι συνήθειαν φάσκουσιν. Ἔγγραφον μέντοι περὶ τούτου ἀπόδειξιν παρασχεῖν, οὐδεὶς ἂν ἔχοι δεῖξαι. Καὶ δὴ σοφῶς ἄρα μοι δοκοῦσιν οἱ περὶ Βίκτωρα καὶ Πολύκαρπον τὴν περὶ τῆς ἑορτῆς ταύτης σβέσαι φιλονεικίαν. Ἐπεὶ γὰρ οἱ πρὸς ἑσπέραν ἱερεῖς οὐ δεῖν ᾤοντο τὴν παράδοσιν ἀτιμάζειν Πέτρου καὶ Παύλου, διισχυρίζοντο δὲ καὶ Ἀσιανοὶ μὴ τῆς Ἰωάννου τοῦ Εὐαγγελιστοῦ ἐξίστασθαι παραδόσεως· συνεδόκει κοινῇ ἑκάστοις, ὡς εἰώθεισαν, τὴν ἑορτὴν ἐκτελεῖν· τῆς δὲ πρὸς ἀλλήλους κοινωνίας μηδόλως χωρίζεσθαι. Καὶ γὰρ εὔηθες ὑπέλαβον μάλιστα, ἐθῶν ἕνεκα ἀπ' ἀλλήλων διίστασθαι, συμφωνοῦντες περὶ τὰ καίρια τῆς θρησκείας.

CAPUT XXXIV.

De variis variarum gentium et ecclesiarum consuetudinibus, per quas nullum catholicæ religioni vel offendiculum vel dissidium et discordia est creata.

Quod vero consuetudinem potius quam legem secuti veteres plerisque in locis, ut quibusque visum erat, Pascha celebrarunt, inde facile colligitur. Non omnes etenim, quamvis ejusdem opi-

ΚΕΦΑΛ. ΛΔ'.

Περὶ τῶν ἐν διαφόροις ἔθνεσιν καὶ ἐκκλησίαις ποικίλων ἐθῶν· δι' ὧν οὐ πρόσκομμά τι διὰ ταῦτα τῇ καθόλου θρησκείᾳ ἐγίνετο ἢ τις διχόνοια καὶ διαίρεσις.

Ὅτι δὲ συνηθείᾳ τινὶ, οὐ νόμῳ, οἱ παλαιοὶ ἑπόμενοι, κατὰ χώρας ὡς ἑκάστῳ ἐδόκει, ἐπετέλουν τὸ Πάσχα, ἐκεῖθεν τεκμηριώσασθαι γένοιτο· οὐ γὰρ δὴ πάντες, κἂν ὁμόδοξοι εἶεν, τὰς αὐτὰς παραδόσεις

(1) Cæremoniarum dissimilitudine non læditur unitas Ecclesiæ. Gregor. papa.

κατὰ τὰς ἐκκλησίας φυλάττουσιν; Οἱ γὰρ τῆς αὐτῆς πίστεως πολλάκις κατὰ τὰ ἔθη διάφοροι καθεστήκασι· καὶ οὐδὲν τοῦτο τῇ εὐσεβείᾳ λυμαίνεται. Ἐνταῦθα δὲ γενομένῳ, δίκαιον μικρά τινα περὶ τῶν κατὰ τὰς ἐκκλησίας διαφόρων ἐθῶν ἡγοῦμαι διεξελθεῖν· ἃ πρότερον μὲν εἶχον, νῦν δὲ Θεοῦ χάριτι τῷ χρόνῳ μεταβληθέντων, εἰς ἓν ὁμοφρονῆσαι πάσας ἐγένετο. Καὶ πρῶτόν γε περὶ αὐτοῦ τοῦ Πάσχα διαληπτέον· τὰς γὰρ πρὸ τούτου νηστείας διαφόρως ἐν ἑκάστοις τὸ ἐξ ἀρχῆς φυλαττομένας εὑρίσκομεν. Ῥωμαῖοι μὲν γὰρ τρεῖς ἑξῆς συνημμένας ἑβδομάδας νηστεύουσιν ὑφαιρουμένων τῶν Σαββάτων καὶ τῶν Κυριακῶν· Ἰλλυρὶς δὲ πᾶσα καὶ ἡ Ἑλλὰς, πρὸς δὲ καὶ ἡ Ἀλεξάνδρεια, καὶ Λιβύη πᾶσα καὶ Αἴγυπτος καὶ Παλαιστίνη, ἐν ἓξ ἑβδομάσι τὴν πρὸ τοῦ Πάσχα νηστείαν περαίνουσι, Τεσσαρακοστὴν αὐτὴν ὀνομάζοντες. Ἕτεροι δὲ πρὸ ἑπτὰ ἑβδομάδων τῆς νηστείας κατάρχονται, ὡς ἐν Κωνσταντινουπόλει καὶ πέριξ ἄχρι Φοινίκων· τρεῖς δ' ἐν αὐταῖς ἄλλοι πενθημέρους ἐκ διαλειμμάτων νηστεύοντες, ἐπίσης καὶ αὐτοὶ Τεσσαρακοστὴν τὸν χρόνον τοῦτον καλοῦσιν· οἱ δὲ δύο οἱ τὰ Μοντανοῦ. Ἐν οἷς καὶ θαῦμά μοι ἔπεισι, πῶς ἅπαντες οὗτοι Τεσσαρακοστὴν αὐτὴν ὀνομάζουσι, κατὰ τὸ μέτρον τῶν ἡμερῶν οὐδὲν ἧττον διαφερόμενοι· κἂν ἄλλος ἄλλον λόγον συῤῥάπτοντες, τοὔνομα σεμνῶς ἐγκαλύπτειν πειρῶνται. Οὐ μόνον δὲ περὶ τὸ τῶν ἡμερῶν διαφωνοῦσι ποσὸν, ἀλλὰ καὶ τῷ ποιῷ τῶν ἐδεσμάτων, καὶ τῇ προσαγωγῇ τε καὶ ἀποχῇ πολλῷ διεστήκασιν· οἱ μὲν γὰρ πάμπαν ἐμψύχων οὐχ ἅπτονται· ἄλλοι δὲ καὶ ἅπτονται, ἀλλ' ἰχθύων μόνον. Εἰσὶ δὲ οἳ τῶν ἐμψύχων καὶ σὺν τοῖς ἰχθύσι καὶ τῶν πτηνῶν ἀπογεύονται, λέγοντες ἐξ ὕδατος καὶ ταῦτα ἐσχηκέναι τὴν γένεσιν, ὥς φησι Μωϋσῆς. Οἱ δὲ ᾠῶν ἀπέχονται· ἄλλοι δὲ ἀκρόδρυα τροφὴν ἔχουσιν. Εἰσὶ δὲ οἳ καὶ ξηροῦ ἄρτου μόνου μετέχουσιν· οἱ δὲ οὐδὲ τούτου. Διάφορος δὲ καὶ ἡ ὥρα τῆς ἑστιάσεως· οἱ μὲν γὰρ ἄχρις ἐνάτης, οἱ δὲ μετὰ δύσιν ἡλίου, ἄλλοι δὲ μετὰ μίαν ἡμέραν ἐσθίουσι τὴν ἑξῆς· ἄλλοι δὲ καὶ ἐπὶ τρεῖς καὶ τέσσαρας καὶ πέντε, καὶ μέχρι τῶν ἑπτὰ προΐασιν, ὡς ἑκάστῳ δύναμίς τε καὶ βούλησις. Καὶ ἄλλα παρ' ἄλλοις γένεσι καὶ φύλοις· ἐν οἷς καὶ μυρίαι αἰτίαι τῶν τοιούτων εἰσίν· ἐφ' οἷς ἅπασιν οὐδέν τι ἔγγραφον παράγγελμα δεῖξαί τις ἔχει. Ὡς δῆλον εἶναι, ὡς τὰ ἑκάστῃ δοκοῦντα προέτρεψαν οἱ ἀπ' ἀρχῆς ὑπηρέται τοῦ Λόγου· ἵν' ἐξῇ ἑκάστῳ, μὴ φόβῳ μηδ' ἀνάγκῃ τινὶ τὸ ἀγαθὸν αἱρεῖσθαι. Ἀλλὰ περὶ μὲν νηστειῶν τοῦ Πάσχα καὶ τῆς τροφῆς τοσαῦται διαφωνίαι τὸ ἐξ ἀρχῆς κατὰ τὰς ἐκκλησίας ἦσαν. Ἀλλὰ μὴν καὶ περὶ συνάξεων ἄλλα πλεῖστα καὶ ἀδιάφορα ἔστιν εὑρεῖν· τῶν γὰρ ἁπανταχοῦ τῆς οἰκουμένης ἐκκλησιῶν ἐν ταῖς τῶν Σαββάτων ἡμέραις ἐξ ἔθους ἐχουσῶν καθ' ἑβδομάδος περιτροπὴν τὰ θεῖα μυστήρια ἐκτελεῖν, Ῥωμαῖοί τε καὶ Ἀλεξανδρεῖς καὶ ὅσοι τὴν Θηβαΐδα περιοικοῦσι συνάξεις μὲν κατὰ Σάββατον ἐπιτελοῦσιν· οὐ μὴν ὥσπερ ἦν ἔθος τότε πᾶσι Χριστιανοῖς, καὶ τῶν θείων ἁγιασμάτων μετεῖχον. Ἀλλὰ μετὰ τὸ ἱκανῶς εὐωχη-

nionis essent, easdem traditiones in ecclesiis servarunt. Et qui eamdem colebant fidem, sæpe consuetudinum observatione inter se variarunt. Neque id veræ pietati detrimento fuit. Porro cum ad hunc locum pervenerimus, æquum visum est, pauca quædam de diversis ecclesiarum moribus commemorare: qui antea quidem sic varie obtinuerunt, nunc autem per gratiam Dei cum tempore mutati, ad consentientem concordiam apud omnes pervenerunt. Et primum de observatione Paschalis festi dicendum. Quæ enim eas præcedunt ferias jejunia, varie apud quosque ab initio servata comperimus. Romani namque tres continuas hebdomadas, Sabbatis et Dominicis diebus exceptis, jejunarunt. Illyrici autem, et cuncta Græcia, præterea Alexandria et Libya omnis, Ægyptus et Palæstina, sex hebdomadibus ante festum Paschæ jejunium continuarunt, Quadragesimam tempus id nominantes. Alii rursus ante septem hebdomades jejunare inceperunt: sicuti Constantinopoli, et circumcirca ad Phœniciam usque, **295** tribus tantum hebdomadibus quinos dies ex intervallo (1), binis septimanis intermissis, a cibis se abstinentes, itidem Quadragesimam tempus tale vocarunt: Montanistæ vero duabus. Quos mihi demirari in mentem venit, quomodo omnes isti in dierum numero sic variantes, Quadragesimam tamen jejunii tempus vocent. Quamvis alii aliam rationem texentes, nomini ei honestum prætextum obtendant. Non solum vero de dierum numero, verum etiam de cibis ipsis, de aditu ad sacra mysteria, et abstinentia, multum inter se dissident. Quidam enim animata prorsus non attingunt: alii autem attingunt, sed pisces solos. Sunt qui animata quoque cum piscibus volatilia degustant: ex aquis ea quoque progenita esse, ut Moses inquit, dicentes. Nonnulli ab ovis et nucibus sive baccis abstinent. Nonnulli vero arborum fructibus vescuntur. Quidam panem siccum tantum comedunt: quidam vero ne hunc quidem attingunt. Diversum etiam est cibi capiendi tempus. Aliqui namque hora nona, aliqui post occasum solum, quidam post diem unam sequenti die cibum capiunt: nonnulli vero ad tres, ad quatuor, ad quinque, et ad septem usque dies dapibus abstinentes procedunt: pro eo atque quisque cibo carere vel vult, vel potest. Et alia apud alias gentes et populos fiunt, apud quos rerum talium innumeræ exstant causæ: de quibus omnibus nullum præceptum, quod in scriptum relatum sit, ostendi potest. Ut satis constet, primos illos verbi ministros, ab initio observationes ejusmodi arbitrio quorumque reliquisse, ut quisque non metu aut necessitate quapiam adductus, quod bonum est, deligere et sequi posset. Porro in jejuniis ferias Paschales præcedentibus, et in jejunantium cibis, a principio in ecclesiis hujusmodi diversitas fuit. Verum in Synaxi pluri-

(1) Τρεῖς μόνας πενθημέρους ἐκ διαλειμμάτων νηστεύοντες. Socrat.

mam varietatem fuisse invenimus. Cum enim pleræque omnes per orbem ecclesiæ diebus Sabbati consuetudinem haberent hebdomadis unius tempore divinis mysteriis operari. Romani et Alexandrini ex antiqua quadam traditione hoc non faciebant. Ægyptii vero Alexandrinis vicini, et qui circum Thebaidem habitant, synaxes quidem die Sabbati peragebant : sed non eadem, qua tum Christiani utebantur consuetudine, divinam sanctificationem percipiebant. Verum **296** cum abunde convivati essent, et omnis generis cibis delicatius se replevissent, a prandio scilicet, circiter vesperam multam, mysteria oblatione peracta percipiebant. Quarta hebdomadis die, et ea quæ Parasceve dicitur, Alexandrini Scripturas legebant, doctoribus eas interpretantibus : omniaque quæ ad Synaxim pertinent, peragebant, præter divinorum mysteriorum perceptionem. Atque eam illi antiquitus habuere consuetudinem. Dicunt etenim, et Origenem plurimum diebus istis in ecclesia docuisse, atque synaxes seu conventus egisse. Qui cum sapientia et doctrina multis præstaret, et perspectum haberet, infirmiorem esse Mosaicam legem, quam ut nullo modo ad litteram reddi atque exprimi posset, rationem festi Paschæ ad speculativam contemplationem revocavit, unum solum esse verum Pascha dicens, quod Christus peregit, præclare adversus hostiles potestates re gesta, cum in crucem suffigeretur, longe optime eo contra adversarium usus tropæo. In eadem Alexandria, in lectorum et notariorum ordine discrimen nullum fuit, sive illi jam fideles, sive catechumeni, hoc est, qui sacra doctrina instituerentur, essent, cum ecclesiæ in locis omnibus aliæ fideles tantum in ordinem hunc legerent. In Thessalia et hoc factitatum esse liquet. Licebat clerico cuivis, priusquam in ordinem eum cooptaretur, legitime uxorem ducere : at si postea, ut consuetudine receptum est, uxorem cognovisset, ordine eo movebatur : cum in Oriente omnes, atque etiam episcopi, si vellent, pro arbitrio suo, non aliqua legis necessitate coacti, uxorum congressum declinarent : multi etiam ipso episcopali munere fungentes, in episcopalibus ædibus liberos multos ex conjugibus, quas sibi legitimo matrimonio antea conjunxissent, susciperent. Nunc autem vel etiam in somnis episcopus cum uxore sua concumbens, impudicus habetur. Sed enim consuetudo ea quæ in Thessalia servatur, ab Heliodoro (1) illo Tricensi episcopo ortum habuit : cujus amatorii libelli hoc quoque tempore circumferuntur, quæ adhuc juvenis composuit, et Æthiopica inscripsit. Nunc autem ea Charicleam nominant. Quo nomine etiam episcopatus ei ademptus est : nam cum lectione eorum opusculorum juvenes multi in periculum conjicerentur, synodus provincialis statuit, **297** vel libellos ipsos qui amores accenderent, igni consum-

A θῆναι καὶ παντοίοις ἐνηδυνθῆναι ἐδέσμασιν, ἠριστηκότες ἤδη, περὶ βαθεῖαν ἑσπέραν τὰ μυστήρια προσφέροντες μετελάμβανον. Καὶ ἐν Τετράδι καὶ ἡ Παρασκευὴ λέγεται, Ἀλεξανδρεῖς Γραφάς τε ἀνεγίνωσκον, τῶν διδασκάλων ταύτας ἑρμηνευόντων· καὶ πάντα τὰ τῆς συνάξεως ἔπραττον, πλὴν τῆς θείας τῶν μυστηρίων μυήσεως. Ἐξ ἀρχαίου δὲ τοῦτ' ἦν ἔθος Ἀλεξανδρεῦσι. Φασὶ καὶ γὰρ Ὠριγένην ἐν ταύταις μόναις τὰς συνάξεις ποιεῖν ἐπ' ἐκκλησίας· ὃς σοφίᾳ καὶ διδασκαλίᾳ τῶν πολλῶν διαφέρων, συνιδών τε ὡς τὸ ἀδύνατον τοῦ Μωσαϊκοῦ νόμου ἀσθενεῖ πρὸς τὸ γράμμα ἀποδοθῆναι τὸν περὶ τοῦ Πάσχα λόγον, εἰς θεωρίαν ἀνήγαγεν, ἓν μόνον φάσκων ἀληθὲς γενέσθαι Πάσχα, ὅπερ Χριστὸς ἐπετέλεσεν ἐνεργήσας κατὰ τῶν ἀντικειμένων δυνάμεων, B ἀναρτηθεὶς τῷ σταυρῷ· ᾧ δὴ ἀρίστῳ τροπαίῳ κατὰ τοῦ ἀντιπάλου ἐχρήσατο. Ἐν δὲ τῇ αὐτῇ Ἀλεξανδρείᾳ τὸ τῶν ἀναγνωστῶν καὶ συμβολαιογράφων τάγμα ἐν ἀδιαφόρῳ ἐστὶν, εἴτε πιστοί εἰσιν, εἴτε καὶ κατηχούμενοι, τῶν ἁπανταχοῦ ἄλλων ἐκκλησιῶν πιστοὺς εἰς τὸ τάγμα τοῦτο προβεβλημένων. Ἐν δὲ τῇ Θετταλῶν καὶ τοῦτο γενέσθαι φασί. Κληρικὸς γὰρ ἐκεῖσε ἀνὴρ, πρὶν ἢ γένηται τοῦτο, νόμῳ γυναῖκα ἠγάγετο. Τὴν δὲ γυναῖκα, ὡς ἔθος, γνοὺς, ἀπόκληρος ἦν, τῶν ἀνὰ τὴν ἕω πάντων γνώμῃ ἀπεχομένων· καὶ τῶν ἐπισκόπων, εἰ καὶ βούλοιντο, οὐ μὴν ἀνάγκῃ νόμου τοῦτο ποιούντων. Πολλοὶ γὰρ αὐτῶν τῷ ἐπισκοπικῷ ἱερατεύειν καὶ πολλοὺς ἐν τοῖς ἐπισκοπείοις παῖδας ἀπέτεκον ἐκ τῶν γαμετῶν ἃς νομίμως ἠγάγοντο C πρότερον. Νῦν δὲ οὐδ' ἐν ὀνείρῳ ἐπίσκοπος γυναικὶ συγκαθευδήσας ἀκόλαστος. Ἀλλὰ τοῦ μὲν ἐν Θεσσαλίᾳ ἔθους προκατῆρξεν Ἡλιόδωρος ἐκεῖνος, Τρίκης ἐπίσκοπος· οὗ πονήματα ἐρωτικὰ εἰσέτι νῦν περιφέρεται, ἃ νέος ὢν συνετάξατο, *Αἰθιοπικὰ* προσαγορεύσας αὐτὰ, νῦν δὲ καλοῦσι ταῦτα *Χαρίκλειαν*· δι' ἃ καὶ τὴν ἐπισκοπὴν ἀφῃρέθη· ἐπειδὴ γὰρ πολλοῖς τῶν νέων κινδυνεύειν ἐκεῖθεν ἐπῄει, ἡ ἐγχώριος προσέταττε σύνοδος ἢ τὰς βίβλους ἀφανίζειν, καὶ πυρὶ δαπανᾷν, ὑποναπτούσας τὸν ἔρωτα, ἢ μὴ χρῆναι ἱερᾶσθαι τοιαῦτα συνθέμενον· τὸν δὲ μᾶλλον ἑλέσθαι τὴν ἱερωσύνην λιπεῖν, ἢ ἐκ μέσου τιθέναι τὸ σύγγραμμα. Ὃ καὶ ἐγένετο. Διετηρεῖτο δὲ τὸ ἔθος τοῦτο ἔν τε Θεσσαλονίκῃ, αὐτῇ τε πάσῃ Μακεδονίᾳ καὶ Ἑλλάδι. Καὶ ἄλλο δὲ ἔθος ἐν Θεσσαλίᾳ D ἦν· κατὰ γὰρ τὰς ἡμέρας τοῦ Πάσχα μόνον ἐβάπτιζον· διὸ καὶ πολλοὶ ἐντεῦθεν ἀμύητοι ἔθνησκον. Ἐν δὲ τῇ κατ' Ἀντιόχειαν τῆς Συρίας τὰ θυσιαστήρια τὴν θέσιν τοῖς ἄλλοις ἀντιστρόφως εἶχον· οὐ γὰρ πρὸς ἕω, ἀλλὰ πρὸς δύσιν ἑώρα τὸ θυσιαστήριον. Ἔν γε μὴν Αἰλίᾳ καὶ Θεσσαλίᾳ καὶ Ἑλλάδι τὰς ἐν ταῖς λυχνοκαΐαις εὐχὰς ἐπίσης τοῖς ἐν Κωνσταντινουπόλει Ναυατιανοῖς ἐποίουν. Ὡσαύτως δὲ καὶ ἐν Κύπρῳ καὶ Καισαρείᾳ τῆς Καππαδοκίας ἐν ἡμέρᾳ Σαββάτου τε καὶ Κυριακῆς περὶ ἑσπέραν μετὰ τὴν λυχναψίαν οἵ τε ἐπίσκοποι καὶ οἱ πρεσβύτεροι τὰς ἱερὰς Γραφὰς τῷ λαῷ ἑρμηνεύουσιν. Οἱ δ' ἐν Ἑλλησπόντῳ τὰ Ναυάτου φρονοῦντες οὐ τὰς εὐχὰς ἐπίσης

(1) Hunc Heliodorum non dilutæ auctoritatis scriptorem esse scripsit Angelus Polit. *Miscellan.* cap. 3.

εἰσάπαν ἐποίουν τοῖς ἐν Κωνσταντινουπόλει τὰ ἴσα στέργουσι· τὰ πολλὰ δὲ παραπλήσια ἔπραττον τῇ κρατούσῃ Ἐκκλησίᾳ. Καθόλου δ' ὡς εἰπεῖν ἐν πάσαις ταῖς δόξαις οὐδαμῶς ἔστιν εὑρεῖν μίαν συμφωνίαν ἐν εὐχαῖς ἔχειν. Οἱ περὶ τὸν Ἴστρον Σκῦθαι, πολλὰς καὶ μεγάλας ἔχοντες πόλεις, ὑφ' ἑνὶ πάντες ἐπισκόπῳ τάττονται. Ἐν δ' ἄλλοις ἔθνεσιν ἔγνωμεν, μὴ μόνον ἐν πόλει, ἀλλὰ καὶ ἐφ' ἑκάστῃ κώμῃ ἱερᾶσθαι ἐπίσκοπον· ὃ δὴ μάλιστα Ἀράβιοι ἔθος εἶχον καὶ Κύπριοι, καὶ οἱ ἐν Φρυγίᾳ Ναυατιανοὶ, καὶ οἱ ἀπὸ Μοντανοῦ καταγόμενοι. Παρὰ δὲ τῇ Ῥώμῃ ἄχρι τοῦ νῦν πλείους τῶν ἑπτὰ διάκονοι οὐ γίνονται, εἰς μίμησιν τῶν παρὰ τῶν ἀποστόλων χειροτονηθέντων, ὧν ἡγεῖτο Στέφανος, ὁ πρῶτος τὸν μαρτυρικὸν ἀναδησάμενος στέφανον. Παρὰ δὲ τοῖς ἄλλοις πᾶσιν ὁ ἀριθμὸς τούτων ὡς ἔτυχεν ἐπὶ Ῥώμης καθ' ἕκαστον ἔτος ἅπαξ τὸ Ἀλληλούϊα ψάλλουσι, κατὰ τὴν κυριώνυμον τῆς Πασχαλίας ἡμέραν· ὃ δὴ καὶ πολλοῖς εἰς ὅρκον κεῖται εὐχῆς, ὥστ' ἀξιωθῆναι ἀκοῦσαι τὸ Ἀλληλούϊα καὶ μεθ' ἡδονῆς ψᾶλαι. Οὔτε δέ τις τῶν Ῥώμης ἐπισκόπων, οὔτ' ἄλλος τις ἐπ' ἐκκλησίᾳ προσομιλεῖ τῷ λαῷ· ἐν δ' Ἀλεξανδρείᾳ μόνος τοῦτο ἔπραττε τῆς πόλεως ὁ ἐπίσκοπος. Λόγος γε μὴν ἔχει ὕστερον ἐπιγενέσθαι, μὴ ἐξ ἔθους ὂν πρότερον. Αἴτιος δ' ἐγένετο Ἄρειος· ὃς πρεσβύτερος ὢν, καὶ διδάσκειν προβεβλημένος, κατὰ τοῦ ἀληθοῦς ἐνεωτέρισε δόγματος, καὶ τὴν Ἐκκλησίαν ἐτάραξε. Ξένον δὲ καὶ παντάπασιν ἀηθες τῇ Ἐκκλησίᾳ παρὰ Ἀλεξανδρεῦσιν ἔγνων πάλαι γινόμενον· οὐδαμῶς γὰρ ἐπανίστατο ὁ ἐπίσκοπος τῶν ἱερῶν Εὐαγγελίων ἀναγινωσκομένων· ὃ ἐν οὐδεμιᾷ τῶν ἐκκλησιῶν ἢ ἔγνω ἢ ἤκουσέ τις πάλαι γεγενημένον. Ταύτην δὲ τὴν ἱερὰν βίβλον ἐκεῖσε μόνος ἀεὶ ἀναγινώσκει ὁ ἀρχιδιάκονος· ἐν ἄλλαις δὲ ἐκκλησίαις διάκονοι· ἐν πολλαῖς δὲ ἄλλαις μόνοι οἱ ἱερεῖς· ἔν τισι δὲ τῶν ἐπισήμων ἡμερῶν καὶ ἐπίσκοποι· ὥσπερ ἐν Κωνσταντινουπόλει ἄχρι τοῦ νῦν πράττεται, καὶ μάλιστα κατὰ τὴν πρώτην ἡμέραν τῆς Πασχαλίου ἑορτῆς, καὶ ἐν τῇ πρώτῃ εἰσόδῳ τοῦ ἐνιαυτοῦ. Ἃ καὶ διπλῶς ἐκφωνοῦνται· ὅσον γὰρ ἐκεῖνος λέγει, ἔπειτα λέγει τοῦτο καὶ ὁ διάκονος· ὥς γε οἴομαι, ἵνα δοκῇ καὶ ὁ ἐπίσκοπος κηρύττειν αὐτὸ, καὶ μὴ μόνον οἱ τοῦτο λαχόντες διακονεῖν. Ἴσως δὲ καὶ ὡς βροντῆς δίκην οὐρανόθεν ἀκούοντες, ἀπαραποιήτως οὕτω διαγγέλλομεν. Ἀναγινώσκει δὲ καὶ τὸ πρῶτον τῆς διαθήκης Εὐαγγέλιον, ὡς ἐντελῆ τὸν τύπον φέρων Χριστοῦ. Εὐχὰς δὲ καὶ ψαλμῳδίας οὐ τὰς αὐτὰς, ὡς εἴρηται, αἱ ἐκκλησίαι ἅπασαι ἔχουσιν, ἀλλ' οὐδὲ τὰς αὐτὰς βίβλους καὶ ἀναγνώσματα. Τὴν γοῦν καλουμένην Ἀποκάλυψιν Πέτρου, ὡς νόθον παρὰ τῶν ἀρχαίων δοκιμασθεῖσαν, παρὰ Παλαιστινοῖς ἐν ἐκκλησίαις τισὶν ἅπαξ ἑκάστου ἔτους μέχρι πολλοῦ ἀναγινωσκομένην εὕρομεν κατὰ τὴν ἡμέραν τῆς Παρασκευῆς· ἣν ὁ λαὸς μετ' εὐλαβείας καὶ συντριμμοῦ νηστεύει ἐπὶ ἀναμνήσει τοῦ σωτηρίου πάθους· τὴν δὲ λεγομένην Ἀποκάλυψιν Παύλου τοῦ ἀποστόλου, ἣν οὐδεὶς τῶν πάλαι ἀνθρώπων εἶδε, δι' αἰδοῦς πρότερον ἐν

ptos abolendos, vel qui eos composuisset auctori functionem episcopalem abrogandam esse. Ille vero episcopatum deponere, quam scripta sua supprimere maluit. Hæc autem consuetudo Thessalonicæ, atque in Macedonia, et Græcia omni, servata est. Alius item in Thessalia mos fuit, ut Paschalibus tantum diebus baptismus perageretur : quapropter multi etiam eo sacramento non initiati decessere. In urbe Antiochena, quæ in Syria est, altaria (1) diversum prorsus quam alibi situm habuere. Sacra enim ara non ad Orientem, sed ad Occidentem versus collocata fuerat. Hierosolymis, et in Thessalia, atque etiam in Græcia, consuetudo fuit, ut preces in pervigiliis ad lucernas accensas eodem quo Novatiani, Constantinopoli, modo peragerent. Consimiliter in Cypro et Cæsareæ Cappadocum, in Sabbato, et Dominico die vesperi, post lucernarum accensionem, episcopi et presbyteri sacras Scripturas populo exponunt. Novatiani autem, qui in Hellesponto sunt, non eumdem orationis ritum, quem factionis eorum populares Constantinopoli, servant, cæremonias obtinentis ibi Ecclesiæ catholicæ plurimum sequentes. Et ut in summa dicam, in opinionibus et sectis omnibus, haudquaquam in precationibus unum aut alterum consentientem ritum servatum esse, invenire est. Scythæ qui ad Istrum colunt, multas et magnas habent civitates, et omnes uni subjectæ sunt episcopo. In aliis autem populis, non solum in urbibus, verum etiam in quibusque vicis, episcopos esse scimus. Quæ consuetudo apud Arabes potissimum, et Cyprios, et in Phrygia apud Novatianos, atque apud eos qui a Montano deducti sunt, fuit. Romæ ad hodiernum usque diem non plures quam septem diaconi fiunt, ad eorum instar qui ab apostolis creati sunt, quibus Stephanus ille præfuit, qui primus martyrii reportavit coronam. Apud alios populos omnes, quem sors tulit, eorum numerus est. In Romana urbe itidem quotannis semel Alleluia, paschali Dominico die concinunt. Proinde (2) a multis jurejurando concipiendo, votisque nuncupandis, usurpatum est, ut eis Alleluia audire, et cum lætitia canere daretur. **298** Neque episcopus, neque alius quisquam in ecclesia Romæ ad populum docens verba facit. Alexandriæ autem solus hoc munere fungitur episcopus : quod quidem postea, cum antea mos is non fuerit, est observatum. Causam consuetudini novæ præbuit Arius, qui quod presbyter esset, et docendi provinciam accepisset, contra veritatis doctrinam res novas inducens, Ecclesiam turbavit. In eadem Alexandrina ecclesia, quod in locis aliis omnibus novum atque insolens est, olim obtinuisse scio. Episcopus namque cum sacra Evangelia legerentur, non assurgebat. Id vero in ulla plane ecclesia antiquitus factum esse, nemo vel vidit, vel audivit. Sacrum eum librum ibi solus legit archidiaconus : in aliis autem ecclesiis

(1) Et ipsa quoque ecclesia. Socr.

(2) Sozom. lib. VII, cap. 19.

A πολλοῖς τῶν μοναχῶν ἄγεσθαι· λόγος γε μὴν εἶχεν ἐπὶ τῆς Θεοδοσίου βασιλείας τὴν βίβλον ταύτην θείᾳ τινὶ ἐπιφανείᾳ ὀφθῆναι ἀνὰ τὴν πατρίδα, καὶ οἰκίαν Παύλου ἐν Ταρσῷ τῆς Κιλικίας, μαρμαρίνῃ λάρνακι κρυπτομένην εἰς γῆν· ἐν ᾗ τὴν βίβλον κεῖσθαι· ὃ δὴ, ψεῦδος εἶναι Κίλιξ ἀνὴρ πρεσβύτερος ὡμολόγει τῆς ἐν Ταρσῷ ἐκκλησίας. Ὅτι δὲ πολλῶν ἐτῶν ἦν, ἐμήνυε καὶ ἡ πολιά. Διεμαρτύρετο δὲ μηδὲν τοιοῦτον ἐπ' αὐτοῦ συμβῆναι· θαυμάζων δὲ διετείνετο, εἰ μὴ ταῦτα πρὸς αἱρετικῶν ἀνεπλάσθη· ὡς καὶ ἐν ἄλλαις πολλαῖς τῶν βίβλων ἐγένετο, περὶ ὧν καὶ πρότερον διελάβομεν. Ῥωμαίοις ἔθος κατὰ πᾶν Σάββατον νηστεύειν. Ἐν Καισαρείᾳ τῆς Καππαδοκίας τοὺς ἡμαρτηκότας μετὰ τὸ βάπτισμα τῆς κοινωνίας ἐξώθουν, ὡς καὶ Ναυατιανοὶ ποιοῦσι. Τὰ ἴσα δὲ καὶ B ἐν Ἑλλησπόντῳ Ναυατιανοὶ διεπράττοντο, καὶ οἱ ἐν Ἀσίᾳ Τεσσαρεσκαιδεκατῖται. Οἱ περὶ Φρυγίαν Ναυατιανοὶ τοὺς διγάμους οὐ δέχονται. Οἱ δὲ ἐν Κωνσταντινουπόλει οὔτε φανερῶς δέχονται, οὔτε φανερῶς ἐκβάλλουσιν, ἀνὰ δὲ τὴν ἑσπέραν ἀδεῶς τοῦτο πράττεται. Τὰς δὲ τοιαύτας διαφωνίας ταῖς ἐκκλησίαις γενέσθαι οἴομαι αἰδοῖ τῶν ἐξ ἀρχῆς προεστώτων ἐν ταύταις, καὶ τῶν ἐκείνους διαδεξαμένων. Οἷα γάρ τινα νόμον παραλαβόντες, τοῖς ἐπιγενομένοις παρέπεμψαν, οὐχ ὅσιον λογισάμενοι, οὐδὲ ἀνεκτὸν, οἱ τούτοις ἐντραφέντες, ἀγέραστον καταλιπεῖν τὴν παράδοσιν. Ἐργῶδες δ' ἔμοιγε καὶ δυσεπιχείρητον πάντα τὰ κατὰ πόλεις καὶ χώρας ἔθη διάφορα τῶν ἐκκλησιῶν ἀριθμεῖσθαι καὶ γραφῇ διδόναι· σχεδὸν C δὲ καὶ ἀδύνατον. Ἐπίσης δὲ νομιστέον πεπονθέναι καὶ τοὺς ἀρχαίους ἄνδρας καὶ περὶ ταύτην τὴν ἑορτὴν, ἧς ἕνεκα εἰς τοὺς περὶ τούτων ἐξήχθημεν λόγους· ὡς ἔκ τινος συνηθείας διάφορον ἔσχε τὸ Πάσχα τιμήν. Νῦν δὲ Θεοῦ χάριτι τῶν ἐν μέσῳ πάντων τῷ χρόνῳ διαλυθέντων, σύμφωνος παρὰ πᾶσιν ἡ τοῦ Πάσχα ἑορτὴ ταῖς ἐκκλησίαις Χριστοῦ ἐπιγίνεται· καὶ τοίνυν ἐσφάλθαι μοι δοκοῦσιν οἱ διαθρυλλήσαντες τὴν ἐν Νικαίᾳ πίστιν παρατρέψαι τὸ Πάσχα. Ἡ γὰρ σύνοδος σύμφωνον καταστῆσαι μᾶλλον ἐσπούδασε τὸν λαὸν, διαφωνοῦντα τὸ πρότερον πρὸς τοὺς πλείονας.

diaconi, in multis vero aliis soli sacerdotes, in A nonnullis quoque diebus celebrioribus etiam episcopi. Id quod hodie quoque Constantinopoli fit, et maxime Paschalium feriarum die prima, et primo anni ipsius ingressu. Atque ea lectio dupliciter fit. Quantum namque evangelici scripti prior ille recitat, tantum postea quoque diaconus repetit scilicet, sicuti ego existimo, ut episcopus etiam Evangelium, et non tantum qui ministerium id sortiti sunt, prædicare videatur. Et fortasse etiam, ut id cœlitus fulminis more intonans audientes, sincere absque simulatione et depravatione omni annuntiemus. Episcopus vero etiam primum testamenti Evangelium legit, veluti perfectam personam Christi referens. Porro precationes itidem et B psalmodias, sicuti dictum est, non easdem ecclesiæ omnes habent, sed neque libros aut lectiones easdem. Nam eam quæ dicitur Petri Apocalypsim, ut subdititiam et illegitimam a veteribus judicatam, apud Palæstinos in ecclesiis quibusdam semel quotannis in die Parasceves aliquandiu legi solitam fuisse invenimus : qua die populus magna cum religione et contritione salutiferæ passionis Christi memoriæ ergo jejunat. Rursum eam quæ Pauli apostoli dicta est Apocalypsim, quam ex priscis hominibus nemo vidit, monachi plures cum veneratione admirantur. Fama quidem increbuit, hoc ipso imperantis Theodosii tempore, revelatione divina repertum esse librum eum, in patria,
299 paternaque domo Pauli Tarsi Ciliciæ, in arca C marmorea repositum, et in terra defossum (1). Quod sane falsum esse, presbyter quidam ecclesiæ Tarsensis grandævus admodum (nam id canities testabatur) confessus est : nihil enim ejusmodi suo tempore evenisse confirmavit. Quod cum asseveraret, admiratus est, si non ab hæreticis fama ea conficta esset. Id quod in multis etiam aliis libris factum esse, antea diximus. Romanis mos est, Sabbato (2) quovis jejunare. Cæsareæ Cappadocum, qui post baptismum peccassent, eos a communione arcebant : quod itidem Novatiani faciunt. Idem Macedoniani quoque in Hellesponto, et item Quartodecimani in Asia observavere. Novatiani in Phrygia digamos, et eos qui ad secundas nuptias transiissent, non recipiunt. Qui vero Constantinopoli sunt eorum populares, propalam eos neque admittunt, neque rejiciunt. In Occidente autem id liberum est prorsus. Sed enim dissensiones tales in ecclesiis invaluisse opinor, reverentia eorum qui eis ab initio præfuerunt, et qui illis deinde successerunt. Nam ii tanquam leges quasdam ab illis acceptas, per manus posteris tradidere : non satis pium, neque ferendum esse arbitrati, si traditiones, in quibus educati essent, non honorifice colerent, sed contemptim rejicerent. At mihi valde laboriosum et difficile esset, variantes per urbes et regiones omnes ecclesiarum consuetudines enumerare et perscribere. Fere enim fieri id omnino nequit. Eamdem autem priscos homines existimandum est obtinuisse de festo hoc die, cujus gratia in hunc locum digressi sumus, opinionem : quod scilicet ex consuetudine quadam diversum habuit festum Paschæ cultum.

(1) Sozom. lib. VII, cap. 19.

(2) Consulit Ambrosium hominem Dei Augustinus adhuc catechumenus, utrum secundum morem suæ civitatis mater ejus Sabbato jejunare, an Mediolanensis Ecclesiæ more prandere deberet. At ille, *Quid possum*, inquit, *hic docere amplius quam ipse facio? Quando hic sum, non jejuno Sabbato; quando Romæ sum, jejuno Sabbato. Et ad quamcunque ecclesiam veneritis*, inquit, *ejus morem servate, si pati scandalum non vultis, aut facere : custodita scilicet eorum inter quos vivimus in his rebus inoffensa societate, et cavendo, ne tempestate contentionis serenitas charitatis obnubiletur.* Aug. epist. 86.

Nunc vero divina suppeditante gratia, impedimentis et dissensionibus omnibus temporis cursu sublatis, concordibus sententiis apud omnes in ecclesiis Christi festus dies Paschæ celebratur. Errare autem illi, quemadmodum prius quoque dixi, mihi videntur, quorum sermonibus increbuit, Nicænam fidem Paschæ ferias in errorem et varietatem ejusmodi adduxisse. Nam synodus eam operam potius navavit, ut populus qui antea a parte majore dissentiebat, ad unanimem concordiam pertraheretur.

ΚΕΦΑΛ. ΛΕ'.

Ὅτι ἐξ ἀρχαίου ἀπὸ τῶν ἀποστολικῶν χρόνων διαφωνίαι τινὲς καὶ παρατηρήσεις ἦσαν· τοῖς δὲ οὐ τοσοῦτον ἔμελλε τούτων· ἀλλὰ τἀναγκαῖα καὶ συστατικὰ τῆς πίστεως φυλάττειν μᾶλλον ἐκέλευον.

Ὅτι δὲ καὶ ἀπὸ τῶν ἀποστολικῶν χρόνων πολλαὶ διαφωνίαι διά τινας παρατηρήσεις ἐγένοντο, αὐτοὺς ἐκείνους παρέξομαι μάρτυρας. Ἱστορεῖ γὰρ ὁ θεῖος Λουκᾶς τῇ βίβλῳ τῶν Πράξεων· *Ἐπεὶ οἱ ἀπόστολοι ἔγνωσαν διαφωνίαν ἀπὸ τῶν ἐθνῶν γινομένην τοῖς πιστεύουσιν, ὁμοῦ συναχθέντες ἅπαντες ἐθέσπιζον ἐν εἴδει ἐπιστολῆς· δι' ἧς τούς τε πιστοὺς τῆς μοχθηρᾶς τοῦ νόμου δουλείας ἠλευθέρουν, καὶ τῆς περιττῆς ἐν τούτῳ ἐρεσχελίας ἐπέσχον· τύπον δ' ἀσφαλῆ τῆς ὀρθῆς πολιτείας καὶ πρὸς θεοσέβειαν ἄγουσαν ἐκδιδάσκουσιν· ὅσα μέντοι ἀναγκαῖα φυλάττειν, διαῤῥήδην κηρύττοντες.* Ἐγὼ δὲ καὶ αὐτὴν ἐκείνην αὐτῶν τὴν ἐπιστολὴν δι' εἴδησιν τῇ συγγραφῇ καταλέξαι οὐκ ἄκαιρον ἥγημαι. « *Οἱ ἀπόστολοι, καὶ οἱ πρεσβύτεροι καὶ οἱ ἀδελφοὶ, τοῖς κατὰ τὴν Ἀντιόχειαν καὶ Συρίαν καὶ Κιλικίαν ἀδελφοῖς τοῖς ἐξ ἐθνῶν χαίρειν. Ἐπειδὴ ἠκούσαμεν ὅτι τινὲς ἐξελθόντες ἐξ ἡμῶν, ἐτάραξαν ὑμᾶς λόγοις ἀνασκευάζοντες τὰς ψυχὰς ὑμῶν, λέγοντες περιτέμνεσθαι, καὶ τηρεῖν τὸν νόμον, οἷς οὐ διεστειλάμεθα, ἔδοξεν ἡμῖν γενομένοις ὁμοθυμαδὸν, ἐκλεξαμένους ἄνδρας πέμψαι πρὸς ὑμᾶς, σὺν τοῖς ἀγαπητοῖς ὑμῶν Βαρνάβᾳ τε καὶ Παύλῳ ἀνθρώποις παραδεδωκόσι τὴν ψυχὴν αὐτῶν ὑπὲρ τοῦ ὀνόματος Ἰησοῦ Χριστοῦ. Ἀπεστάλκαμεν οὖν Ἰούδαν καὶ Σίλλαν, καὶ αὐτοὺς διὰ λόγου ἀπαγγέλλοντας τὰ αὐτά. Ἔδοξε γὰρ τῷ ἁγίῳ Πνεύματι καὶ ἡμῖν, μηδὲν πλέον ἐπιτίθεσθαι ὑμῖν βάρος πλὴν τῶν ἐπάναγκες τούτων· ἀπέχεσθαι εἰδωλοθύτων καὶ αἵματος, καὶ τῆς πορνείας καὶ τοῦ πνικτοῦ· ἐξ ὧν διατηροῦντες ἑαυτοὺς, εὖ πράξετε. Ἔῤῥωσθε.* » Ταῦτα ἔδοξε τῷ Θεῷ· τοῦτο γὰρ, φησὶν ἡ ἐπιστολή· *Ἔδοξε τῷ ἁγίῳ Πνεύματι, μηδὲν ἄλλο ἐπιτίθεσθαι βάρος πλὴν τῶν ἐξ ἀνάγκης ὀφειλόντων φυλάττεσθαι.* Τινὲς δὲ τούτων ἀμελήσαντες, πᾶσαν μὲν πορνείαν παρ' οὐδὲν λογίζονται· περὶ δὲ ἡμερῶν τε καὶ ἑορτῶν καὶ περὶ διαίτης, ὡσανεὶ περὶ ψυχῆς ἀγωνίζονται, εἰς τοὐναντίον τὰς τοῦ Θεοῦ παραγγελίας τιθέμενοι, καὶ νόμος ἑαυτοῖς γινόμενοι· ὥσπερ ἑαυτοὺς λανθάνειν σπουδάζοντες, ὅτι Θεῷ τοῖς νομοθετηθεῖσι τἀναντία μάλιστα διαπράττονται. Ἐνῆν μὲν οὖν καὶ ἔτι τὸν περὶ τοῦ Πάσχα λόγον ἐκτείνειν, καὶ ἀριδήλως δεῖξαι, ὡς οὐδ' Ἑβραίοις τὸ ἀκριβὲς περὶ τούτου διαπεφύλακται· ἀλλ' οὐδὲ τὸν τύπον, ὡς

300 CAPUT XXXV.

Quod antiquitus et ab ipsis apostolorum temporibus dissensiones quædam et variæ observationes in cærimoniis fuerint : et quod cæremoniæ veteribus non tantopere curæ fuerint, sed necessaria tantum et fidem promoventia constanter servare jusserint.

Enimvero quod ab apostolorum usque temporibus multæ dissensiones propter observationes quasdam fuerint, illos ipsos producam testes. Scribit namque divus Lucas in Actorum libro : *Cum apostoli dissidium intercessisse eis qui ex gentibus fidem complexi fuerant, et fidelibus Judæis, cognovissent, congregati simul omnes, constitutionem factam in epistolæ formam redegerunt, per quam fideles a gravi legis servitute liberarunt, et supervacanea ea de re nugamenta inhibuerunt. Certam autem rectioris et ad veram erga Deum pietatem ducentis vitæ formam proposuerunt, quæ necessario observanda sint, disertis verbis prædicantes.* Non intempestivum vero esse duxi, ut eam ipsam illorum epistolam, evidentioris cognitionis gratia, in historia hac referrem. *Apostoli et seniores et fratres, his qui Antiochiæ et in Syria et Cilicia ex gentibus sunt fratribus, salutem. Quoniam audivimus, quod quidam ex nobis exeuntes, vos turbarint, verbis labefactantes animas vestras, dicendo circumcidi vos et legem servari debere, quibus id non mandavimus : placuit nobis collectis in unum, eligere viros, et ad vos mittere, cum charissimis nostris Barnaba et Paulo : hominibus, qui tradiderunt animas suas pro nomine Domini nostri Jesu Christi. Misimus ergo Judam et Silam, qui et ipsi vobis eadem verbis referent. Visum est enim Spiritui sancto, et nobis, nihil amplius vobis imponere oneris, præterquam hæc necessaria, ut vos abstineatis ab his quæ simulacris immolata sunt, et a sanguine, et suffocato, et fornicatione : a quibus vobis caventes, recte rem agetis. Valete*[1]. Hæc Deo placita sunt. Hoc enim inquit epistola : *Placuit Spiritui sancto, nihil aliud oneris imponere, præterquam quæ necessario servata oportet.* **301** At quidam hæc nihil curantes, omnem quidem fornicationem pro nihilo habent : de diebus autem, et feriis, et institutis, perinde atque de anima ipsa decertant : Dei mandata invertentes, et sibi ipsis leges ferentes : haud secus atque si studiose hoc agerent, ut contrarias maxime adversus decreta Dei res agitantes, latere possint. Et potuissemus nos orationem hanc de festo Paschæ magis dilatare, et clare satis ostendere, quod ne Hebræi quidem certo id et accurate servent : neque typum seu figuram ejus, sicuti eis tradita est,

[1] Act. xv, 6, 7-29.

veste uti oporteat. » Atque ubi ille cogitabundus, quia quod responderet non habebat, staret, subintulit illico Sisinius: « Tu quidem ostendere id non potes, at Salomon me ut id faciam adhortatur, dicens: *Sint vestimenta tua semper alba* [1]. Verum et Servator, in Evangeliis candida veste usus esse videtur; qui discipulis, qui secum montem Thabor conscenderant, Mosen et Eliam candidatos exhibuerit. » Hæc atque his similia cum ita diceret, admirationi hominibus fuit. **304** Quin et illud lepide, ut ego puto, ab eo dictum, recensendum esse videtur. Advenerat Constantinopolim Leontius, Ancyræ minoris Galatiæ episcopus, qui tum ibi Novatianis ecclesiam ademerat. Convenit hunc Sisinius, et supplicans rogavit, ut corpori suo ecclesiam redderet. Quod ubi ille se facturum negavit, Novatianos etiam conviciis acerbe proscidit, minime eos ecclesiam habere debere dictitans, quod pœnitentiam tollerent, et misericordiam Dei rejicerent. Talia vero, atque alia hisce similia continuans, cum Novatianos suggillaret: « Atqui, Sisinius inquit, et ego, ut haud sciam an magis quisquam, pœnitentiam ago. » Cum autem Leontius eum, quonam modo pœnitentiam ageret, interrogaret; respondens ille: « Quod te nunc inquit, ita animatum video (1). » Vitam is ita produxit, ut ecclesiam Novatianorum adhuc administraret, cum Joannes Chrysostomus patriarchatum gereret. Et ausus etiam est contra eum disserere, cum scripto ille pœnitentiam introduceret, atque ita diceret: « Vel decies millies per pœnitentiam resipiscens ecclesiam ingredere (2). Paratus enim ego sum pœnitentem admittere, ut modo deinceps similibus per peccatum non circumveniatur malis. » Et accidit aliquando, ut divus Joannes inter deambulandum Sisinio occurreret, eique objiceret: « Non debere unam urbem duos habere episcopos. » Prodibat enim et ille cum splendore et comitatu multo. Cui Sisinius respondens: « Minime eam duos habere dixit: » seipsum germanum legitimumque episcopum esse existimans. Eo vero dicto gravius accepto, Joannes ad illum: « Videsne, ait, te solum esse velle Constantinopolitanum episcopum? Atque ibi rursum Sisinius: Non hoc ego, inquit, dico: sed cum aliis omnibus episcopus sim, apud te unum is esse non existimor. Et Joanne excandescente atque inferente: « At ego efficiam, ut qui fœdissima labores hæresi, amplius ad populum pro concione verba non facias. » Sisinius perquam facete verbis ejus occurrens: « Ego vero, inquit, plurimas etiam tibi agam gratias, si me labore et onere tanto liberaris. » Quo verbo tandem Joannes flexus: « Quandoquidem, ait, tibi

A τε τοῖς σὺν αὐτῷ τὸ Θαβώριον ἀνιοῦσι τῶν ἀποστόλων, Μωσῆν τε καὶ Ἠλίαν λευχείμονας· » ταῦτα καὶ ἄλλα τούτοις ἐπειπὼν, θαυμαστός τις ἐδόκει. Οὐ μὴν δὲ ἀλλὰ καὶ τοῦτο χάριεν ὂν οἶμαι τῶν ἐκείνου διηγητέον. Ἐπεδήμει μὲν τῇ Κωνσταντίνου Λεόντιος, Ἀγκύρας τῆς ἐν τῇ μικρᾷ Γαλατίᾳ ἐπίσκοπος, τηνικαῦτα τὴν ἐκεῖσε τῶν Ναυατιανῶν ἀφαιρούμενος ἐκκλησίαν. Πρὸς ὃν ἐλθὼν ὁ Σισίνιος, ἱκέτης ἦν, ἀποδοῦναι τὴν ἐκκλησίαν τῷ ἐκείνου συστήματι. Ὁ δὲ μὴ ἀποδιδοὺς, ἐλοιδόρει καὶ Ναυατιανοὺς ὡς μὴ χρεὼν ἐκκλησίαν ἔχειν, ἅτε δὴ τὴν μετάνοιαν ἀναιροῦντας καὶ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν ἐλαύνοντας. Τοιαῦτα δὲ καὶ ἕτερα ἐπισυνείρων, κακῶς ἐκείνων κατέτρεχε. Σισίνιος δ', « Ἀλλὰ μὴν κἀγὼ, ἔφη, μετανοῶ, ὡς οὐδένα ἕτερον οἴομαι. » B Τοῦ δὲ Λεοντίου, « Τίνα τρόπον, ἐπερομένου, μετανοεῖς; » ἀπεκρίνατο, « Ὅτι σε, ἔφη, νῦν οὕτως ἔχοντα θεωρῶ. » Ἐπεβίω δὲ, ὡς καὶ τοῦ Χρυσοστόμου πατριαρχοῦντος, αὐτὸν ἔτι τῆς τῶν Ναυατιανῶν ἐκκλησίας ἡγεῖσθαι· καὶ τολμᾷν ἀντιλέγειν ἐκείνῳ ἐγγράφως εἰσάγοντι τὴν μετάνοιαν, καὶ οὑτωσὶ λέγοντι, « Μυριάκις μετανοήσας εἴσελθε· ἕτοιμος γὰρ ἐγὼ προσίεσθαι τὸν μετανοοῦντα, εἰ μόνον τοῦ λοιποῦ μὴ τοῖς ἴσοις περιπέσοι δεινοῖς. » Καὶ δή ποτε τοῦ θείου Ἰωάννου συμβὰν οὕτως ἐν ἀμφόδῳ τὴν Σισίνιον ὑπαντήσαντος, καὶ διεγκαλέσαντος, « Μὴ χρῆναι μίαν πόλιν δύο ἐπισκόπους ἔχειν· » προῄει γὰρ κἀκεῖνος σὺν δορυφορίᾳ πολλῇ καὶ ἁβρότητι· ὑπολαβόντα Σισίνιον, « Οὐδὲ γὰρ ἔχει δύο, » φάναι, C ἑαυτὸν μόνον εἶναι λογιζόμενος γνήσιον ἱερέα. Χαλεπῶς δὲ διατεθέντος ἐπὶ τῷ λόγῳ τοῦ Ἰωάννου, καὶ, « Ὁρᾷς, ἐπειπόντος, ὅτι σὺ μόνος θέλεις εἶναι τῆ Κωνσταντίνου ἐπίσκοπος; » Ὁ Σισίνιος αὖθις, « Οὐ τοῦτο, ἔφη, ἐγὼ λέγω· ἀλλ' ὅτι τοῖς ἄλλοις ἅπασιν ἐπίσκοπος ὢν, παρὰ σοὶ μόνῳ οὐχ οὕτως ἔχειν λογίζομαι.— Ἀλλ' ἐγὼ, φησὶν ἀγανακτήσας ὁ Ἰωάννης, παύσω σε προσομιλεῖν, αἰσχίστην νοσοῦντα τὴν αἵρεσιν. » Ὁ δὲ χαριέντως μάλα ὑπήντησεν· « Ἀλλ' ἐγὼ καὶ χάριτάς σοι πλείστας ὁμολογήσω, τοσούτου καμάτου με ἀπαλλάξαντι. » Μαλαχθεὶς δ' ἐντεῦθεν ὁ Ἰωάννης, « Ἐπεί σε, φησὶν, ἀνιᾷ τὸ λέγειν, οὐκ ἂν ἕλοιμι παῦσαι, Θεοῦ τοῦτο πράξαντος. » Πολλὰ δὲ καὶ ἕτερα χαριέντως εἰρημένα τἀνδρὶ ἀπομνημονεύονται. Καὶ λόγους δέ φασιν οὐκ ἀκόμψους αὐτὸν D συγγράψαι πολλούς. Μᾶλλον δ' ἐπῃνεῖτο λέγων ἢ γράφων. Ἄριστα γὰρ ἀπεμιμεῖτο καὶ ὑποκρινόμενος διετέλει. Ἐπεκάθητο γάρ τι προσηνὲς ἦθος τοῖς χείλεσι, καὶ χάρις ἐν τῇ φωνῇ καὶ τῷ προσώπῳ, τῷ τε βλέμματι καὶ τῷ σχήματι, καὶ ὅλῃ τῇ κινήσει τοῦ σώματος ἐπεχόρευεν, ἱκανὴ τὸν ἀκροώμενον ἐφελκύσασθαι. Καταθύμιος μὲν οὖν καὶ διὰ ταῦτα πᾶσιν ἦν τοῖς περιφανέσι τῆς συγκλήτου βουλῆς, καὶ παρὰ πασῶν τῶν θρησκειῶν ἐθαυμάζετο· μάλι-

[1] Eccle. IX, 8.

(1) Quod te conspicio, inquit Sozom.

(2) Μυριάκις μετανοήσας εἴσελθε. Ἕτοιμος γὰρ ἐγὼ προσίεσθαι τὸν μετανοοῦντα, εἰ μόνον τοῦ λοιποῦ μὴ τοῖς ἴσοις περιπέσοι δεινοῖς. Hanc Chrysostomi sententiam cum multa admiratione et laude apud me recitavit in familiari de rebus sacris colloquio, 2 Junii die, anno Domini 1559, Budissinæ Lusatiorum Philippus Melanchthon, quam non temere alibi scriptam, quam hic apud Nicephorum et Socratem, invenias.

στα δὲ ὁ ἐπίσκοπος Ἀττικὸς διὰ πολλῆς ἦγε τοῦτον A τιμῆς. Ἀλλ' οἷος μὲν τὸ ἦθος ὁ ἀνὴρ οὗτος, ἀποχρώντως οἶμαι εἰρήκαμεν, ἐκ τῶν τοῦ ἐκκλησιαστικοῦ Σωκράτους παρειληφότες. Καὶ ταῦτα διήλθομεν, δεῖξαι θελήσαντες, ὡς διὰ τὴν ἀρετὴν τῶν σφίσι προϊσταμένων, Ἀγελίου, Μαρκιανοῦ τε καὶ Σισινίου, καὶ ὡς τῷ ὁμοουσίῳ προσκειμένων, ἀπείρατοι τῶν λοιπῶν αἱρέσεων οἱ Ναυατιανοὶ διαμεμενήκασι· καὶ ἐπὶ τῆς ἑαυτῶν ἐκκλησίας οἱ πλείους ἠρέμα εἶχον, πλὴν τῶν ὅσοι διὰ τὴν τοῦ Πάσχα ζήτησιν διεφέροντο· ἣν Σαββάτιος, ὡς ἔφην, ἐνεωτέρισε. Πολλαὶ δὲ καὶ ἄλλαι διαιρέσεις, ὡς εἴρηται, ἔν τε Ἀρειανοῖς καὶ Μακεδονιανοῖς καὶ ἄλλων αἱρέσεων, ἐπιπλεῖστον τηνικαῦτα ἐγένοντο. Τούτων δ' οὕτω διασπωμένων, ἔτι μᾶλλον ἡ καθόλου Ἐκκλησία ἐπεδίδου, ὁσημέραι B τῇ πρὸς ἀλλήλοις ἔριδι προστιθεμένων αὐτῇ. Μᾶλλον δὲ τὸ Ἑλληνικὸν ὡς πλεῖστον εἰσέῤῥει. Ὡς γὰρ εἶδεν ὁ βασιλεὺς τὴν συνήθειαν τοῦ προειληφότος χρόνου πρὸς τὸ πατρῷον σέβας, καὶ τοὺς θρησκευομένους παρ' αὐτῶν τόπους ἕλκουσαν τὸ ὑπήκοον, ἤδη βασιλεύειν ἀρξάμενος, πρῶτον μὲν ἐπιβαίνειν τοῖς βωμοῖς πάμπαν ἐκώλυεν· ἔπειτα δὲ καὶ νόμῳ πολλοὺς εἰς ἔδαφος κατέσπα, ὥσπερ εἰρήκαμεν. Οἱ δὲ σπάνει τῶν εὐκτηρίων κατ' ὀλίγον ταῖς ἐκκλησίαις τῶν Χριστιανῶν φοιτᾶν προσειθίσθησαν. Λάθρα γὰρ Ἑλληνικῶς θύειν ἐν κινδύνῳ μεγίστῳ ἦν, εἴ τις πεφώρατο· ἀφαίρεσις γὰρ κεφαλῆς καὶ οὐσίας νόμος ἔκειτο τῷ τολμητῇ.

concionandi munus molestiam et dolorem parit, minime tibi, quando id Deus fecit, concionibus interdicam (1). Multa vero alia quoque viri ejus urbane et scite dicta commemorantur. **305** Quin et libellos multos non invenustos composuisse dicitur. Magis vero in dicendo quam scribendo laudatus est. In actione felix fuit, et pronuntiationem sedulo coluit. Labiis enim ejus blanditiæ quædam insidebant: et in voce, vultu, oculis, et habitu motuque corporis omni, gratia singularis inerat, ad auditorum animos alliciendos composita. Jucundus itaque et charus eam ob causam celeberrimis quibusque ex senatu viris, et omnis generis religionibus in admiratione fuit. Potissimum vero episcopus Atticus magno eum est honore prosecutus. Sed qualis hic vir fuerit, satis, ut puto, loco hoc ex Socratis ecclesiastici scriptoris libris sumpto, dixi. Atque hæc quidem propterea commemoravi, ut ostenderem, cum propter eorum virtutem qui eis præfuere, Agelii, Marciani et Sisinii, tum quod ὁμοουσίου, consubstantialis, professioni adhærerent, Novatianos aliarum sectarum labe infectos non fuisse, majoremque eorum partem in ecclesia sua quietam mansisse: eis exceptis, qui propter quæstionem de feriis Paschalibus, quam Sabatius, sicuti dixi, per res novas induxit, dissidebant. Multæ vero et aliæ dissectiones, quod et ipsum dictum est, eo tempore apud Arianos et Macedonianos et alias sectas fuere. Illis autem ita distractis, magis atque magis Ecclesia universalis crevit, quotidie se aliquibus propter mutuas illorum contentiones ad eam aggregantibus. Præcipue vero qui Græcam idololatriam secuti fuerant, ad eam confluxere. Nam imperator ubi consuetudinem præteriti temporis, et loca quæ apud eos religiose observabantur, cives et subditos suos ad patrium cultum pertrahere vidit, statim a suscepto imperio, primum quidem aras prorsus adire prohibuit: deinde vero lege (2) etiam lata, quemadmodum diximus, solo eas æquavit. Atque ita illi sacrarum ædium inopia, Christianorum ecclesias frequentare cœperunt. Clam namque Græca peragere sacra, maximi erat periculi, si quis in eis deprehensus esset. Et qui eis operari ausus fuisset, capitalis ei pœna et bonorum amissio constitutione imperiali proposita fuit.

ΚΕΦΑΛ. ΛΖ'.

C

Περὶ τοῦ συμβάντος τῷ Αἰγυπτίῳ ποταμῷ Νείλῳ· καὶ περὶ τοῦ ξιφοειδοῦς ἀστέρος, καὶ τῶν δύο ἀνθρωπομόρφων τεράτων· καὶ περὶ τῆς ἐπιδόσεως τῆς Χριστιανῶν θρησκείας.

Τότε δὴ φασι καὶ Νεῖλον τὸν ἐπ' Αἴγυπτον ῥέοντα ὑστερῆσαι περὶ τὴν πρώτην τῶν ὑδάτων ἀνάβασιν. Ἔφερον δὲ οὐ μετρίως τὸ πραχθὲν οἱ Αἰγύπτιοι· χαλεπαίνοντες, ὅτι μὴ ἐπ' ἀδείας ἦν αὐτοῖς κατὰ τὸ πάτριον ἔθος θύειν τῷ ποταμῷ· τὸ γὰρ τοῦ βασιλέως δέος οὐδαμοῦ ξυνεχώρει. Ὁ δὲ τὴν ἐπιτροπὴν τῆς Αἰγύπτου διέπων, εἰς στάσιν χωροῦντας Αἰγυπτίους ὁρῶν, τῷ βασιλεῖ δῆλα ἐποίει. Ὁ δὲ μαθὼν ἄμεινον ἀνταπέστελλε, λέγων, πρὸς Θεὸν σῶον τὸ σέβας διατηρεῖν, ἢ τὰ Νειλῷα ῥεῖθρα καὶ τὴν ἐκεῖθεν εὐετηρίαν προτιθέναι τῆς πίστεως. Μηδὲ γὰρ D ἄν ποτ' ἐκ γῆς ὑετίσειεν, εἴ γε, φησὶ, τοιοῦτος εἴη, ὥστε μαγγανείαις τισὶ καὶ γοητείαις εὐπειθὴς εἶναι·

306 CAPUT XXXVII.

De diminutione quæ fluvio Ægypti Nilo accidit: et de stella gladii speciem referente, et de duobus humana specie monstris, et de incremento Christianæ religionis.

Eo tempore Nilum Ægyptium amnem, circiter primum aquarum auctum et incrementum, tardasse longius dicunt (3). Quam rem Ægyptii graviter tulere, indignati, quod minus eis esset liberum, patrio more flumini sacrificare: id enim imperatoris metus haudquaquam permittebat. Et Ægypti præfectus provinciales ad seditionem spectare cernens, principi eam rem indicavit. Qua ille cognita, conducibilius esse ei rescripsit, veram erga Deum religionem integram conservare, quam fluminis ejus undas, et quæ ex eis proveniat, anniversariam fertilitatem fidei præferre. « Nunquam enim amnem eum e terra promanaturum

(1) Apud Socrat*e* est: *At ego tibi colloquiis sive concionibus non interdicam, quando tibi verba facere molestum est.*

(2) *Ne quis.* C. De sacrif. pagan.

(3) Plin. lib. v, cap. 9.

fuisse dixit, si talis esset, ut incantationibus et A imposturis moveretur, nidoreque gauderet, et sanguinis undis profluentes e divino paradiso contaminaret aquas. » Non longo post tempore, derepente ita ille adauctus est, ut altiora etiam loca inundaret. Ubi autem ad justum modum, et raro completum excrevisset, et tum nihilominus unda insuper ejus accumularetur, diversus Ægyptios cepit timor. Verebantur namque, ne Alexandriam urbem et Libyæ potiorem partem exundatione sua obrueret: tam ubertim undæ ejus profluentes excurrere. Quo tempore fama est, Græcæ superstitionis homines Alexandriæ casu tam inopinato adductos, ita amni illusisse, ut in theatris etiam et spectaculis exclamarint, fluvium eum ut decrepitum et delirum, postremum jam eminxisse. Eam B sane ob causam quamplurimi Ægyptii patriis cæremoniis nuntio remisso, et superstitione sua damnata, ad Christum se contulerunt. Hæc hactenus. Tum vero et prodigia insolita visa sunt, quæ futura orbi mala portenderunt. Primum namque inopinata et insolens stella in cœlo mediæ noctis tempore prope Luciferum refulgens apparuit, circa eum ipsum qui Zodiacus dicitur, circulum. Ea quod propter coruscantes radios ingens et lucida esset, non admodum Lucifero cessit. **307** Paulatim vero ad eam ingens etiam aliarum stellarum vis aggregabatur. Spectaculum id si vidisses, apum examini, quæ circa ducem suum in orbem obvolitant, contulisses. Et quæ veluti ex mutua et C violenta concussione ab omnibus eis emicuit lux, in unam quamdam commista flammam evadebat: et gladii prorsus ancipitis, magni et horrendi, cum terrore quodam relucens, faciem reddebat. Quod enim reliquæ stellæ in idem reciderent visum, et una, eaque sola, quæ primum conspecta fuerat, habitu toto, veluti radix aut capulum aliquod appareret, et quodammodo fulgorem exhibitæ illius stellæ omnem proferret, perinde atque ex lucerna funiculus ardens, sic flamma in sublime tollebatur. Hoc quidem visum sic novum quoddam præbuit spectaculum. Motus autem ejus prorsus a stellarum omnium cursu differebat. Primum etenim ex eo unde diximus loco moveri incipiens, una cum Lucifero et oriebatur et occi- D debat. Deinde paulatim ab illo absistens, segniter et pedetentim quasi ad ursas conversum, cursum tenebat, et veluti ad spectantes oblique ad sinistram sua gradiebatur via. Ambitum quidem eumdem cum stellis aliis ad quas accesserat, communem perficiebat: proprio autem motu, qui ad quadragesimum productus est diem, vix tandem ad ursam majorem pervenit. Atque in media astri ejus parte, ubi postremum refulsisset, evanuit. Quo tempore ensifera, seu potius ensis formam referens hæc stella apparuit. Eodem etiam duo hominum corpora visa sunt: alterum quidem in Syria, supra humanam naturam magnitudine excedens: alterum vero in Ægypto, infra incredibi-

A κνίσσαις τε χαίρειν καὶ αἱμάτων ῥοαῖς, τὰς ἐκ τοῦ θείου παραδείσου μιαίνειν ἐπιῤῥοάς. » Βραχεῖ δὲ καιρῷ πολὺς ἀθρόον ἐπιχυθεὶς, καὶ τοῖς ὑψηλοτέροις τῶν τόπων τὸ ῥεῖθρον ἠφίει. Ὡς δὲ καὶ τὸν τέλειον καὶ σπανίως πληρούμενον ἔφθανεν, οὐδὲν δὲ ἧττον καὶ ἐπὶ τὸ πρόσω τὸ ὕδωρ ἐκορυφοῦτο, εἰς τοὐναντίον ὁ φόβος περιίστατο Αἰγυπτίοις. Ἐδεδίεσαν γὰρ μὴ καὶ τὴν Ἀλεξάνδρου πόλιν καὶ Λιβύης τὸ κράτιστον ἐπικλύσῃ, ἄφθονον οὕτω τὸ ῥεῖθρον ἐπιδιδούς· ὁπότε δὴ λόγος πρὸς τὸ παρὰ γνώμην οὕτω συμβαῖνον τοὺς ἐν Ἀλεξανδρείᾳ Ἕλληνας λοιδορουμένους τῷ ποταμῷ οὕτως ἐπιτωθάζειν, ὡς καὶ ἐν τοῖς θεάτροις ἀναβοᾷν, ὡς οἷα γέρων καὶ λῆρος, ἐξούρησεν ὁ ποταμός· δι' οὗ πλεῖστοι τῶν Αἰγυπτίων τὸ πάτριον ἀποθέμενοι σέβας, καὶ τὴν παρ' ἐκείνοις δεισιδαι- B μονίαν κατεγνωκότες, μετέθεντο πρὸς Χριστόν. Καὶ περὶ μὲν τούτου τάδε· τηνικαῦτα δὲ καὶ ἕτερ' ἄττα ξένα ὤφθη, ἃ ἐσομένων μεγάλων κακῶν τῇ οἰκουμένῃ ἄγγελος ἦσαν. Καὶ πρῶτον ἀστὴρ παράδοξος καὶ ἀήθης κατ' οὐρανὸν ὦπτο, κατὰ μέσας νύκτας ἐκλάμπων τοῦ ἑωσφόρου ἐγγὺς, κατ' αὐτὸν ἐκεῖνον ὃς καλεῖται κύκλος Ζωδιακός. Ταῖς δ' ἐκεῖθεν ἀποπαλλομέναις μαρμαρυγαῖς μέγας τις καὶ ἐκφεγγὴς ὢν, οὐ κατὰ πολὺ τοῦ ἑωσφόρου ἐλείπετο. Κατ' ὀλίγον δ' ἐπ' αὐτὸν καὶ πολύ τι ἄλλο πλῆθος ἀστέρων ἠθροίζετο. Εἰκάσαις ἂν ἰδὼν σμῆνος εἶναι μελιττῶν, παρὰ τὸν ἡγούμενον σφαιρουμένων τὸ θέαμα. Κἀντεῦθεν οἱονεὶ τῆς πρὸς ἀλλήλους συνθλίψεως βιασαμένης, τὸ τῶν ἁπάντων φῶς εἰς μίαν τινὰ συγκρα- C θὲν ἀνέλαμπε φλόγα· καὶ μαχαίρας ἄντικρυς ἀμφήκους μεγάλης καὶ φοβερᾶς ἀπετέλεσεν εἶδος πληκτικῶς ἐξαυγαζομένης· τῶν μὲν ἄλλων ἀστέρων εἰς τοῦτο μεταπεσόντων τῆς θέας, ἑνὸς δὲ καὶ μόνου τοῦ πρώτου θεωρηθέντος ἐν τάξει ῥίζης τινὸς ἢ λαβῆς τῷ παντὶ σχήματι ὑποφαινομένου, καὶ οἷον τὸ πᾶν τοῦ δειχθέντος ἀστέρος ἀποτίκτοντος σέλας, ὡς ἂν ἐκ λύχνου τινὸς θρυαλλίδος τῆς φλογὸς πρὸς ὕψος ἐξαιρουμένης. Τοιοῦτον μὲν τὸ φανὲν, καινήν τινα θέαν παρέχον. Ἡ δέ γε κίνησις παραλλάττουσα πάντη πρὸς ἅπαντα δρόμον ἀστέρος· τὴν γὰρ ἀρχὴν, ὅθεν εἴρηται, κινεῖσθαι ἀρξάμενος, συνανίσχετο τῷ ἑωσφόρῳ ἅμα καὶ κατεδύετο· εἶτα κατὰ βραχὺ ἐκείνου διιστάμενος σχολῇ καὶ βάδην κινούμενος, ὡς πρὸς τὰς ἄρκτους τὴν πορείαν ἐποίει, καὶ D ὡς πρὸς τοὺς θεωμένους ἐγκάρσιον ἐπ' ἀριστερᾶς τὴν ἰδίαν ἐποιεῖτο ὁδόν. Τήν γε μὴν κοινὴν περίοδον τὴν αὐτὴν εἶχε τοῖς ἄλλοις, καθ' οὓς ἂν γίνοιτο πορευόμενος. Τῆς δ' ἰδίας πορείας ἐπὶ τεσσαράκοντα γινομένης ἡμέρας, μόλις ἐπὶ τὴν μεγάλην ἄρκτον ἐνέβαλε· κἀν τῷ μεσαιτάτῳ αὐτῆς τὰ ὕστατα λάμψας, ἀπέσβη. Καθ' ὃν δὲ χρόνον ὁ μαχαιροφόρος, μᾶλλον δὲ ξιφοειδὴς οὗτος ἀνεφάνη ἀστὴρ, καί τινα δύο σώματα ὤφθη ἀνθρώπων· ἓν μὲν ἐν Συρίᾳ τὴν ἀνθρωπίνην κατὰ μέγεθος ἐκβαῖνον φύσιν, θάτερον δ' ἐν Αἰγύπτῳ, εἰς ἄπιστον βραχύτητα καταλῆγον. Ἀλλ' ὁ μὲν Σύρος τὸ μέγεθος εἰς πέντε ἐπεδίδου πήχεις, προστιθεμένης καὶ σπιθαμῆς, καίπερ τῶν ποδῶν αὐτοῦ πρὸς τὸ λοιπὸν τοῦ σώματος μέγεθος μηδαμοῦ τὸ ἀνάλογον ἐσχηκότων· εἴσω γὰρ καὶ

πρὸς τὸ βλαισὸν ὑπεκάμπτοντο· Ἀντώνιος ἦν τῷ A ἀνθρώπῳ τὸ ὄνομα. Τοιοῦτον δή τινα καὶ αὐτὸς εἶδον τοῖς καθ' ἡμᾶς χρόνοις ἀναφανέντα, τέρας οἷον ὁρώμενον, ὃν γυνὴ βραχεῖα μάλα προῆγεν εἰς φῶς. Οὕτω δὲ κατεβραχύνετο ὁ Αἰγύπτιος, ὡς παραπλήσιον εἶναι πέρδικι, καὶ μηδ' ἀχάριστον ἐν κλωβῷ τὴν ἐκείνου εἶναι προσομιλίαν, πρὸς ἔριν κινούμενος καὶ συναθύρων ἐκείνῳ. Τὸ δὲ ξένον εἰς ἀκοὴν, ὅτι καὶ φρόνησις ἐνῆν, ἀνθρώπῳ καλῷ ἐφαρμόττουσα, οὐδὲν ὑπὸ τῆς βραχύτητος καταβλαπτομένη. Ἦν δὲ καὶ τὸ φθέγμα οὐκ ἄμουσον· οἵ τε λόγοι τοῦ νοῦ παρεῖχον ὁρᾶσθαι τὴν γενναιότητα. Καὶ ἄμφω δὲ τῷ χρόνῳ ἀκμάσαντες, οὐ θᾶττον μετῆλθον τὸν βίον· ὁ μὲν γὰρ μέγιστος τὰ εἰκοσιπέντε διεξιὼν ἔτη, ἀπεβίω· ὁ δ' ἐλάχιστος, οὐ παραπολὺ τούτων λειπόμενος. Πολλὰ δὲ καὶ ἕτερα τηνικαῦτα B συνέδραμε τέρατα· ἃ κατὰ μέρος διεξιέναι οὐ τοῦ παρόντος εἶναι νομίζω καιροῦ.

lem staturæ brevitatem consistens. Syrus in longitudinem cubitorum quinque et unius palmi excreverat, quamvis pedes ejus reliquæ corporis magnitudini proportione non responderent: introrsum enim intorti et vari erant: homini nomen erat Antonio. Talem ætate quoque nostra ipse vidi, pro monstro habitum, quem brevis admodum staturæ mulier in lucem protulit. Ægyptius autem tam brevis fuit, ut perdici persimilis esset. Neque ingratum spectaculum erat, si cum illo in globo (hominum scilicet) conversaretur, et ad contentionem excitatus colluderet. **308** Porro quod mirabile dictu est, prudentia ei inerat, qualis homini formoso competit: quippe cui corporis exilitas ea de re nihil ademisset. Vox a Musis non abhorrebat. Sermo mentis generositatem spectandam exhibebat. Uterque eodem illo tempore vigens, non statim vitam finiit. Maximus enim viginti quinque explevit annos, minimus autem non multum ab eis abfuit. Multa præterea alia tum concurrere prodigia, quæ sigillatim referre non hujus loci esse puto.

ΚΕΦΑΛ. ΛΗ'.

Περὶ τῆς δι' ἀγχόνης ἀναιρέσεως Οὐαλεντινιανοῦ τοῦ νέου ὑπὸ Ἀρουαγάστου τοῦ στρατηγοῦ.

Θεοδόσιος μὲν οὖν οὕτω τὴν πρὸς Ἕω ἀρχομένην ἰθύνων, λαμπρῶς τε ἅμα καὶ ἐπιμελῶς διετέλει θεραπεύων τὸ Θεῖον, ταῖς καθημέραν προσθήκαις εἰς ἐπίδοσιν ἄγων τὸν Χριστιανισμόν· ἀνὰ δὲ τὴν Ἑσπέραν τὰ δημόσια πάλιν πονήρως εἶχεν· ἠγγέλλετο γὰρ τὸν ἐν ἑσπέρᾳ βασιλέα, τὸν νέον Οὐαλεν- C τινιανὸν, ἀγχόνῃ διαφθαρῆναι. Ἐλέγετο δὲ ταύτην αὐτῷ τὴν ἐπιβουλὴν καττῦσαι διὰ τῶν θαλαμηπόλων εὐνούχων ἄλλους τε τινὰς, καὶ Ἀρουαγάστην ἐκεῖνον, ὃς τῆς ὑπ' αὐτῷ πάσης στρατιᾶς τὴν ἐπιμέλειαν εἶχεν. Ἐπεὶ γὰρ εἶδον τὸν νέον ὡς τὰ πολλὰ κατ' οὐδὲν λειπόμενον τοῦ πατρὸς τῇ ἀρχῇ, χαλεπῶς τε διακείμενον οἷς ἐκείνοις ἐδόκει, ἐκ μέσου θεῖναι διενοοῦντο. Ἀκρατὴς δ' ἦν μάλα θυμοῦ· ὃ καὶ τοῦ ζῆν αὐτὸν περιφανῶς ἐξεδίσκευσεν. Τῷ γὰρ Ἀρουαγάστῃ εἰς λόγους ἐλθὼν κατὰ τὰ ἀνάκτορα, ἐπεὶ ὁ διάλογος εἰς ὀργὴν ἐξέμηνε, ξίφος ὥρμησε κατὰ τοῦ στρατηγοῦ σπάσασθαι· κωλυθεὶς δὲ (οὐ γὰρ εἴασεν ὁ δορυφόρος οὗ τὸ ξίφος ἐπεβάλετο ἕλκειν), τότε μὲν λόγοις προσῆγε τῷ Ἀρουαγάστῃ τὴν θε- D ραπείαν· ὁ δὲ τοῖς λόγοις μᾶλλον τὴν σφετέραν ἠκρίβου ὑπόνοιαν, εἰς γνῶσιν μεθισταμένην· ἐπερομένῳ γὰρ τῆς τοσαύτης ὁρμῆς τὴν αἰτίαν, ἑαυτὸν διαχρήσασθαι ὁ παῖς ἀπεκρίνατο, ὅτιπερ βασιλεύων οὐ ξυγχωροῖτο πράττειν ἃ βούλεται, καὶ διὰ τοῦτο. Καὶ ὁ μὲν τότε μηδέν τι πλέον πολυπραγμονήσας, μὴ καταξιοῦντα οὕτως ἔχοντα ζῆν, ὕστερον ἐν Βιέννῃ τῆς Γαλλίας τοῦτον ἠριστηκότα, καὶ πρὸς τάφανῇ τῶν βασιλείων περὶ τὸ τοῦ ποταμοῦ χεῖλος μεσούσης ἡμέρας παιγνίοις τισὶ σχολάζοντα θεασάμενος, πέμπει τῶν τινας ὑπ' αὐτῷ, ἀγχόνῃ τὸ μειράκιον διαφθεῖραι, οὐδενὸς τῶν ὑπηρετουμένων συμπαρόντος αὐτῷ· ὁ γὰρ καιρὸς ἀριστᾶν αὐτοὺς μετεστέλλετο. Καὶ ὁ μὲν οὕτω χειρῶν ἀγριότητι ἀπεπνίγετο· οἱ

CAPUT XXXVIII.

Quomodo Valentinianus junior ab Arbogasto duce per suffocationem sit interemptus.

Et Theodosius quidem hoc modo Orientale gubernabat imperium, magna cura magnifice Deum colens, et quotidie novis accessionibus Christianismum adaugens. In Occidente vero respublica male habuit. Siquidem juniorem Valentinianum C imperatorem gula fracta interiisse, renuntiatum est. Cædem eam per insidias ei molitos esse ferunt cubicularios eunuchos, atque alios quosdam: Arbogastemque maxime illum, qui militarium ejus copiarum omnium habuit curam et administrationem. Cum enim juvenem imperio gubernando nulla prope re patri inferiorem esse, et graviter pleraque quæ illis placuissent, ferre viderent, consilium ejus opprimendi cepere. Erat autem iræ admodum impatiens. Quæ res etiam aperte cædis ei causa fuit. Cum Arbogaste enim in regia collocutus, ubi verba in iram insanam evasere, ense magistrum militum confodere aggressus est. Sed a satellite, cui ferrum extrahere nisus fuerat, inhibitus, tum D quidem verbis Arbogastem acrius objurgatum placavit. Ille autem ex verbis ejus opinionem illius in apertum productam accuratius considerando, secum ipse perpendit. Inquirenti enim tanti impetus causam: Allaturum sibi ipsi manus esse, adolescens respondit, quod cum imperator esset, facere quod vellet, non permitteretur: quapropter sibi vita talis ingrata etiam esset. Atque ille tum quidem nihil amplius curiose percontatus. **309** Postea autem Viennæ in Gallia, cum eum pransum in abditiore regiæ loco ad fluminis ripam meridiano tempore ludicro cuidam vacantem vidisset, percussores quosdam ex suis ei immisit, qui adolescentulum suffocatione necarent, cum ex ministris ei nemo adesset: tempus enim illos ad prandendum

evocaverat. Itaque ille sic crudelibus strangulatus A est manibus. At cædis ejus patratores, ne si ex tempore statim percussores inquirerentur, facile deprehendi possent, sudario ejus tanquam laqueo circum collum ligato, sublimem eum suspendere, ut sua sponte sibi ipse gulam fregisse videretur. Adolescentulum istum mirifice imperio dignum visum esse aiunt, propter bonam corporis habitudinem, et virtutum multarum concursum, quibus imperator bonus exornatur. Magnitudine vero animi, et justitia summa, patrem etiam suum exsuperaturum fuisse, siquidem ei in virum evadere licuisset. Tali ille morte, cum talis esset, vicesimum ætatis agens annum, vitam finiit.

CAPUT XXXIX.

De tyrannide Eugenii in Occidente: et ut hunc B quoque Deo dilectus imperator vicerit, cum eam victoriam divini viri prædixissent.

Eugenius autem, Græcæ superstitionis cultor, summam rerum involat, et imperialia sibi sumit insignia, adjuvante Arbogaste: qui quod barbarus genere esset, imperio manum injicere aggressus non est. Eugenius autem Latinas primum litteras docuit: deinde ludo litterario relicto, in imperiali aula militavit. Atque ibi in ordinem antigraphiariorum et imperialis pecuniæ custodum receptus, celebris maxime et apud imperatorem in magnum honorem fuit, magistrorum etiam dignitatem consecutus. Cum autem præsentem fortunam ferre non posset, ad tyrannidem spectavit: inductus ad C id a quibusdam, qui se ex victimis, extorum inspectione et astrorum scientia, futura certo scire confirmabant. Cum multi enim alii eo tempore rebus hisce vacarunt, tum maxime Flavianus urbis Romæ præfectus, vir in disciplinis præclarus, atque si alius quisquam, et ipse civilium rerum valde peritus, rerumque futurarum (ut ipsi videbatur) vates præcipuus, multum in eis operæ locavit: **310** qua arte Eugenium quoque, ut bellum susciperet, permovit, certo illum quidquid aggressus esset, perfecturum pollicitus. Nam sorte fatali Romanorum imperium ad eum pertinere, eumque belli victorem fore, et religionem Christianam mutaturum esse dixit. Qua spe adductus Eugenius, multitudine ingenti coacta, angustias in Italia quas D Romani Alpes Julias vocant, occupavit, eisque præsidium imposuit. Unicum enim, eumque arctissimum transitum, præfractis ingentium montium rupibus, utraque ex parte firmiter munitæ habent. Et Eugenius ad tyrannidem evectus, ea in Occidentalibus partibus agebat, quæ eum facere æquum erat, qui sic imperium arripuisset. Theodosius porro imperator, ea re audita, non minoribus rursum quam antea, cum contra Maximum bellum moveret, curis est obrutus. Ubi vero et ipse magnum conscripsit exercitum, secum ipse rem dispiciens, utrum adversus tyrannum ire, an illius adventum exspectare deberet, addubitabat. In ea sollicitudine, consilio Joannis enitentis in Thebaide

A δέ γε τὸ ἔργον διαπραξάμενοι, ἵνα μὴ ἐκ τοῦ σχεδὸν ζητήσεως γενομένης κατάφωροι γένωνται, τὸ ἐκείνου ἡμιτύμβιον ὡσανεὶ βρόχον τῷ τραχήλῳ περιβαλόντες, εἰς ὕψος ἀρτῶσιν, ὡς ἄν γε δόξῃ τῇ σφετέρᾳ γνώμῃ ἑαυτὸν τῇ ἀγχόνῃ ἐπιβαλεῖν. Φασί γε μὴν τὸ μειράκιον τοῦτο ὑπερφυῶς δόξαι τῆς βασιλείας ἄξιον, τῷ τε τοῦ σώματος εὖ ἔχειν, καὶ πολλῶν ἀρετῶν συνδρομῇ, οἷς ὁ βασιλικὸς τύπος χαρακτηρίζεται. Τῷ δὲ μεγαλοψύχῳ καὶ τῷ τῆς δικαιοσύνης ἄκρῳ καὶ τὸν ἐκείνου ὑπερβαλέσθαι πατέρα, εἴ γε συνεχωρεῖτο πρὸς ἄνδρας τελέσαι. Ὁ μὲν οὖν τοιοῦτος ὤν, οὕτω τέθνηκεν, εἰκοστὸν ἀπὸ τῆς γενέσεως ἔτος ἄγων.

ΚΕΦΑΛ. ΛΘ'.

B *Περὶ τῆς ἐν Ἑσπέρᾳ Εὐγενίου τυραννίδος· ὡς καὶ τοῦτον ὁ θεοφιλὴς ἐτροπώσατο βασιλεύς, θείων ἀνδρῶν προκαταγγειλάντων τὴν νίκην.*

Ἀνὴρ δέ τις Εὐγένιος, Ἕλλην τὸ σέβας, ἐπιπηδᾷ τῇ ἀρχῇ, καὶ τὰ τῆς βασιλείας ἀμφιέννυται σύμβολα, συνεργοῦντος Ἀρουαγάστου, ὃς βάρβαρος ὢν τὸ γένος, οὐδ' ἐπιβαλεῖν τῇ ἀρχῇ ἐπεχείρησεν. Εὐγένιος δὲ Ῥωμαϊκοὺς λόγους παιδεύσων τὰ πρῶτα, ἔπειτα διαῤῥίψας τὰ παιδευτήρια, κατὰ τὰ βασίλεια ἐστρατεύετο, καὶ ἐν τοῖς ἀντιγραφεῦσι τοῦ βασιλέως ἐτέτακτο· ἐλλόγιμος δὲ τὰ μάλιστα ὤν, διὰ τιμῆς πλείστης τῷ βασιλεῖ ἦν, καὶ ἐς τὴν τῶν μαγίστρων ἀξίαν διέβαινε. Τὴν δὲ παροῦσαν τύχην μὴ δυνάμενος ἐνεγκεῖν, ἐπὶ τὸ τυραννεῖν ἔβλεπεν· ἤγετο γὰρ C σφαγίοις τισὶ καὶ ἡπατοσκοπίαις καὶ ἀστέρων τινῶν καταλήψεσι σαφῶς εἰδέναι τὸ μέλλον διισχυριζομένοις τισί. Πολλοί τε γὰρ καὶ ἄλλοι τηνικαῦτα τούτοις ἦσαν σχολάζοντες· καὶ δὴ καὶ Φλαβιανὸς ἐκεῖνος ὁ τῆς Ῥώμης ὕπαρχος, περιβόητος λόγοις ἀνήρ, καὶ εἴπερ τις περὶ τὰ πολιτικὰ συνετός, καὶ τὸ μέλλον ὡς ᾤετο μαντείαις ἐξεπιστάμενος· ᾗ δὴ μᾶλλον καὶ τὸν Εὐγένιον ὑπηγάγετο, καὶ πρὸς μάχην ἐκίνει· ἀσφαλῶς γὰρ κρατήσειν τοῦ ἐγχειρήματος διετείνετο, καί γε αὐτῷ μοιρίδιον εἶναι τὴν ἀρχὴν Ῥωμαίων εἰσηγεῖτο· νικήσειν τε τὴν μάχην, καὶ τῇ Χριστιανῶν θρησκείᾳ μεταβολήν τινα ἔσεσθαι δι' αὐτοῦ ὑπετίθει. Αἷς δῆτ' ἐλπίσιν Εὐγένιος βουκολούμενος, μεγάλην ἀθροίσας δύναμιν, τὰς ἐν Ἰταλίᾳ πύλας, ἃς Ῥωμαῖοι Ἰουλίας Ἄλπεις καλοῦσι, D προκαταλαβὼν ἐφρούρει. Μίαν γὰρ στενωτάτην λίαν ἔχουσι δίοδον, ἀποῤῥῶξι μεγάλοις ὀρέων ἑκατέρωθεν ἀσφαλῶς πεφραγμέναι. Καὶ ὁ μὲν Εὐγένιος ἀρθεὶς τύραννος κατὰ τὰ ἑσπέρια, τοιαῦτα ἔπραττεν ὅσα ἦν εἰκὸς τὸν οὕτως τὴν ἀρχὴν δραξάμενον διαπράττεσθαι· Θεοδόσιος δὲ ἀκούσας ὁ βασιλεύς, ἐν φροντίσιν αὖθις καθειστήκει πολλαῖς· οὐ μείους γὰρ ἦσαν, ἢ ὅτε κατὰ Μαξίμου κεκίνητο. Πολλὴν δὲ καὶ οὗτος ἀξιόμαχον στρατιὰν ἀγείρας, διττῶς ἐμερίζετο· πότερον ἐπὶ τὸν τύραννον ὁμόσε χωρεῖν, ἢ περιμένειν ἐπιόντα ἐκεῖνον. Οὕτω δ' ἔχων φροντίδος, ἔγνω δεῖν συμβούλῳ περὶ τούτου χρήσασθαι Ἰωάννῃ τῷ ἐν Θηβαΐδι διαλάμποντι μοναχῷ· ὃν ἐν τῷ πρὸ βραχέος καταλόγῳ τῶν ὁσίως βιούντων ἐπιφανέστατον γεγονέναι καὶ ἐν ἄλλοις μὲν περιβοήτοις ἔργοις,

μάλιστα δὲ τῇ γνώσει τῶν ἐσομένων εἰρήκαμεν. Τῆς γὰρ θείας μεταλαχὼν χάριτος ὁ ἀνὴρ, πολλὰ τοῖς πυνθανομένοις προὔλεγεν· οὗ δὴ πεῖραν καὶ ἐπὶ τῷ πρώην ἔσχε τυράννῳ, ἀναιμωτὶ τὴν νίκην ἐκείνην προαγορεύσας ἔσεσθαι. Καὶ δὴ Εὐτρόπιον τὸν εὐνοῦχον, ὃς ἦν ἐκείνῳ πιστότατος, ἀνὰ τὴν Αἴγυπτον ἔπεμπεν· εἰ μὲν εὐχερὲς γένοιτο, αὐτὸν ἐκεῖνον τὸν ὅσιον μεθ' ἑαυτοῦ ἄξοντα· εἰ δ' ἰσχυρῶς ἀπαγορεύοι τὴν ἄφιξιν, τὸ ποιητέον ἐπὶ τῇ μάχῃ μαθεῖν βιάσασθαι. Καὶ ὁ μὲν Εὐτρόπιος εἰς Αἴγυπτον ἥκων, οὐδαμῶς ἔπειθεν Ἰωάννην ἐς βασιλέα ἐλθεῖν· παρηγγύα δὲ λέγειν ἐκεῖνος, ὡς μετὰ πολὺν φόνον νικήσει μὲν τὸν τύραννον· μετὰ δὲ τὴν νίκην, οὐ πολλῷ ὕστερον κατὰ τὴν Ἰταλίαν καὶ αὐτὸς μεταλλάξει τὸ ζῆν. Ἀμφότερα δὲ εἰ τέλος ἔσχον, ἡ ἱστορία δηλώσει. Ἐπεὶ γὰρ ἀρκούντως αὐτῷ τὰ πρὸς τὸν πόλεμον παρεσκεύαστο, ἀναγορεύει βασιλέα καὶ τὸν υἱὸν ἐκείνου Ὀνώριον· Ἀρκάδιον γὰρ ἔφθη πρότερον εἰς τὴν βασιλείαν ἀναγαγών. Τούτους δ' ἄμφω τῇ Κωνσταντίνου λιπὼν, αὐτὸς πᾶσαν τὴν πρὸς Ἕω περιβαλλόμενος δύναμιν, πρὸς τὴν Ἑσπέραν ἠπείγετο. Πολὺ δέ τι πλῆθος καὶ τῶν παριστρίων βαρβάρων ἐφείπετο, ἑκόντες συμμαχεῖν αὐτῷ ᾑρημένοι. Τῶν δὲ στρατηγῶν ὀλίγους εἶναι τοὺς συμμάχους φησάντων, καὶ ἀργεῖν τὴν κίνησιν βουλευομένων, ὡς ἂν ἦρος ἀρχομένου καὶ ἄλλην ἐπιλέξωνται στρατιὰν, ἵν' εἴη τῷ πλήθει ἀνακράτος περιγενέσθαι τῶν δυσμενῶν, ἥκιστα ταῖς τῶν στρατηγῶν εἰσηγήσεσι προσέσχεν ὁ θειότατος βασιλεύς· μηδὲ γὰρ χρῆναι τοσαύτην μὲν ἀσθένειαν τῷ παντοδυνάμῳ ὅπλῳ τοῦ σταυροῦ μαρτυρεῖν· ἀντίῤῥοπον δ' ἐκ τοῦ ἐναντίου δύναμιν τῇ τοῦ Ἡρακλέος εἰκόνι. « Τοῦ γὰρ ἐμοῦ ὁ σταυρὸς, ἐκείνου δὲ ἡγεῖται ὁ Ἡρακλῆς. » Οὕτως εἰπὼν, ἀπεχώρει. Ἐπεὶ δ' ἐξιὼν τῆς Κωνσταντίνου πρὸς τῷ Ἑβδόμῳ ἐγένετο, τῇ ἐνθάδε ἐκκλησίᾳ, ἣν αὐτὸς, διαφερόντως Ἰωάννην τὸν Βαπτιστὴν τιμῶν, ἀνεδείματο, εἰσῄει προσεύξασθαι μὲν Θεῷ· εἰς ἀρωγὴν δὲ μετακαλέσασθαι καὶ τὸν Βαπτιστὴν, ὥστ' αἰσίαν αὐτῷ τε καὶ τῇ στρατιᾷ Ῥωμαίων τὴν ἔκβασιν τῆς μάχης γενέσθαι· καὶ δὴ τὸ εἰκὸς ἀφοσιωσάμενος, εἰς Ἰταλίαν ἐγένετο. Ἐξαπίνης δὲ ταῖς Ἄλπεσι προσβαλὼν, τὰς πρώτας ἐσύλα φυλακὰς τοῦ τυράννου. Τὸ δὲ ἄκρον τῆς παρόδου παραμείψας, ἐπεὶ ἐς τὸ κάταντες ᾔγετο, ὁρᾷ τὸ πεδίον σύμπαν ἀμυθήτῳ πλήθει πεζῶν καὶ ἱππέων πεπυκνωμένον· οὐ πάνυ δ' αὐτοῦ πόῤῥω κατὰ νώτου καὶ ἄλλους τῶν πολεμίων κατὰ τὴν κορυφὴν ἑστηκότας τοῦ ὄρους, καὶ τό γε νῦν ἠρέμα τέως ἔχοντας· ὡς δ' ἡ πρώτη φάλαγξ κατιοῦσα τοῖς ἐν τῷ πεδίῳ προσέβαλε, μάχη κρατερὰ καὶ ἀμφήριστος ἀνεῤῥήγνυτο. Ἐπεὶ δ' ὅσον τὰ ἐς ἀνθρωπίνην δύναμιν μὴ εὐχερῆ τὴν σωτηρίαν εἶναι τῷ στρατῷ κατελάμβανε, μέσον τῶν δύο στρατευμάτων ἐπειλημμένῳ· ἤδη γὰρ καὶ οἱ κατὰ τὴν ἀκρώρειαν ἠρεμοῦντες κατὰ νώτου προσέβαλλον· καὶ καθ' ὃ μὲν μέρος Ῥωμαῖοι Ῥωμαίοις ἐμάχοντο, ἰσοπαλῆ

A monachi, utendum sibi esse statuit, quem supra in eorum qui sanctam vitam egerunt, catalogo clarissimum, et cum aliis admirandis operibus, tum maxime futurorum scientia celebrem fuisse diximus. Cum enim is gratiam divinam sortitus esset, multa eum consulentibus prædixit. Cujus rei periculum et specimen in proximo tyranno præbuerat, incruentam illam victoriam Theodosium reportaturum esse vaticinatus. Itaque fidissimum sibi eunuchum Eutropium in Ægyptum misit, ut aut virum sanctum, si facile id fieri posset, ad se adduceret : aut ab illo, si constanter adventum detrectaret, quid de bello faciendum esset, cognoscere conaretur. Eutropius eo profectus, nequaquam Joanni ut ad imperatorem veniret, persua- B sit. Quapropter illum, ut eventum belli prædiceret, rogavit. Atque ille, Theodosium quidem post cædem multam, victoriam de tyranno consecuturum: non multo autem post ipsum quoque in Italia moriturum esse respondit. Utrumque hoc an eventum talem habuerit, historia declarabit. Postquam enim ea quibus in bello opus est, abunde comparavit, Honorium etiam filium imperatorem renuntiavit : Arcadium namque antea ad imperium evexerat. **311** Ambobus filiis Constantinopoli relictis, ipse cum copiis Orientalibus omnibus in Occidentem est profectus. Ingens autem Barbarorum, qui ad Istrum colunt, multitudo, voluntate sua auxilium ferens, cum secuta est. Porro cum C ordinum duces paucitatem sociorum causarentur, et expeditionem differendam suaderent, ut scilicet primo vere exercitus alius contraheretur, et militum numero hostes vincerentur, nequaquam in ductorum consilio religiosissimus acquievit imperator. Minime namque tantam tribuendam esse imbecillitatem dixit omnipotenti crucis armaturæ, quæ ex adverso Herculis imagini opposita esset. « Exercitui enim meo, inquit, crux præit; illius autem copias Hercules ducit. » Hæc verba prolocutus, iter ingressus est. Constantinopoli autem profectus, ubi in Septimo (1) ad ecclesiam venit, quam ipse Joanni Baptistæ (eum enim præcipue honorabat) construxerat, eam est ingressus, ut simul et precationem ad Deum faceret, et Bapti- D stam ad ferendum sibi auxilium invocaret (2), quo optatum sibi et Romano exercitui exitum pugna haberet. Re ibi divina, ita ut par erat, peracta, postea in Italiam pervenit : et confestim ad Alpes contendens, prima tyranni præsidia cepit. Atque ubi transitu præcipiti prætenito, acclivi itinere in collem quemdam conscendit, planitiem omnem innumerabili peditum et equitum multitudine teneri, nec ita longe a tergo alias hostium turmas in vertice montis, qui tunc quidem quieti erant, sibi imminere vidit. Postquam autem prima acies se de colle demittens, eos qui planitiem

(1) Ἕβδομον, hoc est, Septimum ex suburbiis Constantinopolitanæ civitatis unum est. (Procop.) Siculi et alia ejus urbis regio est apud eumdem δεύτερον, hoc est, Secundum.

(2) Σύμμαχον αὐτῷ ἐπικαλέσασθαι τὸν Βαπτιστήν. Sozom. lib. VII, cap. 24.

occupaverant, aggressa est, ingens et dubium prælium (1) commissum est. Et ibi, quantum in humanis viribus situm est, non facile servari posse copias suas, a duobus hostium exercitibus circumventas, intellexit. Jam enim et illi, qui in summo monte quieti constiterant, a tergo suos aggrediebantur : et qua in parte Romani cum Romanis pugnabant, æquis viribus decertabatur. Ubi autem auxiliares Barbari præliabantur, multo illis Eugenii milites superiores erant. Imperator ubi auxilia sua sic concidi, ut dixi, vidit, humi prostratus, lacrymis solum rigavit, Deo supplicans, ne sic Romanorum imperium in summo internecionis periculo despiceret. Eum vero Deus quamprimum exaudit : **312** id quod belli eventus comprobavit. Intervenit nox, et exercitus animum despondebat. Imperator autem animi anxius et consilii inops, in summo montis, in quo castra et exercitum habebat, vertice, precatoriam domum invenit. In ea noctem totam, rursum rerum universarum Dominum suppliciter orans, consumpsit. Circiter vero galli cantum, contra animi sententiam somno oppressus, et in nudo solo provolutus, viros duos videre visus est, candida veste indutos, et candidis etiam equis vectos. Qui ad eum accedentes, forti esse animo, et metum abjicere, atque cum diluculo aciem rite instruere, et adversus hostes confidenter ducere jusserunt : subsidio se a Deo ei missos, et in prima acie pugnaturos esse, addentes (2). Et alter Joannem evangelistam, alter autem Philippum apostolum se esse dixit. Idem vero ex militibus etiam quidam vidit, qui ordinis sui dictori visionem eam indicavit. Ille eam ad tribunum, atque is ad exercitus ducem retulit. Hic porro rem talem, ut novum quidem, apud imperatorem exposuit. Qua ille audita : « Non mea causa, inquit, miles eos vidit. Ego enim prior vidi, et victoriam mihi pollicitis credidi. Verum ne quis me sic temere et cupide ad pugnam progredi aut somnium fingere putet, universitatis hujus Dominus hoc ita procuravit, ut miles meus idem videret, et testis locuples sermonis mei esset. Proinde timore quam longissime abjecto, antesignanos istos, qui in prima acie dimicabunt, sequamur. Ne quis vero nostrum ex hostium multitudine victoriam æstimet, sed potius alacri fiducia in Deum fixa, præeuntes duces consequatur. » Ejuscemodi verbis ubi militibus animum addidit, ex collis vertice aciem structam duxit. Eugenius ubi Theodosii exercitum pugnandi amore teneri vidit,

A τὰ τοῦ πολέμου ἦσαν ζυγά· καθ' ὃ δὲ οἱ σύμμαχοι βάρβαροι, ὑπερτέρουν πλεῖστον οἱ Εὐγενίου. Ὁ βασιλεὺς τὸ συμμαχικὸν οὕτως ὁρῶν διολλύμενον, πρηνὴς πεσὼν, δάκρυσι τὸ δάπεδον ἔβρεχε, Θεὸν λιπαρῶν μὴ οὕτω τὴν Ῥωμαίων ἀρχὴν ἀπολλυμένην περιιδεῖν. Θεὸς δ' αὐτίκα ἐπήκουεν, ὡς καὶ τὸ ἀποβὰν ἔδειξε. Νυκτὸς γὰρ ἐπιγενομένης, ἠθύμει μὲν ὁ στρατός· ἐν ἀπόρῳ δ' ὢν ὁ κρατῶν, κατὰ τὴν ἀκρωνυχίαν τοῦ ὄρους ἐν ᾧ καὶ τὸ στρατόπεδον περιήθροιστο, εὐκτήριον οἶκον εὑρὼν, πάννυχος διετέλει τὸν τῶν ὅλων Δεσπότην αὖθις ἀντιβολῶν. Περὶ δὲ ἀλεκτρυόνων ᾠδὰς, παρὰ γνώμην ὕπνῳ κλαπεὶς ἐπὶ ψιλοῦ κείμενος τοῦ ἐδάφους, ἐδόκει δύο ἄνδρας ὁρᾷν, λευκὰ μὲν ἀναβεβλημένους, λευκοῖς δὲ καὶ B τοῖς ἵπποις χρωμένους· οἳ προσιόντες, θαῤῥεῖν τε ἐκέλευον, καὶ τὸ δέος ἐλαύνειν· ἅμα δ' ἕῳ ἐν κόσμῳ καθοπλίσαι τὴν στρατιὰν, καὶ τοῖς πολεμίοις ἀντεπεξιέναι θαῤῥούντως. Προσετίθεντό γε μὴν, ὡς καὶ οὗτοι ἐπίκουροι πεμφθεῖεν αὐτῷ πρὸς Θεοῦ, καὶ πρόμαχοι συνεσόμενοι. Καὶ ὁ μὲν Ἰωάννην εἶναι τὸν εὐαγγελιστὴν ἔλεγεν· ἅτερος δ' εἶναι Φίλιππος ὁ ἀπόστολος. Τὰ ἴσα δὲ καί τις ἐθεᾶτο στρατιώτης· ὃς τῷ λοχαγῷ τὴν ὄψιν δηλώσας, τῷ χιλιάρχῳ ἐμήνυεν, ὁ δ' αὖθις τῷ στρατηγῷ. Ἐκεῖνος δὲ καινόν τι ἀπαγγέλλειν ἔχειν ὑπεμίμνησκε βασιλεῖ· καὶ ὃς μαθὼν, « Οὐκ ἐμοῦ χάριν, ἔφη, ταύτην εἶδε τὴν ὄψιν· ἐγὼ γὰρ καὶ προεώρακα, καὶ πεπίστευκα τοῖς ὑπεσχημένοις τὴν νίκην. Ἀλλ' ἵνα μή τις με οἰηθείη ἁπλῶς οὕτω τῆς μάχης ἐφίεσθαι, καὶ C πλάττειν τὸν ὄνειρον, τὸ ἴσον ἰδεῖν καὶ τὸν ἐμὸν στρατιώτην ᾠκονόμησεν ὁ τῶν ὅλων Δεσπότης, ὡς ἄν γε καὶ μάρτυς ἀξιόχρεως τῆς ἐμῆς διηγήσεως γένοιτο. Καὶ δὴ τὸ δέος διαῤῥίψαντες ποῤῥωτέρω, τοῖς προμάχοις ἑπώμεθα. Μή τις δὲ τῷ πλήθει τῶν πολεμίων τὴν νίκην σταθμάσθω· Θεῷ δὲ μᾶλλον θαῤῥείτω ὅλῃ προθυμίᾳ τοῖς ἡγουμένοις ἑπόμενος. » Οὕτω δὲ τὸ στράτευμα προθυμίας ἐμπλήσας, ἐκ τῆς τοῦ ὄρους κορυφῆς συντάξει τοῦτο κατῆγεν. Εὐγένιος δ' ἐκεῖθεν οὕτως ἰδὼν πολεμησείοντα τὸν στρατὸν, καὶ αὐτὸς τὴν οἰκείαν δύναμιν καθοπλίσας, εἰς παράταξιν ἔστησεν. Ἐκεῖνος δ' ἐπί τινος ἀνῄει γηλόφου, θανατᾷν τὸν βασιλέα φάσκων, καὶ ἑκόντα τῆς παρούσης ἀπαλλάττεσθαι ζωῆς ᾑρημένον. Τοῖς γε μὴν στρατηγοῖς αὐτοῦ ἐπέταττε, μηδὲ κτείνειν, D ἀλλὰ ζῶντα πρὸς αὐτὸν ἄγειν. Ὡς δ' αἱ φάλαγγες κατὰ μέτωπον ἔστησαν, τὸ μὲν πλῆθος ὑπερφυῶς πολλαπλάσιον τῶν πολεμίων ἦν· εὐαρίθμητον δὲ καὶ κομιδῇ βραχὺ τὸ ἀντιπαρατεττόμενον. Ἡ δὲ συμβολὴ περὶ τὸν ποταμὸν, ὃς καλεῖται Φρίγδος, ἐγίνετο. Καὶ δὴ πρῶτα μὲν ὁ στρατηλάτης Βακού-

(1) Hoc prælium Claudianus poeta in Panegyrico ad Honorium recens imperatorem renuntiatum, pulcherrimis carminibus est complexus :

—— Victoria velox
Auspiciis effecta tuis : pugnastis uterque,
Tu fatis, genitorque manu : te propter et Alpes
Invadit faciles, cauto nec profuit hosti
Munitis hæsisse locis : spes irrita valli
Concidit, et scopulis patuerunt claustra revulsis.
Te propter gelidis Aquilo de monte procellis
Obruit adversus acies, revolutaque tela
Vertit in auctores, et turbine reppulit hastas.
O nimium dilecte Deo, cui fundit ab antris
Æolus armatas hiemes, cui militat æther,
Et conjurati veniunt ad classica venti.
Alpinæ rubuere nives, et Frigidus amnis
Mutatis fumavit aquis : turbaque cadentum
Staret, ni rapidus juvisset flumina sanguis.

(2) Theod. lib. v, cap. 24.

γιος ἀναῤῥωσθεὶς τὴν ψυχὴν, ἐπὶ τόσον ἐκλίνει τὰς φάλαγγας, ὡς εἰσδραμεῖν εὐθέως καὶ διαῤῥῆξαι τὰ πλήθη, καὶ ἐς φυγὴν τρέψαι τοὺς πρώτους διώκοντας. Οἱ δὲ τῆς τυραννικῆς παρατάξεως ἡγεμόνες, οὓς κατὰ νώτου κεῖσθαι καὶ περικαθῆσθαι τὴν ἄκραν εἰρήκαμεν, πρέσβιν ἐς Θεοδόσιον πέμψαντες, συμμαχεῖν ἐκείνῳ κατήγγελλον, εἴ γε μείζονος τιμῆς παρ' αὐτῷ ἔσοιντο. Βασιλεὺς δὲ τὴν πρεσβείαν προσίετο· καὶ ἐπεὶ χάρτην οὐχ εὗρε, δέλτον λαβὼν, ἥν τις τῶν παρεστώτων τυχαίως ἐφέρετο, ἐν ταύτῃ κατέγραφεν, ἣν ἐπίσημον καὶ προσήκουσαν ἕκαστοι τάξιν ἕξουσι παρ' αὐτῷ, εἴ γε πέρας τῇ ὑποσχέσει αἴσιον θήσουσι. Καὶ οἱ μὲν οὕτως ἐκ πολεμίων σύμμαχοι ἀθρόον βασιλεῖ ἦσαν· ἔτι δὲ τῆς μάχης τῷ πεδίῳ καθισταμένης, καὶ μή πω κλινάσης ἐπὶ θάτερα τῆς ὁρμῆς, ἐξαίσιός ποθεν ἐπαιγίσας ἄνεμος καὶ ἀντιπρόσωπος πνεύσας τοῖς πολεμίοις, οἷον εἶναι μηδ' ἄλλοτέ ποτε ἱστορεῖσθαι πνεῦσαι, τὰς μὲν τάξεις διέλυε. Τὰ γὰρ βέλη τε καὶ ἀκόντια ὅσα κατὰ Ῥωμαίων ἐπέμποντο ἐξ ἀντιτύπου δυνάμεως ἀναστρέφων, κατὰ τῶν πεμπόντων μᾶλλον ἠφίει· καὶ τὰς ἐκείνων ἀσπίδας σὺν πολλῷ συρφετῷ καὶ ἀμυθήτῳ κόνει τῶν ἐκείνων χειρῶν ἀφαρπάζων, καὶ τοὺς ἱμάντας διαῤῥηγνὺς, ἐπ' αὐτῶν ἐκύλιε κατὰ στόμα βάλλων, καὶ ὅπου δή ποτε· τὰ δ' ἐκ τῶν Θεοδοσίου πεμπόμενα, σφοδροτέρᾳ ῥύμῃ καὶ ταῦτα κατ' ἐκείνων ἐκίνει· οἷς δὴ καὶ θαῤῥήσαντες, ἅτε δὴ ἀπήμαντοι διαμένοντες, θράσει πολλῷ ῥέοντες τοὺς πολεμίους κατέκτειναν. Οἱ δὲ πολέμιοι τὴν προφανῆ γνόντες ἐπικουρίαν ὡς θεόθεν ἐπῄει, τὰ ὅπλα ῥίπτοντες, φειδοῦς τῆς ἐκ βασιλέως ἠντιβόλουν τυχεῖν. Ὁ δὲ εὐθὺς εἶχε καὶ συγγνώμην ἐδίδου. Καὶ δὴ αὐτοῖς τε καὶ τοῖς αὐτομόλως ἐλθοῦσιν ἔπεμπε τὸν τύραννον ἀγαγεῖν. Οἱ δὲ βοῇ θέοντες, τὸν λόφον ἀνῄεσαν, ἐφ' οὗ καθήμενος τὰ πραχθέντα ἠγνόει. Εὐγένιος δὲ τῷ τοῦ δρόμου τάχει καὶ τῷ συχνῷ ἄσθματι καινόν τι ἀγγέλλειν ἔχειν νομίσας ἐκείνους, καὶ νίκης ἀγγέλους μᾶλλον παρ' αὐτὸν ἥκειν, εὐθὺς ἀνηρώτα, « Εἰ πεπεδημένος καὶ ζῶν, ὡς προσετάχθη, καὶ Θεοδόσιος ἄγεται. » Τῶν δ' εἰπόντων, « Μὴ ἐκεῖνον πρὸς σὲ, σὲ δὲ μᾶλλον πρὸς ἐκεῖνον ἐπέμφθημεν ἀγαγεῖν· ἡ γὰρ νίκη τὸν τύραννον μυσαχθεῖσα τὴν ἔννομον βασιλείαν ἠσπάσατο· τοῦτο γὰρ ὁ τῶν ὅλων ἐκέλευσε πρύτανις· » εὐθὺς τοῦ δίφρου αὐτὸν κατασπάσαντες καὶ δεσμὰ περιθέντες, αἰχμάλωτον ἦγον πρὸς βασιλέα τὸν πρὸ βραχέος μεγάλαυχον. Ὁ δὲ τὰ ἐς Οὐαλεντινιανὸν πλημμεληθέντα ἐκείνῳ παρῆγεν εἰς μέσον, καὶ τὴν παράνομον βασιλείαν, τάς τ' ἐμφυλίους μάχας, πρὸς δὲ καὶ τὸν σύμμαχον ἐκείνῳ διετώθαζεν Ἡρακλέα. Ὁ δ' ἀκούων ὁ τύραννος, τοῖς ποσὶ τοῦ κρατοῦντος ἑαυτὸν ἐλεεινῶς ἔῤῥιπτε, καὶ ἐδεῖτο σώζεσθαι. Ἐν ᾧ δὲ ἱκέτης ἦν, τῶν τις στρατιωτῶν τὸ ξίφος σπασάμενος, τῆς κεφαλῆς αὐτὸν ἀφαιρεῖται. Ἀρουαγάστης δὲ ὁ τοσούτων καὶ τηλικούτων κακῶν αἴτιος, φυγῇ χρώμενος ἐπὶ δυσὶν ἡμέραις, ἐπεὶ μὴ ἔγνω τοῦ λοιποῦ αὐτῷ βιώσιμα εἶναι, αὐτόχειρ τῷ οἰκείῳ ξίφει ἐγένετο.

ipse quoque copias suas instructas in aciem produxit. Et in tumulum quemdam conscendit, et imperatorem mori cupere (1) ac sua sponte ad mortem oppetendam properare dixit : ducibusque suis præcepit, ut ne illum occiderent, sed vivum potius ad se adducerent. Postquam acies ita adversis frontibus constitere, mirifica variarum gentium multitudo in hostium partibus esse visa est. At qui contra eos in armis ordine suo stabant, perquam pauci, ita ut eorum numerus facile iniri posset, erant. Coitio prima ad fluvium qui Frigidus dicitur, est facta. **313** Magister militum Bacurius, magno animi robore concepto, tantopere impressione sua hostium phalanges turbavit, ut statim sui incurrerent, et ordinibus ruptis in fugam eos verterent, qui persecuti eos pridie fuerant. Porro duces tyrannicæ ejus aciei, quam a tergo summum montem insedisse diximus, misso ad Theodosium oratore, ad partes ejus se transituros esse receperunt, si majoris dignitatis els apud eum locus esset : imperator legationem cam suscepit. Et cum chartæ copia non esset, tabula, quam ex assistentibus militibus quidam casu quodam ferebat, arrepta, in ea quem quisque illorum præclarum et convenientem locum apud se habiturus esset, si promissis starent, eaque ad finem debitum perducerent, descripsit. Ad hunc illi modum simul omnes ex hostibus socii imperatoris sunt facti. Adhuc campestris pugna acriter committebatur, necdum victoriæ impetus in alterutram partem inclinabat, cum ingenti vi alicunde ventus vehementissimus adversus hostes obortus, qualem nunquam antea flavisse memoriæ proditum est, in ora illorum irruit et ordines solvit. Et tela atque sagittas, quæ contra Romanos emittebantnr, vi quadam reluctante in eos convertens qui illas emiserant, rejicit : et clypeos, cum multa purgamentorum congerie, et pulvere incredibili illatus, ex eorum manibus rapiens, et lora conscindens, eos in illorum ora et membra quæcunque concutiens provolvit. Quæ vero a Theodosianis jaciebantur tela, acriore etiam in illos impetu ferebantur. Quam ob causam animis magnis conceptis, et quod integri etiam permanebant, ingenti fiducia illi in adversarios ruentes, eos cædunt. Itaque hostes manifeste opem eam divinitus accidere cernentes, armis abjectis, ad imperatoris misericordiam, veniam ab eo petentes, confugerunt. Atque ille eos, precibus cedens, statim in gratiam recepit : eosque et transfugas alios, ut tyrannum captum ad se adducerent, misit. Illi vero vociferantes, magna celeritate in tumulum evadunt, in quo ille casus ejus etiamnum ignarus considebat. Eugenius ex incitato cursu et assiduo illorum anhelitu, novi quidquam eos afferre, atque adeo victoriæ nuntios sibi advenire ratus, statim, an vinctus et vivus, siculi præceptum fuerat, Theo-

(1) Moritorientem et e præsenti vita mox decessurum imperatorem acie secum structa congredi dixit. Theod.

dosius adduceretur, interrogavit. **314** Cui illi responderunt : « Non illum ad te, sed potius te ad illum ut adducamus, missi sumus. Victori namque tyrannum detestata, legitimum imperium est secuta. Sic scilicet hoc rerum omnium gubernator procuravit. » Cum his dictis, et curru detractum et vinctum eum, qui paulo ante magnas spiraverat glorias, captivum ad imperatorem adducunt. Theodosius ea illi, quæ in Valentinianum commisisset, et illegitimum atque iniquum imperium, necnon civilia bella in medium proferens, objecit. Insuper vero etiam auxiliarem tutelaremque risit Herculem. Quæ tyrannus audiens, ad pedes se imperatoris miserabiliter abjecit, et ut vitam sibi donaret oravit. Cum vero ita illi supplex esset, ex militibus quidam ense stricto caput illi amputavit. Arbogastes autem talium tantorumque malorum auctor, ubi biduum in fuga consumpsit, et vitæ tædium eum cepit, manus ipse sibi suo usus gladio attulit. Talis ille fidelissimus imperator fuit, ut semper in bellis atque præliis, pro eo atque fieri debet, ex divino penderet præsidio, quo etiam nunquam est frustratus. Fertur sane et illud, quo tempore prælium hoc in Occidente est commissum, in templo Septimi (quæ suburbana Constantinopolitanæ urbis regio est, in quo precatum esse imperatorem diximus, cum ex ea urbe in bellum iret), hominem quemdam, qui dæmonis intemperiis agitabatur, in sublime raptum, veluti cum Baptista contendentem conviciis illum proscidisse, quod ei caput resectum esset, deinde etiam ferum quiddam hisce verbis exclamasse : « Tu me vincis, et meis insidiaris copiis. » Qui vero tum in eum hominem inciderant, propterea quod bellum id tum multis magnæ curæ esset, novi quiddam dæmoniacum dicere opinati, diem in charta excipientes notarunt : et deinde eo ipso tempore prælium factum esse, multorum sermonibus, qui ei pugnæ interfuerant, cognoverunt. Res Eugenii tyranni hoc accidere modo.

A Τοιοῦτος ἐκεῖνος ἦν ὁ πιστότατος βασιλεὺς, ἀεὶ καὶ ἐν πολέμῳ καὶ μάχῃ τὰ πάντα τῆς θείας ἐπικουρίας ὡς χρεὼν ἐξαρτώμενος, καὶ οὐδέποτε ταύτης ἀποτυγχάνων. Λέγεται μέντοι καὶ τοῦτο, ὡς καθ' ὃν καιρὸν ὁ πρὸς Ἑσπέραν οὗτος συνεῤῥήγνυτο πόλεμος, τῷ τοῦ Ἑϐδόμου νεῷ, ἐφ' οὗ τὸν βασιλέα προσεύξασθαι διελάϐομεν, ἐξιόντα τῆς Κωνσταντίνου, ἄνθρωπός τις δαίμονι μαστιγούμενος, μετάρσιος ἁρπαγεὶς, ὡσανεὶ πρὸς τὸν Βαπτιστὴν ἐτείνετο αὐτῷ διαλοιδορούμενος, ὡς ἀποκοπέντι τὴν κεφαλήν· εἶτα καὶ ἄγριον οὑτωσὶ ἀνεϐόα· « Σύ με νικᾷς, καὶ τῷ ἐμῷ ἐπιϐουλεύῃ στρατῷ. » Οἵ γε μὴν περιτυχόντες διὰ πολλῆς σπουδῆς οὔσης τηνικαῦτα τῷ πολέμῳ τούτῳ, οἷα δὴ νεώτερόν τι λέγειν τὸν δαιμονῶντα οἰόμενοι, τὴν ἡμέραν χάρτῃ ἀνέγραψαν· καὶ δὴ B ἔγνωσαν τὰ περὶ τὸν πόλεμον τῷ τότε πεπρᾶχθαι, πολλῶν τῶν τῇ μάχῃ κεκοινωνηκότων διαγγειλάντων. Καὶ τὰ μὲν περὶ τῆς Εὐγενίου τυραννίδος τοῦτον ξυνηνέχθη τὸν τρόπον.

315 CAPUT XL.

De seditione et tumultu Thessalonicæ orto, propter quem Theodosius septem millia virorum occidit.

Verumenimvero non proclive alicui est, omnes omnino communis adversarii nostri plagas effugere. Si quis enim forte impuræ libidinis affectum transiliat, in avaritiam incidat. Hanc vero si etiam superet, invidiæ lubrico circumveniatur : hanc autem si quoque conculcet, fortasse iram non vincat. Plures namque perniciosus hostis humano generi struit pedicas, qualicunque vitiosiore affectione per artem quamdam capere quemque satagens, et in primis qua aliquem ex naturæ inclinatione facile capi posse existimet. Quam ille machinationem ita molitur, ut corporis perpessionibus ad animarum momenta abutatur. Mens autem hominis si sedulo excubet, divino adjuvante numine, victrix abit, et machinas fraudesque illius evadit. De humana natura cum partem quoque suam admirandus iste imperator accepisset, affectiones quoque ejus communes habuit. Iræ enim justæ non moderatus, officio atque decoro excidit, et facinus crudele et inhumanum commisit. Quod sane et ipsum pro eo atque potero, referam, non tantum quod lectori id scire conducibile sit, verum etiam in eodem facto simul et crimen et laudem habeat principis tanti, id quid sit, dicam. Urbs Thessalonicensis, Achaiæ cunctæ, et Thessaliæ, Illyrico toti quoque, et aliis Macedo-

C

ΚΕΦΑΛ. Μ'.

Περὶ τῆς ἐν Θεσσαλονίκῃ γενομένης στάσεως, δι' ἣν Θεοδόσιος ἑπτακισχιλίους ἄνδρας ἀνεῖλεν.

Ἀλλὰ γὰρ οὐ ῥᾴδιόν τινα πάσας ἄρδην τοῦ κοινοῦ πολεμίου τὰς ἄρκυς διαφυγεῖν. Ἴσως γάρ τις τὸ τῆς ἀσελγείας πάθος ὑπερπηδήσας, τῇ πλεονεξίᾳ ἑάλω. Εἰ δὲ καὶ ταύτης ὑπερτερήσειε, τῷ τοῦ φθόνου ἂν ὀλίσθῳ περιπαρείη. Εἰ δὲ καὶ τοῦτον πατήσοι, οὐκ ἂν τάχα καὶ θυμοῦ κρείττων γένοιτο. Πολλὰς καὶ γὰρ ὁ παλαμναῖος πολέμιος τῷ ἀνθρωπίνῳ γένει τίθησι μάλα τὰς ποδοστράϐας, ὅτῳ δή ποτε τῶν παθῶν ἕκαστον ἀγρεῦσαι τεχνώμενος· καὶ μᾶλλον ᾧ ἐκ φύσεως ἁλώσιμον εἶναι ὑποτοπάσειεν, ἀποχρῆσαι τοῖς τοῦ σώματος πάθεσι τὰς κατὰ ψυχὴν D ῥοπὰς μηχανώμενος. Ὁ δέ γε νοῦς, εἴπερ ἐγρηγόρως ἔχοι, τῆς θείας ἀρηγούσης ῥοπῆς περιγίνεται, τῶν ἐκείνου μηχανημάτων ὑπεριπτάμενος. Φύσεως οὖν ἀνθρωπίνης καὶ ὁ θαυμάσιος οὑτοσὶ βασιλεὺς μετασχὼν, καὶ τῶν ταύτης ἐκοινώνησε παθημάτων. Ἐν θυμῷ καὶ γὰρ δικαίῳ τῇ ἀμετρίᾳ χρησάμενος, ἐξέστη μὲν τοῦ εἰκότος, ὠμὸν δέ τι καὶ ἀπάνθρωπον διεπράξατο ἔργον· ὃ δὴ καὶ τοῦθ' ὡς ἐνὸν διηγήσομαι, οὐ μόνον ὅτι λυσιτελήσει τοῖς ἐντυγχάνουσιν, ἀλλ' ὅτιπερ ἐν ταυτῷ κατηγορίαν τε ὁμοῦ καὶ εὐφημίαν ἔχει τοῦ θαυμαστοῦ βασιλέως· τίς δέ ἐστι, λέξων ἔρχομαι. Προκάθηται μὲν ἡ Θετταλῶν πόλις Ἀχαΐας πάσης καὶ Θεσσαλίας, καὶ τῆς Ἰλλυρίδος πάσης αὐτῆς, καὶ ἄλλων ἐθνῶν ὅσα δὴ Μακεδονίας

· μεγάλη δὲ λίαν ἡ πόλις καὶ πολυάνθρωπος. A
ταύτῃ στάσις μεγίστη ἐγένετο, αἰτίαν σχοῦσα
ε. Ἡνίοχος Βουθερίχου ὃς τηνικαῦτα τῶν
Ἰλλυριοῖς ἡγεῖτο στρατιωτῶν, τὸν οἰνοχόον
ῶς ἰδὼν, ἐπείρασε. Συσχεθεὶς δὲ διὰ τοῦτο,
ρουρὰν ἐγένετο. Ἐπεὶ δ' ἐπίσημος ἱπποδρο-
ιλεῖσθαι κατὰ τὴν πόλιν ἔμελλεν, ὁ δῆμος ἐλι-
συγγνώμης τὸν ἡνίοχον ἀξιοῦσθαι δεξιῶς
ι πρὸς τὸ ἔργον, καὶ ἀφίεσθαι τῷ ἀγῶνι. Ὡς
λλὰ δεηθέντες οὐδὲν ἤνυον, εἰς μεγίστην ἐκι-
στάσιν· καὶ χαλεπήναντες, πολλούς τε τῶν
ικῶν ἀνεῖλον ἀρχόντων, καὶ Βουθερίχον αὐτόν.
υς δὲ λίθοις κατέχωσαν, ἔπειτα καὶ δημοσίᾳ
υρον. Ἐπεὶ γοῦν ἔγνω ταῦτα ὁ βασιλεὺς, εἰς
ον ἀνήφθη ὀργήν· καὶ τοῦ θυμοῦ τὴν ῥύμην
εγκὼν, παρῆκε τὰς ἡνίας τοῦ λογισμοῦ, καὶ τῇ B
τὴν ψῆφον ἐπήνεγκεν· ἣ δὴ τῆς τοσαύτης
ἐπειλημμένη, οἷάπερ αὐτόνομος τύραννος,
ξίφη κατὰ πάντων ἐγύμνωσε· καὶ ἀπηνῶς
οὐ τοὺς ὑπευθύνους, ἀλλὰ καὶ τοὺς ἀθῴους
ίνειν ἐκέλευε. Καὶ εἰς ἑπτὰ, ὥς φασι, χιλιά-
θρώπων ὁ φόνος προὐχώρει, ἀμήτου δίκην
ροστυχόντων θεριζομένων, μὴ κρίσεως μήτε
ξετάσεως ἡγουμένης. Εἰσὶ δὲ οἵ φασι ῥητὸν
άξαι πλῆθος τὸν βασιλέα ἀναιρεθῆναι. Ἐντεῦ-
, οἷα φιλεῖ, καὶ μηδὲν προσηκόντων φόνων ἡ
ἐπίμπλατο· οὐ γὰρ μόνον οἱ ἐγχώριοι, ἀλλὰ
ἶνοι τινὲς καταπλεύσαντες, παρ' ἐλπίδα πᾶσαν
ταν. Καὶ θρήνων ἄξια ἐπεγένετο πάθη, οἷον δὴ
όδε· Ἐμπόρῳ τινὶ παῖδες συνελήφθησαν δύο· C
ὧν παραδιδοὺς ἑαυτὸν, ἐκείνους ἐδεῖτο σώζε-
μισθὸν δὲ, καὶ ὅσον ἦν ἐκείνῳ χρυσίον προ-
τοῖς στρατιώταις. Οἱ δ' ἀπάνθρωποι ἐκεῖνοι
υμφορᾶς ἐλεήσαντες, θάτερον ὃν ἂν ἕληται τῶν
λύειν ἐκέλευον, τὴν ἱκεσίαν δεχόμενοι. Ἄμφω
ἀφιέναι, οὐκ ἀκίνδυνον σφίσιν ἐτίθεντο, ὡς
ς καθισταμένου τοῦ ἀριθμοῦ. Τῆς δε πατρικῆς
ως καὶ εἰς ἀμφοτέρους ὁρώσης, κλαίων καὶ
μενος, οὐδ' ἑτέρου διέκρινεν αἵρεσιν. Οὕτω δ'
όρῳ καθεστηκότος, ἐπίσης γὰρ ἀμφοῖν ἐνικᾶτο
λτρῳ, καὶ ἄμφω τοὺς παῖδας ἀπώλεσε, ξίφεσι
στρατιωτῶν διαχρησαμένων αὐτούς. Ἀλλὰ καὶ
ης δεσπότῃ ἀγαθῷ τιμωρῶν ἀγομένῳ πρὸς τὴν
ἦν, ἑαυτὸν εἰς ἀναίρεσιν προθύμως ἐδίδου.

niæ populis præest, ingens et populosa: in hac seditio maxima est orta hac de causa. In Butherichi, qui tum militaribus in Illyrico copiis præfectus fuerat, pincernam auriga oculos adjecerat, ejusque pudicitiam tentarat. Et ea de causa comprehensus, in custodia detinebatur. **316** Cum autem insigne curule certamen in ea urbe peragendum esset, supplicavit plebs, ut aurigæ, qui singulari in certamine eo erat industria, delicti gratia fieret, et is ludicro ei interesse posset. Ubi vero tam sedula deprecatione id non impetrarunt, ad maximum incitati sunt tumultum. Per iracundiam namque plerosque imperatoris principes viros et ipsum Butherichum necarunt. Alios autem lapidibus obruerunt, et postea etiam per publicas vias raptantes traxerunt. Quam rei indignitatem postquam imperator intellexit, immani ira accensus est: et furoris impetum non ferens, rationis habenas abjecit, et appetitum calculo et sententia sua comprobavit. Qui licentia tanta recepta, veluti tyrannus arbitrio suo legibus solutus vivens, gladios iniquos adversus omnes strinxit, et crudeliter non sontes tantum ipsos, verum insontes quoque et innoxios necari jussit. Ad septem millia hominum cædes ea progressa esse dicitur, non secus atque in messe quadam, ferro quos sors obtulisset obvios carpente, nec judicio, nec quæstione habita. Sunt qui dicunt imperatorem certum hominum qui interficerentur numerum statuisse. Proinde sicuti fieri assolet, factum ut etiam eorum qui a causa essent alieni, cæde civitas sit completa. Non cives enim et incolæ tantum, sed hospites etiam, qui navibus eo appulerant, præter exspectationem omnem comprehensi sunt. Et profecto ploratu digna ibi commissa sunt facinora, quale est et illud: Mercatoris cujusdam filii duo sunt capti. Pro quibus, ut incolumes illi servarentur precatus, seipsum ad necem obtulit: pretiumque præterea quantum auri haberet, militibus se daturum pollicitus est. Feri vero et inhumani illi, casum viri miserati, alterum quem vellet ex filiis, precibus hoc ejus dantes, redimere jusserunt. Si enim utrumque dimitterent, periculum sibi ipsis creaturos esse, numero cæsorum aliquid decedente, dixerunt. Cum autem paterna natura et in utrumque respectaret, flens ille et lamentans, quemnam ex utroque optaret, decernere potuit. Atque ita animi ambiguus (utriusque enim ex æquo amore vincebatur) utrumque permilitari ferro cæsum. Sed et servus quidam hero suo, quo benigno usus fuerat, cum is ad cædem etur, opem ferens, seipsum ad necem alacri animo obtulit.

ΚΕΦΑΛ. ΜΑ'. D

τῆς τοῦ ἐπισκόπου Ἀμβροσίου παῤῥησίας· οὐκ ἀνῆκε Θεοδοσίῳ τὴν εἰς τὰ θεῖα ἀνάκτορα εἴσοδον· καὶ περὶ τοῦ νόμου ὃν ἔθετο, περὶ τῶν ἄλλων αὐτοῦ παραινέσεών τε ἔργων.

ν γοῦν συμφορὰν ταύτην Ἀμβρόσιος ὁ θεῖος
ν, ἐπεὶ μετὰ τὴν Εὐγενίου νίκην ἧκεν εἰς Με-

317 CAPUT XLI.

De episcopi Ambrosii dicendi et arguendi libertate, ut Theodosium ab ingressu templi Dei prohibuerit: et de lege, quam posuit, et de aliis ejusdem Ambrosii egregiis dictis et factis.

Hanc tantam ærumnam divus Ambrosius audierat. Et cum post Maximum (1) devictum Theodo-

In Nicephori Græco exemplari Eugenii nomen um est: sed ego pro eo Maximum reposui, ter consequentia, ubi dicitur Theodosium Constantinopolim reversum esse. Ambrosius episcopus Theodosium ob tam tyrannicum facinus templo Mediolani excludit.

sius Mediolanum venisset, et in ecclesiam sicuti mos est, precatum iret, et jam ad fores ejus adesset, occurrens ei Ambrosius, et purpura ejus apprehensa, in multitudine media, ne sacrarum ædium vestibulum tangeret, prohibet. «Resiste (1), inquit: virum enim impurum, et manus sanguine innocenti fere adhuc perinique stillantes circumferentem, fas non est, ante legitimam debitamque pœnitentiam, sacram ingredi ædem, aut divinorum mysteriorum participem fieri. Videris enim mihi, o imperator, non considerare animo tantum tot cædium scelus. Neque postquam iræ furor deferbuit, ratio ipsa tantum agnoscit facinus. Fortasse imperialis potestas impedimento tibi est, quominus peccatum perspicias: et veluti nubes quædam potentia tanta rationi objecta est. Sed peropus est, naturam te tuam fatis obnoxiam, ut scilicet caduca simul et fluxa sit, et avitum atque a primo parente acceptum pulverem, ex quo constitimus, et in quem brevi diffluentes revertemur, considerare: nec purpuræ flore, qui luminibus mentis officit, in oblivionem ejus quam illa obtegit corporis imbecillitatis adduci. Agnosce igitur, te ejusdem naturæ et conditionis hominibus, atque adeo conservis tuis imperare. Communis enim omnium dominus et imperator est rerum Conditor universarum. Quibus vero divinum intueberis oculis templum? Qualibus pedibus sanctum illud calcabis solum? Quomodo manus extolles, quæ cæde iniqua diffluunt? Quomodo etiam divinum Domini corpus eis excipies? Quomodo sanguinem pretiosum ad os afferes, per quod ira transversim actus, tantum effudisti sanguinis? Quam longissime igitur absiste, neque tibi ipsi peccatum adaugendo iniquitatem conduplica (2). Vinculum autem quod Deus cœlitus calculo suo comprobavit, suscipe, quod tibi incolumitatem veram conciliabit.» Imperator autem antistitis dicendi libertatem admiratus, verbis ejus cessit; nam in divinis legibus educatus fuerat, certoque sciebat, quænam imperatorum, **318** et quæ etiam episcoporum essent munia. Et cogitabundus aliquandiu, cum lacrymis, pœnitentiæ aculeis ictus, in regiam est reversus. Et octo continuis mensibus elapsis, illustris Natalium Christi advenit dies, atque imperator in imperialibus ædibus sedebat lamentans, et lacrymarum humore faciem rigans. Quem in tanto luctu vivere ubi Rufinus magister (hunc autem supra alios omnes ille propter familiarem consuetudinem honorabat) vidit, placide ad eum accessit, et lacrymarum causam inquisivit. Et ille, altius vehementi et acri ducto suspirio, prolixius flevit. Deinde ad illum conversus: «Tu quidem, inquit, Rufine, ludis: nequaquam enim malorum meorum sensus ad te pervenit. Mihi autem cur gemam et lugeam, causæ exstant, qui tantam quæ mihi accidit, ærumnam sentiam. Quomodo vero ego non affligar, cum servis et mendi-

(1) Hæc verba Theodoritus non habet, lib. v, cap. 19.

A διόλανον, καὶ εἰς τὴν ἐκκλησίαν ὡς ἔθος εἰσήγετο εὔξασθαι, καὶ πρὸς ταῖς θύραις ἐγένετο, ὑπαντήσας Ἀμβρόσιος, καὶ τῆς ἀλουργίδος λαβόμενος ἐπὶ μέσῳ τῷ πλήθει, τῶν ἱερῶν ἐπιβαίνειν προθύρων ἐκώλυεν· «Ἐπίσχες, φάσκων· ἀνάγνῳ γὰρ χεῖρας ἀνδρὶ, καὶ αἵματος σταζούσας, σχεδὸν ἄδικα περιφέροντι, μὴ θεμιτὸν εἶναι πρὸ τῆς ἀνηκούσης μετανοίας τῶν ἱερῶν ἐπιβαίνειν οὐδῶν, ἢ μυστηρίων θείων κοινωνὸν ὁρᾶσθαι. Ἔοικας γάρ μοι, ὦ βασιλεῦ, μηδ' ἐν νῷ βαλεῖν τὸ τοσοῦτον τῆς μιαιφονίας ἔργον, μηδὲ τῷ θυμῷ λήγοντι, τὸν λογισμὸν ἐπιγνῶναι τὸ τόλμημα. Ἴσως γὰρ ἡ βασιλικὴ δυναστεία ἐμποδών σοι καθίσταται τὸ ἁμάρτημα συνιδεῖν· οἷα γάρ τις νεφέλη ἡ ἐξουσία τῷ σῷ ἐπίκειται λογισμῷ. Ἀλλὰ B χρεὼν ἐν νῷ λαβεῖν τὸ τῆς σῆς ἐπίκηρον φύσεως, καὶ ὡς θνητή τε ἅμα καὶ ῥέουσα, καὶ τὸν προπάτορα χοῦν, ἐξ οὗ συνεστήκαμεν, καὶ εἰς ὃν οὐ μετὰ πολὺ διαῤῥεύσομεν· καὶ μὴ τῷ τῆς ἀλουργίδος ἄνθει ὥσπερ ἐπιπροσθοῦντι εἰς λήθην ἥκειν, οὗ καλύπτει σώματος τὴν ἀσθένειαν. Γνῶθι τοίνυν ὡς ἀνθρώπων ἄρχεις ὁμοφυῶν τε καὶ ὁμοδούλων· κοινὸς γὰρ ἁπάντων δεσπότης καὶ βασιλεὺς ὁ τῶν ὅλων Δημιουργός. Τοίνυν ποίοις ὀφθαλμοῖς τὸν θεῖον ὄψει νεών; Ποσὶ δὲ ποίοις τὸ δάπεδον ἐκεῖνο πατήσεις τὸ ἅγιον; Πῶς δὲ καὶ χεῖρας ἀρεῖς, τὸν ἄδικον φόνον ἀποῤῥεούσας; Πῶς δὲ καὶ τὸ θεῖον τοῦ Δεσπότου σῶμα ταύταις ἐνθήσεις; Πῶς δὲ καὶ τὸ τίμιον αἷμα προσοίσεις τῷ στόματι, δι' οὗ θυμῷ βουκολούμενος, τοσοῦτον αἷμα ἐξέχεας; Στῆθι τοίνυν ὡς ποῤῥωτέρω, C καὶ μὴ διπλῆν ποίει σαυτῷ καὶ μακροτέραν τὴν παρανομίαν. Δέχου δὲ τὸν δεσμὸν, ᾧ Θεὸς ἄνωθεν τὴν ψῆφον ἐπήνεγκεν· ἀληθοῦς δ' ὑγιείας οὑτοσὶ πρόξενος.» Ὁ δὲ βασιλεὺς τὸν ἱερέα θαυμάσας τῆς παῤῥησίας, καὶ τοῖς λόγοις εἴξας· θείοις γὰρ νόμοις ἐτέθραπτο, καὶ σαφῶς ᾔδει τίνα μὲν βασιλέων, τίνα δὲ ἱερέων τὰ ἴδια· σύννους ἐπιπολὺ καὶ δεδακρυμένος τοῖς τῆς μετανοίας κέντροις νυττόμενος, εἰς τὰ βασίλεια καθυπέστρεφεν. Ὀκτὼ δ' ἐφεξῆς παρῳχηκότων μηνῶν, ἡ περιφανὴς τῶν Γενεθλίων Χριστοῦ κατέλαβεν ἑορτή. Ὁ δὲ κρατῶν, ἐν τοῖς βασιλείοις καθῆστο, ὀλοφυρόμενός τε καὶ δακρύων λιβάσι καταρδεύων τὸ πρόσωπον. Οὕτω δ' ἔχοντα θεασάμενος Ῥουφῖνος ὁ μάγιστρος, ὑπὲρ ἅπαντας τιμώμενος ἐκ συνηθείας τῷ βασιλεῖ, ἠρέμα προσιὼν τὸ τῶν δα- D κρύων ἀνεπυνθάνετο αἴτιον. Ὁ δ' ἐκ βάθους βίαιόν τι καὶ σφοδρότερον ἀνοιμώξας, συχνότερον κατέῤῥει τὸ δάκρυον· καὶ πρὸς ἐκεῖνον στραφεὶς, «Σὺ μὲν, ἔφη, Ῥουφῖνε, παίζεις· αἴσθησις γάρ σοι τῶν ἐμῶν δεινῶν οὐδαμῶς· ἐμοὶ δὲ στένειν καὶ ὀλοφύρεσθαι πάρεστιν, ἐπαισθανομένῳ σφόδρα τὴν ἐπεισφρήσασαν συμφοράν. Καὶ πῶς γὰρ οὐκ ἐν δεινοῖς ἔγωγε, ὅτιπερ τοῖς μὲν οἰκέταις καὶ προσαίταις κατ' ἐξουσίαν ἐφεῖται πᾶσαν εἰς τὸν θεῖον ἀδεῶς εἰσιέναι νεών· ἐμοὶ δ' οὐ μόνον οὗτος οὐ βάσιμος, ἀλλὰ καὶ οὐρανὸς αὐτὸς ἀποκέκλεισται; Οὐδὲ γὰρ ἀμύητος τῆς θείας ἐκείνης φωνῆς, ἣ διαῤῥήδην ψηφίζεται τὰ ἐπὶ γῆς δεδεμένα τοῖς ἱερεῦσι Θεοῦ κἀπὶ τοῖς οὐρα-

(2) Ambrosius, lib. *Epist.* v, ep. 28.

ν τῷ ἀσφαλεῖ καθεστάναι. » Ὁ δ' εὐθὺς, A
' εἰ τῷ σῷ, φησὶ, κράτει δοκεῖ, δραμοῦμαι
ς τὸν ἱερέα, καὶ πάντα κάλων κινήσω δεόμε-
τε σοι λύσιν ἐπιβαλεῖν τοῖς δεσμοῖς. » — « Ἀλλ'
εταί σοι, εὖ οἶδα, φησὶν ὁ κρατῶν. Ἐπ' ἀκρι-
ρ ἐπίσταμαι τῆς Ἀμβροσίου ψήφου τὸ δί-
Οὐδὲ γάρ ποτε τὸν τῆς βασιλείας ὄγκον τῆς
προτιμήσει τιμῆς. » Ὡς δὲ πολλὰ λέγων ὑπ-
το πείθειν ὁ Ῥουφῖνος Ἀμβρόσιον, πράττειν
ιστάμενον ἠφίει ὁ βασιλεύς. Καὶ ὁ μὲν ἀπῄει·
ὶ σφοδραῖς τῶν ὑποσχέσεων βουκοληθεὶς Θεο-
, μετὰ βραχὺ κατόπιν καὶ αὐτὸς ἠκολούθει.
' εἰς λόγους Ἀμβροσίῳ Ῥουφῖνος ἐγένετο,
ῶν ὁ θεῖος ἀνὴρ, « Ἀλλ' ἔοικάς μοι, Ῥου-
λεγε, τὸ τῶν κυνῶν ἀναιδὲς ὡς πλεῖστον ἐζη-
ι· σφαγῆς γὰρ τοσαύτης παρὰ δίκην (ὦ θεία B
) γεγενημένης, καὶ ἐπὶ τοσοῦτον ὑμᾶς κατὰ
ίας εἰκόνος λυττήσαντας, οὔτε δέος εἰστρέ-
τ' αἰδὼς ἐπανθεῖ τοῖς προσώποις· ἀλλὰ τὸ
σχύνης ἀποξέσαντες κάλυμμα, τοιαῦτ' αἰτοῦν-
ιδσιτε. » Ὡς δ' ἔτι Ῥουφῖνος ἐπέκειτο λιπα-
καὶ ὅσον οὔπω ἥκειν ἔλεγε καὶ τὸν βασιλέα,
ιείῳ πυρποληθεὶς Ἀμβρόσιος, « Ἐγὼ, μέγα
ιξε, Ῥουφῖνε, προλέγω, ὡς ἀπείρξω καὶ αὖθις
ντα τῶν ἱερῶν περιβόλων. Εἰ δ' ἐκείνῳ σχο-
ραννεῖν μεταθεμένῳ τὴν βασιλείαν, ἐγὼ δὲ
ιεθ' ἡδονῆς τὸν διὰ τοῦτο προσοίσομαι θάνα-
Ταῦτ' ἀκούσας Ῥουφῖνος, τῷ βασιλεῖ διεπέμ-
ιαραινῶν τῶν ἀνακτόρων μὴ προϊέναι. Ὁ δὲ
δοῦ τὰ ἠγγελμένα μαθὼν, « Ἄπειμι, ἔφη,
ς τὰς παροινίας εἰσδεδεγμένος. » Ἐπεὶ δ' C
α τοῦ νεὼ ἐγεγόνει, εἴσω μὲν ἐλθεῖν οὐκ ἐτόλ-
ρὸς δ' Ἀμβρόσιον ἀφικόμενος, τῷ γὰρ ἀσπα-
οἴκῳ καθῆστο, τῶν ἀλύτων ᾔτει λυθῆναι
ν. Ὁ δὲ ἀλλὰ τοὺς θείους θεσμοὺς πατεῖν
διήλεγχε, τυραννικήν τε ἐκάλει τὴν παρου-
αὶ Θεῷ διὰ μάχης ἰέναι. Ὁ δὲ, « Ἀλλ' οὐ
ἐμοὶ, ὡς φῄς, περισπούδαστα, μετὰ θράσους
ρῶν ἐπιβῆναι προθύρων. Σὲ δὲ μόνον αἰτῶ
μου τὰς πέδας, καὶ τὴν κοινὴν τοῦ δεσπότου
ρωπίαν μιμήσασθαι· καὶ μὴ ἐμοὶ μόνῳ τὴν
ρωπον ἐπιζυγῶσαι κατὰ τοῦ προσώπου θύ-
ν κοινῇ πᾶσι μετανοεῖν ᾐρημένοις καὶ πολλῷ
νοις τῷ μεταμέλῳ ὁ τοῦ ἐλέους δεσπότης
ιν. » Ἀμβρόσιος δὲ, « Ἀλλὰ ποῖος, φησὶν, ὁ D
ιλος μετὰ τοσαύτην παρανομίαν καὶ θυμοῦ
ου ἀσέλγειαν; Ἆρα δὲ ποίοις φαρμάκοις τὰ
α ἐκεῖνα ἐθεράπευσας πάθη; » Ὁ δὲ βασιλεὺς
, « Ἀλλὰ σὸν ἔργον, ὦ θεῖε ἄνερ, ταῦτα δεῖξαι
ράσαι μοι τῆς θείας ἰατρείας τὰ φάρμακα·
ὲ τὸ δέξασθαι ταῦτα, κἂν καὶ πολὺ τὸ στύφον
ισον ἐπάγωνται. » Τότε θείου Πνεύματος
ις ὁ Ἀμβρόσιος, « Ἐπεὶ, φησὶ, τῷ θυμῷ τὴν
ἐκείνην ἐπέτρεψας, καὶ τὴν ψῆφον οὐχ ὁ λογι-
ἐν τῷ καθεστῶτι μένων ἐξήνεγκεν, ἀλλ' ὁ
ἀλογίστῳ θράσει φερόμενος· ἐγγράψαι σε
νόμον, καταψηφιζόμενον τοῦ θυμοῦ τὰς ψή-
καὶ τοὺς τοῖς σοῖς διακονουμένους προστάγμα-
τάττοντα ἐς τριακοστὴν ἡμέραν ἀναβάλλεσθαι

A cis etiam, absque metu omni, divinum templum ingrediendi libera sit potestas: mihi porro non modo id tangere non licet, verum etiam cœlum ipsum clausum est? Neque enim divini illius oraculi non memini, quod disertis verbis statuit: Quæcunque a sacerdotibus Dei ligata fuerint in terris, ea etiam in cœlis certo esse ligata. Tum confestim ille: « At si, ait, imperio tuo videtur, conveniam quamprimum antistitem, et nihil non tentabo, ut vincula tua solvat. » — « Verum non obsequetur, imperator inquit, ille tibi, sat scio. Perspectam enim maxime habeo Ambrosii sententiæ æquitatem. Nunquam ille imperii amplitudinem divino præferet honori. » Postquam autem multa prolocutus Rufinus, pollicitus est se Ambrosium B in sententiam suam adducturum, imperator eum, quod constituisset, facere permisit. Abiit ille, et Theodosius ingentibus illius promissis adductus, paulo post eum est subsecutus. Cæterum ubi Rufinus cum Ambrosio est collocutus, verba ejus interpellans vir divinus: « Tu vero, inquit, Rufine, canum impudentiam plurimum æmulari videris. Cum namque præter jus, o divina vindicta! tantam cædem perpetraveritis, et tanta rabie in imaginem Dei sævieritis, neque metus vobis incessit, neque ruber in ore vestro efflorescit: sed verecundiæ pudore deterso, cum petitione tali advenitis. **319** Ut vero Rufinus illi magis ac magis supplicando institit, et imperatorem quoque jamjam advenire dixit, divino ardore incensus Ambrosius, cum clamore C magno: « Ego tibi prædico, Rufine, inquit, me iterum advenientem illum sacris ædibus prohibiturum esse. At si ille imperio æquo posthabito, tyrannidem exercere statuit, perlibenter ego hac de causa mortem adibo. » His verbis auditis, Rufinus per internuntium, ne ædibus imperatoriis progrederetur, imperatori significavit. Atque ille, ubi inter eundum nuntium eum accepit: « Eo, inquit, merito meo objurgationem et contumeliam excepturus. » Et ubi proxime ad templum accessit, ingredi id quidem ausus non fuit. Ubi autem ad Ambrosium, qui in æde salutatoria consederat, venit, ut insolubilia vincula sua solveret, eum rogavit. Ambrosius vero illum sanctiones di-D vinas proculcare arguit, et adventum ejus, qui ita Deo repugnaret, tyrannidum appellavit. Ibi Theodosius: « At ego, inquit, non id studio habeo, ut cum temeraria confidentia sacrum ingrediar vestibulum. Te autem oro, ut vincula mea solvas, et communem Domini benignitatem imitatus, non soli mihi in faciem misericordiæ fores claudas, quas communiter omnibus resipiscentibus, et pœnitentia multa utentibus, misericordiæ Dominus aperuit. » Ambrosius vero, « Verum dic age, inquit, quæ tua fuerit, post tantam iniquitatem et effrenis iræ petulantiam, pœnitentia. Qualia tandem incurabilibus affectionibus adhibuisti remedia? » Sub hæc placide imperator dixit: « Tuæ vero, o vir divine, id est operæ, indicare mihi, et tempe-

rare sacræ medicinæ remedia. Meum autem fuerit, A ea suscipere, etiamsi multum babeant acrimoniæ et asperitatis. » Ibi tum Ambrosius divino Spiritu plenus : « Quandoquidem, ait, ira concitatus vindictam aliam præcepisti, et sententiam illam non ratio in tranquillo statu suo consistens, sed furor insana et vecordi audacia productus tulit, ut legem et constitutionem (1) promulges impero, quæ iræ calculos condemnet, et jussionum tuarum ministris injungat, ut publica judicia et capitalium causarum pœnas ad tricesimam usque diem differant (2). Et ut sententiæ capitales in scriptum relatæ, rectum et pacatum rationis judicium exspectent. **320** Porro diebus his elapsis, quibus judiciorum cura commissa est, scriptum proferant, B ut scilicet cum jam ira deferbuerit, et ratio sibi ipsi restituta fuerit, sententiam latam per disquisitionem perpendant, justane sit, an iniqua. Ac siquidem contra jus ea concepta fuerit, statim eam conscindet : sin contra, multo etiam magis confirmabit. Et dierum istorum numerus ad id quod conducat maxime cognoscendum proderit. Peræquum enim est, tempus id intercedere, quod cum imperatoris iram placet, tum furore languescente humanitati et misericordiæ locum det. » Imperator igitur divini antistitis præscriptum suscepit, et optimum id esse dixit. Confestim etiam (3) constitutionem conscripsit, et ut in sempiternum robur suum obtineret, manus suæ subscriptione eam con- C firmavit. Quo facto, vinculum quoque illius solutum est, cum quidem publice prius imperator peccatum suum in ecclesia confessus fuisset, et libenter admodum constitutum pœnitentiæ tempus suscepisset. Quo tempore in luctu degens, imperialibus ornamentis usus non est. Deinde in sacri templi ædes admissus, non stans ille, neque genibus flexis, rerum universarum Dominum precibus placavit : sed pronus in solum abjectus, miserabilem illam Davidis emisit vocem : *Adhæsit pavimento, anima mea, vivifica me secundum verbum tuum*[1]. » Et comam insuper vellens, frontemque diverberans, et solum lacrymis madefaciens, delicti veniam ad eum modum petiit. Postquam vero tempus advenit, cum eum more recepto, munus ad sacram mensam af- D ferre oporteret, lacrymans surrexit, et divinum sacrarium ingressus est : et dono ex consuetudine oblato, intra sacros cancellos permansit, in sanctiore sacerdotum loco, ubi antiquitus imperatores consistere mos erat, propter dignitatis sublimitatem a plebe segregatos. Quam rem quod Ambrosius adulationis magis quam ordinis recti esse putabat,

[1] Psal. CXVIII, 25.

A τὰς δημοτικὰς καὶ τῶν ἐπὶ θανάτῳ καταδικαζομένων τὰς τιμωρίας· καὶ γεγραμμέναι μενέτωσαν τὴν ὀρθὴν καὶ ἀτάραχον τῶν λογισμῶν ἐκδεχόμεναι κρίσιν. Τῶν δ' ἡμερῶν τούτων διελθουσῶν, οἷς τοῦτο μέλον, τὰ γεγραμμένα δεικνύτωσαν· ὡς ἂν τοῦ θυμοῦ λήξαντος, καθ' ἑαυτὸν ὁ λογισμὸς γενόμενος, ἐξετάσει δοίη τὰ ἐγνωσμένα, εἴτ' ἐν δίκῃ εἴη, εἴτε καὶ ἄδικα· κἂν μὲν παρὰ δίκην, εὐθὺς διαῤῥήξει· εἰ δ' αὖ τοὐναντίον, βεβαιώσει μᾶλλον. Καὶ ὁ τῶν ἡμερῶν ἀριθμὸς λυσιτελήσει πρὸς τῷ τὸ συμφέρον μάλιστα διαγνῶναι. Εἰκὸς γὰρ εἶναι τὸν ἐν μέσῳ τοῦτον χρόνον, τήν τε βασιλέως μαλάσσειν ὀργὴν, καὶ τοῦ θυμοῦ παρακμάζοντος, ἐλέῳ καὶ φιλανθρωπίᾳ γενέσθαι χώραν. » Ὁ βασιλεὺς τοίνυν τὴν τοῦ θείου ἱερέως εἰσήγησιν ἡδέως δεξάμενος, καὶ ἀρί- B στην εἶναι φήσας, εὐθὺς καὶ τὸν νόμον ἔγραφε· καὶ ἐς τὸ διηνεκὲς τὸ βέβαιον ἔχειν, καὶ τοῖς οἰκείοις δακτύλοις κατησφαλίζετο. Οὗ δὴ γενομένου, καὶ ὁ δεσμὸς διελύετο· δημοσίᾳ πρῶτον τὴν ἁμαρτίαν ἐπ' ἐκκλησίας ὁμολογήσαντος τοῦ κρατοῦντος, ἠπίως δ' εὖ μάλα καὶ τὸν ὁρισθέντα τούτῳ εἰς μετάνοιαν χρόνον εἰσδεξαμένου· ἐν ᾧ οἷάγε πενθῶν, τῷ βασιλικῷ οὐκ ἐχρήσατο κόσμῳ. Ἔπειτα τῶν θείων περιβόλων ἀξιωθεὶς, οὐχ ἑστὼς, οὔτε μὴν γόνατα κλίνων, τὸν τῶν ὅλων ἱλέου Δεσπότην· πρηνὴς δ' ἐπ' ἐδάφους ἐῤῥιμμένος, τὴν Δαυϊτικὴν ἐκείνην ἐλεεινῶς ἀφῆκε φωνήν· *Ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή μου· ζῆσόν με κατὰ τὸν λόγον σου.* Τίλλων δὲ τὰς C τρίχας καὶ τὸ μέτωπον τύπτων, δάκρυσί τε βρέχων τὸ ἔδαφος, καὶ τὴν ἐκεῖθεν ᾔτει συγγνώμην τῷ πταίσματι. Ὡς δὲ καὶ καιρὸς ἐνέστη καθ' ὃν ἐχρῆν, ὥσπερ ἦν ἔθος τῇ ἱερᾷ τραπέζῃ τὰ δῶρα προσενεγκεῖν, σύνδακρυς ἐκεῖθεν ἀνεγερθεὶς, τῶν θείων ἀνακτόρων ἐπέβη· καὶ τὰ εἰωθότα δῶρα προσενεγκὼν, ἔνδον τῶν ἱερῶν κιγκλίδων ἐγένετο, τῷ ἱερατείῳ ὅπου δὴ ἐκ παλαιοῦ ἔθος ἦν τοὺς βασιλεῖς ἵστασθαι, κατ' ἐξοχὴν τοῦ λαοῦ κεχωρισμένους. Ὁ κολακείας μᾶλλον ἢ εὐταξίας εἶναι ὑπειληφὼς ὁ Ἀμβρόσιος, καὶ τὸν βασιλικὸν ὡς χρεὼν τηνικαῦτα τόπον ἐῤῥύθμιζε, τὸν πρὸ τῶν δρυφάκτων ἤτοι τῶν τοῦ ἱερατείου κιγκλίδων· ὥστε τοῦ μὲν λαοῦ τὴν προεδρίαν τὸν κρατοῦντα ἔχειν, αὐτοῦ δὲ προκαθῆσθαι τοὺς ἱερέας. Ἣν δὴ καὶ τότε μὲν ὡς ἀρίστην D ἐπῄνεσε Θεοδόσιος· ἐκράτυναν δὲ οἱ καθεξῆς· ἣ καὶ ἐς δεῦρο ἐξ ἐκείνου φυλάσσεται. Ἐγὼ δὲ καὶ ἅπαξ τοῦ ἔτους εἶδον τοὺς καθ' ἡμᾶς θεοφιλῶς κρατοῦντας κατὰ τὸν τοῦ μεγάλου Σαββάτου καιρὸν τῷ μεγίστῳ δόμῳ τῆς τοῦ Θεοῦ Σοφίας ἔνδον τῶν ἀδύτων εἰσιόντας, καὶ σταυροειδῶς τὴν θείαν τράπεζαν ἀρώμασι θυμιῶντας καινοῖς, καὶ δῶρα ταύτῃ προσάγοντας. Ἀλλ' ἐπὶ τὸ προκείμενον ἴωμεν. Ἐπεὶ

(1) Constitutio Theodosii de judiciis capitalibus non præcipitandis.

(2) Theodosius antea lege sanxerat, ut aut convictum velox pœna subduceret, aut liberandum custodia diuturna non maceraret. L. *De test*. C. De custod. reor.

(3) Constitutio Theodosii talis fuit : *Impp. Valentinianus et Theodosius Augg. Flaviano P. P. Illyrici. Si vindicari in aliquos severius, contra nostram consuetudinem, pro causæ intuitu jusserimus, nolumus statim eos aut subire pœnam, aut excipere sententiam, sed per dies triginta super statu eorum sors et fortuna suspensa sit. Reos sane accipiat vinciatque custodia, et excubiis solertibus vigilanter observet.*

ἤει ὁ Θεοδόσιος, ἠρέμα, εἴ τινος δέοιτο, ὁ A
σιος ἤρετο. Τοῦ δ' εἰπόντος τὴν τῶν θείων
ίων ἀναμένειν μετάληψιν, ἐδήλου, τῷ τῶν
ν πρώτῳ ὑπουργῷ χρησάμενος, μηνύων ὡς
δον, ὦ βασιλεῦ, μόνοις εἰσὶ τοῖς ἱερεῦσι βατὰ,
ἄλλοις πᾶσιν ἀπρόσψαυστα. Ἔξιθι τοίνυν,
ἰς ἄλλοις κοινώνει τῆς στάσεως. Ἁλουργὶς
σιλέας οὐχ ἱερέας ποιεῖ. » Καὶ ταῦτα δὲ ὁ
; δεξάμενος βασιλεὺς, ἀντεδήλου, ὡς « Οὐ
φερόμενος, ἀλλὰ τῷ ἐν Κωνσταντινουπόλει
ἰμενος, τῶν κιγκλίδων εἴσω γεγένημαι. Ἐγὼ
τῆσδε χάριν τῆς ἰατρείας χάριτάς σοι ἔχω
ς. » Οὕτω καὶ ὁ βασιλεὺς καὶ ὁ ἀρχιερεὺς
εἶ διέλαμπον ἀρετῇ, ὡς ἐμὲ μὴ ῥᾳδίως ἔχειν
τούτων τὸ πρωτεῖον παρέχειν. Ἄγαμαι δὲ
ι τοῦ μὲν τὴν παῤῥησίαν, τοῦ δὲ τὴν περὶ B
εὐλάβειαν· καὶ τοῦ μὲν τὸν ζῆλον, ἐκείνου
ρὸς Θεὸν ἀκραιφνές. Τούτους δὲ τοὺς νόμους
Ἀμβροσίου πεπαίδευτο, καὶ ἐς τὴν Κωνσταν-
ιῶν, ἀκριβῶς διεφύλαττεν. Ἐπεὶ γὰρ κά-
ορτῆς ἀγομένης εἰς τὸν θεῖον ἀνῆκτο νεὼν,
ι τῇ μυστικῇ τραπέζῃ προσενεγκὼν, ὀπίσω
εὐθὺς ἐξελήλυθεν. Τοῦ δ' ἀρχιερέως (Νε-
δὲ τηνικαῦτα ἦν) δυσχεράναντος, καὶ ὅτου
πίσω ἀνέδραμε, διαμηνύσαντος, ἀχθεσθεὶς,
, ἔφη, βασιλέως καὶ ἱερέως ἔγνων τὸ μέσον·
ῦρον τῆς ἀληθείας διδάσκαλον. Μόνον γὰρ
Ἀμβρόσιον εἶδον τοῦ ἐπισκοπικοῦ τετυχη-
όματος. » Πόσον ἀγαθόν ἐστιν ἔλεγχος ἀπα-
γκαίρως παρ' ἀνδρὸς ἀρετῇ καὶ δικαιοσύνῃ C
τοντος εἰσφερόμενος; Τῷ δ' Ἀμβροσίῳ τούτῳ
μὲν καὶ ἄλλα κατώρθωται ἱεραρχικῆς ἐνερ-
πάξια, ἃ τοῖς ἐκεῖσε τῶν ἐπιχωρίων εἰκὸς
ει. Ἐγὼ δὲ καὶ τοῦτο τῶν ἐκείνου πυθόμενος
ινήμης ὂν, τῇ συγγραφῇ καταλέξω. Τῶν ἐν
ς Ἑλλήνων θρησκείᾳ πεπεδημένος, καθύβριζε
ιλέα Γρατιανὸν, πολλῷ εἶναι τὸν ἐκείνου
κρείττονα φάσκων. Γραψαμένων δ' ἐκείνου
θάνατον ἔσχε τὸ ἐπιτίμιον. Ὡς δ' ἄγεσθαι
θάνατον ἔμελλε, σπουδῇ Ἀμβρόσιος κατ-
νε τὰ βασίλεια ἱκεσίαν κινήσων ὑπὲρ αὐτοῦ.
θέαν κυνηγεσίων Γρατιανοῦ ἐνασχολουμένου,
εως ἰδίας χάριν οἱ βασιλεῖς πράττειν εἰώθα-
ἰεὶς τῶν ἐπὶ τῶν πυλώνων τεταγμένων τὴν
ίαν τοῦ ἐπισκόπου ἐμήνυσε, μὴ εὐθέτου δῆθεν D
καιροῦ. Ὁ δ' ὑπεχώρει μὲν ἐκεῖθεν· πρὸς
ύλῃ γενόμενος ᾗ τοὺς θῆρας εἰσῆγον, καὶ τοῖς
αις ἑαυτὸν παραμίξας, λαθὼν εἰσῄει. Καὶ
ερον ἐκεῖθεν ἐξῆλθε, πολλὰ Γρατιανοῦ καὶ
οι ἐκεῖνον ἀντιβολούντων, ἕως τὴν τῆς κατα-
ψῆφον τἀνθρώπῳ διέῤῥηξε, καὶ ἄλλην ἐξή-
συγχωροῦσαν τὸ ἔγκλημα τῷ ἀγομένῳ πρὸς
. Εἴπερ τις δὲ περὶ τὴν φυλακὴν τῶν ἐκκλη-
ῶν νόμων σπουδαῖος ἄγαν ἐγένετο ὁ Ἀμβρό-
καταστῆσαί τε τοὺς ἐν κύκλῳ καὶ παιδείᾳ
νόμων ὑπαγαγεῖν δεξιώτατος. Πλὴν ἐκ πάνυ
ὅσα κατορθώσας ὤφθη, τοσάδε μοι ἐνθάδε
. Ἱκανὰ γὰρ δεῖξαι, ὅσης ἠμοίρει διὰ τὴν

κέντρῳ διερεθίζοντος. Ὡς δὲ μηδὲν ἀνύοντες ἦσαν, ξένον τι δηλοῦν τὸ Θεῖον ἐδόκει οὐ τοῖς ἄγουσι καὶ θεωμένοις μόνον, ἀλλὰ καὶ αὐτῷ βασιλεῖ. Καὶ δόξαν οὕτως, ἀπέθεντο τὸν ἱερὸν τουτονὶ θησαυρὸν ἔν τινι κώμῃ γειτονούσῃ· τοῦ Κοσιλάου ταύτην ἐγχώριος ἐγκάλει φωνή· τοῦ δὲ Μαρδονίου τὸ κτῆμα ἦν. Κατὰ δὲ τοῦτον τὸν χρόνον, ἢ τοῦ Θεοῦ, ἢ καὶ αὐτοῦ τοῦ προφήτου κινήσαντος, τῇ κώμῃ ταύτῃ ὁ βασιλεὺς ἐφίσταται Θεοδόσιος. Εἰς νοῦν δὲ θέμενος τὴν κάραν ἐκεῖθεν λαβεῖν, ἀντέσχε μόνη Ματρῶνα· ἡ παρθένος οὖσα καὶ ἀφιερωμένη Θεῷ, τῇ θείᾳ εἵπετο τοῦ Βαπτιστοῦ κεφαλῇ, διακονοῦσα τὰ ἐπιτήδεια τῇ ὁδῷ, καὶ φύλαξ καθισταμένη· ἣν δὴ γενναίως ἀνθισταμένην, οὐχ ᾤετο δεῖν οὕτω βιάσασθαι. Ἱκεσίαν δὲ προσάγων, συγχωρεῖν ἐδεῖτο· μόλις δὲ ἐνεδίδου ἐκείνη ἀνήνυτα καὶ τοῦτον οἰομένη ἐπιχειρεῖν, καθὰ καὶ Οὐάλεντι συνέβη συμβάλλουσα. Ὁ δὲ τὴν θήκην ἐν ᾗ ἱερὰ κατέκειτο κεφαλή, τῇ ἁλουργίδι περιελίξας, αὐτὸς ἀνὰ χεῖρας διετέλει βαστάζων, ἄχρι δὴ πρὸ τῆς Κωνσταντίνου τῷ λεγομένῳ Ἑβδόμῳ ταύτην κατέθετο· ὅπου δὴ διαφερόντως σεμνύνων τὸν Βαπτιστήν, καὶ νεὼν μέγιστον καὶ κάλλει κάλλιστον ἀνεγείρει. Πολλὰ δὲ καὶ πολλάκις Ματρῶναν μετελθών, καὶ ὑπεσχημένος κεχαρισμένα, μεταθεῖναι τὴν δόξαν ἥκιστα ἔπειθεν· ἦν γὰρ νοσοῦντα τὰ τῆς Μακεδονίου αἱρέσεως· καίπερ Βικεντίου, ὃς πρεσβύτερος ἦν τὰ ἴσα φρονῶν, καὶ τὰ περὶ τὴν θήκην ἐπίσης αὐτῇ τῷ Βαπτιστῇ πράττων, καὶ διὰ ταύτην ἱερωμένος, εὐθὺς μεταβαλόντος, καὶ τῇ καθόλου προσχωρήσαντος Ἐκκλησίᾳ, καὶ ταῦτ' ἀπώμοτον θεμένου, ὥς φασι Μακεδονιανοί, μήποτε τὴν οἰκείαν δόξαν ἀπώσασθαι, μετέθετο δὲ ὁρίσας οὕτως· εἴπερ ἕλοιτο ὁ Βαπτιστὴς ἀκολουθῆσαι τῷ βασιλεῖ, καὶ αὐτὸν τὴν θρησκείαν ἀποθέσθαι, καὶ αὐτῷ κοινωνεῖν τοῦ λοίπου μηδέν τι διαφερόμενον. Βικέντιος δ' οὗτος Πέρσης μὲν ἦν τὸ γένος· Κωνσταντίου δὲ βασιλεύοντος ἐν Περσίδι διωγμοῦ γενομένου, φυγὰς καὶ αὐτὸς σύναμα Ἀδδᾷ τῷ ἀνεψιῷ, τῇ Ῥωμαίων γῇ προσφοιτᾷ. Ἀλλ' ὁ μὲν τῷ κλήρῳ καταλεγείς, καὶ εἰς πρεσβυτέρου προῆλθεν ἀξίαν. Ἀδδᾶς δὲ γυναικὶ συναφθείς, τῇ Ἐκκλησίᾳ πολύ τι ὄφελος ἐγεγόνει· παῖδα γὰρ ἐγέννησεν Αὐξέντιον ὄνομα, πιστὸν μὲν εἰς τὰ θεῖα, σπουδαῖον δὲ περὶ φίλους· βίου δὲ σώφρονος ἡμμένον καὶ ἐμμελοῦς· φιλολόγον δὲ μάλιστα, ἴδριν τε τῶν ἐν Ἕλλησι καὶ τῶν παρὰ τοῖς ἐκκλησιαστικοῖς συγγραφεῦσιν ἑρμηνευθέντων· μέτριον δὲ ἄλλως· καὶ ταῦτα βασιλεῖ τε ἐπιτήδειον καὶ τοῖς ὅσοι περὶ αὐτόν· καὶ λαμπρῶς στρατηγήσαντα. Οὗ καὶ λόγος πολὺς παρά τε τοῖς ἀρίστοις τῶν μοναχῶν, καὶ τῶν ὅσοι σπουδαῖοι ἄνδρες οἳ πεῖραν ἔσχον τἀνδρός. Ματρῶνα δὲ διὰ βίου τῇ Κοσιλάου κώμῃ παρήδρευε, σεμνῶς τε καὶ ἱεροπρεπῶς διαζῶσα μετὰ λαμπρᾶς καὶ μάλα σώφρονος βιοτῆς, καὶ πολλῶν παρθένων ἡγήσατο· ὧν ἡ διαδοχὴ καὶ ἐπιπολὺ τοῦ χρόνου διήρκεσε, τῆς Ματρώνης παιδείας ἦθός τε ἄξιον καὶ περιφανῆ τὴν φήμην κληρωσαμένων. Τοσαῦτα καὶ περὶ τούτων· ἃ δῆτα καὶ ἱκανά γε οἶμαι πρὸς δόξαν τῆς ἡμετέρας

immineret, noluere. Porro cum gravi eo impetu nihil efficerent, novi quiddam Deum significare, non ductores modo et spectatores, sed ipse etiam imperator existimavit. Itaque placitum est, ut sacer iste thesaurus, tum in vicino vico, quem incolæ Cosilaum vocabant (erat autem in Mardonii dominio) deponerent. Cæterum hoc tempore accidit, sive Deo seu Propheta ipso instigante, ut ad vicum hunc Theodosius veniret. Et cum caput id inde transferre constituisset, sola ei obstitit Matrona, Deo dicata virgo, quæ divinum hoc caput Baptistæ sequebatur, ut in itinere pro eo atque opus esset, ei inserviret, custosque ejus esset. **335** Eam vero imperator magno animo obsistentem, minime vi cogendam ducens, precibus est aggressus, ut translationem eam permitteret. Illa id difficulter tandem annuit, rem eum, quam perficere nequiret, sicuti etiam Valenti contigerat, per conjecturam aggredi rata. At Theodosius arcam, in qua sacrum caput repositum fuerat, purpura circumvolutam, ipse manibus suis gestavit, usque ad Septimam quæ dicitur regionem urbis Constantinopolitanæ : ubi id reposuit, templo, divo Baptistæ, quem præcipue celebrabat, maximo et pulcherrimo constructo (1). Et cum sæpe multumque Matronam maximis gratissimisque pollicitationibus, ut fidei sententiam mutaret (Macedonii enim hæresis tenebatur morbo), aggressus esset, persuadere id ei non potuit : cum quidem Vincentius, ejusdem religionis presbyter, qui idem cum illa apud arcam Baptistæ præstabat ministerium, et eam ob causam sacerdotalem susceperat dignitatem, statim sententiam mutavisset, et ad catholicam Ecclesiam accessisset : idque antea, sicuti Macedoniani dicunt, jurejurando interposito, nunquam se opinionem suam rejecturum esse. Sed enim eam mutavit, hac sibi præscripta conditione, ut tum demum religionem suam deponeret, et postea sine discrimine ullo cum imperatore communicaret, si illum Baptista sequeretur. Vincentius iste genere fuit Persa. Cum autem in Perside sub Constantio persecutio esset mota, profugiens inde cum consobrino Adda, in Romanorum pervenit ditionem. Atque hic in clerum allectus, ad presbyteri dignitatem pervenit. Addas autem uxore ducta, magnum Ecclesiæ emolumentum genuit, Auxentium filium, in rebus divinis fidelem, in amicos officiosum, vita moderatum, et sibi ipsi constantem, studiorum doctrinæ amantem maxime, litterarum profanarum atque etiam ecclesiasticarum peritum, modestum præterea, et imperatoriæ aulæ commodum, præclarum etiam in bello ducem : cujus celebris etiam fama est apud optimos quosque monachos, et alios doctos bonosque viros, qui illum cognovere. Porro Matrona vitam in vico Cosilao exegit, et pluribus virginibus præfuit, quarum successio in longum tempus duravit, morem

(1) Sozom. lib. VII, cap. 21, 24. Is Deo templum id constructum scribit. Templum enim Dei vocat, quamvis antea quoque in honorem S. Baptistæ conditam dixerit ecclesiam eam.

Matronæ disciplina dignum et præclaram famam obtinens. **336** De his quæ commoda, ut puto, ad religionis nostræ gloriam, in Theodosii imperium inciderunt, hactenus.

CAPUT L.

De clarissimi imperatorum Theodosii magni obitu.

Theodosius autem, post Eugenium devictum, in Italia Mediolani agens, et Occidentis res pro eo atque decuit constituens, ægrotare cœpit, hydropis morbo oppressus : et Joannis monachi prædictione in memoriam revocata, finem vitæ propediem adventurum exspectavit. Majoris autem sollicitudinis causa ei fuit reipublicæ status, in animo secum reputanti, quantum detrimenti civibus et subditis, imperatore e medio sublato, accidere soleat, quam mors ipsa. Itaque quamprimum filium Honorium Constantinopoli accivit, imperatorem eum Occidentalibus partibus præficere volens. Quem ubi advenientem vidit, meliuscule habuit, et ad spectaculum ludorum Circensium ob victoriam celebrandorum prodiit. Et cum ante prandium validior fuisset, postea derepente eum imbecillitas invasit. Cumque ludicrum id perficere non posset, filio id more solito peragendum commisit, proximaque nocte fatis concessit, decima septima Januarii mensis die, sempiterna laudis et gloriæ memoria post se relicta : cum ad finem vitæ satis longum pervenisset, atque cum splendidis victoriis solus Romanorum imperium monarcha gubernasset, et duorum imperatorum pater esset, eisque imperium pacatum relinqueret. Placide autem in lecto suo beata morte vitam finiit, præmium id fidei erga Deum suæ, et flagrantis adversus idola et simulacra ardoris consecutus. Vixit annos sexaginta, et menses octo : quorum sedecim cum dimidio, in imperio Romano peregit. Complectitur duodecimus iste historiarum liber annos decem et octo : cum a mundo condito quinquies millesimus nonagesimus nonus (1), a nativitate autem Domini quadringentesimus quartus ageretur annus (2).

θρησκείας κἂν τῇ Θεοδοσίου ἡγεμονίᾳ συνέδραμεν.

ΚΕΦΑΛ. Ν'.

Περὶ τῆς τελευτῆς τοῦ ἐν βασιλεῦσιν ἀοιδίμου Θεοδοσίου τοῦ μεγάλου.

Θεοδόσιος δὲ μετὰ τὴν Εὐγενίου καθαίρεσιν ἐπὶ τῆς Ἰταλίας διάγων ἐς Μεδιόλανον, καὶ τὰ τῆς Ἑσπέρας ὡς χρεὼν καθιστῶν, ἀρρώστως διετέθη τῷ τοῦ ὑδέρου νοσήματι κρατηθείς· εἰς νοῦν τε ἔχων τὴν τοῦ μοναχοῦ Ἰωάννου πρόῤῥησιν, ὅσον οὔπω ἥκειν τὴν τελευτὴν προσεδόκα. Ἐν μεγίστῃ δὲ φροντίδι μᾶλλον τῆς τελευτῆς καθίστατο περὶ τῶν κοινῶν, ἀναπολῶν ὅσα κακὰ ἐπεισρέει τοῖς ὑπηκόοις, βασιλέως ἐκποδὼν γενομένου. Ὅσον τοίνυν τάχος τὸν υἱὸν Ὀνώριον ἐκ τῆς Κωνσταντίνου μετεκαλεῖτο τοῖς ἑσπερίοις μέρεσι καταστῆσαι βασιλέα βουλόμενος· ὃν ἰδὼν παραγενόμενον, ῥᾷον ἔσχε, καὶ ἐπὶ θέαν ἱπποδρομίας ἐπινικίου προῆλθεν. Ἐῤῥωμένος δὲ ὢν πρὸ ἀρίστου, ἔπειτα διετέθη πονήρως ἐξάπινα· καὶ μὴ ἰσχύων τὴν θέαν τελεῖν, ἐκέλευε τῷ παιδὶ περαίνειν τὸ ἔθος· καὶ τῇ ἐχομένῃ νυκτὶ τὸν βίον μετήλλαξεν ἑπτακαιδεκάτῃ Ἰανουαρίου μηνὸς, ἀείμνηστον κλέος καταλιπὼν, καὶ εἰς ὑψηλοὺς τοῦ βίου καταλήξας τέρμονας. Ἐπί τε γὰρ νίκαις λαμπραῖς καὶ μόναρχος Ῥωμαίων γενόμενος, ἑαυτόν τε ἐπιδὼν δυοῖν βασιλέοιν πατέρα, καὶ ἀστασίαστον αὐτοῖς τὴν ἀρχὴν καταλελοιπὼς, εὐδαιμόνως τε ἐπὶ τῆς ἑαυτοῦ κλίνης τὸν βίον ἀφεὶς, τῆς πρὸς Θεὸν οἶμαι πίστεως καὶ τοῦ θερμοῦ κατὰ τῶν εἰδώλων ζήλου τοῦτο γέρας ἐξενεγκών. Διεβίω δὲ τὰ πάντα τῆς ζωῆς ἔτη ἑξήκοντα σὺν μησὶν ὀκτώ· ὧν τὰ ἑξκαίδεκα ἥμισυ τῇ τῶν Ῥωμαίων ἀρχῇ διετέλεσε. Περιέχει δὲ καὶ ἡ παροῦσα δωδεκάτη μοι τῶν ἱστοριῶν χρόνον ἐτῶν ὀκτωκαίδεκα· ὁπηνίκα κόσμου μὲν ἔτος ,επθ'· ἀπὸ δὲ τῆς θείας τοῦ Κυρίου γεννήσεως τέταρτον καὶ τετρακοσιοστὸν ἐπεραίνετο.

(1) Secundum recentiores 4375.

(2) Alii ponunt annum 398.

ΝΙΚΗΦΟΡΟΥ ΚΑΛΛΙΣΤΟΥ

ΤΟΥ ΞΑΝΘΟΠΟΥΛΟΥ

ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΙΣΤΟΡΙΑΣ

ΤΟΜΟΣ ΙΓ'.

NICEPHORI CALLISTI

XANTHOPULI

ECCLESIASTICÆ HISTORIÆ

TOMUS XIII.

ΚΕΦΑΛ. Α'.

A

Περὶ τῆς βασιλείας Ὁνωρίου καὶ Ἀρκαδίου· ὡς Ἀρκαδίῳ μὲν Ῥουφῖνος παρεδυνάστευεν· Ὁνωρίῳ δὲ Στελίχων ἐν Ἑσπέρᾳ τὴν αὐτὴν ἐπλήρου τάξιν· καὶ ὅπως τηνικαῦτα κοινὰ καὶ τὰ τῶν ἐκκλησιῶν ἐφέρετο πράγματα.

Λαμπρῶς δ' οὕτω τὴν Ἐκκλησίαν αὐξήσας ὁ μέγιστος Θεοδόσιος, ἐτελεύτα ἐπὶ διαδόχοις δυσὶ τοῖς παισίν· ὧν τὸν μὲν πρεσβύτερον τῶν πρὸς Ἕω ἄρχειν ἐθνῶν ἔταττε· τὴν δὲ τῶν Ἑσπερίων ἀρχομένην καὶ τὴν Κωνσταντίνου τῷ νεωτέρῳ ἐνεχείριζεν Ὁνωρίῳ. Καὶ ἄμφω δὲ περὶ τὴν θρησκείαν ὁμοφρονοῦντες τῷ πατρὶ διεγένοντο. Τελευτῶν γὰρ ἐκεῖνος, οὐδὲν ἄλλο τούτοις παρῄνει ἢ τὴν εὐσέβειαν ἐντελῆ φυλάττειν· δι' ἧς εἰρήνην τε ἐπιγίνεσθαι καὶ πόλεμον καταλύεσθαι εἰσηγεῖτο· τρόπαιά τε ἀνίστασθαι, καὶ νίκην B ἐκ Θεοῦ πρυτανεύεσθαι. Τοιαῦτ' ἐκεῖνος μὲν τοῖς παισὶ παραινῶν ἐτελεύτα· οἱ δὲ οὐ τῆς βασιλείας μόνον, ἀλλὰ καὶ τῆς εὐσεβείας διάδοχοι καὶ κληρονόμοι καθίσταντο· εὐθὺς μὲν γὰρ ὁ τῆς Εὐρώπης βασιλεὺς τὰς ἐν Ῥώμῃ μονομαχίας διέλυεν, αἰτίας τοιᾶσδε γεγενημένης. Ἀνήρ τις τὸν ἤρεμον μετιὼν βίον, τῆς Ἕω ἀπάρας εἰς Ῥώμην ἀφίκετο· ὁρῶν δ' οὕτω κατ' ἀλλήλων Ῥωμαίους κεχρημένους τοῖς ὅπλοις, πολλῶν τῇ μυσαρᾷ ἐκείνῃ συῤῥεόντων ὄψει, παύειν ἐπειρᾶτο τὸ στάδιον κατειληφώς. Χαλεπῶς δὲ διατεθέντες οἱ τῇ μιαιφόνῳ θέᾳ χαίροντες, ἄλλως τε καὶ τοῦ τοῖς αἵμασιν ἐκείνοις ἐπιτερπομένου δαίμονος εἰσδεξάμενοι τὴν βακχείαν, λίθοις τὸν τῆς εἰρήνης βάλλοντες χορηγὸν ἀνεῖλον· ὃ δὴ μαθὼν Ὁνώριος, τὸν μὲν Τηλέμαχον (οὕτω γὰρ ὠνόμαστο ὁ ἀνὴρ) τοῖς μάρτυσι C συνηρίθμει· τὴν δὲ πονηρὰν ἐκείνην ἐργασίαν διέλυεν, ὥστε μὴ τοῦ λοιποῦ γενέσθαι διαταξάμενος. Ἀλλ' Ἀρκαδίῳ μὲν ἐπ' ἀνατολῆς Ῥουφῖνος παρεδυ-

341 CAPUT I.

De imperio Honorii et Arcadii: et ut apud Arcadium quidem Rufinus in administratione rerum primum locum, apud Honorium autem in Occidente Stilico eamdem obtinuerit dignitatem: et ut tum cum publicæ tum ecclesiasticæ res habuerint.

Theodosius Maximus ubi Ecclesiam splendide auxit, duobus filiis successoribus relictis, vita defunctus est. Quorum natu majorem Orientali, minorem autem, Honorium videlicet, Occidentali præfecit imperio. Uterque vero in religionis cultu patris sententiam est secutus. Moriens namque ille nihil eis aliud mandavit, quam ut veram pietatem integram servarent, per quam eos asseveravit pacem habituros, et bella sopituros, tropæaque B excitaturos, et victoriam a Deo consecuturos esse. Talia ille quidem mandata filiis relinquens obiit. Illi autem non imperii modo, sed et veræ pietatis ejus successores et hæredes exstitere. Statim namque Europæ imperator Romæ monomachias, hoc est, singularia certamina, et gladiatorum ludos sustulit, ob causam ejusmodi: Vir quidam quietam monasticamque vitam colens, ex Oriente Romam venit, atque ubi Romanos armis ita inter se decertare, multis ad exsecrandum id spectaculum confluentibus, vidit, in arenam progressus, intercipere pugnam inter eos tentavit. 342 Quod ægre ferentes qui sanguinario spectaculo gaudebant, et dæmonis, qui cruore effuso delectatur, intemperiis agitabantur, lapidibus conjectis paci- C ficatorem interemerunt. Quæ res postquam est ad Honorium delata, Telemachum quidem (ita enim monachus ille vocabatur) in martyrum numerum retulit: importunum autem certamen illud abole-

vit, constitutione (1), ne id postea perageretur, lata. Cum Arcadio in Oriente Rufinus imperium administravit, vir strenuus et procerus, singularique prudentia præditus, quam et oculorum motus et orationis extemporanea promptitudo indicabant : in Occidente apud Honorium eumdem locum Stilico quidam obtinuit. Et uterque apud utrumque Theodosii filium, imperii nomen et habitum esse permittens, summam ipse rerum manu simul et lingua usurpavit, sub præfecti appellatione imperatori ipsi imperans. Verum neuter istorum, qui ei obvenerat, contentus fuit loco. Siquidem Rufinus (2) sibi ipsi imperialem in Oriente dignitatem arrogare conatus est ; alter autem in filium Eucherium Occidentale imperium arte quadam transferre studuit. Sed utrumque ambitio et conatus fefellit. Rufinum enim exercitus Romanus, qui cum Theodosio adversus tyrannum Eugenium pugnaverat, ad Arcadii, qui more recepto obviam progressus ei extra portas fuerat, pedes, in loco qui tribunal (3) dicitur, ferro necavit : propterea quod id ut facerent, Stilico militibus suaserat : et quod se illi suspenso naso ab eo derisos compererant ; tum autem quod affectatæ tyrannidis suspectus erat. Ferebatur quoque fama, Hunnos eum, gentem barbaram et feram, in Romanam ditionem immisisse. Tum enim illi Armeniam et quasdam Orientis partes metu nullo plurimam prædam agentes, percurrebant. Forte autem fortuna peropportune cædes ejus in eam diem incidit, qua ei qui delectus habendi curam gerebant, tantum non purpuram circumdaturi fuerant. Eam enim ille conceperat spem, exercitum solo ipso aspectu statim Arcadium, quod nec forma nec reliqua corporis constitutione admodum imperio aptus esse videretur, rejecturum, ipsum autem ad imperium evecturum esse. **343** Capite vero Rufini resecto, et lapide in os ejus immisso, hastæ id infixerunt, et in sublime sustulerunt. Dextram quoque ejus abscissam (4), per urbem circa opificum officinas circumtulerunt, verbis his utentes : « Date stipem inexplebilis avaritiæ viro. » Et ridicula ea mendicitas, multum satis auri collegit : perlibenter enim in jucundo et grato spectaculo homines aurum contulerunt. Ac Rufinum quidem imperii affectatio ad ejusmodi vitæ finem produxit. Ad eumdem vero modum et Stilico, qui, si quis alius, et ipse apud Romanos simul et Barbaros potentia multum valuit, rerum summam ad se pertrahere volens, in Italia occisus est, sicuti suo loco dicemus. Post Rufinum vero Eutropius eunu-

A νάστευεν, ἀνὴρ ἀνδρώδης τε καὶ τὴν ἡλικίαν εὐμήκης· γενναῖος δὲ καὶ τὴν σύνεσιν, ἣν μάλα αἱ τῶν ὀφθαλμῶν κινήσεις ἐδήλουν, καὶ τῶν λόγων ἡ ἑτοιμότης. Ἀνὰ δὲ τὴν Ἑσπέραν Ὀνωρίῳ τὴν αὐτὴν ἐπεῖχε τάξιν Στελίχων τις ὄνομα. Τούτων δ' ἑκάτερος ἑκατέρῳ τῶν Θεοδοσίου παίδων τό τε τῆς βασιλείας σχῆμα καὶ τὸ ὄνομα χαριζόμενος, οὗτοι τὸ τῆς ἀρχῆς κράτος διὰ χειρὸς εἶχον καὶ γλώσσης, ἐν ὑπάρχου προσηγορίᾳ βασιλεύων τοῦ βασιλεύοντος. Ἀλλ' οὐδέ τις τούτων ἐν οἷς μένειν ἔλαχε, στέργειν ἠγάπα. Ῥουφῖνος μὲν γὰρ εἰς ἑαυτὸν ἐπεχείρει τὸ τῆς βασιλείας μεταθεῖναι ἀξίωμα· ὁ δὲ τῷ υἱῷ Εὐχερίῳ περιάπτειν τὴν τῆς Ἑσπέρας ἀρχὴν δεξιῶς ἐσπούδαζεν. Ἀλλὰ καὶ ἄμφω τοῦ βουλομένου διήμαρτον. Τὸν μὲν γὰρ Ῥουφῖνον ὁ ἐκ Ῥώμης στρατὸς, οἳ σύναμα Θεοδοσίῳ B κατὰ τοῦ τυράννου Εὐγενίου ἐστράτευσαν, πρὸς τοῖς ποσὶν Ἀρκαδίου ἐν τῷ λεγομένῳ τριβουναλίῳ, εἰς ἀπάντησιν ἥκοντα τῷ στρατῷ, εἰωθὸς ὂν τοιαῦτα ποιεῖν, μαχαίραις ἀνεῖλον· τοῦτο μὲν, ὅτι τοῦτο καὶ Στελίχων τῷ στρατῷ παρηγγύα· τοῦτο δ' ὅτι καὶ μυκτηρίζων ἐκείνους πεφώραται· καὶ τὸ τρίτον, ὅτι καὶ τύραννος ὑπωπτεύετο· ἄλλως τε καὶ φήμη διέτρεχεν, ὡς αὐτὸς εἴη Οὔννους, ἔθνος τι βάρβαρόν τε καὶ ἄγριον, ἐπὶ τὰ Ῥωμαίων κινήσας ὅρια. Καὶ γὰρ κατ' ἐκεῖνο καιροῦ ἐπί τε Ἀρμενίαν καί τινα τῆς Ἕω μέρη ἀδεῶς κατατρέχοντες ἦσαν καὶ λείαν πλείστην ποιούμενοι. Συνέδραμε δὲ δαιμονίως τοῦτον ἀποῤῥαγῆναι τοῦ ζῆν, καθ' ἣν οἱ στρατολόγοι μονονουχὶ τὴν ἁλουργίδα περιβαλεῖν αὐτῷ ἔμελλον. C Ἦν καὶ γὰρ ἐν ἐλπίσιν, ὡς ἐξ αὐτῆς καὶ μόνης τῆς ὄψεως ὁ στρατὸς τὸν μὲν Ἀρκάδιον ἀποσκευάσεται, ἀφυῶς πρός τε εἶδος καὶ τὴν ἀρχὴν ἔχοντα· αὐτὸν δὲ βασιλεύειν αἱρήσεται. Τεμόντες δὲ Ῥουφίνου τὴν κεφαλὴν, λίθον ἐνῆκαν τῷ στόματι ἐπὶ ξύλου μετέωρον ἀναρτήσαντες. Περιελόντες δὲ καὶ τὴν δεξιὰν, περιῆγον ἀνὰ τὰ τῆς πόλεως ἐργαστήρια, « Δότε, λέγοντες, τῷ ἀπλήστῳ. » Πολὺ δὲ ἄρα χρυσίον ἡ γελοιώδης ἐκείνη αἴτησις ἠρανίσατο. Ἐπὶ γὰρ ἡδεῖ καὶ καταθυμίῳ θεάματι εὐχερῶς οἱ ὁρῶντες τὸ χρυσίον προΐεντο. Ἀλλὰ τῷ μὲν Ῥουφίνῳ εἰς τοῦτο τέλους ὁ τῆς ἀρχῆς ἔρως προέβη. Ἐπίσης δὲ τούτῳ καὶ Στελίχων εἴπερ τις ἐν δυνάμει μεγάλῃ Ῥωμαίων καὶ βαρβάρων γενόμενος, συγκρούειν πρὸς ἑαυτὸν βουλόμενος τὰ βασίλεια, κατὰ τὴν Ἰταλίαν D ἐσφάγη, ὡς ἐν καιρῷ μοι λελέξεται. Μετὰ δὲ Ῥουφῖνον Εὐτροπιός τις εὐνοῦχος τὴν τοῦ πραιποσίτου τιμὴν ἀναβὰς, οὐδ' αὐτὸς τῇ παρ' ἀξίαν ἠρκεῖτο τιμῇ. Ἐπεὶ γὰρ ἡ ἐκτομὴ τῆς ἁλουργίδος αὐτὸν ἀπεστέρει, ἔπειθε βασιλέα πεῖραν προσάγων, πατρίκιόν τε καὶ ὕπατον ἀναγράφειν. Καὶ τοῦ λοιποῦ πατὴρ ἦν τοῦ κρατοῦντος εὐνοῦχος, ὁ μηδὲ τὸν τυχόντα παῖδα

(1) Hæc constit. non exstat, sed reperitur Constantini l. unic. C. De glad. lib. II.

(2) Rufinus, dum Gothica sollicitat arma, ut imperium metu ab Arcadio extorqueret, perfidiæ pœnas dedit. Erat hic a Theodosio tutor Arcadio datus. Egnat.

(3) Claudianus de Rufino :

—— graviterque apprensa veste morantem
Increpat Augustum, scandat sublime tribunal,
Participem sceptri socium declaret honoris.

(4) Claudianus :

Dextera quin etiam ludo concessa vagatur,
Æra petens, pœnasque animi persolvit avari,
Terribili lucro etc.
Desinat elatis quisquam confidere rebus,
Instabilesque deos ac lubrica numina discat.

φῦναι δυνάμενος. Ἀλλὰ περὶ μὲν Εὐτροπίου καὶ ὕστερον ἐροῦμεν· ταῦτα δὲ τῇ ἱστορίᾳ διελάβομεν, ὅτιπερ οὐκ ἐλαχίστη καὶ ταῦτα πρόφασις γέγονεν ἐπὶ μέγα τὴν θρησκείαν ἐπιδιδόναι· οἱ γὰρ βασιλεῖς ἀσφαλῶς ᾤοντο τῷ σφῶν πατρὶ τὰς κατὰ τῶν τυράννων ἐπιγενέσθαι νίκας, ὑπὸ εὐσεβείας μᾶλλον· καὶ Ῥουφῖνον δ' ὡς ἐπίβουλον τῆς ἀρχῆς ἄνευ ἐμφυλίου μάχης ἐκποδὼν καταστῆναι. Διά τοι τοῦτο καὶ τὰ προδεδογμένα τοῖς πρὶν εὐσεβέσι τῶν βασιλέων ὑπὲρ τῶν ἐκκλησιῶν καὶ τούτοις ἐπιμᾶλλον ἐκράτυναν, ἀσφαλῶς τε ἐτήρουν· καὶ ἕτερα θεοφιλῆ προσετίθεντο ἔργα· μάλιστα δ' ἀφθόνους ἐπιχορηγοῦντες τὰς δωρεάς. Τὸ δ' ὑπὸ χεῖρα σύμπαν πρὸς τοὺς κρατοῦντας ὁρῶν, ὅσον μὲν ἐν Ἕλλησιν ἦν, πρὸς τὸν Χριστιανισμὸν μετετίθετο· οἱ δ' αἱρετικοὶ πρὸς τὴν καθόλου Ἐκκλησίαν προσεχώρουν. Οἵ γε μὴν Ἀρείῳ καὶ Εὐνομίῳ ἑπόμενοι διὰ τὰ πρόσθεν εἰρημένα ἐν διχονοίαις ἦσαν· καὶ διὰ ταῦτα ἐλάττους ἐγίνοντο. Οἱ γὰρ πλεῖστοι μὴ ὀρθῶς αὐτοὺς δοξάζειν περὶ τὸ Θεῖον οἰόμενοι, τῷ διὰ μάχης ἀλλήλοις ἰέναι καὶ ἐριστικῶς μάλα ἔχειν, πρὸς τοὺς ἐπίσης τοῖς κρατοῦσι φρονοῦντας εὐθὺς μετετίθεντο. Οἱ δὲ τὰ Μακεδονίου φρονοῦντες ἐν Κωνσταντινουπόλει κατ' ἐκεῖνο καιροῦ ἀσθενῶς εἶχον, βλαπτόμενοι, ὅτι μὴ ὑπὸ ἐπισκόπῳ ἐτάττοντο. Ἀφ' οὗ γὰρ ἐπὶ Κωνσταντίου παρὰ Εὐδοξίου καὶ τῶν ἀμφ' αὐτὸν τὰς ἐκκλησίας ἀφῄρηντο, ὑπὸ μόνοις πρεσβυτέροις ἄχρι τῆς ἐχομένης διεγένοντο βασιλείας. Εὐδοξίου δὲ μετὰ θάνατον, ὃς τῆς ἐν Κωνσταντινουπόλει Εὐνομιανῆς συναγωγῆς περιειστήκει, Λουκιανός τις ἀντικαθίστατο. Παῖς δὲ ἄρα οὗτος ἀδελφῆς Εὐνομίου ἐγένετο· ὃν φασιν εἰς φιλαργυρίαν καὶ τὰ συγγενῆ πάθη κατολισθήσαντα, ὑπερορώμενόν τε διὰ ταῦτα δίκην διδόναι, ἑαυτὸν τῆς ἄλλης Εὐνομιανῶν διαστῆσαι μοίρας. Συμμορίας δὲ ἰδίας προστῆναι καὶ ἀρχηγὸν γενέσθαι οὐκ ἀγεννοῦς συντάγματος, πάντων ἄρδην τοῖς ἐπιῤῥήτοις καὶ ποικίλοις πάθεσι καθωπλισμένων πρὸς αὐτὸν διεῤῥυηκότων. Λόγος δ' ἔχει, Εὐτροπίου τοῦ πραιποσίτου σπουδαῖς, ἅπαν μὲν Εὐνομίου σύγγραμμα, πυρὶ παραδίδοσθαι δημοσίᾳ· τὸν δ' ἐκείνου νεκρὸν μηδὲ ταφῆς ἐᾶσαι ἠξιωμένον, ἀλλ' ἐκ Δακόρων εἰς Τύανα μεταῤῥίψαι. Οἱ δ' ἀπὸ Ναυάτου, ὥς γε εἴρηται, τέως μὲν ἠρέμουν καθ' ἑαυτούς· κἂν ἡ τοῦ Πάσχα ζήτησις, ἣν Σαββάτιος ἐνεωτέρισε, μετρίως τούτους ἐτάραττεν. Οὐ μὴν τοῖς ἄλλοις ἐπιτιμίοις καὶ οὗτοι ἔνοχοι ἦσαν, τῷ τε Τριάδα ὁμοούσιον ἐπίσης τῇ καθόλου Ἐκκλησίᾳ κηρύττειν, καὶ τῇ τῶν ἡγουμένων μάλιστα ἀγωγῇ· μετὰ γὰρ Ἀγέλιον Μαρκιανός· καὶ τοῦτον δὲ Σισίνιος διεδέξατο, ὁπηνίκα Ῥουφῖνος ἀνῄρητο. Περὶ ὧν καὶ ἀνωτέρω μνείαν ἐποιησάμην. Καὶ περὶ μὲν τούτων οὕτως.

A chus præpositi sacri cubiculi dignitatem consecutus, neque ipse in honore eo, quem præter meritum gerebat, acquievit. Cum namque virilium exsectio purpuræ ei spem ademisset, imperatorem aggressus, ut patricium (1) se et consulem crearet, ei persuasit. Quopropter eunuchus deinde imperatoris pater (2) fuit, qui etiam vilioris sortis filium procreare non potuit. Sed de Eutropio postea memorabimus. Hæc autem historiæ huic intexuimus, quod non exigua occasio fuerint, ut religio nostra multum caperet incrementi. Imperatores namque certo persuasum habebant, patri eorum a vera pietate victorias contra tyrannos obvenisse : cui etiam acceptum ferebant Rufini, qui imperio insidiatus fuerat, absque civili bello B cædem. Proinde quæcunque decessores eorum pii imperatores pro ecclesiis statuerant, et ipsi confirmarunt (3), eaque firmiter servarunt, aliaque insuper Deo grata adjecere opera, perquam liberaliter in primis dona eis conferentes. Subditi vero omnes ad principes suos spectantes, qui Græcæ superstitioni addicti erant, ad Christianismum transierunt : qui vero hæreses sectabantur, ad Ecclesiam catholicam accesserunt. Siquidem qui Arii et Eunomii hæresim complectebantur, propter eas quas diximus causas inter se dissidebant, eaque gratia minuebantur. Plurimi namque non recte eos de Deo sentire, ex eo opinati, quod inter se vehementer contenderent atque pugnarent, eis C se statim aggregarunt, qui eamdem cum imperatoribus sententiam obtinebant. **344** Macedoniani autem eo tempore Constantinopoli parum valuere ; quibus illud nocebat, quod episcopum suum non haberent. Ex eo namque tempore, quo eis sub Constantio ab Eudoxio popularibusque ejus ecclesiæ ademptæ fuerant, sub solis presbyteris ad præsens (4) usque imperium conventus suos habuere. Post Eudoxii autem mortem, qui Constantinopoli Eunomianæ sectæ præfuerat, in locum ejus Lucianus quidam fuerat subrogatus, Eunomii sororis filius. Hunc quod in avaritiam et cognata illi crimina alia delapsus esset, eamque ob causam pœnas se daturum suspicaretur, ab Eunomianorum factione reliqua descivisse, sodalitatique suæ D præiisse, et non contemnendæ cohortis ducem factum esse dicunt, omnibus prorsus qui variis infamibusque delictis obruti essent, ad ipsum confluentibus. Fama obtinet, Eutropii præpositi opera, scripta Eunomii omnia publice cremata : cadaver autem ejus sepulcro extractum, Dacoris Tyanam projectum missumque esse. Novatiani, quemadmodum dictum est, quieti tum fuere. Tametsi enim quæstio de festo Paschæ, quam Sabbatius, res novas molitus, excitarat, aliquantum eos turbasset : non tamen illi aliis pœnis, quæ in hæreticos legibus decretæ fuerant, obnoxii fuere :

(1) Patricius, imperatoris pater. Inst. *Quibus modis jus patr. pot. sol* § *Filiusfamilias.*

(2) Claudianus de Eutropio isto :

--— Præsidium legum genitorque vocatur
Principis, et famulum dignatur regia patrem.

(3) l. *Si venerabilis.* C. De episc. et cler.

(4) Ἄχρι τῆς ἐχομένης βασιλείας. Intelligendum autem de imperio Theodosii junioris. (Sozom. lib. VIII, cap. 1.)

tum quod itidem ut Ecclesia catholica, Trinitatem ὁμοούσιον (consubstantialem) prædicarent, tum quod egregia episcoporum eorum vita esset. Nam Agelio Marcianus, Marciano Sisinius successerat, cum Rufinus cæsus est : de quibus supra etiam diximus. Hæc hactenus.

345 CAPUT II.

De puerili institutione et vitâ sancti Joannis Chrysostomi, et ut doctrina simul et virtute fulgens ad sedem Constantinopolitanam sit evectus.

Ea ætate in Ecclesia Romana episcopus erat Siricius, Damasi successor. Alexandriæ ecclesias rexit Theophilus, Antiochiæ Flavianus : Hierosolymis adhuc episcopatum gessit Joannes, qui Cyrillo successit. Constantinopoli vero enituit Nectarius, de quo fusius supra diximus. Cæterum eo paulo post mortuo (1), ingens omnium cura et studium fuit, quemnam antistitem imperantis urbis legere conveniret. Atque, ut fit, aliis alios designantibus, diuque et multum consilia agitantibus, cum non eadem omnium esset sententia, et tempus extraheretur, universis tandem placitum est, ut Antiochia presbyter accerseretur Joannes, qui propter eloquentiam Chrysostomus est dictus; præclara enim de eo fama orbem pervolitabat, maxime eum ad docendum appositum, apprimeque clarum, necnon generis nobilitate et vitæ integritate præstantissimum esse. Patrem namque habuit ducem belli Secundum : matrem autem natalibus, aliisque ornamentis omnibus spectatam, Anthusam. In dicendo et suadendo vi multa fuit, adeo ut ætatis suæ oratores multis modis superaret. In vita quotidiana singulari moderatione et accuratissimo instituto usus est. In tantum vero æqualibus suis antecelluit, ut etiam Libanii Syri sophistæ in hac laudis parte, testimonium reportarit. Moriturum enim eum, cum sectatores ejus, quemnam in sophistica sede successorem esse vellet, interrogarent, Joannem illum respondisse fama est, nisi virum tantum Christiani rapuissent. Plures autem ex discipulis ejus ad ecclesiam adduxit ut idem secum sentirent, eis persuadens. Cum enim ex præscripto Dei vivere studeret, non mediocrem virtute sua æmulationem illius sectatoribus indidit : et facile eo modo plurimos cepit, eisque ut secum eamdem complecterentur sententiam auctor fuit, non arte quapiam aut eloquentiæ vi, verum quod sacras Scripturas juxta id quod res ipsa erat sincere exponeret, eos ad se pertrahens. 346 Oratio enim revera factis ipsis consona, perfacile fidem meretur, et assensione digna videtur. Quibus rebus contra qui caret, simulator potius, et sui ipsius accusator esse apparet, etiamsi multum studii et operæ in docendo ponat. Si cui autem contigit, ut utraque hac laude clarus sit, nihil non quod velit, efficere potest: id quod in illo etiam evenit. Vitæ namque institutum accuratum admodum et moderatum fuit. Et cum natura ingenioque præstanti fuit, tum perspicua

(1) Cæsarii et Attici consulatu. Socr. lib. vi, cap. 2.

A

ΚΕΦΑΛ. Β'.

Περὶ τῆς ἐκ νέου ἀγωγῆς, καὶ διαίτης τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου, καὶ ὅπως λόγῳ καὶ ἀρετῇ διαλάμπων, ἐπὶ τὸν τῆς Κωνσταντινουπόλεως θρόνον ἀνήχθη.

Ἡγεῖτο δὲ κατ' ἐκεῖνο καιροῦ τῆς μὲν Ῥωμαίων Ἐκκλησίας Σιρίκιος διαδεξάμενος Δάμασον· Θεόφιλος δὲ τῶν κατ' Ἀλεξάνδρειαν ἐκράτει ἐκκλησιῶν. Φλαβιανὸς δὲ τὴν Ἀντιόχου διεῖπε. Τῶν δὲ περὶ τὰ Ἱεροσόλυμα ἔτι Ἰωάννης τὴν ἐπιτροπὴν ἐκληροῦτο διαδεξάμενος Κύριλλον. Ἐπὶ δὲ τῷ τῆς Κωνσταντίνου θρόνῳ Νεκτάριος ἐκεῖνος διέπρεπεν, ὃν ἀνωτέρω πρὸς λεπτὸν ἡ ἱστορία διέλαβεν· οὗ μετὰ βραχὺ τελευτήσαντος καὶ πολλῆς τινος ἀκμαζούσης σπουδῆς περὶ τοῦ τίνα δεῖ εἰς ἐπιλογὴν τοῦ θρόνου B προκριθῆναι τῆς βασιλίδος τῶν πόλεων, καὶ οἷα φιλεῖ ἄλλων ἄλλους ἐπιψηφιζομένων, ὁ μὲν χρόνος ἐτρίβετο πολλάκις γινομένης βουλῆς, καὶ μὴ τῶν αὐτῶν πᾶσι δοκούντων· τέλος πᾶσι δεῖν ἐδόκει τὸν ἐξ Ἀντιοχείας πρεσβύτερον μεταστέλλεσθαι Ἰωάννην τὸν τὴν γλῶτταν χρυσοῦν. Πολλὴ γάρ τις φήμη περὶ αὐτοῦ τὴν ὑπ' οὐρανὸν διέτρεχεν, ὡς διδασκαλικὸς μάλιστα εἴη, καὶ διαφερόντως ἐλλόγιμος, εὐπατρίδης τε ἅμα καὶ τὸν βίον μάλιστα ἀγαθός· στρατηλάτου μὲν Σεκούνδου γεγενημένος πατρός· μήτηρ δ' ἐκείνῳ κατὰ γένος καὶ πᾶσι τοῖς ἄλλοις ἐπίσημος Ἄνθουσα ὄνομα· λέγειν τε καὶ πείθειν μάλα δεινὸς, ὡς τοὺς κατ' αὐτὸν πολλῷ τῷ μέτρῳ παρενεγκεῖν ῥήτορας· ἀγωγῇ τε βίου σώφρονι καὶ ἀκριβεστάτῃ χρῆσθαι τῇ πολιτείᾳ. Ἐπὶ τόσον δὲ C τοὺς κατ' αὐτὸν ὑπερέβαλεν, ὡς καὶ Λιβάνιον τὸν Σύρον σοφιστὴν ἐπιμαρτυρῆσαι αὐτῷ. Ἐπεὶ γὰρ ἔμελλε τελευτᾷν, τῶν ἐκείνῳ φοιτώντων ἐρομένων τίνι κελεύοι τὸν σοφιστικὸν ἀντ' αὐτοῦ λιπεῖν θρόνον, τὸν Ἰωάννην λόγος ἐκεῖνον εἰπεῖν, εἰ μὴ Χριστιανοὶ τὸν τοσοῦτον ἄνδρα ἐσύλησαν. Πολλοὺς δὲ τῶν ἀκροωμένων ἐπ' Ἐκκλησίας ἠγάγετο, καὶ ἐπίσης αὐτῷ φρονεῖν ἔπεισε. Κατὰ Θεὸν γὰρ τὴν πολιτείαν ἐπιτηδεύων, οὐ μέτριον ἐκ τῆς οἰκείας ἀρετῆς ἐνετίθει ζῆλον τοῖς αὐτῷ προσφοιτῶσι· καὶ ἐχειροῦτο ῥᾳδίως ἐντεῦθεν τοὺς πλείστους, καί γε ἔπειθε παραπλήσια δοξάζειν ἐκείνῳ, οὐ τέχνῃ δή τινι καὶ ῥώμῃ λόγων πρὸς ἑαυτὸν ἕλκειν ἐκβιαζόμενος, ἀλλ' ὡς ἀληθὲς ἦν, ὅτιπερ εἰλικρινῶς τὰς ἱερὰς ἐξηγεῖτο D Γραφάς. Ταῖς γὰρ ἀληθείαις λόγος τοῖς ἔργοις συνᾴδων, πρόχειρος εἰς πίστιν καὶ ἄξιος παραδοχῆς φαίνεται. Τούτων δ' ἐστερημένος, εἴρων μᾶλλον καὶ κατήγορος ἑαυτῷ δοκεῖ, κἂν πολύ τι σπουδῆς περὶ τὴν διδασκαλίαν εἰσάγῃ· ᾧ δὲ κατ' ἀμφότερα εὐδοκιμεῖν ὑπάρχῃ, οὐδὲν ἐλλείπει μὴ ὃ βούλοιτο δρᾷν· ἅπερ δὴ κἀκείνῳ μάλα συνέβαινεν. Ἀγωγὴ γὰρ αὐτῷ καὶ ἀκρίβεια βίου μάλιστα σώφρων ἦν. Φύσεως δ' εὖ μάλα ἔχων, σαφεστάτῃ λίαν ἐχρῆτο τῇ φράσει, μετ' ἀφράστου λαμπρότητος, θείας τινὸς χάριτος

διαθεούσης αὐτὴν, ὡς καὶ τὸν ἀκροώμενον τυραννεῖν A τῇ ἐνούσῃ κατακηλούμενον χάριτι. Ὄγκῳ δ' ἀφανεῖ καὶ ἀοράτῳ δεινότητι, ξένον τι μίγμα φράσεως ὑπὸ μετρίᾳ τῇ λέξει κεράννυσι· πυκνὰ βρύων τὸ νόημα· ὡ ἐξίστασθαι πάντας τῇ ἁρμονίᾳ, καί τινα τρόπον κατάληψιν ἀκατάληπτον τοῖς ἐκείνου λόγοις περινοεῖν. Ῥητορικῆς δ' αὐτῷ διδάσκαλος Λιβάνιος ἐχρημάτισε· τῶν δὲ φιλοσόφων μαθημάτων Ἀνδραγάθιος καθηγήσατο. Περὶ δὲ τὸ δίκας ἀγορεύειν δόξας εἶναί τις δεξιὸς, τὸν τοιοῦτον βίον μετεχειρίζετο. Ἄδικον δ' ἐκεῖνον τὸν βίον καὶ μοχθηρὸν ἡγησάμενος, ἔγνω δέον τὰς ἱερὰς πρότερον βίβλους ἀκριβῶς ἀσκῆσαι, τὸν ἡσύχιόν τε βίον, καὶ φιλοσόφως ζῆν κατὰ τὸν τῆς Ἐκκλησίας θεσμὸν, ζηλώσας Εὐάγριον. Καὶ διδασκάλους κἀν τούτοις ἔσχεν, οἳ τῶν τηνικάδε ἀσκητηρίων ἐπισήμων προεστῶτες ἦσαν· Καρτέριόν B τε καὶ Διόδωρον. ἐκεῖνον, ὃν καθηγήσασθαι τῆς Ταρσῶν ἐκκλησίας φθάσαντες ἐδηλώσαμεν. Καὶ πολλὰς συγγραφὰς ἰδίων βίβλων λόγος ἔχει καταλιπεῖν, περὶ τὸ ῥητὸν μόνον γινόμενον, ἐκκλίνοντα τὸ τῆς γραφῆς ἀναγωγικόν τε καὶ θεωρητικόν· ὃ καὶ τὸν φοιτητὴν διαφερόντως μιμήσασθαι. Ἐφοίτα δὲ παρὰ τούτοις Ἰωάννης οὐ μόνος, ἀλλὰ πολλοὺς καὶ ἄλλους ἑταίρους αὐτῷ καθεστῶτας ἐκ τῆς παρὰ Λιβανίῳ διατριβῆς ἔχων, Θεόδωρόν τε καὶ Μάξιμον· ὧν ὁ μὲν ὕστερον τὴν Ἰσαύρων ποιμαίνει Σελεύκειαν, ὁ δὲ Θεόδωρος τῆς κατὰ Κίλικας Μοψουεστίας ἡγήσατο. Ἦν δὲ ὁ ἀνὴρ τῶν τε θείων βίβλων καὶ τῶν παρ' Ἕλλησι μαθημάτων, ῥητορείας τε καὶ φιλοσοφίας, ἱκανῶς ἔμπειρος· πρὸς ὃν ἐκπεσόντα ὁ θεῖος Χρυ- C σόστομος, οὐ μίαν, ἀλλὰ καὶ δευτέραν πέμπει ἐπιστολήν. Καὶ γὰρ ἡνίκα τοῖς καθ' ἡμᾶς νόμοις ἐνέτυχε, καὶ τοῖς θείοις ἀνδράσιν ὡμίλησε, πάντα θέμενος ἐν δευτέρῳ, καὶ τὸν ἀστικὸν παρωσάμενος θόρυβον, τὴν πολιτείαν ἐκείνην ἐπῄνει, καὶ τὸν βίον πρὸς τὴν ἐκείνων ἀγωγὴν μετερρύθμιζεν. Οὐ μήν γε διαρκέσας, οὕτως ὤφθη προθυμίας ἔχων· μετάμελος δ' οἷον γενόμενος, πρὸς τὸν πρότερον κατεσύρετο βίον. Ἐναντίως δὲ διατεθεὶς πρὸς τὸ σπουδαζόμενον, τὸ φιλοσοφεῖν οὕτω καταλιπὼν, πρὸς τὴν πόλιν ἐπανῆλθεν αὖθις, ἄμεινον λογισάμενος τυχεῖν τῆς ἐφέσεως. Ὁ μαθὼν Ἰωάννης, ἐν πράγμασιν αὐτὸν ὀλισθῆσαι, καὶ περὶ γάμους σπεύδειν, ἐπιστολὴν ἐκτεθεὶς, φράσει καὶ νοήμασι κρείττοσιν ἢ κατὰ νοῦν ἀνθρώπου διεσκευασμένην, πρὸς αὐτὸν ἐκπέμπει. D Ἔπειτα καὶ ἄλλην συνέγραφεν. Αἷς ἐντυχὼν ἐκεῖνος, τῆς προτέρας ἐγένετο ἀγωγῆς· τήν τε γὰρ οὐσίαν ἀφεὶς, καὶ ταῖς περὶ γάμον ἀσχολίαις ἀποταξάμενος, πρὸς τὸν φιλόσοφον ἐπανέτρεχε βίον, ταῖς καλαῖς εἰσηγήσεσιν Ἰωάννου διασωζόμενος. Συνάγειν οὖν δέον, ὅση τις ἐπήνθει δεινότης, ὅση τε χάρις τοῖς Ἰωάννου ἐπεκάθητο χείλεσι· ταύτῃ γὰρ μᾶλλον ἐκράτει, καὶ τῶν ἐπίσης αὐτῷ πείθειν τε ἅμα καὶ λέγειν πρὸς ἰσχύος ἐχόντων. Κἀντεῦθεν καὶ τὰ πλήθη μᾶλλον πρὸς ἑαυτὸν ἐπεσπᾶτο· καὶ τὸ δὴ πλέον, ὅτι καὶ τοὺς ἁμαρτάνοντας διελέγχων ἦν ἐπ' ἐκκλησίας· τοῖς τε ἀδικοῦσιν ἐπέκειτο, ἀγανακτῶν ὡς εἴ περ αὐτὸς ἠδικημένος ἐτύγχανεν· ὃ δὴ καὶ τῷ μὲν πλήθει χάριεν ἦν, τοῖς γε μὴν ἄρχουσι καὶ

valde et dilucida elocutione usus est: in qua cum incredibili splendore divina quædam enituit gratia, ita ut ea quasi insita quadam tyrannide et dominatione auditor demulceretur. Mediocri autem dicendi generi, arcanam amplitudinem, et quæ sub oculos non caderet, vim inseruit, novamque elocutionis misturam contemperavit, frequentibus scatens sententiis: adeo ut omnes ad harmoniam convenientemque ejusmodi concentum consternarentur, et incomprehensibilem deprehensionem cum sensuum privatione orationi ejus tribuerent. In rhetorica et dicendi arte præceptorem habuit Libanium: in philosophicis vero disciplinis Andragathium. Et quod ad dicendas in foro causas appositus esse videretur, vitæ id genus sectatus est. At enim cum id iniquum atque improbum esse putaret, faciendum sibi esse statuit, ut primum diligenter in sacris versaretur libris: et in vita tranquilla, juxta Ecclesiæ constitutiones, philosophice viveret, Evagrium imitatus. In quo studio præceptores eos habuit, qui tum præclaris monasteriis præfuerunt, Carterium, et Diodorum illum, quem ecclesiam Tarsensem gubernasse antea diximus. Reliquisse etiam is multos scriptorum suorum libros dicitur, in quibus tantum in litteræ ipsius expositione occupatus est, abstrusiorem sublimioremque Scripturæ sensum et contemplationum speculationes declinans. Qua in re eum etiam præcipue est discipulus imitatus. Non solus autem magistros hos Joannes sectatus est, sed plures etiam alios studiorum socios ex Libanii schola ad eos adduxit; in primis autem Theodorum, et Maximum; quorum iste postea pastor Seleuciæ Isaurorum, ille vero Mopsuestiæ Cilicum episcopus factus est. **347** Theodorus autem iste, vir fuit divinarum litterarum Græcarumque disciplinarum, necnon artis oratoriæ atque philosophiæ egregie peritus. Ad quem, cum a studiis religiosæ vitæ descivisset, divus Chrysostomus unam atque alteram dedit epistolam. Cum namque is leges litterasque nostras legisset, et se in divinorum virorum familiaritatem insinuasset, omnibus rebus posthabitis, et urbanæ vitæ tumultu rejecto, institutum id laudavit, et vitam suam ad illorum mores composuit. Cæterum alacritatem eam constanter non retinuit: sed veluti pœnitentia ductus, ad priorem rediit vitam. Et cum diversam de sacro studio concepisset sententiam, id genus philosophiæ reliquit, et in urbem est reversus: melius se ita id quod expeteret, consecuturum ratus. Quod ubi Joannes cognovit, ad res scilicet civiles illum esse relapsum, et animum ad nuptias adjecisse, epistolam ad eum dedit, verbis et sententiis selectioribus supra humanæ mentis captum compositam. Scripsit deinde ad eumdem quoque alteram. Quas ille cum legisset, ad vitæ quod antea ceperat, institutum se rursum contulit. Substantia enim sua relicta, et nuptiarum ambitioni nuntio remisso, ad philosophicam recurrit vitam,

pulcherrimis Joannis cohortationibus servatus. A Unde colligere licet, quæ dicendi vis in eo floruerit, quæve persuasionis gratia in illius consederit labris. Ea enim eos superavit, qui tum secum a dicendo et persuadendo valuere. Proinde etiam multitudinem ad se pertraxit. Et quod majus est, peccantes in ecclesia acrius objurgavit, atque injuriam aliis inferentibus insultavit, non minus ob afflictorum vicem indignans, quam si ipsi sibi injuria facta esset. Quod quidem multitudini pergratum fuit, principibus autem viris et magistratibus acerbum visum est: quod scilicet eis delinquere multa licuit. Eas ob causas præclarus vir habitus est, cum eis qui eum vidissent, virtutemque ejus experti essent, tum eis quoque qui illum nunquam visum fama tantum cognovissent; B quæ celebris de eo vulgata, aures omnium impleverat. Idoneus sane Romanæ ditionis hominibus visus est, cui Constantinopolitanæ ecclesiæ episcopatus demandaretur. **348** Suffragabatur vero populi et cleri, multorumque sententiæ, imperator etiam Arcadius. Itaque statim qui eum adducerent, misit. Multorum quoque aliorum episcoporum conventum instituit, splendidiorem ambitiosioremque consecrationem ejus esse volens. Porro ubi Asterius Orientis præfectus imperatoris litteras accepit, in suburbanum quemdam Antiochiæ agrum Joannem ad se evocavit, habere se arcani quidquam, quod cum eo secreto communicaret, renuntians. Eum vero advenientem illico currui C impositum, Pagas, in diversorium, seu mansionem quamdam ita cognominatam, duxit. Et postquam eum ibi eis qui ab imperatore missi fuerant, plurimum reluctantem tradidit, domum suam reverti. Id autem ita fecit, quod promptos ad seditiones Antiochenos esse sciebat. Haudquaquam enim illi libentes prius se Joannis lingua orbari tulissent, quam grave quidquam et fecissent, et passi fuissent. Ubi Constantinopolim pervenere, atque ibi quicunque evocati fuerant episcopi, præsto fuere, omnes quidem alii suffragio ferendo consensere: unus tantum Theophilus Alexandrinus Joannis ordinationi obstitit, gloriæ illius detrahens, Isidoro autem episcopatum tradere studens, qui Alexandriæ presbyter, curam ibi advenarum D et pauperum gerebat, ab adolescentia in Sceti monasticis laboribus exercitatus. Studiosus autem Theophilus Isidori plurimum fuit, quod is ei dudum rei satis periculosæ conscius esset. Cum enim imperator Theodosius bello adversus Maximum tyrannum decertaret, Theophilus imperatori munera mittens, binas Isidoro huic dedit epistolas, eumque Romam misit, cum mandato ejusmodi, ut ibi manens, belli eventum exspectaret, et cui victoria arrisisset, ei et litteras et donum redderet. Legationem eam suscepit Isidorus, et Romæ momento victoriæ intentus consedit. Et cum rem hanc premere conaretur, lector qui cum eo erat, epistolis clam sublatis, eam indicavit. Quapropter

A ἐν δυναστείᾳ λυπηρὸν ἐδόκει· ὅτι γε καὶ τὰ πολλὰ τούτοις ἁμαρτάνειν ἐξῆν. Διὰ ταῦτα πάντα περιφανὴς ἦν ὁ ἀνὴρ τοῖς μὲν τῷ τε ἰδεῖν, καὶ πειραθῆναι ἐκείνου, τοῖς δὲ μήπω θεασαμένοις, τῇ φήμῃ. ἡ πολλή τις διέῤῥει τὰς ἁπάντων ἀκοὰς πληροῦσα. Καὶ δὴ τοῖς ἀνὰ τὸ ὑπήκοον πᾶσι Ῥωμαίων ἐπιτήδειος εἶναι τῇ τῆς Κωνσταντίνου ἐπισκοπῇ ἐκρίνετο. Συνῄνει δὴ τῇ τοῦ λαοῦ καὶ τοῦ κλήρου καὶ τῶν πολλῶν ψήφῳ καὶ ὁ βασιλεὺς Ἀρκάδιος· καὶ εὐθὺς τοὺς ἄξοντας αὐτὸν ἔπεμπε. Πολλῶν δὲ καὶ ἄλλων ἱερέων σύνοδον μετεστέλλετο, σεμνοτέραν τὴν χειροτονίαν πράττειν φιλοτιμούμενος. Ὡς δ' Ἀστέριος ὁ τῆς ἕω ὕπαρχος τὰ βασιλέως εἰς χεῖρας ἐδέξατο γράμματα, ἐπί τινι τῶν πρὸ τῆς Ἀντιόχου ἀγρῶν τὸν Ἰωάννην μετεκαλεῖτο, μυστικόν τι ἀγγέλλειν B ἔχειν διαμηνύων· ὃν ἐλθόντα, ὀχήματι ἐπιβιβάσας εὐθὺς, εἰς Πάγρας σταθμόν τινα οὕτω καλούμενον ἔφθανεν. Ἔνθα δὴ παραδοὺς τοῖς ἐκ βασιλέως πεμφθεῖσι πλεῖστα διατεινόμενον, πρὸς τὰ οἰκεῖα ἐπανέστρεφεν ἤθη. Τοῦτο δ' ἔπραττε, θερμοὺς περὶ στάσεις εἶναι Ἀντιοχέας εἰδώς· οὐ γὰρ ἄν ποτε ἑκόντες εἶναι τῆς Ἰωάννου ἀπηλλάγησαν γλώσσης, πρίν τι τῶν δεινῶν δρᾶσαί τε καὶ παθεῖν. Ὡς δὲ τὴν Κωνσταντίνου κατέλαβον, παρῆσαν δὲ καὶ ὅσοι τῶν ἱερῶν ἀνδρῶν μετεκλήθησαν, οἱ μὲν ἄλλοι πάντες ὡμονόουν τῇ ψήφῳ· μόνος δ' ὁ τῆς Ἀλεξάνδρου Θεόφιλος ἐμποδὼν τῇ χειροτονίᾳ Ἰωάννου καθίστατο, διασύρων μὲν τὴν ἐκείνου δόξαν, Ἰσιδώρῳ δὲ σπουδάζων τὴν ἐπισκοπὴν ἐγχειρίσαι· ὃς πρεσβύ- C τερος μὲν Ἀλεξανδρείας ἦν, τῶν δ' ἐν ἐκείνῃ ξένων τε καὶ πτωχῶν τὴν ἐπιτροπὴν εἶχεν· ἐκ νέου δὲ ἀνὰ τὴν Σκῆτιν τοῖς ἀσκητικοῖς πόνοις ἐγγυμνασάμενος ἦν· πάνυ δὲ διὰ σπουδῆς τὸν Ἰσίδωρον ἐποιεῖτο, συνίστορα πράγματος ἐπικινδύνου αὐτῷ πάλαι γενόμενον. Ἡνίκα γὰρ ὁ βασιλεὺς Θεοδόσιος πρὸς τὸν κατὰ τοῦ τυράννου Μαξίμου πόλεμον ἠγωνίζετο, δῶρα πέμπων Θεόφιλος, διττὰς ἐπιστολὰς Ἰσιδώρῳ τουτωνὶ ἐγχειρίζων, πρὸς Ῥώμην κατήπειγεν, ἐντειλάμενος ἐκεῖσε γενόμενον, περιμένειν τῆς μάχης τὴν ἔκβασιν· καὶ ᾧ ἂν ἡ νίκη ἐπιγελάσοι, τά τε γράμματα καὶ τὰ δῶρα παρέχειν· τὸν δὲ ὑποστῆναι τὸ ἔργον· καὶ παρὰ τὴν Ῥώμην γενόμενον, ὑφεδρεύειν τῇ νίκῃ, καὶ μὴ λαθεῖν τὰ τοιαῦτα πειρώμενον, τοῦ συνόντος αὐτῷ ἀναγνώστου καταμηνύ- D σαντος, καὶ τὰς ἐπιστολὰς κρύφα ὑφελομένου· καὶ διὰ ταῦτα κακόν τι παθεῖν τὸν Ἰσίδωρον ὑφορώμενον, εὐθὺς φυγάδα γενόμενον, τὴν Ἀλεξάνδρου καταλαβεῖν· πιστότατον δ' ἐκεῖνον ἐντεῦθεν γενόμενον, νῦν ἀποτῖσαι τῶν ὑπὲρ αὐτοῦ κινδύνων διενοεῖτο τὴν ἀμοιβὴν, καὶ τὴν τοσαύτην σπουδὴν ὑπὲρ αὐτοῦ κατετίθετο. Εἴτ' οὖν διὰ ταῦτα, ὡς λόγος, εἴτε καὶ ὡς θεοφιλῆ ἄνδρα ἐπὶ τὴν ἐπισκοπὴν προῆγε Θεόφιλος, τέλος καὶ αὐτὸς τῇ χειροτονίᾳ Ἰωάννου συνῄνεσε, καὶ τοῖς κατὰ τὰ βασίλεια δεδογμένοις σύμψηφος ἦν, ἀτεχνῶς μάλιστα τῇ χειροτονίᾳ Ἰωάννου σπουδάζοντα δείσας Εὐτρόπιον τὸν πραιπόσιτον, ὃς τοῦ βασιλικοῦ οἴκου τε καὶ κοιτῶνος τηνικαῦτα προΐστατο· ἄντικρυς γὰρ αὐτῷ διηπείλησεν, ἢ τοῖς ἄλλοις ἱερεῦσι σύμψηφον καὶ αὐτὸν

αὐτίκα γενέσθαι, ἢ ἕτοιμον πρὸς ἀπολογίαν τοῖς ἐγκαλοῦσι γίνεσθαι· ἔτυχον γὰρ πολλοὶ παρόντες ἐκεῖθεν βιβλία κατ' αὐτοῦ τοῖς συνελθοῦσι τῶν ἐπισκόπων παρέχοντες, ἄλλος ἄλλα ἐπαιτιώμενοι, καὶ παρανόμων ἐκεῖνον γραφόμενοι. Ταῦτα δείσας Θεόφιλος, οὐ μόνον σύμψηφος, ἀλλὰ καὶ χειροτονητὴς Ἰωάννου καθίστατο. Ἀναγνώστην δὲ τοῦτον ἐποίει, ὥς φησι Σωκράτης ὁ ἐκκλησιαστικὸς, Ζήνων ὁ ἐπίσκοπος Γάζης, εἴτουν Μαιοῦμα, ἐξ Ἱεροσολύμων ὑποστρέφων. Συνδιῆγε δὲ τηνικαῦτα, ὡς ἱστορεῖ οὑτοσὶ, Βασιλείῳ, τῷ πάλαι μὲν διακόνῳ ὑπὸ Μελετίου γεγενημένῳ, ἐς ὕστερον δὲ τῆς Καππαδοκῶν Καισαρείας ἡγησαμένῳ. Ὃ παντάπασιν ἀποτρέπεται Συμεὼν ὁ τὸν βίον συγγραψάμενος τοῦ ἱεροῦ Χρυσοστόμου· ὃς δὴ καὶ ὑπὸ Φλαβιανοῦ γενέσθαι πρεσβύτερον ἱστορεῖ καὶ διάκονον· ὅτε καὶ περιστερὰν θείαν ἐπικαταπτᾶσαν τῇ ἐκείνου ἱερᾷ κορυφῇ ἐφιζῆσαι. Σωκράτης δὲ, ὑπὸ Εὐαγρίου τοῦτον λέγει τοῦ πρεσβυτερείου ἀξιωθῆναι· μετὰ γὰρ τελευτὴν Μελετίου ἀναχωρῆσαι μὲν τῶν ἐκείνου τὸν Ἰωάννην φησίν· ἐν ἡσυχίᾳ δ' ἐπὶ τρεῖς διάγειν ἐνιαυτοὺς, μήτε τοῖς Μελετίῳ, μήτε τοῖς Παυλίνῳ προσκειμένοις συγκοινωνοῦντα· ἐς ὕστερον δὲ ὑπὸ Εὐαγρίου, ὃς τοῦ Παυλίνου διάδοχος ἐχρημάτισε, τὴν ἱερωσύνην λαβεῖν. Ἐν τῷ τοῦ ἀναγνώστου τοίνυν βαθμῷ καθεστὼς, τοὺς κατὰ Ἰουδαίων λόγους συντάττει. Διακόνου δὲ χειροτονίαν δεξάμενος, τοὺς περὶ ἱερωσύνης καὶ πρὸς Σταγείριον, ἔτι δὲ καὶ τοὺς *Περὶ ἀκαταλήπτου* συγγράφει, καὶ τοὺς *Περὶ τῶν συνεισάκτων* Ἱερωσύνης δ' ἀξιωθεὶς, τὰς τῶν θείων Εὐαγγελίων ἐξηγήσεις, τούς τε *Ἀνδριάντας*, καὶ τὴν *Παραμυθίαν*, καὶ τὰ εἰς τὸν *Ψαλτῆρα*, καὶ τοὺς *Περὶ παρθενίας καὶ ἐλεημοσύνης*, καὶ ἄλλους ἀπείρους ἐκτίθησι. Τὸν δὲ θεῖον Ἀπόστολον, καὶ αὐτοῦ ἐκείνου μυστικῶς ὁμιλοῦντος συντάττει. Ἀλλὰ δὴ καὶ τὰς ἱερὰς Πράξεις, καὶ ἄλλα σὺν τούτοις πλεῖστα, ἑορτάς τε καὶ πανηγύρεις διαφόρους σεμνύνων, ἐν τῇ ἀρχιερωσύνῃ τελῶν κατὰ τὴν Κωνσταντινούπολιν. Ἐμοὶ δ' ἐντυχεῖν λόγοις καὶ ὑπὲρ χιλίους ἐγένετο τοῦ ἀνδρὸς, ἀμύθητον οἷον τὴν ἡδονὴν ἀποστάζοντας· τούτου γὰρ ἐκ νέου μάλα καὶ προσετετήκειν τῷ ἔρωτι· καὶ ὡς Θεοῦ φωναῖς ταῖς ἐκείνου ἐνεκαρτέρουν. Καὶ εἴ τι δέ μοι περίεστιν, ἐκεῖθεν ἔχω λαβών. Πολλοὺς δὲ καὶ τῶν ἐμοὶ φοιτώντων ἔπεισα, πάντ' ἀφεμένους αὐτῷ προσχωρεῖν. Ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν.

A Isidorus sibi ne quid mali pateretur timens, statim Alexandriam profugit. Proinde quod illum fidissimum sibi cognovisset, pensare tum quod pro se adierat periculum, gratia aliqua cogitabat studioque tanto pro eo laborabat. **349** Sive autem eam ob causam, ut dicitur, hoc fecerit, seu quod Dei amantem virum ad episcopatum evectum Theophilus voluerit, postremo et ipse ordinationi Joannis calculum adjecit, sententiamque imperialis aulæ approbavit, quæ ordinationem Joannis obtinere manifeste studuit. Metuebat vero Eutropium præpositum, qui imperatoris ædibus et cubiculo tum præfuit. Aperte enim is illi minabundus denuntiarat, ut vel aliis ipse quoque suffragio suo consentiret, vel se ad dicendam causam contra B accusatores suos pararet. Multi enim tum ibi aderant, qui ex Alexandria venerant, libellos adversus eum, qui coacti fuerant, episcopis offerentes : alii alia crimina ei objicientes, et divinas ecclesiasticasque leges eum violasse accusantes. Hæc vero Theophilus timens, non solum Joanni suffragatus est, sed eumdem etiam per manus impositionem consecravit. Lectorem eum, quemadmodum Socrates ecclesiasticus scriptor dicit, creavit Zeno Gazæ sive Majumæ episcopus, Hierosolymis revertens. Vixit (1) autem tum diutius, sicuti idem testatur, cum Basilio ; qui dudum quidem a Meletio in diaconorum ordinem lectus fuerat, postea vero ecclesiæ Cæsariensi apud Cappadoces præfuit. C Quod omnino rejicit Symeon, qui sacri Chrysostomi vitam conscripsit ; nam is a Flaviano eum et diaconum et presbyterum creatum esse, memoriæ prodidit : quo tempore etiam divinam columbam advolantem, sacro ejus capiti insedisse memorat. Socrates autem ab Evagrio eum presbyteri dignitate auctum esse dicit. Post Meletii enim obitum secessisse a Meletianis Joannem, et triennium sibi ipsi quiete ita vixisse, ut neque cum Meletii, neque cum Paulini sectatoribus communionem coleret : postea vero ab Evagrio Paulini successore presbyterum creatum esse, refert. Cum in lectorum ordine consisteret, orationes contra Judæos composuit. Diaconus autem factus, dialogos de episcopali munere, et libros ad Stagirium, D item alios de incomprehensibili, et alios rursum περὶ τῶν συνεισάκτων (2), hoc est, de puellis non matrimonii neque libidinis causa adoptatis, scripsit. **350** Presbyteri vero honore cohonestatus, expositiones divininorum Evangeliorum, Ἀνδριάντας, id est, *Statuas*, *Consolationem*, *Commentarios in Psalterium*, *De virginitate*, *De misericordia*, et plurimos alios libros edidit. Homilias vero mysticas in divinum Apostolum, et in sacra Acta, aliaque præterea plurima, festos dies et conventus ecclesiasticos varios celebrans, Constantinopoli in episcopatu condidit. Ego vero supra mille ejus viri lucubrationes legi, ineffabili quadam suavitate diffluentes. Jam enim inde ab adolescentia amore ejus flagravi, atque in illius perinde atque Dei ipsius vocibus acquievi. Atque si quid mihi est eruditionis, id ei acceptum fero. Multis etiam ex sectatoribus meis persuasi, ut omnibus relictis, illum sibi familiarem facerent. Verum ad argumentum institutum revertamur.

(1) Socr. lib. VI, cap. 3.
(2) Subintroductæ hæ in canonibus, extraneæ in legibus dicuntur.

CAPUT III.

De cura pastorali et doctrina Joannis : et ut multorum arguens et corrigens delicta, in suspicionem pervenerit improbitatis : et unde furor et persecutio adversus eum exstiterit.

Joannes episcopatum adeptus, primum cleri sui mores corrigere est aggressus : progressus ejus in publicum, et quotidianæ vitæ institutum perscrutatus. Acrioreque usus castigatione, nonnullos quidem ad mores legitimos reformavit. Si quos autem sacerdotes non juxta Ecclesiæ constitutiones vivere velle cernebat, eos sacris ædibus exclusit. Neque enim sacerdotum honore eos frui debere dixit, qui verorum sacerdotum vitam æmulari nollent. Nam cum natura ad arguendum et reprehendendum propensus esset, magis etiam postquam magistratum tantum cepit, mos is in eo est adauctus. Natura enim potestatem nacta, promptius etiam adversus peccantes est concitata. Neque vero clerum ille suum tantum, sed ubique locorum ecclesias, perinde atque pater quidam, ad rectum conformare statum studuit : sic scilicet Thraciam omnem, quæ in sex divisa est præfecturas, Asiamque cunctam, quæ ab undecim præsidibus regebatur, **351** atque etiam provinciam Ponticam, totidem præfectis gubernatam, eisdem legibus ad officium reducere conatus est. Ubi vero Phœnices adhuc simulacrorum sacrificiis insanire cognovit, missis eo qui divino zelo flagrarent viris, legibus quæ dudum latæ fuerant, confirmatis, quidquid erat de superstitione eorum reliquum, idolorumque delubra, ex ipsis fundamentis evertit. Quam ad rem e domo sua impensas præbuit. Feminis enim nobilibus et locupletibus, ut pecuniam talem liberaliter conferrent, persuaserat. Ut vero Scytharum quoque multitudinem Ariana liberaret contagione, qui ejusdem cum illis linguæ essent, eis præfecit : sæpius quoque ipse eos visens, doctrinisque suis per interpretem illustrans, ad veritatem adduxit. Eos vero Scythas etiam qui ad Istrum sunt, ubi veritatis et salutis siti teneri intellexit, eo quoque misit : et homines eos captos, in veritatis potestatem redegit. Ab Osroenis autem Marcionis morbum, qui alte apud eos radices egerat, repulit : aliaque plurima et Deo grata peregit opera, apostolicam plane de ecclesiis omnibus in animo circumferens curam. Nec iis ille quoque contentus fuit, sed dissensionem quæ inter Orientales et Occidentales ecclesias propter Paulinum et Flavianum exstitit, Theophilo conciliato sustulit : et ut una Antiochiæ esset ecclesia effecit, Paulino et Evagrio vita defunctis. Quapropter facilem episcopis fuisse, cum nemo impedimento esset, conciliationem puto. Populus namque dissidiis, quibus jam fatigatus erat, remissis, qui Eustathii primum auctoritatem secuti erant, sicuti fieri assolet, paulatim ad eos qui sub Flaviano erant accedentes, per unionem eis sunt conjuncti. Talem se cum vir magnus et natura et zelo statim a

ΚΕΦΑΛ. Γ.

Περὶ τῆς Ἰωάννου ποιμαντικῆς καὶ διδασκαλίας· καὶ ὅπως τὰ τῶν πολλῶν διελέγχων πταίσματα καὶ ἐπανορθούμενος, οὐ καλῶς ἐδόκει· καὶ ὅθεν ἡ κατ' αὐτοῦ μανία συνέστη.

A Τῆς δ' ἐπισκοπῆς Ἰωάννης γενόμενος ἐγκρατής, πρῶτον μὲν διορθοῦν ἐπειρᾶτο τῶν ὑπ' αὐτῷ κληρικῶν τὴν διαγωγήν. Προόδους γὰρ αὐτῶν διηρεύνα καὶ διαίτας· καὶ σφοδρῷ χρώμενος τῷ ἐλέγχῳ, οὓς μὲν ἐπέστρεφεν, οὓς δὲ τῶν ἱερέων μὴ κατὰ τοὺς τῆς Ἐκκλησίας νόμους πολιτεύεσθαι ᾑρημένους ἑώρα, τῶν ἱερῶν ἀνακτόρων ἀπεῖργε, μὴ δεῖν εἶναι λέγων τῆς μὲν τῶν ἱερέων ἀπολαύειν τιμῆς, τῶν δ' ἀληθῶν ἱερέων μὴ ζηλοῦν αἱρεῖσθαι τὸν βίον. Φύσει γὰρ καὶ πρότερον ἐλεγκτικὸς ὤν, ἔτι μᾶλλον B τὴν ἀρχὴν εἰληφώς, εἰς ἐπίδοσιν μείζω προήχθη. Ἐξουσίας γὰρ ἡ φύσις ἐπιλαβομένη, ἑτοιμότερον μᾶλλον κατὰ τῶν ἁμαρτανόντων κεκίνητο. Οὐ μόνον δὲ τοὺς ὑπ' αὐτὸν κληρικούς, ἀλλὰ καὶ τὰς ἁπανταχοῦ ἐκκλησίας οἷά τις πατὴρ ἐπανορθοῦν ἔσπευδεν· ἀμέλει καὶ Θρᾴκην ἅπασαν, εἰς ἓξ δὲ αὕτη ἡγεμονίας διῄρηται, καὶ Ἀσίαν ὅλην· ὑπὸ δὲ ἕνδεκα αὕτη ἀρχόντων ἰθύνετο, καὶ μὴν καὶ τὴν Ποντικὴν διοίκησιν, ἰσαρίθμοις δ' ἡγεμόσι τῇ Ἀσίᾳ καὶ οὗτοι ἰθύνοντο, τοῖς αὐτοῖς ἐσπούδαζε νόμοις εὐθύνειν. Καὶ Φοίνικας δ' ἔτι ταῖς εἰδώλων θυσίαις μεμηνέναι μαθών, ζήλῳ θείῳ πυρπολουμένους ἄνδρας πέμπων, τοὺς πάλαι προτεθέντας νόμους κρατύνων, τὸ περιλειπόμενον τῆς ἐκείνων θρησκείας καὶ τὰ τῶν εἰδώλων τεμένη, C ἐκ βάθρων ἀνέσπα, οἴκοθεν τὰς δαπάνας πορίζων· ἔπειθε γὰρ τὰς πλούτῳ κομώσας τῶν εὐγενῶν φιλοτίμως ταῦτα παρέχειν. Τὸν δὲ Σκυθῶν ὅμιλον τῆς Ἀρειανικῆς ἀπαλλάττων λύθης, ὁμογλώσσους ἐπιστήσας αὐτοῖς. Τὰ πολλὰ δὲ καὶ αὐτὸς φοιτῶν παρ' αὐτοῖς, καὶ ταῖς διδασκαλίαις δι' ἑρμηνέως καταφωτίζων, πρὸς τὴν ἀλήθειαν ἐποδήγει. Καὶ τοὺς παριστρίους δὲ Σκύθας διψῆν μαθὼν τἀληθές, πέμψας εὐθὺς ἐζώγρει πρὸς τὴν ἀλήθειαν. Ὀσροηνοῖς δὲ τὴν Μαρκίωνος νόσον εἰς βάθος ἐντετηκυῖαν ἐξήλαυνε. Καὶ ἄλλα πλεῖστα καὶ θεοφιλῆ διεπράττετο ἔργα, τὴν ἀποστολικὴν τῶν ἁπανταχοῦ Ἐκκλησιῶν μέριμναν τῇ ψυχῇ περιφέρων. Οὐ ταῦτα δὲ μόνον, ἀλλὰ καὶ τὴν τῶν Ἕω καὶ πρὸς Ἑσπέραν ἐκκλησιῶν διάστα- D σιν, διὰ Παυλῖνον καὶ Φλαβιανὸν γεγενημένην, θεραπεύσας Θεόφιλον, διέλυσε· καὶ μίαν Ἐκκλησίαν εἶναι τὴν Ἀντιόχου πεποίηκε, Παυλίνου καὶ Εὐαγρίου τέλει χρησαμένων τοῦ βίου. Δι' οὗ γε οἶμαι εὐχερεῖς γενέσθαι τοῖς ἐπισκόποις τὰς καταλλαγάς, μηδενὸς ἐμποδὼν καθεστῶτος. Ἀπειπὼν γὰρ ὁ λαός, οἱ κατ' ἀρχὰς Εὐσταθίῳ ἐπηκολούθησαν, οἷα φιλεῖ, κατ' ὀλίγους προσιόντες, τοῖς ὑπὸ Φλαβιανῷ τεταγμένοις ἡνώθησαν. Οὕτω δ' ἔχων ὁ μέγας καὶ ζήλου καὶ φύσεως εὐθὺς ἐξ ἀρχῆς, τραχύς τις μάλα καὶ φορτικὸς ἐδόκει τοῖς ἁμαρτάνουσι· καὶ μᾶλλον ὅσοι τοῦ κλήρου τοῖς ἀτόποις τῶν ἔργων ἔχαιρον· μῖσός τε ὑπετύφετο, πολλοί τε ἀπεχθανόμενοι ἐκεῖνον ἐξέκλινον. Χαρίεις δὲ τῷ πλήθει μάλιστα ἦν, τῇ συνεχεῖ διδασκαλίᾳ κατακηλουμένοις. Οὐδὲν τοίνυν

καινὸν, εἰ καὶ τισὶν οὐ καλὸς ἐδόκει, ἐπεί τοί γε καὶ A τὸ μέλι πικρὸν τοῖς ἰκτεριῶσι δοκεῖ. Μάλιστα δ', ὥς φασιν, ἐνῆγεν οὕτω τοῖς πολλοῖς προσκρούειν Σαραπίων ὁ μαθητής. Ὅν ποτε παῤῥησίᾳ τῶν συγκλήρων πάντων λόγος εἰπεῖν, ὡς « Οὐκ ἄν γε δυνηθείης πάντας λόγοις ἕλκειν, εἰ μὴ καὶ μάστιγι πάντως ἐλαύνειν προθυμηθείης. » Ὃ δὴ ῥηθὲν, πολλοὺς εἰς μῖσος κατὰ τοῦ ἐπισκόπου ἐνῆκεν οὐ μέτριον. Καὶ δὴ πολλῶν τῆς Ἐκκλησίας ἀπεωσμένων ἐπὶ διαφόροις τοῖς αἰτιάμασιν, ἐκεῖνοι, οἷάπερ φιλεῖ, καθ' ἑαυτοὺς συνιόντες, πρὸς τὸ δόξαν τοῖς κρατοῦσιν ὥρμων· καὶ φατρίαν οὐκ ἀγεννῆ συστησάμενοι, οὐ μετρίαις ἐχρῶντο κατ' αὐτοῦ διαβολαῖς. Καί γε πίστιν παρεῖχε τὰ εἰρημένα, ὅτι μὴ συνεσθίων τινὶ ὁ Ἰωάννης πεφώραται, μηδ' ἐφ' ἑστίαν ἰών. Ἐξ ὧν καὶ μείζους ἐκείνῳ διαβολαὶ ἀνηγείροντο. Τίνι μὲν B οὖν λόγῳ τοῦτ' ἔπραττεν, οὐδεὶς σαφῶς ἤγγελλεν· οἱ δ' ἐκείνου ἀπολογούμενοι τὴν μακρὰν προεβάλοντο ἄσκησιν, καὶ τὸ δυσφόρως ἔχειν τὸν στόμαχον, ἀσθενῶς περὶ τὸ πέττειν ἔχοντα τὰ σιτία. Τέως δ' ὅπως εἶχεν, οὐ μικρὰν τάχα παρεῖχε λαβὴν τοῖς ἐναντίως διακειμένοις. Τὸ δέ γε πλῆθος διὰ τὸ τῆς διδασκαλίας ἄφθονον, καὶ τὴν ἐκεῖθεν πηγάζουσαν ὄνησιν, σφόδρα ἐξείχετο τοῦ ἀνδρὸς, ὑπερφυῶς ἐρῶντες τῆς γλώττης, ὡς καὶ Χρυσόστομον αὐτὸν προσειπεῖν, τὸ ὑπερβάλλον τῆς ἐνούσης χάριτος αἰνιττόμενοι· καὶ οὐδαμῶς τῶν ἐρεσχελεῖν ᾑρημένων τούτων ἐφρόντιζον. Τί δὲ χρὴ λέγειν αὖθις ὁποῖοί τινες ἐκείνῳ ἦσαν οἱ λόγοι, ὅσοι μὲν γραφόμενοι ἐξεδίδοντο, ὅσοι δὲ λέγοντος ὑπὸ τῶν ταχυγράφων C ἀνελαμβάνοντο; καὶ μᾶλλον οἱ πλεῖστοι, ὅπως τε λαμπροὶ λίαν, καὶ τὸ ἐπαγωγόν τε ἅμα καὶ τὸ θέλγον μάλα προβεβλημένοι; ἐξὸν ἐντυγχάνειν τῷ βουλομένῳ ἀναλέγεσθαί τε τούτους, καὶ τὴν ἐξ ἐκείνων καρποῦσθαι ὠφέλειαν· πρὸς δὲ καὶ τὴν θείαν ἡδονὴν ἀπαρύεσθαι· ὡς καὶ δοκεῖν ἐξεῖναι θείως βακχεύειν καὶ σώφρονα μαίνεσθαι. Ἀλλ' ἕως μὲν τῷ κλήρῳ μόνῳ προσέβαλεν, ἀῤῥώστως εἶχεν ἡ κατ' αὐτοῦ μανία, καὶ ἥκιστα δρᾷν τι δεδύνητο κατ' αὐτοῦ· ὡς δὲ καὶ τοὺς ἐν τέλει εἰς τοὐμφανὲς ἐπειρᾶτο διελέγχειν, τηνικαῦτα καὶ ὁ κατ' ἐκείνου φθόνος εἰς μέγα ἀνήπτετο, καὶ πολλὰ κατ' αὐτοῦ ἐκινεῖτο. Ἐνῆγε δ' ἕκαστον πρὸς τὸ δοκοῦν ἑαυτῷ καὶ ταῖς διαβολαῖς πιστεύειν ἐκ τοῦ παρήκοντος, ὅπως ἂν ἐλέγχου ἢ μίσους πρὸς αὐτὸν εἶχεν. Προσ- D θήκην δ' ὅτι πλείστην ἐνεποίησε τῇ κατ' ἐκείνου διαβολῇ ἡ κατ' Εὐτροπίου αὐτῷ ὁμιλία ἀναγνωσθεῖσα.

principio exhiberet, durus quidam et gravis admodum esse visus est peccantibus : potissimum vero eis, qui in clero absurdis gaudebant factis. Itaque magnum adversus eum odium est succensum, et multi hostiliter illum declinabant. Multitudini vero, quam assidua doctrina demulcebat, maxime gratus fuit. Neque adeo mirum est, si quibusdam minus bonus visus est : nam mel quoque regio morbo laborantibus amarum videtur. Potissimum vero, sicuti ferunt, ut multos ita ostenderet, Serapion eum discipulus induxit. **350** Quem aliquando aperte in cleri præsentia dixisse fama est, « illum non omnes oratione allecturum esse, nisi etiam flagello omnino eos compelleret; » quod dictum in odium et invidiam non mediocrem episcopum apud multos adduxit. Enimvero multis ita ob varia crimina Ecclesia ejectis, illi sententiis se primorum et optimatum accommodabant : et sicuti fieri assuevit, in ejuscemodi eorum qui rebus præsunt impotentibus conatibus inter se conveniebant, sodalitatesque et conspirationes non contemnendas instituebant, atque eum non mediocribus expetebant calumniis. Et quæ illi in eum dicebant, fidem obtinebant : quod cum aliis cibum capere, aut convivia adire Joannes deprehensus non esset. Qua ex re crimina majora excitabantur. Quo vero consilio id ille fecerit, nemo clare dixit. Qui vero eum defendunt, diuturnam prætendunt vitæ austeræ disciplinam : et quod ægrum haberet stomachum, qui non facile cibum concoqueret. Utcunque autem se res habuit, non parvam adversariis ad obtrectationem ea præbuit occasionem. Plebs autem propter doctrinæ ubertatem, et quæ inde profluebat utilitatem, ex eo viro valde pendebat, mirifice illius linguam deamans : adeo ut Χρυσόστομον, hoc est, aurei oris hominem cognominaret; tam præstantem illius gratiam eo verbo significans. Neque ille quidquam eos qui contra eum blaterabant, curabat. Quid enim rursum hic dicere attinet, quales ejus fuerint orationes, quales vel ipse scriptas edidit, vel eo dicente notarii celeres plurimas excepere? Quam splendidæ namque sint, atque ad persuadendum simul et demulcendum compositæ, experiri ei licet, qui versare eas et legere, utilitatemque earum percipere et voluptatem divinam haurire ex eis velit : adeo ut seipsum divino quodam modo intemperiis agitari, et moderate prudenterque insanire crediturus sit. Cæterum quandiu cum clero tantum conflictatus est, infirmior adversus eum fuit furor, neque quidquam efficere potuit. Ubi autem magistratus etiam propalam arguere cœpit, tum demum major adversus eum concitata est invidia, multaque in eum sunt tentata. Et quisque pro eo atque ei visum esset, aut forte reprehensione vel odio in illum flagraret, calumniis ei intentatis fidem habebat. Plurimum autem momenti ad obtrectationem illius attulit oratio popularis ejus, contra Eutropium ab ipso lecta.

551 CAPUT IV.

De Eutropio cubiculi Imperialis præposito, et de ea quam is tulit lege: ut idem sit interfectus: et ut odium adversus Joannem quidem conceperint, et foverint.

Eutropius enim iste eunuchorum in imperiali cubiculo princeps, qui ad consularem dignitatem pervenerat; et pater imperatoris vocatus fuerat, neque præsentis fortunæ magnitudinem tulit, neque quidquam de rerum humanarum mutabilitate cogitavit, sed ubi ulcisci quosdam in animum induxisset, magnopere contendit, ut imperatores constitutionem ferrent, ne quis ad ecclesiam confugeret: sed etiam si quis ad eam confugisset, et supplex Deo factus esset, atque in templis metus causa versaretur, ut inde extraheretur. Potissimum vero id fecit propter Pentadiam, clarissimi ducis Timasii conjugem, quem magna gloria virum affectatæ tyrannidis criminis reum a se actum, Oasim ad perpetuum exsilium deportari curaverat. At ille siti, quemadmodum audivi, oppressus, aut ne pejus quidquam pateretur, veritus, arenosis ibi locis errans, statim vitam finiit. Et lex quam Eutropius ferendam curaverat, ad finem suum perducta est. Brevi vero post, cum imperatorem offendisset, ut qui in conjugem ejus contumeliosus fuisset, primus ipse quam perferri studuerat legem, statim violavit. Nam ex imperialibus ædibus profugiens, supplex in ecclesia consedit; tum Joannes absurdum Eutropii conatum arguens, luculentam habuit orationem in ambone (1), seu suggestu, qui mos ejus erat, cum populum doceret, ut omnes vocem ejus exciperent, sedens. In ea oratione cum eorum qui potestatem et magistratus gerunt, supercilium et arrogantiam, quantum potuit, taxavit: tum populo rerum humanarum inconstantiam, quæ eodem loco manere non soleant, proposuit. Sed enim qui hostili erga eum erant animo, et in hoc ipsum calumniose reprehenderunt, illud carpentes, cum misereri potius casum ejus qui de vita periclitatus sit, debuerit, quod insuper ærumnam arguerit, afflictionem illius adaugens, et calamitati insultans. Eutropius tam impii facinoris pœnas non multo post propter multa quoque alia delicta luit, capitali affectus supplicio. 352 Lex autem opera ejus lata, ex publicis monumentis sublata, et nomen ejus in catalogo et nomenclatura consulum expunctum est. Ecclesia autem Dei legibus bene dudum constitutis enituit, eo ipso scilicet Deo apertam injuriam extemplo vindicante. Ego vero non committam, quin in historia hac potissimam causam cædis Eutropii exponam, ut ne ea res fraudi sit, apud eos qui eam plane ignorant, magno illi viro: si rationem illi nesciant, per quam is virum eum, qui in Ecclesiam contumeliosus fuisset, contumelia affecerit, extrahi eum ex sacris ædibus passus. Arcadius post patris obitum uxo-

ΚΕΦΑΛ. Δ'.

Περὶ Εὐτροπίου τοῦ πραιποσίτου, καὶ περὶ τοῦ νόμου ὃν ἔθετο· καὶ ὡς ἀνῃρέθη· καὶ ὡς τὸ κατὰ Ἰωάννου μῖσος ὠδίνετο.

Εὐτρόπιος γὰρ οὗτος πρῶτος ὢν τῶν θαλαμηπόλων εὐνούχων, καὶ εἰς τὴν ὕπατον ἀναβὰς ἀξίαν, καὶ πατὴρ βασιλέως κληθεὶς, οὐκ ἤνεγκε τῆς παρούσης εὐδαιμονίας τὸ μέγεθος, οὐδέ τι περὶ τῶν ἀνθρωπίνων μεταβολῶν ἐνενόει· ἀλλ' ἀμύνασθαί τινας ᾑρημένος, σπουδὴν ἐποιεῖτο νόμον θεῖναι τοὺς αὐτοκράτορας, ὥστε μηδένα τῇ ἐκκλησίᾳ προσφεύγειν· ἀλλὰ καὶ φεύγοντα καὶ ἱκέτην Θεοῦ γινόμενον, καὶ ἐν τοῖς νεῴς διατριβὴν κεκτημένον τῷ δέει, ἐκεῖθεν ἀφέλκειν. Τοῦτο δὲ μάλιστα ἔπραττε διὰ Πενταδίαν, τοῦ περιβοήτου ἐν στρατηγοῖς γαμετήν· ὃν εὐδόκιμον πάνυ διαγενόμενον, ἔγκλημα τυραννίδος ἐπαγαγὼν, εἰς Ὄασιν ἀϊδίῳ ἐζημίου φυγῇ. Ἀλλ' ἐκεῖνος ἢ δίψει, ὥς γ' ἐπυθόμην, ἢ μή τι καὶ ἄλλο χείριστον πάθῃ, δείσας, ταῖς ἐκεῖσε ψάμμοις ἀλώμενος, αἴφνης ἀνηρπάγη τοῦ ζῆν. Καὶ ὁ μὲν νόμος ὃν ἐσπούδαζε, πέρας εἶχεν· οὐκ εἰς μακρὰν δὲ προσκρούσας οὗτος τῷ βασιλεῖ, ὡς εἰς τὴν ἐκείνου γαμετὴν ἐνυβρίσας, πρῶτος οὗτος τὸν ὃν ἐσπούδαζε νόμον εὐθὺς παρέβαινε. Τῶν γὰρ βασιλείων εὐθὺς ἀποδρὰς, ἱκέτης τῇ ἐκκλησίᾳ προσέδρευε. Τότε δὴ ὁ Ἰωάννης τὸ ἄτοπον διελέγχων τῆς ἐπιχειρήσεως Εὐτροπίου, λαμπρόν τινα κατ' αὐτοῦ λόγον διέξεισιν ἐπ' ἄμβωνος καθεσθεὶς, ὥσπερ ἦν εἰωθὸς ἐκείνῳ ταῖς διδασκαλίαις ποιεῖν, ἵν' ἅπαντας ἡ φωνὴ ἐπιφθάνοι. Ἐν ᾧ λόγῳ, κατέσπα μὲν ὡς οἷόν τε τῶν ἐν δυνάμει τὸ τῆς ὀφρύος μετέωρον· προσεπεδείκνυ γε μὴν καὶ τῷ πλήθει τῶν ἀνθρωπίνων πραγμάτων τὸ ἄστατον, μὴ εἰωθὸς ἔχον ἐπὶ τοῦ ταυτοῦ μένειν. Ἀλλ' οἵ γε πρὸς αὐτὸν ἀπεχθῶς ἔχοντες καὶ τοῦτο διέβαλον· καὶ μῶμος τῷ Ἰωάννῃ ἐτρίβετο, δέον μᾶλλον λέγοντες ἐλεεῖν τὸν ὑπὲρ ψυχῆς τρέχοντα κίνδυνον. Ὁ δὲ πρὸς τῇ συμφορᾷ καὶ διήλεγχεν, αὔξων ἐκείνῳ τὴν λύπην, καὶ ἐπεμβαίνων τοῖς ἐκείνου δεινοῖς. Ἀλλ' Εὐτρόπιος μὲν τῆς ἀσεβοῦς ἐπιχειρήσεως οὐ πολλῷ ὕστερον διὰ πολλὰ πταίσματα τὴν δίκην ἀνέπλησε, τὴν κεφαλὴν ἐκτμηθείς· ὁ δὲ τεθεὶς αὐτῷ νόμος ἐκ τῶν δημοσίων ὑπομνημάτων ἠφάνισται· καὶ τὸ ὄνομα ἐκείνου τοῦ καταλόγου τῶν ὑπάτων περιῃρέθη. Ἡ δὲ τοῦ Θεοῦ Ἐκκλησία εὖ μάλα τοῖς κειμένοις νόμοις διέπρεπεν, οἷα δὴ αὐτοῦ ἐκείνου Θεοῦ ἐκ τοῦ σχεδὸν τιμωροῦ γενομένου τῷ προφανεῖ ἀδικήματι. Ἐγὼ δ' οὐκ ἀνήσω μὴ καὶ τὸ μάλιστα αἴτιον τῆς ἀναιρέσεως Εὐτροπίου τῇ ἱστορίᾳ προσθεῖναι, ἵνα μὴ τοῖς καθάπαξ ἀγνοοῦσι πρόσκομμα τοῦτο τῷ μεγάλῳ νομίζοιτο, μὴ διειδόσι τὸν τρόπον δι' οὗ τὸν τῆς Ἐκκλησίας ὑβριστὴν περιύβρισεν, ἐάσας ταύτης ἀφαιρεθῆναι. Ἄγεται μὲν γὰρ ὁ βασιλεὺς Ἀρκάδιος μετὰ τελευτὴν τοῦ πατρὸς γυναῖκα, ᾗ Εὐδοξία ἦν ὄνομα, θυγάτηρ, ὡς μέν τινες ἱστοροῦσι, Γρατιανοῦ, ὃς τῆς ἑσπέρας τὴν ἀρχὴν ἐκληροῦτο, ὡς δ' ἕτεροι, Βαύδωνος, ὃς βάρβαρος μὲν ἦν τὸ γένος, στρατηγίαις

(1) Factum id cum metu consternatus Eutropius et humi provolutus pro sacra mensa jaceret. (Socr. libro VI, cap. 5.)

δ' ἐν ἑσπέρᾳ πλείσταις διέπρεψεν. Οὐ μέντοι δὲ τὸ γύναιον κατὰ τὴν τοῦ ἀνδρὸς νωθρείαν διέκειτο· ἀλλά τι καὶ τοῦ βαρβαρικοῦ θράσους οὐκ ἐλάχιστον ἐπεφέρετο. Δύο δὲ θυγατέρας τῷ Ἀρκαδίῳ ἐγέννα, Πουλχερίαν μὲν πρότερον, ἔπειτα καὶ Ἀρκαδίαν, πρὸς δὲ καὶ τρίτην Μαρίναν· πολλῷ δὲ ὕστερον καὶ υἱὸν ἐκείνῳ ἐγέννησε Θεοδόσιον, εἰς ὄνομα τῷ πάππῳ κληθέντα. Ἔτι γοῦν δύο παίδων οὖσα μήτηρ, πρὸς Εὐτροπίου περιυβρίζετο· πρὸς γὰρ δὴ τοῖς ἄλλοις ἐπῆγε καὶ τοῦτο προσαπειλῶν, θᾶττον τῶν βασιλείων ταύτην κατενεγκεῖν καὶ οἴκαδε ἀποπέμψασθαι, ὁ Εὐτρόπιος. Ἡ δὲ θυμῷ ὑπερζέσασα, ὡς εἶχε τὰ παιδία διὰ χειρὸς ἑκατέρας ἀγκαλισαμένη, πρόσεισι τῷ ἀνδρὶ ὀλοφυρομένη τε καὶ κωκύουσα· εἰς οἶκτον δὲ καὶ τὰ βρέφη προτεινομένη, δακρύων ἠφίει λιβάδας· καὶ τἄλλα ἐποίει ὅσα εἰκὸς γυναῖκα φλεγμαίνουσαν, πρὸς τὸ συμπαθὲς ἐφελκύσαι τὸν ἄνδρα. Ὁ δ' Ἀρκάδιος οἴκτῳ δὴ τῆς γυναικὸς καὶ τῶν παίδων πρὸς ὀργὴν ἀνήφθη· τῷ τε ζέοντι τοῦ θυμοῦ, καὶ τῷ τῶν λόγων μάλιστα ἐμβριθεῖ, ταῖς ἀληθείαις βασιλεὺς ἦν· καὶ δῆτ' ἐκεῖνον τιμῆς τε περιδύει ἁπάσης, πάντα τε τὸν πλοῦτον προσαφαιρεῖται, καὶ τῇ Κύπρῳ νήσῳ φυγάδα ποιεῖ· γραφὴν δ' ὑποστὰς ἐν βραχεῖ, ὡς ἡνίκα εἰς τὴν ὕπατον ἀξίαν προέβη, κόσμοις παρ' ἀξίαν ἐχρήσατο, οὓς μόνῳ ἔξεστι βασιλεῖ ἀμφιέννυσθαι, ἐκεῖθεν ἀχθεὶς, κατὰ τὸ Παντείχιον καθεσθέντος συνεδρίου, Αὐρηλιανοῦ τοῦ ἐπάρχου σὺν ἑτέροις ἐπιφανέσι συνδιασκοποῦντος τὰ κατ' αὐτοῦ, ἐπ' αἰτίαις φαύλαις ἁλοὺς ὁ Εὐτρόπιος, τὴν κεφαλὴν ἀφαιρεῖται. Ἀλλ' ἐν τούτοις μὲν τὰ κατὰ Εὐτρόπιον. Οὐκ ἐντεῦθεν οὖν μῶμος προσετρίβη τῷ Ἰωάννῃ, ἀλλ' ὅτι καὶ τὸν στρατηλάτην Γαϊνᾶν περιύβρισεν ἐμφανῶς τῇ συνήθει χρώμενος παῤῥησίᾳ· ἐπηνίκα μίαν τῶν ἔνδον τῆς πόλεως ἐκκλησιῶν τοῖς ὁμόφροσιν ἐκείνου προσνεμηθῆναι Ἀρειανοῖς παρὰ τοῦ βασιλέως αἰτῆσαι ἐτόλμησεν· ἧς μὴ τυχὼν, τυραννεῖν ἐπέβαλεν· καὶ πλεῖστα ἔδρασε τὰ δεινὰ τὴν ὑπὸ Ῥωμαίους ἀνάστατον θέμενος. Πολλοὺς δὲ καὶ ἄλλους ᾐτιῶντο παρ' αὐτοῦ μὴ δέον ὂν διελεγχομένους· δι' ἃ καὶ διάφορος τοῖς πολλοῖς καθίστατο. Οὐ μέτρια δὲ κατὰ τούτου καὶ ὁ τῆς Ἀλεξάνδρου Θεόφιλος ἐσκαιώρει εὐθὺς μετὰ τὴν χειροτονίαν· πολλά τε οἷς τε ἐντύχοι δι' ἑαυτοῦ ἔλεγε, καὶ τοῖς ἀποῦσι πλείονα ἔγραφεν, ἐπιτωθάζων τὸν ἄνδρα, σκαιόν τε καὶ ἀνήμερον ἐγκαλῶν. Καὶ γὰρ οὐ μετρίως τοῦτον ἐλύπει ὅ τε ζῆλος ἐκείνου καὶ ἡ ἔνθεος παῤῥησία· ἀλλ' ὅτι δι' ἐκεῖνον καὶ ὁ αὐτῷ σφόδρα ἐρώμενος Ἰσίδωρος τῆς ἐπισκοπῆς διεκρούσθη. Καὶ τὰ μὲν κατὰ τὸν θειότατον Ἰωάννην οὕτως ἐφέρετο· καὶ τὸ κακὸν εὐθὺς κατ' αὐτὸν ὤδινε. Ποῦ γὰρ καὶ χωρεῖν ὁ κόσμος εἶχεν ἄνδρα τοσοῦτον, Θεῷ μόνῳ ζῶντα, καὶ μηδὲν ἄλλο ἢ τὴν τῶν ἀνθρώπων σωτηρίαν μόνην καὶ λόγοις καὶ ἔργοις πραγματευόμενον; Ἀλλὰ τὰ μὲν περὶ ἐκείνου προϊόντες δηλώσομεν.

A rem duxit, cui nomen fuit Eudoxiæ: Gratiani, cui Occidentale imperium sorte, ut quidam memoriæ commendarunt, obvenerat: sicuti autem alii tradunt, Baudonis (1) filiam. Fuit autem is barbarus genere, in re vero militari et in imperatoriis artibus plurimis in Occidente præclarus. Porro femina ea non itidem ut maritus, segnis fuit, sed non minimum de barbarica insolentia obtinuit. Duas autem filias Arcadio genuit, Pulcheriam primum, deinde Arcadiam, ac tertiam rursus Marinam: longe vero post, filium quoque Theodosium, de avi nomine ita appellatum. Cum ea adhuc duarum filiarum mater esset, contumeliosius ab Eutropio accepta est. Super alia enim convicia et illud minabundus adjecit, brevi fore ut eam ex imperiali aula B abductam, ipse domum remittat. Illa autem vehementi fervens ira, filiolam utramque in utrisque ulnis ferens, ad virum accessit, quiritans atque lamentans: liberos etiam commiserationis gratia prætendens, prolixe collacrymavit: aliaque insuper fecit, quæ mulierem indignatione flagrantem et virum ad condolentiam pertrahere volentem, facere par est. Atque Arcadius, conjugem et liberos miseratus, ad iram ipse quoque accensus est, ardentique iracundia, et verborum potissimum gravitate, imperatorem verum se præstitit. Proinde Eutropium dignitate omni et opibus cunctis spoliatum (2), in Cyprum insulam exsulatum misit. Brevi vero post, quod eo tempore, cum consulatum iniit, C ornamentis præter dignitatem usus esset, quæ soli imperatori gestare liceret, accusatus, atque inde abductus, et apud Pantichium, ubi judicum consilium consederat, **353** Aureliano præfecto, aliisque illustribus viris causam ejus cognoscentibus, gravium criminum reus peractus, capitis supplicium subiit. Res Eutropii sic habuere. Atque non ea de causa solum Joannes est reprehensus, verum etiam quod magistrum militum Gainam contumeliose propalam solita sua dicendi libertate usus, tractaverit, cum ille ab imperatore petere ausus esset ut intra urbem ecclesia una popularibus suis Arianis attribueretur: quam ubi non impetravit, ad tyrannidem aspirans plurimas Romanis intulit calamitates, ditionem eorum devastans. Plures vero et D alios præterquam deceret, ab eo reprehensos esse, sunt criminati. Quas ob res permultis adversus fuit. Non pauca in hunc etiam statim post consecrationem molitus est Alexandrinus Theophilus, multaque et præsentibus, quos conveniebat, per seipsum dixit, et plura illis absentibus scripsit, viro ei illudens, ferum atque crudelem appellans. Non parum namque illum offendebat ardor et libertas divina Joannis, atque insuper quod per illum tantopere sibi dilectus Isidorus ab episcopatu repulsus esset. Res sacratissimi Joannis in hoc

(1) Baudo iste, sive Bauto, proximo a Gratiani cæde anno cum Arcadio cos. fuit.

(2) *Direptas quid plangis opes, quas natus habebit?*
Non aliter poteras principis esse pater.
(Claud.)

erant et ad hunc modum statim adversus illum plerique malum parturiebant. Quomodo enim virum tantum capere mundus posset, qui soli Deo viveret: neque aliud quidquam, quam solam hominum salutem verbis et factis lucrifacere contenderet? Sed res ejus postea persequemur.

354 CAPUT V.

Res Gotthi Gainæ Barbari: et de libertate dicendi, qua pro ecclesiis et apud imperatorem et apud ipsum Gainam usus est Joannes.

Oratio autem Gainæ res referre cupide gestit: quis fuerit, unde in Romanum imperium pervenerit, quomodo Joanni negotium facesserit, ut motus contra imperium concitans, quo magnus ille vir legatione apud eum fungeretur, effecerit: et tandem e medio sublatus, interierit. Sub quo res etiam nova prorsus accidit, per quam Deus ostendit providentia et ope sua urbem imperantem et imperium Romanum maximis esse periculis liberatum. Gainas iste barbarus genere fuit, ex Scythis, qui ad Istrum colunt, ortus. Hi vero amne eo, cum glacie constrictus fuisset, transito, confertim in Romanam ditionem irruperunt, et Thraciam omnem pervagati, Europam diripuerunt. At ille ubi ad Romanos transfugit, paulatim progressus, ex tenui milite brevi magister militum Romanorum factus, equestribus pedestribusque præfuit copiis. Sed enim ad tantum honorem præter dignitatem suam evectus, loco et ordine eo contentus non fuit: sed nisi imperium Romanorum potestati suæ subjiceret, gravem eam rem sibi esse putavit. Hæc cum animo agitaret, populares suos Gotthos ex præfecturis eorum accivit, atque ex eis qui eum genere contingerent, ordinum ductores, centuriones et tribunos fecit, exercitumque universum sociis suis credidit. Ut autem Trigibildus necessarius et commodus ei maxime, perquam frequenti ordini præesset, procuravit; eidemque Phrygiæ administrationem cum comitis dignitate concessit. De quo non ita multo post cum nuntiatum esset, res eum novas moliri, urbes circa Phrygiam et Nacoliam (1) vastare, et cædem multam facere, assimulavit quidem scilicet se ea de causa indignari Gainas: indiciis autem quibusdam satis ostendit, ad res novas eum quoque spectare. Illicet ille, perinde atque Romanis bene vellet, fraudem arte comminiscitur, ut ipse bellum contra illum gerendum suscipiat, et urbibus circa Phrygiam, ita ut opus esset, auxilium ferat. Et imperator commento credens, ei id permisit. **355** Ille porro ingentem plurium millium multitudinem ducens, statim quod celaverat consilium, ostendit, et tyrannidis regulum in medium produxit. Tantum enim aufuit, ut urbes ad quas missus erat, defenderet, ut eas etiam quæ reliquæ adhuc erant, diriperet, atque vi magna everteret: aliæ autem idem se ab eo passuras esse in exspectatione essent. Atque inde movens, quæ in medio erant loca omnia, Mysorum quod dicitur, prædam fecit: et ad eam quæ ex adverso Byzantio est Chalcedonem, castra metatus

A ΚΕΦΑΛ. Ε'.

Τὰ κατὰ τὸν βάρβαρον Γότθον Γαϊνᾶν· καὶ περὶ τῆς Ἰωάννου πρὸς τὸν βασιλέα καὶ πρὸς αὐτὸν παῤῥησίας διὰ τῆς ἐκκλησίας.

Ὀργᾷ δὲ ἡμῖν ὁ λόγος τὰ κατὰ τὸν Γαϊνᾶν διελθεῖν, τίς τε ὢν καὶ πόθεν, εἰς τὰ Ῥωμαίων εἰσήλασε, καὶ ὡς πράγματα παρεῖχεν Ἰωάννῃ· καὶ ὡς ἐπαναστὰς τῇ ἀρχῇ, πρεσβεύειν ὡς ἐκεῖνον τὸν μέγαν παρεσκευάσατο· καὶ τέλος ὡς διεφθάρη ἀφανείᾳ παραδοθείς· ἐφ' οὗ καὶ πρᾶξις πάμπαν ξενίζουσα διεγένετο, Θεοῦ παραδείξαντος, ὡς ταῖς ἐκείνου προνοίαις τε ἅμα καὶ βοηθείαις τήν τε βασιλεύουσαν πόλιν καὶ τὰ Ῥωμαίων πράγματα μεγίστων κινδύνων ἐξήρπασε. Γαϊνᾶς οὗτος βάρβαρος μὲν τὸ γένος ἦν, ἐκ τῶν παρὰ τὸν Ἴστρον Σκυθῶν ὁρμώμενος· οἳ παγέντα τὸν ποταμὸν διαπεραιωσάμενοι, ἀθρόως εἰς τὴν Ῥώμην εἰσήλασαν· κατὰ πᾶσάν τε ἀναχθέντες τὴν Θρᾴκην, τὴν Εὐρώπην κατεληΐσαντο. Αὐτόμολος δ' οὖν προσχωρήσας Ῥωμαίοις, κατὰ βραχὺ προϊὼν, ἐξ ἀτελοῦς στρατιώτου στρατηλάτης Ῥωμαίων οὐκ εἰς μακρὰν ἀναδείκνυται, καὶ τῆς τε ἱππικῆς καὶ πεζικῆς καθηγεῖται δυνάμεως. Τῆς τοιαύτης δὲ τιμῆς παρ' ἀξίαν τυχὼν, οὐκ ἠγάπα μένειν ἐπὶ τῆς τάξεως, ἀλλ' εἰ μὴ καὶ τὴν ἀρχὴν Ῥωμαίων ὑφ' ἑαυτὸν καταστήσεται, ἐν δεινῷ ἐποιεῖτο. Ταῦτ' ἐν νῷ θέμενος, τοὺς ὁμοφύλους Γότθους ἐκ τῶν οἰκείων νομῶν μετεστέλλετο, καὶ τοὺς ὅσοι κατὰ γένος ἦσαν αὐτῷ, συνταγματάρχας εἶχεν, ἑκατοντάρχους τε καὶ χιλιάρχους ἐποίει, καὶ τὴν στρατιὰν πᾶσαν τοῖς ἑταίροις ἐνεπιστεύετο. Τριγίβιλδον δὲ τῶν μάλιστα ἐν ἐπιτηδείοις αὐτῷ ὄντα πολυανθρώπου τάγματος ἡγεῖσθαι παρεσκευάσατο· καὶ τὴν τῆς Φρυγίας ἐνεχείριζε τούτῳ ἀρχὴν, κόμητος ἀξίαν αὐτῷ περιθέμενος· οὗ δὴ καὶ ἐν οὐ πολλῷ νεωτερίζειν ἠγγελμένου, καὶ τὰς περὶ τὴν Φρυγίαν καὶ Νακώλειαν πόλεις ἀναστατοῦντος, καὶ φόνον πολὺν ἐνεργοῦντος, προσεποιεῖτο μὲν δῆθεν ἀγανακτεῖν Γαϊνᾶς· δῆλος δ' ἔκ τινων σημείων καθίστατο, συννεωτερίζειν αὐτῷ. Ἀμέλει τοι καὶ τέχνῃ μετέρχεται τὴν κατ' ἐκείνου μάχην ἀναλαβέσθαι, οἷα δῆθεν εὔνους μάλα Ῥωμαίοις ὢν, καὶ ταῖς περὶ Φρυγίαν πόλεσιν ὡς χρεὼν ἐπαμύνειν. Ἐνεδίδου δὲ ὁ κρατῶν, πιστεύων τῷ πλάσματι. Καὶ ὁ μὲν πολύ τι ἐπαγόμενος πλῆθος ἐς μυριάδας ἠριθμημένον, τὸν κεκρυμμένον σκοπὸν εὐθὺς ἀνεκάλυπτε, καὶ τὸν τῆς τυραννίδος βασιλίσκον προῆγεν εἰς μέσον· καὶ οὐ τόσον ἀμύνων αἷς ἐπέμφθη πόλεσιν ἦν, ὅσῳ καὶ τὰς λειπομένας ἐδῄου καὶ ἀνακράτος ἠφάνιζε· ταῖς δὲ προσδόκιμος ἦν ἐπιθήσεσθαι. Ἐκεῖθεν δ' ἀπάρας, καὶ τὰ ἐν μέσῳ πάντα λείαν Μυσῶν ποιήσας, ὃ δὴ λέγεται, ἐν τῇ καταντικρὺ Βυζαντίδος Χαλκηδόνι ἐστρατοπεδεύετο, καὶ δεινὰ δρᾷν ἠπείλει· τὰ δὲ ἔπραττεν. Ἐν μεγίστῳ δὲ κινδύνῳ τῶν Ἑῴων πόλεων, καὶ μᾶλλον τῶν ἀνὰ τὴν Ἀσίαν τε καὶ τὸν Εὔξεινον

(1) Hanc non habent Socrates et Sozomenus, sed hodie quoque Turcæ eam Asiæ partem Natoliam vocant, ἀνατολὴν dicere debentes, hoc est, Orientem. Videtur itaque legendum Natoliam.

πόντον οὐσῶν, σὺν τοῖς ἀμφ' αὐτὸν ὁ βασιλεὺς ἐλογίζετο, μὴ δεῖν ἔτι μέλειν· μηδὲ γὰρ ἀσφαλὲς εἶναι οὕτως ἀπαράσκευα τὰ Ῥωμαίων εἶναι, πρὸς ἄνδρας θανατῶντας ἤδη, καὶ καθάπαξ ἀπειρηκότας τὸ ζῆν. Χρησάμενος δὲ τῷ καιρῷ, γνώμῃ μετῆλθε τὸν βάρβαρον· καὶ δὴ πέμψας πρὸς Γαϊνᾶν ἐπηγγέλλετο, πράττειν ἐν ἑτοίμῳ ἔχειν, ὅ τι ἂν ἐκεῖνος αἰτοίη, καὶ τοῦ λοιποῦ διὰ βίου εἶναι κεχαρισμένος αὐτῷ. Ὁ δὲ κατένευε, καὶ ἄλλο ᾔτει οὐδὲν ἢ Σατορνῖνον καὶ Αὐρηλιανὸν ἐξ ὑπάτων ἄνδρας, ὑπονοήσας ἐναντίους αὐτῷ καθεστάναι. Ὁ δὲ βασιλεὺς καὶ ἄκων ἐδίδου. Οἱ δ' ὑπὲρ τοῦ κοινοῦ θνήσκειν αἱρούμενοι θᾶττον ἦσαν πειθήνιοι, καὶ ἐδίδοντο. Ὁ δὲ λαβὼν ἐφείδετο. Ἀκκιζόμενος δ' ἐκεῖνος ἐπὶ τὴν Χαλκηδόνα παρῆν· οὗ δὴ καὶ ὁ βασιλεὺς γεγονὼς, καὶ ἀνὰ τὸν οἶκον Εὐ-
B
φημίας τῆς μάρτυρος εἰσιόντες, ὅπου δὴ καὶ ὁ ταύτης νεκρὸς ἔκειτο, ὅρκους τε δοὺς καὶ λαβὼν εὔνους εἶναι, τὰ ὅπλα τε κατετίθετο· ἔπειτα καὶ πρὸς τὴν Κωνσταντινούπολιν διεπεραιοῦτο, τὴν τῆς ἵππου καὶ πεζῆς δυνάμεως ἡγεμονίαν ἐκ βασιλέως αὖθις λαβών. Δόξας δὲ παρ' ἀξίαν εὐπραγεῖν, σωφρόνως φέρειν οὐχ οἷός τε ἦν τὴν τιμήν. Ἐπεὶ γὰρ καλῶς οἱ ἀποβῆναι τὸ πρῶτον παράλογον ζήτημα ἔδοξε, καὶ δεύτερον ἐπέβαλε· καὶ θόρυβον οὐκ ἐλάχιστον τῇ Ἐκκλησίᾳ ἐπεχείρει κινεῖν. Χριστιανὸς γὰρ ὢν, ἥκιστα τὸ σέβας ἀκέραιον διετήρει· τῆς γὰρ Ἀρείου λύβης ἀνάπλεως ἦν. Εἴρηται δ' ἡμῖν ὅπως τὸ γένος τοῦτο κατὰ τοὺς χρόνους Οὐάλεντος ἐπὶ Οὐλφίλα τὴν Ἀρειανικὴν παρὰ Εὐδοξίου εἰσεδέξαντο λύμην·
C
ἢ γοῦν τῇ ῥοπῇ τοῦ νεωστὶ μεγέθους φιλοτιμούμενος, ἢ ἴσως καὶ παρὰ τῶν τῆς αἱρέσεως ἡγουμένων ἀναπεισθεὶς, μίαν ᾔτει τὸν κρατοῦντα ἐκκλησίαν ἔνδον τῆς πόλεως ἔχειν τοὺς τὰ ἴσα ἐκείνῳ θρησκεύοντας ἱερεῖς· ἐπιμεμφόμενος δ' ὥσπερ, μηδὲ γὰρ προσῆκον εἶναι ἔλεγε, Ῥωμαίων στρατηγὸν ὄντα, ἔξω τειχῶν ἐκκλησιάζοντα εὔχεσθαι. Ὁ δὲ βασιλεὺς τὸ τῆς ἐκείνου γνώμης ἄστατον δεδοικὼς, καὶ τὴν προσδοκωμένην ὑφορώμενος τυραννίδα, θεραπεύειν ὑπισχνεῖτο· καὶ πέμψας τῷ θείῳ πατρὶ διεμήνυε τοῦ βαρβάρου τὴν αἴτησιν· ἀνεμίμνησκέ τε τὴν δυναστείαν, καὶ τὴν μελετωμένην ὑπηνίττετο τυραννίδα. Καὶ δῆλος ἦν, ἱκέτης γενόμενος δοῦναι, ὡς ἂν τῇ δόσει χαλινώσῃ τὸν τοῦ βαρβάρου θυμόν. Ὁ δὲ θεῖος ἐκεῖνος ἀνὴρ τῷ λεγομένῳ ἥκιστα πέρας ἐδίδου, ἀλλ' οὐδ' ἐφησύχαζε τῷ καιρῷ· ἀλλὰ τοὺς
D
ἐπισκόπους λαβὼν ὅσοι τηνικάδε τῇ Κωνσταντίνου παρῆσαν, πρὸς τὰ βασίλεια ᾤχετο. Καὶ πρῶτα μὲν δι' ἑαυτοῦ βασιλεῖ γενναίως τὸν ἀπόλογον ἐποιεῖτο, « Μὴ δὴ οὕτω, λέγων, βασιλεῦ, ὑπισχνοῦ, μηδ' αἱροῦ ῥίπτειν οὕτω τὰ ἅγια τοῖς κυσίν. Οὐδὲ γὰρ ἀνέξομαι τοὺς μὲν ὀρθῶς τὸ θεῖον θεολογοῦντας ἐλαύνειν, τοῖς δὲ κατ' ἐκείνου βλάσφημον κινοῦσι γλῶτταν τὸ θεῖον τέμενος ἐκδιδόναι. Μηδὲ τὸν βάρβαρον ἐκεῖνον δείσῃς· ἀλλ' ἄμφω καλέσας, σὺ μὲν ἡσυχῇ τῶν λόγων ἐπάκουε· ἐγὼ δὲ χαλινὸν ἐπιθήσω τῇ γλώττῃ, καὶ πείσω ἥκιστα αἰτεῖν, ἃ μὴ συμφέρει διδόναι. » Ἡσθεὶς δὲ τοῖς εἰρημένοις ὁ βασιλεὺς, καὶ ἄμφω τῇ ὑστεραίᾳ μετεστέλλετο. Ἀλλ' ὁ μὲν Γαϊνᾶς πέρας ᾔτει τοῖς ἐπηγγελμένοις· ὁ δὲ τὴν γλῶτταν χρυ-

A
est. Et cum gravissima quæque se facturum est minatus, tum verba quoque ad rem ipsam contulit. Cum vero ita urbes Orientales, maxime autem quæ in Asia et ad Pontum Euxinum sunt, in summo versarentur discrimine: imperator una cum eis qui secum erant amicis, non diutius cunctandum esse censuit. Quod non tutum esset rempublicam Romanam ita a rebus omnibus imparatam esse contra viros qui in mortem ruerent et de vita semel desperassent. Tempori autem inserviens, arte et consilio barbarum est aggressus. Et missis ad Gainam legatis, paratum se esse, quæ ille peteret, facere renuntiavit: tum autem, per vitam omnem postea gratum eum sibi fore recepit. Accepit is conditionem, neque aliud petiit quidquam quam
B
ut ei Saturninus et Aurelianus, exconsules, quos adversari sibi suspicabatur, dederentur. Imperator vel invitus ei hoc tribuit. Atque illi pro republica mortem obire parati, se imperatoris potestati permisere. Itaque Gainæ dediti sunt: quibus ille receptis pepercit; et sedulo quod maxime cupiebat dissimulans, Chalcedonem advenit, ubi etiam imperator fuit. Atque ibi divæ Euphemiæ martyris templum, in quo cadaver illius conditum est, ingressi, accepta ipse et data per jurisjurandi religionem fide, benevolum se et officiosum fore, arma deposuit: et deinde Constantinopolim transmisit, ubi rursum equitum et peditum curam et administrationem ab imperatore suscepit. Ast ubi præter di-
C
gnitatem suam secundas sibi esse res vidit, honorem rursus cum moderate ferre non potuit. Et postquam primus ei præter rationem susceptus conatus ex sententia successit, alium quoque tentandum sibi esse statuit, et tumultum non minimum Ecclesiæ concitare aggressus est. Christianus ille quidem fuit, sed religionem sinceram non servavit: Arii enim peste infectus erat. Diximus **356** autem antea, quo modo gens ea Valentis temporibus sub Ulphila ab Eudoxio Arianam receperit contagionem. Itaque sive recentis facinoris magnitudine elatus, seu forte ab antesignanis hæresis persuasus, sacram unam ædem intra urbem consentientibus sibi in religione sacerdotibus ab imperatore postulavit. Idque veluti exprobrans fecit, minime conve-
D
nire dicens, ut ipse Romanæ militiæ dux, in ecclesia extra urbis mœnia oret. Imperator inconstantiam animi ejus metuens, tyrannidemque quæ ab eo exspectabatur, suspectam habens, deliberaturum se, eique consulturum esse recepit. Et patre divino accito, petitionem barbari indicavit, potentiamque ejusdem in memoriam illi revocavit, et meditatam expetitamque tyrannidem insinuavit: manifeste denique visus est, se illi quasi supplicem, quod peteret daturum esse, significare, ut ejusmodi concessione barbari furorem frenaret. Divinus autem ille vir non passus est verba ea ad exitum pervenire, neque tempori cessit: sed episcopis qui tum Constantinopoli aderant, secum ductis, regiam imperatoris ingressus est. Et per seipsum primum magno

γινομένης οἱ τὸν πλοῦτον προτιθέντες δημοσίᾳ πρόχειρον ἐφυλάξαντο, βαρβάρων στῖφος πολὺ νυκτὸς ἐπιπέμψας, τὰ βασίλεια ἐκέλευεν ἐμπιπρᾷν. Οἱ δὲ τοσοῦτον οὐδὲν ἤνυσαν, ὥστε καὶ ἐν δέει μεγάλῳ γενόμενοι καθυπέστρεφον. Παρεδείκνυ γὰρ τηνικαῦτα Θεὸς, ὅπως προνοίας εἶχε περὶ τὴν πόλιν· οὐρανία γάρ τις δύναμις προφανεῖσα τοῖς ἐπιβούλοις ἐν μεγάλοις τοῖς σώμασι κατέπληξε. Καὶ ἀνεχώρουν ἐκεῖθεν, καὶ θᾶττον κατεπτηχότες, ἤγγελλον Γαϊνᾷ νύκτωρ νέηλυν ἐπιέναι τῇ πόλει στρατόν. Ὁ δ' ἥκιστα τοῖς εἰρημένοις ἠξίου πιστεύειν, μή τινας τῶν εἰωθότων ἐνδημῆσαι τῇ πόλει στρατιώτας εἰδώς. Ἔτι δὲ τῇ ἐχομένῃ νυκτὶ καὶ ἄλλους ἀπέστελλεν. Ὡς δὲ καὶ οὗτοι τὰ ἴσα τοῖς προτέροις διήγγελλον, αὐτὸς ἥκων αὐτόπτης ἐγένετο τοῦ παραδόξου θεάματος. Καὶ δὴ νομίσας ἐκείνου χάριν τοὺς τοιούτους ἐλθεῖν στρατιώτας, καὶ κρύπτεσθαι μὲν ἡμέρας νύκτωρ δὲ τὴν πόλιν φρουρεῖν καὶ αὐτὰ τὰ βασίλεια, ἐν σκήψει τοῦ δαιμονᾷν ἐγίνετο· καὶ οἷα δῆτα εὐξόμενος, τὸν νεὼν κατελάμβανεν, ὃν ὁ τοῦ βασιλέως πατὴρ, Ἰωάννην τὸν Βαπτιστὴν τιμῶν, ἀνίστα κατὰ τὸ Ἕβδομον. Συνεξῄει δὲ αὐτῷ καὶ πολύ τι τῶν βαρβάρων πλῆθος· λάθρα δὲ καὶ ὅπλα ἐξῆγον, καὶ κεράμους βελῶν ἐν γυναικείοις ὀχήμασι, καὶ ἄλλαις χρώμενοι μηχαναῖς. Τὸ δὲ βούλευμα τοῦτο ἐπὶ βλάβῃ δῆθεν Ῥωμαίων ἐποίει. Τὸ δ' ἐλυσιτέλει μᾶλλον, ὡς ἡ ἔκβασις ἔδειξεν. Ἐπεὶ γὰρ πρὸς τῶν φρουρούντων τὰς πύλας πεφώρανται ὅπλα ἐξάγοντες, καὶ ἐπείχοντο τὴν τούτων ἐκκομιδὴν, ἐκεῖνοι τὰ ξίφη σπασάμενοι, τοὺς φρουροὺς διεχρήσαντο. Δεινοῦ δ' ὡς εἰκὸς θορύβου τὴν πόλιν καταλαβόντος, ὡς ἁλωσομένης αὐτίκα τῆς πόλεως, ὅμως γνώμη ἀγαθὴ ἐκράτει τοῖς παροῦσι δεινοῖς. Ἡ μὲν γὰρ πόλις ἀθρόον ἐν τῷ ἀσφαλεῖ ἐγεγόνει, τῶν πυλῶν κατὰ χώραν γεγενημένων· χρηστῇ δὲ γνώμῃ χρησάμενος βασιλεὺς, προφανῆ τε πολέμιον εἶναι τὸν Γαϊνᾶν διαγνοὺς, ἐκέλευε τοὺς ὑπολειφθέντας τῶν βαρβάρων ἔνδον τειχῶν ἀναιρεῖν. Καὶ δῆτ' ἀνδρείως ἡ στρατιὰ ἐπιθέμενοι, τοὺς πλείστους ἀνῄρουν περὶ τὴν ἐκκλησίαν τῶν Γότθων· ἐκεῖ γὰρ ἠθροίσθησαν ὡς εἰς καταφύγετον, τῶν πυλῶν ἐν τῷ ἀσφαλεῖ γενομένων μὴ δυνηθέντες διαφυγεῖν. Καὶ δὴ τὴν μὲν ἐκκλησίαν σφῶν πῦρ ἐνιέντες κατέπρησαν· πάντας δ' ἐκείνους ἀφειδῶς ἔκτειναν. Ὁ δὴ μαθὼν Γαϊνᾶς, τὸν ἑκούσιον ἀποθέμενος δαίμονα, καὶ μὴ τοῦ λοιποῦ προχωρεῖν τὰς ἀπάτας αὐτῷ, ἄρας ἐκεῖθεν, καὶ διὰ Θρᾴκης ἐλάσας, ἧκεν εἰς τὴν Χεῤῥόνησον, ἐκεῖθεν εἰς ἕω περαιωθῆναι διανοούμενος. Ὤετο γὰρ ὡς εἰ τὰς ἐν Ἀσίᾳ πόλεις χειρώσαιτο, ῥᾳδίως αὐτῷ καὶ τὰ περικύκλῳ ἔθνη ὑποχείρια γένοιτο. Καὶ ὁ μὲν ἐν τούτοις ἦν· ὁ δὲ βασιλεὺς πρέσβεις πέμπειν ᾑρεῖτο· οὐδεὶς δ' ἐτόλμα τὴν πρεσβείαν· τὸ γὰρ τῆς ἐκείνου γνώμης ὠμὸν ὑπείδοντο ἕκαστος. Λιπόντες δὲ τοὺς ἄλλους, ἐπὶ τὸν μέγιστον ἔβλεπον ἀριστέα. Ὁ δὲ μὴ τὴν γεγενημένην δείσας διαφορὰν πρὸ μικροῦ, πρέσβις αὐτίκα ἐπὶ Θρᾴκης τῷ βαρβάρῳ ἐχώρει. Γαϊνᾶς δὲ τὸν πρέσβιν ὅστις εἴη διεγνωκὼς, καὶ τὴν ὑπὲρ τῆς εὐσεβείας παῤῥησίαν γεγενημένην αὐτῷ ἐν νῷ θέμενος· αἰδεσθεὶς δὲ εἴπερ τι μάλα τὴν τοῦ

A sitas impetum facere constituit, maxima illa spe concepta, ingentes se pecuniarum acervos ibi corrasurum esse. **360** Sed enim ubi ejus rei fama vulgari cœpit, et argentarii, quod antea fecerant, pecunias suas et opes publice in mensis non proposuere, ingentem Barbarorum vim noctu ad imperiales ædes, ut eas incenderent, misit. Illi vero tantum abest ut aliquid egerint, ut cum ingenti etiam metu inde retro cesserint. Deus namque tum ostendit, quanta illi providentia et cura urbis fuerit. Cœlestis enim quædam vis ingentibus corporibus, insidiatoribus illis apparens, ita eos exterruit, ut terga verterent, et celeriter trepidi Gainæ significarent, novum ea nocte in urbem exercitum venisse. Ille autem fidem eorum dictis B non habuit, quod non alios quam qui soliti fuerant in urbe milites esse sciret. Quapropter proxima etiam nocte alios eo misit. Ut vero et illi eadem quæ priores annuntiarunt, ipse eo venit, et spectator oculis suis miraculi ejus fuit. Verum sua gratia milites eos ibi adesse arbitratus, qui interdiu quidem se occultarent, noctu autem vigiliis urbem et aulam imperatoriam custodirent, a dæmone se agitari assimulavit, et velut orationi vacaturus templum adiit, quod imperatoris pater in Joannis Baptistæ honorem in Septimo construxit. Exiit autem cum eo magna Barbarorum multitudo, quæ clam secum arma et vasa fictilia telis completa, in muliebribus pilentis, et præterea aliis etiam quas C machinati fuerant artibus, efferebat. Et consilium hoc ille in Romanorum scilicet detrimentum cepit. Cæterum id potius imperio eorum bono fuit, ut rei exitus declaravit. Cum namque a portarum custodibus arma efferre deprehensi essent, atque ea in re inhiberentur, gladiis illi strictis excubitores interemerunt. Atque ubi, quemadmodum fieri solet, gravis tumultus urbem, perinde atque ea illico capi deberet, occupavit, consilium tamen bonum præsentia mala explicuit atque superavit. Nam civitas portis clausis atque obfirmatis, in tutum redacta est statum. Et imperator optimum secutus consilium, publicitus Gainam hostem judicavit, et qui reliqui in urbe erant Barbaros intra muros occidi jussit. Quapropter milites magnis animis D illos aggressi, plurimos apud eam quæ dicitur Gotthorum ecclesiam necarunt. Eo namque tanquam ad asylum et perfugium confluxerant, cum portis clausis profugere nequirent. **361** Ita ecclesiam eorum igne injecto cremarunt, et Barbaros omnes discrimine nullo conciderunt. Quod ubi Gainas rescivit, dæmone quem voluntate sua sibi sumpserat, dimisso, quod sibi fraudulentas insidias suas deinde minus procedere cerneret, inde profectus, per Thraciam in Chersonesum pervenit, trajicere ex eo loco in Orientem cogitans. Existimabat namque, si in Asia urbes cepisset, facile quoque se finitimas in circuitu gentes sibi subjecturum esse. Atque ille quidem hæc sic moliebatur. Imperator autem oratores rursum sibi ad

eum mittendos duxit : sed nemo legationem eam suscipere audebat. Omnes enim pro se quisque feritatem animi ejus suspectam habebant, adeo ut neque bello cum eo congredi quisquam vellet, neque legatione apud eum tuto se fungi posse putaret. Omnibus vero aliis relictis, in maximum illum heroem respiciebant. Ille porro nihil veritus, quod sibi non ita pridem cum eo intercesserat dissidium, orator statim in Thraciam ad Barbarum est profectus. Verum enimvero Gainas postquam legatum ad se venientem, quisnam esset, intellexit, et libertatem dicendi, qua usus apud se pro veriore pietate fuerat, in mentem revocavit, nihilominus si quid aliud, et virtutem viri ejus reveritus, quamvis et barbarus et hostis esset, longius ei honoris causa progressus est obviam, et dextram ejus oculis admovit, et osculatus est, liberosque suos adductos sacris illius genibus adhibuit. Et tum quidem ille arma deposuit, et legationi ei morem gessit. Usque adeo virtus etiam acri hosti pudorem et terrorem incutere consuevit. Brevi autem post, cum aliud quiddam accidisset, ad ingenium suum Gainas rediit. Et ubi Hellespontum trajicere, Lampsacumque occupare contendit, spes eum fefellit, cum Romani divini Numinis auxilium per imperatoris consilia rursum sibi adfuisse senserunt. Postquam enim Barbari navium copia destituti, ratibus compactis Hellespontum trajicere, et in ulteriorem continentem evadere voluerunt, imperator terra marique contra eos duxit, multis militaribus triremibus subsequentibus. In hoc rerum statu vehementior derepente zephyrus afflans, rates vi magna dissolvit, atque in eas Romanorum naves impulit. Barbari ratibus disjectis, plures cum ipsis equis in alto demersi sunt : nonnulli fluctibus rapti atque circumacti, hinc et inde in littore ejecti, multi etiam ab invadentibus eos militibus jugulati sunt. **362** Plurimi sane ex hostibus in transitu periere. Gainas autem cum paucis incolumis Thraciam pererrans, et fugam sæpe mutans, in alias Romanorum incidit copias, atque ibi cum fugæ comitibus barbaris cæsus est. Cujus caput exsiccatum, Constantinopolim est delatum. In bello hoc, Flavita, Gotthicæ gentis vir, Romanis autem maxime fidus, et scientia militari præstantissimus, quod optime se et splendidissime gessisset, consul est renuntiatus. Quo tempore etiam imperatori filius prognatus est, modis omnibus bonus, Deoque charus Theodosius, avo, sicuti diximus, cognominis : sequenti autem consulatu etiam Augustus est renuntiatus. Idem quod Gainas, Trigibildus, quem supra nominavimus, Gotthus passus est. Postquam enim is victoriam Gainæ, per collusionem scilicet, prodidit, atque ex pugna profugit, Pisidiam et Pamphyliam percurrens afflixit. Postea plurimis pugnis, et locorum in Isauria incommoditatibus, viribus ejus accisis, vix et ipse in Hellespontum salvus evasit. Atque ubi inde in Thraciam trajecit, non multo

A ἀνδρὸς ἀρετὴν, κἂν καὶ βάρβαρός τις ἦν καὶ πολέμιος, πόῤῥωθέν τε ὑπήντετο· καὶ τὴν ἐκείνου δεξιὰν τοῖς ὀφθαλμοῖς παρετίθει καὶ κατησπάζετο· καὶ τοὺς παῖδας προσάγων, τοῖς ἱεροῖς ἐκείνου γόνασι προσεκόμιζε· καὶ τότε μὲν τὰ ὅπλα κατετίθετο, καὶ πειθήνιος ἦν. Οὕτω πέφυκεν ἀρετὴ καὶ τὸν σφόδρα γε δυσμενῆ αἰδοῦς τε καὶ καταπλήξεως ἐμπιπλᾷν. Ἐν οὐ πολλῷ δ' ἑτέρων ἐπιγενομένων, ἐν τοῖς ἴσοις ἦν Γαϊνᾶς· καὶ ἐπεὶ ἐπέβαλε τὸν Ἑλλήσποντον διαπεραιοῦσθαι, καὶ ἐπὶ Λάμψακον διαβαίνειν, τῆς ἐλπίδος ἐψεύσθη, θείας αὖθις ῥοπῆς ταῖς τοῦ βασιλέως ἐπινοίαις τῶν Ῥωμαίων χρησαμένων. Ὡς γὰρ οἱ βάρβαροι νεῶν ἐν ἀπορίᾳ καθεστηκότες, σχεδίας συμπηγνύντες, τὸν Ἑλλήσποντον διεκπλεῖν ἐπειρῶντο εἰς τὴν καταντικρὺ ἤπειρον, ὁ βασιλεὺς διὰ B γῆς τε καὶ θαλάττης τούτοις ἐπῄει πολλῶν στρατηγικῶν τριήρεων καταθεουσῶν. Ἐν τούτοις δὲ τῶν πραγμάτων ὄντων, ἐξάπινα ζέφυρός τις ἐπιπνεύσας σφοδρὸς, τὰς σχεδίας διέλυε βίᾳ, καὶ κατ' ἐκείνων τὰς Ῥωμαίων ἤλαυνε ναῦς. Καὶ οἱ μὲν βάρβαροι, διαλυθεισῶν τῶν σχεδιῶν, σὺν αὐτοῖς ἵπποις οἱ πλείους, οἱ μὲν ὑποβρύχιοι τῷ βυθῷ, οἱ δὲ τῷ κλύδωνι περιαγόμενοι, ἀναῤῥιπτούμενοι ἀνὰ τὰς ἀκτὰς ἐξελικμῶντο. Πολλοὶ δὲ ὑπὸ τῶν στρατιωτῶν ἐπιόντων αὐτοῖς ἀνῃροῦντο. Τὸ μὲν οὖν πλεῖστον τῶν βαρβάρων τῷ διέκπλῳ διέφθαρτο· Γαϊνᾶς δὲ σὺν ὀλίγοις ἀνὰ τὴν Θρᾴκην περισωθεὶς, ἀλώμενός τ' ἐκεῖσε καὶ φυγαῖς χρώμενος, ἑτέρᾳ Ῥωμαϊκῇ ἐνέπιπτε στρατιᾷ, καὶ σὺν τοῖς ἀμφ' αὐτὸν βαρβάροις ἀπώλετο. Οὗ ἡ κεφαλὴ ταριχευθεῖσα εἰς τὴν Κωνσταντίνου ἀνεκομίζετο. C Ἐν δὴ τῷ πολέμῳ τούτῳ Φλαβίτας ἀνὴρ Γότθος μὲν τὸ γένος, εὔνους δὲ μάλα Ῥωμαίοις, καὶ τὰ πολέμια κράτιστος, λαμπρός τις φανεὶς καὶ ἄριστος, ὕπατος ἀνηγόρευται· ὁπηνίκα τῷ βασιλεῖ παῖς ἐτίκτετο, ὁ καλὸς τὰ πάντα καὶ θεοφιλὴς Θεοδόσιος, τῷ πάππῳ ὁμώνυμος. Τῇ δ' ἑξῆς ὑπατείᾳ καὶ σεβαστὸς ἀνηγόρευτο. Ἐπίσης δὲ Γαϊνᾷ καὶ ὁ ῥηθεὶς Τριγίβιλδος Γότθος πέπονθεν. Ὡς γὰρ ἐκείνῳ τὴν νίκην προδέδωκε Γαϊνᾶς, δῆθεν ἐκεῖνον φεύγων, τὴν Πισιδίαν καὶ Παμφυλίαν καταλαβὼν ἐλυμαίνετο. Ἔπειτα καὶ αὐτὸς πλείσταις μάχαις καὶ δυσχωρίαις Ἰσαυρικαῖς περιθραυσθεὶς τὴν ἰσχὺν, μόλις ἐπὶ τὸν Ἑλλήσποντον διασώζεται. Περαιωθεὶς δ' ἐπὶ Θρᾴκην, ἐν οὐ πολλῷ καὶ αὐτὸς D διαφθείρεται. Ἀλλὰ τὰ μὲν περὶ τῶν Γαϊνᾶ τολμημάτων, καὶ οἵῳ τέλει ἐχρήσατο, ἐν ἐπιδρομῇ ἀποχρώντως, οἶμαι, εἰρήκαμεν· εἰ δέ τῳ φίλον ἀκριβῶς καὶ κατὰ λεπτὸν διειδέναι τὰ τῷ πολέμῳ τούτῳ γεγενημένα, τῇ *Γαϊανείᾳ* δέλτῳ ἐντυγχάνειν τοῦτον κελεύομεν, ἣν ὁ σχολαστικὸς συνέταξεν Εὐσέβιος, ὁ παρὰ Τρωΐλῳ φοιτήσας τῷ σοφιστῇ· ὃς τοῖς πράγμασι παρὼν, καὶ αὐτόπτης τοῦ πολέμου γενόμενος, τέτρασι βιβλίοις ἐν ἡρώῳ μέτρῳ λαμπρῶς ἐπεξῆλθε. Νεαρῶν δὲ τῶν πραγμάτων ὄντων, σφόδρα ἐπὶ τῇ συγγραφῇ ἐθαυμάσθη. Καὶ Ἀμμώνιος δ' ἕτερος ποιητὴς, τὰ αὐτὰ ῥαψῳδήσας, εὐδόκιμος διεκρίθη ἐπὶ τῆς παρούσης ἡγεμονίας. Τοσαῦτα καὶ περὶ τούτων.

post interiit. Sed enim de audacibus Gainæ conatibus, interituque ejus, hæc cursim dicta, ut opinor, sufficiunt. Si quis autem accuratius pleniusque res eo bello gestas cognoscere velit, eum Gaineum librum legere jubemus, quem Eusebius scholasticus composuit, Troili sophistæ sectator. Qui cum rebus gerendis spectator ipse belli interfuisset, in quatuor libellis heroico versu id luculenter exposuit : quod scriptum, propter rei novitatem, in magna admiratione fuit. Sed et Ammonius poeta alter, qui idem bellum carminibus composuit, præclarus proximo imperio, sedecimo junioris Theodosii consulatu, quem cum Fausto gessit (tum enim poema id publicavit), habitus est. De his hactenus.

ΚΕΦΑΛ. Ζ'.

A

Ὡς Ἰωάννης τὸν λαὸν ταῖς διδασκαλίαις ἐκράτει· καὶ περὶ τοῦ γεγονότος θαύματος τῷ ἱερῷ καὶ τιμίῳ δώρῳ ἐν μιᾷ γυναικὶ, καὶ τὰ Μακεδονίου φρονούσῃ.

Ἰωάννης δὲ ὁ θεῖος, ὡς χρεὼν, τὴν ἐπιτροπὴν τῆς Ἐκκλησίας ἰθύνων, πολλοὺς μὲν ἐξ Ἑλλήνων, πολλοὺς δ' ἐξ αἱρέσεων ταῖς διδασκαλίαις ὑπῆγεν. Οὐκ ὀλίγους δὲ καὶ τῶν παθῶν ὡς πορρωτέρω ἐποίει τῇ συνεχεῖ τῶν λόγων ἀρδείᾳ. Ἄπειρα δὲ στίφη καθεκάστην συνέῤῥει, οἱ μὲν ἐπ' ὠφελείᾳ τῶν λόγων διακουσόμενοι, οἱ δὲ καὶ πεῖραν ληψόμενοι. Ἅπαντάς τε ἀθρόον ᾕρει, καὶ ἐπίσης δοξάζειν αὐτῷ περὶ τὸ θεῖον ἔπειθεν. Ἐπὶ τόσον δὲ τὰ πλήθη πρὸς αὐτὸν κεχηνότα ἦσαν, ἀκορέστως τῶν λόγων ἔχοντες, ὥστε καὶ κινδυνεύειν προσῆν ἐκείνοις, ὠστιζομένοις B καὶ περιθλιβομένοις ἀλλήλων, τῷ πλησίον ἕκαστον ἐθέλειν καὶ ἐγγὺς ἰέναι βιάζεσθαι, ὡς ἂν ἀκριβέστερον ἐκείνου λέγοντος ἀκροῷτο. Διά τοι τοῦτο κἀκεῖνος κοινὸν πᾶσιν ἑαυτὸν παρέχων, ἐπὶ τοῦ τῶν ἀναγνωστῶν βήματος μέσος καθήμενος, ἄφθονον, οἷα δὴ κοινὴν χάριν, τὴν διδασκαλίαν παρεῖχεν. Ἡ δὲ πληθὺς τῷ ἡδεῖ τῶν λόγων κατακηλούμενοι, προὐλάμβανον ἕκαστος, νυκτὸς καὶ ἡμέρας, ὡς εἰπεῖν, τῷ νεῷ παρεδρεύοντες. Οὐκ ἄκαιρον δέ μοι δοκεῖ καὶ ὃ ἐπ' αὐτοῦ παράδοξον ἐγεγόνει, νῦν διηγήσασθαι. Ἀνήρ τις τὰ Μακεδονίου νοσῶν γυναικὶ ἐπίσης φρονούσῃ συνῴκει. Καὶ δή ποτε ὥς γε χρὴ δοξάζειν περὶ Θεοῦ τῷ μεγάλῳ περιτυχὼν διαλεγομένῳ, εὐθὺς τὴν δόξαν ἀφεὶς μετεβάλλετο, καὶ ἐπῄνει τὰ εἰρημένα. Ἐπίσης δὲ μεταθεῖναι καὶ τὴν C γυναῖκα τὴν δόξαν ἠνάγκαζεν. Ἐπεὶ δ' ἐξεχομένη τῆς συνηθείας καὶ ταῖς τῶν γνωρίμων γυναικῶν ὁμιλίαις, ἥκιστα τὸν λόγον προσίετο· ὡς πολλάκις πεῖραν προσάγων οὐδαμῶς ἔπειθε, τέλος ἔλεγεν, ὡς *Εἰ μὴ τῶν θείων καὶ τῆς δόξης ἐμοὶ κοινωνήσεις, οὐκ ἄν σοι καὶ τοῦ συνοικεῖν ἐμοὶ γένοιτο.* Ἡ δὲ γυνὴ σχηματισαμένη κατάνευσιν, τῶν θεραπαινίδων μιᾷ ἐκοινοῦτο ὃ δρᾷν ἔμελλε, παραπείθειν εἰς ἐξαπάτην τὸν ἄνδρα. Καὶ παρὰ τὸν τῆς μυσταγωγίας καιρὸν προσιοῦσα, ἐδέχετο μὲν τὸ δῶρον ὥσπερ ἦν ἔθος· καὶ δῆτ' ἀσφαλῶς ἔχουσα, οἷα δῆθεν εὐχομένη κατέκρυπτεν· ἡ γε μὴν θεράπαινα παρεστῶσα, λαθραίως ὃν οἴκοθεν ἄρτον κοινὸν ἐπεφέρετο, ἀντεδίδου· ὃν δὴ καὶ προσφέρουσα, εἰς λίθου μεταπή- D γνυσθαι φύσιν ἐκεῖνον ἐμάνθανε, τοῖς ὀδοῦσι δῆθεν πειρωμένη λεαίνειν. Καὶ τῷ δέει ἡ γυνὴ συσταλεῖσα, δείσασά τε μή τι πάθῃ θεόθεν ἐπὶ τῷ παραδόξως συμβάντι, οἷ τάχους εἶχε, τῷ μεγάλῳ προσεφοίτα Πατρί· τό τε πραχθὲν ἤγγελλε, τόν τε λίθον ἐπεδείκνυ, ἐπ' ἀκριβὲς τὴν εἰκόνα τοῦ δήγματος φέ-

363 CAPUT VII.

Ut Joannes doctrina sua populum quo vellet, duxerit : et ut miraculo, non sine Dei numine, intercedente, Joannes mulierem quamdam sectæ Macedonianæ ad frugem reduxerit.

Divus Joannes, pro eo atque par est, Ecclesiam gubernans, multos ex Græcæ superstitionis sectatoribus, multos etiam ex hæresibus, doctrina sua pellexit. Multos insuper quam longissime a vitiosis affectibus et perpessionibus assidua verborum rigatione abduxit. Infinita quoque quotidie multitudo ad eum confluxit, partim eum auditura, et utilitatem aliquam ex sermone ejus perceptura : partim hominem visura, periculumque de eo factura. Omnes autem ille simul cepit, et idem secum de Deo sentire persuasit. In tantum vero plebs doctrinæ ejus, qua satiari non poterat, inhiabat, ut periculum etiam sibi homines crearent, dum inter se conserta turba premerentur, cubitis alii alios submoventes atque repellentes, quod pro se quisque ad eum quam proxime accedere conaretur, quo certius clariusque illum dicentem audire posset. Quam ob causam ille quoque communem se omnibus præbuit : et in lectorum suggestu, in media turba considens, uberem doctrinam, quasi communem quamdam gratiam omnibus impertiit. Et ex multitudine quisque suavitate orationis ejus delibutus, anticipare locum properabat, die nocteque, ut ita dicam, in templo eum præstolans. Non intempestivum vero videtur, insigne quod sub eo accidit, miraculum hoc loco commemorare. Vir quidam Macedonii morbo laborans, uxorem eadem contagione infectam habebat. Hic cum aliquando in magnum illum virum incidisset, quomodo de Deo sentiendum sit, disserentem, statim priore opinione relicta mutatus, dicta illius laudavit : conjugemque ut itidem et ipsa sententiam suam mutaret, cogere instituit. Ubi vero illa ex consuetudine et colloquiis quotidianis familiarium mulierculaum pendens, admonitionem ejus non suscepit, et maritus re sæpius tentata, nihil effecit, postremo ei denuntiavit, nisi communem atque eamdem secum de Deo obtineret opinionem, minime, se eam secum habitare passurum esse. Mulier postquam id per simulationem annuit, ex ancillis quam fidam sibi esse credebat, uni, quid factura esset, credidit, ut per fraudem virum falleret. Et sacrorum mysteriorum tempore, 364 accedens illa, donum, sicuti mos erat (qui sacris instituti sunt, quid dicam, intelligunt), accepit : atque id retinens, perinde atque orationi vaca-

tura, se inclinata submisit, mysteriumque sacrosanctum occuluit : et quæ ei assistebat ancilla, pro eo panem communem domo allatum obtulit, quem illa ori admovens, in lapidis naturam induratum esse, dum dentibus atterere conatur, sensit (1). Itaque timore percita, ne quid gravius per Dei vindictam pateretur, propter miraculum, quod præter opinionem acciderat, nulla interposita mora, ad magnum illum accedit Patrem, rem actam ei exponit, et lapidem ostendit, certo et aperte morsus indicium exhibentem, qui jam materiam ignotam, novumque et alienum colorem obtineret. Et venia delicti petita, deinceps in eadem cum marito opinione perduravit. Lapis iste ad fidem miraculi ejus faciendam longo tempore inter ecclesiæ donaria asservatus, spectatoribus miraculo fuit.

ροντα, ἀγνῶτα μὲν τὴν ὕλην, ξενίζον δὲ καὶ τὸ χρῶμα ὥσπερ προβεβλημένον. Αἰτήσασα δὲ συγγνώμην, τοῦ λοιποῦ διαγέγονε τὰ ἴσα τῷ ἀνδρὶ φρονοῦσα. Ὁ δὲ λίθος εἰς πίστιν τοῦ θαύματος τοῖς ἱεροῖς κειμηλίοις τῆς Ἐκκλησίας ἐς πολύ τι χρόνου διατηρούμενος ἦν, θαῦμα τοῖς ὁρῶσι γενόμενος.

CAPUT VIII.

De frequentibus in divinis templis populi conventibus, et de psalmodiis hymnisque alternis decantatis; qua ex causa et quomodo morem eum psallendi primum Ecclesia Dei acceperit.

ΚΕΦΑΛ. Η'.

Περὶ τῆς εἰς τοὺς θείους νεὼς συνεχοῦς σχολῆς τῶν λαῶν· καὶ περὶ τῶν ἀντιφώνων ὕμνων καὶ ψαλμῳδιῶν, ὅθεν καὶ ὅπως ταῦτα τὸ ἐξ ἀρχῆς ἡ τοῦ Θεοῦ Ἐκκλησία παρέλαβεν.

Porro populus Constantinopolitanus nocturnis matutinisque hymnis maxima alacritate incubuit, ex ejusmodi primum causa. Ariani sub Theodosio sacris ædibus expulsi, extra urbis mœnia ecclesias conventusque suos agebant. Prius autem nocturno tempore in publicis porticibus congregati, atque in choros suos segregati, carmina quædam alternis antiphonorum modo sibi invicem respondentia, ad hæresis suæ placita accommodata, concinne canebant, et noctem multam in ejusmodi psalmodia consumebant. Sub auroram autem publice eadem concinentes, extra urbem in ea ubi ecclesias habebant loca procedebant. Faciebant id maxime solemnioribus festorum dierum temporibus, et prima eademque ultima hebdomadis die, quam Dominicam vocamus : quibus temporibus etiam synaxes in ecclesiis fieri solent. Postea vero cantus tales ad contentionem quoque instituebant (2) : « Ubinam sunt (dicentes) qui Trinitatem ejusdem substantiæ et ejusdem honoris colunt? » Hæc et alia præterea ejuscemodi verba carminibus aspergebant. **365** Sed enim Joannes, ne aliqui ex ecclesia sua ejus generis cantibus demulsi, ab illis seducerentur, ad eumdem modum contra illos psalmodiam suam instituit. Et brevi ea celebrior, quam adversariorum esset, facta est : ut quæ et multitudine et honorifico progressu illos superaret. Nam eam cruces argenteæ cereos incensos habentes præibant, Eudoxia imperatoris conjuge impensas ad eam rem præbente, quæ hoc Brisoni cubiculi sui præfecto injunxit, ut hymnorum cantus procuraret, et ad eum usum quam plurimum lucernarum pararet. Qua re Ariani ad æmulationis ardorem perciti, ad vindictam se contulere, et manus cum nostris conserere sunt aggressi. Adhuc enim ex ea quam ante habuerant potentia et dominatione, animis flagrabant, et ad pugnam committendam parati erant, nostrosque adeo despiciebant. Itaque nocte quadam inter se congressi, non pauci utrinque ceci-

Διά τοι τοῦτο προθυμότερον ὁ τῆς Κωνσταντίνου λεὼς τοῖς τε ἑωθινοῖς καὶ νυκτερινοῖς ὕμνοις μάλιστ' ἐχρῶντο ἐξ αἰτίας τοιᾶσδε γεγενημένης τὸ ἐξ ἀρχῆς. Οἱ Ἀρειανοὶ ἐπὶ Θεοδοσίου τῶν εὐκτηρίων εἴκων ἀπελαθέντες, πρὸ τῶν τειχῶν ἐκκλησιάζοντες ἦσαν. Πρότερον δὲ νύκτωρ ταῖς δημοσίαις στοαῖς ἀθροιζόμενοι, καὶ εἰς συστήματα διακρινόμενοι, ᾠδάς τινας τρόπον ἀντιφώνων ποιοῦντες, πρὸς τὸ ἐκείνοις δοκοῦν τῆς αἱρέσεως ἐμμελῶς ᾖδον· καὶ τὸ πλεῖστον δὴ τῆς νυκτὸς ἐπὶ τούτοις ἀνήλισκον. Ὑπὸ δ' ἕω δημοσίᾳ καὶ ταῦτα ψάλλοντες, ἔξω πυλῶν εἰς τοὺς τόπους ἔνθα καὶ ἐκκλησίαζον, ἐπορεύοντο. Ταῦτα δὲ μάλιστ' ἐποίουν ἔν τε ταῖς ἐπισήμοις τῶν ἑορτῶν, καὶ τῇ πρώτῃ καὶ τελευταίᾳ τῆς ἑβδομάδος ἡμέρας, ἣν Κυριακὴν ὀνομάζομεν· ἐν αἷς καὶ αἱ συνάξεις κατὰ τὰς ἐκκλησίας εἰώθασι γίνεσθαι. Ἐς ὕστερον δὲ καὶ ἐριστικῶς τὰ μέλη ἐτίθουν· « Ποῦ εἰσι, λέγοντες, οἱ Τριάδα ὁμοούσιον καὶ ὁμότιμον σέβοντες; » καὶ ἄλλα τινὰ τοιαῦτα ταῖς ᾠδαῖς παρεμίγνυον. Δείσας τοίνυν ὁ Ἰωάννης μή τινες τοῖς τοιούτοις καταχηλούμενοι μέλεσιν, οἱ ὑπ' αὐτῷ ἐκκλησίαζον, ὑπαχθῶσιν ἐκείνοις, τὸν ἴσον ἐπενόει τρόπον ἀντιπράττειν αὐτοῖς. Ἐν βραχεῖ δ' ἐπισημότεροι τῶν δι' ἐναντίας γενόμενοι, κατά τε πλῆθος, καὶ προόδῳ τιμῆς ἐκείνους ὑπερβάλλοντες ἦσαν· σταυροὶ γὰρ ἀργύρεοι κηρῶν ἐπ' αὐτοῖς ἀνημμένων, αὐτῶν προηγοῦντο, τῆς βασιλίδος Εὐδοξίας τὴν δαπάνην χορηγούσης αὐτοῖς. Καὶ Βρίσωνα τὸν ἐπὶ τοῦ κοιτῶνος αὐτῆς ἔταττε τοὺς ὕμνους παρασκευάζειν, καὶ ἄφθονον εὐτρεπίζειν τὸ φῶς. Ζηλοτυπήσαντες δ' ἐντεῦθεν οἱ ἐξ Ἀρείου, καὶ εἰς ἄμυναν χωροῦντες, συμπληγάδας ἐπεχείρουν ποιεῖν. Καὶ γὰρ ἔτι ἐκ τῆς προλαβούσης δυναστείας ἔνθερμοι ὄντες, πρὸς χειροκρασίαν ἕτοιμοι ἦσαν, καὶ ὑπερεώρων αὐτούς. Καὶ δή ποτε μιᾷ τῶν νυκτῶν συγκρούσαντες ἀλλήλοις, πίπτουσιν ἑκατέρωθεν οὐκ ἐλάχιστοι. Λίθῳ δὲ καὶ κατὰ τὸ μέτωπον βάλλεται Βρίσων ὁ εἰρημένος τῆς γαμετῆς τοῦ βασιλέως τηνικαῦτα τῶν θαλαμηπόλων εὐνούχων προεστηκώς. Περιοργὴς δὲ διὰ ταῦτα γενόμενος ὁ κρατῶν, τοῦ λοιποῦ τὰς τοιαύτας

(1) Sozom. cap. 5, lib. VIII.

(2) Sozom. eod. cap. 8.

τῶν Ἀρειανῶν περιεῖλε προόδους, εἴτουν συνόδους· A οἵ γε μὴν τῆς καθόλου Ἐκκλησίας ἐκεῖθεν τὴν ἀρχὴν εἰληφότες οὕτως ὑμνεῖν ἄχρι καὶ ἐς δεῦρο διέμειναν τὸν ἴσον ἐκτελοῦντες τρόπον. Τὴν δὲ τῶν ἀντιφώνων συνήθειαν ἄνωθεν ἀπὸ τῶν ἀποστόλων ἡ Ἐκκλησία παρέλαβε. Καὶ γάρ φασι τὸν θεοφόρον Ἰγνάτιον, ὃς τρίτος ἱεράρχης τῆς Ἀντιόχου μετὰ Πέτρον τὸν ἀπόστολον ἐγεγόνει, καὶ σύναμα τοῖς ἀποστόλοις πᾶσι τὸν πλεῖστον χρόνον διήγαγεν, ἐν ἐκστάσει γενόμενον, ὀπτασίαν ξένην θεάσασθαι· ἑώρα γὰρ τοὺς θείους ἀγγέλους ἀντιφώνοις ᾠδαῖς τὴν ἁγίαν Τριάδα ὑμνολογοῦντας. Καὶ τὸν τύπον πρῶτος τῇ Ἀντιοχέων Ἐκκλησίᾳ ἐδίδου· ὅθεν ὡς ἀπὸ πηγῆς καὶ ἐπὶ τὰς ἄλλας πάσας ἐκκλησίας Θεοῦ ἡ τοιαύτη διεδόθη παράδοσις. Τοιαῦτα καὶ περὶ τῶν ἀντιφώνων ὕμνων πυθόμενος καθιστόρησα. B

derunt: et Brison, quem diximus, imperatricis cubiculariorum eunuchorum princeps, in fronte lapide ictus est. Hac vero de causa commotus imperator, tales Arianorum processiones sive conventus sustulit. Catholica autem Ecclesia principio ejusmodi psalmodiæ hymnorumque canendorum inde sumpto, ad hunc usque diem consuetudinem eam retinet, et sacris cantilenis operatur. Morem autem antiphonorum, hoc est, alternis per responsionem carminum concinendorum, Ecclesia antiquitus jam inde ab apostolis accepit. Divinum namque Ignatium, qui tertius in ecclesia Antiochena a Petro apostolo hierarcha fuit, et cum apostolis omnibus plurimo tempore vixit, cum per exstasim animi consternatus esset, visionem novam vidisse ferunt: sanctos scilicet angelos, alternis et sibi invicem respondentibus carminibus sanctam Trinitatem hymnis et laudibus vehentes. Et ipse primus hanc concinendi formam Antiochenorum ecclesiæ dedit (1). Unde quasi a fonte in alias ecclesias Dei omnes ejusmodi consuetudo est propagata. Hæc quæ de antiphonis, et respondentibus sibi invicem hymnis accepi, memoriæ posteritatis commendanda duxi.

ΚΕΦΑΛ. Θ'.

Ὡς εἰς τὴν Ἀσίαν ὁ ἱερὸς διέβη Χρυσόστομος, καὶ τοὺς ἐκεῖσε ἀναξίως ἱερωμένους καθεῖλε· καὶ περὶ Γεροντίου τοῦ Νικομηδείας· καὶ περὶ Σεραπίωνος καὶ Σευηριανοῦ καὶ Ἀντιόχου, καὶ τῆς κατ' αὐτοῦ τῶν ἀπεληλαμένων τῶν ἐκκλησιῶν ὕβρεως· καὶ ὡς τὴν μετ' αὐτοῦ καὶ Σευηριανοῦ τῶν Γαβάλων διένεξιν ἡ βασιλὶς Εὐδοξία διέλυεν.

Ἐπεὶ δ' ὁ μέγας ἐπύθετο παρά τινων μὴ ἀξίων C τὰς ἐν Ἀσίᾳ ἐκκλησίας οὐ καλῶς διοικεῖσθαι, καὶ τοὺς μὲν χρήμασιν, οὓς δὲ χάριτι, τὴν ἱερωσύνην ἀπεμπολοῦντας· πεζῇ καὶ βάδην τὴν Ἔφεσον κατελάμβανε· καὶ τρεῖς πρὸς τοῖς δέκα ἐπισκόπους καθελών, οὓς μὲν ἐν Λυκίᾳ καὶ Φρυγίᾳ, τοὺς δὲ καὶ ἐν αὐτῇ τῇ Ἀσίᾳ, ἑτέροις τοῖς θρόνοις ἀντικατέστησεν. Καί τινα Ἡρακλείδην ἀρχιδιάκονον τῶν ὑπ' αὐτὸν μοναχῶν τῶν ἐκ τῆς Σκήτεως, Εὐαγρίου τοῦ μοναχοῦ φοιτητήν, ἄνδρα γένει Κύπριον, τῇ Ἐφεσίων μητροπόλει καθίστησιν· ἔτυχε γὰρ τηνικαῦτα θανὼν Ἀντώνιος ὁ τὴν ἐκεῖσε ἐκκλησίαν ἐπιτροπεύων. Οὐ ταῦτα δὲ μόνον, ἀλλὰ καὶ τὸν Νικομηδείας Γερόντιον τῆς ἐκκλησίας ἐξήλαυνε· διηκονεῖτο μὲν γὰρ οὗτος Ἀμβροσίῳ τῷ πάνυ, ὃν Μεδιολάνων ἐπίσκοπον ὁ λόγος ἔφθη δηλώσας. Οὐκ οἶδ' D ὅ τι δὲ παθών, κἄν τε τερατευόμενος, εἴτε καὶ φάσματι δαιμονίῳ ληφθείς, πρός τινας ἔφη, ὡς νύκτωρ ὀνοσκελίδα λαβών, ξυρήσει μὲν τὴν κεφαλήν, καὶ μυλῶνι ταύτην ἐμβαλεῖν. Οἷα δὴ ἀνάξια ῥήματα ἐπειπόντα διακόνῳ Θεοῦ, Ἀμβρόσιος ἐκέλευσε, κολάζων τὴν γλῶτταν, τοῦ λοιποῦ καθ' ἑαυτὸν εἶναι, καὶ μεταμέλῳ τὸ ἁμάρτημα ἐκκαθαίρειν. Γερόντιος δὲ ἰατρικὴν ἐξεπιστάμενος ἄριστα, καὶ λέγειν καὶ πείθειν, φίλους τε περιποιεῖν ἑαυτῷ ῥᾳδίως ἔχων, οἷα δὴ Ἀμβροσίου καταμωκώμενος, εἰς τὴν Κωνσταντίνου ἀφίκετο. Οὐ πολλῷ δὲ χρόνῳ τοὺς κατὰ τὰ βασίλεια δυναμένους εὐφυῶς μετελθών, ῥᾷστα φίλους εἶχε, καὶ τὴν Νικομηδέων ἐκκλησίαν διοικεῖν

366 CAPUT IX.

Ut sanctus Chrysostomus in Asiam profectus, eos qui sacerdotio non recte fungerentur, dignitate ea privaverit: et de Gerontio Nicomediæ episcopo, et de Serapione: de Severiano et Antiocho: et de injuriis quibus Joannem illi affecerunt, quibus episcopatum abrogaverat. Et ut dissidium inter Joannem et Severianum Gabalorum episcopum ortum imperatrix Eudoxia composuerit.

Postquam magnus iste vir ecclesias in Asia a quibusdam indignis perperam administrari audivit; quod nonnulli quidem pecunia, quidam autem gratia episcopatus redemptos obtinerent: Ephesum est profectus, et tredecim episcopis dignitatem ademit, partim in Lycia et Phrygia, partim in Asia ipsa, atque in illorum thronos alios substituit. Heraclidem etiam archidiaconum, ex eis qui sub diœcesis suæ administratione erant, monachis, qui in Sceti Evagrii monachi discipulus fuerat, virum Cyprium, metropoli Ephesiorum præfecit. Mortuus enim tum ibi forte fuit Antonius, qui Ecclesiæ ei præfuerat. Illi vero Gerontium quoque Nicomediensi exegit Ecclesia: diaconus is magni illius Ambrosii, quem Mediolani antistitem fuisse supra memoravimus, fuerat: qui nescio quomodo affectus, sive monstra portentose loqueretur, seu spectro quopiam territus, dæmoniove afflatus esset, ad quosdam dixit, noctu se sibi ὀνοσκελίδα, hoc est, dæmonem asininis cruribus adjuncturum, ejusque caput tonsurum, atque in pistrinum conjecturum esse. Ambrosius igitur illum verba minime diacono et ministro Dei digna prolocutum coercens, linguam de cætero continere, et peccatum id pœnitentia repurgare jussit. Gerontius autem, qui artem medicam optime nosset, et ad dicendum atque persuadendum non ineptus, facile amicos sibi comparare posset, Ambrosium veluti ridens, Constantinopolim migravit: atque ibi

(1) Socr. lib. VI, cap. 8.

brevi eis se, qui in imperatoris aula aliquid possent, cum dexteritate quadam insinuans, amicis facillime usus est : quorum opera ecclesiæ Nicomediensis procurationem est consecutus. Manus autem sacras ei imposuit Helladius, Cæsaræ Cappadocum post Basilium magnum episcopatum sortitus. Eamque is illi retulit gratiam, quod auctoritate ejus filius suus splendidum in imperiali aula consecutus esset locum. Porro ubi id divus Ambrosius rescivit, ad Nectarium Constantinopolitanæ Ecclesiæ episcopum scripsit, ne illum ita insolescere per contumeliam pateretur, sed episcopatum ei potius adimeret : siquidem illi, quem in ecclesiis conservatum oporteret, ordinis curæ esset.
367 Et Nectarius, ut Ambrosio satisfaceret, multa tentavit. Cæterum rem aggressus est, quam, ut ita dicam, perficere non posset. Nam Nicomedienses magnis animis partes ejus tuebantur. Joannes autem vix tandem id perficere potuit. Et Gerontio episcopatu abrogato, in locum ejus Pansophium subrogavit, qui olim imperatoris conjugis pædagogus fuerat, vir perquam mansuetus, et valde religiosus, Nicomediensibus autem ingratus atque invisus. Nectarii sane tempore publice et privatim seditiosi Gerontii dotes commemorabant, affluentemque ejus doctrinam atque singularem erga omnes locupletes simul et pauperes dexteritatem atque liberalitatem, nec non reliquas quæ ei inerant virtutes referebant. Atque etiam in supplicationibus, perinde quasi in terræ motibus, aliisque vel in patria ipsa sua, vel aliis in locis, iræ divinæ indiciis, psallebant, precantesque Deum orabant, ut sub illo pastore eis esse liceret. Postremo vero sane quam inviti, cum immenso luctu et dolore illum quidem amiserunt : et Pansophium, contra animi sui sententiam, cum metu et odio episcopum suscepere. Itaque non solum illi quibus ita ademptæ erant ecclesiæ, verum etiam quibus aliqua cum illis intercedebat necessitudo, Joannem criminabantur, perinde atque novas in Ecclesiam res ipse princeps induceret, et antiqua ordinationum episcopalium jura abolere institueret : et dolore immoderato transversim acti, etiam ea quæ ratione optima consulto egisset, opinionem multorum sequentes calumniabantur. At Joannes amorem erga se vulgi magis atque magis accendit : odiumque potentiorum, et eorum qui clero non bene vellent, in se concitavit, quoniam homines injuriam aliis facere solitos arguendo admonebat, delicatosque et divites, et alios qui parum sancte vivebant, ad virtutem vero quoad fieri posset, adducere conabatur. Maxime vero hominum in clerum odium et contumelias Serapion auxit, archidiaconus ejus, genere Ægyptius, vir iracundus, et ad contumelias oppido quam proclivis. Huc accessere agitata consilia et consessus Joannis cum sacra Olympiade, de qua postea dicemus. Quin ille etiam monachorum multorum inimicitias sibi conciliavit. Quicunque enim intra monasteria philosopharentur, et res

A ἐπιτρέπεται. Τὰς ἱερουργοὺς δ' ἐπετίθει χεῖρας αὐτῷ Ἑλλάδιος ὁ Καισαρείας τῆς Καππαδοκῶν μετὰ τὸν μέγαν Βασίλειον τὴν ἐπισκοπὴν κληρωσάμενος, χάριν νέμων ἐκείνῳ, ὅτιπερ τῷ ἐκείνου παιδὶ αἴτιος ἐγεγόνει λαμπρῶς εὐτυχῆσαι τοῖς βασιλείοις. Ὁ δὴ μαθὼν ὁ θεῖος Ἀμβρόσιος, Νεκταρίῳ τῷ τῆς Κωνσταντινουπόλεως Ἐκκλησίας προϊσταμένῳ ἔγραφε, μὴ οὕτως ἐκεῖνον περιυβρισμένον ὁρᾷν, ἀλλὰ Γερόντιον τῆς ἱερωσύνης ἐκβάλλειν, εἴπερ μέλει αὐτῷ τῆς ἐκκλησιαστικῆς εὐταξίας. Καὶ πολλὰ μὲν Νεκτάριος ἔσπευσε θεραπεύειν Ἀμβρόσιον· ἐπεχείρει δ' ὡς εἰπεῖν ἀνηνύτοις, γενναίως τῶν Νικομηδέων τούτου ἐξεχομένων. Ἀλλ' Ἰωάννης μόλις ἴσχυσε τοῦτο διαπραξάμενος. Καθελὼν γὰρ αὐτὸν, ἐχειροτόνει Πανσόφιον, ὃς τῆς τοῦ βασιλέως
B συζύγου πάλαι παιδαγωγὸς ἐχρημάτισεν. Ἦν δὲ οὗτος πρᾶος μὲν λίαν ἀνὴρ, καὶ εὐλαβὴς ἐσάγαν, Νικομηδεῦσι δὲ λίαν ἄχαρις καὶ ἀνέραστος. Καὶ δὴ κοινῇ καὶ πρὸς ἕκαστον στασιάζοντες, τὰ προσόντα Γεροντίῳ χρηστὰ ἀπηρίθμουν, τό τε τῆς ἐπιστήμης ἄφθονον, καὶ τὸ περὶ πάντας πένητάς τε καὶ πλουσίους δεξιόν τε καὶ μεταδοτικὸν, καὶ τὰς προσούσας ἐκείνῳ λοιπὰς τῶν ἀρετῶν διηγοῦντο. Καὶ λιτὰς δὲ ποιοῦντες ἐπί τε σεισμοῖς καὶ ἄλλαις θεοσημείαις ἀνὰ τὴν πατρίδα καὶ ἀλλαχοῦ, ἔψαλλον σὺν ἱκεσίᾳ τὸν Θεὸν δυσωποῦντες, ὑπ' ἐκείνῳ δῆτα ποιμένι τάττεσθαι. Τέλος βιασθέντες, σὺν ἀπείρῳ πένθει καὶ ὀδυρμοῖς, ἐκείνου μὲν ἀπηλλάττοντο· Πανσόφιον δὲ ἄκοντες, μετὰ δέους καὶ μίσους ἐδέχοντο. Κἀντεῦθεν οὐ μόνον οἱ τὰς ἐκκλησίας ἀφαιρεθέντες, καὶ ὅσοι τούτοις ἐπι-
C τηδείως εἶχον, τὸν Ἰωάννην ἐν αἰτίαις ἐποιοῦντο, ὡς νεωτέρων πραγμάτων ταῖς ἐκκλησίαις ἀρχηγὸν ἑαυτὸν καθιστάντα, ἀλλὰ καὶ ὡς τὰ τῶν χειροτονιῶν ἐκ πολλοῦ δίκαια καινοτομοῦντα δῆθεν καὶ ᾑρημένον ἁρπάζειν. Λύπῃ δὲ ἀμέτρῳ ἀγόμενοι, καὶ ὅσα λόγου ἐκείνῳ ἄξια πεπραγμένα ἦσαν, διαβάλλειν ἐπεχείρουν τῇ τῶν πολλῶν δόξῃ ἑπόμενοι. Ἰωάννης δὲ πρὸς μὲν τὸν δῆμον ὑπανῆπτε τὸ φίλτρον· μῖσος δ' ἐκ τῶν δυναμένων καὶ τῶν οὐχ ὑγιῶς τῷ κλήρῳ διακειμένων ἐκτᾶτο· ὅτιπερ τοὺς μὲν ἀδικοῦντας διήλεγχε, τοὺς δ' ἐν τρυφῇ καὶ πλούτῳ καὶ ἄλλως ἀσέμνως διαβιοῦντας πρὸς ἀρετὴν ὡς ἐνὸν ἐβιάζετο ἐπανάγειν. Μάλιστα δὲ τὴν πρὸς τὸν κλῆρον ἀπέχθειαν καὶ τὰς ὕβρεις Σεραπίων αὐξῆσαι ἐποίησεν, ἀρχιδιάκονος
D αὐτοῦ χρηματίζων, ἀνὴρ τὸ μὲν γένος Αἰγύπτιος, δύσοργος δὲ καὶ πρὸς ὕβρεις μάλιστα ἑτοιμότατος· ἔτι δὲ καὶ αἱ πρὸς Ὀλυμπιάδα τὴν θείαν συνεδριάσεις καὶ συμβουλαί· περὶ ἧς ὕστερον ἐροῦμεν. Οὐκ αὐτὰ δὲ μόνα, ἀλλὰ καὶ πρὸς πολλοὺς τῶν μοναχῶν διάφορος καθειστήκει· ἔνδον γὰρ τῶν μοναστηρίων ᾑρημένους φιλοσοφεῖν, καὶ τὰ οἰκεῖα πράττειν, ἠγάπα τε καὶ διὰ τιμῆς εἶχε. Καὶ ὅπως μὴ παρά τινος ἀδικοῖντο, καὶ ἐν ἀφθόνοις τῶν χρειωδῶν ἀπολαύειν, σφόδρα ἐπιμελείας ἠξίου. Θύραζε δὲ προϊόντας, καὶ ἀνὰ τὰς τῆς πόλεως ἀγυιὰς περιιόντας, καὶ τὸ φιλοσοφεῖν ἐνυβρίζοντας, λόγοις εὖ μάλα ἐπειλημμένος, ὠνείδιζέ τε καὶ ἀπεσείετο. Ἔστι δ' ὅτε καὶ ἐπιπλήκτων ἐλοιδόρει τοῖς προσήκουσι καθαπτόμενος. Ἐκεῖνοι τοίνυν οὕτω διελεγχόμενοι ἤχθοντο, καὶ ἀνθύβρι-

ζὸν ὠμόν τε καὶ ἀπηνῆ, ὀργίλον τε καὶ ὑπερήφανον, καὶ θυμώδη ἀποκαλοῦντες. Καὶ τὰ περὶ τοῦ βίου ἠρέμα πρὸς τοὺς πολλοὺς ἐπεχείρουν διαβάλλειν· καὶ πείθειν εἶχον τοῖς προειρημένοις, καταιτιώμενοι ὅτι μή τινι συνεσθίων ἑωρᾶτο, μηδ' ἐφ' ἑστίαν ἰὼν, μηδ' ἐπὶ συνουσίαν ἀρίστου· καὶ ὅτι πάστιλον μετὰ τὴν τῶν θείων μετάληψιν ἀπεγεύετο· ἐν οἷς ἐκεῖνοι δῆθεν ἐπερειδόμενοι, τὰς ἀῤῥήτους ἐξύφαινον ἐκείνῳ διαβολάς. Οὐχ ἐλαχίστη δὲ πρόφασις αὐτῷ ἐγεγόνει καὶ πρὸς τὴν βασιλέως γαμετὴν διὰ Σευηριανὸν τὸν Γαβάλων τῆς Συρίας ἐπίσκοπον. Καὶ γὰρ οὗτος σύναμα τῷ Ἀντιόχῳ, Πτολεμαΐδος δὲ τῆς ἐν Φοινίκῃ οὗτος ἐπίσκοπος, ἐλλόγιμοί τε ἐγένοντο, καὶ εἰς ἄκρον τὸ ἐπ' ἐκκλησίας διδάσκειν ἐξησκηκότες. Ἀλλ' ὁ μὲν τοσοῦτον πρόχειρος ἦν λέγειν, καὶ εὖ μάλα στρογγύλως τε ἅμα καὶ εὐήχως ἀπεστομάτιζεν, ὅτι γε πρός τινων καὶ Χρυσόστομος ὠνομάζετο· Σεβηριανὸς δὲ τῷ τῶν νοημάτων πυκνῷ, καὶ τῇ μαρτυρίᾳ τῶν θεοπνεύστων λογίων, ἀμείνων εἶναι ἐδόκει· τὴν δὲ Σύρων δασύτητα ἐπὶ τῆς γλώττης ἔφερε μᾶλλον. Καὶ ὁ μὲν Ἀντίοχος πρότερον τὴν πόλιν καταλαβὼν, καὶ χρήματα πολλὰ συλλεξάμενος, εἰς τὴν οἰκείαν ἐπανῆλθε πόλιν. Τοῦτο δὴ ζηλώσας καὶ Σευηριανὸς, καὶ αὐτὸς ἐκεῖσε ἀφίκετο. Εὔνου δὲ Ἰωάννου τυχὼν, πολλάκις ἐξεχωρήθη καὶ ἐπ' ἐκκλησίας εἰπεῖν· καὶ λέγων μάλιστα ἐθαυμάζετο, καθὰ δὴ καὶ Ἀντίοχος· καὶ ταῖς ἐκείνου τιμαῖς πολύς τε ἐν δυνάμει ἐγένετο, καὶ γνώριμος καθίστατο βασιλεῖ, καὶ τῇ βασιλίδι ἐπὶ μᾶλλον κεχαρισμένος. Ἡνίκα δὲ Ἰωάννῃ ἐδόκει καὶ πρὸς τὴν Ἀσίαν ἀποδημεῖν, αὐτῷ τὰ κατὰ τὴν σφετέραν Ἐκκλησίαν ἀνετίθει, ὥστ' ἐπιμελεῖσθαι ταύτης, καὶ ἀντ' ἐκείνου τὴν διδασκαλίαν αὐτοῖς χορηγεῖν. Καὶ γὰρ ἐνόμιζε φίλον ἔχειν αὐτὸν σπουδαιότατον, ταῖς κολακείαις πυκνῶς περιέποντα. Ὁ δὲ χαρίζεσθαι τῷ πλήθει μᾶλλον διὰ σπουδῆς ἐποιεῖτο, καὶ τοῖς λόγοις ἐπάγειν, καὶ πρὸς ἑαυτὸν πᾶσι τρόποις μεθέλκειν καὶ ἰδιοῦσθαι. Ἃ δὴ πυθόμενον Ἰωάννην, Σεραπίωνος ἐρεθίζοντος, οὐκ ἀνασχέσθαι· ἀλλὰ θᾶττον ἐκ τῆς Ἀσίας τὴν Κωνσταντίνου καταλαβεῖν. Ὡς δ' ἐπανῆλθε, συνέβη που Σευηριανὸν παριέναι· ἰδόντα δὲ Σεραπίωνα μηδαμῶς ἀναστῆναι, ὥσπερ ἐξεπίτηδες τοῖς παροῦσι παραδεικνύμενον, ὡς ἐν οὐδεμιᾷ φροντίδι τὸν ἄνδρα ποιεῖται. Ὁ δὲ σφόδρα χαλεπήνας ἐπὶ μέγα ἐβόησεν· *Εἰ Σεραπίων Χριστιανὸς ἀποθάνοι, οὐκ ἐνηνθρώπησεν ὁ Χριστός*. Ἐπὶ δὴ τούτῳ παρὰ Σεραπίωνος δίκην ὑποστὰς, ἐξηλάθη τῆς πόλεως ὑπὸ Ἰωάννου, ὡς δῆθεν εἰς Θεὸν ἐξυβρίσας. Μαρτύρων γὰρ παραχθέντων, οἱ μὲν ὡς εἴρηκε Σευηριανὸς ἐμαρτύρησαν· ὅσοι δὲ προσέκειντο Σεραπίωνι, πάντ' ἀποκρυψάμενοι, μόνον ἐκεῖνον διεμαρτύραντο εἰπεῖν Σευηριανὸν, «Ὡς ἄρα οὐκ ἐνηνθρώπησεν ὁ Χριστός.» Ὁ δὲ Ἰωάννης, οὐχὶ εἰ καὶ τοῦτο μόνον ἦν ἐν αἰτίαις ἐτίθει, ἀλλὰ καὶ τἄλλα ὅσα ἐκεῖνος προσθεῖναι διετείνετο. Οὐδὲ γὰρ, «Εἰ Σεραπίων, ἔλεγε, μὴ ἀποθάνοι Χριστιανὸς, Χριστὸς παρὰ τοῦτο οὐκ ἐνηνθρώπησεν.» Ἡ μέντοι βασίλισσα Εὐδοξία ἅμα τε τὴν μεταξὺ τῶν ἐπισκό-

A suas agerent, eos magnopere charos habuit, et honoravit : **368** et ne illi a quopiam injuria afficerentur, atque etiam ut rebus necessariis abundarent, plurimum curæ habuit. Circumforaneos autem, et qui per urbis plateas cursitarent, notam philosophiæ suæ inurentes, verbis ita ut decebat, reprehendens, acriusque carpens, repudiabat. Nonnunquam etiam conviciis eos corrigens incessebat, et convenienti objurgatione perstringebat. Atque illi ad eum modum reprehensi, graviter id ferre, et verba contumeliosa in eum jacere, ferum, crudelem, iracundum, superbum et furibundum appellare, necnon quietam ejus vitam apud multos taxare, cavillari et carpere, aggredi. Et persuadere id eis quas diximus rebus potuere,
B reprehendentes insuper in eo quod cibum cum nemine sumere videretur, quodque neque in convivio neque in prandio alicujus esset : denique quod post divinorum mysteriorum perceptionem pastillum degustaret. Quibus illi scilicet rebus nixi, innumeras adversus eum texuere calumnias. Non minima vero et illa ei ab imperatoris uxore, per Severianum Gabalorum in Syria episcopum, accidit odii occasio. Nam et hic, una cum Antiocho, Ptolemaidis Phœniciæ episcopo, præclarus fuit; uterque sane ad summum, verbis ad populum in ecclesia faciendis, exercitatus. Antiochus quidem tanta in dicendo facilitate fuit, et tam rotunde simul et suaviter pronuntiavit, ut a quibus-
C dam ipse quoque veluti aureum os habens, Chrysostomus diceretur. Severianus autem sententiarum frequentia et divinitus inspiratorum oraculorum testimonio melior habitus est, quod scilicet Syrorum magis densitatem in lingua ferret. Antiochus prior in urbem venerat : atque ibi pecunia multa collecta, in civitatem suam est reversus. Quem æmulatus Severianus, et ipse eo venit. Et quod benevolo Joanne uteretur, sæpe etiam is ei, ut cum populo in ecclesia ageret, permisit. Qua in re eum omnes maxime sunt, sicuti et Antiochum, admirati. Et Joannis honoribus cum multum apud populum potuit, tum in imperatoris notitiam pervenit, et ejusdem conjugi perquam gratus fuit. Atque cum Joanni in Asiam proficisci visum esset,
D huic ipsi Ecclesiam suam commendavit, ut curam ejus gereret, et vicem suam populum doctrina pasceret. Putaverat enim ille optimo se eo usurum amico, qui per assentationem eum tam sedulo assectatus fuisset. **369** At ille studio magis habuit ut multitudini gratificaretur, eamque oratione duceret, et ad se modis omnibus pertraheret, suamque prorsus redderet. Quod ubi Joannes absens audivit, Serapione instigante (1), non tulit, sed quamprimum ex Asia Constantinopolim rediit. Eo reverso accidit, ut Severianus alicubi præteriret, et ei Serapion, qui illum viderat, non assurgeret : veluti ex composito eis qui aderant, osten-

(1) Zelotypia quadam ductus. (Socr.)

dens, nihil se virum eum curare. Atque ille plurimum indignatus voce majore exclamavit: « Si Serapion Christianus diem suum obierit, Christus homo factus non est. » Et hoc nomine a Serapione accusatus, a Joanne urbe est ejectus, ut qui contumeliosus in Deum fuerit. Et cum testes in causa producerentur, quidam sicuti Severianus dixerat, testificati sunt. Qui autem Serapioni favebant, omnia alia celantes, hoc unum Severianum dixisse asseverarunt, « Quod Christus homo factus non esset. » Joannes vero non id tantum, an hoc solum dixisset, sed alia etiam quæ ille se adjecisse contendebat, in crimine esse dixit: « Non enim, inquit, etiamsi Serapion Christianus mortuus non fuerit, propterea Christus homo factus non est. » Imperatrix Eudoxia simul atque dissidium, quod episcopis intercessit, et Severiani proscriptionem ex fautoribus ejus cognovit, statim eum, quibusdam missis, Chalcedone revocavit. Joannes autem, quamvis multi pro illo deprecarentur, colloquium tamen et consuetudinem ejus detrectavit: quoad imperatoris conjux, in ea ecclesia quæ de apostolorum nomine appellata est, Theodosium etiamnum infantem, quem Joannes per baptismum sibi filium arrogaverat, ad genua ejus admovens, multaque deprecans et adjurans, vix tandem persuasit, ut se ad placabilitatem daret, et Severianum rursum in amicitiam reciperet. Atque hæc sic acta sunt.

A πων διαφορὰν ἔγνω διὰ τῶν Σευηριανοῦ σπουδαστῶν καὶ τὴν ὑπερορίαν, καὶ εὐθὺς πέμψασα, τῆς Χαλκηδόνος αὐτὸν μετεστέλλετο. Ἰωάννης δ' ἥκιστα παρεῖχεν ἑαυτὸν εἰς ὁμιλίαν ἐκείνῳ, καίπερ ἱκετευόντων πολλῶν· ἕως οὗ ἡ βασιλὶς ἐν τῇ ἐπωνύμῳ τῶν Ἀποστόλων ἐκκλησίᾳ, Θεοδόσιον ἔτι νήπιον ὄντα, ὃν ἐκεῖνος τῷ βαπτίσματι υἱοθέτει, τοῖς γόνασιν ἐπιῤῥίπτουσα, δεομένη τε καὶ ὅρκους καταδεσμοῦσα, μόλις ἔπειθεν εἰρηνικὰ φρονῆσαι τῷ Σευηριανῷ, καὶ εἰς φιλίαν αὖθις ἐλθεῖν. Καὶ ταῦτα μὲν ὧδε ἐγένοντο.

370 CAPUT X.

De quæstione quæ tum in Ægypto est mota, An Deus humana sit forma: et de dissensione, quæ interim Theophilo Alexandriæ episcopo cum monachis Ægyptiis accidit: et de quatuor fratribus monachis, quibus cognomen erat Longorum.

Eodem tempore in Ægypto, quæ paulo ante exstiterat, rursum mota est quæstio: opusne sit Deum hominis forma et corporali specie esse, opinari, an ab humano habitu prorsus esse alienum credere. Et nonnulli quidem simplicitate imperita, ea quæ in Scriptura, ex consuetudine ejus, dicuntur, excipientes, ita ut dici audiebant, faciem et manus et alia corporis membra Deo attribuebant: alii autem abstrusiorem quæ in litteræ C recessu latet, sententiam ejus considerantes, contrarium maxime sentiebant; atque aliter opinantes, impios esse, et blasphemare in Deum dicebant; inter quos præcipue Theophilus Alexandrinus fuit. Atque is persæpe in ecclesia etiam eos perstrinxit, qui de Deo tam crasso opinarentur, ut humana forma eum esse existimarent. Quam sententiam in epistolam quoque eam retulit, quam ex consuetudine de Paschalibus feriis scribere solitus erat: « Oportere scilicet Deum incorporeum et ab humana forma alienum mente concipere, docens. » Hoc ubi cognoverunt qui in Ægyptiis asceteriis vivebant monachi, illis relictis, quam celerrime Alexandriam venerunt, tantam eam ob causam seditionem concitantes, ut Theophilum veluti im- D pium et blasphemum hominem e medio tollere voluerint. Ille autem consilio eo deprehenso, arte quadam rem eam expedivit. Atque in seditiosorum conspectum veniens, assentatione eos fefellit: « Sic, inquiens, vos vidi ut faciem Dei. » Hoc verbum illis, ut iram remitterent, persuasit. Proinde statim intulerunt: « Siquidem quod ore profers, corde etiam sentis, Origenis libros te

B ΚΕΦΑΛ. Γ'.

Περὶ τῆς τηνικαῦτα γεγενημένης ἐν Αἰγύπτῳ ζητήσεως, εἰ ἀνθρωπόμορφον τὸ θεῖόν ἐστι, καὶ περὶ τῆς μεταξὺ γενομένης διαφορᾶς Θεοφίλῳ τῷ Ἀλεξανδρείας καὶ τοῖς ἐν Αἰγύπτῳ μοναχοῖς· καὶ περὶ τῶν τεσσάρων ἀδελφῶν μοναχῶν, τῶν ἐπίκλην Μακρῶν.

Κατ' ἐκεῖνο δὲ καιροῦ κατ' Αἴγυπτον καὶ ἡ μικρῷ πρόσθεν ἀρξαμένη ζήτησις αὖθις ἀνεκινεῖτο· εἰ χρεὼν τὸ θεῖον ἀνθρωπόμορφον εἶναι δοξάζειν· καὶ εἰ σωματικοῖς ὑπόκειται τοῖς σχηματισμοῖς, ἢ τῶν ἀνθρωπίνων σχημάτων παντάπασιν ἠλλοτρίωται. Οἱ μὲν οὖν ἀβασανίστῳ ἁπλότητι τὰ ἐν τῇ Γραφῇ φερόμενα ἐκδεχόμενοι, καὶ πρόσωπον καὶ χεῖρας καὶ ὅσα τοῦ σώματος ἐξ ἔθους ἐκείνῃ ἀκούοντες, Θεῷ περιῆπτον· οἱ δὲ τὸ ἐγκεκρυμμένον τῷ γράμματι βάθος C διανοούμενοι, ἐναντίως μάλιστα εἶχον· καὶ τοὺς ἄλλως δοξάζοντας ἀσεβεῖς εἶναι, καὶ βλασφημεῖν εἰς τὸ θεῖον ἔλεγον, ἧς δὴ καὶ Θεόφιλος ὁ Ἀλεξανδρείας δόξης μάλιστα ἦν· καὶ ἐπὶ τόσον, ὥστε πολλάκις καὶ ἐπ' ἐκκλησίας καταδραμεῖν τῶν παχυμερῶς οὕτω περὶ Θεοῦ δοξαζόντων, καὶ ἀνθρωπόμορφον αὐτὸν οἰομένων· ἐγγράψαι δὲ τοῦτο καὶ ἐν τῇ ἐξ ἔθους γινομένῃ τῆς Πασχαλίας ἑορτῇ· « Χρῆναι γὰρ ἀσώματον νοεῖν τὸν Θεὸν, καὶ σχήμασιν ἀνθρωπίνοις ἀπηλλαγμένον. » Ὡς δὲ ταῦτ' ἔγνωσαν οἱ τοῖς τῶν Αἰγυπτίων ἀσκητηρίοις ἐνδιαιτώμενοι μοναχοὶ, ἐκεῖνα διαφέντες, ὅσον τάχος ἧκον εἰς Ἀλεξάνδρειαν. Στασιάζοντες δ' ἐν ταυτῷ, ὡς ἀσεβῆ τε καὶ βλάσφημον τὸν Θεόφιλον ἀναιρεῖν ἐβούλοντο. Ἐκεῖνος δὲ D φωράσας τὸν δόλον, τέχνῃ δὴ τὸ πρᾶγμα μετήρχετο· καὶ τοῖς στασιώταις ἀναφανεὶς, κολακείᾳ ὑπάγει τοὺς ἄνδρας, οὕτως εἰπών· « Οὕτως εἶδον ὑμᾶς ὡς πρόσωπον Θεοῦ. » Τὸ δὲ ῥηθὲν καθυφεῖναι τῆς ὁρμῆς ἔπειθε. Καὶ αὐτίκα ἐπέλεγον. « Εἰ ἅπερ στόματι λέγεις καὶ καρδίᾳ δοξάζεις, δεῖ σε καὶ τὰς Ὠριγένους βίβλους ἀποκηρῦξαι· ἐκείναις γὰρ τῶν ἀσκουμένων τινὲς ἐντυγχάνοντες, οὕτω φρονεῖν ἀναπείθονται, καὶ ἡμῖν ἐναντίως φέρονται. Εἰ δὲ μὴ τοῦτο δρᾷν ἐθελή-

σοις, δίκας ἄρτι δώσεις ἡμῖν, ἀσεβοῦς καὶ θεομάχου A δόξαν κληρούμενος.» Θεόφιλος δὲ, «Ἀλλ' ἐμοὶ τοῦτο ἐκ πάνυ πολλοῦ δέδοκται, καὶ ὃ φίλον ὑμῖν δρᾷν ἕτοιμος· οὐχ ἧττον γὰρ ὑμῶν κἀγὼ τοῖς Ὠριγένους συγγράμμασιν ἄχθομαι, καὶ τοῖς αὐτὰ παραδεχομένοις.» Ὁ μὲν οὖν οὕτω τό τε στῖφος τῶν μοναχῶν ἀποβουκολήσας τε καὶ παρακρουσάμενος, τὴν στάσιν διέλυσεν. Ἴσως δ' ἂν καὶ ἡ περὶ τούτου ζήτησις τηνικαῦτα τέλος εἶχε καὶ παντάπασιν ἀπεπαύετο, εἰ μὴ Θεόφιλος ἰδίας χάριν ἔχθρας τεθνηκυῖαν ὥσπερ ἀναζῆν αὖθις τὴν τοιαύτην ἐποίει ζήτησιν, ἄντικρυς διὰ μάχης ἰὼν Ἀμμωνίῳ καὶ Διοσκόρῳ, Εὐσεβίῳ τε καὶ Εὐθυμίῳ, οἳ ἀδελφοὶ μὲν ἦσαν, τὸ ἐπίκλην δὲ Μακροὶ ἐπεφέροντο διὰ τὴν ἡλικίαν τοῦ σώματος· οἳ εὐδόκιμοι τῶν ἐν Σκήτει πάλαι γενόμενοι, ὥσπερ ἔφημεν, τηνικαῦτα τῶν κατ' Αἴγυπτον ἡγοῦντο B ἀσκητηρίων, βίῳ καὶ λόγῳ διαπρεπεῖς. Πολὺς δ' αὐτῶν λόγος ἔν τε Ἀλεξανδρείᾳ καὶ παρὰ Θεοφίλῳ μάλιστα ἦν· καὶ διὰ τοῦτο τῶν ἐν Αἰγύπτῳ μοναχῶν μάλιστα κεχαρισμένοι ὄντες ἐτύγχανον. Καὶ τὰ πολλὰ συνομίλους τε εἶχε, καὶ ἐφ' ἑστίαν ἐκάλει, καὶ διαφερόντως ἐτίμα τοὺς ἄνδρας· ὧν καὶ ἕνα τὸν Διόσκορον καὶ Ἑρμουπόλεως καθίστα ἐπίσκοπον, πολλὴν βίαν ἐπαγαγών. Τοὺς δύο δὲ παρεκάλεσε συνεῖναι αὐτῷ. Καὶ μόλις μὲν ἔπεισεν· οἷα δὲ ἐπίσκοπος καὶ ἠνάγκασε· καὶ τῷ ὑπ' αὐτὸν κλήρῳ συγκαταλέξας, τὴν τῆς Ἐκκλησίας οἰκονομίαν διέπειν ἐχείριζεν. Οἱ δὲ τῇ βίᾳ νικώμενοι, ὡς χρεὼν μὲν ἦν, τῇ οἰκονομίᾳ διέπρεπον· ἀνίας δ' ἦσαν μεστοὶ, ὅτι, ὡς μὴ καθάπαξ προέθεντο, τῇ φιλοσοφίᾳ προσέκειντο. C Ἐπεὶ δὲ προϊόντι τῷ χρόνῳ κατὰ ψυχὴν βλάπτεσθαι ᾤοντο, τὸν Θεόφιλον βλέποντες τὸν χρηματιστικὸν βίον μεταχειριζόμενον, πάντα τ' ἐξαργυρίζεσθαι πεποιημένον σπουδὴν, καὶ πάντα λίθον, τὸ τοῦ λόγου, κινοῦντα ὥστε τῆς ὀσμῆς τοῦ χρυσίου ὀσφραίνεσθαι, τὸ συνεῖναι ἐκείνῳ παραιτησάμενοι, τὴν ἐρημίαν αὖθις ἠσπάζοντο, τῆς ἐν ἄστει προτιμῶντες διαγωγῆς. Ὁ δὲ, ἕως μὲν ἐκεῖνοι ἐλάνθανον ἄλλα προφασιζόμενοι, μένειν τε παρεκάλει, καὶ τὴν μετ' ἐκείνου ἠξίου διατριβήν· ὡς δὲ ἔγνω κατεγνωσμένος ἐκείνοις ὢν, θυμοῦ ἐπληροῦτο, καὶ οὐκ ἔληγεν ὀργιζόμενος· καὶ ἠπείλει πᾶν εἴ τι δεινὸν δρᾷν ἐκείνοις. Οἱ δὲ τῶν ἠπειλημένων μικρὰ φροντίσαντες, ἐχώρουν αὖθις κατὰ τὴν ἔρημον. Θερμὸς δὲ μάλιστα Θεόφιλος ὤν, ῥαγδαίως ἐφέρετο κατ' αὐτῶν D σκευωρήσασθαι τοὺς ἄνδρας διανοούμενος· καὶ δὴ καὶ εἰς μῖσος ἐχώρει τἀδελφῷ Διοσκόρῳ, ὃν Ἑρμουπόλεως ἐπίσκοπον καταστήσειεν. Ἠνία δὲ τοῦτον μάλιστα τὸ τοὺς ἐν ἀσκήσει διαφέροντας προσκεῖσθαι, καὶ πολύ τι σέβας νέμειν αὐτοῖς· καὶ εἰς νοῦν ἀνῆγεν, ὡς ἐν οὐδενί τινι τρόπῳ ἐξέσται παραβλάψαι αὐτοὺς, εἰ μὴ καὶ τὸ τῶν μοναχῶν στῖφος τούτοις ἐκπολεμώσειε. Ταῦτ' οὖν βουλευόμενος, τοιαύτῃ χρῆται τῇ μηχανῇ· ἐξ ὧν γὰρ πολλάκις αὐτῷ συγγινόμενοι περὶ Θεοῦ διελέγοντο, ἀκριβῶς ᾔδει φρονοῦντας ὡς ὁ μὲν Θεὸς ἀσώματός ἐστι, καὶ ἀνθρωπίνῃ μορφῇ καὶ σχήματι πάμπαν ἀλλότριος· δι' ἀνάγκης γὰρ ἐνεῖναι τῷ ἀνθρωπομόρφῳ τὸ ἀνθρωποπαθές. Ὃ δὴ καὶ παρὰ τῶν παλαιῶν ἐξηκρι-

damnare oportet. Nam quia ex monachis nonnulli in eorum lectionem inciderunt, ut ita sentiant, persuasi sunt, nobisque adversantur : sin id facere noles, pœnas nunc dabis, qui impiam et Deo repugnantem opinionem sequaris. » Tum Theophilus : « Sed et mea dudum, inquit, hæc fuit sententia, et quod vobis placitum est, id facere paratus sum. Non minus namque, quam vobis, et mihi Origenis scripta, quique ea recipiunt, gravem molestiam afferunt. » Atque ille quidem tum monachorum turbam deceptam a se removit, et seditionem composuit. **371** Forlasse autem quæstio quoque ista finem tum suum habuisset, nisi eam Theophilus inimicitiarum suarum gratia, veluti intermortuam, ad vitam, ut ita dicam, revocasset, aperte Ammonio, Dioscoro, Eusebio, et Euthymio adversatus, qui fratres germani erant, et cognomentum Longorum propter corporis proceritatem habebant. Illi præclari dudum, quemadmodum diximus, in Sceti fuerant : tum autem in Ægypto monasteriis præsidebant, et vita et doctrina percelebros. Multa autem eorum fama Alexandriæ et potissimum apud Theophilum erat, qui gratia et nomine supra alios Ægyptios monachos pollebant. Frequens cum eis Theophilo consuetudo fuit. Convivio enim eos excipiebat, et summopere honorabat. Dioscorum quoque, magna vi adactum, Hermopolis episcopum constituit. Duos autem, ut secum essent, hortatus est : et vix eis tandem persuasit, seu potius ut episcopus id eos facere coegit. Itaque eis in cleri ordinem cooptatis, Ecclesiæ œconomiam seu dispensationem gerendam demandavit. Porro illi vi coacti, ita ut decuit, dispensationis ejus munere obeundo enituerunt : mœrore autem pleni erant, quod pro eo atque non semel constituissent, philosophiæ suæ non incumberent. Postquam autem tempore procedente, in animis ipsi suis se lædi putarent, quod Theophilum, per avaritiam, quæstuosam vitam sequi, atque omnia magno studio in argentum redigere, omnemque adeo lapidem, quod proverbio dicitur, movere, ut auri odore perfrueretur, viderent : convictum ejus declinantes, in solitudinem rursum, quam urbanæ vitæ præferebant, se contulerunt. Theophilus, quoad illi rem ipsam celantes, prætextum alium obtenderunt, eos ut manerent, et consuetudine sua uterentur, cohortatus est. Ubi vero se judicio eorum condemnatum esse comperit, ira percitus, excandescere non desiit, et illis se mala omnia facturum esse minatus est. At illi minas ejus nihil morati, in solos, ut dictum est, rursum locos se receperunt. Theophilus autem homo vehementissimus, quod impetu quodam ferretur, insidiosis consiliis adoriri eos constituit : et odisse etiam fratrem eorum Dioscorum cœpit, quem Hermopoli episcopum præfecerat. Dolebat homini plurimum, monachorum præstantissimos quosque illis favere, magnumque præstare honorem : tum autem et illud in animo

considerabat, nihil se illis detrimenti allaturum esse, **372** nisi monachorum manum ad inimicitias contra eos suscipiendas commoveret. Re ita deliberata, ejuscemodi comminiscitur dolum. Quod namque sæpe cum eo in familiari consuetudine de Deo collocuti essent, certo sciebat eos opinari, Deum incorporeum, et a forma atque specie humana prorsus alienum esse : qui enim humana forma sit eum etiam affectionibus et perpessionibus humanis necessario obnoxium esse scientes; id quod a veteribus accuratissime est disputatum atque decretum, et Origenes potissimum pulcherrime hoc tractavit. In qua sententia cum Theophilus maxime esset, et ulcisci tamen viros eos statuisset, veluti tempori inserviens, ut quæ recte opinaretur, everteret, grave sibi esse non putavit. Itaque monachorum turbam adversus eos concitat. Et multos ex eis ad se rapit, viros moribus simplices et idiotas, plures etiam illiteratos. Et litteras ad monasteria in solitudine mittens, non parendum esse Dioscoro et fratribus ejus, quod aperte Deum incorporeum esse opinarentur, docuit. Deus namque, inquit, sicuti divina Scriptura testatur, et oculos habet, et aures, manus, pedes, et alia, sicuti et homines, membra. Dioscorus autem, et ejus sectatores, novum quoddam et blasphemum dogma afferunt, Origenem secuti : neque manus, neque pedes, neque aliud quidquam Deum habere asseverantes. Hæc sic cavillans, monachos multos ad contentionem excitavit, et seditio ingens orta est : parumque decore a disputationibus inter se agitatis, postremo ad contumelias pervenere. Atque equidem qui mentem exercitatam et sensuum robur densius obtinebant, Theophili cavillatione non movebantur : et Dioscoro recte sentienti, et in primis Origeni adhærebant. Qui vero simpliciores erant, et flagrantem quidem, sed non secundum scientiam, zelum spirabant, conflictantes inter se nugabantur, et fratres illos tanquam impie sentientes proscindebant. Ita factum, ut ingens Ascetis inter se intercederet dissidium. Qui Theophili partium erant, Origenistas alios vocabant. Qui autem Deum incorporeum, et a forma alienum esse statuebant, eos qui a Theophilo concitati aliter opinabantur, Anthropomorphianos nominabant. Ita inter monachos non parvo conflictu exorto, implacabile bellum concitatum est. **373** Theophilus ubi consilium suum sibi succedere vidit, magna multitudine, militibus etiam consequentibus, montem Nitriæ, ubi plurima erant monasteria, occupat, et monachorum catervas adversus Dioscorum et fratres ejus armis instruit : igneque injecto monasterium eorum incendit, et prorsus vastat. Atque illi in summum discrimen conjecti, vix tandem nudi ex puteis, quo se abdiderant, evadentes, capitis periculum effugerunt.

A δωται, καὶ μάλιστα Ὠριγένης περὶ τούτου ἄριστα φιλοσοφῶν διαγέγονεν. Ἃ δὴ καὶ διαφερόντως δοξάζων μάλα Θεόφιλος, ἀμύνασθαι δ᾽ ᾑρημένος τοὺς ἄνδρας, ὡς χρησάμενος τῷ καιρῷ, ἀνατρέπειν τὰ καλῶς αὐτῷ δεδογμένα οὐκ ὤκνησε. Καὶ δὴ συγκρούει τὸ τῶν μοναχῶν σύστημα πρὸς αὐτούς· συναρπάζει τε πολλοὺς ἐκείνων, ἄνδρας ἀκεραίους μὲν τὸν βίον, ἰδιώτας δὲ ἄλλως, καὶ τοὺς πλείονας ἀγραμμάτους· καὶ γράμματα πέμπων τοῖς ἐν τῇ ἐρήμῳ ἀσκητηρίοις, μὴ δεῖν πείθεσθαι Διοσκόρῳ καὶ τοῖς ἀδελφοῖς εἰσηγεῖτο, ἀσώματον διαῤῥήδην τὸν Θεὸν δογματίζουσιν. Ὁ γὰρ Θεὸς, ὡς ἡ θεία λέγει Γραφὴ, καὶ ὀφθαλμοὺς ἔχει, καὶ ὦτα, καὶ χεῖρας, καὶ πόδας, καὶ τὰ λοιπὰ, καθὰ καὶ οἱ ἄνθρωποι. Οἵ γε μὴν περὶ Διόσκορον ξένα τινὰ εἰσηB γοῦνται, καὶ βλάσφημον δόγμα νεωτερίζουσιν, Ὠριγένει ἑπόμενοι· μήτε χεῖρας, μήτε πόδας, μήτ᾽ ἄλλο τι τὸ θεῖον ἔχειν ἰσχυριζόμενοι. Ταῦτα δὴ σοφιζόμενος, τοὺς πολλοὺς εἰς ἔριν ἀνῆψε τῶν μοναχῶν, καὶ στάσις ἐκράτει πολλή· καὶ οὐκ ἐν κόσμῳ πρὸς ἀλλήλους τὰς διαλέξεις ποιούμενοι, τέλος εἰς ὕβρεις καθίσταντο. Οἱ μὲν οὖν γεγυμνασμένοι τὸν νοῦν καὶ πεπυκνωμένοι τὰ αἰσθητήρια, οὔτε τῇ Θεοφίλου σοφιστείᾳ ἡρπάζοντο, καὶ τοῖς περὶ Διόσκορον ὡς καλῶς λέγουσιν εἵποντο, καὶ πρὸ ἐκείνων μάλιστα Ὠριγένει· οἱ δέ γε ἁπλότητι διαζῶντες, καὶ θερμὸν μὲν, οὐ μὴν κατ᾽ ἐπίγνωσιν ζῆλον αὐχοῦντες, πρὸς ἀλλήλους παρατριβόμενοι, ἐρεσχελοῦντες ἦσαν, καὶ ὡς ἀσεβοῦντας τοὺς ἀδελφοὺς διέσυρον. C Ὅσοι μὲν οὖν Θεοφίλῳ προσέκειντο Ὠριγενειαστὰς τοὺς ἄλλους ἐκάλουν· ὅσοι δὲ ἀσώματον τὸ θεῖον ὡρίζοντο εἶναι καὶ ἀσχημάτιστον, Ἀνθρωπομορφιανοὺς τοὺς ἐρεθιζομένους ὑπὸ Θεοφίλου καὶ τἀναντία φρονοῦντας ὠνόμαζον. Καὶ μεταξὺ τῶν μοναχῶν πόλεμος ἄσπονδος ἀνεῤῥάγη, παρατριβῆς οὐ σμικρᾶς γινομένης. Ὡς δ᾽ ἔγνω Θεόφιλος εἰς ἔργον αὐτῷ τὸν σκοπὸν προχωρήσαντα, σὺν πολλῷ πλήθει καὶ στρατιᾶς ἑπομένης, τὸ τῆς Νιτρίας κατελάμβανεν ὄρος, ἔνθα μάλιστα πλεῖστα ἦσαν τὰ μοναστήρια· καὶ ὁπλίζει τὰ στίφη τῶν μοναχῶν κατά τε Διοσκόρου καὶ τῶν αὐτοῦ ἀδελφῶν· καὶ πῦρ ἐνιέντες τῷ μοναστηρίῳ ἐκείνων, πάντ᾽ ἀθρόον δαπάνην αὐτοῦ ἐποιοῦντο. Οἱ δὲ καὶ αὐτοὶ ἐν χρῷ κινδύνου γενόμενοι, μόλις γυμνοὶ τῶν φρεάD των ἀναθορόντες, τὸν ὑπὲρ κεφαλῆς κίνδυνον διέδρασκον.

CAPUT XI.

Ut fratres Longi propter inimicitias Theophili se Joanni conjunxerint. Item de Isidoro, ut Theophilo sit adversatus : et ut Augusta eos benigne susceperit.

Hæc in Ægypto agebantur, et Joannem tum latebant, qui doctrinæ incumbens maxime enitebat, propter consentientem omnium de eo famam

ΚΕΦΑΛ. ΙΑ΄.

Ὡς οἱ Μακροὶ τῷ Ἰωάννῃ προσῆλθον, Θεοφίλῳ ἀπεχθανόμενοι· καὶ περὶ Ἰσιδώρου, ὡς διάφορος Θεοφίλῳ κατέστη· καὶ ὡς ἡ βασίλισσα αὐτοὺς ἠξίου ἀναδοχῆς.

Καὶ κατὰ μὲν Αἴγυπτον ταῦτα γινόμενα τὸν Ἰωάννην τέως ἐλάνθανον· ἐκεῖνος δὲ ἀνθῶν ταῖς διδασκαλίαις μάλιστα διετέλει, περιβόητος ἁπαντα-

χοῦ τῇ ἐξ ἁπάντων φήμῃ γινόμενος. Οἱ δὲ περὶ A Διόσκορον τὰ μὲν πρῶτα εἰς Ἱεροσόλυμα ἧκον· ἐκεῖθέν τε εἰς Σκυθόπολιν μετεχώρουν, ἐπιτηδείαν αὐτοῖς πρὸς κατοικίαν οὖσαν διὰ τὸ τῶν φοινίκων πλῆθος· τοῖς γὰρ φύλλοις ἐκείνων ἐχρῶντο πρὸς τὰ μοναχοῖς ἀνδράσιν ἀνήκοντα ἔργα. Καὶ ἄνδρες δὲ τούτοις τῆς ἐρήμου ἐκείνης εἵποντο ἀμφὶ ὀγδοήκοντα. Θεόφιλος δὲ δείσας, εἰς τὴν Κωνσταντίνου εὐθὺς ἔπεμπεν, ὥστε αὐτοὺς σκευωρῆσαι διαβολαῖς, ἐμποδών τε καταστῆναι, εἴ γε περί τινος βασιλέως δέοιντο· ὃ δὴ οἱ περὶ Ἀμμώνιον καὶ Διόσκορον διαγνόντες, εὐθὺς καὶ αὐτοὶ εἰς τὴν Κωνσταντίνου ἀπέπλεον. Συνῆν δὲ αὐτοῖς καὶ Ἰσίδωρος, δι' οὗ τῆς ἔχθρας καὶ τοῖς περὶ Διόσκορον εἰς μῖσος κατέστη Ἰσίδωρος, ὁ πάλαι μὲν ἐπὶ τόσον Θεοφίλῳ κεχαρισμένος, B ὅτι γε καὶ μετὰ Νεκτάριον ἐπίσκοπον τῆς Κωνσταντίνου χειροτονεῖν ἐσπούδαζε· τότε δὲ ἀπηχθημένος τὰ μάλιστα δι' αἰτίαν τοιάνδε· Πέτρος τις ἦν πρῶτος τῶν ἐν Ἀλεξανδρείᾳ πρεσβυτέρων, ὃν ἀμύνασθαι Θεόφιλος βουληθεὶς διά τινα συμβᾶσαν ἀπέχθειαν, τῆς ἐκκλησιαστικῆς ἀξίας ἐξῶσαι διενοεῖτο· μέμψιν δ' ἐπῆγεν αὐτῷ, ὡς γυναῖκά τινα τῆς Μανιχαϊκῆς αἱρέσεως οὖσαν, πρινὴ ταύτην ἀπαγορεῦσαι τὴν αἵρεσιν, θείων μυστηρίων καταξιῶσαι. Καὶ ἄλλως δὲ αὐτῷ ἀπηχθάνετο. Ὁ δ' ἀρχιπρεσβύτερος, καὶ κατὰ νόμον τῆς Ἐκκλησίας ἐκείνῃ προβῆναι τὸν νόμον ἔλεγε. Καὶ αὐτοῦ δὲ προτροπῇ Θεοφίλου, εἰς τὰ μυστήρια παραδεδέχθαι τὸ γύναιον διετείνετο. Ὁ δ' ἐπίσκοπος ἠγανάκτει, καὶ οἷα συκοφαντούμενος διεπρίετο. Πέτρος δὲ εἰς πί- C στιν τοῦ πράγματος, καὶ τὸν Ἰσίδωρον μάρτυρα ἐκάλει, ὡς εἴη τὴν γυναῖκα κατὰ γνώμην τοῦ ἐπισκόπου τοῖς μυστηρίοις εἰσδεδεγμένος. Ἀπόδημος δὲ τηνικαῦτα εἰς Ῥώμην ἐτύγχανεν ὢν ὁ Ἰσίδωρος. Διερεθίζοντος γὰρ Ἰωάννου, πρὸς Θεόφιλον ἐπέμπετο εἰς τὸν τῆς Ῥώμης ἐπίσκοπον Δάμασον, ὥστε τὰ ἐν μέσῳ διαλῦσαι διὰ τοῦ Φλαβιανοῦ ὅρκον γεγενημένα, καὶ καταλλάξαι αὐτούς· διάφοροι γὰρ ἔτι οἱ Εὐσταθίῳ καὶ Μελετίῳ προσκείμενοι ἦσαν Φλαβιανῷ, ὡς καὶ ἀνωτέρω εἰρήκαμεν. Ἐπεὶ δ' ἐπανῆλθεν Ἰσίδωρος, ἀληθῆ λέγειν τὸν Πέτρον διεμαρτύρατο, ὡς κατὰ γνώμην τὰ ἐπὶ γυναικὶ γενόμενα τοῦ ἐπισκόπου προέβη. Ὡς διαβληθεὶς δὲ χαλεπήνας σφόδρα Θεόφιλος, καὶ ἄμφω τῆς Ἐκκλησίας ἐξήλασε. Καὶ μία μὲν αὕτη αἰτία τοῦ καὶ Ἰσίδωρον διάφορον D Θεοφίλῳ καταστῆναι· καὶ ἄλλην δὲ ἔγνων, ἣν δὴ καὶ ταύτην ἐκθέσθαι εὔλογον ἥγημαι. Ἐπίτροπος ἦν τῶν ἐν τῇ ἐκκλησίᾳ πτωχῶν ὁ Ἰσίδωρος· πολλῶν δὲ χρημάτων ἐκείνων χάριν χορηγουμένων, ἀπηξίου Θεοφίλῳ διδόναι, ἐπιχειροῦντι διαρπάζειν, καὶ εἰς ἐκκλησιῶν δαπάνας ἀναλίσκειν αὐτά. Εἰσηγεῖτο γὰρ « ἄμεινον μᾶλλον εἶναι τὰ τῶν καμνόντων σώματα, ἃ δὴ καὶ ναοὶ Θεοῦ κυριώτεροι, δι' οὓς καὶ ἡ τῶν χρημάτων εἰσφορά, ταῖς ἀνηκούσαις θεραπείαις ἀνανεοῦν, ἢ τοίχους ἀψύχους ἐγείρειν, καὶ εἰς κάλλος οἰκοδομεῖν. » Εἴτ' οὖν αὕτη, εἴτ' ἐκείνη αἰτία τῆς πρὸς Ἰσίδωρον δυσμενείας ἐγίνετο, τέως ἀπελαθεὶς πρὸς τοὺς ἑταίρους τῶν μοναχῶν ἀνὰ τὴν Σκῆτιν ἐγένετο· καὶ ἐγκοτῶν Θεοφίλῳ καὶ αὐτὸς διετέλει. Ἀμμώνιος δὲ

A ubique celebris et clarus. Dioscorus autem cum suis Hierosolyma primum concessit, deinde Scythopolim se contulit: quem locum idoneum sibi atque suis esse ad incolendum putavit propter palmarum frequentiam, quod earum foliis ad opera sua monachi recte uterentur. Sequebantur autem eos solitudinis illius viri circiter octoginta. At Theophilus sibi metuens, statim Constantinopolim suos misit, qui cum illis per calumnias insidias struerent, tum etiam si quid illi ab imperatore peterent, impedimento eis essent. De quo ubi Ammonius et Dioscorus certiores sunt facti, confestim et ipsi Constantinopolim navigarunt. Fuit enim cum eis Isidorus, propter cujus inimicitias Dioscorum quoque germanosque ejus Theophilus B magis odisse cœpit. Hic vir quidem adeo Theophilo charus antea fuerat, ut illum etiam post Nectarii mortem magna contentione episcopum Constantinopolitanum factum voluerit. Tum autem hostili maxime in eum erat animo, cum alias ob causas, tum propter hanc potissimum. Erat Alexandriæ primarius quidam presbyter Petrus, quem Theophilus propter simultatem quamdam, quæ eis intercessit, ulcisci volens, abrogare homini dignitatem ecclesiasticam cogitabat. illo ei objecto crimine, quod mulierem quamdam Manichææ hæresis prius ad divina mysteria percipienda admisisset, quam illa hæresi nuntium legitime remisisset. 374 Oderat vero eum aliis etiam de C causis. Archipresbyter constitutionem Ecclesiæ in ea muliere servatam, eamque ipsius Theophili cohortatione ad mysteria admissam esse confirmavit. Episcopus indignari, et perinde atque calumniis oneratus esset, furere. Petrus ad fidem rei faciendam, Isidorum testem laudare, quod de episcopi sententia mulier ad mysteria recepta esset. Isidorus autem Romæ tum erat, instinctu Joannis a Theophilo ad episcopum Romanum Damasum missus, ut dissidium quod propter Flaviani juramentum emerserat, tolleret, et episcopos inter se in gratiam reduceret. Dissentiebant enim adhuc a Flaviano, qui Eustathii et Meletii partes secuti fuerant, sicuti supra a nobis est dictum. Postquam autem Isidorus rediit, verum Petrum D dicere, ex voluntate videlicet episcopi de muliere acta esse omnia, testificatus est. Theophilus autem, veluti ei calumnia intentata esset, vehementius indignatus, utrumque ex Ecclesia deturbavit. Hæc una causa est, quam ob rem Isidoro et Theophilo dissidium intercesserit. Cognovi vero et aliam, quam et ipsam ut exponerem, convenire est visum. Pauperum in ecclesia curam gerebat Isidorus: quorum gratia cum hominum liberalitate multa esset collata pecunia, eam Theophilo rapere, et in ecclesiarum structuram impendere volenti, Isidorus dare renuit. « Rectius enim esse asseruit, pecunia tali ægrorum corpora, quæ veriora essent Dei templa, quandoquidem præcipue in eum usum comportata esset, cura convenienti restituere,

quam parietes inanimatos magnifice excitare atque construere. » Sive vero hæc, seu alia inimicitiarum Theophili erga Isidorum causa fuerit, tum quidem ille Alexandria pulsus, ad monachos tanquam amicos in Scetim se recepit, et male in Theophilum et ipse animatus fuit. Ejuscemodi offensam Ammonius abolere volens, ascitis sibi aliis quibusdam monachis, ad Theophilum venit, et ut Isidoro communio redderetur, ab eo petiit. Id ille se facturum recepit. Et vero satis multum temporis præteriit, et illi nihil egerunt, Theophilusque aperte præ se tulit, tempore extrahendo, verbis eos ludere velle : vehementiore ardore eum aggressi, ut promissum ad finem suum perduceret, supplicando postularunt. **375** Et ille quemdam ex monachis comprehensum custodiæ inclusit, ut aliis exterritis, molestia ea qua illum frequenter impetebant, liberaretur. Tantum autem abest ut consilio eo quidquam effecerit, ut Ammonius una cum reliquis quos coegerat monachis, sua sponte carcerem sit ingressus. Cum enim eam de se custodibus præbuissent opinionem, veluti illam ob causam eo venissent, ut vinctis res necessarias præberent, liberum habuere in carcerem ingressum, atque inde egredi noluerunt. Quod ubi Theophilus intellexit, ad se eos venire jussit. Illi autem primum ei significarunt, ut ipse ibi præsto esset, et exeundi eis potestatem concederet. Oportere enim propalam eis exitum permitti, qui tam aperte contumelia ab eo affecti essent. Vix autem deinde ei cedentes, ad eum sunt progressi. Ille deprecatione interveniente, pollicitus se eis postea molestum non fore, sed re ipsa promissum expleturum esse, eos absolvit. Intra seipsum autem se excrucians indignabatur, et mali quidpiam viris eis facere moliebatur, quos antea non secus atque suam ipsius animam dilexisset. Cum autem animi dubius esset, quomodo tandem ægre illis faceret, qui præterquam corpora nihil possiderent, et res omnes monasticæ philosophiæ suæ postponerent, quietem eorum interturbare aggressus est, et quæstionem eam de Origenis opinione quæ dicta est, eis criminis loco objecit. Has fuisse causas cognovi, cur Isidorus, quem diximus, cum Dioscoro et fratribus ejus Constantinopolim venerit : nimirum ut publice sub imperatore ipso et Joanne judicibus, injuriæ atque insidiæ, quibus expetiti fuerant, cognoscerentur. Existimabant enim, Joannem pro consueta sibi libertate, qua legitime utebatur, a jure et æquitate non aberraturum esse. Ille viros benigne acceptos in honore habuit, et ad communes in ecclesia preces adhibuit, ad divinorum autem mysteriorum communionem non admisit. Neque enim fas erat, ante causam cognitam ea cum illis communicare. Ad Theophilum vero pro eis litteras dedit, ut vel illis communionem redderet, qui recte de Deo sentirent : vel idoneum aliquem Constantinopolim mitteret, qui cum illis ambigeret, siquidem ei visum esset, cum eis judicio contendere. Et cum diutius in urbe monachi morarentur, et imperatrix Eudoxia in publicum progressa esset, **376** Ammonius cum

A διαλύειν θέλων τὸ σκάνδαλον, καὶ ἄλλους τινὰς τῶν μοναχῶν προσεταιρισάμενος, πρὸς Θεόφιλον ἧκε· καὶ τὴν κοινωνίαν αὖθις Ἰσιδώρῳ δοῦναι ἐδεῖτο· ὁ δ' ὑπισχνεῖτο. Ὡς δὲ χρόνου ῥέοντος οὐδὲν μᾶλλον ἤνυον, δῆλος δ' ἐγίνετο καὶ Θεόφιλος ἐκείνους ταῖς ἀπάταις τῶν λόγων παρακρουόμενος, θερμότερον εἰσπεσόντες, περαίνειν τὸ ἔργον κατηντιβόλουν. Ὁ δ' ἕνα τῶν μοναχῶν συλλαβὼν, ἐδίδου φρουρᾷ, ὡς ἂν τοὺς ἄλλους φοβήσας, ἀπαλλαγείη τῆς συχνῆς ἐπιθέσεως. Ὁ δὲ τοσοῦτον τοῦ σκοποῦ διημάρτανεν, ὥστ' Ἀμμώνιος καὶ τοὺς λοιποὺς ἀθροίσας τῶν μοναχῶν, ὑπὸ τὴν φρουρὰν ἑκὼν ἐγεγόνει· δόκησιν γὰρ τοῖς φρουροῖς παρασχόντες, ὡς εἰς μετάδοσιν τῶν ἐπιτηδείων τοῖς καθειργμένοις ἧκον, ἄνετον εὗρον τὴν εἴσοδον. Ἐκεῖσε δὲ γεγονότες,
B οὐκέτ' ἐξιέναι ἠβούλοντο. Γνοὺς δὲ ταῦτα Θεόφιλος, πρὸς ἑαυτὸν αὐτοὺς μετεστέλλετο. Οἱ δὲ πρῶτα μὲν διεμήνυον, αὐτὸν ἐκεῖνον παραγενόμενον ἀνιέναι τὴν ἔξοδον· χρῆναι γὰρ παῤῥησίᾳ ὑβρισμένους, ἐν φανερῷ καὶ τὴν ἔξοδον γεγενῆσθαι· μόλις δ' ἐνδόντες, παρ' αὐτὸν ἧκον. Παραίτησιν δὲ δοὺς ὡς οὐκέτι λυπήσει, ἀλλ' ἐκτελέσει τὸ ἔργον, ἀπέπεμπε· καθ' ἑαυτὸν δ' ἐπλήττετο καὶ ἠγανάκτει, καὶ κακόν τι δρᾷν ἐμελέτα τοὺς ἄνδρας, οὓς ἴσα καὶ ψυχῇ φιλῶν διετέλει. Ἐν ἀπόρῳ δὲ καθεστὼς ὅ τι δράσειεν, ἄνδρας πλὴν τοῦ σώματος μηδὲν κεκτημένους, καὶ πάντ' ἐν δευτέρῳ πρὸς τὸ φιλοσοφεῖν ποιουμένους, τὴν ἡσυχίαν αὐτῶν ἐπειρᾶτο ὀχλαγωγεῖν· καὶ τὸ περὶ τῆς Ὠριγένους δόξης ζήτημα, ὥς γε εἴρηται, τούτοις ἐπῃτιᾶτο. Ταύτην μὲν οὖν ἔγνων
C πρόφασιν τοῦ καὶ τὸν εἰρημένον Ἰσίδωρον σὺν τοῖς περὶ Διόσκορον τὴν Κωνσταντίνου καταλαβεῖν· ὥστε κοινῇ δὴ προσιόντες παρά τε βασιλεῖ καὶ Ἰωάννῃ κριταῖς, τὰ κατ' αὐτῶν ἐσκευωρημένα διελεγχθῆναι· καὶ γὰρ ᾤοντο Ἰωάννην ἐνδίκου παῤῥησίας ἐπιμελούμενον, τῶν δικαίων μὴ ἀστοχῆσαι. Ὁ δὲ φιλοφρόνως τοὺς ἄνδρας δεξάμενος, ἐν τιμῇ εἶχε· καὶ τῶν μὲν ἐπὶ τῆς ἐκκλησίας εὐχῶν μετεδίδου, θείων δὲ κοινωνεῖν αὐτοῖς μυστηρίων ἀπηξίου· μηδὲ γὰρ θεμιτὸν εἶναι πρὸ διαγνώσεως, τούτων αὐτοῖς μεταδοῦναι. Γράμμα δὲ καὶ Θεοφίλῳ ὑπὲρ αὐτῶν ἔστελλεν, ἢ τὴν κοινωνίαν αὐτοῖς ἀποδοῦναι, ὀρθῶς τὸ Θεῖον δοξάζουσιν· εἰ δ' οὖν, ἀλλά τινα πέμπειν αὐτοῖς δικασόμενον, ὃς αὐτῷ ἐπιτή-
D δειος· εἴγε τέως δίκῃ δεῖν ἕλοιτο τὰ κατ' αὐτοὺς διακρίνασθαι. Ἐπὶ πολλοῦ δὲ καιροῦ τῆς ἐν πόλει διατριβῆς τοῖς μοναχοῖς γενομένης, ἐφ' ὁδοῦ προϊούσῃ τῇ βασιλίδι Εὐδοξίᾳ, οἱ ἀμφὶ Ἀμμώνιον ἐκείνῃ προσῆλθον, ἐπαιτιώμενοι Θεόφιλον οἷς κατ' αὐτῶν ἐβουλεύσατο. Ἡ δ' αἰσθομένη τὴν κατ' αὐτοὺς ἀδικίαν, τιμῶσα τοὺς ἄνδρας, τοῦ πρόσω ἰέναι ἔστη· καὶ τοῦ βασιλικοῦ ὀχήματος προκύψασα, τῇ κεφαλῇ ἐπένευε, καὶ, « Εὐλογεῖτε, ἔφη, εὐχάς τε ὑπὲρ τοῦ βασιλέως καὶ ἐμοῦ καὶ τῶν παίδων ποιεῖτε. Ἐγὼ δ' ὅσον τάχος σπεύσω Θεόφιλον ἀφικέσθαι. » Καὶ ἡ μὲν τάδε εἰποῦσα διέβη.

fratribus suis ad eam in via accessit, Theophilum propter injurias eis insidiose illatas accusavit. Illa autem ubi inique cum eis actum esse sensit, honorem viris exhibens, constitit, atque ex imperiali curru prospiciens, capite eis annuit et, « Benedictionem, inquit, nobis impertite, et Deum pro imperatore (1), et me, liberisque nostris, orate. Ego vero quam celerrime curabo, ut Theophilus hic præsto sit. » Hæc postquam illa dixit, ulterius processit.

ΚΕΦΑΛ. ΙΒ'.

A

Ὡς Θεόφιλος κατὰ Ἰωάννου γενόμενος, καὶ Ἐπιφάνιον τὸν Κύπρου προσεταιρισάμενος, τὰ πρῶτα ἐκείνῳ διάφορος ὤν, ὡς Ὠριγενιαστὴν τὸν Ἰωάννην διέβαλε, καὶ συνόδους ἐποίει ἀθετούσας τὰ Ὠριγένους συγγράμματα, Ἰωάννην καὶ τοὺς Μακροὺς δῆθεν ἐπαιτιώμενος.

Φήμη δὲ ψευδὴς ἀνὰ τὴν Ἀλεξάνδρειαν ἔφθανεν, ὡς εἴη Ἰωάννης καὶ μυστηρίων αὐτοῖς μεταδοὺς, ἐπικουρῆσαί τε διανοούμενος. Θεόφιλος δὲ παντοῖος ἦν, οὐ μόνον ἀμύνασθαι τοὺς περὶ Διόσκορον, ἀλλ' εἴ γε δύναιτο, καὶ αὐτὸν Ἰωάννην τῆς ἐπισκοπῆς καθελεῖν. Ἐνδομυχῶν δὲ ταῦτα καὶ συσκευάζων, τοῖς κατὰ πόλεις ἐπισκόποις ἐπέστελλε, κρύπτων μὲν τὴν ὠδῖνα, τοῖς Ὠριγένους δὲ βιβλίοις ἐπιμεμφόμενος· οἷς δὴ πρὸς αὐτοῦ ὁ πολύαθλος Ἀθανάσιος B τῆς οἰκείας πίστεως εἰς σύστασιν ἀπεχρήσατο πλειστάκις ἐν τοῖς κατὰ Ἀρειανῶν αὐτῷ πονηθεῖσι συγγράμμασι. Λογισάμενος δὲ πολύ τι συνοίσειν τῷ προκειμένῳ σκοπῷ, εἰ καὶ Ἐπιφάνιον τὸν Σαλαμίνης τῆς Κύπρου ἐπίσκοπον πρὸς κοινωνίαν τῆς σπουδῆς ἑταιρίσοιτο, περιβόητον ἄνδρα τῶν κατ' αὐτὸν, ἐπίσημόν τε βίῳ καὶ αἰδοῖ ἀρετῆς λαμπρυνόμενον, εὐθὺς πέμψας, φίλον τε ἐποιεῖτο, καίπερ τὰ πρῶτα τούτῳ διαφερόμενος, ὡς ἀνθρωπόμορφον τὸ Θεῖον δοξάζοντι· τότε δ' ὡς ἐκ μετανοίας τὴν ὀρθὴν ἐσχηκὼς δόξαν, ὁμόφρων δῆθεν αὐτῷ καθειστήκει. Οὕτω τοίνυν ἔχων Θεόφιλος, καὶ διατωθάζων τοὺς ἀνθρωπόμορφον τὸ Θεῖον δοξάζοντας, διὰ τὴν πρὸς ἑτέρους ἀπέχθειαν τῷ φαινομένῳ παρῃτεῖτο ἃ ἐδόξαζε. Τότε δ' οὖν, ὡς εἴρηται, φίλον ποιήσας τὸν Ἐπιφάνιον, C ὁμοφρονεῖν προσεποιεῖτο ταῖς περὶ Θεοῦ δόξαις αὐτῷ· παρεκίνει τε τοῦτον, εἰς τὴν τῶν Ὠριγένους βίβλων διαβολὴν, ὡς αἰτίων δῆθεν δογμάτων διεφθορότων. Ἐπιφάνιος δ' ἔκπαλαι ἀπεχθῶς τοῖς Ὠριγένους ἔχων συγγράμμασιν, ἁπλοῦς τε ὢν, καὶ ἄκρᾳ εὐλαβείᾳ συζῶν, ῥᾷστα τῇ Θεοφίλου σπουδῇ πειθήνιος ἦν· καὶ τοὺς ἐν Κύπρῳ ἐπισκόπους εὐθὺς ἀθροίσας, ἀπηγόρευε τὴν τῶν Ὠριγένους λόγων ἀνάγνωσιν· καὶ τὰ τῇ συνόδῳ ἐγνωσμένα, ἄλλοις τε ἔπεμπε, καὶ τῷ τῆς Κωνσταντίνου ἀρχιερεῖ. Ἐν οἷς κἀκεῖνον προὐτρέπετο, σύνοδόν τε ποιεῖν, καὶ τὰ ἴσα κατὰ τῶν Ὠριγένους λόγων ψηφίζεσθαι, καὶ τοῦ λοιποῦ δ' ἀπαγορεύειν τὰ Ὠριγένους ἀναγινώσκειν βιβλία. Θεόφιλος δὲ τὸν περιβόητον Ἐπιφάνιον D συναρπάσας, πολλοὺς ἐπαινέτας ἔχοντα, καὶ διὰ τὸ περιὸν τοῦ βίου, ὅπερ ἂν φρονοίη, δοξάζοντας, παραπλήσια καὶ αὐτοὺς τοὺς ὑπ' αὐτὸν ἐπισκόπους συναγαγὼν, ἐψηφίζετο· καὶ μακρὰν ἐποιεῖτο διαβολὴν, Ὠριγένους ἤδη πρὸ διακοσίων ἐτῶν τελευτή·

CAPUT XII.

Ut Theophilus Joanni adversans, se in amicitiam Epiphanii Cyprii episcopi, cui antea fuerat inimicus, insinuaverit, et Joannem tanquam Origenistam per calumniam arguerit, synodosque coegerit, quæ Origenis scripta aboleverunt, in hoc ut Joannem et Longos criminando traduceret.

Fama vero falsa Alexandriam pervenit, Joannem cum illis mysteria communicasse, opemque illis ferre constituisse. Porro Theophilus varia in animo agitabat consilia, ut non solum Dioscorum et germanos ejus ulcisceretur, verum etiam Joannem, si fieri posset, episcopatu dejiceret. Atque hæc secum ipse tacitus volvens, et insidiose moliens, ad urbium plerarumque episcopos scripsit, consilium quidem quod parturiebat occultans: Origenis autem libris insultans, quibus Athanasius ille multorum certaminum victor ante eum ad fidem suam comprobandam, in lucubrationibus suis adversus Arianos editis sæpenumero est usus. Postquam autem ei in mentem venit, multum cœpto suo profuturum esse, si Epiphanium Salaminis (2) in Cypro episcopum ad conatus ejus societatem sibi asscisceret, ætatis suæ perquam celebrem, vitaque præclarum et virtutis reverentia spectatum virum, statim ad eum misit, sibique amicum fecit, cum quidem dudum ab illo dissensisset, utpote qui Deum humana forma esse opinaretur, tum autem, veluti per pœnitentiam ipse Theophilus rectam complexus esset sententiam, suffragator ei est factus. Ea scilicet mente Theophilus fuit, ut qui humanam formam Deo tribuentes rideret, propter quorumdam inimicitias aversari se ea quæ recte opinaretur, significationem per fucum de se præberet (3). Tum igitur quemadmodum dictum est, ubi Epiphanium amicum sibi reddidit, consentire ei se in opinione de Deo assimulavit, eumdemque ad librorum Origenis calumniosam suggillationem, perinde atque pravorum dogmatum causæ essent, incitavit. 377 Epiphanius autem, qui dudum Origenis scripta exosa habebat, quod simplex esset, et in summa religione viveret, facillime pedibus in Theophili sententiam ivit. Et illico episcopis in Cypro congregatis, Origenis librorum lectionem edicto inhibuit. Et synodi ejus decretum cum ad alios multos, tum ad Constantinopolitanum antistitem misit: quem etiam hortatus est, ut synodo coacta, idem de Origenis scriptis statueret, ac deinceps sibi ipsi eorum lectione interdiceret. Theophilus, ubi Epiphanium, multos

(1) Et pro imperio Romano. *Sozom.*
(2) Constantiæ *Socr.* Sic enim quoque ea urbs est dicta.
(3) Socr. lib. VI, cap. 10. Sozom. lib. VIII, cap. 14.

habentem laudatores, qui propter vitæ ejus præstantiam, quod ipse sentiret, opinione sua (1) comprobabant, ad partes suas pertraxit; convocatis et ipse qui sub eo erant episcopis, decretum in eamdem sententiam fecit, et prolixam Origeni intendit calumniam, qui etiam ante ducentos annos e vita excesserat : non ille quidem hoc præcipue propositum sibi consilium habens, sed illud maxime agens, ut Dioscorum ulcisceretur. At admirandus Joannes res ejusmodi indigniores esse putavit, quam ut eorum cura et studio occuparetur, Epiphaniique et Theophili litteras nihil prorsus est moratus, verum consuetis sibi doctrinæ laboribus incumbens, in ea maxime florebat, insidiarum quæ ei sinistre tendebantur, nullam habens rationem. Ubi autem manifesto constitit, Theophilum id studio omni conari, ut Joannem throno dejiceret, tum vero qui hostili in eum erant animo, ex clero quidem multi, non pauci vero etiam ex magistratibus et eis qui potentia et auctoritate valerent, commodum se tempus invenisse rati, quo vindictæ suæ in Joannem cupiditatem ostenderent, obtrectationes undecunque calumniis et sycophantiis emendicatis texuerunt, atque ut ingens synodus in urbe Constantinopolitana celebraretur, instituerunt episcopis quibusdam ea de causa scribentes, plures autem sine scripto evocantes. Et Theophilus ea re cognita, studium etiam suum magis intendit, et Ægyptiis episcopis, ut Constantinopolim trajicerent, auctor fuit : Epiphanio autem, et aliis in Oriente episcopis scripsit, se celeriter Constantinopolim conferrent. Ipse porro pedestri itinere eo profectus est.

A σαντος, οὐ τοῦτο προηγούμενον πάντω, ἔχων, ἀλλ ἀμύνασθαι τοὺς περὶ Διόσκορον ᾑρημένος. Ὁ δὲ θεσπέσιος Ἰωάννης τὸ μὲν περὶ τὰ τοιαῦτα σπουδάζειν οὐδὲ λόγου ἠξίωσε· τὰ δέ γ' Ἐπιφανίου καὶ Θεοφίλου γράμματα ἐν οὐδεμιᾷ ἐποιεῖτο φροντίδι· τῶν δὲ συνήθων τῆς διδασκαλίας εἴχετο ἔργων, καὶ κατ' αὐτὴν μάλιστα ἤνθει, τῶν κατ' αὐτοῦ σκευωρουμένων μηδένα λόγον ποιούμενος. Ὡς δὲ Θεόφιλος καταφανὴς ἦν, σπουδὴν πᾶσαν ποιούμενος τοῦ θρόνου κατασπάσαι τὸν Ἰωάννην, τότε δὴ οἱ δυσμενῶς Ἰωάννῃ ἔχοντες, πολλοὶ μὲν τοῦ κλήρου, οὐκ ὀλίγοι δὲ καὶ τῶν ἐν τέλει καὶ τὰ μέγιστα δυναμένων, καιρὸν εὑρηκέναι νομίσαντες, καθ' ὃν τὸ πρόσον τῆς ἀμύνης ἐπὶ Ἰωάννῃ ἐνδείξαιντο, διαβολὰς συνέῤῥαπτον ὅθεν δή ποτ' ἐρανιζόμενοι τὰς συκο- B φαντίας, καὶ σύνοδον μεγάλην ἀνὰ τὴν Κωνσταντίνου γενέσθαι παρεσκευάζοντο, οἷς μὲν ἐπιστέλλοντες, τοὺς πλείους δὲ καὶ ἀγράφως μεταστελλόμενοι. Ὃ δὴ καὶ Θεόφιλος γνοὺς, ἔτι μᾶλλον ἐν σπουδῇ ἦν. Καὶ τοὺς μὲν Αἰγυπτίους ἐπισκόπους καταπλέειν ἐποίει· ἔγραφε δ' Ἐπιφανίῳ καὶ τοῖς ἄλλοις ἀνὰ τὴν ἕω ἐπισκόποις σπουδῇ ἐπὶ τὴν Κωνσταντίνου διαπερᾷν. Αὐτὸς δὲ πεζῇ ἐλαύνων ἀνῄει.

378 CAPUT XIII.

De Joannis et Epiphanii in urbe Constantinopolitana dissidio. et ut pœnitentia ductus Epiphanius in Cyprum navigans, vitam morte commutarit, ita ut Joannes prædixerat.

Parva intercessit mora, et Epiphanius primus navi advectus, ad Septimum urbi vicinum venit, decretum contra Origenem scriptum secum ferens : in quo non Origenem ipsum excommunicavit, sed libros tantum ejus damnavit. Et postquam in ejus loci ecclesia precationem peregit, et diaconum ordinavit, Constantinopolim est ingressus : quem Joannes advenientem, clero omni honorifice ei obviam misso, excepit. Ille autem aperte præ se Theophili suasionibus se duci tulit. Nam admonitus ut in ædibus ecclesiasticis maneret, conditionem eam repudiavit, et in eamdem cum Joanne locum convenire, Theophilo nimirum gratificatus, renuit. Episcopis etiam advenis seorsum ad se evocatis, abolitionem Origenis scriptorum exhibuit : non ille quidem, quod contra ea diceret, habens, sed de Theophili sententia rejicere ea tentans. Et reperti quidam sunt, qui sua erga Epiphanium observantia decretum id chirographis suis confirmarunt, plurimi vero id facere detrectarunt. Porro Theotimus Scytharum episcopus, Epiphanium etiam

C ΚΕΦΑΛ. ΙΓ'.

Περὶ τῆς Ἰωάννου καὶ Ἐπιφανίου διαφορᾶς ἐν τῇ Κωνσταντίνου· καὶ ὡς τὰ ἐν μέσῳ διαλύσας Ἐπιφάνιος, εἰς Κύπρον πλέων τὸν βίον μετήλλαξεν, ὡς Ἰωάννης προήγγειλεν.

Οὐκ εἰς μακρὰν δὲ καταπλεύσας πρῶτος ὁ Ἐπιφάνιος, εἰς τὸ πρὸ τῆς πόλεως Ἕβδομον ἧκε· καὶ τὰ κατὰ Ὠριγένους ψηφισθέντα ἐπιφερόμενος, ἐν οἷς οὐ μόνον Ὠριγένους, ἀλλὰ καὶ αὐτὰ μόνα τὰ βιβλία καταιτιᾶται. Τῇ δ' ἐκεῖσε ἐκκλησίᾳ εὐξάμενος, καὶ διακόνου χειροτονίαν τελέσας, τῇ Κωνσταντίνου εἰσήγετο. Εἰσιόντι δὲ ὁ Ἰωάννης τῇ ἀπαντῇ τοῦ κλήρου παντὸς πέμψας ἐτίμα. Ἐκεῖνος δὲ δῆλος ἦν ταῖς εἰσηγήσεσι Θεοφίλου πειθόμενος. Οἰκήμασι γὰρ ἐκκλησιαστικοῖς προτραπεὶς καταμένειν, ἥκιστα D προσεδέχετο. Ἐξέκλινε δὲ καὶ εἰς ταυτὸν Ἰωάννῃ ἐλθεῖν, χαριζόμενος Θεοφίλῳ. Τοὺς δ' ἐνδημοῦντας τῶν ἐπισκόπων κατ' ἰδίαν μεταστελλόμενος, τὰ καθαιρετικὰ τῶν Ὠριγένους ἐπεδείκνυ λόγων, οὔτι κατ' αὐτῶν λέγειν ἔχων, κατὰ δόξαν δὲ Θεοφίλου ἐλαύνειν ταῦτα πειρώμενος. Καί τινες μὲν αἰδοῖ τῇ πρὸς Ἐπιφάνιον τὰ ψηφισθέντα καὶ ἰδίαις ἐπεκύρουν γραφαῖς· οἱ δὲ πλείους μάλιστα παρῃτήσαντο. Θεότιμος δὲ ὁ Σκυθίας καὶ σχεδὸν Ἐπιφανίου τοῖς λόγοις καθίκετο, εἰπών· « Ἐγὼ, ὦ Ἐπιφάνιε, οὐχ ὅσιον ἥγημαι τὸν πάλαι τεθνηκότα ὑβρίζειν, οὐδ'

(1) Mirum profecto est, quod Nicephorus, Sozomenum secutus, Anthropomorphitam Epiphanium esse scripserit, cum eum diversæ sententiæ assertorem fuisse constet, in Panario opere contra Audianos hæreticos disputantem : *Qui opinati falso sunt, quod Deus ad imaginem et similitudinem suam hominem creaverit, propterea Deum hominis formam obtinere.*

Crispion vitam finierat, qui frater fuerat Physconis et Salami, præclarorum virtute monachorum: horum autem in historia Valentis meminimus. **380** Crispionem sane cum familiarem habuisset, in locum etiam archidiaconi Epiphanius evexerat. Ammonius et Dioscorus, hoc sic Eudoxia jubente, ad Epiphanium venere. Et cum illos Epiphanius, quinam essent interrogaret, Ammonius inferens: Longi, inquit, domine. Cæterum an unquam in scripta aut sectatores nostros incideris, scire percupio. Atque illo negante, rursum Ammonius interrogans: Quid ita igitur, ait, hæreticos eos censes, quorum sententiam non exploraris aut redargueris? Quod id ita audivisset, Epiphanius respondit. At nos, ille intulit, contra fecimus. Nam et cum discipulis tuis fuimus, et scripta tua legimus, et ex eis illud maxime, quod ἀγκυρωτοῦ, hoc est ancorati, inscriptionem habet. Cum autem multi conviciatrices acuerent linguas, ut il proscinderent, et tanquam hæreticum calumniari aggrederentur, nos optima ratione Patrem defendimus, atque illius scripta veluti rectissime composita propugnavimus. Proinde minime conveniebat, ut nos ita, indicta causa, veri quadam similitudine adductus rejiceres, quos ipse non condemnasti: aut talem referres gratiam eis, qui tecum sunt in rebus bonis et honestis conjuncti. » Epiphanius hisce verbis ad pœnitentiam conjectus, modestius homines et accepit et dimisit. Cum autem non diu, quasi sententia sua seipsum damnans, morandum sibi Constantinopoli duceret, aut Deus etiam, ut ego puto, mortem ei suam oraculo indicaret, in Cyprum navigavit, atque inter navigandum mortuus est. Et cum episcopi eum ad mare deducerent, et ipse navim conscendere deberet, dixisse ad eos fertur: « Urbem hanc et imperatoriam aulam, vitæque hujus actionem et fabulam vobis relinquo: ego vero abeo, in civitatem aliam transire properans. » Illud quoque sempiterna memoria dignum verbum protulisse eum dicunt, quod hodie quoque in auribus multorum personat. Quemadmodum enim Joannes Epiphanio mortem in mari prædixerat, sic ipse illi episcopatus abrogationem prænuntiavit. Nam cum inter se dissiderent, Epiphanius Joanni dixit: « Ego te episcopum moriturum esse non puto. » Ad quem Joannes contra: « Ego vero, inquit, scio te in Cyprum perventurum non esse. » Et habuit utrumque hoc dictum eventum suum. Neque enim Epiphanius in sedem suam rediit, **381** et Joannes paulo post throno suo ejectus est, sicuti hec historia procedens docebit.

CAPUT XIV.

De dissidio inter Joannem et Eudoxiam imperatricem, et de Theophili adversus Joannem insidiis, et de Cyrino episcopo Chalcedonensi.

Postquam Epiphanius discessit, Joannes a quibusdam certior fit, Epiphanium ab imperatoris conjuge adversus eum excitatum esse, cum varias alias ob injurias quas subditis illa intulerat, tum maxime propter vineam illam viduæ Callirogæ. Quam rem Joannes cum reprehensione carpere prius non desiit quam illa muliercula possessionem suam redderet. Et ut ille in ejusmodi delictis corrigendis ardentior atque in concionibus acrior

σιν ἡμετέροις ἢ μαθηταῖς ἐντυχεῖν σοι ἐγένετο, μαθεῖν ἐφίεμαι. » Ἀπειπόντος δ' ἐκείνου, πάλιν ἠρώτα πόθεν δὴ αἱρετικοὺς ἐκείνους νομίζοι, μὴ τῆς γνώμης ἐληλεγμένης; Εἰπεῖν δ' Ἐπιφάνιον, παραλαβεῖν ἀκοῇ· « Ἀλλ' ἡμεῖς δὲ, ἔφη, πᾶν τοὐναντίον ἐσμὲν πάσχοντες. Καὶ γὰρ συγγράμμασί τε καὶ φοιτηταῖς σοῖς ἐνετύχομεν, κἀκείνῳ μάλιστα τῶν συγγραμμάτων ὃ τὴν τοῦ Ἀγκυρωτὸς ἔχει ἐπιγραφήν. Πολλῶν δ' ἀκονώντων λοίδορον ἐκείνοις γλῶτταν, καὶ ὡς αἱρετικὸν διαβάλλειν ἐπιχειρούντων, Ἡμεῖς, εἶπον, ὑπὲρ Πατρὸς εὐλόγως ἀπολογούμεθα, ὡς ἀρίστως εἴη γεγραμμένα τἀκείνου ὑπερασπίζοντες. Οὔκουν ἐχρῆν ἡμῶν ἐρήμην οὕτως ἀπολέγεσθαι δίκην, ὧν αὐτὸς ἥκιστα κατέγνως, ἔκ τινων εἰκότων ἀναπεισθεὶς, οὔτ' ἀμείψασθαι οὕτω τοῖς σοι μᾶλλον προσκειμένοις ἐπὶ καλῷ· » Ἐπιφάνιος δὲ μετάμελος ἐξ ὧν ἤκουε γεγονὼς, μετριώτερόν τε προσήκατο καὶ ἀπέπεμπεν. Οὐκ εἰς μακρὰν δὲ τῆς ἐπὶ τὴν Κωνσταντίνου ἀφίξεως ἑαυτὸν καταγνοὺς, ἢ οἶμαι καὶ Θεοῦ τὸν οἰκεῖον θάνατον χρήσαντος, ἐπὶ Κύπρον ἀπέπλευσε. Καὶ ἔτι τῷ πλῷ χρώμενος, ἐτελεύτα. Λέγεται δὲ τοῖς ἐπὶ θάλασσαν προπέμψασιν ἐπισκόποις εἰπεῖν, ἐπιβαίνειν μέλλων τοῦ σκάφους· « Τὴν μὲν πόλιν καὶ τὰ βασίλεια καὶ τὴν ὑπόκρισιν ὑμῖν καταλείπω· ἐγὼ δὲ ἄπειμι, λίαν σπεύδων ἐπὶ ἄλλην πόλιν μεταχωρεῖν· » κἀκεῖνο δὲ τὸ ἀείμνηστον ἐπειπεῖν, ὃ πολλῶν εἰς δεῦρο ἀκοαῖς περιφέρεται· ὡς Ἰωάννης μὲν Ἐπιφανίῳ τὴν ἐπὶ θάλασσαν τελευτὴν προεμήνυεν, αὐτὸς δ' ἐκείνῳ τὴν τῆς ἐπισκοπῆς ἀφαίρεσιν. Ἐν ᾧ γὰρ πρὸς ἀλλήλους διεφέροντο, ὁ μὲν ἐδήλωσεν Ἰωάννῃ, ὡς « Ἐλπίζω σε μὴ ἀποθανεῖν ἐπίσκοπον· » ὁ δ' αὖθις ἐμήνυεν, « Ἐγὼ δὲ οἶδα ὡς οὐδὲ σὺ ἐπιβήσῃ τῆς Κύπρου. » Ἃ δὴ καὶ ἀμφότερα εἰς ἔργον ἐξέβη. Οὔτε γὰρ ἐκεῖνος τῆς πατρίδος ἐπέβη, καὶ Ἰωάννης μικρὸν ὕστερον ἀπηλάθη τοῦ θρόνου, ὡς προϊοῦσα ἱστορία δηλώσει.

ΚΕΦΑΛ. ΙΔ'.

Περὶ τῆς Ἰωάννου πρὸς τὴν βασίλισσαν Εὐδοξίαν διενέξεως· καὶ περὶ τῆς κατ' αὐτοῦ ἐπιχειρήσεως Θεοφίλου· καὶ περὶ Κυρίνου τοῦ ἐπισκόπου Χαλκηδόνος.

Ἐπεὶ δ' ἀπέπλευσεν Ἐπιφάνιος, πυνθάνεται πρός τινων Ἰωάννης, ὡς Ἐπιφάνιον ἡ βασίλισσα κατ' αὐτοῦ ἐξώπλισε, καὶ δι' ἄλλα μὲν αὐτῆς ἀδικήματα διαφόρως ἐπιγενόμενα· μάλιστα δὲ, καὶ διὰ τὸν τῆς χήρας Καλλιτρόπης ἀμπελῶνα ἐκεῖνον· ἣν ἐλέγχῳ χρώμενος οὐκ ἀνίη, ἕως οὗ τῇ γυναικὶ τὸ οἰκεῖον ἀποτίσαι κτῆμα. Οἷα δὲ περὶ τὰ τοιαῦτα θερμότατος, καὶ πρὸς λόγους ὀξὺς, ἐπ' ἐκκλησίας κοινῇ ψόγον κατὰ πονηρῶν γυναικῶν διεξῆλθε..

rant, congregati, cum faustis acclamationibus cupide eum susceperunt. Et quod ecclesiasticum hospitium aversatus fuerat, in imperiales quasdam ædes, quæ instructæ ei fuerant, divertit. Placidianæ hæ nominantur. Tum vero nulla librorum Origenis mentio erat, sed ad alia absurda crimina animos converterunt. Atque ubi multi accusatores convenere, Theophilus ex voluntate sua rebus dispositis, Constantinopoli in suburbanum navale Chalcedonis transiit : cui nomen est Δρῦς, hoc est Quercus : quod etiam ad hunc usque diem Rufini cousularis appellationem obtinet, splendidam regiam ecclesiamque maximam et celeberrimam habens, **383** quam ille in Petri et Pauli apostolorum honorem construxit, locumque Ἀποστολεῖον, hoc est apostolatum, sive apostolorum ædem, nominavit : in propinquo quoque plurima monachorum qui in ecclesia cleri mun'a obirent, domicilia ædificavit. Ibi episcoporum conventu coacto, Theophilus librorum quidem Origenis non meminit, monachos autem, qui ex Sceti venerant, primum ad pœnitentiam invitavit, præteritarum injuriarum se obliturum, neque eos postea offensurum esse pollicitus. Et cum Theophili partium studiosi, et ipsa synodus, pro ipsis per simulationem et fucum supplicum more deprecarentur : monachi ea re seducti, et quod in multorum episcoporum præsentia, etiamsi ipsi injuria affecti essent, faciendum hoc sibi esse putarent, solitum illum verbum : « Ignosce, », dixerunt. Theophilus porro non gravate eis indulsit, eosdemque ad communionem admisit : atque ita inquisitio de eis finem suum habuit. Quod quidem judicio meo factum non fuisset, si Dioscorus et Ammonius adhuc vixissent. Dioscorus namque Constantinopoli prius mortuus, in templo Mocii martyris sepultus est. Ammonius autem brevi post, cum synodus adornaretur, valetudine affecta in Quercum quidem venit, sed illic morbo propter trajectionem invalescente, paulo post et ipse diem suum obiit, atque ibi a monachis suis honorifice est tumulatus. De morte ejus certior factus Theophilus illacrymasse, atque illud propalam exclamasse fertur : « Nullum jam esse, qualis Ammonius fuerit, monachum reliquum, etiamsi ille ipsi turbarum causa fuerit. » Cæterum mors quoque ea ex sententia ejus cecidit. Theophilus et synodus ipsa Constantinopolitanæ urbis clerum omnem evocavit, dignitatis abrogationem, si quis adventum differret, comminata. Illi vero Joannem quoque, ut causam diceret, ibi adesse, et cum eo Serapionem quoque et Tigrium eunuchum presbyterum (1), et Paulum quemdam lectorem venire jusserunt. Hi namque una cum illo rei agebantur. Sed enim Joannes cum alios quosdam familiares ex clero suo, tum Demetrium Pessinuntium eo misit, et concilio verba hæc renuntiari præcepit « Non ego judicium fugio, para-

A ἧκεν, ἀθροισθὲν σὺν εὐφημίᾳ καὶ προθυμίᾳ ἐδέχοντο. Παραιτησάμενος δὲ τὴν ἐκκλησιαστικὴν οἰκίαν ἐπὶ μίαν τῶν βασιλικῶν οἰκιῶν ἦλθεν, ἣ αὐτῷ προητρέπιστο, ᾗ Πλακιδιαναὶ ἦν ὄνομα. Τὸ δ' ἐντεῦθεν, οὐκέτι μνεία τις ἦν τῶν Ὠριγένους βιβλίων, ἀλλ' ἐπὶ ἑτέρας ἀτόπους κατηγορίας ἐτρέποντο. Ὡς δὲ πολλοὶ κατήγοροι συνελέγοντο, Θεόφιλος ᾗ ἐκείνῳ ἐδόκει προδιαθέμενος, ἀπάρας τῆς Κωνσταντίνου, εἰς τὸ πρὸ τῆς Χαλκηδόνος ἐπίνειον, ᾧ Δρῦς ὄνομα, ἔβαινεν· ὃ Ῥουφίνου τοῦ ὑπατικοῦ εἰς ὄνομα ἐς δεῦρο καλεῖται· ἐν ᾧ λαμπρά τε βασίλεια ἦν, μεγίστη τε καὶ περιφανὴς ἐκκλησία, ἣν Ῥουφῖνος ἐκεῖνος, Παῦλον καὶ Πέτρον τοὺς ἀποστόλους τιμῶν, ἀνήγειρε, καὶ Ἀποστολεῖον τὸν τόπον ὠνόμασεν· ἐγγειτόνων δὲ, καὶ συνοικίαν ἀρκοῦσαν ἤθροιζε B μοναχῶν, οἳ τῆς ἐκκλησίας τὸν κλῆρον ἐπλήρουν. Ἐκεῖσε δὲ συνελθὼν σὺν τοῖς ἀμφ' αὐτὸν ἐπισκόποις, Θεόφιλος τὰ μὲν περὶ τῶν βίβλων Ὠριγένους οὐδὲ μνείας ἠξίου· ἐκάλει δὲ πρῶτον τοὺς ἀπὸ Σκήτεως μοναχοὺς εἰς μετάνοιαν, ὑπεσχημένος τοῦ λοιποῦ μήτε μνησικακεῖν, μήτε μὴν αὐτοὺς λυπεῖν. Ἐν προσποιήσει δὲ τῶν τε σπουδαστῶν καὶ τῆς συνόδου ἱκετευόντων ὑπὲρ αὐτῶν, παραχθέντες οἱ μοναχοὶ, καὶ τοῦτο δεῖν εἶναι λογισάμενοι ἐπὶ παρουσίᾳ πολλῶν ἐπισκόπων εἰπεῖν κἂν ἀδικῶνται, τὸ σύνηθες τοῦ λόγου, Συγχώρησον, ἔφασαν· ἑτοίμως δὲ παρεῖχε δῆθεν Θεόφιλος, καὶ κοινωνίας μεταδοὺς τὴν περὶ αὐτῶν ἐξέτασιν διελύετο. Οἶμαι δὲ μὴ τοῦτο γενέσθαι, εἴπερ αὐτοῖς ζῶντες ἦσαν Διόσκορος C καὶ Ἀμμώνιος. Ὁ μὲν γὰρ πρότερον ἐπὶ τῆς Κωνσταντίνου τελευτῇ χρησάμενος, ἐν τῷ τοῦ μάρτυρος Μωκίου κατετέθη νεῷ. Ὁ δ' Ἀμμώνιος οὐ πάνυ πόῤῥω τῆς συνόδου εὐτρεπιζομένης ἀῤῥώστως διατεθεὶς, ἧκεν εἰς Δρῦν. Σφοδρότερον δὲ τῆς νόσου ἐπεισπεσούσης τῇ περαιώσει, μετὰ μικρὸν καὶ αὐτὸς ἐτελεύτα· καὶ πρὸς τῶν οἰκείων μοναχῶν ἐκεῖ κατετέθη λαμπρᾶς ἠξιωμένος ταφῆς. Λέγεται δὲ μαθόντα Θεόφιλον τὸν ἐκείνου μόρον δακρῦσαι, καὶ παῤῥησίᾳ ἀναβοῆσαι, ὡς « Οὐδείς ἐστιν ἕτερος μοναχὸς οἷος Ἀμμώνιος, εἰ καὶ ταραχῆς αἴτιος ἐμοὶ ἐγεγόνει. » Ὅμως δὲ καὶ τοῦτο συμβὰν, κατὰ γνώμην ἐκείνῳ ἀπέβη. Θεόφιλος δὲ καὶ ἡ σύνοδος, καὶ τοὺς τῆς Κωνσταντινουπόλεως ἅπαντας μετεστέλλετο κληρικοὺς, καθαίρεσιν ἀπειλήσασα τοῖς ἀνα- D βαλλομένοις. Παρεῖναι δὲ πρὸς ἀπολογίαν καὶ τὸν Ἰωάννην ἐκέλευε· σὺν αὐτῷ δὲ ἥκειν καὶ Σεραπίωνα προσέταττε, καὶ Τίγριον εὐνοῦχον πρεσβύτερον· πρὸς δὲ καὶ Παῦλον ἀναγνώστην τινά. Οὗτοι γὰρ ἐκείνῳ συμμετεῖχον τῶν ἐγκλημάτων. Ὁ δὲ Ἰωάννης ἄλλους τέ τινας τῶν οἰκείων αὐτῷ τοῦ κλήρου, καὶ δὴ καὶ Δημήτριον τὸν Πισσινοῦντος διαπεμψάμενος πρὸς τὴν σύνοδον ἔλεγε, « μὴ φυγοδικεῖν· ἕτοιμον δὲ πρὸς ἀπολογίαν εἶναι, εἴγε τέως τίνες οἱ κατηγοροῦντες εἶεν, ἐκμάθοι· καὶ ὅτα γράφοιτο, πρότερον διασκέψοιτο. » Καὶ ἐπὶ μείζονι καὶ ἐντελεστέρᾳ συνόδῳ ἀπολογεῖσθαι ᾑρεῖτο· μηδὲ γὰρ οὕτως ἀνόητον ὑπομένειν αἱρεῖσθαι πρᾶγμα,

(1) Sozom. *eunuchum* non habet, Socrates habet.

ὥσθ' ὑπὸ περιφανῶν ἐχθρῶν ἀνέχεσθαι κρίνεσθαι. A Χαλεπῶς δ' ἐκείνων διατεθέντων, οἷάπερ ἀπειθεῖν ἐγνωκότος συνόδῳ τοιαύτῃ, οἱ μὲν πεμφθέντες, οὐκέτι ὀπίσω ἀνέστρεφον· Δημήτριος δὲ καὶ ὅσοι τὴν Ἰωάννου συνουσίαν τῆς κενῆς προετίμων δόξης, πρὸς τὸν ἅγιον ἐπανῆκον. Κατ' ἐκείνην δὲ τὴν ἡμέραν ταχυγράφος καὶ ταχυδρόμος ἐκ βασιλέως πεμφθέντες, τὸν μὲν κατήπειγον πρὸς τὴν σύνοδον ἀπαντᾷν· τοὺς δὲ μὴ ἄχθεσθαι διαμέλλοντας περὶ τὴν ἀπόφασιν. Ὡς δὲ καὶ τετράκις κληθεὶς οὐκ ἀπήντα, ὡς ἐχθροὺς ἐκείνους παραγραφόμενος, καὶ οἰκουμενικὴν σύνοδον ἐπεκαλεῖτο, ἐκεῖνοι ἐρήμην τοῦ ἀνδρὸς καταψηφισάμενοι, καθεῖλον αὐτὸν, οὐδὲν ἄλλο αἰτιασάμενοι, πλὴν ὅτι τετράκις κληθεὶς οὐκ ἀπήντησεν.

tusque adeo ad dicendam causam sum, si modo qui accusatores mei sint, cognovero, et quæ illi mihi crimina objiciant, prius dispexero. **384** In majore autem frequentioreque synodo respondere constitui; neque enim tam sum stupidus, ut rem talem subire, et tam manifestorum inimicorum judicium ferre velim. » Graviter hoc episcopi, perinde atque ille synodo tantæ minus parere constituisset, accepere. Et qui ab eo legati fuerant, reversi ad eum non sunt. Demetrius autem, et qui inanem gloriam post Joannis consuetudinem habuere, ad virum sanctum rediere. Eo ipso die notarius et cursor expeditus ab imperatore missi, Joanni quidem ut in synodum veniret, acriore mandato jusserunt: episcopis autem, ut sibi sententia differenda negotium non facesserent, significarunt. Ut autem ille quater citatus non comparuit, judices illos ut sibi inimicos exceptione submovens, et ad universalem synodum provocans, illi ei quod ad judicium non adfuisset, condemnato episcopatum abrogarunt, nihil aliud ei objicientes, quam quod quater evocatus, judicio se non stitisset.

ΚΕΦΑΛ. ΙϚ'. B

Περὶ τῆς Ἰωάννου προτέρας ἐξορίας, καὶ τῆς τοῦ δήμου καταβοῆς· καὶ ὡς ἄκων, πάλιν ἐπανῆκε τῷ θρόνῳ, εἰρήνην ἐπειπὼν τῷ λαῷ.

Ἐπεὶ δὲ τὸ πλῆθος τῆς Κωνσταντίνου περὶ δείλην ὀψίαν ἔγνω τὸ γεγονὸς, ἀθρόον πρὸς στάσιν μεγίστην ἀνήπτετο· καὶ τὴν ἐκκλησίαν καταλαβόντες, πλεῖστά τε ἄλλα ἀνέκραγον, καὶ τὸν κρατοῦντα διελοιδοροῦντο· καὶ ὡς δέοι μείζονι συνόδῳ ἐπιτρέπειν τὰ κατ' αὐτὸν καὶ τοῖς ἐκ βασιλέως πεμφθεῖσι καθέλκειν τοῦ θρόνου γενναίως ἀνθίσταντο· καὶ διανυκτερεύοντες, εἰς ἐξορίαν ἀπάγεσθαι οὐδαμῶς ξυνεχώρουν. Ὁ δὲ Ἰωάννης δείσας μή τι ἕτερον ἔγκλημα προσπλακῇ τούτῳ, ἢ ὡς θεσπίσματι βασιλικῷ ἀντιπράττοντι, ἢ ὡς τὸν δῆμον εἰς στάσιν C διερεθίζοντι, ἡμερῶν τριῶν μετὰ τὴν καταψήφισιν διαγενομένων, περὶ μεσημβρίαν διασπαρὲν τὸ πλῆθος ὅπου δή ποτ' ἐπὶ τὰ σφέτερα ἤθη, λαθὼν ἐκείνους, τοῖς ἀπάγουσιν ἐκδίδωσιν ἑαυτὸν, ἐκ τῶν ἑῴων ἀπάρας πυλῶν. Καὶ πρῶτα τὸ πρὸς τῷ στόματι τοῦ Πόντου κείμενον κατέλαβεν ἱερόν· οὕτω γὰρ τὸ ἐπίνειον ἐκεῖνο καλεῖται· ἔπειτα διὰ τῆς Βιθυνῶν ἤγετο. Χαλεπῶς δὲ τὸ πλῆθος ἔφερε, καὶ δεινῶς ἐστασίαζε· βασιλέα τε ἔσκωπτον, πρὸς δὲ καὶ Σευηριανὸν καὶ Θεόφιλον· ἄμφω δὲ ἀρχηγὼ τῆς κατ' ἐκείνου ἦσαν ἐπιβουλῆς· καὶ μᾶλλον ὅτι καὶ Σευηριανὸς τηνικαῦτα ἐπ' ἐκκλησίας διδάσκων, ἐπῄνει ὡς δικαίαν τὴν Ἰωάννου καθαίρεσιν, εἰπών, « Εἰ καὶ μηδὲν ἄλλο Ἰωάννῃ προσῆν ἔγκλημα τὴν καθαίρεσιν σχεδιάζον, αὐτό γε μὴν τὸ ἀλαζόνα D εἶναι ἀρκεῖν· τὰ μὲν γὰρ ἄλλα τῶν ἁμαρτημάτων τὸ θεῖον τοῖς ἀνθρώποις ἀφίησιν· αὐτὸς δὲ Θεὸς τοῖς ὑπερηφάνοις προφανῶς ἀντιτάσσεται, ὡς ἡ θεία λέγει Γραφή. » Τούτων εἰρημένων, ἐνεμέσα μᾶλλον τὰ πλήθη, καὶ τὴν ὀργὴν ἀνεκαίνιζεν. Ἄσχετα δ' ἐστασίαζε· καὶ οὔτ' ἀγοραῖς, οὔτ' ἐν ἐκκλησίαις ἠνείχετο ἠρεμεῖν. Ὀδυρμοῖς δὲ καὶ ὀλολυγαῖς σὺν δεήσεσιν ἄχρι καὶ τῶν βασιλείων ἥκοντες, τὴν ἀνάκλησιν τοῦ ποιμένος ἐζήτουν· καὶ ἰδεῖν

CAPUT XVI.

De priore Joannis exsilio, populique ob id concitati tumultuoso clamore: et ut invitus sedem suam receperit, pacem atque benedictionem populo precatus.

Plebs Constantinopolitana ubi circiter crepusculum factum hoc rescivit, ad tumultum maximum excitata, atque ecclesiam ingressa, cum quamplurima alia verba vociferata est, tum imperatorem conviciis proscidit, et causam eam majori synodo committendam esse censuit. Eis denique qui ab imperatore ut illum throno suo detraherent, missi fuerant, fortiter restitit: atque ibi pernoctans, in exsilium Joannem abduci non permisit. Porro Joannes, ne quid alterius criminis ei impingeretur, quod vel contra imperialem jussionem veniret, vel populum ad seditionem commoveret, timens, tribus a condemnatione diebus elapsis, postquam multitudo circa meridiem dispersa, alius alio in domicilium suum se contulit, illos fallens se eorum potestati, qui eum abducerent permisit: et porta Orientali egressus, primum ad id quod ad os Ponti situm est, ἱερὸν, hoc est, sacrum (ita enim statio navium illa vocatur), venit, deinde per Bithyniam ductus est. Multitudo hoc moleste ferre, graviter tumultuari, imperatorem perstringere, nec minus Severianum et Theophilum conviciis proscindere. Ambo enim insidiarum illi structurum auctores erant: **385** præcipue quod Severianus in ecclesia tum docens, condemnationem Joannis tanquam justam laudabat: « Etiamsi nihil aliud criminis esset, quamobrem ita celeriter Joannes exauctoratus esset, sufficere tamen unum hoc, dicens, quod superbus et insolens esset: quod alia quidem delicta Deus hominibus remitteret, arrogantibus autem manifeste resisteret, quemadmodum sacra testaretur Scriptura. » His ab eo verbis dictis, populus magis etiam factum propter ejus indignitatem reprehendit, iramque renovavit. Et tumultu ingenti commoto, homines neque in

foro neque in templis taciti esse potuerunt, sed A questibus atque lamentis cum precibus mistis ad imperialem domum progressi, pastoris revocationem flagitarunt, eumque videre magnopere desiderarunt, ex cujus ore quotidie aureum (ut ita dicam) lac hausissent. Et quod sæpe fieri solet, non pauci qui hostili erga eum erant animo, sententia mutata, sycophantiis virum eum expeti affirmarunt, cujus paulo ante abrogationem quam maxime concupiverant. Proinde plures contra imperatorem et synodum atque ipsos episcopos, in primis vero adversus Theophilum vociferati sunt. Latere enim is cum sinistris machinationibus suis, propter multa manifesta indicia, non potuit. Itaque Augusta ipsa, populi precibus exorata, et terræmotu qui noctu factus fuerat adducta, viro B suo persuadet, ut sancti viri restitutioni annuat : et Brisone fidissimo cubiculario suo misso, ex Præneto Bithyniæ emporio, ex adverso Nicomediæ sito, Joannem reduxit, immunem se et alienam ab insidiis contra illum structis esse testificata : atque insuper eum de cætero se ut sacerdotem Dei, liberorumque suorum in rebus divinis doctorem, qui per divinum lavacrum sacri partus cum ea societatem atque communionem inierit, reverituram esse pollicita. Joannes reversus, sub urbe, ad transitum, in regione quæ Marianæ dicitur, moratus est : neque ante frequentioris synodi disceptationem atque judicium urbem ingredi voluit, ut manifesto apparere per injuriam inique ei episcopatum ademptum esse. Cum autem ad eum C modum ingressum in urbem proferret, magis etiam plebs est indignata, conviciis principes perstringens. Quapropter tanta sibi imposita necessitate, oppido quam invitus urbem est ingressus. Tum navigantibus Bosporus repletus, et piscatoriis navibus mare contectum est, **386** et plebs universa ei statim obviam prodiit, cereos accensos ferens, et psalmodias ad rem præsentem apte et eleganter compositas concinens ; eumque ad ecclesiam produxit, reluctantem admodum et affirmantem, eos qui sententia sua se inique condemnassent, episcopos, legitime rursus, pro eo atque par esset absolvere debere. Vi autem eum plurima cogentes, in sede episcopali cellocarunt, ut pacem populo D ex superiore loco annuntiaret et precaretur. His rebus ita ex necessitate quadam actis, orationem tum quoque ex tempore ad populum habuit, argumentis cum magna gratia appositis usus. Dixit enim, Theophilum per contumeliam conatum esse Ecclesiæ suæ injuriam facere : perinde atque rex olim Ægypti in patriarchæ Abrahæ conjuge insanierit, quemadmodum hoc Hebræorum libri commemorant. Et plebis propensam alacritatem laudibus prosecutus, benevolentiam quoque principum erga se celebravit, et multitudinem ut imperatorem et imperatricem faustis auspicatisque vocibus ornarent, adeo excitavit, ut orationem ad finem perducere non posset, sed in dimidia ejus parte dicere desisteret.

A ἐκεῖνον σφόδρα ἐφίεντο, οὗ τῇ γλώττῃ καθεκάστην, ὡς εἰπεῖν, τὸ χρυσοῦν ἐκεῖνο γάλα ἦσαν ἀμέλγοντες. Οἷα δὲ φιλεῖ πολλάκις γίνεσθαι, καὶ πολλοὶ τῶν πρὸς ἐκείνου ἀπεχθ:νομένων μεταβαλλόμενοι, συκοφαντεῖσθαι τὸν ἄνδρα διισχυρίζοντο, οὗ μικρὸν πρόσθεν τῆς καθαιρέσεως μάλιστ' ἐφίεντο. Διά τοι ταῦτα καὶ πλείους ἦσαν οἱ καταβοώμενοι τοῦ τε κρατοῦντος καὶ τῆς συνόδου καὶ τῶν ἐπισκόπων, καὶ μάλιστα Θεοφίλου· λανθάνει γὰρ οὐκέτ' οἷός τε ἦν, ὡς ἐκ πολλῶν τεκμηρίων ἐδείκνυτο. Ἡ γοῦν βασιλὶς δυσωπηθεῖσα τῇ τοῦ δήμου δεήσει καὶ τῷ νύκτωρ ἐπιγενομένῳ σεισμῷ, πείθει ἐπινεῦσαι τὸν ἄνδρα τὸν ὅσιον ἀγαγεῖν. Καὶ δὴ Βρίσωνα τὸν αὐτῇ πιστὸν ὄντα θαλαμηπόλον πέμψασα, ἐκ Πραινέτου τὸν ἅγιον ἐπανάγει, ἀθῷον εἶναι τῶν B κατ' αὐτοῦ σκαιωρηθέντων διαμηνυσαμένη, ἐπαγγελλομένη τε τοῦ λοιποῦ ὡς ἱερέα Θεοῦ καὶ δι' αἰδοῦς ἔχειν αὐτὸν, καὶ ὡς μυσταγωγὸν τῶν ἐκείνης παίδων γεγενημένον, καὶ ὡς τῆς θείας κολυμβήθρας τοῦ ἱεροῦ τόκου αὐτῇ κοινωνήσαντα. Ὁ δ' ἐπανελθὼν ἔν τινι τῶν ἐν τῷ ἀνάπλῳ προαστείων, ᾧ Μαρεαναὶ ἦν ὄνομα, διατρίβων ἦν· καὶ πρὸς μείζονος συνόδου διάσκεψιν παρῃτεῖτο τὴν εἴσοδον, ἵν' ἔκδηλον γένοιτο, λέγων, ὡς ἀδίκως ἀφαιρεθείη τὴν προεδρίαν. Παρέλκοντος δ' οὕτω τὴν εἴσοδον, ἔτι μᾶλλον ἠγανάκτει τὸ πλῆθος, καὶ τοὺς κρατοῦντας διελοιδορεῖτο. Διὸ πολλὰ βιασθεὶς, ἀνάγκης ἐπικειμένης εἴσεισι τὴν πόλιν. Καὶ πλήρης μὲν τῶν πλεόντων ὁ Βόσπορος ἦν, ἁλιᾶσι καλυπτόντων τὴν θάλασσαν· τὸ δὲ πλῆθος σύμπαν εὐθὺς προσυπήντα, κηροὺς C ἀνημμένους ἐπιφερόμενοι, σὺν ψαλμῳδίαις πρὸς τὸ παρὸν συντεθειμέναις εὐκόσμως ὑπᾴδοντες, καὶ ἐπὶ τὴν ἐκκλησίαν προπέμψαντες ἄγουσι, πλεῖστα δὴ παραιτούμενον καὶ ἰσχυριζόμενον, χρῆναι λέγοντα τοὺς καταψηφισαμένους αὖθις ἱερέας, ᾗ θέμις, ἀποψηφίσασθαι. Πλεῖστα δ' ἀναγκάσαντες, ἐπὶ τὸν ἐπισκοπικὸν θρόνον αὐτὸν ἀνεβίβασαν, ὥστ' εἰρήνην ἀνειπεῖν τῷ λαῷ. Ταῦτ' ἐξ ἀνάγκης πεποιηκὼς, καί τινα σχέδιον τηνικαῦτα διεξῆλθε λόγον, χαριεστάτας ἀφορμὰς πορισάμενος· ἐδήλου γὰρ Θεόφιλον μὲν ἐπιχειρῆσαι ὕβριν καταχέαι τῆς Ἐκκλησίας, ὡς τὸν Αἰγυπτίων βασιλέα· ἐπιμανῆναι δὲ καὶ τῇ τοῦ πατριάρχου Ἀβραὰμ γαμετῇ, ὡς ἱστοροῦσιν Ἑβραίων βίβλοι. Ἐπαίνοις δὲ καὶ τὸν λαὸν τῆς προθυμίας D ἀποδεξάμενος καὶ τοὺς κρατοῦντας τῆς περὶ αὐτὸν εὐνοίας, πλεῖστ' ἀνευφημῆσαι τὸ πλῆθος βασιλέα τε καὶ τὴν βασιλίδα ἠρέθισεν, ὡς μὴ δυνηθῆναι καὶ τὸν λόγον εἰς πέρας ἐλθεῖν, ἀλλ' ἡμιτελῆ καταλεῖψαι.

ΚΕΦΑΛ. ΙΖ'.

Περὶ ὧν πάλιν ἐκακούργει Θεόφιλος, καὶ εἰς φυγὰς ᾤχετο, εἰς στάσιν τοῦ πλήθους χωρήσαντος· καὶ περὶ τοῦ ὁσίου Νιλάμμωνος τοῦ ἀσκητοῦ, καὶ τῶν βίβλων Ὠριγένους, καὶ τῆς ὑπὲρ Ἰωάννου συνόδου.

Ἀπορῶν δ' ὅ τι χρήσαιτο τοῖς παροῦσι Θεόφιλος, καίπερ εἰς τὸ προφανὲς Ἰωάννην διαβάλλειν πρόθυμος ὤν, οὐκ ἐθάῤῥει, ὡς δῆθεν μετὰ καθαίρεσιν ἱερώμενον. Ἀκριβῶς γὰρ ᾔδει τοῖς κρατοῦσι προσκρούσων. Ἐκεῖνοι γὰρ αὐτὸν τῷ δήμῳ κινούμενοι, ἐξεβίασαν παραιτούμενον. Ἡρακλείδου δὲ τοῖς κατηγόροις, καίπερ ἀπόντος, δικαστήριον ἤνοιγεν. Οἰόμενος γὰρ ἦν ἐντεῦθεν προχείρως ἐπὶ τὴν Ἰωάννου καθαίρεσιν μᾶλλον ἐλθεῖν. Ἡρακλείδης μὲν γὰρ οὐ παρῆν. Κατηγόρητο δ' οὖν καὶ ἀπὼν, ὡς εἴη ἀδίκῳ χειρὶ τυπτήσας τινὰς, καὶ δεσμίους ἁλύσει ὑπαγαγὼν, διὰ μέσης τῆς Ἐφεσίων ἐθριάμβευσε πόλεως. Τῶν δὲ προσκειμένων Ἰωάννῃ λεγόντων μὴ χρῆναι τὸν μὴ παρόντα ὑπὸ δίκην γίνεσθαι, οἱ περὶ Θεόφιλον δεῖν μᾶλλον ἔλεγον, τάς τε Ἡρακλείδου δέχεσθαι κατηγορίας, καὶ ἀπόντα κρίνειν τὸν ἀναξίως ἱερασάμενον. Ἔρις ἐντεῦθεν ἀνήφθη μεταξὺ Ἀλεξανδρέων καὶ τοῦ τῆς Κωνσταντίνου λαοῦ. Καὶ συμπλοκῆς γενομένης, πολλοὶ μὲν τραυματίαι ἐγένοντο· οὐκ ὀλίγοι δὲ καὶ ἀπώλοντο. Δείσας δὲ Θεόφιλος τὴν τοῦ πλήθους ὁρμὴν, καὶ οἱ περὶ αὐτὸν ἐπίσκοποι, πλὴν τῶν Ἰωάννου ἐπιτηδείων, φυγῇ τὴν Κωνσταντίνου λιπόντες, ἐπὶ τὰ οἴκοι ἕκαστος μετεχώρουν. Θεόφιλος δὲ σύναμα Ἰσαακίῳ τῷ μοναχῷ, ἀρχομένου χειμῶνος, τὴν Ἀλεξάνδρου κατέλαβε. Συμβὰν δ' οὕτως, ἐκ πελάγους εἰς Γέρας κατῆρε· πόλις δὲ αὕτη μικρὰ, ἀμφὶ στάδια πεντήκοντα τοῦ Πηλουσίου κατῳκισμένη. Τοῦ δ' ἐκεῖσε τηνικαῦτα τελευτήσαντος ἐπισκόπου, οἱ ἐγχώριοι Νιλάμμωνά τινα ἐπ' ἀρετῇ διαβόητον ἐψηφίσαντο, ἄνδρα ἀγαθὸν, καὶ ἐπὶ μοναστικῇ φιλοσοφίᾳ περιφανῆ. Τὴν δ' οἴκησιν σμικρὰν πρὸ τοῦ ἄστεος οἰκίσκῳ καθειργμένος οὗτος ἐκέκτητο, οὗ τὴν εἴσοδον λίθοις ἀνέφραξεν. Ἐκκλίνοντα δὲ ἱερᾶσθαι, Θεόφιλος συνεβούλευε τὴν χειροτονίαν παρ' αὐτοῦ καταδέχεσθαι. Ὡς δὲ πολλάκις ἀπειπόντα οὐκ ἐδυσώπει, « Αὔριον, ἔφη, εἴ σοι βούλησις, ὦ πάτερ, πρᾶξον ὅπερ αἱρῇ· ἐμὲ δὲ σήμερον ἔα καλῶς τὰ καθ' ἑαυτὸν διαθέσθαι. » Ὡς δὲ τῇ ὑστεραίᾳ ἥκων Θεόφιλος, κατὰ τὰ συγκείμενα ἀνοίγειν τὴν θύραν ἐκέλευεν, ὁ Νιλάμμων, « Ἄγε δὴ, πρῶτον, ἔφη, Θεῷ τὴν εὐχὴν ἀποδῶμεν. » Ὁ δὲ κατετίθετο, καὶ εὐχὴν ἔπραττεν. Ὁ δὲ Νιλάμμων σύναμα τῇ εὐχῇ καὶ τὸν τῇδε βίον ἀπέλιπεν. Ἀλλὰ τοῦτο μὲν τέως ἠγνόει Θεόφιλος ἔξω ἑστὼς, καὶ ὅσοι περὶ αὐτὸν ἦσαν· ἐπεὶ δὲ τὸ πλεῖον τῆς ἡμέρας παρῴχετο, καὶ σφόδρα φωνούντων, οὐδὲν μᾶλλον ἤκουεν ὁ Νιλάμμων, τοὺς πρὸς τῇ θύρᾳ καθελόντες λίθους, νεκρὸν ἐκεῖνον εὑρίσκουσι· καὶ ὡς χρεὼν περιστείλαντες, περιφανεστέρας ἠξίωσαν τῆς ταφῆς· οἶκόν τε εὐκτήριον ὑπὲρ τοῦ τάφου ἀνήγειραν οἱ ἐγχώριοι, καὶ τὴν τῆς κοιμήσεως ἡμέραν ἐς δεῦρο ἐπιτελοῦσι γηθόμενοι. Καὶ Νιλάμμων μὲν οὕτως

(1) Sozom. habet, ipsius Heraclidis fautores.

CAPUT XVII.

De iis quæ denuo Theophilus male perperamque egit: et ut fuga sibi consuluerit, populo per seditionem in partes discedente: et de sancto Nilammone monacho, librisque Origenis: præterea de synodo pro Joanne coacta.

Theophilus in hoc rerum statu consilii dubius, quamvis propalam Joannem calumniari percuperet, ut qui post abrogationem nihilominus episcopalibus fungeretur muneribus, facere id tamen non audebat. Certo namque sciebat, se ea re principes offensurum esse. Illi enim propter vulgi motum, Joannem ut id faceret, per deprecationem reluctantem, coegerant. Itaque Heraclidæ accusatoribus quamvis absentis, judicium injuriarum dedit. Inde enim facile se ad Joannis abrogationem perventurum esse putavit. Heraclides quidem, ut dixi, non affuit: absens tamen accusabatur, quod per vim quosdam pulsatos, et catenis vinctos, per mediam Ephesiorum urbem veluti in triumpho duxisset. Porro cum Joannis fautores (1) absentem reum agi non debere dicerent, et qui a Theophili partibus stabant, accusationes Heraclidis admittendas, judiciumque etiam contra absentem dandum esse contenderent, qui episcopali functione indignus esset: **387** rixa inde inter Alexandrinos et plebem Constantinopolitanam exorta est: et quod res ad conflictum pervenit, multi vulnerati, non pauci etiam cæsi sunt. Proinde Theophilus impetum multitudinis metuens, atque itidem qui cum eo erant episcopi, præterquam qui Joanni conjuncti erant, Constantinopoli profugientes, ad sua se quisque recepit. Theophilus una cum Isaacio monacho hieme ineunte Alexandriam venit. Accidit autem ut Geras appelleret, oppidum circiter quinquaginta stadia a Pelusio situm. Quod autem ibi tum episcopus mortuus esset, incolæ et cives in locum ejus Nilammonem legerunt, virum bonum, et propter virtutem percelebrem, monasticaque philosophia præclarum. Degebat autem ante oppidum parvæ casæ inclusus, cujus aditum saxis obstruxerat: et cum episcopalem dignitatem suscipere detrectaret, Theophilus ei, ut a se consecrationem susciperet, suasit. Postquam vero eum sæpius perneganten non expugnavit: « Cras ille tandem, inquit, si ita placet, o Pater, quod constitueris, facito: me autem hodie res meas agere atque disponere sine. » Ubi postridie Theophilus ad eum venit, pro eo atque inter eos convenerat, et fores aperire jussit, Nilammon, « Age vero, inquit, Deo primum precationem offeramus. » Approbavit hoc Theophilus, et orationem peregit. Nilammon autem inter precandum vitam finiit: idque tum Theophilus, et qui cum eo foris stabant, ignorabant. Atque ubi plurima diei pars præteriit, et clamorem eorum Nilammon non exaudiit, revolutis ab ostio saxis, mortuum illum repererunt (2): cumque, sicuti convenit, coopertum at-

(2) Sozom. lib. VIII, cap. 9.

que compositum magnifice sepelierunt. Super sepulcro ejus cives precatoriam domum condidere, obitusque ejus diem ad hoc usque tempus festum læti peragunt. Ita Nilammon mortem oppetiit : siquidem mors dicenda est, quam sibi ipsi potius precibus votisque exoptavit, quam ut episcopus fieret, indignum (1) se ea dignitate, propter modestiam et submissionem animi, esse ratus. Verum enimvero rebus his ita gestis, Theophilus ab omnibus damnatus est : **388** qui hominum erga se odium eo etiam magis auxit, quod rursum citra dissimulationem, reformidans, libros Origenis eos in manibus habebat, quos paulo ante condemnaverat. Et interrogatum aliquando a quopiam, cur quæ antea abolenda judicasset, scripta rursum versaret : respondisse dicunt : Origenis lucubrationes prati instar esse, quod varios et bene olentes flores proferat. Quapropter se si quid in eis fructuosum reperiret, colligentem decerpere : si quid autem spinosum se ei offerret, id aversari et tanquam perniciosum præterire dixit. Hoc (2) sic Theophilus dicebat, non satis Solomonis secum reputans dictum, quod verba sapientum tanquam boum stimuli sunt [1], adversus quos calcitrare non oporteat eos quibus contemplationum et veritatis stimulos sentire contigit. Quas ob causas in immensa omnium condemnatione Theophilus fuit. Divus autem Joannes, Constantinopolim reversus, in eum amorem et gratiam populi pervenit, ut cupiditate eum e throno suo docentem videndi magis atque magis accensi flagrarent. Convenerunt autem eo prope sexaginta episcopi, qui irrita esse quæ in Quercu acta fuerant, sanxerunt, et Joannem episcopatum nibil metuentem retinere jusserunt. Ita deinceps episcopalia munia obiens, clerum consecrabat, aliaque peragebat quæ episcopum exsequi fas est, ecclesiam quam optime administrans : quo tempore etiam Serapionem, propter quem multorum in eum odium maxime accensum fuerat, Heracleæ in Thracia episcopum fecit.

A ἀπεβίω, εἰ χρεὼν θάνατον καλεῖν, ὃν ηὔξατο ὑποστῆναι πρὶν ἱερεὺς γενέσθαι, ἀνάξιος διὰ τὸ μέτριον τοῦ ἤθους λογιζόμενος εἶναι· τῶν δὲ πραγμάτων οὕτω γεγενημένων, κατέγνωστο μὲν παρὰ πάντων Θεόφιλος· πολὺ δ' ἔτι μᾶλλον τὸ κατ' αὐτοῦ μῖσος ηὔξανε, τὸ πάλιν αὐτὸν μηδὲν ὑποστελλόμενον, τὰς Ὠριγένους ἀσκεῖσθαι βίβλους, ὧν μικρῷ πρόσθεν κατεψηφίζετο. Καὶ δή ποτ' ἐρωτηθεὶς παρά τινος πῶς ἅπερ ἀπεκήρυξε περιέπει πάλιν, φασὶν ἀποκρίνασθαι, ὡς τὰ Ὠριγένους συγγράμματα λειμῶνι πολυανθεῖ ἔοικε καὶ εὐώδει. Ὅσον οὖν ἐκεῖθεν χρήσιμον εὕρω, ἐρανιζόμενος δρέπομαι· ὅσον δ' ἀκανθῶδες προσβάλλει, ἐκτρέπομαι, καὶ ὡς πλῆττον παρατρέχω. Ταῦτα Θεόφιλος ἔλεγε, μὴ τὸ τοῦ σοφοῦ Σολομῶντος ἐν νῷ θέμενος, ὅτι λόγοι σοφῶν, ὡς τὰ B βούκεντρα· καὶ λακτίζειν οὐ χρὴ πρὸς αὐτούς, οἷς ὑπὸ τῶν θεωρημάτων κεντεῖσθαι καὶ τῆς ἀληθείας συμβαίνει. Διὰ ταῦτα μὲν ἐν ἀπείρῳ καταγνώσει παρὰ πάντων ἦν ὁ Θεόφιλος. Ὁ δὲ θεσπέσιος Ἰωάννης τῇ Κωνσταντίνου ἐπανελθὼν, ἐπὶ μᾶλλον ἦν ἐράσμιος τῷ λαῷ, ὡς ἐκκαίεσθαι τοῦτον ἐπὶ τοῦ θρόνου ὁρᾷν ἐκδιδάσκοντα. Συνῆλθον δὲ ἀμφὶ ἑξήκοντα τῆς Κωνσταντίνου ἐπίσκοποι· καὶ ἄκορα εἶναι τὰ ἐν τῇ Δρυῒ πεπραγμένα συνεψηφίζοντο· καὶ αὐτὸν τὴν ἐπισκοπὴν κατέχειν μηδὲν ὑπειδόμενον. Καὶ τοῦ λοιποῦ ἱερώμενος διετέλει, χειροτονῶν τε ἅμα καὶ τἄλλα ᾗ θέμις τὰ κατὰ τὴν Ἐκκλησίαν ἀρίστως οἰκονομῶν· ὁπηνίκα καὶ Σεραπίωνι, δι' ὃν τὸ κατ' αὐτοῦ μῖσος πλέον ἀνήφθη, τῆς ἐν Θρᾴκῃ Ἡρακλείας τὴν ἐπισκοπὴν ἀνεχείριζεν.

CAPUT XVIII.

De altera synodo adversus Joannem convocata, et de abrogatione exsilioque ejusdem.

Non longe post bellum aliud adversus Ecclesiam rursum motum est, ab hujusmodi initio : Statua argentea in porphyretici marmoris columna sub nomine Eudoxiæ Augustæ in meridionali parte ecclesiæ, pro magni consilii curia, in sublimiore loco chlamyde amicta stabat (non adeo prope, neque adeo longe a templo cui Sapientiæ nomen est). **389** Latior enim intercedebat via. Ad hanc plausus et spectacula publica saltationum et mimicorum ludorum, ingentesque clamores edebantur. Joannes autem cum Ecclesiæ contumelia hæc fieri arbitratus, solita libertate dicendi sua excitata, aurcam linguam adversus eos movit, qui ludicris ejusmodi navabant : atque in concione quadam vehementer est in eos invectus. Imperatrix autem priores adhuc dolores in recenti memoria retinens,

C

ΚΕΦΑΛ. ΙΗ'.

Περὶ τῆς δευτέρας κατὰ Ἰωάννου συνόδου, καὶ καθαιρέσεως καὶ ὑπερορίας.

Οὐ πολλῷ δὲ ὕστερον πάλιν ἕτερος κατὰ τῆς Ἐκκλησίας ἀνεῤῥιπίζετο πόλεμος, ἐντεῦθέν ποθεν εἰληφὼς τὴν ἀρχήν· Ἐπὶ πορφυροῦ κίονος ἀνδριὰς ἀργύρεος ἵστατο, εἰς ὄνομα τῆς βασιλίδος Εὐδοξίας ἐγηγερμένος· ὃς πρὸς τῷ μεσημβρινῷ μέρει τῆς ἐκκλησίας ἦν πρὸ τοῦ οἴκου τῆς μεγάλης βουλῆς. Ἐφ' ὑψηλοῦ δ' ἑστὼς βήματος, χλαμύδα ἠμφίεστο, οὔτ' ἐγγὺς οὔτε πάνυ πόῤῥω τῆς ἐκκλησίας ᾗ Σοφία ἐπώνυμον. Διεῖργε δ' ἄμφω πλατεῖα κατὰ μέσον ὁδός· ἐφ' οὗ κρότοι καὶ θέατρα δημοτικὰ καὶ ὀρχηστῶν καὶ μίμων ἦσαν βοαί. Ὁ δὲ Ἰωάννης ἐφ' ὕβρει D τῆς Ἐκκλησίας γεγενῆσθαι ταῦτα νομίζων, τὸ σύνηθες τῆς παῤῥησίας ἀναλαβὼν, τὴν χρυσῆν ἠκόνα γλῶτταν κατὰ τῶν οὕτω διαπράττεσθαι ᾑρημένων· καὶ ἔν τινι τῶν ὁμιλιῶν τὰ γεγενημένα σφοδρῶς περιέσυρεν. Ἡ δὲ βασίλισσα ἔτι προσφάτων ὄντων

[1] Eccle. XII, 11.

(1) Profecto enim indignus est sacerdotio, nisi fuerit ordinatus invitus. I. Si quenquam. C. De episc. et cler.

(2) Socr. lib. VI, cap. 12.

λυπηρῶν, εἰς ἑαυτὴν αὖθις τὰ εἰρημένα ἐλάμβανε· θυμοῦ τε ἐπίμπλατο, καὶ σύνοδον αὖθις ἑτέραν ἀθροίζεσθαι ἔσπευδεν. Ὁ δ' αἰσθόμενος, τόσον οὐκ ἀνεδύετο, ἀλλ' ἔτι σαφέστερον καὶ ἕτερα ἐπ' ἐκκλησίας λέγων, εἰς ὀργὴν ἐκείνην ἀνέκαιεν· ὁπηνίκα δὴ καὶ τὴν περιβόητον καὶ ἀοίδιμον ἐκείνην ἐπ' ἐκκλησίας ὁμιλίαν ἐξεῖπεν, ὧδέ πη τοῦ λόγου ἀρξάμενος· « Πάλιν Ἡρωδιὰς μαίνεται, πάλιν ταράσσεται, πάλιν ὀρχεῖται, πάλιν τὴν Ἰωάννου κεφαλὴν ἐπὶ πίνακος σπουδάζει λαβεῖν. » Καὶ τὸ ἔν τινι τῶν ὁμιλιῶν ἐκεῖνο ἀείμνηστον, « οὐκ ἀεὶ τὴν εὐδοξίαν ἐμίσησα, τὴν δὲ ἀδοξίαν ἠγάπησα; » καὶ τὴν κατὰ Ἰεζαβὲλ καὶ τοὺς ἱερεῖς τῆς αἰσχύνης ἱστορίαν ἐπισυνείρων. Ὃ δῆτα εἰς ὦτα ἐκείνῃ ἐλθὸν, εἰς μέγα τὸν θυμὸν ἀνῆπτε. Καὶ μετ' ὀλίγον ἄλλοι τε παρῆσαν ἐπίσκοποι, καὶ Λεόντιος ὁ Ἀγκυρανῶν τῆς μικρᾶς Γαλατίας, Ἀμμώνιος ὁ Λαοδικείας τῆς ἐν Πισιδίᾳ, Βρίσσων Φιλίππων τῶν ἐν Θρᾴκῃ, Ἀκάκιος ὁ τῆς ἐν Συρίᾳ Βεῤῥοίας, καί τινες ἕτεροι, ἐφ' ὧν οἱ πρώην λόγοι αὖθις ἀνεκινοῦντο. Ἰωάννης δ' ἐπὶ τούτοις θαῤῥῶν, ἠξίου τὰ κατηγορήματα ἐπὶ μέσου ζητεῖσθαι. Ἤδη δ' ἐνστάσης τῆς γενεθλίου τοῦ Χριστοῦ ἑορτῆς, ὁ κρατῶν ὥσπερ εἰώθει οὐκ ἀπήντα τῇ ἐκκλησίᾳ. Διεμήνυε δὲ Ἰωάννῃ, μὴ πρότερον αὐτῷ εἰς ὄψιν ἐλθεῖν, πρινὴ ἀποδύσηται τὰ ἐγκλήματα. Ἐπεὶ δὲ πρόθυμος εἰς ἀπολογίαν παντὶ τῷ βουλομένῳ ἀντεδήλωσεν, οἱ κατήγοροι δέει ληφθέντες, ἐπιθέσθαι τοῖς ἐγκλήμασιν οὐκ ἐθάῤῥουν. Τοῖς δ' ἐπισκόποις ἐδόκει, μὴ αὖθις εἰς κρίσιν ἄγειν τὸν ὅπως δή ποτε τὸν θρόνον ἀφαιρεθέντα. Καὶ τὰ μὲν ἄλλα εἰς ἐξέτασιν παρῃτοῦντο· πρὸς δὲ τοῦτο μόνον ἀπολογίαν ᾔτουν τὸν Ἰωάννην, πῶς μετὰ καθαίρεσιν μὴ τῆς συνόδου αὖθις ψηφισαμένης, αὐτὸς ἑαυτῷ τὴν ἱερωσύνην ἐδίδου, καὶ εἰσπηδήσας ἀνέβη τὸν θρόνον. Τοῦ δὲ προβαλλομένου τῶν κοινωνησάντων ἐκείνῳ ἑξήκοντα ἐπισκόπων τὴν ψῆφον, οἱ περὶ Λεόντιον, « Ἀλλὰ πλείους, φασὶν, ἦσαν, ὦ Ἰωάννη, σοῦ καταψηφισάμενοι, καὶ ταῦτα καὶ ἱερατικοῦ κανόνος ἀπαγορεύοντος. » Ἐκεῖνος, « Ἀλλ' οὐ τῆς Ἐκκλησίας οὗτος κανὼν, τῶν δ' Ἀρειανῶν, οἳ ἐν Ἀντιοχείᾳ στρατεύσαντες κατὰ τῆς ὁμοουσίου πίστεως, συκοφαντήσαντες Ἀθανάσιον, τὴν Ἀλεξανδρέων Ἐκκλησίαν ἀφείλοντο, καὶ τὴν τῶν πραγμάτων δεδιότες μεταβολὴν, τὸν κανόνα τοῦτον ἐξέθεντο, σπουδὴν τιθέμενοι, τὰ ἐπ' ἐκείνῳ τούτοις θηρευθέντα, ἵνα μὴ φωραθεῖεν ὄντες κακοὶ, ἀνεξέταστα διαμένειν. » Πρὸς ταῦτα ἐκεῖνοι μηδὲν ἀπολογησάμενοι, τὴν τῆς καθαιρέσεως ψῆφον ἐξήνεγκαν. Ἐκεῖνος δὲ τὰ δόξαντα ἐκείνοις μεμαθηκὼς, οὐκέτι ἐκκλησίαζεν, ἀλλ' ἐν τῷ ἐπισκοπείῳ ἠρέμει διατελῶν. Ληγούσης δὲ τῆς Τεσσαρακοστῆς, κατ' αὐτὴν τὴν τοῦ μεγάλου Σαββάτου ἡμέραν πέμψας ἐμήνυε βασιλεὺς Ἰωάννῃ, κατιέναι τοῦ θρόνου ὑπὸ συνόδων ἤδη καθῃρημένῳ δυεῖν. Ὁ δὲ μέγας, « Ἐγὼ παρὰ τοῦ Σωτῆρος ἱερατεύειν κληθεὶς, οὐ μεθήσω, λέγει, τὸν θρόνον. Εἰ δέ σοι τοῦτο κατὰ γνώμην, ὦ βασιλεῦ, πρὸς βίαν με ἔξωσον. » Ἐκεῖνοι δὲ δεδοικότες μή τι αὖθις δεινὸν ἐπιγένοιτο, τέως τῷ καταγωγίῳ καὶ ἔτι διατρίβειν εἴασαν. Ἐκείνου δὲ τῇ ἐπισκοπῇ ἠρεμοῦντος,

A dicta ea rursum in se contulit : et ira percita, synodum aliam cogi quamprimum curavit. Joannes porro ubi id sensit, tantum abest ut verba sua retractarit, ut apertius etiam in ecclesia alia prolocutus, ad iram illam accenderit, cum decantatam illam et celebrem orationem in templo ad populum habuit, ejusmodi eam verbis exorsus : « Rursum Herodias furit, rursum turbas ciet, rursum saltat, rursum Joannis caput in disco excipere festinat. » Atque illud insuper in Homilia quadam sempiterna memoria dignum usurpavit verbum : « An non semper εὐδοξίαν, hoc est veram gloriam, odi : ἀδοξίαν autem, hoc est infamiam, dilexi ? » de Jesabele et sacerdotibus, turpitudinis historiam insuper adducens. Quod ubi
B ad aures Eudoxiæ pervenit, magnopere animum ejus ira accendit. Breve intercessit tempus, et cum alii plerique episcopi, tum Leontius Ancyræ minoris Galatiæ, Ammonius Laodiceæ in Pisidia, Brisson Philipporum Thraciæ, Acacius Berrhœæ in Syria, et nonnulli alii antistites adfuere : apud quos causa prior renovata est. Joannes autem, magnum obtinens animum, petiit, ut de criminibus in medium productis quæreretur. Et jam natalis Christi festus dies instabat, atque imperator de more suo pristino in ecclesiam non venit : et Joanni denuntiavit, non prius se in ejus conspectum venturum esse, quam ille se de objectis criminibus purgasset. Porro ubi Joannes se alacriter
C ad dicendam causam, quicunque eum accusaret, exhibuit, adversarii ejus timore capti, criminari eum ausi non sunt. Et episcopis visum non est, denuo eum in judicium trahere, cui qualicunque de causa thronus antea esset ademptus. Et cum de rebus aliis inquirere supersederunt, tum ut de eo solo causam Joannes diceret, postularunt : 390
cur post abrogationem ejus, synodi decreto et auctoritate non intercedente, ipse sibi episcopatum contulisset, thronumque involans conscendisset. Atque ubi Joannes suffragia sexaginta, qui cum eo communicaverant, episcoporum prætendit, Leontius et qui cum eo erant : « Sed plures, dixere, erant, o Joannes, qui te condemnarunt : et accedit, qui hoc fieri prohibet, sacerdotalis
D canon. » Tum ille : « Atqui is non Ecclesiæ, sed Arianorum est canon, qui cum Antiochiæ adversus ὁμοουσίου, consubstantialis, fidei professionem decertarent, et Athanasio per sycophantiam circumvento Ecclesiam Alexandrinam adimerent, rerum mutationem veriti, canonem istum ediderunt : hoc præcipue magno studio agentes, ut ea quæ ipsi contra illum insidiose machinati fuerant, ne scilicet malitia eorum et improbitas deprehenderetur, in disquisitionem non vocarentur. » Contra hæc verba illi cum nihil dixissent, condemnationis sententiam in eum tulere. Ille decreto eorum cognito, conventus in ecclesia amplius non egit, sed in episcopali domo tacitus permansit. Quadragesimæ vero diebus exactis, ipso magni Sabbati die, mis-

sis ad Joannem quibusdam, imperator ei, ut de A throno tandem a duabus synodis exauctoratus descenderet, significavit. Ibi magnus ille vir (1): « Ego, inquit, a Servatore ad episcopale munus vocatus, thronum non relinquam (2). At si tibi, o imperator, hoc ita visum est, vi me inde deturba. » Illi vero, ne grave quidquam rursus accideret, metuentes, tum quidem cum in domicilio manere passi sunt. Cum autem ipse in episcopatu quiete ageret, qui partium ejus erant, ab ecclesia, unde ejecti fuerant, secedentes, ferias Paschales in publico lavacro, cui Constantianum nomen est, celebrarunt (3). Cum quibus episcopi multi, et presbyteri, aliique ecclesiastici ordinis, ab eo tempore variis in locis conventus agentes, Joannitæ sunt cognominati. Sacra vero ea nocte, quam luculentus B Paschæ feriarum dies consequitur, imperator episcopis convocatis, quid facto opus esset, et an ea quæ sic gererentur, Deo placita essent, interrogavit. Qui uno ore simul omnes exclamarunt: « In capita nostra abrogatio seu condemnatio Joannis redundet. » **391** Sectatores porro Joannis in eo quod diximus lavacro illustrem resurrectionis Christi ad lucernas peragentes conventum, perquam graviter a Joannis inimicis, dissolutisque et improbis quibusdam, qui eos agressi fuerant, sunt accepti. Qua de re quid opus est dicere, cum eam ejus ipsius aurea lingua accuratissime commemorare liceat? Qui enim generose ea mala pertulit, vere quoque ea referet. Igitur ad Innocentium urbis Romæ episcopum, de rebus suis scribens, hæc quoque addidit:

A οἱ αὐτῷ προσκείμενοι τῆς ἐκκλησίας ἀναχωρήσαντες, τὸ μὲν Πάσχα τῷ δημοσίῳ λουτρῷ, ᾧ Κωνσταντιαναὶ ὄνομα, ἐπετέλουν· σὺν αὐτοῖς δὲ πολλοὶ ἐπίσκοποι καὶ πρεσβύτεροι, καὶ ἄλλοι ἐκκλησιαστικοῦ τάγματος ἐξ ἐκείνου τὰς συναγωγὰς ἐν διαφόροις τόποις ποιούμενοι, Ἰωαννῖται προσηγορεύθησαν. Κατὰ δὲ τὴν ἱερὰν νύκτα, ἣν ἡ τοῦ Πάσχα εὐθὺς διαδέχεται φωτεινὴ ἑορτὴ, ὁ βασιλεὺς τοὺς ἐπισκόπους ἀθροίσας, τί δέοι πράττειν, ἠρώτα, καὶ εἰ τὰ γινόμενα κατὰ γνώμην εἴη Θεῷ. Οἱ δ' ἅμα πάντες μιᾷ φωνῇ ἀνεφθέγξαντο, « Ἐπὶ τὰς κεφαλὰς ἡμῶν ἡ Ἰωάννου εἴη καθαίρεσις. » Οἱ τῆς μερίδος τοιγαροῦν Ἰωάννου, ἐν τῷ εἰρημένῳ λουτρῷ τὴν ἐπιλύχνιον τῆς Χριστοῦ ἀναστάσεως ἐπιτελοῦντες πανήγυριν, τὰ πάνδεινα πάσχουσι πρὸς τῶν δυσμενῶν B Ἰωάννου καί τινων ἀτάκτων ἐπιθεμένων αὐτοῖς. Ἀλλὰ τί δεῖ λέγειν αὐτὰ, ἐνὸν διὰ τῆς ἐκείνου χρυσῆς γλώττης ἀκριβέστατα διελθεῖν; Γενναίως γὰρ ὑποστὰς τὰ δεινὰ, καὶ φιλαληθῶς αὐτὰ διηγήσεται. Τῷ Ῥώμης γὰρ ἐπισκόπῳ Ἰννοκεντίῳ, τὰ πεπραγμένα οἱ δηλῶν, καὶ ταῦτα προστίθησιν·

CAPUT XIX.

Epistola divi Chrysostomi, ea quæ ei acciderunt, commemorans, et de iis qui ei exsilii tempore præsto fuere.

« Quomodo vero tandem quæ sic acta sunt, et tragœdiam omnem longe superant, explicem? Quæ oratio ea recenseat? Quæ aures sine horrore excipiant? Cum enim nos ea quæ antea diximus, prætenderemus, militaris manus confertim, ipso magni Sabbati die jam ad vesperam vergente, in ecclesias irrumpens, clerum una nobiscum per vim ejecit, et armis sanctuarium circumvallatum est; et mulieres eo tempore in ædibus sacris, propter baptismum vestibus depositis, nudæ, præ timore gravis ejusmodi impressionis profugere; neque eis honestum suum habitum, qui feminas maxime decet, sumere, seque amicire permissum est. Multæ vero vulneribus etiam acceptis expulsæ sunt. Lavacra ipsa sanguine repleta, et sacri latices purpureo sanguinis colore infecti. Verum ne in hoc quidem ærumna hæc constitit. Sed ubi sancta sunt reposita, eo milites ingressi; quorum nonnulli, sicuti accepimus, Christianis sacris initiati non erant; et penitus omnia perlustrarunt, et sanctissimus Christi sanguis, in tanto scilicet tumultu, in eorum qui dicti sunt, militum vesti-

ΚΕΦΑΛ. ΙΘ'.

C *Ἐπιστολὴ τοῦ θείου Χρυσοστόμου, διεξιοῦσα περὶ ὧν αὐτῷ συνέβη, καὶ τοῖς περὶ αὐτὸν ἐν τῷ τῆς ἐξορίας καιρῷ.*

« Πῶς ἂν τὰ ἐνταῦθα διηγησαίμην λοιπὸν πᾶσαν ὑπερβαίνοντα τραγῳδίαν; Τίς αὐτὰ παραστήσειε λόγος; Ποία χωρὶς φρίκης δέξεται ἀκοή; Ἡμῶν γὰρ ταῦτα, καθάπερ ἔμπροσθεν εἶπον, προτεινόντων, ἀθρόον στρατιωτῶν πλῆθος αὐτῷ τῷ μεγάλῳ Σαββάτῳ πρὸς ἑσπέραν λοιπὸν τῆς ἡμέρας ἐπειγομένης, ταῖς ἐκκλησίαις ἐπεισελθόντες, τὸν κλῆρον ἅπαντα τὸν σὺν ἡμῖν πρὸς βίαν ἐξέβαλον, καὶ ὅπλοις τὸ βῆμα περιεστοίχιστο· καὶ γυναῖκες τῶν εὐκτηρίων οἴκων πρὸς τὸ βάπτισμα ἀποδυσάμεναι κατ' αὐτὸν τὸν καιρὸν, γυμναὶ ἔφυγον ἀπὸ τοῦ φόβου τῆς χαλεπῆς ταύτης ἐφόδου, οὐδὲ τὴν πρέπουσαν γυναιξὶν εὐσχημοσύνην συγχωρούμεναι περιθέσθαι. D Πολλαὶ δὲ καὶ τραύματα λαβοῦσαι, ἐξεβάλλοντο· καὶ αἵματος αἱ κολυμβῆθραι ἐπληροῦντο, καὶ τὰ ἱερὰ ἀπὸ τῶν αἱμάτων ἐφοινίσσετο νάματα. Καὶ οὐδὲ ἐνταῦθα εἱστήκει τὸ δεινόν· ἀλλ' ἔνθα τὰ ἅγια ἀπέκειντο εἰσελθόντες οἱ στρατιῶται, ὧν ἔνιοι, καθὼς ἐπέγνωμεν, καὶ ἀμύητοι ἦσαν, πάντα τε ἑώρων τὰ ἔνδον, καὶ τὸ ἁγιώτατον τοῦ Χριστοῦ αἷμα, ὡς ἐν τοσούτῳ θορύβῳ, εἰς τὰ τῶν προειρημένων στρατιωτῶν ἱμάτια ἐξεχεῖτο· καὶ ὡς ἐν αἰχμαλωσίᾳ βαρ-

(1) Ἐγὼ παρὰ τοῦ Σωτῆρος ἱερατεύειν κληθεὶς, οὐ μεθήσω τὸν θρόνον. Εἰ δέ σοι τοῦτο κατὰ γνώμην, ὦ βασιλεῦ, πρὸς βίαν με ἔξωσον.

(2) Idem verbum usurpavit Ambrosius apud Valentiniarum juniorem lib. XII, cap. 19.

(3) Tempore paschali præcipue enim catechumeni baptizabantur, per hebdomadam totam, sicuti et per septimanam Pentecostes, Beatus Rhenanus hoc observavit, in Tertull. adnotationes scribens: et testantur hoc nunc quoque cantilenæ solemnes, hymni et precationes Ecclesiæ.

omnium levissime, et ad imperium administrandum ineptissime atque inconsideratissime? Ubi est pristinum illud studium tuum, et ardor, quem tum obtinuisti, cum ex ipsa Antiochia virum tantum evocasti, eique Ecclesiam Christi regendam attribuisti? cujus non solum doctrinam, verum etiam virtutem plurimam expertus satis es? Tantum igitur, et tam animo tuo charum virum, temere adeo ecclesia ejectum, exsilio mactas, Ecclesiam Christi rectore tanto orbans? cum quo, juxta divinum Paulum [1], ut compararetur, universus mundus dignus non est? Sedenim te quoque mulier seduxit, miserandumque in modum faciles aures tuas titillando decepit. Quemadmodum enim Eva per serpentem, primo generis nostri auctori: sic et tibi per sodalitatem bonorum istorum episcoporum, illa clam venenum immisit. Hæc ubi magnus ille audivit, non degenerem se exhibuit, sed virum præcipue esse ostendit. Cum episcopis enim qui cum eo erant, in divinum sacrarium ingressus, ubi angelo Ecclesiæ, quæ opus erat, commendavit, et ad illos quæ conveniebat, prolocutus, et ut constanter fidem retinerent eos cohortatus est, secum ipse, quomodo absque tumultu urbe egrederetur, dispexit. Jam enim multitudo confluebat, ut eo viro orbaretur, haudquaquam commissura. Jumentum igitur quod conscensurus erat, occidentali porta abduci jussit, ipse autem orientali exiit. Episcopos porro et sacerdotes, qui ad eum conveniebant, plorantes atque lugentes admonuit, ne spiritum ejus affligerent, sed res præsentes boni consulerent, nec ab ecclesiis discederent, per multas tribulationes parandum esse regnum cœlorum docens. Atque ibi ex illis sermonem ejus excipiens quidam: « At, inquit, si in magistratibus ecclesiarum permanserimus, necessitas nobis, ut cum Ecclesia tibi adversante communicemus, et abdicationi tuæ subscribamus, incumbet. » Tum magnus **394** ille, majus quiddam quam pro hominis captu cogitans, et occasionem schismatum et dissidiorum in Ecclesia præcidens, voce submissiore subintulit: « Ut quidem cum adversariis meis communicetis, concedendum vobis esse duco: ut autem abdicationi meæ calculum vestrum adjiciatis, non permitto. Nullius enim rei, cur abdicatione dignus sim, mihi conscius sum. » Hæc prolocutus, in sacrum baptisterem ingressus est. Atque ubi ad beatam Olympiadem ejusque sectatrices pervenit, vehementer propter orbitatem et abitionem ejus plangentes, consolatus illas est, easque se amplius non visuras esse prædixit. Aliisque plurimis verbis inter festinandum congestis, postremo et illa addidit: « Hoc a vobis, inquiens, postremo loco peto, ne quid de solita vestra circa Dei templum, cui assidetis, assiduitate et fide remittatis. Et quicunque thronum hunc conscen-

[1] Hebr. XI, 38.

Χριστοῦ Ἐκκλησίαν χειρίζων; οὗ μὴ τῶν λόγων μόνον, ἀλλὰ καὶ τῆς ἀρετῆς πλείστην ἔσχες τὴν πεῖραν. Τὸν τοίνυν τοσοῦτον καὶ σοὶ καταθύμιον ἁπλῶς οὕτως ἐξώσας τῆς Ἐκκλησίας ὑπερορίᾳ καταδικάζεις, ἄνδρα τοσοῦτον τὴν Χριστοῦ Ἐκκλησίαν στερήσας, οὗ κατὰ τὸν θεῖον Παῦλον οὐδὲ ὁ πᾶς κόσμος ἀντάξιος; Ἀλλ' ὄντως καὶ σὲ παρεῖλε γυνή. καὶ ἐλεεινῶς τὰς εὐκόλους σου ἀκοὰς παρεκρούσατο· ὡς γὰρ Εὔα διὰ τοῦ ὄφεως τῷ γενάρχῃ, οὕτω καὶ σοὶ διὰ τῆς συμμορίας τῶν καλῶν ἱερέων, τὸν ἰὸν ὑπεξήμεσε. Ταῦτ' ἀκούσας ὁ μέγας, μηδὲν ἀγεννὲς ὑποδείξας, ἀλλὰ τὸν ἄνδρα κυρίως δείξας, εἴσεισι σὺν τοῖς περὶ αὐτὸν ἐπισκόποις τὸν θεῖον σηκόν· τῷ ἀγγέλῳ τε τῆς Ἐκκλησίας ὅσα εἰκὸς συνταξάμενος, κἀκείνοις ὅσ' ἐχρῆν προσειπὼν, ἔχεσθαί τε τῆς πίστεως ἀμεταθέτως ἐγγυησάμενος, καθ' ἑαυτὸν διεσκοπεῖτο, ὡς ἂν θορύβων ἄνευ ἡ ἔξοδος γένηται. Ἤδη γὰρ τὸ πλῆθος εἰσέῤῥει, οὐχ οἷόν τε τὴν στέρησιν ὑπενεγκεῖν τοῦ ἀνδρός. Τὸ οὖν ὑποζύγιον ᾧ ἐπιβαίνειν ἔμελλε, διὰ τῶν δυτικῶν ἄγειν ἐκέλευεν. Αὐτὸς δὲ διὰ τῶν ἑῴων ἐξῄει πυλῶν· τοῖς δ' ἐπισκόποις καὶ τοῖς συνελθοῦσι τῶν ἱερέων ἐκέλευεν ὀλοφυρομένοις τε καὶ κωκύουσι, μὴ συνθλίβειν ἐκείνῳ τὸ πνεῦμα, ἀλλὰ στέγειν τὰ ἐπερχόμενα, καὶ τῶν ἐκκλησιῶν μὴ ἀφίστασθαι· διὰ γὰρ πολλῶν θλίψεων τὴν τῶν οὐρανῶν δεῖν πραγματεύεσθαι βασιλείαν. « Ἀλλ' ἀνάγκη, τὶς ἐκείνων ὑπολαβὼν ἔφη, ταῖς ἀρχαῖς τῶν ἐκκλησιῶν ἐπιμένοντας, τῇ κατὰ σοῦ κοινωνεῖν Ἐκκλησίᾳ, καὶ τῇ σῇ καθαιρέσει καθυπογράφειν. » Ὁ δὲ μέγας ἐκεῖνος, μεῖζόν τι φρονῶν ἢ κατὰ ἄνθρωπον, φειδοῖ τῶν τῆς Ἐκκλησίας σχισμάτων ἠρέμα ἐπέφερε· « Κοινωνῆσαι μὲν ὑμᾶς τοῖς ἐμοὶ ἐναντίοις ἐπιτρεπτέον ἔγωγε τίθεμαι· τῇ δ' ἐμῇ καθαιρέσει καθυπογράφειν οὐκ ἐπιτρέπω· οὐδὲν γὰρ ἐμαυτῷ καθαιρέσεως ἄξιον σύνοιδα. » Ταῦτ' εἰπὼν, ἐπὶ τὸν ἱερὸν βαπτιστῆρα εἰσῄει· καὶ ταῖς περὶ τὴν μακαρίαν Ὀλυμπιάδα ἐντετυχηκὼς, πολλά τε σφόδρα κοπτομέναις τὴν στέρησιν φιλοσοφήσας, καὶ ὡς οὐκέτι αὐτὸν ὄψονται προειπὼν, καὶ ἄλλα πλεῖστα ἐπισυνείρας τῷ κατεπείγεσθαι, τέλος καὶ ταῦτα προσέθηκε· « Ταύτην δὲ ὑμῶν δέομαι δέησιν τὴν ἐσχάτην, μηδὲν τῆς συνήθους περὶ τὸν τοῦ Θεοῦ ναὸν προσεδρείας καὶ πίστεως καθυφεῖναι, καὶ ὃς ἂν ἐπὶ τὸν θρόνον τοῦτον ἀνέλθοι (τὸ γὰρ εἶναι τὴν Ἐκκλησίαν ἔρημον ἐπισκόπου πάντως οὐκ ἔσται), τούτῳ, καθάπερ δὴ καὶ ἐμοὶ, τὰς κεφαλὰς ὑμεῖς ὑποκλίνατε, καὶ μοῦ τῆς ἀγάπης ἐν προσευχαῖς μέμνησθε. » Ταῦτ' εἰπὼν, διὰ τῶν ἀνατολικῶν ἐξῄει πυλῶν, τοσοῦτον μεμφόμενος, ὅτι γε παρανόμως καὶ βίᾳ ἠλαύνετο, μὴ ἀξιωθεὶς κρίσεως, ἧς ἐκ νόμων καὶ μοιχοῖς καὶ ἀνδροφόνοις καὶ γόησι μέτεστι. Καὶ καταχθεὶς ἔπλεε, σμικρῷ κελητίῳ εἰς Βιθυνίαν περαιωθεὶς τὸ τῆς σοφίας ἀνεξάντλητον πέλαγος· κἀκεῖθέν τε τῆς ὁδοῦ εἴχετο, εἴς τι τῶν τῆς Ἀρμενίας πολίχνιον, τοῖς τέρμασι τῆς Ῥωμαίων γῆς κείμενον, πρὸς τῷ τοῦ Πόντου στόματι, δεινῶς ἔρημον, (ὢ δίκη καὶ νόμοι Θεοῦ!)

ἀνοσίως ἀπελαυνόμενος, βασιλέως γράμμασι τὴν ἐκεῖσε οἴκησιν καταδικασθείς. Κούκουσος δ' ἦν τῇ πολίχνῃ τὸ ἐπιχώριον ὄνομα. Τῶν δ' ἐπιβούλων ἐκείνῳ τὸ στῖφος, συνδιασκεψάμενοι ὡς εἰ πεῖραν τοῦ γενομένου ὁ τοῦ Θεοῦ λαὸς λήψαιτο, ἐπιδιώξοι αὖθις, καὶ πάλιν βίαν προσθήσει καὶ ἐπανελθεῖν πείσει τὸν μέγαν, ἄλλος ἄλλον προφθάνοντες, τὰς τοῦ ναοῦ πύλας κατέκλειον. Ὡς δ' ἔγνωσαν οἱ ἀνὰ τὰς ἀγυιὰς διιόντες καὶ περικύκλῳ τὸν ναὸν ἔξωθεν ἑστηκότες, ἄλλοι μὲν ᾗ τάχους εἶχον, πρὸς θάλασσαν, οἰόμενοι καταλήψεσθαι τὸν καλὸν ποιμένα, ἠπείγοντο· οἱ δὲ καὶ δεδοικότες, φυγάδες ἦσαν, τήν τε στάσιν καὶ τὸν πυκνὸν θόρυβον, ἔτι δὲ καὶ τὴν ἐκ βασιλέως ὀργὴν ὑπειδόμενοι. Οἱ δὲ περὶ τὸν νεὼν ἔτι μᾶλλον ἔφραττον τὰς εἰσόδους, ἐπὶ ταύτας τοῦ πλήθους συῤῥέοντος καὶ περιωθοῦντος ἀλλήλους. Μόλις δὲ τῇ πολλῇ ἀνθολκῇ τῶν κατὰ νώτου ὄχλων ἐπικειμένων, ὧν δὲ καὶ λίθοις κατεαγότων, τὰς θύρας σὺν βίᾳ διαπετάσαντες, χύδην ἐπὶ τὴν θάλασσαν ἔῤῥεον. Ἐπεὶ δ' ἐκεῖνον οὐκ ἔφθανον, ἀλλ' ἐπὶ πελάγους ἑώρων τάχει πολλῷ τὸ ῥόθιον διαθέοντα, καί τινες δ' ἐκ τοῦ βασιλικοῦ ξιφήρεις παρῆσαν, τὴν ὁρμὴν ἀναστέλλοντες πᾶσι τρόποις καὶ μηχανήμασιν, ἐκεῖνοι ὥσπερ ἀπειπόντες, τὰς ψυχὰς προεῖναι μᾶλλον ἠβούλοντο. Σφόδρα δὲ τὴν τοῦ καλοῦ ποιμένος ὀλοφυράμενοι στέρησιν, καὶ τοῖς δάκρυσι τῷ ῥοθίῳ διαμιλλώμενοι, κατηφεῖς καὶ δεδακρυμένοι, ὅσον ἐξικέσθαι τὴν ὄψιν, τὴν ἁλιάδα θεώμενοι, μόλις ὑπέστρεφον, κοπετὸν οἷον οὐδεὶς ἀνθρώπων ἐξ αἰῶνος ἢ εἶδεν ἢ παρέλαβεν ἀκοῇ, ποιησάμενοι.

A derit (haudquaquam enim Ecclesia episcopo prorsus carebit) ut ei ipsi non minus atque mihi capita vestra inclinetis, et dilectionis meæ in orationibus vestris memineritis. » Talibus verbis dictis, orientali exivit porta, nihil aliud questus, quam quod inique contra leges per vim expelleretur, judicio videlicet sibi denegato, quod legibus, adulteris quoque et homicidis et malefi is daretur. Cæterum ad mare deductus solvit, et celoce parvo in Bithyniam inexhaustum sapientiæ pelagus trajecit : atque inde iter cœptum prosecutus est, ad oppidulum Armeniæ quoddam, in finibus imperii Romani, ad os Ponti, in solitudine ingenti situm (o vindicta et lex Dei) impie abductus, imperatoris litteris ad eum locum inhabitandum condemnatus. B Vernaculum oppidi ejus nomen Cucusus fuit. Insidiatorum vero ejus manus secum ipsa reputans, populum Dei qui in ecclesia erat, si factum id rescisceret, rursum illum prosecuturum, vimque adhibiturum, et viro magno ut rediret, persuasurum esse, alius alium præveniendo, templi postes clauserunt. Ut autem qui in plateis ambulabant quique extra templum circumcirca stabant, rem eam cognoverunt, partim quidem quam potuerunt celerrime ad mare, comprehensuros se esse bonum pastorem existimantes, properarunt : **395** partim vero timore perciti, fugerunt, seditionem et tumultum gravem, imperatoris etiam iram metuentes. Qui vero ad templi custodiam constiterant, magis etiam magisque exitus ipsos, ad quos multitudo aliis alios inter se protrudentibus confluebat, obstruxere. Et vix tandem ingenti et adversa repressione turbarum, a tergo postibus imminentium, quarumdam etiam saxis fores confringentium, magna violentia ædes sacræ apertæ sunt, et populus confertim ad mare percurrit. Postquam vero illum ibi consecuti non sunt, sed in mari fluctus multa celeritate secantem viderunt, et armati quidam ex imperatoria cohorte ibi præsto fuere, qui modis molitionibusque omnibus hominum impetum inhibebant, illi veluti re desperata, vitam potius quam illum amittere optaverunt. Atque ubi orbitatem suam et boni pastoris abitionem vehementer deplorarunt, et lacrymarum vi cum fluctibus decertarunt, mœsti atque flentes, quantum oculis consequi potuerunt, naviculam intuiti, tandem ægre in urbem sunt reversi, cum eo planctu, quem nemo unquam a sæculo hominum vel vidit, vel accepit.

ΚΕΦΑΛ. ΚΑ'.

Περὶ τῆς κατὰ τοῦ Ἰωάννου διὰ ξίφους ἐπιβουλῆς· καὶ περὶ τοῦ οὐρανόθεν πεμφθέντος θεηλάτου πυρὸς τῇ ἐκκλησίᾳ καὶ τοῖς βασιλείοις αὐτοῖς.

Οἷον δέ με τῷ πάθει συγχεόμενον μικροῦ παρέδραμεν, ἔλεγχον μὲν ἀκριβῆ τῆς τῶν μοχθηρῶν κακίας ἔχον ἐμφανῶς παριστᾶν, ὅση δ' αὖ κηδεμονία τῷ μεγάλῳ προσῆν ἐκ Θεοῦ. Τὸ γὰρ πονηρὸν ἐκεῖνο συνέδριον, ἐπεὶ μετὰ τῶν ἄλλων καὶ φονᾶν αὐτοὺς ἔδει, οἰκέτην τῶν τινος πρεσβυτέρων (Ἐλπίδιος ἦν αὐτῷ ὄνομα) πεντήκοντα χρυσίνων τὴν δεξιὰν μισθωσάμενοι, εἰς φόνον τῷ ἁγίῳ ἀνέπεμπον. Τῶν τις δὲ παρατυχόντων τὸ τοῦ δρόμου τάχος πυθόμενος, ὡς εἶχεν, ἐπέσχεν. Ὁ δὲ μηδὲν εἰπὼν, ξίφει παραχρῆμα παίει· εἶτα καὶ δεύτερον, τῇ τοῦ πρώτου πληγῇ ἐκβοήσαντα· ἐπὶ δὲ τούτῳ καὶ τρίτον ἄλλον ἐκέντει. Θορύβου δὲ, ὡς εἰκὸς, καὶ βοῆς ἐπιγενομένης, ἔφευγεν ἀνακράτος. Πολλῶν δ' ἐπιδιωκόντων καὶ

C

CAPUT XXI.

De subornatis Joanni percussoribus, et de igne a vindicta divina de cœlo in ecclesiam et imperatoris ædes misso.

Illud porro luctu conturbatus parum abfuit quin præterirem, quod paulo ante discessum Joannis seu potius in ipso discessu ejus factum certo argumento manifestoque indicio est, cum improborum illorum malitiæ et iniquitatis, tum divinæ de magno illo viro curæ atque providentiæ. Malignum namque conciliabulum illud, quandoquidem cædem etiam eos super alia facinora patrare oportebat, servum presbyteri cujusdam Elpidii nomine, quinquaginta aureis dextra ejus conducta, ad cædem D sancti viri submiserunt. Cujus cum accelerati ad episcopalem domum cursus causam quidam ei forte obvius requireret, eumque, ut potuit, retineret : ille nullo responso dato, statim hunc ense

transverberat; deinde alterum quoque jugulat, qui ad primi illius ictum exclamaverat; tertium insuper confodit. Et cum, sicuti fieri solet, tumultus et vociferatio exorta esset, ille tamen violenter effugit : multisque eum persequentibus, atque clamoribus signisque denuntiantibus, ut percussor in fuga exceptus comprehenderetur, **396** ex balneo quidam post lotionem casu quodam progressus, hominem comprehendit. Verum et hic quoque confestim pugione ictus concidit, et mortuus est. Ubi autem in partes omnes profugiens, a multitudine, quæ eum circumdedit, captus est, in imperialem domum eum illi abduxit : et cum ab eo qui unus ex illis qui Joannem odissent, esset, tum ab eis qui illum ad facinus tantum produxissent, pœnas sumendas esse flagitavit. Præfectus vero hominem suscepit, veluti ad supplicium eum conservaturus, clamoremque plebis compescuit. Alius quoque dæmonio agitari se assimulans, pugionem manu tenens ad cædem sancti viri se paravit : sed scelere nondum patrato comprehensus, tanquam ad flagitium id mercede conductus, ad præfectum itidem abductus est. Priusquam autem tormenta illi adhiberentur, Joannes missis qui cum eo erant episcopis, supplicio eum exemit, quod neminem sua causa pati quidquam vellet. Accidit quoque aliud quiddam, quod sane providentiæ Dei factum exstitit, ministri autem ejus esse visum est : id hic ad terrorem et commotionem hominum præcipitanter audacium et temerariorum, quantum potero, exponam. Eo namque die quo magnum Ecclesiæ sidus, veluti occidens, in exsilium abiit, ignis ex medio throno, in quo doctrinæ illa lux considens coruscaverat, a nemine conjectus, emicans derepente per sacras catenas in sublime prorepsit, et ecclesiam ex omni parte carpsit, eamque prorsus percurrens depastus est : deinde tecto quoque consumpto, ad tergum sacrarum ædium conversus, et vehementi violentoque inde vento exceptus, proximam meridiem versus senatus curiam, quamvis longiuscule dissitam, invasit. Cernere erat rem divinam fere, et valde admirandam. Flamma namque veluti animata esset, ædificia quæ in medio erant, prætериens transiliit, ne videlicet proxima quæque carpendo, humanum id quispiam factum esse putaret. Tribusque horis opus tantum, quod longo durasset tempore, materia quidem longe pretiosissima, forma autem multo pulcherrima constructum, ad excidium vergens conflagravit (1). Porro incendium hoc proserpens (2), ædificiis omnibus in circuitu consumptis, ab ædicula ea sola abstinuit, ubi sacra vasa sunt asservata. **397** Ac ne id quidem absque divino numine factum esse puto, ut ne calumniatoribus occasio esset, sacrarum rerum jactura insignem sycophantiam suendi, virumque sanctum per reprehensionem carpendi. Flamma quæ circiter crepusculum grassari cœperat, ad auroram usque et ulteriùs progressa, materiam quæ reliqua adhuc erat, occupavit et combussit.

A βοαῖς καὶ σχήμασι παρακελευομένων ὑπὸ χεῖρα ποιεῖν τὸν φεύγοντα οἷα φόνους ἐξειργασμένον, ἐκ βαλανείου τις λελουμένος, ἐκ τοῦ παρήκοντος διιὼν, συνελάμβανεν. Εὐθὺς δὲ καὶ οὗτος τῷ παραξιφιδίῳ πληγεὶς, νεκρὸς ἔκειτο. Ἐπεὶ δὲ πανταχοῦ διαφεύγων ὑπὸ τοῦ πλήθους θηρευθεὶς ἐκυκλώθη, ἐπὶ τὰ βασίλεια ἄγεται. Τῶν δ' ἀπεχθανομένων Ἰωάννῃ αὐτόν τε εἶναι ἕνα, καὶ τοὺς εἰς τοῦτο προαγαγόντας δίκην ᾔτουν λαβεῖν. Ὁ δὲ ὕπαρχος τοῦτον παραλαβὼν, ὡς ἐπὶ τιμωρίαν φυλάξων, τὴν βοὴν τοῦ δήμου μόλις κατέστειλεν. Καὶ ἄλλος δαιμονᾷν ὑποκρινόμενος, ἐγχειρίδιον τῇ χειρὶ κατέχων, ὡς ἐπὶ σφαγὴν τοῦ ἁγίου παρεσκευάζετο. Μήπω δὲ τῇ πράξει ἐπιβαλὼν φωραθεὶς, οἷάπερ ὠνητὸς τῷ ὑπάρχῳ προσάγεται. Πρινὴ δ' αἰκίας λαβεῖν, Ἰωάννης ἐπισκό- B πους πέμψας τῶν ἀμφ' αὐτὸν, τῆς τιμωρίας ἐξείλετο, μή τινα πάσχειν δι' αὐτὸν ᾑρημένος. Καὶ ἄλλο δέ τι συμβὰν, ἔργον μὲν προνοίας Θεοῦ, δόξαν δὲ τοῦ οἰκείου θεράποντος, εἰς φόβον δὲ καὶ συναίσθησιν τῶν σφόδρα τολμηρῶν καὶ θρασέων, ὡς ἐνὸν, διηγήσομαι. Καθ' ἣν γὰρ ἡμέραν ὁ μέγας τῆς Ἐκκλησίας ἀστὴρ ὡσανεὶ δύνων πρὸς τὴν ὑπερορίαν ἐχώρει, πῦρ ἐκ μέσου τοῦ θρόνου ἀναθορὸν, ἐφ' οὗ τὸ τῆς διδασκαλίας προσεδρεῦον φῶς κατεπύρσευεν, οὐδενὸς ἐμβαλόντος, ἐξαπίνης διὰ τῶν ἱερῶν ἀνεῖρπεν εἰς ὕψος ἁλύσεων, καὶ τὴν ἐκκλησίαν πάντοθεν ἐπεβόσκετο, πᾶσάν τε ἀθρόον διαδραμὸν ἐνεμήθη· ἔπειτα καὶ τὴν στέγην διαφαγὸν, κατὰ νώτου τῶν σεπτῶν δωμάτων ἐχώρει. Σφοδρὸν δ' ἐκεῖθεν πνεῦμα καὶ C βίαιον ἐκλαβόμενον, ἐπὶ τὸν παρακείμενον πρὸς μεσημβρίαν τῆς συγκλήτου βουλῆς οἶκον, καίπερ διὰ μακροῦ κείμενον, ἐξετίνασσε. Καὶ ἦν ἰδεῖν πρᾶγμα θεῖον ὡς ἀληθῶς, καὶ λίαν ἐξαίσιον· ἡ γὰρ φλὸξ, οἷά τις ἔμψυχος παραδραμοῦσα τὰ μεταξὺ ὑπερήλατο, ὡς ἂν μὴ τῇ ἐγγύτητι ἀνθρώπινόν τις οἰηθείη τὸ ἔργον. Καὶ εἰς τρεῖς ὥρας εἰσάπαν τὸ τοσοῦτον ἔργον καὶ χρόνου ὑπερτερῆσαν πολλοῦ, ὕλῃ μὲν ἐς πολυτέλειαν πρώτην ἀνῆκον, περικαλλὲς δὲ ἄλλως καὶ ὡραιότατον, παρανάλωμα γέγονε χωρῆσαν πρὸς τὸ μὴ ὄν. Πάντα δὲ τὰ κύκλῳ παρέρπον τὸ πῦρ καὶ διανεμόμενον, τοῦ οἰκίσκου μόνου ἐφείδετο, ὃ τῶν θείων σκευῶν εἶχε τὴν φυλακήν. Καὶ τοῦτο οἶμαι γενέσθαι οὐκ ἀθεεί· ὡς ἂν μή τινι τῶν ᾑρημένων συκοφαντεῖν γένοιτο ἀφορμὴ τῇ τῶν ἱερῶν ἀπωλείᾳ D διαβολὴν γενναίαν ῥάπτειν, καὶ μῶμον τῷ ἁγίῳ προστρίψασθαι. Τό γε μὴν πῦρ δείλης ὀψίας ἀρξάμενον, μέχρις ἕω καὶ περαιτέρω ἐχώρει πρὸς τὰς ἔτι συνεστώσας ὕλας ἕρπον, καὶ θοίνην πάντα ποιούμενον.

(1) Socrat. libro VI, cap. 18.

(2) Adversarii Joannis incendium hoc in sectatores ejus rejecerunt. At illi contra factum in adversarios regesserunt : quasi eos una cum ecclesia comburere vivos voluerint. (Sozom. lib. VIII, cap. 22).

functo, episcopi Occidentales non prius Ægypti, Orientis, Bospori, et Thraciæ episcopos ad communionem suam admiserunt, quam nomen divini illius viri in mortuorum episcoporum catalogum retulere. Sed neque Arsacium successorem ejus vel compellatione sola dignati sunt. Quin et Atticum, qui Arsacio substitutus est, et legationes multas ad eos misit, sæpeque per pacificationem conciliari eis studuit, longo post tempore susceperunt, ubi magni viri nomen sacris tabulis inscripsit, sicuti paulo post dicemus.

A ἐπισκόποις. Ἀλλ' οὐδ' Ἀρσάκιον τὸν ἐκείνου διάδοχον ψιλῆς γοῦν προσρήσεως κατηξίωσαν· ἀλλ' οὐδ' Ἀττικὸν, ὃς μετ' Ἀρσάκιον ἐγεγόνει· καὶ γὰρ καὶ τοῦτον πολλὰ πρεσβευσάμενον, πολλάκις δὲ τῆς εἰρήνης τυχεῖν ἀξιώσαντα, χρόνῳ πολλῷ προσήκαντο ὕστερον, τὴν τοῦ μεγάλου προσηγορίαν τοῖς ἱεροῖς διπτύχοις ἐγγράψαντα, ὡς μικρὸν προϊόντες δηλώσομεν.

399 CAPUT XXIII

De Tigrio presbytero, et Eutropio lectore, et ea quæ propter ipsum facta est in somnis Sisinio visione.

Eo tempore maximo excitato metu, quoniam plebem quietam deinceps per seditionem nihil moturam esse constabat, urbis præfectus Optatus publice pro tribunali, de incendio hoc, et quæ conflagraverat senatus curia, quæstionem exercuit, multosque eo sub prætextu graviter torsit. Quod enim superstitionem Græcam profitebatur, in nostris malis veluti delicias consectans, et ecclesiasticis cladibus illudens, casu eo delectabatur; et presbyterum quemdam, cui nomen erat Tigrius, arripuit: eique vestibus detractis, nudo flagris in tergo plagas intulit: et eousque hominem excarnificavit, donec articuli ejus solverentur. Manibus enim pedibusque arcte vinctus, quam maxime fieri potuit, distentus est. Tigrius vero iste genere barbarus quidem et eunuchus, non ab ipsa nativitate, fuit. Et quoniam in herili domo, pro eo atque debuit, servitutem serviit, præclariorem quam pro servi captu laudem sibi comparavit. Quapropter libertate donatus, propter morum humanitatem et modestiam, multo intercedente tempore ad presbyteri evectus est dignitatem. Erat namque moderatus admodum, et æquabilitate vitæ insignis. Erga indigentes, si quis alius, et ipse valde commodus, et in hospites qui ad eum divertissent, benignus. Deinde Eutropius etiam lector productus est, cum quasi incendiarius per indices delatus fuisset. Et primum quidem boiis distentis sæpius tortus est, postea autem ei fustibus et clavis ossa comminuta, ungulis deinde membra, latera, et maxillæ concisæ, postremo flammam accensam inferioris corporis partibus is excepit. Atque ubi nihil est confessus, post eos qui dicti sunt cruciatus custodiæ inclusus est, cum juvenis et tenero maxime corpore esset. Ubi etiam correptis putredine membris, brevi vitam finiit. Verum enimvero grave mihi non fuerit, somnium quoque quod de eo accidit, historiæ huic attexere. Sisinio namque episcopo dormienti assistere visus est vir quidam forma et proceritate illustri, habitu etiam honesto et gravi, ad sanctam sacrificii aram, templi quod Stephano protomartyri dicatum est. **400** Consternata vero admiratione mente eum esse apparuit, quod viros bonos non invenerit, cujus rei gratia totam perambulaverit urbem: et quod in tanta

ΚΕΦΑΛ. ΚΓ'.

Περὶ τοῦ πρεσβυτέρου Τιγρίου, καὶ Εὐτροπίου τοῦ ἀναγνώστου, καὶ τοῦ διὰ τοῦτον ὀνείρατος.

Τηνικαῦτα δὲ μεγίστου φόβου ἀνηρτημένου, ἐπειδὴ
B καὶ ὁ δῆμος λωφήσας δῆλος ἦν μὴ τοῦ λοιποῦ στασιάζειν, ὁ τῆς πόλεως ὕπαρχος, Ὀπτᾶτος ὄνομα, δημοσίᾳ προκαθίσας, δῆθεν τὰ περὶ τῆς πυρκαϊᾶς καὶ τοῦ τῆς γερουσίας, εἴτουν τοῦ βουλευτηρίου οἴκου, ἐξήταζε. Πολλοὺς δὲ τῇ προφάσει τούτου δεινῶς ἐτιμωρήσατο· τὰ γὰρ Ἑλλήνων πρεσβεύων, ὥσπερ τοῖς ἡμετέροις κακοῖς ἐντρυφῶν, καὶ ταῖς ἐκκλησιαστικαῖς ἐπεγγελῶν συμφοραῖς, δι' ἡδονῆς εἶχε τὸ συμπεσόν. Καὶ δή τινα πρεσβύτερον, Τίγριον ὄνομα, συλλαβὼν, ὑφαιρεῖτό τε τὴν ἐσθῆτα, γυμνῷ τε κατὰ νώτου ἐπῆγε τὰς μάστιγας· καὶ ἐπὶ τόσον ᾐκίσατο, ἕως οὗ ἐκείνῳ διελύθη τὰ ἄρθρα· οἵ τε γὰρ πόδες καὶ αἱ χεῖρες ἀσφαλῶς δεσμευθεῖσαι, ἐφ' ὅσον ἐξῆν, διετείνοντο. Ὁ δὲ Τίγριος οὗτος τὸ
C μὲν γένος βάρβαρος ἦν, εὐνοῦχος δὲ οὐκ ἀπὸ γαστρός· δυνατῇ δὲ οἰκίᾳ δεδουλευκὼς, ὡς χρεὼν, ἐπῃνέθη, δόξαν οὐ κατὰ δοῦλον κτησάμενος· ὅθεν ἐλευθερίᾳ τιμηθεὶς, τῷ τοῦ τρόπου ἐπιεικεῖ πολλῷ τῷ μέσῳ χρόνῳ καὶ εἰς πρεσβυτέρου προῆλθεν ἀξίαν. Ἦν δὲ τὸ ἦθος μέτριος καὶ ἐπιεικέστατος· λίαν δὲ δεξιῶς εἶχε περὶ τοὺς δεομένους εἴπερ τις καὶ εἴ τις ἐπιξενωθείη αὐτῷ. Πρὸς δὴ τούτῳ καὶ Εὐτρόπιος ἀναγνώστης προήγετο, καταμηνυθεὶς ἐπαφεῖναι τὸ πῦρ. Καὶ δὴ πρῶτα μὲν βοείαις κατατεινομέναις συχνάκις ᾐκίζετο· ἔπειτα ξύλοις καὶ ῥοπάλοις τὰ ὀστᾶ συνεθλᾶτο· ὄνυξιν ἐπὶ τούτοις τὰ μέλη ἐξαίνετο, πλευράς τε καὶ παρειάς· τέλος πυρσὸν ἀναφθέντα κάτωθεν ὑπεδέχετο. Ὡς δὲ μηδὲν εἶναι διωμολόγει, μετὰ τὰς εἰρημένας βασάνους τῇ φρουρᾷ
D κατεκλείετο, καὶ ταῦτα νέος καὶ ἁπαλόχρως μάλιστα ὤν. Ὅπου δὴ συσσαπέντων αὐτῷ τῶν μελῶν, ἀπεβίω μετὰ βραχύ. Ἐγὼ δ' οὐκ ὀκνήσω καὶ τὸ συμβὰν ἐπὶ τούτῳ ὄναρ τῇ συγγραφῇ παραδοῦναι. Σισινίῳ γὰρ τῷ ἐπισκόπῳ καθεύδοντι ἀνήρ τις ἐδόκει παρίστασθαι, κάλλει καὶ μεγέθει διαφανὴς· σεμνῇ δὲ τῇ ἀναβολῇ κεχρημένος ἦν, παρὰ τὸ θυσιαστήριον τοῦ νεὼ, ὃς Στεφάνῳ ἀνεῖτο τῷ πρωτομάρτυρι. Ἐῴκει δὲ ἀδημονεῖν, ὅτι μὴ ἀνδράσιν ἀγαθοῖς ἐντύχοι, καὶ ταῦτα τούτου χάριν πᾶσαν τὴν πόλιν περιεληλυθώς· ἐπὶ σπάνει δὲ τοσαύτῃ ἀνδρῶν ἀγαθῶν μόνον διαφανῆ εἶναι Εὐτρόπιον. Ἐν ἐκπλήξει δὲ γενόμενον τῷ καινοτέρῳ τῆς ὄψεως τὸν Σισίνιον, διαναστῆναί τε εὐθέως, καί τινι τῶν ὑπ' αὐτῷ πρεσβυτέρων τὸ ὄναρ ἐκδιηγήσασθαι, κελεύειν τε

τὴν πόλιν περιιόντα, ἀναζητεῖν εἴ πού τις εἴη Εὐτρόπιος. Ὁ δ' εὐθὺς συνέβαλεν, ἐκεῖνον εἶναι εἰπὼν, ὃς ἔναγχος τοῖς ὑπὸ τὴν ἔπαρχον ἐξεταζομένοις πλεῖστον διεγένετο ταῖς βασάνοις ἐγκαρτερῶν. Καὶ δὴ ἀνὰ τὸ δεσμωτήριον γεγονὼς, ἐπιμελῶς ἠρεύνα, εἴ τις ἔστιν αὐτοῖς Εὐτρόπιος ὄνομα· εὑρὼν δὲ, καὶ λόγοις προσομιλήσας, τὸ Σισινίου κατέλεγεν ὄναρ. Δακρύων δὲ, ὑπὲρ αὐτοῦ εὐχὴν πράττειν κατηντιβόλει. Καὶ τὰ μὲν περὶ Τίγριον καὶ Εὐτρόπιον οὕτως ἔσχε.

proborum hominum penuria solus præclarus esset Eutropius. Hac visione propter novitatem rei Sisinius ad stuporem redactus, celeriter consurrexit, et cuidam presbytero, qui sub eo erat, somnium exposuit: eumdemque per urbem circumeuntem, si alicubi Eutropius quispiam adesset, inquirere jussit. Atque ille conjectura ductus, eum confestim esse dixit, qui nuper diutissime illata in quæstione sibi a præfecto tormenta fortiter pertulisse ferebatur. Et in ipso carcere diligenter, si quis ibi Eutropius nomine esset, inquisivit: quem ubi invenit, collocutus cum eo, et Sisinii somnio commemorato, flens, ut pro se precaretur, ab eo petiit. Hæc de Tigrio et Eutropio.

ΚΕΦΑΛ. ΚΔ'.

Περὶ τῆς ἁγίας καὶ μακαρίας Ὀλυμπιάδος διακόνου γενομένης τῆς Μεγάλης ἐκκλησίας Κωνσταντινουπόλεως μερική τις τῶν κατ' αὐτὴν διήγησις.

Ταῖς δ' ἐκκλησιαστικαῖς ταυτηῒ συμφοραῖς μάλα ἀνδρεῖον διαγέγονεν ἐνδειξαμένη τὸ φρόνημα καὶ ἡ μακαρία Ὀλυμπιὰς ἡ διάκονος. Δήλη δὲ πάντως αὕτη καὶ μόνῃ τῇ κλήσει. Ἀδικοίην δ' ἂν καὶ τὴν συγγραφὴν αὐτὴν, εἰ μὴ καὶ τὰ περὶ αὐτῆς διαλήψομαι, καὶ ἅπαξ καὶ δὶς ἤδη μνήμης ἀξιωθείσης. Ἀλλ' ἀφήσω ἤδη τὸν λόγον, ὥστε καὶ τοῖς αὐτῆς παρατρυφῆσαι καλοῖς. Γένει μὲν γὰρ τῶν λίαν ἐπισήμων ἦν αὕτη· πλούτῳ δὲ καὶ τοῖς κατὰ βίον ἅπασι διαφερόντως περιφανῶς ἔχουσα, ἀνδρὶ πρὸς γάμου κοινωνίαν ἐκδίδοται μὲν, οὐ μὴν δὲ καὶ τὸ παρθένος εἶναι προσαφαιρεῖται· εἴκοσι γὰρ ἐκείνῳ μῆνας συμβιωτεύσασα, ἐπεὶ θανάτῳ αὐτὸν ἀπέβαλε, καίπερ τὴν ἡλικίαν μὴ αἰσχύνειν δευτέρους γάμους ἔχουσαν, σωφρονεῖν τε ἠγάπα, καὶ στέργειν διὰ βίου ταύτην ᾑρεῖτο. Καὶ ταῦτα τοῦ βασιλέως πρὸς τοὺς ἐκείνῳ συγγενεῖς γάμους ἕλκοντος, καὶ γερῶν τῶν ἀνηκόντων καταξιοῦντος, ἐκείνη μᾶλλον εἰσάγαν ἐπέβαλε τὸ φιλοσοφεῖν κατὰ τὸν τῆς Ἐκκλησίας θεσμόν. Καὶ δὴ ἀπεωθεῖτο μὲν τὴν τροφὴν, οἷα δὴ ταύτην μᾶλλον οἰομένη ξένην ταῖς εὐγενέσι· νηστείᾳ δὲ προσκειμένη, οὐχ ἧττον τροφῆς, ἀλλὰ καὶ ὕπνου καὶ τῶν ἐξ ὕλης παθῶν ἐπιμελῶς ἤσκει τὸ σῶμα τοσοῦτον, ὡς συνεργὸν μᾶλλον, ἀλλὰ μὴ ἐπίβουλον κτήσασθαι. Τὸ δὲ σῶφρον αὐτῇ οὐκ ἄχρι τοῦ θίγειν ἐν ὁποίᾳ δή ποτε τῶν αἰσθήσεων ἵστα, ἀλλ' ἐν αὐτῇ διανοίᾳ. Κυρία δὲ τῆς πολλῆς οὐσίας ἐκείνης γεγενημένη, πρῶτα μὲν, ὡς ἔτυχε, τοῖς αἰτοῦσι ταύτην προΐετο· ἣν οὕτω πράττουσαν ὁρῶν Ἰωάννης ὁ τῆς Ἐκκλησίας λαμπτὴρ (διάκονον γὰρ ταύτην χειροτονήσας ἔφθη Νεκτάριος), « Τὴν μὲν σὴν, εἶπε, προαίρεσιν, ὦ γύναι, περὶ τὰ τοῦ κόσμου μάταια ὑπεράγαμαι· ἀλλ' οἰκονομικὸν εἶναι χρεὼν τὸν εἰς ἄκρον ἀνιέναι τῆς τελείας ἀρετῆς σπεύδοντα. Σὺ δὲ τοῖς ἔχουσι τὸν σὸν ἐπιβάλλουσα πλοῦτον, ἔοικας θαλάττῃ δανείζειν ὕδωρ. Ἐκεῖνο δέ σε μάλιστα συνορᾷν προσῆκεν, ἐπεὶ ἑκοῦσα Θεῷ τῆς οὐσίας ἐξέστης, καὶ τῆς ἐπὶ χρήμασι δεσποτείας ὑπανεχώρησας, διοικῆσαι ταῦτα μᾶλλον καλῶς δίκαιον, οἷα τοῦ λοιποῦ θεῖκὰ χρήματα· καὶ λόγον ἐνέχῃ δοῦναι, εἴ τι μὴ κατὰ λόγον ἐπὶ τούτοις ἐκβαίη. Τοίνυν πρὸς τὴν τῶν αἰτούντων χρείαν, ἤν ἐμοὶ πείθῃ, μετρήσεις τὴν δόσιν· πλείους γὰρ εἰ

CAPUT XXIV.

De beata et sancta Olympiade, diaconissa Magni templi Constantinopolitani: et singularis quædam rerum ejus gestarum commemoratio.

In hisce ecclesiasticis calamitatibus virilis admodum animi specimen exhibuit beata Olympias, diaconissa, quæ vel solo nomine satis est clara et manifesta. Facerem vero historiæ huic injuriam, nisi ejus quoque res referrem, cujus semel jam atque iterum mentio est facta. Sed laxanda venit oratio, ut nos virtutibus quoque ejus oblectemus. Genere ipso parentibus præclaris orta fuit, divitiis, formæ venustate, et omnibus vitæ ornamentis perquam illustris. Et collocata quidem illa viro in matrimonium est, non tamen idcirco virginitate orbata est. Viginti namque mensibus in conjugio cum illo exactis, postquam illum ei mors ademit, quanquam ea esset ætate, ut secundas non dehonestaret nuptias, pudicitiam tamen complecti, atque in ea per vitam omnem acquiescere maluit. Et cum imperator eam ad cognatorum suorum connubium alliceret, præmiaque et honores convenientes deferret, nihilominus tamen illa persequendum sibi esse quam maxime juxta Ecclesiæ constitutiones philosophandi genus dixit. Proinde delicias omnes repudiavit, alieniores eas esse a præstantibus nobilitate feminis rata. Et cum abstinentiæ se non cibi tantum, **401** sed et somni et crassiorum materiæ affectionum seu perpessionum dedisset, tam accurate corpus exercuit, ut administro illo, non insidiatore usa sit: pudicitiam vero non modo in contactu quorumcunque sensuum, sed in mente ipsa constitutam habuit. Tum autem cum domina facultatum multarum esset, primum quidem prout sors tulit, petentibus eas distribuit. Cum vero eam hoc sic facere insigne Ecclesiæ lumen Joannes videret (Nectarius enim eam diaconissam legerat): « Consilium sane, inquit, et institutum tuum, o mulier, de vanis hisce mundi rebus admiror. At dispensandi largiendique modum tenere eum oportet, qui ad perfectæ virtutis fastigium contendit. Ac tu quidem, quæ habentibus substantiam tuam distribuis, mari ipsi aquam inferre et mutuam dare videris. Illud autem te maxime spectare decet, quandoquidem tua sponte Deo ipsi bonis tuis cessisti, et dominio possessio-

nique pecuniarum renuntiasti, ut eas de cætero veluti divini juris factas, rectius majore cum æquitate dispenses, obnoxiamque te rationi reddendæ, si quid de eis præter rationem factum fuerit, esse scias. Itaque liberalitatem, si mihi obsequeris, petentium indigentia metieris. Plures enim hoc modo abundabunt, et misericordiam simul et dispensationis curam, quam in divina pecunia consectari convenit, conservabis, compensationemque et gratiam congruentem consequeris. » Ex eo igitur tempore in solam sanctorum curam opes suas impendere constituit, et liberali manu virtutis amatores prosecuta est, largitione convenienti cum hilaritate usa. Ac multos illa quidem alios propter excellentem hospitalitatem liberaliter et benigne excepit, in primis autem in Theophilo, amicum illum et charum Deo esse rata, magnanimitatem suam ostendit: quamvis et ipsa improbitatem et contumelias linguæ ejus non effugit, ob causam illam, quod et Dei amantes viros illos Ammonium et Isidorum hospitio excepit, eisque benigne fecit. Et cum qui pie secundum Deum viverent, omnes honoravit, flagrantique animo illos competenti cura dignata, eis inservivit: tum præcipue Chrysostomo Patri addicta et familiaris quam maxime fuit, tota ex illius nutu et ore pendens, et vestes atque cibum crassæ hujus materiæ expertem, cultumque illum pro eo atque decuit rite parans,
402 nec non in aliis rebus omnibus ei inserviens, et quodammodo perinde atque Thecla altera Paulum consequens. Sed enim incendii hujus prætextu et ipsa tum ad præfecti tribunal constitit. Atque illo interrogante, « quid ita tandem Christianorum ecclesiam incendisset? » composito placidoque animi statu illa, « Non hoc, ait, o præses, vitæ meæ institutum est. Substantiam enim, quod ipse quoque nosti, meam non exiguam fere omnem in sacrorum fanorum instaurationem insumpsi. » Ubi vero ille subobscure se illius vitam scire significaret, Olympias, « Proinde judicis munus, inquit, relinque, accusatorisque personam sume, et alius nobis detur judex. » Porro quoniam crimen objectum testimoniis confirmare non potuit, eamque legitime arguere non licuit, ad alia sensim præfectus transiit. Et quasi consiliarii locum suscepisset, eam reprehendit, quod Joannis necessitudinem retineret, et propterea Ecclesiæ communionem non reciperet, cum ei resipiscenti facile esset, negotio molestiaque omni liberari. Verum beata illa nefas esse dixit, eam quæ publice per sycophantiam delata, et in judicio de crimine objecto non convicta esset, ad alterius rei, quæ in crimen atque judicium non venisset, causam dicendam transire. « Quod si tibi, inquit, videtur, jube me patronos producere criminum eorum quæ proxime mihi sunt intentata. Nam si cogere voles, ut me contra leges synaxis et conventus cum iis quos minime decet participem faciam: facturam me non esse scito, quæ eis facere permissum non

A οὕτως εὖ πράξοντες· οἴκτου τε ἅμα καὶ τῆς ἐπὶ τοῖς θεϊκοῖς χρήμασι κατεσπουδασμένης καὶ οἰκονομικῆς φροντίδος ἐπιτεύξῃ, ἀνηκούσης εὐτυχήσασα ἀμοιβῆς. » Ἐξ ἐκείνου τοίνυν εἰς τὰς τῶν ἁγίων θεραπείας μόνας ἐκκενοῦν ἔγνω· φιλοτίμῳ τε χειρὶ τοὺς τῆς ἀρετῆς ἐραστὰς ἐξένιζε, καὶ θεραπείας ἠξίου τῆς ἀνηκούσης μεθ' ἱλαρότητος. Πολλοὺς μὲν οὖν καὶ ἄλλους διὰ τὸ περιὸν τῆς φιλοξενίας φιλοτίμως ἐδεξιοῦτο· ἀλλὰ δὴ καὶ ἐπὶ Θεοφίλῳ, ἅτε δὴ φίλον οἰομένη Θεοῦ, τὸ μεγαλόψυχον ἐπεδείξατο· κἂν εἰσάπαν καὶ αὕτη τὸ ἰταμὸν τῆς ἐκείνου γλώττης καὶ ἐφύβριστον οὐκ ἀπέδρασεν, αἰτίαν σχοῦσα, ὅτι καὶ τοὺς θεοφιλεῖς ἐκείνους ἄνδρας τοὺς περὶ Ἀμμώνιον καὶ Ἰσίδωρον ἐπιξενοῦσα εὖ ἔπραττεν. Πάντας μὲν οὖν τοὺς κατὰ Θεὸν ζῶντας ἐτίμα, καὶ
B θερμῶς ἐκήδετο, καὶ τῆς ἀνηκούσης προνοίας ἠξίου· τῷ δὲ Χρυσοστόμῳ Πατρὶ διαφερόντως μάλα προσέκειτο, καὶ συνήθης εἴπερ τις ἦν, ὅλη τῆς ἐκείνου καὶ ῥοπῆς καὶ γλώσσης ἑαυτὴν ἐξαρτήσασα, ἱμάτιά τε καὶ ἄϋλον ἐκείνην τροφήν τε καὶ θεραπείαν ὡς εἰκὸς εὐτρεπίζουσα, καὶ τἄλλα πάντα γινομένη. καὶ τρόπον ἕτερον Θέκλα τις οἷον ἄλλη τῷ Παύλῳ ἑπομένη. Τῇ δὲ προφάσει τοῦ φλέγοντος καὶ αὕτη τηνικαῦτα, τῷ τοῦ ὑπάρχου παρίστατο βήματι. Ἐρομένου δ' ἐκείνου τί δή ποτε τὴν Χριστιανῶν ἐκκλησίαν ἐμπρήσειεν, ἐκείνη ἠρεμαίῳ ψυχῆς καταστήματι, « Οὐχ αὕτη, ὦ ἔπαρχε, ἔφη, τῆς ἐμῆς βιοτῆς ἡ προαίρεσις. Τὴν γὰρ ἐμὴν οὐσίαν πολλήν γε οὖσαν, ἐπίστασαι δὲ καὶ αὐτὸς, σχεδὸν τὸ πλεῖ-
C στον, εἰς ἀνανέωσιν ἱερῶν σηκῶν ἐκδαπανῆσαι ἐγένετο. » Τοῦ δ' αἰσχρῶς αἰνιξαμένου τὸν ἐκείνης βίον εἰδέναι, « Οὐκοῦν ἀφεὶς δικάζειν, εἶπεν, εἰς σχῆμα κατηγορίας μετάβηθι, καὶ ἄλλος ἡμῶν ἔσεται κριτής. » Ἐπεὶ δ' ἀμάρτυρον εἶχε τὸ ἔγκλημα, καὶ ἐν δίκῃ μέμφεσθαι οὐκ ἐνῆν, ἐφ' ἕτερα ἠρέμα μετέβαινε· καὶ συμβούλου τόπον ὥσπερ ἀναλαβὼν, κατεμέμφετο ὅτιπερ Ἰωάννου ἐξέχοιτο, καὶ διὰ τοῦτο τὴν τῆς Ἐκκλησίας κοινωνίαν οὐ καταδέχοιτο, ἐξὸν μεταμέλῳ χρησαμένην, ἀπηλλάχθαι πραγμάτων. Ἡ δὲ μακαρία, « μὴ θέμις εἶναι ἔλεγε τὴν δημοσίᾳ συκοφαντίαν ὑποστᾶσαν, μὴ μέντοι δικαστηρίῳ διελεγχθεῖσαν τοῖς κατηγορημένοις, εἰς ἄλλην ἀπολογίαν μεταχωρεῖν μέμψεων ἀνευθύνων. Ἀλλ' εἴ σοι δοκεῖ, οἷς με πρώην ἐγράψαντο, κέλευε
D συνηγόρους προστήσασθαι. Εἰ γάρ με βιάσαιο παρανόμως συνάξεων συμμετέχειν οἷς οὐ χρεὼν, ἴσθι μὴ πράξουσαν ἃ μὴ ἐφεῖται οἷς εὐσεβεῖν αἵρεσις. » Ὁ ὕπαρχος δ' οὖν ὡς ἔγνω μὴ πείσεσθαι τῇ Ἐκκλησίᾳ κοινωνεῖν, τότε μὲν δῆθεν ἠφίει συνηγόρους εὑρεῖν· ἄλλοτε δὲ τῷ δικαστηρίῳ παραγαγὼν, χρυσίου πολλοῦ κατεδίκαζεν· οἰόμενος γὰρ ἦν διὰ ταῦτα μεταθέσθαι τῆς δόξης. Ἐκείνη δὲ ταῦτα παρ' οὐδὲν λογισαμένη, οὐ κατά τι τοῦ σκοποῦ καθυφῆκε. Διά τοι τοῦτο καὶ τὴν Κωνσταντίνου λιποῦσα, τὴν ἐν Κυζίκῳ διατριβὴν κατησπάζετο. Εἶτ' ἐκεῖθεν ὑπερορίαν φυγὴν ἐν τῇ Βιθυνῶν Νικομηδείᾳ κατεδικάζετο· ἀφθόνως δὲ τὰ χρειώδη Ἰωάννῃ ἐν ὑπερορίᾳ διάγοντι ἔπεμπεν, ὡς ἐκεῖνον ἐντεῦθεν πολλοῖς τε ἐπαρκεῖν, καὶ οὐκ ὀλίγους ὠνούμενον τῆς τῶν Ἰσαύ-

CAPUT XXV.

De conversatione et vita sanctæ Nicaretæ Nicomediensis.

Erant autem aliæ quoque plures eodem cursu cum illa concertantes, eademque erga magnum Patrem charitate flagrantes : quarum una bona admodum fuit, Nicareta Bithyna (1), nobilibus maxime parentibus apud Nicomedienses orta. Genus ei præclarum erat : perpetua vero virginitate et reliqua vitæ virtute valde celebris fuit. Fastu prorsus caruit, humilitate inter eas quæ idem studium sequebantur, præcipue insignis. Ordinem in moribus, sermone et vita quotidiana servavit. Res humanas ad mortem usque divinis posthabuit. Ad fortitudinem quoque composita fuit, et rerum difficultates facillime pertulit. Et quod divitiæ multæ ei ablatæ essent, non ægre ei fuit : atque eo quod ei ex illis reliquum fuit exiguum admodum, optime dispensando ad necessitatem est usa ; cum quidem ad multam pervenerit senectutem, aliisque etiam liberaliter impertierit. Et cum munditiæ studiosa esset, remedia etiam egregia promptitudine condidit, ad variorum morborum usum commoda, quæ plurimis ægrotis dedit, qui nihil opis et adjumenti a consuetis medicis retulere. Diviniore enim quodam nutu quascunque aggrederetur res, finem bonum illæ capiebant. Atque, ut in summa dicam, in feminis quæcunque apud nos laudatæ fuere, non aliam reperire fuit moribus, sanctitate et virtutibus reliquis præstantiorem. Et talis cum esset, perpaucis tamen nota fuit. Propter morum namque modestiam et mediocritatis studium, ut lateret, potissimum operam dedit, adeo ut neque diaconissæ honorem suscipere, neque sacrarum virginum cœtui præesse voluerit, quamvis ad id Joannes patriarcha eam sæpe cohortatus sit et excitarit. Talis quoque suo ipsius respondens nomini Nicareta fuit. Sed oratio nobis ad reliquam historiam redeat.

ΚΕΦΑΛ. ΚΕ'.

Περὶ τῆς πολιτείας καὶ ἀγωγῆς τῆς ὁσίας Νικαρέτης τῆς ἐκ Νικομηδείας.

A Πολλαὶ δὲ καὶ ἄλλαι ἦσαν τὸν ἴσον ἐκείνῃ δρόμον ἀνθαμιλλώμεναι, ἐπίσης τε καὶ τὸ φίλτρον τῷ μεγάλῳ Πατρὶ τρέφουσαι· ὧν μία καὶ ἀγαθὴ λίαν ἐν ταύταις ἦν καὶ Νικαρέτη ἡ Βιθυνή· εὐπατρίδης μὲν εἴπερ τις παρὰ Νικομηδεῦσι· γένος δὲ αὐτῇ περιβόητον· ἐπὶ δὲ ἀϊδίῳ παρθενίᾳ, καὶ τῇ λοιπῇ τοῦ βίου ἀρετῇ, λίαν εὐδόκιμος. Ἀτυφοτάτη δὲ λίαν ἦν τῶν ὅσαι σπουδῇ τοιαύτῃ ἐβίων. Τέτακτο δὲ αὐτῇ καὶ ἦθος καὶ λόγος καὶ δίαιτα. Τὰ δὲ Θεοῦ καὶ μέχρι θανάτου προετίμα τῶν ἀνθρωπίνων. Ἦν δὲ καὶ ἄλλως ἱκανὴ πρός τε ἀνδρίαν καὶ δυσχέρειαν πραγμάτων ῥᾷστα ὑπενεγκεῖν· καὶ μήτε τὴν πολλὴν B περιουσίαν ἀφῃρημένην ἄχθεσθαι· τά τε περιλειπόμενα ὀλίγα πάνυ ἀρίστως οἰκονομοῦσαν, τῶν ἐπιτηδείων ἐπαπολαύειν, καὶ ταῦτ' εἰς γῆρας προελθοῦσαν βαθὺ, καὶ ἄλλοις ἀφθόνως μεταδιδόναι. Φιλόκαλος δὲ λίαν γεγενημένη, προθυμίᾳ φιλοκάλῳ καὶ φάρμακα παρασκευάζειν, ἐπιτήδεια πρὸς χρείαν ποικίλων νοσημάτων ταλαιπωρουμένοις ἀνδράσιν, οἷς ἐπήρκει τῶν συνήθων πλείστοις, μηδὲν ἀπονάμενοις τῶν ἰατρῶν. Ῥοπῇ γάρ τινι θειοτέρᾳ οἷς ἐπιχειρήσειεν, εἰς χρηστὸν ἀπήντα τέλος. Ἐν συντόμῳ δ' εἰπεῖν ὅσαι σπουδαῖαι τῶν γυναικῶν, οὐδεμίαν ἄν τις ἄλλην εὗρεν, ἤθει τε καὶ σεμνότητι καὶ τῇ λοιπῇ ἀρετῇ ἐπιδεδωκυῖαν. Τοιαύτη δὲ οὖσα, ὀλίγοις ἦν γνώριμος· ἤθει γὰρ μετριότητος καὶ τῷ C φιλοσόφῳ τοῦ τρόπου, περὶ πολλοῦ ἐπετήδευε τὸ λανθάνειν· ὡς μήτε εἰς διακονίας ἀξίωμα προελθεῖν ἑλέσθαι, ἀλλὰ μηδὲ χοροῦ παρθένων ἱερῶν καθηγήσασθαι, καὶ ταῦτα Ἰωάννου τοῦ πατριάρχου πολλάκις ἐπὶ τούτῳ προτρεπομένου καὶ παραθήγοντος. Τοιαύτην μὲν καὶ ἡ περιώνυμος Νικαρέτη ἐτύγχανεν· ἡμῖν δὲ ὁ λόγος ἐπὶ τὰ συνεχῆ τῆς ἱστορίας φερέσθω.

405 CAPUT XXVI.

De profectione Joannis in locum cui nomen Cucusus : et de episcopo Adelphio, et de admirabili visione quam is de Chrysostomo vidit.

Fortis ille veritatis propugnator in oppidum Armeniæ Cucusum abductus est, ad quod tum multi excurrebant Isauri. Consulto vero id quoque factum puto, ut in sæviorum hominum manibus esset, quam illi qui eum eo abduxissent, fuissent. Quamvis id divina providentia ita etiam disposuerit, ut etiam illi qui veritatis lucem non vidissent, per ipsum manu ducerentur. Id quod accidit. Siquidem doctrina et factis mirificis multas ibi cepit gentes, episcopos et presbyteros ibi creando, et sacras Scripturas eos docendo. Sed enim apud oppidum Cucusum Adelphius quidam Arabissi episcopus, visione divina admonitus, eum

ΚΕΦΑΛ. ΚϚ'.

Περὶ τῆς εἰς Κουκουσὸν ἀφίξεως Ἰωάννου, καὶ τοῦ ἐπισκόπου Ἀδελφίου, καὶ τῆς παραδόξου ὀπτασίας, ἣν διὰ τὸν Χρυσόστομον ἐθεάσατο.

Ὁ μὲν οὖν τῆς ἀληθείας γενναῖος ἀγωνιστὴς εἰς D τὸ τῆς Ἀρμενίας πολίχνιον τὴν Κουκουσὸν ἤγετο, πολλῶν τηνικάδε τοῦτο κατατρεχόντων Ἰσαύρων. Ἐπίτηδες οἶμαι καὶ τοῦτο, ἵν' ὑπὸ χερσὶν ἀγριωτέραις τῶν ἀγόντων γένηται· κἂν ἄλλως τῇ θείᾳ προνοίᾳ διῳκονόμητο· ἵνα μᾶλλον καὶ οἱ μὴ τοῦ φωτὸς τῆς ἀληθείας μετεσχηκότες δι' αὐτοῦ χειραγωγηθεῖεν. Ὃ καὶ συνέβαινε. Τοῖς τε γὰρ λόγοις καὶ τοῖς παραδόξοις τῶν ἔργων πολλὰ τῶν ἐκεῖσε ἐθνῶν ἐχειρώσατο, χειροτονίας ἐπισκόπων καὶ πρεσβυτέρων ποιῶν, καὶ τὰς ἱερὰς ἐκδιδάσκων τούτους Γραφάς. Ἀλλ' εἰς μὲν Κουκουσὸν Ἀδέλφιός τις ἐπίσκοπος Ἀραβισσοῦ ὄψει τινὶ θειοτέρᾳ αὐτὸν ὑπο-

(1) Hanc sibi cognitam Sozomenus Constantinopoli quoque, cum plurimis aliis in voluntarium exsilium discessisse scribit, lib. VIII, cap. 23.

δέχεται· ὅν λόγος ἔχει μετὰ κοίμησιν Ἰωάννου (A) ἀδημονεῖν, καὶ Θεοῦ δεῖσθαι δεικνύειν οἱ χοροῦ καὶ στάσεως ἐκεῖνον ἠξίου. Ἐν ἐκστάσει δὲ γενόμενον, πάντας μὲν ἁγίους ἰδεῖν, κατὰ κύκλον ἐφεξῆς ἑστηκότας· ἐκεῖνον δὲ μὴ τούτοις ὁρᾷν ἐναρίθμιον. Δεινῶς δ' ἀχθομένῳ, ἄγγελον αὐτῷ ἐπιστῆναι· ὅν καὶ τὸ τῆς λύπης ἄχθος ἀνέχοντα ἐπειπεῖν, ὡς Ἰωάννῃ ἄλλη τις ἐγγύτης Θεῷ, καὶ σὺν αὐτοῖς ἀγγέλοις εἰληφέναι αὐτὸν γέρας ὑμνεῖν τὸν Θεὸν, ἔνθα δ' ἐκείνῳ ἡ στάσις, οὐκ ἐφεῖται τοῖς πολλοῖς παρακύπτειν. « Ἄπιθι τοίνυν, καὶ τὸ τῆς ψυχῆς ἄλγος θεράπευε· τὸ γὰρ μὴ ὁρᾷν σε τοῦτον οὐ τὸ μὴ παρεῖναι, τὸ δὲ τῶν πολλῶν ὑπερεῖναι, καὶ τὸ περιὸν τῆς τιμῆς ἐμποιεῖ. » Ἐκεῖνος μὲν οὖν αὐτὸν ὑποδέχεται· τὰ δὲ κατὰ τὴν ὁδὸν ἄλλη τις τραγῳδία ἢ (B) κακῶν Ἰλιὰς ἄντικρύς ἐστιν· ὅσα γὰρ ὑπέστη παντοδαποῖς προσπαλαίων κακοῖς, τίς ἂν ἄλλου λέγοντος ἥδιον ἢ ἀληθέστερον ἀκούσειεν ἢ αὐτοῦ ἐκείνου διηγουμένου; καὶ ταῦτα γὰρ ἡ χρυσῆ γλῶττα ἄριστα καὶ ὡς ἐχρῆν διεξῆλθε. Κωνσταντίῳ γὰρ πρεσβυτέρῳ εὐθὺς ἐκ Νικαίας γράφων, ταῦτα δηλοῖ, οὕτω κατὰ ῥῆμα διεξιών·

(A) excepit. Hunc fama est, post Joannis obitum, cum in mœrore ingenti esset, Deum orasse, ut sibi indicaret, quanam sede et statione illum dignatus esset; atque cum in exstasi consternatus esset, sanctos quidem omnes circumcirca ordine consistentes vidisse, illum autem in eorum numero non conspexisse. Quod ubi graviter tulit, angelum ei astantem doloris molestiam ademisse atque dixisse, aliam Joanni sedem, Deo propinquiorem, honoremque præstantiorem, ut una cum angelis Deum laudibus vehat, datum esse, ad stationemque eam perspicere non multis permissum esse. « Abi itaque, inquit, et animi dolorem omitte. Quod enim hunc non vides, non propterea is non adest, sed potius supra multos est: atque id (B) excellentis est honoris indicium. » Ille sane, sicuti diximus, Joannem excepit. Quæ vero ei in itinere accidere, tragœdia alia, seu malorum Ilias prorsus sunt. Quam variis enim cum ærumnis colluctatus sit, a nemine ea quam ab ipso commemorante jucundius aut verius quisquam cognoverit. Nam ea quoque mala aurea illa lingua, ita ut decuit, optime exposuit. Ad Constantium siquidem presbyterum ex ipsa statim Nicæa scribens, hæc verbis talibus significat:

ΚΕΦΑΛ. ΚΖ'.

Ἐπιστολὴ τοῦ θείου Χρυσοστόμου ὑπὲρ τῶν τοῦ Θεοῦ ἐκκλησιῶν· καὶ μερικὴ τῆς κατ' αὐτὸν ἐξορίας διήγησις.

« Τῇ τετάρτῃ τοῦ Πανέμου μηνὸς μέλλων ἀπὸ (C) τῆς Νικαίας ἐξορμᾷν, ταῦτα διαπέμπομαι τὰ γράμματα πρὸς τὴν σὴν θεοσέβειαν παρακαλῶν, ὅπερ ἀεὶ παρακαλῶν οὐκ ἐπαυσάμην· κἂν χαλεπώτερος τοῦ νῦν κατέχοντος γένηται ὁ χειμὼν, κἂν μείζονα τὰ κύματα, μὴ διαλείπειν τὰ σαυτοῦ πληροῦντα, εἰς τὴν οἰκονομίαν ἧς ἐξαρχῆς ἥψω· λέγω δὴ τοῦ Ἑλληνισμοῦ τὴν καθαίρεσιν, τῶν ἐκκλησιῶν τὰς οἰκοδομὰς, τῶν ψυχῶν τὴν ἐπιμέλειαν. Μὴ δή σε ὕπτιον ποιείτω τῶν πραγμάτων ἡ δυσκολία· οὐδὲ γὰρ κυβερνήτης τὸ πέλαγος ὁρῶν μαινόμενον καὶ διανιστάμενον, ἀποστήσεται τῶν οἰάκων· ἀλλ' οὐδὲ ἰατρὸς τὸν κάμνοντα βλέπων τῇ νόσῳ κρατούμενον, ἀναχωρήσει τῆς θεραπείας· ἀλλὰ τότε μάλιστα ἕκαστος τούτων τῇ τέχνῃ χρήσεται καὶ τῇ προθυμίᾳ. Μὴ δὴ ὕπτιον ποιείτω σε τὰ συμβαίνοντα· οὐ (D) γὰρ ὑπὲρ ὧν ποιοῦσιν ἡμᾶς ἕτεροι κακῶν, λόγον δώσομεν· ἀλλὰ καὶ μισθὸν ληψόμεθα. Εἰ δὲ αὐτοὶ τὰ παρ' ἑαυτῶν μὴ εἰσενέγκοιμεν, ἀλλὰ ῥᾳθυμήσαιμεν, οὐδὲν εἰς τοῦτο ἡμῶν προστήσεται ὁ τῶν πραγμάτων θόρυβος. Ἐπεὶ καὶ Παῦλος δεσμωτήρια οἰκῶν, καὶ τῷ ξύλῳ προσδεδεμένος, τὰ αὐτοῦ ἐποίει· καὶ Ἰωνᾶς ἐν γαστρὶ τοῦ θαλαττίου θηρίου φερόμενος· καὶ οἱ τρεῖς παῖδες οἱ ἐν τῇ καμίνῳ διατρίβοντες· καὶ οὐδένα τούτων τὰ ποικίλα δεσμωτήρια ταῦτα ῥᾳθυμότερον πεποίηκε. Ταῦτ' οὖν ἐννοῶν, δέσποτά μου, καὶ Φοινίκης καὶ Ἀραβίας καὶ τῶν κατὰ τὴν ἀνατολὴν μὴ παύσῃ φροντίζων ἐκκλησιῶν· εἰδὼς ὅτι πλείονα λήψῃ τὸν μισθὸν, ὅσῳ καὶ τοσούτων ὄντων τῶν κωλυμάτων, τὰ παρὰ σαυτοῦ εἰσφέ-

406

CAPUT XXVII.

Epistola divi Chrysostomi, pro ecclesiis Dei: singularis de exsilio ejus narratio.

(C) « Nicæa quarto mensis Julii die soluturus, hasce ad pietatem tuam dedi litteras, ad id te cohortans, ad quod nunquam cohortari desii: quamvis gravior præsente tempestate procella, majoresque fluctus ingruant, ut ne intermittas ea quæ officii tui sunt, in ea quam ab initio cepisti administratione, adimplere: Græcæ superstitionis exterminationem dico, ecclesiarum ædificationes, animarum curam. Neque te supinum aut socordem rerum difficultas faciat. Neque enim gubernator, ubi mare ipsum concitari et furere videt, a navis clavo et gubernaculis discedit: neque medicus, ubi ægrum morbo corripi cernit, curatione supersedet: sed tum maxime uterque istorum artem suam et promptitudinem adhibet. Non te ad socordiam (D) redigant præsentia mala; non enim de eis quæ nobis inferuntur calamitatibus, rationem reddemus, quin potius mercedem accipiemus. Si vero ea quæ in nobis sunt, in Ecclesiam non contulerimus, sed desides fuerimus, nihil nos ea in re adjuvabit aut defendet malorum tumultus: quandoquidem et Paulus carcerem incolens, in vinculis officium suum fecit. Et Jonas in ventre belluæ marinæ inclusus fuit, et tres pueri in camino versati sunt: neque tamen horum quemquam vincula varia ad desidiam redegere. Hæc ipsa tecum reputans, domine mi, ne omiseris Phœniciæ, Arabiæ, et Orientis ecclesiarum curam gerere: illud persuasum habens, locupletem te mercedem recepturum esse, si tot et tantis intercedentibus

impedimentis, ea quæ in te sunt, eis contuleris. Neque tibi grave sit, creberrimas ad nos dare litteras. Nam sicuti nunc cognovimus, non Sebastiam, sed Cucusum exsulatum ire jussi sumus, quo tibi litteras mittere facilius erit. Scribes igitur nobis, quot anno quolibet ædificatæ sint ecclesiæ, et qui viri sancti in Phœniciam commigrarint, et si quæ majora accesserint incrementa. Etenim cum Nicænum quemdam monachum casæ suæ inclusum reperissem, ei ut ad pietatem tuam iret et in Phœniciam proficisceretur, persuasi. An is ad te venerit, fac sciam. **407** De Salamine, quod oppidum est non longe a Cyro situm, et ab hæresi Marcionistarum oppressum est, acturus cum quibus oportuit, et rem omnem recte conformaturus fueram, nisi ejectus essem. Quod si dominum meum Cyriacum episcopum Constantinopoli esse cognoveris, scribe ad eum hac de causa, et perficere is omnia poterit. Cohortare omnes, et potissimum qui fiduciam apud Deum habent, ut multum et assidue orent, ut præsens orbis naufragium conquiescat. Intolerabilia enim Asiam, aliasque urbes et ecclesias invasere mala : quæ sigillatim, ne molestus esse videar, enumerare supersedeo : atque unum illud dico, multa nunc et assidua peropus esse precatione. » In alia rursus epistola ita inquit : « Quod si in carcere degitis, catenisque vincti, et cum squalidis et sordidis hominibus in custodias inclusi estis, propterea quod istorum iniquitati non consentitis, exsultate eo nomine et gloriamini, quoniam ingentis lucri hæc vobis occasio sunt. Quandoquidem et nos attriti, consumpti et sexcentis mortis generibus confecti sumus : id quod renuntiare certo possunt, qui brevi etiam momento nobiscum fuere : cum quibus colloqui non potui, propter continuas febres, quibus sum occupatus, quibusque diu noctuque afflictus, iter tamen facere necesse habui, æstu oppressus, insomnia labefactatus, rerum necessariarum penuria, curatorumque seu defensorum inopia confectus. Nam et iis qui vel in metallis opus faciunt, vel carcerem incolunt, longe duriora et passi sumus, et etiamnum patimur. Et vix tandem Cæsaream ex tempestate in portum venimus. Sed ne portus quidem iste recreare nos ex fluctuum et undarum ærumnis potuit : adeo nos præteritum tempus prorsus confecit. Verumtamen Cæsaream cum venissem, non parum sum refocillatus, quod et puram biberim aquam, et panem non sordidum atque durum sumpserim, neque in doliorum fragmentis lavarim, sed balneum qualecunque repererim, et quod in lecto tum cubare permissum mihi fuerit. Possem quidem plura istis commemorare : verum ne nimio vos dolore **408** afficiam, in his consistam, uno illo adjecto, non debere vos exprobrare eis, casum scilicet nostrum, desinere, qui nos diligunt. Nam cum tot habeamus nostri studiosos, tanta potestate et auctoritate præditos, neque eas res impetramus, quas damnati etiam

ρεις. Καὶ γράφειν δὲ ἡμῖν συνεχῶς μὴ κατόκνει, ἀλλὰ καὶ πυκνότατα. Ὡς γὰρ ἔγνωμεν νῦν, οὐκέτι εἰς Σεβάστειαν, ἀλλ' εἰς τὴν Κουκουσὸν ἐκελεύσθημεν ἀπελθεῖν, ὅπου σοι καὶ εὐκολώτερον ἐπιστέλλειν ἡμῖν. Γράφε τοίνυν ἡμῖν, πόσαι τε ἐκκλησίαι ἐπ' ἔτος ᾠκοδομήθησαν, καὶ τίνες ἄνδρες ἅγιοι μετέστησαν εἰς τὴν Φοινίκην, καὶ εἴ τις πλείων γέγονε προκοπή. Καὶ γὰρ ἀπὸ Νικαίας εὑρών τινα μονάζοντα ἐγκεκλεισμένον, ἔπεισα αὐτὸν ἐλθεῖν πρὸς τὴν σὴν εὐλάβειαν, καὶ ἀπελθεῖν εἰς τὴν Φοινίκην. Εἰ παραγέγονεν οὖν, δηλῶσαί μοι σπούδασον. Τοῦ Σαλαμῖνος ἕνεκεν χωρίου τοῦ κατὰ τὴν Κύρον κειμένου, τοῦ ὑπὸ τῆς αἱρέσεως τῶν Μαρκιωνιστῶν πολιορκουμένου, ἤμην διειλεγμένος οἷς ἐχρῆν, καὶ κατωρθωκὼς τὸ πᾶν· ἀλλ' ἔφθην ἐκβληθείς. Εἰ τοίνυν μάθῃς τὸν κύριόν μου Κυριακὸν τὸν ἐπίσκοπον ἐπὶ τῆς Κωνσταντινουπολιτῶν διατρίβειν, ἐπίστειλον αὐτῷ ταύτης ἕνεκεν τῆς ὑποθέσεως, καὶ τὸ πᾶν ἀνύειν δυνήσεται. Πάντας καὶ μάλιστα τοὺς παῤῥησίαν ἔχοντας πρὸς τὸν Θεὸν παρακάλει πολλῇ κεχρῆσθαι τῇ εὐχῇ, πολλῇ τῇ ἐκτενείᾳ, ὥστε τὸ τῆς οἰκουμένης τοῦτο ναυάγιον παύσασθαι· ἀφόρητα γὰρ καὶ τὴν Ἀσίαν κατέλαβε κακὰ, καὶ ἑτέρας δὲ πόλεις καὶ ἐκκλησίας. Ἅπερ, ἵνα μὴ δοκῶ διενοχλεῖν, ἀφεὶς τὸ καθ' ἕκαστον λέγειν, ἐκεῖνο μόνον ἐρῶ, ὅτι εὐχῶν πολλῶν χρεία καὶ δεήσεων ἐκτενῶν. » Καὶ πάλιν ἐν ἄλλῃ τῶν ἐπιστολῶν οὕτω φησίν· « Εἰ γὰρ καὶ δεσμωτήριον οἰκεῖτε, καὶ ἅλυσιν περίκεισθε, καὶ μετὰ τῶν αὐχμώντων καὶ ῥυπώντων ἐστὲ κατακεκλεισμένοι, ἕνεκεν τοῦ μὴ συνθέσθαι τῇ τούτων παρανομίᾳ, ἀλλ' οὖν σκιρτᾶτε καὶ ἀγαλλιᾶσθε, ὅτι πολλῆς ὑμῖν ἐμπορίας ὑπόθεσις ταῦτα· ἐπεὶ καὶ ἡμεῖς ἀνηλώθημεν, ἐδαπανήθημεν, μυρίοις ἀπεθάνομεν θανάτοις. Καὶ ταῦτα ἴσασιν ἀκριβέστερον ἀναγγεῖλαι οἱ καὶ βραχεῖαν ῥοπὴν ἡμῖν συγγενόμενοι· πρὸς οὓς οὐδὲ διαλεχθῆναί τι ἐδυνήθην, ὑπὸ τῶν συνεχῶν πυρετῶν καταβεβλημένος· οὓς ἔχων καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ, ὁδοιπορεῖν ἠναγκαζόμην, καὶ θάλπει πολιορκούμενος, καὶ ὑπὸ τῆς τῶν ἐπιτηδείων ἐρημίας ἀπολλύμενος, καὶ τῆς τῶν προστησομένων ἀπορίας. Καὶ γὰρ τῶν τὰ μέταλλα ἐργαζομένων, καὶ τὰ δεσμωτήρια οἰκούντων, χαλεπώτερα καὶ πεπόνθαμεν καὶ πάσχομεν. Ὀψὲ δέ ποτε καὶ μόλις ἐπέτυχον τῆς Καισαρείας, ἀπὸ χειμῶνος εἰς λιμένα ἐλθών. Ἀλλ' οὐδὲ ὁ λιμὴν οὗτος ἴσχυσεν ἀνακτήσασθαι τὰ ἀπὸ τοῦ κλυδωνίου κακά· οὕτω καθάπαξ ἡμᾶς ὁ ἔμπροσθεν χρόνος κατειργάσατο. Ἀλλ' ὅμως ἐλθὼν εἰς τὴν Καισάρειαν, οὐ σμικρὸν ἀνέψυξα· ὅτι καὶ ὕδατος ἔπιον καθαροῦ, ὅτι καὶ ἄρτου οὐκ ὀδωδότος οὐδὲ κατεσκληκότος μετέλαβον· ὅτι οὐκέτι ἐν τοῖς κλάσμασι τῶν πίθων ἐλουόμην· ἀλλ' εὗρον βαλανεῖον οἷον δή ποτε· ὅτι συγκεχώρημαι τέως τῇ κλίνῃ προσηλῶσθαι. Ἐνῆν καὶ πλείονα τούτων εἰπεῖν· ἀλλ' ἵνα μὴ σφόδρα λυπήσω, μέχρι τούτων ἵσταμαι, ἐκεῖνο προστιθεὶς, ὅτι μὴ παύσητε ὀνειδίζοντες τοὺς ἀγαπῶντας ἡμᾶς· τοσούτους γὰρ ἔχοντες ἐραστὰς, καὶ τοσαύτην δύναμιν περιβεβλημένους, οὐδὲ αὐτῶν τυγχάνομεν ὧν τυγχάνουσιν οἱ κατάδικοι, ὥστε εἰς ἡμερώτερον καὶ ἐγγύτερόν που καταδικασθῆναι τό-

dinis columnæ, aliisque præclariores erant, eos custodia excepit. Et quod in ejusmodi turbis accidere solet, cum res novæ militibus permittuntur, mulieribus quæ ibi simul congregatæ erant, multis capitis velamenta, aureæ zonæ, monilia, torques, et ornatus earum reliquus direptus est. Erant etiam, quibus una cum infima auricula inaures ablatæ sunt. Et cum ingens clamor et luctus in urbe esset exortus, tantum abest ut illi suum erga Joannem amorem mutarent, ut etiam ea ex re numerus eorum auctus sit, et ad partes eorum plures accesserint. Verum enimvero publice illi deinceps non conveniebant: multi vero etiam neque in forum neque in balnea prodibant. Quibusdam etiam domi manere periculosum erat, qui sibi ipsis exsilio imposito urbem reliquerunt, et quo cuique visum est, concesserunt. Multi sane et alii honesti bonique viri, sed non minus mulieres, pari in Joannem ardore inter se decertarunt: inter quas Olympias et Bithyna Nicareta fuit, de quibus paulo ante diximus. Arsacius porro ubi non longius quam decem et quatuor menses in sede episcopali vixisset, **410** diem suum obiit: cum quidem, ut aliquis dicat, nullum viventis hominis opus peregisset, longo tempore per frigidiorem naturæ ignaviam et stuporem quasi confectus nec minus ante naturalem finem præmortuus. Proh pudor, quis cui, inquit Symeon, quasi quidam, ut ita dicam, vetus truncus, multa principum facilitate, substitutus est? Vir octogesimum supergressus annum, tumulo magis quam throno appositus, delirus quidam et desipiens, ad dicendum quidem ineptissimus, ad cogitandum autem de rebus decentibus stupidissimus, ad faciendum vero ignavissimus, parum admodum ab inanimatis dissidens, lecto et angulo dignus: qui cum per seipsum esset inutilis, et populus Joannis amore teneretur, quod is ei ex parte altera obstaret, ingratus prorsus omnibus et illaudatus fuit. Talis Arsacius erat; et cum brevi tempore Ecclesiæ præfuisset, ita e vivis excessit.

CAPUT XXIX.

De Attico patriarcha, et persecutione ejus tempore facta. Et quæ ecclesiis in Asia tum acciderint.

Permultis autem Ecclesiam ambientibus, quarto post Arsacii obitum mense, ex presbyteris Attico ea committitur: qui in cleri ordinem allectus, unus ex Joannis obtrectatoribus fuit, Sebastiæ Armeniorum ortus, ab adolescentia autem philosophiæ operam navavit, sub magistris quibusdam monachis Macedonii hæresim sectantibus, qui tum Sebastiæ philosophiæ suæ officinam habebant. Erat autem ipse rursus Eustathii disciplinæ, quem Sebastiæ episcopum et monachorum optimum ducem fuisse in superioribus exposuimus libris. Cujus scriptum pulcherrimum quidam esse ferunt, quæ Basilii Magni Ascetica, seu monastica dicuntur. Non *hic autem* est Eustathius, qui postea Antiochiam

A δ' ἐκείνων προθυμότερον τὸ φίλτρον περὶ Ἰωάννην ἀνέκαιον, καὶ οἱονεὶ στήριγμα ἦσαν τῷ πλήθει καὶ ἐπισήμως εἶχον, τούτους δὲ ἄρα φρουρὰ διεδέχετο. Οἷα δὲ τοῖς τοιούτοις ἐπισυμβαίνειν φιλεῖ, στρατιωτῶν ἐπιτραπέντων νεωτερίζειν, πολλαὶ τῶν συνειλεγμένων γυναικῶν, αἱ μὲν ὅρμους καὶ ζώνας χρυσᾶς, περιδέραιά τε καὶ στρεπτοὺς ἐληΐζοντο· καὶ ἄλλος ὅσος κόσμος ἐνῆν αὐταῖς. Ἦσαν δ' αἳ σὺν αὐτοῖς λόβοις ἐσκυλεύοντο τὰ ἐνώτια. Βοῆς δὲ μεγάλης καὶ οἰμωγῆς ἀνὰ τὴν πόλιν γεγενημένης, τοσοῦτον οὐ μετέθεντο τοῦ πρὸς Ἰωάννην φίλτρου, ὅσῳ καὶ μᾶλλον ἐντεῦθεν ηὔξησαν, καὶ ἄλλους πολλοὺς προσελάβοντο. Οὐ μὴν δημοσίᾳ συνῄεσαν· πολλοὶ δ' ἐκείνων οὔτ' εἰς ἀγορὰν, ἀλλ' οὐδὲ εἰς βαλανεῖα ἐφοίτων. Τισὶ δὲ καὶ τὸ ἐν οἰκίᾳ εἶναι κινδυνῶδες ἦν. B Μόλις δὲ ὑπερορίαν φυγὴν τῆς πόλεως ἐπιτάξαντες, τὴν πόλιν λιπόντες, ὅπου δή ποτε ἑκάστῳ ἐδόκει, ἐχώρουν. Πολλοὶ μὲν καὶ ἄλλοι ἀγαθοὶ καὶ σπουδαῖοι ἄνδρες, ἀλλὰ μὴν καὶ γυναῖκες οὐχ ἧττον πρὸς τὸν ἴσον ὑπὲρ Ἰωάννου ζῆλον ἀνθαμιλλώμεναι ὧν αἱ περὶ Ὀλυμπιάδα καὶ τὴν Βιθυνὴν Νικαρέτην τὰς μικρῷ πρόσθεν εἰρημένας ἦσαν. Ἀρσάκιος δ' οὐ πλέον ἢ δέκα καὶ τέσσαρας μῆνας τῷ θρόνῳ ἐπιβιοὺς, ἐτελεύτα, μηδ' ὁτιοῦν, ὡς ἂν τις εἴποι, ἔργον ζῶντος διαπραξάμενος, τῷ πολλῷ χρόνῳ ὑπ' αὐτοῦ τοῦ νωχελοῦς καὶ ἐπικώφου τῆς φύσεως οἷα κατεψυγμένου οὐχ ἧττον τοῦ φυσικοῦ τέλους προτεθνηκώς. Φεῦ μετὰ τίνα τίς; φησὶ Συμεών· οἷον, φάναι, γεράνδρυον κατὰ πολλὴν εὐχέρειαν τῶν κρατούντων ἀμείβεται; C Ἄνθρωπος ὑπὲρ τὰ ὀγδοήκοντα ἔτη βεβιωκὼς, σορῷ μᾶλλον ἐπιτήδειος ἢ θρόνῳ, ὑπόληρός τις καὶ τὸ φρονεῖν διασεσεισμένος· εἰπεῖν μὲν ἀμουσότατος, ἐννοῆσαι δέ τι τῶν δεόντων ἠλιθιώτατος, πρᾶξαι δὲ ῥαθυμότατος, βραχύ τι τῶν ἀψύχων ἀπεοικὼς, κλίνης καὶ γωνίας ἄξιος· ὃς ἔχων καὶ τὸ παρ' ἑαυτοῦ ἄχρηστον, εἶτα προσλαβὼν καὶ τὸ πρὸς Ἰωάννην τοῦ λαοῦ φίλτρον, ἑτέρωθεν αὐτῷ προϊστάμενον, ἀπόστοργος πᾶσιν ἦν ἀτεχνῶς καὶ ἀπόῤῥητος. Ὁ μὲν οὖν Ἀρσάκιος τοιοῦτος ὢν, καὶ ἐπ' ὀλίγον τὴν Ἐκκλησίαν ἐπιτροπεύσας, οὕτω τὸ βιοῦν ἐξεμέτρει.

ΚΕΦΑΛ. ΚΘ'.

Περὶ Ἀττικοῦ τοῦ πατριάρχου, καὶ τοῦ κατ' αὐτὸν διωγμοῦ· καὶ περὶ τῶν ἐν Ἀσίᾳ γεγενημένων ταῖς ἐκκλησίαις.

D Πολλῶν δὲ τὴν Ἐκκλησίαν μνωμένων, μετὰ τέταρτον μῆνα τῆς τελευτῆς Ἀρσακίου ἐκ πρεσβυτέρων ἀνὴρ Ἀττικὸς τὴν Ἐκκλησίαν πιστεύεται· τῷ κλήρῳ μὲν ταύτης κατειλεγμένος, εἷς δὲ καὶ οὗτος τῶν Ἰωάννου ἐπιβούλων καθεστηκώς. Τὸ μὲν οὖν γένος οὗτος ἐκ Σεβαστείας τῆς Ἀρμενίας εἷλκεν· ἐκ νέου δὲ τὸ φιλοσοφεῖν ἐπετήδευε. Διδάσκαλοι δ' αὐτῷ καθίσταντο μοναχοί τινες, τὰ Μακεδονίου μὲν φρονοῦντες, ἀνὰ δὲ τὴν Σεβάστειαν τηνικαῦτα τὸ τῆς φιλοσοφίας ἐργαστήριον ἔχοντες· οἳ πάλιν ἐκ τῆς Εὐσταθίου ἦσαν διατριβῆς· ὃν Εὐσταθίου δηλαδὴ Σεβαστείας ἐπίσκοπόν τε καὶ καθηγεμόνα γενέσθαι μοναχῶν ἀρίστων ἐν τοῖς ἀνόπιν ἔγνωμεν λόγοις· οὗ σύγγραμμα κάλλιστον, καὶ τὰ τοῦ μεγάλου Βα-

σιλείου ἀσκητικά τινες εἶναί φασιν. Οὐχ οὗτος δ' ἐστὶν Εὐστάθιος, ὁ εἰς Ἀντιόχειαν ὕστερον μεταβὰς, δι' ὃν καὶ τὰ κατὰ Παυλῖνον καὶ Φλαβιανὸν καὶ Εὐάγριον τῇ Ἐκκλησίᾳ ἐπισυνέβη σκάνδαλα. Ὁ δ' Ἀττικὸς εἰς ἄνδρας ἤδη τελέσας, πρὸς τὴν καθόλου Ἐκκλησίαν μετέθετο, τὰ Μακεδονίου ἀποβαλών. Εἶχε δὲ τὸ φρονεῖν, οὐ μαθήσει κτησάμενος, ἀλλὰ φύσει. Διὸ κἀν τοῖς πρακτέοις ἐπηβολώτατος ἦν· λίαν δ' ἐπιβουλεῦσαι καὶ διαδρᾶσαι αὖθις ἐπιβουλὴν δεξιώτατος· τόσον δὲ τὸ ἦθος ἐπαγωγὸν εἶχεν, ὡς σχεδὸν πᾶσι κεχαρισμένος εἶναι. Τὰ δὲ πρὸς τοὺς ἐκκλησιαστικοὺς λόγους ἀφελὴς ἦν, καὶ τοιούτους αὐτοὺς ἐξετίθετο, ὥστε μήτε παρὰ τῶν ἀκροατῶν μετεγγράφεσθαι, μήτε μὴν παντάπασιν ἀμοιρεῖν παιδείας ἀνηκούσης λόγους. Ἐπιμελὴς δ' εἰς ἄκρον ὢν, εἴ πη καιρὸν ἐθήρα, τοὺς παρ' Ἕλλησιν ἐπὶ ῥητορείᾳ εὐδοκιμήσαντας ῥήτορας ἤσκητο. Καὶ ἰδιώτης μὲν εἶναι ἐδόκει· ἐξ ἐκείνων δὲ μαρτυρίας παράγων, καὶ τοὺς ἐπιστημόνως μετιόντας ἐλάνθανεν. Ἐπιμελέστατος δὲ πρὸς τὸ ὁμόδοξον ὢν καὶ ἤπιος, τοῖς ἄλλως ἢ ὡς ἐκείνῳ ἐδόκει φρονοῦσι φοβερὸς μάλιστα ἦν, ἐκ τοῦ ῥᾴστου τε ἔχων δέος ἐκείνοις ἐμβάλλειν μόνον βουλόμενος· πάλιν δ' αὖ ἀθρόον μεταβαλλόμενος, πρὸς τὸ πρᾶον μεταχωρεῖν. Ὁ μὲν οὖν τοιοῦτος ἦν, ὡς οἱ αὐτοῦ πεῖραν εἰληφότες ἱστόρησαν. Τούτου δ' ἐπὶ τῶν οἰάκων ὄντος τῆς Ἐκκλησίας, πολύς τις ἐγένετο τῶν Ἰωάννῃ προσκειμένων ὁ διωγμὸς, τοῦ πλείστου μέρους τῆς ἕω καὶ ἑσπερίου λήξεως ἐκτρεπομένου τὴν κοινωνίαν τῆς κατ' αὐτὸν Ἐκκλησίας. Καθ' ὃν δὴ χρόνον οἱ ἐν Ἐφέσῳ ἀδείας δραξάμενοι, ᾗ σφίσιν ἐδόκει, πάντ' ἐκίνουν καὶ μεταστρέφειν ἐβούλοντο. Καὶ τοὺς μὲν ὑπὸ τοῦ καλοῦ ποιμένος καὶ ὡς Θεῷ φίλον τοῖς θρόνοις ἐνιδρυμένους ἐξήλαυνον· βεβήλους δέ τινας καὶ παμμιάρους ἀντικαθίστων τοῖς θώκοις, μή τινος βασάνου τῆς χειροτονίας προηγουμένης· ἀλλ' οὕτως εἰκαῖον ἐδόκει τὸ πρᾶγμα καὶ πρόχειρον ὡς μόνον βούλεσθαι, ἤ τι διδόναι, καὶ εὐχερέστατα τὴν ἱεραρχίαν λαμβάνειν. Καὶ δῆθ' οἱ ἐκβληθέντες, δεξιῶς μετελθόντες τοὺς τῶν τοιούτων καταφρονητὰς, εἰσαγωγῆς ἐτύγχανον, χρημάτων, φεῦ! τὴν ἱερωσύνην ὠνούμενοι. Οἳ δὴ καὶ Ἡρακλείδην ἐκεῖνον, ὃν ὁ μέγας Ἐφέσου πρόεδρος καταστήσειε, συνεπιψηφιζομένων τῇ πράξει καὶ ἄλλων ἑβδομήκοντα ἐπισκόπων, ἐπὶ τέσσαρα ἔτη ὠμοτάτως καθείρξαντες, ἔπειτα καθελόντες τὸν κατάπτυστον καὶ προφανῆ κίναιδον ἄνδρα, τὸν βδελυρίας πάσης ἀνάμεστον, τὸν τοῦ τριβούνου Βίκτωρος εὐνοῦχον, τῷ τοῦ παρθένου θρόνῳ (ὢ δίκη καὶ ἀνοχὴ Θεοῦ! ἀναξίως ἐγκαθιστῶσιν.

A est translatus, et propter quem in Ecclesia offendicula illa inter Paulinum et Meletium, et Flavianum et Evagrium extitere. Atticus ubi inter viros census est, Macedonii opinione rejecta, ad Ecclesiam universalem se contulit, non tam doctrina quam natura prudens : quapropter in rebus agendis facile quod voluit assecutus est, instruendis simul et effugiendis insidiis dexteritate mira. **411** In moribus ejus hæ fuerunt illecebræ, ut fere omnibus gratus et charus esset. In orationibus ecclesiasticis simplex fuit, easque tales edidit, ut neque ab auditoribus transcriberentur, neque omnino doctrina liberaliore et elegantia carerent. Et cum vir summa diligentia esset, opportunum tempus nactus, subinde oratores Græcos celebriores legendo se exer- B cuit. Tum demum, cum idiota seu rudis esse videretur, testimonia ab illis mutuatus, eos etiam qui erudite cum eo agerent, fefellit. Cumque studiosissimus et placidus maxime erga ejusdem sententiæ sectatores, tum eis qui aliter quam ipse sentirent, formidabilis plurimum fuit. Eis facillime, dummmodo vellet, timorem incutere potuit : et rursum totus mutatus, ad comitatem se retulit. Talis ille fuit : sicuti qui eum cognovere, memoriæ mandarunt. Eo autem Ecclesiam gubernante, ingentem Joannis studiosi tulere persecutionem, cum quidem maxima et Orientis et Occidentis pars Ecclesiæ ejus communionem aversaretur. Quo tempore Ephesii impunitate arrepta, quæ eis visa C sunt, omnia movere et mutare voluerunt. Itaque viros a bono pastore rite, et sicuti Deo gratum est, in thronis collatos ejecerunt, eisque profanos quosdam et impuros prorsus homines substituerunt, nulla exploratione manuum impositioni præeunte : quippe ita vana et facilis ea res visa est, ut ad episcopatum promptissime suscipiendum satis esset, si quis id modo vellet, aut aliquid donaret. Proinde qui dudum a Joanne exauctorati fuerant, commode rerum talium contemptores aggressi, in Ecclesia sunt introducti, episcopatu (proh pudor!) pecunia redempto. Qui etiam Heraclidem illum, quem magnus Joannes Ephesi episcopum creaverat, suffragantibus ei aliis quoque septuaginta episcopis, ad annos, quatuor crudelissime carceri D incluserunt : et postea dignitate ei abrogata (1), exsecrandum et manifestum cinædum, detestationis omnis plenum, tribuni Victoris eunuchum, in virginis viri throno (o vindicta et patientia Dei!) indignissime collocarunt.

(1) Nemo gradum sacerdotii venalitate pretii mercetur. Quantum quisque meretur, non quantum dare sufficit, æstimetur. Non pretio, sed precibus ordinetur antistes. L. *Si quemquam*. C. de episc. et cler.

412 CAPUT XXX.

De impurissimo Porphyrio, qui Antiochiæ Flaviano in episcopatu successit: et temporis ejus persecutione, et de constitutione quam Arcadius promulgavit.

Tum quoque magno Flaviano, Antiocheno episcopo, qui se cum Joannis adversariis non conjunxerat, et ad quietem æternam translatus fuerat, Porphyrius successit: vir quidam grandævus, non minus improbitate veterator, quippe quæ cum illo diligenti cura nutrita coaluerat, quam ætate vetulus. Nam vita in libidine peracta, ne tempore quidem ipso quidquam de eo impetu remisit, atque in rebus turpibus ipsam quoque naturam vincere atque superare summopere contendit. Ubi vero cum etiam Antiochenæ ecclesiæ sedis per tyrannidem occupandæ cupido capit, cum urbs tota, more recepto, tempore suo ad spectacula in luco Daphnes effusa esset, Severiano et Acacio, necnon Antiocho in amicitiam suam allectis, et administris tyrannicæ cupiditatis assumptis (simile enim simili amicum prorsus est), prædonum more thronum conscendit, veluti lupus quidam, non pastor: eademque ipsa hora ordinationem ab eis accepit. Adeo autem illis ea res deproperata est, ut receptos ritus plurimos in sacra initiatione prætermiserint. Porro operum tenebrarum patratores, fine suo maleficio tanto imposito, postea discesserunt, laxatis habenis sibi fuga consulentes, et per montes invios ad sua revertentes. At civitas ubi factum id sensit, ignem et materiam aliam incendio aptam manibus rapientes et congerentes, zelo scilicet divino et ipsi flagrantes, una omnes adversus eum iere, ipsum simul cum episcopali domo comburere volentes. Vitam namque ejus, quam improba et detestanda esset, non ignorabant. Quod sic agi postquam ille cognovit, præsidi pecunia corrupto suadet, ut et ipse furorem alium contra pietatis cœtum obarmet. Illicet armatorum manus contracta, et cohors malorum contra illos coacta est. Proinde illi in conspectum istorum contra euntium venire ausi non sunt. Interea ingens etiam persecutio excitata est adversus ecclesias Dei. Attici instinctu (neque enim cum hoc quoque communicare quisquam, propter eum quo Joannem maxime prosequebantur, amorem, volebat) jussiones imperiales passim circumferebantur, in hæc verba conceptæ: **413** « Si quis episcoporum cum Theophilo, Attico, Porphyrio communicare noluerit, extorris ecclesia esto, et facultatibus privator. Ex laicis autem seu popularibus qui magistratus gerunt, dignitate excidunto, milites cingulos deponunto. Vulgus autem et opifices auro damnantor. » Itaque qui sincere honestatem sequebantur, et res præsentes non magni faciebant, ne quid absonum et veræ pietatis instituto indignum committerent, ad solitudines inhabitandas profugerunt. Quædam inviti etiam communicare cum illis coacti sunt, quibus scilicet gloria et opibus excidere magnum visum est. Monachi vero in Syria plurimi

A

ΚΕΦΑΛ. Λ'.

Περὶ τοῦ αἰσχίστου Πορφυρίου τοῦ Ἀντιοχείας, ὃς μετὰ Φλαβιανὸν γέγονε, καὶ τοῦ κατ' αὐτὸν διωγμοῦ, καὶ τοῦ νόμου ὃν Ἀρκάδιος ἔθετο.

Τηνικαῦτα **δὲ καὶ** τὸν μέγαν Φλαβιανὸν μὴ τοῖς κατὰ Ἰωάννου συνθέμενον, ὃς τῆς Ἀντιόχου ἡγεῖτο πρὸς τὴν ἀγήρω λῆξιν μεταχωρήσαντα, Πορφύριος ἀνήρ τις παμπάλαιος, οὐχ ἧττον δὲ γηραιὸς καὶ τὴν μοχθηρίαν, ἅτε δὴ καὶ σύντροφον καὶ ἡλικιῶτιν ἀκριβῶς αὐτὴν ἐσχηκὼς διεδέχετο· ὃς ἀκολασίᾳ συνεζηκὼς, οὐ τῷ χρόνῳ καθυφῆκέ τι τῆς ὁρμῆς· ἔν γε μὴν τοῖς αἰσχροῖς καὶ αὐτὴν ἐφιλονείκει τὴν φύσιν ὑπερβαλέσθαι, καὶ ἥττω γε εἶναι. Εἰς ἔφεσιν δὲ γενόμενος καὶ τῆς Ἀντιόχου ἐκκλησίας τυραν- B νῆσαι τὸν θρόνον, ἐπείπερ ἡ πόλις ἅπασα, εἰωθὸς ὄν, χρόνῳ εἰς τὰ κατὰ Δάφνην προὐκέχυτο θέατρα, τοὺς περὶ Σεβηριανὸν καὶ Ἀκάκιον, ἔτι δὲ καὶ Ἀντίοχον προσεταιρισάμενος, καὶ ὑπουργοὺς τῇ τυραννικῇ ἐφέσει κτησάμενος (φίλον γὰρ παντὶ τῷ ὁμοίῳ τὸ ὅμοιον), λῃστρικῶς ἀναβαίνει τὸν θρόνον, οἷά τις λύκος, καὶ οὐ ποιμήν· καὶ ὑπ' ἐκείνων δὴ αὐθωρὸν τὴν χειροτονίαν λαμβάνει. Ἐπὶ τόσον δ' ἐκείνοις ἡ πρᾶξις ἐσπούδαστο, ὡς καὶ τὰ πλεῖστα τῶν νενομισμένων τῇ ἱερᾷ μυήσει παραλιπεῖν. Ἀλλ' οἱ τῶν σκοτεινῶν ἔργων ῥέκται, τέλος δῆθεν ἐπιθέντες τῇ κακουργίᾳ, ἔπειτα διεδίδρασκον ἀνέδην φυγῇ χρησάμενοι δι' ἀβάτων ὀρέων οἴκαδε ἀπαγόμενοι. Ἡ δὲ πόλις ὡς εἰς αἴσθησιν ἐγεγόνει τοῦ πεπραγμένου, πῦρ μετὰ χεῖρας καὶ ὅση ἄλλη ὕλη εὔπρηστος ἐπι- C φερόμενοι, οὐχ ἧττον κἀκεῖνοι ζήλῳ θείῳ περικαιόμενοι, κατ' ἐκείνου πανδημεὶ ἐχώρουν, αὐτοὶ σύναμα τῷ τῆς ἐπισκοπῆς οἴκῳ ἐμπρῆσαι σπουδάζοντες. Ἤδεισαν γὰρ τὸν ἐκείνου μάλιστα βίον, ὡς ἐναγεγός τις ἅμα καὶ βδελυρὸς ἦν. Ὁ δὲ τὸ μελετώμενον διαγνοὺς, χρήμασι διαφθείρας τὸν ἄρχοντα, ἔπειθε θυμὸν ἕτερον ἀνθοπλίζειν τῷ τῆς εὐσεβείας συστήματι. Καὶ δὴ στρατὸς ἐφίστατο, καὶ θίασος πονηρῶν κατ' αὐτῶν συνηθροίζετο, μηδ' εἰς ὄψιν ἥκειν τοῖς ἀντιφερομένοις ἐῶν. Ἐπὶ δὲ τούτῳ καὶ διωγμὸς ἀνεῤῥιπίζετο μέγιστος· διατάγματά τε βασιλικὰ κατὰ τῶν ἐκκλησιῶν τοῦ Θεοῦ, ὑποβαλόντος Ἀττικοῦ, ἁπανταχοῦ διεφοίτων (καὶ γὰρ οὐδ' ἐκείνῳ τις κοινωνεῖν ἠξίου διὰ τὸ πρὸς Ἰωάννην μάλιστα φίλ- D τρον) τάδε κατὰ ῥῆμα διαγορεύοντα· « Εἴ τις τῶν ἐπισκόπων Θεοφίλῳ μὴ πείθοιτο κοινωνεῖν, Ἀττικῷ τε καὶ Πορφυρίῳ, ἀπόβλητος ἔστω τῆς Ἐκκλησίας, καὶ τῶν ὄντων ἀποστερείσθω. Τῶν δὲ λαϊκῶν ὅσοι μὲν ἐν τέλει, τῆς τιμῆς ἐκπιπτέτωσαν, στρατιῶται δὲ τὰς ζώνας ἀποτιθέσθωσαν· ὅσον δὲ κοινὸν καὶ περὶ τέχνας ἐσχολακὸς, χρυσίῳ ἱκανῷ προστιμηθέντες, καὶ τῇ ὑπερορίῳ φυγῇ κατακρινέσθωσαν ὡς εἰκός. » Ὅσοι μὲν οὖν ἦσαν ἀκραιφνεῖς τοῦ καλοῦ, καὶ οὐδὲν μέγα ἐτίθεντο τὸ παρὸν, φεύγειν εἵλοντο, καὶ τὰς ἐρήμους οἰκεῖν, μηδὲν ἀπᾷδον οἰόμενοι δρᾶν, καὶ εὐσεβοῦς πολιτείας ἀνάξιον· οἱ δὲ καὶ ἄκοντες κοινωνεῖν ἠναγκάζοντο, οἷς μέγα τὸ χρημάτων καὶ δόξης ἐκπεσεῖν ἐκρίνετο. Τῶν δ' ἐν Συρίᾳ πλεῖστοι μοναχῶν τῆς Ἐκκλησίας χωρισθέντες, καθ' ἑαυτοὺς

τὰς συνάξεις ἐποίουν· οὗ χάριν καὶ πολλῶν δεινῶν A ἐπειράθησαν.

ab Ecclesia sejuncti, synaxes et conventus suos egere: quam ob causam multas etiam experti sunt ærumnas.

ΚΕΦΑΛ. ΛΑ'.

Περὶ τῆς ἐς Ῥώμην πρεσβείας τῶν εὐσεβῶν ὑπὲρ τῆς Ἰωάννου δίκης.

Ἀλλ' οὕτω κακῶς ἐχούσης τῆς Ἐκκλησίας, τῶν τινες ἐπισκόπων καὶ κληρικῶν, ζήλῳ θείῳ διαφλεγέντες, ὑπὲρ Ἰωάννου καὶ τῆς πονηρῶς καὶ ἀθλίως ἐχούσης Ἐκκλησίας, τῆς ἕω ἀπάραντες, τὴν πρεσβυτέραν κατελάμβανον Ῥώμην, καὶ τὴν χαλεπὴν ἐκείνην τραγῳδίαν κατέλεγον, Ὀνωρίῳ παραστάντες τῷ βασιλεῖ, ἔτι δὲ καὶ Ἰννοκεντίῳ τῷ Ῥωμαίων ἐπισκόπῳ. Μετὰ γὰρ τὸν πολὺν ἐκεῖνον Δάμασον Σιρίκιος τὴν ἐπισκοπὴν διεδέχετο. Τούτου δὲ ἔτη B πεντεκαίδεκα διανύσαντος, Ἀναστάσιος εἰς τὸν θρόνον ἀνήγετο. Μετὰ δὲ τοῦτον τρία ἔτη διαβιώσαντα, Ἰννοκέντιος ταύτην ἐπλήρου τὴν διαδοχήν. Καὶ ἃς ἐφέροντο δόντες ἐπιστολάς· τρεῖς δ' ἦσαν, ὧν μία μὲν τῆς χρυσῆς καὶ γλώττης ἐκείνης ἦν, τὰ συμπεσόντα πάντα πρὸς λεπτὸν διιοῦσα· ἄλλη δὲ κοινὴ τοῦ Κωνσταντινουπόλεως κλήρου παντός· τρίτη δὲ τῶν τεσσαράκοντα ἐπισκόπων, οἳ τῆς Ἰωάννου μερίδος ἦσαν καὶ κοινωνίας. Ταύτας δὴ ἐγχειρίσαντες, τοσοῦτον ζῆλον ἐκείνοις ἀνῆψαν περιπαθήσασι τοῖς δεινοῖς, ὡς καὶ ἄμφω Ἀρκαδίῳ τῷ βασιλεῖ διαπέμψασθαι γράμματα, τὸν ἐπὶ τοῖς πεπραγμένοις μακρὸν ὕπνον ἐκείνου διεγκαλοῦντας. Ἠτιῶντο δὲ καὶ τὴν δευτέραν ὑπερορίαν ὡς μὴ θεσμοῖς γεγενημένην ἐκκλησιαστικοῖς· καὶ χρῆναι, εἴπερ τι ἐκείνῳ μέλ- C λον τοῦ τε κυρίως καλοῦ καὶ τῆς κατὰ τὴν Ἐκκλησίαν εἰρήνης, τὸν μὲν ἱερέα πάλιν εἰς τὸν οἰκεῖον ἐπανάγειν θρόνον· ἀθροῖσαι δὲ καὶ κατὰ Θεσσαλονίκην σύνοδον, ἅτε δὴ μέσον κειμένην τῶν ἐξ ἕω καὶ Ῥώμης ἡκόντων· μεταστέλλεσθαι δὲ τῆς Ἀλεξάνδρου καὶ Θεόφιλον, ὃς τάδε πάντα συνέχεε· καὶ τοῦτον τὸν τρόπον κανονικῇ καὶ ἀπαθεῖ διαίτῃ τὰ κατὰ τὸν Ἰωάννην ἅπαντα εὐθετῆσαι. Τούτου γὰρ χάριν πέμψαι καί τινας τῶν Ἰταλῶν ἐπισκόπους, συνείδησιν ἀγαθὴν καὶ ἀψευδῆ δίκην ταῖς καρδίαις κεκτημένους, ἔλεγον. Τοιαῦτα μὲν Ἀρκαδίῳ ὅ τε Ὀνώριος καὶ Ἰννοκέντιος ἔπεμπον· ἃ δὲ Ἰωάννῃ καὶ τοῖς ἐν κλήρῳ ἀντέγραφον, τούτοις τοῖς ῥήμασι περιείχοντο· ἅπερ ἐγὼ ἐκ τῆς Ῥωμαίων διαλέκτου ἑκάτερα εὑρὼν, εἰς Ἕλληνα γλῶσσαν μεταβληθέντα, τῇ συγγραφῇ παρεθέμην. Ἡ μὲν οὖν πρὸς Ἰωάννην ἔγραφε τοιάδε·

CAPUT XXXI.

De legatione quam pii Romam de Joannis judicio miserunt.

Cum Ecclesia ita affligeretur, episcopi quidam et clerici, divino zelo pro Joanne et Ecclesia, cujus tam malus et miserandus status esset, flagrantes, ex Oriente Romam veterem sunt profecti, gravemque tragœdiam istam Honorio imperatori et Innocentio Romæ episcopo commemorarunt. Nam post magnum illum Damasum, Siricius quindecim annis episcopatum Romanum tenuit. Ei autem defuncto, Anastasius subrogatus est. Qui ubi post triennium decessit, Innocentius locum ejus per successionem cepit. Tres illi secum attulere epistolas; quarum una aureæ illius linguæ erat, calamitates omnes exactissime recensens: secunda, totius Constantinopolitanæ urbis cleri communis; tertia, quadraginta illorum episcoporum, qui communionis et partium Joannis erant. Eis redditis, tantum in illis zelum accenderunt, propter calamitates eas dolentibus, ut ambo ad imperatorem Arcadium litteras dederint, diuturnum in rebus hujusmodi somnum ejus reprehendentes. Carpebant vero alterum quoque exsilium, quo Joannes præter ecclesiasticas sanctiones affectus fuerat: oportere affirmantes, si quæ illi veræ honestatis et Ecclesiæ tranquillitatis cura esset, **414** episcopum in sedem suam reduci, et synodum Thessalonicæ, quæ in medio e Roma et ex Oriente venientibus sit, cogi. Theophilum etiam Alexandrinum, qui omnia ea miscuisset, acciri: atque ita demum canonico, nullisque affectionibus corrupto judicio, Joannis causam omnem rite et ordine decidi. Cujus rei gratia se Italos aliquot episcopos misisse addiderunt, conscientiam bonam et judicium rectum in cordibus suis obtinentes. Hæc sic ad Arcadium Honorius et Innocentius scripsere. Quæ vero Joanni etiam et clero rescripsere, ejuscemodi verbis continentur: quæ ego ex Romano sermone utraque in Græcam linguam translata inveni, et historiæ huic adjeci. Epistola ad Joannem sic habet:

ΚΕΦΑΛ. ΛΒ'.

D *Ἰννοκεντίου πάπα Ῥώμης ἐπιστολαὶ δύο πεμφθεῖσαι τῷ τε ἱερῷ Χρυσοστόμῳ ἐν ὑπερορίᾳ διάγοντι, καὶ τῷ κλήρῳ τῆς Κωνσταντινουπόλεως.*

« Εἰ καὶ πάντα δεῖ τὸν ἀναίτιον προσδοκᾷν τὰ χρηστὰ, καὶ παρὰ τοῦ Θεοῦ τὸν ἔλεον αἰτεῖν, ὅμως καὶ παρ' ἡμῶν τὴν ἀνεξικακίαν συμβουλευόντων, τὰ καθήκοντα γράμματα διὰ Κυριακοῦ τοῦ διακόνου ἐξαπέσταλται· ὥστε μὴ πλέον δυνηθῆναι τὴν ὕβριν ἐν τῷ συντρίβειν τὸ ἀγαθὸν συνειδὸς ἐν τῷ ἐλπίζειν. Οὐδὲ γὰρ ὀφείλεις διδαχθῆναι ὁ τοσούτων λαῶν διδάσκαλος καὶ ποιμὴν, τοὺς ἀρίστους ἀεὶ καὶ πολλά-

CAPUT XXXII.

Innocentii papæ Romani epistolæ duæ, sancto Chrysostomo exsuli et clero Constantinopolitano missæ.

« Tametsi innocentem bona omnia exspectare, et a Deo misericordiam petere conveniat, tamen nos quoque, qui tolerantiæ malorum suasores sumus, litteras hasce, pro eo atque decuit, cum Cyriaco diacono ad te dedimus, ne adversariorum injuria plus possit, dum affligit, quam bona conscientia, dum in spe cum illa luctatur. Non enim opus est doceri te, tot populorum doctorem et pastorem,

optimos quosque sæpe atque adeo semper probari, an in vigore patientiæ persistant, neque alicui dolorum labori cedant. Et est profecto res stabilis et firma, conscientia bona in malis quæ injuste accidunt, omnibus : quæ nisi quis patientia vincat, indicium de se malæ suspicionis præbet. Omnia namque sustinere debet, qui Deo primum, deinde suæ quoque confidit conscientiæ. Quandoquidem bonus atque honestus vir exerceri ad patientiam maxime potest, vinci autem non potest. Nam mentem ejus divinæ custodiunt Scripturæ. Abundant autem exemplis lectiones sacræ, quas populo tradimus : et omnes prope sanctos variis modis et continenter malis afflictos esse, cum fide attestantur ; quippe qui tanquam in aliquo judicio explorati, tandem sic ad coronam patientiæ pervenere. Consoletur igitur charitatem tuam, frater reverendissime, conscientia tua, quæ in tribulationibus solatium virtutis obtinet. **415** Inspiciente namque ipso Domino Christo, in portu pacis, pura constabit conscientia. » Hæc Innocentius ad divum Chrysostomum scripsit. Epistola autem ad clericos hæc est : « Innocentius episcopus presbyteris et diaconis, totique clero et populo Ecclesiæ Constantinopolitanæ, quæ sub Joanne episcopo est, fratribus dilectis, salutem. Ex litteris dilectionis vestræ, quas per Germanum presbyterum et Cassianum diaconum ad nos dedistis, scenam malorum, quam ob oculos posuistis, anxia sollicitudine cognovi : et quibus ærumnis malisque fides laboret, repetita sæpius lectione perspexi. Cui rei sola patientiæ consolatio medetur. Dabit enim brevi Deus noster afflictionibus tantis finem, quas sustinuisse proderit. Sed enim hanc ipsam necessariam consolationem, in initio epistolæ dilectionis vestræ positam, consilium propositumque vestrum laudantes intelleximus, multa patientiæ testimonia complectentem. Consolationem namque nostram, quam ad vos scribere debuimus, litteris ipsi vestris præoccupastis. Eam siquidem laborantibus Dominus noster præbere patientiam solet, ut in ipsis tribulationibus se ipsos Christi servi solentur, secum ipsi reputantes, eadem antea sanctis, quæ ipsi patiuntur, accidisse. Sed et nos ex ipsis litteris vestris afferre vobis solatium possumus. Non enim ab eo, ut vobis condoleamus, alieni sumus : siquidem et nos in vobis affligimur. Quis namque ferre possit, quæ ab illis designantur, quos maxime convenicbat pacificæ tranquillitatis et concordiæ studiosos esse ? Nunc insolito more sedibus ecclesiarum suarum innocentes ejiciuntur episcopi. Quod sane primus frater et collega noster, episcopus vester Joannes, per injuriam est passus, causa indicta, et crimine neque objecto, neque audito. Quæ vero hæc prohibita ratio est, ut judicii specimen non servetur, aut de causa non quæratur? In locum viventium episcoporum alii subrogantur: quasi, qui ab ejusmodi delictis prorumpunt, a quopiam judicari possint recte quidquam vel dicere vel facere

κις δοκιμάζεσθαι, εἰ ἐν τῇ ἀκμῇ τῆς ὑπομονῆς παραμένουσι, καὶ οὐδενὶ πόνῳ κακοπαθείας ὑποπίπτουσι. Καὶ ἔστιν ὡς ἀληθῶς βέβαιον πρᾶγμα τὸ συνειδὸς εἰς πάντα τὰ ἀδίκως συμπίπτοντα· ἅπερ εἰ μὴ νικήσειέ τις ὑπομένων, τεκμήριον φαύλης ὑπολήψεως ἐκφέρει. Πάντα γὰρ ὑπομένειν ὀφείλει, τῷ Θεῷ πρῶτον, εἶτα καὶ τῷ ἰδίῳ πεποιθὼς συνειδότι· ὁπότε μάλιστα γυμνάζεσθαι εἰς ὑπομονὴν ὁ καλὸς καὶ ἀγαθὸς δύναται, νικᾶσθαι δὲ οὔ· ἐπειδήπερ αὐτῷ τὴν διάνοιαν αἱ θεῖαι Γραφαὶ φυλάττουσι· περιττεύουσι γὰρ ὑποδείγμασιν αἱ θεῖαι ἀναγνώσεις ἃς τοῖς λαοῖς παραδιδόαμεν· αἵτινες πάντας σχεδὸν τοὺς ἁγίους καταπεπονῆσθαι διαφόρως καὶ συνεχῶς ἐπιστώσαντο, καὶ δοκιμάζεσθαι καθάπερ ἔν τινι διαγνώσει· οὕτω τε εἰς τὸν στέφανον τῆς ὑπομονῆς ἐληλυθέναι. Παραμυθείτω τὴν ἀγάπην σου αὐτὸ τὸ συνειδὸς, ἀδελφὲ τιμιώτατε, ὅπερ ἐν ταῖς θλίψεσιν ἔχει τὴν παραμυθίαν τῆς ἀρετῆς. Ἐποπτεύοντος γὰρ τοῦ Δεσπότου Χριστοῦ, ἐν τῷ λιμένι τῆς εἰρήνης καθαρισθεῖσα ἡ συνείδησις στήσεται. » Ταῦτα μὲν πρὸς τὸν θεῖον Χρυσόστομον Ἰννοκέντιος ἔγραφεν· ἃ δὲ καὶ πρὸς τοὺς κληρικοὺς, ἐν τούτοις ἦσαν· « Ἰννοκέντιος ἐπίσκοπος, πρεσβυτέροις καὶ διακόνοις, καὶ παντὶ τῷ κλήρῳ καὶ τῷ λαῷ τῆς Κωνσταντινουπόλεως Ἐκκλησίας τοῖς ὑπὸ τὸν ἐπίσκοπον Ἰωάννην ἀγαπητοῖς ἀδελφοῖς χαίρειν. Ἐκ τῶν γραμμάτων τῆς ὑμετέρας ἀγάπης, ἅτινα διὰ Γερμανοῦ τοῦ πρεσβυτέρου, καὶ Κασσιανοῦ τοῦ διακόνου ἀπεστάλκατε, τὴν σκηνὴν τῶν κακῶν ἣν πρὸ τῶν ὀφθαλμῶν ἐθήκατε ἐν μερίμνῃ φροντίδι, κατέμαθον· ὅσαις τε ἡ πίστις κάμνει ταλαιπωρίαις καὶ πόνοις, ἐπαναληφθείσας πολλάκις τῇ ἀναγνώσει κατεῖδον. Ὅπερ πρᾶγμα μόνη ἡ παράκλησις τῆς ὑπομονῆς ἰᾶται. Δώσει γὰρ ἐν τάχει ὁ ἡμέτερος Θεὸς ταῖς τοσαύταις θλίψεσι τέλος, καὶ ταῦτα συνοίσει συνενηνοχέναι. Ἀλλὰ γὰρ αὐτὴν τὴν ἀναγκαίαν παράκλησιν, ἐν ἀρχῇ τῆς ἐπιστολῆς τῆς ὑμετέρας ἀγάπης κειμένην, ἐγκωμιάζοντες ὑμῶν τὴν πρόθεσιν ἐπεγνώκαμεν, πολλὰς πρὸς τὸ ὑπομένειν μαρτυρίας περιέχουσαν. Τὴν γὰρ ἡμετέραν παράκλησιν, ἣν ὀφείλομεν ὑμῖν ἐπιστεῖλαι, τοῖς ὑμετέροις γράμμασι προεφθάσατε. Ταύτην γὰρ τοῖς κάμνουσιν ὁ ἡμέτερος Δεσπότης ὑπομονὴν παρέχειν εἴωθεν· ἵνα καὶ ἐν ταῖς θλίψεσι τυγχάνοντες, ἑαυτοὺς οἱ τοῦ Χριστοῦ δοῦλοι παραμυθῶνται, ἀναλογιζόμενοι ἐν αὐταῖς καὶ πρότερον γεγενῆσθαι τοὺς ἁγίους ἅπερ αὐτοὶ πάσχουσι. Καὶ ἡμεῖς δὲ ἐξ αὐτῶν τῶν ὑμετέρων γραμμάτων δυνάμεθα ὑμῖν προσενέγκαι παράκλησιν· οὐ γὰρ τοῦ συναλγεῖν ὑμῖν ἐσμεν ἀλλότριοι, ἐπειδήπερ καὶ ἡμεῖς κολαζόμεθα ἐν ὑμῖν. Τίς γὰρ ἐνέγκαι δυνήσεται τὰ ἐξαμαρτανόμενα ὑπ' ἐκείνων; οὕστινας ἐχρῆν μάλιστα τοῦ γαληνοῦ τῆς εἰρήνης καὶ αὐτῆς σπουδαστὰς εἶναι τῆς ὁμονοίας. Νῦν ἐξηλλαγμένῳ τρόπῳ ἀπὸ τῆς προεδρίας τῶν ἰδίων ἐκκλησιῶν ἐξωθοῦνται ἀθῶοι ἱερεῖς. Ὃ δὴ καὶ πρῶτος ὁ ἀδελφὸς ἡμῶν καὶ συλλειτουργὸς Ἰωάννης ὁ ὑμέτερος ἐπίσκοπος ἀδίκως πέπονθε, μηδεμιᾶς τυχὼν ἀκροάσεως· οὐδὲν ἔγκλημα ἐπιφέρεται, οὐδ' εἰσακούεται. Καὶ τίς ἡ ἀπηγορευμένη ἐπίνοια, ἵνα

μὴ πρόφασις κρίσεως γένηται ἢ ζητηθῇ; Εἰς τόπους ζώντων ἱερέων ἄλλοι ἀποκαθίστανται· ὡς δυναμένων τῶν ἐκ τοιούτου πλημμελήματος ὁρμωμένων, ὀρθῶς τι ἔχειν, ἢ πεπρᾶχθαι, ἢ ὑπό τινος κριθῆναι; Οὐδὲ γὰρ πώποτε παρὰ τῶν πατέρων τῶν ἡμετέρων τοιαῦτα τετολμῆσθαι ἐγνώκαμεν· ἀλλὰ μᾶλλον κεκωλύσθαι τὸ μηδενὶ εἰς τόπον ζῶντος χειροτονεῖν ἄλλον δεδόσθαι ἐξουσίαν. Οὐ γὰρ χειροτονία ἀδόκιμος τὴν τιμὴν δύναται ἀφελέσθαι τοῦ ἱερέως· ἐπειδήπερ οὐδὲ ἐπίσκοπος δύναται εἶναι ἐκεῖνος, ὃς ἀδίκως ὑποκαθίσταται· ὅτι καὶ περὶ τῆς τῶν κανόνων παραφυλακῆς τούτοις δεῖν ἕπεσθαι γράφομεν, οἵτινες ἐν Νικαίᾳ εἰσὶν ὡρισμένοι· οἷς μόνοις ὀφείλει ἐξακολουθεῖν ἡ καθολικὴ Ἐκκλησία, καὶ τούτους γνωρίζειν. Εἰ δὲ ἕτεροι ὑπό τινων προσφέρονται, οἵτινες ἀπὸ τῶν κανόνων τῶν ἐν Νικαίᾳ διαφωνοῦσι, καὶ ὑπὸ αἱρετικῶν ἐλέγχονται συντετάχθαι, οὗτοι παρὰ τῶν καθολικῶν ἐπισκόπων ἀποβάλλονται. Τὰ γὰρ ὑπὸ τῶν αἱρετικῶν εὑρεθέντα, ταῦτα οὐκ ἔστι τοῖς καθολικοῖς κανόσι προσάπτειν. Ἀεὶ γὰρ διὰ τῶν ἐναντίων καὶ ἀθέσμων τὴν τῶν ἐν Νικαίᾳ μειοῦν βουλὴν ἐθέλουσιν. Οὐ μόνον οὖν λέγομεν τούτοις μὴ δεῖν ἐξακολουθεῖν, ἀλλὰ μᾶλλον αὐτοὺς μετὰ αἱρετικῶν καὶ σχισματικῶν δογμάτων εἶναι κατακριτέους· καθάπερ καὶ πρότερον γέγονεν ἐν τῇ Σαρδικῇ συνόδῳ ὑπὸ τῶν πρὸ ἡμῶν ἐπισκόπων. Τὰ γὰρ πραχθέντα κατακρίνεσθαι μᾶλλον προσῆκεν, ἢ ἄντικρυς τῶν κανόνων γενόμενα, ἔχειν τινὰ βεβαιότητα, ἀδελφοὶ τιμιώτατοι. Ἀλλὰ τί κατὰ τῶν τοιούτων νῦν ἐν τῷ παρόντι ποιήσομεν; Ἀναγκαία ἐστὶ διάγνωσις συνοδικὴ, ἣν καὶ πάλαι ἔφημεν συναθροιστέαν. Μόνη γάρ ἐστιν ἥτις δύναται τὰς κινήσεις τῶν τοιούτων καταστεῖλαι καταιγίδων· ἧς ἵνα τύχωμεν, χρήσιμον τέως ὑπερτίθεσθαι τὴν ἰατρείαν τῇ βουλήσει τοῦ μεγάλου Θεοῦ καὶ τοῦ Χριστοῦ αὐτοῦ τοῦ Κυρίου ἡμῶν. Πάντα ὅσα νῦν τῷ φθόνῳ τοῦ διαβόλου πρὸς τὴν τῶν πιστῶν δοκιμασίαν τετάρακται, πραϋνθήσεται. Οὐδὲν ὀφείλομεν τῇ στεῤῥότητι τῆς πίστεως παρὰ τοῦ Κυρίου ἀπελπίσαι. Καὶ γὰρ ἡμεῖς πολλὰ σκεπτόμεθα, ὃν τρόπον ἡ σύνοδος οἰκουμενικῶς συναχθείη, ὅπως τῇ βουλήσει τοῦ Θεοῦ καὶ ταραχώδεις κινήσεις παύσωνται. Ὑπομείνωμεν οὖν τέως· καὶ τῷ τείχει τῆς ὑπομονῆς ὀχυρούμενοι, ἐλπίσωμεν πάντα τῇ βοηθείᾳ τοῦ Θεοῦ ἡμῶν ἀποκατασταθῆναι. Πάντα δὲ ὅσα ὑμᾶς ὑφίστασθαι εἰρήκατε, καὶ πρότερον συνδραμόντων εἰς τὴν Ῥώμην τῶν ὑμετέρων ἐπισκόπων, εἰ καὶ τὰ μάλιστα διαφόροις χρόνοις, τουτέστι Δημητρίου, Εὐλυσίου καὶ Παλλαδίου, οἵτινες μεθ' ἡμῶν ἦσαν, τελείᾳ ἐρωτήσει μεμαθήκαμεν. » Ταῦτα καὶ τὰ πρὸς τοὺς κληρικοὺς διελάμβανον γράμματα· ἐξ ὧν συνάγειν ἔστιν, ὁποία τις ἦν ἐκείνῳ ὑπὲρ Ἰωάννου γνώμη τε καὶ σπουδή.

posse? Nunquam sane patres nostros talia ausos 416 fuisse, sed potius vetuisse cognovimus, ne cui in locum viventis per ordinationem alium substituendi sit potestas. Minime enim ordinatio reproba honorem adimere episcopo potest: quandoquidem neque episcopus ille esse potest, qui inique substituitur. Nam quantum ad canonum observantiam attinet, canonibus obsequendum esse scribimus, qui Nicææ sunt decreti: quos solos consectari decet Ecclesiam catholicam, et eos in medium afferre. Sin alii a quibusdam proferuntur, a Nicænis canonibus dissonantes, et hæreticos auctores referentes, ii a catholicis episcopis rejiciuntur. Hæreticorum namque inventa catholicis canonibus non sunt adnectenda. Semper etenim illi per contraria et nefaria decreta, Patrum Nicænorum consilium minuere intendunt. Quapropter non solum hoc dicimus, istos sequendum non esse, verum etiam cum hæreticis et schismaticis seu dissidiosis dogmatibus condemnandum: quemadmodum antea in Sardicensi concilio ab episcopis, qui nos præcesserunt, factum est. Nam quæ sic perperam subintroducuntur, magis damnare convenit, quam ut quæ directe contra canones statuuntur, aliquam habeant, fratres reverendissimi, firmitatem. Cæterum quid contra istos in præsentia agendum? Synodali cognitione peropus est, quam dudum etiam cogendam esse censuimus. Sola enim illa talium procellarum motus sopire potest: quam ut obtineamus, utile nunc fuerit, medicinam et opem hanc ad voluntatem magni Dei et Christi ejus, Domini nostri, referre. Omnia quæ diaboli invidia, ad fidelium explorationem sunt perturbata, pacabuntur. Stabilitate fidei nihil non sperare a Domino debemus. Nos quidem multum deliberamus et dispicimus, quomodo universalis synodus congregetur, ut de voluntate Dei turbulenti isti motus compescantur. Itaque interea sustineamus; et patientiæ muro circumvallati, omnia auxilio Dei nostri restitutum iri speremus. Quæcunque vero vos sustinuisse scripsistis, ea quoque omnia antea, quamvis diversis maxime temporibus, a collegis vestris episcopis, Demetrio, Eulysio et Palladio, qui Romam venerunt, et nobiscum fuerunt, percunctatione accurata cognovimus. » 417 Hæc sunt, quæ ad clericos ab Innocentio datæ litteræ continebant: ex quibus colligere licet, quæ illi sententia et studium de Joanne fuerit.

ΚΕΦΑΛ. ΛΓ'.

Περὶ τῶν ἐκ Ῥώμης πρέσβεων, ὅσα πεπόνθασιν ὑποβολαῖς Εὐδοξίας καὶ Ἀττικοῦ.

Τὰ γοῦν τοιαῦτα γράμματα, ἔτι δὲ καὶ τὴν τῆς συνόδου ψῆφον, ἣ διὰ τὴν Ἰωάννου αἰτίαν ἐν Ἰταλίᾳ

CAPUT XXXIII.

De legatis Roma missis, qualia ii Eudoxiæ et Attici suggestione sint passi.

Litteræ ipsæ tales fuere. Insuper vero synodi decreto (1), quæ Joannis causa in Italia coacta fuit,

(1) Sozom. scribit, episcopos quinque, et presbyteros duos Ecclesiæ Rom. ad Honorium et Arcadium esse missos, qui locum et tempus synodi cogendæ peterent, lib. VIII, cap. ult.

in manus recepto, Dei amans Æmylius Beneventi episcopus, Cathegius et Gaudentius, cum Valentio et Bonifacio presbyteris, Roma Byzantium profecti sunt. Sequebantur eos Cyriacus et Demetrius, una cum Palladio et Eulysio, qui Joannis partium studiosi eo venerant, et tragœdiam malorum omnem illis exposuerant. Cum autem in Græciam pervenissent, in manus tribuni cujusdam, qui insidias eis tetenderat, inciderunt. Non enim latere potuerunt feminarum pessimam Eudoxiam legationis ejus mandata. Et quod eorum sententiæ seu consilio, qui legationem eam miserant, arte quadam adversaretur, actiones eorum contrariis actionibus prævenit. Quapropter Thessalonicam illis videre, atque papæ litteras, quas ad ejus urbis episcopum Anysium ferebant, reddere permissum non est. Sed duobus navigiis impositi, postquam in unum ex suburbiis Constantinopolitanæ civitatis, quod Athyras vocatur, pervenerunt, per vim in custodiam sunt conjecti : quibus per calumniam objectum est, quod ditionem alienam ultra terminos suos turbarent, et cum Orientalis imperii contumelia ibi adessent. Romani igitur, et Cyriacus episcopus, quique cum eo erant, seorsim quisque in custodias inclusi, torti sunt et ærumnis plurimis affecti, ut litteras flagitatas proferrent. Postquam autem illi se eas non prius daturos esse affirmarunt, quam imperatorem vidissent, utpote ad eum legati, postremo Valerius quidam, ex feritate et temeraria audacia nomen et celebritatem aucupans, episcopi unius, apud quem litteræ erant, pollice fracto, scripta ipsa et vascula quædam, adhæc quidquid illis ad res necessarias parandas erat argenti, ei eripuit : id quod ille non sine maligno consilio fecit, ut sumptibus omnibus spoliati, facere aliquid illi, quod prohibitum est, necessitate adigerentur. **418** Postridie ejus diei alii plurimi affuere, sive ab ipsa Augusta, seu ab Attico missi : qui ab illis petierunt, ut tribus millibus nummorum aureorum receptis, cum Attico communicarent, Joannis autem causam despicerent. Hoc illi se facturos prorsus negarunt. Accidit enim divinitus quiddam, quod eam rem prohibuit. Nam uni ex Æmylii diaconis, Paulo nomine, viro casto et moderato, divum Apostolum Paulum apparentem dixisse ferunt : « Videte quomodo accurate (seu circumspecte) ambuletis, dies enim mali sunt ; » promissam forte fraudem sic inhibentem. Sed enim cum illi promissionem seu conditionem oblatam non reciperent, sed reditum in Romanam urbem precibus peterent : Valerius, qui egregium illud viri optimi facinus in pollice patravit, ad male agendum strenuus, putri cuipiam et vetustate squalido navigio eos commissos, exitium eis struens videlicet, Romam reverti jussit. Illi cum summo periculo navigantes, ægre Lampsacum appulerunt. Inde navi mutata, quatuor mensibus elapsis Romam pervenere, et apud Innocentium papam sigillatim quæ eis accidere;

A συνέστη, ἀνὰ χεῖρας λαβόντες οἱ περὶ τὸν θεοφιλῆ Αἰμύλιον, Βενεβενδοῦ δὲ οὗτος ἐπίσκοπος, Καθήγιόν τε καὶ Γαυδέντιον, σὺν Οὐαλεντίῳ καὶ Βονιφατίῳ τοῖς πρεσβυτέροις, ἐκ Ῥώμης πρὸς τὸ Βυζάντιον ᾔεσαν. Εἵπετο δ' αὐτοῖς Κυριακὸς καὶ Δημήτριος, σύναμα Παλλαδίῳ καὶ Εὐλυσίῳ· οἳ τῆς Ἰωάννου μερίδος ὄντες, ἐκεῖσε δὴ παρεγένοντο, καὶ πάντα ἐκείνοις ἐξετραγῴδησαν. Ἀνὰ δὲ τὴν Ἑλλάδα γενόμενοι, ὑπό τινι ἐνεδρεύοντι τῶν χιλιάρχων εἰς χεῖρας ἐμπίπτουσιν. Οὐδὲ γὰρ ἦν λαθεῖν τὴν πονηροτάτην γυναικῶν Εὐδοξίαν τὰ τῆς στελλομένης πρεσβείας. Ἀντιτεχνωμένη δὲ τῇ γνώμῃ τῶν ἀποστειλάντων προέφθανεν ἀντιπράττουσα. Θεσσαλονίκην μὲν οὖν οὐ συνεχώρουν ἐκείνους ἰδεῖν· οὐδὲ γὰρ ἃ πρὸς τὸν ἐκείνης ἐπίσκοπον Ἀνύσιον τοῦ πάππα ἐπεφέροντο B γράμματα, δοῦναι εἴων. Δυσὶ τοίνυν πλοίοις τούτους ἐπιβαλόντες, ἐπεὶ ἐς προάστειον τῆς πόλεως, ὃ Ἀθύρας καλεῖται, ἔφθανον, βιαίως εἶργον φρουρᾷ, ἅτε δῆθεν ὑπερόριον ἐνοχλοῦντας ἀρχὴν, καὶ ἐπὶ ὕβρει τῆς ἐνθάδε βασιλείας γεγενημένους, διαβολὴν κατεσκεύαζον. Οἵ τε οὖν Ῥωμαῖοι, καὶ οἱ περὶ τὸν ἐπίσκοπον Κυριακὸν ἐγκλεισθέντες χωρὶς, ᾐτάζοντο, καὶ δεινοῖς πλείστοις περιεβάλλοντο, τὰ γράμματα ἀπαιτούμενοι. Ὡς δ' ἐκεῖνοι τὸ μὴ δοῦναι διισχυρίζοντο πρότερον, εἰ μὴ βασιλέα θεάσαιντο, πρέσβεις ὄντες, τέλος Οὐαλέριός τις ἐκ θηριωδίας καὶ ἰταμότητος ὄνομα ἑαυτῷ περιθεῖναι βουλόμενος, ἑνὸς τῶν ἐπισκόπων τὸν ἀντίχειρα διακλάσας παρ' ᾧ τὰ γράμματα ἦν, αὐτά τε ἀφείλετο τὰ πυκτία, καί τινα σκεύη, C καὶ ὅσα δὴ πρὸς ὤνησιν τῶν ἐπιτηδείων ἀργύρια ἦσαν, οὐκ ἄπο καὶ τοῦτο πονηρᾶς γνώμης διαπραξάμενος, ἵνα τῶν πρὸς χρείαν ἐνδεεῖς καταστάντες, πρᾶξαί τι τῶν ἀπηγορευμένων ἀναγκασθεῖεν. Τῇ δὲ ὑστεραίᾳ ἄλλοι τε πλεῖστοι παρῆσαν, εἴτ' ἐκ τῆς βασιλίδος, εἴτε καὶ παρ' αὐτοῦ δὴ πεμφθέντες τοῦ Ἀττικοῦ· οἳ καὶ ἠξίουν, τρισχιλίους λαβόντας χρυσοῦς, κοινωνῆσαι μὲν Ἀττικῷ, τῆς δὲ Ἰωάννου δίκης καταφρονεῖν· τοὺς δὲ πάμπαν ἀπαγορεῦσαι. Συνέβη γάρ τι καὶ θειότερον εἶργον, μάλα τὴν πρᾶξιν. Ἑνὶ γὰρ τῶν Αἰμυλίου διακόνων, Παύλῳ τὴν κλῆσιν, σώφρονι καὶ μετρίῳ ἀνδρὶ, τὸν θεῖον ἀπόστολον Παῦλον ἐπιφανέντα εἰπεῖν λέγεται· « Βλέπετε πῶς ἀκριβῶς περιπατεῖτε· αἱ ἡμέραι γὰρ πονηραί· » ἴσως τὴν ὑπεσχημένην ἀπάτην ἐπέχοντα. Μὴ τὴν εἰσήγη- D σιν τοίνυν εἰσδεξαμένων, ἀλλὰ τὴν ἐς Ῥώμην ἀντιβολούντων ἐπάνοδον, Οὐαλλέριος ὁ τὸ τοῦ ἀντίχειρος ἀριστούργημα διαπεπραγμένος, δεινὸς ὢν καὶ κακουργῆσαι, σαπρῷ τινι καὶ γεγηρακότι πλοίῳ τούτους πιστεύσας, ὡς ἂν πρόνοιαν ἀπωλείας πραγματευόμενος, πρὸς τὴν Ῥώμην ἀνάγεσθαι παρηγγύα. Καὶ δὴ τῷ πλῷ ἐν χρῷ κινδύνου μόλις τῇ Λαμψάκῳ προσσχεῖν ἐξεγένετο. Ἐκεῖθεν δὲ τὸ ἀκάτιον ἀμειψάμενοι, τεττάρων παρῳχηκότων μηνῶν, τὴν Ῥώμην κατέλαβον· καὶ Ἰννοκεντίῳ τῷ πάππᾳ ἐμφανισθέντες, κατὰ μέρος τὰ συμπεσόντα ἀνήγγελλον, μηδὲν εἰδότες, εἴ τι δὴ τοῖς περὶ Κυριακὸν ἐπεγένετο· ἀλλὰ μηδὲ περὶ Ἰωάννου, ὅ τι δὴ αὐτῷ συνέβη μαθεῖν ἐξισχύσαντες. Ἃ δὴ τὸν νωθρὸν Ἀρκάδιον διελάμβανε τέως, ὡς ὕστερον ὑπῆρξε μαθεῖν. Ἐπὶ δὴ

τούτοις πλεῖστα ἀγανακτήσας ὁ τῆς Ῥώμης ἐπίσκο- A πος Ἰννοκέντιος, τοιάνδε συνθέμενος τὴν ἐπιστολὴν, τοῖς περὶ Ἀρκάδιον, Ἀττικόν τε καὶ Θεόφιλον ἐξαπέστειλεν, ἀφορισμῷ καὶ καθαιρέσει αὐτοὺς ὑποβάλλουσαν· καὶ ταῦτα μαθὼν, οὐ πολλῷ ὕστερον καὶ τὴν τελευτὴν τῷ Πατρὶ ἐπιστῆναι, ἐπὶ πόῤῥω τῆς ἐξορίας ἀπαγομένῳ, ὡς μικρὸν προϊόντες δηλώσομεν. Ἡ μέντοι ἐπιστολὴ τούτοις τοῖς ῥήμασι περιείληπτο·

ΚΕΦΑΛ. ΛΔ'.

Ἐπιστολὴ Ἰννοκεντίου πάππα Ῥώμης πρὸς Ἀρκάδιον καὶ Εὐδοξίαν, ἀφορισμῷ αὐτοὺς ὑποβάλλουσα. B

« Φωνὴ αἵματος τοῦ ἀδελφοῦ μου Ἰωάννου βοᾷ πρὸς Θεὸν κατὰ σοῦ, βασιλεῦ, ὡς ποτε Ἄβελ τοῦ δικαίου κατὰ τοῦ ἀδελφοκτόνου Κάϊν· καὶ παντὶ τρόπῳ ἐκδικηθήσεται. Οὐ μόνον δὲ τοῦτο πέπραχας, ἀλλὰ καὶ ἐν καιρῷ εἰρήνης διωγμὸν μέγαν κατὰ τῆς τοῦ Θεοῦ Ἐκκλησίας καὶ τῶν ἱερέων αὐτοῦ συνεστήσω. Ἐξέωσας τὸν μέγαν τῆς οἰκουμένης διδάσκαλον ἐκ τοῦ θρόνου αὐτοῦ ἀκρίτως, συνεκδιώξας αὐτῷ καὶ τὸν Χριστόν· οὔτε γὰρ οὕτως ὀδύρομαι περὶ ἐκείνου (οὗτος γὰρ τὸν κλῆρον ἔλαχε μετὰ τῶν ἁγίων ἀποστόλων ἐν τῇ τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ βασιλείᾳ), κἂν ᾖ ἀφόρητος ἡ συμφορά· ἀλλὰ θλίβομαι, φροντίζων πρῶτον μὲν τῆς σωτηρίας τῶν ὑμετέρων ψυχῶν, καὶ περὶ τῶν στε- C ρηθέντων καὶ λιμωξάντων τῆς ἐκείνου πανσόφου καὶ πνευματικῆς θείας διδαχῆς καὶ νουθεσίας. Οὐ γὰρ μόνον ἡ Κωνσταντινουπολιτῶν ἐκκλησία ἐζημιώθη τῆς ἐκείνου μελιῤῥύτου γλώττης, ἀλλὰ καὶ πᾶσα ἡ ὑφήλιος ἐχήρευσεν, ἀπολέσασα τοιοῦτον ἔνθεον ἄνδρα, πειθηνίας μιᾶς γυναικὸς παραχωρησάσης τοῦτο γενέσθαι τὸ δραματούργημα. Πλὴν ἐκδέξηται τὴν ἐντεῦθεν τιμωρίαν καὶ τὴν μέλλουσαν ἀτελεύτητον κόλασιν, οὐ μετὰ πολλὰς ταύτας ἡμέρας ἐπερχομένην αὐτῇ. Εἰ γὰρ καὶ ὁ μακάριος Ἰωάννης τὸν βίον κατέλιπε, τὴν πίστιν τηρήσας, καὶ στηρίξας τοὺς σαλευομένους· ἀλλ' εἰς ἄληκτον αἰῶνα τὴν ἀδαπάνητον τρυφὴν καὶ ἀθάνατον ζωὴν ἐκληρονόμησεν. Ἡ δὲ νέα Δαλιδὰς Εὐδοξία, κατὰ μικρὸν τῷ ξυρῷ τῆς πλάνης ξυρήσασά σε, ἐπήγαγεν D ἑαυτῇ κατάραν ἐκ πολλῶν στομάτων, δεσμεύσασα φορτίον ἁμαρτημάτων βαρὺ καὶ δυσβάστακτον, προσθεῖσα τοῦτο τοῖς πρώην αὐτῆς ἁμαρτήμασι. Διὸ ἐγὼ ὁ ἐλάχιστος καὶ ἁμαρτωλὸς, ὡς πιστευθεὶς τὸν θρόνον τοῦ μεγάλου ἀποστόλου Πέτρου, ἀφορίζω σέ τε κἀκείνην τῆς μεταλήψεως τῶν ἀχράντων μυστηρίων Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· οὐ μὴν ἀλλὰ καὶ παντοῖον ἐπίσκοπον ἢ κληρικὸν ὄντα τοῦ τάγματος τῆς ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας, τολμῶντας ἐπιχειρῆσαι καὶ μεταδοῦναι ὑμῖν, ἀφ' ἧς ὥρας ἀναγνῶτέ μου τὸν παρόντα δεσμὸν, ὑπὸ καθαίρεσιν εἶναι. Εἰ δὲ βιάσησθέ τινα, ὡς ἐξουσιασταὶ, καὶ παρεξέλθητε τοὺς δοθέντας ὑμῖν κανόνας παρὰ τοῦ Σωτῆρος διὰ τῶν ἁγίων ἀποστόλων, ἔσεσθε ἐπιστάμενοι, ὡς πρῶτον

renuntiarunt, nihil scientes, quid vel Cyriaco ejusque comitibus, vel Joanni ipsi acciderit. Hæc tum segnem Arcadium latuere: id quod postea animadvertere licuit. Hisce vero de causis Innocentius Romanus episcopus plurimum indignatus, epistolam compositam ad Arcadium, Atticum et Theophilum dedit, qua illos excommunicationi et exauctorationi subjecit, cum quidem cognovisset, non multo post Patrem illum mortem oppetiisse, in longius exsilium abductum, quemadmodum paululum progressi exponemus. Epistola verbis hujusmodi conscripta fuit:

419 CAPUT XXXIV.

Epistola Innocentii papæ Romani ad Arcadium et Eudoxiam, excommunicationi eos subjiciens.

«Vox sanguinis fratris mei Joannis clamat ad Deum contra te, o imperator, sicuti quondam Abel justi contra parricidam Cain; et is modis omnibus vindicabitur. Nec id modo admisisti, sed etiam pacis tempore persecutionem magnam adversus Deum et Ecclesiam ejus concitasti. Ejecisti e throno suo, re non judicata, magnum totius orbis doctorem, et una cum eo Christum persecutus es. Neque de illo ita queror (sortem enim, seu hæreditatem cum sanctis apostolis in Dei et Servatoris nostri Jesu Christi regno consecutus est), quamvis intolerabilis jactura ea sit: sed affligor propterea, quod primum de animarum vestrarum salute, deinde de eis qui sapientissima, spirituali et divina doctrina et institutione ejus orbati, fame verbi Dei conficiuntur, sum sollicitus. Non enim ecclesia tantum Constantinopolitana mellitæ illius linguæ jacturam fecit, sed et orbis sub sole totus ad orbitatem redactus est, viro tam divino amisso, persuasione unius mulieris, fabulam hanc et spectaculum exhiberi sinente. Verum excipiet illa et præsentem hic pœnam et futurum sempiternum supplicium non post multos hosce dies ei advenienis. Tametsi enim beatus Joannes vitam reliquit, fide servata, et fluctuantibus confirmatis; in æterna tamen sæcula sempiternarum deliciarum et immortalis vitæ hæreditatem est consecutus. Nova autem Dalila Eudoxia, quæ paulatim te erroris seu seductionis novacula totondit, execrationem ex multorum ore sibi ipsi introduxit, grave et quod gestari nequeat peccatorum pondus colligans, atque id prioribus peccatis suis superaddens. Itaque ego minimus, et peccator, cui thronus magni apostoli Petri creditus est, segrego et rejicio te et illam a perceptione immaculatorum mysteriorum Christi Dei nostri: episcopum etiam omnem, aut clericum ordinis sanctæ Dei Ecclesiæ, qui administrare aut exhibere ea vobis ausus fuerit, ab ea hora qua præsentes vinculi mei legeritis litteras, dignitate sua excidisse, decerno. **420** Quodsi, ut homines potentes, quemquam ad id vi adegeritis, et canones vobis a Servatore per sanctos apostolos traditos transgressi fueritis,

scitote non parvum id vobis peccatum fore, in horrenda illa judicii die: cum neminem hujus vitæ honor et dignitas adjuvare poterit, arcana autem et abdita cordium sub oculos omnium effundentur atque exhibebuntur. Arsacium, quem pro magno Joanne in thronum episcopalem produxistis, etiam post obitum exauctoramus, una cum omnibus qui consulto cum eo communicarunt episcopis, cujus etiam nomen sacro episcoporum albo non inscribatur. Indignus enim eo honore est, ut qui episcopatum quasi adulterio polluerit. Omnis siquidem plantatio, quæ a Patre nostro in cœlis plantata non est, eradicabitur [1]. Ad Theophili abrogationem addimus excommunicationem, anathematismum et absolutam a Christianismo alienationem. » Hæc Innocentius pro Joanne pugnans scripsit. Neque vero etiam Atticum, qui post Arsacium thronum magni illius involavit, non accusavit. Verum ut ea res composita postea sit, historia loco suo ostendet.

CAPUT XXXV.

De incursione gentium barbararum in fines Romanos, eo tempore facta: et de exortis tyrannis, Stilicone, Alaricho, Attalo, Saro, et aliis: et ut ab Alaricho Roma sit capta: et de formosæ cujusdam Romanæ mulieris castitate.

Eadem tempestate, sicuti in omnibus episcoporum dissensionibus reperire est, res etiam publicæ tumultibus sunt repletæ. Hunni namque Istrum transgressi, Thraciam vastantes percurrerunt, Huldam (1) ducem habentes. Et Isauri quidam prædones perquam feri, ingenti coacta multitudine Phœniciam atque Cariam, et quæ in medio sitæ sunt urbes, excursionibus extremisque cladibus vexarunt. Stilico quoque, Honorii socer, opumque et copiarum illius omnium dux, vir summus, simul et Romanorum et barbarorum ad novas res spectantium studia sibi conciliata habens, cum præfectis eorum egit, et committere inter se imperatores tentavit. Atque ubi, ut Alaricho Gotthorum duci ducendarum Romanarum copiarum dignitas tribueretur, suffragio suo effecit, in Illyricos movit: et eo Jovium quemdam præmisit, re ita composita, ut et ipse cum Romanis Arcadii ducibus congrederetur, 421 et regionis etiam ejus populos Honorii imperio subjiceret. Alarichus autem exercitu ex Dalmatia et Pannonia, terra barbara, suscepto in mediterraneas venit (2), Græciaque et Athenis captis, vicinam quoque Dalmatiam vastavit. Deinde Illyricum ingressus, atque aliquandiu ibi moratus, per Alpes in Italiam rediit, Stilicone angustias earum illum transire permittente, utpote qui insidias imperatori strueret. Postea Alarichus cum inde proficisci vellet, Honorii litte-

μὲν οὐ μικρὸν ὑμῖν τὸ ἁμάρτημα γενήσεται ἐν τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως, οὔτε οὐ δυνήσεται ἀξίωμα βιωτικόν τινα ὠφελῆσαι· ἐκείνων δὲ τὰ ἐντὸς ἐκχυθήσονται πρὸς ὑπόδειγμα πάντων. Ἀρσάκιον δὲ δν εἰσηγάγετε εἰς τὸν θρόνον τῆς ἐπισκοπῆς ἀντὶ τοῦ μεγάλου Ἰωάννου, καὶ μετὰ θάνατον καθαιροῦμεν σὺν πᾶσι τοῖς συγκοινωνήσασιν αὐτῷ προθέσει ἐπισκόποις· οὗτινος μηδὲ τὸ ὄνομα ἐγγραφήτω τοῖς ἱεροῖς διπτύχοις· ἀνάξιος γάρ ἐστιν ὡς μοιχεύσας τὴν ἐπισκοπήν· πᾶσα γὰρ φυτεία μὴ φυτευθεῖσα παρὰ τοῦ Πατρὸς ἡμῶν τοῦ ἐν οὐρανοῖς, ἐκριζωθήσεται. Προστιθέμεθα τῇ καθαιρέσει Θεοφίλου ἀφορισμὸν καὶ ἀναθεματισμὸν, καὶ τελείαν ἀλλοτρίωσιν Χριστιανισμοῦ. » Τοιαῦτα μὲν ὁ Ἰννοκέντιος ἔγραφεν ὑπὲρ Ἰωάννου διαμαχόμενος· οὐκ ἔξω μέντοι αἰτίας ἐποίει καὶ Ἀττικὸν μετ' Ἀρσάκιον τῷ θρόνῳ τοῦ μεγάλου ἐπεισπηδήσαντα. Ἀλλ' ὅπως ταῦτα χρόνῳ ὕστερον διαλέλυται, ἡ καθεξῆς ἱστορία δηλώσει.

ΚΕΦΑΛ. ΛΕ'.

Περὶ ἐπιδρομῆς ἐθνῶν τηνικαῦτα γεγενημένης· καὶ περὶ τῶν ἐπαναστάντων τυράννων, Στελίχωνος, Ἀλλαρίχου, Ἀττάλου, Σάρου, καὶ ἑτέρων· καὶ ὡς ἑάλω Ἀλλαρίχῳ ἡ Ῥώμη· καὶ περὶ τῆς σώφρονος ἐν Ῥώμῃ ὡραίας γυναικός.

Περὶ δὲ τοῦτον τὸν χρόνον, ὡς ἐπίπαν ἔστιν εὑρεῖν ταῖς τῶν ἱερῶν διχονοίαις, καὶ τὰ κοινὰ θορύβων πλήρη γεγενημένα. Οὖννοι μὲν γὰρ τὸν Ἴστρον διαπεραιωθέντες, τὴν Θρᾴκην δῃοῦντες κατέθεον, ἡγούμενον Οὔλδην ἔχοντες. Ἴσαυροι δὲ λῃσταί τινες θηριώδεις ἐς πολύ τι πλῆθος ἀθροισθέντες, Φοινίκην τε καὶ Καρίαν καὶ τὰς ἐν μέσῳ τούτων πόλεις κατέδραμον, κακουργοῦντες τὰ ἔσχατα. Καὶ Στελίχων Ὀνωρίου μὲν κηδεστὴς, οὐ μὴν δ' ἀλλὰ καὶ τῆς ἐκείνου πάσης δυνάμεως ἐξηγούμενος, ἀνὴρ διαφερόντως μέγας γενόμενος, τὸ παρὰ Ῥωμαίοις καὶ βαρβάροις νεωτερίζον ἔχων πειθόμενον, τοῖς ἄρχουσιν ἐκείνων εἰς λόγους ἐλθὼν, συγκρούειν πρὸς ἑαυτὰ τὰ βασίλεια πεῖραν προσῆγεν· Ἀλλαρίχῳ τε τῷ ἡγουμένῳ τῶν Γότθων πρόξενος καταστὰς, Ῥωμαίων στρατηγίας ἀξίωμα περιθεῖναι, Ἰλλυριοῖς ἐπανέστησεν, Ἰόβιόν τινα ὕπαρχον ἐκείνοις προκαταστήσας, συνθέμενος μετὰ τῶν Ῥωμαίων συμβαλεῖν στρατηγῶν, ὥστε καὶ τοὺς ἀνὰ τόδε τὸ κλίμα ὑπηκόους Ὀνωρίῳ ὑποτάξαι δῆθεν τῷ βασιλεῖ. Ἀλλάριχος δὲ παραλαβὼν τὸν στρατὸν, ἀπό τε Δαλματίας καὶ Παννονίας βαρβάρου γῆς εἰς τὰς ἠπείρους ἐγένετο. Ἑλλάδα δὲ καὶ Ἀθήνας ἑλὼν, καὶ τοὺς προσεχεῖς Δαλμάτας ληΐζεται. Ἐπελθὼν δὲ τὴν Ἰλλυρίδα, καὶ ἱκανὸν χρόνον τοῖς ἐκεῖ διατρίψας, διὰ τῶν Ἄλπεων εἰς τὴν Ἰταλίαν ἐπάνεισιν, Στελίχωνος αὐτῷ τὰς πύλας ἀνέντος τῶν Ἄλπεων, ἅτ' ἐπιβουλὰς παλαμωμένου τῷ βασιλεῖ. Εἶτ' ἐκεῖθεν ἐκδημεῖν μέλλων, γράμμασιν Ὀνωρίου τῆς ἐπὶ τὸ πρόσω πο-

[1] Matth. XIII, 13.

(1) Al. *Huldin* vocant.

(2) Hoc Sozom. non habet lib. IX, cap. 4.

ρείας ἐσχέθη. Ὕστερον δὲ αὐτὸς καὶ Ὀνώριον διεκώλυσεν εἰς τὴν Κωνσταντίνου μέλλοντα ἐκδημεῖν φειδοῖ τοῦ ἀδελφιδοῦ, ὥστε πιστοὺς ἄρχοντας αὐτῷ καταστῆσαι ἄρτι ὀρφανισθέντι. Δεδιὼς καὶ γὰρ ἦν, μή τι διὰ τὸ τῆς ἡλικίας ἀτελὲς πάθοι ὁ παῖς Θεοδόσιος. Ἐκώλυε μὲν οὖν ἐκεῖνον, ἀναγκαῖον λέγων εἶναι μένειν ἐν Ἰταλίᾳ διὰ τὴν ἔναγχος τυραννίδα γεγενημένην ἐν Ἀριηλάτῳ παρὰ τοῦ Κωνσταντίνου· αὐτὸς δὲ πείσας καὶ θάτερον τῶν σκήπτρων λαβὼν, ὃ λάβαρον Ῥωμαῖοι καλοῦσι, τέσσαράς τε στρατιωτῶν ἀριθμοὺς εἰληφὼς, πρὸς δὲ καὶ γράμματα βασιλέως τὴν ἐπ' ἀνατολῆς ἄφιξιν ἐπιτρέποντα, ἤδη πρὸς τῇ ἐξόδῳ ἦν. Φήμης δὲ περιηχηθείσης ὡς τῷ υἱῷ Εὐχερίῳ, συνεργούντων τῶν ἐν δυνάμει, τυραννίδα καθίστησιν, ἐν στάσει τὸ στρατιωτικὸν γενόμενον, πρῶτα μὲν κτείνουσι τὸν τῆς Ἰταλίας καὶ Γαλατῶν ὕπαρχον, καὶ ἄλλους βασιλικὰς ἀρχὰς ἐπιτετραμμένους. Οὐ πολλῷ δ' ὕστερον παρὰ τῶν ἐν Ῥαβέννῃ στρατιωτῶν καὶ αὐτὸς ἀναιρεῖται Στελίχων· ἔπειτα δὲ καὶ ὁ τούτου υἱὸς Εὐχέριος κτίννυται. Οἱ μὲν οὖν οὕτω φωραθέντες κακόνους εἶναι τῷ βασιλεῖ ὧδε ἀπώλοντο· μετὰ δὲ τὴν τούτων ἀναίρεσιν τὸ σὺν ἐκείνοις βάρβαρον, τῷ προειρημένῳ Ἀλλαρίχῳ τῷ Γότθῳ συμμίξαν, τὴν Ῥώμην ἐπειρᾶτο πορθεῖν· ἔπειτα περὶ εἰρήνης Ἀλλαρίχου πρὸς Ὀνώριον πρέσβεις πέμψαντος, ἐπεὶ ἀπετύγχανε, πολλοὺς καὶ ἄλλους βαρβάρους ἐπαγαγὼν, τὴν Ῥώμην αὖθις ἐπολιόρκει παρακαθήμενος· καὶ τὸν ποταμὸν Θύμβριν συσχὼν, ὃς διὰ μέσου ῥέει τῆς πόλεως, διεκώλυε ταύτῃ τῶν ἐπιτηδείων τὴν εἴσοδον ἐκ Πόρτου ἀνάγεσθαι. Μέγιστον δ' ὁ Πόρτος τῆς Ῥώμης νεώριον τρισὶ λιμέσι περιγραφόμενον, καὶ εἰς μικρᾶς πόλεως παρατεινόμενον μέγεθος (οὕτω γὰρ τὸ ἐκεῖσε ἐπίνειον Ῥωμαῖοι καλοῦσι). Λιμοῦ δ' ἐπιγενομένου τῇ σπάνει τῶν ἀναγκαίων, πρὸς δὲ καὶ λοιμοῦ, καὶ τῶν δούλων ἤδη πρὸς Ἀλλάριχον αὐτομολούντων, ἐδόκει θύειν πᾶσι ναοῖς. Θοῦσκοι δέ τινες μετακληθέντες, ὑπισχνοῦντο σκηπτοῖς τισι καὶ βρονταῖς τοὺς βαρβάρους ἐκεῖθεν ἐλαύνειν. Εἴργαστο γὰρ τοῦτο αὐτοῖς καὶ περὶ πόλιν ἄλλην, Λαρνίαν ὄνομα, ἣν οὐχ εἷλεν Ἀλλάριχος παριών. Οὐ μὴν ὤνησεν ἡ τοιαύτη ἐπίνοια. Ὅσοι γὰρ εὖ εἶχον φρονήματος, κατὰ μῆνιν θείαν ταῦτα πεπονθέναι Ῥωμαίους ἐνόμιζον τῇ πολλῇ ῥᾳστώνῃ καὶ ἀκολασίᾳ ἣν ἐπεδείκνυντο, ὡς καὶ αὐτόν ποτ' Ἀλλάριχον τουτὶ παραδεῖξαι. Ἀγαθῷ γάρ τινι ἀνδρὶ παραινοῦντι Ῥώμης φείδεσθαι, καὶ μὴ αἴτιον τοσούτων κακῶν γίνεσθαι, ἐκεῖνον φάναι λέγεται, ὡς « ἄκων ἐπιβάλλει τῷ ἔργῳ· » συνεχῶς γάρ τινα ἐπικείμενον, ἐνοχλεῖν, τὴν Ῥώμην πορθεῖν. Ὃ καὶ ἐποίησε. Τότε μὲν οὖν χρήματα λαβὼν, τὴν πολιορκίαν διέλυσε, συνθεμένων Ῥωμαίων, βασιλέα πείθειν εἰς εἰρήνην αὐτὸν δέχεσθαι. Καὶ πρεσβείας γενομένης, οἱ τἀναντία φρο-

ris (1), ne cœptum iter persequeretur, prohibitus est. Deinde vero et Stilico Honorium impedivit, quominus Constantinopolim propter fratris filii curam concederet, ut fideles præfectos ei constitueret, qui non ita pridem pupillus factus fuerat: veritus scilicet ille, ne propter teneram ætatem Theodosius puer adversi quidquam pateretur. Impediit hunc igitur Stilico, necessario eum in Italia manere debere dicens, propter proximam tyrannidem apud Arelatem a Constantino excitatam. Hoc cum illi persuasisset, alterum ex sceptris, seu vexillis potius, arripuit, quod Romani labarum vocant: simulque quatuor militum ordines, et imperatoris litteras, quibus ei profectio Orientalis permittebatur, accepit, atque in expeditionem se dedit. Ubi vero fama increbuit, tyrannidem illum filio Eucherio, eis adjuvantibus qui cum potestate apud ipsum erant, parare; milites, seditione mota, primum Italiæ et Galliæ præfectum, aliosque quibus imperatorii magistratus commissi fuerant, necarunt: deinde paulo post Ravennæ a militibus et ipse Stilico, mox etiam filius ejus Eucherius jugulatus est. Atque isti quidem, quod adversus imperatorem conspirasse deprehensi essent, ad hunc modum interiere. Post eorum autem interitum, qui cum illis fuerant barbari, ei quem diximus Alaricho Gottho conjuncti, Romam expugnare aggressi sunt. Ibi Alarichus de pace oratores ad Honorium misit: quam ubi non obtinuit, aliis quoque multis barbaris adductis, Romanam ·urbem obsedit: et Tiberim amnem (2) qui per urbem mediam fluit, cohibens (3), ne res necessariæ ex portu in urbem importarentur, effecit. Portus autem maximum navale Romanorum est (sic enim illi navium stationem appellant), tres habens receptus, amplitudine parvam referens urbem. **422** Cum igitur annonæ penuria, fames (4) simul et pestis exorta esset, et jam servi ad Alarichum transfugerent, Romanis senatoribus Græcæ superstitionis, ut in Capitolio et templis omnibus sacrificia fierent, placuit. Acciti autem Thusci quidam, tonitru et fulminibus se barbaros inde propulsuros esse polliciti sunt. Nam id illi ad urbem aliam, cui nomen Larniæ (5), fecerant: quam urbem Alarichus obsessam non cepit: sed consilium cœptumque id frustra fuit. Siquidem qui rectam obtinebant mentem, vindicta divina Romanos hæc pati existimarunt, propter ingentes delicias, et quas exhibebant libidines. Et quod aliquando ipse quoque Alarichus ostendit. Nam bono cuidam viro (6) cum cohortanti ut Romæ parceret, neque tot malorum auctor fieret, dixisse fertur, « invitum se eam rem aggredi. »

(1) Similiter hæc ita dicuntur apud Paul. Diac. de ipso Alaricho: Qui cum discedere voluisset, Honorii litteris retentus est, sicut ipse confessus est.

(2) Sozomenus Alarichum præsidium militum frequens ad amnem Tiberim collocasse dicit.

(3) Συσχὼν, amne occupato. Sozom. ἐπιστήσας τύβριδι.

(4) Adeo fames Romæ invaluit, ut homines pro frumento castaneis uterentur. Creditum quoque est, quosdam humanis carnibus non abstinuisse. *Sozom.*

(5) Videtur legendum, *Narniæ*.

(6) *Monacho*. Sozom.

Continue enim quemdam sibi imminentem, molestum esse, Romamque vastare jubere. Quod etiam tandem fecit. Ac tum quidem pecunia accepta, obsidionem solvit : cum Romani pacti cum eo essent, imperatori se suasuros, ut pacem cum eo iniret. Et legatione missa, qui Alaricho adversabantur, impedimento, ne pax ea constaret, fuere. Atque Innocentio legationem obeunte, imperatoris litteris persuasus Alarichus, ad Ariminum urbem concessit, quæ ducentis et decem stadiis Ravenna distat. Ibique cum eo e muro collocutus Jovius Italiæ præfectus, petitionem ejus imperatori ostendit, debere eum per litteras ducem præfici exercitus utriusque censens. Atque ille alia quidem ei concessit : dignitatem autem eam ut conferret, nondum statuit. Jovius inconsulte imperatoris decretum Alaricho legi jussit. Itaque ille propter dignitatem sibi denegatam, perinde atque injuria affectus esset, indignatus, tuba classico cani jusso, Romam contendit. Jovius autem metu perculsus, ne in suspicionem, perinde atque barbaro faveret, apud imperatorem incideret, imprudentius etiam quam antea jurisjurandi sacramento suos adegit, ne pacem unquam cum barbaro facerent. Porro Alarichus (1), dignitate contempta, nihil amplius quod Romani haberent, petiit. Et ubi bis episcoporum legatione missa, quod postulavit, non impetravit, Romam rursus obsidione cinxit : portuque capto, Romanos vi, ut Attalum, urbis tum præfectum, imperatorem crearent, coegit. Id illi fecere. **423** Attalus autem cum Romanis multis magistratus concessit, tum Alarichum utrarumque copiarum ducem fecit, Adaulphumque conjugis ejus fratrem præfectum (2) equitum constituit. Et multitudine convocata, splendidam ad eam orationem habuit, patria jura inviolata senatui se conservaturum, Orientemque universum et Ægyptum Italis subjecturum pollicitus. Atque ille sic elatus, non integrum imperavit annum, quod Alaricho, ut Honorii militiæ duces exauctoraret, non paruerit. Et Honorius oratores ad Attalum misit, eumque ad imperii societatem, si arma poneret, invitavit. Ille id respuit : et Honorium insulam incolere, privatamque vitam, si vivere vellet, deligere, summorumque corporis membrorum amputatione salutem suam redimere jussit. Alarichus ubi Attalum non facile vel sibi vel necessariis aliis parere animadvertit, ab Honorio sibi metuens, clam cum eo, conditionibus acceptis, de reconciliatione pactus est. Atque omnibus (3) ad urbem Ravennam congregatis, Alarichus Attalo persuasit, ut imperii insignia, ducesque ejus cingulum quisque deponerent (4). Honorius veniam omnibus dedit,

A νοῦντες Ἀλλαρίχῳ ἐμποδὼν τῇ εἰρήνῃ καθίσταντο. Ἰννοκεντίου δὲ πρεσβευσαμένου, πεισθεὶς Ἀλλάριχος βασιλέως γράμμασιν, εἰς Ἀρίμινον ἧκε πόλιν, δέκα καὶ διακοσίοις σταδίοις διέχουσαν τῆς Ῥαβέννης· ἔνθα εἰς λόγους ἐκ τειχῶν Ἰόβιος ὁ τῆς Ἰταλίας ὕπαρχος ὁμιλήσας, τὸ βούλημα ἐδήλου τῷ βασιλεῖ, ὡς δέοι αὐτὸν δέλτοις τιμᾷν στρατηγὸν δυνάμεως ἑκατέρας. Ὁ δὲ τἄλλα μὲν ἐδίδου, ἀξίας δὲ οὔποτε μεταδώσειν κατένευεν. Ἰόβιος δὲ ἀβούλως τὸ δόξαν τῷ βασιλεῖ ἀναγινώσκειν Ἀλλαρίχῳ ἐκέλευεν. Ἐπὶ δὲ τῇ ἀρνήσει τοῦ ἀξιώματος ὀργισθεὶς Ἀλλάριχος, ὡς ὑβρισμένος, ἀθρόον τῇ σάλπιγγι σημήνας τὸ ἐνυάλιον, ἐπὶ Ῥώμην ἤλαυνε. Δείσας δὲ Ἰόβιος, παρασκεύαζεν ὀμνύειν τοὺς περὶ αὐτὸν, μή ποτε εἰρηνικὰ καὶ τῷ βαρβάρῳ φρονῆσαι. Ἀλλάριχος B δὲ τὸ ἀξίωμα παραιτησάμενος, ἕτερον ᾔτει μηδὲν Ῥωμαίοις τυγχάνον. Ὡς δὲ δὶς πρεσβευσάμενος ἀπετύγχανεν, ἐλθὼν ἐπολιόρκει τὴν Ῥώμην. Ἑλὼν δὲ τὸ ἐπίνειον Πόρτον, Ἄτταλόν τινα, ὕπαρχον τηνικαῦτα τῆς πόλεως ὄντα, Ῥωμαίους ἐβίαζε βασιλέα ψηφίζεσθαι· ὃ καὶ ἐποίησαν. Ἐκεῖνος δὲ πολλοὺς Ῥωμαίων ἐπὶ τὰς ἀρχὰς προβαλλόμενος, καὶ Ἀλλάριχον ἐχειροτόνει στρατηγὸν ἑκατέρας δυνάμεως· Ἀδαοῦλφον τὸν τῆς οἰκείας γαμετῆς ἀδελφὸν ἡγεμόνα τῶν ἱππέων καθίστα. Ἄτταλος δὲ συγκαλέσας τὸ πλῆθος, λόγον διεξῆλθε μάλα λαμπρὸν, ὑπισχνούμενος τὰ πάτρια τῇ συγκλήτῳ ἀθιγῆ τηρῆσαι, τήν τε ἕω πᾶσαν καὶ Αἴγυπτον ὑπήκοον Ἰταλοῖς ποιῆσαι. Καὶ ὁ μὲν ὧδ' C ἐπαιρόμενος, οὐδ' εἰς ἐνιαυτὸν ἦρξε, μὴ πεισθεὶς Ἀλλαρίχῳ τοὺς Ὀνωρίου καθελεῖν στρατηγούς. Ὀνώριος μὲν γὰρ πέμψας, Ἄτταλον κοινωνὸν ἐκάλει τοῦ κράτους τὰ ὅπλα ῥίψαντα. Ὁ δ' οὐκ ἠνέσχετο, ἀλλ' ἐκείνῳ νῆσον οἰκεῖν ἐκέλευε, καὶ ἰδιωτεύειν αἱρεῖσθαι, εἴ γε βούλοιτο ζῆν, καὶ τῇ περιτομῇ τῶν ἀκρωτηρίων τοῦ σώματος τὴν τοῦ ὅλου σωτηρίαν ὠνεῖσθαι. Ἀλλάριχος δὲ συνιδὼν Ἄτταλον, οὐ ῥᾳδίως ἐκείνῳ τοῖς γε ἀναγκαίοις πειθόμενον, δείσας Ὀνώριον, λάθρα ἐκείνῳ συντίθεται συνθήκας λαβών. Καὶ δὴ πάντων συνηγμένων πρὸ τῆς Ἀφρων πόλεως, πείθει Ἀλλάριχος τὰ σύμβολα τῆς ἀρχῆς ἀποθέσθαι, καὶ τοὺς ἄρχοντας ἐκείνου τὰς ζώνας. Συγγνώμην δ' ἅπασιν Ὀνώριος ἐδίδου, ὥσθ' ἕκαστον τιμὴν καὶ ἀξίαν ἔχειν ἣν προτοῦ μετεῖλαχεν. D Ἄτταλος δὲ ὑπὸ πόδας βήματος προτεθέντος γεγονὼς Ὀνωρίου, τοὺς δύο τῶν δακτύλων μόνους ἀφαιρεῖται, καὶ εἰς Λίπαρα τὴν νῆσον φυγαδεύεται. Ἀδαοῦλφος δὲ πρός τινος τῶν οἰκείων μαχαίρᾳ σφάττεται. Ἀλλάριχος δὲ οὐ πάνυ πόῤῥω τὰς Ἄλπεις καταλαβὼν (χωρίον δὲ τοῦτο ἀμφὶ ἑξήκοντα στάδια τῆς Ῥαβέννης διέχον), εἰς λόγους εἰρηναίους ἦλθε τῷ βασιλεῖ. Καὶ δή τις Σάρος ὄνομα, ὃς μετὰ Στελίχωνα τὴν στρατηγικὴν ἀρχὴν Ὀνωρίου δεδωκότος εἶχεν, εἰς ἄκρον τὰ πολέμια ἠσκηκὼς, ὕποπτος

(1) In legatione posteriore Alarichus petiit, ut in societatem belli a Romanis susciperetur : et ut sibi cum mediocri frumenti pensione loca aliqua, quæ Romani non magnifacerent, incolenda darentur. (Sozom.)

(2) Quos domesticos vocant. (Sozom.)

(3) Ad reliquas imperii Rom. clades accessit, quod Gildo comes Africæ, Theodosio defuncto, Libyam et bonam Africæ partem per tyrannidem occupavit.

(4) Sozom. lib. IX, cap. 8.

ὢν Ἀλλαρίχῳ διὰ προτέραν ἔχθραν, ἀμφὶ τριακοσίους ἔχων εὔνους αὐτῷ καὶ μάλα ἀρίστους, λογισάμενος μὴ ἑαυτῷ γε συνοίσειν τὰς μεταξὺ Ῥωμαίων καὶ Γότθων σπονδὰς, ἐξαπίνης προσβαλὼν, οὐκ ὀλίγους τῶν Ἀλλαρίχου κτείνει· κρατήσας τε τῇ μάχῃ, τῆς Ῥαβέννης ἀποδιώκει. Περιοργὴς δὲ γενόμενος ὁ Ἀλλάριχος, περικαθεσθεὶς τὴν Ῥώμην ἴσχυσε προδοσίᾳ ἑλεῖν· καὶ τοῖς ὑπ' αὐτὸν ἐκέλευε τὸν Ῥωμαίων πλοῦτον ἁρπάζειν, ὡς δύναμις, καὶ λῃΐζεσθαι τοὺς οἴκους αὐτοῖς, μόνον ἄσυλον εἶναι προστεταχὼς τὸν περὶ τὴν θείαν σορὸν τοῦ ἀποστόλου Πέτρου νεὼν, μέγαν τε ὄντα, καὶ πολὺν χῶρον περιλαμβάνοντα. Ὃ δὴ καὶ αἴτιον κατέστη τοῦ μὴ ἄρδην πᾶσαν ἀπολέσθαι τὴν Ῥώμην. Οἱ γὰρ ἐνθάδε συῤῥυέντες τῷ δέει (πολλοὶ δὲ ἦσαν), αἰδοῖ τοῦ ἀποστόλου περισωθέντες, πάλιν τὴν πόλιν ᾤκισαν. Ἐκεῖνος δὲ, τὰ κατὰ Καμπανίαν ληϊζόμενος, νόσῳ φθείρεται. Τῶν δὲ βαρβάρων σπεισαμένων, Ὀνώριος Ῥώμην συνοικίζει τῶν πολλῶν κακῶν ἀνασχοῦσαν· οὗ δὴ γενόμενος βασιλεὺς, τὸν ταύτης συνοικισμὸν καὶ χειρὶ καὶ γλώττῃ ἱκανῶς συνεκρότει. Ἐν ᾧ δὴ πολέμῳ γυνή τις εὖ μάλα διαγέγονε τεκμήριον μέγιστον σωφροσύνης ἐπιδεδειγμένη. Καλὴν γὰρ οὖσαν αὐτὴν καὶ ὡραίαν σφόδρα τῷ εἴδει, τῶν τις Ἀλλαρίχου στρατιωτῶν νέος ἰδὼν, ἥττων τῆς ὥρας ἐγένετο, καὶ εἰς συνουσίαν ἠρέμα εἷλκεν. Ἐκείνην δὲ τὸ ἄγος ἐκτρεπομένην, τὸ ξίφος γυμνώσας, ἀναιρεῖν ἠπείλει. Οἷα δ' ἔρωτι ἁμιλλώμενος, φειδοῖ τινι ἐξ ἐπιπολῆς τὸν τράχηλον ἔπληττε. Τῷ δὲ λύθρῳ περιῤῥεομένη, τὸν αὐχένα ὑπῆγε τῷ ξίφει, ἄμεινον ἐν σώφρονι θανεῖν οἰομένη δεῖν λογισμῷ, ἢ ἄλλου πειραθῆναι ἀνδρός. Ὡς δὲ φοβερώτερον ὁ βάρβαρος ἐπιὼν οὐδὲν μᾶλλον ἤνυε πλεῖστα διαπαλαίων, τὸ σῶφρον καταπλαγεὶς τῆς ἀνθρώπου, παρὰ τὸ ἀποστολεῖον τοῦ θείου Πέτρου αὐτὴν ἀνάγων, καὶ τοῖς νεωκόροις αὐτὴν παραδοὺς, καὶ ἓξ χρυσίνους αὐτοῖς ἐπιδοὺς, τῷ ἀνδρὶ φυλάττειν τὴν κόρην ἐκέλευεν. Τοιαῦτα δεινὰ ἀνά τε ἕω καὶ ἑσπέραν τηνικαῦτα ἐπισυνέβη, Θεοῦ γε, οἶμαι, μηνίοντος.

ita ut quisque quem antea habuisset honorem obtineret et dignitatem. Attalus (1) ad infima tribunalis subsellia positus, ubi se Honorii potestati permisit, postea duobus tantum digitis ei amputatis, in Liparam insulam deportatus. Adaulphus a familiari quodam suo ense postremo necatus est. Alarichus autem non multo post Alpibus (locus is circiter sexaginta stadia a Ravenna est situs) occupatis, de pace cum imperatore egit. Et Sarus quidam, qui post Stiliconem præfecti militaris dignitatem ab Honorio acceperat, in arte bellica summe exercitatus, et Alaricho ipsi propter priores inimicitias suspectus, quod minime sibi bono futura esse pacta inter Romanos et Gotthos fœdera arbitraretur, circiter trecentos sui studiosos viros fortissimos secum habens, subito Alarichum aggressus, non paucos ex militibus ejus occidit, et victoria in prælio potitus, Ravenna eos ejecit. Eam ob rem Alarichus ira percitus, Roma (2) obsessa, proditione eam cepit, suosque Romanorum opes quantum possent diripere et domos expilare, atque uni solum, in quo apostoli Petri tumulus est, parcere jussit. Quæ res in causa fuit, ne Roma omnis funditus interiret (3). **424** Cum enim eo propter timorem quamplurimi confluxissent, ob apostoli reverentiam servati, urbem denuo ædificiis instaurarunt. Ille porro cum Campaniam vastaret, morbo interiit. Et cum barbaris pace facta Honorius (4), ut Romam multa perpessam mala communiter cum aliis incolerent, eis permisit: eamque rem manu simul et ore magnopere applaudens comprobavit. In eo bello mulier quædam maximum exhibuit pudicitiæ specimen. Quod namque et ætatis flore et formæ venustate præstaret, ex Alarichi militibus juvenis quidam pulchritudine ejus, cum eam vidisset, captus, ad concubitum eam sollicitavit. Cum autem piaculum id aversaretur, miles ense stricto mortem ei minatus, veluti cum amore concertans, per misericordiam summum tantum collum vulneravit. Illa vero, cruore diffluens, jugulum ferro subdidit, melius sibi esse rata, ut cum pudica mente mortem oppeteret, quam cum viro alio concumberet. Et postquam ferocius etiam barbarus illam aggressus est, plurimumque eam oppugnando nihil egit; ad castitatem ejus consternatus, in apostolicum divi Petri templum eam duxit, ecclesiæque custodibus commendavit, sex illis aureis nummis datis, ut puellam viro suo conservarent. Tales calamitates in Oriente atque Occidente, tum, Dei, ut opinor, ira accidere.

(1) Attalus Gotthorum instinctu denuo in Galliis tyrannidem arripuit. Qui deinde a Gotthis ipsis captus, Constantio deditus, et ab Honorio Romæ in triumpho ante currum ductus, in Liparamque deportatus est.

(2) Dum hæc aguntur in Jebus, terribilis de Occidente rumor affertur, obsideri Romam, et auro salutem civium redimi, spoliatosque rursum cruciari, ut post substantiam vitam quoque amitterent. Hæret vox, et singultus intercipiunt verba dictantis. Capitur urbs, quæ totum cepit orbem. Imo fame periit ante quam gladio. Et vix pauci qui caperentur, inventi sunt. Ad nefandos cibos erupit esurientium rabies: et sua invicem membra laniarunt, dum mater non parcit lactenti infantiæ, et recipit utero, quem paulo ante effuderat.

Quis cladem illius noctis, quis funera fando.
Explicet, aut possit lacrymis æquare dolorem?
Urbs antiqua ruit, multos dominata per annos.

(Hieron. *Ad Principiam*.)

(3) Prima direptio urbis Romæ a Gotthis facta an. Christi 412.

(4) Honorius barbaris Romam incolere permisit. Alarichus Gallam Placidiam, Honorii sororem Romæ captam, Athaulpho uxorem dedit: quæ blanditiis suis apud maritum effecit, ut ultro ipse a Romanis pacem peteret. (Diac.)

425 CAPUT XXXVI.

De multis, quæ urbi acciderunt, malis: et admirandis prodigiis in cœlo, terra et mari editis: et ut omnes qui Chrysostomo adversati fuerant, male perierint.

Tanta enim eo tempore hominum cædes facta est, quantam ætas nulla a sæculo condito novit: Eam porro cladem stella illa, gladii formam referens, obscure portendit. Non etenim milites tantum interiere, neque in aliqua orbis parte mala hæc constitere, sed omne genus hominum concisum est, et tota prope periit Europa. Asiæ quoque pars non exigua attrita est, plurima item Libyæ, potissimum vero quæ Romanis tributaria et subjecta fuit. Interitus namque multitudinem hostilis barbarorum demessuit ensis; reliquam autem fames et pestilentiæ, necnon agrestium ferarum greges absumpsere. Præterea motus terræ ingentes, funditus urbes et domos evertentes, permultos in inevitabile exitium conjecere. Multis etiam in locis terra hiatibus rupta, sepulcrum incolis extemporaneum spontaneumque facta. Insuper aquarum pluvialium illuviones, et apud alios flammeæ siccitates, apud quosdam fulmina conjecta, variam et intolerandam edidere calamitatem. Quin etiam pluribus in locis grando saxis manuariis major, et circiter octonarum librarum pondus trahens, deferri visa est. Denique nivium vis et frigoris immanitas, quos plagæ aliæ non præripuerant, occupatos exstinxere. Quæ omnia evidenter satis divinam deprædicarunt indignationem. De quibus sigillatim commemorare, supra vires hominis fuerit. Tum vero tantum etiam solis deliquium fuit, ut stellæ etiam medio die refulserint: quod deinde tanta siccitas est subsecuta, ut more insolito multi mortales, et alia etiam animalia interierint. Cum autem sol defecit, fulgor quidam simul in cœlo apparuit, coni sive metæ speciem gerens: quem ineruditi quidam cometam crinitamque stellam esse duxerunt. Nihil enim, quæ in eo visa sunt, cometæ simile fuit. Nec fulgor is in comam abiit, neque stellæ prorsus speciem retulit: sed veluti lucernæ cujusdam magnæ flamma per seipsam subsistere visa est, nec radii ejus aliqui stellæ cujusquam formam subiere. Ipso quoque motu variavit. **426** Nam ea parte qua sol circa æquinoctium oritur, fulgor is moveri cœpit: et inde juxta eam quæ in Ursæ cauda sita est, stellam ultimam sensim evadens, ad Occidentem cursum tenuit. Postquam autem cœlum est dimensus, motu suo quatuor mensibus longius perfecto, disparuit. Vertex ejus aliquando quidem in magnam et acutam longitudinem abiit, ut coni rationem excederet: nonnunquam autem ad mensuram illius contractus est. Alia quoque monstrosa præbuit spectacula, quibus a natura solitarum apparitionum discessit. Videri autem cœpit ab æstate media fere usque ad autumni finem. Id ipsum quoque miraculum, ingentium bellorum et incredibilis

A

ΚΕΦΑΛ. ΛϚ'.

Περὶ τῶν συμβάντων κοσμικῶν κακῶν· καὶ τῶν παραδόξων τεράτων, ἐν οὐρανῷ καὶ γῇ καὶ θαλάσσῃ γεγενημένων· καὶ ὡς οἱ κατὰ τοῦ Ἰωάννου πάντες κακῶς διεφθάρησαν.

Τοσαύτη γὰρ φθορὰ κατ' ἐκεῖνο καιροῦ ἀνθρώπων ἐγένετο, ὅσην οὐδεὶς χρόνος ἐξ αἰῶνος ἔγνω· ὃ δὴ καὶ τὸν ξιφίαν ἐκεῖνον ἀστέρα αἰνίττεσθαι. Οὐ γὰρ τὸ μάχιμον μόνον ἀνάλωται, οὐδ' ἔν τινι μέρει γῆς τὰ πάθη συνέστη· ἀλλὰ πάντα μὲν διεφθείρετο γένη, πᾶσα δ' ὤλετο ἡ Εὐρώπη. Καὶ τῆς Ἀσίας οὐκ ὀλίγη διέφθορεν· ἀλλὰ καὶ τῆς Λιβύης ἡ πλείστη, καὶ μάλιστα ὅση Ῥωμαίοις ὑποτελὴς οὖσα ἐτύγχανε. Τὸ μὲν γὰρ τῆς φθορᾶς πλῆθος βαρβαρικὴ ἐξεθέριζε μάχαιρα· ἄλλο δ' ἐπὶ τούτοις, λιμοὶ καὶ λοιμοί. B Καί τινες δ' ἀγρίων θηρίων ἀγέλαι συνεπετίθεντο. Σεισμοί τε ἐξαίσιοι πόλεις καὶ οἰκίας ἀνασπῶντες ἐκ βάθρων, εἰς τὸ ἀφυκτότατον τὸν ὄλεθρον ἐνηφίεσαν. Καὶ χάσματα δὲ γῆς πολλαχόθι τοῖς οἰκήτορσιν ἀποῤῥηγνυμένης τάφος ἦν αὐτοσχέδιος· ἐπικλυσμοί τε τῶν ἐξ ἀέρος ὑδάτων, καὶ κατ' ἄλλους αὐχμοὶ φλογώδεις· πρηστῆρές τε ἔστιν οἷς ἐμβαλλόμενοι ποικίλον τὸ δεινὸν ἔπραττον καὶ ἀφόρητον. Ναὶ δὴ καὶ χάλαζα μείζων ἢ κατὰ χερμάδα πολλαχοῦ γῆς κατεφέρετο, ἄχρι καὶ ὀκτὼ τῶν λεγομένων λιτρῶν ἕλκουσα βάρος, ὤφθη κατασκήψασα. Χιόνος δὲ πλῆθος καὶ κρυμῶν ὑπερβολαί, οὓς ἄλλη πληγὴ οὐ προανήρπασε, τούτους καταλαμβάνουσα, τοῦ βίου ἐξήλαυνε· καὶ σαφῶς τὴν θείαν ἀνεκήρυττον ἀγανάκτησιν· C περὶ ὧν καθ' ἕκαστον ἐπεξελθεῖν ὑπὲρ πᾶσαν ἀνθρωπίνην ἂν εἴη δύναμιν. Τηνικαῦτα δὲ καὶ ἥλιος οὕτω βαθέως ἐκλείπει, ὡς καὶ ἀστέρας μεσούσης ἀναλάμψαι ἡμέρας. Τούτῳ δὲ καὶ τοσοῦτος αὐχμὸς εἵπετο, ὡς πολλῶν ἀνθρώπων καὶ τῶν ἄλλων ζώων ἀσυνήθη γενέσθαι φθοράν. Ὁπηνίκα δ' ὁ ἥλιος ἐξέλιπεν, φέγγος τι κατ' οὐρανὸν συνανεφάνη κώνου σχῆμα παραδυόμενον· ὅ τινες ἀμαθῶς ἔχοντες, κομήτην εἶναι ἀστέρα ᾤοντο. Καὶ γὰρ ὧν ἐκεῖνος παρεδείκνυ, οὐδὲν ἦν κομήτης παράσημον. Οὔτε γὰρ τὸ φέγγος εἰς κόμην ἀπέβαινεν, οὔτ' ἀστέρι ὅλως ἐῴκει· ἀλλ' οἷον λύχνου τινὸς μεγάλου φλὸξ ὑπῆρχε καθ' ἑαυτὴν ὁρωμένη, μηδενὸς ἀστέρος θρυαλλίδος αὐτῷ τινος μορφὴν ὑποτρέχοντος. Ἀλλὰ γὰρ καὶ τῇ κινήσει παρήλλαττεν· καὶ γὰρ κινηθεὶς D ὅθεν ὁ ἥλιος κατὰ ἰσημερίαν ἀνίσχει, ἐκεῖθεν τὸν κατὰ τῆς οὐρᾶς ἄρκτου τεταγμένον ἔσχατον ἀστέρα, ὑπερενεγκὼν ἠρέμα προὔβαινε πορευόμενος ἐπὶ δυσμάς. Ἐπεὶ δὲ διεμέτρει τὸν οὐρανόν, ἀφανὴς ἦν, πλείους τεσσάρων μηνῶν ἐξανυσθείσης αὐτῷ τῆς πορείας. Ἡ δὲ κορυφὴ τοῦ φέγγους νῦν μὲν εἰς μῆκος μέγα ὠξύνετο, ὡς ἐκβαίνειν τοὺς τοῦ κώνου λόγους, νῦν δὲ πρὸς τὸ ἐκείνου συνεστέλλετο μέτρον. Ἄλλα δὲ παρεῖχε τερατώδη θεάματα, δι' ὧν τῆς τῶν συνήθων φασμάτων ἐξηλλάττετο φύσεως. Ἤρξατο δὲ ἀπὸ μέσου θέρους σχεδόν τι μέχρι τῆς τοῦ μετοπώρου τελευτῆς. Καὶ τοῦτο δὲ ἄρα τὸ σημεῖον μεγάλων πολέμων καὶ φθορᾶς ἀνθρώπων οὐ ῥητῆς σύμβολον. Ἐφεξῆς δὲ σεισμοὶ ἤρξαντο, οὐ ῥᾴους ὄντες τοῖς προλαβοῦσι παραβαλεῖν. Τοῖς δὲ σεισμοῖς

καὶ πῦρ οὐρανόθεν συγκαταῤῥηγνύμενον πᾶσαν ἐλπίδα περιέκοπτε σωτηρίας. Πλήν γε φθορὰν ἀνθρώπων οὐκ ἐνειργάσατο· ἀλλ' ἡ θεία εὐμένεια πνεῦμα σφοδρὸν καθιεῖσα καὶ τὸ πῦρ πανταχόθεν περιελάσασα, κατὰ τῆς θαλάσσης ἀπέῤῥιψε. Καὶ ἦν ἰδεῖν ξένον θέαμα, τῶν κυμάτων ἐπὶ πλεῖστον ὥσπερ τινῶν θαλασσίων χωρίων τῷ πυρὶ καταφλεγομένων, ἄχρι τελείως τὸ φλέγον τῷ πελάγει ἐναπεσβέσθη. Τῶν δὲ δὴ τοιούτων σεισμῶν κατὰ πολλὰ τῆς γῆς γενομένων, ὤφθησαν ὀροφαὶ οἰκιῶν ἀπ' ἀλλήλων μετὰ μεγάλων πατάγων καὶ ἀῤῥαγμῶν διαστᾶσαι, ὡς καὶ τοὺς ἔνδον παρατυχόντας τῇ ὄψει καθαρῶς τὸν οὐρανὸν ὑποβάλλειν· καὶ μετὰ τὴν τοσαύτην διάστασιν, οὕτω πάλιν ἁρμοσθεῖσαι καὶ συναφθεῖσαι, ὡς μηδεμίαν αἴσθησιν τοῦ νεωτερισθέντος μηδενὶ παρασχεῖν. Τὸ αὐτὸ δὲ τοῦτο πάθος καὶ περὶ πλοῖα καὶ περὶ τὰ τῶν οἰκιῶν ἐδάφη πολλαχοῦ συνηνέχθη· καὶ γάρ τινες τῶν σιτοβόλων τοὺς κάτωθεν οἰκοῦντας ἀπέπνιξαν, τὸν σῖτον αὐτοῖς ἀθρόον διὰ τῶν πάτων ἐπιχεάμενοι· καὶ πάλιν οὕτως παρέσχον τὸ ἔδαφος ἡρμοσμένον, ὡς ἐξαπορεῖν ἅπαντας πόθεν ὁ φονεὺς ἀπεῤῥύη σῖτος ἐκεῖνος. Καὶ ἄλλα δὲ τοιουτότροπα πάθη τηνικαῦτα ἐνεοχμώθη, δεικνύντα, μὴ φυσικῇ τινι ταῦτα προελθεῖν ἀκολουθίᾳ, ὡς Ἑλλήνων παῖδες ληροῦσιν, ἀλλὰ θείας ἀγανακτήσεως μάστιγας ἐπαφεθῆναι. Καὶ ταῦτα δὲ τῷ τότε συμβῆναι τοῖς πολλοῖς ἐδόκει χαλεπαίνοντος τοῦ Θεοῦ διὰ τὴν εἰς τὸν μέγιστον φωστῆρα Ἰωάννην προφανῆ ἀδικίαν. Καὶ γὰρ δὴ καὶ τὴν τοῦ βασιλέως γαμετὴν Εὐδοξίαν τηνικαῦτα συνέβη ἀποβιῶναι, σκωλήκων γενομένην ἀνάλωμα. Καὶ τὴν λάρνακα κλονεῖσθαι ὁρᾷν ἦν ᾗ ὑπετίθετο, τὸν δι' αὐτῆς γενόμενον τῇ Ἐκκλησίᾳ κλόνον αἰνιττομένου Θεοῦ. Μετὰ μικρὸν δὲ καὶ Θεόφιλος νόσῳ περιπεσὼν πλευρίτιδι διεφθάρη. Καὶ Ἀρσάκιος, ὥς μοι προείρηται, οὐ πάνυ πόῤῥω ἀπηλλάγη τοῦ ζῇν. Καὶ Κυρῖνος ὁ Χαλκηδόνος ἐξ ἧς περὶ τὸν πόδα συμφορᾶς περιέπεσεν, ἑκάτερον σκέλος πρισθεὶς, ἐλεεινῶς ἀπεβίω· καὶ ἄλλοι ἄλλως· Ἀντίοχος καὶ Σευηριανὸς, καὶ οἱ περὶ αὐτοὺς κακῶς τὸ ζῇν ἐξεμέτρησαν, ποινὴν εἰσπραττομένου Θεοῦ τῆς ἀδίκου, φεῦ! τῶν ἱερῶν ἐξορχήσεως. Ἐξ ἀνθρώπων δὲ καὶ ὁ βασιλεὺς Ἀρκάδιος ἐγεγόνει μετὰ βραχύ. Ἀλλ' ἐπὶ τὴν τελευτὴν Ἰωάννου πρότερον, ἔπειτα καὶ ὡς ἐτελεύτα Ἀρκάδιος, διιὼν, σὺν τῇ τελευτῇ ἑκατέρου καὶ τῇ τρισκαιδεκάτῃ μοι τῶν ἱστοριῶν, ἡγουμένου Θεοῦ, ἐπιθήσω τέλος.

A hominum interitus indicium fuit. Deinceps vero terræmotus esse cœperunt, qui non facile cum eis qui antea exstiterant, conferri possent. Cum terræmotibus ignis quoque, cœlo quasi rupto delapsus, salutis spem omnem præcidit, cladem tamen hominibus non intulit. Divina namque benignitas vento vehementi demisso, et igne undequaque provoluto, in mare eum abjecit. Videre tum erat spectaculum novum, fluctus ipsos perinde atque regiones quasdam marinas plurimum igni ardere, quoadusque flamma prorsus in undis exstincta est. Cum in multis terræ locis tanti essent terræmotus, laquearia et tecta ædium a se ipsis ita magno cum sonitu et fragore dirimi visa sunt, ut B qui intus in domibus erant, clare oculis cœlum conspicerent. Et post ejusmodi rupturam ita rursum sunt inter se apte conjuncta, ut nemini tam novæ rei significationem aliquam præberent. Idem etiam in navibus et domorum pavimentis, multis in locis accidit. Quædam namque granaria in partibus inferioribus habitantes, frumento confertim et subito in eos per rimas patentes effuso, suffocarunt, solumque ipsum tam commode compactum reddiderunt, ut homines addubitarent, unde frumentum illud quod cædem talem patrarit, profluxerit. Ad hæc, alia quoque generis mala tum novo prorsus modo exstitere; quæ satis ostenderunt, non naturali aliqua ratione hæc, sicuti Græcæ superstitionis sectatores delirantes dicunt, proveC nire, sed divinæ indignationis flagella ea hominibus immitti. **427** Multis certe quidem eo tempore visum est, irato ea Deo accidisse, propter tam apertam, quæ maximo illi Ecclesiæ luminari Joanni illata est, injuriam (1). Siquidem et imperatoris conjugem Eudoxiam tum vita excedere contigit, vermibus escam factam: et urnam, cui imposita est, moveri cernere erat, Deo videlicet eum qui per illam in Ecclesia concitatus fuerat, motum ostendente. Et Theophilus paulo post laterum morbo correptus interiit. Arsacius etiam, quemadmodum a me dictum est, parvo intercedente tempore fatis concessit. Et Cyrinus Chalcedonis episcopus, ex eo casu quo in pede circumD ventus est (2), utroque crure dissecto, miserabiliter vita est defunctus. Et alii aliter vitam finiere. Antiochus et Severianus, sectatoresque eorum male quoque diem suum obiere, Deo ab ipsis pœnam sumente, propter sacra (proh dolor!) inique prodita. Inter homines quoque esse imperator Arcadius brevi desiit. Verum Joannis primum, deinde etiam Arcadii obitu exposito, una cum utriusque fine, decimo tertio quoque historiæ hujus libro, Deo adjuvante, imponam finem.

ΚΕΦΑΛ. ΛΖ'.

Περὶ τῆς πορῥωτέρω ἐξορίας τοῦ Χρυσοστόμου, καὶ τῶν συγγραμμάτων αὐτοῦ· καὶ ὡς πρὸς Θεὸν μετεχώρησε, τὸν βίον λιπών.

Ἐν τοίνυν τῇ Κουκουσῷ γενόμενος Ἰωάννης πρὸς τοῦ ἐπισκόπου Ἀδελφίου καλῶς ὑποδέχεται· ἔνθα

CAPUT XXXVII.

De ulteriore exsilio Chrysostomi, librisque ejus: et ut vita hac relicta, ad Deum migraverit.

Cucusi Joannes cum esset, ab Adelphio episcopo benigne exceptus atque tractatus est. Atque ibi

(1) Socr. lib. VI, cap. 19, hæc exempla occulto Dei judicio judicanda permittit.

(2) Sozom. lib. VIII, cap. 27.

multos quidem pane, plurimos vero divino verbo, quod vere corda confirmat, et mentes illustrat, pavit. Permultos vero etiam utiles atque necessarios libros composuit. Nullæ enim quæ ei accidere ærumnæ linguam ejus, fluminis instar fluentem, cohibere potuerunt. De patientia quoque et de eo quod non solum nos ad socordiam non dare, verum etiam ob res adversas, quæ accidunt, non offendi debeamus, non pauca conscripsit. Plurimas etiam tum ad sanctam Olympiadem epistolas dedit. Universæ hæ quindecim sunt, mirificam patientiæ gratiam complectentes. In quibus solum peccatum esse (1), ad quod exhorrescere nos conveniat, dicit. Ærumnas etiam quas in itinere pertulit, in eis commemorat : **428** et ut eam a desperatione revocatam, ad spem bonam futuri congressus erexerit : atque ut fervente maxime æstate iter faciens, cum vehementissima febri sit colluctatus, scribit. Refert insuper stomachi ipsius vitia : et improbum, qui virum justum in exsilium abduxit, Galatam : necnon diversoriorum mansionumque incommoditatem, ministrorum inopiam, rerum necessariarum penuriam, item quod medicum non habuerit, et de Isaurorum terrore. Quemadmodum etiam monachi (2), adversus eum furentes, domicilium ejus incendere voluerint : et quomodo rebus ejus in itinere comploratis, non solum ipsi ejus miserti non sint, sed etiam misericordiam aliorum, extrema omnia comminati, impedierint. De via denique queritur, utpote ardua, lapidosa, difficili et molesta : quam ob causam beatam illam feminam rogat, ut illa curet ne longior ejus fiat profectio, sexcentis exsiliis laborem itineris faciendi graviorem sibi esse dicens. Hæc omnia atque alia hisce similia epistolæ istæ et aliæ præterea ad episcopum Cyriacum datæ complectuntur. Porro cum ei adversarii, quod Cucusi maneret, inviderent, Arabissum abductus est. Ductoribus enim ejus hoc studio fuit, ut transitione frequenti labefactatus ille vitam misere finiret. Sed enim quo pluribus objectus est ærumnis, eo casibus omnibus propter sanctiorem philosophiam superior fuit, splendidiusque refulsit : quemadmodum in igne flamma, si materiam copiosiorem sibi injectam habeat. Inde vero Pityuntem (3) (ita enim mandatum fuerat) ductus est. Oppidum id est gravis solitudinis, ad finem Pontici maris situm, sævissimis barbaris conterminum. Eo cum duceretur, et jam ad Deum migraturus esset, noctu ei oranti, qui vitæ ejus duces fuerant, et Petrus et Joannes, assistentes, perquam amice cum eo sunt collocuti : eique cum adversus dæmones victoriam, tum postremo migrationem

A πολλοὺς μὲν ἄρτῳ, πλείστους δὲ καὶ τῷ θείῳ λόγῳ διέτρεφε, τῷ ὡς ἀληθῶς καρδίαν στηρίζειν καὶ φωτίζειν εἰδότι διάνοιαν· πολλοὺς δὲ καὶ τῶν ἀναγκαίων λόγους συνέταξεν. Οὐδὲ γάρ τι τῶν ἐπισυμβαινόντων δεινῶν ἐπισχεῖν τὴν γλῶτταν ἐκείνου ἠδύνατο ἴσα καὶ ποταμοῖς ῥέουσαν. Καὶ περὶ ὑπομονῆς οὐκ ὀλίγους συνέθετο· καὶ τοῦ μὴ μόνον χρῆναι ῥᾳθυμεῖν, ἀλλὰ μηδὲ σκανδαλίζεσθαι ἐπὶ τοῖς προσπίπτουσι τῶν ἀνιαρῶν. Αἱ πλεῖσται δὲ αὐτῷ καὶ τῶν πρὸς τὴν Ὀλυμπιάδα ἐπιστολῶν τηνικαῦτα συντάττονται τὴν ὁσίαν. Πεντεκαίδεκα δέ εἰσιν αἱ πᾶσαι, ὑπερφυῆ χάριν ἐπιμονῆς ἔχουσαι· ὅπου δὴ φοβερὰν μόνον εἶναι τὴν ἁμαρτίαν φησίν. Ἐν αἷς διέξεισι καὶ περὶ τῶν συμπεσόντων αὐτῷ ἐνοδίων ἀνιαρῶν· καὶ ὡς ἀθυμοῦσαν ἀνακτώμενος, B οὐκ ἀνέλπιστον τὴν εἰσέπειτα ἐντυχίαν ποιεῖται· καὶ ὡς ἀκμῇ θέρους τὴν ὁδὸν ἀνύων, πυρετῷ προσεπάλαισε λάβρῳ. Ἀλλὰ δὴ καὶ ἐκ τοῦ στομάχου κακὰ, καὶ ὁ πονηρὸς Γαλάτης ἄγων τὸν δίκαιον, καὶ τὰ ἐν ταῖς καταγωγαῖς λυπηρὰ, τῶν θεραπόντων ἡ ἐρημία, τῶν ἐπιτηδείων ἡ ἀπορία, τὸ μὴ εὐπορεῖν ἰατροῦ, ὁ Ἰσαυρικὸς φόβος· ἔτι δὲ οἱ ἐπιμανέντες αὐτῷ μοναχοὶ ἐμπρήσειν αὐτῷ τὴν οἰκίαν βουλόμενοι· ὅπως τε ἀπαγορεύσαντα ἐν ὁδῷ, οὐ μόνον αὐτὸν ἐλέους ἠξίουν, ἀλλὰ καὶ ἄλλους βουλομένους εἶργον, τὰ ἔσχατα πάντων διαπειλούμενοι. Τὰ δὲ τῆς ὁδοῦ, ὡς ἀνάντης, ὡς λιθώδης, ὡς δυσχερής τε καὶ χαλεπή· περὶ ἧς ἀξιοῖ μελετῆσαι τὴν μακαρίαν, μὴ μακροτέραν ἑαυτῷ τὴν ὁδοιπορίαν γενέσθαι· Ἐμοὶ, λέγων, μυρίων ἐξοριῶν τὸ ὁδεύειν C ἐστὶ χαλεπώτερον. Ταῦτα δὴ πάντα καὶ ἄλλα παραπλήσια αἱ ἐπιστολαὶ αὗται διαλαμβάνουσιν· ἔτι δὲ καὶ αἱ πρὸς τὸν ἐπίσκοπον Κυριακόν. Ἐν τοίνυν τῇ Κουκουσῷ φθονηθεὶς, εἰς Ἀραβισσὸν ἤγετο· σπουδὴ γὰρ ἦν τοῖς ἀπάγουσι ταῖς πυκναῖς μεταβάσεσι ταλαιπωρούμενον κακῶς ἀποθέσθαι τὸ ζῆν. Ὅσῳ δὲ πολλαῖς ταλαιπωρίαις ἐδίδοτο, τοσοῦτον κρείττων ὑπὸ φιλοσοφίας ἦν παντὸς τοῦ προσπίπτοντος, καὶ φαιδρότερον ἀποστίλβων, ὥσπερ τὸ ἐν πυρὶ φῶς ὕλης αὐτῷ πλείονος ὑποβαλλομένης. Ἐκεῖθεν δὲ πάλιν εἰς Πιτυοῦντα οὕτω κελευσθὲν ἄγεται· πολίχνιον δὲ τουτὶ δεινῶς ἔρημον, ἐν τέρματι τῆς Ποντικῆς θαλάσσης διακείμενον, βαρβάροις ὅμορον ὠμοτάτοις· ὅπου δὴ ἀπαγόμενος, καὶ πρὸς Θεὸν ἤδη ἐκδημεῖν D μέλλων, νυκτὸς εὐχομένῳ, ἐφίστανται οἱ τοῦ βίου αὐτῷ ὁδηγοὶ Πέτρος καὶ Ἰωάννης· προσειπόντες τε ὅσα φίλα καὶ τὴν κατὰ δαιμόνων νίκην, τέλος καὶ τὴν πρὸς Θεὸν ἐκδημίαν εὐαγγελίζονται, καὶ τὴν τῶν ἐκδεξομένων ἀπόλαυσιν ἀγαθῶν. Εἶτα τροφῇ οὐρανίᾳ καὶ ἀποῤῥήτῳ τοῦτον σιτίζουσι καὶ ἐξ ἐκείνου διέμεινε μηδέν τι προσενεγκάμενος. Εἴρηται ταῦτα, οἷς ἐκεῖνος συνὼν κατεπίστευσεν. Ἐκεῖνος δ' ἐντεῦθεν πρὸς μείζονα σκάμματα μάλ-

(1) Tu tibi persuade, præter culpam ac peccatum, homini accidere nihil posse, quod sit horribile aut pertimescendum. (Cicero.) — Scimus ea mente, quam ratio et veritas præscribit, ut nihil in vita nobis præstandum, præter culpam, putemus : eaque cum careamus, omnia humana placate et moderate feramus. (Idem.)

(2) Fortasse pro *monachis* legendum *monomachi*, hoc est gladiatores : ut milites intelligantur, qui eum in exsilium abduxerunt.

(3) Plin. lib. vi, cap. 5. de regione Colchica : *In intimo eo tractu, Pityus oppidum opulentissimum ab Heniochis direptum est.*

λον ἐχώρει. Οἱ δὲ πιστευθέντες ἄγειν τὸν μέγαν μακραῖς ταῖς ὁδοιπορίαις κατέτεινον, ὑετῶν ἔστιν ὅτε ἐπικλυζόντων, καὶ ἡλίου τὸ ἀκμαιότατον φλέγοντος· μισθὸς γὰρ τῆς ἐπ' ἐκείνῳ ὠμότητος ἐπηγγέλλετο μειζόνων τιμῶν εὐμοιρία. Ἀλλὰ Πιτυοῦντα μὲν οὐκ ἔσχεν ἰδεῖν, ὡς ἡ Ἐπιφανίου εἴρηκε πρόῤῥησις. Ἐν Κομάνοις δὲ γενόμενος, πρὸς τῷ εὐκτηρίῳ Βασιλίσκου τοῦ μάρτυρος ἄγεται· ὃν ἐπίσκοπον μὲν λόγος γενέσθαι, ὑπὸ δὲ Μαξιμίνου κατὰ τὴν Νικομήδους τὸ μαρτυρικὸν στάδιον ὑπελθεῖν. Ἐκεῖσε τοίνυν ὄναρ ἐπιστὰς ὁ μάρτυς, « Θάρσει, ἔφη, ἀδελφὲ Ἰωάννη, ἀμφοτέρους ἡμᾶς ἡ ἐπιοῦσα συνάψει· » ἐπισκῆψαι δὲ καὶ τῷ νεωκόρῳ, τόπον ἑτοιμάσαι τῷ Ἰωάννῃ. Ἐκεῖθεν δὲ σταδίους τριάκοντα διανύσαντες, πλάνην παρὰ δόξαν ὑποστάντες, ἐπανέρχεσθαι πάλιν κατὰ τὸν τοῦ μάρτυρος σηκὸν ἐγένετο. Καλῶς οὖν τὰ κατ' αὐτὸν διαθέμενος, καὶ τὴν γλῶσσαν πρὸς διδασκαλίαν κινήσας, καὶ πρὸς τὸ φαιδρότερον ἄχρι καὶ ὑποδημάτων μετακοσμήσας ἑαυτὸν, τῶν θείων κοινωνήσας ἁγισμάτων, καὶ, « Δόξα σοι, Κύριε, πάντων ἕνεκεν, » ἐπειπὼν, καὶ τῷ τοῦ σταυροῦ τύπῳ ᾧ συνέζη ἐπισφραγισάμενος ἑαυτὸν, τὴν μακαρίαν ἐπορεύθη πορείαν, Χριστῷ συνὼν καὶ συμβασιλεύων, ὑπὲρ οὗ τοὺς μακροὺς πόνους ὑπήνεγκεν· ἑαυτῷ μὲν τῆς ἐκδημίας μακάριος, σφόδρα δὲ τοῖς ἐγνωκόσιν ὀδυνηρὸς, οὓς καὶ μετρίως τοῦ οἰκείου μέλιτος ἔγευσεν. Ἡμέρα μέντοι τῆς τελευτῆς, καθ' ἣν δὴ καὶ τὴν τοῦ ζωηφόρου σταυροῦ ὕψωσιν ἑορτάζομεν, τεσσαρεσκαιδεκάτη Σεπτεβρίου μηνός. Ἐχρῆν καὶ γὰρ τὸν ὅλον ἐσταυρωμένων ζήσαντα βίον, καὶ τὸ καύχημα μὴ ἐν ἄλλῳ ἢ ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ θέμενον, κατ' αὐτήν γε τὴν ἡμέραν τῆς αὐτοῦ ἑορτῆς, ὃν ἐκ τῆσδε τῆς ὕλης ἐπεφέρετο χοῦν, ἀποθέσθαι, καὶ πρὸς Θεὸν ὑψωθῆναι. Τότε δὴ πλῆθος ἄπειρον συῤῥεῦσαν ἀνδρῶν τε ἅμα καὶ γυναικῶν εὐσεβῶς ζώντων ἔκ τε Συρίας καὶ Κιλικίας, Πόντου τε καὶ Ἀρμενίας, καὶ ὁσίαις καταθέμενοι τοῦτον χερσὶν ἔγγιστά που Βασιλίσκου τοῦ μάρτυρος, ἀπηλλάττοντο.

ad Deum, et quæ eum exceptura essent bonorum perceptionem cum lætitia annuntiarunt. Dein cœlesti et ineffabili eum esca paverunt : ex quo tempore nihil postea cibi sumpsit. Dicta hæc ab eis sunt, quibus ille ea secum versantibus concredidit. Hinc etiam ille ad majora progressus est certamina. Illi porro quibus magnus vir ducendus commissus fuerat, magnis itineribus proficiscebantur, aliquando immensis pluviis exundantibus, aliquando solis radiis maxime urentibus : 429 merces enim eorum crudelitati in illo exercendæ majorum dignitatum honores proposita fuerat. Cæterum Pityuntem videre non potuit, sicuti Epiphanii vaticinium prædixerat. Ad Comanenos (1) autem Armeniæ cum venisset, ad templum Basilisci martyris ductus est, qui episcopus fuisse, et sub Maximino Nicomediæ martyrii certamen obiisse dicitur. Ibi in somnis ei apparens martyr, « Bono, inquit, animo esto, Joannes frater, nos ambos crastina dies conjunget. » Ille etiam custodi templi ut locum Joanni pararet, præcepit. Ex eo loco cum triginta stadiorum iter confecissent, præter opinionem recta via excidentes, errabundi ad martyris ædem reversi sunt. Itaque cum res suas disposuisset, linguam ad docendum movisset, lætius se, ita ut calceos quoque indueret, vestibus suis ornasset, et per communionem divinam sanctificationem percepisset : « Gloria tibi, inquit, Domine, de rebus omnibus. » Et seipso signo crucis, sub qua vixerat, obsignato, beatam illam ingressus est profectionem, cum Christo vivens et regnans, pro quo labores longos pertulit, suo quidem nomine per migrationem talem felix et beatus, eis autem qui eum cognoverunt, et vel mediocriter mellitam ejus doctrinam degustarunt, deplorandus. Obitus ejus in eam diem incidit, qua vivificæ crucis exaltationem celebramus, Septembris mensis decimam quartam. Sic enim conveniebat, eum qui vitam omnem sub cruce transegerat, et gloriam non in alia re quam in cruce Christi collocaverat, festo ipsius die, quem ex materia ista acceptum circumferebat cinerem deponere, atque ad Deum in sublime ferri et exaltari. Eo vero tum innumerabilis pie viventium virorum et feminarum multitudo ex Syria, Cilicia, Ponto et Armenia confluxit : qui postquam eum piis manibus prope Basiliscum martyrem sepelierunt, rursum inde abierunt.

ΚΕΦΑΛ. ΛΗ'.

Περὶ τῆς τελευτῆς τοῦ βασιλέως Ἀρκαδίου.

Τρίτῳ δ' ἔτει μετὰ τὴν τελευτὴν Ἰωάννου καὶ Ἀρκάδιος ἐτελεύτα, διάδοχον τῆς ἡγεμονίας καταλιπὼν Θεοδόσιον τὸν υἱέα, ὥσπερ δὴ καὶ ἡ μήτηρ πρότερον, ἄρτι γάλακτι πεπαυμένον τρέφεσθαι· θυγατέρας δὲ Πουλχερίαν καὶ Ἀρκαδίαν καὶ Μαρίναν ἔτι κομιδῇ νέας, αἳ καὶ ἐν παρθενίᾳ διέμειναν. Οὐ πολλῷ δὲ ὕστερον καὶ Ὁνώριος ὑδέρῳ θνήσκει ἐν Ῥώμῃ, τὸν τῆς ἀδελφῆς Γάλλας Πλακιδίας καὶ Κωνσταντίνου υἱὸν, τὸν τρίτον Οὐαλεντινιανὸν καὶ Ὁνωρίαν τῇ Ῥώμῃ καταλιπών. Πρὸς δὲ τῷ τῆς

430 CAPUT XXXVIII.

De obitu imperatoris Arcadii.

Post Joannis mortem, Arcadius quoque anno tertio defunctus est, sicuti et antea conjux ejus Eudoxia. Imperii successorem is filium Theodosium reliquit, jampridem a lacte remotum. Reliquit etiam filias, Pulcheriam, Arcadiam et Marinam, admodum teneras, quæ in virginitate cælibes permansere. Dehinc multo post Honorius quoque Romæ hydrope periit, sororis suæ Gallæ Placidiæ et Constantii filium Valentinianum tertium, et filiam ejusdem Honoriam, post se in ea urbe re-

(1) Comana oppidum est Cappadociæ. (Plin. lib. VI, cap. 3.) Secundum Strabonem lib. XII, in convallibus Antitauri. Comanensium mentio est l. *Cum antea*. C. De agric. et censit. lib. II

linquens. Arcadius ante finem vitæ, Deo chari A hominis opinionem, talem ob causam obtinuit. Ædes quædam Constantinopoli est maxima et pulcherrima, Καρύαν, hoc est Nucem, eam incolæ nominant, quod in ea media, nux arbor, spectaculum non contemnendum, stetit: ex qua arbore Acacium martyrem suspensum martyrium suum peregisse ferunt. Propter hanc ædem alia precatoria domus contigue exstructa est, ad quam spectandam Arcadius venit: precibusque in ea peractis, inde abscessit. Concurrit ad locum eum, ad imperatorem videndum, multitudo innumerabilis, et plena erant foris et intus hominibus loca omnia. Simulatque vero imperator paululum est progressus, confestim maxima illa ædes funditus diruta concidit, ita ut neminem detrimento aliquo afficeret. B Itaque clamor statim exortus est, imperatoris precibus cunctos præsenti exitio esse liberatos. Atque hoc sic actum. Mortuus est autem Arcadius, cum octennis filius ejus Theodosius esset. Una cum patre is tredecim, solus autem quatuordecim alios imperavit annos. Quos annos etiam tredecimus hic liber continet: cum a mundo condito quinquies millesimus noningentesimus vicesimus tertius (1): a nativitate vero Domini quadringentesimus decimus octavus ageretur annus.

ζωῆς τέλει θεοφιλοῦς δόξαν ἐκτᾶτο Ἀρκάδιος ἐξ αἰτίας τοιᾶσδε· Οἶκός τις ἐν τῇ Κωνσταντίνου ἐστὶ μέγιστος καὶ περικαλλέστατος· Καρύαν αὐτὸν καλοῦσιν οἱ ἐπιχώριοι· ἐπὶ γὰρ αὐτῇ μέσῃ δένδρον εἱστήκει καρύα, θέαμα λόγου πολλοῦ ἄξιον· ἐφ' ἧς κρεμασθέντα τὸν μάρτυρα Ἀκάκιον, τῷ μαρτυρίῳ λόγος τελειωθῆναι· δι' ἣν καὶ εὐκτήριος οἰκίσκος παρῳκοδομήθη τῷ οἴκῳ. Ἐπὶ δὴ τοῦτον ἧκει Ἀρκάδιος θεασόμενος· καὶ δὴ εὐξάμενος, ἀπεχώρει αὖθις· πολλοῦ δὲ καὶ ἀπείρου στίφους συνδεδραμηκότος ὥστε τὸν βασιλέα θεάσασθαι, πλήρης ὁ οἶκος ἦν ἔσωθέν τε καὶ ἔξωθεν· ὁμοῦ δὲ τῷ τὸν βασιλέα βραχὺ ἐξιέναι, εὐθὺς καὶ ὁ μέγιστος ἐκεῖνος οἶκος ἐκ βάθρων ἀνασπασθεὶς ἔπιπτε, μηδενὶ βλάβης πρόξενος καταστάς· βοὴ δ' εὐθὺς ἐξηχεῖτο, ὡς ἡ τοῦ βασιλέως εὐχὴ πάντας τῆς ἀπωλείας ἐῤῥύσατο. Τοῦτο μὲν οὕτως ἐγένετο. Ἐτελεύτησε δὲ Ἀρκάδιος, ὀκταετῆ καταλιπὼν τὸν υἱὸν Θεοδόσιον· τρισκαίδεκα μὲν ἔτη τῷ πατρὶ συμβασιλεύσας, ἔτη δ' ἕτερα τέσσαρα πρὸς τοῖς δέκα μόνος τὴν ἡγεμονίαν ἰθύνας. Ὅσα δὴ καὶ ἡ παροῦσά μοι τρισκαιδεκάτη τῶν ἱστοριῶν περιέχει· ὁπηνίκα κόσμου μὲν ἔτος ,εϡκγʹ, ἀπὸ δὲ τῆς θείας τοῦ Κυρίου γεννήσεως τετρακοσιοστὸν ὀκτωκαιδέκατον ἐπεραίνετο.

ΝΙΚΗΦΟΡΟΥ ΚΑΛΛΙΣΤΟΥ

ΞΑΝΘΟΠΟΥΛΟΥ

ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΙΣΤΟΡΙΑΣ

ΤΟΜΟΣ ΙΔʹ.

NICEPHORI CALLISTI

XANTHOPULI

ECCLESIASTICÆ HISTORIÆ

TOMUS XIV.

437 CAPUT I.

C

De imperio Theodosii Junioris, ut id a tutore Isdigerde Persarum rege sit administratum, rebus pler sque omnibus ab Anthemio, cui Troilus sophista familiaris fuit, gestis.

Joannes igitur, aurea lingua vir, labore certaminum pro Christo obitorum, veluti aurum obry-

ΚΕΦΑΛ. Αʹ.

Περὶ τῆς βασιλείας τοῦ Νέου Θεοδοσίου· ὡς ὑπὸ ἐπιτρόπῳ Ἰσδιγέρδῃ τῷ Περσῶν βασιλεῖ διῳκεῖτο· τὰ δὲ πράγματα διὰ χειρὸς ἦγεν Ἀνθέμιος τὰ πολλὰ Τρωΐλῳ τῷ σοφιστῇ συγγινόμενος.

Ἰωάννης μὲν οὖν τὴν γλῶτταν χρυσοῦς τῷ πολλῷ τῶν ὑπὲρ Χριστοῦ ἀγώνων καμάτῳ οἷάπερ χρυσίον

(1) Secundum neotericos, 4388.

ὄβρυζον εἰς ἄκρον δοκιμασθεὶς, οὕτω τὸν βίον μετήλλαξεν· ἐπὶ δὲ τούτῳ καὶ ὁ βασιλεὺς Ἀρκάδιος ἐτελεύτα, κομιδῇ νέον Θεοδόσιον τὸν παῖδα λιπὼν, ἄρτι τὸν ὄγδοον ἐνιαυτὸν παρελαύνοντα. Τριετῆ δ' ὄντα καὶ ἡ μήτηρ αὐτὸν καταλείψασα, πρὸς τὰς ἐκεῖθεν δίκας μετέβαινεν. Ἐπὶ δὲ διαθήκαις τελευτήσας Ἀρκάδιος, δείσας περὶ τῷ παιδὶ μή τι πάθοι, Ἰσδιγέρδην τὸν Περσῶν βασιλέα, κουράτωρα οἷον καὶ κηδεμόνα τῆς ἀρχῆς, ἕως οὗ ἀνδρωθείη ὁ παῖς, ταῖς γραφαῖς ἐνετίθει. Ὁ δῆτ' ἐκεῖνος μαθὼν, ἀλογήσας μηδὲν, καινήν τινα καὶ θαυμασίαν ἐπεδείξατο ἀρετήν. Ἀφθόνῳ γὰρ εἰρήνῃ πρὸς Ῥωμαίους χρησάμενος, ὡς ἑκατοντούτεις πρᾶξαι σπονδὰς, ἀπείρατον Θεοδοσίῳ τὴν βασιλείαν διέσωζε. Καὶ δή τινα Ἀντίοχον θαυμάσιον ἄνδρα καὶ λογιώτατον ἐκλεξάμενος, ἐπίτροπον οἷον καὶ παιδαγωγὸν ἐκείνῳ ἀπέστελλε, τάδε πρὸς λέξιν τῇ Ῥωμαίων συγκλήτῳ δεδηλωκώς· « Ἀρκαδίου τοῦ ὑμετέρου βασιλέως κουράτωρά με τοῦ παιδὸς καταστήσαντος, τὸν ἀναπληροῦντα τὴν ἐμὴν ἀπέσταλκα τόπον. Μή τις οὖν εἰς ἐπιβουλὴν τοῦ παιδὸς ἐπιχειρήσοι, ἵνα μὴ πόλεμον ἄσπονδον κατὰ Ῥωμαίων κινήσω. » Καὶ ὁ μὲν Ἀντίοχος ἐν Κωνσταντινουπόλει γενόμενος, βασιλικῶς ἀνῆγε τὸν παῖδα, περί τε τὸ κόσμιον ἐν προόδοις προμηθούμενος, καὶ ὡς ἂν ἄριστος τὰ πολέμια εἴη· τέσσαρα δ' ἔτη αὐτῷ συνδιαγαγὼν, ἀπηλλάγη. Ἡ δὲ τῶν ὅλων διοίκησις ἐπ' Ἀνθεμίῳ τῷ ὑπάρχῳ ἐτάττετο, ὃς παῖς παιδὸς ἦν Φιλίππου· ὃς Παῦλον τὸν τῆς Κωνσταντίνου ἐπίσκοπον ἐκβαλὼν, τῇ Ἐκκλησίᾳ τὸν φρενοβλαβῆ Μακεδόνιον ἀντεισήγαγεν, ὡς ἐν τῇ δεκάτῃ τῶν ἱστοριῶν διελάβομεν. Οὗτος δὴ ὁ Ἀνθέμιος καὶ τῆς Κωνσταντίνου τὰ τείχη περιελὼν, καὶ μεῖζον εὐρύνας, τὰ νῦν ὁρώμενα μεγάλα χερσαῖα τείχη ταύτην περιεβάλλετο, δύο μῆνας τῷ ἔργῳ τῷ πολλῷ καὶ σχεδὸν ἀπίστῳ τάχει ἐκδαπανήσας. Φρονήσει δὲ τῶν πολλῶν διαφέρων, βουλῆς ἄνευ οὐδὲν πράττειν ᾑρεῖτο. Καὶ πολλοῖς μὲν καὶ ἄλλοις ἀνεκοινοῦτο περὶ τῶν πρακτέων· μάλιστα δὲ τὰ πολλὰ Τρωΐλῳ τῷ σοφιστῇ συνῆν· ᾧ μετὰ τῶν προσόντων καλῶν καὶ πολιτική τις φρόνησις ἐφάμιλλος Ἀνθεμίῳ οὐχ ἧττον ἦν. Εἰδέναι μέντοι χρεὼν, ὡς προστάγματι βασιλέως σύναμα Κύρῳ τῷ ἐπάρχῳ τὰ κατὰ τὴν πόλιν διέποντι, πολλῷ ὕστερον τὰ τῆς πόλεως ἀνήγειρε τείχη. Ἀλλὰ περὶ μὲν Ἀντιόχου καὶ Ἀνθεμίου τῶν βασιλέως παιδαγωγῶν ἀποχρώντως εἰρήσθω.

A zum ad summum per explorationem probatus, ad hunc modum vita est defunctus. Post hunc et imperator Arcadius mortuus est, adolescentulo admodum Theodosio filio, octavum videlicet ingresso annum, relicto : qui cum trimulus esset, mater quoque eum relinquens, ad futuras transiit pœnas. Arcadius porro, puero ne quid contingeret metuens, ante mortem, Isdigerdem Persarum regem curatorem ejus et simul imperii, donec ille in virum evaderet, testamento instituit. Quod ubi Isdigerdes cognovit, re ea minime neglecta, novum quoddam admirandæ virtutis exhibuit specimen. Pace namque prolixa, centum annorum induciis cum Romanis initis, imperium Theodosio, quominus periclitaretur, conservavit, et Antio-
B chum quemdam, virum admirandum et eruditissimum, delectum veluti tutorem et pædagogum, ad eum, cum litteris in hæc verba ad senatum Romanum conceptis, misit : **438** « Cum Arcadius imperator vester me filii sui curatorem instituerit, qui officio meo fungatur, virum isthuc misi. Ne quis igitur puero insidias struere audeat, ne bellum ipse implacabile adversus Romanos moveam. » Et Antiochus ubi Constantinopolim venit, puerum ita ut imperatorem decet, educavit, illud providens et curans, ut simul puer et magnificentiam in publicum progressus retineret, et rebus bellicis optimus esset. Cum autem quadriennium cum eo fuisset, discessit. Rerum autem omnium admini-
C stratio Anthemio præfecto commissa est : qui ex filio nepos ejus Philippi fuit, qui Paulo Constantinopolitano episcopo ejecto, vesanum Macedonium pro eo in Ecclesiam induxit, sicuti libro decimo Historiarum diximus. Anthemius iste mœnia Constantinopolis demolitus, pomœria urbis prolaturus, lateritio ingenti qui nunc cernitur muro eam circumdedit, opere eo per menses duos magna et fere incredibili celeritate confecto. Et cum prudentia multos antecelluit, tum inconsulto nihil sibi agendum duxit. Ac cum multis quidem ille aliis de rebus gerendis consilia communicavit; Troilo tamen sophista familiariter maxime usus est : in quo, præter cæteras virtutes, prudentia etiam quædam reipublicæ administrandæ Anthemii
D æmula fuit. Illud sane animadvertendum, Anthemium, imperatoris jussu, una cum Cyro præfecto urbi, longo post tempore urbis mœnia construxisse. De Antiocho et Anthemio imperatoris pædagogis hæc dicta sufficiant.

ΚΕΦΑΛ. Β'.

Περὶ βίου καὶ ἀγωγῆς καὶ τῆς τῶν κοινῶν πραγμάτων διοικήσεως· ἔτι δὲ θεοφιλίας καὶ ἀρετῆς Πουλχερίας τῆς βασιλίδος, ἀδελφῆς Θεοδοσίου τοῦ αὐτοκράτορος.

Ἡ δὲ τοῦ Θεοῦ πρόνοια προϊδοῦσα εὐσεβέστατον ἔσεσθαι τὸν βασιλέα Θεοδόσιον, καὶ ἄλλον ἐπίτροπον γνησιώτερον τούτῳ ἐπέστησε τῆς ἡγεμονίας, Πουλχερίαν τὴν ἀδελφὴν, ἐν νέᾳ πάνυ τῇ ἡλικίᾳ σοφίσασαν, ὡς μηδὲν ἐλλείπειν ἐκείνῃ ἐπί τε ἀρετῇ καὶ πολιτικῇ φρονήσει καὶ τῶν περὶ ταῦτα πλεῖστον

CAPUT II.

De vita, institutione, administrationeque rerum publicarum. Item de divina pietate et virtute Pulcheriæ, sororis Theodosii imperatoris.

Providentia autem divina, illud præcipue curans ut pius maxime Theodosius imperator fieret, alium quoque tutorem germanum magis imperio ejus præfecit, Pulcheriam nimirum sororem, quæ a prima statim ætate ita sapuit, ut virtute et civili prudentia eis non cederet, qui in his rebus maxime

excellunt. Unde colligere satis possumus, principibus ad salutem solam satis veriorem esse pietatem : sicuti contra absque illa nihil prosunt exercitus, equi, satellites, ensium vis, virorumque innumerabiles copiæ, aurum item **439** et argentum, plurima terræ jugera, et quicunque alius præterea est apparatus. Etenim ipsa nondum quindecim nata annos, sapientiorem diviniorem que quam ætas ferret, obtinuit mentem. Et primum quidem virginitatem se per vitam omnem conservaturam esse Deo vovit : deinde, ut idem facerent sorores, eis quoque persuasit, ne æmulationem atque contentionem in imperialem aulam induceret (1). Quare omnem insidiarum occasionem præcidit. Sed enim cum consilium decretumque suum pignore aliquo stabiliendum esse putaret, Deo ipsi, sacro sacerdotum ordini, et subditis civibus, certum sententiæ suæ testimonium exhibuit. Nam admirandum quoddam incredibili pulchritudine ornamentum, ex auro et pretiosis lapillis confectum, in sacræ mensæ formam redactum, pro virginitate sua fratrisque imperio catholicæ Constantinopolitanæ ecclesiæ dedicavit, in corona quadranguli ejus (2), consilio causaque consecrationis ejusmodi, novis quibusdam litteris insculpta. Itaque ubi pro virili sua natura imperii curam suscepit, quam optime, ita ut convenit, cum ingenti decore rem Romanam administravit : quam celerrime de rebus agendis consultavit, simulque eas in scriptum retulit. Nam et in scribendo, et in dicendo, summopere erat exercitata, sermone utroque, Latino scilicet et Græco. Et quæ ipsa agebat, perinde atque a fratre constituta essent, in illum retulit. Illud plurimum curavit, ut in imperatoriis artibus is educaretur, atque disciplinis ætati cuique convenientibus institueretur. Ita ille rem militarem et equestrem, ab eis qui rerum talium accurate periti erant, didicit. Ut autem in publicis progressibus, quovis tempore, ita ut imperatorem decet, magnificus esset et splendidus, ab ipsa edoctus est : quemadmodum scilicet vestem sibi ipsi circumdare, quomodo considere, incedere et risum moderari deberet; ut in rebus quibusque se, prout tempus ferret, vel placidum vel terribilem exhiberet, et commodum audiendis supplicantium precibus præberet. Potissimum vero eum docuit justitiam et veram pietatem, sicuti convenit, colere, precari continenter, templa adire frequenter, ædes sacras Deo constructas vasis, donariis et ornamentis locupletare : sacerdotum ordinem, simulque viros bonos, qui Christianorum legibus optime viverent, plurimi facere. **440** Hæ ejus erant institutiones. Quin etiam nonnullis religionem adulterinis dogmatibus, novisque rebus depravare conantibus, eamque in magnum periculum adducentibus, ut firmiter illa in statu suo permaneret, ipsa quoque effecit. Et quominus eo

(1) Per suas scilicet aut sororum suarum nuptias. (Sozom.)

A διενεγκόντων. Ὡς ἂν εἰδέναι ἔχοιμεν, ἀρκεῖν πρὸς σωτηρίαν τοῖς βασιλεῦσι καὶ μόνην αὐτὴν τὴν εὐσέβειαν· ὡς αὖθις ἐκείνης ἄνευ μηδὲν εἶναι στράτευμά τε καὶ ἵππον, καὶ δορυφόρους, ἰσχύν τε ξιφῶν, ἀνδρῶν τε ἄπειρα στίφη, χρυσόν τε καὶ ἄργυρον, καὶ πλέθρα γῆς, καὶ ὅση ἄλλη ἐπὶ τούτοις παρασκευή. Καὶ γὰρ αὕτη μήπω πεντεκαιδέκατον ἄγουσα ἔτος, σοφώτερον καὶ θεῖον ἢ καθ' ἡλικίαν ἐκτήσατο νοῦν. Καὶ τὰ μὲν πρῶτα παρθένος εἶναι διὰ βίου ὡμολόγησε τῷ Θεῷ· ἐπίσης δὲ φρονῆσαι καὶ τὰς ἀδελφὰς ἔπεισεν, ἵνα μὴ ζῆλον καὶ ἔριδα εἰσάγῃ τοῖς βασιλείοις· κἀντεῦθεν πᾶσαν πρόφασιν ἐπιβούλου φρονήματος ἀπεώσατο. Τό γε μὴν δόξαν ἐκείνῃ καὶ βέβαιον οἰομένη δεῖν θεῖναι, Θεῷ τε καὶ ἱερεῦσι, καὶ τοῖς ἀρχομένοις αὐτοῖς, μαρτύριον ἀκραιB φνὲς τῶν ἐκείνῃ βεβουλευμένων τόδε ἐποίει. Θαυμάσιόν τι χρῆμα καὶ εἰς κάλλος ἄφραστον, ἔκ τε χρυσοῦ καὶ τιμαλφῶν λίθων τῆς σφετέρας χάριν παρθενίας καὶ τῆς τοῦ ἀδελφοῦ βασιλείας εἰς ἱερὰν κατασκευάσασα τράπεζαν, τῇ καθόλου τῆς Κωνσταντίνου Ἐκκλησίᾳ ἀνέθετο, ἐπὶ τῷ στεφάνῳ τοῦ τετραγώνου ταύτης, τὸν σκοπὸν τῆς ἀναθέσεως καινοῖς τισι γράμμασιν ἐγχαράξασα. Καὶ δὴ τῷ τῆς φύσεως ἀνδρικῷ τὴν φροντίδα τῆς ἡγεμονίας ἀναδεξαμένη, ἄριστα καὶ ὡς χρεὼν γε ἦν, σὺν πολλῷ τῷ κόσμῳ τὴν Ῥωμαϊκὴν διῴκει ἀρχὴν, ὅσον τάχος τὰ πρακτέα καὶ βουλευομένη καὶ γράφουσα· καὶ γὰρ καὶ γράφειν καὶ λέγειν εἰς ἄκρον ἤσκητο· καὶ κατ' ἄμφω τὰς διαλέκτους, τῇ τε Ῥωμαίων καὶ C Ἑλλήνων φημί. Τά γε μὴν ἐκείνῃ πεπραγμένα, ὡς τἀδελφῷ δοκοῦντα, εἰς ἐκεῖνον ἀνῆγε· πλεῖστα γὰρ δι' ἐπιμελείας εἶχεν, ὡς ἂν βασιλικῶς ἀχθείη, τοῖς ἑκάστῃ τῶν ἡλικιῶν μαθήμασιν ἐκπαιδεύουσα. Καὶ τοίνυν ὅσα μὲν περὶ ὅπλα καὶ ἱππικὴν, παρὰ τῶν εἴδησιν ἀκριβῆ ἐχόντων περὶ ταῦτα ἐμάνθανε· βασιλικὸς δ' εἶναι καὶ περὶ τὰς ἑκάστοτε προόδους κόσμιός τε καὶ ἐκφανὴς παρ' αὐτῆς ἐῤῥυθμίζετο· ἐσθῆτά τε ᾗ περιστέλλειν ἑαυτὸν χρῆναι· καὶ τίνα χρὴ τρόπῳ καθῆσθαι, καὶ αὖθις βαδίζειν, γέλωτός τε κρατεῖν· πρᾶός τε καὶ φοβερὸς ἡνίκα καιρὸς ἐφ' ἑκάστῳ δοκεῖν. Ἔτι δὲ ὡς ἁρμοδίως πυνθάνεσθαι τῶν περί του δεομένων· μάλιστα δὲ τὸ εὐσεβεῖν αὐτὸν ὡς χρεὼν ἐδίδασκε, καὶ εὔχεσθαι μὲν συνεχέστερον, φοιτᾶν δὲ ταῖς ἐκκλησίαις πυκνῶς, σκεύεD σί τε καὶ κειμηλίοις καὶ ἀναθήμασι τοὺς τῷ Θεῷ ἀνειμένους οἴκους σεμνύνειν· περιπλείστου δὲ ποιεῖσθαι ἱερέας τε ἅμα καὶ ἀγαθοὺς ἄνδρας, καὶ τοὺς ἀρίστως φιλοσοφοῦντας νόμοις Χριστιανῶν, ἐκείνης ἦσαν μελέται. Ναὶ μὴν καὶ τὴν θρησκείαν νόθοις δόγμασί τινων πειρωμένων νεωτερίζειν, καὶ διὰ τοῦτο ἐν μεγάλῳ καθεστῶσαν κινδύνῳ, ἐν τῷ βεβαίῳ μένειν ἐποίει. Ὅθεν καὶ τὸ μὴ καινὴν αἵρεσιν ἐπιφρῆσαι τηνικαῦτα αἰτία αὕτη μάλιστ' ἐγένετο, ὡς ἡ καθεξῆς ἱστορία δηλώσει. Διαπύρως δὲ τὸ θεῖον θρησκεύουσα, σχολῇ γ' ἄν τις ἀριθμῆσαι ἰσχύσειε καὶ ὅσους θείους νεὼς μεγαλοπρεπῶς ἤγειρεν, ὅσα τε καταγώγια θεοφιλῶν ἀνδρῶν, καὶ συνοικίας μο-

(2) Ἐπὶ τοῦ μετώπου τῆς τραπέζης, *in fronte mensæ*. Sozom. lib. IX, cap. 1.

νααστικὰς συνεστήσατο, αεγναον τὴν περὶ ταῦτα δαπάνην, καὶ τῶν περὶ ἐκεῖνα ἐσχολακότων τὴν ἅπασαν ἐπιτάξασα χρείαν. Δείξει δ' ἐκ πάνυ πολλῶν ὀλίγα τοῦ χρόνου κατορχησάμενα· ἔργον γὰρ αὐτῆς, ὅ τε τῶν Βλαχερνῶν θεῖος τῆς Θεοτόκου νεὼς, αὐτῇ γ' ἐκείνῃ τῇ τοῦ Λόγου μητρὶ ἄξιος εἰς κατοικίαν κριθείς· ὥσπερ τῷ ταύτης Παιδὶ ὁ τῆς Σοφίας ἐπικληθείς· ἧς τὴν θείαν σορὸν καὶ τὰ ἐντάφια σπάργανα ἐφευροῦσα, ἐκεῖσε ἀνέθετο, διαφερόντως μάλα τιμῶσα· ἔτι δὲ καὶ ὁ τὴν τῶν Ὁδηγῶν αὐχήσας ἐπωνυμίαν, ἐφ' ᾧ πάλιν τήν τε θείαν ἐκείνης μορφὴν, ἣν Λουκᾶς ὁ ἀπόστολος σανίδι γράψας κατέλιπεν εὐτυχήσασα· τό τε θεῖον ἐκείνης γάλα, καὶ τὸ ἱερὸν ἄτρακτον, καὶ τὰ τοῦ Σωτῆρος σπάργανα, ἐθησαύρισεν, Εὐδοκίας πεμψάσης τῆς βασιλίδος, B ἡνίκα δὴ ἀφῖκτο εἰς Ἱεροσόλυμα· καὶ τὸ τῶν Χαλκοπρατείων αὖθις ἱερὸν τέμενος, ᾧ ἁγία σορὸς ὄνομα· περιφανεῖς δὲ καὶ ἄμφω, καὶ εἰς κάλλος καὶ μέγεθος φιλοτίμως ἐξειργασμένοι. Θεὸς δὲ ἄρα που διὰ τὴν πολιτείαν τὴν γυναῖκα κεχαρισμένην ἔχων, ὑπήκουε δεομένης, κἀν τοῖς πρακτέοις αὐτῇ πολλαχοῦ διεφαίνετο. Καί μοι δοκεῖν ἔστι, μηδ' ἄν ποτε θεοφιλίαν ἀνθρώποις ἐγγενέσθαι, ἣν μή γ' ἐκεῖνοι σφᾶς αὐτοὺς ἀξίως τοῖς ἔργοις παρέχωσι. Ταύτῃ δ' ἐπίσης ἡγμέναι καὶ αἱ ἀδελφαὶ, τὰ ἴσα περί τε τοὺς ἱερέας καὶ τοὺς νεὼς, καὶ τοὺς ἐν ἐνδείᾳ, πτωχούς τε καὶ ξένους διέκειντο τὸ φιλότιμον ἐπιδεικνύμεναι. Δίαιτα δὲ ἀγωγή τε καὶ πρόοδος καινὴ πάσαις ἦν, νύκτωρ καὶ μεθ' ἡμέραν ὑμνεῖν τε καὶ γεραίρειν Θεὸν, καὶ ἀσχολίαν περὶ ἐργασίας ὑφασμάτων C θείων, καὶ τῶν τοιούτων ἔχειν. Καὶ γὰρ ῥᾳστώνην καὶ ἀργίαν, δι' ἣν μετῄεσαν παρθενίαν, ἀναξίαν ἡγήσαντο. Ὅθεν καὶ ξενηλασίαν τοῦ βίου τῶν τοιούτων παθῶν καὶ τῆς ἄλλης βασιλικῆς διαίτης ἐποίησαν. Ἔνθεν τοι καὶ Θεοῦ ἵλεω καθεστῶτος, ὁ μὲν οἶκος αὐτῶν εὐθηνεῖτο· ἐπεδίδου γε μὴν καὶ τῷ κρατοῦντι τὰ τῆς ἡλικίας καλῶς· καὶ δὴ πᾶσα μὲν ἐπιβουλὴ καὶ πόλεμος συνιστάμενος αὐτομάτως ἐλύετο, Θεοῦ συναρήγοντος· ὁσημέραι δ' ἐκεῖνος αὔξάνων τοῖς ἀγαθοῖς ταῖς χρησταῖς τῆς ἀδελφῆς εἰσηγήσεσιν, ἄγαλμα οἷον καὶ ἀνδριὰς βασιλείας εἰς κάλλος ἀπεξεσμένος ἀληθῶς διεγένετο.

A tempore nova quæpiam hæresis Ecclesiam invaserit, in causa ipsa maxime fuit, quemadmodum suo loco historia ostendet. Et quia ardenti animo divinum numen coluit, non facile quispiam enumerare possit, quæ illa sacra templa magnifice excitarit, quæve Dei amantium virorum domicilia atque monachorum cœnobia construxerit, perpetuas in ea impensas, et res omnes eorum qui in eis pietati vacarent, necessarias constituens. Ex multis vero pauca quædam, quæ vim temporum superarunt, id indicabunt. Opus enim ejus est sacrum Dei Genitricis templum, quod Blachernæ dicitur, dignum ipsa illa Verbi matre, quod inhabitaret, judicatum domicilium, sicuti Filio ejus, quod Sapientiæ vocatur. Cujus divinum loculum, B et sepulcrales fascias inventas cum veneratione maxima ibi reposuit. Templum item, quod τῶν Ὁδηγῶν, hoc est Viæ ducum, cognomine clarum est, in quo divinam illius imaginem, quam Lucas apostolus in tabula depictam reliquit, divinumque ipsius lac et sacram colum, et Servatoris ipsius fascias, perinde atque thesaurum, quem ad eum Eudocia Augusta, cum Hierosolyma profecta est, misit, servandas curavit; præterea et sacrum Chalcopratorum delubrum, cui sancti loculi nomen est. Utraque vero hæc fana pulchritudine simul et amplitudine ambitiosa, magnifice sunt constructa. Deus sane feminam eam, propter vitæ institutum charam habens, preces ejus exaudiit, et in rebus agendis C sæpe ei apparuit. Et ut mihi quidem videtur, amorem Dei homines non consequuntur, nisi seipsos idoneos factis ipsis præbeant. Ad eumdem etiam modum sorores institutæ, eadem studia erga sacerdotes, erga templa, præterea erga egenos, mendicos et advenas liberaliter præstitere. Vita quotidiana, instituta, atque progressus, novi omnibus fuere: diu noctuque hymnis laudibusque Deum celebrarunt; otium, sacram telam texentes, et id genus opus facientes, vitarunt. Institutum namque, propter quod virginitatem erant complexæ, non decere ignaviam existimarunt. **441** Proinde vitia ejusmodi, et reliquam imperialem consuetudinem, a vita sua repulerunt. Itaque factum, ut quod Deus eis propitius esset, domus earum recte administraretur, ætasque imperatoris optata caperet incrementa, et adversariorum insidiæ, bellaque orta, omnia sua sponte, Deo adjuvante, solverentur, et imperator ipse in dies rebus bonis accumulatus, laudatis sororis consiliis, veluti vera effigies et statua in optimi imperii formam expolita esset.

ΚΕΦΑΛ. Γ'.

D

Περὶ τῆς ἐκ νέου ἀρετῆς καὶ ἄλλης διαίτης, ἔτι δὲ καλοκαγαθίας καὶ ἀοργησίας Θεοδοσίου, καὶ τῆς εἰς τὰ θεῖα εὐλαβείας αὐτοῦ.

Ἀλλὰ καὶ σιγῇ τὰ τούτου διδόναι ζημία πάντως, μὴ τοῖς πολλοῖς γινωσκόμενα· πρῶτον μὲν γὰρ βασιλικῶς ἀναχθεὶς καὶ τραφεὶς, οὐδέν τι ῥᾳστώνης καὶ βλακείας ἐπεδείκνυτο· ἀλλ' οὕτως ἦν τά τε ἡμέτερα καὶ τὰ ὑπὲρ ἡμᾶς συνετὸς, ὡς τοῖς ὁμιλοῦσι λογίζεσθαι, καὶ ὑπὲρ φύσιν ἀνθρώπου εἶναι τοῖς πράγμασιν. Οὕτω δ' ἦν μάλα γενναῖός τε καὶ

CAPUT III.

De virtute, quam a puero imbibit, Theodosii: et de moribus, beneficentia, placabilitate, et de insigni religione et pietate ejus.

Verum res quoque ejus, sine dispendio et jactura, silentio committere non possumus, non omnibus prorsus notas. Primum namque ita ut imperatorem oportet, institutus atque educatus, nullum de se ignaviæ et mollitiei indicium præbuit, sed ita cum nostrarum tum earum quæ supra nos sunt rerum peritus fuit, ut qui cum eo collo-

querentur, humanæ mentis captum eum exsuperare judicarent. Adeo etiam fortis et laborum patiens, ut facile vicissitudinem et mutationem temporum sustineret, cumque æstu juxta et frigore concertaret. Jejunio frequenti se assuefecit, et maxime quarto hebdomadis, et eo qui Parasceves nomen sortitus est, die, Christianismum ad summum excolere volens; atque ut aula ejus imperialis re nulla a monasterio differret, sedulo curavit. Mane consurgens, hymnos Deo cum sororibus alternis cecinit, et Spiritus verba semper in ore habuit. Cum episcopis et sacerdotibus congressus, obscuros locos et nodos Scripturarum, haud aliter quam si sacris ipse initiatus esset, explicuit. Sacrorum librorum eorumdemque interpretum congerendorum adeo fuit studiosus, ut ea laude Ptolemæo inferior non esset. Noctu eis legendis operam navavit : lucerna se sponte sua, machina quadam movente, sibique ipsi oleum infundente, comparata ; ut ne quis ministrorum ejus in laboribus ejusmodi molestiam quampiam subiret, neque vim naturæ cum somno colluctans inferret. Manu ipse sua pulcherrime scripsit ; ac multa scriptorum ejus ad hoc usque tempus sunt conservata, temporum vi superiora : **442** Evangelia videlicet, et alia quædam, aureis omnino litteris distincta, quorum paginæ crucis formam referunt. Quo labore eum vitæ sumptus tolerasse, fama est. Malorum tolerantia omnibus, præcipue autem qui eo nomine apud Græcos clari fuere, post se relictis, multis modis eos prætergressus est. Illi siquidem cum verbis se philosophiam exhibituros esse pollicitì essent, re ipsa eam præstare nequiverunt; ipse autem Aristotelis perplexibilibus involucris vale dicto, factis philosophiam exercuit, iræ, dolori et voluptati moderando. Iram adeo in potestate habuit, ut neminem unquam a quibus læsus fuisset, ultus sit, neque eum quisquam succensentem viderit. Atque aliquando ex familiaribus cuidam dicenti, neminem ab eo illorum morte multatum esse, qui injurii ei fuissent, respondens : « Utinam, inquit, eos etiam in vitam revocare possem, qui jamdudum mortui sunt. » Ad alium quemdam eadem prope referentem, dixit : « Nihil esse novi, si quis homo cum sit, e vita excedat. Unius autem Dei esse, eum qui semel mortuus sit, per pœnitentiam ad vitam revocare. » Usque adeo autem virtutem hanc coluit, ut si quando quispiam capitale crimen admisisset, neque eum condemnationis sententia usque ad urbis portas produxisset, statim eum misericordia prosequeretur. Et cum aliquando Constantinopoli in amphitheatro venationis spectaculum præberet, et populus exclamaret, adversus gravem feram generosum quemdam periclitatorem, qui cum ea congrederetur, mittendum esse : « An nescitis, inquit, nos humanioribus spectaculis delectari solere? » Et deinceps humanioribus itidem populum spectaculis uti docuit. Religione tanta cum sinceriore pietate usus est,

A καρτερικὸς, ὡς ἀντέχειν ῥᾳδίως ταῖς μεταβολαῖς τῶν καιρῶν, καὶ πρὸς καῦμα καὶ ψῦχος διαγωνίζεσθαι, τὰ πολλά τε νηστεύειν αἱρεῖσθαι, καὶ μάλιστα τῇ Τετράδι, καὶ ἡ Παρασκευὴ ὄνομα ἐκληρώσατο ἄκρως Χριστιανίζειν ἐθέλων. Τὰ δέ γε βασίλεια κατ' οὐδὲν διαφέρειν ἀσκητηρίου παρεσκευάσατο. Καὶ δὴ σὺν ταῖς ἀδελφαῖς ὀρθρίζων, ὕμνους ἀντιφώνους ἐξῇδε Θεῷ· καὶ τὰ τοῦ Πνεύματος ῥήματα ἐπὶ στόμα φέρων εἶχεν ἀεί. Τοῖς δ' ἐπισκόποις ἐντυγχάνων καὶ ἱερεῦσι, τὰ γρῖφα τῶν Γραφῶν διηρμήνευεν, ἅτε δὴ ἱερεὺς καθεστώς. Ἐπὶ τόσον δὲ καὶ τὰς ἱερὰς συνῆγε βίβλους καὶ τοὺς αὐτῶν ἑρμηνεῖς, ὡς οὐχ ἧττον ἢ Πτολεμαῖος ἐκεῖνος. Ἐπόνει δὲ περὶ ταύτας νύκτωρ, λύχνον ἐκ μηχανῆς κατεσκευασμένος αὐτόματον, τῇ θρυαλλίδι τοὔλαιον ἐπιχέοντα· B ὡς ἂν μή τις τῶν ὑπηρετουμένων τοῖς ἐκείνου πόνοις ταλαιπωρεῖν ἀναγκάζοιτο, καὶ τὴν φύσιν βιάζηται πρὸς τὸν ὕπνον διαμαχόμενος. Ἔγραφε δὲ καὶ εἰς κάλλος ἐξαίσιον, ὡς καὶ ἐς δεῦρο πολλὰ τῆς ἐκείνου χειρὸς διασώζεσθαι, τὴν τοῦ χρόνου φύσιν ὑπερνικήσαντα· Εὐαγγέλια καὶ ἄλλ' ἄττα χρυσοῖς κατεστιγμένα διόλου τοῖς γράμμασιν, ἐν σταυροῦ σχήματι τὰς σελίδας τῶν γραφομένων διατυπῶν. Ἐξ ὧν λόγος πόνοις ἰδίοις καὶ τὸ ζῆν ἐκπορίζεσθαι. Ἀνεξικακίᾳ δὲ πάντας θέμενος ἐν δευτέρῳ, μάλιστα τοὺς παρ' Ἕλλησιν εὐδοκίμους πολλῷ τῷ μέτρῳ παρήνεγκεν. Οἱ μὲν γὰρ λόγοις ἐπαγγειλάμενοι φιλοσοφεῖν, δι' ἔργου τοῦτο δεῖξαι οὐκ ἴσχυσαν· ὁ δὲ ταῖς Ἀριστοτέλους πλεκτάναις χαίρειν εἰπὼν, τὴν δι' ἔργων φιλοσοφίαν ἠσκεῖτο, ἐν τῷ ὀργῆς τε καὶ C λύπης καὶ ἡδονῆς κρατεῖν. Ἐπὶ τόσον γὰρ ὀργῆς ἐγκρατὴς μάλιστα ἦν, ὡς μηδένα ποτὲ τῶν λελυπηκότων ἑλέσθαι ἀμύνασθαι, καὶ μηδέ τινα ἰδεῖν ποτε αὐτὸν ὀργιζόμενον. Καὶ δή τινος τῶν συνήθων ἐρομένου, ὅτι μή τινα τῶν ἀδικούντων ἐζημίου θανάτῳ, ὑπολαβόντα εἰπεῖν, « Εἴθε μοι πρὸς ἰσχύος ἦν εἰς ζωὴν ἐπανάγειν μᾶλλον καὶ τοὺς πάλαι ποτὲ τελευτήσαντας· » καὶ πρὸς ἕτερον τὰ ἴσα ἐρόμενον, « Οὐδὲν, εἶπε, καινὸν ἄνθρωπον ὄντα ἀποβιῶναι. Θεοῦ δ' ἂν εἴη μόνου τὸν ἅπαξ θανόντα τῇ μετανοίᾳ ἀνακαλέσασθαι. » Ἐπὶ τόσον δὲ τοῦτο αὐτῷ κατώρθωται, ὡς εἰ καί ποτε συνέβη τινὰ κεφαλικῆς τιμωρίας ἄξια πλημμελῆσαι, οὐδ' ἐν ταῖς πύλαις τῆς πόλεως ἔφθανεν ἡ ἀπόφασις· καὶ τὸ φιλάνθρωπον D εὐθὺς εἵπετο. Κυνήγια δέ που ἐν τῷ ἀμφιθεάτρῳ τῆς Κωνσταντίνου πόλεως ἐπιτελοῦντος αὐτοῦ, ὁ δῆμος κατεβόα, δεινῷ θηρίῳ ἕνα τῶν εὐφυῶν παραβόλων μάχεσθαι. Ὁ δὲ πρὸς αὐτοὺς, « Οὐκ οἴδατε, ἔφη, ὅτι ἡμεῖς φιλανθρώπως εἰθίσμεθα θεωρεῖν; » Φιλάνθρωπα δὲ καὶ τὸν δῆμον θεωρεῖν ἐξεπαίδευεν. Εὐλαβείᾳ δὲ τοσαύτῃ μετ' εὐσεβείας ἐκέχρητο, ὡς πάντας μὲν Θεοῦ ἱερέας τιμᾷν, μάλιστα δὲ, οὓς ἐμάνθανε σεμνότητι βίου διαπρεπεῖς. Καί γε λόγος ἕνα τῶν ἐπισκόπων ἀποβιώσαντα, ὃς ἐλέγετο μάλα εἶναι κεχαρισμένος Θεῷ, τὸ ἐκείνου σάγιον αἰτῆσαι, πολλῷ ῥύπῳ συγκεχωσμένον, καὶ ὑποκάτω τῆς βασιλικῆς χλαμύδος φορεῖν, εὔελπις ὢν, ὥς τι θηράσων τῆς ἐνούσης τἀνδρὶ ἁγνότητος. Καὶ χειμερίας δέ ποτε σφόδρα τῆς ὥρας γεγενημένης, αὐτὸς τὰ συ-

νήθη τῷ Ἱππικῷ ἐπετέλει, τὰ εἰωθότα πράττων τῷ δήμῳ. Ὡς δ' ἐπιπλεῖον ὁ χειμὼν κατεῤῥάγη, τὴν οἰκείαν γνώμην ὅπως περὶ τὸ Θεῖον ἔχει σχέσεως, ὁπεγύμνου, διὰ τῶν κηρύκων τῷ λαῷ ἐπειπών· Ἄμεινον εἶναι τὴν θέαν παρωσαμένους, ἵλεων πράττειν Θεὸν, ὥστ' ἀπαλλάττειν ἡμᾶς τοῦ νῦν ἐπικειμένου δεινοῦ. Καὶ τοῦτο μὲν εὐθὺς εἰς ἔργον ἐξέβαινε· καὶ προῄεσαν λιτανεύοντες, ὕμνους Θεῷ ἀναπέμποντες, καὶ μία ἐκκλησία σύμφωνος ἀθρόον ἡ πόλις ἐγίνετο. Αὐτὸς δ' ἐκεῖνος μέσος ἐξῆρχε τῶν ὕμνων, ἐν ἰδιώτου σχήματι πορευόμενος· ἥκιστα δὲ τῆς προσδοκίας ἡμάρτανεν. Εὐθὺς μὲν γὰρ ὁ ἀὴρ πρὸς τὸ εὐδιεινότερον μετεβάλλετο· καὶ πολλή τις εὐετηρία ἐκράτει τοῖς σύμπασιν ἐκ σιτοδείας μάλα πολλῆς. Πᾶσι μὲν οὖν, ὡς εἰπεῖν, ἐκεκόσμητο τοῖς καλοῖς· οὐχ ἥκιστα δὲ φιλανθρωπία τοῦτον ἐκόσμει καὶ πραότης καὶ γαλήνη ψυχῆς ζάλην οὐ δεχομένη· ἔτι δὲ πίστις ἀκραιφνής τε καὶ δόκιμος μετ' εὐλαβείας ἀνυποκρίτου, ὡς ἐντεῦθεν τεκμηριώσασθαι ἔξεστιν. Ἀνὴρ γάρ τις τὸν τραχὺν καὶ ἐπίπονον τῆς ἀρετῆς μετιὼν βίον, αὐθάδει γνώμῃ πρόσεισι τούτῳ περί του δεησόμενος. Ὡς δὲ πολλάκις πεῖραν προσαγαγὼν ἀπετύγχανε τοῦ αἰτήματος, δεσμοῖς ὑπῆγε τὸν κρατοῦντα ἐκκλησιαστικοῖς, τῆς κοινωνίας ἐπέχων. Ἐπεὶ δ' εἰς τὰ βασίλεια ᾤχετο βασιλεὺς, εὐωχία τε προὔκειτο, καὶ ὅσοι συσσιτεῖν ἔμελλον ἤδη παρῆσαν, οὐ δεῖν ἔκρινε πρὶν τῶν ἐπικειμένων λυθῆναι δεσμῶν, τροφῆς μετασχεῖν· καὶ τῷ τῆς Κωνσταντίνου ἀρχιερεῖ τῶν τινα θεραπόντων ἔπεμπε, παρακαλῶν ἐπιτρέψαι λύσιν ἐπιβαλεῖν τοῖς δεσμοῖς ἐκεῖνον αὖθις, ὃς δήσας ἔλαχεν. Ἐκείνου δ' ἀπειπαμένου, καὶ μὴ χρῆναι μηνύσαντος παρ' ὁτουοῦν τὸν δεσμὸν εἶναί τι λογίζεσθαι, καὶ ὡς ἤδη λέλυται εἰρηκότος, οὐκέτι τῇ ψήφῳ ἐκείνου ἀρκεῖν ᾤετο. Πολλῷ δὲ πόνῳ ζητηθεὶς ὁ δεσμήσας, τὴν λύσιν ἐδίδου· καὶ οὕτως ἐδέχετο ὁ κρατῶν. Οὕτως εὐλαβής τις ἦν καὶ τοῖς θείοις νόμοις ἠκρίβωτο. Οὗ δὴ χάριν, καὶ ὅσα τῶν εἰδωλείων περιελείφθη, ἐξ αὐτῶν ἀνέσπα τῶν βάθρων, ὡς ἂν γε εἴη τοῖς μετ' ἐκεῖνον μὴ δι' ἴχνος τῆς προτέρας ἐξαπάτης θεᾶσθαι. Τήνδε γὰρ τὴν διάνοιαν τῷ περὶ τούτων νόμῳ ἐνέταξεν.

A ut sacerdotes omnes apprime honoraret, maxime vero quos sanctitate vitæ enitere cognovisset. Et cum ex episcopis quidam, qui Deo charus fuisse perhibebatur, diem suum obiisset, sagum illius squalore multo imbutum, eum petiisse, et sub imperiali chlamyde gestasse dicunt : quod bona spe esset, se aliquid de viri ejus imitatione consecuturum. Longior aliquando pluvialis tempestas exstitit, et ipse solitos Circenses ludos populo more recepto gratificans exhibuit. Cum vero ulteriores etiam desiderent imbres, ibi tum egregiam suam erga Deum pietatem declaravit, **443** per præcones populo denuntiari jubens, conducibilius videlicet esse, ut spectaculo repudiato, Deum qui præsenti calamitate eos liberaret, precibus placarent. B Id quod confestim est factum. Litania instituta est : supplicantes processere, laudes Deo reddentes, atque una concors ecclesia civitas tota facta, et ipse medius hymnis canendis præiit habitu privato incedens. Minime vero eum opinio fefellit. Statim enim cœlum aerem turbidum serenitate commutavit, et frumenti non mediocrem inopiam ingens quædam frugum copia et ubertas est consecuta. Atque omnibus ille quidem, propemodum, exornatus fuit bonis : non minus vero eum cohonestavit misericordia, placabilitas, et animi serenitas, tempestatis procellam non admittens; atque insuper fides sincera et probata, una cum religione non ficta, sicuti inde conjicere C licet. Vir quidam asperiorem duriorem que virtutis vitam consectans, præfracto eum adiit animo, ut ab eo quicquam peteret. Atque ubi id sæpius expertus non impetravit, vinculis ecclesiasticis imperatorem a communione arcens subdidit. Post quam autem imperator in regiam suam venit, et epulæ appositæ sunt, convivæque omnes affuerunt, non ille prius cibum sumendum esse, quam vinculis sibi injectis solutus esset, censuit. Quapropter ad antistitem Constantinopolitanum famulum quemdam misit, petens, ut eum ipsum solvere se, qui ligasset, juberet. Cum id episcopus recusaret, et pro vinculo habendum non esse, quod a quocunque ligatum esset, significaret, solutumque adeo jam esse diceret, nondum calculo ejus acquiescendum esse duxit. Multo vero labore is qui ipsum ligaverat inquisitus, eum absolvit. Ac sic tandem imperator cibum sumpsit. Adeo religiosus Theodosius fuit, vitamque suam accuratissime ad divinas leges composuit. Quam ob causam quidquid fuit ex idolis reliquum, ita est funditus disjectum, ut posteris ejus ne vestigium quidem prioris fraudis et seductionis cernere sit datum. Sententiam vero de eis suam in constitutionem (1) retulit.

D

ΚΕΦΑΛ. Δ'.

Ὡς Θεὸς τοῦ θεοφιλοῦς βασιλέως ὑπερασπίζων, τὰ τῶν πολέμων τοῖς παραδόξοις τῶν ἔργων θᾶττον διέλυεν.

Εἰ δέ ποτε καὶ πόλεμος ἐκινεῖτο, ἐπίσης καὶ οὕτος Θεῷ προσεχώρει, τὸν θεῖον ζηλῶν μουσουργὸν Δαυῒδ, εἰδὼς αὐτὸν εἶναι τῆς μάχης ταμίαν. Ἔχων δ' ἐκεῖνον ἀκριβῶς προμηθούμενον, ἀξίους τῶν ἀγαθῶν ἐλπίδων ἐδρέπετο τοὺς καρπούς. Ἐγὼ δὲ τἀληθὲς

444 CAPUT IV.

Ut Deus pium principem defendens, bella omnia insperatis admirandisque rebus statim confecerit.

Si quando bellum motum est, ad Deum confugiebat, divinum melodumque Davidem æmulatus, quod in illius veluti promi condi potestate bella esse sciret : et quod illum certum haberet curatorem, condignos spe bona percepit fructus. Ego

(1) L. *Omnia loca*. C. De sacrifi. pag. et templ.

vero veritatem promulgans, ex plurimis pauca referam, quamvis extra institutum argumentum ferri videar. Roilas ingenti Scytharum Nomadum exercitu coacto, et Istro transito, Thraciam vastavit, et ad reginam quoque urbium venit, subito primo clamore atque impetu, sicuti ipse putabat, eam direpturus atque excisurus. Verum Deus cœlitus imperatorem propugnans, violento tonitru et fulmine demisso, non modo ipsum ustulatum in cineres redegit, sed innumeras quoque copias ejus concidit. Idem etiam adversus Persas fecit. Cum enim prædatoria illorum manus, pace repudiata, derepente finitimos aggrederetur populos, neque auxilia aliqua, quæ oppressis opem ferrent, adessent, ducibus copiisque militaribus aliis bellis occupatis, imbre vehementissimo et grandine maxima Deus illos persequens, progredi ultra passus non est : equosque eorum ita pedicis cohibuit, ut diebus viginti totidem stadia cursu perficere non possent, quoad usque exercitus congregatus fortiter hostibus restitit. Antea quoque cum Persæ quidam Goranne duce, cognominem imperatori urbem oppugnarent, omnisque generis machinis adorirentur, et turres extra muros contra eam excitarent, neque quidquam efficerent, ridendos se dedere, Eunomio urbis episcopo machinas hostium omnes perfringente. Cum namque nostri propter oppugnatorum multitudinem animos desperatione desponderent, precibus ipse contra illos pugnans, urbem salvam conservavit. Ex satrapis tum ibi qui sub Goranne erant, quidam ad blasphemias conversus, itidem ut Rabsaces et Sennacherim, animo furibundo minatus est, sacrum se ejus civitatis templum igne consumpturum. Contumeliam eam non ferens divus Eunomius, tormentum bellicum saxa jaciens ad propugnaculum cui apostoli Thomæ cognomen fuit, disponi, ingentemque lapidem eo in os blasphemi illius emitti jussit. **445** Illicet saxum balista ea tortum, maledici illius satrapæ os detestandum perculit, faciemque ejus omnem comminuit, capite rectissime attrito, cerebroque omni disperso. Quem ubi Gorannes conspexit, expugnatione urbis desperata, fugiens inde discessit, re ipsa victum se esse clamans. Metuque correptus, de cætero per pacta conventa cum Romanis inita pacem est complexus. Tantam Deus ipse fidelis ministri sui imperatoris curam gessit : qui eo nomine illi gratias egit, eumdemque religione debita coluit Porro bella in Occidente contra ipsum et patruum adhuc vivum mota, quomodo Deus solverit, quid dicere attinet ?

πρυτανεύων, ὀλίγα ἐκ πάνυ πολλῶν διηγήσομαι, κἂν καὶ πέρα δόξω τοῦ προκειμένου σκοποῦ φέρεσθαι. Ῥωϊλᾶς γὰρ στρατιὰν πλείστην ἐκ Σκυθῶν νομάδων περιβαλλόμενος, τὸν Ἴστρον διαπεραιωθεὶς, Θρᾴκην τε δῃώσας, ἧκε δὴ καὶ τὴν βασιλίδα πόλιν πορθήσων, καὶ αἱρήσων αὐτοβοεὶ καὶ ἀνάστατον δράσειν διανοούμενος. Ἀλλ' ὁ ἄνωθεν τοῦ βασιλέως ὑπερασπίζων, σκηπτοῖς καὶ πρηστῆρσι βάλλων, οὐ μόνον ἐκεῖνον εἰς τέφραν κατέφλεξεν, ἀλλὰ καὶ τὴν ἐκείνου ἄπειρον στρατιὰν παρανάλωσεν. Ἐπίσης δὲ κἀν Πέρσαις ἐποίει. Ἐπεὶ γὰρ ἐκεῖνοι τὴν εἰρήνην διωσάμενοι ἀθρόον τοῖς πλησιοχώροις ἐπέθεντο, οὐδεμία δέ τις ἐπικουρία ἐκείνοις ἦν, τῶν στρατευμάτων καὶ στρατηγῶν εἰς ἄλλους μεταχωρησάντων πολέμους· ὑετῷ λαβροτάτῳ καὶ χαλάζῃ παμμεγέθει βάλλων Θεὸς, ἐπὶ τὰ πρόσω χωρεῖν ἀνεχαίτιζε· καὶ πέδῃ τοὺς ἵππους κατεῖχεν, ὡς ἐν ἡμέραις εἴκοσι μὴ δυνηθῆναι ἰσάριθμα στάδια διελθεῖν, ἕως ὁ στρατός τε ἠθροίσθη, καὶ γενναιότερον ἀντετάξατο. Καὶ πρότερον δὲ τὴν ἐπώνυμον βασιλεῖ πόλιν Πέρσας πολιορκοῦντας, ἡγουμένου Γοράννου, καὶ πάσαις δὴ προσβάλλοντος μηχαναῖς, καὶ πύργους ἔξωθεν ἀντεγείραντος, μηδὲν ἀνύσαντας γελασθῆναι, Εὐνομίου τοῦ ταύτης ἱεραρχοῦντος ἁπάσας τὰς μηχανὰς διαλύοντος. Ἀπειρηκότων γὰρ τῶν ἡμετέρων τῷ πλήθει τῶν πετροβόλων, ἐκεῖνος εὐχαῖς ἀντιπράττων, ἀθιγῆ τὴν πόλιν ἐφύλαττε. Τῶν δὲ σατραπῶν ἑνὸς, οἳ ὑπὸ Γοράννην ἦσαν, βλασφημεῖν ἐπιβάλλοντος, ἐπίσης τε Ῥαψάκῃ καὶ Σεναχηρεὶμ μανικῶς ἀπειλοῦντος τὸν ἐκεῖσε θεῖον νεὼν πυρπολεῖν, τὴν ὕβριν μὴ ἀνασχόμενος ὁ θεῖος Εὐνόμιος, τὸ λιθοβόλον ὄργανον παρὰ τὴν ἔπαλξιν τεθῆναι προσέταττεν, ὃ τοῦ ἀποστόλου Θωμᾶ ἐπώνυμον ἦν, λίθον τε μέγαν παρηγγύα ἐπὶ τῷ τοῦ βλασφημήσαντος στόματι ἐπιπέμπειν. Καὶ ὃς εὐθὺς κατιὼν, καὶ τῷ βλασφήμῳ τοῦ σατράπου ἐκείνου μυσῷ στόματι προσβαλὼν, τὸ μὲν πρόσωπον ἅπαν ἠφάνιζε· συνέτριβε δ' εὖ μάλα τὴν κεφαλὴν, καὶ τὸν ἐγκέφαλον πάντα τῇ γῇ διέσπειρεν. Ὃν θεασάμενος ὁ Γοράννης, ἀπ' ἐλπίδος γενόμενος τὴν πόλιν ἑλεῖν, ᾤχετο φεύγων πράγμασι τὴν ἧτταν ἀναβοῶν. Εἰς δέος τε καταστὰς, εἰρήνην ἠγάπα, καὶ τουλοιποῦ Ῥωμαίοις ἐσπένδετο. Οὕτω Θεὸς τοῦ πιστοῦ θεράποντος ἐκήδετο βασιλέως, ὁμολογοῦντος τὴν χάριν, καὶ τὴν ἁρμόττουσαν θεραπείαν προσφέροντος. Τὰς δὲ πρὸς Ἑσπέραν μάχας αὐτῷ καὶ τῷ θείῳ ἔτι ζῶντι γεγενημένας ὡς διέλυσε, τί χρὴ καὶ λέγειν;

CAPUT V.

De tyrannis in Occidente contra imperatorem Honorium coortis, et de sororio ejus Constantio.

Cum (1) etenim in regionibus Occidentalibus plurimi tyranni exorti essent, partim alii aliis colluctati, atque ipsi inter se concisi, partim di-

ΚΕΦΑΛ. Ε'.

Περὶ τῶν ἐπαναστάντων τυράννων ἐν ἑσπέρᾳ τῷ βασιλεῖ Ὁνωρίῳ· καὶ περὶ τοῦ γαμβροῦ αὐτοῦ Κωνσταντίου.

Τῇ γὰρ πρὸς Δύσιν ἀρχομένῃ πλείστων δὴ τυράννων γεγενημένων, οἱ μὲν ἀλλήλοις συγκρουόμενοι καὶ ὑπ' ἀλλήλων ἀναλισκόμενοι, ἢ καὶ θείᾳ δυνάμει

(1) Vandalorum, Alanorum Suevorumque duces, legatos ad Honorium cum hujusmodi mandatis misere : Tu cum omnibus pacem habe, ab omnibus obsides accipe : nos nobis confligimus, nobis perimus, tibi vincimus : tuæ erit quæstus reipub. si omnes pereamus. (Diac.)

εἰς χεῖρας τοῖς κρατοῦσι γινόμενοι, πολὺ τὸ θεοφιλὲς ἐκείνοις ἐπεμαρτύρουν. Φθάσαντες γὰρ διελάβομεν τὰ κατὰ Στελίχωνα καὶ τὸν Γότθον Ἀλλάριχον, τοῦτο μόνον παραλιπόντες, ὡς τῶν ἐν Ἰταλίᾳ καὶ Ῥώμῃ ἔκ τινος συμβάντος, Ὀνωρίῳ στασιασάντων τῷ βασιλεῖ, ἐκεῖνος εἰς Ῥάβενναν ἀπεχώρει. Ἀλλάριχον δὲ τοῦτον εὔνουν ἐκείνῳ ἔτι δοκοῦντα, καὶ στρατηγὸν Γαλλίας καθεστηκότα, σὺν στρατοῦ μυριάσι δίκην ληψόμενον τῆς ἐς βασιλέα ὕβρεως, ἔπεμπεν. Ὁ δ' ἐκεῖσε γενόμενος καὶ τέχνῃ μετελθὼν Ῥωμαίους, τὴν Ῥώμην εἰσῄει· καὶ πολλὰ μὲν ἐκ τῶν δημοσίων περιβαλλόμενος χρήματα, τέλος καὶ τὴν ἀδελφὴν Ὀνωρίου Γάλλαν τὴν καὶ Πλακιδίαν, νέαν οὖσαν, καὶ μήπω γάμῳ προσομιλήσασαν, ἀφαρπάσας, ᾤχετο ἀποστάς· Κωνσταντίῳ δὲ κόμητι τὸ ἀξίωμα παρεδίδου ταύτην φυλάττειν, οἷά γε πιστῷ αὐτοῦ μάλα καθεστηκότι. Ὁ δὲ ταύτην λαβὼν καὶ τὰ χρήματα, τῷ βασιλεῖ προσφοιτᾷ Ὀνωρίῳ· μεθ' οὗ ὑποστρέψας, καὶ τοῖς περὶ Ἀλλάριχον συμβαλὼν, ἐκράτει τῇ μάχῃ· καὶ δὴ τῆς εὐνοίας καὶ τῆς περὶ ἐκεῖνον σπουδῆς ἀμειβόμενος, εἰς γυναῖκα Κώνσταντι τὴν Πλακιδίαν ἐδίδου· ὃν ὁ βασιλεὺς, γεραίρων τὴν ἀδελφὴν, στεφάνῳ καὶ ἁλουργίδι καὶ τῇ κοινωνίᾳ τοῦ κράτους ἐτίμα. Καὶ τὴν μὲν Ῥώμην αὐτῷ κατελίμπανεν· αὐτὸς δὲ εἰς τὴν Κωνσταντίνου ἐπὶ συστάσει τοῦ ἀδελφιδοῦ ἐχώρει Θεοδοσίου, ἄρτι Ἀρκαδίου τοῦ πατρὸς τελευτήσαντος. Ἐν Ῥαβέννῃ τοίνυν οἱ στρατιῶται στασιάσαντες, Μάρκον ἀνηγόρευον τύραννον. Οὐ πάνυ δὲ πόῤῥω τοῦτον ἀνελόντες, Γρατιανὸν προῆγον εἰς τὴν ἀρχήν· ὡς δὲ καὶ οὗτος τέσσαρας διαρκέσας μῆνας παρ' αὐτῶν ἀνῃρέθη, Κωνσταντῖνον τῇ ἀρχῇ ἐφιστῶσιν, οἰόμενοι τῇ προσηγορίᾳ ἐπ' ἀσφαλὲς τῆς βασιλείας κρατήσειν. Ἔοικε γὰρ ὡς τοιαύταις δή τισιν αἰτίαις καὶ τοὺς λοιποὺς ἐπελέξαντο. Ἀπὸ δὲ Βρεταννίας, Κωνσταντῖνος ἐπὶ πόλιν Βονονίαν τῆς Γαλατίας περαιωθεὶς (ἐπὶ θάλασσαν ἡ πόλις), τὸ περὶ Γαλάτας καὶ Ἀκοϊτανοὺς στρατιωτικὸν ἅπαν καὶ ὑπήκοον προσηγάγετο· καὶ τὸ μέχρι μεταξὺ Γαλατίας καὶ Ἰταλίας, ὃ δὴ Ῥωμαῖοι Κοττίας Ἄλπεις καλοῦσι· καὶ τὸν πρώτιστον τῶν υἱέων Κώνσταντα, ὃν ἐς ὕστερον καὶ βασιλέα ἀνεῖπε, τότε Καίσαρα χειροτονήσας, εἰς Ἱσπανίαν ἔπεμπεν. Ὁ δ' ἐκεῖσε γενόμενος, οὓς μὲν εὗρε τὰ ἐκεῖσε διέποντας, πρὸς γένος δ' Ὀνωρίῳ ἦσαν, Δίδυμον καὶ Βερονιανὸν εἰς μάχην ἐκείνῳ γενομένους περὶ Λυσιτανίαν, ζωγρήσας σύναμα ταῖς γαμεταῖς ἀνεῖλεν· ἰδίους δ' ἐκεῖσε κατέστησεν ἄρχοντας. Θεοδοσίωλος δὲ καὶ Λαγώδιος, οἳ τῶν ἀνῃρημένων ἀδελφοὶ ἦσαν, φυγάδες γενόμενοι διεσώζοντο· ὁ μὲν εἰς Ἰταλίαν πρὸς Ὀνώριον, Λαγώδιος δὲ εἰς Ἕω Θεοδοσίῳ. Τοῦτο πράξας Κωνστάντιος, πρὸς τὸν πατέρα Κωνσταντῖνον ἦλθε, μὴ φρουρὰν ἀντι-

vina vi in imperatorum manus delapsi, satis illis Dei in eos amorem sunt testificati. Jam enim antea de Stilicone et Alaricho Gotho diximus: illo tantum omisso, quod cum in Italia et in ipsa urbe Roma, casu quodam seditiosi homines imperatori Honorio rebellarent, ipse Ravennam se contulerit: Alarichum autem istum, quem fidum adhuc sibi esse putabat, Galliæ scilicet ab eo ducem creatum, cum frequentissimo exercitu, ut injurias imperatori factas ulcisceretur, miserit. Ille vero cum eo venisset, arte civibus deceptis, Romam ingressus est: atque ibi publica pecunia ablata, tandem et Honorii sororem Gallam, quæ etiam Placidia dicta est, adolescentulam adhuc et innuptam, rapuit, atque inde discessit, eamque Constantio, comitis dignitatem gerenti, fido admodum sibi amico, servandam dedit. Constantius porro illa una cum pecunia accepta, ad imperatorem Honorium venit. Quocum ad hostes reversus, cum Alaricho pugnam commisit, victoriamque obtinuit (1). Quam illius erga se benevolentiam et fidem ut Honorius remuneraretur, in matrimonium ei Placidiam collocavit: eumdemque, sorori talem honorem habens, corona et purpura ornatum, ad societatem imperii extulit. Atque illum quidem Romæ reliquit: **446** ipse vero Constantinopolim ad res Theodosii fratris filii ordinandas, Arcadio illius patre non ita pridem mortuo, profectus est. Sed enim in Britannia milites seditione mota, Marcum tyrannum renuntiarunt. Non multo vero post eo occiso, Gratianum (2) ad imperium evexerunt. Sed cum et hic quatuor exactis mensibus, jugulatus ab eis esset, Constantinum summæ rerum præfecerunt, nomine ipso imperium illi certum tutumque fore opinati. Quam ob causam reliquos etiam ita legisse videntur. Constantinus ex Britannia Bononiam, maritimam Galliæ civitatem trajecit, militesque Galliæ et Aquitaniæ omnes, civesque et subditos usque ad eas quas Romani Cottias Alpes nominant, inter Galliam et Italiam sitas, ad se pertraxit: et maximum natu filium Constantem (quem postea imperatorem renuntiavit) data tum ei Cæsaris dignitate, in Hispaniam misit. Is ibi quos in rerum publicarum administratione invenit, Honorio genere conjunctos, Didymum et Veronianum (3), prælioque (4) secum in Lusitania congressos, et vivos captos, una cum conjugibus interemit, et suos ei provinciæ rectores præfecit. Theodosiolus vero, et Lagodius, qui eorum quos modo necatos esse diximus, fratres erant, fuga sibi consulentes, salvi permansere. Et Theodosiolus in Italiam ad Honorium, Lagodius autem in Orientem ad Theo-

(1) Hoc tempore apud Bethlehem sanctus Hieronymus, uno et nonaginta annis expletis, ad Christum migravit. (Diac.)

(2) Eadem ætate Pelagius Brito, Celestino et Juliano adjutoribus, hæreticum dogma contra gratiam Christi instituit: quod in Carthaginiensi ducentorum decem et septem episcoporum concilio est damnatum.

(3) Pro Veroniano alii legunt *Viridianum*.

(4) Hi cum antea inter se dissensissent in periculo supremo ad concordiam rediere. (Sozom.) Barbaris enim Pyrenæi montis claustra crediditt. (Diac.)

dosium pervenit. Hac re sic acta, Constans ad patrem Constantinum transiit. Cæterum cum incommodum præsidium in Hispaniarum aditu collocasset, maxime cladis et excidii regionibus eis id causa fuit. Postquam enim Constantini copiæ conciderunt, Vandali, Suevi, Alani, gentes feræ, transitu eo occupato, multas urbes et multa castella Galliarum et Hispaniarum, et aliquot tyranni duces ceperunt. Constantinus, cum ei adhuc ex sententia et opinione sua res procederent, filium Constantem Augustum declaravit, et transire in Italiam voluit. Et Cottiis Alpibus superatis, Liberonem Liguriæ civitatem venit. Eridanumque trajecturus, ubi de Alavichi morte certior factus est, retrocessit. Alavichus (1) iste, dux quidem Honorii, proditionis autem suspectus, quasi Constantino Italiæ imperium pararet, fuit. **447** Quam rem ubi Honorius cognovit, ex progressu seu deambulatione quadam reversus, simul atque ab equo descendit, statim gratiarum actiones et laudes Deo obtulit, veluti a manifesto proditore liberatus. Constantinus autem tyrannus, et filius ejus Constans, profugientes, in urbe Arelatensi conclusi sunt. Exercitu namque illorum disperso, gentes quas diximus barbaræ, loca circa Pyrenæum montem opibus atque divitiis referta occuparunt: atque inde, præsidiis negligenter ad transitum ipsum dispositis, in Hispaniam transierunt.

A κουσαν καταστήσας τῆς ἐπὶ τὰς Ἰσπανίας παρόδου. Ὃ καὶ μεγίστης ἀπωλείας αἴτιον τοῖς ἐκεῖσε χωρίοις κατέστη. Καταπεσούσης γὰρ τῆς δυνάμεως τῷ Κωνσταντίνῳ, Οὐάνδαλοι, καὶ Σουῖβαι, καὶ Ἀλανοὶ, ἄγρια ἔθνη, τὴν δίοδον χειρωσάμενοι, πολλάς τε πόλεις καὶ φρούρια τῶν Γαλλιῶν εἷλον, καί τινας ἄρχοντας τοῦ τυράννου. Ὁ δὲ Κωνσταντῖνος ἔτι τοῖς κατὰ γνώμην ὢν, βασιλέα τὸν υἱὸν ἀναγορεύει Κωνστάντιον, καὶ εἰς Ἰταλίαν ἀφικέσθαι ἐβούλετο. Καὶ δὴ τὰς Κοττίας παραμείψας Ἄλπεις, εἰς Λιβερῶνα, πόλιν τῆς Λιγουρίας, ἧκε. Περᾷν δὲ μέλλων Ἠριδανὸν, τὸν Ἀλαβίχου μεμαθηκὼς θάνατον, ὀπίσω ἀνέτρεχεν. Ἐδόβιχος δ' οὗτος στρατηγὸς μὲν ἦν Ὀνωρίου· ὕποπτος δ' ἦν ὡς Κωνσταντίνῳ τὴν τῆς Ἰταλίας κατασκευάζων ἀρχήν. Ὁ μαθὼν Ὀνώριος, ἐξ
B ἐφόδου ἐπανιὼν, αὐτίκ' ἀποβὰς τοῦ ἵππου, εὐχαριστήριον ἀφωσίου Θεῷ, οἷα προφανοῦς ἐπιβούλου ἀπαλλαγείς. Ὁ δὲ τύραννος Κωνσταντῖνος καὶ ὁ παῖς τούτῳ Κωνστάντιος φεύγοντες, εἰς Ἀριήλατον συνεκλείοντο. Τοῦ γὰρ στρατοῦ ἐκείνων διαχυθέντος, τὰ προειρημένα βάρβαρα ἔθνη τὰ περὶ τὸ Πυρρηναῖον ὄρος χωρία κατέλαβον, εὐδαιμονίας καὶ πλούτου ἀνάμεστα· τῶν φρουρῶν ἀμελῶς τῇ ἐκεῖσε παρόδῳ διατεθέντων, ἐκεῖθεν εἰς Ἰσπανίαν παρῆλθον.

CAPUT VI.

De Maximo tyranno, et Gerontio, et Constantino, aliisque a Constantio interfectis: et ut Constantius rem administrarit, Valentiniano tertio post Honorium imperatore Romæ relicto.

Eo tempore Gerontius, Constantini ducum præstantissimus, susceptis contra eum inimicitiis, Maximum quemdam sibi familiarissimum, quod eum imperio commodum esse existimaret, ad imperialem sustulit dignitatem, purpurea ei veste data. Atque illum quidem Taracone versari permisit: ipse autem copiis acceptis, adversus Constantinum progressus est: atque ex itinere Viennam digressus, filio ejus Constanti necem struxit. Ea res de Gerontio ubi ad Constantinum est delata, Edovichum ducem suum ad auxilia ex Francis et Alamanis contrahenda trans Rhenum misit. Et Viennam filio Constanti, nondum Gerontii insidiis sublato, servandam commisit. Gerontius ad Arelatem duxit: eamque urbem, ubi Constantinus profugus erat, obsedit. Honorius autem exercitum ingentem adversus Constantinum tyrannum misit, duce Constantio, quem sororis ejus Gallæ Placidiæ virum fuisse, antea diximus: atque is postea Valentinianum tertium, et Honoriam filiam ex ea genuit. **448** Ea re territus Gerontius, cum paucis celeriter fugit. Reliqui autem milites ejus ad Constantium transierunt. Hispani Gerontium propter subitam fugam contemnendum esse censentes,

C

ΚΕΦΑΛ. Ϛ'.

Περὶ Μαξίμου τοῦ τυράννου, καὶ Γεροντίου καὶ Κωνσταντίνου, καὶ ἄλλων ὑπὸ Κωνσταντίου ἀναιρεθέντων· καὶ ὡς ἦρξε Κωνστάντιος, Οὐαλεντινιανὸν τὸν τρίτον μετὰ Ὀνώριον βασιλέα ἐν Ῥώμῃ καταλιπών.

Τότε τοίνυν Γερόντιος ὁ τῶν στρατηγῶν Κωνσταντίνου κράτιστος, εἰς δυσμένειαν ἐκείνῳ γενόμενος, Μάξιμόν τινα οἰκειότατον αὐτῷ ὄντα, πρὸς ἀρχὴν δεξιὸν εἶναι νομίσας, ἐπὶ τὸν βασιλικὸν ἀνῆγε θρόνον, καὶ τὴν ἁλουργὸν ἐσθῆτα ἐδίδου. Κἀκεῖνον μὲν ἐν Ταρακόνῃ διάγειν εἴασεν· αὐτὸς δὲ τὰς δυνάμεις ἀναλαβὼν, κατὰ Κωνσταντίνου ἐχώρει. Καὶ δὴ ἐκ παρόδου τῇ Βιέννῃ γενόμενος, τῷ ἐκείνου παιδὶ Κώνσταντι παρεσκεύαζε θάνατον. Ὡς δὲ Κωνσταν-
D τῖνος τὰ κατὰ Γερόντιον ἐπυνθάνετο, τὸν μὲν στρατηγὸν ἐκείνου Ἐδόβιχον ἐς τὸ πέραν τοῦ Ῥήνου ἀφίει συμμαχίαν συλλέγειν, ἔκ τε Φράγγων καὶ Ἀλαμανῶν· τὰ δὲ περὶ Βιένναν, τῷ παιδὶ Κωνσταντίῳ, μήπω ἐκ τῆς συσκευῆς Γεροντίου θανόντι, φυλάττειν ἀφῆκεν. Ὁ μὲν οὖν Γερόντιος ἐλάσας ἐπὶ τὴν Ἀριήλατον, ἐπολιόρκει τὴν πόλιν, ἧς ἔνδον ὁ Κωνσταντῖνος φυγὰς ἦν. Ὁ δ' Ὀνώριος στρατιὰν ἀξιόμαχον πέμψας κατὰ τοῦ τυράννου Κωνσταντίνου, ἧς ἡγεῖτο Κωνστάντιος· ὃν φθάσαντες εἴπομεν γαμβρὸν ἐπὶ Γάλλᾳ Πλακιδίᾳ Ὀνωρίῳ γενέσθαι, ὃς καὶ Οὐαλεντινιανὸν τὸν τρίτον ἐγέννα καὶ θυγατέρα Ὀνωρίαν· διαθροηθεὶς ὁ Γερόντιος, ἀνακρότως μετ' ὀλίγων ἔφευγε, τῶν ἄλλων στρατιωτῶν αὐτοῦ προσρυέντων τῷ Κωνσταντίῳ. Οἱ δὲ Ἰσπανοὶ εὐκαταφρό-

(1) Fortasse hic rectius legatur Alarichus, urbis Rom. expugnator.

νητον τῇ ἀθρόᾳ φυγῇ δόξαντα τὸν Γερόντιον, ἀναιρεῖν ἐβουλεύσαντο. Νύκτωρ δὲ τῇ καταγωγῇ ἐπιστάντες, τοῖς ὅπλοις ἱκανῶς πεφραγμένοι, ἀνελεῖν ἐπεχείρουν. Γερόντιος δὲ μεθ' ἑνὸς Ἀλανοῦ καί τισι τῶν ἐπιτηδείων ὑπὲρ στέγης γενόμενοι, οὐχ ἧττον ἢ τριακοσίους τῶν ἐπικειμένων ἀνεῖλον στρατιωτῶν. Ἐπεὶ δὲ τὰ βέλη ἐπιλελοιπότα ἐκείνους ἦσαν, οἱ μὲν οἰκέται δρασμῷ ἐχρήσαντο, λάθρα καθέντες διὰ τοῦ οἴκου αὐτούς· ἀλλὰ καὶ Γερόντιος ἐπίσης διασωθῆναι πρὸς ἰσχύος ἔχων, ἀπείπατο ἔρωτι συνεσχημένος Νουνυχίας τῆς γαμετῆς. Ἅμα δ' ἕῳ, πῦρ κάτωθεν ὑφαψάντων τῶν ἐπιβούλων, ἐπεὶ σωτηρίας ἐκείνῳ ἐλπὶς οὐδαμῶς ὑπελείπετο, πρῶτον μὲν τοῦ συνόντος αὐτῷ Ἀλανοῦ τὴν κεφαλὴν ἀφαιρεῖται οὐκ ἄκοντος· ἔπειτα καὶ τῆς γαμετῆς, αὐτῆς ἐκείνης ὀλοφυρομένης καὶ δάκρυσι προσωθούσης ἑαυτὴν τῷ ξίφει, δεομένης τε πρὶν ὑπὸ χερσὶν ἄλλων γενέσθαι, τοῦτο ὕστατον δῶρον λήψεσθαι, ὑπὸ τῷ ξίφει θανεῖν τοῦ ἀνδρός. Ἡ μὲν οὖν ἄξια τῆς θρησκείας πράττουσα (Χριστιανὴ γὰρ ἦν), ἀνδρείῳ ψυχῆς παραστήματι οὕτως ἀνῄρηται, κρείττονα λήθης τὴν περὶ αὐτῆς μνήμην τῷ βίῳ καταλιποῦσα· ὕστατον δὲ καὶ Γερόντιος, τρίτον ἑαυτῷ τὸ ξίφος κατενεγκών, ἐπεὶ μὴ καιρίως καθήπτετο, τὸ παρὰ τὸν μηρὸν ἐξηρτημένον ξιφίδιον σπασάμενος, κατὰ τῆς καρδίας ἐλαύνει. Ἀλλ' οὕτω μὲν καὶ Γερόντιος ἀπεβίω. Τῆς δ' Ὀνωρίου στρατιᾶς, ἧς Κωνστάντιον ἡγεῖσθαι δηλώσαντες ἔχομεν, παρακαθημένης τὸν Κωνσταντῖνον, ἐκεῖνος μὲν ἐπέμενε τῇ πολιορκίᾳ, Ἐδόβιχον ὃν ἐπεπόμφει πέραν Ῥήνου πρός τε Φράγγων καὶ Ἀλαμανῶν συμμαχίαν ἐκδεχόμενος. Ὃ δὴ δείσαντες οἱ περὶ Κωνστάντιον, ἐβουλεύοντο εἰς Ἰταλίαν ἀναχωρεῖν, κἀκεῖσε Ἐδοβίχῳ συμβάλλειν· τοῦτο δόξαν, ἐπεὶ καὶ πλησίον στρατοπεδεύεσθαι τὸν Ἐδόβιχον ἐπυνθάνοντο, διεπεραιοῦντο τὸν Ῥοδανόν. Καὶ ὁ μὲν Κωνστάντιος ὅσον πεζὸν ἀναλαβὼν τοῦ στρατεύματος, τοὺς πολεμίους ἐνήδρευεν· Οὐλφίλας δὲ ὁ στρατηγὸς τὴν ἵππον προσεπαγόμενος, οὐ πάνυ πόῤῥω λόγον ἐκείνοις καθίστα κρυπτόμενος. Ἐπεὶ δ' οἱ πολέμιοι λαθόντα Οὐλφίλαν παρήμειψαν, καὶ ἤδη εἰς μάχην ἰέναι τοῖς ἀμφὶ τὸν Κωνστάντιον ἔμελλον, σημείου δοθέντος, Οὐλφίλας ἀθρόον ἀναφανείς, κατὰ νώτου τῶν πολεμίων ἤλαυνε. Τροπῆς δὲ γενομένης, οἱ μὲν ἔφευγον, οἱ δ' ἀνῃροῦντο· οἱ δὲ τὰ ὅπλα ῥίψαντες, συγγνώμην ᾔτουν, καὶ φειδοῦς ὡς τάχιστα ἠξιοῦντο. Ἐδόβιχος δ' ἀναβὰς τὸν ἵππον, ἐπ' ἀγρόν τινα ἤλαυνεν Ἐκδικίου τινός, φίλου μὲν αὐτῷ οἱ πάλαι καθεστηκότος, πολλὰ δ' εὐεργετηθέντος. Ὁ δὲ οἷα φίλον δεξάμενος, νύκτωρ τὴν ἐκείνου κεφαλὴν ἐκτεμών, τοῖς περὶ Κωνστάντιον προσῆγε, μεγάλα λήψεσθαι προσδοκῶν. Κωνστάντιος δὲ χάριν εἰπὼν εἰδέναι ἐκείνῳ τῆς πράξεως, τὴν κεφαλὴν ἐλάμβανε. Συνεῖναι δ' ἐκείνοις ἐπιχειρῶν, ἀναχωρεῖν ἐκελεύετο· μὴ γὰρ ἀγαθὴν εἶναι αὐτῷ τε καὶ στρατιᾷ ἡγησαμένῳ κακοῦ ξενοδόχου τὴν συνουσίαν. Ὁ μὲν οὖν ἐπ' ἀνδρὶ ξένῳ καὶ φίλῳ δυσπραγοῦντι ἀνόσια δράσας, λύκος ὤφθη, τὸ τοῦ λόγου, χανὼν εἰς κενόν. Μετὰ δὲ τὴν νίκην ἐπὶ τὴν πόλιν αὖθις τοῦ στρατοῦ διαπεραιωθέντος, τὰ συμβάντα Ἐδοβίχῳ μαθὼν Κωνσταντῖνος,

consilium ejus occidendi ceperunt: et noctu hospitio ejus imminentes, cum armis satis muniti essent, interficere eum sunt aggressi. At Gerontius et Alanus unus, cum quibusdam illius necessariis, tectum ejus domus conscendentes, non pauciores quam trecentos qui eos oppugnabant, interfecere milites. Atque ubi tela eis defuere, famuli quidem clam se ex ædibus demittentes, in pedes conjecerunt. Gerontius autem cum et ipse itidem salvus evadere posset, facere id recusavit, Nunychiæ conjugis amore obstrictus. Cum ipso autem diluculo, hostes domum in inferiori parte incenderunt. Et cum Gerontio nulla salutis spes reliqua esset, primum ille Alani caput non illibentis resecuit: deinde et uxoris; cum illa lamentaretur, et lacrymans se ferro admoveret, precareturque, ut prius extremum hoc munus a marito ferret, ejusque gladio interiret, quam in aliorum perveniret potestatem. Atque illa dignam se religione sua exhibens (Christiana enim erat), virili prorsus animi instituto, ita vitam finiit: præclariorem, quam ut oblivione premi possit, memoriam ad posteros transmittens. Postremo vero Gerontius, cum tertio sibi ipsi ferrum adegisset, nec lethale vulnus inflixisset, quem ex femore suspensum habebat, pugione stricto, cor convulneravit. Et sic Gerontius quoque interiit. Enimvero Honorii exercitu, cui Constantium præfuisse indicavimus, Constantinum circumvallante, ille obsidionem sustinuit, Edovichum, quem ultra Rhenum ad Francos et Alamanos auxiliares adducendos miserat, exspectans. Quod veritus Constantius, retrocedere Italiam versus, ibique confligere cum Edovicho voluit. Idque ita constituit, quod in propinquo Edovichum castra habere audiverat. Itaque cum copiis Rhodanum transiit. Et ipse quidem cum peditatu omni hostibus exitium molitus est: nec minus Ulphilas equitum præfectus, non longe ab eis loco alio clam in insidiis constitit. Postquam autem hostes Ulphilam inscii prætergressi sunt,
449 et jam pugnam inire cum Constantio deberent, signo dato ille subito se ostendit, et hostes a tergo aggressus est. Ordinibus ergo turbatis, alii se in pedes dederunt, nonnulli trucidati sunt: quidam abjectis armis veniam petiere, qui etiam quamprimum in gratiam sunt recepti. Edovichus autem equo conscenso, in agrum Ecdicii cujusdam veteris amici, qui multa ab eo acceperat beneficia, pervenit. Et ille quidem ut amicum eum excepit. Noctu autem capite ei amputato, ad Constantium id, magna se pro eo munera accepturum sperans, pertulit. Constantius gratias homini de facinore eo egit, et caput recepit. Cum vero manere cum eis ille conaretur, discedere inde jussus est. Minime namque sibi et exercitui bono putavit fore infidi hospitis consuetudinem. Quapropter Ecdicius in amico et hospite adversis rebus presso, cum flagitium tam impium designarit, lupus (quod in proverbio dicitur) frustra hians osse visus est.

Post victoriam istam, ubi exercitus ad urbis obsidionem amne transmisso rediit, et Constantinus ea quæ Edovicho acciderant, cognovit, sua sponte imperatoria deposuit insignia : ecclesiamque ingressus, presbyteri suscepit dignitatem. Et cives oppidi jurejurando prius accepto, portas Constantio aperuere : qui etiam omnes servati sunt : atque ex eo tempore, subditi ejus regionis omnes in pristinum statum restituti, Honorio fideles fuere : tyrannus autem cum filio Juliano in Italiam ducti, priusquam ad destinatum locum pervenere, trucidati sunt. Brevi quoque post Jovianus (1); Maximus, quem diximus, Sarus, aliique præterea qui Honorii imperio insidiati sunt, cæsi interiere. Qui sane Honorius, sicuti dictum est, per sororem Gallam Placidiam, in affinitatem Constantium, qui Constantini tyrannidem exterminavit, ascivit : eumdemque propter plurimas præclare bello res gestas in imperii societatem recepit. Ipsius etiam filio Valentiniano, quem illi Placidia progenuerat, nobilissimi dignitatem concessit. Constantii imagines, id quod eis facere mos erat qui pridem ad fastigium imperiale evecti essent, in Orientem missæ sunt : easque cum junior Theodosius non admitteret, et ob talem contumeliam bellum Constantius moliretur, **450** simul et vita et curis ejusmodi cum mors adveniens solvit, cum non longius quam mensibus sex imperasset.

A ἐκὼν τὰ τῆς βασιλείας ἀπέθετο σύμβολα· καὶ τῇ ἐκκλησίᾳ προσιὼν, τὴν τοῦ πρεσβυτέρου ἀξίαν ἐλάμβανεν. Οἱ δ' ἐντὸς τειχῶν ὅρκους πρότερον λαβόντες, τὰς πύλας Κωνσταντίῳ ἀνοίγουσι, καὶ φειδοῦς ἅπαντες ἠξιοῦντο. Ἐξ ἐκείνου τε ἅπαν τὸ τῇδε ὑπήκοον εἰς τὴν προτέραν αὖθις ἦλθε κατάστασιν Ὀνωρίῳ φίλα φρονῆσαν. Ὁ δὲ τύραννος ἅμα Ἰουλιανῷ παιδὶ εἰς Ἰταλίαν ἀγόμενος, πρινὴ τὸν ὡρισμένον φθάσαι τόπον, ἀναιρεῖται. Μετ' ὀλίγον δὲ ἀδοκήτως Ἰοβιανός τε καὶ Μάξιμος ὁ προειρημένος, Σάρος, καὶ ἄλλοι τῇ Ὀνωρίου ἀρχῇ ἐπιβουλεύσαντες, ἀναιροῦνται. Ὅς δῆτα Ὀνώριος, ὥς γε εἴρηται, κατὰ κῆδος ἐπὶ τῇ ἀδελφῇ Πλακιδίᾳ Γάλλᾳ γαμβρὸν ἄγεται Κωνστάντιον, τὸν τὴν Κωνσταντίνου τυραννίδα καθῃρηκότα· καὶ τοῦτον διὰ πλεῖστα τὰ στρατηγήματα εἰς B τὸ τῆς βασιλείας προσλαμβάνεται σκῆπτρον, ἤδη καὶ παῖδα Οὐαλεντινιανὸν τῆς Πλακιδίας γειναμένης αὐτῷ· ᾧ καὶ τὴν τοῦ ἐπιφανεστάτου ἀξίαν περιῆψεν Ὀνώριος. Αἱ δὲ τοῦ Κωνσταντίου εἰκόνες, ὥς γε ἦν ἔθος τοῖς ἄρτι παρελθοῦσιν εἰς τὰ βασίλεια πράττειν, ἀνεπέμποντο πρὸς τὴν Ἕω. Θεοδόσιος δὲ ὁ νέος οὐ προσίετο ταύτας· παρασκευαζομένῳ δὲ Κωνσταντίῳ εἰς μάχην διὰ τὴν ὕβριν, καὶ τῆς ζωῆς καὶ τῶν φροντίδων ἐπιστὰς ὁ θάνατος τὴν ἀπαλλαγὴν παρέσχε, μῆνας οὐ πλείους τῶν ἓξ βασιλεύσαντι.

CAPUT VII.

De tyrannide Joannis Gotthi : et de Aspare et Ardaburio, belli ducibus.

Interea vero Joannes, unus ex iis qui imperatori commentarios scribunt (2), præsenti secundarum rerum statu non contentus, imperio arrepto tyrannus alius exstitit. Placidiam is et Valentinianum expulit, qui etiam Byzantium ad Theodosium navigarunt. Ea re Honorius (3) cognita, dolore immenso correptus, postea hydropis morbo periit. At Joannes tyrannidi incubans, legationem ad Theodosium misit, quæ ut ipse imperator reciperetur, peteret. Legati vero nihil egere, sed primum in custodiam conjecti, deinde in Propontidem exsulatum missi sunt. Porro Placidiam et Valentinianum Thessalonicam duci Theodosius curavit, atque ibi Cæsaris dignitatem sororis filio tribuit : bellum autem adversus tyrannum gerendum Ardaburio duci et filio ejus Aspari commisit. Qui sane Placidiam et Valentinianum secum ducentes, postquam ad Pæones et Illyricos pervenere, Salonas Dalmatiæ oppidum vi ceperunt. Ex eo loco Ardaburius classe contra tyrannum profectus est. Et primum ille quidem secunda fortuna usus est,

ΚΕΦΑΛ. Ζ'.

C *Περὶ τῆς τυραννίδος Ἰωάννου τοῦ Γότθου· καὶ περὶ Ἄσπαρος καὶ Ἀρδαβουρίου τῶν στρατηγῶν.*

Ἐν τούτῳ δὲ Ἰωάννης εἷς τῶν τὰ ὑπομνήματα βασιλεῖ γραφόντων μὴ τὴν παροῦσαν ἀντυχίαν ὑπενεγκὼν, τὴν βασιλείαν ἁρπάσας, ἕτερος τύραννος ἤρθη· καὶ ἐλαύνει μὲν Πλακιδίαν καὶ Οὐαλεντινιανὸν, οἳ καὶ ἐς Βυζάντιον πρὸς Θεοδόσιον ἔπλευσαν· ὃ μαθὼν Ὀνώριος, ἀμέτρῳ λύπῃ σχεθεὶς, νόσῳ ὑδέρῳ ὕστερον ἐτελεύτα. Ὁ δὲ Ἰωάννης ἐπιθέμενος τῇ τυραννίδι, διαπρεσβεύεται πρὸς Θεοδόσιον, δεχθῆναι ὡς βασιλέα δεόμενος. Τῆς δὲ πρεσβείας ἀπράκτου γεγενημένης, οἱ μὲν πρέσβεις φρουρᾷ, ἔπειτα ὑπερόριοι κατὰ τὴν Προποντίδα ἐγένοντο. Πλακιδίαν δὲ καὶ Οὐαλεντινιανὸν εἰς Θεσσαλονίκην ἔπεμπε, κἀκεῖ D τὴν τοῦ Καίσαρος ἀξίαν τῷ ἀνεψιῷ παρετίθει. Τὴν δὲ κατὰ τοῦ τυράννου στρατηγίαν Ἀρδαβουρίῳ τῷ στρατηγῷ καὶ τῷ τούτου υἱῷ Ἄσπαρι ἐγχειρίζει· οἳ δὴ Πλακιδίαν τε καὶ Οὐαλεντινιανὸν συνεπαγόμενοι, ἐπειδὴ Παίονας καὶ Ἰλλυριοὺς διήλασαν, τοὺς Σάλωνας, πόλις δὲ Δαλματίας αὕτη, κατὰ κράτος αἱροῦσιν. Ἐκεῖθεν ὁ μὲν Ἄσπαρ νηΐτῃ στόλῳ κατὰ τοῦ τυράννου ἐχώρει. Καὶ πρῶτα μὲν ἀγαθῇ τύχῃ ἐχρῆτο· ὅμως δὲ ὕστερον οὐ καλῶς οἱ ὁ πλοῦς ἐκείνῳ

(1) Nonnulli hunc Jovinum, alii *Jovium* nominant : cujus frater Sebastianus itidem est cæsus.

(2) Vocantur ii hypomnematographi. L. *Si quos spontaneos*. C. *de decurion*. lib. x.

(3) Honorius cum patre, fratre, et fratris filio, triginta imperavit annis et tricennalia celebravit. Ab eodem Placidia Augusta, Constantio marito ejus mortuo, cum Valentiniano et Honoria liberis pulsa, a Theodosio in Oriente suscepta est. (Diac. Pomp. Cassiod.) Huic soboles nulla fuit. Nam duæ Stiliconis filiæ, Maria et Thermantia, altera post alteram ei nuptæ, Dei judicio inopinata morte præventæ, ex hac luce migrarunt. (Diac.)

ἀπέβη· βίαιος γὰρ ἄνεμος καὶ οὐκ αἴσιος ἐκπνεύσας ἀθρόον, εἰς τὰς χεῖρας αὐτὸν ἐνέβαλε τοῦ τυράννου. Ὁ δὲ πρὸς σπονδὰς ἀφορῶν, φιλανθρώπως Ἀρδαβουρίῳ ἐκέχρητο· ἐν ἀδείᾳ τε πολλῇ τοὺς ἀποστρατήγους τοῦ τυράννου λελυπημένους εὑρὼν, τὴν κατ' ἐκείνου μᾶλλον κρατύνει ἐπιβουλήν· καὶ κρύφα τῷ παιδὶ Ἄσπαρι διεμήνυεν, ὡς ἐφ' ἑτοίμῳ τῷ κατορθώματι τάχιστα παραγίνεσθαι. Ὁ δὲ τύραννος ἐλπίσι μετέωρος ἦν, συλλαβὼν Ἀρδαβούριον, εἰς ἀνάγκην ἐλάσαι τὸν αὐτοκράτορα, ψήφῳ κοινῇ περαίνειν τὸ αἴτημα, καὶ αὐτὸν βασιλέα εἰσδέχεσθαι, εἴ γε βούλοιτο τὸν στρατηγὸν αὐτοῦ σώζεσθαι· καὶ γὰρ ταῖς ἀληθείαις ἐν μεγίστῳ ἀγῶνι καθίστατο βασιλεὺς, μήτι πάθοι πρὸς τοῦ τυράννου ὁ Ἀρδαβούριος. Ὁ δὲ Ἄσπαρ τὴν ἱππικὴν ἀναλαβὼν δύναμιν, καὶ τῷ τάχει τὰς αἰσθήσεις κλέψας, τῆς Ἀκυληΐας μεγάλης πόλεως ἐγκρατὴς γίνεται, ἀταλαιπώρως ταύτην παραστησάμενος, συνόντων αὐτῷ Πλακιδίας καὶ Οὐαλεντινιανοῦ. Δέος δὲ εἰσῄει ἐπὶ τὸ πρόσω ἰέναι, πολλὰς μυριάδας στρατοῦ ἀθροῖσαι πεπυσμένος τὸν βάρβαρον. Ἀλλ' ἡ τοῦ βασιλέως εὐχὴ καὶ τότε μάλιστα διεφαίνετο. Θεοῦ γὰρ ἄγγελος σχῆμα ποιμένος ὑποδυσάμενος, ὡδήγει τοῖς ἀμφὶ τὸν Ἄσπαρα· καὶ διὰ τῆς παρακειμένης τῇ Ῥαβέννῃ λίμνης διῆγεν (ἐκεῖ γὰρ διατρίβων ὁ τύραννος κατεῖχε τὸν Ἀρδαβούριον), ὅθεν οὐδεὶς οὐδέπω διαβῆναι ἱστόρηται. Θεὸς δὲ ἄρα ἐπίσης τῇ Ἐρυθρᾷ τέμνων τὸ ὕδωρ, τὴν ἄβατον πᾶσιν ἀνεδείκνυ βατήν. Ἐπὶ γὰρ τοῦ τῆς λίμνης ὕδατος ὡς ἐπὶ ξηρᾶς διαβάντες σύναμα παντὶ τῷ ἱππότῃ στρατῷ, καὶ τὰς τῆς πόλεως πύλας ἐξ ἐφόδου συσχόντες, τῆς πόλεως ἐγκρατεῖς γίνονται. Μάχης δὲ συῤῥαγείσης ὀλίγης, προδοσίᾳ τῶν ἀμφ' αὐτὸν ὁ τύραννος συλλαμβάνεται, καὶ πρὸς Ἀκυληΐαν Πλακιδίᾳ καὶ Οὐαλεντινιανῷ πέμπεται. Κἀκεῖ τὴν χεῖρα πρῶτον διατμηθεὶς, καὶ τὴν κεφαλὴν ἀφαιρεῖται, ἕνα πρὸς τῷ ἡμίσει τυραννήσας ἐνιαυτόν. Ὁ δὲ βασιλεὺς συνήθως καὶ πάλιν ἣν εἶχε περὶ τὸ Θεῖον εὐλάβειαν ἐπεδείκνυτο. Ἐπεὶ γὰρ ἐν Ἱπποδρόμῳ ἡ τοῦ τυράννου νίκη ἠγγέλλετο, προσεφώνει τῷ δήμῳ, « Δεῦρο, λέγων, εἰ δοκεῖ, τὴν τέρψιν παρέντες, ἐπὶ τὸν εὐκτήριον τόνδε οἶκον γενόμενοι, χαριστηρίους ᾠδὰς τῷ τῆς νίκης αἰτίῳ Θεῷ ἀναπέμψωμεν. » Ταῦτ' εἰπόντος, ἡ μὲν θέα ἠμέλητο· διὰ μέσου δὲ τοῦ Ἱπποδρόμου ἰόντες, ἅπαντες ἐν ὕμνοις συμφώνως καὶ ᾠδαῖς εὐχαρίστοις ἐπὶ τὸν παρακείμενον οἶκον Θεῷ ἐπορεύοντο· καὶ μία ἐκκλησία ἡ πᾶσα πόλις ἀθρόον ἐγίνετο, τοῦ λαοῦ παντὸς τῷ εὐκτηρίῳ χώρῳ διημερεύσαντος. Ἐν φροντίσι δ' ἔπειτα ἦν ὁ κρατῶν, τίνα δέοι βασιλέα τοῖς ἑσπερίοις μέρεσι καθιστᾷν ὡς ἐπίπαν διασκεπτόμενος.

A postea autem navalis expeditio ei non bene cessit. Nam subito violentus et incommodus ventus exortus, in tyranni manus eum conjecit. Et ille ad pacificationem spectans, humaniter Ardaburium tractavit. Ardaburius in securitate multa, cum eos qui a tyranno ducum ordine moti et exauctorati fuerant, mœstos esse videret, insidias etiam contra illum magis struxit : et filio Aspari clam denuntiavit, ut quam celerrime ad occasionem rei bene gerendæ adveniret. Tyrannus Ardaburio capto spe elatus, in eam necessitatem imperatorem cecidisse censuit, ut communi calculo petitionem suam approbaret, et se imperatorem reciperet, si quidem ducem suum salvum esse vellet. Et profecto in maximo imperator erat discrimine, ne quid a
B tyranno adversi Ardaburio accideret. Aspar equitatu accepto, celeritate adventus sui sensum prævenit, et Aquileiam urbem magnam recepit :
A ἐθέλων, ἀλλ' ἐπισκοπῆς ὀρεγόμενος. μὴ ἔχων δ' ὅπως καί τινας ἐπισκοποίη, τῆς τῶν Ναυατιανῶν ἐκκλησίας ὑπανεχώρει, ἐπὶ προφάσει δῆθεν τῆς τοῦ Πάσχα παρατηρήσεως. Καὶ δὴ παρασυνάγειν ἀρξάμενος, παρὰ τὸν Ἀρκαδίου φόρον, ᾧ Ξηρόλοφος ἡ ἐπωνυμία, τὰ πολλὰ διέτριβε· καὶ δὴ ἐπεχείρησε πράγματι μεγίστης ἀξίῳ κολάσεως. Ἐπεὶ γὰρ κατά τινα σύναξιν πολυάνθρωπον ἐκεῖνο τὸ μέρος τῆς εὐαγγελικῆς περικοπῆς διελθεῖν ἔδει, ὅ φησιν, *Ἦν δὲ ἡ ἑορτὴ τῶν Ἰουδαίων ἡ λεγομένη Πάσχα*· προσύφαινε τῇ θείᾳ ῥήσει καὶ οἴκοθεν ἕτερα· ἃ μήτε γραφὴ, ἀλλ' οὐδὲ ἀκοὴ παρέλαβε πώποτε. Τίνα δὲ ἦσαν; « Ἐπικατάρατος, φησὶν, ὁ ἔξω ἀζύμων τὸ Πάσχα ποιήσας. » Ὃ δὴ τ' ἀκουσθὲν, καὶ πρὸς πολλοὺς ἐκδοθὲν, συνήρπαζεν B οἷον καὶ μεθεῖλκε καὶ ὅσοι δὴ ἀκέραιοι παρὰ Ναυατιανοῖς ἦσαν, πρὸς αὐτὸν ἐκεῖνον. Οὐ μὴν ἐπὶ πλεῖον συνέβη ὀνάσθαι τῷ σοφίσματι· καὶ γὰρ εἰς κακὸν αὐτῷ οἱ τὰ τοῦ πλάσματος ἀπεχώρει. Μετ' ὀλίγον γὰρ τὴν ἐκ προλήψεως αὐτῷ γενομένην ἑορτὴν ἐπετέλει. Συνέῤῥει δὲ πρὸς αὐτὸν πλῆθος πολύ. Τῇ δὲ εἰωθυίᾳ παννυχίδι τὸ προσῆκον γέρας ἀφοσιουμένων, θροῦς εἰσέῤῥει δαιμόνιος, ὡς ἄρα εἴη Σισίνιος ὁ ἐπίσκοπος σύναμα πλήθει πολλῷ κατ' αὐτῶν ἥκων. Καὶ θορύβου μεγάλου ἀναῤῥαγέντος, οἷάπερ ἐν νυκτὶ καὶ στενῷ κομιδῇ τόπῳ ἀποληφθέντες, ὑπ' ἀλλήλων συῤῥαγέντες, ὑπὲρ ἑβδομήκοντα ἔθνησκον· ὃ δὴ γενόμενον, πολλοὺς ἀναχωρῆσαι τοῦ Σαββατίου ἐποίησεν. Οὐκ ὀλίγοι C δ' ἐπιμείναντες τῇ ἀγροικικῇ ἐκείνῃ προλήψει κατείχοντο. Σισινίου δὲ τελευτήσαντος, Χρύσανθος εἰς τὴν τῶν Ναυατιανῶν προστασίαν ἐκλήθη· ὃς υἱὸς μὲν ἦν Μαρκιανοῦ τοῦ πρὸ Σισινίου ἐπισκοπήσαντος, ὃς ἐκ νέου κατὰ τὰ βασίλεια ἐστρατεύετο· ἐπὶ δὲ Θεοδοσίου τοῦ πρώτου ὑπατικὸς τῆς Ἰταλίας γενόμενος, ἔπειτα δὲ καὶ τῶν Βρεταννικῶν νήσων βικάριος, θαυμάσιος ἔδοξε ταῖς κοιναῖς διοικήσεσι. Προήκων δὲ ἤδη, τὴν Κωνσταντίνου κατέλαβε. Καὶ δή τινος πόλεως ἐπαρχικὴν ἀξίαν προμνώμενος, εἰς τὴν ἐπισκοπὴν καθειλκύσθη. Σισίνιος γὰρ τελευτῶν, μνείαν ἐποιεῖτο τἀνδρὸς, ὡς ἐπιτήδειος εἴη πρὸς τὸ ἐπισκοπεῖν. Ὁ δ' ὑπ' αὐτὸν λαὸς οἷα νόμον ἄλυτον τὴν ἐκείνου φωνὴν ἐκλαβόμενος, καὶ ἄκοντα βίᾳ προσάγων, εἷλκεν ἐπὶ τὴν προεδρίαν. D Ἐκείνου δὲ διαδράντος, εὔκαιρον εἶναι νομίσας Σαββάτιος τοῦ σπουδαζομένου τυχεῖν, τινὰς ἀσήμους τῶν ἐπισκόπων προσεταιρισάμενος, πείθει χεῖρας ἐπιθεῖναι αὐτῷ, ἐν δευτέρῳ θέμενος οὓς πρότερον ὠμωμόκει ὅρκους. Εἷς δ' ἦν τῶν χειροτονητῶν καὶ Ἑρμογένης ἐκεῖνος· ὃς ἐκκήρυκτος αὐτῷ ἐγεγόνει, βλάσφημα συγγράμματα ἐκτιθέμενος. Οὐ μὴν Σαββατίῳ ἀπέβη εἰς τέλος ἡ τῆς ἐπισκοπῆς ἐπιχείρησις· διὰ μίσους γὰρ γενόμενος τῷ λαῷ, ὅτιπερ δυστρόπῳ γνώμῃ πάντα κάλων ἐκίνει τῇ ἐπισκοπῇ παρεισδῦναι, ἐξώσθη. Χρύσανθον δ' ἀνεζήτει αὖθις· ὃν περὶ Βιθυνίαν εὑρόντες κρυπτόμενον καὶ ἄκοντα πρὸς τὴν ἐπισκοπὴν ἀνῆγον. Φό-

(1) Xerolophus, Ξηρόλοφος. Hic locus declarat locum § *Item lex Cornelia*. Inst. de pub. jud.

νιμος δ' ἐσάγαν καὶ σώφρων ὢν ὁ ἀνὴρ, ἐπιμᾶλλον A τὰς τῶν Ναυατιανῶν ἐκκλησίας αὐξῆσαι καὶ εἰς μέγα ἐπιδοῦναι παρεσκευάσατο· οἴκοθεν μὲν τοῖς πένησι χρυσίον καταβαλλόμενος, οὐδὲν μέντοι τῆς ἐκκλησίας ἐλάμβανε, πλὴν ὅτι μὴ τῶν δύο ἄρτων τῶν εὐλογιῶν ἃς κατὰ Κυριακὴν εἶχεν. Ἐπὶ τόσον δὲ σπουδαῖος περὶ τὴν Ἐκκλησίαν ἐγένετο, ὡς καὶ Ἀβλάβιον τὸν γενναιότατον ῥήτορα τοῦ σοφιστοῦ Τρωΐλου ἀκροασάμενον, συλλαβεῖν, καὶ πρὸς τὴν τοῦ πρεσβυτέρου τάξιν προχειρίσασθαι· οὗ καὶ προσομιλίαι γλαφυραὶ καὶ σύντονοι μέχρι πολλοῦ διεφέροντο· ὃς ἐς ὕστερον καὶ τῆς ἐν Νικαίᾳ τῶν Ναυατιανῶν ἐκκλησίας προέστη, μηδὲ τὸ σοφιστεύειν ἀφείς. Ἐν Ἀλεξανδρείᾳ δὲ αἱ τῶν Ναυατιανῶν ἐκκλησίαι ἐκλείοντο· καὶ τὰ παρ' αὐτοῖς B κειμήλια δημόσια ἐγεγόνει. Γυμνὸς δὲ καὶ Θεόπομπος ὁ ἐκείνων ἐπίσκοπος ἦν. Ἐπίσης δὲ καὶ ἐν Ῥώμῃ εἶχον· ἀφῃρημένοι γὰρ τὰς ἐκκλησίας, ἐν παραβύστῳ που συνῆγον. Μέχρι γὰρ τοῦ παρόντος ἀνθήσαντες ἐπὶ πολλαῖς ἐκκλησίαις καὶ ἀφθόνοις τοῖς πλήθεσι, παρὰ τῶν ἐπισκόπων τῆς καθόλου Ἐκκλησίας πάντ' ἀφῃρέθησαν, μὴ ἐπ' ἀδείας συνάγειν συγχωρηθέντες· καὶ πάντα τὰ αὐτῶν ἀφελόμενοι, ἐπαίνῳ δῆθεν προσήγοντο. Οὐ μὴν δὲ καὶ ἐν Κωνσταντινουπόλει τοῦτο πεπόνθασιν· ἀλλὰ μετὰ τοῦ στέργειν καὶ ἔνδον συνάγειν αὐτοὺς εἴασαν, κατὰ μόνον τὸ κηρύττειν τὸ ὁμοούσιον, ὡς καὶ πρότερον ἀρκούντως διέλαβον. Καὶ περὶ μὲν τῶν Ναυατιανῶν τοσαῦτα. Ἐτελεύτα δὲ τὸν βίον τηνικαῦτα καὶ Θεόδωρος ὁ τῆς Ἀρειανικῆς θρησκείας C κατὰ τὴν Κωνσταντίνου προεστηκὼς, εἴκοσι πρὸς τοῖς ἑκατὸν ἔτη βεβιωκώς· ὃν ὡς δραστήριον περὶ τὴν θρησκείαν, ἐκ τῆς Ἀντιόχου Ἀρειανοὶ ἐπὶ τὴν Βύζαντος ἤγαγον. Οὗ διάδοχος καθίσταται Βάρβας ὄνομα· ἐφ' οὗ ἡ τῶν Ἀρειανῶν θρησκεία δύο ἐλλογίμων ἀνδρῶν ηὐμοίρησε· καὶ ἄμφω δὲ πρεσβύτεροι ἦσαν· ὧν τῷ μὲν ἑνὶ Τιμόθεος, θατέρῳ δὲ Γεώργιος ὀνόματα ἦσαν. Ἀλλὰ Γεώργιος μὲν τὴν Ἑλληνικὴν μᾶλλον παιδείαν ἤσκητο· Τιμόθεος δὲ τοῖς θείοις λόγοις πλέον διέκειτο. Κἀκεῖνος μὲν Ἀριστοτέλει καὶ Πλάτωνι συνῆν ἀεί· ὁ δὲ τὸν Ὠριγένην ἐπὶ γλώττης ἔπνει· καὶ τὰ ἱερὰ γράμματα ἐκδιδάσκων παῤῥησίᾳ, καὶ τὴν Ἑβραίων γλῶτταν ἠσκεῖτο. Ὁ μὲν οὖν Τιμόθεος τῆς Ψαθυριανῶν αἱρέσεως μετειλήφει· Γεώργιος δὲ ὑπὸ Βάρβα κεχειρο- D τόνητο. Ἕτοιμος δ' ἦν ὁ Τιμόθεος ἀποκρίνασθαι καὶ λύσιν ἐξ ἑτοίμου παρασχεῖν ὅσα δῆτ' ἀσαφῆ τοῖς θείοις λογίοις εὑρίσκοιτο· καὶ μάρτυρι ἐπὶ πᾶσι μάλιστα τῷ Ὠριγένει ἐχρῆτο. Ὃ καὶ θαυμάζειν καὶ ὑπὲρ ἀμφοτέρων ἔπεισί μοι, πῶς τοῖς Ἀρείου δόγμασιν εἵποντο, ὁ μὲν Πλάτωνα, Τιμόθεος δὲ τὸν Ὠριγένην ἄντικρυς πνέοντες. Οὐδὲ γὰρ Πλάτων τὸ δεύτερον καὶ τὸ τρίτον, ὡς αὐτὸς καλεῖν εἴωθεν, ἀρχὴν ὑπάρξεως εἰληφέναι φησίν. Ἀλλὰ καὶ Ὠριγένης ἁπανταχοῦ τῶν λόγων διαῤῥήδην συναΐδιόν φησι τὸν Υἱὸν Πατρί. Πλὴν εἰ καὶ τῇ ἐκείνων

A silio, omnem funem movens, episcopatum consequi contenderet, ab eo rejectus est. Chrysanthus autem rursum inquisitus. Qui in Bithynia, ubi latebat, inventus, etiam reluctans ad episcopatum est evectus. Is quod prudens admodum et castus vir esset, ecclesiam Novatianorum magnis incrementis auxit. Pecuniam enim ipse suam in pauperes erogans, nihil ex ecclesia percipiebat præter quam duos benedictionis panes, quos diebus Dominicis habebat. Adeo autem ecclesiasticæ rei promovendæ studiosus fuit, ut Ablabium nobilissimum oratorem, Troili sophistæ auditorem, sibi adjunxerit, et in presbyterorum ordinem cooptarit : **464** cujus etiam conciones populares, suaves et vehementes, diu exstiterunt. Hic postea Novatianorum Ecclesiæ in Nicæna urbe præfuit, sophisticam etiam tum professus. Sed enim Alexandriæ Novatianorum ecclesiæ clausæ, et donaria ornamentaque eorum publicata fuerant. Nudus etiam Theopompus episcopus eorum erat. Neque illi Romæ melius habebant; ecclesiis enim eis ademptis, in locis obscuris conventus agebant. Hactenus namque cum et multis et frequentibus ecclesiis floruissent, per episcopos catholicos illis eis tum ademptis, neque conventuum cogendorum libertas permissa fuerat. Et cum ablata eis omnia, tum in judicia ipsi quoque sunt protracti. Constantinopoli vero non eadem passi sunt. Præterquam enim quod expulsi non sunt, intra urbem C etiam ecclesias cogere eis licuit, propter unam hanc causam, quod ὁμοούσιον, consubstantiale, deprædicarent, sicuti fusius antea a nobis est dictum. Hæc de Novatianis. Eo tempore defunctus etiam est Dorotheus Arianæ religioni Constantinopoli præfectus, cum ad centesimum et vicesimum vitæ annum pervenisset : quem quod strenue sectam suam tueretur, Ariani ex Antiochia Constantinopolim transtulerant. Cujus successor fuit Barbas, sub quo Ariana religio duos eximios habuit viros, presbyteros ambos : alteri Georgio, alteri Timotheo nomen erat. Georgius Græcorum magis disciplinis pollebat, Timotheus divinis litteris plus delectabatur. Et ille in Aristotele et Platone semper versabatur : hic Origenem spirans in ore habebat, et D sacras Litteras publice docens, in Hebræorum quoque lingua desudabat. Timotheus quidem Psathyrianorum hæresis particeps fuerat : at Georgius a Barba fuerat ordinatus. Timotheus promptus paratusque fuit de sacris Litteris respondere : et facile quæ in divinis oraculis obscura invenirentur, solvere et explicare potuit, atque in locis omnibus Origene maxime teste usus est. Quapropter utrumque admirari mihi in mentem venit, quomodo scilicet ut Arii dogma sequerentur, animum induxerint, alter Platonem, alter Origenem prorsus spirans : quod et Plato (1) secundam et tertiam

(1) Plato τὸ δεύτερον καὶ τὸ τρίτον αἴτιον initium substantiæ ὑπάρξεως accepisse negavit. Unde Justinus martyr aliquam notionem Trinitatis sanctissimæ Platonem habuisse opinatus est.

causam, ut ipse nominare solet, initium essentiæ cepisse non dicat: **465** et Origenes ubique in scriptis suis, verbis disertis coæternum Patri Filium esse (1) profiteatur. Nihilominus tamen in ecclesia illorum permanserunt, nisi quod Arianorum religionem sensim et clam corrigendo in melius traduxerunt. Multas namque Arii blasphemias in libris suis repudiarunt. De his satis.

A ἐκκλησίᾳ παρέμειναν, ἀλλ' οὖν τὴν Ἀρειανῶν θρησκείαν λεληθότως ἐπὶ τὸ κρεῖττον δῆθεν μετέβαλον. Πολλὰς γὰρ Ἀρείου βλασφημίας τοῖς οἰκείοις λόγοις ἀπώσαντο. Τοσαῦτα καὶ περὶ τούτων.

CAPUT XIV.

Ut post Theophilum Cyrillus, nepos sororis ejus filius, ejus sedem Alexandrinam sit consecutus, et de Judæorum Alexandriæ concitata seditione.

Quinto Theodosii imperii anno, lethargico morbo correptus Alexandriæ Theophilus, quindecima Octobris mensis die diem suum obiit. Et cum de episcopatus petitione contentio exorta esset, quibusdam placebat, ut Timotheus quidam, qui archidiaconus ejus ecclesiæ erat, episcopus legeretur; alii Cyrillo magis favebant, qui Theophili fratris filius erat, profanarumque simul et sacrarum litterarum peritia multis modis omnes superabat: virtutis etiam genere omni, in qualibet laudem et gloriam consecutus, excellebat: cujus ad hæc usque tempora scripta plurima circumferuntur, quorum longe optimum est, quod *Thesauros* inscripsit, ex omnibus sacrarum Litterarum scriptis, syllogismorum ratiocinationibus et demonstrationibus mysterium sanctæ Trinitatis ostendens. Aliud præterea, cujus titulus est τὰ Γλαφυρὰ, hoc est, scita seu elegantia, in quo ea quæ in veteribus Scripturis figurate dicta sunt, ad Christum et Ecclesiam nostram refert. Liber item alius, qui *De spirituali cultu* titulum habet. Alius etiam *Ad Palladium*, in dialogo pro Spiritu sancto compositus. Alius insuper, quem contra Julianum pro sacro Evangelio conscripsit. Alii denique plures, atque etiam epistolæ. Qualis autem is vir fuerit, cum res Nestorii et tertiæ synodi persequemur, satis liquebit. Enimvero seditione in populo de episcopi electione mota, Timothei partibus non parum momenti attulit Abundantius, qui tum militarium ordinum dux erat. Tertio vero die, post Theophili scilicet mortem, factio altera quæ Cyrillum designaverat, vicit: et ad episcopatum majore fastu, profanorum magistratuum more, Cyrillus, quam decessores ejus episcopi, progressus est. **466** Unde adeo initium sumptum est in Ecclesia Alexandrina, ut episcopi magis etiam profana negotia curarent. Porro Cyrillus jam inde a principio hæresim nullam Alexandriæ publice coli passus est. Judæorum quoque gentem inde ob ejusmodi causam exegit. Cum vulgus omne, ut in summa dicam, seditiosum est, facillimeque ad tumultus bellicos permovetur: tum Alexandrinus populus eis maxime gaudet, et proclivis ad turbas est: ac si exiguam saltem occasionem arripuerit, illico accenditur: nec prius absistit, quam intolerabilia deciderit mala: et citra sanguinem fusum non facile dirimi atque componi

ΚΕΦΑΛ. ΙΔ'.

Ὡς μετὰ Θεόφιλον Κύριλλος ὁ ἀδελφιδοῦς αὐτοῦ τὸν τῆς Ἀλεξάνδρου θρόνον ἐλάμβανε· καὶ περὶ τῆς γενομένης ἐν Ἀλεξανδρείᾳ τῶν Ἰουδαίων στάσεως.

Ἔτει δὲ πέμπτῳ τῆς Θεοδοσίου ἀρχῆς Θεόφιλος ὁ Ἀλεξανδρείας τέλει τοῦ βίου ἐχρήσατο πέμπτῃ καὶ δεκάτῃ Ὀκτωβρίου μηνός. Τῆς δ' ἐπισκοπῆς ἐπιμάχου γεγενημένης, τοῖς μὲν ἐδόκει Τιμόθεόν τινα χει-
B ροτονεῖν, ὃς ἀρχιδιάκονος τῆς ἐκεῖσε ἐκκλησίας ἐτύγχανεν ὤν· οἱ δὲ Κυρίλλῳ μᾶλλον προσέκειντο, ὃς ἀδελφιδοῦς μὲν ἦν Θεοφίλου, τῇ δὲ Ἑλληνικῇ παιδείᾳ καὶ τοῖς καθ' ἡμᾶς λόγοις πολλῷ τῷ μέτρῳ διαφερόντως πάντας ἐνίκα· ἀρετῇ δ' ἁπάσῃ προέφερεν ἐφ' ἑκάστῃ κληρωσάμενος τὸ εὐδόκιμον· οὗ καὶ συγγράμματα πλεῖστα ἐς δεῦρο ἐμφέρεται, ὧν ἄριστον, ὃ *Θησαυροὺς* ὠνόμασεν, ἐξ ἁπάσης Γραφῆς θειοτέρας ἀποδεικνὺς συλλογιστικαῖς ἀποδείξεσι τὸ τῆς ἁγίας Τριάδος μυστήριον. Ἄλλο ἐπὶ τούτῳ, τὰ *Γλαφυρὰ*, τὰ τῆς παλαιᾶς Γραφῆς τυπικῶς εἰρημένα, εἰς Χριστὸν καὶ τὴν καθ' ἡμᾶς Ἐκκλησίαν ἀνάγον. Ἕτερον βιβλίον, ὃ *Περὶ τῆς ἐν πνεύματι λατρείας* τὴν ἐπιγραφὴν ἔχει. *Τὰ πρὸς Παλλά-*
C *διον*, ἕτερον, διαλογικῶς συντεθὲν ὑπὲρ τοῦ ἁγίου Πνεύματος· καὶ ὃ κατὰ Ἰουλιανοῦ ὑπὲρ τοῦ ἱεροῦ Εὐαγγελίου συνέταξεν. Καὶ ἄλλα ἐπὶ τούτοις πολλὰ καὶ ἐπιστολαί. Δείξει δὲ οἷος ἀνὴρ, ἡνίκα διέξιμεν τὰ κατὰ Νεστόριον καὶ τὴν τρίτην σύνοδον. Τῷ τότε δὲ στάσεως γενομένης τῷ δήμῳ περὶ ἐπιλογῆς ἐπισκόπου, τῷ μέρει Τιμοθέου οὐ μικρὰν ἐδίδου ῥοπὴν Ἀβουνδάντιος ὁ τηνικαῦτα τῶν στρατιωτικῶν ταγμάτων ἡγούμενος. Μετὰ δὲ τρίτην ἡμέραν θάτερον ἐνίκα μέρος, ὃ τὸν Κύριλλον ἐπελέγετο. Καὶ προῆλθεν ἐπὶ τὴν ἐπισκοπὴν ἀρχικώτερον Κύριλλος ἢ οἱ πρὸ αὐτοῦ ἱερεῖς· ὡς ἐκεῖθεν καὶ ἀρχὴν εἰληφέναι τὴν ἐκκλησίαν, καὶ τῶν πραγμάτων μᾶλλον ἀντιποιεῖσθαι. Εὐθὺς δὲ Κύριλλος οὐδεμίαν τῶν αἱρέσεων ἐπὶ τῆς Ἀλεξάνδρου παῤῥησιάζεσθαι εἴασεν· ἀλλὰ
D καὶ τὸ Ἰουδαίων ἔθνος ἐκεῖθεν ἤλασε τοιαύτης γεγενημένης αἰτίας. Καὶ πᾶς μὲν δῆμος, ὡς ἐπίπαν εἰπεῖν, στασιώδης καὶ πρὸς μάχην ῥᾷστα κεκινημένος· πολλῷ δὲ μᾶλλον ὁ τῆς Ἀλεξάνδρου τοῖς τοιούτοις μάλιστα χαίρει, καὶ ἑτοίμως ἔχει πρὸς ταῦτα. Εἰ δὲ καὶ σμικρᾶς τινος ἀφορμῆς ἐπιλάβοιτο, εὐθὺς ἀνάπτεται· καὶ οὐκ ἂν πρότερον ἀποσταίη, πρὶν εἰς ἀφόρητα περιελαθῆναι κακά· καὶ ἄνευ αἵματος οὐκ ἂν ῥᾳδίως διακριθείη. Ἐστασίαζε μὲν οὖν αὐτὸ τὸ πλῆθος πρὸς ἑαυτὸ οὐ διά τι ἐπάναγκες, ἀλλὰ διὰ τὸ τηνικαῦτα σχεδὸν πάσῃ πόλει ἐπιπολάσαν κακόν. Τὸ δὲ ἦν, πάντ' ἀφεμένους, πᾶσαν περὶ τοὺς ὀρχηστὰς ποιεῖσθαι σπουδήν. Ἐπὶ μέντοι Σαββάτῳ πλεῖον τὸ

(1) Secundum Origenem Filius Patri συναΐδιος.

θέατρον τοῖς ὀρχησταῖς συνηγείρετο, ἅτε δὴ τῶν Ἰουδαίων οὐ πρὸς τὴν τοῦ νόμου ἀκρόασιν τὴν ἀργίαν καταχρωμένων, ἀλλὰ τὸ τοῖς θεάτροις μᾶλλον ἐνασχολεῖσθαι. Διά τοι τοῦτο καὶ ἐπίμαχος ἡ ἡμέρα αὕτη τοῖς τοῦ δήμου καθίστατο μέρεσι· καὶ τούτου χάριν ὑπὸ τοῦ τῆς Ἀλεξανδρείας ἐπάρχου ἐν τάξει καταστάντος, οἱ Ἰουδαῖοι οὐδὲν ἧττον ἐπέκειντο, θατέρῳ τῶν μερῶν ὥσπερ ἀντιπαθοῦντος. Ἀεὶ μὲν οὖν πολέμιον τοῦτο τὸ φῦλον Χριστιανοῖς, καὶ εὐσεβεῖν ἀναπεπεισμένον, ἢν ὅτι πλεῖστον αἴτιον γένοιτο κακόν τι πάσχειν ἡμᾶς· τότε δὲ καὶ μᾶλλον διὰ τὴν εἰρημένην αἰτίαν τῶν ὀρχηστῶν καὶ πλεῖστόν καθ' ἑαυτῶν ἦσαν ἐκπεπολεμωμένοι. Καὶ δή τινα πολιτείαν πρυτανεύοντος Ὀρέστου τοῦ τῆς Ἀλεξανδρείας ἐπάρχου τῷ δήμῳ (οὕτω γὰρ εἰωθὸς ὀνομάζειν τὰς δημοτικὰς διατυπώσεις), παρῆσαν καὶ ὅσοι περὶ τὸν ἐπίσκοπον Κύριλλον φίλα ἐκείνῳ φρονοῦντες, τὰς τοιαύτας διατυπώσεις ὀψόμενοι· ἐν οἷς ἦν καί τις Ἱέραξ ὄνομα. Ὃς γραμμάτων μὲν τῶν πεζῶν διδάσκαλος ἦν, τοσοῦτον δὲ ταῖς τοῦ Κυρίλλου διδασκαλίαις ἐξήρτητο, ὡς μηδὲν ἄλλο αἱρεῖσθαι ἢ τὴν ἐκεῖθεν ἀκρόασιν, καὶ κρότους ἐγείρειν τοῖς ἐκείνου νοήμασιν ἐπισπεύδειν. Ὃν ἰδόντες τὰ πλήθη τῶν Ἰουδαίων, εὐθὺς ἐχρῶντο βοῇ, διὰ μηδὲν ἄλλο τῷ θεάτρῳ ἐκεῖνον παραβαλεῖν, ἢ ἵνα στάσιν ὑπανάψῃ τῷ δήμῳ. Ὁ δ' ἔπαρχος Ὀρέστης, καὶ πρῶτον μὲν τὴν παράλογον τῶν ἐπισκόπων δυναστείαν διὰ μίσους εἶχεν· ὅτιπερ πολύ τι παρυφέλκειν ᾑροῦντο τῶν ὑπὸ τὴν ἐξουσίαν ἐκείνῳ δημοσίων πραγμάτων· μάλιστα δ' ὅτι τότε καὶ Κύριλλος εἰς λεπτὸν διαθρεῖν τὰς τοῦ ἐπάρχου διατυπώσεις ᾑρεῖτο, καὶ ὡς ἄν τις φαίη περιεργάζεσθαι. Εὐθὺς οὖν ἀνάρπαστον τὸν Ἱέρακα ποιησάμενος, πληγαῖς ὑπέβαλε, καὶ σφόδρα ᾐκίσατο. Ὁ γνοὺς ὁ θειότατος Κύριλλος, τῶν παρὰ Ἰουδαίοις τοὺς πρώτους μεταστειλάμενος, παρῄνει ὅσα εἰκός· καὶ τέλος διηπείλει δεινὰ δράσειν, εἰ μὴ παύσαιντο τὸν δῆμον ἀνακινοῦντες, καὶ κατὰ τῶν Χριστιανῶν ὡς πλεῖστον διερεθίζοντες. Οἱ δὲ τὰς ἀπειλὰς διακούσαντες, μᾶλλον ἀνηρεθίζοντο, καὶ ἐπὶ βλάβῃ τῶν Χριστιανῶν πλείστας ἐπενόουν τὰς μηχανάς· ὧν τὴν κορυφαιοτάτην καὶ τῶν ἄλλων, ὡς εἰπεῖν, ἐπὶ κακῷ διαφέρουσαν, ἢ δὴ καὶ αἰτία κατέστη Ἰουδαίους τῆς Ἀλεξάνδρου ἐξελαθῆναι, ὡς ἐνὸν διηγήσομαι. Κοινῇ γὰρ συνελθόντες, σύνθημα πρὸς ἀλλήλους ἐποίουν, ὥσθ' ἕκαστον δακτύλιον φέρειν ἐκ φλοιοῦ φοινίκων θαλοῦ, καὶ νύκτωρ ἐπιθέσθαι Χριστιανοῖς. Καὶ δὴ μιᾷ τῶν νυκτῶν, ἀνὰ τὰ κλίματα τῆς πόλεως προῆκαν βοῶντάς τινας, ὡς εἴη πυρὶ καιομένη ἡ Χριστιανῶν ἐκκλησία, ᾗ ἐπώνυμον Ἀλεξάνδρου τοῦ ἐπισκόπου κλῆσίς ἐστιν. Ὁ εἰς ὦτα ἐκείνοις ἀθρόον ἐλθὸν, ἄλλος ἀλλαχοῦ διατρέχοντες ἦσαν, τὴν σφῶν ἀλεξήσοντες ἐκκλησίαν. Ἰουδαῖοι δ' εὐθὺς ἐπιθέμενοι, ἔκτεινον· ἀλλήλων μὲν ἀπεχόμενοι τῇ τῶν δακτυλίων περιβολῇ, οἷς δ' ἐντύχοιεν Χριστιανῶν ἀναιροῦντες. Ἐπεὶ δ' ἡμέρα ἐγένετο, ἔκδηλον τοῖς εἰργασμένοις τὸ πρᾶγμα ἦν. Ζή-

A motum patitur. Itaque multitudo tumultuari inter se cœpit, non necessitate quapiam abducta, sed propter communem, quæ tum omnes prope urbes invaserat, calamitatem. Relictis scilicet rebus omnibus, studium omne in saltatorum spectaculis ponebant. Sabbati die in theatro ad saltatores spectandos frequentiores convenerant homines, Judæis nimirum otio non ad legem audiendam abutentibus, sed in spectacula potius incumbentibus. Quam ob causam eo die major inter populi factiones exstitit pugna. Et quamvis ejus rei gratia Alexandrinæ urbis præfectus, cum instructa cohorte sua ibi adesset, nihilominus tamen Judæi imminebant, veluti alteri factioni resistentes. Quorum natio cum infesta semper Christianis est, pietatemque B se præstare Deo persuasum habet, si quamplurimorum nobis malorum causa sit: tum eo potissimum tempore, propter eos quos diximus saltatores, plurimum etiam adversus seipsos sunt concitati. Et cum Orestes Alexandriæ præfectus populo πολιτείαν, hoc est, institutum quoddam civile (ita enim edicta seu ordinationes publicas nominare mos est) ederet, affuerunt etiam quicunque episcopo Cyrillo favebant, instituta ejusmodi visuri. In his nomine Hierax erat humilioris litteraturæ magister, tantopere ex Cyrilli doctrina pendens, ut nihil aliud faceret libentius, quam illum ut audiret, et plausus ciere ad illius sententias studeret. Hunc ubi Judæorum multitudo conspexit, C statim vociferari cœpit, non aliam ob causam illum in theatrum venisse, **467** quam ut seditionem in populo excitaret. Præfectus Orestes antea quoque præter rationem usurpatam episcoporum potentiam oderat (1), quod illi multa ex publicis negotiis, quæ ad jurisdictionem ejus pertinebant, ad se pertrahere volebant: potissimum autem, quod tum quoque Cyrillus instituta sibi exacte perspicienda, curiositatemque (ut aliquis dicat) in aliena re exercendam statuerat, commotus, rapi confestim Hieracem jussit, verberibusque subditum valde afflixit. Quod ubi divinissimus Cyrillus cognovit, primores Judæorum ad se accitos, ita ut par erat, admonuit: postremo etiam male se eos accepturum esse minatus est, nisi populum commovere, et adversus D Christianos plurimum concitare, desisterent. Minarum denuntiatione ejusmodi audita, illi magis etiam exacerbati, plurimas ad perniciem Christianorum excogitarunt fraudes et machinationes. Quarum præcipuam, aliasque, ut ita dicam, malignitate excellentem (quæ etiam in causa fuit, ut Judæi Alexandria ejicerentur) sicuti potero exponam. Nam communi concilio coacto, de signo et tessera inter se convenerunt, ut unusquisque videlicet aunulum e cortice surculi palmæ gestaret, et noctu Christianos aggrederetur. Proinde nocte quadam, nonnulli per urbis vicos procedentes

(1) Apud Suidam theologi veteris sententia reperitur: Πολιτικὴν ἀρετὴν ἱερωσύνῃ συνάπτειν, συγκλώθειν ἐστὶ τὰ ἀσύγκλωστα: hoc est: Civilem virtutem episcopali functioni applicare velle, ea conjungere est, quæ inter se maxime natura dissident, et connecti nequeunt.

exclamarunt, Christianorum ecclesiam quæ nomen ab Alexandro episcopo habet, ardere. Quod ubi ad illorum aures statim pervenit, alius alio discurrit, ecclesiæ suæ opem laturus. Quos Judæi subito aggressi occiderunt, a seipsis quidem propter annulorum tesseram manus abstinentes: Christianos autem, in quos incidebant, jugulantes. Postquam autem dies illuxit, ex strage ea flagitium in aperto fuit: et Cyrillus zelo percitus, cum multitudine magna ad synagogas eorum venit, easque illis ademit, et substantiam eorum omnem multitudini diripiendam dedit, ipsosque simul omnes urbe expulit. Ita Judæi, qui ab ipsis usque Alexandri temporibus urbem eam incoluerant, rerum omnium egeni, inde discessere, quo quemque sors tulit dispersi. Unus autem ex eis Adamantius nomine, artis medicinæ peritus, Constantinopolim venit, ibique episcopum Atticum adiit, **468** et Christianorum sacra complexus, multo post tempore Alexandriam reversus, eam urbem incoluit.

A λου δὲ πλησθεὶς Κύριλλος, σύναμα πλήθει πολλῷ ἐπὶ τὰς συναγωγὰς αὐτῶν ἥκει· καὶ ἀφαιρεῖται μὲν ταύτας, τὰς δὲ οὐσίας ἀναρπάστους τῷ πλήθει ἐποίει· ἐκείνους δ' ἅμα πάντας τῆς πόλεως ἤλαυνεν. Οἱ μὲν οὖν Ἰουδαῖοι, ἐκ τῶν Ἀλεξάνδρου χρόνων τὴν πόλιν οἰκήσαντες, γυμνοὶ τότε τῶν ὄντων ἐξῄεσαν· καὶ ἕκαστος ὅπῃ ἔτυχε διεσπείροντο. Εἷς δ' ἐκείνων Ἀδαμάντιος ὄνομα, ἐπὶ σοφιστείᾳ ἰατρικῶν λόγων ἔμπειρος, ἐπὶ τὴν Κωνσταντίνου ἀφῖκτο· Ἀττικῷ τε τῷ ἐπισκόπῳ προσιών, καὶ τὰ Χριστιανῶν ἐπανῃρημένος, πολλῷ χρόνῳ ὕστερον ἀναστρέψας, τὴν Ἀλεξάνδρειαν ᾤκησεν.

CAPUT XV.

De dissensione Cyrilli contra præfectum Oresten: et ut lapide Orestes in fronte ictus sit, et de zelo Nitriensium monachorum.

Orestes autem Alexandriæ præfectus graviter id ferens, et pro ingenti detrimento habens, civitatem tam præclaram tot hominibus orbari, rem ad imperatorem retulit. Ipse quoque Cyrillus non cessavit; nam Judæorum is quoque absurdam audaciam ad principem scripsit: nec minus de redintegranda cum Oreste amicitia egit: quod ut faceret, plebs Alexandrina eum coegit. Postquam vero Orestes orationem de gratia reconcilianda non admisit, Cyrillus sacrorum Evangeliorum codicem protulit, ob reverentiam ejus se Oreste placabiliore usurum putans. Cæterum cum tum quoque ille iram non remitteret, atque inter eos implacabile bellum commotum esset, illud evenit. Monachi quidam montes finitimos incolentes, et Nitrienses maxime, zelo et æmulatione accensi, eodem modo pro Cyrillo pugnarunt, quomodo et patruum ejus defenderant, cum eos Theophilus præter rationem omnem contra Dioscorum et Ammonium armavit. Ili cum plures quam quingenti essent, monasteriis relictis Alexandriam venerunt, et Orestem curru vectum in publicum prodire invenientes, conviciis eum affecerunt, idolorum sacrificum et Græcum appellantes, aliisque ejus generis contumeliis proscindentes. Ille quod hæc instinctu Cyrilli fieri existimaret, Christianum se esse professus est, et Constantinopoli ab Attico baptismi mysteriis initiatum (1). Monachi autem cum ne responso quidem dignati sunt. Atque unus ex eis, cui nomen Ammonii erat, saxum quoque in præfecti faciem conjecit: unde ille totus sanguine conspersus est. Porro apparitores milites que ejus, paucis exceptis, alius alio, lapidum ictus metuentes, diffugerunt. Quod ubi populus audivit, ad opem præfecto ferendam omnes confluxere.

B ΚΕΦΑΛ. ΙΕ'.

Περὶ τῆς πρὸς τὸν ἔπαρχον Ὀρέστην Κυρίλλου διαφορᾶς· καὶ ὡς λίθῳ ἐβλήθη Ὀρέστης κατὰ τὸ μέτωπον, καὶ περὶ τοῦ ζήλου τῶν τῆς Νιτρίας μοναχῶν.

Ὀρέστης δὲ ὁ τῆς Ἀλεξάνδρου ὕπαρχος σφόδρα χαλεπήνας ἐπὶ τῷ παρόντι, συμφορὰν ἐποιεῖτο τὸ γεγονός, πόλιν οὕτω περιφανῆ τοσούτων ἄρδην στερηθῆναι ἀνθρώπων, καὶ τὸ συμβὰν βασιλεῖ ἐδήλου. Οὐκ ἠμέλει δὲ ἄρα καὶ Κύριλλος· καὶ αὐτὸς γὰρ τὰ τῶν Ἰουδαίων ἄτοπα δῆλα βασιλεῖ καθιστῶν, οὐχ ἧττον καὶ τῆς πρὸς Ὀρέστην φιλίας ἀντεποιεῖτο, τοῦ πλήθους τῆς Ἀλεξάνδρου τοῦτο προσαναγκάζοντος. Ἐπεὶ δ' Ὀρέστης τοὺς περὶ φιλίας οὐ προσίετο λόγους, Κύριλλος τὴν τῶν ἱερῶν Εὐαγγελίων βίβλον C προΐσχετο, νομίζων ἐντεῦθεν τῇ αἰδοῖ πρᾳοτέρου Ὀρέστου πειρᾶσθαι. Ὡς δ' ἐκεῖνος αὖθις οὐκ ἔλυε τὴν ὀργήν, ἀλλ' ἄσπονδος μάχη ἐν τῷ μέσῳ τούτων ἀνεῤῥιπίζετο, καὶ τοῦτο συνέβη γενέσθαι. Τινὲς τῶν περὶ τὰ ἐκεῖσέ πη ὄρη, καὶ μάλιστα τῶν τῆς Νιτρίας μοναχῶν, ζήλῳ διαθερμανθέντες, τὸν ἴσον τρόπον καὶ ὑπὲρ Κυρίλλου ἐμάχοντο, καθὰ δῆτα καὶ ὑπὲρ τοῦ θείου· ὁπηνίκα Θεόφιλος ἐκείνους σὺν οὐδενὶ λόγῳ, κατὰ τῶν περὶ Διόσκορον καὶ Ἀμμώνιον ὥπλισεν. Ἀφέντες τοίνυν τὰ μοναστήρια ἄνδρες ὑπὲρ πεντακοσίους ὄντες, τὴν Ἀλεξάνδρου κατέλαβον. Ἐπὶ δὲ τοῦ ὀχήματος ἐκεῖνον προϊόντα εὑρόντες, ὕβρεσιν ἔβαλον, θύτην ἀποκαλοῦντες καὶ Ἕλληνα, καὶ ὅσα τοιαῦτα αἰσχρῶς περιύβριζον. Λογισάμενος δ' ἐκεῖνος ταῦτα Κύριλλον σκευωρήσασθαι, Χριστιανὸν ἑαυ- D τὸν ὡμολόγει, καὶ πρὸς Ἀττικοῦ ἐν τῇ Κωνσταντίνου τελεσθῆναι τὰ μυστικά. Οἱ μέντοι μοναχοὶ οὐδὲ λόγου ἠξίουν. Εἷς δ' ἐκείνων, Ἀμμώνιος ὄνομα, καὶ χερμάδι κατὰ τοῦ προσώπου τὸν ἔπαρχον ἔβαλε· καὶ ὅλος ἦν αἵματος ἔμπλεως. Οἱ δὲ περὶ αὐτὸν ταξεῶται ἄλλος ἀλλαχοῦ διεδίδρασκον, τὰς τῶν λίθων δεδιότες βολάς. Ἀκουσθὲν δὲ τῷ δήμῳ, συνέῤῥεον ἅπαντες ἀμύνειν αἱρούμενοι τῷ ἐπάρχῳ. Οἱ μὲν οὖν μοναχοὶ φυγῇ τὴν σωτηρίαν ἐπραγματεύοντο. Ἀμμώνιον δ' ἐπὶ τὸ δικαστικὸν βῆμα συμβαλόντες ἦγον·

(1) Socrat. lib. VII, cap. 14.

ὂν νόμοις ὑπαγαγὼν, ἐπὶ τοσοῦτον ᾐκίσατο, ἄχρις οὗ τὸν βίον μετήλλαξε. Γνώριμα μὲν οὖν βασιλεῖ ταῦτα καὶ Ὀρέστης ἐποίει· ἀλλὰ καὶ Κύριλλος. Τὸ σῶμα δὲ Ἀμμωνίου ἀναλαβὼν, ἐν μιᾷ τῶν ἐκκλησιῶν ἐτίθει, ὄνομα ἕτερον περιθέμενος· ἀντὶ γὰρ Ἀμμωνίου Θαυμάσιον μετωνόμασε, καὶ μαρτυρικῆς ἠξίου τιμῆς· καὶ ἐπ' ἐκκλησίας τὴν παῤῥησίαν αὐτοῦ καὶ τὸν ζῆλον ἐθαύμαζεν, ὡς ἀγῶνα δῆθεν ὑπὲρ εὐσεβείας διενεγκόντα. Κἂν τοῖς πολλοῖς τῶν ὁμοφύλων οὐκ ἔνδικος ἐδόκει ἡ ἐς τόσον τιμή. Προπετείας γὰρ χάριν ἔλεγον δεδωκέναι τὴν δίκην ἐκεῖνον, καὶ οὐκ ἐπὶ τῷ Χριστὸν ἀρνήσασθαι βιασθῆναι θανεῖν ἑλέσθαι. Ἔνθεν τοι καὶ Κύριλλος ἠρέμα ἐῶν, ἐν λήθῃ τὰ κατὰ τὸν Ἀμμώνιον ἐποιεῖτο. Οὐ μὴν τῆς ἐπ' Ὀρέστῃ καὶ Κυρίλλῳ διενέξεως μέχρι τούτου τὸ δεινὸν προῆλθεν· ἀλλ' ἐπελθὸν ἕτερον οὐχ ἧττον ἤπερ ἐκεῖνο χρόνῳ προϊὸν, ταύτην ἠμαύρωσε. Τί δὲ ἦν ἐκεῖνο, λεκτέον.

A Itaque monachi saluti suæ fuga consuluerunt. **469** Ammonius autem comprehensus, ad judicis tribunal ductus est: in quem ille lege agi jubens, eo usque excruciandum curavit, donec vitam morte commutaret. Rem hanc imperatori et Orestes et Cyrillus significavit. Cyrillus Ammonii corpus in ecclesia quadam sepeliit, mutato illius nomine. Pro Ammonio enim Thaumasium, hoc est, *Admirandum* vocavit, eumdemque martyris honore dignatus est: atque in ecclesia libertatem et zelum illius, qui certamen videlicet pro veriore pietate pertulerit, cum admiratione deprædicavit. Sed enim permultis popularibus Christianis illegitimus honor tantus esse visus est, præcipitis audaciæ pœnas eum dedisse, et non vi aliqua adductum, B quæ ei nulla, ut Christum pernegaret, allata esset, moriendum sibi in tormentis esse statuisse, dicentibus. Quapropter et Cyrillus paulatim consilio suo absistens, oblivioni Ammonii res mandavit. Verum enimvero dissidium inter Orestem et Cyrillum non eo tantum indignitatis processit: sed accedens aliud[a] isto non minus quod postea accidit, absurditatem eam oblitteravit. Quid autem id sit, dicendum.

ΚΕΦΑΛ. ΙϚ'.

Περὶ τῆς φιλοσόφου Ὑπατίας, ὡς ἀνῃρέθη ὑπὸ τῶν κληρικῶν Κυρίλλου· καὶ περὶ τῆς δίκης ἣν Ἰουδαῖοι ἔδοσαν τὰ Χριστιανῶν διαπαίζοντες.

Ἐν Ἀλεξανδρείᾳ γυνή τις Ὑπατία ἦν, πατέρα μὲν αὐχήσασα Θέωνα τὸν φιλόσοφον, μαθητευθεῖσα δὲ καλῶς τῷ πατρί· ἐπὶ τόσον παρήνεγκε τοῖς μαθήμασιν, ὡς ὑπερβῆναι μήτοι γε τοὺς κατ' αὐτὴν C φιλοσόφους, ἀλλὰ καὶ τοὺς ἐκ πολλοῦ γεγενημένους· χρηματίσαι δὲ καὶ διάδοχον τῆς Πλατωνικῆς ἀπὸ Πλωτίνου καταγομένης διατριβῆς. Πρόχειρος δ' ἦν πᾶσι τοῖς βουλομένοις τὴν τῶν μαθημάτων γνῶσιν ἐκτίθεσθαι· ὅθεν καὶ ὅσοι φιλοσοφεῖν ἐρωτικῶς εἶχον, παρ' αὐτὴν ἔτρεχον, οὐ μόνον διὰ τὴν προσοῦσαν αὐτῇ σεμνὴν παῤῥησίαν, ἀλλ' ὅτι καὶ τοῖς ἄρχουσι σωφρόνως προσήρχετο. Καὶ οὐκ ἄσχημον ἐδόκει αὐτὴν ἐν μέσῳ παρεῖναι ἀνδρῶν· πᾶσι γὰρ δι' αἰδοῦς ἦν τῇ τῆς σωφροσύνης ὑπερβολῇ, καὶ ἀνὰ στόμα πᾶσι καὶ διὰ θαύματος ἤγετο. Τότε δ' οὖν ὁ φθόνος καὶ κατὰ ταύτης ὡπλίζετο· συχνότερον γὰρ παρὰ τῷ Ὀρέστῃ φοιτῶσα, διαβολὴν κατ' αὐτῆς ἐκίνει τοῖς περὶ Κύριλλον κληρικοῖς, ὡς ἄρ' ἐκείνη εἴη μὴ συμβῆναι πρὸς καταλλαγὰς ἐῶσα Κυρίλλῳ τὸν ἔπαρ- D χον. Καὶ δή τινες ἐκείνων ἔνθερμον Κυρίλλῳ τρέφοντες ἔρωτα, ὧν ἡγεῖτο Πέτρος τις ἀναγνώστου τάξιν πληρῶν, ἐπανιοῦσάν ποθεν συντηρήσαντες, τοῦ δίφρου καθελόντες, ἐπὶ τὴν ἐκκλησίαν, ἣ Καίσαρός ἐστιν ἐπώνυμος, εἷλκον· ἐκεῖσέ τε περιδύσαντες αὐτῇ τὴν ἐσθῆτα, ὀστράκοις ἀνεῖλον· ἔπειτα εἰς μέλη διασπάσαντες, ἐπὶ τὸν ὃς Κιναρὼν ἐκαλεῖτο, χῶρον ἀγαγόντες, δαπάνην ἐπαφῆκαν πυρί. Τοῦτο πραχθὲν, οὐχ ἐλάχιστον μῶμον περιῆψε Κυρίλλῳ

CAPUT XVI.

De philosopha Hypatia, ut a clero Cyrilli sit necata: et de vindicta quam Judæi pertulerunt, propter irrisa Christianorum sacra.

Alexandriæ femina quædam Hypatia erat (1), patrem habens Theonem philosophum, a quo recte instituta, tantum disciplinis excelluit, ut non solum temporis sui, verum etiam qui longe antea exstitissent, philosophos superarit, et in Platonica schola a Plotino deducta, successerit. Prompta illa erat, quibuscunque studiosis, disciplinarum cognitionem proponere. Proinde quicunque philosophiæ amore tenerentur, ad illam veniebant, non tantum propter eam quæ illi inerat honestam gravemque in dicendo libertatem, sed etiam quod caste et prudenter principes adiret viros. Nec indecorum esse videbatur, eam inter viros mediam adesse. Reverebantur et observabant eam omnes propter excellentem pudicitiam, et omnibus illa cum admiratione in ore erat. Adversus hanc tum se invidia armavit. Quod namque frequentius cum Oreste esset, calumniam id ei apud Cyrilli clerum peperit perinde atque ipsa, quominus gratia inter Cyrillum et præfectum coalesceret, impedimento esset. **470** Quapropter ex illis quidam flagranti Cyrillum prosequentes amore, quibus Petrus quidam ex lectorum ordine præiit, redeuntem eam alicunde insidiose observantes, ex curru detraxerunt, atque in ecclesiam quæ a Cæsare (2) nomen habet, rapuerunt: atque ibi vestibus nudatam, testarum fragmentis enecarunt: deinde membratim dissectam (3), in locum qui Cinaron dictus est,

(1) Hypatiam istam ad stuprum promissis et persuasionibus multis sollicitavit juvenis venustus. Illa vero cum dissuasionibus aliis a cœpto suo repellere nequiret hominem, pannum mensium suorum protulit, et fœditate inconcessi et libidinosi concubitus commonstrata illum absolvit. (Suidas.)

(2) Cæsariam dictam esse, ait Socr.

(3) Suidas potius Alexandrinorum audacia et tumultu necatam esse putat: qui de ea plura scribit.

duxerunt, atque ustularunt. Facinus hoc maxime in Cyrillo et ecclesia ejus reprehensum est. Nam a Christi sectatoribus alienæ prorsus sunt invidiæ, dissidia, contentionis studia, pugnæ, cædes, et quæcunque sunt generis ejusdem. Facta hæc sunt quarto episcopatus Cyrilli Alexandrini, Theodosii autem sexto imperii anno, mense Martio, cum jejuniorum sacra celebrarentur. Non ita multo post Judæi rursum, cum detestandum in Christianos commisissent flagitium, dignas persolverunt pœnas, in loco quodam cui Inmestar nomen est, inter Chalcidem et Antiochiam, quæ ad Orontem amnem est, sito. Consueto namque ludicro operam navantes Judæi, lasciva protervitate atque ebrietate extra decorum progressi sunt, et non solum Christianos, sed ipsum quoque Servatorem Christum illudentes traduxerunt: et salutiferum crucis lignum, eosque qui spes suas in eo sitas habent, ridentes, horrendum ejusmodi quiddam instituerunt. Puerum enim Christianum comprehensum in cruce suspenderunt, eumque ludibrio et sannis primum prosecuti, deinde alienatis prorsus mentibus, flagris ad mortem usque conciderunt. Quid vero postea factum? Multi quidem ab illorum, multi etiam a nostra parte inter se concurrentes depugnarunt, et conflictus utrimque gravis factus, adeo ut plurimi trucidarentur. Atque id factum ubi imperator rescivit, ad provinciæ magistratus scripsit, ut in auctores maxime mali tanti, ita ut par esset, animadverterent. Et Judæi comprehensi, justas flagitii per ludum commissi solverunt pœnas, mulcta, ferro, et aliis pœnis mactati.

A καὶ τῇ κατ' αὐτὸν ἐκκλησίᾳ· τοῖς γὰρ αἱρουμένοις Χριστῷ ἕπεσθαι ἀλλότριον πάντη φθόνοι, καὶ φιλονεικίαι, καὶ ἔριδες, μάχαι τε πρὸς τούτοις καὶ φόνοι, καὶ ὅσα δὴ παραπλήσια. Τετάρτῳ μὲν οὖν ἔτει Κυρίλλου τὴν Ἀλεξάνδρου ἐπιτροπεύοντος, ταῦτα ἐπράχθη, Θεοδοσίου δὲ ἕκτον ἔτος διανύοντος τῇ ἀρχῇ, ἐν μηνὶ Μαρτίῳ τελουμένων τῶν νηστειῶν. Οὐκ εἰς μακρὰν δὲ πάλιν Ἰουδαῖοι κατὰ Χριστιανῶν ἐναγῆ διαπεπραγμένοι, ἀξίαν ἔδοσαν δίκην, ἐν Ἰνμεστὰρ οὑτωσὶ καλουμένῳ χώρῳ, ὃς μεταξὺ Χαλκίδος καὶ Ἀντιοχείας τῆς πρὸς τῷ Ὀρόντῃ ἐστί. Ταῖς ἐξ ἔθους γὰρ παιδιαῖς ἐνασμενίζοντες Ἰουδαῖοι, καὶ τῷ πολλῷ τῆς παροινίας ἔξω τῶν εἰκότων τηνικαῦτα γεγενημένοι, οὐ Χριστιανοὺς μόνον, ἀλλὰ καὶ αὐτὸν τὸν Σωτῆρα Χριστὸν τοῖς παιγνίοις διέσυρον. Ἐπεγ- B γελῶντες δὲ τὸ ζωοποιὸν τοῦ σταυροῦ ξύλον, καὶ τοὺς ἐπ' αὐτῷ τὰς ἐλπίδας ἔχοντας, τοιοῦτόν τι πληκτικώτερον διεσκεύαζον. Παιδίον ἐκ Χριστιανῶν συλλαβόμενοι, σταυρῷ προσανῄρτων. Καὶ πρῶτα μὲν γέλωτι καὶ χλεύῃ συνῆσαν· εἶτα τῶν φρενῶν ἔξω γενόμενοι, ἐπὶ τόσον ἐμάστιξαν, ὥστε καὶ ἀνελεῖν. Τί τὸ ἐπὶ τούτοις; Πολλοὶ μὲν ἐκεῖθεν, πολλοὶ δὲ ἐντεῦθεν συῤῥαγέντες πρὸς ἀλλήλους ἠμύνοντο· καὶ χαλεπὴ συμπληγὰς ἐπ' ἀμφότερα τὰ μέρη ἐχώρει, ὡς καὶ πλείστους ἀναιρεθῆναι. Ἐπεὶ δ' ὁ κρατῶν τὸ συμβὰν ἐμάνθανε, τοῖς κατ' ἐπαρχίαν ἄρχουσιν ἔστελλε, τοὺς μάλιστ' αἰτίους ὑπὸ δίκην, ὡς εἰκὸς, ἄγειν. Καὶ συλληφθέντες Ἰουδαῖοι δίκην ἀξίαν ὧν παίζοντες ἐκακούργησαν, ἔδοσαν, ζημίᾳ, καὶ ξίφει, καὶ ἄλλαις κακώσεσιν ὑπαχθέντες.

471 CAPUT XVII.

De Judæo qui dolo sæpe baptizatus, postquam ad Paulum etiam Novatianorum episcopum venit, lavacro baptismi rite parato, ut subito aqua evanuerit. Deo importunitatem eam miraculo coarguente.

Chrysanthus Novatianorum episcopus, ubi septem annos munus suum administravit, vita defunctus, successorem in episcopatu habuit Paulum. Qui cum primum Latinarum litterarum doctor esset, remisso illis nuntio, ad vitam asceticam se contulit: et philosophorum virorum monastico instituto, præstantiorem quam qui in solitudine degunt, vitam egit. Talis enim erat, quales Evagrius eos esse debere dicit, qui in solis locis versantur, monachos, ad quorum mores vitam quoque suam Paulus composuit, jejunans continenter, pauca admodum loquens, ab animatorum cibo abstinens, plurimum neque vino neque oleo utens, indigentes quam maxime amore prosequens: custodiæ inclusos, siquis alius et ipse frequenter visitans: pro eis qui injuria affecti essent, apud principes viros deprecans: qui etiam non gravate, quod ille petebat, faciebant, propter insignem quæ in illo erat religionem. Res sub eo accidit digna prorsus quæ oblivioni et silentio non committatur: quam apud Socratem inventam (1), ipse quo-

C ΚΕΦΑΛ. ΙΖ'.

Περὶ τοῦ Ἑβραίου, ὃς δόλῳ πολλάκις βαπτισθεὶς, ἐπεὶ καὶ παρὰ Παῦλον ἧκεν τὸν Ναυατιανῶν ἐπίσκοπον, τῆς κολυμβήθρας εὐτρεπισθείσης, αἴφνης τὸ ὕδωρ ἀφανὲς ἦν, τὸ ἄτοπον τοῦ Θεοῦ διελέγχοντος.

Ἐν δὲ τούτῳ ἑπτὰ ἔτη διανύσας τῇ ἐπισκοπῇ Χρύσανθος ὁ τῶν Ναυατιανῶν ἐπίσκοπος ἐτελεύτα· τὴν δ' ἐπισκοπὴν διεδέχετο Παῦλος· ὃς πρῶτον μὲν Ῥωμαϊκῶν λόγων διδάσκαλος ἦν· χαίρειν δ' ἐκείνοις εἰπὼν, ἐπὶ τὴν ἀσκητικὴν ἀγωγὴν τὸν βίον μετέθετο. Μοναστήριον δὲ συστησάμενος φιλοσόφων ἀνδρῶν, καὶ κρεῖττον ἤπερ οἱ ἐν ἐρήμῳ βιῶν διετέλει. Τοιοῦτος γὰρ ἦν, οἵους Εὐάγριος δεῖν εἶναί φησι τοὺς ἐν ἐρημίᾳ διατριβὴν ἔχοντας μοναχούς· οἷς κἀ- D κεῖνος παραπλήσια ἔπραττε, συνεχῆ νηστείαν ἔχων, ὀλίγα πάμπαν φθεγγόμενος, μὴ βρώσεως ἐμψύχων μετέχων· τὰ πολλὰ δὲ ἥκιστα οἴνῳ καὶ ἐλαίῳ ἐχρῆτο· φιλόπτωχος δὲ τὰ μάλιστα ὢν, τοὺς ἐν φυλακαῖς εἴ καί τις ἄλλος ἐν ἐπισκοπῇ ἐποιεῖτο. Καὶ πρὸς ἄρχοντας δὲ ὑπὲρ ἀδικουμένων ἱκεσίαν προσῆγεν. Οἳ καὶ θᾶττον ἐτέλουν τὸ αἰτηθὲν διὰ τὴν ἐνοῦσαν εὐλάβειαν τῷ ἀνδρί. Πρᾶγμα δ' ἐπ' αὐτοῦ ἐπράχθη, οἷον εἶναι μὴ ἄξιον λήθῃ καὶ σιγῇ δοθῆναι· ὃ δὴ παρὰ Σωκράτει εὑρὼν, καὶ αὐτὸς καθιστόρησα. Ἰουδαῖός τις τὰ Χριστιανῶν ὑπελθὼν, οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις

(1) Lib. VII, cap. 17.

μετῄει τὸ βάπτισμα, τέχνῃ μετερχόμενος ὡς ἂν χρήματα ἑαυτῷ προσπορίζοιτο. Ὡς δὲ σχεδὸν ἐπὶ πάσας τὰς θρησκείας προῆλθεν, Ἀρειανῶν τε καὶ Μακεδονιανῶν βαπτισμοὺς ἔλαβεν, ἐπεὶ μὴ εἶχεν οὓς τουλοιποῦ ἀπατήσειε, τέλος ἐπὶ τουτονὶ Παῦλον τὸν τῶν Ναυατιανῶν ἐπίσκοπον ἧκε· πλασάμενός τε ἐπιθυμεῖν τοῦ διὰ τῶν χειρῶν ἐκείνου βαπτίσματος, ἐδεῖτο τυχεῖν τῆς ἐφέσεως. Ὁ δὲ τὸ μὲν θερμὸν τῆς σπουδῆς ἀπεδέχετο, οὐ ξυνεχώρει δὲ τοῦ βαπτίσματος, πρινὴ ὡς ἔθος κατηχηθῆναι τὸν λόγον τῆς πίστεως, μετὰ τὴν προηγησαμένην ἐξ ἔθους νηστείαν. Ἐκεῖνος δὲ τῇ παρὰ γνώμην νηστείᾳ πιεζόμενος, συχνότερον ἐπέκειτο τοῦ σπουδαζομένου τυχεῖν. Ἐπεὶ δ' ὁ Παῦλος οὕτως ἔνθερμον ὁρῶν λυπεῖν οὐκέτι ἐβούλετο τῇ παρολκῇ, τὰ πρὸς τὸ βάπτισμα εὐτρεπίζει. B Καὶ δῆτα ἐσθῆτα παρασκευάσας περιφανῆ, καὶ τὸ βαπτιστήριον πλησθῆναι ὡς ἔθος κελεύσας ὕδατος, ἐπ' αὐτὴν προῆγε τὸν Ἰουδαῖον, ὡς βαπτίσων γυμνόν. Ἀῤῥήτῳ δέ τινι θείας προνοίᾳ δυνάμεως τὸ ὕδωρ αἴφνης ἀφανὲς ἦν. Ὡς δὲ τοῖς παροῦσι καὶ τῷ ἐπισκόπῳ μηδὲν διειδόσι τοῦ γενομένου ἐκρεῖν ἐδόκει τὸ ὕδωρ διὰ τοῦ ὑποκειμένου πόρου, ὅθεν εἰώθασιν ἐκεῖνο προπέμπειν μετὰ τὴν τελετὴν, ἕτερον ὕδωρ προσῆγον, προνοίᾳ πολλῇ τὰς ἐκροὰς τῆς κολυμβήθρας ἀσφαλισάμενοι· ὡς δὲ αὖθις ὁ Ἑβραῖος προσήγετο, πάλιν ἐπίσης ἀφανὲς τὸ ὕδωρ ἦν. Συνεὶς δ' ὁ Παῦλος, « Ἢ κακουργεῖς, φησὶν, ἄνθρωπε, ἢ ἀγνοεῖς, ὡς ἔοικε, τυχὼν τοῦ βαπτίσματος. » Πολλῶν δὲ συνδραμόντων τῇ φήμῃ, εἷς τις ἐπέγνω τὸν Ἰουδαῖον, ὡς εἴη πρὸ καιροῦ C παρὰ τοῦ ἐπισκόπου Ἀττικοῦ τὸ βάπτισμα δεξάμενος. Τοῦτο δὲ οὐ παρέργως ἱστόρησα, ἀλλ' ἵνα εἰδέναι ἔχοιμεν, ὡς πολλάκις ἡ χάρις καὶ παρὰ τῶν ἀναξίων τὰ ἑαυτῆς ἐπιδείκνυται, μηδὲν λυμαινομένη ἐντεῦθεν. Μάλιστα δὲ καὶ θαυμάζεσθαι ἀξιόχρεως ποικίλως τοῖς καινοτέροις ἐπιβάλλουσα πράγμασι καὶ διὰ τῶν ἀξίων, καὶ διὰ τῶν ἀναξίων ἔστιν ὅτε, χρείας καλούσης.

A quæ historiæ huic apposui. Judæus quidam Christianismum complexus non semel, sed sæpius baptismum subiit arte quadam et nundinatione usus, ut aliquid pecuniæ conquireret. Atque ubi fere ad religiones omnes, Arianorum videlicet et Macedonianorum, baptismo apud eos suscepto, transiisset, neque alii quos deinceps deciperet, reliqui essent, postremo ad Paulum hunc Novatianorum episcopum venit. Et postquam confictis verbis cupere se, ut manibus illius baptizaretur, dixit, ut desiderio suo satis fieret rogavit. Porro ille ardorem hominis complexus, non prius ad baptismum eum admisit, quam more recepto in verbo fidei institutus esset, solitumque etiam jejunium complevisset. Ille cum B jejunio eo quod præter opinionem suam ei impositum erat, premeretur, frequentius ut voto suo potiretur institit. Paulus ardorem ejus videns, mora longiore perturbare illum noluit, et ea quæ ad baptismum pertinent, rite paravit. Veste namque insigni subornata, et baptisterio aqua sicuti mos erat, repleto, Judæum nudum baptizaturus ad id adduxit. **472** Ecce autem ineffabili quadam divinæ Providentiæ vi, unda derepente evanuit. Ubi vero aqua alia (episcopo ipso et eis qui ibi astabant, rem eam nescientibus, sed aquam per subjectum meatum quo emitti illa post initiationem solebat, effluxisse putantibus) infusa : diligenterque ne ex lavacro illa proflueret provisum, et Judæus denuo adhibitus est, rursum eodem quo prius modo C aqua disparuit. Paulus re cognita : « Aut flagitium, inquit, o homo, facis, aut ignorare videris te baptismum adiisse. » Ad ejus rei famam multi accurrerunt mortales, quorum unus Judæum agnovit, quod scilicet antea ab episcopo Attico baptismum suscepisset. Non obiter hoc quidem recensui, verum ut scire possemus gratiam divinam persæpe etiam se apud indignos exhibere, nullo inde contracto detrimento. Maxime vero illa admiratione digna est, quæ sic varie rebus novis se ostendat per dignos simul : et aliquando etiam, si hoc usus postulet, per indignos.

ΚΕΦΑΛ. ΙΗ'.

Ὅπως καὶ ἐν Πέρσαις ὁ Χριστιανισμὸς ἐπλατύνθη διὰ τοῦ ἐπισκόπου Μεσοποταμίας Μαρουθᾶ, καὶ Ἀβδᾶ τοῦ ἐπισκόπου Περσίδος.

D Κατ' ἐκεῖνο δὲ καιροῦ συνέβαινε καὶ ἐν τῇ Περσῶν χώρᾳ εἰς μέγα ἐπιδοῦναι τὸν Χριστιανισμόν. Ἐπεὶ γὰρ ἐπίτροπος Ἰσδιγέρδης Θεοδοσίῳ ἐκ πατρὸς γέγονε, φίλος τε τὰ μάλιστα Ῥωμαίοις κατέστη· καὶ συνεχεῖς αἰτίαι γεγόνασι, δι' ἃς καὶ μεταξὺ Ῥωμαίων καὶ Περσῶν πυκνὰς συνέβαινε γίνεσθαι τὰς πρεσβείας. Χρείας τοίνυν ἀναγκαίας καλούσης, καὶ Μαρουθᾶς ὁ Μεσοποταμίας ἐπίσκοπος πρέσβυς ἐπέμπετο· ὃν ἤδη ἔφημεν πρὸ μικροῦ, Κυρίνου τοῦ ἐπισκόπου Χαλκηδόνος πατῆσαι τὸν πόδα. Ἐπεὶ δὲ ἧκε, περιφανῶς ὁ Πέρσης διὰ πολλῆς ἦγε τιμῆς Μαρουθᾶν, οἷάπερ ἄνδρα θεοφιλῆ καὶ πολλῆς εὐλαβείας ἀντιποιούμενον. Οἱ δὲ Μάγοι τοσαύτην ὁρῶντες τιμὴν περὶ τὸν Ῥωμαίων ἐπίσκοπον (πλεῖστα

CAPUT XVIII.

Ut etiam apud Persas Christianismus sit propagatus, per Marutham Mesopotamiæ, et Abdam Persidis, episcopos.

Eodem tempore in Persarum quoque regione magna Christianismus cepit incrementa. Cum namque Isdigerdes Theodosii a patre institutus tutor, et Romanis amicus maxime esset, frequentes exstitere causæ, quamobrem inter Romanos et Persas crebræ ultro citroque mitterentur legationes. Itaque necessitate flagitante, Maruthas quoque Mesopotamiæ episcopus, quem paulo ante Cyrini Chalcedonensis episcopi pedem protrivisse diximus, orator eo est missus. Et postquam is ad Persas venit, propalam rex eum in magno habuit honore, ut virum Deo charum et multa pietate præditum. Magi ubi tantum honorem Romanæ ditionis episcopo haberi viderunt, qui plurimum apud regem aucto-

ritate valent, apud seipsos macerabantur, variisque cogitationibus æstuabant, ne una cum ea qua illum prosequebatur affectione, religionem quoque ejus complecteretur, metuentes. Nam capitis quoque dolorem gravem et diuturnum, quo Isdigerdes afflictus fuerat, Maruthas precatione, Deo exorato, statim curaverat: **473** quod Magi cum omnia tentassent, atque egissent, efficere se posse desperaverant. Quapropter dolo regem aggredi statuerunt. Quandoquidem Persæ ignem tanquam Deum colunt, et magos eos appellant qui elementa in numerum deorum referunt, et rex ex consuetudine perpetuum ignem adoravit, virum quemdam in fossam sub terra eo tempore quo rex advenire solitus erat demiserunt, eumque verba hæc Magi proclamare jusserunt: « Exire oportere regem quem Deus impium judicaret, quod tantopere episcopum Christianorum Deo charum existimans, amaret. » Quod ubi Persa audivit, Marutham honeste quidem et reverenter, omnino tamen a se rejiciendi consilium cepit. Maruthas pro suo erga Deum amore precationibus vehementius incumbens, perfacile Persarum dolum edoctus est: et Isdigerdem adiens: « Ne ita illud tibi, ait, patere, o rex. Sed sacrarium ingressus, cum ad te perferri vocem senseris, effodi terram jubeto, et dolus ipse statim patebit. Ignis enim vocem edere, ut qui inanimatus sit, haudquaquam potest: sed fraude humana fabula hæc instituta est. » Rex verbis eis obsequitur. Atque ubi rursum in ædiculam eam in qua perpetuus ignis asservabatur, ingressus, et eadem vox ad eum delata est, illico effodi eum locum jubet, et qui sub terra deum se assimulaverat, mortalis esse deprehenditur. Itaque ira percitus Persa, magorum genus decimavit. Qua re ita acta, Maruthæ præceptum est, ut quocunque vellet loco, in Persarum terra ecclesiam exstrueret. Unde Christianismus in dies, propemodum, etiam in Persarum finibus libere propagatus est. Maruthas legatione eo tempore recte confecta, Constantinopolim est reversus. Et cum iterum oratorem in Persidem mitti oporteret, denuo legationem eam obiit. Magi autem idem quod antea moliebantur, hoc agentes, ut ne rex eo sicuti prius uteretur, neve, apud eum in tanto esset honore. Et arte atque machinatione quadam eo loco intolerandum excitarunt fœtorem, quo rex more suo deambulabat: atque insuper calumniam confinxerunt, fœtorem eum a Christiani episcopi comitibus esse subornatum. **474** Princeps vero Magos, ex eo quod antea fecerant judicans, et eorum quoque id inventum esse suspectos habens, studio omni auctores ejus rei inquisivit. Ubi illi rursum pessimi illius odoris patratores esse comperti sunt, permultos denuo suppliciis subdidit: Marutham autem majore etiam prosecutus est honore. Proindeque Romanos dilexit, et mirifice amicitiam eorum coluit. Quin etiam amore desiderioque ingenti ductus Christianus fieri voluit,

A δ' οὗτοι παρὰ τῷ σφῶν ἰσχύουσι βασιλεῖ). καθ' ἑαυτοὺς ὑπεκνίζοντο, καὶ ἀνωμάλως εἶχον τῶν λογισμῶν, δεδοικότες μὴ τῇ πρὸς ἐκεῖνον στοργῇ καὶ τὸ ἐκείνου σέβας ἀσπάσηται. Καὶ γὰρ καὶ κεφαλῆς ἄλγος χρόνιον καὶ δεινῶς πιέζον Ἰσδιγέρδην, Μαρουθᾶς εὐχαῖς τὸ θεῖον ἐκδυσωπῶν, εὐθὺς ἐθεράπευεν· ὃ Μάγοι πάντα πράξαντες ἀπηγόρευον. Ἀπάτῃ γοῦν μετελθεῖν ἐπειρῶντο τὸν βασιλέα. Ἐπεὶ γοῦν οἱ Πέρσαι τὸ πῦρ ὡς ἐπίπαν λατρεύουσι, καὶ μάγους ἐκείνους καλοῦσιν οἱ τὰ στοιχεῖα μᾶλλον θεοποιοῦσιν· εἰωθὸς δ' ἦν βασιλεῖ τὸ διηνεκῶς καιόμενον πῦρ προσκυνεῖν, ἄνδρα τινὰ ὑπὸ γῆν κατορύξαντες, ᾧ εἰώθει ἐκεῖνος καιρῷ ἔρχεσθαι, φθέγγεσθαι παρηγγύων οἱ μάγοι· « Ἔξω θυρῶν τὸν βασιλέα χρῆναι γενέσθαι, ἀσεβῆ γὰρ τῷ θείῳ κρίνεσθαι,
B ὅτιπερ οἷα θεοφιλῆ τὸν ἱερέα Χριστιανῶν νομίζων διαφερόντως φιλοίη. » Ὁ δῆτ' ἀκούσας ὁ Πέρσης, ἐβουλεύετο τὸν Μαρουθᾶν, αἰδοῖ μὲν, ὅμως δ' οὖν ἀφ' ἑαυτοῦ βάλλειν. Ὁ δὲ Μαρουθᾶς τῷ πρὸς Θεὸν φίλτρῳ ταῖς εὐχαῖς μάλα προσκείμενος, ῥᾳδίως ἐμυεῖτο ὅθεν ὁ δόλος τοῖς Πέρσαις ἐγένετο· καὶ προσιὼν Ἰσδιγέρδῃ, « Μὴ οὕτω παίζου, φησὶ, βασιλεῦ· ἀλλ' εἰσιὼν, ὅτε σοι προσυπαντῆσαι τὴν φωνὴν αἴσθοιο, ὑπορύξαι κάτωθεν κέλευε· καὶ ὁ δόλος πρόχειρος ἔσται φαινόμενος. Τὸ γὰρ πῦρ φθέγγεσθαι οὐδαμῶς ἔστι· πῶς γὰρ, ἄψυχον ὄν; ἀλλ' ἀνθρωπίνη τέχνη τοῦτο δραματουργεῖ. » Πείθεται τοῖς ῥήμασιν Ἰσδιγέρδης. Ἐπεὶ δὲ καὶ αὖθις εἰς τὸν οἰκίσκον εἰσῄει, ἔνθα τὸ ἄσβεστον πῦρ ἐφρουρεῖτο,
C καὶ τῆς ἴσης μετειλήχει φωνῆς, αὐτίκα τὸν τόπον ὀρύττειν ἐκέλευε· καὶ ὁ κάτωθεν θεὸς εἶναι ὑποκρινόμενος ἄνθρωπος εἶναι ἠλέγχετο. Περιοργὴς οὖν γενόμενος διὰ τοῦτο ὁ Πέρσης, τὸ τῶν μάγων γένος ἀπεδεκάτωσεν. Οὗ γενομένου, Μαρουθᾷ ἐνετέλλετο, ὅποι δὴ βουλομένῳ εἴη τῆς Περσῶν γῆς, ἐκκλησίαν ἐξανιστᾶν. Κἀντεῦθεν ὁ Χριστιανισμὸς καθημέραν ὡς εἰπεῖν καὶ παρὰ τοῖς Περσῶν ὁρίοις ἀδεῶς ἐπλατύνετο. Καὶ ὁ μὲν Μαρουθᾶς, τότε μὲν τῆς πρεσβείας οἱ τελεσθείσης ἐφ' ᾧ παρεγένετο, ἐπὶ τὴν Κωνσταντίνου ὑπέστρεφε· δεῆσαν δὲ πάλιν ἐλθεῖν, ἀντεπέμπετο πρεσβείαν πράττων. Οἱ δὲ μάγοι αὖθις τὰ ἴσα σκευωροῦντες ἦσαν, οἰκονομοῦντες ὡς ἂν μὴ ἐπίσης αὐτῷ χρῷτο ὁ βασιλεὺς, ὅσα γε τὰ ἐς τιμήν. Καὶ δὴ μηχανῇ τινι ἀφόρητόν τινα δυσοσμίαν ἐνήρ-
D γουν, ὅθεν εἰωθὸς ἦν ἐκείνῳ διέρχεσθαι. Καὶ συρράπτοντες ἐν διαβολαῖς ἦσαν, ὡς ἄρα ταύτην οἱ τῷ ἱερεῖ Χριστιανῶν συνόντες ἐποίουν. Ἐν ὑποψίᾳ δὲ ὢν ὁ κρατῶν τοῖς φθάσασι καὶ ταύτην τοὺς μάγους ῥᾳδιουργῆσαι, σπουδῇ τῇ πάσῃ τοὺς αὐθέντας τῆς πράξεως ἀνιχνεύων ἠρεύνα. Ὡς δ' ἐξ ἐκείνων καὶ αὖθις οἱ δραματουργοὶ τῆς κακίστης ὀδμῆς ἐγνωρίζοντο, πολλοὺς τῶν μάγων καὶ αὖθις τιμωρίαις ὑπῆγε· τὸν δὲ Μαρουθᾶν καὶ ἐν μείζονι ἀνῆγε τιμῇ. Κἀντεῦθέν τε Ῥωμαίους ἠγάπα, καὶ ὑπερφυῶς τὴν πρὸς ἐκείνους φιλίαν ἠσπάζετο. Τῷ δὲ πολλῷ φίλτρῳ καὶ Χριστιανίσαι ἐν νῷ ἔθετο, ἄλλῃ πείρᾳ τοῦ Μαρουθᾶ, ἣν ἐποίει σύναμ' Ἀβδᾷ τῷ ἐπισκόπῳ Περσίδος, εὐχαῖς συντόνοις ἐγκαρτερήσας, καὶ τὸν

ἐνοχλοῦντα δαίμονα τῷ ἐκείνου παιδὶ προφανῶς ἀπελάσας.

ΚΕΦΑΛ. ΙΘ'.

Ὡς Ἀβδᾶς τὸ παρὰ Πέρσαις πυρεῖον κατέλυσε· κἀντεῦθεν αὐτός τε καὶ ἄλλοι τὸν τοῦ μαρτυρίου ἀγῶνα διήνεγκαν· καὶ περὶ τῶν πικροτάτων βασάνων ἃς Πέρσαι κατὰ τῶν εἰς Χριστὸν πιστευόντων ἐξεῦρον.

Ἀλλ' ὁ μὲν Ἰσδιγέρδης πρινὴ τελέως Χριστιανίσαι, φθάνει ἀποβιούς· ἡ δὲ ἀρχὴ πρὸς τὸν υἱὸν αὐτοῦ Βαράνην μετέβαινεν. Ὁ δ' οὐκ ἐπίσης τῷ πατρὶ ἐχρῆτο Χριστιανοῖς· τοῖς γὰρ μάγοις ἀπεχθῶς ἔχουσιν ἀναπεισθεὶς, τάς τε πρὸς Ῥωμαίους σπονδὰς ἔλυε, καὶ τοὺς ἐκεῖσε τὰ Χριστιανῶν θρησκεύοντας ἀπηνῶς ἤλαυνε, ξένας Περσικὰς κολάσεις τούτους ἐπινοῶν. Ὅθεν δὲ τὴν αἰτίαν ὁ κατὰ τῆς Ἐκκλησίας ἐκεῖσε πόλεμος ἔσχε τὸ κατ' ἀρχὰς, ἄνωθεν ἀναλαβὼν ἐγὼ διηγήσομαι. Ὁ τῆς Περσίδος ἐπίσκοπος, ὃν Ἀβδᾶν καλεῖσθαι πρὸ βραχέος εἰρήκαμεν, πολλοῖς τισι διαλάμπων ἀρετῆς προτερήμασι, μάλιστα τῷ ὑπὲρ Χριστοῦ ζήλῳ διέπρεπε. Καὶ δή ποτε οὐκ εἰς δέον τούτῳ χρησάμενος, τὸ παρὰ Πέρσαις πυρεῖον κατέλυσεν. Εἴη δ' ἂν πυρεῖον παρ' ἐκείνοις ὁ ναὸς τοῦ πυρός· θεὸς δὲ παρ' αὐτοῖς καὶ τὸ πῦρ. Τοῦτο μαθὼν ὁ τῶν μάγων καὶ Περσῶν βασιλεὺς Βαράνης, μετεστέλλετο τὸν Ἀβδᾶν. Καὶ τὰ μὲν πρῶτα μετρίως αὐτοῦ κατεφέρετο, τὸ πραχθὲν αἰτιώμενος· ἔπειτα τὸ πυρεῖον αὖθις οἰκοδομεῖν ἐκέλευεν ἐπὶ σχήματος. Ἐκείνου δ' ἐνισταμένου καὶ ἥκιστα δράσειν τοῦτο διισχυριζομένου, ἐκεῖνος τὰς τῶν Χριστιανῶν ἐκκλησίας πάσας καταλύειν ἠπείλει· καὶ τῇ ἀπειλῇ τέλος ἐτίθει. Καὶ αἱ μὲν ἐκκλησίαι ἄρδην ἐλύοντο. Ὁ δὲ θεῖος ἐκεῖνος ἀνὴρ πρότερον ἀνῃρεῖτο τοῦ μαρτυρικοῦ στεφάνου ἠξιωμένος· ἐμοὶ δὲ οὐκ εἰς δέον γενέσθαι τὴν τοῦ πυρείου κατάλυσιν κρίνεται· ἐπεί τοί γε καὶ τῷ θεσπεσίῳ Παύλῳ τὴν κατείδωλον Ἀθηνῶν πόλιν κατειληφότι οὐδεὶς τῶν ἐκεῖσε τιμωμένων βωμῶν κατελύετο· ἀλλὰ λόγοις τὴν τοῦ ψεύδους ἄνοιαν διελέγχων, τὴν ἀλήθειαν παρεισῆγε, καὶ διὰ τοῦ βωμοῦ μᾶλλον ἐχειραγώγει πρὸς τὴν εὐσέβειαν. Τό γε μὴν τὸν καταλυθέντα τοῦ πυρείου νεὼν μὴ θελῆσαι αὖθις ἐγείρειν ἐκ τοῦ ῥᾴστου ἔχων καὶ ταῦτα, ἀλλὰ τὴν σφαγὴν προκρῖναι, τοῦτο μᾶλλον ὑπερφυῶς θαυμάζω, καὶ πολλῶν ἂν ἐτιμησάμην ἔγωγε τῶν στεφάνων· ἴσον γάρ ἐστι τό τε πῦρ προσκυνεῖν καὶ τὸ τέμενος ἐκείνου οἰκοδομεῖν. Ἐκεῖθεν τοίνυν ὁ κλύδων ἠρμένος, ἄγρια καὶ πάνυ χαλεπὰ κατὰ τῶν τῆς Ἐκκλησίας τροφίμων ἐξήγειρε κύματα· καὶ εἰς τριάκοντα ἐνιαυτοὺς ἡ ζάλη ἐτάραττεν, οἷά τινων καταιγίδων τῶν μάγων ῥιπιζόντων αὐτήν. Μάγους δ' ἐκείνους πάντως εἰρήκειμεν Πέρσας καλεῖν, ὅσοι δὴ τὰ στοιχεῖα θεοποιοῦσι. Τὸ δὲ τῶν τιμωριῶν μέγεθος τάς τ' ἐπινοίας καὶ ἰδέας τῶν πικρῶν κολαστηρίων οὐ πρόχειρον γλώσσῃ διατρανοῦν, ἃς τοῖς εὐσεβέσιν ἐπήγα-

alio Maruthæ facto allectus, quod ille una cum Abda Persidis episcopo fecit. Nam orationibus continuis incumbens, a filio ejus dæmonem, qui illi molestus erat, propalam expulit.

CAPUT XIX.

Ut Abdas templum sacrati ignis demolitus sit, unde et ipse et alii martyrii certamen pertulerunt: et de acerbissimis tormentis, quæ Persæ contra Christi fideles excogitarunt.

Sed Isdigerdes prius vita excessit, quam omnino Christianus fieret, regnum autem ejus ad filium Varanem devolutum est, qui non eodem quo pater in Christianos animo fuit. A magis enim, qui illis hostiliter infensi erant, persuasus, cum fœdera cum Romanis icta solvit, tum Christianos qui ibi erant, novis Persicis suppliciis excogitatis crudeliter persecutus est. Quæ autem belli ibi adversus Ecclesiam ab initio causa exstiterit, paulo altius repetens exponam. Episcopus Persidis, quem paulo ante Abdam nominatum esse diximus, multis præcipuis virtutis ornamentis refulgens, zelo et æmulatione pro Christo maxime enituit. Quo aliquando in re minus necessaria usus, πυρεῖον (1), hoc est, sacrum focum, Persarum demolitus est: πυρεῖον namque apud illos ignis templum, et ignis apud eosdem deus est. Hoc ubi magorum et Persarum rex Varanes intellexit, Abda accito, mediocriter primum eum, factum id reprehendens, perstrinxit: postea autem sacram etiam ignis ædem in speciem restaurare jussit. Cum autem ille resisteret, minimeque se id facturum esse confirmaret, Varanes ecclesias Christianorum omnes se eversurum minatus est, minasque eas ad rem ipsam contulit. Ita ecclesiæ dirutæ prorsus sunt, cum quidem divinus ille vir prius necatus, coronam martyrii reportasset. 475 Mihi vero parum recte sacri foci eversio facta esse videtur: quandoquidem a divo Paulo, cum idolis addictas Athenas venisset, nulla quæ isthic colebatur ara destructa est. Et ille verbis mendacii amentiam arguens, veritatem pro eo induxit, et per aram adeo ipsam homines potius ad veram pietatem manuduxit. Quod autem eversum ignis delubrum, cum id facillime facere posset, restaurare noluerit, sed potius quam id committeret, cædi se obtulerit: hoc ipsum admiror maxime, et multis dignum duco coronis. Idem namque est, ignem ipsum adorare, et fanum ejus constituere. Sed enim ea ex re tempestas coorta, graves et sævos admodum adversus Ecclesiæ alumnos fluctus excitavit. Et ad triginta annos procella ea duravit, magis tanquam turbulentis quibusdam ventis eam augentibus. Magos autem apud Persas eos vocari diximus qui elementa pro diis colunt. Suppliciorum autem magnitudinem inventionesque et formas acerborum tormentorum, non facile lingua clare expresserit, quibus pios

(1) Ignem Persæ sacrum et æternum vocant. (Q. Curtius.)

homines sunt persecuti. Quibusdam enim manus utraque securi resecta, nonnullis terga excoriata sunt, aliorum capitibus pellis detracta a fronte ad mentum usque: quorumdam corpora tota calamis discissis illi operientes, cuspidibusque eorum acuminatis carni infixis, et vinculis solidioribus insuper a capite ipso ad pedes usque circumligatis, magna vi calamum quemquam extrahebant, vinculis ipsis altius carnem subeuntibus: ut tractione tali eam corporis partem, quæ cuti propinqua est, divellentes, acerbiores dolores redderent. Sed et fossas magna cura sepientes, murium examina multa in eas demisere, et deinde alimentum eis veræ pietatis alumnos præbuerunt, manibus pedibusque eorum arctiore vinculo constrictis, ne a se illos abigere conari possent. Mures autem fame acriore confecti, sanctorum carnes, intensum admodum et gravem illis dolorem inferentes, vorarunt. **476** Multas vero et alias hisce sæviores ærumnas, pernicioso et veritatis inimico dæmone magistro in rebus ejusmodi utentes, excogitarunt. Verum tamen generosam virorum illorum fortitudinem non retuderunt. Sua namque sponte illi se certamini, ad immortale et sempiternæ vitæ conciliatorem aspirantes, obtulerunt.

CAPUT XX.

De Achæmenide, et Saane, et Benjamin diacono: ut ii apud Persas sævissime excruciati, martyrii sint adepti coronam.

Achæmenides quidam apud Persas erat, qui et Hormisdes dictus est, præfecto patre genitus, vir admodum illustris et locuples; quem ubi Christianum esse rex audivit, in medium produxit, et Servatorem abnegare jussit. At ille regis imperata non solum iniqua, verum etiam illi ipsi incommoda esse respondit. « Cui enim ea necessitas imponatur, ut facillime universitatis hujus Deum abjuret, huic longe facilius fore dixit, regem despiscere, atque ad alium transire. Regem namque etiam, homo cum sit, naturam fatis obnoxiam sortitum esse. Quod si, inquit, animadvertendum tibi esse in eum videtur, qui dominationem tuam abneget, sceptrumque nihili faciat, rectius multo, ut puto, supplicium pendet, qui rerum universarum Dominum abjiciat. » Rex cum obstupescere potius ad tantam viri libertatem debuisset, opes ei adimi, dignitateque insuper privatum, nudum, et subligari tantum præcinctum, aulici comitatus camelos ducere jussit. Perpauci intercessere dies, cum rex ex superiore porticu prospectans, præclarum illum virum æstu solis adustum et pulvere obsitum vidit: et patris ejus gloriam in mentem revocans, eum reduxit, et linea tunica vestivit. Et cum labore et ærumna illum confectum humanitateque et misericordia ei exhibita adductum, faciliorem jam eum et propensiorem ad gratiam a se ineundam fore putaret: « Vel nunc tandem, inquit, errore priore

γον. Οἱ μὲν γὰρ ἄμφω χεῖρας πελέκει ἀφῄρηνται, τῶν δὲ τὰ νῶτα ἀπέδειραν· ὧν δὲ καὶ τὰς κεφαλὰς γυμνὰς τῆς δορᾶς ἀπειργάσαντο, ἐκ μετώπων ἀρξάμενοι ἄχρι δὴ ἐς πώγωνας ἔληξαν· ἄλλους δὲ καλάμους εἰς δύο διαιροῦντες, καὶ τὸ σῶμα σύμπαν τούτοις καλύπτοντες, καὶ τεμνούσας τούτοις ἀκίδας τῷ σώματι προσαρμόσαντες, ἔπειτα δεσμοῖς τισι στεῤῥοτέροις ἐκ κεφαλῆς ἄχρι ποδῶν περικύκλῳ θέμενοι, σὺν πολλῇ βίᾳ τῶν καλάμων ἕκαστον εἷλκον, τῷ δεσμῷ κατὰ βάθος τῆς σαρκὸς εἰσδυόμενοι· ὡς ἂν τῇ ἑλκύσει τὸ πρὸς τὸ δέρμα γειτνιάζον τοῦ σώματος παρασύροντες πικροτέρας τὰς ὀδύνας ἐργάζοιντο. Ἀλλὰ καὶ λάκκους ἀκριβῶς ἀποφράξαντες, ἀγέλας μυῶν μεγάλας ἐν τούτοις ἐνῆκαν· εἶτα τροφὴν αὐταῖς παρεῖχον τοὺς τροφίμους τῆς εὐσεβείας, τὰς χεῖρας καὶ τοὺς πόδας δεσμῷ σφοδροτέρῳ πιέζοντες, ἵνα μὴ τὰ θηρία ἀπὸ σφῶν ἐλαύνειν πειρῷντο. Οἱ δὲ μύες λιμῷ σφοδρῷ πιεζόμενοι, τὰς τῶν ἁγίων σάρκας δαπάνην αὐτοῖς ἐποιοῦντο, ἐπιτεταμένην μάλα καὶ χαλεπὴν τὴν ὀδύνην προσφέροντες· πολλὰς δὲ καὶ ἄλλας καὶ χείρονας ἢ αὐται ἐπενόουν ταλαιπωρίας, τὸν τῆς ἀληθείας ἀλάστορα διδάσκαλον τοῖς δεινοῖς ἐπαυχοῦντες. Ὅμως δ' οὖν τὴν τῶν ἀνδρῶν ἐκείνων οὐκ ἤμβλυναν γενναιότητα· αὐτόματοι γὰρ ἔτρεχον τῷ ἀγῶνι τὸν ἀθάνατον καὶ ζωῆς ἀϊδίου τὸν πρύτανιν ἐφιέμενοι.

ΚΕΦΑΛ. Κ'.

Περὶ Ἀχεμαινίδου, καὶ Σαάνου, καὶ Βενιαμὶν διακόνου· ὡς παρὰ Πέρσαις πικρῶς κολασθέντες, τὸν τοῦ μαρτυρίου στέφανον ἀνεδήσαντο.

Ἦν δέ τις παρὰ Πέρσαις Ἀχαιμενίδης τὴν κλῆσιν ἀνὴρ καὶ Ὁρμίσδης καλούμενος, πατρὸς ὑπάρχου γεγενημένος, περιφανὴς ἐς τὰ γὰν καὶ πλούτῳ βρίθων πολλῷ· ὃν δὴ Χριστιανὸν εἶναι πυθόμενος βασιλεὺς, προῆγεν εἰς μέσον, καὶ τὸν σεσωκότα ἀρνεῖσθαι ἐκέλευε. Καὶ ὃς πρὸς τῷ μὴ δίκαια, ἀλλ' οὐδὲ συμφέροντα εἶναι ἃ προσέταττε βασιλεὺς, ἔλεγεν· « Ὧ γὰρ ἀνάγκη ἐπίκειται ἐκ τοῦ ῥᾴστου ἀρνεῖσθαι τὸν τῶν ὅλων Θεὸν, τούτῳ μάλιστα ῥᾴδιον γένοιτο καὶ βασιλέα καταφρονεῖν, καὶ μεταπίπτειν εἰς ἕτερον. Καὶ γὰρ καὶ βασιλεὺς ἄνθρωπος ὢν, ἐπικήρῳ φύσει κεκλήρωται· εἰ δέ σοι κολαστέος ὁ τὴν σὴν δεσποτείαν ἀρνούμενος, καὶ τὰ σκῆπτρα παρ' οὐδὲν λογιζόμενος, πολλῷ γε οἶμαι κολάσεως δίκην ὑπόσχοι, τὸν τῶν ὅλων Δεσπότην ἀποσειόμενος. » Ὁ δὲ βασιλεὺς, δέον ὂν μᾶλλον ἐκπλαγῆναι τὸν ἄνδρα τῆς παῤῥησίας, ὁ δὲ γυμνοῖ μὲν τοῦτον τοῦ πλούτου, καὶ τῆς περικειμένης ἀξίας ἀποστερεῖ· γυμνὸν δ' ἕλκειν τὰς καμήλους τῆς στρατείας ἐκέλευε, διαζώματι μόνῳ χρώμενον. Ἡμερῶν δ' ὀλίγων διελθουσῶν, τῆς στοᾶς ἄνωθεν διακύψας τὸν περιφανῆ ἐκεῖνον ἄνδρα ἑώρα, ὑπὸ τῷ φλογμῷ τῆς ἀκτῖνος διακαιόμενον, καὶ κόνει περιαντλούμενον· καὶ τὴν πατρικὴν εὔκλειαν εἰς νοῦν ἐνεγκὼν, ἤγαγεν αὖθις, καὶ χιτῶνι λίνου πεποιημένῳ ἐνέδυε. Νομίσας δ' ὑπὸ τοῦ πόνου καὶ τῆς ταλαιπωρίας, καὶ τῷ δῆθεν φιλανθρώπῳ νῦν γοῦν ῥᾷον πειρᾶσθαι καὶ εὐκόλου πρὸς συγκατάθεσιν, « Ἀλλὰ νῦν, φησὶ, τέως

τὴν πρυτέραν ἐξαπάτην ἀποθέμενος, τὸν τοῦ τέκτο- A νος υἱὸν ἀπόῤῥιψον τῆς ψυχῆς. » Ὁ δὲ διαθερμανθεὶς, τὸν μὲν χιτωνίσκον διχῆ διελὼν ἀπέῤῥιψε, μέγα ἀνακραγών· « Εἰ τούτου χάριν οἴει με τῆς ἀρίστης μεταθέσθαι θρησκείας, δέχου δὴ τὸ δῶρον μετὰ τῆς ἀσεβείας. » Οὕτω δ' ἀνδρείως ἔχοντα βασιλεὺς θεασάμενος, γυμνὸν τῶν βασιλείων ἐξήλαυνεν. Ἕτερον δὲ Σαήνην ὄνομα ἀντειπόντα αὐτῷ, καὶ μηδαμῶς εἰς ἄρνησιν ἐλθεῖν τοῦ τῶν ὅλων Δεσπότου ἑλόμενον, ἀπολεξάμενος τὸν χείριστον τῶν οἰκετῶν, τὴν μὲν ἐξουσίαν τῶν συντρόφων. χίλιοι δὲ ἦσαν, ἐκείνῳ δίδωσι, καὶ αὐτὸν ἐκείνῳ δουλεύειν προσέταττε, καὶ τὴν κοινωνὸν τοῦ λέχους καὶ δέσποιναν ἐκείνῳ συνῆπτεν. Οὕτω γὰρ ἐδόκει πείσειν ἀποθέσθαι τὴν γνώμην τῆς ἀληθείας τὸν ἐραστήν. B Ἀλλ' ἥκιστα πέρας εἶχεν αὐτῷ ἡ ἐπίνοια· οὐ γὰρ ἐπὶ τῆς ψάμμου, ἀλλ' ἐπὶ τῆς πέτρας ὁ οἶκος ἐκείνῳ ἐρήρειστο τῆς ψυχῆς. Καί τινα δὲ Βενιαμὶν διάκονον συλλαβὼν, εἱρκτῇ παρεδίδου. Ὡς δὲ δύο ἔτη ἐξήνυσε τῇ φρουρᾷ, πρέσβις Ῥωμαίων κατά τινα χρείαν τῷ Πέρσῃ γενόμενος, μεσίτης ἐγίνετο τὴν λύσιν τοῦ διακόνου αἰτῶν. Ὁ δὲ βασιλεὺς ἐπηγγέλλετο δοῦναι τῷ πρεσβευτῇ, εἰ μόνον Βενιαμὶν ὑποσχέσει πεδήσειεν ἑαυτὸν, ὡς οὐδένα τῶν μάγων πείσει τὴν Χριστιανῶν ἑλέσθαι θρησκείαν. Ὁ μὲν οὖν πρέσβις τῷ Βενιαμὶν ἐκοινοῦτο τὸν λόγον, καὶ ὃ ζητοίη ὁ Πέρσης. Ὁ δὲ μὴ δυνατὸν ἔλεγεν εἶναι, μὴ δανείζειν τὸ φῶς οὗ ἀφθόνως μετέσχε. Τῷ γὰρ τὸ τάλαντον κατακρύψαντι ὁπόση τις ἐπεγένετο τιμωρία, λαμπρῶς ἄγαν ἡ τῶν θείων Εὐαγγελίων C ἱστορεῖ βίβλος. Ὧν οὐδὲν γνοὺς ὁ βασιλεὺς, τῶν δεσμῶν ἐκέλευεν ἀνιέναι. Ὁ δὲ τὰ συνήθη ἔδρα καὶ πάλιν, τοὺς τῷ ζόφῳ τῆς πλάνης κατεχομένους ζωγρῶν, καὶ τῷ θείῳ καὶ νοερῷ προσάγων φωτί. Ὡς δ' ἐνιαυτὸς ἐξίκετο, τὰ πραττόμενα τῷ Βενιαμὶν ἐμηνύετο βασιλεῖ· καὶ δῆτ' ἀγαγὼν αὐτὸν, προσέταξεν ἀρνηθῆναι ὃν γνησίως ἐκήρυττε Κύριον. Ὁ δὲ τῷ βασιλεῖ ἔφη, « Τίνος ἂν ἄξιος εἴη, ὃς τὴν σφετέραν ἀπαρνούμενος βασιλείαν, ἑτέραν ἕλοιτο; » Ὁ δὲ, « Θανάτου καὶ τιμωρίας ἐσχάτης. » Πρὸς ταῦτα δὴ ἐπάγει Βενιαμὶν, « Ἆρ' οὖν πόσης ἂν ἐπαξίας μεταλάχοι τῆς δίκης ἄνθρωπος, τὸν τῶν ὅλων μὲν ἀρνούμενος Δεσπότην, καὶ σωτῆρα καὶ κηδεμόνα, ἑνὶ δὲ τῶν ὁμοδούλων τὸ σέβας προσάγων, καὶ τὴν προσήκουσαν ὀφειλὴν μὴ ἐκείνῳ ἀποτιννύς; » D Ὁ δὲ βασιλεὺς τοῖς ῥήμασι χαλεπήνας, ἰσαρίθμους καλάμους τοῖς δακτύλοις τῶν χειρῶν καὶ ποδῶν ἀποξύνας, ἐμπείρειν τοῖς ὄνυξιν ἐκελεύετο. Ὡς δὲ παιδιὰν τὴν τοσαύτην τιμωρίαν τὸν στεφανίτην ἑώρα δεχόμενον, κάλαμον ἕτερον παροξύνας, τῷ παιδογόνῳ ἐνῆκε μορίῳ· ὃν πυκνότερον ἀνέλκων καὶ προσωθῶν αὖθις, ἄῤῥητον καὶ ἀφόρητον ἐποίει τὴν ἀλγηδόνα. Ἐπεὶ δὲ καὶ τὴν πικροτάτην βάσανον γενναίως διεκαρτέρει, ἑτέραν προσῆγε, δευτέρας τὰς προτέρας ἀποδεικνύουσαν. Ῥάβδον γὰρ παχεῖαν ἄγειν ἐκέλευεν, ὄζους πανταχόθι προβαλλομένην πυκνούς· ταύτην δὲ διὰ τῆς ἕδρας ἐμβάλλειν τῷ ἀθλητῇ, ἔπειτα ἐξαίρειν τε καὶ ἐνείρειν κατ' αὐτῆς μάλα σφοδρότερον. Ἐφ' ᾗ μὴ πλέον στέγειν

repulso, fabri filium ex animo tuo ejice. » Atque ille exardescens, tunicam illam conscissam abjecit, et voce magna : « Si hujus, inquit, gratia me religionem longe optimam mutaturum putas, en munus tuum tibi, una cum impietate habe. » **477** Rex autem tam forti illum animo esse cernens, nudum regia exegit. Alius erat Saenes nomine, qui regi restitit, neque rerum cunctarum Dominum pernegare voluit. Rex ex famulis illius multo deterrimum elegit, potestatemque in mille ministros illi ademptam, ei attribuit, atque etiam huic illum servire jussit, consorte quoque thori et domina isti conjuncta. Nam ita demum se persuasurum veritatis amatori, ut animum et sententiam suam mutaret, existimabat. Verum minime ei consilium successit. Non enim in arena, sed in petra mentis illius domus fundata fuerat. Benjamin etiam diaconum quemdam comprehensum custodiæ mancipavit, in qua cum duos exegisset annos, et orator Romanus ex causa quadam apud Persam esset, medium se is interposuit, ut diaconus vinculis solveretur petens. Rex hoc se legato daturum promisit, si modo Benjamin se obligaret, se nulli ex Magis, ut Christianam susciperet religionem, suasurum esse. Legatus porro rem eam et quid Persa quæreret, ad Benjamein retulit. Atque ille fieri non posse dixit, ut luce ea quam copiosam recepisset, non fœneraret. Quæ enim pœna ei constituta sit, qui talentum sibi datum defoderet, aperte admodum divinorum Evangeliorum codicem ostendere. Quam rem ignorans rex, liberum eum esse jussit. Et ille rursum solitum officium suum fecit, eos qui erroris caligine detinerentur capiens et ad divinam atque intellectualem lucem adducens. Præteriit annus, et quæ Benjamin agebat, regi indicata sunt: qui eum ad se productum, pernegarequem sincere prædicaret Dominum jussit. Atque ibi ille ad regem : « Quidnam, inquit, commereatur, qui imperium tuum abnegans, ad alium se conferat regem ? Mortem, rex ait, et supremum supplicium. » Tum Benjamin : « Quodnam igitur, intulit, satis dignum homo ferat supplicium, qui universitatis hujus Domino Servatore et rectore abjurato, non illi cultum honoremque debitum, sed ex conservis suis uni præstet? » Verbis hisce rex graviter commotus, æqualem cum digitis manuum atque pedum calamorum numerum exacui, et unguibus illius infigi præcepit. **478** Ut vero athletam corona decorandum, tormentum id perinde atque ludum jocumque excipere vidit, calamum alium in cuspidem acuminatum membro ejus virili immisit; quem frequentius subinde infigens atque retrahens incredibilem intolerabilemque illi creavit dolorem. Postquam autem hoc quoque acerbissimum supplicium generose pertulit, aliud intulit, quod priora illa secundas partes ferre ostendit. Virgam enim crassiorem afferre, ex parte omni densos ramorum uncos prætendentem, et in sedem decertatoris injici, ac deinde identidem per eam attrahi

et retrahi jussit. Quem cruciatum cum amplius tolerare non posset, spiritum, fortis ille veritatis propugnator et athleta, reddidit. Infinita vero alia ab audacibus et impiis illis quoque tentata sunt. Quale videlicet et illud est in Jacobo Persa patratum. Is enim cum Christianus antea fuisset, propter intercedentem sibi cum Isdigerde Persarum rege amicitiam, paternam religionem rejecerat. Postquam autem per matrem et conjugem rursus ad fidem Christi admonitus revertit, et eam rem princeps ægre tulit, acerbam quamdam, et propter novitatem admirandam, post supplicia multa, subiit mortem. Nam ubi articulis et juncturis quibusque, in commoda et apta totius corporis membrorum conformatione, ex manibus, brachiis, pedibus et suris ei resectis, reliquum nihil quam B una cum ventre caput solum habuit, quoniam ne tum quidem fidem in Christum abjecit, et idipsum postremo ferro amputatum est. Minime vero mirandum, si rerum universarum Dominus feritatem illorum sustinuit. Nam et qui Constantini imperium præcesserunt principes, rabiem suam adversus veræ pietatis amatores evomuerunt. In primis vero Diocletianus, omnium gravissimus, ipso augustæ et venerandæ Passionis die ecclesias sub imperio Romano ubique omnes evertit. Et novem elapsis annis, illæ quidem ad priorem florentes rediere statum, ac potius et pulchritudinem et amplitudinem multo præstantiorem recepere. Diocletianus autem postremo disperiit, et cum impietate exstinctus est. De bellis autem et persecutionibus hisce, ipse C vaticinatus est Dominus. Nec id modo, verum etiam Ecclesiæ ipsius invictum et insuperabilem statum prædixit. **479** Res ipsa hoc testatur. Quodammodo namque pace ipsa nobis bellum utilitatem affert majorem, propterea quod tentationes istæ, ut Ecclesia magis etiam refulgeat, efficiunt. Pax enim molles nos, desides et timidos reddit. Bellum autem, cum animos nostros acuit, tum rebus præsentibus nos affigi non patitur : sed ut eas despiciamus, et fluxa hæc atque caduca pro nihilo habeamus, suadet.

A δυνάμενος, τὸ πνεῦμα παρεδίδου ὁ γενναῖος τῆς ἀληθείας ἀγωνιστής· πολλὰ δὲ καὶ ἄλλα μυρία παρ' ἐκείνων ἐτολμήθη τῶν δυσσεβῶν· ὁποῖον δῆτα καὶ Ἰακώβῳ τῷ Πέρσῃ γεγένηται. Χριστιανὸς γὰρ οὗτος τὸ πρότερον ὢν, διὰ τὴν πρὸς Ἰσδιγέρδην τὸν Περσῶν βασιλέα φιλίαν, τὴν πατρῴαν θρησκείαν ἀποβαλὼν, ἐπεὶ διὰ τῆς μητρὸς καὶ τῆς γαμετῆς εἰς τὴν πρὸς Χριστὸν πίστιν αὖθις ἀνέδραμε, χαλεπήναντος δι' αὐτό γε τοῦτο τοῦ κρατοῦντος αὐτῷ, πικράν τινα καὶ ξενίζουσαν μετὰ πολλὰς κολάσεις ὑφίσταται τελευτήν. Κατὰ γὰρ μίαν ἑκάστην τῆς ὁλομελείας τοῦ σώματος ἁρμονίαν τμηθεὶς, ἀπό τε χειρῶν καὶ βραχιόνων καὶ ποδῶν καὶ κνημῶν, ὡς μόνην αὐτῷ περιλειφθῆναι μετὰ τῆς κοιλίας τὴν κεφαλήν· ἐπεὶ μηδ' οὕτως τῆς πρὸς Χριστὸν μετ- B έθετο πίστεως, ξίφει καὶ ταύτην τὸ τελευταῖον ἀφῄρηται. Θαυμάζειν δ' ἥκιστα χρὴ, εἰ τῆς ἐκείνων θηριωδίας ὁ τῶν ὅλων Δεσπότης ἠνείχετο. Οἱ γὰρ πρὸ τῆς ἀρχῆς Κωνσταντίνου γεγενημένοι κατὰ τῶν τῆς εὐσεβείας προμάχων ἐλύττησαν. Ὁ δὲ πάντων δεινότατος Διοκλητιανὸς καὶ ἐν τῇ τοῦ σεβασμίου Πάθους ἡμέρᾳ τὰς ἁπανταχοῦ τῆς Ῥωμαίων ἡγεμονίας ἐκκλησίας κατέλυσεν. Ἐννέα δὲ διεδραμόντων ἐτῶν, ἐκεῖναι μὲν εἰς τὴν προτέραν πάλιν ἧκον κατάστασιν ἐξανθήσασαι· μᾶλλον δὲ καὶ ἐς ὑπερβολὴν τὸ κάλλος ἐδέξαντο, καὶ τὸ μέγεθος· ἐκεῖνος δ' εἰς τέλος ἐῤῥύη, καὶ μετὰ τῆς δυσσεβείας ἐσβέσθη. Περὶ δὲ τῶν νυνὶ πολέμων φθάνει προειπὼν ὁ Δεσπότης· ἀλλὰ σὺν αὐτοῖς καὶ τὸ τῆς Ἐκκλησίας αὖθις ἀήττητον καὶ ἀνάλωτον. Καὶ αὐτὰ δὲ μαρτυ- C ρήσει τὰ πράγματα· καὶ γάρ πως πλείονά τινα ὁ πόλεμος τῆς εἰρήνης ἡμῖν περιποιεῖ τὴν ὠφέλειαν, τῶν πειρασμῶν τούτων ἐπὶ μεῖζον λάμπειν τὴν Ἐκκλησίαν παρασκευαζόντων. Εἰρήνη μὲν γὰρ ἁβροὺς καὶ δειλοὺς ἡμᾶς ἀπεργάζεται· ὁ δὲ πόλεμος τό τε φρόνημα θήγει, καὶ μὴ προστετηκέναι τοῖς παροῦσιν, ἀλλὰ καταφρονεῖν πείθει, καὶ ἐν μηδενὶ ποιεῖσθαι τὰ ῥέοντά τε καὶ παρατρέχοντα.

CAPUT XXI.

Ut propter Christianorum persecutionem pace cum Persis fracta, ingens certamen inter Persas et Romanos sit commissum; cum autem Romani virtute vicissent, simul et bellum et persecutio Christianorum finem habuerit, pace denuo inter Romanos et Persas firmata. D

Christiani apud Persas intolerandis, quæ aliæ super alias inducebantur, ærumnis pressi, ad Romanos confugerunt, opem eorum petentes, et ne ipsi ita afflicti despicerentur, rogantes. Episcopus Atticus benigne supplices eos suscepit, et ut quantum posset eos adjuvaret propensus fuit : et imperatorem Theodosium pro eis compellans, ad eos vindicandos excitavit. Eo tempore alia quoque acciderunt, ut Romani non mediocriter a Persis affligerentur, propterea quod Romanæ ditionis hominibus qui mercede in aurifodinis opus ibi faciebant, redire inde non permittebatur, et Ro-

ΚΕΦΑΛ. ΚΑ'.

Ὡς διὰ τὴν πρὸς Χριστιανοὺς μάχην τῶν πρὸς Πέρσας σπονδῶν λυθεισῶν, μεγάλη μάχη μεταξὺ Περσῶν καὶ Ῥωμαίων ἐγένετο. Τῶν δὲ Ῥωμαίων κατὰ κράτος νικησάντων, ἥ τε μάχη καὶ ὁ διωγμὸς τῶν Χριστιανῶν τέλος εἶχε· καὶ πρὸς ἀλλήλους αὖθις Ῥωμαῖοι καὶ Πέρσαι ἐσπένδοντο.

Οἱ δ' ἐν Πέρσαις Χριστιανοὶ, τῇ τῶν ἀνυποίστων δεινῶν ἐπαγωγῇ πιεζόμενοι, Ῥωμαίοις προσέφευγον, ἐπικουρεῖν δεόμενοι, καὶ μὴ οὕτω φθειρομένους ὑπερορᾷν. Ὁ δ' ἐπίσκοπος Ἀττικὸς ἀσμένως τοὺς ἱκέτας προσίετο, καὶ ὅσα τὰ ἐς δύναμιν ἐπαμύνειν πρόθυμος ἦν· καὶ αὐτίκα βασιλεῖ Θεοδοσίῳ τοὺς ὑπὲρ ἐκείνων λόγους προσῆγε, καὶ εἰς ἄμυναν ἀνηρέθιζε. Κατ' ἐκεῖνο δὲ καιροῦ συνέβαινε καὶ ἀλλοτρόπως οὐ μέτρια λυπεῖσθαι Ῥωμαίους πρὸς Πέρσας· ὅτιπερ τοὺς ἐπὶ μισθῷ παραγενομένους χρυσορύκτας Ῥωμαίους ἐκεῖσε ὀπίσω ἰέναι Πέρσαι οὐκ εἴων· ἔτι δὲ καὶ ὡς τὰ τῶν ἐμπόρων Ῥωμαίων φορτία διηρ-

A πασαν. Συνεκρότει τοίνυν τῇ λύπῃ ταύτῃ καὶ ἡ πρὸς τῇ Κωνσταντίνου τῶν ἐκεῖσε Χριστιανῶν καταφυγή· καὶ εἰς μάχην τὸ ἔργον ἐχώρει. Ὁ μὲν γὰρ Πέρσης, πρέσβεις πέμπων, τοὺς πρόσφυγας Ῥωμαίων ᾔτει· οἱ δὲ Ῥωμαῖοι οὐδαμῶς διδόναι ἐβούλοντο, οὐ μόνον ὅτι οἷάπερ ἱκέτας σώζειν ᾑροῦντο, ἀλλ' ὅτι καὶ ὑπὲρ τῆς σφῶν θρησκείας πάντα δρᾷν ἕτοιμοι ἦσαν, ἢ τοὺς τῆς ἴσης πίστεως κοινωνοῦντας ὑπερορᾷν. Καὶ δὴ τῶν σπονδῶν λυθεισῶν, μάχη δεινὴ μεταξὺ Ῥωμαίων καὶ Περσῶν ἤρετο· περὶ ἧς βραχέα διαλαβεῖν ἄμεινον ἥγημαι. Ἀρδαβούριος μὲν γὰρ ἐκεῖνος ἐκ βασιλείων σταλεὶς στρατηγὸς, σὺν οὐ πολλῇ δυνάμει, διὰ τῆς Ἀρμενίων εἰς τὴν Περσῶν εἰσβαλὼν, μίαν τῶν ἐκείνης ἐπαρχιῶν (Ἀζαζηνὴ καλεῖται) ἐπόρθει· ᾧ ἀντιπράττειν ἐκ τοῦ Περσῶν B ἡγουμένου Ναρσαῖος ἕτερος στρατηγὸς ἀντεπέμπετο, βαρεῖαν ἐπαγόμενος δύναμιν. Συμβαλὼν δ' ἐκείνῳ καὶ σὺν ἥττῃ λαμπρᾷ φυγῇ χρησάμενος, ἀντιστρέψας διὰ Μεσοποταμίας, ἀφυλάκτῳ ἔγνω ἀθρόον ἐπιῤῥυῆναι τῇ Ῥωμαίων γῇ, καὶ οὕτω τὴν ἧτταν ἀνακαλέσασθαι· οὐ μὴν Ἀρδαβουρίῳ λαθεῖν εἶχεν ἃ Ναρσῆς ἐβουλεύετο. Ὅσον οὖν εἶχε τάχους, τὴν Ἀζαζηνὴν ἐσχάτως πορθήσας, καὶ αὐτὸς ἐπὶ τὴν Μεσοποταμίαν ἤλασεν. Ἐκεῖνος δὲ πολυπλασίω τὴν δύναμιν ἐπισωρεύσας, ὅμως τοῖς ὁρίοις Ῥωμαίων οὐκ ἴσχυσεν ἐμβαλεῖν. Φθάσας δ' ὅμως τὴν Νίσιβιν, ἣ δὴ πόλις μεθόριόν ἐστι Περσῶν καὶ Ῥωμαίων, Πέρσαις δ' ὅμως ὑποκειμένη, πέμψας ἐκεῖθεν Ἀρδαβουρίῳ ἐσήμαινεν ἐπὶ συνθήκαις τὸν πόλεμον γίνεσθαι, τόπον καὶ ἡμέραν ὁρίσας, ὁπηνίκα συῤῥαγῆναι τὴν μάχην χρεών. C Ὁ δὲ τοῖς πρέσβεσιν Ναρσαίῳ εἰπεῖν ἐκέλευεν· Οὐχ ὅτε σὺ βούλει πολεμητέα εἶναι Ῥωμαίοις, ἀλλ' ὁπόταν ἐκείνοις εὖ ἔχειν δοκοίη. Μεγάλῃ δ' οὖν δυνάμει προσβαλεῖν Πέρσην οἰόμενος, Θεῷ τὴν τοῦ πολέμου ἐλπίδα πᾶσαν ἀκριβῶς ἀνετίθει μεγίστην καὶ αὐτὸς δύναμιν παρεσκευασμένος. Ἀλλ' ὅπως τῆς θείας ηὐμοίρησεν ἀρωγῆς ἐκείνῳ πιστεύσας, ἐντεῦθεν κατάδηλον ἦν. Ἐν μεγίστῃ ἀγωνίᾳ τῶν ἐν Κωνσταντινουπόλει καθισταμένων, ἀμφιβαλλόντων ποτέρῳ τῶν μερῶν ἡ νίκη ἐπιγελάσοι, ἄγγελοι θεῖοί τισι περὶ Βιθυνίαν ὀφθέντες, κατά τινα χρείαν τῇ Κωνσταντίνου ἐπιδημοῦσι, λέγειν ἐκέλευον, εὐχῇ μάλα προσκεῖσθαι καὶ θάῤῥος ἔχειν στεῤῥὸν, καὶ πιστεύειν Θεῷ ὡς ἡ νίκη Ῥωμαίων ἔσται. D Προσετίθεσάν γε μὴν, ὡς καὶ αὐτοὶ βραβευταὶ πεμφθεῖεν ἐκεῖθεν τῆς νίκης, καὶ Ῥωμαίοις τὰ μάλιστα συναρήγοντες. Ὃ δὴ καὶ εἰς ὦτα ἐλθὸν, οὐ μόνον τοὺς ἐν τῇ πόλει ἐθάῤῥυνεν, ἀλλὰ καὶ τὰ τῶν στρατιωτῶν φρονήματα μᾶλλον ἐπέῤῥωσεν. Ἐπεὶ γοῦν, ὡς εἴρηται, ἐκ τῆς Ἀρμενίων εἰς Μεσοποταμίαν μετεχώρει ὁ πόλεμος, Ῥωμαῖοι κατακλείστους ποιησάμενοι τοὺς περὶ Νίσιβιν πόλιν, ἐπολιόρκουν, πύργους ξυλίνους ἐσκευασμένοι, οἳ τροχοῖς τισιν ἐκ μηχανῆς βαδίζοντες, τοῖς τείχεσιν ἤγοντο· καὶ τῇ μακρᾷ τειχομαχίᾳ πολλοὺς τῶν ἄνωθεν ἀμυνομένων ἠφάνιζον. Ὁ δὲ τῶν Περσῶν βασιλεὺς Βαράνης πεπορθῆσθαι μὲν

manorum mercatorum merces diripiebantur. Ad quas injurias Christianorum in urbem Constantinopolitanam accessit perfugium. Et res in bellum evasit. Persa namque, legatione missa, perfugas sibi dedi a Romanis petiit. Romani autem id facere noluerunt, non modo quod illos tanquam supplices et precatores servare voluerint, sed etiam quod pro religione sua facere quidvis et pati potius parati fuerint, quam ut eos quibuscum communem fidem haberent, despicerent. Proinde pace soluta, bellum grave inter Romanos et Persas est ortum : quod paucis perstringere commodius esse visum est. Ardaburius ille ex imperiali aula cum non ita multis copiis missus dux, per Armeniam in Persidem excurrit, et provinciam ejus quamdam Azazenem vocatam vastavit. Adversus quem a rege Persarum dux alius Narses venit, ingentem secum ducens exercitum. Hic commissa cum Ardaburio pugna, cum ingenti suorum clade victus in fugam se dedit. Ex qua conversus, per Mesopotamiam Romanorum ditionem, præsidio omni vacuam invadere, et sic acceptæ cladis ignominiam abolere statuit. **480** Verum consilium quod Narses ceperat, Ardaburium latere non potuit : qui quam maxima potuit celeritate, regione Azazena summe vastata, et ipse Mesopotamiam petiit. Narses quamvis varii generis copias coacervasset, ingredi tamen Romanorum fines ausus non fuit. E Nisibi autem civitate, quæ in finibus Persarum et Romanorum sita est, Persis tamen subjecta, hominibus certis ad Ardaburium missis, de conditionibus pugnæ committendæ, locô et die constituto, certiorem eum fecit. Cui ille renuntiari jussit : Romanos, non quando ille vellet, sed quo tempore ipsis commodum visum esset, prælium facturos. Et cum Persam magnis viribus copias suas invasurum putaret, spe belli omni summopere in Deum collocata, maximas et ipse vires contraxit. Sed enim divino auxilio, quo maxime fidebat, adjutum eum esse, inde satis constat. In urbe Constantinopolitana, in anxia sollicitudine cum cives essent, et addubitarent cuinam parti victoria arrisura esset, angeli Dei quibusdam in Bithynia, propter negotium certum Constantinopolim petentibus apparuere, eosque ibi annuntiare jussere, ut illi precationi admodum incumberent, et animum fortem obtinerent, ac Deo crederent, victoriam Romanorum fore (1), illud insuper addentes, indices ipsos inde et nuntios victoriæ, qui Romanis præsentem maxime opem ferant, a Deo missos esse. Quæ res ubi ad aures hominum pervenit, non modo civibus ipsis animum addidit, sed etiam militum fortitudinem confirmavit. Itaque ubi bellum, sicuti dictum est, ex Armenia in Mesopotamiam translatum est, Romani eos qui in urbe Nisibi clausi atque circumvallati erant, obsidione prementes, tur-

(1) Socrat. lib. VII, cap. 18.

res ligneas fecerunt, quæ rotis quibusdam et machinis provolutæ, mœnibus admovebantur : et ex eis longiore, pro muro, pugna commissa, multi e superiore loco urbem propugnantes cædebantur. Varanes autem Persarum rex ubi Azazenam regionem excisam, et suos Nisibi inclusos muralium tormentorum vi affligi cognovit, copiis quas tum paratas habebat omnibus, fortunam belli experiri aggressus est. Cum vero Romanorum virtutem metueret, Saracenorum auxiliis usus est, quos Alamundarus vir fortis et bellicosus duxit : **481** qui cum multa eorum millia (1) secum adduxisset, bono animo regem Persarum esse jussit, quamprimum se primo conflictu Romanos superaturum, atque ipsi una cum magna Syrorum urbe Antiochia subjecturum esse, dicens. Hæc ille quidem jactabat, sed verba ejus minime ad exitum pervenere. Quibus namque rex fidebat, Saraceni præter rationem terrore correpti, et per imaginationem se a maximis Romanorum copiis circumdatos propelli opinati, atque in magnum tumultum conjecti, ita ut neque quid faciendum esset, scirent, una cum armis in Euphratem amnem se præcipitarunt. Opinio sane obtinet, centum ibi virorum millia periisse. Atque hoc sic quidem accidit. Romani vero, qui excitatis expugnatoriis urbium machinis Nisibim obsidebant, cum audissent, Persam magnam elephantorum multitudinem adducere, et ea de causa metu consternati essent, machinis eis omnibus igne consumptis, ad loca sua sunt reversi. Cæterum quot postea prælia sint commissa, et quomodo alius Romanorum dux Areobindus singulari certamine eum qui apud Persas omnium fortissimus habitus est, interemerit : et quomodo Ardaburius septem Persarum ductores insidiis exceptos trucidarit; adhæc ut Vitianus, alius Theodosii dux, reliquias Saracenorum optime exstinxerit, prætermittendum esse censeo, ne longius extra propositum digrediar. Imperator Theodosius res in eo bello gestas, Palladio quodam cursore celeri usus, quamprimum cognovit. Vir is cum corpore robustus, tum animo adamantinus fuit : qui tanta celeritate equo insidens vectus est, ut diebus tribus in fines, qui medii inter Persas et Romanos sunt, pervenerit, totidemque postea diebus Constantinopolim reversus sit. Ob eam vero celeritatem, non ad Persarum fines tantum, sed ad reliquas etiam orbis partes, quo eum imperator misit, expeditissime pervolavit. Quapropter aliquando ex præclaris viris quidam, celeritatem ejus admiratus dixit : Virum eum tam amplam Romani imperii ditionem, angustam expedita celeritate sua reddidisse. Ad hanc etiam Persarum rex obstupuit, quod legatione fungens, multorum dierum iter tam celeriter perficeret. **482** Hæc de Palladio. Theodosius imperator Constantinopoli degens, ubi Romanorum divinitus

A τὴν Ἀζαζηνῶν χώραν μαθὼν, καὶ τοὺς ἀνὰ τὴν Νίσιβιν εἱρχθέντας συνέχεσθαι ἤδη τῇ βίᾳ τῶν ἑλεπόλεων, τῇ προσούσῃ πάσῃ δυνάμει ἀποπειρᾶσθαι παρεσκευάζετο· τὴν δὲ Ῥωμαίων δύναμιν ὑποδειλιάσας, συμμάχοις Σαρακηνοῖς ἐχρῆτο, ὧν Ἀλαμούνδαρος ἡγεῖτο, ἀνὴρ γενναῖος καὶ ἀρειχὸς τὰ πολέμια· ὃς πολλὰς μυριάδας Σαρακηνῶν ἐπαγόμενος, θαῤῥεῖν παρηγγύα τῷ Περσῶν βασιλεῖ· μὴ γὰρ πολὺ διελθεῖν, καὶ Ῥωμαίους μὲν πρώτῃ προσβολῇ παραστήσεσθαι, καὶ ὑπ' αὐτῷ ποιεῖν καὶ τὴν παρὰ Σύροις μεγάλην πόλιν τὴν Ἀντιόχου. Ταῦθ' ὁ μὲν ἔλεγεν· ἥκιστα δὲ καὶ εἰς τέλος ἐκείνῳ ὁ λόγος ἤρχετο. Οἱ γὰρ ἐφ' οἷς θαῤῥῶν ᾔει, Σαρακηνοὶ ἄλογον δέος εἰσδεδεγμένοι, καὶ φαντασίᾳ ληφθέντες μεγίστῃ πρὸς Ῥωμαίων δυνάμει περιελαύ- B νεσθαι, καὶ ἐν ταραχῇ καταστάντες μεγάλῃ, μήτε δρᾷν, μηδ' ὅπως φυγῇ χρήσασθαι ἔχοντες, αὐτοῖς ὅπλοις παρὰ τὸν ποταμὸν Εὐφράτην ἐνέβαλον ἑαυτούς. Καί γε λόγος περὶ δέκα μυριάδας ἀνδρῶν ἐκεῖσε διαφθαρῆναι. Τοῦτο μὲν δὴ τοιοῦτον συνέβαινεν. Οἱ δὲ περὶ Νίσιβιν τὰς ἑλεπόλεις ἱστῶντες Ῥωμαῖοι, πυθόμενοι ὡς ὁ Πέρσης ἐλεφάντων πολύ τι πλῆθος ἐπάγοιτο, καὶ τῷ δέει παγέντες ἁπάσας τὰς πολιορκητικὰς μηχανὰς πυρὶ δεδωκότες, πρὸς τοὺς οἰκείους τόπους ἀνέστρεφον. Ἀλλ' ὁπόσαι μὲν ἔπειτα συμβολαὶ τῷ μετὰ ταῦτα συνέβησαν, ὅπως τε ὁ Ῥωμαίων ἕτερος στρατηγὸς Ἀρεόβινδος μονομαχίᾳ τὸν παρὰ Πέρσαις ἀνεῖλε νομιζόμενον γενναιότατον, ἔτι δὲ καὶ ὡς Ἀρδαβούριος τοὺς ἑπτὰ τῶν Περσῶν στρατηγοὺς δι' ἐνέδρας ἑλὼν ἀνεῖλε, C πρὸς δὲ δὴ τούτοις, καὶ ὡς Βιτιανὸς ἄλλος Θεοδοσίου στρατηγὸς ἀρίστῳ τρόπῳ τοὺς ἐπιλοίπους διέφθειρε τῶν Σαρακηνῶν, παρήσειν δοκῶ μοι, ἵνα μὴ τοῦ προκειμένου ἐκτὸς γένωμαι· ὅσα μέντοι τῷ πολέμῳ ἐγίνετο, θᾶττον ἐγνώριζε βασιλεὺς, Παλλαδίῳ τινὶ ταχυδρόμῳ χρώμενος, ἀνδρὶ γενναίῳ μὲν τὸ σῶμα, ἀδαμαντίνῳ δὲ καὶ ψυχήν· ὃς εἰς τόσον μεθ' ἵππου ἐλαύνων ἐφέρετο, ὡς ἐν τρισὶν ἡμέραις ταχὺ καταλαμβάνειν τοὺς ὅρους, οἳ μεταξὺ Περσῶν καὶ Ῥωμαίων ἦσαν· ἔπειτα δὲ ἰσαρίθμους ἀναλίσκοντα πάλιν ἐπὶ τὴν Κωνσταντίνου ὑποστρέφειν. Τῇ δὲ ταχυτῆτι χρώμενος οὐ μόνον εἰς Περσῶν ὅρια, ἀλλὰ καὶ τὰ λοιπὰ τῆς οἰκουμένης τμήματα, ταχέως διίπτατο, ὅποι δ' ἂν ὁ κρατῶν ἐξαπέστελλεν· ὡς καί ποτέ τινα τῶν D ἐλλογίμων σφόδρα τὸ τάχος θαυμάζοντα περὶ αὐτοῦ φάναι, ὡς Ὁ ἀνὴρ οὗτος μεγάλην οὖσαν τὴν Ῥωμαίων ἀρχὴν σμικρὰν τῇ ταχυτῆτι ἀπέδειξεν· ὃν δὴ καὶ ὁ Περσῶν βασιλεὺς ἐξεπλήττετο, πολλῶν ἰδὼν ἡμερῶν θᾶττον τῷ πρεσβεύειν ἀνύοντα. Καὶ περὶ μὲν Παλλαδίου τοσαῦτα. Βασιλεὺς δὲ Θεοδόσιος τῇ Κωνσταντίνου διατρίβων, καὶ τὴν ἐκ Θεοῦ Ῥωμαίοις ἐπιγενομένην νίκην εἰδὼς, οὕτω καλός τε καὶ ἀγαθὸς ἦν, ὡς καίπερ εὐτυχῶς πραξάντων Ῥωμαίων, ὅμως καὶ οὕτως εἰρηνικὰ φρονεῖν καὶ σπένδεσθαι βούλεσθαι. Καὶ δὴ τὸν στρατηλάτην Ἡλίωνα πέμψας, ὃν διὰ περιφανοῦς ἦγε τιμῆς, εἰρήνην πράττειν πρὸς Πέρσας ἐνεκελεύετο. Καὶ ὃς τὴν Μεσοπο-

(1) Μυριάδας Socr.

ταμίαν καταλαβών, ὅπου δὴ Ῥωμαῖοι βαθεῖαν τάφρον ὀρύττοντες οἰκείαν φυλακὴν ἐποιοῦντο, Μαξιμῖνον ἄνδρα ἐλλόγιμον ἔπεμπε τὴν εἰρήνην πραγματευσόμενον. Ἐπίσης δὲ Ἀρδαβουρίῳ τῆς καθέδρας μετεῖχε· καὶ πρὸς τὸν Περσῶν βασιλέα γενόμενος, παρὰ τῶν στρατηγῶν σταλῆναι, οὐ μὴν παρὰ τοῦ βασιλέως ἔλεγε· μηδὲ γὰρ ἐγνῶσθαι τουτονὶ τὸν πόλεμον βασιλεῖ, ἀλλὰ καὶ γνωσθέντα ἐν οὐδενὶ νομίζεσθαι. Τοῦ δὲ Βαράνου τὴν πρεσβείαν εἰσδεχομένου· λιμῷ γὰρ πλείστῳ ἡ στρατιὰ ἐπιέζετο, οἱ παρ' ἐκείνῳ κεκλημένοι Ἀθάνατοι (ἀριθμὸς δὲ οὗτος μυρίων ἐκλεκτῶν μάλα καὶ γενναίων ἀνδρῶν) προσιόντες, μὴ πρότερον καταδέχεσθαι τὴν εἰρήνην βασιλεῖ ἔλεγον, πρὶν ἂν Ῥωμαίοις ἀφυλάκτως ἔχουσιν ἐπεισπέσωσιν. Οἷς δὴ καὶ παραπεισθεὶς βασιλεὺς, Περσῶν τὸν μὲν πρέσβυν ἐν ἀποῤῥήτῳ κατακλείσας ἐφύλαττε· τοὺς δ' Ἀθανάτους ἐκείνους, λόχον ἐποίει Ῥωμαίοις· οἳ καὶ εἰς δύο γενόμενοι τάγματα, μέσον περικλείειν ἐπειρῶντο μοῖραν οὐκ ἐλαχίστην Ῥωμαίων τινά. Ῥωμαῖοι δὲ πρὸς μὲν θάτερον, ὃ δὴ καὶ ἑώρων, πρὸς ἐκεῖνο καὶ οὗτοι παρεσκευάζοντο· οὔπω γὰρ θάτερον εἶδον· ἐξαπίνης γὰρ ἔδραμεν· ἤδη δὲ συῤῥήγνυσθαι μελλόντων τῶν στρατευμάτων, πρὸς ἄλληλα Θεοῦ προνοίᾳ τινὶ στρατὸς Ῥωμαίων ἕτερος ἔκ τινος γηλόφου προὐφαίνετο, Προκοπίῳ τῷ στρατηλάτῃ ἀγόμενος· ὃς ἐν κινδύνῳ ἀπειλημμένους τοὺς ὁμοφύλους ἰδὼν, τοῖς Πέρσαις ἐπιθέμενος, κατὰ νώτου ἐχώρει. Καὶ οἱ πρὸ βραχέος μεσολαβεῖν μέλλοντες μεσολαβοῦνται Ῥωμαίοις. Καὶ κτείναντες ἅπαντας, ἐκεῖθεν πρὸς τοὺς ἐκ τῆς ἐνέδρας ἐπιόντας ἐτράπησαν. Ἐπίσης δὲ κἀκείνους τοῖς ἀκοντίοις διέφθειραν. Οὕτω μὲν οὖν οἱ παρὰ Πέρσαις Ἀθάνατοι θνητοὶ πάντες ἐξαπίνης ἐδείχθησαν, αὐτοῦ Χριστοῦ τὴν δίκην Πέρσαις εἰσπραξαμένου· οἷς οὐκ ἐλαχίστους τῶν ἐκείνου θεραπευτῶν εὐσεβείᾳ διενεγκόντας πικρῶς τοῦ ζῆν ὑπεξήγαγον. Ὁ δὲ βασιλεὺς Περσῶν οὕτω δυστυχήσας προσεποιεῖτο μὲν μηδὲν εἰδέναι τῶν γενομένων, καὶ τὸν πρέσβυν λύσας, τὴν πρεσβείαν προσίετο ἐπειπών· Οὐ Ῥωμαίοις χαριζόμενος τὴν εἰρήνην ἀσπάζεσθαι, ἀλλὰ σοί γε πάντων περιόντι φρονήσει τὴν χάριν ταύτην εἰδώς. Ὁ μὲν οὖν Περσικὸς πόλεμος διὰ τοὺς κινηθέντας ἐκεῖσε Χριστιανικοὺς διωγμοὺς τὴν ἀρχὴν εἰληφὼς, τότε δὴ καὶ τέλος ἐλάμβανεν· ἐπὶ δὲ τῷ πολέμῳ καὶ ὁ διωγμὸς κατεπαύετο.

A concessam victoriam rescivit, tam bonus honestusque fuit, ut etiam secundis rebus suis, pacis tamen consilia caperet, et cum hostibus fœdus inire vellet. Helionem igitur ducem illustri præditum dignitate, ad pacem cum Persis faciendam misit. Atque is postquam in Mesopotamiam pervenit, ubi Romani fossam altam, quæ præsidio eis esset, duxerant, Maximinum, virum præclarum, et ejusdem cum Ardaburio dignitatis, qui de pace ageret, ad Persam legavit. Maximinus apud regem se a ducibus, non ab imperatore ipso missum esse dixit : illum enim bellum hoc nescire; atque etiam ut id maxime sciret, parvi tamen facere. Porro Varane legationem eam recipiente, quod fame maxima exercitus ejus premeretur, qui apud eum B Immortales (1) vocantur (decem millium numerum ii, delectorum admodum et fortium virorum, complent) eum adiere : et ne prius pacem susciperet, quam impetum in Romanos parum cautos ipsi fecissent, admonuere. Quibus rex obsecutus, oratorem quidem in abdito loco clausum asservavit : Immortales autem illos insidias Romanis struere jussit. Qui bifariam divisi, in medio partem quamdam Romani exercitus non minimam, circumventam concludere voluerunt. Romani ad turmam hostium eam, quam conspexerant, conversi ferebantur. Nondum enim alteram, quæ derepente procurrerat, videbant. Et jam inter se acies concurrebant, cum Dei providentia, aliæ C Romanorum copiæ ex colle quopiam prospicientes apparuere, Procopii ducis signa sequentes, qui cives suos in discrimen conjectos videns, contra Persas duxit, eosque a tergo aggressus est. Ita factum, ut qui paulo ante intercipere Romanos voluerint, ipsi ab illis sint circumventi. Nostri omnibus illis occisis, ad eos inde qui ex insidiis prodibant, conversi, itidem illos quoque jaculis confecerunt. Ad hunc igitur modum qui apud Persas sunt Immortales, subito mortales omnes esse comperti sunt, ipso a Persis pœnas sumente Christo, propterea quod plurimos ejus cultores insigni pietate præstantes, acerba morte multarint. **483** Rex autem Persarum clade ea accepta, nihil se earum rerum scire assimilavit, et oratore D e custodia emisso, legationem recepit : pacem se non ut Romanis gratificaretur, sed oratori ipsi prudentia omnes excellenti honorem eum haberet, complecti testatus. Porro bellum Persicum, quod initium propter persecutiones adversus Christianos motas sumpsit, finem tum habuit. Cum ipso autem bello persecutio quoque conquievit.

(1) Ἀθάνατοι, hoc est, immortales. lectissimi decies mille Persarum viri, quos Xerxes Darii habuit. Hos sub Theodosio Ardaburius concidit atque exstinxit. (Suid.) — Proximi ibant. quos Persæ Immortales vocant, ad decem millia. Cultus opulentiæ barbaræ non alios magis honestabat. Illi aureos torques, illi vestem auro distinctam habebant, manicatasque tunicas gemmis etiam adornatas. (Q. Curtius.)

CAPUT XXII.

De Acacio Amidensi episcopo, ut is ex sacris Ecclesiæ vasis nummis factis, Persarum captivos redimens, domum eos remiserit : quæ res magnæ Persis fuit admirationi.

Erat autem in civitate Amidensi episcopus Acacius nomine, quem tum facinus pulchrum illustriorem omnibus atque clariorem reddidit. Cum etenim exercitus Romanus Azazena regione vastata, supra septem millia Persarum cepissent, eosque nullo modo Persæ redimere vellent, atque illi fame paulatim afflicti interirent, eaque res non parum molestiæ regi afferret; Acacius ea cognita, non ita prætermittendam censuit, sed qui sub eo erat, clero coacto : « Deus, inquit, noster, filioli, neque B disceis indiget, neque pocula curat. Egestati enim minime obnoxius, non edit, neque bibit. Cum igitur multa sint ecclesiæ ejus donaria, aurea quidem plurima, multa etiam argentea, quæ benignitate et liberalitate eorum qui se ad eam contulerunt, paravit, utendum eis censeo ad Persas captivos redimendos, et famelicos alendos (1). » Hæc atque alia hisce similia locutus, statim divina illa donaria conflavit, atque ex eis æstimationem militibus quæ eis visa fuerat, persolvit, et captivos recepit : deinde alimentis eos abunde refectos, viatico etiam prosecutus, ad regem suum misit. Id episcopi factum, plurimum Persarum regem ad consternationem adegit : **484** quod Romanis utrumque hoc C studio esset, ut simul et bello et benefactis egregie vincerent. Dicitur vero, Persam etiam desiderium cepisse viri ejus videndi, ut ejus et conspectu frueretur, et colloquio dignaretur. Idque sic imperatoris Theodosii jussu factum esse, fama obtinet. Victoriam hanc tantam postquam Deus concessit, quicunque eo tempore eruditione pollebant, libros in laudem imperatoris publice conscripserunt, eique obtulerunt : alii quidem, ut eloquentiæ vim quam longo collegissent tempore, ostenderent : alii autem, ut se in notitiam illius insinuarent, atque alii item causam aliam prætendentes. Eadem porro illi virtutis ornamenta testimoniis suis imperatori tribuerunt, quæ et nos de eo supra commemoravimus, ex plurimis pauca saltem bre- D viter perstringentes. Non solum autem hoc, qui in arte dicendi studium posuerant fecere, sed et ipsa Augusta imperatoris conjux, heroico versu poemata marito et principi suo composuit. Erat enim præclara admodum, et docta. Quandoquidem vero ejus memini, opportune hoc loco me expositurum puto, quæ ea, et unde fuerit : et quomodo præ aliis quæ in communionem connubii imperatoris Theodosii veniret, delecta sit. Res sic habet.

ΚΕΦΑΛ. ΚΒ'.

Περὶ Ἀκακίου τοῦ ἐπισκόπου Ἀμίδης, ὡς τὰ ἱερὰ τῆς Ἐκκλησίας εἰς κέρμα κόψας, τοὺς Περσῶν αἰχμαλώτους πριάμενος, ἀπέλυσεν οἴκαδε· ὅπερ ἔργον εἰς θαῦμα μέγα τοὺς Πέρσας ἤγαγε.

Ἦν δέ τις ἐν Ἀμίδῃ τῇ πόλει ἐπίσκοπος Ἀκάκιος ὄνομα· ὃν τηνικαῦτα πρᾶξις ἀγαθὴ περιφανέστερον τοῖς πᾶσι μᾶλλον ἐποίει καὶ περιβόητον. Ἐπεὶ γὰρ ὁ τῶν Ῥωμαίων στρατὸς τὴν Ἀζαζηνὴν πορθήσαντες, καὶ ὑπὲρ ἑπτακισχιλίους Περσῶν αἰχμαλώτους συσχόντες, κατ' οὐδένα τρόπον ἀποδιδόναι τῷ Πέρσῃ ἠροῦντο, λιμῷ δ' ἐξετρίβοντο κατ' ὀλίγον διαφθειρόμενοι (τοῦτο δὲ οὐ μέτριον ἐνίει τῷ βασιλεῖ Περσῶν ἄχθος)· ὁ Ἀκάκιος ταῦτα ἀναμαθὼν, οὐ παρέδραμε τὰ γενόμενα, ἀλλὰ τὸν ὑπ' αὐτῷ ταττόμενον ἀθροίσας, « Ὁ Θεὸς, ὦ τέκνα, φησὶν, ὁ ἡμέτερος οὔτε δίσκων ἐν χρείᾳ ἐστὶν, ἀλλ' οὐδὲ ποτηρίων αὐτῷ φροντίς· ἀπροσδεὴς γὰρ ὢν, οὔτ' ἐσθίει, καὶ τῆς ὑγρᾶς ἐλεύθερός ἐστι πόσεως. Πολλῶν τοίνυν προσόντων κειμηλίων τῇ Ἐκκλησίᾳ αὐτοῦ, χρυσοῦ μὲν πλεῖστα, πολλὰ δὲ καὶ ἀργύρου πεποιημένα, ἃ δὴ καὶ ἐκτήσατο εὐνοίᾳ καὶ προσαγωγῇ τῶν προσηκόντων αὐτῷ, χρῆναι νομίζω τούτοις τοὺς αἰχμαλώτους Περσῶν ῥύεσθαι καὶ διατρέφειν πεινῶντας. » Ταῦτα δὴ ἐπειπὼν, καὶ πρὸς τούτοις ἄλλα τε παραπλήσια, χωνείᾳ μὲν εὐθὺς ἐδίδου τὰ θεῖα ἐκεῖνα κειμήλια· ἐξ ἐκείνων δὲ τιμήματα ἐοικότα τοῖς στρατιώταις προσῆγε, καὶ τοὺς αἰχμαλώτους ἐλάμβανεν. Ἔπειτα διατρέφων ἀρκούντως, ἐφοδίοις ἐδεξιοῦτο· καὶ ἐς τὸν οἰκεῖον βασιλέα Γοράνην ἀπέπεμπεν. Ἡ δὴ πρᾶξις τοῦ ἐπισκόπου ἐπιπλεῖστον ἐκπλαγῆναι τὸν Περσῶν βασιλέα ἐποίει ὅτιπερ ἀμφότερα Ῥωμαίοις ἐσπούδασται, τῷ τε πολέμῳ, καὶ τῷ εὖ ποιεῖν καταχράτος νικᾶν. Φασὶ δὲ καὶ ὡς εἰς ἐπιθυμίαν ἧκεν ὁ Πέρσης καὶ κατ' ὄψιν ἐντυχεῖν τῷ ἀνδρὶ, ὥστε καὶ εἴδους ἐπαπολαῦσαι, καὶ ὁμιλίας ἀξιωθῆναι. Καί γε τοῦτο λόγος ἔχει γενέσθαι βασιλέως προστάξαντος. Τοιαύτης δὲ τῆς ἐκ Θεοῦ νίκης πρυτανευθείσης, ὅσοι τηνικαῦτα λόγοις ἀνθοῦντες, δημοσίᾳ τοὺς αἰνετηρίους τῶν λόγων βασιλεῖ ἔγραφον παριόντες· ὁ μὲν ἣν ἐκ πολλοῦ συναθροίσειε λόγων δύναμιν ἐπιδεδειγμένος, ὁ δὲ γνώριμος ἐκείνῳ καταστῆναι βουλόμενος, καὶ ἄλλος ἄλλην προβαλλόμενος τὴν αἰτίαν. Ἐκεῖνα δὲ τῶν καλῶν προσεμαρτύρουν τῷ βασιλεῖ, ἃ καὶ ἡμεῖς ἀθρόα περιειλήφαμεν ἄνωθεν, ὀλίγα ἐκ πάνυ πολλῶν συντόμως διεξελθόντες. Οὐ μόνον δὲ οἱ περὶ λόγους ἐσχολακότες, ἀλλὰ καὶ αὐτὴ ἡ βασιλὶς καὶ γαμετὴ τοῦ κρατοῦντος ἐν ἡρωϊκῷ μέτρῳ ποιήματα τῷ ἀνδρὶ καὶ βασιλεῖ ἔγραφεν. Ἦν γὰρ μάλα ἐλλόγιμος. Ἐπεὶ δὲ ταύτης ἐμνήσθην, εἰς καιρὸν ἂν δοκῶ μοι διεξελθεῖν, τίς τε ἦν αὕτη, καὶ ὅθεν, καὶ ὅπως τῷ βασιλεῖ Θεοδοσίῳ εἰς κοινωνίαν γάμου τῶν ἄλλων ἐκρίθη. Ἔχει δὲ οὕτω.

(1) Si necessitas fuerit in redemptione captivorum, tunc et venditionem sacratissimorum atque arcanorum vasorum vel vestium, cæterorumque donariorum quæ ad divinam religionem necessaria sunt, et hypothecam et pignorationes fieri concedimus. Quoniam non absurdum est, animas hominum quibuscunque vasis vel vestimentis præferri. L. *Sancimus*. C. De sacro anct. Eccles.

ΚΕΦΑΛ. ΚΓ'.

Περὶ τῆς βασιλίδος Εὐδοκίας, τῆς καὶ Ἀθηναΐδος, οἵα καὶ ὅθεν ἦν· καὶ ὅπως εἰς γάμου κοινωνίαν τῷ βασιλεῖ Θεοδοσίῳ συνήφθη· καὶ ὡς ὑπέσχετο εἰς Ἱεροσόλυμα διαβῆναι· καὶ περὶ τοῦ μήλου· καὶ ἄλλων γεγενημένων αὐτῇ.

Πουλχερία ἡ βασιλὶς φιλόκαλός τις οὖσα, ἤδη τῷ βασιλεῖ πρὸς ἡλικίαν γενομένῳ, διεσκοπεῖτο, πῶς ἂν καὶ γυναικὶ προσηκούσῃ τοῦτον συνάψειε· καὶ τὰς ἑκάστου γένους ἐφυλοκρίνει θυγατέρας, καὶ ὅσαι δὴ ἐξ ἐθνῶν κάλλει καὶ πλούτῳ καὶ τοῖς λοιποῖς τὸ διαβόητον εἶχον. Οὕτω δ' ἐχούσῃ ταύτῃ συμβὰν οὕτω· καὶ γυνή τις Ἀθηναῒς ὄνομα, παρθένος ἔτι οὖσα, ἐξ Ἀθηνῶν ἥκει τῇ βασιλίδι· ἥτις δὴ Λεοντίου μὲν ἦν τοῦ φιλοσόφου θυγάτηρ, εὐφυὴς δ' εἰς ἄκρον οὖσα, διὰ λόγων ἐληλύθει παντοίων ὑπὸ τῷ πατρὶ παιδευθεῖσα, οὐ μόνον Ἑλληνικῶν, ἀλλὰ καὶ Ῥωμαϊκῶν, καὶ τοσαύτης φιλοσοφίας πεπείραται, πρακτικῆς τε ἅμα καὶ θεωρητικῆς, καὶ ὅση τίς ἐστι περὶ τὰς λογικὰς ἀποδείξεις καὶ ἀντιθέσεις, ὅσην οὐδεὶς ἕτερος ἐκληρώσατο. Ἀστρονομίας δὲ καὶ γεωμετρίας καὶ ἀριθμῶν ἀναλογίας τοσοῦτον ἔσχεν, ὅσον οὐδεὶς τῶν κατ' αὐτὴν ἕτερος. Οὕτω δὲ ὑπὸ τοῦ πατρὸς ἀχθεῖσαν, ἐπεὶ τελευτᾷν ἐκεῖνος ἔμελλε, τοὺς ἐκείνου παῖδας Οὐαλέριον καὶ Ἀέτιον κληρονόμους τῆς οὐσίας αὐτοῦ κατελίμπανε. Ταύτην δ' ἀπόκληρον ἐποίει, λέγων ἀρκεῖν αὐτῇ τὴν τύχην καὶ τὴν ἐνοῦσαν χάριν ἐκ τῆς παιδεύσεως. Ἐν στενῷ δὲ κομιδῇ γενομένη Πουλχερίᾳ προσῄει τῇ βασιλίδι, καταβοωμένη τῆς ἀδικίας τῶν ἀδελφῶν. Ἡ δὲ βασίλισσα τήν τε σύνεσιν καὶ τὸ κάλλος, ἔτι δὲ καὶ τὸ πρὸς ἅπαν ὡς εἰπεῖν δεξιὸν τῆς κόρης καταμανθάνουσα, ἐβουλεύσατο τἀδελφῷ συνοικεῖν. Καὶ δὴ τὰ Χριστιανῶν πείσασα ἀνελέσθαι, Ἀττικὸν τὸν ἐπίσκοπον μετεστέλλετο· καὶ ἐν τῷ προειρημένῳ σηκῷ Στεφάνου τοῦ πρωτομάρτυρος τοῦ θείου βαπτίσματος ἀξιώσασα, καὶ θυγατέρα οἰκείαν ἑαυτῇ ἔκ τε τοῦ θείου βαπτίσματος, καὶ ἄλλοις τρόποις πολλοῖς ἀναδείξασα, εἰς γυναῖκα ἐδίδου τῷ ἀδελφῷ, Εὐδοκίαν ἐξ Ἀθηναΐδος μετονομάσασα. Αὕτη δὲ καὶ παῖδα Εὐδοξίαν ὄνομα Θεοδοσίῳ ἐγέννα· ἥτις δὴ Οὐαλεντινιανῷ τῷ Πλακιδίας παιδὶ, Ῥώμης τηνικαῦτα κρατοῦντι, συνήπτετο, εἰς Θεσσαλονίκην διὰ τὸ κῆδος γεγενημένῳ. Ἐκείνῳ δὲ θυγατέρας αὖθις δύο αὕτη ἐγέννα, Πλακιδίαν καὶ Εὐδοκίαν ὄνομα. Ἡ μέντοι βασίλισσα Εὐδοκία, δι' ἐφέσεως ἔχουσα τὴν τῆς θυγατρὸς Εὐδοξίας συνάφειαν κατιδεῖν, εὐχῇ ἑαυτὴν κατεδέσμει, ὁπηνίκα τῇ παιδὶ πραχθείη ὁ γάμος, αὐτὴν ἐκείνην εἰς Ἱερουσαλὴμ ἀφικέσθαι, εἴς τε τῶν ἁγίων τόπων προσκύνησιν· καὶ τὴν ἀνήκουσαν εὐχαριστίαν τῷ Σωτῆρι ἀφοσιώσασθαι τῶν ἀπείρων χάριν αὐτῇ δωρεῶν· προσεπιγενομένης καὶ τῆς τοῦ περιφανοῦς ἐκείνου μήλου προφάσεως, ὅπερ οἷα λίαν μέγα τε καὶ ἐξαίσιον, κατὰ τὴν Φώτων ἑορτὴν, Φρυγίσκου τινὸς ἀγαγόντος, βασιλεὺς τῇ βασιλίδι ἀπεχαρίζετο Εὐδοκίᾳ, ἑκατὸν τῷ ἀγαγόντι νομίσματα παρασχών. Ἡ δ' αὖθις ἁπλῇ διαθέσει (φιλοτίμως γὰρ ἦν ἔχουσα) τῷ μαγίστρῳ Παυλίνῳ ἐπὶ μᾶλλον ἐρωμένῳ τῷ βασιλεῖ ἔπεμπεν ἐν ἀγρῷ ποδαγριῶντι.

A

CAPUT XXIII.

De Eudocia Augusta, quæ Athenais est dicta, qualis ea et unde fuerit, et quomodo matrimonio Theodosio imperatori sit conjuncta : et ut noverit, se religionis ergo Hierosolyma profecturam : et de malo magnitudinis admirandæ, aliisque quæ ei accidere rebus.

Pulcheria Augusta quod honestatis studiosa esset, cum imperator jam ad ætatem maturam pervenisset, ut ei conjugem matrimonio jungeret, deliberavit. Et generis cujusque et familiæ puellas, eas etiam quæ ex gentibus forma, divitiis, et aliis dotibus præclaræ essent, dispexit. Atque hoc cum illa sic ageret, percommode accidit, ut mulier quædam, cui nomen Athenais erat, adhuc virgo, ex Athenarum urbe ad Augustam veniret. Ea
B Leontii philosophi filia, et quidem ingeniosissima, omni genere non solum Græcarum, **485** sed etiam Latinarum disciplinarum a patre erudita, tantum in philosophia effectrice simul et contemplatrice, atque ea quoque quæ circa dicendi artem, probationesque et confutationes versatur, quantum alius nemo, profecit. In astronomia etiam, geometria, et numerorum proportionibus, plus quam alius ætate sua quisquam, est assecuta. Hanc ubi pater ita educavit atque instituit, moriturus ille, filios suos Valerium et Aetium bonorum suorum hæredes reliquit, filiam autem exhæredavit, fortunam ei, et quam ex doctrina consecuta esset gratiam sufficere dicens. Cum vero ei res esset per-
C angusta, ad Pulcheriam Augustam de fratrum injuria conquerens accessit. Illa prudentiam, venustatem, et miram in rebus (ut ita dicam) omnibus dexteritatem puellæ cum cognovisset, fratri eam connubio conjungendi consilium cepit. Atque ubi ei ut Christianorum sacra coleret persuasit, accito Attico episcopo, ad divinum baptismum eam in eo quod diximus Stephani protomartyris templo adhibuit : et per eum ipsum baptismum, aliosque item plures modos, in filiæ locum sibi arrogatam, uxorem fratri dedit, pro Athenaide Eudocia cognominatam. Hæc Theodosio Eudoxiam filiam genuit, quæ Valentiniano Placidiæ filio, Romæ rerum summam obtinenti, et propter affinitatem nuptiarum Thessalonicæ, quo ex Occidente
D venerat, agenti, in matrimonium est collocata. Atque ea Valentiniano filias duas, Placidiam et Eudociam, progenuit. Verum Eudocia Theodosii conjux, cum desiderio conjugii Eudoxiæ filiæ videndi teneretur, voto seipsam obligavit, ubi nuptiæ filiæ confectæ essent, se Hierosolyma adituram, ut simul et loca sancta veneraretur, et debitas Servatori, ob innumerabilia ab eo accepta dona, ageret gratias. Ad quas causas præclari etiam illa mali occasio accessit, quod utpote ingens et admirandum, festo Luminum die a Phrygisco quodam oblatum, cum illi eam ob rem imperator centum numismata præbuisset, imperatrici Eudociæ dono dedit : idque illa deinde simplici animo (perliberalis enim erat) magistro Paulino, qui prin-

cipi apprime charus, domi ex podagra decumbebat, misit. 486 Paulinus autem, quod de malo factum fuerat, ignorans, eo perinde atque miraculo quopiam imperatorem muneratus est. Qui postquam illud agnovit, conjugem explorando, de eo, an illud ipsum esset, salutem suam verbis prætendens, percontatus est. Eudocia vero, quod imperatoris consilium explorandique voluntatem non intelligeret, cum esse negasset, illud se libenter comedisse dixit. Qua re cum in gravem suspicionem apud imperatorem incidisset, Paulinus quidem statim in Cappadociam relegatus, capitali supplicio est affectus. Ipsa autem ea de causa immenso correpta dolore, votum Deo nuncupatum solvit, et illico Hierosolyma concessit. Dispositione divina id profecto factum, ut ibi quidquid esset bonum atque utile, perficeret. Quid namque opus est admiratione digna dicere opera, quæ eo loco in sacris templis, monachorumque domiciliis, atque apud sacerdotes et pauperes, de quibus paulo post referam, peregit? Unum illud in præsentia memoria dignum de ea et Pulcheria recensebo. Quod namque natura apertus et simplex Theodosius esset, et omnibus benigne facere cuperet, sæpe etiam litteris, quibus minime oportuit, sententia earum non perspecta, subscripsit. Quæ vero ei divinius quasi fidelis custos data erat, in rebus omnibus magnifica, moderata, et sapiens Pulcheria Augusta, id ipsum quoque, morem absurdum coarguens, correxit. Syngrapham enim inter eum et seipsam venditæ conjugis ejus raptim compositam ei proposuit, eamque ille scripturæ vim nesciens, confestim manus suæ adnotatione confirmavit. Postridie ejus diei imperator conjugem ad se vocavit, quam Pulcheria se ei reddituram, plurimum negavit, emptionis libellum, ut testem qui accusari aut rejici non posset, prætendens. Tam illa prudentia atque festivitate fuit. Atque illa negligentiam ejus arte quadam arguens, moderatione mira improvidam litterarum subscriptionem sic in eo emendavit. De his hactenus.

A Ὁ δὲ τὰ περὶ αὐτοῦ ἀγνοῶν, ὥς τι τέρας αὖθις τῷ βασιλεῖ δῶρον προσῆγεν. Ὁ δ' ἀναγνοὺς, ὁποῖον δῆτα τὸ μῆλον, πεῖραν προσῆγε περὶ τούτου τῇ γυναικὶ, τὴν σφετέραν σωτηρίαν προβεβλημένος. Ἐκείνης δὲ τῷ ἀγνοεῖν τὴν πεῖραν διαψευδομένης, καὶ ὡς ὅτι ἡδέως μάλα φάγοι αὐτὸ ἀνειπούσης, εἰς ὑπόνοιαν ἄτοπον ἤγειρε τὸν κρατοῦντα. Καὶ αὐτίκα Παυλῖνος μὲν ἐξόριστος ἐν Καππαδοκίᾳ γενόμενος, κεφαλικῇ τιμωρίᾳ ὑπήγετο. Ἐκείνη δὲ ἀμέτρως διὰ ταῦτα ληφθεῖσα τῇ λύπῃ, τὰ ὑπεσχημένα ἐπλήρου Θεῷ· καὶ αὐτίκα διέβαινεν εἰς Ἱεροσόλυμα. Θεοῦ δὲ ἦν ἄρα οἰκονομία, ἵν' ἐκεῖ γενομένη, κἂν εἴ τι χρηστὸν διαπράξηται. Τί γὰρ χρὴ καὶ λέγειν ὅσα ἐκεῖ θαύματος ἄξια διετέλεσεν ἔργα ἔν τε θείοις ναοῖς καὶ μοναχῶν καταγωγίοις, καὶ ἱερεῦσι, καὶ B πένησι; περὶ ὧν μικρὸν ὕστερον διεξέλθω, τοῦτο μόνον τό γε νῦν ἔχον περὶ αὐτῆς μνήμης ὂν ἄξιον τῇ ἱστορίᾳ διηγησάμενος. Ἁπλοῦς γὰρ φύσει ὢν Θευδόσιος, καὶ πάντας εὐεργετεῖν προθυμούμενος, πολλάκις καὶ οἷς οὐκ ἐχρῆν, μὴ τὰ γραφόμενα διασκεπτόμενος, καθυπέγραφεν. Ὃ δὴ ἡ πάντα κοσμία καὶ σώφρων καὶ σοφὴ οἰκουρὸς πρὸς Θεοῦ δεδομένη Πουλχερία ἡ βασιλὶς, καὶ τοῦτ' ἐπηνώρθου, τὸ τῆς πράξεως ἄτοπον διελέγχουσα. Καὶ δὴ πρᾶσιν ὡς ἀπ' αὐτοῦ πρὸς τὴν ἀδελφὴν τῆς ἰδίας γυναικὸς σχεδιάσασα Εὐδοκίας, προσῆγε τῷ βασιλεῖ· ὁ δὲ τὴν τῶν γεγραμμένων δύναμιν μὴ εἰδὼς, εὐθὺς καθυπέγραφε. Τῇ δ' ἑξῆς ἡμέρᾳ τὴν γαμετὴν ἐκάλει ὁ βασιλεύς· Πουλχερία δὲ μὴ δοῦναι μάλα C σφοδρῶς διετείνετο, τὸν τῆς πράσεως χάρτην προβαλλομένη ἀπαράγραπτον μάρτυρα. Οὕτω σοφή τις ἦν καὶ ἀστεία μάλα· κἀντεῦθεν τὸ ἀνειμένον ἐκείνου τεχνικῶς διελέγξασα, μετρίως τὸ ἐν ταῖς τοιαύταις γραφαῖς ἀπερίσκεπτον διωρθώσατο. Καὶ περὶ μὲν τούτων οὕτως.

487 CAPUT XXIV.

De Attici patriarchæ episcopali administratione. Et quod is urbanus admodum et facetus, nec non in imponendis rerum nominibus acutus fuerit

Atticus autem episcopus Constantinopolitanus, ut Ecclesia incrementa sua caperet, mirifice operam dedit. Summa enim prudentia eam administrans, continua doctrina populum ad studium virtutis excitavit. Et ad misericordiam atque largitionem tam proclivis fuit, ut non modo eis qui in parœciis ejus erant, egenis providendum duceret, sed etiam vicinis Constantinopoli ecclesiis pecuniam multam ad pauperum consolationem mitteret. Porro ex una ejus epistola, quam ad Calliopium presbyterum Nicæam dedit, missis simul trecentis aureis, qualis ea re vir fuerit, satis patebit. Ea sic habet: « Calliopio presbytero Atticus in Domino salutem. Decies mille in urbe vestra egenos piorum commiseratione indigere cognovi. Decies mille dum dico, multitudinem ipsam, non

ΚΕΦΑΛ. ΚΔ'.

Περὶ τῆς τοῦ πατριάρχου Ἀττικοῦ διοικήσεως· καὶ ὡς ἀστεῖος μάλα ἦν, καὶ περὶ τὰς τῶν ὀνομάτων θέσεις φιλόκαλος.

Ὁ δὲ τῆς Κωνσταντίνου ἐπίσκοπος Ἀττικὸς D θαυμασίως τὰ κατὰ τὴν Ἐκκλησίαν ποιεῖν ἐπιδίδου, ἀρίστῃ μὲν φρονήσει ἐπὶ τὴν ταύτης διοίκησιν χρώμενος· τῷ δὲ συνεχεῖ τῆς διδασκαλίας τὸν λαὸν εἰς τὴν τῆς ἀρετῆς μετάληψιν προετρέπετο. Οὕτω δὲ εἶχε προχείρως εἰς ἔλεον, καὶ εἰς μετάδοσιν ἕτοιμος ἦν, ὡς μήτοι γε τῶν ἐν ταῖς παροικίαις αὐτοῦ προνοεῖσθαι πτωχῶν, ἀλλὰ καὶ ταῖς ἀγχιθυρούσαις τῇ Κωνσταντίνου πόλεσιν ἱκανὰ χρήματα πέμπειν, εἰς παραμυθίαν τῶν ἐκεῖ δεομένων. Ἐκ δὲ μιᾶς τούτου ἐπιστολῆς, ἣν Καλλιοπίῳ πρεσβυτέρῳ εἰς Νίκαιαν ἔστελλε, τριακοσίους χρυσίνους συναποστείλας, καταφανὴς ὁποῖος ἦν καὶ περὶ ταῦτα γενήσεται. Ἔστι δὲ αὕτη· « Καλλιοπίῳ πρεσβυτέρῳ Ἀττικὸς ἐν Κυρίῳ χαίρειν. Ἔμαθον μυρίους ἐν τῇ πόλει πεινῶντας δεῖσθαι τοῦ παρὰ τῶν εὐσεβούν-

των ἐλέου· μυρίους δὲ λέγω τὸ πλῆθος, οὐ τὸν ἀκριβῆ δηλῶν ἀριθμόν. Ἐπεὶ τοίνυν αὐτὸς μὲν ἔχω λαβὼν ἀριθμὸν παρὰ τοῦ δαψιλεῖ τῇ χειρὶ διδόντος τοῖς οἰκονομοῦσι καλῶς, συμβαίνει δέ τινας ἀπορεῖσθαι δοκιμασίας, χάριν τῶν ἐχόντων μὲν, μὴ παρεχόντων δὲ τούτοις, λαβὼν, ὦ φίλη μοι κεφαλὴ, τοὺς τριακοσίους τούτους χρυσίνους, ἀνάλωσιν ὅπως ἂν θελήσοις. Βουλήσῃ δέ που πάντως τοῖς αἰσχυνομένοις τὴν αἴτησιν, ἀλλ' οὐχὶ τοῖς ἐμπόριον διὰ βίου τὴν γαστέρα προτεθεικόσι. Διδοὺς τοίνυν, μηδὲ θρησκείαν λογίσῃ κατὰ τοῦτο τὸ μέρος· ἑνὸς καὶ μόνου γενόμενος, τοῦ τρέφειν τοὺς πεινῶντας, ἀλλὰ μὴ λογιστεύειν τοὺς τὸν ἡμέτερον τρόπον φρονοῦντας. » Τῶν μὲν οὖν δεομένων καὶ πόῤῥωθεν ὄντων οὕτω φροντίδος εἶχεν ὁ Ἀττικός· οὐ μὴν δὲ ἀλλὰ καὶ τὰς τινων δεισιδαιμονίας περὶ πολλοῦ ἀναστέλλειν πρόνοιαν ἐποιεῖτο. Καὶ δὴ πυθόμενος Σαββάτιον ἐκεῖνον, ὃς διὰ τὸ Ἰουδαϊκὸν Πάσχα τῆς τῶν Ναυατιανῶν ἐκκλησίας ἀποῤῥαγεὶς, ἰδίαν συνεστήσατο ποίμνην, τὸν βίον ἐν Ῥόδῳ ἀπολιπόντα· ἐκεῖσε γὰρ ὑπερόριος γενόμενος ἐτελεύτα· καὶ ὑπὸ τοῦ ἰδίου συστήματος ἐκεῖθεν τοῦ σώματος μετακομισθέντος, περὶ τὸν ἐκείνου τάφον εὐχὰς ποιεῖν, καὶ ὡς ἁγίῳ δῆθεν τὸ σέβας νέμειν, νύκτωρ τινὰς ἀποστείλας, τὸ Σαββατίου σῶμα εἰς ἕτερον τόπον ἔθαπτεν. Οἱ δὲ περὶ αὐτὸν ἐλθόντες, καὶ τὸν τάφον ὀρωρυγμένον εὑρόντες, τοῦ λοιποῦ σέβειν καὶ δεισιδαιμονεῖν περὶ τὸν τάφον ἐπαύοντο. Λίαν δὲ καὶ φιλόκαλος ἐγεγόνει περὶ τὰς τῶν ὀνομάτων θέσεις, εὐστόχως αὐτὰς συντιθείς. Περὶ γὰρ τὸ κατὰ τὸν Εὔξεινον πόντον στενὸν οὐ πόῤῥω που τοῦ ἀνάπλου ἐπίνειον ἦν, ὃ ἀρχαῖοι ἄνδρες Φαρμακέα ἐκάλουν. Ἐκεῖνος δ' ἐκεῖσε τὰς συνάξεις ποιούμενος, ἵνα μὴ δυσφήμῳ ὀνόματι καλοῖτο ὁ χῶρος, εἰς Θεραπείαν μετετίθει τὴν κλῆσιν. Καὶ προάστειον δ' ἕτερον ἀντιπέραν τῆς Κωνσταντίνου κείμενον Ἀργυρόπολιν μετωνόμαζε, τοιᾶσδε αἰτίας ἡγησαμένης. Χρυσόπολις ἐπίνειον ἀρχαῖόν ἐστιν. Ὃ κεῖται μὲν ἐν ἀρχῇ τοῦ Βοσπόρου, ἀντιπέραν δὲ τῆς Βυζαντίδος ἐστί. Τούτου δὲ πολλοὶ τῶν ἀρχαίων ἱστορικῶν μέμνηνται, ὥσπερ Στράβων ὁ γεωγράφος, Νικόλαός τε ὁ Δαμασκόθεν, καὶ ὁ τὰ Κύρου συγγεγραφὼς ἄριστα, ὁ πολὺς ἐν λόγων δυνάμει, καὶ συγγραφικῷ χαρακτῆρι θαυμαστὸς Ξενοφῶν, ἔν τε τῇ ἕκτῃ τῶν ἀναβάσεων Κύρου· ἀλλὰ καὶ ἐν τῷ πρώτῳ τῶν Ἑλληνικῶν συγγραμμάτων, ἐν ᾧ καὶ τάδε περὶ αὐτοῦ ἱστορεῖ, ὡς Ἀλκιβιάδης ἐκεῖνος τὰ τείχη περιελὼν Χρυσοπόλεως, δεκαδευτήριον ἐν αὐτῇ καθίστα. Ὅσοι γὰρ ἔμποροι ἐκ Πόντου κατέπλεον, ἐν αὐτῇ τὰς δεκάτας παρεῖχον τῶν φόρτων. Ὁ τοίνυν Ἀττικὸς, τὸν καταντικρὺ Χρυσοπόλεως τόπον ἰδὼν ἐν εὐθέτῳ κείμενον καὶ τέρψιν οὐ μετρίαν παρέχοντα, χρῆναι ἔφη τὸν τόπον τοῦτον Ἀργυρόπολιν ὀνομάζεσθαι· ὃ αὐτίκα ῥηθὲν, τὴν ἐπωνυμίαν ἐδίδου τῷ χώρῳ. Λεγόντων δέ τινων ἀσύμφορον εἶναι Ναυατιανοὺς ἔνδον τῆς Κωνσταντίνου ἐκκλησιάζειν, Ἀγνοεῖτε, ὡς ἔοικεν, ἔφη, ὅσα ἡμῖν συνέβη παθεῖν ἐπὶ Κωνσταντίου καὶ Οὐάλεντος. Ἄλλως τε δὲ καὶ μάρτυρες οὗτοι τῆς

certum pauperum numerum ostendo. Quandoquidem vero certum pecuniæ numerum ei acceptum fero, qui perliberali manu rite eam dispensantibus donat, et nonnulli indigent, explorandorum eorum gratia, qui habent quidem, sed illis non dant, acceptis a me, o charum mihi caput, trecentis aureis istis, ut voles eos expende. Voles autem eis maxime, qui mendicare erubescunt : non illis, qui in vita ventrem ad nundinationem proponunt. Cum igitur pecuniam largieris, religionis hac in parte rationem non habebis : hoc unum spectans, ut indigentes alas, neque eos præferas qui moribus nostris vivunt. » Pauperum sane etiam qui longius abessent, ita curam Atticus gessit. Verum ille quoque ut quorumdam superstitionem minueret, magnopere curavit. Et cum audisset Sabbatium illum, qui propter Paschæ diem Judaico more celebrandum a Novatianorum ecclesia secesserat, et gregem sibi suum coegerat, Rhodi, ubi exsulare jussus fuerat, vitam finiisse, popularesque factionis ejus, corpore illius inde translato, circa sepulcrum ejus precationes peragere, et veluti viro sancto reverentiam cultumque præstare : noctu hominibus certis missis, cadaver Sabbatii sepeliri in loco alio curavit. **488** Porro sectatores illius ubi tumulum effossum repererunt, cæremonias superstitionemque suam ad sepulcrum ejus deinceps omiserunt. Et quoniam in nominum inventione, apte illis rebus ipsis imponendis, elegans et felix fuit, navale quod ad angustias Euxini ponti non longe a transitu situm, veteres φαρμακέα, id est veneficum appellarunt, quod ipse ibi conventus cogeret, ne locus is infamem obtineret appellationem, nomine mutato θεραπείαν, hoc est, curam seu medicinam vocavit. Ex suburbiis etiam Constantinopolis aliud, Argyropolim, per mutationem nominis ob causam ejusmodi appellavit. Chrysopolis antiqua navium statio est, contra Byzantium, in Bospori initio posita. Multi ejus antiquorum historicorum meminere, siculi Strabo geographus, Nicolaus Damascenus, et qui Cyri historiam optime conscripsit, vi eloquentiæ magnus, et historico stylo admirandus Xenophon, in sexto Cyri expeditionis : sed et in primo Hellanicorum, seu Græcæ Historiæ libro, ubi de ea hæc quoque memorat, quod Alcibiades ille muro Chrysopoli munita, decimarum accipiendarum sedem ibi constituerit. Quicunque enim mercatores ex Ponto præternavigarent, decimas eo loco mercium præbuerunt. Atticus igitur locum e regione Chrysopoli, commode cum non mediocri amœnitate situm cernens, Argyropolim eum nominari oportere dixit, quod verbum regioni statim cognomen indidit. Quibusdam dicentibus, incommodum esse, quod Novatiani intra urbem Constantinopolim conventus agerent : Ignorare videmini, inquit, quæ sub Constantio et Valente perpessi sumus. Præterea vero testes ibi nobis sunt fidei veraces. Cum enim jamdudum ab Ecclesia universali seces-

serint, nihil illi aliud de fide quam pœnitentiam novarunt. Et cum Nicææ aliquando esset, ordinandi ibi episcopi gratia, Asclepiadem Novatianorum ecclesiæ antistitem, senem admodum conspicatus, quotnam annis episcopatum gessisset, interrogavit. Atque ubi ille quinquaginta dixisset, sermonem excipiens Atticus : Beatus, inquit, es, o Pater, qui tam longo tempore bonum opus curaris. Apud eumdem Asclepiadem illud quoque intulit, **489** « Ego, inquiens, Novatum quidem valde laudo : qui vero ab eo provenere, eos minime recipiendos esse duco. » Vocem hanc ut novam et insolitam, postquam ille audivit : « Quomodo, ait, hoc dicis, episcope ? Propterea, Atticus inquit, illum probo, quod ad communionem eos qui diis sacrificaverant, non admiserit : id namque et ipse, si affuissem, fecissem. Novatianos autem aversor, quod exiguarum rerum gratia homines a communione excludunt. Ad quæ verba Asclepiades respondit : At non sacrificia deorum tantum, sed multa etiam alia sunt peccata ad mortem. Quorum causa vos quidem clerum, nos vero etiam laicos rejicimus, soli Deo, qui novit omnia, omnia committentes. » Dicunt etiam obitum eum suum prævidisse, et ad Calliopium Nicææ presbyterum ab eo discedentem, verbis hisce usum esse : « Quod si me rursus vivum videre voles, ante autumnum exactum celeriter Constantinopolim te venire oportebit. Sin tardius eo concesseris, superstitem me non invenies. » Id quod ita accidit. Nam vicesimo primo ministerii sui anno, decimo Octobris mensis die mortuus est, undecimo Theodosii consulatu.

A πίστεως ἡμῖν ἀληθεῖς καθεστήκασιν. Ἐκ πολλοῦ γὰρ τῆς καθόλου διακριθέντες Ἐκκλησίας, οὐδέν τι ἄλλο περὶ τὴν πίστιν ἐνεωτέρισαν. Καί ποτε δ' ἐν Νικαίᾳ παραγενόμενος, χρείας καλούσης χειροτονεῖν ἐκεῖσε ἐπίσκοπον, Ἀσκληπιάδην τὸν τῶν Ναυατιανῶν ἐκεῖσε δὴ προϊστάμενον θεασάμενος γηραιὸν μάλα ὄντα, ἤρετο πόσοις ἐνιαυτοῖς τῆς ἐπισκοπῆς καθηγοῖτο. Πεντήκοντα δ' ἐκείνου εἰπόντος, ὑπολαβὼν ὁ Ἀττικὸς ἔφη· Εὐδαίμων ἄρα τυγχάνεις, ὦ ἄνθρωπε, ἐπὶ τόσῳ χρόνῳ καλοῦ ἔργου ἐπιμελούμενος. Πρὸς δὲ τὸν αὐτὸν Ἀσκληπιάδην καὶ τοῦτο ἐπένεγκεν, « Ἐγὼ, λέγων, τὸν μὲν Ναυᾶτον σφοδρῶς ἐπαινῶ, τοὺς δ' ἐξ ἐκείνου ἥκιστ' ἀποδοχῆς ἀξιῶ. » Οἷα δὲ ξένον τὸν λόγον διακούσας ἐκεῖνος, « Πῶς τοῦτο, ἔφη, λέγεις, ἐπίσκοπε; B Ὅτιπερ, ἔφη ὁ Ἀττικὸς, ἐκεῖνον μὲν ἐπαινῶ, οἷς τοῖς ἐπιθύσασι κοινωνεῖν παρῃτεῖτο· τοῦτο γὰρ καὶ εἰ ἐγὼ παρήμην, ἔπραξα ἄν. Τοὺς δὲ Ναυατιανοὺς ἀποστρέφομαι, ὅτιπερ εὐτελῶν χάριν πραγμάτων τῆς κοινωνίας τοὺς λαοὺς ἀποκλείουσι. » Πρὸς ἅπερ Ἀσκληπιάδης ἐπήγαγεν· « Οὐ τὸ ἐπιθῦσαι δὴ μόνον, ἀλλὰ πολλαὶ καὶ ἄλλαι ἁμαρτίαι εἰσὶ πρὸς θάνατον, δι' ἃς τοὺς ἐν κλήρῳ μὲν ὑμεῖς, ἡμεῖς δὲ καὶ τοὺς λαϊκοὺς ἀποκλείομεν, μόνῳ τῷ πάντα εἰδότι Θεῷ τὸ πᾶν ἐπιτρέποντες. » Φασὶ δὲ αὐτὸν καὶ τὴν τελευτὴν ἑαυτοῦ προγνόντα, Καλλιοπίῳ τῷ πρεσβυτέρῳ Νικαίας εἰπεῖν ἐκεῖθεν ἀναχωροῦντα· « Εἴπερ βούλει με αὖθις ζῶντα ἰδεῖν, πρινὴ φθίνειν ὀπώραν, τάχος ὅσον τῇ Κωνσταντίνου C σε χρεὼν προσφοιτᾷν. Εἰ γὰρ κατόπιν γένοιτο τοῦ καιροῦ, οὐκέτι περιόντα με καταλήψῃ. » Ὃ δὴ καὶ εἰς ἔργον αὐτίκα ἐξέβαινε. Τῷ γὰρ εἰκοστῷ πρώτῳ τῆς λειτουργίας ἔτι δεκάτην ἄγοντος Ὀκτωβρίου μηνὸς ἐτελεύτα, Θεοδοσίου τὸ ἑνδέκατον ὑπατεύοντος.

CAPUT XXV.

De Alexandro Antiochiæ episcopo : ut primus ipse memoriam et nomen divi Chrysostomi in sacros codicillos retulerit, atque Atticum, itemque alios idem facere curaverit, et Joannis studiosos tranquillitati et paci restituerit : id quod Cyrillus facere detractavit.

Novum autem et admirandum quiddam, quod prius perfecit, quam defunctus est, ita ut reprehensionem eam qua expetitus est, quod Joannis sectatores male acceperit, a se amolitus, aliis obvelaverit bonis, exponam. Antiochiæ Porphyrius, cujus supra meminimus, decessit : et sedem Ecclesiæ Alexander sortitus est, congruentem episcopatui agens vitam. Monasticis enim antea studiis exercitatus, fortis admodum decertator exstitit, consona vitæ facta exhibens, pietatis sanctiorisque philosophiæ meditatione, divitiarum contemptu, eloquentia, et multis aliis donis atque ornamentis mirifice abundans. Alexander iste, eos qui propter Eustathium suos sibi celebrabant conventus, **490** cohortatione et persuasione tandem reliquo Ecclesiæ corpori (quod Paulinus, et post illum Evagrius, impedierant) conjunxit, conventumque ecclesiarum per unionem tantum coegit,

ΚΕΦΑΛ. ΚΕ'.

Περὶ τοῦ Ἀντιοχείας Ἀλεξάνδρου, ὡς πρῶτος τὸ μνημόσυνον τοῦ θείου Χρυσοστόμου τοῖς ἱεροῖς διπτύχοις ἐνέταξε, καὶ Ἀττικὸν καὶ τοὺς ἄλλους οὕτω ποιεῖν παρεσκεύασε, καὶ τοὺς περὶ Ἰωάννην εἰρήνευσε· Κύριλλος δὲ τοῦτο ποιεῖν ἀπετρέπετο.

Ὁ δ' οὖν ξένον πρὶν ἢ τελευτᾷν διεπράξατο, καὶ D τοῦ ἐντριβέντος αὐτῷ μώμου ἀπήλλαξε, δι' ἃ πρὸς τοὺς προσκειμένους τῷ Ἰωάννῃ κακῶς ἔπραξεν, ἀπελαύνων, καὶ ἄλλοις περιελίσσων καλοῖς, διηγήσομαι. Φθάνει μὲν ἐν Ἀντιοχείᾳ τελευτήσας Πορφύριος, περὶ οὗ ἀνωτέρω μνείαν ἐποιησάμην· τὴν δὲ τῆς Ἐκκλησίας καθέδραν ἐκληροῦτο Ἀλέξανδρος, συμβαίνουσαν ἔχων τῇ ἀρχιερωσύνῃ τὴν πολιτείαν. Ἀσκητικοῖς γὰρ πρότερον ἀγῶσιν ἐγγυμνασάμενος, ἀγωνιστὴς ὤφθη γενναῖος μάλα, ἔργοις τὸν βίον δεικνύων συνᾴδοντα, ἀσκήσει καὶ φιλοσοφίᾳ καὶ τῷ ἀκτήμονι βίῳ, καὶ τῷ τῆς γλώττης ῥεύματι, καὶ πολλοῖς ἄλλοις ὑπερφυῶς πλεονεκτῶν τοῖς χαρίσμασιν. Οὗτος τοιγαροῦν ὁ Ἀλέξανδρος καὶ τοὺς Εὐσταθίου χάριν κατ' ἰδίαν συνάγοντας, οὓς συνάπτεσθαι Παυλῖνος οὐκ εἴασε, καὶ μετ' ἐκεῖνον Εὐάγριος, μόλις πειθοῖ καὶ παρακλήσει χρώμενος, τῷ λοιπῷ τῆς Ἐκκλησίας συνήρμοσε σώματι· καὶ

τοιαύτην πανήγυριν τῇ ἑνώσει τῶν ἐκκλησιῶν ἐσχεδίαζεν, οἵαν οὔ τις πώποτε ἐθεάσατο. Τοὺς γὰρ ὁμόφρονας ἐκείνῳ λαβὼν, καὶ τοὺς ἐν κλήρῳ καὶ τῷ πολλῷ πλήθει ἠριθμημένους, πρὸς τὴν ἐκείνων ἧκεν ὁμήγυριν· ἐκεῖθέν τε ἐκείνους παραλαβὼν ὑπὸ ψαλμοῖς καὶ ὕμνων ᾠδαῖς ἐν ταυτῷ ἐναρμονίως μίαν ᾠδὴν ᾄδοντας, ἀπὸ τῆς πρὸς ἑσπέρας τετραμμένης πυλίδος μέχρι τοῦ μεγίστου νεὼ πᾶσαν τὴν ἐν μέσῳ τούτοις ἀγορὰν ἀνθρώπων πλήρη ἐδείκνυ, ποταμὸν οἷον λογικόν τινα σχεδιάζων, κατ' οὐδὲν εἰς ὁμοιότητα διαφέροντα τοῦ παραῤῥέοντος ποταμοῦ. Ἃ δὴ ὁρῶντες οἵ τε Ἰουδαῖοι καὶ ὅσοι τῶν Ἑλλήνων βραχεῖς ὑπελείποντο, πρὸς δὲ καὶ ὅσοι τὴν Ἀρείου εἰσεδέξαντο λώβην, ἔτι δὲ καὶ τοὺς ὅθεν δήποτε ῥέοντας ποταμοὺς, εἰς τὴν τῆς καθόλου Ἐκκλησίας εἰσβάλλοντας θάλασσαν, σφόδρα ἔστενον καὶ ὠδύροντο. Οὗτος τοίνυν ὁ τὰ πάντα ἄριστος καὶ βίον καὶ λόγον Ἀλέξανδρος, πολύν τινα ζῆλον τρέφων ὑπὲρ τῆς Ἰωάννου δίκης, πρῶτος τὴν ἐκείνου προσηγορίαν τοῖς ἐκκλησιαστικοῖς διθύροις ἐνέταττε· καὶ βασιλεῖ, καὶ τοῖς ἁπανταχοῦ ἔγραψεν ἐπισκόποις, τὰ ἴσα καὶ αὐτοὺς πράττειν, καὶ τὴν εἰρήνην τῇ Ἐκκλησίᾳ ἐντεῦθεν ἀσφαλῶς πρυτανεύειν. Ὁ δὴ καὶ ὁ ἐπίσκοπος Ἀττικὸς συνιδὼν διὰ τοὺς Ἰωαννίτας, τὴν Ἐκκλησίαν τοῦ Θεοῦ διεῤῥηγμένην τὴν ἐκείνου μνείαν γνώμῃ τῶν κρατούντων καὶ αὐτὸς ταῖς εὐχαῖς ποιεῖσθαι ἐκέλευε· καθάπερ εἰωθὸς ἦν γίνεσθαι καὶ ἐπὶ τῶν λοιπῶν ἐπισκόπων ἀπολελοιπότων τὸν βίον. Καί γ' ἐξ ἐκείνου τὰ τῆς εἰρήνης ἀνήπτετο· ἕως χρόνῳ ὕστερον καὶ τὰ ἐκείνου λείψανα εἰς τὴν βασιλεύουσαν πόλιν μετεκομίζετο. Ὁ μὲν οὖν Ἀττικὸς τοῦτον τὸν τρόπον τὸ προστριβὲν αὐτῷ μῖσος διὰ τὸν θεσπέσιον Ἰωάννην λαμπρῶς ἐπανώρθου. Οὐχ αὐτὸς δὲ μόνος τοῦτ' ἔπραττεν, ἀλλὰ καὶ τοὺς ἄλλους ἔπειθεν, ἀντιτείνοντας τὴν Ἰωάννου μνήμην ταῖς εὐχαῖς ἀναφέρειν, καὶ μάλιστα Κυρίλλῳ τῷ τῆς Ἀλεξάνδρου τὸν θρόνον διέποντι, ἀπεχθῶς μάλα ἔχοντι πρὸς Ἰωάννην, ὅτι διάφορος Θεοφίλῳ τῷ πρὸς πατρὸς θείῳ καθίστατο. Οὐκ ἄκαιρον δὲ καὶ αὐτὰς ἐκείνων τὰς ἐπιστολὰς τῷ συγγράμματι παραθεῖναι διὰ τὸ ἀξιόπιστον. Ἔχουσι δ' ἐπὶ λέξεως οὕτως.

quantum nunquam aliquis vidit. Eis enim qui idem sentiebant, et ex clero et ex populo ipso assumptis, ad illorum venit conventum : atque illis etiam inde, ita uti psalmis atque hymnis Deum laudabant, receptis, cantilenam eamdem uno ore concinne canente, ab ea quæ ad Occidentem versa est porta, usque ad templum maximum, totum quod in medio est forum, hominum multitudine complevit : veluti spiritualem quemdam amnem instituens, re nulla ad similitudinem, ab eo qui urbem præterfluit flumine differentem. Quod ubi Judæi, et qui adhuc pauci reliqui erant Græcæ superstitionis sectatores, et Ariani ipsi, fieri, fluviosque undecunque promanantes in catholicæ Ecclesiæ pelagus inferri viderunt, vehementer ingemuerunt atque lamentati sunt. Alexander itaque et vita et doctrina optimus, zelo ingenti Joannis causam fovens, primus illius nomen in ecclesiasticum retulit album : atque ad imperatorem omnesque ubique episcopos, ut idem et ipsi facerent, et ea re pacem certam et constantem Ecclesiæ conciliarent, scripsit. Cæterum cum Atticus quoque episcopus propter Joannitas Ecclesiam esse scissam videret, de principum sententia ipse quoque mentionem illius fieri in precationibus jussit : quemadmodum id et in aliis episcopis qui vita excessissent, fieri solitum erat. Atque ex eo tempore pax exstitit, donec postea quoque reliquiæ ejus urbi imperanti illatæ sunt. Atticus invidiam in quam propter divinum Joannem deciderat, hoc modo magnifice abolevit. Nec ille modo id fecit, sed aliis quoque Joannis memoriam precibus inserere recusantibus, et Cyrillo maxime Alexandriæ præsuli, qui hostiliter Joannem oderat, quod ille a Theophilo patruo suo dissensisset, persuasit. Sed non intempestivum fuerit, historiæ huic epistolas eorum, certioris fidei gratia, adnectere : quæ de verbo ad verbum sunt tales :

ΚΕΦΑΛ. ΚϚ'.

Ἐπιστολὴ Ἀττικοῦ τοῦ πατριάρχου τῆς Βασιλίδος πρὸς τὸν ἅγιον Κύριλλον Ἀλεξανδρείας, ὑποτιθεῖσα καὶ αὐτὸν τὴν προσηγορίαν τοῦ μακαρίου Ἰωάννου τοῖς ἱεροῖς διπτύχοις ἐγγράφειν.

« Ἀττικὸς Κυρίλλῳ εὖ πράττειν. Περιπεπτώκαμεν οἷς μὴ προῃρήμεθα· καὶ στέργειν ἀναγκαζόμεθα τὰ μὴ κατὰ γνώμην ἡμῖν ἀπηντηκότα, τοῦ δικαίου τὸ λυσιτελὲς προτιμήσαντες, καὶ πρὸς τὴν τῶν λαῶν ὁμόνοιαν ἐπικλιθέντες τοῖς λογισμοῖς· κανόνι μὲν τοῖς τῶν Πατέρων μὴ λυμηνάμενοι, τῆς δὲ ἀκριβοῦς λεπτολογίας τὴν τῆς οἰκουμένης εἰρήνην προτεθεικότες. Οἶδα μὲν οὖν καὶ τὸν μακάριον Παῦλον ἐν τῷ θεσμοθετεῖν ταῖς ἐκκλησίαις σαφῶς τὰς ὑποθέσεις οἰκονομήσαντα· οἶδα δὲ καὶ τὸν ἐν ἁγίοις πατέρα τὸν σὸν, τὸν ἰσαπόστολον Θεόφιλον, ἐπὶ τῆς Ἑλληνικῆς συγχύσεως τὴν εἰρήνην τῆς παρὰ

491 CAPUT XXVI.

Epistola Attici patriarchæ imperantis urbis, ad sanctum Cyrillum Alexandrinum, in qua eum ille cohortatur, ut nomen beati Joannis sacro albo inserat.

« Atticus Cyrillo felicitatem. Incidimus eo, quo non putaveramus : et acquiescimus necessitate in eo quod minus ex sententia nostra processit, utilitatem justitiæ præponentes. Et cogitationibus nostris ad populi concordiam inclinati, canonibus quidem Patrum detrimentum nullum afferimus, exactæ autem verborum observationi, universi orbis pacem præferimus. Non ignoro equidem et beatum Paulum, cum ecclesiasticas ederet constitutiones, sapienter occasionibus provida dispensatione usum esse. Scio etiam, qui in sanctorum numero censentur, patrem tuum apostolicum,

Theophilum, in confusione et turba a Græcæ superstitionis studiosis excitata, exactam ad breve tempus observationem paci posthabuisse. Maximæ enim quæque urbes pelago fluctibus exagitato persimiles, ex sententia civium, non tam summa legum et constitutionum observatione, quam expeditissimis consiliis atque judiciis, ad pacem et concordiam facientibus, regi atque administrari solent. Qua vero de causa litteras hasce scribam, accipe. Novit sanctitas tua, ac potius illis ipsis oculis intuetur, quibus qui in sanctis est, Pater noster Theophilus, conspexit, qualis et quam ingens turba, magnam hanc invaserit urbem : atque ut in ea sanctior fides et pietas, ne funditus eveteretur, periclitata sit : adeo etiam ut populus majore ex parte per factionem scissus, extra muros conventus egerit : et plerique sacerdotes et collegæ nostri episcopi, a mutua communione desciscentes, bonam plantationem Domini Jesu Christi, parum abest quin evulserint, pacis commoditate scilicet aliquantulum distracta. Sedenim multo sane labore, multo sudore, et periculis multis desperationis plenis, plurima et maxima quæque communium Patrum nostrorum atque etiam pietatis tuæ precibus et conspiratione sopita sunt mala. Et turba quidem illa conquievit, concordia vero et serena tranquillitas in orbis universi ecclesiis obtinet. Cum vero nonnulli nomen tantum beati Joannis mysticis tabulis inscribi vellent, beatus episcopus Alexander, Antiochenum istum dico, **492** Constantinopolim venit, et multa ore confidenti verba fecit : vehementerque excitare populum voluit, ut vel nobis invitis, necessario ejus quem diximus, nomen ita inscriberetur. Quam rem accurate prorsus pietati tuæ, ministri Dei religiosissimi diaconi, Petrus et Ædesius exposuerunt. Præteriit tempus longum, et nos necessitate ea quæ a populari rerum administratione provenit, premi incipiebamus, neque tamen quidquam schismatis et dissidii reliquias curabamus : cum ad nos ex Oriente Dei amantissimi episcopus Acacius litteras dedit, religiosissimum antistitem Antiochiæ Theodotum a populo, ut nomen Joannis in sacras tabulas referret, coactum esse, ut veniam rei ei quam necessitate ille adductus fecisset, daremus, petens. Et tum bonus ille qui litteras ad nos pertulit presbyter, causam adventus sui indicans, rem hanc in vulgus magnæ urbis propalavit, et sententiam datæ ad nos epistolæ populo vulgavit : adeo ut parum abfuerit, quin tumultu plebis universæ urbs repleta sit. Ibi vero ego, ibi demum perturbatus, et de rebus maximis discrimen summum veritus, piissimum imperatorem adii, et cum eo de pace et tranquillo rerum statu egi. Atque ille nihil esse periculi aut incommodi respondit, si defuncti viri nomen, tranquillitatis, pacis et populi concordiæ gratia inscriberetur. Itaque ego ea re persuasus, (quomodo enim necessitate præventus id non facerem?) ne religionis nostræ res

A βραχὺ ἀκριβείας προτετιμηκότα. Αἱ γὰρ δὴ μέγισται τῶν πόλεων κυμαινομένης θαλάσσης κύμασιν ἐοίκασι, κατὰ τὰς γνώμας τῶν οἰκητόρων, οὐ τοσοῦτον νόμοις καὶ διατάξεσιν ἀκριβέσι πεφύκασι πείθεσθαι, ὅσον διακρίσεσιν εὐμεταχειρίστοις βλεπούσαις πρὸς εἰρήνην καὶ σύμπνοιαν. Ὅτου δὲ χάριν ἐκτίθημι ταῦτα τὰ γράμματα, μάνθανε. Ἔγνω που πάντως ἡ σὴ ὁσιότης, μᾶλλον δὲ τεθέαται τοῖς ὀφθαλμοῖς ἐκείνοις οἷσπερ οἶδεν ὁ ἐν ἁγίοις Πατὴρ ἡμῶν ὁ Θεόφιλος, οἷα καὶ ὅση ταραχὴ κατέλαβε τὴν Μεγαλόπολιν· καὶ ὅπως ἐκ τῶν βάθρων αὐτῶν ἐκινδύνευσεν ἡ εὐσεβὴς πίστις κατασεισθῆναι· ὥστε καὶ αὐτὸν τὸν λεὼν τμηθέντα τῷ πλείονι μέρει, τῶν τειχῶν ἐκτὸς συναθροίζεσθαι, καὶ τοὺς ἱερέας τε καὶ συνεπισκόπους ἀποῤῥαγῆναι τῆς πρὸς ἀλλήλους B κοινωνίας, τὴν ἀγαθὴν φυτείαν τοῦ Δεσπότου Χριστοῦ, τὸ τῆς εἰρήνης λέγω καλὸν, μικροῦ διασπάσαντας. Διόπερ πολλῷ μὲν πόνῳ, πολλῷ δὲ ἱδρῶτι καὶ κινδύνοις γέμουσιν ἀπογνώσεως τὰ πλείω καὶ προτιμότερα, προσευχαῖς τε καὶ συμπνοίαις τῶν κοινῶν Πατέρων ἡμῶν, ἔτι γε μὴν καὶ τῆς θεοσεβείας, ἐκείνη μὲν κατηυνάσθη· ὁμόνοια δὲ καὶ γαλήνη κατέχει τὰς κατὰ τὴν οἰκουμένην ἐκκλησίας. Ἐπειδὴ δέ τινες τὴν προσηγορίαν μόνον τοῦ μακαρίου Ἰωάννου ταῖς μυστικαῖς δέλτοις γραφῆναι ἠθέλησαν· ὥστε καὶ τὸν μακάριον ἐπίσκοπον Ἀλέξανδρον, τὸν τῆς Ἀντιοχείας φημὶ, ἐπιστάντα τῇ Μεγαλοπόλει, πολλὰ θρασυστομῆσαι, πολλὰ δὲ καὶ τοὺς λαοὺς ἐπεγεῖραι θελῆσαι· ὥστε καὶ μὴ βουλομένων ἡμῶν ἀναγκάσαι γραφῆναι τὸ τοῦ μνημονευ- C θέντος ὄνομα. Ἅπερ μετὰ ἀκριβείας ἁπάσης ἐξηγήσαντό που πάντως τῇ σῇ θεοσεβείᾳ οἱ τοῦ Θεοῦ δοῦλοι εὐλαβέστατοι διάκονοι Πέτρος καὶ Αἰδέσιος. Χρόνου δὲ πολλοῦ παρεληλυθότος, καὶ ἡμῶν βιαζομένων τὴν ἐκ τῆς δημοκρατίας ἀνάγκην, καὶ κατὰ μηδὲν ἐπιστρεφομένων πρὸς τὸ τοῦ σχίσματος λείψανον, γέγραφεν ἡμῖν ἐκ τῆς Ἑῴας ὁ θεοφιλέστατος ἐπίσκοπος Ἀκάκιος, τὸν εὐλαβέστατον ἐπίσκοπον τῆς Ἀντιοχείας Θεόδοτον συναναγκασθῆναι παρὰ τῶν δήμων τὴν προσηγορίαν Ἰωάννου γράψαι· καὶ ᾐτεῖτο συγγνώμην ἡμᾶς παρασχεῖν τῷ ὑπὸ ἀνάγκης τοῦτο πεποιηκέναι· ὅτε γενναῖος ἐκεῖνος τῶν γραμμάτων διακομιστὴς πρεσβύτερος ἔφθη κατασπεῖραι τὸν λόγον τῷ πλήθει τῆς Μεγαλοπόλεως, τῆς ὑπο- D θέσεως χάριν ἧς ἀφίκετο· τόν τε νοῦν τῶν πρὸς ἡμᾶς γραμμάτων διεπόρθμευσε τοῖς λαοῖς, ὥστε συγχύσεως μικροῦ δεῖν τὸν ὄχλον πάντα ἀναπλησθῆναι. Τότε δὴ, τότε θορυβηθεὶς ἐγὼ, καὶ τὸν ὑπὲρ τῶν μεγίστων κίνδυνον ὑποπτεύσας, καὶ περὶ τὸν εὐσεβέστατον βασιλέα γενόμενος, περὶ τῆς εἰρήνης καὶ τῆς εὐσταθείας ἐποιούμην τὸν λόγον. Ὁ δὲ ἀπεκρίνατο μηδὲν εἶναι βλάβος γράφειν ἀπεληλυθότος ἀνδρὸς ὄνομα ὑπὲρ τῆς εὐσταθείας καὶ τῆς τῶν λαῶν ὁμονοίας τε καὶ εἰρήνης. Καὶ τοίνυν ἐγὼ τούτοις πεισθεὶς, καὶ πῶς γὰρ οὐκ ἔμελλον προφθάσας τὴν ἀνάγκην; ὥστε μὴ γενέσθαι τὰ καθ' ἡμᾶς ἀκολουθίαν τοῦ πλήθους, μήτε μὴν ἐθισθῆναι εἰς δημοκρατίαν τὴν πόλιν· γραφῆναι παρεσκεύασα τὴν προσηγορίαν· οὐδὲν, ὡς οἶμαι, οὔτε εἰς αὐτοὺς

τοὺς κανόνας ἡμαρτηκὼς, οὔτε μὴν τῇ κρίσει τῶν A Πατέρων διαλυμηνάμενος. Μνημονεύεται γὰρ μετὰ τῶν ἀπεληλυθότων οὐ μόνον ἐπισκόπων, ἀλλὰ καὶ πρεσβυτέρων, καὶ διακόνων, καὶ λαϊκῶν, καὶ γυναικῶν· πρὸς οὓς ἅπαντας οὐκ ἔστιν ἡμῖν κοινωνία ἱερωσύνης, οὐδὲ μετάδοσις τῶν ἐπὶ τῆς ἁγίας τραπέζης μυστικῶς τελουμένων. Πολὺ γὰρ τὸ μέσον τῶν ὑπελθόντων τὸ πέρας, καὶ τῶν ἔτι ὑπὲρ γῆς τυγχανόντων, ὥστε καὶ συνδιαιρεῖσθαι τὰς βίβλους πρὸς τὴν τῶν μνημονευομένων κατάστασιν. Οὔτε γάρ τι τὸν Δαυῒδ ἔβλαψεν ἡ ἔντιμος τοῦ Σαοὺλ κηδεία, οὔτε τοὺς ἀποστόλους ὁ τῆς τοῦ Ἀρείου ἀσεβείας ὀπαδὸς Εὐδόξιος, ὑπὸ τὸ αὐτὸ θυσιαστήριον κείμενος· οὔτε Παυλῖνός τε καὶ Εὐάγριος, οἱ γενόμενοι ἀρχηγέται τοῦ σχίσματος τῆς ἐν Ἀντιοχείᾳ B ἐκκλησίας· ὅτι μετὰ θάνατον, πολὺς ἐξότου χρόνος, τοῖς μυστικοῖς διπτύχοις διὰ τὴν τῶν λαῶν εἰρήνην τε καὶ ὁμόνοιαν ἐνεγράφησαν. Διόπερ καὶ αὐτὸς κέλευσον ἐγγραφῆναι τὴν προσηγορίαν τοῦ ἀπεληλυθότος ταῖς κατ' Αἴγυπτον ἐκκλησίαις τῆς οἰκουμενικῆς χάριν εἰρήνης, μήτε Πατέρων λύων κανόνας, καὶ τὴν ὁμόνοιαν πασῶν ὁμοῦ τῶν ἐκκλησιῶν περὶ πλείστου ποιούμενος. Ὅτι δὲ καὶ ἡμῖν γράψεις τὰ πρέποντα, πεπληροφόρημαι, πρός τε τὴν ὁμοψυχίαν καὶ τὸ κοινὸν τῆς ἀδελφότητος ἀποβλέπων. Πᾶσαν τὴν σὺν σοὶ ἀδελφότητα ἐγώ τε καὶ οἱ σὺν ἐμοὶ προσαγορεύομεν. » Καὶ πρὸς μὲν Κύριλλον ταῦτα ἔγραψεν· ἔτι δὲ διερεθίζων αὐτὴν, καὶ ἄλλην πρὸς Πέτρον καὶ Αἰδέσιον τοὺς ἐκείνου διακόνους ἀπέστελλε, τάδε διεξιοῦσαν· « Ἐπέσταλται μὲν τὰ C εἰκότα πρὸς τὸν θεοφιλέστατον ἐπίσκοπον τὸν ἀδελφὸν ἡμῶν Κύριλλον τῶν γεναμένων ἕνεκεν τῆς προσηγορίας Ἰωάννου, τῆς ἐν τοῖς διπτύχοις γραφείσης τοῖς ἐκκλησιαστικοῖς. Οὐδὲν δὲ ἧττον καὶ τῇ ὑμετέρᾳ γράφω εὐλαβείᾳ πλέον τῶν ἄλλων ἐπισταμένῃ τὰ ἐνταῦθα, εἰρηνικῶς τε τὴν ὑπόθεσιν ἀποβῆναι, τῷ μάλιστα τοῦτο δόξαι, προηγουμένως μὲν τοῖς εὐσεβεστάτοις βασιλεῦσιν, ἔπειτα δὲ καὶ πᾶσι τοῖς ἀνατολικοῖς ἐπισκόποις. Οὐ μὴν δὲ ἀλλὰ καὶ τοῖς τῆς ἑσπέρας αὐτῆς· οὐχ ὡς ἐπισκόπου γραφομένου, ἀλλ' ὡς πάλαι μὲν τούτου γενομένου, μνήμης δὲ ἀξιοῦσθαι διὰ τὴν οἰκουμενικὴν εἰρήνην ὀφείλοντος. Γράφω δὲ, ὥστε μὴ τῆς, ὁμονοίας τὸ πᾶν ὡς εἰπεῖν νεμηθείσης, μόνους ὑμᾶς D μὴ συνθεμένους, καὶ τοῖς εὐσεβεστάτοις βασιλεῦσι δοκεῖν ἀντιλέγειν, καὶ τοῖς ἀναγκαιοτάτοις πράγμασιν ἡμῶν, ἀντιπνοίας τινὸς γενομένης, βλάπτεσθαι τὰς ἐκκλησίας Χριστοῦ. Καὶ ταῦτα μὲν οὕτως· σφόδρα δὲ ἡμᾶς ἤγαγεν εἰς συναίσθησιν ἡ ἀποδημία ὑμῶν, τῶν νῦν συνόντων ἡμῖν ἀνθ' ὑμῶν· οὐχ οὕτως ἡμῖν συμβιούντων, ὥσπερ δὴ καὶ ὑμεῖς, ὡς τῷ ξενισμῷ τῶν τρόπων τούτων τε καὶ ὑμῶν μικροῦ δεῖν ὑμᾶς ἀνιᾶσθαι. Διόπερ πάντα ὑπερθέμενοι, σπουδάσατε καὶ εἰς τὸ ἑξῆς δραμεῖν πρὸς ἡμᾶς, ἐκ τῆς συγκρίσεως, σφοδροτέραν εὑρίσκοντες ἢ πρότερον παρ' ἡμῖν τὴν ἀγάπην. » Τὰ τοίνυν τοιαῦτα γράμματα δεξάμενος Κύριλλος τοσοῦτον παρῃτεῖτο τὴν πρᾶξιν, ὡς ἐκ τῶν γραμμάτων δη-

ex multitudinis arbitrio, exemplo uno permisso, penderent, neve urbem ipsam populari administrationi assuefaceremus, nomen id in album referri jussi. Quare, ut equidem puto, neque in sacros canones commisi, neque judicio Patrum fraudem feci. Mentio namque ejus fit cum defunctis non solum episcopis, sed et presbyteris, diaconis et laicis ipsis, mulieribusque, cum quibus omnibus nobis sacerdotii communio, aut earum rerum quæ in sacra mensa mystice percipiuntur, participatio non est. Magna enim est inter defunctos et superstites differentia, ita ut etiam libri, propter differentem eorum quorum memoria conservatur statum, discreti sint. **493** Nihil enim Davidi obfuit honorifica Sauli sepultura, neque apostolis Arii impietatis sectator Eudoxius, sub eadem sanctiore sacrificii ara positus : neque Paulinus et Evagrius Ecclesiæ, qui schismatis et dissidii duces in Ecclesia Antiochena fuere, quod post obitum, non paucis hinc ab annis, propter populi pacem et concordiam mysticis tabulis sunt inscripti. Quam ob causam ipse quoque Ægypti ecclesiis, ecclesiarum orbis totius pacificandarum gratia, ut mortui illius nomen inscribant, præcipe. Ita enim cum Patrum canones non transgrediere, tum ecclesiarum simul omnium concordiam plurimi facies. Te vero ea nobis, quæ convenit, rescripturum esse, ad communem consensum et fraternitatem respicientem, persuasum habeo. Fraternitatem, quæ tecum est, omnem, ego quique mecum sunt, salvere jubemus. » Ad Cyrillum Atticus hæc scripsit. Rem autem istam magis etiam urgens, aliam quoque epistolam ad Petrum et Ædesium diaconos ejus, hisce verbis dedit : « Ad Dei amantissimum episcopum, fratrem nostrum Cyrillum, ita ut decuit, per epistolam scripsimus ea quæ nomine Joannis in ecclesiasticas tabulas relato acta sunt. Nihilo vero minus et ad pietatem vestram scribimus, quæ melius quam alii res nostras novit, ad pacem videlicet et tranquillitatem eas evasisse, de sententia præcipue piissimorum principum, et omnium deinde Orientalium episcoporum, ipsorumque adeo Occidentalium quoque, de Joanne sacris tabulis, non ut episcopo, sed qui aliquando episcopus fuerit, inserto, ut memoria ejus, propter communem orbis universi pacem coleretur. Scribimus autem, ne, concordia ubique propemodum obtinente, solis nobis ei non astipulantibus, simul et piissimis principibus adversari videamur, et summe necessariis rebus nostris, ventis aliquibus adversis obortis, et Ecclesiæ Christi noceamus. De his hactenus. In magnum vero desiderium nos profectio vestra adduxit, quod non eamdem ex eorum qui nunc nobiscum sunt, quam ex vestro convictu percipiamus jucunditatem, adeo ut novitate familiaritatis eorum quæ a consuetudine vestra multum differt, fere perturbemur. **494** Quapropter rebus omnibus postpositis, ope-

ram date, ut deinceps ad nos recurratis, propter morum, quod experti sumus, discrimen, apud nos vehementiorem quam antea reperturi charitatem. » Litteris ejusmodi Cyrillus receptis, maximopere rem eam aversatus est, sicuti ex litteris ejus satis liquet. Nam quæ Attico rescripsit, sic habent :

λον γενέσθαι. Ἃ δ' οὖν ἀντέγραφε, τούτοις διεί-ληπτο·

CAPUT XXVII.

Epistola contraria sancti Cyrilli ad Atticum, nomen Joannis admittere detrectantis.

« Lectis quæ a pietate tua ad me missæ sunt, litteris, Joannis nomen sacris inscriptum esse tabulis intellexi. Ubi vero eos qui inde ad nos venere, interrogavi, non in laicorum, sed episcoporum catalogo ascriptum esse audivi. Porro dispicienti mihi, atque in animo reputanti, an qui hoc fecere, Nicænorum Patrum decreta sequantur, et aliquantulum mentis luminibus in magnam illam synodum intendenti, universum sanctorum illorum Patrum collegium, quibusdam veluti oculis renuere, et viribus omnibus, quominus ad rem eam comprobandam accurram, obsistere videntur. Quomodo namque inter sacerdotes Dei censebitur, illorumve feret sortem, cui sacerdotalis dignitas abrogata est? Quomodo vero in catalogo sacrorum ministrorum erit, qui ecclesiasticis mœnibus ejectus est? Aut enim professione nostra indignum est, ut sacerdotii nomen nihil esse, et rem ipsam communem omnibus esse, quæ tamen eis solis qui ad eam vocati sunt, asservata est, dicamus : aut si magnum quiddam est, quod sacerdotalem functionem a populi multitudine dirimit, non miscenda quæ misceri non possunt, sed eorum quæ diximus quodvis in ordine suo conservandum, et honore debito cohonestandum nobis erit. Quomodo igitur aut inter episcopos laicus, aut inter germanos et legitimos, qui talis non sit, consistet? Honora, te hortor, eos qui magnarum et splendidarum recteque actarum rerum tulere testimonium, ne contumelia sanctum Patrum chorum afficias. Considera eos qui superstites adhuc in vita manent, quomodo rem hanc acceperint. An non illi dolore se omni repletos esse recte dicant, **495** si in eumdem cum eis ordinem, is cui dignitas adempta est referatur? Verum id pietati quoque tuæ persuasum esse puto. Quamobrem et illis et nobis mœroris abole causam. Tolle omnium tristitiæ occasionem. Nam facile et expedite ea quæ præter opinionem accidunt, disponere et administrare, boni et sapientis esse dixerim : sed tum demum, cum nihil detrimenti afferat. Non enim, quamvis gregem Christi propagare, frequentioremque efficere studeamus, examina hæresum, si errorem suum non repudient, recipimus. Et proinde non omnino prompta quadam dispensatione facilem cum eis complecti pacem debemus, adversus quos pugnare præstet. Dispensationis sane laudatæ opus fuerit, si quandoque ita a debita ratione deflectere videamur, ut in rebus utilibus et commodis de-

ΚΕΦΑΛ. ΚΖ'.

Ἀντεπιστολὴ τοῦ ἁγίου Κυρίλλου πρὸς τὸν Ἀττικὸν, ἀπαγορεύουσα τὸν Ἰωάννην εἰσδέξασθαι.

« Τοῖς παρὰ τῆς σῆς θεοφιλείας ἐπεσταλμένοις ἐντυχὼν, ἐγγεγράφθαι μὲν τὴν Ἰωάννου προσηγορίαν ἐν ταῖς ἱεραῖς ἐμάνθανον δέλτοις· ἐρωτήσας δὲ τοὺς ἐκεῖθεν ἥκοντας, ἐπυθόμην οὐκ ἐν τοῖς τῶν λαϊκῶν καταλόγοις, ἐν δὲ τοῖς τῶν ἐπισκόπων ἐντετάχθαι αὐτήν. Διασκοπούμενος δὲ καὶ κατ' ἐμαυτὸν ἐννοῶν, εἰ ταῖς τῶν Πατέρων τῶν ἐν Νικαίᾳ ἀκολουθοῦσι δόξαις οἱ τοῦτο πεπραχότες, καὶ βραχύ τι τὸν τῆς διανοίας ὀφθαλμὸν πρὸς τὴν μεγάλην ἐκείνην ἀνατείνας σύνοδον, ὅλην ὁρῶ τῶν ἁγίων Πατέρων ἐκείνων τὴν ὁμήγυριν ὥσπερ τισὶν ὀφθαλμοῖς ἀνανεύουσαν, καὶ παντὶ σθένει διακωλύουσαν ἡμᾶς τρέχειν εἰς τὴν ἐπὶ τούτῳ συναίνεσιν. Πῶς γὰρ τοῖς ἱερεῦσι Θεοῦ συντετάξεται, καὶ τὸν ἐκείνων φυράσει κλῆρον, ὁ τῆς ἱερατείας ἐκβεβλημένος; Πῶς δὲ ἐν καταλόγοις ἔσται λειτουργῶν ὁ τῶν ἐκκλησιαστικῶν περιβόλων ἔξω τεθείς; ἀνάξιον γὰρ ἡμᾶς ἢ μηδὲν εἶναι λέγειν τὸ τῆς ἱερατείας ὄνομα, καὶ πρᾶγμα κοινὸν εἶναι πᾶσι τὸ μόνοις τετηρημένον τοῖς εἰς τοῦτο καλουμένοις· ἢ εἰ πολύ τι τὸ διατειχίζον ἐστὶν ἱερωσύνην καὶ λαὸν, μὴ μιγνύειν τὰ ἄμικτα, τηρεῖν δὲ ἐν τῇ οἰκείᾳ τάξει τῶν εἰρημένων ἕκαστον, καὶ τῆς αὐτῷ πρεπούσης τιμῆς ἀξιοῦν. Πῶς οὖν ἐν ἐπισκόποις ὁ λαϊκὸς, ἢ πῶς ἐν τοῖς γνησίοις ὁ μὴ τοιοῦτος ἀναφανείς; Τίμησον, παρακαλῶ, τοὺς ἐπὶ λαμπροῖς καὶ μεγάλοις τοῖς κατορθώμασι μαρτυρηθέντας. Μὴ ὑβρίσῃς τὸν ἅγιον τῶν Πατέρων χορόν. Ἐννόει παρόντας ἔτι καὶ συνδιαιτωμένους, πῶς ἂν ἐπὶ τῷ γεγονότι διετέθησαν. Ἆρ' οὐχὶ πάσης ἀναπεπλῆσθαι λύπης εἶπον ἂν εἰκότως, εἰς τὴν ἴσην αὐτοῖς τάξιν εἰσφερομένου τοῦ καθῃρημένου; Ἀλλ' οἶμαι καὶ αὐτὴν τοῦτο πεπεῖσθαι τὴν σὴν θεοσέβειαν. Διὸ δὴ σβέσον αὐτοῖς τε καὶ ἡμῖν τῆς ἀηδίας τὴν πρόφασιν. Λῦσον τῆς ἁπάντων κατηφείας τὴν ὑπόθεσιν. Τὸ μὲν γὰρ εὐμεταχειρίστως τὰ παρεμπίπτοντα διοικεῖν καλὸν ἂν εἴποιμι καὶ σοφόν· τότε δ' ἔσται σοφὸν, ἂν μή τι βλάβος εἰσφέρῃ· οὐδὲ γὰρ ἐπειδήπερ μείζονα τὴν Χριστοῦ ποίμνην ἀποτελοῦμεν, τοὺς ἐν ταῖς αἱρέσεσι προσλαβόντες ἑσμοὺς, καὶ εἰ τῆς οἰκείας μὴ μεταθεῖεν πλάνης, διὰ τοῦτο χρὴ πάντως οἰκονομικήν τινα καὶ ἀπεριέργαστον εἰρήνην ἀσπάζεσθαι, πρὸς οὓς ἐστι κρείττων ἡ μάχη. Ἔργον δὲ ὄντως οἰκονομίας ἐστὶ τὸ δοκεῖν ἔσθ' ὅτε βραχύ τι τοῦ πρέποντος ἐξίστασθαι λόγου, μετὰ τοῦ τὴν ἐν τοῖς χρησίμοις παραιτεῖσθαι ζημίαν. Οὕτω καὶ ὁ μακάριος Παῦλος τοῖς πᾶσιν ἐγίνετο πάντα· οὐχ ἵνα κερδάνῃ μέν τι βραχὺ, ζημιωθῇ δὲ μέρος, ἀλλ' ἵνα πάντας κερδήσῃ. Ἴδωμεν τοίνυν διὰ ταύτης τῆς ἐρεύνης τῆς ἐν τοῖς πράγμασι βαδίζοντες, εἰ μὴ πλεῖον ἔχει τὸ βλάβος ἡ ὑπόθεσις τῶν

δοξάντων εἶναι χρηστῶν. Τοσοῦτος ἤδη διιππεύει χρόνος τῆς σῆς θεοσεβείας διεπούσης τὸν θρόνον· καὶ οὐδείς ἐστιν ὁ συνάγεσθαι παραιτούμενος. Ἀλλ' εἰ καί πού τινες περὶ τὴν ἀρχὴν φιλονεικότερον πράττοντες ἑαυτοὺς ἀπεμέριζον, καὶ οὗτοι κέκληνται διὰ τὴν τοῦ Σωτῆρος ἡμῶν ἰσχύν τε καὶ χάριν. Τῶν δὲ ἐν τέλει τίς ὁ μὴ τῆς σῆς εὐλαβείας ἀκροώμενος; τίς δὲ ὁ ταύτης ἕνεκα τῆς αἰτίας ἔξω μεμενηκώς; Οὐκ ἔστιν οὐδείς. Μὴ γὰρ δοίη ὁ Θεός. Τίνα τοιγαροῦν ἀνασώζων, ἢ εἰς τὸ συνάγεσθαι καλῶν, ὅλην ἔξω θεὶς τῶν τῆς Ἐκκλησίας περιβόλων, τήν τε Αἴγυπτον, καὶ Αὐγουσταλικὴν, καὶ Ἀρκαδίαν, καὶ Θηβαΐδα, καὶ Λιβύην, καὶ Πεντάπολιν, καὶ τοσαύτας Ἐκκλησίας λυπεῖς; ἵνα μηδένα κερδάνῃς· πάντας γὰρ προεκέρδανε τοῦ Σωτῆρος ἡ χάρις. Καὶ ἀνατίθημι τὸν ἐπὶ τούτῳ πόνον τοῖς τῆς σῆς θεοσεβείας διδάγμασι. Μὴ τοίνυν κατηγόρει σαυτοῦ τοὺς ἀπὸ φιλονείκου γνώμης μεμερισμένους, καὶ μὴ καταδεχομένους ποτὲ τὸ ἐπ' ἐκείνῳ δίκαιον κρῖμα. Ἢ γὰρ εἰς τοσοῦτον νυστάζειν ἡμᾶς ὑπείληφεν ἡ σὴ θεοσέβεια, ὥστε μὴ πειρᾶσθαι μανθάνειν ἐσπουδασμένως τάς τε σὰς εὐδοκιμήσεις, καὶ ὅπως τὰ τοῦ Σωτῆρος χειραγωγεῖται ποίμνια· μία γὰρ ἡ τῶν ἱερέων φροντὶς, καὶ εἰ τοπικῶς διῃρήμεθα. Ἀλλ' ἵνα μὴ δοκοίην ἐπὶ τούτῳ διατείνεσθαι λίαν, καὶ τοῖς ἀπὸ τῆς σῆς εὐλαβείας φρονεῖν ἐναντία, ἔστωσάν τινες ὀλίγοι κομιδῇ διαστασιάζοντες ἔτι καὶ τῆς ἐκείνου κακίας προκινδυνεύοντες. Τοσαῦται δὲ παρ' ἡμῖν ἐκκλησίαι, ὅτι χρὴ τὰ ἐπ' ἐκείνῳ δεδογμένα κρατεῖν διισχυριζόμεναι. Τίσιν οὖν τὴν ψῆφον ἀπονέμεσθαι δίκαιον; Τίνας δὲ εὐφραίνεσθαι μᾶλλον ἀρέσκει Θεῷ; τοὺς ἐκείνῳ συνηγοροῦντας τοιαῦτα πεπραχότι, ἢ τοὺς ἐπὶ τιμῆς ἐγνωκότας, ᾧ τὸ λυπεῖν λελόγισται παρ' οὐδέν; Εἰ τοίνυν τὸ σώζεσθαι τὴν ὁμόνοιαν τῶν ἐκκλησιῶν οὐκ εὐκαταφρόνητον φαίνεται, λῦσον τὸ τέμνον ταύτην, παρακαλῶ· βάλε τὴν μάχαιραν εἰς τὴν θήκην αὐτῆς. Κέλευσον τοῦ καταλόγου τῶν ἐπισκόπων ἐξαιρεθῆναι τὴν Ἰωάννου προσηγορίαν. Εἰ γὰρ οὐδὲν εἶναι τοῦτο λογιούμεθα, μὴ λυπείτω τὸν τῶν ἀποστόλων χορὸν ὁ προδότης αὐτοῖς συγκατατατόμενος. Εἰσφερομένης δὲ τῆς Ἰούδα προσηγορίας, ποῦ λοιπὸν ἡμῖν ὁ Ματθίας γε κείσεται; Εἰ τοίνυν οὐδεὶς τὸν Ματθίαν ἐκβαλὼν ἐγγράψοι τὸν Ἰούδαν τῷ τῶν ἀποστόλων χορῷ, μενέτω καὶ σωζέσθω, παρακαλῶ, μετὰ τὸν τῆς ἀοιδίμου μνήμης Νεκτάριον δεύτερος ὁ τοῦ πανευφήμου Ἀρσακίου βαθμός· ἵνα μή τι βίᾳ παρεισαχθὲν, ἐξώσῃ τοῦ μακαρίου τὴν μνήμην. Ἀλλ' ὀλίγοι τυχὸν ἐπὶ τούτῳ δυσχεραίνουσι· δίδου μοι μετὰ παῤῥησίας εἰπεῖν. Πάντας μὲν εὐχόμεθα σώζεσθαι· εἰ δέ τις ἐξ οἰκείας ἀμαθίας χωρίζεται, καὶ τοῖς τῆς Ἐκκλησίας ἀντιτείνει θεσμοῖς, τίς ἡ τούτου ζημία; Ἢ γὰρ οὐχὶ καὶ αὐτὸς ὁ Σωτὴρ διδάσκων ἡμᾶς τὸ τοιοῦτον καὶ τύπον ἐν πᾶσι τιθεὶς, ἐλάλει μὲν τοῖς προσιοῦσι τὰ συμφέροντα· ἀπειθοῦντας δὲ καὶ ἀνανεύοντας ἠφίει χωρίζεσθαι; καὶ τοσοῦτον ἀφειστήκει τοῦ ποιεῖσθαί τινα τῶν τοιούτων λόγον, ὡς καὶ πρὸς αὐτοὺς εἰπεῖν τοὺς μαθητὰς, *Μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν;* τοῖς μὲν εὐπειθέσι πολλήν τινα δίκαιον ἀπονέ-

A trimentum evitemus. Sic et beatus Paulus omnibus factus est omnia, non ut exiguum quiddam lucrifaceret, partem autem quampiam damno afficeret, sed ut omnes lucraretur. Videamus ergo, ejusmodi rerum investigationi insistentes, an non plus huic causæ insit mali, quam illa videatur habere boni. Tot jam præteriere anni, ex quo pietas tua thronum suum tenuit : neque quisquam est, qui conventus in Ecclesia tuos vitet, quin etiamsi ab initio nonnulli dissidendi amore seipsos ab illis segregarunt, tamen et illi per vim et gratiam Christi revocati sunt. Ex magistratibus vero quis non pietatis tuæ dictis audiens est? quis ob hanc ipsam causam est, qui extra ecclesiam maneat? Nemo profecto est. Non enim hoc det

B Deus. Itaque quemnam ad salutem revocans, aut ad legitimos in ecclesia conventus reducens, quin omnem potius ecclesiæ mœnibus ejiciens Ægyptum, regionem etiam Augustalem, et Arcadiam, et Thebaiden, et Libyam, et Pentapolim et tot ecclesias dolore afficis? non ut quemquam lucrifacias : omnes namque lucrifecit gratia Servatoris. Remitto te hac in re ad ipsam pietatis tuæ doctrinam. Ne igitur contra te ipsum celebres atque illustres eos qui adversandi studio in partes discessere, neque unquam justum de seipsis judicium accipiunt. An ita connivere et cessare nos pietas tua suspicatur, ut non diligenter de præclara fama tua, et quomodo Servatoris greges re-

C gantur atque manuducantur, inquiramus? **496**

Una namque hæc, etiamsi locorum intercapedine disjuncti sint, episcoporum est cura. Sedenim ne in hoc prolixior esse, et pietati tuæ contraria sentire videar : esto ut pauci admodum sint adhuc seditiosi, qui se pro illius malignitate periculo exponunt : apud nos autem tot sunt ecclesiæ, quæ de Joanne decreta obtinere debere contendunt. Quibus igitur suffragari æquum est? Quinam ut lætentur, Deo placitum est? Illine qui Joanni patrocinantur, cum tanta designaverit : an qui pœnam homini irrogarunt ei qui cum alios dolore afficeret, pro nihilo duxit? Quod si concordiam ecclesiarum conservare, minime contemnendum videtur, solve id rogo, quod eam scindit. Mitte

D gladium in vaginam suam. Jube ex episcoporum nomenclatura Joannis nomen eximi. Nam si parvi id facimus et dicimus, non afferat dolorem apostolorum choro Judas proditor, in eodem cum illis ordine census : Judæ autem nomine in eorum numerum relato, quo deinde loco Matthias nobis ponetur? Cum igitur nemo Matthia ejecto apostolorum choro Judam ascripserit, maneat et servetur, hortor, post celebris memoriæ Nectarium, secundus laudatissimi Arsacii gradus, ne quid per vim perperam et illegitime inductum, memoriam beati viri explodat. Sed pauci fortasse hoc ægre ferunt. Permitte autem mihi ut libere quæ volo dicam. Omnes equidem salvos fieri optem. Si quis vero imperitia sua ab Ecclesia secedit, et

ifius constitutionibus refragatur, quæ ejusmodi hominis est jactura? An non ipse quoque Servator nos, idipsum docens, et formam in omnibus proponens, conducibilia quidem ad eos qui eum accesserunt locutus est, inobedientes autem et renuentes discedere permisit? Atque tantum abest ut aliquam talium hominum rationem habuerit, ut etiam ad ipsos dixerit discipulos : *An et vos abire vultis*[1]? Obsequentibus sane multam nos impendere curam æquum est. Adversarius autem et inobediens malevolentiam ipse suam accuset, medicinam odio habens. Audiet ille vero justum judicem, dicentem : *Quandoquidem locutus sum, et non obedivistis : et extendi sermones, et animum non advertistis*[2], et quæ sequuntur. **497** Nos quidem, qui docemus, quibusnam rebus aliquis laudem sibi apud Deum paret, studiose admodum id facere atque instituere decet, atque cum Paulo resistentibus dicere : *Obsecramus per Christum, reconciliamini Deo*[3], inobedientes vero potestati Dei commendare, illud usurpantes : *Curavimus Babylonem, sed sanata non est : relinquamus eam, quoniam pervenit in cœlum judicium ejus*[4]. Consequens igitur non est, propter adversos quorumdam sermones, siquidem prorsus aliqui sunt, funditus sanctiones ecclesiasticas convelli, ut laicus sacerdotali dignitate enitentibus accenseatur, et honorem eumdem consequatur. Neque enim hoc communem orbis universi pacem, sed concisionem potius quidam vocent. Ego quidem tum demum obtinere debere et nomen et rem ipsam pacis censeo, cum sanctorum sententiis non adversemur, neque illorum decretis repugnemus. Quod si enim beatus Alexander, confidentis prorsus oris vir, juxta pietatis tuæ verba, aliquos ex religiosissimis fratribus et collegis nostris Orientalibus episcopis inani dictorum fuco decepit, et ad hujus rei comprobationem raptos pertraxit, non propterea morbus hic prorsus obtinere, et animas omnium depascere, sed potius veluti quædam lippitudo, Ecclesiæ oculum infestans, a vobis repurgari debet. Ut illa rursum directe ad Patrum décreta respiciens, merito a Christo audiat : *Oculi tui columbæ*. Accepi et ego a Dei amantissimo, qui ad extremam feliciter pervenit senectutem, Acacio litteras, in quibus religiosissimum Antiochiæ antistitem vi coactum a quibusdam esse, ut Joannis memoriam celebraret, asseverat : atque illud præterea aperte commemorat, valde eum virum ea in re dolore affectum fuisse, viamque qua a tam præfracta audacia liberaretur quæsiisse : et litteras hac de causa a nobis et pietate tua, ne simul cum quibusdam in eumdem errorem duceretur, neve ejuscemodi consilia agitantibus cederet, impetrare voluisse. At nos, qui ad curam et medicinam faciendam vocati sumus (da enim hoc mihi, ut pro animi mei

A μεσθαι παρ' ἡμῶν τὴν φροντίδα· ὁ δὲ δυσμενὴς καὶ ἀνήκοος τὴν αὐτοῦ κακόνοιαν αἰτιάσαιτο, μισήσας τὸ θεραπεύεσθαι. Ἀκούσεται δὲ παρὰ τοῦ δικαίου κριτοῦ, *Ἐπειδὴ ἐλάλουν, καὶ οὐχ ὑπηκούσατε· καὶ ἐξέτεινα λόγους, καὶ οὐ προσείχετε*, καὶ τὰ τούτοις ἑξῆς. Ἡμῖν μὲν γὰρ τοῖς διδάσκουσι τὰ ἐφ' οἷς ἄν τις εὐδοκιμοίη παρὰ Θεῷ, καὶ λίαν ἐσπουδασμένως εἰσηγεῖσθαι πρέπει· καὶ τοῖς ἀντιτείνουσι λέγειν μετὰ τοῦ Παύλου· *Δεόμεθα ὑπὲρ Χριστοῦ, καταλλάγητε τῷ Θεῷ*, τοὺς δὲ ἀπειθοῦντας λοιπὸν ἀνατιθέναι τῇ τοῦ Θεοῦ δυνάμει λέγοντες· *Ἰατρεύσαμεν τὴν Βαβυλῶνα, καὶ οὐκ ἰάθη. Ἐγκαταλίπομεν αὐτὴν ὅτι ἤγγικεν εἰς οὐρανὸν τὸ κρῖμα αὐτῆς*. Οὐκ ἀκόλουθον τοιγαροῦν διὰ τὰς τινων ἀντιλογίας εἴπερ τινὲς ὅλως εἰσὶν, ἐκ βάθρων ὥσπερ B κατασείεσθαι τοὺς τῆς Ἐκκλησίας θεσμοὺς, λαϊκοῦ συντασσομένου τοῖς ἐν ἱερατείᾳ διαπρέψασι, καὶ ἐν ἴσῳ μέτρῳ τιμῆς εἰσβαίνοντος. Μὴ γὰρ δὴ τοῦτο καλείτωσαν οἰκουμενικήν τινες εἰρήνην, ἀλλὰ μᾶλλον κατατομήν. Ἐγὼ γὰρ τότε φημὶ κρατύνεσθαι τὸ τῆς εἰρήνης ὄνομα καὶ πρᾶγμα, ὅταν μὴ ταῖς τῶν ἁγίων γνώμαις ἀντιταττώμεθα, μήτε τοῖς ἐκείνων ἀντιπράττωμεν ὅροις. Εἰ γὰρ εἴ τινας τῶν κατὰ τὴν ἑῴαν εὐλαβεστάτων ἀδελφῶν καὶ συνεπισκόπων ὁ μακάριος Ἀλέξανδρος, θρασύστομος ὢν ὄντως, κατὰ τῆς σῆς θεοσεβείας φωνὴν, πεφενάκικε, καὶ συναρπάσας εἷλεν εἰς τὴν ἐπὶ τούτῳ συναίνεσιν, οὐ διὰ τοῦτο πάντως καὶ κρατεῖν ὀφείλει τὸ νόσημα, καὶ ταῖς ἁπάντων καταβόσκεσθαι ψυ- C χαῖς, ἀλλὰ μᾶλλον οἷά τις λήμη τὸν τῆς Ἐκκλησίας ὀφθαλμὸν παραλύουσα, παρ' ὑμῶν ἐκκαθαίρεσθαι· ἵνα δὴ πάλιν ὀρθῶς πρὸς τοὺς τῶν Πατέρων ὅρους ἀποβλέπουσα δικαίως ἀκούῃ περὶ Χριστοῦ· *Οἱ ὀφθαλμοί σου περιστεραί*. Δέδεγμαι οὖν γράμμα κἀγὼ παρὰ τοῦ εὐγηροτάτου καὶ θεοφιλεστάτου Ἀκακίου· ἔνθα τὸν εὐλαβέστατον τῆς Ἀντιοχείας ἐπίσκοπον ἠναγκάσθαι παρά τινων διισχυρίζεται τὴν Ἰωάννου μνήμην ἐπιτελέσαι· καὶ δάκνεσθαι μὲν ἐπὶ τούτῳ σφόδρα, λύσιν δέ τινα τῶν ἐκ προπετείας εὕρασθαι ζητοῦντα· καὶ γράμματα περὶ τούτου κομίσασθαι βουλόμενον παρά τε ἡμῶν καὶ τῆς σῆς θεοσεβείας, σαφῶς διαγορεύοντα, μὴ συναπάγεσθαί τισι, μηδὲ εἴκειν τοῖς τοιαῦτα συμβουλεύουσιν. Ἀλλ' οἱ πρὸς θεραπείαν κεκλημένοι (δί- D δου γάρ μοι λέγειν μετὰ παῤῥησίας πονέσαντι τὴν ψυχὴν), τραυμάτων προσθήκη μὴ γενώμεθα, ἵνα καὶ τὸ εἶναι παρακολούθημα τῆς ἑτέρων προπετείας ἀποφύγωμεν. Θαυμάζω δὲ κἀκεῖνο, εἰ, τοσοῦτος ὢν εἰς πολυλογίαν ὁ μνημονευθεὶς Ἀλέξανδρος, καὶ χρόνον οὐ μικρὸν διατρίψας ἐκεῖσε, οὐχ ὅπως ἰσχύσας ἀναπεῖσαί τινας πρὸς τοῦτο φαίνεται· εἷς δὲ γραμμάτων διακομιστὴς τοσοῦτον ἴσχυσεν, ὡς τεθρύλληται, ὥστε δῆμον ἀνάψαι τοσοῦτον, καὶ κατηυνασμένην ὑπόθεσιν χρόνῳ μακρῷ διεγεῖραι πάλιν, ὅπερ ἐστὶ παντελῶς ἀπίθανον. Ἀλλ' ἔστω καὶ τοῦτο καὶ πιστευέσθω γενόμενον. Ἀλλ' οἶδα τὴν σὴν θεοσέβειαν ἀριστεύουσαν ἐν λόγοις. Διδάξεις

[1] Joan. vi, 68. [2] Jerem. xxxv, 14. [3] II Cor. v, 20. [4] Jerem. li, 9.

πάντως τὰ δέοντα τοὺς τεθορυβημένους. Ἔχεις ἀρκοῦσαν τῶν ἱερῶν κηρυγμάτων τὴν χάριν. Πείσεις, οἶδα, καὶ τοὺς εὐσεβεστάτους βασιλεῖς, ἀγαπᾷν συνήθως τὸ τοῖς κανόσι δοκοῦν. Εὐσεβεῖς γὰρ ὄντες καὶ φιλόχριστοι, θεσμοῖς ἰδίοις ἐπιτρέψουσι διοικεῖσθαι τὰς ἐκκλησίας, καὶ τῆς πατρῴας ἀρετῆς ὑπάρχοντες ζηλωταὶ, τὰ ἐκείνων μιμήσονται. Μὴ ταττέσθω τοιγαροῦν ὁ ἐκβεβλημένος Ἰεχονίας μετὰ Δαυῒδ τε καὶ Σαμουὴλ τῶν προφητῶν· μηδὲ εἴ τισιν ἀδίκως ἔδοξε τὸ Εὐδοξίου λείψανον ἐν αὐτοῖς ἀποτεθεῖσθαι τόποις, διὰ τοῦτο καὶ ἡμεῖς τὸν ἀνίερον ὡς ἱερὸν εἰσφέρωμεν. Ἐχρῆν γὰρ δήπου μᾶλλον κἀκεῖνο διόρθωσιν ἐπιζητεῖσθαι παρ' ἡμῶν, οὐκ αὐτὸν μορφοῦσθαι τὰ δεύτερα. Καὶ ταῦτά φαμεν οὐχ ὡς ἐπεμβαίνοντες τῷ κειμένῳ· μὴ γὰρ δοίη Θεός· οὐδὲ ἐπιχαίροντες ὡς γέγραπται τοῖς ἀλλοτρίοις κακοῖς· οὐ γὰρ οὗτος Χριστιανῶν σκοπός· ἀλλὰ τῆς πρὸς ἄνθρωπον συμπαθείας, τὸ τῇ Ἐκκλησίᾳ συμφέρον πράττοντες, καὶ τῶν ταύτης κανόνων οὐδὲν ἡγούμενοι προτιμότερον. Εἰ μὲν ἐξῆν οὐδὲν μὲν τούτοις λυμήνασθαι, κατατάττειν δὲ ἐν ἐπισκόποις τὸν καθῃρημένον· ἦν ἂν εἰκότως εἰπεῖν, ἀγρίους τινὰς καὶ ἀνημέρους τοὺς τοῦτο γενέσθαι διακωλύοντας· ἐπειδὴ δὲ ἀνάγκη κρατοῦντος ἑνὸς τὴν τοῦ ἑτέρου παραλύεσθαι δύναμιν, νικάτωσαν οἱ τῆς Ἐκκλησίας θεσμοὶ, καὶ ἀποχωρείτω τῶν ἱερατικῶν καταλόγων ὁ μὴ λειτουργός. Τοῦτο γὰρ συνάπτει πρὸς εἰρήνην τὰς ἐκκλησίας· τοῦτο πᾶσαν ἡμῖν ὁμοψυχίαν ἀνεργάσαιτο. Δίδου τοιγαροῦν ἡμῖν τὸ συνάγεσθαι καθαρῶς μετὰ τῆς σῆς θεοσεβείας, ἑνὸς καὶ τούτου τελευτήσαντος, ἀμείνω ποιούμενος τὴν πρὸς τοὺς ἔτι ζῶντας ἀγάπησιν, μᾶλλον δὲ τοὺς τῆς Ἐκκλησίας θεσμούς. »

dolore, libere dicere possim), ne accessio vulnerum fiamus, sed potius opinionem eam, qua temeritatem aliorum secuti esse videri possimus, fugiamus. **498** Demiror vero hoc quoque, si Alexander, quem diximus, tam ad dicendum promptus et copiosus, et qui non parvo tempore vobiscum isthic versatus sit, aliquos ad hanc rem suasione sua adducere non potuisse visus est, quam tabellarius unus efficere tantum, sicuti rumoribus fertur, potuit, ut populum commoverit, causamque tempore longiore sopitam denuo excitarit. Quod omnino est incredibile. Verum sit hoc quoque, et ita factum esse credatur. Sed novi pietatem tuam præclaram in eloquentia esse. Docebit ea prorsus, quæ opus est, homines ad tumultum excitatos. Uberem habes sacrarum doctrinarum gratiam. Persuadebis, scio, piissimis etiam principibus, ut more suo in canonum decretis acquiescant. Quod enim veræ pietatis studiosi et Christi amantes sunt, constitutionibus suis ecclesias administrari permittent, paternæque virtutis æmulatores majorum exempla imitabuntur. Ne igitur Jechonias rejectus cum Davide et Samuele prophetis censeatur : neque si quibusdam inique placitum est, ut Eudoxii reliquias eo quo scripsistis reponerent loco, propterea nos quoque profanum ut sacrum in album referamus. Oportuit namque a nobis res illius corrigi, non illum nobis præscribere, et quæ post eum acta sunt constituere. Atque hæc dicimus, non quod jacenti et mortuo illi insultemus : non enim hoc det Deus : neque quod alienis, sicuti scriptum est, lætemur malis : non enim hoc Christianorum est consilium et institutum; sed id quod homini condolemus, ad utilitatem Ecclesiæ conferimus, canonibus illius nihil præstabilius esse ducentes. Si namque illos sartos tectos conservare, atque exauctoratum inter episcopos censere liceret, recte profecto, qui id quominus fieret impedirent, feri atque immites dicerentur. Quandoquidem vero altero obtinente, alterum consistere non posse necesse sit, sanctiones Ecclesiæ vincant : et ex sacro catalogo, qui sacrorum minister non est, moveatur. Hoc enim ecclesias ad pacem servandam conjungit : hoc animorum consensum omnem perficit. Itaque illud nobis dato, ut pure nos conventus agere, et communicare cum pietate tua possimus : **499** atque tu unius, ejusque defuncti, amorem, post eorum qui adhuc vivunt dilectionem, ac potius post Ecclesiæ sanctiones, habeas. »

ΚΕΦΑΛ. ΚΗ'.

Ὡς ὁ θεῖος Κύριλλος ὀπτασίᾳ θειοτέρᾳ τὴν Ἰωάννου προσηγορίαν ἐδέξατο· καὶ ὡς διέλυσε διὰ τῆς Θεοτόκου τὸ μεταξὺ γενόμενον μῖσος.

Ὁ μὲν οὖν Κύριλλος τοιαῦτα κατὰ τοῦ ἱεροῦ Χρυσοστόμου ἔγραφε καὶ ἐφρόνει, προλήψει δουλεύων, ἣν ἐκ πολλοῦ ἔσχε τῷ θείῳ αὐτοῦ Θεοφίλῳ ἑπόμενος· ἐπεὶ δὲ ζῆλος ἦν τὸ πραττόμενον, εἰ καὶ μὴ κατ' ἐπίγνωσιν τέως, οὐ φθόνος οὐδ' ἔνστασις διαβολικὴ τὸ μαχόμενον, οὐ δεῖν ἐκρίθη Θεοῦ, τοσοῦτον λόγῳ καὶ ἀρετῇ διαφέροντα ἐν τούτῳ δὴ μόνον σκάζειν, καὶ μὴ τὸ ἄκρον φθάνειν τῆς τελειότητος· ἄνθρωποι γὰρ ἦσαν, καὶ ἀνθρωπίνοις ὑπέκειντο πάθεσι. Διά τοι τοῦτο καὶ χρόνῳ ὕστερον, πολλῶν καὶ ἄλλων συνελαυνόντων, τῷ μεγάλῳ ἐκείνῳ

CAPUT XXVIII.

Ut divus Cyrillus per visionem divinam nomen Joannis susceperit : conceptumque antea odium, Dei Genitricis intercessione, ei remiserit.

Hæc quidem Cyrillus de sacro Chrysostomo et scripsit et sensit, præsumptæ opinioni inserviens, quam dudum patruum suum Theophilum secutus conceperat. Quoniam vero dissidium hoc quidem ex æmulatione, quamvis non secundum scientiam, non autem ex invidia, neque diabolica contentione manavit, non oportere virum et doctrina et virtute præstantem, hac una in re claudicare, quominus ad summam perfectionem perveniret, Deo visum est. Homines enim illi erant, et humanis affectionibus obnoxii. Quapropter aliquanto post,

Cyrillus cum magno illo viro, etiam post ejus A mortem, in gratiam rediit, erroremque suum cum multis aliis concitantibus, tum maxime Isidoro Pelusiota nunc reprehensione nunc admonitione eum cohortante, divina etiam et arcaniore quadam revelatione accedente, correxit. Videre namque visus est, seipsum sacris ædibus expulsum esse a Joanne, comitatu et divino, qui circa eum erat, satellitio maxime freto : et matrem Domini pro ipso deprecantem Joannem, atque cum multa etiam alia tum illud præcipue quod pro ipsius gloria plurimum ille decertarit, sicuti dicetur, referentem, ut in sacra templa reciperetur, orare. Hanc visionem cum divus Cyrillus cogitabundus in animo secum volveret, se ipsum quod in sanctum B virum invectus esset, damnavit : et deinde ipse quoque re cognita, Ecclesiæ Chrysostomi addictus, virum eum admiratus est, valdeque eum, quod contra illum imprudens prorsus irritatus fuerit, pœnituit. Proinde diversum omnino a priore consilio faciens, synodum provincialem coegit, et Joannis nomen simul et ipse et reliqui magnarum sedium antistites, in sacro albo proposuerunt. Illi vero minus vere dicere videntur, qui Cyrillum libros alios magni Patris abolevisse perhibent. Nam si qua scripta ejus abolenda erant, hæc quæ adhuc exstant, quod consilium institutumque ejus in eis maxime expressum est, abolita oportuisset: nisi Deus utilitatis hominum curam gerens, ea
500 conservasset. Hoc cum in arcana Nicetæ C philosophi, qui et David dictus est, historia, et apud alios item invenerim, operi huic meo inserendum esse quoque duxi : ne cui ambigere in mentem veniat, quomodo tanta luminaria, inimicitias mutuas exercentia, ambo ad summam sanctitatem pervenerint, et Ecclesiæ columnæ exstiterint, inimicitiis hujusmodi nullum illorum gloriæ detrimentum afferentibus. De his hactenus.

A καὶ μετὰ θάνατον σπένδεται· καὶ μάλιστα Ἰσιδώρου τοῦ Πηλουσιώτου, πῆ μὲν ἐλέγχῳ, πῆ δὲ καὶ παραινέσει χρωμένου, διορθώσεως ἀξιοῦται θείᾳ τινὶ καὶ μυστικωτέρᾳ ἀποκαλύψει. Ἐδόκει γὰρ ὁρᾷν ἑαυτὸν μὲν τῶν ἱερῶν ἐξωθούμενον ὑπὸ Ἰωάννου, παῤῥησίας μεγίστης ἠξιωμένου τῇ περὶ αὐτὸν πομπῇ καὶ θείᾳ δορυφορίᾳ, τὴν δὲ τοῦ Κυρίου μητέρα ὑπὲρ αὐτοῦ τὸν Ἰωάννην ἀντιβολοῦσαν, καὶ ἀξιοῦσαν τοῖς ἱεροῖς ἀνακτόροις παραδεχθῆναι αὐτὸν, πολλὰ μὲν καὶ ἄλλα προβαλλομένην, πρὸς δὲ καὶ ὡς πλεῖστα ὑπὲρ τῆς αὐτῆς δόξης ἀγωνισάμενον, ὡς λελέξεται. Ὧν ἐν μεθέξει γενόμενος ὁ θεσπέσιος Κύριλλος, καὶ ἀναπολήσας ταῦτα τοῖς λογισμοῖς, κατέγνω μὲν ἑαυτοῦ τῆς ἐπὶ τῷ ἁγίῳ καταδρομῆς· καὶ τουλοιποῦ συνεὶς καὶ αὐτὸς, τῇ κατὰ B τὸν Χρυσόστομον Ἐκκλησίᾳ προσέκειτο, καὶ διὰ θαύματος ἐποιεῖτο τὸν ἄνδρα, πολλῷ χρώμενος μεταμέλῳ, οἷς κατ' ἐκείνου τοπαράπαν ἠρέθιστο ἀγνοῶν. Ὅθεν ἀντίῤῥοπα δρῶν, σύνοδον ἤθροιζε τοπικήν· καὶ τοῖς ἱεροῖς δέλτοις τὴν Ἰωάννου κλῆσιν καὶ οὗτος καὶ οἱ λοιποὶ τῶν μεγάλων θρόνων ἐνέγραφον. Οὔ μοι δὲ δοκοῦσιν ἀληθῆ λέγειν οἵ φασι καὶ βίβλους ἄλλας Κύριλλον ἀφανίσαι τοῦ μεγάλου Πατρός. Εἰ γὰρ ἀφανίζειν ἔδει τὰς νυνὶ σωζομένας πρὸς τὸ σκοπιμώτατον ἐκείνῳ ἐχρῆν· εἰ μή που Θεὸς τῆς τῶν ἀνθρώπων ὠφελείας κηδόμενος, αὐτὰς διεσώσατο. Τοῦτο μὲν οὖν ἐν ἀποκρύφῳ ἱστορίᾳ εὑρὼν Νικήτα φιλοσόφου τοῦ καὶ Δαυῒδ, καὶ ἄλλων, καὶ αὐτὸς δεῖν ἔγνων τῇ παρούσῃ ἱστορίᾳ ἐντάξαι· C ὡς ἂν μή τινι ἀμφιβάλλειν γένοιτο, πῶς οἱ τοσοῦτοι φωστῆρες δι' ἔχθρας ἀλλήλοις ἰόντες, ἁγιωσύνης καὶ ἄμφω εἰς ἄκρον ἧκον, καὶ τῆς Ἐκκλησίας θεμέλιοι ἐχρημάτισαν, μηδαμῶς τὸ τῆς ἔχθρας μέγα τὴν κρατοῦσαν δόξαν λυμήνασθαι δυνηθείσης. Ἀλλὰ περὶ μὲν τούτων οὕτως.

CAPUT XXIX.

Post Atticum ad sedem episcopalem Sisinius est evectus, Philippus Sidites ei postpositus. Qualis is Philippus fuerit. Ut Proclus Cyzicenorum episcopus ordinatus, et tandem non receptus, privatus otiosusque Constantinopoli egerit.

D Attico autem, quemadmodum diximus, defuncto, ingens de legendo atque ordinando episcopo contentio exstitit : quod unusquisque prout alicui faveret, ei thronum committi cupiebat. Proinde quibusdam Philippus presbyter ad sacram sedem evehendus esse videbatur : nonnulli Proclum ei, Chrysostomi discipulum, præferebant. Erat autem et is presbyter. Communiter vero omnes Sisinium idoneum maxime censuerunt. Qui ipse quoque presbyteri dignitate enitebat, non equidem Constantinopoli, sed in suburbano ejus vico, cui nomen est Olea (1), qui ex adverso urbi situs est : quo in loco urbs ipsa cum civibus omnibus festum diem Servatori Christo, quo in cœlum assumptus

ΚΕΦΑΛ. ΚΘ'.

Ὡς μετὰ Ἀττικὸν Σισίνιος εἰς τὸν θρόνον ἀνήχθη· παρώφθη δὲ Φίλιππος ὁ Σιδίτης, καὶ οἷος ἦν. Ἔτι δὲ καὶ ὡς Πρόκλος Κυζίκου χειροτονηθεὶς καὶ μὴ δεχθεὶς, σχολαῖος τῇ Κωνσταντίνου διῆγεν.

Ἀττικοῦ δ' ὡς εἴρηται τὸ βιοῦν ἐκμετρήσαντος, πολλή τις ἐρεσχελία περὶ χειροτονίας ἐπισκόπου ἐγένετο· ἕκαστος γὰρ ᾧ προσπαθῶν ἦν, τὸν θρόνον ἀπεχαρίζετο. Τοῖς μὲν γὰρ Φίλιππον τὸν πρεσβύτερον ἐδόκει ἐπὶ τὴν ἱερὰν καθέδραν ἀνάγειν, τισὶ δὲ Πρόκλος ὁ τῷ Χρυσοστόμῳ μαθητευθεὶς ἐκρίνετο προτιμότερος. Πρεσβύτερος δὲ καὶ οὗτος ἐτύγχανεν ὤν. Κοινῇ δὲ πᾶσιν ἐδόκει Σισίνιος εἶναι ἁρμοδιώτερος. Πρεσβυτέρου δὲ καὶ οὗτος ἀξίᾳ διέπρεπεν, οὐκ ἐν τῇ Κωνσταντίνου, ἀλλ' ἔν τινι τῶν αὐτῆς προαστείων, ᾧ Ἐλαία ἦν ὄνομα, κεκληρωμένος· ὅπερ ἀντικρὺ μὲν κεῖται τῆς πόλεως· πάνδημον δὲ τῷ χώρῳ ἑορτὴν ἐκεῖσε ἡ πόλις τῷ Σωτῆρι ἀνῆγε Χριστῷ· ὁπηνίκα ἀναληφθεὶς, παλίνδρομος τῷ Πα-

(1) Ἐλαία, Olea, suburbana Constantinopolis regio.

τρι ἧκε. Τῷ δὲ πολλῷ πλήθει καὶ διαφερόντως μάλα κεχαρισμένος ἦν ὁ Σισίνιος· ὅτιπερ ἅμα τε περιβόητος ἐν ἀρετῇ ἦν, καὶ πολλὴν ὅτι τῶν πτωχῶν πρόνοιαν καὶ ὑπὲρ δύναμιν ἐποιεῖτο. Ἔνθεν τοι καὶ τοῦ λαοῦ βιασαμένου καὶ ἐκνικήσαντος, Σισίνιος ἐπὶ τὸν θρόνον ἀνέβαινεν· ἐφ' ᾧ χαλεπήνας ὁ πρεσβύτερος Φίλιππος ὅτι αὐτοῦ προεκρίθη, πολλὰ τῆς χειροτονίας ἐκείνου καθήπτετο ἐν τῇ παρ' αὐτοῦ συγγραφείσῃ Χριστιανικῇ ἱστορίᾳ. Οὐ μόνον γὰρ ἐκεῖνον διέβαλεν, ἀλλὰ καὶ τοὺς χειροτονήσαντας καὶ τὸν δῆμον· καὶ οὕτω κατέδραμεν, ὡς μηδ' ἑλέσθαι τινὰ τὰ εἰρημένα συγγραφῆς ἀξιῶσαι· ἐπεί τοί γε οὐδ' ἐκείνῳ τις συγγνοίη τῆς προπετείας, τοιαῦτα γράψαι ἀνασχομένῳ. Ἐπεὶ δὲ τούτου ἐμνήσθην, μικρὰ καὶ περὶ αὐτοῦ διαλαβεῖν δίκαιον. Φίλιππος οὗτος ἐκ Σίδης μὲν τῆς Παμφυλίας ὡρμᾶτο, ὅθεν καὶ ὁ σοφιστὴς Τρωΐλος ἦν, οὗ καὶ συγγενῆ ἑαυτὸν εἶναι ἔλεγε· διάκονος δὲ ὤν, τὰ πολλὰ τῷ μεγάλῳ Ἰωάννῃ συνῆν τὴν Κωνσταντίνου ἐπιτροπεύοντι. Περὶ δὲ λόγους πονῶν, πολλὰ καὶ παντοῖα βιβλία περὶ αὐτὸν ἤθροιζε. Τὸν δ' Ἀσιανὸν χαρακτῆρα ζηλώσας, πολλὰ συνέγραφε. Τὸ δὲ Ἰουλιανοῦ κατὰ τῶν ἱερῶν βιβλίων ἀνασκευάζων σύγγραμμα, λαμπρὸν ἐξεδίδου. Καὶ ἄλλο δὲ πυκτίον συντεταχώς, *Χριστιανικὴν ἱστορίαν* ὠνόμασεν· ἣν εἰς ἓξ καὶ τριάκοντα διεῖλε βιβλία, ὧν ἕκαστον τόμους περιεῖχε πολλούς· ὡς εἶναι πάντας χιλίους σχεδόν. Τῷ δὲ τόμῳ ἰσάζει ἑκάστου τόμου ὑπόθεσις. Πολλὰς δὲ τῶν ὑλῶν τῷ συγγράμματι ἐπεισφέρει, δι' ὧν δεικνύειν βούλεται ἔμπειρον ἑαυτὸν τῶν Ἑλληνικῶν μαθημάτων· πυκνῶς γὰρ γεωμετρικῶν, μουσικῶν τε καὶ ἀστρονομικῶν θεωρημάτων ἐν μνείᾳ γίνεται· νήσων τε θέσεις ἐκφράζει, καὶ ὀρέων καὶ δένδρων, καὶ ἄλλων, μὴ προσηκόντων τῷ προκειμένῳ· οὗ χάριν ἔκλυτος αὐτῷ καὶ χαύνη πρόεισιν ἡ πραγματεία. Διὸ καὶ ἰδιώταις καὶ παιδείας μετεσχηκόσιν ἀχρεῖον καθίστα τὸ σύγγραμμα. Οἱ μὲν γὰρ ἰδιῶται τὸ κομψὸν οὐ συνορῶσι τῆς φράσεως· οἱ δὲ παιδείας μετεσχηκότες τὸ ταυτολογεῖν καὶ ἄκαιρα συγγράφειν ἐν μέμψει τίθενται. Ἀλλὰ περὶ μὲν ἐκείνων ὡς ἑκάστῳ βούλησις ἔσται, κρινεῖ· συγχέει δὲ τοὺς χρόνους τῆς ἱστορίας· τῆς γὰρ Θεοδοσίου βασιλείας εἰς μνήμην γενόμενος, αὖθις τὰ κατὰ τὸν πολὺν Ἀθανάσιον ὀπίσω γενόμενος διηγεῖται· καὶ τὸ ἦθος τοῦτο, οὐκ ἐπ' ἐκείνου μόνου, ἀλλὰ καὶ ἐπὶ πολλῶν ἑτέρων ποιεῖ. Καὶ περὶ μὲν Φιλίππου τοσαῦτα. Σισίνιος δὲ, τοῦ Κυζικηνῶν προέδρου θανόντος, τὸν θεῖον Πρόκλον τῇ Κυζίκῳ ἐχειροτόνει. Καὶ δὴ Πρόκλῳ ἐν παρασκευῇ ὄντι περὶ αὐτὴν χωρεῖν, φθάνουσιν ἐκεῖνοι καὶ χειροτονοῦσιν ἄνδρα σεμνόν τινα, Δαλμάτιον ὄνομα, ἀσκητικοῖς πόνοις ἐγγεγυμνασμένον. Καὶ τοῦτο ἔδρων, ἐν δευτέρῳ τὸν νόμον θέμενοι· ὃς ἐκέλευε παρὰ γνώμην τοῦ ἐπισκόπου τῆς Κωνσταντίνου χειροτονίαν μὴ γίνεσθαι. Ὁ μὲν οὖν Πρόκλος, τούτου γενομένου, καθ' ἑαυτὸν συνεστέλλετο, ἐκκλησίας μὲν μηδεμιᾶς προϊστάμενος, ταῖς δὲ τῆς Κωνσταντίνου

A ad Patrem, revertit, celebrat. Populo universo charus præcipue Sisinius fuit, cum propter virtutis claritatem, tum ob eximiam in pauperes, supra vires etiam ejus, curam. Quapropter plebs vi effecit atque evicit, ut is in thronum sit sublatus. Qua re offensus Philippus presbyter, quod ille scilicet sibi prælatus esset, electionem et ordinationem ejus plurimum reprehendit, in ea quæ ab ipso conscripta est Christiana historia. Non Sisinium vero tantum, sed et consecratores ipsos et populum calumniose perstrinxit : atque in eos ita invectus est, ut quæ ille dixerit, nemo historia digna judicet : neque quispiam ei tam temerariæ audaciæ, qui scribere talia sustinuerit, veniam concedat. **501** Et quia ejus mentionem fecimus, B æquum est ut pauca de eo dicamus. Philippus iste Sidæ in Pamphylia ortus est, unde etiam sophista Troilus genus duxit, ejusque adeo cognatum se Philippus esse dixit. Diaconus cum esset, cum magno Joanne episcopatum Constantinopoli gerente, multum fuit. Quod vero in scribendo elaboraret, multos et varios collegit libros. Multa etiam, Asianum affectans dicendi genus, conscripsit. Opus vero magnificum, in quo Juliani contra sacra Biblia scriptum evertit, reliquit. Aliud quoque volumen composuit, quod *Christianam Historiam* nominavit. In eo triginta et sex libri sunt, quorum quisque tomos plures habet : adeo ut omnes ad millenarium fere numerum pertingant, C et habet suum tomus quisque argumentum. Multam vero in opus id materiam congessit, declarare volens, non imperitum se Græcarum disciplinarum esse. Frequenter namque geometricarum, arithmeticarum, musicarum et astronomicarum commentationum mentionem facit. Prosequitur quoque insularum situs, et montium. Arbores describit, et alia quædam, ad argumentum institutum nihil pertinentia. Proinde lucubratio ea, utpote ad ostentationem composita, laxa et soluta est : et propterea indoctis simul et doctis inutilis esse videtur. Indocti enim styli elegantiam non perspiciunt : eruditi autem, eamdem rem aliis verbis repeti, et multa intempestive scribi, reprehendunt. Verum de scriptis ejus, ut quisque volet, D judicabit. Historiæ vero tempora confundit. Nam imperii Theodosii memoriam faciens, actiones magni Athanasii tanto post tempore repetit : et consuetudinem hanc non in illo tantum, verum etiam in multis aliis servat. Hæc de Philippo. Porro Cyziceno episcopo mortuo, Sisinius divinum Proclum ecclesiæ Cyzici episcopum ordinat (2). Sedenim cum Proclus, ut eo transiret, in procinctu esset, homines ibi episcopum prævenientes ordinarunt Dalmatium quemdam, virum venerandum et in monasticis laboribus exercitatum. Id illi fecerunt, sanctione illa contempta, quæ præter sententiam episcopi Constantinopoli-

(2) Socrates dicit, legem hanc de unius Attici persona constitutam fuisse. Lib. VII, cap. 28.

tani ordinationem fieri vetat. Hoc ubi ita est factum, Proclus non oppugnavit : et ecclesiæ quidem nulli præfuit, **502** in Constantinopolitana autem Ecclesia docendo floruit. De quo postea loco suo dicam.

Ἐκκλησίαις τῷ διδάσκειν ἀνθῶν. Περὶ μὲν δὴ τούτου κατὰ χώραν καὶ αὖθις ἐρῶ.

CAPUT XXX.

De maximarum episcopalium sedium præfectis, aliisque virtute atque doctrina præstantibus divinis viris.

Sisinius postquam in episcopatu non duos integros exegit annos, decessit, castitate vitæ et pauperum cura, quemadmodum diximus, celebris. Moribus affabilis et simplex fuit, a negotiis et rerum actionibus abhorrens, quam ob causam in eos qui curiose se negotiis immiscent, acerbior erat, apud quos contra et ipse non admodum decentem gloriam est consecutus. Innocentio, optimo urbis Romæ episcopo, Bonifacius successit : atque huic Zosimus, Zosimo rursum admirandus Celestinus. Alexandriæ Cyrillus adhuc enituit. Antiochiæ vero, divino Alexandro Theodotus in episcopatu subrogatus est, castitatis decus et ornamentum, morum vir mansuetudine (si quis alius) et ipse et præterea exacta vivendi ratione maxime ornatus. Hic sodalitatem Apollinaris scissam reliquo orthodoxorum et recte sentientium gregi, precibus apud Deum interpositis, immiscuit, una Ecclesia facta. Verum sic quoque multi in instituto suo permanserunt, labem pristinam veluti præclarum quiddam retinentes. Hierosolymis Cyrillo divinus Joannes successerat. Deinde autem post Nepotem, Ecclesiæ ibi habenas sibi commissas gubernaverat Prayllius, re ipsa suo nomini respondens : quo mortuo, locum ejus per successionem Juvenalis obtinuit. Eis ipsis annis ecclesiam Cyri quoque gubernavit sapientia et doctrinis magnus Theodoretus, vir in Græcis juxta et Christianis disciplinis præclarus, qui libros multos Ecclesiæ utiles reliquit. Viguit tum etiam Theodorus ille Mopsuestiensis Ecclesiæ antistes, qui cum ecclesiarum omnium doctor fuit, tum adversus hæreticorum phalanges fortiter, ut primarium virum decet, rem gessit : quique cum Diodoro magno familiariter vivens, doctore eo usus est : et sodalis atque condiscipulus divi Joannis, **503** pariter cum eo Diodorum audivit. Sex is et triginta annos contra Arianam factionem aperto Marte pugnavit, et adversus Apollinaris prædonum more structas insidias constanter decertavit : hæreditarium autem Christi populum doctrinis optimis et præceptis fovit. Erat huic etiam frater Polychronius, qui optime vixit, et itidem optime docuit, vitæ scilicet ex æquo doctrina respondente. Apamenorum hic ecclesiæ pastorale munus sortitus est. Ecclesiæ vero Edessenæ divinus ille præfuit Nonus, qui primariam in urbe Antiochena luxu perditam Menadem, verborum persuasione adductam, et præter opinionem omnem Deo consecratam, nympham et sponsam purissimam illi repræsentavit, pro Mar-

ΚΕΦΑΛ. Λ'.

Περὶ τῶν ἐν τοῖς μεγίστοις τῶν θρόνων προεδρευόντων, καὶ ἄλλων ἀρετῇ λόγοις διαπρεπόντων θείων ἀνδρῶν.

Σισίνιος δὲ, οὐδὲ ὅλους δύο διαρκέσας ἐνιαυτοὺς, ἐτελεύτα, ὀρθότητι βίου σώφρονος καὶ φιλοπτωχίᾳ, ὡς εἴρηται, περιώνυμος· τὸ δὲ ἦθος εὐπρόσιτος καὶ ἁπλοῦς, καὶ ἀπραγμοσύνῃ συζῶν· ὅθεν καὶ τοῖς φιλοπράγμοσι λυπηρὸς ἦν, δι' ὃ καὶ παρ' αὐτοῖς δόξαν εἶχεν οὐκ εὐπρεπῆ. Ἰννοκέντιον δὲ ἐκεῖνον τὸν ἄριστον τῆς Ῥώμης ἐπίσκοπον Βονιφάτιος διεδέχετο· τὸν δὲ Ζώσιμος· τὸν δὲ Ζώσιμον αὖθις ὁ θεσπέσιος Κελεστῖνος. Κατὰ δὲ τὴν Ἀλεξάνδρου Κύριλλος ἔτι διέπρεπεν. Ἐν δ' Ἀντιοχείᾳ μετὰ τὸν θεῖον Ἀλέξανδρον Θεόδοτος ἱεράτευσε, τῆς σωφροσύνης ὁ μαργαρίτης, πρᾶος εἴπερ τις ὢν καὶ ἀκριβείᾳ βίου μάλα κοσμούμενος· ὃς δὴ καὶ τὸ διεῤῥωγὸς τῆς Ἀπολλιναρίου φατρίας, τῇ λοιπῇ τῶν ὀρθοδόξων ποίμνῃ λιπαρηθεὶς, ἀνέμιξε, μίαν Ἐκκλησίαν ποιήσας. Πολλοὶ δὲ καὶ οὕτω διέμειναν τὴν προτέραν λώβην οἷά τι ἐπίσημον ἔχοντες. Ἐν δὲ τοῖς Ἱεροσολύμοις τὸν θεσπέσιον Ἰωάννην, ὃς μετὰ Κύριλλον ἦν, Πραΰλλιος μετὰ Νέπωτα τοὺς τῆς Ἐκκλησίας οἴακας πιστευθεὶς διεδέχετο, ἀνὴρ τῷ ὄντι φερώνυμος· οὗ τελευτήσαντος, Ἰουβενάλιος τὸν τόπον τῆς ἐκείνου διαδοχῆς ἀπεπλήρου. Τοῖς δ' αὐτοῖς ἔτεσι καὶ ὁ πολὺς ἐν σοφίᾳ καὶ λόγοις Θεοδώρητος τὴν Κυρεστῶν ἐπετρόπευεν ἐκκλησίαν, ἀνὴρ καὶ κατ' ἄμφω τὰς παιδείας τῇ θ' Ἑλλήνων καὶ Χριστιανῶν ἐπίσημος, καὶ πολλὰς τῇ Ἐκκλησίᾳ βίβλους πολὺ τὸ ὠφέλιμον ἐχούσας καταλιπών. Ἤκμαζε δὲ καὶ Θεόδωρος ἐκεῖνος Μοψουεστίας τὴν ἐκκλησίαν διέπων, διδάσκαλος μὲν πάσης Ἐκκλησίας ὢν, κατὰ δὲ πάσης αἱρετικῶν φάλαγγος ἀριστεύων· ὃς Διοδώρῳ μὲν τῷ πάνυ συγγενόμενος, τῆς διδασκαλίας ἀπήλαυσε, συγκοινωνὸς δὲ καὶ συμφοιτητὴς τοῦ θεσπεσίου Ἰωάννου ἐγένετο· ἐπίσης γὰρ καὶ ἄμφω τῆς Διοδώρου γλώσσης ἀπήλαυον. Ἐπὶ ἓξ δὲ καὶ τριάκοντα ἔτη οὗτος διετέλει κατὰ τῆς Ἀρειανικῆς συμμορίας παρατατόμενος· καὶ κατὰ τῶν λόχων Ἀπολλιναρίου λῃστρικῶς ἐπιβουλευόντων στεῤῥῶς ἠγωνίζετο· τὸν Χριστοῦ δὲ κλῆρον ταῖς ἀρίσταις διδασκαλίαις διέτρεφεν. Ἦν δὲ τούτῳ καὶ ἀδελφὸς Πολυχρόνιος ὄνομα, ἀρίστῳ μὲν χρώμενος βίῳ, καὶ τὸν λόγον σύμφωνον τῷ βίῳ πλουτῶν, τῆς δὲ Ἀπαμέων ἐκκλησίας τὴν ποιμαντικὴν κληρωσάμενος. Τῆς δ' ἐν Ἐδέσσῃ ἐκκλησίας Νόνος ἐκεῖνος προειστήκει ὁ θεοφόρος· ὃς τὴν πρώτην τῶν ἐν Ἀντιοχείᾳ μαινάδων λόγοις ὑπαγαγὼν, καὶ ἀφιερώσας παρὰ δόξαν Θεῷ, νύμφην ἁγνοτάτην προσῆγεν αὐτῷ, ἀντὶ Μαργαριτὼ Πελαγίαν κατονομάσας· δι' ἧς τὸ τῶν θείων χριμάτων Θεοῦ πέλαγος ἄν τις θαυμάσειεν. Ἤκμαζε δὲ μάλιστα διαφερόντως ἀσκητικῇ παλαίστρᾳ καὶ βίῳ διαφανεῖ Εὐθύμιος ἐκεῖνος

ὁ μέγας ὁ τὴν ἔρημον εἰς πόλιν μετασκευάσας· Συμεών τε ὁ τὴν ἐπὶ στύλου πρῶτος κατοίκησιν ὑποδείξας· Νεῖλός τε ὁ θεσπέσιος ἀσκητής· ὅ τε τοῦ Πηλουσίου Ἰσίδωρος, καὶ ὁ πολυθρύλλητος ἀσκητὴς Μάρκος, Ἰωάννῃ τῷ πάνυ μαθητευθέντες· καὶ Πρόκλος ὁ θαυμαστὸς, σχολαῖος διάγων· καὶ ἄλλοι πλεῖστοι, περὶ ὧν ἐς ὕστερον διαλήψομαι.

A garita Pelagiam eam cognominans, in qua certe merito aliquis divini judicii pelagus admiretur. Viguit vero tum maxime quoque in ascetica palæstra præcipuus, et vita monastica illustris, magnus ille Euthymius, qui solitudinem in urbis formam redegit. Et Symeon qui primus domicilium in columna habere instituit : insuper Nilus, Ascetes venerandus . Isidorus Pelusiota, et decantatus monachus Marcus, Joannis magni discipuli. Proclus præterea ille admirandus, quietam degens vitam, et alii quamplurimi, de quibus postea et dicam.

ΚΕΦΑΛ. ΛΑ'.

Ὡς μετὰ Σισίνιον Νεστόριος ὁ αἱρετικὸς χειροτονεῖται ἐπίσκοπος· καὶ ὡς συγχεῖν ἐξ ἀλαζονείας τὴν Ἐκκλησίαν ἐπέβαλεν.

Τοῦ δὲ πατριάρχου Σισινίου, ὡς εἴρηται, τὸν βιοῦν B μεταλλάξαντος, δεῖν ἐδόκει τοῖς ἐν ὑπεροχαῖς μηδένα τῶν τῆς Ἐκκλησίας εἰς τὴν ἐπισκοπὴν προάγειν, διὰ τοὺς ὡς ἔτυχε χαριζομένους ἐπικενῆς. Ἦσαν γὰρ καὶ αὖθις οἱ μὲν Φιλίππῳ, οἱ δὲ Πρόκλῳ σπουδάζοντες· ἐξ ἀλλοδαπῆς δέ τινα προχειρίζεσθαι ἤθελον. Ἦν δέ τις κατ' ἐκεῖνο καιροῦ, ἐν Ἀντιοχείᾳ ποιούμενος τὰς διατριβὰς, τὸ γένος Γερμανικεὺς, εὔφωνός τε καὶ εὔλαλος, τὴν κλῆσιν Νεστόριος· ὃν ὡς περὶ τὸ διδάσκειν δεξιῶς ἔχοντα, ἐκ τῆς Ἀντιόχου μεταστέλλεσθαι ἔγνωσαν. Περιβόητος δὲ καὶ ἐν σωφροσύνῃ μάλιστα ἦν. Τριῶν δὲ παραῤῥυέντων μηνῶν, ἄγεται καὶ αὐτίκα εἰς τὴν τῆς Κωνσταντίνου ἐπισκοπὴν προχειρίζεται. Ὁποῖος δὲ τὸ ἦθος ἦν, ἐκ τῆς πρώτης αὐτοῦ διδασκαλίας C κατεμηνύετο. Μετὰ γὰρ τὴν χειροτονίαν τὴν περιβόητον ἐκείνην ἀφῆκε φωνὴν ἐπὶ παῤῥησίᾳ τοῦ πλήθους, πρὸς τὸν βασιλέα τὸν λόγον ποιούμενος· « Δός μοι, λέγων, ω βασιλεῦ, καθαρὰν τὴν γῆν τῶν αἱρετικῶν· κἀγώ σοι τὸν οὐρανὸν ἀντιδώσω. Σύ μοι τοὺς αἱρετικοὺς κάθελε· κἀγὼ συγκαθελῶ σοι τοὺς Πέρσας. » Ὧν εἰρημένων, οἱ μὲν πολλοὶ καὶ ἀποδοχῆς ἠξίουν· τοὺς δ' ἀκριβῶς εἰδότας γνώμην ἐκ λόγου κρίνειν οὐ διεδίδρασκεν οὔτε τὸ κοῦφον τῆς διανοίας, οὔτε δ' αὖ τὸ θυμικὸν ἐν ταυτῷ καὶ κενόδοξον· ὅτι μηδὲ καλῶς τῶν ἐνταῦθα γευσάμενος, εἰς τοὺς ὑπὲρ τῶν τοιούτων προήχθη λόγους. Ζῆλον δ' ὑπὲρ τῆς Ἐκκλησίας δῆθεν αὐχῶν, τὸν τῶν Ἀρειανῶν εὐκτήριον οἶκον κατέσπα. Οἱ δ' οὕτω κατασπώμενον ὁρῶντες αὐτὸν, πῦρ ἐμβαλόντες, οὐ μόνον D ἐκεῖνον, ἀλλὰ καὶ πολύ τι μέρος τῶν παρακειμένων τῷ τόπῳ ἀνήλισκον. Πρὸς δὲ καὶ Ναυατιανοὺς ταράττειν ἐπέβαλεν. Οὐ μόνον δὲ τούτους, ἀλλὰ καὶ ὅσοι περὶ Ἀσίαν καὶ Λυδίαν καὶ Καρίαν Τεσσαρεσκαιδεκατῖται ἦσαν, ἔτι δὲ καὶ περὶ Μίλητον καὶ Σάρδεις, ὧν πολλοὶ, καὶ στάσεως δι' αὐτὸν γενομένης, τὸν βίον ἀπέλιπον. Προφάσεως δ' εἰλημμένος, ὅτιπερ οἱ Μακεδονίου Ἀντώνιον τὸν Γέρμης ἐπίσκοπον, σφόδρα ἐκείνους κελεύσει Νεστορίου ἐλαύνοντα, διεχρήσαντο, ὑποβαλόντες τινὰς, ἐν δευτέρῳ τἀγαθὸν τοῦ ἡδέος ποιουμένους, καὶ τὰς ἐκείνων ἐκκλησίας ὑφείλετο· τάς τε ἐν Κωνσταντινουπόλει καὶ ἐν Κυζίκῳ, καὶ τοῖς Ἑλλησποντίοις ἀγροῖς· ὧν τινες βιαζόμενοι καὶ τῇ τοῦ ὁμοουσίου πίστει συνέ-

CAPUT XXXI.

Ut post Sisinium Nestorius hæreticus episcopus ordinatus, per arrogantiam turbis et tumultibus complere Ecclesiam instituerit.

Sisinio patriarcha defuncto, sicuti dictum est, eis qui honores et magistratus gerebant, placuit, neminem ex ejus Ecclesiæ clero episcopum creare, propter vanam eorum, qui honorem talem temere, quibus ipsi faverent, mandatum volebant, gratiam. Rursus enim alii Philippo, alii vero Proclo cupiebant, sed aliunde quempiam designare visum est. Erat tum Antiochiæ, Germaniciensis patria, vocalis et facundus Nestorius : hunc quod in dicendo promptus et facilis esset, Antiochia accersendum statuerunt, qui laudem etiam castitatis meruerat maximam. Præterierant menses tres, et ille adducitur, et episcopus Constantinopolitanus creatur. Qualis vero is vir fuerit, prima statim ejus concio indicavit. Illico namque post consecrationem, decantatam **504** illam propalam apud populum, ad imperatorem verba dirigens, emisit vocem : « Da mihi, inquiens, o imperator, terram ab hæreticis liberam et puram, et ego tibi cœlum vicissim reddam. Tu mihi hæreticos exstirpa, et ego tibi Persis delendis adero. » Hæc ejus dicta multi quidem comprobarunt. Qui vero certo sciunt animum ex verbis dijudicandum esse, illi mentis ejus levitatem, animum arrogantem, et vanam gloriam affectantem, deprehenderunt : propterea quod, cum nondum quidquam ibi satis degustasset, ad ejuscemodi productus sit verba. Zelum vero et æmulationem deinde pro Ecclesia spirans, ædem precatoriam Arianorum demolitus est. Atque illi templum suum dirutum cernentes, igne insuper conjecto, non id modo, sed et magnam vicinorum ædificiorum partem concremarunt. Deinde Novatianos quoque turbare aggressus est. Non eos vero solum, verum etiam qui per Asiam, Libyam et Cariam, et qui præterea Mileti et Sardis erant, Quatuordecimanos, quorum multi seditione et tumultu propter ipsum concitato interiere. Et cum Macedoniani Antonium episcopum Germensem, qui eos Nestorii jussu admodum affligebat, percussoribus quibusdam submissis, qui voluptatem honesto præferunt, jugulasseht, occasionem eam et causam arripuit, et ecclesias eis Constantinopoli, Cyzici, et in Hellesponto ademit. Ex quibus nonnulli vi ea adacti, se ad ὁμοουσίου, consubstantialis,

fidem contulere. Accidit porro ut qui alios ita ecclesiis expelleret, ipse quoque ejiceretur, cum derepente bellum acre adversus Ecclesias concitasset. Id bellum inde sumpsit exordium.

505 CAPUT XXXII.

Ut Nestorius in ipso flagranti crimine per discipulum suum Anastasium sit deprehensus, Christum Dominum nudum hominem dicere, et sanctam Christi Deiparam matrem Christi genitricem appellare. Et quæ de eo memoriæ prodiderit Socrates, ecclesiasticus historicus. Et de prodigio quod in ecclesia accidit.

Anastasius quidam presbyter in maximo apud Nestorium honore fuit, comes profectionis ejus, cum ille se ad episcopatum ineundum conferret. Quo tempore etiam ad Theodorum Mopsuestienssem divertit, dogmatibusque ejus auditis, a vera pietate Nestorius ipse transversim actus est : quemadmodum Theodulus in epistola scribit. Anastasius igitur iste, acer Judaicorum dogmatum et actionum Nestorii suasor, verba aliquando in ecclesia Constantinopolitana ad Christi fidelem populum faciens, hoc propalam et aperte dicere ausus est : Mariam θεοτόκον, hoc est Deigenitricem, nemo vocato. Maria enim homo fuit. Ut autem ab homine Deus gignatur, fieri non potest. Dolum hunc cum primum Eusebius rhetor deprehendisset, eumdemque deinde et clerus, et pietate in populo præstantissimus quisque graviter ferret, et elocutionem ejusmodi blasphemiam esse putaret, non parvus tumultus excitatus est. Dudum enim de theologia et Christi divinitate edocti fuerant, quod videlicet ille œconomiæ seu administrationis gratia veluti homo purus, haudquaquam a divinitate secesserit, ea in re apostoli Pauli verbo fidem habentes, qui dicit : *Etiamsi Christum secundum carnem cognovimus, nunc tamen non cognoscimus* [1], et rursum : *Quapropter relinquentes eum qui de Christo instituit sermonem, ad perfectionem contendamus* [2]. Turba tali, sicuti fieri assolet, gliscente, Nestorius impietatis dux non solum Anastasium non reprehendit atque inhibuit, verum etiam studiose laudavit, et dictis ejus assensum prorsus suum præbuit : eum quem in pretio habebat, ut blasphemum arguere nolens. Et quod contendendi studio teneretur, frequentius in ecclesia docuit, et ubique vocabulum Dei Genitricis exterminavit, a seipso pleraque illegitime et subrepticie statuens atque confingens, aperteque animi sui venenum eructans, ad blasphemiam se dedit. Proinde quæstione hujus rei apud omnes divulgata, atque aliis aliter eam accipientibus, dissidium in Ecclesia ortum est : atque homines sicuti in nocturna pugna inter se sunt conflictati, nunc hæc nunc illa affirmantes et negantes. **506** Nestorius vero a multis existimatus est, Dominum merum hominem esse opinari, atque olim Pauli Samosateni et Photini intermortuum dogma renovare, et in Ecclesiam

[1] II Cor. v, 16. [2] Hebr. vi, 1.

A θεντο. Οὕτω δ' ἐκείνῳ ἄλλους τῶν ἐκκλησιῶν ἐξελαύνοντι, καὶ αὐτὸν ἐξελαθῆναι συνέβαινεν, ἀκήρυκτον πόλεμον κατὰ τῆς Ἐκκλησίας ἐγείραντα. Ἤρξατο δὲ ὁ πόλεμος ἐνθένδε σχὼν τὴν ἀρχήν.

ΚΕΦΑΛ. ΛΒ'.

Ὅπως ἐφωράθη Νεστόριος δι' Ἀναστασίου τοῦ μαθητοῦ ψιλὸν ἄνθρωπον τὸν Κύριον λέγων, καὶ Χριστοτόκον καλῶν τὴν ἁγίαν Χριστοῦ Θεομήτορα. Καὶ οἷα περὶ αὐτοῦ Σωκράτης ὁ ἐκκλησιαστικὸς ἱστορεῖ συγγραφεύς· καὶ περὶ τοῦ γεγονότος ἐν τῇ ἐκκλησίᾳ καινοῦ τεραστίου.

Ἀναστάσιός τις πρεσβύτερος, Νεστορίῳ διὰ τιμῆς μάλιστα ὤν, ὃς καὶ συνέκδημος αὐτῷ πρὸς τὴν ἐπισκοπὴν ἀπαίροντι ἐγεγόνει· ὅτε καὶ Θεοδώρῳ τῷ B Μοψουεστίας παραγενόμενος, τοῦ εὐσεβεῖν παρετράπη, τῶν ἐκείνου δογμάτων ἀκροασάμενος ὁ Νεστόριος, ὡς ἐν ἐπιστολῇ Θεόδουλος ἱστορεῖ· ὁ τοίνυν Ἀναστάσιος οὗτος διάπυρος τῶν Νεστορίου Ἰουδαϊκῶν δογμάτων, καὶ σύμβουλος τοῖς πρακτέοις καθεστηκὼς διάλεξίν ποτε ἐπ' ἐκκλησίας τῷ φιλοχρίστῳ λαῷ ἀνὰ τὴν Κωνσταντίνου ποιούμενος, ἀναφανδὸν τάδε εἰπεῖν ἐτόλμησε· Θεοτόκον τὴν Μαρίαν καλείτω μηδείς· Μαρία γὰρ ἄνθρωπος ἦν. Ὑπὸ δὲ ἀνθρώπου Θεὸν τεχθῆναι ἀδύνατον. Τοῦ δὲ ῥήτορος Εὐσεβίου τὸν δόλον πρώτως φωράσαντος, ἔπειτα δὲ καὶ τῶν περὶ τὸν κλῆρον καὶ ὅσον ἐν εὐσεβείᾳ ἔγκριτον, χαλεπῶς ἐνεγκόντων, καὶ βλασφημίαν ἡγησαμένων τὴν διάλεξιν, τάραχος οὐκ ὀλίγος ἠγείρετο. Ἦσαν καὶ γὰρ πάλαι τὴν κατὰ Χριστὸν C θεολογίαν ἐκδιδαχθέντες, ὡς μηδαμῶς αὐτὸν τῆς οἰκονομίας χάριν οἷάπερ ἄνθρωπον ψιλὸν ἀποδιιστᾷν τῆς θεότητος, πειθόμενοι τῇ τοῦ Ἀποστόλου φωνῇ, *Εἰ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστόν*, λέγοντος, *ἀλλὰ νῦν οὐκέτι γινώσκομεν*· καὶ αὖθις· *Διὸ ἀφέντες τὸν περὶ τοῦ Χριστοῦ λόγον, ἐπὶ τὴν τελειότητα φερώμεθα.* Τῆς δὲ ταραχῆς ὡς εἰκὸς ἀκμαζούσης, Νεστόριος ὁ τῆς ἀσεβείας καθηγητὴς οὐ μόνον τὸν Ἀναστάσιον οὐκ ἐξήλεγχέ τε καὶ διεκώλυεν, ἀλλὰ καὶ μᾶλλον κυροῦν ἔσπευδε· καὶ τοῖς ἐκείνῳ εἰρημένοις ἀτεχνῶς τὴν ῥοπὴν ἐδίδου, μὴ ὡς βλάσφημον τὸν αὐτῷ τιμώμενον διανοούμενος ἐξελέγχεσθαι· φιλονεικότερον δὲ διακείμενος, συνεχέστερον ἐπὶ τῆς ἐκκλησίας ἐδίδασκε· καὶ D πανταχοῦ τὴν *Θεοτόκος* φωνὴν ἐξώριζεν ἐξ ἑαυτοῦ παρεγγράφων καὶ συντιθείς· καὶ βλασφημότερον διετίθετο, τὸν τῆς ψυχῆς ἰὸν διαῤῥήδην ἐξερευγόμενος. Διὸ τῆς περὶ τούτου ζητήσεως ἐπὶ πάντας διαδοθείσης, καὶ ἄλλων προστιθεμένων, διαίρεσις ἐν τῇ Ἐκκλησίᾳ ἐγίνετο· καὶ ὡς ἐν νυκτομαχίᾳ καθεστηκότες, ἀλλήλους ἔβαλλον, νῦν μὲν ταῦτα, νῦν δ' ἐκεῖνα ἐπιφθεγγόμενοι καὶ ἀρνούμενοι. Νεστόριος δὲ δόξαν εἶχε παρὰ πολλοῖς, ψιλὸν ἄνθρωπον δογματίζων τὸν Κύριον, καὶ τὸ πάλαι τεθνηκὸς δόγμα Παύλου τοῦ ἐκ Σαμοσάτων καὶ Φωτεινοῦ αὖθις ἀνανεῶν, καὶ εἰς τὴν Ἐκκλησίαν ἠρέμα εἰσάγων. Καὶ ἐπὶ τόσον ἡ περὶ τούτου ζήτησις ἐκινήθη, ὡς καὶ οἰκουμενικῆς δεηθῆναι συνόδου. Σωκράτης δ' ὁ

τὴν *Ἐκκλησιαστικὴν Ἱστορίαν* συντεταχὼς, τάδε περὶ τῆς δόξης Νεστορίου διέξεισιν· « Ἐγὼ, φησὶ, τοῖς παρὰ Νεστορίου ἐκδοθεῖσι λόγοις ἐντυχὼν, ἀγνοοῦντα τὸν ἄνδρα ἐφεύρισκον, καὶ μετὰ ἀληθείας ἐρῶ. Οὐδὲ γὰρ οὔτε ἀπεχθανόμενος πρὸς αὐτὸν, ὧν εἶχεν ἐλαττωμάτων ἐμνήσθην, οὔτε χαριζόμενός τισιν, ἃ ἐλαττοῦντα ἐφεῦρον ἐκθήσομαι. Οὔ μοι δοκεῖ ὁ Νεστόριος, οὔτε τὸν Σαμοσατέα Παῦλον, οὔτε μὴν Φωτεινὸν μιμούμενος, ψιλὸν ἄνθρωπον λέγειν τὸν Κύριον· ἀλλὰ τὴν λέξιν μόνην ὡς τὰ μορμολύκεια πεφόβηται. Καὶ τοῦτο πέπονθεν ὑπὸ ἀμαθίας πολλῆς· φυσικῶς γὰρ εὔλαλος ὢν, πεπαιδεῦσθαι μὲν ἐνομίζετο, τῇ δὲ ἀληθείᾳ ἀνάγωγος ἦν, καὶ τὰς τῶν παλαιῶν ἑρμηνεύων βίβλους, ἀπηξίου μανθάνειν. Τυφόμενος γὰρ ὑπὸ τῆς εὐγλωττίας, οὐκ ἀκριβῶς προσεῖχε τοῖς παλαιοῖς, ἀλλὰ πάντων κρείττονα ἐνόμιζεν ἑαυτόν. Αὐτίκα γοῦν ἠγνόησεν ὅτι ἐν τῇ Καθολικῇ Ἰωάννου γέγραπται ἐν τοῖς παλαιοῖς ἀντιγράφοις, ὅτι *Πᾶν πνεῦμα ὃ λύει τὸν Ἰησοῦν, ἀπὸ τοῦ Θεοῦ οὐκ ἔστι.* Ταύτην γὰρ τὴν διάνοιαν ἐκ τῶν παλαιῶν ἀντιγράφων περιεῖλον οἱ χωρίζειν ἀπὸ τοῦ τῆς οἰκονομίας ἀνθρώπου βουλόμενοι τὴν θεότητα. Διὸ καὶ οἱ παλαιοὶ ἑρμηνεῖς αὐτὸ τοῦτο ἐπεσημήναντο, ὥς τινες εἶεν ῥᾳδιουργήσαντες τὴν ἐπιστολὴν, λύειν ἀπὸ τοῦ Θεοῦ τὸν ἄνθρωπον θέλοντες. Συνανείληπται δὲ ἡ ἀνθρωπότης τῇ θεότητι, καὶ οὐκέτι εἰσὶ δύο, ἀλλὰ ἕν· τοῦτο θαῤῥοῦντες οἱ παλαιοὶ, Θεοτόκον λέγειν τὴν Μαρίαν οὐκ ὤκνησαν. Οὕτω γὰρ καὶ ὁ Παμφίλου Εὐσέβιος ἐν τῷ τρίτῳ λόγῳ τῷ εἰς τὸν Βίον Κωνσταντίνου κατὰ λέξιν ταῦτά φησι· Καὶ γὰρ καὶ γέννησιν ὑπομένειν ὁ μεθ' ἡμᾶς Θεὸς δι' ἡμᾶς ἠνέσχετο· καὶ τόπος αὐτοῦ τῆς ἐνσάρκου γεννήσεως ὀνομαστὶ παρ' Ἑβραίοις ἡ Βηθλεὲμ ἐκηρύττετο. Διὸ δὴ καὶ ἡ βασίλισσα Ἑλένη ἡ θεοφιλεστάτη τῆς Θεοτόκου τὴν κύησιν μνήμασι θαυμασίοις ἐκόσμει, παντοίως τὸ τῇδε ἱερὸν ἄντρον φαιδρύνουσα. Καὶ Ὠριγένης δὲ ἐν τῷ τρίτῳ τόμῳ τῶν εἰς τὴν πρὸς Ῥωμαίους τοῦ Ἀποστόλου Ἐπιστολὴν, ἑρμηνεύων πῶς Θεοτόκος λέγεται πλατέως ἐξήτασε. Φαίνεται τοίνυν ὁ Νεστόριος ἀγνοήσας τὰς πραγματείας τῶν παλαιῶν· διὸ, καθὼς ἔφην, τὴν λέξιν μόνην περιίσταται. Οὐ μόνον δὲ τὴν λέξιν, ἀλλὰ καὶ παντελῶς Θεὸν εἶναι τὸν γεννηθέντα ἠρνήσατο. Ὁ γὰρ γεννηθεὶς ἐκ τῆς ἁγίας Παρθένου ἐστὶν ἐσταυρωμένος, ὅστις Κύριός ἐστι τῆς δόξης, ὥς φησιν ὁ Ἀπόστολος· *Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν.* Νεστόριος δὲ λέγει· « Μὴ καυχῶ, Ἰουδαῖε· Θεὸν οὐκ ἐσταύρωσας, » ὡς τοῦ Κυρίου τῆς δόξης οὐκ ἐσταυρωμένου. Ἐπεὶ ὅτι ψιλὸν οὐ λέγει ἄνθρωπον τὸν Χριστὸν, ὡς Φωτεινὸς ἢ Παῦλος ὁ Σαμοσατεὺς, καὶ αἱ ἐκδοθεῖσαι αὐτοῦ προσομιλίαι διδάσκουσιν· ὡς οὐδαμοῦ τὴν τοῦ Θεοῦ Λόγου ὑπόστασιν ἀναιρεῖ, ἀλλὰ πανταχοῦ ἐνυπόστατον αὐτὸν ὁμολογεῖ, καὶ ἐνούσιον. Οὐ μὴν, ὡς Φωτεινὸς καὶ ὁ Σαμοσατεὺς, ἀναιρεῖ αὐτοῦ τὴν ὕπαρξιν· τοῦτο γὰρ καὶ Μανιχαῖοι καὶ οἱ ἀπὸ Μοντανοῦ δογματίζειν ἐτόλμησαν.

A sensim inducere. In tantum sane quæstio hæc agitata est, ut universali etiam opus esset synodo. Porro Socrates, qui *Ecclesiasticam historiam* conscripsit, de Nestorii opinione hæc commemorat. « Ego, inquit, cum edita a Nestorio scripta legerem imperitum hominem esse reperi : atque id ita vere dicere possum. Neque enim odio ductus, tenuitatis ejus qua aliis inferior fuit, meminero ; neque cuiquam gratificatus, quibus alios superavit dotes exponam. Non mihi videtur Nestorius vel Paulum Samosatenum, vel Photinum imitatus, merum hominem Dominum dicere, sed vocabulum ipsum tantum sicuti larvam reformidat, idque propter multam imperitiam facit. Cum namque naturali quadam facundia præditus esset, probe quiB dem eruditus esse putabatur : re autem ipsa indoctus, et veterum interpretum libros versare noluit : siquidem expetita linguæ volubilitate elatus, animum ad illorum scripta non accurate intendit, sed seipsum omnibus præstantiorem esse duxit. Itaque illud statim ex catholica Joannis Epistola, quod in vetustis exemplaribus scriptum est ignoravit : *Quod spiritus omnis, qui Jesum solvit, ex Deo non est* [1]. Nam sententiam hanc, qui ab administratione hominis in Christo divinitatem segregare voluerunt, ex antiquis exemplaribus sustulerunt. Quapropter et prisci interpretes hoc ipsum indicarunt, fuisse nimirum quosdam, qui Epistolam eam depravarint, hominem a Deo solvere C volentes. Assumpta autem est a divinitate humanitas, et jam non duo sunt, sed unum : quo veteres freti, Mariam Θεοτόκον, hoc est, Dei Genitricem dicere non dubitarunt. Sic enim et Eusebius Pamphili in tertio de Vita Constantini libro, hac de re ad verbum inquit : Nam et nativitatem qui est nobiscum Deus, nostra causa subire sustinuit, et locus nativitatis ejus in carne nominatim apud Hebræos Bethleem prædictus est. Quamobrem etiam Dei amantissima Helena Augusta, gestationem uteri Dei Genitricis admirandis monumentis cohonestavit, et sacrum illud antrum multifariam exornavit. **507** Origenes vero et ipse in tertio Commentariorum, in Epistola ad Romanos, tomo, quomodo Dei Genitrix dicatur exponens, copiose D id explicat. Apparet igitur, Nestorium lucubrationes veterum ignorasse. Proinde, sicuti dixi, locutionem solam oppugnat. (Quin ille non vocabulum ipsum modo, sed prorsus etiam Deum esse, qui genitus est, negavit. Qui enim ex Virgine sancta natus est, idem crucifixus quoque est, qui quidem Dominus est gloriæ, quemadmodum Apostolus ait : *Si enim cognovissent, Dominum utique gloriæ non crucifixissent* [2]. Nestorius autem inquit : « Ne glorieris, Judæe, Deum non crucifixisti : » perinde atque Dominus gloriæ crucifixus non esset. Quandoquidem quod Christum, non purum hominem dicat, sicut Photinus, aut

[1] Joan. IV, 3. [2] I Cor. II, 8.

Paulus Samosatenus, homiliæ seu populares ejus conciones editæ docent. Nunquam enim Dei Verbi subsistentiam tollit, sed ubique id in carne subsistere, et carni inesse profitetur. Nec ille, sicuti Photinus et Samosatenus, subsistentiam ejus abolet : nam id Manichæi et Montanistæ quoque opinari sunt ausi. Sic ego Nestorium sentire invenio, atque id simul et ex libris ejus quos legi, et ex sectatorum ejus dictis animadverti. Non parvam vero turbam orbi universo ineptiæ Nestorii peperere. » Hæc Socrates. Et cum ille sic blaterans nugaretur, ut detestandum quiddam in Ecclesia fieret, accidit. Nam primarii cujusdam magistratus servi, crudeliter ab hero accepti, ad ecclesiam confugere : et ferrum in manibus habentes, ad sanctiorem sacrificii aram irruere : cumque inde jubérentur et cogerentur exire, haudquaquam paruere, divinas cæremonias impedientes : et diebus pluribus strictos et coruscantes enses præ se ferentes, ut obvios omnes ferirent, parati fuere. Atque ubi clericum quemdam trucidarunt, aliumque insuper vulnerarunt, postremo tandem seipsos interemerunt. Porro ex eis qui affuere, quidam mali ominis esse, templi profanationem et inquinationem, prædixit : poetæ cujusdam iambos allegans ejusmodi :

A Οὕτω μὲν τὸν Νεστόριον ἐγὼ φρονοῦντα εὑρίσκω ἔκ τε ὧν ἀνέγνων αὐτοῦ λόγων, καὶ ἀφ' οὗ οἱ ἐρασταὶ αὐτοῦ λέγουσιν. Οὐ μικρὰν μέν τοι ταραχὴν τῇ οἰκουμένῃ ἡ ψυχρολογία Νεστορίου ἐκίνησεν. » Ἀλλὰ ταῦτα μὲν ὁ Σωκράτης· ἐπὶ δὲ τῇ ἐκείνου ἐρεσχελίᾳ καί τι τεκμήριον μυσαρὸν κατὰ τὴν Ἐκκλησίαν συνέβη γενέσθαι. Δοῦλοι γάρ τινος τὰ μεγάλα ἰσχύοντος, ἀπηνοῦς τοῦ δεσπότου πειρώμενοι, τῇ ἐκκλησίᾳ προσῄεσαν, ξίφεσι δὲ τὰς δεξιὰς καθοπλίσαντες, εἰστρέχουσι τὸ θυσιαστήριον. Ἐκεῖθεν δ' ἐξιέναι ἀναγκαζόμενοι, οὐδενὶ τρόπῳ ἦσαν πειθήνιοι, ἀλλ' ἐμποδὼν ταῖς θείαις λατρείαις ἐγίνοντο· καὶ ἐν πολλαῖς ἡμέραις στιλβούμενα τὰ ξίφη προβεβλημένοι, ἕτοιμοι βάλλειν ἦσαν πάντα τὸν προσιόντα. Καὶ δή τινα τῶν κληρικῶν κτείναντες, καὶ ἄλλον B τραυματίαν ποιήσαντες, τέλος ἀποσφάττουσιν ἑαυτούς. Τῶν τις δὲ παρόντων μὴ καλὸν εἶναι τεκμήριον τὸν μολυσμὸν τοῦ νεὼ διηγόρευεν, ἐπιφέρων καί τινας ἰάμβους ἀνδρὸς ποιητοῦ, τάδε διεξιόντας·

Assuevit omen ferre triste, sanctius
Si forte templum polluat piaculum.

Σημεῖα καὶ γὰρ ταῦτα γίνεσθαι φιλεῖ,
Ὅταν τι ναοῖς ἐγκατασκήψῃ μύσος.

508 Nec ille prorsus non vera dixit. Cum enim divisionem populi et dissidium, tum ejus qui seditiosæ ejusmodi discessionis auctor esset, abrogationem prædicere visus est. Enimvero Nestorius non aliis tantum, sed Proclo quoque per dissensionem adversatus est. Cum enim ille in ecclesia docens, Nestorio præsidente, orationem in hæc verba conceptam haberet : « Virginalis hodie, o fratres, celebratur conventus : exsultet natura, choros ducat hominum conditio : coegit et convocavit nos sancta Dei Genitrix, impollutum decus atque ornamentum virginitatis ; » ob eam causam ad contentionis studium delapsus Nestorius, dissidere quam maxime a Proclo cœpit.

Καὶ πάντως οὐκ ἠστόχει τῶν λόγων· ἐδόκει γὰρ τὴν τοῦ πλήθους προσημαίνειν διαίρεσιν, καὶ τὴν τοῦ αἰτίου τῆς διαιρέσεως ταύτης καθαίρεσιν. Νεστόριος δὲ οὐ τοῖς ἄλλοις μόνον, ἀλλὰ καὶ Πρόκλῳ εἰς διάστασιν ἧκε· διδάσκοντι γὰρ ἐπ' ἐκκλησίας ἐκείνῳ C Νεστορίου προκαθημένου, τοιάνδε συνθεὶς ὁμιλίαν ἀνέγνω· « Παρθενικὴ πανήγυρις σήμερον, ἀδελφοί· σκιρτάτω ἡ φύσις· χορευέτω ἡ ἀνθρωπότης. Συνεκάλεσε γὰρ ἡμᾶς ἡ ἁγία Θεοτόκος, τὸ ἀμόλυντον κειμήλιον τῆς παρθενίας. » Διὰ τοῦτο φιλονείκως ἐκείνῳ διατεθεὶς, εἰς μεγίστην κατέστη διαφοράν.

CAPUT XXXIII.

De epistolis sancti Cyrilli ad Nestorium : item de duodecim capitibus, in quibus illius carpit perversam opinionem. Præterea quæ de Nestorio scripserit Cælestinus.

Sed enim divinus quoque Cyrillus, ubi Nestorii blasphemias audivit, unam atque alteram ad eum dedit epistolam, in quibus disertis verbis eos qui non aperte Christum Deum profiterentur, sed blasphemis verbis hominem deiferum atque organum seu instrumentum divinitatis esse dicerent, anathema esse proclamavit. Cui Nestorius litteris rursus obviavit, conviciis simul et blasphemiis rem agens. Eis vero Nestorii litteris, **509** ingentes hæresis fluctus eructantibus, acceptis, cum quatuor quibusdam aliis, provincialem Alexandriæ synodum congregavit, atque ei utriusque ultro citroque datas epistolas exhibuit, quarum exempla et synodi ipsius decreta ad veteris Romæ episco-

ΚΕΦΑΛ. ΛΓ'.

Περὶ τῶν πρὸς Νεστόριον ἐπιστολῶν τοῦ ἁγίου Κυρίλλου· ἔτι δὲ καὶ περὶ τῶν δυοκαίδεκα κεφαλαίων, δι' ὧν τῆς ἐκείνου κακοδοξίας καθάπτεται· καὶ περὶ ὧν Κελεστῖνος ἔγραψε περὶ Νεστορίου.

D Οὐ μὴν δὲ ἀλλὰ καὶ ὁ θεσπέσιος Κύριλλος τῶν Νεστορίου διακούσας βλασφημιῶν, πρώτην καὶ δευτέραν ἐπιστολὴν ἔπεμπεν· ἐν αἷς διαῤῥήδην κατεβοᾶτο, τῶν μὴ σαφῶς ὁμολογούντων Θεὸν τὸν Χριστὸν εἶναι, βλασφήμοις δὲ ῥήμασι λεγόντων ἄνθρωπον θεοφόρον εἶναι καὶ ὄργανον θεότητος, ἀνάθεμα εἶναι. Νεστόριος δὲ, γράμμασιν αὖθις ἐκείνῳ ἀντέπιπτεν, ὑβρίζων τε ἅμα καὶ βλάσφημα προϊέμενος. Ἃ δὴ γράμματα Νεστορίου δεξάμενος Κύριλλος πολὺν τὸν σάλον ἐξερευγόμενα τῆς αἱρέσεως, μετὰ καί τινων ἑτέρων τετράδων τοπικὴν ἐν Ἀλεξανδρείᾳ σύνοδον ἤθροικώς, τὰ παρ' ἀμφοτέρων ἀλλήλοις γραφέντα ἐμφανῆ ἐποίει παῤῥησίᾳ τῇ συνόδῳ γυμνάζων. Ὧν τὰ ἴσα καὶ τὰ τῇ συνόδῳ δόξαντα τῷ τῆς

A πρεσβυτέρας Ῥώμης ἐπισκόπῳ Κελεστίνῳ ἀνέπεμπε. Τρίτην δ' ἄλλην ἐπιστολὴν Νεστορίῳ ἐπέστελλεν· ἐν ᾗ καὶ τὰ πολυθρύλλητα ιβ' κεφάλαια μετ' ἀναθεματισμῶν συμπαρέζευξεν. Ἃ δὴ καὶ τῷ παρόντι ἐκθεῖναι δίκαιον ἥγημαι, οὕτω διεξιόντα· « Εἴ τις οὐχ ὁμολογεῖ Θεὸν εἶναι κατὰ ἀλήθειαν τὸν Ἐμμανουὴλ, καὶ διὰ τοῦτο Θεοτόκον τὴν ἁγίαν Παρθένον (γεγέννηκε γὰρ σαρκικῶς σάρκα γεγονότα τὸν ἐκ Θεοῦ Θεὸν Λόγον), ἀνάθεμα ἔστω. Εἴ τις οὐχ ὁμολογεῖ σαρκὶ καθ' ὑπόστασιν ἡνῶσθαι τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον, ἕνα τε εἶναι Χριστὸν μετὰ τῆς ἰδίας σαρκὸς, τὸν αὐτὸν δηλονότι Θεὸν ὁμοῦ τε καὶ ἄνθρωπον, ἀνάθεμα ἔστω. Εἴ τις ἐπὶ τοῦ ἑνὸς Χριστοῦ διαιρεῖ τὰς ὑποστάσεις μετὰ τὴν ἕνωσιν, μόνῃ συνάπτων αὐτὰς συναφείᾳ τῇ κατὰ τὴν ἀξίαν, ἤγουν B αὐθεντίαν ἢ δυναστείαν, καὶ οὐχὶ μᾶλλον συνειδότι καθ' ἕνωσιν φυσικὴν, ἀνάθεμα ἔστω. Εἴ τις προσώποις δυσὶν, ἤγουν ὑποστάσεσι, τάς τε ἐν τοῖς εὐαγγελικοῖς καὶ ἀποστολικοῖς συγγράμμασι διανέμει φωνὰς ἐπὶ Χριστῷ παρὰ τῶν ἁγίων λεγομένας, ἢ παρ' αὐτοῖς περὶ ἑαυτοῦ· καὶ τὰς μὲν ὡς ἀνθρώπῳ παρὰ τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον ἰδικῶς νοουμένας προσάπτει, τὰς δὲ ὡς θεοπρεπεῖς μόνῳ τῷ ἐκ Θεοῦ Πατρὸς Λόγῳ, ἀνάθεμα ἔστω. Εἴ τις τολμᾷ λέγειν θεοφόρον ἄνθρωπον τὸν Χριστὸν, καὶ οὐχὶ δὴ μᾶλλον Θεὸν εἶναι κατὰ ἀλήθειαν, ὡς Υἱὸν ἕνα καὶ φύσει καθ' ὃ γέγονε σὰρξ ὁ Λόγος, καὶ κεκοινώνηκε παραπλησίως ἡμῖν αἵματος καὶ σαρκὸς, ἀνάθεμα ἔστω. Εἴ τις λέγει Θεὸν ἢ Δεσπότην εἶναι τοῦ Χριστοῦ τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον, καὶ οὐχὶ δὴ μᾶλλον C τὸν αὐτὸν, Θεὸν ὁμολογεῖ καὶ ἄνθρωπον, ὡς γεγονότος σαρκὸς τοῦ Λόγου κατὰ τὰς Γραφὰς, ἀνάθεμα ἔστω. Εἴ τις φησὶν ὡς ἄνθρωπον ἐνηργῆσθαι παρὰ τοῦ Θεοῦ Λόγου τὸν Ἰησοῦν, καὶ τὴν τοῦ Μονογενοῦς εὐδοξίαν περιῆφθαι ὡς ἑτέρῳ παρ' αὐτῷ ὑπάρχοντι, ἀνάθεμα ἔστω. Εἴ τις τολμᾷ λέγειν τὸν ἀναληφθέντα ἄνθρωπον συμπροσκυνεῖσθαι δεῖν τῷ Θεῷ Λόγῳ καὶ συνδοξάζεσθαι, καὶ συγχρηματίζειν Θεὸν, ὡς ἕτερον ἑτέρῳ (τὸ γὰρ *σὺν* ἀεὶ προστιθέμενον τοῦτο νοεῖν ἀναγκάσει), καὶ οὐχὶ δὴ μᾶλλον μιᾷ προσκυνήσει τιμᾷν τὸν Ἐμμανουὴλ, καὶ μίαν αὐτῷ τὴν δοξολογίαν ἀνάπτειν καθὸ γέγονε σὰρξ ὁ Λόγος, ἀνάθεμα ἔστω. Εἴ τις φησὶ τὸν ἕνα Κύριον Ἰησοῦν Χριστὸν δεδοξάσθαι παρὰ τοῦ Πνεύματος, ὡς ἀλλοτρίᾳ δυνάμει τῇ δι' αὐτοῦ χρώμενον, καὶ παρ' αὐτοῦ λα- D βόντα τὸ ἐνεργεῖν δύνασθαι κατὰ πνευμάτων ἀκαθάρτων, καὶ τὸ πληροῦν εἰς ἀνθρώπους τὰς θεοσημίας, καὶ οὐχὶ δὴ μᾶλλον ἴδιον αὐτοῦ τὸ Πνεῦμα φησὶ, δι' οὗ καὶ ἐνήργηκε τὰς θεοσημίας, ἀνάθεμα ἔστω. Εἴ τις ἀρχιερέα καὶ ἀπόστολον τῆς ὁμολογίας ἡμῶν γεγενῆσθαι Χριστὸν, ὡς ἡ θεία λέγει Γραφὴ (προσκεκόμικε γὰρ ἑαυτὸν ὑπὲρ ἡμῶν εἰς ὀσμὴν εὐωδίας τῷ Θεῷ καὶ Πατρί)· εἴ τις τοίνυν ἀρχιερέα καὶ ἀπόστολον ἡμῶν γενέσθαι οὐχ αὐτὸν τὸν τοῦ Θεοῦ Λόγον, ὅτε γέγονε σὰρξ καὶ καθ' ἡμᾶς ἄνθρωπος, ἀλλ' ὡς ἕτερον ἰδικῶς ἄνθρωπον παρ' αὐτὸν ἐκ γυναικός· εἴ τις λέγει καὶ ὑπὲρ ἑαυτοῦ προσενεγκεῖν αὐτὸν τὴν προσφορὰν, καὶ οὐχὶ δὴ μᾶλλον ὑπὲρ μόνων ἡμῶν (οὐ γὰρ

A pum Cœlestinum misit. Ad Nestorium insuper tertiam dedit epistolam, cui multum celebrata illa duodecim capita, una cum anathematismis adjunxit: quæ ut hic insererem, æquum esse duxi. Ea sic habent : « Si quis non profitetur verum Deum esse Emmanuelem, proindeque virginem Mariam Dei Genitricem (genuit enim illa carnaliter eum qui caro factus est, Deum scilicet ex Deo Verbum) anathema sit. Si quis non profitetur carni secundum subsistentiam unitum esse id quod est ex Deo patre Verbum, unumque esse Christum cum propria carne, eumdem scilicet Deum simul et hominem, anathema sit. Si quis in uno Christo subsistentias dividit post unionem, sola eas connectens conjunctione, quæ secundum dignitatem sive B auctoritatem aut potestatem est, et non potius unione naturali, anathema sit. Si quis duabus personis sine subsistentiis in Christo, voces in evangelicis et apostolicis scriptis, vel a viris sanctis, vel ab ipso de seipso tributas dividit, et alias quidem ut homini, extra id quod ex Deo Patre est Verbum, proprie convenientes, alias vero veluti Deo congruentes ei soli quod ex Deo Patre est Verbo accommodat, anathema sit. Si quis dicere audet hominem Deiferum Christum, et non potius verum Deum esse, utpote unum et quidem natura Filium, quatenus Verbum caro factum est, et nobiscum æqualiter de sanguine et carne (extra peccatum) participavit, anathema sit. Si quis dicit Deum C aut Dominum Christi esse, quod ex Deo Patre est Verbum, ac non potius eumdem Deum profitetur et hominem, cum Verbum caro factum sit, secundum Scripturas, anathema sit. Si quis dicit veluti hominem Jesum a Deo Verbo agitatum, eique præclaram Unigeniti gloriam circumdatam esse, ut qui alius ab ipso existeret, anathema sit. Si quis dicere audet, hominem assumptum una cum Deo Verbo adorari et glorificari et laudari, dicique Deum debere, sicuti alterum cum altero 510 (particula enim Con adjecta, semper id cogitare atque intelligere cogit), ac non potius Emmanuelem adoratione una honorandum, et unam ei glorificationem tribuendam esse, quatenus Verbum caro factum est, anathema sit. Si quis dicit unum D Dominum Jesum Christum glorificatum esse a Spiritu, perinde atque aliena virtute usus sit, et ab illo acceperit, ut efficax contra impuros spiritus esset, et divina miracula inter homines edere posset, ac non potius proprium ipsius Spiritum profitetur, per quem divina fecit miracula, anathema sit. Si quis pontificem et apostolum confessionis nostræ factum esse Christum, sicuti divina refert Scriptura (obtulit enim seipsum pro nobis in odorem suavitatis Deo Patri), si quis, inquam, pontificem et apostolum nostrum factum esse, non ipsum Dei Verbum, cum caro et sicut nos sumus homo factum est, sed tanquam alium propria et peculiari quadam ratione ab eo qui ex muliere est, hominem : præterea si quis eum etiam pro seipso, et

non potius tantum pro nobis oblationem obtulisse dicit (neque enim oblatione opus habuit, qui peccatum non novit), anathema sit. Si quis non profitetur carnem Christi vivificam et propriam ipsius, quod ex Deo Patre est, Verbi, sed alterius cujusdam ab ipsa esse, veluti ei juxta dignitatem conjuncti, sive quasi solam divinam habitationem in ea habuerit, et non potius (quemadmodum diximus) vivificam, quæ Verbi propria facta sit, omnia vivificare valentis, anathema sit. Si quis non profitetur Dei Verbum carne passum esse, et carne crucifixum, et carne mortem gustasse, atque primogenitum ex mortuis factum esse, quatenus vita et vivificans est, utpote Deus, anathema sit. » Cœlestinus autem Romanus episcopus, divini Cyrilli litteris acceptis, et sinistra præterea de Nestorio fama audita, ad eum scripsit : decem exactis diebus, si adhuc in eadem impietate perseveraret, non amplius eum ad communionem admittendum, sed potius omnino sacerdotum Christi catalogo eximendum : illosque adeo ad communionem recipiendos esse, qui propterea ab eo, quod pro fide recta stetissent, excommunicati fuerant. Porro non Nestorio modo Cyrillus et Cœlestinus, sed etiam Joanni Antiocheno, Theodoti successori, et Juvenali Hierosolymitano, hæresim Nestorii exponentes, scripserunt. **511** Ipse quoque Joannes ad Nestorium epistolam dedit, admonens hominem, ne a patria fidei professione deficeret, sed recte Filium Dei ex sancta Dei Genitrice Maria genitum esse profiteretur, neque in duo eum partiretur, neque etiam juxta progressum seu profectum deificatum esse diceret, apostolicam illi etiam vocem subjiciens, quæ est : *Misit Deus Filium suum factum ex muliere* [1]. Et simul illi suasit, ne sententiam ipse suam ut rectam et certam retineret, sed potius quod in commune commodum atque utile esset, sequeretur. Misit insuper ad eum quas Cœlestinus et Cyrillus scripserant litteras. Nestorius sibi ipsi obsecutus est. Et quoniam sciebat ecclesiarum præsules Ecclesia ita turbata haudquaquam tacituros, Theodosium permovit, ut sacram ad Cyrillum mitteret, in qua multa illi objiciebat, et multa minabatur, nisi in Nestorii decretis aquiesceret. Et cum talibus litteris se illum pessumdaturum existimaret, magis etiam commotum excitavit. Accepto namque Spiritu divino Cyrillus, ad ipsum imperatorem et Augustas libellos docte compositos misit, quibus simul certam rectæ fidei professionem, et perversam Nestorii vecordiæ opinionem ostendit : tum autem, ut synodus universalis cogereretur petiit, ut Nestorii res certo in apertum proferrentur.

A ἂν ἐδεήθη προσφορᾶς ὁ μὴ εἰδὼς ἁμαρτίαν), ἀνάθεμα ἔστω. Εἴ τις οὐχ ὁμολογεῖ τὴν τοῦ Κυρίου σάρκα ζωοποιὸν εἶναι, καὶ ἰδίαν αὐτοῦ τοῦ ἐκ Θεοῦ Πατρὸς Λόγου, ἀλλ' ὡς ἑτέρου τινὸς παρ' αὐτόν· συνημμένου μὲν αὐτῷ κατὰ τὴν ἀξίαν, ἤγουν ὡς μόνην θείαν ἐνοίκησιν ἐσχηκότος, καὶ οὐχὶ δὴ μᾶλλον ζωοποιὸν, ὡς ἔφημεν, ὅτι γεγόνει τοῦ Λόγου τοῦ τὰ πάντα ζωογονεῖν ἰσχύοντος, ἀνάθεμα ἔστω. Εἴ τις οὐχ ὁμολογεῖ τὸν τοῦ Θεοῦ Λόγον παθόντα σαρκὶ, καὶ ἐσταυρωμένον σαρκὶ, καὶ θανάτου γευσάμενον σαρκὶ, γεγονότα τε πρωτότοκον ἐκ τῶν νεκρῶν, καθὸ ζωή τέ ἐστι καὶ ζωοποιὸς ὡς Θεὸς, ἀνάθεμα ἔστω. » Κελεστῖνος δ' ὁ τῆς Ῥώμης ἐπίσκοπος τὰ τοῦ θείου Κυρίλλου δεξάμενος γράμματα, ἔτι δὲ καὶ τὰς δυσφημίας Νεστορίου, γράφει Νεστορίῳ μετὰ δέκα παραB δρομὴν ἡμερῶν, εἰ ἔτι τῇ ἴσῃ δυσσεβείᾳ ἐπιμένοι, μηκέτι εἶναι κοινωνικὸν, ἢ ὅλως τοῦ καταλόγου τῶν ἱερέων Χριστοῦ· ἐκείνους δὲ μᾶλλον εἶναι παραδεκτέους εἰς κοινωνίαν, οἳ τῷ τῆς ὀρθῆς πίστεως ὑπερίστασθαι, ἀκοινώνητοι ὑπ' ἐκείνου κατέστησαν. Οὐ μόνον δὲ Νεστορίῳ Κύριλλός τε καὶ Κελεστῖνος ἔγραψαν, ἀλλὰ καὶ Ἰωάννῃ τῷ Ἀντιοχείας, ὃς Θεόδοτον διεδέξατο, καὶ Ἰουβεναλίῳ τῷ Ἱεροσολύμων, τὰ τῆς αἱρέσεως Νεστορίου παραδιδόντες. Ἀλλὰ μὴν καὶ Ἰωάννης καὶ αὐτὸς Νεστορίῳ ἐπιστολὴν ἔπεμπε, παραινῶν, μὴ τῶν πατρίων ἐξίστασθαι, ὀρθῶς δ' ὁμολογεῖν τὸν Υἱὸν τοῦ Θεοῦ ἐκ τῆς ἁγίας γεννηθῆναι Θεοτόκου Μαρίας, καὶ οὐκ εἰς δύο αὐτὸν μερισθῆναι, ἀλλ' οὐδὲ κατὰ προκοπὴν θεωθῆναι C ὑποβάλλων καὶ τὴν ἀποστολικὴν ῥῆσιν ἥ φησιν, *Ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικός*. Εἰσηγεῖτό τε ἅμα, μὴ τὸ δόξαν ἐκείνῳ ὡς ἀσφαλὲς κατέχειν, ἀλλὰ τὸ κοινῇ συμφέρον μᾶλλον αἱρεῖσθαι. Συναποστέλλει μέντοι ἐκείνῳ καὶ ἅπερ Κελεστῖνός τε καὶ Κύριλλος διεπέμψαντο γράμματα. Εἰς ἑαυτὸν δὲ γενόμενος ὁ Νεστόριος, καὶ γνοὺς ὡς οἱ τῶν ἐκκλησιῶν ἡγεμόνες οὐκ ἀνέχονται σιωπᾶν οὕτω τῆς Ἐκκλησίας ταραττομένης, παρεσκεύαζε Θεοδόσιον, σάκραν πέμπειν Κυρίλλῳ, ἐν ᾗ πλεῖστα ἐμέμφετο καὶ διηπείλει, εἰ μὴ τοῖς ὅροις Νεστορίου ἐμμένοι. Καὶ κατακτυπεῖν ἐντεῦθεν δοκῶν, ἐκεῖνον μᾶλλον ἐρεθίζων διήγειρε· Πνεῦμα γὰρ θεῖον ἀναλαβὼν Κύριλλος, αὐτῷ τε βασιλεῖ καὶ ταῖς βασιλίσσαις γενναίους μάλα λόγους συντεταχὼς, ἔπεμD πεν, ἐν οἷς τό τε τῆς ὀρθῆς πίστεως ἀκριβὲς ὑποδείκνυσι, καὶ τὸ τῆς Νεστορίου φρενοβλαβείας κακόδοξον· ἅμα δὲ καὶ σύνοδον οἰκουμενικὴν ᾔτει συγκροτηθῆναι, ὡς ἂν τὰ κατὰ Νεστόριον ἀσφαλῶς γυμνασθείη.

CAPUT XXXIV

De tertio sancto universali Ephesio concilio, in quo Nestorio episcopatus est abrogatus.

Theodosius imperialibus litteris suis in metropoli Epheso locorum omnium episcopos convenire jussit, sacram Pentecostes diem, qua convenirent,

ΚΕΦΑΛ. ΛΔ'.

Περὶ τῆς ἐν Ἐφέσῳ ἁγίας τρίτης καὶ οἰκουμενικῆς συνόδου· καὶ ὡς καθῃρέθη Νεστόριος.

Καὶ δὴ βασιλικοῖς γράμμασιν ἀνὰ τὴν Ἐφεσίων μητρόπολιν ἁλισθῆναι τοὺς ἁπανταχοῦ ἱερέας ἔγραφε Θεοδόσιος, ἀποφήνας καὶ τῆς συνελεύσεως τὴν ἡμέ-

[1] Galat. IV, 4.

ραν εἶναι τὴν ἁγίαν Πεντηκοστὴν, ἐν ᾗ τὸ ζωοποιὸν τοῖς ἱεροῖς ἀποστόλοις ἐπεφοίτησε Πνεῦμα· καὶ ταῦτα τοῖς γράμμασι προστιθείς· « Ὡς οὐδεμίαν ἕξει πρὸς Θεὸν, οὐδὲ πρὸς ἡμᾶς ἀπολογίαν, ὁ μὴ παραχρῆμα κατ' αὐτὴν τὴν ἡμέραν τῆς ἁγίας Πεντηκοστῆς εὑρισκόμενος· ὁ καλούμενος γὰρ, φησὶν, εἰς ἱερατικὴν σύνοδον καὶ μὴ προθύμως συντρέχων, οὐκ ὀρθῆς δείκνυται συνειδήσεως. » Ὁ μὲν οὖν Νεστόριος ἅτε δὴ οὐ πόῤῥω τῆς Ἐφεσίων ἀφεστηκὼς, σὺν ὄχλῳ πολλῷ εὐθὺς μετὰ τὴν ἑορτὴν τοῦ Πάσχα ἀνὰ τὴν Ἔφεσον ἔφθανεν, πολλοὺς ἐκεῖσε συνιόντας τῶν ἐπισκόπων εὑρών. Ἀπήντα δὲ καὶ Κύριλλος σὺν τοῖς μετ' αὐτοῦ πρὸ τῆς ἀγγελθείσης ἡμέρας. Ἰουβενάλιος δὲ μετὰ πέμπτην ἡμέραν τῆς Πεντηκοστῆς ἔφθανε σύναμα τοῖς Παλαιστινοῖς ἐπισκόποις· οἷς ἀθροιζομένοις ὁ περιβόητος καὶ μέγας Εὐθύμιος Πέτρῳ τῷ τῶν Σαρακηνῶν ἐπισκόπῳ ἀπιόντι ἐνεκελεύετο, Κυρίλλῳ τῷ τῆς Ἀλεξάνδρου προέδρῳ καὶ Ἀκακίῳ τῷ Μελιτινῆς ἐπισκόπῳ καθάπαξ ἕπεσθαι, ἐπειπὼν, ὅτι στύλοι καὶ ὄροφοι τῆς ὀρθῆς οὗτοι ὑπάρχουσι πίστεως. Κελεστῖνος δ' ὁ τῆς Ῥώμης ἐπίσκοπος διὰ τὰ κατὰ θάλατταν προσδοκώμενα παρῃτεῖτο δι' ἑαυτοῦ τῇ συνόδῳ παραβαλεῖν. Ἔγραφε δὲ Κυρίλλῳ, προτρέπων καὶ τὸν ἐκείνου τόπον ἐπέχειν· ἐξ οὗ λόγος καὶ τὸ τῆς μίτρας ἐπίθεμα εἰληφέναι, καὶ τὴν τοῦ πάππα προσηγορίαν λαβεῖν, καὶ τῆς οἰκουμένης κριτὴν ὀνομάζεσθαι· κἀκεῖθεν ἐπὶ διαδοχὴν προελθεῖν ταῦτα, καὶ τοῖς κατὰ κλῆρον εἰληχόσι τὸν τῆς Ἀλεξάνδρου θρόνον ἱεροῖς ἐπισκόποις. Μόνος δ' Ἰωάννης ὁ τῆς Ἀντιόχου πρόεδρος πολλῷ τῆς προθεσμίας ὑστέρησε, καὶ οἱ ἀμφ' αὐτὸν ἑῷοι ἐπίσκοποι· οὔτι ἑκὼν, ὡς πολλοῖς ἀπολογούμενος ἔλεγεν· ἀλλ' ὅτι μὴ τάχος ἀθροῖσαι τοὺς περὶ αὐτὸν ἐπισκόπους αὐτῷ ἐξεγένετο· πολλῷ γὰρ διίστανται διαστήματι αἱ ὑπ' αὐτὸν πόλεις τῆς πάλαι μὲν Ἀντιοχείας, νυνὶ δὲ Θεουπόλεως· ὡς εἶναι τὸ διάστημα ἡμερῶν ἀνδρὶ εὐζώνῳ δυοκαίδεκα καὶ μικρόν τι πρός· διέχειν δὲ καὶ τὴν Ἀντιόχου τῆς Ἐφεσίων μητροπόλεως ὁδὸν ἡμερῶν τριάκοντα μάλιστα· καί γε διισχυρίζετο, μή ποτε φθάσαι τὴν ὡρισμένην, εἰ τὴν νέαν καλουμένην Κυριακὴν οἱ περὶ αὐτὸν ἀνὰ τοὺς οἰκείους διετέλεσαν θρόνους. Ὡς δὲ μετὰ τὴν προθεσμίαν καὶ ἡμέραι διίππευσαν πεντεκαίδεκα, καὶ οἱ περὶ τὸν Ἀντιοχείας οὐκ ἔφθησαν, πολλῶν ἐπισκόπων νόσοις καὶ ἄλλοις δή τισι πιεζομένων δεινοῖς, ἁλίζονται κοινῇ ψήφῳ κατὰ τὴν εἰκοστὴν τοῦ Ἰουνίου μηνὸς τριάκοντα καὶ ἑκατὸν ἐπίσκοποι, ἔτει μὲν ἀπὸ κτίσεως κόσμου πεντακισχιλιοστῷ ἐννακοσιοστῷ πεντεκαιδεκάτῳ, ἀπὸ δὲ τῆς δευτέρας συνόδου ἑνὸς ἔτους καὶ τεσσαρακοστοῦ διελθόντος· Ἰουβεναλίου παρόντος καὶ τοῦ θείου Κυρίλλου, καὶ τὸν τόπον ἐπέχοντος· Κελεστίνου τοῦ τῆς πρεσβυτέρας Ῥώμης τὸν θρόνον, ὡς εἴρηται, πρυτανεύοντος. Καὶ κατὰ μὲν τὴν πρώτην παρῆν καὶ Νεστόριος. Καὶ ἐπεὶ ἀνεκινεῖτο τὸ κατ' αὐτὸν ζήτημα, Κύριλλος ὁ τῆς Ἀλεξάνδρου γενναίως βάλ-

constituens. In ea quippe die Spiritus vivificator ad sanctos Apostolos pervenit. Litteris ipsis illud quoque adjecit, neminem se vel apud Deum vel apud homines excusaturum esse, qui non statim ad designatam sanctæ Pentecostes diem præsto ibi esset. **512** « Qui namque, inquit, ad episcopalem sacrum conventum vocatus non alacriter accurrit, non bonæ is conscientiæ esse apparet. » Nestorius, qui non longe ab Epheso abesset, cum turba multa statim post festum Paschæ diem Ephesum venit, multos ibi jam congregatos episcopos reperiens. Cyrillus quoque vero cum suis ante destinatum diem affuit. Quinta post Pentecosten die, Juvenalis cum Palæstinis episcopis venit. Quibus ita convenientibus, celebris et magnus ille Euthymius Petro Saracenorum episcopo abeunti præcepit, ut Cyrilli Alexandrini et Acacii Melitinensis omnino sententiam sequeretur, columnas et fastigia rectæ fidei eos esse testatus. Cœlestinus autem Romæ episcopus, propter navigationis pericula, ipse synodo adesse detrectavit : ad Cyrillum tamen, ut locum ibi suum obtineret, scripsit. Ex quo tempore, fama est, mitram illum et papæ appellationem, atque ut orbis universi judex appellaretur, accepisse; quæ deinde omnia per successionem ad eos etiam pervenerint, quibus sorte Alexandrinæ ecclesiæ thronus legitime obvenisset, sacros episcopos. Solus Joannes Antiochenus antistes cum Orientalibus suis episcopis, longe etiam post diem constitutum, tardius affuit : non dedita ille opera moratus, sicuti se pluribus verbis excusavit : sed quod tam celeriter episcopos qui sub eo essent, cogere non potuit. Magis enim locorum intervallis ditionis ejus urbes distant, ab ea quæ olim quidem Antiochia (1), nunc autem Theopolis dicta est. Duodecim namque dierum itinere, et aliquo prætcrea exiguo, homini expedito et succincto absunt. Tum autem Antiochia ipsa Epheso triginta dierum via maxime distat. Confirmavit ille etiam, ad designatum se non venturum fuisse diem, si novo qui dicitur Dominico die collegæ sui in sedibus suis esse perseverassent. Ubi vero post diem constitutum dies quindecim præteriere, et Antiochenus præsul non advenit, multique episcopi morbis et ærumnis aliis pressi sunt, de communi sententia vigesimo mensis Junii die episcopi congregati sunt circiter centum et triginta, a condito mundo quinquies millesimo noningentesimo decimo quinto (2), **513** a secunda autem synodo quadragesimo et uno anno, præsente Juvenali et divino Cyrillo, qui Cœlestini locum tenuit, seniores Romæ (ut diximus) episcopi. Die primo Nestorius etiam præsto fuit. Atque ubi de quæstione ejus agi cœptum est, Cyrillus Alexandrinus in prima velitatione jacula fortiter jaciens, Nestorium admodum perstrinxit. Hostili enim

(1) Justinianus Antiochiam post terræmotum auspicatiore nomine Theopolim vocavit.

(2) Secundum neotericos 4412, qui in computatione annorum secundæ et tertiæ synodo intercedentium cum hac quoque ratione non conveniunt.

jamdudum erga eum erat animo. Et cum Christo sententiis suis divinitatem multi tribuerent, unumque et eumdem esse Filium, ex Patre quidem ante sæcula genitum, extremis autem temporibus ex perpetua Virgine hominem factum, neque alium atque alium, sed unum atque eumdem, et virginem Mariam proprie et vere Θεοτόκον Dei Genitricem dicendam esse assererent, assurgens Nestorius : « Ego, inquit, bimestrem aliquem et trimestrem Deum non dixerim. Proinde purus sum a sanguine vestro, et amplius ad vos non veniam. » His verbis dictis, cum sex episcopis egressus est, et deinceps cum illis convenire solitus fuit : aliis quoque assumptis, qui pravam ejus fidem sequebantur. Ita synodus deinceps in partes duas divisa est. Cyrillus, et qui cum eo erant, postridie concilio coacto, ut mos est, tribus episcopis missis, Nestorium ut in conventum veniret citarunt. Ille id contempsit et haudquaquam comparuit, synodum in Antiocheni episcopi adventum differens. Ut autem ille iterum atque tertio vocatus, responsum nullum, quo se defenderet, dedit, et conviciis atque contumeliis eos qui ad se missi erant remisit : synodus sancta trecentorum illorum et decem octo divinorum Patrum symbolum in medium, et Cyrilli atque Nestorii, quas ultro citroque de dogmate dederant litteras, sacram item illam Cœlestini ad ipsum Nestorium scriptam epistolam protulit. Atque ubi Theodotus Ancyranus et Melitinensis Acacius blasphema ejus verba, quibus aperte Ephesi multis præsentibus usus fuerat, indicavere, et multæ eximiorum et sanctorum virorum voces auditæ, insuperque alia Nestorii impie dicta congesta sunt, impium illum exauctoravit, sententia hisce verbis concepta : **514** « Cum præter alia reverendissimus Nestorius, neque vocationi nostræ audiens esse voluerit, neque a nobis missos sanctissimos et piissimos episcopos admiserit, necessario eo descendimus, ut de impietate ejus inquireremus. Et quoniam cum ex epistolis et scriptis ejus, quæ lecta etiam sunt : atque item ex verbis, quibus in metropolitana hac urbe usus est : tum ex testium dictis, impie eum et sentire et docere deprehendimus : necessitate nobis a canonibus, et sanctissimi Patris collegæque nostri Romani Ecclesiæ episcopi epistola, imposita, diu multumque lacrymantes, ad tristem hanc pervenimus sententiam. Qui igitur ab eo blasphemiis expetitus est, Dominus noster Jesus Christus, per præsentem sanctam synodum decrevit, Nestorium a dignitate episcopali, et sacerdotali conventu omni esse alienum. »

A λων τοῖς ἀκροβολισμοῖς, ἐκείνου μάλα καθήπτετο· καὶ γὰρ ἀπεχθῶς πρὸς αὐτὸν ἐκ πολλοῦ εἶχε. Πολλῶν δὲ τὸν Χριστὸν θεολογούντων, καὶ ἕνα καὶ τὸν αὐτὸν εἶναι Υἱὸν, τὸν ἐκ Πατρὸς μὲν πρὸ αἰώνων πρότερον γεννηθέντα, καὶ ἐπ' ἐσχάτων δὲ τῶν χρόνων, ἐκ τῆς Ἀειπαρθένου γενόμενον ἄνθρωπον, καὶ οὐκ ἄλλον καὶ ἄλλον, καὶ Θεοτόκον κυρίως καὶ ἀληθῶς τὴν παρθένον Μαρίαν ἀποφηναμένων, παρὼν ὁ Νεστόριος, « Ἐγὼ, φησὶ, τὸν γενόμενον διμηνιαῖον καὶ τριμηνιαῖον οὐκ ἂν Θεὸν ὀνομάσαιμι· καὶ διὰ τοῦτο καθαρός εἰμι ἀπὸ τοῦ αἵματος ὑμῶν· καὶ ἀπὸ τοῦ νῦν πρὸς ὑμᾶς οὐκ ἐλεύσομαι. » Ταῦτ' εἰπὼν, μετὰ ἓξ ἐπισκόπων ἐξῆλθε, καὶ τοῦ λοιποῦ μετ' αὐτῶν συνηθροίζετο, καὶ ἄλλους προσειληφὼς τῇ ἐκείνου κακοπιστίᾳ ἑφεπομένους. Καὶ διχῇ τὸ λοιπὸν ἡ B σύνοδος διῃρεῖτο. Οἱ δὲ περὶ Κύριλλον τῇ ἑξῆς συνέδριον ποιησάμενοι, ὡς ἔθος, τρεῖς τῶν ἐπισκόπων διαπεμψάμενοι, μετεστέλλοντο Νεστόριον εἰς τὴν σύνοδον ἀπαντᾷν. Ὁ δὲ κατωλιγώρει καὶ οὐδαμῶς παρεγίνετο, μετεωρίζων τὴν σύνοδον εἰς τὴν τοῦ Ἀντιοχείας δῆθεν ἐπέλευσιν. Ὡς δὲ καὶ δὶς καὶ τρὶς κληθεὶς, οὐδὲν μὲν πρὸς ἀπολογίαν ἐδίδου, σκώμμασι δὲ καὶ ἀτιμίαις καὶ τοὺς ἀποσταλέντας ὀπίσω ἀνέπεμπεν· ἡ ἁγία σύνοδος τὸ τῶν τριακοσίων δεκαοκτὼ θεοφόρων Πατέρων σύμβολον προῆγεν εἰς μέσον, καὶ τὰς ἐπιστολὰς Κυρίλλου καὶ Νεστορίου ἃς ἀλλήλοις περὶ τοῦ δόγματος διεπέμποντο· ἔτι δὲ καὶ τὴν ἱερὰν ἐκείνην τοῦ Κελεστίνου ἐπιστολὴν πρὸς αὐτὸν Νεστόριον. Ἐπειπόντων δὲ τοῦ τε Θεοδότου C Ἀγκύρας καὶ τοῦ τῆς Μελιτινῆς Ἀκακίου καὶ ἅπερ παῤῥησίᾳ πολλῶν ἐπὶ τῆς Ἐφεσίων ἐβλασφήμησε μητροπόλεως, καὶ ἑτέρων δὲ πολλῶν ῥήσεων ἐκκρίτων ἁγίων ὑφανθεισῶν, ναὶ μὴν καὶ ἄλλων ἐκ τῶν Νεστορίου βλασφημιῶν ἐπισωρευθέντων ῥημάτων, ἡ θεία σύνοδος καθεῖλε τὸν δυσσεβῆ, τάδε λέξεσιν αὐταῖς κατ' αὐτοῦ ἀποφήνασα· « Πρὸς τοῖς ἄλλοις μήτε ὑπακοῦσαι βουληθέντος τοῦ τιμιωτάτου Νεστορίου τῇ ἡμῶν κλήσει, μήτε μὴν τοὺς παρ' ἡμῶν ἀποσταλέντας ἁγιωτάτους καὶ θεοσεβεστάτους ἐπισκόπους προσδεξαμένου, ἀναγκαίως ἐχωρήσαμεν ἐπὶ τὴν ἐξέτασιν τῶν δυσσεβηθέντων αὐτῷ· καὶ φωράσαντες αὐτὸν ἔκ τε τῶν ἐπιστολῶν αὐτοῦ καὶ τῶν συγγραμμάτων τῶν καὶ ἀναγνωσθέντων, ἐκ τῶν ἀρτίως παρ' αὐτοῦ ῥηθέντων κατὰ τήνδε τὴν μητρό- D πολιν, καὶ πρὸς μαρτυρηθέντων δυσσεβῶς φρονοῦντα καὶ κηρύττοντα, ἀναγκαίως κατεπειχθέντες ἀπό τε τῶν κανόνων, καὶ τῆς ἐπιστολῆς τοῦ ἁγιωτάτου Πατρὸς ἡμῶν καὶ συλλειτουργοῦ τοῦ ἐπισκόπου τῆς Ῥωμαίων Ἐκκλησίας, δακρύσαντες πολλάκις, ἐπὶ ταύτην τὴν σκυθρωπὴν ἐχωρήσαμεν ἀπόφασιν. Ὁ βλασφημηθεὶς τοίνυν παρ' αὐτοῦ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὥρισε διὰ τῆς παρούσης ἁγίας συνόδου ἀλλότριον εἶναι τὸν αὐτὸν Νεστόριον τοῦ τε ἐπισκοπικοῦ ἀξιώματος καὶ παντὸς συλλόγου ἱερατικοῦ. »

ΚΕΦΑΛ. ΛΕ'.

Ὡς μετὰ τρίτην ἡμέραν Ἰωάννης ὁ Ἀντιοχείας καὶ Θεοδώρητος ἐλθόντες καθεῖλον Κύριλλον καὶ Μέμνονα τὸν Ἐφέσου· ἡ δὲ σύνοδος τοὺς καθελόντας αὖθις καθεῖλε· καὶ ὡς ἀντεῖπε Θεοδώρητος τοῖς δώδεκα κεφαλαίοις Κυρίλλου, καὶ αὖθις τούτοις ἀντεῖπε Κύριλλος· καὶ εἰς Ὄασιν ὑπερόριος Νεστόριος γίνεται· καὶ Ἰωάννης καὶ Κύριλλος ὁμονοεῖν ἔγνωσαν· κυρώσαντες ἄμφω βασιλέως κελεύσει τὴν Νεστορίου καθαίρεσιν· καὶ ἐπιστολὴ Κυρίλλου ἣν διὰ Παύλου Ἐμέσης τῇ ἐκκλησίᾳ Ἀντιοχέων ἔγραψεν.

Μετὰ γοῦν τὴν ἔννομον ταύτην ἀπόφασιν καὶ Ἰωάννης ὁ τῆς Ἀντιόχου ἐφίσταται, ὑστερήσας τρίτην ἡμέραν τῆς καθαιρέσεως σὺν τοῖς ἀμφ' αὐτὸν ἱερεῦσι, δύο πρὸς τοῖς εἴκοσιν οὖσι· καὶ γνοὺς τὰ γεγενημένα, Κυρίλλῳ λίαν ἀπήχθετο, θερμῶς οὕτω B τὴν Νεστορίου καθαίρεσιν σχεδιάσαντι. Καὶ δὴ τῆς συνόδου ἑαυτὸν ἀποδιαιρήσας, καὶ σύναμα Νεστορίῳ καθίσας συνέδριον, καθαιρεῖ Κύριλλον, ὡς ἐδόκει, καὶ Μέμνονα τὸν Ἐφέσου. Λιβέλλων δὲ παρὰ Κυρίλλου καὶ Μέμνονος δεδομένων τῇ ἅμα σφίσιν ἀθροισθείσῃ συνόδῳ, εἰ καὶ Σωκράτης ἄλλως ἀγνοήσας ἱστόρησε, μεταστέλλεται Ἰωάννης, καὶ οἱ ἀμφ' αὐτὸν λόγους δώσοντες ἐπὶ τῇ παραλόγῳ καθαιρέσει, ἣν διεπράξαντο. Ἐκείνου δὲ μηδαμῶς ἀπαντήσαντος μετὰ τρίτην κλῆσιν, ὡς εἴωθε, Κύριλλος μὲν καὶ Μέμνων τῆς παραλόγου καθαιρέσεως ἀπολύονται παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου· οἱ δὲ καθελόντες μάλιστα δεσμῶται γίνονται· τῆς τε γὰρ θείας ἀποκρίνονται κοινωνίας, καὶ πάσης ἱερατικῆς αὐθεντίας βάλλονται ποῤῥωτέρω· C ὅ τε Ἰωάννης δηλαδὴ καὶ οἱ σὺν αὐτῷ ἱερεῖς, ἐν οἷς ἦν καὶ ὁ Κύρου σοφὸς Θεοδώρητος· ἕως οὗ κατεγνωκότες αὐτῶν, τὸ οἰκεῖον σφάλμα ὁμολογήσωσιν. Ὅ γε μὴν Θεοδώρητος ὑπὲρ Ἰωάννου δῆθεν ἀχθόμενος, Κυρίλλου κατέτρεχεν· ἀνατρέπων καὶ ἃ ἐν τῇ τρίτῃ πρὸς Νεστόριον ἐπιστολῇ κεφάλαια γέγραφε δυοκαίδεκα Κύριλλος, ταῦτα παρεξηγούμενος· ἐν οἷς οὐ καλῶς δρῶν, εὐθύνεται Νεστορίῳ τὰ μάλιστα συναιρόμενος. Πρὸς ἅπερ αὖθις γενναίως διαναστὰς Κύριλλος, ὑπὲρ τῶν εἰρημένων κεφαλαίων διαγωνίζεται, ὡς χρεὼν ἑρμηνεύων αὐτὰ, καὶ τὸν ἐγκείμενον τούτοις ἀνακαλύπτων σκοπόν. Τούτων δὲ πάντων βασιλεῖ ἐξ ἀμφοτέρων ἀνενεχθέντων μερῶν, παρῆσαν ἐπίσκοποι τὰ παρ' ἑκάστοις γενόμενα διαγγέλλοντες. D Ὁ δὲ βασιλεὺς τὰ μὲν πρῶτα τὴν Νεστορίου καθαίρεσιν οὐ προσίετο· οἱ γὰρ τῆς Ἑῴας ἀρχιερεῖς Νεστόριον μεθ' ἑαυτῶν συλλαβόμενοι, ἐπὶ τρίτον χρόνον βίᾳ ἐπισκοποῦντα εἶχον· τῷ δὲ τετάρτῳ τῆς ἐκείνου καθαιρέσεως ἔτει ὁ τῆς Ἀντιόχου Ἰωάννης τὸ τοῦ Θεοῦ δείσας κατάκριμα, ὁρῶν δὲ καὶ πολλοὺς τῇ ἐκείνου κακοδοξίᾳ διεφθορότας, ἐδήλου Θεοδοσίῳ τῷ αὐτοκράτορι, ὅσον τάχος τῆς Ἕω αὐτὸν ἀπελαύνειν. Καὶ ὃς τὴν ἐκείνου βλασφημίαν ἀκριβῶς ἐγνωκὼς, εὐθὺς αὐτὸν μὲν εἰς Ὄασιν φυγάδα ἐποίει· γράμμασι δ' εὐσεβέσιν ἐχρῆτο πρός τε Κύριλλον καὶ Ἰωάννην, ὥστε πρὸς ἀλλήλους συμβῆναι, ἐπικυροῦν τε ἄμφω τὴν Νεστορίου καθαίρεσιν, καὶ διχονοίας πάσης ἀπαλλάττειν τὰς ἐκκλησίας Θεοῦ. Νεστόριος

CAPUT XXXV.

Ut triduo post Joannes Antiochenus et Theodoritus advenientes, Cyrillum et Memnonem Ephesinum episcopali dignitate privarint: synodus autem ipsos id ausos, rursum episcopatu abire jusserit. Ut Theodoritus contra duodecim Cyrilli capita dixerit, huicque rursus Cyrillus responderit. Ut Nestorius Oasim exsulatum ierit. Ut Joannes et Cyrillus in gratiam reducti idem senserint, et jussu imperatoris Nestorii abrogationem ratam habuerint. Epistola Cyrilli, quam per Paulum Emesenum ecclesiæ Antiochenæ scripsit.

Post latam hanc legitimam sententiam, Joannes Antiochenus cum sacerdotibus et episcopis suis duobus et viginti, triduo a Nestorii exauctoratione advenit. Et re sicuti acta fuerat cognita, Cyrillo valde succensuit, qui sic ad Nestorium exauctorandum deproperasset. Et facta a synodo discessione, consilioque cum Nestorio coacto, Cyrillo et Memnoni Ephesi episcopo, sicuti illi videbatur, dignitatem abrogavit. Cyrillus et Memnon, postquam libellos suos synodo, quæ cum eis congregata fuerat, obtulerunt (quamvis Socrates per ignorantiam aliter scripserit), Joannes una cum suis evocatus est, ut rationem de exauctorationis sententia, quam illegitime tulisset, redderet. Ubi vero ille non comparuit, post tertiam citationem, sicuti mos est, Cyrillus quidem et Memnon a sancta universali synodo, ab exauctorationis sententia præter rationem lata absoluti sunt: et qui eos exauctoraverant maxime vinculis obstringuntur. Nam et a divina communione sunt exclusi, et sacerdotalis eis auctoritas omnis adempta, **515** Joanni videlicet, et qui in partibus ejus erant episcopis, in quibus etiam fuit sapiens ille Theodoritus Cyri episcopus: donec seipsos condemnantes, erratum suum profiteantur. Theodoritus sane Joannis vicem ægre ferens, in Cyrillum invectus est: confutans etiam, quæ tertiæ ad Nestorium epistolæ duodecim capita Cyrillus adjunxerat perperam ea exponendo. Quod cum non rite fecerit, Nestorio quam maxime patrocinari judicatus est. Adversus quod scriptum Theodoriti, ea quæ diximus capita Cyrillus docte tutatus est, ea pro eo atque decuit interpretando, et latentem in eis sententiam declarando. Hæc omnia cum ab utraque parte ad imperatorem sunt relata, tum episcopi eidem præsto fuere, qui acta factionis utriusque renuntiarunt. Imperator primum Nestorii exauctorationem ratam non habuit. Orientales enim episcopi Nestorium secum abductum in annum tertium per vim in episcopatu retinuere. Quarto autem ab illius exauctoratione anno, Joannes Antiochenus judicium Dei metuens, et multos præterea prava Nestorii opinione corruptos videns, Theodosio imperatori, ut quamprimum eum ex Orientali ditione ejiceret, significavit. Et imperator postquam blasphemiam illius certo cognovit, confestim Nestorium quidem Oasim deportari jussit. Ad Cyrillum autem et Joannem pie scriptas litteras dedit, ut cum inter se consen-

tirent, tum uterque latam adversus Nestorium exauctorationis sententiam confirmaret, et dissidio omni ecclesias Dei liberaret. Porro Nestorius ubi communionem, quæ sibi cum Joanne Antiocheno intercesserat, in contentionem et dissidium evasisse cognovit, pœnitentia ductus, Mariam Θεοτόκον, Dei Genitricem vocavit: Dicatur, inquiens, etiam Dei Genitrix Maria, et contentiones tristes facessant. Verum nemo prorsus id eum per pœnitentiam dixisse arbitratus est. Joannes Antiochenus episcopus imperiali jussioni cedens, Paulum Emesenum episcopum Alexandriam ad Cyrillum cum libello misit, in quo germana et sincera fidei professio, necnon amicitiæ conciliatio, et scandalorum seu offendiculorum amolitio expressa est. Venerandus autem ille Cyrillus libello accepto, atque professione fidei ei inserta comprobata, et veteres sanctos Patres, et seipsum ita sensisse confirmavit; atque epistola ea vehementer laudata, **516** hisce verbis Joanni rescripsit: « Lætentur cœli, et exsultet terra. Dirutum enim est interstitium maceriæ: et quod mœrorem fecit, conquievit: modusque discordiæ omnis sublatus est, eo quod Servator omnium nostrum Christus, ecclesiis suis pacem conciliavit, et ad eam nos piissimi et Dei amantissimi principes vocarunt. Qui majorum pietatis æmulatores optimi, cum ipsi in statu suo certam atque immotam conservant fidam rectam, tum præcipuam de sanctis ecclesiis gerunt curam, ut simul et præclaram in ævum gloriam habeant, et quam celeberrimam imperii sui administrationem reddant. Quibus etiam ipse virtutum Dominus manu liberali bona tribuit: simulque dat, ut et adversariis imperent, et victoriam ab eis reportent. Non enim fallit is qui dicit: *Vivo ego*, dicit Dominus [1], *quoniam glorificantes me glorificabo.* Cum igitur Alexandriam venisset dominus meus, piissimus frater et collega Paulus, animi voluptate et gaudio repleti sumus: ac merito quidem, quod tantus scilicet vir partes suas ut mediator interponeret, et supra vires tantum laborem adiret, ut diaboli invidiam superaret, ea quæ divisa erant conjungeret, et sublatis e medio scandalis atque offendiculis, concordiæ et pacis corona vestras simul et nostras cohonestaret ecclesias. » Et post alia. « Quod vero superflua prorsus et importuna Ecclesiæ, præterque causam suscepta discordia fuerit, nunc maxime certiores facti sumus, ex quo piissimus dominus meus Paulus episcopus libellum extra calumniæ aleam positum attulit, fidei professionem complectentem: quem a sanctitate tua et piissimis isthic episcopis compositum esse confirmavit. » Libellus is quibus conscriptus erat verbis, epistolæ adjunctus fuit. Porro de Dei Genitrice, et quæ sequuntur: « Sanctis hisce vocibus vestris lectis, ita nos quoque ipsos sentire invenimus. Unus enim est Dominus, una fides,

A δὲ γνοὺς τὴν κοινωνίαν εἰς φιλονεικίαν προβᾶσαν, μεταμέλῳ χρώμενος Θεοτόκον τὴν Μαρίαν ἐκάλει, Λεγέσθω, λέγων, καὶ Θεοτόκος ἡ Μαρία, καὶ παυσάσθω τὰ λυπηρά. Ἀλλ' οὐδεὶς αὐτὸν τοιαῦτ' ἐκ μετανοίας λέγοντα δῆθεν τὸ παράπαν προσίετο. Ἰωάννης δὲ ὁ τῆς Ἀντιόχου τῷ βασιλικῷ κελεύσματι εἴκων, Παῦλον τὸν Ἐμέσης ἐπίσκοπον εἰς Ἀλεξάνδρειαν πρὸς Κύριλλον ἔπεμπε χάρτην φέροντα· ἐν ᾧ ἥ τε τῆς πίστεως ὁμολογία ἀνόθευτος ἐγκεχάρακτο, καὶ λόγοι φιλίας καὶ σκανδάλων ἀπόθεσις. Ὁ δὲ θεσπέσιος Κύριλλος τὸν χάρτην εἰς χεῖρας λαβὼν, καὶ τῇ ἐγκειμένῃ τῆς πίστεως ὁμολογίᾳ στοιχήσας, διεβεβαιοῦτο ἐπίσης ταύτῃ, καὶ τοὺς ἐκ πάλαι ἁγίους Πατέρας πεφρονηκέναι καὶ ἑαυτόν. Σφόδρα δ' ἐπαινέσας τὴν ἐπιστολὴν, ἐπὶ ῥήματος καὶ αὐτὸς B τῷ Ἰωάννῃ ἔγραφε τοιάδε· « Εὐφραινέσθωσαν οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ· λέλυται γὰρ τὸ μεσότοιχον τοῦ φραγμοῦ, καὶ πέπαυται τὸ λυποῦν, καὶ διχονοίας τρόπος ἀνῄρηται πάσης, τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ ταῖς ἑαυτοῦ ἐκκλησίαις τὴν εἰρήνην βραβεύσαντος· κεκληκότων δὲ πρὸς τοῦτο ἡμᾶς καὶ τῶν εὐσεβεστάτων καὶ θεοφιλεστάτων βασιλέων, οἳ προγονικῆς εὐσεβείας ἄριστοι ζηλωταὶ γεγονότες, ἀσφαλῆ μὲν καὶ ἀκατάσειστον ἐν ἰδίαις τύχαις τὴν ὀρθὴν φυλάττουσι πίστιν, ἐξαίρετον δὲ ποιοῦνται φροντίδα τὴν ὑπὲρ τῶν ἁγίων ἐκκλησιῶν, ἵνα καὶ διαβόητον ἔχωσιν εἰς αἰῶνα τὴν δόξαν, καὶ εὐκλεεστάτην ἀποφαίνωσι τὴν ἑαυτῶν βασιλείαν. Οἷς καὶ αὐτὸς ὁ τῶν δυνάμεων Κύριος πλουσίᾳ χειρὶ C διανέμει τὰ ἀγαθά· δίδωσι μὲν κρατεῖν τῶν ἀνθεστηκότων, χαρίζεται δὲ τὸ νικᾷν. Οὐ γὰρ ἂν διαψεύσαιτο ὁ λέγων· *Ζῶ ἐγὼ, λέγει Κύριος, ὅτι τοὺς δοξάζοντάς με δοξάσω.* Ἀφικομένου τοίνυν εἰς τὴν Ἀλεξάνδρειαν τοῦ κυρίου μου τοῦ θεοσεβεστάτου ἀδελφοῦ καὶ συλλειτουργοῦ Παύλου, θυμηδίας ἐμπεπλήσμεθα· καὶ σφόδρα εἰκότως, ὡς ἀνδρὸς τοιούτου μεσιτεύοντος, καὶ τοῖς ὑπὲρ δύναμιν πόνοις ἑλομένου προσομιλεῖν· ἵνα τὸν τοῦ διαβόλου νικήσῃ φθόνον, καὶ συνάψῃ τὰ διῃρημένα, καὶ τὰ μεταξὺ σκάνδαλα περιελὼν, ὁμονοίᾳ καὶ εἰρήνῃ στεφανώσῃ τάς τε παρ' ἡμῖν καὶ παρ' ὑμῖν ἐκκλησίας. » Καὶ μεθ' ἕτερα· « Ὅτι δὲ περιττὴ παντελῶς, καὶ οὐκ εὐάφορμος τῆς Ἐκκλησίας ἡ διχοστασία γέγονε, νυνὶ μάλιστα πεπληροφορήμεθα, τοῦ κυρίου μου τοῦ θεοσεβεστά- D του Παύλου τοῦ ἐπισκόπου χάρτην προκομίσαντος ἀδιάβλητον, ἔχοντα τῆς πίστεως τὴν ὁμολογίαν· καὶ ταύτην συντετάχθαι διαβεβαιωσαμένου παρά τε τῆς σῆς ὁσιότητος, καὶ τῶν αὐτόθι θεοσεβεστάτων ἐπισκόπων. Ἔχει δὲ οὕτως ἡ συγγραφὴ, καὶ αὐταῖς λέξεσιν ἐντέθειται τῇδε τῇ ἐπιστολῇ. Περὶ δὲ τῆς Θεοτόκου καὶ τὰ ἑξῆς· « Ταύταις ὑμῶν ἐντυχόντες ταῖς ἱεραῖς φωναῖς, οὕτω τε καὶ ἑαυτοὺς φρονοῦντας εὑρίσκοντες· εἷς γὰρ Κύριος, μία πίστις, ἓν βάπτισμα· ἐδοξάσαμεν τὸν τῶν ὅλων Σωτῆρα Θεὸν, ἀλλήλοις συγχαίροντες, ὅτι ταῖς θεοπνεύστοις Γραφαῖς καὶ παραδόσει τῶν ἁγίων Πατέρων ἡμῶν συμβαίνουσαν ἔχουσι πίστιν αἵ τε παρ' ἡμῖν καὶ αἱ

[1] I Reg. II, 30.

παρ' ὑμῖν ἐκκλησίαι.» Ἀλλὰ ταῦτα μὲν φιλοπόνως εὑρεῖν ἔστι τῷ βουλομένῳ, τοῖς τηνικαῦτα πεπραγμένοις ἐπιστῆσαι θελήσαντι.

unum baptisma. Quapropter rerum universarum Servatorem Deum glorificavimus, mutuo nobis congratulantes, quod congruentem cum divinitus inspiratis Scripturis et traditione sanctorum Patrum nostrorum nostræ simul et vestræ ecclesiæ habeant fidem.» **517** Verum hæc qui inquirere volet studiosius, in synodi ejus actis reperiet.

ΚΕΦΑΛ. ΛϚʹ.

Οἷα πεπονθέναι Νεστόριος αὐτὸς περὶ ἑαυτοῦ γράφει· καὶ ὡς εἰς Ὄασιν μυρία κακὰ παθὼν, τέλος σκώληξι τὴν γλῶτταν βρωθεὶς, διεφθάρη.

Ὡς δὲ Νεστόριος ἐξελήλαται, τί τε εἰσέπειτα αὐτῷ ἐγεγόνει, ὅπως τε τὸν τῇδε βίον κατέστρεψε, καὶ τὰ ἐπάξια τῶν βλασφημιῶν ἃ κεκλήρωται γέρα, τοῖς ἱστορήσασιν ἐν ἀδήλῳ· καί γε ἂν ὁ χρόνος λήθης βυθοῖς συνεκάλυψε ταῦτα, εἰ μὴ βίβλῳ ἐκείνου περιτυχεῖν συνέβη· ἐξ ἧς τὴν περὶ τούτων ἱστορίαν ἀνελεξάμην. Καὶ τοίνυν αὐτὸς ὁ τῆς βλασφημίας πατὴρ, ὁ μὴ ἐπὶ τῆς πέτρας, ἀλλ' ἐπὶ τῆς ψάμμου τὸν τῆς ἐκείνου πίστεως θεμέλιον κτίσας, πρός τινας διεγκαλοῦντας μὴ κατὰ τὸ δέον τι καινουργῆσαι, μηδ' ἐπὶ συμφέροντι τὴν ἐν Ἐφέσῳ αἰτῆσαι σύνοδον, γράφει ὑπὲρ τῆς ἰδίας βλασφημίας ἀπολογούμενος, ὡς δι' ἀνάγκης εἰς τοῦθ' ἥκε, τῆς ἁγίας Ἐκκλησίας εἰς δύο διαιρεθείσης· καὶ τῶν μὲν ἀνθρωποτόκον δεῖν λέγεσθαι τὴν Μαρίαν, τῶν δὲ Θεοτόκον· αὐτὸν μέσην ἐπινοῆσαι λέξιν τὴν *Χριστοτόκον*. Διαλαμβάνει δὲ τῇ ἀπολογίᾳ, ὡς τὰ μὲν πρῶτα Θεοδόσιος προσπαθῶν αὐτῷ, τὴν ἐκείνου ἀποβολὴν οὐκ ἐκύρωσεν, ἐπισκόπων δέ τινων ἐκεῖθεν ἐλθόντων, εἰς τὸ οἰκεῖον ἐπανελθεῖν μοναστήριον ἐπετράπη ὃ πρὸ τῆς Θεουπόλεως ἔκειτο· ὅπερ ὀνομαστὶ οὐδαμῶς ἐμνημόνευσε· τὰ Εὐπρεπίου δὲ, ὡς ἔγνων, ὠνόμασται· δυσὶ σταδίοις διέχον τῆς πόλεως· ὅπου δὴ καὶ τετραετῆ αὐτός φησι διανῦσαι τὸν χρόνον πάσης ἀπολαύων τιμῆς. Ἔπειτα διηγεῖται, ὡς Θεοδοσίου θεσπίσματι φυγὰς εἰς Ὄασιν γίνεται. Τὸ δὲ καίριον ἀπεκρύψατο· ὅτιπερ οὐδ' οὕτως ἔχων τῆς βλσφημίας ἠρέμει. Καί τινα δ' ἕτερον λόγον διαλογικώτερον πρός τινα Αἰγύπτιον γράφει, ἐν ᾧ τὰ περὶ τῆς εἰς Ὄασιν φυγαδείας πλατύτερον διεξέρχεται. Ναὶ μὴν καὶ ἐξ ἄλλων γραμμάτων ἑλεῖν ἔστιν ὧν διὰ τὰς βλασφημίας ἀπήλαυσε, τὸν πάντων ἔφορον ὀφθαλμὸν μὴ λαθών· ἃ πρὸς τὸν τηνικαῦτα τῶν Θηβαίων ἡγούμενον ἐδήλου· ὡς ἐπειδὴ μὴ τῆς ἀνηκούσης ἐπεξελεύσεως παρ' ἀνθρώπων ἔτυχε, δίκη Θεοῦ τοῦτον ἀξίως μέτεισι, συμφορᾷ καὶ αἰχμαλωσίᾳ ἐλεεινοτάτῃ περιβαλοῦσα· ὡς δὲ καὶ μειζόνων ἐχρῆν ἐκεῖνον ἀπολαῦσαι ποινῶν, τῆς μὲν ἐκ τῶν Βλεμμύων πείρας ἀφίετο· ἐκείνοις γὰρ ἔτυχε γενόμενος δορυάλωτος· Θεοδοσίου δ' ἐγνωκότος αὐτοῦ τὴν ἐπάνοδον, θεσπίσμασιν ἐκείνου ταῖς Θηβαίων ἐσχατιαῖς γῆν ἐκ γῆς ἀμείβων ᾔει· ἐν οἷς τῇ γῇ προσρηγνύμενος, καὶ καταπατούμενος, ἀξίως τῆς βλασφημίας τὸν τῇδε βίον κατέστρεψεν· ἄλλος τις Ἄρειος τῇ τοῦ βίου καταστροφῇ χρηματίσας, οἷα τἀπίχειρα τῆς εἰς Θεὸν βλασφημίας ἐκδιηγούμενος. Καὶ γὰρ καὶ ἄμφω ἐπίσης Χριστὸν

CAPUT XXXVI.

Qualia se passum esse Nestorius ipse de se scribat; et ut ad Oasim innumerabilibus toleratis ærumnis, postremo corrosa et consumpta a vermibus lingua, interierit.

Postquam Nestorius ejectus est, quid postea ei contigerit, ut vitam præsentem finierit, et digna blasphemiarum præmia tulerit, historici non prodiderunt. Et profecto vis temporis oblivionis profundo hæc immersisset, nisi in librum ejus incidissem, ex quo historiam ejus decerpsi. Itaque ipse blasphemiæ pater, qui non super petra, sed in arena fundamenta fidei suæ jecisset, ad quosdam qui ei objecerant, non recte illum res novas molitum esse, neque ex reipublicæ utilitate, ut Ephesi synodus ageretur, petiisse, defensionem blasphemiæ suæ scripsit, ad eam scilicet necessitatem se pervenisse, Ecclesia sancta in partes duas scissa, dictitans. Et cum alii quidem Mariam Ἀνθρωποτόκον, id est, *Hominis Genitricem:* alii autem Θεοτόκον, hoc est, *Dei Genitricem*, dicendam assererent, se mediam excogitasse vocem Χριστοτόκον, id est, *Christi Genitricem.* In ea defensione refert, Theodosium, propter commiserationem, primum rejectionem ejus auctoritate sua non confirmasse; ubi vero episcopi quidam Constantinopoli venissent, ut in monasterium suum reverteretur, permissum ei esse, quod extra Theopolim situm est. Nomen quidem illius non expressit: ab Euprepio tamen appellationem accepisse legi. Stadiis id duobus ab urbe ea distat, ubi annos quatuor se in honore omni exegisse ait. Deinde commemorat, ut Theodosii sanctione apud Oasim exsulare jussus sit, sed causam exsilii primariam celat: quod videlicet tali etiam rerum suarum statu a blasphemia non destiterit. Alium quoque librum ad Ægyptium quemdam disertius scripsit, in quo de exsilio ad Oasim fusius agit. Ex aliis quoque litteris colligere est, quæ mala propter blasphemias tulerit, cum inspectorem rerum omnium oculum fallere non potuerit, quas litteras ad Thebarum tum præfectum dedit, indicans quandoquidem hominibus condignas pœnas non dederit, divinitus se justa vindicta expetitum esse, atque in ærumnam et captivitatem miserandam maxime incidisse. **518** Cum vero eum majores calamitates experiri oporteret, ex potestate quidem Blemmyarum ille dimissus est (eorum enim captivus fuerat), Theodosii autem, qui rediisse eum intellexerat, jussionibus, in extremis Thebanorum oris, locum ex loco mutans, versatus est. Ubi terra rupta coopertus atque oppressus, vitam hanc pro

eo atque blasphemiæ ejus conveniebat, amisit: Arius alter ultimo vitæ suæ actu habitus, qui quidem satis quæ præmia in Deum jactas blasphemias maneant, declaravit. Uterque sane ex æquo in Christum blasphemus fuit: quem Arius quidem creaturam, iste autem merum hominem esse dixit. Ad quem acta Ephesiæ synodi, quasi Cyrilli versutia et nefanda rerum novatione instituta sint, reprehendentem, perlibenter dixerim: Cur tandem a Theodosio, qui vicem tuam valde miseratus est, postea nullo relicto veniæ loco, expulsus es, et tot ostracismis atque exsiliis multatus, turpiter vitam finivisti, si non de sententia et judicio divino Cyrillus, et qui cum eo fuere episcopi, decretum suum fecere? Et ambo vos quidem jam ex vita hac excessistis: quo tempore, sicuti quidam ex profanis sapientibus dixit, nihil obstat quo minus libera quisque hominum benevolentia, nullo intercedente adversario, colatur (1). Ac tu quidem ut blasphemus, et hostis Dei extremus, ab omnibus damnatus es: ille autem veluti quædam Ecclesiæ tuba, fines terræ personans, et propugnator Ecclesiæ fortissimus, ab omnibus celebratur, et omnibus in ore est. Sedenim ne crimen falsi apud quospiam sustineamus, age illum ipsum in medium producentes, verbis ejus res ejus exponamus; et tu epistolam fac audias, quibus illam litteris, ad eum quem diximus Thebanorum præsidem composuisti, ex Ephesiis de religione sanctissima recentibus actis prolatam. « Oasim, quæ et Ibis dicitur, imperiali sanctione incolimus. » Et post quædam verba infert: « Quandoquidem locus, quem diximus, Barbarorum incursione, captivorum abductione, atque igne et cædibus ex ipsis fundamentis dirutus atque vastatus est, et nos a barbaris derepente nescio quo modo misericordiam consecuti, ita liberi dimissi sumus, ut illi attestatione conjunctis minis nos terrerent, et quamprimum regione ea excedere, utpote quam **519** Mazici (2) post eos, nulla interposita mora, occupaturi essent, juberent, in ditionem Thebanorum, cum captivorum reliquiis, quos ad nos Barbari misericordia moti (quid sibi voluerint, dicere nequeo) adduxerunt, venimus. Atque illi quidem ad optata et placita quisque loca se receperunt. Nos autem ad Panis (3) urbem divertimus, manifesto id indicantes. Veremur namque, ne quis captivitatem nostram consultam molitionem et fraudem esse dicens, calumniose profugisse nos accuset, et alterius criminis machinationem confingat. Ferax enim generis omnis calumniarum est malitia. Quapropter amplitudinem tuam rogamus, ut tibi captivitas nostra, pro eo atque legibus constitutum est, curæ sit: et ne malevolentiæ et fraudi hominum captivum ad injurias et contumelias dedas, ne videlicet omnibus

A ἐβλασφημησάτην. Ἄρειος μὲν γὰρ κτίσμα, οὗτος δὲ ψιλὸν ἄνθρωπον ἀπεκάλει. Πρὸς ὃν τὰ ἐν Ἐφέσῳ μεμφόμενον ὡς οὐ καλῶς γεγενημένα, πανουργίᾳ δὲ Κυρίλλου ἀθέσμῳ ταῖς καινοτομίαις τεχνάζοντος, ἔροιμι ἂν ἡδέως· Τί δή ποτε καίπερ σφόδρα συμπαθῶς σοι διακειμένου Θεοδοσίου ἐξήλασαι, μηδεμιᾶς ἠξιωμένος φειδοῦς, καὶ τόσοις ἐξοστρακισμοῖς παρεβλήθης αἰσχρῶς καταλύσας τὸν βίον, εἰ μὴ θείᾳ κρίσει Κύριλλος καὶ οἱ ἀμφ' αὐτὸν ἱερεῖς ἔπραξαν; καὶ γὰρ καὶ ἄμφω τοῖς ἀπελθοῦσι συνηριθμήθητε, ὅτε ὥς τινι τῶν ἔξω σοφῶν εἴρηται, τὸ μὴ ἐμποδὼν ἀνταγωνίστῳ εὐνοίᾳ τετίμηται. Σὺ μὲν, ὡς βλάσφημος καὶ θεομάχος, ἐσχάτως ἅπασι κατακέκρισαι· ἐκεῖνος δὲ οἷά τις τῆς Ἐκκλησίας σάλπιγξ περιηχοῦσα τὰ πέρατα, καὶ τῆς Ἐκ- B κλησίας πρόμαχος ἀῤῥαγέστατος τοῖς ἁπάντων χείλεσι φέρεται ἅμα καὶ περιᾴδεται. Ἵνα τοίνυν καὶ μή τισι ψεύδους γραφὴν ἐνεγκώμεθα, φέρε αὐτὸν ἐκεῖνον εἰς μέσον ἀγαγόντες, τὰ περὶ αὐτοῦ διεξέλθωμεν. Καί μοι τῆς σῆς ἐπιστολῆς ἄκουε αὐτοῖς γράμμασιν οἷά σοι συντέθειται πρὸς τὸν εἰρημένον τῶν Θηβαίων ἡγούμενον, ἐκ τῶν πρώην περὶ τῆς ἁγιωτάτης θρησκείας ἐν Ἐφέσῳ γεγενημένων. « Ὄασιν τὴν καὶ Ἶβιν ἐκ θεσπίσματος βασιλικοῦ κατοικοῦμεν. » Καί τινων ἐν μέσῳ λεγομένων ἐπάγει· « Ἐπειδὴ δὲ ἐκ βάθρων μὲν ἡ προειρημένη καὶ βαρβαρικῆς αἰχμαλωσίας καὶ πυρὶ καὶ σφαγαῖς ἐκλελίκμηται· ἡμεῖς δὲ παρὰ τῶν βαρβάρων οἶκτον οὐκ οἶδ' ὅπως ἐξαίφνης ἐφ' ἡμῖν ἀνα- C λαβόντων ἀπολελύμεθα, μετὰ τοῦ καὶ διαμαρτυρίαις ἡμᾶς ἀπειλητικαῖς καταπλῆξαι διὰ τάχους τὴν χώραν ἐκδραμεῖν, ὡς Μεζίκων αὐτὴν μετ' αὐτοὺς ἀμελλητὶ παραληψομένων, ἥκομεν εἰς τὴν Θηβαίων μετὰ τῶν αἰχμαλώτων λειψάνων, οὓς ἡμῖν οἱ βάρβαροι κατ' οἶκτον προσήγαγον, τί βουλόμενοι λέγειν οὐκ ἔχω. Οἱ μὲν οὖν πρὸς τὰς καταθυμίους ἑκάστῳ διαγωγὰς ἀπολέλυνται· ἡμεῖς δὲ φανεροὺς ἑαυτοὺς ἐγκαθιστῶμεν τῇ Πανὸς ἐπιστάντες. Δεδοίκαμεν γὰρ μή τις ἡμῶν πραγματείαν τὴν αἰχμαλωσίαν ποιούμενος, ἢ φυγάδα καθ' ἡμῶν ἀναπλάσῃ διαβολὴν, ἢ τινος ἄλλης μηχάνημα μέμψεως. Εὔπορος γὰρ διαβολῶν παντοδαπῶν ἡ κακία. Διὸ δὴ ἀξιοῦμεν τὸ ὑμέτερον μέγεθος τῆς ἡμετέρας αἰχμαλωσίας φροντίσαι κατὰ τὸ τοῖς νόμοις δοκοῦν, D καὶ μὴ ἐπιδοῦναι κακοτεχνίαις ἀνδρῶν αἰχμάλωτον εἰς κακίαν ἔκδοτον· ἵνα μὴ πάσαις ἐκ τούτου γενεαῖς τραγῳδῆται, κρεῖττον εἶναι βαρβάρων αἰχμάλωτον ἢ πρόσφυγα βασιλείας Ῥωμαϊκῆς. » Καὶ ὅρκους ἐπαγαγὼν, ᾔτησεν « οὕτως ἀνενεγκεῖν τὴν ἡμετέραν ἐξ Ὀάσεως ἐνταῦθα διαγωγὴν ἐκ βαρβαρικῆς γενομένην ἀφέσεως, ὥστε τὴν τῷ Θεῷ δοκοῦσαν καὶ νῦν ἐξενεχθῆναι περὶ ἡμῶν διατύπωσιν. » Καὶ ἐν ἑτέρᾳ δὲ ἐπιστολῇ καὶ ταῦτα πρὸς τὸν αὐτὸν δηλοῖ λέγων· « Εἴτε ὡς φιλικὸν παρ' ἡμῶν πρὸς τὴν σὴν μεγαλοπρέπειαν γράμμα, εἴτε ὡς

(1) Evagrius, lib. I, cap. 7.
(2) Apud Stephan. Mezyes nomades Libyæ sunt. Suidas autem sub Anastasio urbes Libyæ excursionibus eorum qui Lazici dicuntur, vexatas scribit: ut fortasse hic etiam *Lazici* sit legendum.
(3) Panopolis urbs et nomus Panopolites apud Plin. est, lib. V, cap. 9.

ὑπόμνησιν παρὰ πατρὸς πρὸς υἱὸν τὸ παρὸν τοῦτο λογισάμενος, ἀνάσχου, παρακαλῶ, τῆς ἐν αὐτῷ διηγήσεως περὶ πολλῶν, καθ' ὅσον ἐνῆν γεγραμμένης παρ' ἡμῶν βραχυλογίας οὔσης· Ὀάσεως τῆς καὶ Ἴβεως ἐκ πολλῶν πρῴην ἀφανισθείσης τοῦ τῶν Νομάδων πλήθους ἐπ' αὐτὴν ἀναδραμόντος.» Καὶ μεθ' ἕτερα· «Τούτων δὲ οὕτως συμβαινόντων, οὐκ οἶδ' ἐκ ποίας ἀφορμῆς ἢ ποίαν ἀφορμὴν λαβούσης τῆς σῆς μεγαλοπρεπείας, πρὸς ἐλεφαντίνην τινὰ τῆς Θηβαίων ἐπαρχίας πέρας οὖσαν βαρβαρικῶν διὰ στρατιωτῶν ἐκ τῆς Πανὸς ἐπεμπόμεθα, συρόμενοι πρὸς αὐτὴν διὰ τῆς προῤῥηθείσης στρατιωτικῆς βοηθείας· καὶ τῷ πλείονι τῆς ὁδοῦ συντριβέντες, πάλιν ἄγραφον τῆς σῆς ἀνδρίας καταλαμβάνομεν κέλευσμα εἰς τὴν Πανὸς ὑποστρέψειν. Συγκοπέντες δὲ τοῖς τῆς σῆς ὁδοιπορίας συμπτώμασιν ἐν νοσοῦντι καὶ γηράσαντι σώματι, καὶ τὴν χεῖρα, καὶ τὴν πλευρὰν συντριβέντες, ἀφικόμεθα πάλιν εἰς τὴν Πανὸς τρόπον τινὰ ψυχοῤῥαγοῦντες τοῖς συμπτώμασιν, ἔτι τοῖς τῶν ἀλγηδόνων μαστιγούμενοι κακοῖς. Μετῆγε δὲ πάλιν ἡμᾶς ἐκ τῆς Πανὸς πρὸς τὴν ὑπ' αὐτὴν ἐνορίαν ἕτερον τῆς σῆς ἀνδρίας ἔγγραφον ἱπτάμενον πρόσταγμα. Ταῦτα στήσεσθαι καθ' ἡμῶν λογιζομένων, καὶ τὸ τοῖς καλλινίκοις βασιλεῦσι περὶ ἡμῶν δοκοῦν ἀναμενόντων, ἐξαίφνης πρὸς ἄλλην ἐξορίαν καθ' ἡμῶν τετάρτην πάλιν ἀφειδῶς ἄλλο συνετίθετο.» Καὶ μετ' ὀλίγα· «Ἀλλ' ἀρκέσθητι τοῖς πεπραγμένοις, παρακαλῶ, καὶ τοσαύτας καθ' ἑνὸς σώματος ἐξορίας ὁρίζειν, καὶ τῆς ἐπὶ τοῖς ἀναχθεῖσι παρὰ τῆς σῆς μεγαλοπρεπείας· καὶ παρ' ἡμῶν δὲ δι' ὧν ἐχρῆν γνωρισθῆναι τοῖς καλλινίκοις ἡμῶν βασιλεῦσι δοκιμασίας ἐπιεικῶς, παρακαλῶ, παραχώρησον. Ταῦτα παρ' ἡμῶν παρὰ πατρὸς ὡς πρὸς υἱὸν συμβουλεύματα. Εἰ δὲ ἀγανακτήσειας, καὶ νῦν ὡς πρότερον, πρᾶττε τὸ δοκοῦν· εἴ γε τοῦ δοκοῦντος λόγος οὐδεὶς δυνατώτερος.» Νεστόριος μὲν οὖν οὕτω κἀν τοῖς γράμμασι πὺξ λὰξ παίει, βαίνει· καὶ αὐτὴν βασίλειον ἐξουσίαν, ὡς ὁρᾷς, βλασφημῶν, μηδέπω σωφρονήσας, καὶ ταῦτα τηλικαῦτα παθών. Συγγράμματι δέ τινος ἐντυχόντες, καὶ τὴν τελευτὴν ἐκείνου διηγουμένου, καὶ ταύτην τῇ συγγραφῇ παραδώσομεν· ἔλεγε γὰρ ὡς τὴν γλῶτταν διαβρωθεὶς σκώληξιν, ἐπὶ τὰ μείζω καὶ ἀθάνατα κολαστήρια, τὰς ἀνηκούσας ἀποτίσων εὐθύνας, στένων καὶ ὀδυρόμενος μετεχώρησεν. Ἔπειτα δὲ καὶ Θεοδόσιος θεόθεν κινούμενος ἁπάσαις ψήφοις τὸν ἀσεβῆ κατεδίκαζε περιβαλὼν ἀναθέματι, οὕτω πρὸς λέξιν ἀποφηνάμενος ἐν διατάξει, ἣ τῇ βίβλῳ Ἰουστινιανοῦ ἔγκειται· κῶδιξ δὲ τὸ βιβλίον ὠνόμασται, τρίτη τὸν ἀριθμὸν τοῦ πρώτου τίτλου τυγχάνουσα· «Ἔτι, φησὶ, θεσπίζομεν τοὺς ζηλοῦντας τὴν ἀσεβῆ Νεστορίου πίστιν, ἢ τῇ ἀθεμίτῳ αὐτοῦ διδασκαλίᾳ ἀκολουθοῦντας, εἰ μὲν ἐπίσκοποι εἶεν ἢ κληρικοὶ, τῶν ἐκκλησιῶν ἐκβάλλεσθαι· εἰ δὲ λαϊκοὶ, ἀναθεματίζεσθαι.» Πολλὰς δὲ καὶ ἄλλας νομοθεσίας τῆς ἡμετέρας χάριν θρησκείας ἐντίθησι τὸν περὶ Χριστοῦ διάπυρον

deinceps generationibus et ætatibus tragica vociferatio seu quiritatio invalescat, melius esse ut in Barbarorum aliquis potestate captivus sit, quam ad Romanorum imperium supplex confugiat..» Et juramento interposito, petitionem talem subjunxit: «Patere nos hic ex Oasi reversos manere, sicuti id nobis Barbari permisere: ut nunc etiam, quod Deo visum est, de nobis constituatur.» In alia rursum epistola ad eumdem hæc scribit: «Sive scriptum hoc, ut amici, ad magnificentiam tuam, epistolam, seu ut patris ad filium commonitionem accipias, non rejice, te quæso, quæ in eo est, quam fieri potuit brevissimam de rebus multis narrationem: cum Oasis, quæ etiam Ibis dicta est, dudum a Nomadum multitudine, qui in eam excurrerunt, vastata sit.» Et postea: «Hæc cum sic acciderint, nescio qua de causa, aut qua arrepta occasione, magnificentia tua nos per Barbaros milites ex Panis oppido ad quamdam Elephantina (1), quæ Thebanæ provinciæ finis est, deportari curaverit. Et cum ad illam per ea quæ diximus militaria auxilia raperemur, et majore itineris parte confecta affligeremur, rursum a fortitudine tua jussionem sine scripto accepimus, ut in civitatem Panis reverteremur. Et itineris, quod jussu tuo susceperamus, casibus confecti, corpore morbo simul et senio labefactato, necnon manu et latere convulso, in Panis oppidum reversi sumus, **520** animo quodammodo vitæ laboribus deficientes. Adhuc cruciatibus dolorum affligebamur, et ad aliud rursum fortitudinis tuæ advolans scriptum mandatum, ex Panis urbe in alium ditionis ejus locum translati sumus. Et cum talia adversus nos conquietura putaremus, et quid de nobis victores principes statuerent, exspectaremus, aliud subito sine gratia omni, de longinquiore alio, et quarto jam exsilio, mandatum compositum est.» Et paulo post: «Sed acquiesce tandem in eis quæ facta sunt, rogo, et tot adversus corpus unum exsilia decernere desine, et tot calamitatibus quæ a magnificentia tua pertulimus, contentus esto. Et nobis per homines, quos convenit, sententiam victorum principum nostrorum explorare humaniter, quæso, permitte. Hæc nostra, veluti patris, ad te tanquam filium consilia sunt. Sin ea indigne feres, tum tu nunc quoque, sicuti antea, quod placitum tibi est, facito: siquidem sententiam tuam oratio nulla flectere aut vincere potest.» Nestorius igitur in litteris quoque ipsis, pugnis et calcibus impetit atque insultat, imperatoriam etiam potestatem, sicuti vides, blasphemans: atque tot quoque mala passus, non tamen resipiscit. Pervenit in manus meas scriptum quoddam, obitum ejus exponens, quem et ipsum litterarum monumentis mandare in hac historia visum est. Commemorat enim, lingua ejus a vermibus corrosa, ingemiscentem et lamentantem, ad majora et sempiterna supplicia

(1) Elephantina 820 stadiis a Thebis Ægyptiis distat.

eum pœnas debitas soluturum migrasse. Deinde et Theodosius divino nutu commotus, sententiis et calculis omnibus, impium illum anathemate jugulatum condemnavit, hisce verbis in constitutione usus (1), quæ Justiniani volumini, quod Codex nominatur, inserta est, tertia numero, in primo primi libri titulo. « Præterea, inquit, sancimus, qui impiam Nestorii fidem æmulantur, aut nefariam ejus doctrinam sequuntur, ut siquidem episcopi sint, aut clerici, ecclesiis ejiciantur : sin vero laici et populares, anathemate feriantur. » Sed plures quoque alias constitutiones religionis nostræ gratia edidit, quæ flagrantem illius erga Christum ardorem ac zelum declarant. Hunc impius Nestorius finem vitæ habuit, atque hæc sic in tertia quam diximus universali Ephesia synodo, sunt acta. **521** Porro pernicioso Nestorio exauctorato, gravis rursum contentio in Constantinopolitanæ urbis ecclesiis mota est. Populus enim de Nestorii placitis agens, in duas partes abiit. Clerici sane omnes communi suffragio eum anathemati subditum rejecerunt : sic namque Christianis mos est sententiam contra blasphemum ferre, cum eam tanquam columnæ incisam, omnibus publicitus proponere volunt.

A ἐκείνου ζῆλον διαφαινούσας. Τοιοῦτον μὲν τῷ δυσσεβεῖ Νεστορίῳ τὸ τέλος, καὶ τὰ τῆς εἰρημένης τρίτης ἐν Ἐφέσῳ οἰκουμενικῆς συνόδου οὕτω συνηνέχθη γενέσθαι· μετὰ δὲ τὴν τοῦ ἀλάστορος Νεστορίου καθαίρεσιν δεινή τις ἐρεσχελία τῇ Κωνσταντίνου κατὰ τὰς ἐκκλησίας ἐχώρει. Ὁ γὰρ λεὼς διχῇ διῃρεῖτο, τὸ δόξαν Νεστορίῳ γυμνάζοντες. Οἱ μέντοι κληρικοὶ πάντες κοινῇ ψήφῳ αὐτὸν ἀπεώσαντο παραδόντες τῷ ἀναθέματι· οὕτω γὰρ τὴν κατὰ τοῦ βλασφήμου ψῆφον εἰωθὸς Χριστιανοῖς πράττειν, ὥσπερ ἔν τινι στήλῃ γυμνὴν ἅπασιν ἐθέλουσι καθιστᾷν.

CAPUT XXXVII.

Ut post Nestorium Maximinus, ac deinceps Proclus patriarcha Constantinopolitanæ Ecclesiæ præfectus fuerit.

Illo vero sublato, non mediocris de episcopi electione quæstio exstitit. Multi enim ad eum qui dictus est, Sidensem Philippum respiciebant : omnes autem fere Proclum cathedra ea maxime dignum esse judicabant. Et exitum suum consilium horum habuisset, nisi qui multum tum apud imperatorem valebant, impedimento fuissent, ecclesiasticum canonem perperam prætexentes, qui designatum civitatis alicujus episcopum in civitatem aliam rursus transferri vetare debeat. Is est hujusmodi : « Si quis episcopus ordinatus in parœciam, cui destinatus est, non ierit, non culpa ille quidem sua, sed propter populi rejectionem, aut aliam non ab ipso ordinato provenientem causam, is cum dignitate ministerio fungi (ut modo rebus ecclesiæ, ubi conventus agit, nihil afferat turbæ) et acquiescere in eo debet, quod provinciæ synodus de controversia in medium producta judicans decreverit. » Hic canon publicatus plebem, quæ Proclum episcopum designabat, vel invitam quiescere coegit. Quatuor menses a Nestorio exauctorato effluxerant, et ecclesiæ procuratio Maximiano commissa est, qui in ordine presbyterorum erat, et in monastica vita vixerat. **522** Religionis hic maxime laudem consecutus fuerat, ex eo quod propriis sumptibus monumentis constructis, in eis pie defunctorum reliquias reponeret. Et propterea quod doctrina exigua fuit, alienam a rebus agendis delegerat vitam. Quam ob causam ecclesia sub eo externis rerum fluctibus libera, pace multa lætata est. Atque ubi annos duos et menses quinque pacifice ecclesiam administravit, septima jejunii dierum septimana, ea quæ dicitur Magna

B

ΚΕΦΑΛ. ΛΖ'.

Ὡς μετὰ Νεστόριον Μαξιμιανὸς, εἶτα Πρόκλος πατριάρχης τῆς Κωνσταντίνου προβάλλεται.

Ἐκείνου δ' ἐκποδὼν γενομένου, πάλιν περὶ ἐπιλογῆς ἐπισκόπου οὐ μετρία ζήτησις ἦν. Καὶ πολλοὶ μὲν εἰς τὸν προειρημένον Σιδίτην ἀπέβλεπον Φίλιππον· οἱ δὲ πάντες σχεδὸν Πρόκλον μάλιστα τῆς καθέδρας ἄξιον ἔκρινον εἶναι. Καί γε ἂν εἰς πέρας προέβαινεν, εἰ μή τινες τῶν τηνικαῦτα μέγα παρὰ βασιλεῖ δυναμένων ἀπεκώλυσαν, προβαλλόμενοι κανόνα ἐκκλησιαστικὸν, ὃς κελεύει τὸν ὀνομασθέντα πόλεώς τινος ἐπίσκοπον εἰς ἑτέραν αὖθις μὴ μεταφέρεσθαι. Ἔστι δὲ οὗτος· « Εἴ τις ἐπίσκοπος χειροτονηθεὶς εἰς παροικίαν μὴ ἀπέλθῃ εἰς ἣν ἐχειροτονήθη, μὴ παρὰ τὴν ἑαυτοῦ αἰτίαν, ἀλλ' ἤτοι παρὰ C τὴν τοῦ λαοῦ παραίτησιν, ἢ δι' ἑτέραν αἰτίαν οὐ παρ' ἑαυτοῦ γενομένην, τοῦτον μετέχειν τῆς τιμῆς καὶ τῆς λειτουργίας, μόνον μηδὲν παρενοχλοῦντα τοῖς πράγμασι τῆς ἐκκλησίας, ἔνθα ἂν συνάγοιτο· ἐκδέχεσθαι δὲ αὐτὸν, ὅπερ ἂν ἡ τῆς ἐπαρχίας σύνοδος κρίνασα, τὸ παριστάμενον ὁρίσῃ. » Ὃς δῆτα κανὼν παῤῥησιασθεὶς, ἡσυχάζειν καὶ ἄκοντα τὰ πλήθη ἠνάγκαζε Πρόκλον ἐκλέγεσθαι. Τετάρτου δὲ παραῤῥυέντος μηνὸς μετὰ τὴν Νεστορίου καθαίρεσιν, ἐπιτρέπεται τὴν τῆς ἐκκλησίας ἐπιτροπὴν Μαξιμιανός· τῷ χορῷ μὲν τῶν πρεσβυτέρων κατειλεγμένος, ἀσκητικῷ δὲ βίῳ χρησάμενος, εὐλαβείας δὲ μεγίστης ὄνομα περιέκειτο· οἷς οἰκείοις ἀναλώμασι D μνημεῖα κατεσκευακὼς, ἐν αὐτοῖς κατετίθει τὰ τῶν εὐλαβῶς τελευτώντων λείψανα. Ἰδιώτης δὲ ὢν τὸν λόγον, ἀπραγμονέστερον βίον ᾑρεῖτο· διὸ καὶ ἡ ἐκκλησία ἐπὶ τούτου βαθείας εἰρήνης ἀπήλαυσε, τῶν ἔξωθεν ἠρεμήσασα σάλων. Ἐπὶ δυσὶ δ' ἐνιαυτοῖς καὶ μησὶ πέντε εἰρηνικῶς τὴν ἐκκλησίαν ἰθύνας, ἐτελεύτα τὸν βίον κατὰ τὴν ἑβδόμην ἑβδομάδα τῶν νηστειῶν, τῆς Μεγάλης ἀγομένης πέμπτης.

(1) Hæc constitutio hodie non exstat. Damnat autem Nestorianos hic imperator, l. *Damnato*. C. De hæret. et Manich.

Τότε δὲ καὶ ὁ βασιλεὺς Θεοδόσιος, καὶ μάλιστα A Πουλχερία ἡ βασιλὶς, τοῦ πράγματος πρόνοιαν ἐποιήσαντο. Ἵνα γὰρ μὴ πάλιν πράγματα ἔχωσι περὶ ἐπιλογῆς ἐπισκόπου οἷς συγχεῖν τὰ τῆς ἐκκλησίας ἔμελλε, μελλήσας μηδὲν, ἔτι προκειμένου τοῦ σώματος Μαξιμιανοῦ, τοὺς παρευρεθέντας τῶν ἐπισκόπων ἀθροίσας, ἐνθρονίζειν τὸν Πρόκλον προὐτρέπετο. Τῆς γὰρ περὶ ἐκείνου σκέψεως πρότερον οὔσης, καὶ Κελεστῖνος ὁ τῆς Ῥώμης ἐπίσκοπος σύμψηφος δι' ἐπιστολῶν ἦν, πρός τε Κύριλλον τὸν θεσπέσιον, καὶ Ἰωάννην τὸν Ἀντιοχείας, καὶ τὸν Θεσσαλονίκης Ῥοῦφον γράφων, καὶ πᾶσι τρόποις ἀναδιδάσκων μηδὲν ἐμποδὼν καθίστασθαι, τὸν ἑτέρας πόλεως ὄντα ἢ καὶ ὀνομασθέντα μόνον ἐπίσκοπον εἰς ἑτέραν μετατίθεσθαι πόλιν. Ἐνθρονισθεὶς B οὖν ὁ Πρόκλος, ἔπειτα τὴν ἐκκομιδὴν καὶ κηδείαν τοῦ σώματος Μαξιμιανοῦ ἐποιεῖτο, τὰ τῆς πατριαρχίας ἅπαντα περιθέμενος σύμβολα. Ἄξιον δ' οἶμαι καὶ περὶ τούτου βραχέα τῇ ἱστορίᾳ ἐνθεῖναι.

ΚΕΦΑΛ. ΛΗ'.

Περὶ Πρόκλου, οἷος τὸν λόγον καὶ τὸ ἦθος· καὶ ὅτι μάλα τῷ βασιλεῖ κεχαρισμένος ἦν· καὶ ὅτι ἐπὶ τοῖς τότε παραδόξως γεγενημένοις Θεῷ, Πρόκλος ὁμιλίαν ἁρμόζουσαν διελθὼν, ἐθαυμάσθη.

Πρόκλος ἐκ πρώτης τριχὸς εἰς διδασκάλους φοιτῶν, ῥητορικῆς ἐπὶ πλεῖστον ἐπεμελήθη. Εἰς ἀναγνώστου δὲ τελέσας βαθμὸν ἐν νέᾳ πάνυ τῇ ἡλικίᾳ, C καὶ ἤδη παραμείψας τὸν μείρακα, πρῶτα μὲν τῷ θείῳ Ἰωάννῃ τῷ Χρυσοστόμῳ ἱεραρχοῦντι τῆς Κωνσταντίνου παρείπετο, ὑπουργὸς αὐτῷ καὶ συνεργὸς τῶν λόγων γινόμενος, καὶ ὅση χρεία τοῦ σώματος ἐκείνῳ γινόμενος. Οὗτος δὴ καὶ Παύλῳ πρὸς οὖς τῷ μεγάλῳ Ἰωάννῃ διαλεγομένῳ, καὶ τὸν νοῦν τῶν ἐκείνου ἐπιστολῶν ἐκκαλύπτοντι μυστικώτερον, ἐνέτυχε τῇ τῆς θυρίδος παρακύπτων ὀπῇ. Ἐπεὶ δ' ἐκεῖνος ὑπερόριος ἦν, μὴ τῆς ἐκείνου σχέσεως ἀποστὰς, τῷ μετ' ἐκεῖνον ἐπισκόπῳ Ἀττικῷ συνῆν, ὑπογραφεὺς τῶν ἐκείνου λόγων καθεστηκώς· ὃν δὴ τῇ κατὰ Θεὸν προβαίνοντα ἀγωγῇ, καὶ τοῦ τῆς διακονίας ἠξίου βαθμοῦ. Ἔπειτα δὲ καὶ ἐν καθέδρᾳ πρεσβυτέρων αἰνέσας τὸν Κύριον, ὑπὸ Σισινίου τῆς κατὰ Κύζικον ἐκκλησίας προεβλήθη D ἐπίσκοπος. Πολλῷ δὲ ὕστερον ὥς γε ἡμῖν εἴρηται, καὶ τῆς Κωνσταντίνου ἐκκλησίας τὴν ἐπισκοπὴν ἐπετράπη. Χρηστὸς δὲ ὢν ἀνὴρ μάλιστα κατά τε ἦθος καὶ τρόπον, ὅσα δὴ Ἰωάννῃ καὶ Ἀττικῷ προσῆσαν χρηστὰ, ἀνεμάξατο. Ἀνεξίκακος δὲ καὶ πλέον ἤπερ ἐκεῖνοι ἐγένετο. Ἀττικὸς μὲν γὰρ πολλάκις καὶ τοῖς διαφόροις τῆς πίστεως φοβερὸς μάλα ἐδόκει. Οὗτος δὲ κἀκείνοις καὶ πᾶσιν ἤπιος καὶ προσηνὴς μάλα ἦν, τούτοις μᾶλλον ἢ βίᾳ ἕλκειν ἐκείνους διανοούμενος. Μηδενὶ γὰρ ταραχῆς αἴτιος καταστὰς, τὸ τῆς Ἐκκλησίας ἀξίωμα, τὸ ἐπιεικὲς, φημὶ, καὶ πρᾶον, ἀθιγὲς διετήρησεν, ἐν τούτῳ δὴ τῷ μέρει τὸν βασιλέα μιμούμενος Θεοδόσιον· καὶ γὰρ κἀκεῖνος οὐδαμῶς τῇ βασιλικῇ αὐστηρίᾳ κατὰ

quinta die, mortuus est. Tum vero imperator Theodosius, et Pulcheria Augusta maxime curam ejus rei suscepit. Ne enim rursus negotium eis exhiberetur de electione episcopi, unde misceri ecclesiæ res et confundi potuissent, nulla interposita mora, cum adhuc Maximiani corpus insepultum esset, episcopos quoscunque invenire potuerunt, coactos, inthronisare atque in vacuam ecclesiæ possessionem inducere Proclum jussit. Cum namque deliberatum antea de eo esset, Cœlestinus quoque Romæ episcopus suffragatus ei per epistolas fuerat, ad magnum illum Cyrillum et Joannem Antiochenum et Rufum Thessalonicensem scribens, et modis omnibus docens, nihil obstare, quominus qui alterius urbis aut sit, aut saltem designatus sit episcopus, in aliam transferatur urbem. Proclus igitur in sede sua collocatus, postea funus et exsequias Maximiani, omnibus patriarchæ insignibus usus, curavit. Sed de hoc quoque pauca quædam historiæ adnectenda duxi.

CAPUT XXXVIII.

De Proclo, qua doctrina, quave vita fuerit, et ut illum imperator charum gratumque habuerit; et quod idem competenti et debito sermone, res quæ eo tempore præter opinionem hominum mirificæ acciderunt, in Deum auctorem referens, apud omnes in admiratione fuerit.

A primo is capillo præceptoribus usus, in arte dicendi potissimum elaboravit. Et post adolescentiam exactam, in juvenili admodum ætate, in lectorum ordinem cooptatus, primum divi Joannis Chrysostomi Constantinopolitanam ecclesiam administrantis sectator, minister, librisque scribendis adjutor, et corporis ejus curator fuit. Hic Paulum Joanni magno in aurem dictitantem, atque arcaniorem epistolarum suarum sensum revelantem, per januæ rimas prospectans vidit. **523** Atque ubi ille in exsilio vixit, ab illius affectione non desciscens, cum successore ejus Attico episcopo fuit, orationum illius scriba. Quem ille in divino vitæ instituto progredientem, in diaconatus gradum sustulit. Deinde vero cum in presbyterorum cathedra Dominum laudaret, a Sisinio ecclesiæ Cyzicenæ designatus est antistes. Longo vero tempore post, quemadmodum diximus, Constantinopolitanæ ecclesiæ episcopatus ei commissus est. Et quod moribus atque institutis placidus maxime vir esset, quæcunque in Joanne et Attico eximia erant, expressit. Malorum tolerantia illis etiam superior fuit. Atticus namque sæpius etiam eis qui in fide a se non dissentirent, terribilis esse visus est. Hic vero et erga illos, et in alios omnes placidus et lenis admodum fuit, benevolentia potius quam vi pertrahere illos ad se in animo habens. Et quoniam nemini turbarum causam præbuit, Ecclesiæ dignitatem in humanitate et mansuetudine consistentem, integram conservavit. Hac in parte Theodosium imperatorem imitatus: nam et is haudquaquam imperiali severitate, adversus eos qui

A supplicia commeriti essent, usus est. Iste autem minus curavit, si quis de Deo non itidem ut ipse sentiret. Sed doctrinæ jugiter incumbens, placide, non violenter, plebem sibi devinxit. Qua ex causa et Theodosius magnopere eum est complexus. Nam et imperator ipse sacerdotali, ut ita dicam, animo fuit : eosque qui persequendos homines esse suaderent, minime audivit. Dixerit vero aliquis, quod et aliis rebus, in primis autem mansuetudine, aperte episcopos ejus temporis omnes longe superarit. Et quod de Mose Numerorum liber dixit, eum supra homines omnes in terra longe mitissimum fuisse : id si de Theodosio etiam dicas, haudquaquam, ut puto, fallaris. Unde quispiam colligat, Deum illo valde delectatum, etiam extra bellorum certamina hostes ei imminentes B abolevisse. Declaravit hoc in Joanne tyranno, et qui cum eo excurrerant, Barbaris. Quæ namque antiquitus in viris justis accidisse audimus, ea quoque præter opinionem omnem in eo Deus peregit. Cum enim multi, atque adeo innumerabiles Barbari excurrere, et imperatori atque Romanis negotium facessere aggressi essent, **524** Imperator, sicuti facere solitus erat, res illorum Deo commisit, et frequentius orationibus vacans, confestim quod petiit, confecit. Dux siquidem eorum Roilas nomine (quod antea quoque retulimus) fulminis telo ictus, ex hominibus sublatus est. Et postquam sæva pestis exercitum ejus invasit, crudeliter eum est depasta. Quidquid vero ex eo superfuit, id cœlesti igne crematum est. Itaque in C timorem magnum Barbari deciderunt, non tam quod contra generosam et fortem gentem Romanorum ad manus conserendas ire ausi fuissent, quam quod Deo adjuvante, illos tropæa statuere, victoriamque reportare deprehendissent. Tum sane et admirandus Proclus, in tanta a Deo concessa victoria, ad populum in ecclesia verba faciens, et Ezechielis prophetiam ingeniose et apte verbis suis accommodans, in magna fuit admiratione. Prophetia talibus verbis concepta est : *Et tu, fili hominis, vaticinare contra Gog, et principem Ros* (1), *Mosoch et Thobel. Judicabo enim eum morte, et sanguine, et imbre demergenti, et lapidibus grandinis. Atque ignem et sulphur pluam super* D *eum, et omnem exercitum ejus, superque populos multos qui cum eo sunt. Et magnificabor atque glorificabor, et notus ero in conspectu multarum gentium, et cognoscent quod ego sum Dominus.* Talis quidem Proclus erat, peropportunus et commodus in omnibus, mansuetudine autem et humanitate quam maxime excellens.

A τῶν κολάσεως ἀξίων ἐκέχρητο. Οὗτος δὲ ἔλαττον ἐφρόντιζεν, ἤν μή τις περὶ Θεοῦ ᾗ αὐτῷ ἐδόκει ἐφρόνει. Διδασκαλίᾳ δὲ συνεχεῖ χρώμενος, ἠρέμα καὶ οὐ βίᾳ τὰ πλήθη προσήγετο, ὧν δὴ χάριν καὶ βασιλεὺς ἀποδοχῆς μεγάλης ἠξίου τὸν ἄνδρα· ἱερατικῇ γὰρ ψυχῇ καὶ ὁ βασιλεὺς ὡς εἰπεῖν ἐκέχρητο, καὶ τοὺς διώκειν ᾑρημένους ἥκιστα ἀπεδέχετο. Εἴποι δ' ἄν τις, ὅτι κἀν τοῖς ἄλλοις, μάλιστα δὲ τῇ πραότητι, περιφανῶς καὶ πάντας τοὺς τότε ἱερέας ἐνίκα· καὶ ὃ δή φησι περὶ Μωσέως ἡ βίβλος τῶν Ἀριθμῶν, ὅτι καὶ ὁ ἄνθρωπος Μωϋσῆς πρᾶος σφόδρα παρὰ πάντας ἀνθρώπους τοὺς ὄντας ἐπὶ τῆς γῆς, τοῦτο καὶ ἐπὶ Θεοδοσίου τις εἰπὼν, οὐκ ἂν, οἶμαι, ἁμάρτοι. Δι' ἧς καί τις τεκμηριώσαιτο Θεὸν ἐπ' ἐκείνῳ μάλα ἡδόμενον, καὶ πολεμικῶν ἀγώνων B ἐκτὸς τοὺς ἐπανισταμένους ἀφανίζειν ἐχθρούς. Ἔδειξε τοῦτο ἐπί τε τῷ τυραννήσαντι Ἰωάννῃ, καὶ τοῖς μετ' ἐκείνου καταδραμοῦσι βαρβάροις. Οἷα γὰρ τοῖς πάλαι δικαίοις γενέσθαι ἀκούομεν, τοιαῦτα καὶ ἐπ' ἐκείνῳ παραδόξως ἐνήργει Θεός· πολλῶν γὰρ καὶ ἀπειρίτων βαρβάρων κατατρέχειν, καὶ πράγματα βασιλεῖ καὶ Ῥωμαίοις ὡρμημένων παρέχειν βασιλεὺς, ὥσπερ εἰώθει, τὰ κατ' ἐκείνους ἠξίει Θεῷ· αὐτὸς δὲ πυκνότερον ταῖς εὐχαῖς σχολάζων, εὐθὺς ἐξήνυε τὸ αἰτούμενον. Ὁ μὲν γὰρ ἐκείνων ἡγούμενος, Ῥούγας ὄνομα, ἐξ ἀνθρώπων ἦν, βέλει βληθεὶς κεραυνοῦ· εἰσπηδήσας δὲ καὶ λοιμὸς ἄγριος, ἀφειδῶς τὸ ὑπ' ἐκεῖνον στράτευμα διεβόσκετο. Ὅσον δὲ κρεῖττον ἐκείνου ἐγένετο, οὐρανίῳ πυρὶ κατηθάλωτο. Καὶ εἰς δέος μέγα τὸ βάρβαρον C περιίστατο· οὐ τοσοῦτον ὅτι πρὸς γενναῖον ἔθνος τὸ Ῥωμαίων ἐτόλμησαν εἰς χεῖρας ἐλθεῖν, ἀλλ' ὅτιπερ ὑπὸ Θεῷ συναρήγοντι κατελάμβανον ἐκείνους ἱστᾶν τρόπαιον. Τότε δὴ καὶ Πρόκλος ὁ θαυμαστὸς ἐπὶ τῇ τοσαύτῃ ἐκ Θεοῦ γενομένῃ νίκῃ ἐπ' ἐκκλησίας διδάσκων, τὴν τοῦ Ἰεζεκιὴλ προφητείαν εὐφυῶς προσαρμόσας τοῖς εἰρημένοις, ἐξεπίτηδες περιφανῶς ἐθαυμάσθη. Ἡ δὲ προφητεία τούτοις τοῖς ῥήμασι περιείχετο· *Καὶ σὺ, υἱὲ ἀνθρώπου, προφήτευσον ἐπὶ Γὼγ, ἄρχοντας Ῥὼς, Μοσὸχ, καὶ Θόβελ. Κρινῶ γὰρ αὐτὸν θανάτῳ καὶ αἵματι καὶ ὑετῷ κατακλύζοντι, καὶ λίθοις χαλάζης· καὶ πῦρ καὶ θεῖον βρέξω ἐπ' αὐτὸν καὶ ἐπὶ πάντας τοὺς μετ' αὐτοῦ, καὶ εἰς ἔθνη πολλὰ μετ' αὐ-* D *τοῦ. Καὶ μεγαλυνθήσομαι, καὶ συνδοξασθήσομαι, καὶ γνωσθήσομαι ἐναντίον πολλῶν ἐθνῶν· καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύριος.* Τοιοῦτος μὲν ὁ Πρόκλος ἦν, καίριος ἐπὶ πᾶσι καὶ εὔστοχος, πραότητι δὲ καὶ ἐπιεικείᾳ μάλιστα διαφέρων.

(1) *Ros.* Hoc sacra Biblia nostra non habent. Reperitur tamen apud Socrat. quoque lib. VII, cap. 43. Nomine autem isto universa Russorum sive Ruthenorum gens, quæ magna ex parte nunc Christiana est, et Slavonica utitur lingua, intelligitur. Vulgo Ruiss dicuntur. Nec in Genesi, nec in alio Scripturæ loco, ac ne in Josepho quidem, qui omnia Hebraicarum gentium in primo *Antiquitatum* libro exponit nomina, hæc gens inveniri potuit. (Hieron. *sup. Ezech.* XXXVIII.)

ΚΕΦΑΛ. ΛΘ'.

A

Περὶ μεταθέσεων ἀπὸ θρόνου εἰς θρόνον, ὅτι ἔθος τοῦτο ἄνωθεν ἐκκλησιαστικὸν, καὶ οὐδὲν τῇ ἐκκλησιαστικῇ εὐταξίᾳ λυμαίνεται τοῦτο, μόνον καλῶς καὶ ὡς χρὴ γινόμενον.

Ἐπειδὴ δέ τινες φθόνῳ φερόμενοι ἐν αἰτίαις ποιοῦνται τὸν ἐκκλησιαστικὸν κανόνα, μῶμον ὡσανεὶ τῷ θείῳ τούτῳ ἀνδρὶ προστριβόμενοι· ὅτιπερ Κυζίκου ἐπίσκοπος χειροτονηθεὶς, εἰς τὸν τῆς Κωνσταντινουπόλεως μετετέθη θρόνον, δίκαιον ἥγημαι βραχέ' ἄττα καὶ περὶ μεταθέσεων ἐνταῦθα διαλαβεῖν, ἵν' ἔξω μὲν αἰτίας καὶ Πρόκλος γένοιτο, καὶ τῇ Ἐκκλησίᾳ εἴη τοῦτο Θεοῦ ἱκανὸν παράδειγμα εἰς ἀσφάλειαν, ὡς ἂν μὴ ῥᾴδιον εἴη βουλομένῳ παντὶ τοῖς ἐλλόγως αὐτῇ πεπραγμένοις μέμψιν ὡς ἔτυχε B περιάπτειν. Καὶ γάρ ἐμοὶ δοκοῦσιν οἱ τότε λέγειν ἐπιχειρήσαντες, ἢ φθόνῳ φέρεσθαι, ἢ ἀγνοεῖν τόν τε νοῦν τῶν κανόνων, καὶ τὰ διαφόρως ἐπί τε οἰκονομίᾳ καὶ χρειωδῶς ταῖς ἐκκλησίαις γενόμενα. Οἵ τε γὰρ θεῖοι κανόνες, καὶ οἱ πάλαι τῆς Ἐκκλησίας προστάται, ἀδιάφορον εἶχον, ὁσάκις ἂν εὔλογος χρεία καλοίη, τὸ ἀπὸ πόλεως εἰς πόλιν μετάγειν ἐπίσκοπον· καὶ ταῦτα εἰ περὶ εὐσεβείας ἦν ἡ μετάθεσις, ἢ περὶ εἰρήνης ἴσως καὶ ἐκκλησιαστικῆς καταστάσεως. Τὴν γὰρ μετάβασιν ὁ κανὼν εἴργει, οὐ τὴν μετάθεσιν. Ἡ μὲν γὰρ τὸ ἀβούλητον πάντως ἐμφαίνει καὶ ἀπροαίρετον· ἐπὶ γὰρ τῶν ὡσανεὶ ἀψύχων ἡ λέξις προάγεται· ἡ δέ γε μετάβασις ἐπὶ τῶν ἐμψύχων καὶ ὡσανεὶ ἐπιπηδώντων τοῖς θρόνοις δι' ἔπαρσιν C ἴσως καὶ σύγχυσιν· ἣν μάλα καὶ ὁ κανὼν εὐλόγως ἐπέχει, ὡς μικρὸν ὕστερον πλατύτερον διαλήψομαι· τὴν δ' εὔλογον μετάθεσιν οὐδαμῶς· καὶ γὰρ πρῶτος ὁ τῶν ἀποστόλων κορυφαῖος Πέτρος τῆς Ῥωμαίων καθηγήσατο πόλεως· εἶτα καὶ ἐπὶ τὴν Ἀλεξάνδρου πόλιν πρῶτος κλήρῳ μετέβαινεν· ἐν αἷς Λῖνον καὶ Μάρκον χειροτονήσας, ἐφ' ἑτέρας πόλεις ἀνέτρεχεν. Εὐσέβιος δ' ὁ Παμφίλου ἐν τῇ ἕκτῃ τῶν Ἐκκλησιαστικῶν συγγραφῶν Ἀλέξανδρόν τινα ἱστορεῖ ἐπίσκοπον μιᾶς τῶν περὶ Καππαδοκίαν ἐκκλησιῶν ὄντα ἀφῖχθαι μὲν εἰς Ἱεροσόλυμα κατὰ θέαν καὶ εὐχὴν τόπων τῶν ἱερῶν, ὑπὸ δὲ τῶν ἐκεῖσε Ἱεροσολυμιτῶν κατασχεθέντα, τῷ θρόνῳ τοῦ ἱεροῦ Ναρκίσσου ἔτι περιόντος ἐνθρονισθῆναι, καὶ διὰ βίου τῆς Ἱεροσολύμων ἐκκλησίας προστῆναι· περὶ οὗ καὶ ἡμεῖς D μνείαν ἐν τῇ πέμπτῃ τῶν ἱστοριῶν πεποιήμεθα κεφαλαίῳ δεκάτῳ. Ὅτι δὲ καὶ ἄλλοι πολλοὶ χρείας ἀναγκαίας καλούσης εἰς ἑτέρας μετεχώρησαν ἐκκλησίας, εὔδηλον. Ἐγὼ δὲ, εἰ καὶ μὴ πάντας, ἀλλ' οὖν τινας τῇ συγγραφῇ παραθήσομαι. Ὁ μέγας Εὐστάθιος ἀπὸ Βεῤῥοίας, εἴη δ' ἂν αὕτη τὸ Χάλεπ, εἰς Ἀντιόχειαν μετετέθη, τοῦ πρώτου ἐν βασιλεῦσι Χριστιανῶν Κωνσταντίνου τὴν Ῥωμαίων ἡγεμονίαν ἰθύνοντος. Ἐπὶ δ' αὐτοῦ καὶ Μάξιμος ἀπὸ Διοσπόλεως εἰς Ἱεροσόλυμα μετετέθη, τὸν πολὺν καὶ μέγαν διαδεδεγμένος Μακάριον. Ἀλλὰ καὶ Εὐδόξιος ὁ κακόδοξος ἐκ Γερμανικίας πρῶτον εἰς Ἀντιόχειαν, ἐκεῖθεν δὲ εἰς Κωνσταντινούπολιν μετατίθεται. Ὁ δὲ θεῖος Μελέτιος πρότερον Σεβαστείας τῆς κατὰ

525 CAPUT XXXIX.

De translationibus episcoporum ex sede in sedem aliam, et quod consuetudo ea antiquitus in ecclesiis obtinuerit. Quodque talis translatio bene instituto ecclesiastico ordini nihil afferat detrimenti, ut modo ea rite et ordine fiat.

Quandoquidem autem nonnulli invidia ducti, divinum virum reprehendunt, ecclesiasticum canonem prætendentes, quod Cyzici episcopus ordinatus, in Constantinopolitanæ urbis thronum translatus sit : æquum esse duxi, pauca quædam de translationibus ejuscemodi hic perstringere, ut simul et Proclus crimine absolvatur, et Ecclesia classicum hoc ad certitudinem divinitus proditum habeat exemplum, ne cuivis facere id volenti proclive sit, res Ecclesiæ rite atque ordine actas, temere per reprehensionem carpere. Nam qui tum rem hanc taxare conati sunt, vel invidia ferri, vel ignorare mihi visi sunt, canonum sensum et mentem, atque ea quæ varie in ecclesiis per dispensationem et utilitatem servata sunt et gesta. Divini siquidem canones, et veteres Ecclesiæ antistites liberum esse voluerunt, quotiescunque legitima suaderet utilitas, ex urbe una in aliam episcopum transferre : videlicet si sincerior pietas, vel ecclesiasticæ forte tranquillitatis constitutio translationem flagitaret. Transitionem namque prohibet, non translationem. Hæc enim, id quod præter voluntatem et præter institutum fit, omnino significat, et vox ea veluti in inanimatis usurpatur : illa vero, de animatis, et quodammodo de eis dicitur qui per arrogantiam forte miscendarum rerum gratia, in thronos insiliunt. Eam vero recte canon, sicuti paulo post fusius exponam, inhibet : legitimam autem translationem nequaquam. Nam primus apostolorum ille princeps Petrus, Romanæ urbis gubernavit Ecclesiam : deinde primus etiam Alexandriam sorte transiit. In quibus ecclesiis ubi Linum et Marcum episcopos creavit, alias rursus urbes adiit. Eusebius autem Pamphili in sexto Ecclesiasticarum Historiarum libro, Alexandrum quemdam ecclesiæ in Cappadocia cujusdam episcopum, Hierosolyma sacrorum locorum spectandorum et precationis ibi faciendæ gratia profectum, atque a Hierosolymitanis retentum, in throno sacri Narcissi adhuc superstitis collocatum esse, et per vitam omnem Hierosolymitanæ Ecclesiæ præfuisse, memoriæ mandavit : 526 cujus et nos in quinto operis hujus libro, capite decimo mentionem fecimus. Quod vero et multi alii, necessaria utilitate vocante, in alias transierint ecclesias, satis patet. Ego vero, etsi non omnes, aliquos tamen in historia hac recensebo. Magnus ille Eustathius a Berrhœa (quæ est ipsa Chaleb) in Antiochiam translatus est, Constantino primo Christiano imperatore imperium Romanum administrante : sub quo et Maximus ex Diospoli Hierosolyma transiit, magno Macario succedens. Sed et Eudoxius ille, pravæ prorsus contra nomen suum opinionis, ex Germa-

nicia primum Antiochiam, et inde postea Constantinopolim est translatus. Divus Meletius primum Sebastiæ episcopus est renuntiatus, deinde autem cum magna gloria Antiochiam ad Orontem est vocatus. Item divus Gregorius Sasimorum primum Cappadocum urbis, deinde Nazianzi, patriæ suæ, episcopatum sortitus : postea a secunda synodo et Meletio Antiocheno, pro eo atque decuit, in præclaram Constantinopolis sedem translatus est. Patris in Achaia Perigenes episcopus designatus est : quem ubi civitatis ejus incolæ non receperunt, Romanus episcopus in thronum metropolitanæ urbis Corinthi, ubi sacrorum antistes nuper admodum vita defunctus fuerat, induci jussit : atque ille ita translatus, pacifice ibi per vitam omnem ecclesiam rexit. Dositheum Seleuciæ episcopum, Alexander Antiochenus Tarsum Ciliciæ transtulit. Alius autem nomine Reverentius Arcis Phœniciæ episcopus lectus, Tyrum inde transiens, episcopali ibi munere est functus. Ex Gordo, quæ in Lycia est (1), in Proconnesum Joannes transmissus, magnifice episcopatum ibi gessit. Et Palladius ab Helenopoli Bithyniæ Aspunam transiit. Et alius ex ejusdem urbis ecclesia episcopus Alexander, Adrianos traductus est. Ex Apamea Asiæ Philippus Eudoxiopolim missus est, cui vetus nomen Salambria fuit. Polycarpus ex Antapristena Mysiæ urbe, Nicopolim Thraciæ: **527** Hierophilus ex Trapezunte urbe Phrygiæ, Plotinopolim Thraciæ venit. Optimus ex Agdamea Phrygum, Antiochiam Pisidiæ. Troadem ex Philippopoli Thraciæ Sylvanus transiit, de quo admirandum quiddam memorabo. Is cum artem oratoriam primum apud sophistam Troilum didicisset, studium postea omne ad Christianismum transtulit, asceticamque consectans vitam, pallium gestare recusavit. Hunc abreptum Atticus episcopus, Philippopolis episcopum declaravit : in qua urbe postquam triennium exegit, loci ejus hibernum rigorem non ferens (exiguum enim et imbecille ei prorsus corpus erat), Atticum ut alium in locum suum episcopum substitueret, rogavit, non aliam quam frigoris causam petitioni suæ prætendens. Porro episcopo alio ei subrogato, Sylvanus Constantinopoli degens, cura summa monasticam coluit vitam, humilitatis et paupertatis tam studiosus, ut in urbe frequentissima obambulans, sparteis sit sandaliis usus. Eo tempore non multo exacto, Troadis episcopus mortuus est. Quapropter Troes Constantinopoli affuere, episcopum petentes. Cum autem Atticus, quemnam illis antistitem designaret, deliberaret, Sylvanus visendi ejus gratia ad eum venit. Quem ubi conspexit, statim ei Trojæ episcopatum mandavit. Atque ad eum conversus : Deinceps, inquit, omnis tibi ecclesiasticæ functionis defugiendæ præcisa est occasio. Multus enim Troade calor est, opportunusque et commodus tibi a Deo paratus

Κιλικίαν ἀνεκηρύχθη ἐπίσκοπος· μετὰ δὲ τοῦτο εἰς Ἀντιόχειαν τὴν παρ' Ὀρόντῃ εὐκλεῶς μετετέθη. Ὁ δὲ θεῖος Γρηγόριος Σασίμων πρότερον τὴν ἐπισκοπὴν ἐκληροῦτο· Καππαδοκίας δὲ αὕτη ἡ πόλις· καὶ Ναζιανζοῦ δὲ τῆς οἰκείας πατρίδος τὴν ἐπισκοπὴν εἰληχὼς, ἔπειτα παρὰ τῆς δευτέρας συνόδου καὶ Μελετίου τοῦ Ἀντιοχείας εἰς τὸν περίδοξον τῆς Κωνσταντίνου θρόνον ὡς χρεὼν μετατίθεται. Ἐν δὲ Πάτραις τῆς Ἀχαΐας ἐπίσκοπος Περιγένης κεχειροτόνητο. Ὡς δὲ οἱ τῆς πόλεως αὐτὸν οὐ προσίεντο, ὁ Ῥωμαίων ἐπίσκοπος ἐν τῇ μητροπόλει Κορινθίων ἐνθρονίζεσθαι τοῦτον ἐκέλευεν, ἄρτι τέλει χρησαμένου τοῦ βίου τοῦ ἐκεῖσε τὸ ἱερᾶσθαι λαχόντος· καὶ εἰρηνικῶς τῆς ἐκκλησίας διὰ βίου προέστη μετατεθείς. Τὸν δὲ Σελευκείας ἐπίσκοπον Δοσίθεον Ἀλέξανδρος ὁ τὴν Ἀντιόχου ἐπιτροπεύων εἰς Ταρσὸν τῆς Κιλικίας μετήνεγκεν. Ἕτερος δὲ Ῥεβερέντιος ὄνομα Ἀρκῶν τῆς Φοινίκης ἐπισκοπεῖν ἐξελέγη· ἐκεῖθεν δὲ τῆς Τυρίων ἱερατικῶς καθηγήσατο. Ἀπὸ δὲ Γόρδου τῆς ἐν Λυκίᾳ κειμένης εἰς Προικόννησον μετηνέχθη Ἰωάννης· καὶ λαμπρῶς τῆς ἐπισκοπῆς διὰ βίου τοὺς οἴακας ἐκληρώσατο. Ἄλλος δέ τις Παλλάδιος ἀπὸ Ἑλενουπόλεως τῆς κατὰ Βιθυνίαν εἰς Ἀσποῦναν μετετέθη. Καὶ ἕτερος τῆς αὐτῆς ἐκκλησίας Ἀλέξανδρος εἰς Ἀδριανοὺς προήχθη. Ἀπὸ δὲ τῆς ἐν Ἀσίᾳ Ἀπαμείας Φίλιππος εἰς Εὐδοξιούπολιν ἤγετο, ᾗ τὸ ἀρχαῖον Σαλαμβρία ὄνομα ἦν. Πολύκαρπος ἀπὸ Σεξανταπρίστων τῆς Μυσίας εἰς τὴν τῆς Θρᾴκης Νικόπολιν μετεχώρει. Καὶ Ἱερόφιλος ἀπὸ Τραπεζοῦντος πόλεως Φρυγίας εἰς τὴν τῆς Θρᾴκης Πλαυτινούπολιν ἦλθεν. Ὄπτιμος ἀπὸ Ἀγδαμείας τῆς Φρυγίας εἰς τὴν τῆς Πισιδίας Ἀντιόχειαν μετηνέχθη εἰς δὲ Τρωάδα ἀπὸ τῆς ἐν Θρᾴκῃ Φιλιππουπόλεως Σιλβανὸς μετεχώρησε. Περὶ οὗ τι καὶ θαυμάσιον γενόμενον διηγήσομαι. Ῥητορείαν γὰρ ἀσκήσας οὗτος πρότερον παρὰ τῷ σοφιστῇ Τρωΐλῳ, τὴν σπουδὴν ἅπασαν πρὸς τὸ Χριστιανίζειν ἐτίθει· ἀσκητικὸν δὲ μετερχόμενος βίον, τρίβωνα φορεῖν παρῃτεῖτο· ὃν ὁ ἐπίσκοπος Ἀττικὸς συναρπάσας, Φιλιππουπόλεως ἐδείκνυ ἐπίσκοπον· ἐν ᾗ τρίτον ἔτος διαγαγὼν, τὸ τοῦ τόπου μὴ ὑποφέρων δυσχείμερον (ἐξίτηλον γὰρ ἦν ἐκείνῳ τὸ σῶμα καὶ παντάπασιν ἄπορον), ἱκεσίαν Ἀττικῷ προσῆγεν, ἕτερον εἰς τὸν αὐτοῦ τόπον ἐπίσκοπον καθιστᾷν, ἄλλο μηδὲν προβαλλόμενος ἢ τὸ κρύος αἴτιον τῆς παραιτήσεως γίνεσθαι. Καὶ δὴ ἑτέρου ἐπισκόπου εἰς τὸν ἐκείνου τόπον καταστάντος, Σιλβανὸς ἐν τῇ Κωνσταντίνου τὰς διατριβὰς ἐποιεῖτο, ἄκρως τὸν ἀσκητικὸν μετιὼν βίον. Ἐπὶ τόσον δὲ αὐτῷ τὸ ἄτυφον καὶ ἀπέριττον ἦν, ὡς καίπερ ἐν πολυανθρώπῳ πόλει στρεφόμενος, χόρτινα ὑποδεδέσθαι σανδάλια. Ὀλίγου δ' ἐνιαυτοῦ παριόντος, ὁ τὴν ἐπιτροπὴν τῆς ἐν Τρωάδι ἐκκλησίας κεκληρωμένος ἐτελεύτα. Οἱ δὲ Τρῶες παρῆσαν ζητοῦντες ἐπίσκοπον. Τοῦ δὲ Ἀττικοῦ ἐν συννοίᾳ καθεστηκότος τίνα χειροτονήσοι, παρῆν Σιλβανὸς τηνικαῦτα κατὰ θέαν αὐτοῦ. Ὁ δὲ κατιδὼν, εὐθὺς ἐκείνῳ τῆς Τροίας τὴν προστασίαν ἐπι-

(1) Socrat. *in Lydia*.

θει. Καὶ πρὸς ἐκεῖνον ἐπιστραφείς, Τοῦ λοιποῦ σοι, ἔφη, πᾶσα περιῄρηται πρόφασις προστασίαν ἐκκλησίας ἀποδιδράσκειν· πολὺ γὰρ τὸ φλέγον ἐν τῇ Τρῳάδι· καί σοι εὔκαιρος τόπος ηὐτρέπισται πρὸς Θεοῦ· καὶ τοίνυν μὴ μέλλε, ἀλλ' ἐπὶ Τροίαν ὅσον τάχος πορεύου. Μετέστη τοίνυν ἐκεῖσε ὁ Σιλβανός· καὶ θαῦμα ἐξαίσιον ταῖς ἐκείνου διεπράχθη χερσίν· ὃ καὶ ἄξιον ἥγημαι διηγήσασθαι. Τῷ τῆς Τρῳάδος αἰγιαλῷ ἄρτι ναῦς παμμεγέθης μεγάλων ἀγωγὸς κιόνων ἐσκεύαστο· πλάτην αὐτὴν οἱ περὶ θάλατταν ὀνομάζουσιν. Ἐπεὶ δὲ ταύτην ἔδει καθέλκεσθαι εἰς τὴν θάλασσαν, πολλοὶ συνέῤῥεον καλωδίοις τισὶν ἕλκοντες ἐπὶ τὴν ὑγράν. Ὡς δ' ἐπὶ πολλαῖς ἡμέραις ἀκίνητος ἦν, ἐνέργειαν δαιμονίαν ᾠήθησαν εἶναι τῆς νηὸς τὴν ἀκινησίαν. Καὶ δὴ ἀφικόμενοι παρὰ τὸν ἐπίσκοπον Σιλβανὸν εὐχὴν ᾔτουν αὐτὸν ἐπ' ἐκείνῃ γενέσθαι· ἐκείνην γὰρ ἐπίστευον μόνην ἀποχρῶσαν εἶναι πρὸς κίνησιν. Ὁ δὲ μετρίῳ τῷ ἤθει μὴ αὐτοῦ τὸ ἔργον ἔλεγεν εἶναι, ἁμαρτωλοῦ γε ὄντος, ἀλλά τινος ἄλλου, ᾧ καὶ τὸ Θεῖον ἐπαναπαύεται. Ὡς δ' ἐκεῖνοι πολλὰ λιπαροῦντες ἐπέκειντο, μόλις εἶκει· καὶ παρὰ τὸν αἰγιαλὸν γεγονώς, ἑνὸς τῶν καλωδίων καὶ αὐτὸς ἥπτετο· καὶ τοῖς ἄλλοις ἔχεσθαι τοῦ ἔργου παρηγγυᾶτο. Βραχὺ δ' ἐκείνων ἐπωθησάντων, ἡ ναῦς ὥσπερ ἔμψυχος τάχει πολλῷ τῶν ὑπερκειμένων διολισθαίνουσα, ἐπὶ τὴν θάλασσαν ἐπορεύετο. Τοῦτο γενόμενον ἐπὶ πᾶσαν τὴν ἐπαρχίαν διέβαινε, καὶ πολλὴν εὐλάβειαν ἐπεμαρτύρει τῷ Σιλβανῷ. Ἀγαθὸς δὲ ἀνὴρ τὰ μάλιστα ὤν, ἐπεὶ καὶ τοὺς ὑπ' αὐτὸν κληρικοὺς ἑώρα ὥσπερ ἐμπορίαν ποιουμένους τὰς ὅθεν δή ποτε προσπιπτούσας ἐρεσχελίας τῶν δικαζομένων, ἐκύρου μηδένα τῶν κλήρων δικάζειν δίκην ποτέ· ἀλλὰ τοὺς τῶν αἰτούντων χάρτας λαμβάνων, ἑνὶ τῶν πιστῶν, ὃν ᾔδει διαφερόντως πολλὴν πρόνοιαν τοῦ δικαίου ποιούμενον, μετεστέλλετο· καὶ τὰς δίκας ἐγχειρίζων ἐκείνῳ, τὰς τῶν δικαζομένων ἐρεσχελίας ἀπήλαυνεν. Ἀλλὰ ταῦτα μὲν περὶ Σιλβανοῦ, εἰ καὶ παρεκβατικώτερον, ἀλλ' οὖν γε, ὡς οἴομαι, τῇ παρούσῃ ἱστορίᾳ προσήκοντα· ἑξῆς δὲ καὶ ἄλλοι πολλοὶ ἀπὸ θρόνων εἰς θρόνους μετήχθησαν· οἷς ὁ σοφώτατος οὗτος Πρόκλος, ἀπὸ Κυζίκου μετατεθεὶς εἰς Κωνσταντινούπολιν· καὶ τοῦ πάππα Ῥώμης Κελεστίνου τῇ πράξει συνευδοκοῦντος, καὶ δι' ἐπιστολῶν τριῶν πρός τε τὸν Ἀλεξανδρείας Κύριλλον, καὶ τὸν Ἀντιοχείας Ἰωάννην, καὶ Ῥοῦφον τὸν Θεσσαλονίκης γράφων συνίστησι, τὸ κατὰ μηδέν τι προσίστασθαι τοῖς κανόσι τὴν τῶν ἐπισκόπων μετάθεσιν ἀπὸ τῆσδε πόλεως εἰς ἑτέραν. Ἐγὼ δ', εἰ καὶ παρεκβατικώτερον, καὶ τοὺς ἑξῆς ὅσοι δὴ μετετέθησαν προσθεῖναι τῇ ἱστορίᾳ μάλα βιάσομαι, προσήκοντά γε, οἶμαι, δρῶν τοῖς περὶ ταῦτα φιλομαθέσι. Πρὸς γὰρ δὴ τούτοις ἐπὶ Ζήνωνος καὶ ὁ Μογγὸς Πέτρος εἰσηγήσεσιν Ἀκακίου τοῦ τῆς Κωνσταντίνου προέδρου ἀπὸ Εὐχαΐτων εἰς Ἀλεξάνδρειαν μετατίθεται· ὡς ἑξῆς περὶ τούτου τε καὶ τῶν ἄλλων, ἣν Θεῷ βουλομένῳ εἴη, ῥηθήσεται. Ὁ

A est locus. Proinde nihil morare, sed protinus Trojam proficiscere. Itaque Sylvanus eo transiit : atque ibi miraculum insigne manibus ejus editum est, quod profecto dignum est ut commemoretur. In littore Trojano ingens oneraria navis, quæ magnas columnas ferret, constructa fuerat : platem, a latitudine, eam nautæ nominant. Hanc cum opus esset in mare provolvere, multi qui funibus eam in undas traherent, confluxere. Illa (1) vero diebus pluribus moveri loco non potuit : et homines immobilem ejus stationem dæmonis efficaciæ ascripserunt : **528** quapropter episcopum Sylvanum adierunt, et ab eo ut precationem super ea faceret, petierunt, eam ipsam solam ad commovendam navim suffecturam esse credentes. Ille pro B modestia sua non ipsius, ut hominis peccatoris, id opus, sed alterius cujuspiam in quo divinum numen conquiesceret, esse dixit. Ubi vero illi magis etiam ei multa precati institere, petitioni eorum vix tandem cedens, ad littus advenit : et oratione peracta, funem unum attigit, et alios operi ei insistere jussit. Paululum navis ab illis impulsa est : et illa perinde atque animata esset, celeritate multa provoluta, ad mare pervenit. Hæc res in provinciam omnem vulgata, religionem magnam Sylvano est attestata. Et cum vir optimus esset, quoniam qui sub eo erant clerici, in causis et nugis, undecunque inter eos qui judicio contenderent, provenientibus veluti nundinationem insti- C tuerent (2), ne quis ex clero postea causam quampiam judicaret, constituit. Sed supplicantium libellos acceptos, uni ex fidelibus laicis, quem præcipue justi et æqui studiosum esse sciret, accito dedit, eique judicio causarum commisso, jure contendentium nugamenta rejecit. Hæc de Sylvano (3), quamvis per digressionem, non tamen, sicuti puto, ab historia nostra aliena, dicta sint. Deinceps vero multi quoque alii ex throno in thronum sunt missi. Sicuti sapientissimus iste Proclus Cyzico Constantinopolim est translatus, Celestino Romano papa rem eam comprobante, epistolis tribus ad Cyrillum Alexandrinum, et Joannem Antiochenum, et Rufum Thessalonicensem scriptis : in quibus asserit, canonibus non obesse D episcoporum ex urbe in urbem legitimam ejusmodi translationem. Ego vero ab instituto digredi, eosque qui deinde translati ita sint, operi huic adnectere cogor, rerum talium studiosis, ut equidem puto, gratificaturus. Præter eos, quos diximus, Zenone imperante, Petrus Mongius, Acacii Constantinopolitani episcopi suggestione, ab Euchaitis Alexandriam transmissus est : sicuti postea de hoc et aliis, si Deo visum fuerit, dicemus. Anthimus Trapezuntius, sub Justino imperatore, in sedem Constantinopolitanam traductus est. **529** Rem hanc confirmat admirandus etiam ille con-

(1) Socrat, lib. VII, cap. 37.

(2) Absurdum clericis est, imo etiam opprobriosum, si peritos se velint ostendere disceptationum esse forensium. l. *Repetita*. C. De episcop. et cler.

(3) II Tim. II, et 21, quæst 3, *Placuit*, etc.

fessor Germanus, qui Anastasio imperante, Cyzico quoque Constantinopolim transiit. Item Thomas Thessalonica Alexandriam, de septimæ synodi sententia, Constantino et Irene imperantibus. Divinissimus quoque patriarcha Ignatius, sub Basilii Macedonis imperio, Basilium Cretensem episcopum Thessalonicam transmisit. Sub eodem imperio Joannes Majumæ episcopus Alexandriam, et Amphilochius Cyzicenus Nicæam, atque inde beatus Theodorus Laodiceam translati sunt. Porro Leone Sapiente imperium regente, et Photio sacrum munus administrante, Gregorius Syracusanus in metropolim Nicænam transiit, et ejusdem urbis episcopus Nicon Hierapolim. Præterea Daniel Nicopolis, quæ in Græcia est, antistes, Ancyram Galatiæ: et Symeones novis Patris Laodiceam: et Joannes Larissæus Synadam translatus est. Ad hæc ex Amasena urbe Stephanus eviratus Constantinopolim patriarcha transiit, sub Romani senis imperio. Et Antiochenus pœmenarches, hoc est primarius pastor, ad ecclesiæ Magnæ primum officium se transtulit. Ex episcopatu autem Flaviadis, qui sub Anazarbes metropoli est, Nicephorus Phocas episcopum ejus Eustratium transferens, Antiochiæ patriarcham fecit: cum quidem episcopatum eum ab Anazarbe divulsum, patriarchatui Antiocheno univisset. Agapius Seleuciæ in Pieria antistes, Antiochiam et ipse translatus est, Basilio Porphyrogenneta Romanis imperante. Sub ejusdem imperio, Theophylactus Sebastia Rosiam, et Alexander Antiochia Hierosolyma; tum autem Joannes, cui Codonati novum et celebre cognomen fuit, ex magna Antiochia in metropolim Tyri transiit. Et rursum Tyri episcopus castratus, ut Ecclesia ejus a Persis capta est, Hierosolyma profugit. Et cum thronum ibi vacuum esse, episcopo suo orbatum, contingeret, Hierosolymitani, Persarum principi ut illi ecclesiam **530** Hierosolymis committere possent, supplicarunt. Qui etiam Constantinopolim, sexies millesimo sexingentesimo et decimo quinto a condito mundo anno, Alexio Comneno imperante, adveniens, a sacra susceptus est synodo, cum Nicolaus Theoprobletus patriarcham ageret. Eodem Nicolao Ecclesiam Constantinopolitanam gubernante, Pentaclas ille Rosianus archiepiscopus Lemni factus est, eidemque etiam Maronis Ecclesia addita. Nicephorus vero metropolitanus Gangræ veluti feriatus, metropolim etiam habuit Amastrim. Ad eumdem modum et Leontopolis antistes, Arcadiopolim tenuit. Episcopo item Alexiopolis otianti Abydus tradita, postea etiam Apros. Multæ etiam Ecclesiæ unitæ sunt, sicuti Parus et Naxus, Sugda et Phula, Alama et Soteriopolis, Angelo Isacio imperante. Dositheus Hierosolymitanus Constantinopolim est translatus: cum Hierosolyma inde Marcus, qui Florus dictus est, transiisset. Deinde Dositheus rursum, Constantinopoli relicta, in Æliæ thronum reversus est, eo qui Florus nominatus est, inde

A Τραπεζοῦντος Ἄνθιμος ἐπὶ Ἰουστίνου εἰς τὸν τῆς Κωνσταντίνου θρόνον μεταβιβάζεται. Συνίστησι τὸν λόγον καὶ ὁ θαυμάσιος ὁμολογητὴς Γερμανὸς, ἐπὶ τοῦ αὐτοκράτορος Ἀναστασίου ἐκ Κυζίκου καὶ αὐτὸς εἰς τὴν Κωνσταντίνου μετατεθείς. Καὶ Θωμᾶς ἐκ Θεσσαλονίκης εἰς τὴν Ἀλεξάνδρου μετάγεται, τῆς ἑβδόμης συμπραττούσης τὴν ψῆφον συνόδου, Κωνσταντίνου καὶ Εἰρήνης τὰ τῆς μεγάλης διεπόντων ἀρχῆς· Βασιλείου δὲ τοῦ ἐκ Μακεδόνων κατάρχοντος, καὶ ὁ θειότατος πατριάρχης Ἰγνάτιος τὸν τῆς Κρήτης Βασίλειον εἰς τὴν Θετταλῶν μετατίθησιν. Ἐπ' αὐτοῦ δὲ καὶ ὁ τοῦ Μαϊουμᾶ ἐπίσκοπος Ἰωάννης εἰς τὴν Ἀλεξάνδρου μετάγεται· ὁ Κυζίκου τε Ἀμφιλόχιος μεταβαίνει εἰς Νίκαιαν· καὶ Θεόδωρος ὁ μακάριος ἐκεῖθεν εἰς Λαοδίκειαν. Λέοντος δὲ τοῦ B Σοφοῦ τῇ βασιλείᾳ ἐμπρέποντος, καὶ Φωτίου τῆς ἱερᾶς ἡνίας διακατέχοντος, ὁ Συρακούσης Γρηγόριος εἰς τὴν Νικαέων μητρόπολιν μετατίθεται. Ναὶ μὴν καὶ Νίκων τῆς αὐτῆς ἐπίσκοπος πόλεως εἰς Ἱεράπολιν ἄνεισιν. Ἀλλὰ καὶ ὁ τῆς ἐν Ἑλλάδι Νικοπόλεως ἐπίσκοπος Δανιὴλ ἐς τὴν τῆς Γαλατίας Ἄγκυραν προβιβάζεται. Ἀλλὰ καὶ ὁ Συμεώνης ὁ νέων Πατρῶν τὴν μετάθεσιν ἔσχεν εἰς Λαοδίκειαν. Ὁ Λαρίσσης τε Ἰωάννης εἰς Σύναδα μετηνέχθη· ἐπὶ δὴ τούτοις ἐκ τῆς Ἀμασέων πόλεως Στέφανος ἐκτομίας εἰς πατριάρχην τῆς Κωνσταντίνου χειροτονεῖται, Ῥωμανοῦ τοῦ γέροντος τὰ σκῆπτρα διακατέχοντος. Καὶ ὁ τῆς Ἀντιόχου δὲ ποιμενάρχης εἰς τὸ τῆς Μεγάλης ἐκκλησίας πρῶτον ὀφφίκιον μετατάττεται. C Ἀπὸ δὲ τῆς ἐπισκοπῆς Φλαβιάδος ἥτις ἐστὶν ὑπὸ τὴν Ἀναζάρβης μητρόπολιν, Νικηφόρος ὁ Φωκᾶς τὸν ἐπίσκοπον ταύτης Εὐστράτιον μεταγαγὼν ἐκεῖθεν, Ἀντιοχείας πατριάρχην καθίστησιν· ἀποσπάσας καὶ τὴν εἰρημένην ἐπισκοπὴν Ἀναζάρβης, καὶ τῷ τῆς Ἀντιοχείας πατριαρχείῳ ἑνώσας. Ὅ τε Σελευκείας τῆς Πιερίας Ἀγάπιος εἰς τὴν Ἀντιόχου καὶ αὐτὸς μετατίθεται, τοῦ Πορφυρογεννήτου Βασιλείου τοῖς Ῥωμαϊκοῖς σκήπτροις ἐνδιαπρέποντος. Ἐπὶ δὲ τῆς αὐτῆς ἡγεμονίας Θεοφύλακτος ἐκ τῆς Σεβαστηνῶν εἰς Ῥωσίαν ἀνάγεται. Ἀλέξανδρός τε ὁ τῆς Ἀντιόχου ἐπίσκοπος εἰς Ἱεροσόλυμα προβιβάζεται. Ὅ τε Ἰωάννης, ᾧ Κωδωνᾶτος ὄνομα, τὸ καινὸν δὴ καὶ ἐξάκουστον, ἀπὸ τῆς μεγάλης Ἀντιοχείας εἰς τὴν μητρόπολιν Τύρου κατάγεται. Καὶ D αὖθις ὁ Τύρου ἐπίσκοπος, εὐνοῦχος ὤν, παρὰ Περσῶν τῆς αὐτοῦ ἐκκλησίας ἁλούσης φυγὰς εἰς Ἱεροσόλυμα γίνεται. Συμβὰν δὲ χηρεύειν τὸν θρόνον, οἱ Ἱεροσολυμῖται τὸν κρατοῦντα Πέρσην καθικετεύσαντες, τὴν τῶν Ἱεροσολύμων Ἐκκλησίαν τούτῳ πιστεύουσιν· ὃς καὶ ἐν τῇ Κωνσταντίνου γενόμενος κατὰ τὸ ἑξακισχιλιοστὸν ἑξακοσιοστὸν πεντεκαιδέκατον ἔτος, Ἀλεξίου τοῦ ἐκ Κομνηνῶν βασιλεύοντος, παρὰ τῆς ἱερᾶς εἰσεδέχθη συνόδου, Νικολάου τοῦ Θεοπροβλήτου πατριαρχοῦντος. Τοῦ δ' αὐτοῦ Νικολάου τὸν θρόνον τῆς Κωνσταντίνου διέποντος, Πενταχλᾶς ἐκεῖνος ἀπὸ Ῥωσιάνων εἰς ἀρχιεπίσκοπον Λήμνου καθίσταται. Προσεδόθη δὲ αὐτῷ καὶ ἡ Μάρωνος. Νικηφόρος δὲ ὁ μητροπολίτης Γάγγρας, οἷα σχολάζων, τὴν μητρόπολιν ἔσχεν Ἄμαστριν. Ἐπὶ

στης δὲ καὶ ὁ Λεοντουπόλεως ἔσχεν Ἀρκαδιούπολιν. Τῷ Ἀλεξιουπόλεως σχολάζοντι ἡ Ἄβυδος ἐπεδόθη· ἐς ὕστερον δὲ καὶ ὁ Ἄπρως. Πολλαὶ δὲ καὶ τῶν ἐκκλησιῶν ἥνωνται, ὥσπερ ἡ Πάρος καὶ ἡ Ναξία, τά τε Σοῦγδα καὶ τὰ Φοῦλα, ἥ τε Ἀλανία καὶ ἡ Σωτηριούπολις. Τοῦ δ' ἐξ Ἀγγέλων Ἰσαακίου τὸν τῆς βασιλείας πρυτανεύοντος θρόνον, ὁ Ἱεροσολύμων Δοσίθεος εἰς τὸν τῆς Κωνσταντίνου θρόνον μετάγεται· ἐκεῖσε δὲ Μάρκος ὁ κατὰ Φλῶρον προάγεται. Εἶτα πάλιν Δοσίθεος τὴν Κωνσταντίνου λιπὼν, εἰς τὸν τῆς Αἰλίας θρόνον ἐπάνεισι, τοῦ κατὰ Φλῶρον ἐκεῖθεν παρὰ πᾶσαν δίκην ἀπελαθέντος. Ἐς ὕστερον δὲ καὶ ἄμφω τοὺς θρόνους τῆς τ' Αἰλίας καὶ Κωνσταντίνου παρῃτεῖτο Δοσίθεος· καὶ καθ' αὑτὸν γενόμενος ἐτελεύτα. Ταῦτα μὲν ἐν τοῖς ἄνω χρόνοις ἐγένετο· ἐν δὲ τῷ κατ' ἐμὲ χρόνῳ καὶ τοὺς τέσσαρας τῶν ὑψηλῶν προεδρευόντας θρόνων ἐκ μεταθέσεων οἶδα γεγενημένους. Μετὰ γὰρ τὸν πολὺν ἐκεῖνον Ἀρσένιον ὁ τῆς Ἐφεσίων Νικηφόρος, καὶ ὁ τῆς Ἀδριανοῦ Γερμανὸς, εἰς τὸν τῆς Κωνσταντίνου μετατίθενται θρόνον. Πολλῷ δὲ ὕστερον καὶ Νίφωνα ἐκ τῆς ἐν Ἑλλησπόντῳ Κυζίκου εἰς τὸν αὐτὸν ἀναγόμενον θρόνον ἐθεασάμην. Ἀλλὰ μὴν καὶ τὸν Ἀλεξανδρείας Ἀθανάσιον, ὃς τὸν Νικόλαον διεδέξατο, ὁ τῆς Αἰγύπτου ἐπίσκοπος Γρηγόριος διαδέχεται. Ἀνὰ δὲ τὴν Ἀντιόχου κατὰ διαδοχὴν καὶ τέσσαρας ἔγνων ἐκ μεταθέσεων· μετὰ γὰρ Εὐθύμιον καὶ Ἀρσένιος ἐκ Τριπόλεως τὸν ἐκεῖσε θρόνον κληροῦται. Τοῦτον δὲ ὁ τῆς Τύρου Κύριλλος διαδέχεται· καὶ τοῦτον δὲ ὁ τῆς Πομπηϊουπόλεως Διονύσιος· τὸν δ' αὖθις Κύριλλος ἕτερος, οὗ διάδοχος ὁ Μοψουεστίας λαμπρὸς Διονύσιος· καὶ τοῦτον πάλιν ὁ Τύρου Σωφρόνιος. Ὡσαύτως δὲ καὶ ἐν Ἱεροσολύμοις ἐκ μεταθέσεως δύο τεθέαμαι. Σωφρονίου γὰρ τελευτήσαντος, ὁ τῆς Φιλίππου Καισαρείας Ἀθανάσιος διάδοχος γίνεται. Οὗ Γαβριὴλ τις Καισαρείας τῆς Φιλίππου καὶ οὗτος πρώην ἐπίσκοπος ἀνακηρυχθεὶς, δόλῳ τὸν θρόνον Ἱεροσολύμων ἁρπάζει· καὶ μετὰ βραχὺ τέλει τοῦ βίου χρησάμενος, τῷ πρώην Ἀθανασίῳ καὶ ἄκων καταλείπει τὸν θρόνον. Ταῦτα μὲν περὶ μεταθέσεων· ἃ ἐγὼ καὶ πρώην καὶ ὕστερον γνοὺς, τῇ συγγραφῇ παρεθέμην. Πολλοὺς δ' ἂν καὶ ἄλλους εὕροι τις ἴσως ταῖς ἱστορίαις φιλοπονῶν. Ὁ γὰρ κανὼν, ἧπέρ μοι εἴρηται, μετάθεσιν τὸ τοιοῦτον ὀνομάζει, καὶ οὐ μετάστασιν ἢ μετάβασιν. Ταῦτα γὰρ ὡς ἄν τις εἴποι ἐπὶ ἐμψύχων λαμβάνονται, καὶ ἐξ οἰκείας προαιρέσεως κινουμένων· τὸ δέ γε μετατίθεσθαι καὶ ἡ μετάθεσις ἐπὶ ἀψύχων, καὶ ὑφ' ἑτέρων ὡσανεὶ κινουμένων. Εἴη δ' ἂν μετάστασις ἐπὶ τῶν οἴκοθεν ἐπιπηδώντων τοῖς ὑψηλοτέροις τῶν θρόνων· μετάθεσις δὲ ἐπὶ τῶν ὑφ' ἑτέρων ἀκουσίῳ τῇ γνώμῃ τρόπον τινὰ προβιβαζομένων. Ὃ δὴ καὶ Κελεστῖνος ὁ τῆς Ῥώμης ἐπίσκοπος ἐν τοῖς παρ' αὐτῷ καλουμένοις σεκρέτοις ἐν κεφαλαίῳ δευτέρῳ παραδεικνὺς τάδε κατὰ ῥῆμα διέξεισιν· « Εἴ-

præter jus et æquum omne expulso. Postea vero utraque et Æliensi et Constantinopolitana sede posthabita, Dositheus privatus vixit et decessit. Hæc superioribus temporibus sunt acta. Ætate vero mea quatuor sublimium sedium antistites, ex translatione, Ecclesiæ rebus præesse memini. Post magnum enim Arsenium illum Nicephorus Ephesius et Germanus Adrianopolitanus in Constantinopolitanam Ecclesiam sunt transmissi (1). Multo deinde post, Niphonem etiam ex Hellesponti Cyzico in eamdem Ecclesiam deductum esse vidimus. Athanasio quoque Alexandrino, qui Nicolao successerat, Gregorius Ægypti episcopus subrogatus est. Antiochiæ vero quatuor per ejusmodi translationem episcopos successisse novi. Post Euthymium namque ex Tripoli Arsenius transmissus sedem eam sortitus est. Cui Cyrillus Tyrius successit. Atque huic Pompeiopolitanus Dionysius : Dionysio rursus Cyrillus alius, qui deinceps successorem habuit clarum illum Dionysium Mopsuestiensem, atque hic rursum Sophronium Tyrium. Hierosolymis itidem duos per translationem successisse vidimus. **531** Nam Sophronio defuncto, in locum ejus Athanasius Cæsareæ Philippi episcopus suffectus est. Cujus sedem Gabriel quidam Cæsareæ Philippi, et ipse nuper episcopus renuntiatus, dolo rapuit : et paulo post fatis concedens, vel invitus eam rursus Athanasio priori reliquit. Hæc de episcoporum translationibus, quæ vel antea vel post facta esse cognovi, volumini huic annexui. Fortasse autem plures alios quisquam invenerit, qui historias studiose evolvat. Canon namque, sicuti a me est dictum, translationem eam rem appellat, et non permutationem, aut transitionem : quod hæc verba de animatis et eis quæ proprio arbitrio et voluntate moventur, transferri autem et translatio de inanimatis atque eis quæ veluti ab aliis moventur, dicatur : ita ut transmutatio et transitio eorum sit, quæ ex sede sua in sublimiores involant thronos : translatio autem eorum qui ipsi inviti ab aliis alio producuntur. Id quod et Cœlestinus Romæ episcopus, in suis, sicuti ipse appellat, secretis, capite secundo, hisce utens verbis ostendit : « Si episcopus utilitatis gratia transferatur, ne id per seipsum faciat, sed fratribus cogentibus. Et rem eam sacræ hujus sedis auctoritate expediat, non inanis gloriæ, verum utilitatis communis aut necessitatis ergo. » Eadem et Anterius collega ejus refert, ita ad verbum dicens : « Translationem episcoporum communis utilitatis aut necessitatis gratia scitote fieri licere, non autem cujuslibet cupiditate, aut dominationis affectione. Siquidem Petrus doctor et dux noster ecclesiasticæ utilitatis causa ex Antiochia Romam translatus est, et inde postea Alexandriam

(1) De hac re ipse Nicephorus in catalogo episcoporum Constantinopolitanorum : Ἀρσένιος ἄριστος ἐν ἀρχιθύταις, τῆς Ἐφέσου πρόεδρος ὁ Νικηφόρος, τῆς Ἀδριανοῦ Γερμανὸς ἀρχιθύτης. Hoc est : *In archimystis optimus Arsenius, Ephesique præsul inclytus Nicephorus, Germanus urbis Adriani episcopus..*

transiit, ut qui isthic prodesse magis Ecclesiæ posset. Eusebius autem ex oppido quodam parvo, apostolica auctoritate Alexandriam est traductus. Atque eodem modo et Felix ex civitate quæ ei civium electione obtigerat, propter eam, qua præditus erat, egregiam doctrinam et vitam, de communi episcoporum reliquorumque sacerdotum atque apostolicorum virorum consilio, Ephesum transiit. Non enim civitatem civitate mutat, qui id non cupiditate sua aut vanæ gloriæ studio facit :
532 verum propter utilitatem aliquam, aut necessitatem, aliorum auctoritate majore pollentium cohortatione et consilio, ex minore in majorem urbem transit : non inani gloria aut voluntate ipse sua ductus, sed auctoritati potentiorum obsecutus, aut sede sua expulsus, aut etiam utilitate loci vel populi permotus : et quidem non arroganter, sed humiliter ab aliis productus. » Cæterum de translationibus istis hæc, judicio meo, satis prolixe dicta sunt. Quapropter ad reliquum historiæ contextum revertamur.

A περ ἐπίσκοπος ὠφελείας χάριν μετατεθείη, μὴ δι' ἑαυτοῦ τοῦτο ποιείτω· ἀλλὰ τῶν ἀδελφῶν ἀναγκαζόντων, καὶ τῇ αὐθεντίᾳ τῆς ἱερᾶς τῆσδε καθέδρας τὴν πρᾶξιν τελείτω, μὴ κενοδοξίας χάριν, ἀλλ' ὠφελείας ἕνεκεν ἢ ἀνάγκης. » Τὰ ἴσα δὲ καὶ Αὐτέριος ὁ συνεπίσκοπος τούτῳ διαγορεύει, οὕτω κατὰ ῥῆμα διεξιών· « Τὴν μετάθεσιν τῶν ἐπισκόπων γινώσκετε, κοινῆς ὠφελείας ἕνεκεν ἢ ἐξ ἀνάγκης ἐξεῖναι γίνεσθαι, οὐ μὴν ἐπιθυμίᾳ τοῦ τυχόντος ἢ καὶ δυναστείᾳ. Πέτρος γὰρ ὁ ἱερὸς ἡμῶν διδάσκαλος καὶ ἔξαρχος τῶν ἀποστόλων ἐξ Ἀντιοχείας ὠφελείας χάριν μετετέθη εἰς Ῥώμην, εἶτ' ἐκεῖθεν μετέβη εἰς Ἀλεξάνδρειαν, ὡς ἐκεῖσε μᾶλλον ὠφελῆσαι δυνάμενος. Εὐσέβιος δὲ ἔκ τινος μικρᾶς πόλεως τῇ ἀποστολικῇ αὐθεντίᾳ μετετέθη εἰς Ἀλεξάνδρειαν. Ὁ-
B μοίως καὶ Φῆλιξ ἐκ τῆς πόλεως καθ' ἣν ἐτάχθη τῇ ἐκλογῇ τῶν πολιτῶν, διά τε τὴν διδασκαλίαν καὶ τὸν ἀγαθὸν βίον ὃν εἶχε, τῷ κοινῷ τῶν ἐπισκόπων, καὶ τῶν λοιπῶν ἱερέων, καὶ τῇ τῶν ἀποστόλων συμβουλῇ μετετέθη εἰς Ἔφεσον. Οὐδὲ γὰρ μεταβαίνει ἐκ πόλεως εἰς πόλιν ὁ μὴ τῇ οἰκείᾳ ἐπιθυμίᾳ ἢ κενοδοξίᾳ τοῦτο ποιῶν· ἀλλ' ὠφελείᾳ τινὶ ἢ ἀνάγκῃ διὰ τῆς τῶν ἑτέρων προτροπῆς καὶ τῆς βουλῆς τῶν ἰσχυροτέρων μετατίθεται ἐξ ἐλάττονος πόλεως πρὸς μείζονα ὁ τοῦτο μὴ κενοδοξίᾳ, μήτε μὴν οἰκείῳ θελήματι ποιῶν, ἀλλ' ἢ δυναστείᾳ ἢ τῆς οἰκείας καθέδρας ἐξωσθείς, ἢ ἐπ' ὠφελείᾳ τοῦ τόπου ἢ τοῦ λαοῦ· οὐχ ὑπερηφάνως, ἀλλὰ ταπεινοτέρως παρ' ἑτέρων. » Ἀλλὰ περὶ μὲν μεταθέσεων ἀρκεῖ γε, οἶμαι, τὰ εἰρημένα· ἡμεῖς δὲ αὖθις ἐπὶ τὸ συνεχὲς τῆς ἱστορίας ἐπαναδράμωμεν.

CAPUT XL.

De Judæis qui in Creta vagati, post ea Christianismum sunt complexi. Item ut tum ultra flumen Rhenum gens Burgundionum Christi religionem C *susceperit.*

Et divinus quidem Proclus ad sacra Ecclesiæ gubernacula consedit, et res ecclesiasticas composuit. Eo autem tempore multi in Creta Judæi Christianorum sacra sunt complexi, per causam ejusmodi. Vir quidam ex eorum genere erat, qui cum per fraudem et dolum vitam peregisset, postremo se etiam Mosen illum esse assimulavit, et cœlitus in Cretam a Deo propterea missum esse confinxit, ut ejus loci Judæos ipse per mare, perinde atque olim Israelitas per rubrum sinum, duceret. Et passim insulam ipsam anno toto peragrans, ut se illum esse crederent, suasit : atque ut opes quas haberent, pecuniasque et possessiones omnes D aspernarentur, cohortatus est, se illos per mare non aliter quam in arida, in promissionis terram ducturum esse pollicitus. Atque illi vanis illius promissis decepti, res operasque suas ubique neglexerunt, et facultates suas temere quibuscunque diripiendas permisere. Ubi dies constituta advenit, qua proficisci debebant, ipse quidem confidentia et fastu plenus eis præiit : illi vero hominem una cum conjugibus et ætate imbecilliore consecuti sunt. Itaque eos in summum quemdam scopulum in pelagus excurrentem duxit, atque inde conjicere seipsos in mare, veluti natantes et urinantes, jussit.
533 Idque ex illis quidam, statim ut imperatum eis erat, fecerunt, neque deinceps apparuerunt :

ΚΕΦΑΛ. Μ'.

Περὶ τῶν ἐν Κρήτῃ πλανηθέντων Ἰουδαίων, καὶ ὡς ὕστερον ἠσπάσαντο τὰ Χριστιανῶν· ἔτι δὲ καὶ ὅπως τηνικαῦτα τὸ πέραν Ῥήνου τοῦ ποταμοῦ ἔθνος οἱ Βουργουντζίωνες τὸν Χριστιανισμὸν παρεδέξαντο.

Ὁ μὲν οὖν θεῖος Πρόκλος ἐπὶ τῶν ἱερῶν οἰάκων καθῆστο, καὶ τὰ κατὰ τὴν Ἐκκλησίαν ἡσύχαζε πράγματα· ἐν τούτῳ δὲ πολλοὶ τῶν ἐν Κρήτῃ Ἰουδαίων τὰ τοῦ Χριστιανισμοῦ κατησπάζοντο, αἰτίας τοιᾶσδε γεγενημένης. Ἀνὴρ γάρ τις τῆς ἐκείνων φυλῆς, ἀπάτῃ καὶ δόλῳ τὸν βίον διηνυκώς, τέλος καὶ Μωϋσῆν ἐκεῖνον εἶναι ἑαυτὸν ἀνεπλάσατο· καὶ οὐρανόθεν τῇ Κρήτῃ πρὸς Θεοῦ πεμφθῆναι, ὡς ἄν γε τοὺς ἐκεῖ Ἰουδαίους διὰ τῆς θαλάσσης ἀγάγοι, ὥσπερ πάλαι τοὺς Ἰσραηλίτας διὰ τῆς Ἐρυθρᾶς. Καὶ δὴ περιῄει τὴν νῆσον ἁπανταχοῦ, πείθων ὡς αὐτὸς ἐκεῖνος εἴη πιστεύεσθαι. Παρῄνει δὲ πάντα D μὲν ὅσα ἐκείνοις προσῆσαν χρήματά τε καὶ κτήματα, μηδεμιᾶς φροντίδος ἀξιοῦν, ὑπισχνούμενος διὰ τῆς θαλάσσης ὡς ἐπὶ ξηρᾶς εἰς τὴν τῆς ἐπαγγελίας γῆν ἀγαγεῖν. Οἱ δὲ ταῖς κεναῖς ἐκείνου παραδυσχοληθέντες ἐγγύαις, παντάπασι τῶν ἰδίων ἔργων ἠμέλουν· καὶ τοῖς παρατυχοῦσι τὰ ἑαυτῶν εἴων ὡς ἄρα βουλομένοις εἴη λαμβάνειν. Ὡς δ' ἧκεν ἡ τῆς προθεσμίας ἡμέρα καθ' ἣν ἔδει ἐκείνους ἀπαίρειν, ὁ μὲν φρονήματος πλήρης καθηγεῖτο· οἱ δ' ἅμα πάντες εἵποντο σύναμα γυναιξὶ καὶ τῇ ἀδρανεῖ ἡλικίᾳ. Καὶ δὴ ἐπί τι ἀκρωτήριον ἐκτρέχον εἰς πέλαγος ἤγαγε· κἀκεῖθεν ἐπιῤῥίπτειν ἑαυτοὺς ἐκέλευε τῇ θαλάττῃ ὥσπερ ἐγκυβιστῶντας. Οἱ μὲν οὖν προφθάσαντες, εὐθὺς ἔπραττον τὸ ῥηθέν, καὶ οὐδαμῶς τοῦ λοιποῦ ἐμφανεῖς ἦσαν· ἄλλοι δὲ καὶ πά-

κρημνοῖς διεφθείροντο· καὶ ἔφθασαν ἂν ἅπαντες τοῖς ὕδασι καὶ κρημνοῖς ἀπολλύμενοι, εἰ μὴ Θεοῦ προνοίᾳ μόλις ἁλιεῖς ἄνδρες καὶ ἐμπορίᾳ συζῶντες ἀναφανέντες Χριστιανοὶ, πᾶσι τρόποις ἀνέλκοντες ἔσωζον, τότ' ἴσως τῆς ἀνοίας λαμβάνοντας αἴσθησιν· τοὺς δὲ ἄλλους ἀνεῖργον σφᾶς αὐτοὺς ἐπιῤῥίπτειν τῷ κύματι, ἐπιλέγοντες τὴν τῶν προῤῥιψάντων ἀπώλειαν· καὶ μόλις ἐν νῷ γενόμενοι, καὶ τῆς ἀκρίτου πίστεως τὴν ἀπάτην φωράσαντες, ἀνέσχον ἀθλίως ἐκπλεῖν· καὶ τὸν Ψευδομωϋσῆν ἐκεῖνον ἐπειρῶντο συσχεῖν. Ἀλλ' οὐκ ἔσχον εἰς ἔργον ἀνῦσαι τὸ σπουδαζόμενον· εὐθὺς γὰρ ἐκεῖνος ἀφανὴς ἦν, καὶ πολλὴν παρέσχεν ὑπόνοιαν, ὡς ἀλάστωρ τις δαίμων ἀνθρωπείαν μορφὴν περιθέμενος, ἐπὶ λύμῃ τὸ ἔθνος προῆγεν. Ἔνθεν τοι καὶ πολλοὶ τὰ Ἰουδαίων χαίρειν φράσαντες, τῶν ἐν Κρήτῃ, τὰ τῶν Χριττιανῶν βεβαίως ἠσπάσαντο, εἰς ἄπειρόν τι πλῆθος ἠριθμημένοι. Παραπλήσιον δέ τι καὶ ἄλλο κατὰ τόνδε τὸν χρόνον ἐγένετο· ὃ καὶ αὐτὸ διηγήσομαι. Βάρβαρόν τι ἔθνος παρὰ τὸ πέραν τοῦ ποταμοῦ Ῥήνου τὰς διατριβὰς ἔχει. Βουργουντζίωνες τῷ ἔθνει τὸ ὄνομα· λίαν δὲ τὸ ἔθνος τοῦτο ἀπραγμονέστατον· τέκτονες γὰρ πάντες σχεδόν εἰσιν· ἐξ οὗ καὶ τὸ ζῆν μισθοῦ πράττουσι. Τὸ οὖν ἔθνος τῶν Οὔννων παρακείμενον ἐπιδρομὰς αὐτοῖς ἐποιεῖτο πυκνὰς, καὶ τὴν ἐκείνων ἔκειρε χώραν ληλατοῦν· καὶ πολλοὶ ἀνῄρηντο συῤῥηγνύμενοι μάχῃ. Ἐν ἀμηχάνῳ δὲ τοῖς δεινοῖς καθεστῶτες, θεῷ τινι ἐπιτρέψαι τὰ καθ' ἑαυτοὺς ἐβουλεύοντο. Ἐν νῷ δὲ θέμενοι ὡς ὁ τῶν Ῥωμαίων καὶ Χριστιανῶν Θεὸς πλεῖστα τοῖς ἐκείνῳ προσκειμένοις ἀρήγει, ὀξύτατος γινόμενος βοηθὸς, κοινῇ ψήφῳ πάντες ἐκείνῃ τῇ πίστει προσῆεσαν. Καὶ δὴ κατὰ μίαν τῶν Γαλλιῶν πόλιν γενόμενοι, ἱκέται τοῦ ἐπισκόπου ἦσαν, καὶ αὐτοὺς τὴν τῶν Χριστιανῶν πίστιν ἀναδιδάξαι, καὶ τοῦ θείου καταξιῶσαι βαπτίσματος. Ὁ δ' ἑπταήμερον νηστείαν ἐπιτρέψας αὐτοῖς, καὶ ἃ χρεὼν κατηχήσας, κατὰ τὴν ὀγδόην βαπτίσας, οἴκαδε ἀπιέναι ἐκέλευεν, ἐπίσκοπον αὐτοῖς παραδούς. Ἀναθαῤῥήσαντες οὖν ἐντεῦθεν ὁμόσε κατὰ τῶν τυραννούντων ἐχώρουν ἐχθρῶν· καὶ τῆς προσδοκίας οὐδαμῶς ἠστόχουν· ὑπὸ γὰρ πολλῶν σιτίων τροφῆς Οὐπτάρου διαῤῥαγέντος, οὗτος γὰρ τῶν Οὔννων κατῆρχε, σφίσιν ἀνωϊστὶ ἐπιθέμενοι, σφόδρα πολλοὺς κατηκόντισαν· τρισχίλιοι γὰρ ὄντες, μυρίους ἀπέκτειναν. Καὶ ἐξ ἐκείνου τὸ ἔθνος τοῦτο διάπυρον ἔσχε πρὸς τὸ ἀκριβῶς Χριστιανίζειν τὸν ἔρωτα. Οὕτω Θεὸς δι' ἄλλων ἕτερα πανσόφως οἰκονομεῖ, βυθοῖς προνοίας ὡς εἰκὸς τὸ πᾶν διοικῶν. Ταῦτα μὲν περὶ τούτων· ἐγὼ δὲ καὶ ἑτέραν τῷ λόγῳ δώσω διήγησιν, ἵν' ἐξῇ πᾶσι γινώσκειν, ὡς καὶ δι' ἀναξίων πολλάκις Θεὸς τὰ συνήθη πράττων τεράστια δείκνυσι.

A quidam etiam in præcipitio saxis allisi interierunt. Et universi illi vel in undis, vel in præcipitibus saxis periissent, nisi Dei providentia, vix piscatores et alii mercatura victum quæritantes, Christiani homines, subito extrahentes servassent, tum primum fortasse qua dementia capti essent, sentientes. Hi alios, quominus se in fluctus projicerent, prohibuerunt, eorum qui antea id fecissent, interitum illis indicantes. Qui sane ægre in animo rem secum reputantes, et fraudem sine judicio susceptæ fidei et credulitatis deprehendentes, ut miserabilem in modum enatarent, sustinuerunt: et tandem Pseudomosen illum comprehendere sunt aggressi. Verum perficere id minime potuerunt: confestim enim ille disparuit, et magnam B suspicionem præbuit, perniciosum quempiam dæmonem sub humana specie gentem eam in exitium produxisse. Proinde multi Judæorum superstitioni nuntio remisso, in Creta Christianam religionem constanter susceperunt. Horum innumera prope fuit multitudo. Simile quiddam aliud quoque eodem tempore accidit, quod et ipsum commemorabo. Gens quædam barbara ulteriorem Rheni amnis ripam accolit. Burgundiones dicuntur, tranquillitatis et otii valde studiosi. Fabri namque tignarii omnes fere sunt, et ea arte vitæ sumptus tolerant. Porro Hunnorum natio eis imminens, frequentes excursiones in eos faciebat, et regionem eorum diripiendo vastabat. Multi etiam ex illis, cum hostiC bus pugna congressi, interficiebantur. Cum ergo propter cladem ejusmodi de rebus suis desperarent, ut deo alicui res suas committerent, consilium cepere: cumque in mentem eis veniret, Christianorum Deum cultoribus suis ut acerrimum auxiliatorem plurimum opis ferre, de communi omnium consensu, ad religionem ejus et fidem accesserunt. Quam ob causam et in quadam Galliæ civitate episcopum, ut eos Christianorum religionem edoceret, et divino baptismo dignaretur, obtestati sunt. Ille vero ubi eis septem dierum jejunium indixit, eosque quæ opus erat de sacris rebus instituit, octavo die baptizatos, una cum episcopo quem eis attribuit, domum redire jussit. **534** Et ex ea re fiducia concepta, contra hostes tyrannidem D tantam exercentes processerunt: neque eos spes et exspectatio sua fefellit. Nam Uptaro Hunnorum duce ex crapula nimia rupto, de improviso hostes duce orbatos adorti multos admodum telis confecerunt; atque ipsi cum trium tantum millium numerum explerent, decem Hunnorum millia interemerunt. Ex eo tempore Burgundionum gens ardenti ad Christianismum summe conservandum amore flagravit. Ita Deus alia per alia quam sapientissime dispensat, providentiæ arcano longe optime omnia administrans. Hæc hactenus. Ego vero aliam quoque rem commemorabo, ut cognoscere omnes possint, Deum persæpe etiam per indignos solita consuevisse prodigia exhibere.

CAPUT XLI.

De Paulo Novatianorum episcopo, et quæ ille admiratione et memoria digna ediderit.

Eo enim tempore Novatianorum episcopus Paulus, Chrysanthi successor, miraculum quoddam edidit, et præclaram sibi per id pietatis et amoris divini apud suos famam paravit. Grave in urbe grassatum est incendium, quale haud unquam alias illa sensit. Plurimam namque ejus partem flamma pervasit, adeo ut maxima quæque horrea et frumenti granaria conflagrarint, atque in eis publicum quoddam, cui Achillei (1) cognomen fuit. Porro ignis, ædificia circumquaque depastus, etiam contra Novatianorum ecclesiam, quæ prope eum locum fuit, qui Pelargus dicebatur, versus est. Cum autem ea sic in periculo esset, Paulus in sanctius sacrarium ingressus, Deum, ut ecclesiam conservaret, supplex oravit, pro urbe ipsa simul et templo precari ibi non intermittens. Et Deus, nescio quo modo precibus ejus exauditis, delubrum id inviolatum servavit. Ignis namque per januas et fenestras jam omnes involans, ei non nocuit: sed cum circumcirca ædificia simul multa consumpsisset, templum præteriit, intactum id atque inviolatum a tanto flagello relinquens. Et quod maximum est, cum incendium biduum totum grassatum ubique esset, ne vestigium quidem fumi in muris et tignis ecclesiæ ejus apparuit. **535** Novatiani ex eo tempore quotannis 17 Augusti mensis die ob servatum templum sacra celebrantes, celebrem eum locum reddidere; et multos etiam ex gentilis superstitionis cultoribus in fano eo, propter factum id augustp, rem divinam facientes ad se pertraxere. Aliud item memoria dignum facinus Paulus iste jam moriturus fecit, quod et ipsum non intempestive historiæ huic inseretur. Illud namque nobis propositum est consilium, ut ex omnibus quod commodum est et utile, colligamus, et nonnunquam etiam ex serpentibus Andromachen conficiamus. Paulus, sicuti dixi, moriturus, sacerdotum qui sub eo erant, ordine omni accito, « Curæ, inquit, vobis sit, dum ego adhuc spiro, ut episcopum designetis, ne in ecclesia vestra, me defuncto, turba aliqua oriatur. » Atque ubi illi non sanum rectumque ea in re se judicium habere, propterea quod alius alii pro affectione faverent, dixerunt, electionemque ei permiserunt, inferens ille, Sententiam, inquit, consensumque vestrum in scriptum relatum mihi date, in eo scilicet vos quem ego delegero acquieturos esse, et ego id facere sum paratus. Illi imperata statim faciunt, et Paulus in lecto sedens, charta accepta, Marciani cujusdam nomen in ea

ΚΕΦΑΛ. ΜΑ'.

Περὶ Παύλου τοῦ Ναυατιανῶν ἐπισκόπου, οἷα διεπράξατο λόγου καὶ μνήμης ἄξια.

A Τηνικαῦτα γὰρ ὁ τῶν Ναυατιανῶν ἐπίσκοπος Παῦλος, ὃς μετὰ Χρύσανθον γέγονε, παράδοξόν τι ἐνήργει, καὶ ὄνομα ἐντεῦθεν θεοφιλίας παρὰ τῶν οἰκείων ἐκτᾶτο πολύ· χαλεπὸς μὲν γὰρ ἐμπρησμὸς τῇ πόλει συνέβαινεν, οἷον μὴ ἄλλον ἐπισκῆψαί ποτε· τὸ πλεῖον γὰρ τῆς πόλεως ἐπέδραμεν, ὡς καὶ τὰ μέγιστα τῶν ὡρείων καταναλῶσαι, καὶ τὸ δημόσιον ᾧ Ἀχιλλεὺς ἐπώνυμον ἦν. Ἕρπον δὲ τὸ πῦρ καὶ τὰ κύκλῳ διανεμόμενον, καὶ ἐπὶ τὴν τῶν Ναυατιανῶν ἐκκλησίαν ἐχώρει, ἣ τὰ Πελαργοῦ δνομα εἶχεν. Οὕτω δ' ἐν κινδύνῳ τὴν ἐκκλησίαν Παῦλος B ἰδὼν, εἰστρέχει τὸ ἱερὸν, Θεῷ τὴν ἐκείνης σωτηρίαν ἐκλιπαρῶν· κἀκεῖσε ὢν οὐ διέλιπε δεόμενος τοῦ Θεοῦ ὑπέρ τε τῆς πόλεως καὶ τοῦ νεώ. Καὶ Θεὸς οὐκ οἶδ' ὅπως εἴξας ἐκείνῳ, τὸ ἱερὸν ἀλύμαντον διεσώσατο· διὰ γὰρ πασῶν τῶν θυρίδων λάβρως εἰσῤῥῆσαν τὸ πῦρ, τὴν δύναμιν οὐκ ἐνήργησεν· ἀλλὰ τὰ μὲν πολλὰ τῶν πέριξ ἐκείνου ἀθρόον κατεδαπάνησε· τὸν δὲ νεὼν παρέδραμεν ἀθιγῆ, ἀλώβητον τῆς τοσαύτης ὑπερβαλλούσης μάστιγος διατηρήσας· καὶ τὸ δὴ μέγιστον, ὅτιπερ καὶ ἐπὶ δυσὶν ἡμέραις τοῦ πυρὸς διατρέχοντος πάντη, οὐδ' ἴχνος καπνοῦ τοῖς ἐκείνου τοίχοις ἢ ξύλοις ἐνῆν κατιδεῖν. Καὶ ἐξ ἐκείνου Ναυατιανοὶ σῶστρα θύοντες, περιφανῆ τὸν τόπον ἐποίουν, πολλοὺς καὶ τῶν Ἑλλήνων ἐφέλκοντες, ὡς σεβάσμιον τῷ γενομένῳ τὸν χῶρον ἐπι- C θειάζοντες. Καὶ ἄλλο δὲ μνήμης ἄξιον Παῦλος ὁ εἰρημένος εἰργάσατο, ἀπολείπειν μέλλων τὸν βίον, ὃ καὶ αὐτὸ οὐκ ἂν ἄκαιρον εἴη παραθεῖναι τῇ ἱστορίᾳ. Διὰ πάντων γὰρ σκοπὸς ταύτῃ τὸ χρήσιμον ἐκπορίζεσθαι. Ἔστι γὰρ ὅτε καὶ ἐξ ὄφεων τὴν Ἀνδρομάχην διασκευάζομεν. Ἐπεὶ γὰρ, ὡς εἴρηται, τελευτᾷν ἔμελλε Παῦλος, πᾶσαν τὴν ὑπ' αὐτῷ ἱερωσύνην μεταστειλάμενος, « Φροντὶς ὑμῖν γενέσθω, φησὶν, ἕως ἔτι κἀγὼ ἐμπνέων εἰμὶ, ἐπίσκοπον ἀναδεῖξαι· ἵνα μὴ ἐμοῦ ἀπογενομένου, τὰ τῆς ὑμῶν ἐκκλησίας ἐν συγχύσει γίνηται. » Ἐκείνων δ' εἰρηκότων μὴ ὑγιὲς ἔχειν τὸ ἐπὶ τῇ τοιαύτῃ πράξει κριτήριον, ἄλλων ἄλλῳ προσκειμένων ἐκ προσπαθείας, κἀκείνῳ μᾶλλον ἐπιτρεπόντων τὴν ἐκλογὴν, ὑπολαβὼν ἐκεῖνος, Ἔγγραφόν μοι λοιπὸν, ἔλεγε, τὴν D ὁμολογίαν ἐπίδοτε, ὡς, ὃν ἂν ἑλοίμην ἐγὼ, στέρξετε· κἀγὼ τοῦτο δρᾷν ἕτοιμος. Τῶν δ' εὐθὺς δεδρακότων, τῆς κλίνης ὑπερκαθίσας ὁ Παῦλος, καὶ χάρτην λαβὼν, λεληθότως ὄνομά τινος τούτῳ ἐγγράφει Μαρκιανοῦ· ὃς πρεσβύτερος μὲν ἦν, ὑπ' αὐτῷ δὲ τὸν ἀσκητικὸν βίον μετῆλθεν, ἀπόδημος δὲ τηνικαῦτα ἦν. Τῇ σφετέρᾳ οὖν σφραγῖδι τὸν χάρτην ἐπισημηνάμενος, εἶτα καὶ τοὺς ἄλλους τῶν πρεσβυ-

(1) Tripart. historia et Paul. Diac. habent, *Thermas Achilleas*. Et est Thermarum mentio quæ Achilleæ dicuntur, in l. *Omnis Servitus*. C. De aquæ duct. Sed nescio an ea lex ad urbem Constantinopolitanam pertineat, quod in ea aquæductus Hadriani mentio fiat: ut fortasse ibi de aquæductibus Antiochiæ agatur, quam urbem præcipue Hadrianus ornavit. Ἀχιλλεῖαι κριταὶ, καθαραὶ καὶ εὐγενεῖς, h. e. *farre pura et generosa*: Suid. Aristoph. Ἀχιλλείων ἀπομάττῃ, h. e *primario vesceris pane*, ἀντὶ τοῦ, σιτήσεως τῆς ἐν Πρυτανείῳ μετέχεις, h. e. *pro eo quod est, in Prytaneo epularis.*

τέρων σφραγῖσαι παρασκευάσας, τὸ βιβλίον Μάρκῳ τῷ Σκυθίας ἐπισκόπῳ παρετίθει, τῇ πόλει τηνικαῦτα ἐπιδημοῦντι, καὶ ταῦτα δὴ ἐπειπών· « Εἰ μὲν Θεὸς κελεύει ἔτι με περιεῖναι τῷ βίῳ, τόδε τὸν χάρτην ὡς παρακαταθήκην φυλάξας, αὖθις ἀπόδος· εἰ δὲ ἐκείνῳ δοκεῖ ἐμὲ μεταστέλλεσθαι, ἀνελίξας τὸ βιβλίον, εὑρήσεις ὃν ἐγὼ, κοινῇ ψήφῳ ὑμῶν, ἡγεῖσθαι τῆς ἐπισκοπῆς ἔκρινα. » Ἐπεὶ δ' ἐτελεύτα, καὶ μετὰ τρίτην ἡμέραν τὸ βιβλίον ἠνοίγετο, πολλοῦ πλήθους παρόντος, ἀξία ἡ Παύλου ἐπιλογὴ καὶ παρ' ἐκείνων ἐκρίνετο. Καὶ μηδὲν ὑπερθέμενοι, τοὺς ἐκεῖνον συλληψομένους ἐξέπεμπον. Οἱ δ' ἀγαθῷ δόλῳ ἐν Τιβεριουπόλει τῆς Φρυγίας τοῦτον εὑρόντες, καὶ ἄκοντα ἄγουσι, καὶ τῇ Ἐκκλησίᾳ αὐτῶν ἐνθρονίζουσι. Καὶ περὶ μὲν Παύλου τοσαῦτα εἰρήσθω.

A clam conscribit: qui presbyter quidem erat, et sub eo monasticam vitam coluerat, tum autem peregre profectus fuerat. Paulus postquam ipse sigillo suo chartam obsignavit, idemque et presbyteri alii jussu ejus fecere, libellum Marco Scytharum episcopo, qui tum in urbe erat, credidit, hisce eum allocutus verbis: « Si Deus me diutius in vita manere voluerit, libellum hunc perinde atque depositum asservatum mihi reddes: sin illi, ut me ad se evocet, visum est, charta resignata, quem ego communi omnium calculo episcopum delegerim, invenies. » Ubi ille mortuus est, et triduo post libellus magna multitudine præsente apertus est, legitima ab omnibus etiam Pauli electio judicata est. Atque illi, nulla interposita mora, homi-
B nes qui Marcianum adducerent, misere: qui eum Tiberiopoli in Phrygia inventum, dolo bono usi, vel invitum adduxere, et in Ecclesiæ throno collocavere. Hæc de Paulo dicta sint.

ΚΕΦΑΛ. ΜΒ'.

Ὡς ὁ ἐπίσκοπος Πρόκλος Θαλάσσιον τὸν ὕπαρχον συσχὼν, εἰς Ἰλλυρίδα μέλλοντα διαβαίνειν, μετὰ Φίρμον Καισαρείας ἐχειροτόνει ἀθρόον ἐπίσκοπον.

Κατὰ δὲ τοῦτον τὸν χρόνον (ἑπτακαιδεκάτη δὲ ἦν ὑπατεία Θεοδοσίου) καὶ Πρόκλος ὁ πατριάρχης καινότερον ἢ κατὰ συνήθειαν ἐκκλησιαστικὴν διεπράξατο ἔργον. Ἐπεὶ γὰρ Φίρμος ὁ τῆς ἐν Καππαδοκίᾳ Καισαρείας ἐπίσκοπος ἐτελεύτησεν, οἱ Καισαρεῖς παρῆσαν, ἐπίσκοπον σφίσι χειροτονηθῆναι δεόμενοι. Ἐν νῷ δὲ ἀναπολῶν Πρόκλος, τίνι τὴν ἐπισκοπὴν ἐγχειρίσοι τῆς Καισαρείας, Σαββάτου δ' ἦν ἡμέρα, κατὰ ταυτὸν ἅμα πάντας τοὺς τῆς γερουσίας συνέβη θέας χάριν παρὰ τὸν ἐπίσκοπον C ἀφικέσθαι· ἐν οἷς καὶ Θαλάσσιος ἦν, τὴν ὕπαρχον ἀξίαν ἐπειλημμένος τῶν πόλεων, αἳ περὶ τὴν Ἰλλυρίδα εἰσίν. Ἤδη δ' ἐκεῖθεν καὶ πρὸς Ἕω μεταβαίνειν μέλλοντι, ὥστε τὰς ἐκεῖσε φροντίδας πρὸς βασιλέως διέπειν, τὰς χεῖρας ὁ Πρόκλος αὐτίκα τούτῳ ἐπιβαλὼν, ἀντὶ τῆς ὑπάρχου ἀξίας εἰς τὴν Καισαρέων ἐχειροτόνει τοῦτον ἐπίσκοπον. Ὁ μὲν οὖν καὶ ἄκων τὸν τῆς Ἐκκλησίας ὑπεισῄει βαθμὸν, καὶ καλῶς τὰ κατὰ τὴν Ἐκκλησίαν διῴκησε· χαλεπήναντος μὲν τοῦ βασιλέως τῷ ἀθρόῳ τοῦ πράγματος, στέρξαντος δ' ὅμως τὴν τοῦ Πρόκλου πρᾶξιν θεσπίσματι. Τοῦτο μὲν τοιοῦτον Πρόκλου τὸ ἔργον, σπάνιον μάλα καὶ ξενίζον εἰς ἀκοήν.

536 CAPUT XLII.

Ut episcopus Proclus Thalassium præfectum comprehendens, jamjam in Illyricum profecturum, post Firmum Cæsareæ ordinarit episcopum.

Eadem tempestate, decimo septimo consulatu Theodosii, patriarcha Proclus novum quiddam præter ecclesiasticam consuetudinem fecit. Cum namque Firmus Cæsareæ Cappadocum episcopus mortuus esset, et Cæsarienses Constantinopolim, ut episcopus eis ordinaretur, petentes venissent, cuinam episcopatum eum committeret Proclus deliberavit. Sabbati dies erat, et commodum tum accidit, ut una senatores omnes ad episcopum visendi ejus gratia venirent: in quibus etiam Thalassius fuit, urbium earum quæ in Illyrico sunt, præfecturam gerens. Et jam is inde in Orientem profecturus fuerat, munus sibi ab imperatore commissum administraturus, cum Proclus, subito manibus injectis, eum pro præfecto episcopum Cæsariensem ordinavit. Atque ille etiam contra animi sui sententiam in Ecclesiæ gradum conscendit, eamque rite administravit: cum quidem tam subitum factum imperator ægre ferret, mox tamen id sanctione sua comprobaret. Facinus hoc Procli insolitum et auditu admodum mirum est.

ΚΕΦΑΛ. ΜΓ'.

Περὶ τῆς ἀνακομιδῆς τῶν ἱερῶν λειψάνων τοῦ πανσόφου Ἰωάννου τοῦ Χρυσορρήμονος.

Ἕτερον δὲ περιφανὲς μάλα καὶ τῇ ἐκείνου δόξῃ προσῆκον ἐνήργει. Συνιδὼν γὰρ τὴν Ἐκκλησίαν πάλαι διαιρουμένην διὰ τὴν τοῦ Χρυσοστόμου καθαίρεσιν, ἐμηχανᾶτο δι' ὧν καὶ τῇ Ἐκκλησίᾳ πραγματεύσοι τὸ ἀστασίαστον, κἀκείνοις τὴν λύπην παραμυθήσαιτο. Καί γε θαυμαστῶς μέτεισι τὸ πρᾶγμα, θεόθεν ἡγμένος. Πέμπτῳ γὰρ τῆς ἐκείνου πατριαρχίας ἔτει τὸ καλῶς στασιάζον ὑπὲρ Ἰωάννου εἰς ἓν ἀθροισθὲν, ἔπειθον Πρόκλον ἐς βασιλέα πρεσβεύειν,

CAPUT XLIII.

D *De reductione sacrarum reliquiarum sapientissimi Joannis Chrysostomi.*

Fecit præterea præclarum aliud quiddam, gloriaque ejus prorsus dignum. Cum enim sciret Ecclesiam dudum scissam esse, propter abrogatam Chrysostomo dignitatem, consilium quæsivit, quomodo Ecclesiam a dissidio et seditione conservaret, et hominum mœrorem consolaretur. Rem eam Dei ductu mirabiliter est aggressus. Quinto patriarchatus ejus anno plebs, quæ pie propter Joannem tumultuata fuerat, congregata, 537 Proclo per-

suasit, ut legatione apud imperatorem fungeretur, ut sanctus ille vir ab injusto exsilio revocaretur, populusque et Ecclesia orbitate liberaretur, petiturus. Id Proclus statim non gravate fecit. Et qui corpus ejus adducerent, missi sunt. Loculus autem immobilis prorsus fuit, et cum multæ multorum manus ad eum movendum adhibitæ essent, nihilo magis loco moveri potuit. Quod ubi imperator cognovit, statim causam ejus rei intellexit. Itaque litteris rubrica scriptis, virum sanctum ut adduci se pateretur, obtestatus est. Litteræ ipsæ supra pectus ejus positæ, et pervigilium actum, precesque ad Deum fusæ sunt. Ita loculus se abducentibus facilem præbuit, et sanctus ipse, pondus ejus levius redditum, una cum bajulis simul ferre visus est. Litteras Theodosii ad eum scriptas hic referre visum est. « Orbis totius doctori, et spirituali Patri, Joanni sancto, et aurei oris patriarchæ, Theodosius imperator. Corpus tuum itidem ut aliorum mortuum esse putantes, Pater honorande, transferre id et adducere ad nos, sicuti filii parentum amantes, desideravimus. Cum autem debitum prorsus honorem, et quantam opus fuit submissionem et modestiam, eam in rem non contulerimus, imperialis fortasse fastus leges in rebus, quibus nos magis quam imperio ipso honestos esse decuit, secuti, non immerito voto nostro excidimus. At tu, Pater Patrum vere reverendissime (nunc enim veluti viventem alloquimur), ad desiderium potius nostrum quam ad cœptum tuum spectans, veniam da pœnitentibus, qui longe magis quam alius quisquam pœnitentiam docuisti, et nos vicisti : idoneumque castigationis, desiderio flagranti erroremque suum agnoscenti animæ, eo quod huc usque reditum ad nos tuum detrectaris, exemplum exhibuisti ; redde teipsum nobis, quæso, redde. Ut enim longiore mora et dilatione nos amplius etiam affligas, neque commiserationis visceribus tuis, neque amori et exspectationi nostræ dignum est : qui non solum corpus et cineres, sed solam etiam umbram tuam cernere cupimus. » Litteræ tales fuere. Postquam autem itinere confecto, in littus ex adverso Constantinopoli ad Chalcedonem cum reliquiis sancti viri pervenere, transiit eo imperator, et senatus imperatorius : transiit etiam patriarcha, et sacerdotes, clerusque omnis, **538** deinde generis et ætatis homines omnis, per fretum in mari perinde atque in continente vadentes, et ad Propontidem os Bospori ardentibus funalibus tegentes, sacrum loculum imperatoria triremis excepit. Tum sane miraculum quoddam edidit Deus, prodigiis quæ unquam visa sunt longe majus. Cum enim certa et constans esset in mari tranquillitas, repentina subito exorta est procella, et naves innumerabilis illius classis aliæ alio diversæ saluti suæ consulentes dispersæ sunt. Ea autem quæ sacrum illud pondus et præclarum thesaurum vehebat imperatoris triremis, funibus derepente ruptis, veluti divina gubernata manu ad viduæ agrum appulit :

A καὶ τῷ μὲν ἁγίῳ λύειν τὴν ἄδικον ἐξορίαν, τὴν ὀρφανίαν δ' ἐκείνοις, καὶ τὴν χηρείαν τῇ Ἐκκλησίᾳ. Ὁ δ' εὐθὺς ἕτοιμος ἦν. Καὶ οἱ μὲν ἄξοντες τὸ σῶμα ἐπέμποντο· ἡ δὲ σορὸς καὶ μάλα ἀκίνητος ἦν. Πολλῆς δὲ συγκροτηθείσης τῇ κινήσει χειρὸς, ἐν τοῖς ὁμοίοις καὶ αὖθις ἦν. Ὡς δ' ἐμάνθανε ταῦτα ὁ βασιλεὺς, αὐτίκα τὴν αἰτίαν συνίει· καὶ γράμμασιν ἐρυθροῖς ἐδυσώπει ἀφῖχθαι τὸν ὅσιον. Τὰ μὲν οὖν γράμματα τῷ τοῦ ἁγίου στήθει ἐτίθεντο· πάννυχος δ' ἱκεσία ἐπράττετο. Καὶ ἡ μὲν σορὸς ἕτοιμος τοῖς ἀπάγουσιν ἦν, τοῦ ὁσίου ὥσπερ ἐπικουφίζοντος καὶ τῆς σοροῦ τὸ βάρος συνδιαφέροντος· ἐγὼ δὲ καὶ αὐτὰ ἐκείνου Θεοδοσίου τὰ γράμματα ἐνθήσω τῇ συγγραφῇ, τούτοις περιεχόμενα· « Τῷ οἰκουμενικῷ διδασκάλῳ καὶ πνευματικῷ Πατρὶ Ἰωάννῃ τῷ B ἁγίῳ καὶ Χρυσοστόμῳ πατριάρχῃ Θεοδόσιος βασιλεύς. Νεκρὸν ὁμοίως τοῖς ἄλλοις τὸ σῶμα τὸ σὸν νομίσαντες εἶναι, Πάτερ τίμιε, μετακομίσαι μὲν αὐτὸ καὶ ὡς ἡμᾶς ἀγαγεῖν οἷα παῖδες φιλοπάτορες ἐποθοῦμεν· οὐ τὴν προσήκουσαν δὲ πάντως τιμὴν, οὐδὲ ὅσον ἔδει τὸ ὑποβεβηκὸς ἐν τούτῳ καὶ μέτριον εἰσηνέγκαμεν, τύφου τάχα βασιλικοῦ νόμοις ἀκολουθοῦντες ἐν τοῖς πολλῷ μεῖζον ἢ βασιλείᾳ τιμᾶσθαι δικαίοις. Καὶ διὰ τοῦτο γοῦν καὶ τοῦ ποθουμένου δικαίως ἡμάρτομεν. Ἀλλὰ σύ γε, Πάτερ Πατέρων ἀληθῶς τιμιώτατε, νῦν γὰρ ὡς ζῶντά σε προσφθεγγόμεθα, πρὸς τὸν ἡμῶν πόθον, μὴ πρὸς τὴν σὴν ἐγχείρησιν ἀποβλέψας, σύγγνωθι μεταμελομένοις, ὁ καὶ τὴν μετάνοιαν εἰ καί τις ἄλλος καὶ διδάξας, ἡμᾶς τε κρατύνας, καὶ παιδείαν ἱκανὴν C τοῦτο κρίνας, ποθούσῃ ψυχῇ καὶ τοῦ σφάλματος ἐπαισθομένῃ, τὴν μέχρι τοῦ νῦν τῆς ἐπανόδου τῆς σῆς ἀνάνευσιν. Ἐπίδος σεαυτὸν, ἐπίδος. Καὶ γὰρ τὸ πλείονι βραδυτῆτι καὶ ἀναβολαῖς ἡμᾶς ἔτι μαστίξαι οὔτε τῶν σπλάγχνων τῶν σῶν, οὔτε τῶν φίλτρων τῶν ἡμετέρων ἄξιον· οἵ γε καὶ σκιὰν σὴν μόνην, μὴ τό γε σῶμα καὶ κόνιν, ἐπιποθοῦμεν ὄψεσθαι. » Τὰ μὲν οὖν γράμματα ταῦτα· ἐπεὶ δὲ τὴν μεταξὺ πᾶσαν ὁδὸν διανύσαντες, καὶ ἐς τὴν καταντικρὺ τῆς Βυζαντίδος πρὸ τῆς Χαλκηδόνος κατήχθησαν ἤπειρον, περαιοῦται μὲν ὁ βασιλεὺς καὶ ἡ περὶ αὐτὸν σύγκλητος· περαιοῦται δὲ καὶ ὁ πατριάρχης καὶ ὅσον περὶ τὸ βῆμα· ἔπειτα γένος ἅπαν καὶ ἡλικία πᾶσα, ὡς ἠπείρῳ τῷ πελάγει διὰ D τῶν πορθμείων χρησάμενοι, καὶ τὸ πρὸς τῇ Προποντίδι τοῦ Βοσπόρου στόμα ταῖς λαμπάσι κατακρυψάμενοι. Καὶ δὴ τὴν μὲν θείαν σορὸν ἡ βασιλικὴ τριήρης εἰσδέχεται. Τότε δὴ θαυματουργεῖ τι Θεὸς, τῶν πώποτε γενομένων παραδοξότερον. Ἐν γὰρ σταθηρᾷ γαλήνῃ τῆς θαλάσσης καθεστηκυίας, ἐμπίπτει μὲν ἀθρόον καταιγὶς τῷ πελάγει, καὶ τὰ μὲν πλοῖα, καὶ ὁ μυριόναυς στόλος ἐκεῖνος ἄλλο ἀλλαχοῦ διεσκίδνατο, τὴν σωτηρίαν πραγματευόμενα· ἡ δὲ τὸν ἱερὸν ἐκεῖνον φόρτον καὶ τὸν ἔνδικον θησαυρὸν ἐπιφερομένη τριήρης βασιλικὴ, τῶν κάλων αἴφνης διαῤῥαγέντων, οἷά τινι θείᾳ κυβερνωμένη χειρὶ, τῷ τῆς χήρας προσοκέλλει ἀγρῷ· χήρας ἐκείνης, δι' ἣν ἡ νύμφη Χριστοῦ Ἐκκλησία τοῦ τοσούτου ποιμένος ἐχήρευσε. Καὶ δικάζει πάλιν

δικαίως καὶ μετὰ θάνατον, τῇ χήρᾳ τὸν ἀγρὸν προσκυρῶν, τοῦ Θεοῦ τὸν μέγαν δοξάζοντος, καὶ τὸ τῆς ὑπερορίας ἄδικον διαῤῥήδην κηρύττοντος. Καὶ ὅσον ἦν ἐγχωροῦν τῇ νηῒ, σχίζει τὴν πέτραν· ὃ καὶ εἰς δεῦρο θεώμενον, τὸν τοῦ μεγάλου ζῆλον ἀνακηρύττει καὶ κήρυκος διαπρύσιον. Ἐπεὶ δὲ τοῦτο ἐπέπρακτο, γαλήνη πάλιν ἐπέτρεχε· καὶ τὰ πλοῖα ἄλλο ἀλλαχόθι ἠγείροντο· καὶ σὺν πομπῇ καὶ δορυφορίᾳ μεγίστῃ, ᾠδαῖς τε ἀνηκούσαις, τῇ βασιλίδι τὸν ἅγιον παραπέμποντες ἤγαγον. Καὶ πρῶτα μὲν ὁ περί που τοῦ Ἀμαντίου τοῦ μεγάλου Θωμᾶ ναὸς αὐτὸν ὑποδέχεται· ἐκεῖθεν δὲ εἰς τὸν τῆς ἁγίας Εἰρήνης νεὼν φέρεται· ἔπειτα ὄγήματι βασιλικῷ ἡ σορὸς ἀναχθεῖσα, εἰς τὸν τῶν ἱερῶν Ἀποστόλων σηκὸν ἄγεται. Ἔνθα ὁ βασιλεὺς τῇ χλαμύδι τὴν θείαν καλύψας σορὸν, καὶ τῇ λάρνακι τὸ μέτωπον καὶ τοὺς ὀφθαλμοὺς ἐπιθεὶς, κοινὴν ἱκετείαν ὑπὲρ τῶν γεγεννηκότων προσῆγε. Πάλαι μὲν γὰρ ἐκεῖνοι τεθνηκότες ἦσαν, κομιδῇ νέον ἐν ὀρφανίᾳ τοῦτον καταλιπόντες. Ἰδίᾳ δὲ καὶ ὑπὲρ τῆς μητρὸς ἐλιπάρει στῆσαι ταύτῃ τὸν κλόνον τῆς λάρνακος, τριακοστὸν ἤδη καὶ πέμπτον ἔτος κινούμενον, ὅσον δὴ κἀκείνη χρόνον τὴν Ἐκκλησίαν συνέσειε. Καὶ ἧκιστα ἡμάρτανε τῆς δεήσεως· αὐτίκα γὰρ ἵστατο. Τοῦ γε μὴν ἱεροῦ Πρόκλου τὸν ἅγιον τῷ συνθρόνῳ ἐγκαθιδρύσαντος, τὸ περιῤῥεῦσαν πλῆθος, μιᾷ γλώσσῃ, Ἀπόλαυέ σου τὸν θρόνον, Πάτερ, φησί. Λέγεται δὲ κἀκεῖνον τὰ μεμυκότα χείλη διάραντα, τῷ λαῷ ἐπειπεῖν, Εἰρήνη ὑμῖν· ὡς οἱ περιεστῶτες ἀκοῦσαι καὶ Πρόκλος ὁ πατριάρχης διεμαρτύραντο. Τῆς δὲ ἱερᾶς τελεσθείσης μυσταγωγίας, ἐπὶ τὴν τοῦ λειψάνου κατάθεσιν ἔσπευδον· καὶ χερσὶν ἱερέων ὁ μέγας ἀρχιερεὺς πρὸς τῇ βάσει τῆς ἱερᾶς καὶ θείας τραπέζης ὡς ἱερὸς καὶ ἄσυλος θησαυρὸς κατατίθεται, τοῖς ἱερεῦσιν ὁ ἱερεὺς, τοῖς μάρτυσιν ὁ μάρτυς, εἰ καὶ χωρὶς αἵματος, τοῖς τοῦ Χριστοῦ προφήταις καὶ ἀποστόλοις ἡ μεγάλη καὶ χρυσέα τῆς Χριστοῦ Ἐκκλησίας σάλπιγξ, καὶ ταῖς ἁπάντων ἀκοαῖς ἔνηχος, καὶ τὰ εὐσεβῆ δόγματα καὶ διδάγματα διαπρυσίως πᾶσι καὶ μουσικῶς ᾄδουσα, περὶ τὴν ἑβδόμην καὶ εἰκάδα τοῦ Ἰαννουαρίου μηνός. Τούτῳ δὴ τῷ μεγάλῳ ἔργῳ καὶ οἱ δι' αὐτὸν χωριζόμενοι πεισθέντες, τῇ Ἐκκλησίᾳ πάντες ἡνώθησαν. Θαυμάσαι δέ μοι, φησὶ Σωκράτης ὁ ἐκκλησιαστικὸς, ἔπεισιν, οἴμαι, ὡς Ναυατιανὸς ἠρέμα σκώπτων, πῶς ὁ φθόνος Ὠριγένους μὲν τελευτήσαντος ἥψατο, Ἰωάννου δὲ ἐφείσατο. Ὁ μὲν γὰρ μετὰ διακόσια ἔτη που τῆς αὐτοῦ τελευτῆς ὑπὸ Θεοφίλου ἀκοινώνητος γέγονεν· Ἰωάννης δὲ τριακοστῷ πέμπτῳ ἔτει μετὰ τὴν τελευτὴν εἰς κοινωνίαν ὑπὸ Πρόκλου ἐδέχθη. Τοσοῦτον Πρόκλος Θεοφίλου τῷ τρόπῳ διήνεγκεν. Ἀλλὰ ταῦτα μὲν ὅπως γίνονταί τε καὶ ἀεὶ γίνονται, τοὺς σωφρονοῦντας οὐ διαφεύγει. Περὶ μὲν οὖν τῆς τοῦ θείου Χρυσοστόμου ἀνακομιδῆς τοσαῦτα εἰρήσθω.

A viduæ, inquam, illius, propter quam sponsa Christi Ecclesia pastore tanto viduata fuerat. Et rursum post mortem quoque justo judicio legitimam ille tulit sententiam, agrum viduæ auctoritate sua attribuens atque confirmans: Deo nimirum magnum illum glorificante, et iniquum exsilium ejus aperte deprædicante. Et quoad ejus fieri potuit, petram navis discidit, quod miraculum hodie quoque cernitur, et egregii illius viri ardorem eximium quovis præcone clarius attestatur. Hoc ubi factum est, serenitas rursum advenit, et naves aliæ aliunde collectæ, cum apparatu et comitatu maximo, carminibusque debitis, virum sanctum prosequentes, in urbem imperantem deportarunt. Eumque primum circa Amantium magni Thomæ templum
B excepit: inde vero in sanctæ Pacis delubrum delatus, postea porro imperiali curru tumulus vectus, in sanctorum apostolorum fanum illatus est. Ibi imperator sacro loculo chlamyde tecto, et fronte atque oculis urnæ impositis, communem supplex precationem pro parentibus fecit. Dudum enim illi mortui fuerant, in pupillari ætate eum tenerum adhuc relinquentes. Seorsim vero pro matre quoque precatus est, ut tumuli ejus motus atque strepitus consisteret. Triginta enim et quinque annos jam is quatiebatur, quo tempore scilicet et ipsa Ecclesiam concutiebat. Nec ille id non exoravit. Confestim namque urna ejus constitit. Atque ubi sacer Proclus virum sanctum in eumdem secum
C thronum collocavit, plebs circumfusa ore uno exclamavit: Recipe, inquiens, thronum tuum, o Pater. Fertur ipse quoque tum, quæ dudum clausa fuerant, labris rursum apertis, ad populum dixisse, Pax vobis:
539 sicuti id circumstantes homines, et Proclus patriarcha, se audivisse testati sunt. Porro sacris mysteriis peractis, ad reliquiarum ejus repositionem itum est. Et episcopum manibus magnus antistes ad basim sacræ et divinæ mensæ, veluti sacer et inviolabilis thesaurus, conditus est, episcopis episcopus, martyribus quamvis sine sanguine martyr, prophetis Christi et apostolis magna atque aurea Ecclesiæ Christi tuba, omnes omnium aures personans, et pia dogmata et præcepta clare musicis plane modulis accinens. Factum id vicesimo
D septimo mensis Januarii die. Ingenti autem facinore isto, illi etiam qui propter ipsum secesserant, persuasi, Ecclesiæ omnes conjuncti atque uniti sunt. Admirari vero, Socrates ecclesiasticus inquit, mihi libet (ut Novatianus clam virum sanctum, ut opinor, perstringens) quomodo invidia Origenem defunctum impetierit, Joanni autem pepercerit. Ille namque post ducentos fere annos, ab obitu suo, a Theophilo excommunicatus est: Joannes vero tricesimo quinto anno post mortem suam a Proclo in communionem est receptus. Adeo diversis a Theophilo moribus Proclus fuit. Sed hæc quomodo et antea acta sint, et adhuc semper agantur, viros prudentes non fugit. De reductione divi Chrysostomi hactenus.

CAPUT LXIV.

Ut etiam sit relatus divinus Ignatius Roma Antiochiam.

Eisdem temporibus divinus quoque Ignatius Roma Constantinopolim delatus est. Cum namque ille, sicuti optaverat, in amphitheatro Romæ in ferarum alvis sepultus esset, quæcunque superfuere firmiora solidioraque ossa, condita ibi sunt. Theodosius autem Dei optimi maximi præstantissima suggestione, magnopere ingenti atque illustri cum honore ea ad gregem suum referre studuit. Quapropter reliquias eas inde receptas, cum magnifico apparatu post tempus longum Antiochiam reduxit, et in eo loco quod cœmeterium vocatur, veneratione magna reposuit, et delubrum ingens dæmonibus olim dicatum, quod ab incolis Τυχαῖον, **540** quasi Fortunæ templum dicas, vocabatur, in sacrosanctum fanum mutatum, divina martyri consecravit: in quo etiam reliquiarum loculus repositus est, curru imperiali cum sacro apparatu et satellitio per urbem eam illatus, ubi quoque anno quolibet publice et magnifice festus dies est actus, Deo diligentium se memoriam sancte a funere etiam ipso glorificante, sicuti antea quoque in Babyla accidit. Deo namque invisus Julianus, propterea quod Daphneus Apollo oraculum ejus consulenti nihil respondisset (martyre quippe qui in propinquo loco conditus erat, divina potentia os illius obturante, sicuti id dæmon invitus confessus est) nova quadam translatione martyrem cohonestavit, ut commodius faciliusque dæmones res suas agerent, quemadmodum Juliano obscure polliciti fuerant. Sed id, sicuti videtur, providentiæ divinæ fuit, ut simul et martyrum potentia manifesta fieret, et sacræ eorum reliquiæ longe ab idolorum nidore abessent, et sacro loco repositæ, debito, pro eo atque convenit honorarentur delubro; sicuti et accidit. Templum enim ei ante urbem et magnitudine amplum, et forma pulchrum exstructum est, in quod etiam ejus urna illata est.

ΚΕΦΑΛ. ΜΔʹ.

Ὡς καὶ ὁ Θεοφόρος Ἰγνάτιος ἐκ Ῥώμης εἰς τὴν Ἀντιόχειαν μετεκομίσθη.

Ἐν δὲ τῷ τότε καὶ ὁ θεοφόρος Ἰγνάτιος ἐκ Ῥώμης εἰς τὴν Κωνσταντίνου ἀνεκομίζετο. Ἐπειδὴ γὰρ, ὡς ἐκείνῳ βούλησις ἦν, τάφῳ ταῖς τῶν θηρίων ἐχρῆτο γαστράσιν, ἐν τῷ τῆς Ῥώμης ἀμφιθεάτρῳ, ὅσα δὴ στεῤῥότερα καὶ ἁδρότερα περιελέλειπτο τῶν ὀστέων, ἐκεῖσέ πη ἐκρύπτοντο. Θεοῦ τοῦ παναγάθου ἀρίσταις ὑποθήκαις Θεοδόσιος πολλὴν ἐποιεῖτο σπουδὴν εἰς τὴν ἰδίαν ἐπανάγειν ποίμνην μείζοσι καὶ περιφανέσι τιμαῖς. Καὶ δὴ ἐκεῖθεν ἀράμενος σὺν λαμπρᾷ τῇ πομπῇ, ἐπὶ τὴν Ἀντιόχου ἀνήγαγε, χρόνου παραῤῥυέντος πολλοῦ· καὶ ἐν τῷ καλουμένῳ κοιμητηρίῳ σεμνῶς κατατίθησιν· ἱερόν τε μέγα δαίμοσιν ἀνειμένον, ὃ τοῖς ἐπιχωρίοις Τυχαῖον ὠνόμαστο, τῷ θεοφόρῳ καὶ μάρτυρι ἐχαρίζετο, εἰς σηκὸν μεταβληθὲν εὐαγῆ. Ἔνθα δὴ καὶ ἡ τῶν λειψάνων ἐναπετέθη σορὸς, ὀχήματι βασιλικῷ σὺν ἱερᾷ πομπῇ καὶ δορυφορίᾳ περιενεχθεῖσα τῇ πόλει, ὅπου δὴ καὶ ἡ δι' ἔτους δημοτελὴς μεγαλοπρεπῶς ἐγίνετο ἑορτὴ, τοῦ Θεοῦ πάντως τὰς τῶν ἠγαπηκότων ἐκεῖνον μνήμας ὁσίως δοξάζοντος, ὥσπερ δὴ κἀπὶ Βαβύλᾳ συνέβαινε πρότερον. Ἐπεὶ γὰρ ὁ θεοστυγὴς Ἰουλιανὸς, μὴ ὁ Δαφναῖος Ἀπόλλων χρηστηριαζομένῳ φωνὴν ἠφίει, ἅτε δὴ τοῦ μάρτυρος ἐκ γειτόνων ὄντος, καὶ θείᾳ δυναστείᾳ ἐπιστομίζοντος, ὡς ὁ δαίμων καὶ ἄκων ἀνωμολόγει, καινῇ τινι μεταθέσει ἐτίμα τὸν μάρτυρα, ὡς ἂν ἐν εὐθέτῳ εἴη τοῖς δαίμοσι τὰ οἰκεῖα δρᾷν, ὥσπερ Ἰουλιανῷ σκιωδῶς ἐπηγγέλλοντο. Θεοῦ δὲ ἦν ἄρα, ὡς ἔοικε, πρόνοια, ὁμοῦ μὲν, ἵνα καὶ τῶν μαρτύρων ἡ δύναμις ἔκδηλος κατασταίη, καὶ τὰ θεῖα ἐκείνων λείψανα πόῤῥω τῆς εἰδωλικῆς γένοιντο κνίσσης, χώρῳ τε θείῳ μετατεθείη, καὶ τεμένους ἀξιωθείη προσήκοντος· ὥσπερ δὴ καὶ συνέβαινε. Νεὼς γὰρ αὐτῷ πρὸ τοῦ ἄστεος μέγας τε καὶ περιφανὴς εἰς κάλλος καὶ μέγεθος ἀνηγείρετο· ἔνθα δὴ μεταῤῥυῆναι συνέβαινε τὴν θίβην τοῦ μάρτυρος.

CAPUT XLV.

De sanctis septem pueris, qui Ephesi resurrexerunt, ad fidem communis resurrectionis stabiliendam.

Sub idem tempus, disputatio ingens in urbe imperante de mortuorum resurrectione exstitit, et populo maxima incessit concertatio. Quidam enim, una cum Sadducæis, resurrectionem prorsus non esse opinati sunt: quidam autem ægre quidem, sed crediderunt tamen, defunctos excitatum iri, apertis et irrefragabilibus sacrarum Scripturarum testimoniis adducti, alio prorsus et mutato corpore. Ut primum enim corpus illud, quod variis modis solutum abolitumque sit, resuscitetur, fieri non posse: sed præter id aliud, nulla præcedente materia, divina, quæ omnia perficit, voluntate denuo restitutum, una cum anima resurrecturum esse existimarunt. Huic tantæ ætatis

ΚΕΦΑΛ. ΜΕʹ.

Περὶ τῶν ἁγίων ἑπτὰ παίδων τῶν ἐν Ἐφέσῳ ἀναστάντων εἰς πίστωσιν τῆς κοινῆς ἀναστάσεως.

Κατ' ἐκεῖνο δὲ καιροῦ πολλή τις ἀντιλογία ἀνὰ τὴν βασιλίδα ἐκράτει τῶν πόλεων περὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως, καὶ μεγίστη ἀμφιβολία εἰσέῤῥει τῷ πλήθει, τῶν μὲν ἴσα τοῖς Σαδδουκαίοις δογματιζόντων, μηδ' ὅλως εἶναι ἀνάστασιν, τῶν δὲ μόλις μὲν, πειθομένων δ' ὅμως τοὺς κεκοιμημένους ἐγείρεσθαι τῷ σαφεῖ τε καὶ ἀναντιῤῥήτῳ τῆς τῶν ἱερῶν Γραφῶν μαρτυρίας, ἐν ἄλλῳ μέντοι καὶ ἠλλοιωμένῳ πάμπαν τῷ σώματι. Τὸ γὰρ πρῶτον ἐκεῖνο πολυτρόπως διαλυθὲν καὶ ἀφανισθὲν, μὴ ἐξὸν εἶναι ἐγείρεσθαι, ἀλλ' ἕτερον παρὰ τοῦτο, ἐξ οὐδεμιᾶς προϋποκειμένης ὕλης τῷ παντουργῷ καὶ θείῳ θελήματι καινουργούμενον, ταῖς ψυχαῖς συνανίστασθαι. Τὴν δὴ τοιαύτην τῶν τηνικαῦτα ἀνθρώπων ἄγνοιαν

καὶ ἀμφισβήτησιν τοῦ προκειμένου ὁ πρὶν γενέσθαι τὰ πάντα εἰδὼς Κύριος, οἷάπερ ἄριστος ἰατρὸς, τὰ πρόσφορα προητοίμασε φάρμακα· ἵν' ἐν καιρῷ τῇ θεραπείᾳ χρησάμενος, τὴν τῶν ψυχῶν ἀῤῥωστίαν ἰάσηται. Πρὸ δύο γοῦν καὶ ἑβδομήκοντα καὶ τριακοσίων ἐνιαυτῶν πρᾶγμα ἐνήργει, οἷον εἶναι μηδὲν ἐλλείπειν παραμιλλώμενον τοῖς ἐκ παλαιοῦ θαυμασίοις, καὶ ὑπὲρ φύσιν διαπεπραγμένοις οὕτῳ· ὃ δῆτα ὡς ἔσχε, τῇ συγγραφῇ παραδοῦναι πειράσομαι. Ἐν Ἐφέσῳ τῆς Ἰωνίας ἑπτὰ παῖδες ἦσαν, ἀδελφοὶ οὐχ ἧττον τὰ σώματα ἢ τὰς ψυχὰς, ἐκ πατέρων τὴν ἡμετέραν ἐπανῃρημένοι θρησκείαν. Ἐπὶ τόσον δ' ἐκείνοις ὁ πρὸς Χριστὸν ἐντέτηκεν ἔρως, ὡς θεῖναι μὲν ἐν δευτέρῳ τὸν βαρύτατον διωγμὸν, ὃν Δέκιος ὁ τηνικαῦτα τὴν βασίλειον ἐξουσίαν ἠμφιεσμένος ἀπηνῶς ἔπραττε· παῤῥησίᾳ δ' ὁμολογήσαντας, ἔπειτ' ἀναχωρῆσαι τῆς πόλεως οὐ πάνυ πόῤῥω, καί τινι τῶν ἐκ γειτόνων σπηλαίῳ διὰ τὸν ἐπηρτημένον κίνδυνον σφᾶς αὐτοὺς κατακρύψαι· ἐπελθόντας δὲ τοὺς διώκοντας, τὴν τοῦ σπηλαίου θύραν ἔξωθεν ἀσφαλῶς καταφράξαι. Οἱ δ' ἀδημονοῦντες, εἰς ὕπνον βαθύν τινα τραπῆναι ἐδόκουν, καί γε οὕτως ἐπὶ τριακόσια καὶ ἑβδομήκοντα καὶ δύο διέμειναν ἔτη ὑπνοῦντες, οἷάπερ ἄγγελοι θείᾳ προνοίᾳ καὶ Πνεύματι ἁγίῳ ἐπισκιαζόμενοι. Ὥσπερ γὰρ ἀναισθητοῦντες, ἡδεῖ καὶ μαλακῷ ὕπνῳ ἐπὶ τοῖς εἰρημένοις χρόνοις συνείχοντο, μήτε τῶν σωμάτων, μήτε μὴν τῶν ἱματίων τούτοις διαῤῥυέντων. Χρόνῳ δὲ τῆς θύρας ἀναφραγείσης ἐπὶ τῆς παρούσης ἡγεμονίας, τοῦ ὕπνου ἀνίεντο. Ἕνα δὲ τούτων ἐπὶ τὴν πόλιν ἐπ' ἀγορᾷ τῶν ἐπιτηδείων ἔστελλον. Ἐπεὶ δὲ τοῖς ἐπ' αὐτῆς τὸ Δεκίου προύβάλλετο νόμισμα, ἐκεῖνοι θησαυρῷ ἐντυχεῖν ἐκεῖνον νομίσαντες, τῷ ξένῳ καὶ ἀήθει τοῦ κόμματος παρὰ τὸν ἄρχοντα ἦγον τὸν νέον· καὶ πεῖραν οὐκ ἀγεννῆ προσῆγον, ὥσθ' ὅνπερ εὕροι παραδεικνύειν χρυσόν. Ἐπεὶ δὲ τοῖς ἱμᾶσι κατέτεινον ἱκανῶς, εἰς ἑαυτὸν μόλις γενόμενος, ἀνεβόησε· Τίς δὲ ἄρα τῶν σκήπτρων ἡγεῖται ἀρτίως, διδάξατε. Τῶν δὲ ἡδύ τι καὶ μάλα ἀστεῖον διαχυθέντων, Σὺ δὲ ἀγνοεῖς ὡς νῦν Θεοδόσιος τὸ βασίλειον εὐτυχῶς διοικεῖ; Τὸν δὲ ὥσπερ ἐκπληγέντα, Εὐφήμει, φάναι. Οὐχὶ Δέκιος Ῥωμαίων, ἀλλὰ Θεοδόσιος ἄρχει· ὃς ἐμέ τε καὶ τοὺς σὺν ἐμοὶ ἓξ, δέει κατασείσας πολλῷ, διὰ τοῦ ὑπάρχου τῆς πόλεως εἰς τόδε τὸ σπήλαιον κρυβῆναι παρεσκευάσατο; Ἐμὲ δὲ ἐκεῖνοι προήκαντο πείνῃ σχεθέντες ὥστε ἄρτους ὠνήσασθαι. Ταῦτ' ἐκεῖνοι ἐνωτισάμενοι, καταπεπληγμένοι, δρόμῳ πολλῷ πανδημεὶ ἐπὶ τὸ σπήλαιον ἔθεον, καὶ τὴν εἴσοδον ἐπιμᾶλλον ἀναστομώσαντες, καὶ τοὺς λίθους ἔνθεν κἀκεῖθεν διαῤῥίπτοντες, πλακὶ ἐντυγχάνουσιν, ἐν ᾗπερ τό τε Δεκίου ὄνομα, καὶ ἡ αὐτῶν παῤῥησία, καὶ ἡ φυγή τε ὁμοῦ καὶ κρυφὴ, καὶ ὁ τῆς ταφῆς προσφόρως ἐδηλοῦτο καιρός. Καὶ δῆτα τιμῇ τῇ προσηκούσῃ ἐκεῖθεν ἀράμενοι, δῆλα διὰ τάχους τὰ περὶ τούτων ἐποίουν τῷ βασιλεῖ. Ὁ δὲ πιστότατος βασιλεὺς τὰ περὶ αὐτῶν ἐγνωκὼς, ἀεὶ τὰ θεοφιλῆ πράττων, ἀνάξιον τῆς ἐκείνου εὐσεβείας ἐνόμιζεν ἢ πρὸς ἑαυτὸν αὐτοὺς μεταστέλλεσθαι, ἢ ἄλ-

A ejus hominum ignorantiæ, et de proposita quæstione ambiguitati, qui priusquam exsistant, omnia novit Deus, perinde atque medicus optimus, idonea præparavit remedia, **541** ut tempore suo curam adhibens, animarum sanaret imbecillitatem. Itaque ante annos trecentos septuaginta duos rem fecit, quæ nulla ex parte miraculis antiquitus ab eo supra naturæ captum editis cedat : quam hoc loco commemorare aggrediar. Ephesi in Ionia septem pueri, corporibus juxta et animis fratres fuere, a parentibus per manus eis traditæ religionis nostræ cultores. Tanto vero illi erga Christum flagrarunt amore, ut persecutionem eam quam Decius Romanus eo tempore imperator gravissimam perquam crudeliter exercuit, parvifacerent. Et cum
B propalam Christum confessi essent, postea non longe ab urbe ea secesserunt, et in vicino quodam antro propter imminens periculum seipsos occultarunt. Ejus antri aditum et fores persecutores a parte exteriore probe circumvallatas munivere. Illi porro præ anxio animi mœrore in somnum sibi profundum delabi visi sunt, atque ita ad annos trecentos septuaginta duos dormierunt. Perinde enim atque angeli providentia divina et Spiritu sancto obumbrati, et veluti sensu orbati, suavi et molli somno, eo quo diximus tempore, ita sunt detenti, ut neque corpora neque vestimenta eorum diffluxerint. Ubi autem tempore suo sub præsenti, de quo nunc agimus, Theodosii imperio
C speluncæ fores reclusæ sunt, e somno illo evigilarunt, unumque ex eis in urbem rerum necessariarum comparandarum gratia miserunt. Cum autem is civibus Decii numisma proferret, nova atque insolita monetæ forma adducti, in thesaurum eum illi incidisse opinati sunt, juvenemque ad urbis rectorem duxerunt, neque levia ei, ut aurum inventum indicaret, adhibuerunt tormenta. Et postquam flagris abunde concisus, vix apud seipsum esset, exclamans : Quis tandem, inquit, imperium nunc obtinet? mihi dicite. Atque illi suaviter et facete subridentes, Num tu, responderunt, Theodosium nunc feliciter imperium administrare ignoras? Tum juvenis, Bona verba quæso, ait : an non Decius, sed Theodosius Romanum
D obtinet imperium, qui me et sex alios mecum multo timore territos per præfectum urbi speluncam hanc ubi occultaremur, subire coegit, unde me illi fame perciti ad panes emendos præmisere? **542** His illi verbis auditis consternati, celeriter omnes ad antrum illud accurrerunt, adituque magis dilato, lapidibusque hinc et inde disjectis, in tabulam inciderunt, in qua Decii nomen, ipsorum in Christi religione profitenda libertas, fuga simul et occultatio, nec non sepulturæ tempus percommode expressum erat. Proinde cum reverentia debita eos inde duxerunt, et de re omni celeriter imperatorem certiorem fecerunt. Cæterum imperator fidelissimus, ubi eam rem cognovit, quod semper quæ grata Deo et accepta

essent faceret, pietate sua indignum duxit, vel illos ad se tranferri curare, vel alios ad eos videndos mittere, ipsum autem domi manere : alterum enim arrogantiæ, alterum autem socordiæ omnino esse judicavit. Et rebus omnibus, præ eo ut ad illos veniret, contemptis, quam potuit celerrime Ephesum contendit, atque ibi illorum conspectu se oblectavit, et cum eis collocutus, et ad satietatem consuetudine eorum usus est : tum autem in communi etiam mensa cum eis, ita ut par erat, cibum cepit, septemque totos dies cum eis fuit, omne eis curæ et officii genus præstans. Ubi vero etiam longiore rursus somno et obitu sancto in Christo obdormierunt, debito eos prosecutus est honore : et præclaro ea de causa triumpho acto, magnificeque rursum eis in antro repositis, Constantinopolim est reversus. Ea re quæstio de dogmate sopita est. Satis enim constabat, qui ut pueri illi tot annos, veluti noctem unam nullo corporum detrimento quiescentes superessent, effecerit, eosque una cum animabus excitarit, eum quoque potestatis suæ abundantia, omnes homines cum suis, non alienis corporibus, in momento uno, veluti ex somno, tempore suo excitaturum esse (1). Hæc hactenus.

543 CAPUT XLVI.

De maximis terræmotibus : et ut propterea in campo supplicationes factæ : quibus cum imperator et Proclus adesset, subito puer in aerem surreptus, ter sanctum hymnum audiverit : id quod ita rursum demissus populo retulit, et statim concidens exspiravit. Et ut Theodosius urbem renovarit, pluraque ædificia Antiochiæ construxerit.

Adhuc Theodosius imperabat, et terræ motus (1) magnus et admirandus exstitit, qui priores omnes magnitudine, celeritate et temporis diuturnitate facile superavit. Nam ad menses sex maxime duravit, et non ex intervallo, sed motu continuo omnia concussit, idque per orbem fere universum : adeo ut non solum in urbe imperante turres in præceps ierint, et murus variis in locis ruptus sit, verum etiam circa Chersonesum ædificium, id quod μακρὸν τεῖχος, hoc est longum murum, vocant, simul omne conciderit : et innumerabilia ubique locorum, magnorum operum templorumque ædificia pessum ierint. Terræ motus iste Alexandriam quoque attigit. Antiochiæ autem impetu vehementiore imminens, præcipua quæque spectacula maxime comminuit. Et innumerabiles accidere casus, non terra tantum, verum etiam mari. Alicubi enim terra dehiscens vicos frequentes absorbuit : alicubi fontes non exigui subito exaruere; quibusdam in locis ubertim aqua profluxit, quæ ibi antea esse solita non fuerat. Arbores multæ una cum truncis suis radicitus evulsæ. Aggeres plurimi derepente exsistentes,

λοις τὴν περὶ αὐτῶν ἐπιτρέπειν θέαν, αὐτὸν δ' ἐπ' οἴκου μένειν· τὸ μὲν γὰρ ὑπεροψίας, θάτερον δὲ ῥᾳθυμίας ἄντικρυς εἶναι ἔκρινε. Πάντα δὲ δεύτερα τῆς πρὸς ἐκείνους ἀφίξεως λογισάμενος, ὡς εἶχε τάχους, τῆς πρὸς τὴν Ἔφεσον ἥπτετο. Καὶ τοίνυν τῆς ἐκείνων ἐμφορηθεὶς ὄψεως, λόγων τε κοινωνήσας, καὶ τῆς ἡδίστης ὁμιλίας ἐκείνων εἰς κόρον μεταλαβὼν, κοινῆς τε τραπέζης προσηκόντως ἐκείνοις συμμετασχὼν, ἑβδόμην ἡμέραν αὐτοῖς συνδιήγαγε, θεραπείας πάσης καταξιῶν. Ἐπεὶ δὲ καὶ τὸν μακρὸν ὕπνον αὖθις ὁσίῳ τέλει ἐν Κυρίῳ κεκοίμηνται, τιμῇ τῇ προσηκούσῃ ἐτίμα, περιφανῆ κατάγων ἐπ' ἐκείνοις τὸν θρίαμβον· μεγαλοπρεπῶς τε αὖθις τῷ σπηλαίῳ κηδεύσας, ἐπὶ τὴν Κωνσταντίνου πάλιν ὑπέστρεφε. Κἀντεῦθεν ἡ περὶ τοῦ δόγματος ἀμφισβήτησις ἔληγε· δῆλον γὰρ ἦν· ὁ γὰρ τοσαῦτα ἔτη ὡς μίαν νύκτα παρασκευάσας τοὺς παῖδας διαβιβάσαι, μή τι λύμης μετεσχηκότας τοῖς σώμασιν, ἀλλὰ σύναμα ταῖς ψυχαῖς τούτους ἐξαναστήσας, δῆλος ἂν εἴη, ὡς καὶ πάντας ἀνθρώπους περιουσίᾳ δυνάμεως μετὰ τῶν οἰκείων καὶ οὐκ ἀλλοτρίων σωμάτων πάντως ἐξαναστήσει ἀκαριαίως, ὥσπερ ἐξ ὕπνου, καιρῷ τῷ προσήκοντι. Καὶ περὶ μὲν τούτων οὕτως.

ΚΕΦΑΛ. ΜϚʹ.

Περὶ τῶν γεγονότων ἐξαισίων σεισμῶν· καὶ ὡς λιτῆς ἐν τῷ κάμπῳ γινομένης διὰ τούτους, τοῦ τε βασιλέως καὶ Πρόκλου παρόντος, ἐξαίφνης παιδίον εἰς ἀέρα ἡρπάγη· καὶ ἀκοῦσαν τὸν τρισάγιον ὕμνον, κατελθὸν, τῷ λαῷ ἔφη· καὶ παραυτίκα πεσὸν ἐτελεύτα. Καὶ περὶ τῆς πόλεως ὡς ἀνενέωσε ταύτην, καὶ πολλὰς οἰκοδομίας ἐπὶ τῆς Ἀντιόχου ἀνήγειρε Θεοδόσιος.

Ἔτι δὲ Θεοδοσίου κρατοῦντος, σεισμὸν ἐπισυνέβη γενέσθαι μέγαν τε καὶ ἐξαίσιον· οἷον εἶναι καὶ τοὺς προλαβόντας ἅπαντας ἀποκρύπτειν τῷ μεγέθει καὶ τάχει, καὶ τῇ τοῦ χρόνου παραδρομῇ. Εἰς γὰρ μῆνας μάλιστα ἓξ διαγέγονεν ὁ σεισμὸς, οὐκ ἐκ διαλείμματος, ἀλλὰ συνεχῶς τὰ πάντα κυκῶν, καὶ ἀνὰ πᾶσαν τὴν οἰκουμένην σχεδόν· ὡς μὴ μόνον τοὺς ἀνὰ τὴν βασιλίδα πύργους ἐνεχθῆναι πρηνεῖς, καὶ τὸ ἄλλο ταύτης τεῖχος κατὰ διαφόρους τόπους διαῤῥαγῆναι, ἀλλὰ καὶ τὸ περὶ Χεῤῥόνησον οἰκοδόμημα, ὃ μακρὸν καλοῦσι τεῖχος, συμπεσεῖν ἀθρόον, καὶ μυρία δὲ ἁπανταχοῦ γενέσθαι συμπτώματα, μεγάλων ἔργων, νεῶν τε καὶ οἰκοδομιῶν. Ἥψατο δὲ ὁ σεισμὸς καὶ τῶν κατ' Ἀλεξάνδρειαν. Ἐν δ' Ἀντιοχείᾳ ῥαγδαιότερον ἐπιθέμενος, τὰ ἐν αὐτῇ τῶν θεαμάτων ἐξαίσια κατέῤῥαξε μάλιστα. Πολλά τε καὶ ἀναρίθμητα συνέβη πάθη γενέσθαι, οὐ κατὰ γῆν μόνον, ἀλλὰ καὶ κατὰ θάλασσαν· καὶ πῆ μὲν διαχυθῆναι τὴν γῆν, καὶ κώμας συχνὰς ἐν αὐτῇ καταδῦναι, καὶ τῶν πηγῶν δὲ οὐκ ὀλίγας ἐξάπινα φανῆναι ξηράς· ἀλλαχοῦ δὲ ἄφθονον ἀναῤῥυῆναι τὸ ὕδωρ, μὴ πρότερον εἰωθὸς ὄν. Πολλὰ δὲ καὶ τῶν δένδρων ἐκ τῶν βάθρων σὺν τοῖς πρέμνοις ἀναβρα-

(1) Simile quiddam Paulus Diaconus de septem quoque dormientibus in Germania refert, *De gestis Longobar.* lib. I, c. 13.

(1) Evagr. lib. I, cap. 17.

σθῆναι· καὶ χώματα πλεῖστα αἴφνη: ἀναδοθῆναι, A εἰς ὄρη τε μεγάλα σχεδιασθῆναι· ὑπερβῆναι δὲ καὶ τὴν θάλασσαν τοὺς οἰκείους ὅρους· καὶ νεκροὺς ἰχθύας καὶ τῶν μάλα μεγέθει ἐπισήμων ὡς ἀπὸ σφενδόνης ἐκπέμπειν· πολλάς τε νήσους τῶν ἐν αὐτῇ καταδῦναι, ἐς δεῦρο ἀφανεῖς γενομένας· καὶ πλοῖα τῶν ὑδάτων ἀθρόον ὑπονοστησάντων ἐπὶ ξηρᾶς ὀφθῆναι, μέσῳ τῷ πελάγει ἐπ' ἀκινήτοις ἑστῶτα. Μετέσχε δὲ τῶν ἐκ σεισμοῦ δεινῶν τὰ πολλὰ Βιθυνία τε καὶ Ἑλλήσποντος, ἑκατέρα τε Φρυγία, καὶ τῆς ἕω τὰ πλεῖστα, ὡς εἴρηται. Καὶ τὸ πλέον δὲ τῆς ἑσπέρας ἐπέδραμε. Πολλῷ δὲ χρόνῳ τὸ πάθος ἐπικρατῆσαν, οὐχ ὥσπερ τὸ καταρχὰς ἐπέβαλεν, οὕτω καὶ διέμεινε σφοδρότερον ἐπιόν· ἀλλ' ἔληγε κἀκεῖνο ἠρέμα τῷ χρόνῳ, ἕως οὗ παντάπαν ἀπέλιπε. Τὸ μὲν οὖν πάθος τοιοῦτον· οἱ δὲ τὴν Βύ- B ζαντος οἰκοῦντες, εἰς δέος μέγιστον καταστάντες, καὶ τὰ συμπτώματα δεδοικότες, τὰ τείχη λιπόντες, ἐκτὸς τῆς πόλεως ἦσαν, ἐν τῷ λεγομένῳ Κάμπῳ ποιούμενοι τὰς διατριβὰς, συνεχεῖς δεήσεις σύναμα βασιλεῖ Θεοδοσίῳ καὶ Πρόκλῳ τῷ πατριάρχῃ ποιούμενοι, ἐκδυσωποῦντες ἵλεων γενέσθαι Θεὸν, καὶ τῶν ἐπικειμένων ἀπαλλάττειν δεινῶν. Καί ποτε ῥαγδαιότερον τοῦ σεισμοῦ ἐπιβρίσαντος, σφόδρα τε παλλομένης καὶ ὡσανεὶ κυματιζομένης τῆς γῆς, καὶ ἐκ βάθρων ἀνασπασθῆναι προσδοκωμένης, λιτῆς ἀγομένης, πάντες σύνδακρυς ἦσαν, ἐκ βάθους τὸν ἄνωθεν ἔλεον ἐκκαλούμενοι. Τηνικαῦτα δὲ θαῦμα παράδοξον ἠκολούθει, πάντα νοῦν ἐκβαῖνον ὡσανεὶ καὶ διάνοιαν. Αἴφνης γὰρ ἐκ μέσου πάντων ὁρών- C των, θείᾳ τινὶ δυνάμει, παιδίον εἰς ἀέρα μετέωρον ἦρτο· καὶ τῷ οὐρανίῳ κύματι προσπελάσαν ὡς ἀφανὲς τοῦ λοιποῦ εἶναι, θείας ἐν μεθέξει φωνῆς γίνεται, ὅπως ἀγγέλοις ἔθος Θεὸν ἀνυμνεῖν. Ὡς δὲ ταῦτ' ἤκουσεν, ὀπίσω πάλιν ἐπιτραπῆναι τὴν αὐτὴν ἀερίαν ὁδὸν κατελθεῖν· ἀναγγεῖλαί τε καὶ τῷ ἐπισκόπῳ Πρόκλῳ, βασιλεῖ τε αὖ, καὶ τῷ πλήθει παντὶ, λιτανεύοντάς τε καὶ ἄλλως ἀνυμνεῖν ᾐρημένους Θεὸν, καὶ ταυτὶ κατὰ λέξιν λέγειν τὰ ῥήματα, ἅπερ ἀκούσειε καὶ ᾀδόντων ἀγγέλων· Ἅγιος ὁ Θεὸς, ἅγιος ἰσχυρὸς, ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. Ἃ δῆτα Πρόκλος ἀκούσας, αὐτίκα οὕτω ψάλλειν τῷ πλήθει ἐκέλευεν. Ὁ δὲ σεισμὸς εὐθὺς ἔστη, λήξας παντάπασι. Βασιλεὺς δὲ Θεοδόσιος καὶ ἡ θαυμαστὴ γυναικῶν Πουλχερία, τῷ παραδόξῳ ἀγασθέντες τοῦ D θαύματος, βασιλικῷ θεσπίσματι εὐθὺς ἐπεκύρουν κατὰ πᾶσαν τὴν οἰκουμένην τὸν θεῖον τουτονὶ ὕμνον ἐξᾴδεσθαι. Ἐξ ἐκείνου τε ἡ Χριστοῦ Ἐκκλησία τοῦτον παραλαβοῦσα, οὐ καθ' ἑκάστην ἡμέραν μόνον, ἀλλὰ καὶ ἁπλῶς εἰπεῖν, κατὰ πᾶσαν ἔναρξιν ὕμνου Θεοῦ τοῦτον πρὸ πάντων πλατεῖ τῷ στόματι καθηγεῖται. Τὸ μέντοι παιδίον μετὰ τὴν τῶν λόγων διακονίαν εὐθὺς ἐτελεύτα τὸν βίον· καὶ κατὰ τὴν Μεγάλην ἐκκλησίαν, ἣ τῆς Εἰρήνης ἐστὶν ἐπώνυμος, κατετέθη. Ὁ δὲ τόπος ᾧ διαέριον ἤρθη, Ὕψωμα θεῖον τοῦ λοιποῦ ἐπεκλήθη, πρὸς νότον ἄνεμον τῆς Κωνσταντίνου ὁρῶν. Ἐπεὶ δὲ τοῦ τῶν σεισμῶν δέους ἀπήλλακτο βασιλεὺς, αὐτίκα τὰ τῆς Κωσταντίνου τείχη ἐπέβαλλεν ἀνιστᾶν. Καὶ τὰ μὲν τῆς ξηρᾶς

in montes ingentes conformati. Mare, terminos suos transgressum, pisces ingentis magnitudinis mortuos veluti funda ejecit. Insulæ plures, una cum incolis suis submersæ, hodie quoque non apparent. Naves undis confertim decedentibus in arida medio mari immobiles consistere visæ. Cladem ex eo terræmotu plurimum sensere Bithynia, Hellespontus, utraque Phrygia, et Orientis pars maxima : sicuti dictum est. Invasit quoque Occidentis regiones plures. Et cum longo duraret tempore, non ea qua cœperat vehementia grassari perseveravit, verum sensim de impetu aliquid remisit, donec prorsus conquievit. Clades ea talis fuit. Byzantii autem in maximum conjecti metum, a ruinis ædificiorum sibi timentes, muros reliquerunt, et extra urbem in Campo, qui dicitur, morati sunt, una cum imperatore Theodosio, **544** et patriarcha Proclo continuis precibus incumbentes, Deumque ut propitius eis esset et ab imminenti calamitate orbem liberaret, obtestantes. Et cum aliquando, motu eo grassante, terra veluti fluctuans concuteretur, et homines per metum eam ex fundamentis ipsis exstirpatum iri vererentur, et omnes litaniis et supplicationibus dediti collacrymarent, et ex profundo intimoque animo misericordiam divinam implorarent : tum miraculum præter opinionem omnium, quod sensum et mentem omnem excedat, subsecutum est. Subito namque e medio inspectantibus omnibus, divina quadam vi puer in aerem sublimis ad cœlestem usque tractum, ita ut jam non appareret, sublatus, divinam vocem qua angelis Deum laudibus ferre mos est, audivit : eaque voce percepta, rursum priore per aerem via reversus descendit ; et episcopo Proclo, ipsique imperatori et multitudini omni supplicationibus operanti, Deumque hymnis celebranti, ab angelis canentibus se verba hæc audisse renuntiavit : Sanctus Deus, sanctus fortis, sanctus immortalis, miserere nostri. Quæ ubi Proclus intellexit, statim ad eum modum populum psallere jussit : et terræmotus statim etiam constitit, omninoque conquievit. Imperator porro Theodosius, et inter feminas admiratione omnium digna Pulcheria, tanto miraculo perculsi, constitutione imperiali confestim, ut per orbem omnem divinus hymnus iste concineretur, decreverunt. Et ex eo tempore Ecclesia Christi cum acceptum non quolibet tantum die usurpat, sed etiam (ut simpliciter dicam) cujuslibet carminis et laudis Dei initio ante omnia pleno ore præmittit. Puer verborum eorum ministerium exsecutus, statim vita defunctus est, et in Magna ecclesia quæ Pacis nomen obtinet, conditus. Locus autem in quo ille in sublime actus est, postea Divina Exaltatio vocatus est, notum ventum pro urbe Constantinopolitana spectans. Imperator ubi terræmotus timore liberatus est, illico Constantinopolitanæ urbis muros reficere aggressus est : et majorum mœnium partem, quæ in sicco loco sunt, per dies sexaginta,

in eam quæ nunc cernitur formam Anthemius restauravit, ingenti urbi amplitudine pomeriis prolatis adjecta. Cyrus autem præfectus urbi **545** reliquum qui conciderat, et vi temporis labefactatus fuerat, murum renovavit, atque in sublimem altitudinem, urbe veluti in novam redacta formam, construxit. Et cum aliquando imperator in Hippodromo equestre exhibens certamen staret, Byzantii structura Cyri delectati magnificam illam emisere vocem : Constantinus condidit, Cyrus restauravit. Qua ex causa ira percitus princeps, præfecti dignitatem, illo sub prætextu quod gentilis superstitionis cultor esset, homini ademit, et substantiam ejus omnem publicavit. Ille animum despondens, ad Ecclesiam confugit, et in sacrum sacerdotum ordinem allectus, Smyrnæorum præfuit urbi. Smyrnæi ubi illum audivere gentilium sacra coluisse, communionem ejus sunt aversati. Cyrus (1) autem ad eos in ecclesia talia verba fecit : « Viri amici, nativitatem Dei et Servatoris nostri Jesu Christi silentio colamus, quoniam auditu etiam solo in virgine sancta conceptum est Dei Verbum. Ei gloria sit in sæcula. Amen. » Ac deinde gratus civibus fuit, et Ecclesiam pie gubernavit. Hujus quoque opus est templum Dei Genitrici dicatum, quod Cyri dicitur : in quo fama est et Romanum illum cantorem eximium, propter carmina decantata, honorem et præmium virtutis a Dei Genitrice recepisse. Templum autem id hujusmodi occasione isthic est erectum. Cupressus in eo loco ingens et procera fuit, in qua superioribus temporibus nescio quomodo imaginem Dei Genitricis quidam occultavit. Cum autem multum præteriisset temporis, et imago lateret, ipsa seipsam indicavit. Cupressus enim immenso coruscans lumine, perinde atque fax una ardere visa est, et ingens etiam miraculorum vis ab obscura et latenti efficacia manavit. Ubi autem quidam curiositate laudata arborem conscendit, imago ea, unde miraculorum vis profluxit, apparuit. Quapropter Cyrus loco ei honorem habens, pulcherrimum et maximum Dei Genitrici construxit delubrum. De his hactenus. Verum enim vero imperator magnam exhibens liberalitatem, non imperantem tantum, sed et alias restauravit urbes, quæ valde dirutæ fuerant. Et alias quidem aliter restituit : Antiochiam vero Memnonium et Zoilum et Callistum, religione nostra admodum præstantes viros, rectores misit. **546** Ibi Memnonius perquam decenter et magnifice, quod Psephium dictum est, ab ipsis fundamentis restituit : in cujus loco medio hypæthram et subdialem aulam reliquit. Zoilus autem imperialem erexit porticum, ad austrum

A μεγάλα τείχη Ἀνθέμιος δι' ἑξήκοντα ἡμερῶν ἐπὶ τὸ νῦν ὁρώμενον διεσκεύαζε, περιβάλλων καὶ πολύ τι μεγέθους τῇ πόλει· ὁ δ' ἔπαρχος Κῦρος τὸ συμπεπτωκὸς τοῦ λοιποῦ τείχους, καὶ τῷ χρόνῳ γεγηρακὸς ἀνενέωσε, καὶ εἰς ὕψος ἐπέδωκε, καινήν τινα ὥσπερ καταστήσας αὐτήν. Καί ποτε τοῦ βασιλέως ἐν τῷ Ἱππικῷ καθεστῶτος, οἱ Βυζάντιοι τῇ ἐργασίᾳ Κύρου ἡδόμενοι, φωνὴν ἀφῆκαν λαμπράν· Κωνσταντῖνος ἔκτισε, Κῦρος ἀνενέωσεν. Ἐφ' ᾧ περιοργὴς γενόμενος ὁ κρατῶν, τὴν μὲν ὕπαρχον ἐκείνῳ ἀφεῖλε τιμὴν, πρόφασιν εἰληφὼς, ὡς εἴη τὰ Ἑλλήνων φρονῶν· δημεύει δὲ καὶ τὴν οὐσίαν εὐθύς. Ὁ δὲ ἀμηχανήσας, τῇ Ἐκκλησίᾳ προστρέχει· καὶ ἱερωσύνης μεταλαχὼν, τῆς τῶν Σμυρναίων καθηγήσατο πόλεως. Σμυρναῖοι δὲ καθ' B Ἕλληνας τοῦτον ἠνωτισμένοι φρονεῖν κοινωνεῖν ἐξετρέποντο. Ὁ δ' ἐπὶ τὴν ἐκκλησίαν ἰὼν, οὕτω πως ἔφη· « Ἄνδρες φίλοι, ἡ γέννησις τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ σιωπῇ τιμάσθω, ὅτι ἀκοῇ καὶ μόνῃ συνελήφθη ἐν τῇ ἁγίᾳ Παρθένῳ ὁ τοῦ Θεοῦ Λόγος. Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.» Καὶ τοῦ λοιποῦ κεχαρισμένος αὐτοῖς ἦν, καὶ εὐσεβῶς τὰ κατὰ τὴν Ἐκκλησίαν διῴκησε. Τούτου δὴ ἔργον καὶ ὁ ἐν τοῖς Κύρου λεγομένοις ἀνειμένος τῇ Θεοτόκῳ νεώς· ἐν ᾧ λόγος καὶ Ῥωμανὸν ἐκεῖνον τὸν θαυμάσιον μελῳδὸν, γέρας εἰληφέναι τῆς ἀρετῆς πρὸς τῆς Θεομήτορος τῆς μελῳδίας τὴν χάριν· κατὰ πρόφασιν δὲ τοιαύτην καὶ τὸν νεὼν ἐκεῖσε γενέσθαι. Ἀμφιλαφὴς κυπάρισσος περὶ τὸν χῶρον ἦν, ἐν ᾗ C τοῖς ἄνω χρόνοις οὐκ οἶδ' ὅπως εἰκόνα τις τῆς Θεομήτορος ἔκρυπτεν. Ὡς δὲ πολὺς ἐῤῥει χρόνος, καὶ ἀφανὴς ἦν ἡ εἰκὼν, αὐτὴ ἑαυτὴν κατεμήνυε· λαμπὰς γὰρ μία ἡ κυπάρισσος διεφαίνετο, ἀπείρῳ καταλαμπομένη φωτί. Πολλὴ δὲ καὶ θαυμάτων χύσις ἐπέῤῥει ἐξ ἀφανοῦς ἐνεργείας. Ἀγαθῇ δὲ περιεργίᾳ τινὸς ἀνιόντος τὸ δένδρον, ἡ εἰκὼν διεφαίνετο· ἐξ ἧς καὶ ὁ τῶν θαυμάτων ἔῤῥει κρουνός. Τιμῶν δὲ Κῦρος τὸν χῶρον, περικαλλῆ τε καὶ μέγιστον τῇ Θεοτόκῳ ἱδρύετο τέμενος. Τοσαῦτα καὶ περὶ τούτων. Βασιλεὺς δὲ πολὺ τὸ φιλότιμον ἐνδεικνύμενος, οὐ τὴν βασιλίδα μόνον, ἀλλὰ καὶ τὰς ἄλλας ἐπηνώρθου πόλεις σφόδρα διαῤῥαγείσας. Καὶ ἄλλας μὲν ἄλλως ἠνώρθου. Μεμνόνιον δὲ καὶ Ζωΐλον καὶ Κάλλιστον ἐπὶ τῇ καθ' ἡμᾶς θρησκείᾳ μάλα διαπρεπεῖς ἄρξοντας D τὴν Ἀντιόχου ἀνέπεμπεν. Ὁ μὲν οὖν Μεμνόνιος εὐπρεπῶς μάλα καὶ περιέργως τὸ παρ' ἐκείνῃ Ψηφίον ὀνομαζόμενον ἐξ αὐτῶν ἀνίστα κρηπίδων· ᾧ καὶ ὕπαιθρον αὐλὴν κατὰ μέσον εἴασε· Ζωΐλος δὲ τὴν βασίλειον ἐγείρει στοὰν πρὸς τὸ νότιον ἀπονεύουσαν κατὰ τὴν Ῥουφίνου πλευρὰν, τὴν ἐκείνου προσηγορίαν καταλείψας τῷ χώρῳ. Οὐ σμικρὰν δὲ καὶ ὁ ἐμοὶ συνώνυμος Κάλλιστος καταλέλοιπε τὴν οἰκοδομίαν τῇ πόλει, ἀλλὰ καὶ λίαν περιφανῆ τε

(1) De Cyro isto hæc apud Suid. reperiuntur: *Cyrus Panopolites poeta sub Theodosio juniore vixit. Apud quem præfectus prætorio et præfectus urbi, consul et patricius fuit, in admiratione ab Eudocia Augusta, quæ poematum studiosa erat, habitus. Eudocia autem, cum aula relicta, in Oriente Hierosolymis esset, Cyrus ab adversariis insidiis circumventus, in Phrygia Cotyei episcopus factus est, et usque ad Leonis imp. tempora duravit.* Mentio ejus fit l. *Si quis C. ut nem. ad suum patroc.* lib. II. Et ad hunc scripta est L. *Qui sub prætextu.* C. de sacros. Eccles.

ἅμα καὶ μεγαλοπρεπῆ, ἡ Καλλίστου στοὰ ὠνομάζετο, πρὸ τῶν ἐδῶν ἃ ταῖς δίκαις ἱδρύετο, κατ' εὐθὺ τοῦ φόρου· οὗ ἡ περικαλλὴς οἰκία ἐγήγερτο, εἰς καταγώγια κεκληρωμένη τοῖς στρατηγοῖς. Ἐπὶ δὲ τούτοις ὁ στρατηγὸς Ἀνατόλιος, τῶν ἑῴων ταγμάτων ἡγούμενος, ἐκεῖσε πεμφθεὶς, καὶ οὗτος τὴν ἐκείνου ἐπώνυμον στοὰν περιφανῶς ἀνεγείρει, ὕλαις παντοίαις καὶ φιλοτίμῳ ταύτην καταχαλλύνας χειρί. Ταῦτα μὲν εἰ καὶ πάρεργα τῇ ἱστορίᾳ εἶναι δοκεῖ, ἀλλὰ τοῖς γε φιλομαθέσιν οὐκ ἄκομψα, πολὺ δὲ καὶ μάλιστα περισπούδαστα.

A spectantem, in Rufini porticus latere, cognomine suo loco ei relicto. Qui vero mihi cognominis fuit Callistus, præclarum et magnificum urbi ei reliquit ædificium, quod Callisti porticus nominatur, pro judicum curia, ex adverso ei foro ubi pulcherrimæ constructæ sunt ædes, in quibus duces belli habitant. Insuper Anatolius quoque dux, militarium in Oriente ordinum præfectus, eo missus, cognominem sibi porticum, omnis generis materia et arte præcipua exornatum, splendide excitavit. Hæc etiam si per digressionem historiæ inserta, non tamen studiosis invenusta aut ingrata erunt.

ΚΕΦΑΛ. ΜΖ'.

B *Ὡς μετὰ Πρόκλον Φλαβιανὸς, μετὰ δὲ Κύριλλον Διόσκορος τὴν Ἐκκλησίαν ἔλαβεν. Καὶ περὶ τῆς διαφορᾶς Πουλχερίας καὶ Εὐδοκίας διὰ Χρυσαφίου· καὶ περὶ τῆς ἐν Ἐφέσῳ τὸ δεύτερον λῃστρικῆς συνόδου.*

Μετὰ δὲ τοῦτο Πρόκλος μὲν ὁ θειότατος δέκα πρὸς τῷ ἑνὶ διαπρέψας ἔτη τῷ τῆς Κωνσταντινουπόλεως θρόνῳ, καὶ ὁ τῆς Ἀλεξανδρείας θεσπέσιος Κύριλλος δύο πρὸς τοῖς τριάκοντα, κατὰ ταυτὸν καὶ ἄμφω πρὸς τὴν ἀγήρω μετέβαινον βιοτήν. Ἀλλὰ καὶ ὁ τῆς Ἀντιόχου Ἰωάννης, Δόμνῳ τὸν θρόνον λιπὼν, ἀπήλλακτο τῆς ζωῆς. Ναὶ μὴν καὶ Λέων ὁ μέγας, Κελεστίνου τοῦ θείου μετηλλαχότος τὸν βίον, ἐπὶ τὸν τῆς πρεσβυτέρας Ῥώμης θρόνον ἀνήγετο. Ἰουβενάλιος δ' ἔτι περιὼν, τῶν κατὰ Παλαιστίνην ἡγεῖτο ἐκκλη- C σιῶν. Τὸν μὲν οὖν Πρόκλον ὁ τῶν ἱερῶν φύλαξ τῆς Μεγάλης διεδέχετο ἐκκλησίας Φλαβιανὸς, πρεσβυτέρου μὲν ἀξίαν ἠμφιεσμένος, οὐρανίᾳ δὲ κεχρημένος τῇ βιοτῇ. Μετὰ δὲ Κύριλλον τῷ τῆς Ἀλεξάνδρου θρόνῳ Διόσκορος τὸ τῆς ἀσεβείας καθιδρύεται ἐργαστήριον· ὅς καὶ τἄλλα μὲν χείριστος ὢν, μάλιστα Κυρίλλῳ τῷ θείῳ καὶ Φλαβιανῷ δι' ἔχθρας ἰὼν, τὴν τρίτην οὐ προσίετο σύνοδον. Τῷ δὲ τῆς Κωνσταντίνου ἀρχιμανδρίτῃ τῷ δυστυχεῖ Εὐτυχεῖ φίλῳ ἐς τὰ μάλιστα χρώμενος, ἔτι δὲ καὶ Χρυσαφίῳ τῷ πρώτῳ τῶν ἐν βασιλείοις θαλαμηπόλων, τὴν ἐν Ἐφέσῳ δευτέραν συγκροτηθῆναι σύνοδον παρεσκεύασεν, ἣ καὶ λῃστρικὴ ἐπεκλήθη, ἐντεῦθεν τὴν ἀρχὴν εἰληφυῖα. Ὁ Χρυσάφιος οὗτος τὰ μεγάλα δυνάμενος παρὰ βασιλεῖ, τῇ Φλαβιανοῦ χειροτονίᾳ D ἔκ τινος προλήψεως ἀπαρεσκόμενος, ὑποτίθει τῷ βασιλεῖ, σημαίνειν τῷ πατριάρχῃ τὰς ὑπὲρ τῆς χειροτονίας διαπέμπεσθαι εὐλογίας. Ὁ δὲ θεῖος Φλαβιανὸς ἄρτους καθαροὺς ἔπεμπε. Χρυσάφιος δὲ χρυσᾶς πέμπειν εὐλογίας ἐδήλου. Πατριάρχης δ' ἀντέλεγε, μὴ τῶν τοιούτων εὐπόρως ἔχειν, εἰ μή που εἰς τοῦτο τοῖς ἱεροῖς χρήσαιτο κειμηλίοις· τὰ δὲ τῆς ἐκκλησίας κἀκεῖνον πάντως ἀκριβέστατα διειδέναι, ὡς Θεῷ καὶ τοῖς πένησιν ἀφωσίωται. Καὶ δὴ ἐντεῦθεν ἡ παραλύπησις χώραν ἐλάμβανε, μηδέν τι Πουλχερίας τῆς βασιλίδος ἐπαισθομένης. Ἐντεῦθεν ὁ Χρυσάφιος φθόνῳ βληθεὶς, πάντα κάλων ἐκίνει τὸν πατριάρχην ἀπελάσαι τοῦ θρόνου. Τῆς δὲ Πουλχερίας κρατούσης, ἐπεὶ ἀδύνατον ἐῴκει εἶναι,

CAPUT XLVII.

Ut post Proclum Flavianus, post Cyrillum Dioscorus Ecclesiæ susceperit administrationem. De dissidio inter Pulcheriam et Eudociam, propter Chrysaphium. Item de synodo iterum Ephesi celebrata, et prædatoria cognominata.

Postea cum divinus Proclus undecim annis in Constantinopolitana sede, et admirandus Cyrillus in Alexandrina triginta duobus enituissent, eodem tempore ambo ad immortalem transiere vitam. Sed et Joannes Antiochenus moriens Domno thronum reliquit: et Leo Magnus, Cœlestino ad cœlestem recepto vitam, in veteris Romæ Ecclesiam est inductus. Porro Juvenalis adhuc superstes, Ecclesiis Palæstinæ præfuit. Proclo Flavianus successit, sacrorum donariorum ecclesiæ Magnæ custos, dignitate presbyter, vita autem cœlesti præclarus. Post Cyrillum in Alexandriæ throno Dioscorus impietatis officinam instituit: qui cum rebus aliis pessimus fuit, 547 tum divino Cyrillo et Flaviano inimicissimus, tertiæ synodi decreta non recepit. Et quod Constantinopolitano archimandrita infelici Eutychete, et præterea Chrysaphio primario inter imperiales cubicularios eunucho amicissime uteretur, ut secunda Ephesi synodus cogeretur effecit, quæ λῃστρικὴ, hoc est prædatoria, dicta est. Ejus celebrandæ tale fuit initium. Chrysaphius iste (1) multum apud imperatorem auctoritate valuit, et quod ordinationem Flaviani, propter anticipatam opinionem, minus gratam probatamque haberet, imperatori subjecit, ut patriarchæ significaret, quo ille, ordinationis gratia, benedictionis munus sibi mitteret. Divus Flavianus panes puros misit. Chrysaphius contra aureum benedictionis donum mittendum esse dixit. Cui patriarcha respondit, non esse sibi talium rerum copiam, nisi forte ad hoc sacris uteretur templi donariis. Ipsum vero Chrysaphium optime nosse, Ecclesiæ sacra vasa Deo et pauperibus esse consecrata. Atque inde offensio locum habuit, cum ejus rei Pulcheria Augusta nihil animadvertisset. Chrysaphius eam ob rem invidia percitus, omnem movit funem, ut patriarcham sede sua deturbaret. Cum autem id omnino, Pulcheria summam rerum administrante, fieri non posse videret, Eudociam Augustam, quæ

(1) Apud Suidam est, plurimum auctoritate eunuchos aulicos apud Theodosium valuisse, et res plerasque ex arbitrio eorum perperam actas esse.

nondum in Palæstinam ierat, sollicitavit, eamque paulatim adversus matrem Pulcheriam concitans, ut præpositum illi ademptum sibi assisceret, suadere ei cœpit. Præpositus enim Pulcheriæ parebat, ut quæ rerum summam administraret. Eudocia non parum imperatoris tentavit animum, ut præpositum a Pulcheria abduceret. At ille ab ea persuasus non est, petitionem Eudociæ refellens: quod Pulcheria soror ejus in imperio genita atque educata esset, et quam optime rempublicam administraret. Postquam Chrysaphio cœptum id non successit, aliud est expertus, et rursum Eudociæ molestus fuit, imperatorem ut instigaret, quo ille patriarchæ secreto insinuaret, ut Pulcheriam diaconissam ordinaret. Hoc Eudocia cum ageret, frequenti suggestione tandem mitissimum imperatoris animum flexit. Nam et lapidem aquæ gutta frequentius defluens excavare solet. Theodosius patriarchæ ad se vocato arcanum indicavit. **548** Et ille in mœrorem conjectus imperatori quidem quod ei gratum esset, facturus visus est: Pulcheriam autem litteris secretioribus certiorem fecit, ut nequaquam in conspectum ejus veniret, ne scilicet quod et sibi ipsi et illi parum gratum esset, facere cogeretur. Pulcheria statim quid ageretur intelligens, præpositum transire ad Eudociam jussit: et ipsa urbe egressa, ad Septimum tranquillam privata vitam egit. Imperator autem et Eudocia Flaviano deinceps, quod arcanum illud consilium propalasset, maxime succensuerunt. Pulcheria ad hunc modum ejecta, per Eudociæ manus respublica administrabatur: quo tempore etiam suspicionis illius occasio locum habuit, de celebri illo malo, propter Paulinum magistrum, quemadmodum supra dictum est. Hæc cum sic gererentur, Eusebius, de quo in synodo tertia antea diximus (nam primus ipse Nestorii vesaniam deprehendit atque redarguit, si quis alius, et ipse artis rhetoricæ peritus: tum autem Dorilæus episcopus erat), quod Eutychetis familiaris esset, de fide aliquando cum eo est collocutus. Atque ubi cum non recte sentire animadvertit, libellum ea de re patriarchæ Flaviano obtulit. Flavianus synodo provinciali Constantinopoli coacta, ad quam quadraginta episcopi venerant, Eutychetem citavit. Ille porro primum sistere se recusavit. Ubi autem coactus advenit, fœdissimo morbo laborare deprehensus est. In medio enim consessu, « Ego, inquit, ex duabus naturis genitum esse profiteor Dominum nostrum Jesum Christum, ante unionem. Post unionem autem, unam ejus esse naturam, et divinum ejus corpus neque consubstantiale nobis, neque eisdem nobiscum perpessionibus obnoxium esse prædico. » Quæ verba postquam synodus audivit (1), illico quod ille pœnitentia non duceretur, legitime et juxta certum canonum judicium, hominem, dignitate ei adempta, rejecit. Ille

A τὴν βασίλισσαν Εὐδοκίαν ὑπέρχεται, μήπω ἀφιεμένην εἰς Παλαιστίνην, καὶ ἠρέμα κατὰ τῆς μητρὸς Πουλχερίας διερεθίζειν. Καὶ ἔπειθεν ἀφελέσθαι μὲν αὐτῆς τὸν Πραιπόσιτον, ἑαυτῇ δὲ προσποιῆσαι· ὑπ' ἐκείνῃ γὰρ οὗτος ἐτάττετο, ἅτε δὴ ἐφισταμένῃ τοῖς πράγμασι. Καὶ πεῖραν οὐ μικρὰν προσῆγεν ἡ Εὐδοκία τῷ βασιλεῖ, τὸν Πραιπόσιτον ἀποστῆσαι τῆς Πουλχερίας. Ἀλλ' οὐδαμῶς πειθήνιος ἦν ὁ κρατῶν, ἀποτρέπων οἷς τε τῇ βασιλείᾳ γεννηθείη τε καὶ τραφείη, καὶ ὡς χρεὼν τὰ τῆς πολιτείας ἡ ἀδελφὴ διαχειρίζεται πράγματα· ἐπεὶ δ' ὁ Χρυσάφιος τῆς πρώτης απετύγχανε πείρας, δευτέραν ἄλλην προσῆγε. Καὶ αὖθις τῇ Εὐδοκίᾳ ἠνώχλει βασιλέα διερεθίζειν ἐν ἀποῤῥήτῳ πατριάρχῃ δηλοῦν, διάκονον τὴν Πουλχερίαν χειροτονεῖν. Οὕτως B οὖν ἔχουσα, κάμπτει μόλις τῷ πυκνῶς ὑποβάλλειν τὴν τοῦ βασιλέως πραϋτάτην ψυχήν. Καὶ γὰρ τὴν πέτραν κοιλαίνει ἡ τοῦ ὕδατος συχνῶς κατιοῦσα ῥανίς· καὶ τὸν πατριάρχην μεταστειλάμενος, τὸ ἀπόῤῥητον ὑπεσήμαινεν. Ὁ δ' ἐν λύπῃ γενόμενος, βασιλεῖ μὲν κεχαρισμένα πρᾶξαι ἐδόκει· γράμμασι δὲ μυστικοῖς τῇ Πουλχερίᾳ ἐδήλου, μηδαμῶς ἑλέσθαι αὐτῷ εἰς πρόσωπον ἀφικέσθαι, Ἵνα μήτι, φησὶ, τῶν οὐ καταθυμίων ἐμοί τε καὶ σοὶ ἀναγκασθῶ διαπράξασθαι. Ἡ δ' εὐθὺς συνεῖσα τὸ μελετώμενον, τὸν μὲν Πραιπόσιτον παρὰ τὴν Εὐδοκίαν ἰέναι ἐκέλευεν· αὐτὴ δὲ τῆς πόλεως ἐξελθοῦσα, περὶ τὸ Ἕβδομον γενομένη, καθ' ἑαυτὴν ἡσυχῇ διῆγεν. Ὁ δὲ βασιλεὺς καὶ ἡ Εὐδοκία κατὰ Φλαβιανοῦ τὰ μέγιστα ὠδίνον τοῦ λοιποῦ ὡς τὸ ἀπόῤῥητον ἐκκαλύψαντος. C Τῆς δὲ Πουλχερίας ἐκποδὼν γενομένης, διὰ χειρὸς τῇ Εὐδοκίᾳ τὰ τῆς πολιτείας ἤγετο πράγματα· ὁπηνίκα καὶ ἡ κατ' αὐτῆς πρόφασις χώραν ἔσχε τῷ περιβοήτῳ ἐκείνῳ μήλῳ διὰ Παυλῖνον τὸν μάγιστρον, ὥστε προείρηται. Τούτων οὕτω γεγενημένων, ὁ κατὰ τὴν τρίτην σύνοδον προειρημένος Εὐσέβιος (ὃς καὶ πρῶτος τῆς Νεστορίου φρενοβλαβείας καθήψατο, καὶ ταύτην διήλεγξε, ῥητορικὴν εἴπερ τις ἀσκήσας· τότε δὲ τὴν Δορυλαίου διέπων ἐπισκοπὴν), συνήθης ὢν Εὐτυχεῖ περὶ πίστεώς ποτε λόγους ἐκίνει. Ἐπεὶ δὲ μὴ ὑγιῶς φρονοῦντα ἐφεύρισκε, λίβελλον γράψας, Φλαβιανῷ τῷ πατριάρχῃ ἐδίδου. Ὁ δὲ μερικὴν σύνοδον κατὰ τὴν Κωνσταντίνου ἀθροίσας, ἣν τεσσαράκοντα ἐπλήρουν ἐπίσκοποι, μετεστέλλετο Εὐτυχῆ. D Ὁ δὲ τὰ μὲν πρῶτα ἔρχεσθαι παρῃτεῖτο· ἐπεὶ δὲ βιαζόμενος παρεγένετο, φωρᾶται αἰσχίστῃ νόσῳ προειλημμένος. Ἔφη γὰρ ἐν μέσῳ τῷ συνεδρίῳ· « Ἐγὼ ἐκ δύο φύσεων ὁμολογῶ γεγεννῆσθαι τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πρὸ τῆς ἑνώσεως, μετὰ δὲ τὴν ἕνωσιν μίαν φύσιν αὐτὸν εἶναι κηρύττω· καὶ τὸ θεῖον ἐκείνου σῶμα μὴ ὁμοούσιον ἡμῖν καὶ ὁμοιοπαθὲς καθεστάναι. » Ἃ δῆτα ἡ σύνοδος διακούσασα, εὐθὺς ἐκεῖνον μεταμέλῳ μὴ χρώμενον, ἐνθέσμως καὶ κατὰ κανόνων ἀκριβῆ δίαιταν ἀπώσαντο καθελόντες. Ἐκεῖνος δὲ βασιλεῖ προσιὼν, ἐδεῖτο ἀνακρίνεσθαι αὖθις, οἷάπερ τῶν κατ' αὐτοῦ ὑπομνημάτων πλαστουργηθέντων Φλαβιανῷ. Καὶ δὴ

(1) Synodos provinciales patriarchæ et archiepiscopi olim, cum hoc sic usus ferret, cogere potuerunt: concilia œcumenica et universalia, sine voluntate imperatoris, minime.

κελεύσει τοῦ κρατοῦντος πρὸ τῆς Κωνσταντίνου ἑτέρα συναλίζεται σύνοδος· ἐν ᾗ καὶ ἄλλοι τε τῶν ἱερέων παρῆσαν καὶ τῶν τῆς συγκλήτου τινές. Ὡς ἀληθῆ δὲ εἶεν τὰ ὑπομνήματα κυρωσάντων, Χρυσάφιος ὁ εὐνοῦχος ὁμόφρων ἐκείνῳ τὰ μάλιστα καθεστὼς, τὴν ὕβριν φέρειν οὐχ οἷός τε ὢν, ἐπιπλεῖον τὴν κατὰ Φλαβιανοῦ ηὔξανε μῆνιν· καὶ τῷ τῆς Ἀλεξανδρείας Διοσκόρῳ ἐδήλου τῷ δυσσεβεῖ, εἰς ἅπαντ' αὐτῷ εἶναι κεχαρισμένος τὰ καταθύμια, εἴ γε Εὐτυχέος μὲν ὑπεραγωνίσηται κινδυνεύοντος, κατὰ δὲ Φλαβιανοῦ καὶ Εὐσεβίου τοῦ Δορυλαίου γλῶτταν κινήσοι. Ἐπίσης δὲ καὶ τὴν Αὐγούσταν Εὐδοκίαν διερεθίζει, πολλὰ μὲν ἐπιλέγων καὶ ἄλλα, μάλιστα δὲ τὰ διὰ Πουλχερίαν αὐτῇ λυπηρὰ προσγενόμενα· ὅτι μὴ τὸ ἀπόῤῥητον Φλαβιανὸς ἐταμίευε. Καὶ δὴ ἄμφω γενόμενοι, κινοῦσι τὸν Θεοδόσιον, καὶ δευτέραν αὖθις σύνοδον κατ' Ἔφεσον συγκροτεῖν, ἣ δὴ τὰ κατὰ Εὐτυχῆ καὶ Φλαβιανὸν διασκέψηται, καὶ τῶν ψήφων τὴν δίαιταν Διοσκόρῳ τῷ δυσσεβεῖ ἐπιτρέπειν, καὶ τῆς συνόδου κατάρχειν· πέμπειν δὲ καὶ στρατὸν ἀξιόμαχον τοῖς ψηφιζομένοις προσβοηθήσοντα. Ὡς δὲ τοῦτο βασιλεὺς ἐκέλευε, καὶ ἡ λῃστρικὴ κληθεῖσα σύνοδος κατ' Ἔφεσον ἤθροιστο, προκαθίσας Διόσκορος, τοὺς ἄλλους παρωσάμενος νοταρίους, τοὺς ἰδίους μόνους προῆγεν, ὥστε τὰ πραττόμενα, ᾗ ἐκείνῳ ἐδόκει, χάρταις διατυποῦν. Παρῆσαν δὲ τῇ συνόδῳ οἱ καὶ ἄνωθεν εἰρημένοι τῶν ἐκκλησιῶν ἡγεμόνες μετὰ τῶν ἀμφ' αὐτοὺς ἱερέων πλὴν Λέοντος τοῦ τῆς πρεσβυτέρας Ῥώμης ποιμένος. Τούτου γὰρ τὸν τόπον ἐπίσκοπος Ἰούλιος πεμφθεὶς ἀνεπλήρου, σὺν ἄλλοις καὶ ταῦτα πρὸς λέξιν Θεοδοσίου θεσπίσαντος· « Τῶν πρὶν δικασάντων Εὐτυχεῖ τῷ εὐλαβεστάτῳ ἀρχιμανδρίτῃ, παρόντων μὲν καὶ ἡσυχαζόντων, τάξιν δὲ δικαστῶν μὴ ἐπεχόντων, ἀλλὰ τὴν κοινὴν πάντων τῶν ἁγιωτάτων Πατέρων περιμενόντων ψῆφον· » ἐπειδὴ τὰ παρ' αὐτῶν κεκριμένα νῦν δοκιμάζεται. Ζητήσεως δὲ γενομένης, ἀπῃτεῖτο Εὐτυχὴς ἃ περὶ Θεοῦ φρονοίη, δῆλα καθιστᾷν τῇ συνόδῳ. Ὡς δ' ἐκεῖνος ἃ καὶ πρότερον εἰρήκεν ἐπὶ μέσου διωμολόγει, ἐκ δύο μὲν φύσεων γεγενῆσθαι πρὸ τῆς ἑνώσεως, μετὰ δὲ ταύτην μίαν εἶναι τὴν φύσιν αὐτῷ, ὑπολαβὼν Διόσκορος εἶπε· Καὶ ἡμεῖς πάντες τῆς αὐτῆς δόξης ἐσμέν. Οἱ δὲ τοῦ πάππα Λέοντος τοποτηρηταὶ τὰς ἐκείνου ἐπιστολὰς, τήν τε πρὸς Φλαβιανὸν καὶ τὴν σύνοδον ἀναγνωσθῆναι ἐδέοντο. Ὡς δὲ κἀκείνας Διόσκορος ἀπεσείετο, συνιδόντες ἐκεῖνοι τὸ παράφορον τῆς ὁρμῆς Διοσκόρου, φυγόντες τὴν σύνοδον, εἰς τὴν Ῥώμην ἀνέτρεχον. Διόσκορος δὲ καὶ οἱ ἀμφ' αὐτὸν Εὐτυχεῖ τὴν ἱερωσύνην ἀπέδοσαν· Φλαβιανὸν δὲ καὶ Εὐσέβιον τὸν Δορυλαίου ταύτης ἀφείλοντο· χρησάμενοι τῷ κανόνι πρὸς ἀρωγὴν, ὃν ἐκεῖνοι τάχα παρέβησαν, ὃς κελεύει μὴ δεῖν ἑτέραν πίστιν παρὰ τὴν ἐν Νικαίᾳ ἐκτίθεσθαι. Φλαβιανὸς δὲ ὁ ἁγιώτατος, μετὰ τὴν παράνομον ἐκείνην καθαίρεσιν, ὠθισμοῖς καὶ λακτίσμασι παρὰ τῶν περὶ Διόσκορον καὶ Χρυσάφιον τῆς συνόδου ἀπελαυνόμενος, μετὰ τρίτην

imperatorem adiit, et ut causa denuo judicaretur, perinde atque acta et decreta contra eum facta a Flaviano conficta essent, rogavit. Itaque principis jussu alia in suburbano Constantinopolis coacta est synodus, in qua multi etiam alii episcopi et ex senatu quidam adfuere. Porro ubi illi acta et decreta legitima esse auctoritate sua comprobarunt, Chrysaphius eunuchus, qui idem cum illo sentiebat, cum contumeliam ferre nequiret, **549** iram adversus Flavianum suam maxime auxit: et Dioscoro Alexandrino impio illi indicavit, se illi in rebus quæ ei placitæ essent, gratificaturum omnibus, si Eutychetem periclitantem defenderet, Flavianum autem et Eusebium Dorylæum oppugnaret. Eodem etiam modo Eudociam Augustam excitavit, cum multa alia, tum ea potissimum dicendo quæ ei a Pulcheria acerba accidissent, propterea quod Flavianus rem secreto sibi creditam, tectam tacitamque non servasset. Hi ambo Theodosium permovent, ut alteram Ephesi synodum, quæ Eutychetis et Flaviani causam disceptaret, celebrari jubeat, sententiarumque ferendarum judicium Dioscoro impio committat, et eumdem synodo præficiat: copias etiam militares, quæ satis sint, mittat, quæ rem judicatam exsequerentur. Ubi id imperator mandavit, et synodus quæ prædatoria vocatur, Ephesi congregata est: præsidens ei Dioscorus, notariis aliis rejectis, suos tantum adhibuit, ut acta ex sententia ejus in scriptum referrentur. Adfuerunt concilio ei quos supra nominavimus ecclesiarum antistites cum sacerdotibus suis (1): Leone veteris Romæ pastore excepto, cujus locum Julius episcopus eo missus obtinuit. Theodosius inter alia hoc sic verbis ejuscemodi sanxerat: « Qui antea judices religiosissimi archimandritæ Eutychetis fuere, adsunto quidem et tacento, judicum autem ordinem non habento: cæterum commune sanctissimorum omnium Patrum sententiam exspectanto, quandoquidem de rebus ab eis judicatis nunc judicium agitur. » Ubi autem de quæstione actum, ab Eutychete petitum est, ut ea quæ de Deo sentiret, apud synodum exponeret: tum ille, quæ antea quoque dixerat, in medium proferens professus est. E duabus quidem naturis genitum esse Salvatorem ante unionem, post hanc autem unam ei esse naturam. Dioscorus porro subinferens, Et nos omnes, ait, ejusdem opinionis sumus. Ibi Leonis papæ locum tenentes illius ad Flavianum et synodum ipsam datas litteras legi petierunt. Ut vero Dioscorus eas rejecit, mandatarii transversum Dioscori impetum animadvertentes, e synodo discessere et Romam recurrere. Dioscorus, cum factionis suæ popularibus, Eutychetem reddita ei sacerdotali dignitate, in integrum restituit: **550** eam vero Flaviano et Eusebio Dorylæo abrogavit, canonem illum, quem ipse forte transgressus est, obtendens, nullam aliam fidei formulam, præter

(1) Juvenalis scilicet, Domnus, etc.

quam quæ Nicææ est facta, promulgandam esse statuentem. Porro Flavianus, vir sanctissimus, post ejuscemodi illegitimam exauctorationem, turbulentis impulsionibus et calcium ictibus a Dioscori et Chrysaphii factione ex synodo ejectus, tertio post die vitam feliciter finiit, cum ille ipse Dioscorus calcibus in ventrem etiam veritatis ipsius propugnatoris defuncti insiluerit. Et postridie episcopi, militum qui eos armis sublatis circumsteterant, vi actis adversus sanctum illum editis subscribere sunt coacti. Cum quibus et Domnus, Joannis in Ecclesia Antiochena successor, adnotatione sua ea tum confirmavit. At idem potestati suæ redditus, quod illis cessisset, retractavit, Dioscoro et principibus ex aula imperiali viris resistens, et contra decreta, utpote quæ adversus ecclesiasticas constitutiones facta essent, vociferans, synodumque impiam appellans, et subscriptionem denique suam reddi sibi flagitans. Verum synodus ea de causa huic quoque sacerdotalem ademit dignitatem: in qua et Ibas ille Edessenorum episcopus, et sapiens eruditusque Theodoritus Ecclesiæ Cyri pastor, præterea Daniel Carrarum, item Irenæus Tyri, et Aquilinus Bybli episcopi exauctorati sunt. Decrevit hæc synodus quoque de Sophronio quædam, qui tum Constantinopolim, visendæ ejus gratia, venerat, et alia insuper quæ in actis continentur. Prædatorium Ephesi concilium ad hunc solutum est modum.

A ἡμέραν τὸν βίον μακαρίως μετήλλαξε, καὶ αὐτοῦ ἐκείνου Διοσκόρου, λὰξ ἐναλλομένου κατὰ τῶν κενεώνων τῷ τῆς ἀληθείας ἀγωνιστῇ. Τῇ δ' ἑξῆς βίᾳ τῶν περικύκλῳ στρατιωτῶν ἐπανειλημμένων τὰ ξίφη, τοῖς κατὰ τοῦ ὁσίου ὑπομνήμασιν οἱ ἐπίσκοποι ὑπογράφειν κατηναγκάζοντο. Μεθ' ὧν καὶ Δόμνος ὁ τῆς Ἀντιόχου μετὰ Ἰωάννην γενόμενος καθυπέγραφεν. Εἰς ἑαυτὸν δὲ γενόμενος, ἀναπαλαίειν ἐπειρᾶτο τὴν ἧτταν· Διοσκόρῳ τε καὶ τοῖς ἐκ βασιλέων ἀνθίστατο ἄρχουσι· κατεβόα τε τῶν πραχθέντων ὡς παρὰ τὸν ἐκκλησιαστικὸν ὅρον γεγενημένων· καὶ ἀσεβῆ τὴν σύνοδον κατωνόμαζεν, καὶ τὴν οἰκείαν ὀπίσω ἀνεζήτει ὑπογραφήν. Ἀλλ' ἡ σύνοδος καὶ τοῦτον διὰ ταῦτα καθελοῦσα, τῆς ἱερωσύνης ἀφίστα. Ἐπὶ δὴ ταύτῃ τῇ συνόδῳ καὶ Ἴβας B ἐκεῖνος τῆς Ἐδεσσηνῶν προεδρεύσας, ἀποκηρύττεται. Ἔτι δὲ καθαιρεῖται καὶ ὁ πολὺς ἐν λόγοις σοφὸς Θεοδώρητος, τὴν Κυρεστῶν ποιμαίνειν λαχών· πρὸς τούτῳ δὲ καὶ Δανιὴλ Καρίας ἐπίσκοπος· ὅ τε Τύρου Εἰρηναῖος· καὶ πρός γε Ἀκυλῖνος ὁ Βύβλου. Διῃτήθη δὲ ταύτῃ καί τινα Σωφρονίου χάριν, ὃς τὴν Κωνσταντιναίων ἐπεσκόπει τῷ τότε, καὶ ἄλλα τινὰ ἃ τοῖς γεγραμμένοις ἀνείληπται. Καὶ τὸ μὲν ἐν Ἐφέσῳ ληστρικὸν συνέδριον τοῦτον διελύθη τὸν τρόπον.

551 CAPUT XLVIII.

C

Confutatio eorum qui Christianorum sacra maligne exagitant: et Græcarum gentiliumque nugarum traductio.

Ne vero eis quisquam qui aliter opinantur et idolis addicti sunt, nos rideat, perinde quasi per res novas semper aliquid ad fidem afferamus, et apud nos posteriores prioribus derogent. Nos etenim ineffabilem atque incomprehensibilem Dei erga nos benignitatem et misericordiam inquirentes, eamque summopere colere atque magnificare contendentes, eo quod rem eam assequi non possumus, huc atque illuc nos convertimus. Nullus sane eorum qui in hæreses delapsi sunt, illud in concilio præcipue habuit, ut divinum Numen blasphemus maledicto aut contumelia afficeret: sed præstantius quidquam se prolaturum esse, quam majores fecerint, si hoc vel illud promulgaret, existimavit. Universi equidem communi omnium concordia, quæ (1) præcipua religionis nostræ sunt, et quæ cultus divini causam continent, capita, profitemur. Trinitas enim in unitate naturæ divinæ a nobis deprædicatur: et ante luciferum supersubstantiali Patri genitus Deus Verbum, quod nativitate altera incorrupte propter immensam erga creaturam suam misericordiam carnem assumpsit. Quod si præterea propter obscuram Numinis cognitionem homines novi quidquam afferunt, non novum, id est, quod Deus, ut equidem puto, propterea libero arbitrio locum dederit, ut Ecclesia ejus catholica

ΚΕΦΑΛ. ΜΗ'.

Ἀντιλογία πρὸς τοὺς διατωθάζοντας τὰ ἡμέτερα· καὶ κατάλογος τῶν Ἑλληνικῶν ὕθλων.

Ἀλλὰ μή τις ἡμᾶς τῶν ἄλλως δοξαζόντων, καὶ εἰδώλοις προστετηκότων ἐπιγελάσοι, ὡς ἀεὶ καινότερα τῇ πίστει ποριζομένους, καὶ τῶν προτέρων τοὺς δευτέρους καθαιροῦντας. Ἡμεῖς μὲν γὰρ τὴν περὶ ἡμᾶς ἀδιήγητόν τε καὶ ἀκατάληπτον Θεοῦ φιλανθρωπίαν ἀναδιφῶντες, καὶ ὑπερφυῶς γεραίρειν καὶ μεγαλύνειν βουλόμενοι, τῷ δυσκαταλήπτῳ τοῦ πράγματος ἔνθεν κἀκεῖθεν περιτρεπόμεθα· οὐδεὶς μέντοι τῶν εἰς αἱρέσεις ὀλισθησάντων αὐτὸ τοῦτο βλασφημεῖν τὸ Θεῖον ἠθέλησεν ἢ ἀτιμάσαι προηγουμένως· ἀλλὰ λογισάμενος κρεῖττον ἐφευρεῖν ἤπερ οἱ τῷ χρόνῳ D προειληφότες, εἴγε τόδε πρεσβεύσειε. Τά γε μὴν κοινὰ καὶ καίρια καὶ συνεκτικώτερα τῆς θρησκείας ἅπασιν ὡμολόγηται· Τριὰς γὰρ τὸ κηρυττόμενον, ἐν μονάδι φύσεως γνωριζόμενον· καὶ ὁ πρὸ φωσφόρου γεννηθεὶς Θεὸς Λόγος τῷ ὑπερουσίῳ Πατρὶ, σάρκα προσειλημμένος, δευτέρᾳ γεννήσει ἀῤῥεύστως φειδοῖ τοῦ πλάσματος. Εἰ δ' ἐπὶ τούτοις καινά τινα τῷ περὶ τὸ Θεῖον ἀδήλῳ τοῖς ἀνθρώποις νεωτερίζεται, τὸ καινὸν οὐδέν· Θεοῦ γε, οἶμαι, τῷ αὐτεξουσίῳ χώραν διδόντος, ἵν' ἐντεῦθεν ἡ αὐτοῦ καθολικὴ Ἐκκλησία, κἀκεῖθεν τὸ εἰς διάφορα μεταῤῥέπειν, πρὸς τὸ δέον καὶ εὐσεβέστερον μᾶλλον τὰ λεγόμενα αἰχμαλωτίσοι, καὶ πρὸς μίαν ὁδὸν εὐθεῖαν καὶ ἀπεξεσμένην τὴν τοῦ ἀληθοῦς δηλαδὴ εὕρεσιν αὐτὰ ποδηγήσοι, ἐφ' ᾧ καὶ μάλα σύμφωνον ἐκεῖνο τὸ τῷ

(1) Συνεκτικὰ καὶ κύρια. Evagr. lib. I, cap. 2.

Ἀποστόλῳ ῥηθὲν εὕρηται· *Δεῖ δὲ καὶ αἱρέσεις ἐν* A *ὑμῖν εἶναι, ἵνα καὶ οἱ δόκιμοι φανεροὶ γίνωνται.* Ἐμοὶ δὲ κἀν τούτῳ θαυμάζειν τὴν ἄῤῥητον ἔπεισι τοῦ Θεοῦ σοφίαν, διὰ τοῦ αὐτοῦ Ἀποστόλου πάλαι προειποῦσαν· *Ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται.* Τῇ γὰρ ἀσθενείᾳ τῆς ἀληθοῦς γνώσεως διεῤῥωγότα τὰ μέλη τῆς Ἐκκλησίας, τὸ εὐθὲς καὶ ἀπεξεσμένον τῶν δογμάτων ᾠκοδομήθη, καὶ πρὸς μείζονα τὴν αὔξην ἐπέδωκε, πρὸς οὐράνιόν τε ἀνέδραμεν ὕψωμα ἡ καθολικὴ καὶ ἀποστολικὴ Ἐκκλησία. Οἱ δὲ τῆς Ἑλληνικῆς τερθρείας ἐντραφέντες τῇ πλάνῃ, οὔτε Θεὸν ὅ τί ποτέ ἐστι βουλόμενοι ἐξευρεῖν, ἢ τὴν ἄφραστον αὐτοῦ καὶ ἀκατάληπτον κηδεμονίαν, ἀλλήλους τε καὶ ἑαυτοὺς ἔστιν ὅτε καταλύουσιν· ἀλλὰ πολλοὺς καὶ ποικίλους ἐπινοοῦντες θεοὺς, προσφόρους τοῖς σφῶν ἐπιφημίζουσι πάθεσι· συγγνώ- B μην, ὡς ἂν τις εἴποι, ταῖς ἰδίαις ἀκολασίαις προσποριζόμενοι, ἄλλους ἐπ' ἄλλους χειροτονοῦσι. Καὶ δῆτα ὁ παρ' αὐτοῖς ὕστατος *πατὴρ ἀνδρῶν τε θεῶν τε*, τὸν νεανίσκον Φρύγα εἰς ὄρνεον τὴν φύσιν μεταβαλὼν, ἀνάρπαστον ἐξ ἀσελγείας ἐποίει· καὶ τὴν ἀντιμισθίαν τῆς αἰσχρουργίας κύλικα ἐχαρίζετο, ἐπιτρέψας προπίνειν τὴν φιλοτησίαν· ἵν' ὁμοῦ τῷ νέκταρι καὶ τὰ ὀνείδη τῆς ὕβρεως κοινῇ πίνοιεν. Ὃς δῆτα καὶ πολλοῖς ἄλλοις των ἀθέσμων ἔργων καὶ πράξεων, ἃ καὶ τοῖς λίαν οὐδενὸς ἀξίοις ἀπηγόρευται, εἰς παντοίας ἰδέας ἀλόγων μετασχηματισθεὶς, αἰσχρῶς ᾑρεῖτο βιοῦν· καὶ θεὸς ἀνδρόγυνος γίνεται, εἰ καὶ μὴ τῇ γαστρὶ, τῷ γε νῦν μηρῷ, κυοφορῶν τὸ ἀτελὲς ἔμβρυον· ἵνα πως κἀν τούτοις ἔξω φύσεως C τὸ πραττόμενον εἴη· ἐξ οὗ προῆλθε καὶ τὸ διθύραμβον κύημα· ὡς ἂν καὶ πρὸς ἑκατέραν ἐνυβρίσοι φύσιν θεὸς ὀρχούμενος ἐν ἀνδρογύνοις λιγύσμασιν, ἔξαρχος μέθης, κραιπάλης τε καὶ οἰνοφλυγίας, καί γε ἑωλοκρασίας, καὶ τῶν ἐκ τῶν τοιούτων ἀποῤῥεόντων δεινῶν. Τούτῳ δὴ τῷ Θεῷ τῷ ἐριβρεμέτῃ, τῷ αἰγιόχῳ, καὶ ἄλλο ὑπέρσεμνον χαρίζονται ὄνομα, πατραλοίαν ἀποκαλοῦντες τὴν ἐσχάτην καὶ πρώτην παρ' ἀνθρώποις ποινήν· ἅτε δὴ Κρόνον τὸν οἰκεῖον πατέρα προσήκοντα δρῶν ὡς τοιοῦτον τῷ βίῳ παραγαγόντα καὶ αἰσχρῶς τῆς ἀρχῆς ἐξωθήσαντα. Τί δ' ἄν τις εἴποι περὶ τῆς θεουργηθείσης παρ' αὐτοῖς πορνείας; ἧς ἔφορον Ἀφροδίτην τὴν κοχλογενῆ τὴν Κυπρίαν ἐφιστῶσιν· ἣ τὴν μὲν σωφροσύνην ὡς ἐναγὲς ἀπεσείσατο, ἀτόποις δὲ πᾶσι σχεδὸν αἰσχρουρ- D γήμασιν ἡδομένη, διὰ τούτων καὶ ἐξιλάσκεσθαι βούλεται· μεθ' ἧς Ἄρης ἀσχημονῶν, τέχναις Ἡφαίστου, καὶ μηχανήμασι τοῖς λοιποῖς τῶν θεῶν θεατρίζεται, παιζόμενός τε ὁμοῦ καὶ γελώμενος. Οἱ δὲ φαλλοὶ παρ' αὐτοῖς καὶ ἰθύφαλλοι καὶ τὰ φαλλαγώγια πόσου ἂν εἴη τοῦ γέλωτος; ὁ δὲ Πὰν, ὁ δὲ Πρίηπος, τῷ παρὰ φύσιν ἀσχήμονι μορίῳ χαριέντως τιμώμενος. Τί δέ σοι βούλεται καὶ τὰ ἐν Ἐλευσῖνι μυστήρια; ἃ διαφερόντως μισῶν, καθ' ἓν μόνον ἐπαινέσαι βουλοίμην, ὅτι μὴ ὁρᾷν ταῦτα τὸν ἥλιον ἐδοκίμασαν· μάλα δὲ τῷ ἔργῳ οἰκεῖα πράττοντες, τῇ ἀφανείᾳ τοῦ σκότους κατέκριναν. Ἀλλὰ ταῦτα τοῖς αἰσχρῶς τιμῶσι

[1] I Cor. xi, 19. [2] Cor. xii, 9.

et apostolica hinc et inde ad diversas opiniones appellens, dicta omnia, pro eo atque decet, captivet, et ad veriorem pietatem referat, eaque ad unam rectam planamque viam, veritatis scilicet inventionem, deducat. Cui sententiæ illud dictum valde consonum ab Apostolo est prolatum : « *Oportet autem hæreses etiam in vobis esse, ut qui probati sunt, manifesti fiant* [1]. Qua in re ineffabilem quoque Dei sapientiam mirari libet, quæ olim per Apostolum suum prædixit : *Virtus enim mea*, inquiens, *in infirmitate perficitur* [2]. Ex eo namque quod propter imbecillitatem veræ cognitionis partes quædam ab Ecclesiæ structura resectæ sunt, dogmata recta et plana per ædificationem constituta sunt, et incrementis majoribus ad cœlestem sublimitatem universalis et apostolica Ecclesia excurrit. Qui vero in seductione et errore Græcæ superstitionis educati sunt, **552** propterea quod neque Deum, quidnam sit, neque ineffabilem ejus et incomprehensibilem curam atque providentiam invenire velint, alii aliorum inter se, atque ipsi quandoque suas etiam ipsorum sententias refellunt. Et multos variosque comminiscentes deos, nominibus eos quæ affectionibus suis conveniant prosequuntur. Et cum alios super alios sibi ipsi designant et eligunt, veniam, ut aliquis dicat, impuris libidinibus suis aucupantur. Sic qui apud illos est summus

...Hominum pater atque deorum,

natura sua in avem versa, fœdi stupri gratia adolescentulum Phrygem rapuit, et pro mercede impuri flagitii poculum ei dedit, potestate illa permissa, ut sibi ille benevolentiam et amorem propinaret, et uterque simul cum nectare constuprationis probrum et dedecus potaret. Qui insuper multis aliis nefariis sceleribus, quæ etiam nullius pretii hominibus concessa non sunt, in varias irrationalium animantium species transformatus, turpiter sibi vitam degendam statuit : et androgynus, ancipitique inter marem et feminam sexu deus factus, non equidem in ventre, sed femore uterum gestans, imperfectum tulit fetum, ut ea quoque res præter naturam fieret. Unde dithyrambus seu bis genitus infans prodiit, qui utrique naturæ ignominiæ inureret notam, muliebri motu saltans semivir deus : ebrietatis, crapulæ, vinolentiæ, temulentæ gravedinis aliorumque inde profluentium malorum auctor. Huic deo altitonanti et ægidem ferenti admirandum etiam aliud nomen indiderunt; nam parricidam vocarunt, cui apud homines extremum et primum constitutum est supplicium : ut qui Saturnum patrem suum, pro eo atque decuit faciens, quod talem ipsum ille in vitam protulisset, turpiter regno exuerit. Quid vero de meretricia fœditate apud eos in numerum deorum relata dicam ? cui tutelarem deam Venerem ipsam Cypriam

concha genitam præficiunt. Ea vero, pudicitia veluti piaculo quodam repudiata, absurdis et turpibus flagitiis omnibus fere delectatur, atque eis ipsis etiam coli atque placari vult: cum qua Mars turpiter se dans, arte et fallacia Vulcani, diis reliquis ludendus atque ridendus tanquam spectaculum exhibetur. Phalli vero, et ithyphalli, et obscenitatis omnis domicilia apud illos, quem non merentur risum? 553 Quid Pan ipse et Priapus, qui præter naturam informi membro cum magna gratia colitur? Quid mysteria et arcana sacra Eleusinæ deæ volunt? quæ cum quem maxime oderim, uno tamen nomine tantum laudaverim, quod talia ipsi ea esse, quæ sol non aspiceret, judicarunt: et cum reipsa se digna patrarent facinora, quod ea tenebrarum caligine et obscuritate condemnarunt. Verum nos turpibus hæc cultoribus relinquentes, orationem ad metam constitutam reducamus, quæ reliquæ sunt Theodosii imperii res, memoriæ prodituri.

A καταλιπόντες, ἐπὶ τὴν νύσσαν αὖθις τὸν λόγον ἀγάγωμεν, τὰ λειπόμενα τῇ Θεοδοσίου βασιλείᾳ τῇ ἱστορίᾳ παραδιδόντες.

CAPUT XLIX.

Ut post prædatoriam synodum Theodosius, cognitis quæ ibi gestæ sunt rebus, Chrysaphium quidem occiderit, graviter autem in conjugem Eudociam commotus fuerit. Idem sororem Pulcheriam revocat: quæ Flavianum secum adducens sepelit, et in foro ærario magnifice Dei Genitricis templum condit.

ΚΕΦΑΛ. ΜΘ΄.

B *Ὡς μετὰ τὴν λῃστρικὴν σύνοδον γνοὺς Θεοδόσιος τὰ γενόμενα, Χρυσάφιον μὲν κτείνει· βαρέως δὲ πρὸς τὴν γαμετὴν Εὐδοκίαν φέρεται· ἀνακαλεῖται δὲ τὴν ἀδελφὴν Πουλχερίαν, ἡ Φλαβιανὸν ἀγαγοῦσα θάπτει· ἀνιστᾷ δὲ καὶ τὸν ἐν τοῖς χαλκοπρατείοις πολυτελῶς τῆς Θεοτόκου νεών.*

Post prædatoriam illam synodum Leonis papæ legati vix Romam venerant, cum illi quomodo ipsius litteræ rejectæ, et iniquæ sententiæ latæ essent, præterea Dioscori et Chrysaphii arrogantem confidentiam, et ut illi divinum virum Flavianum necaverint, exposuere. Eisque rebus perturbatus Leo, lacrymabundus Valentinianum Placidiæ filium, Romæ adhuc imperantem, et simul Theodosii atque Eudociæ, quæ etiam Athenais dicta fuerat, filiam Eudoxiam adiit, et ab ipsis petiit, ut ad Theodosium litteras darent, C quibus ille ad universalem synodum aliam cogendam moveretur: in qua synodo, quæ Ephesi præter ecclesiasticas constitutiones perperam acta fuerant, rite corrigerentur. Illi a Leone persuasi, statim ad Theodosium scripsere, petitione papæ litteris inserta. Et Theodosius filiæ Eudoxiæ rescribens, hæc quoque verba addidit: « Illud vero suavitatem tuam scire volo, Flavianum divino judicio ex rebus humanis sublatum esse, ut controversia et contentio sanctarum ecclesiarum omnis conquiescat. » Deinde vero Theodosius, ubi re secum perpensa, se Chrysaphii astutia deceptum esse comperit, perquam graviter et impietatem in Flaviano perpetratam, et aliis episcopis nefarie D illatam contumeliam et condemnationem tulit. Et cum dolori suo mederi non posset, in Chrysaphium legitimum justumque effudit furorem. Itaque illum primum dignitate, mox etiam substantia omni spoliatum, in insulam quamdam relegavit. 554 Cujus judicium quod cœlestis quoque calculus comprobaret, in mari navigantem assecutus est. Postea conjugem quoque Eudociam per acrem objurgationem male admodum accepit, quippe quæ malorum invalescentium causa fuisset. Ad hæc, injuriam quoque germanæ suæ Pulcheriæ, quæ ejus opera imperiali aula ejecta esset, factam adjecit: atque insuper illam de Paulino suspicionem, et contentionis malum, vehementer eam perstrin-

Μετὰ τὴν λῃστρικὴν σύνοδον οἱ τοῦ Λέοντος πάπα τοποτηρηταὶ, μόλις τὴν Ῥώμην καταλαβόντες, τῷ Λέοντι πάντα ἀνήγγειλαν, ὅπως τε τὰ ἐκείνου παρώφθη γράμματα, ἔτι δὲ καὶ τὴν ἄδικον ψῆφον, καὶ τὸ θράσος Διοσκόρου καὶ Χρυσαφίου, καὶ ὡς ὁ θεῖος ἐφονεύθη Φλαβιανός. Οἷς ὁ Λέων περιπαθὴς γεγονὼς, Οὐαλεντινιανῷ τῷ Πλακιδίας υἱῷ ἔτι τῆς Ῥώμης κατάρχοντι σύναμα τῇ τοῦ νέου Θεοδοσίου θυγατρὶ Εὐδοξίᾳ, καὶ Εὐδοκίας τῆς καὶ Ἀθηναΐδος, πρόσεισι δάκρυσι πλήρης· ᾔτει τε βασιλέα καὶ βασιλίδας αὐτὰς, ὥστε πρὸς Θεοδόσιον γράφειν, ἑτέραν σύνοδον οἰκουμενικὴν ἀθροίζειν, καὶ τὰ παρὰ θεσμὸν ἐκκλησιαστικὸν ἐν Ἐφέσῳ γεγενημένα διορθοῦν ἀσφαλῶς. Οἱ δὲ πεισθέντες, Θεοδοσίῳ εὐθὺς ἔστελλον, τὴν τοῦ πάππα πρεσβείαν δήλην ἐγκαθιστῶντες. Ὁ δ' ἀντιγράφων τῇ θυγατρὶ Εὐδοξίᾳ, καὶ ταῦτα κατὰ λέξιν ἐπέφερεν· « Τοῦτο δὲ τῇ σῇ γλυκύτητι γνωρίσαι βούλομαι, ὅτι Φλαβιανὸς θείᾳ κρίσει τῶν ἀνθρωπίνων ἀφῃρέθη πραγμάτων· ὅπως πᾶσα ἀμφιβολία καὶ φιλονεικία τῶν ἱερῶν ἐκκλησιῶν ἀποπαυθῇ. » Ἐντεῦθεν ἐπιλογισάμενος Θεοδόσιος ὡς τῇ Χρυσαφίου πανουργίᾳ ἀπατηθείη, λίαν ἐχαλέπαινε τῆς τε εἰς Φλαβιανὸν ἀσεβείας, καὶ τῆς εἰς τοὺς ἄλλους τῶν ἐπισκόπων ἀθέσμου παροινίας καὶ κατακρίσεως. Καὶ δὴ μὴ οἷός τε ὢν τὸ λυποῦν ἐξιάσασθαι, κατὰ Χρυσαφίου τὸν ἔνδικον ἐκένου θυμόν. Γυμνώσας οὖν αὐτὸν πρώτιστα τῆς ἀρχῆς, καὶ τῶν ὄντων ἀποστερήσας, εἴς τινα τῶν νήσων ἐξέπεμπεν. Ἐπικρίνουσα δὲ καὶ ἡ ἄνωθεν ψῆφος τὴν δίκην, ἐν ταῖς θαλαττίαις κατελάμβανε τρίβοις. Ἔπειτα καὶ τῇ γαμετῇ Εὐδοκίᾳ σφοδρῶς μάλα προσφέρεται, οἷάπερ αἰτίᾳ γεγενημένῃ τῶν ἐπεισφρησάντων δεινῶν· οἷς καὶ τὰ κατὰ τὴν κασιγνήτην Πουλχερίαν προσῆγε, δι' αὐτῆς τῶν βασιλείων ἀπελαθεῖσαν. Προσεπῆγε δὲ καὶ τὰ κατὰ Παυλῖνον, καὶ τὸ μῆλον ἐκεῖνο τῆς ἔριδος, ὀνειδίζων σφόδρα καὶ καθαπτόμενος. Ἡ δ' ἀπογνοῦσα καὶ ἐν πολλῷ δέει γεγενημένη, τὴν ἐπὶ τὰ Ἱεροσόλυμα ᾔτει στέλλεσθαι· ἤδη τοῦτο καὶ πρότερον ἐπηγγελμένη Θεῷ, εἴ γε μνη-

στευθεῖσαν γνοίη τὴν θυγατέρα. Βασιλεὺς δ' εὐθὺς πέμπων ἐξ Ἑβδόμου τὴν ἀδελφὴν Πουλχερίαν ἀνεκαλεῖτο, ἕβδομον ἔτος ἐκεῖ ἐκπεράνασαν. Ἡ δὲ σὺν πομπῇ πολλῇ καὶ δορυφορίᾳ μεγάλῃ πρὸς τὰ βασίλεια ἤγετο. Ἐξ αὐτῆς δὲ εἰς Ἔφεσον πέμψασα, τὸ Φλαβιανοῦ θεῖον σῶμα ἐκεῖθεν εἰς τὴν βασιλίδα μετήνεγκε· καὶ διὰ μέσου τῆς πόλεως ἐκκομίσασα σὺν αἰδοῖ καὶ δορυφορίᾳ περιφανεῖ, ἔνδον τῶν ἀδύτων τοῦ ἱεροῦ τῶν μαθητῶν τοῦ Χριστοῦ σεμνῶς καὶ εὐλαβῶς κατατίθησιν. Ἔπειτα εἰς σχῆμα ναοῦ τὴν ἐν τοῖς χαλκοπρατείοις τῶν Ἰουδαίων συναγωγὴν μετασχηματίσασα, καὶ εἰς κάλλος ἅμα καὶ μέγεθος ἐκλαμπρύνασα, περιφανῆ θεῖον οἶκον τῇ Θεομήτορι ἀνεγείρει. Ἔνθα δὴ καὶ ἕτερα βραχύτερα προσοικοδομήσασα, τὴν τιμίαν τῆς Θεομήτορος καὶ ἱερὰν ζώνην κατέθετο ἐν αὐτῇ τῇ τῆς ἁγίας τραπέζης σορῷ· καὶ ἐξ ἐκείνου ἁγία σορὸς ὁ τῆς Θεοτόκου οἶκος οὗτος ἐπώνυμον ἐκληρώσατο. Καὶ τὰ μὲν ὧδε ἐγένοντο.

A gens, in medium protulit. Illa consilii dubia, cum in magnum esset conjecta metum, ut sibi Hierosolyma petere liceret, petiit : ad quam profectionem se voto nuncupato Deo obligaverat, si in matrimonium collocatam filiam vidisset. Imperator confestim in Septimum misit, et sororem Pulcheriam septimum jam ibi annum agentem revocavit : quæ quamprimum cum apparatu comitatuque multo in imperialem aulam rediit. Ephesum certis hominibus missis, sacrum Flaviani corpus inde in urbem imperantem translulit, atque id per mediam civitatem cum observantia et pompa celebri illatum, intra adyta sanctorum discipulorum Christi templi splendide et religiose reposuit. Postea Judæorum synagoga, Chalcopratiis, in templi formam B redacta, pulchritudineque simul et amplitudine exornata, insignem Dei Genitrici ædem sacram construxit. Ubi minoribus aliis adjectis ædificiis, venerandam et sacram Dei Matris in ipso sanctioris mensæ loculo zonam reposuit : et ex eo tempore ea Dei Genitricis ædes sacri loculi nomen est consecuta. Atque hæc quidem sic acta.

ΚΕΦΑΛ. Ν'.

Ὡς ἡ βασιλὶς Εὐδοκία εἰς Ἱεροσόλυμα διέβη· καὶ περὶ τῶν ἐκεῖσε οἰκοδομημάτων αὐτῆς. Καὶ περὶ ἀγωγῆς καὶ διαίτης τῶν ἐν Παλαιστίνῃ μοναχῶν· καὶ ὡς ἐτελεύτα ἡ βασίλισσα Εὐδοκία.

Ἡ δὲ βασιλὶς Εὐδοκία ἐπὶ τὴν ἁγίαν τοῦ Χριστοῦ πόλιν ἐπειγομένη, μόλις ἐνταῦθα γίνεται. Καὶ δὴ τοῦ ἐκεῖσε λεὼ κατὰ θέαν ἐκείνης συνεῤῥυηκότος, C τέλος πρὸς ἔπος καὶ τοῦτ' ἀπεφθέγξατο·

Ὑμετέρης γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι,

τὰς ἐξ Ἑλλάδος ἀποικίας ἐκ παλαιοῦ ἐκεῖσε γεγενημένας αἰνισσομένη. Ἃς εἴ τῳ βούλησις κατιδεῖν, Στράβωνι ἐντυγχανέτω τῷ γεωγράφῳ· ἔτι δὲ Φλέγοντι καὶ Διοδώρῳ τῷ Σικελιώτῃ· πρὸς δὲ Ἀῤῥιανῷ τε καὶ Πεισάνδρῳ τῷ ποιητῇ· καὶ πρός γε Οὐλπιανῷ, Λιβανίῳ τε καὶ Ἰουλιανῷ, τοῖς ἐκκρίτοις τῶν σοφιστῶν· ὅτε καὶ τὴν Ἀντιόχου διιοῦσαν, Ἀντιοχεῖς εἰκόνι ἐκ χαλκοῦ ἀρίστως πεποιημένῃ ἐτίμων, ἣ καὶ μέχρι τῶν κατωτέρω χρόνων διήρκεσεν· ἐξ ἧς ἐρεθισθεὶς Θεοδόσιος, μεγίστην μοῖραν τῷ τείχει προσῆπτε. Διανοίξας γὰρ πρὸς εὖρος, D μέχρι τῆς πύλης τῆς ἐπὶ Δάφνην ἀγούσης ἐφείλκυσε· καὶ πάρεστι τὸ προάστειον τοῖς βουλομένοις ὁρᾷν· ἐς δεῦρο γὰρ τὸ παλαιὸν ἰχνηλατεῖται τεῖχος, τῶν λειψάνων ξεναγούντων τὰς ὄψεις· ἄλλοις δὲ δοκεῖ τὸν μέγιστον Θεοδόσιον τὸ τεῖχος εὐρῦναι. Καὶ τοῖς λουτροῖς Οὐάλεντος ἐπί τι τῶν μερῶν λυμήναντος τοῦ πυρὸς, χρυσὸν παρασχεῖν ὁλκῷ διακοσίων λιτρῶν βαρυνόμενον. Καὶ δὶς δὲ λόγος ἔχει ταύτην ἐπὶ τὴν Ἱερουσαλὴμ ἀφικέσθαι· ἔνθα γεγενημένην, πλεῖστα πρὸς τιμὴν Χριστοῦ διαπράξασθαι· πολλά τε τῶν εὐαγῶν μοναστηρίων ἀνήγειρε, καὶ τὰς καλουμένας λαύρας καὶ φροντιστήρια θεῖα ἐδείματο· ὧν διάφορος μὲν ἡ ἀγωγὴ καὶ ἡ δίαιτα, ἡ δέ γε πολιτεία πρὸς ἕνα θεοφιλῆ σκοπὸν τελευτᾷ. Οἱ μὲν

CAPUT L.

Ut imperatrix Eudocia Hierosolyma petierit, et quæ ibi construxerit ædificia. De vita et conversatione Palæstinorum monachorum; et ut imperatrix Eudocia e vita migrarit.

Eudocia vero Augusta profectionem in sanctam Christi civitatem adurgens, tandem huc pervenit. Et cum populus illic ad spectandam eam conflueret, postremo ad verbum illud perquam scite carmen dictis aliis adjecit :

Et stirpis vestræ me dico et sanguinis esse,

subobscure eo antiquitus colonias ex Græcia ductas esse significans. Eas qui cognoscere vult, Strabonem geographum, et Phlegontem, et Diodorum Siculum, tum etiam Arrianum et Pisandrum poetam, **555** præterea Ulpianum, Libanium et Julianum sophistas egregios legat. Quo tempore etiam Antiochiam eam profectam, cives ibi statua ærea faberrime facta cohonestarunt, quæ ad posteriora etiam tempora perduravit. Qua re Theodosius permotus, maximam mœnibus partem adjecit, usque ad portam quæ in Daphnem fert in latitudinem eis promotis. Eamque suburbanam regionem cernere quisque potest. Nam ad hoc usque tempus vestigia veteris muri, reliquiis ejus sese cum admiratione oculis inferentibus, deprehenduntur. Aliis autem videtur, a maximo Theodosio mœnia esse dilatata. Atque ab eodem in lavacri Valentis, aliquibus ex partibus incendio diruti, refectionem, aurum ducentorum pondo librarum datum esse dicitur. Fama vero est, bis Eudociam Hierosolyma perrexisse, ubi plurima ad honorem Christi peregit. Nam et multa sacra monasteria excitavit : et lauras quæ vocantur, angustas scilicet monachorum cellas, scholasque divinas condidit ; quarum varium quidem est institutum, et

varia vivendi ratio : sed hæ ad unum prorsus pietatis finem spectant. Quidam namque simul eisdem in ædibus vivunt, re nulla quæ homines in terram deprimit distracti. Apud hos neque aurum est, neque aliud quodpiam metallum; sed neque vestis alicujus propria, neque rerum aliarum quidquam, quod ventrem demulceat. Quod namque hodie pallium aut humerale hic fert, eo cras alium indutum conspicias : adeo ut unius vestem unam omnium, et rursum omnium unius esse putes. Omnibus autem communis proponitur mensa, non conditis variisque et exquisitis cibariis, eas quæ sub ventre sunt corporis partes ad lasciviam irritans, sed paucis quibusdam oleribus atque leguminibus, quantum ad vitam saltem tolerandam satis sit, convivas excipiens. Communes itidem eis sunt ad Deum supplicationes et preces, quas interdiu, et sæpe etiam nocte tota, cum timore, habitu statuque corporis submisso, peragunt. Labore seipsos ita conficiunt, ut viventes adhuc super terram mortuos prorsus esse dicas. Ii sæpius in biduum et triduum jejunium proferunt. Sunt qui diebus quinque, et longius, cibum non attingunt : **556** eumque tandem necessitate urgente, et quidem cum parcimonia multa, sumunt. Aliqui vero diverso ab eis qui ita simul vivunt modo, seipsos a multis segregantes, solitarii degunt, exiguis maxime ædiculis se includentes, quæ ea sunt latitudine et altitudine, ut neque directe stare, neque facile cubare possint, speluncis quibusdam et terræ cavernis, sicuti Apostolus inquit [1], incubantes. Nonnulli sub dio cum feris habitantes, aliqui vero occultis sub terra hospitiis utentes, ibi cum solo colloquuntur Deo. Verum enimvero aliud quoque genus conversationis divinæ ab illis excogitatum est, quod omne virilis constantiæ et fortitudinis specimen longe superat. In solitudinem enim quamdam sole adustam se abdentes, et eam solam corporis partem quam naturæ necessitas tectam esse vult, velantes, non viri modo, sed et feminæ, eodem inter se vitæ instituto concertantes, nullam reliqui corporis gerunt curam, frigori ingenti atque æstui, variisque aeris mutationibus seipsos committentes, algorem juxta et calorem tolerant, et quovis loco, ita ut sors tulit, stant et cubant : omnique humano alimento omnino repudiato, herbis quibusdam et radicibus, quas terra sua sponte fert, vivunt : qui etiam ab ejuscemodi victus genere βοσκοί, hoc est, pabulatores dicti sunt. Illi etiam tempore ipso specie eorum mutata, feris assimilantur, et mentem quoque a reliquis hominibus alienam obtinent. Quos si quando forte conspicati fuerint, fugiunt. Quod si etiam insequentem quempiam sentiant, celerius se in pedes conjiciunt, propter levitatem prorsus in aere sublimes volantes. Nonnunquam quoque inaccessa sub terra loca subeuntes, subito disparent : plurimi-

A γὰρ ὁμοῦ διαζῶσι, μηδενὶ τῶν ἐς γῆν νευόντων κατασυρόμενοι· ἐν οἷς οὐ χρυσὸς, οὐδέ τι τῶν ἄλλων μεταλλικῶν, ἀλλ' οὐδ' ἐσθὴς ἰδιάζουσα, οὐδέ τι ἄλλο τῶν ὅσα σαίνειν οἶδε γαστέρα. Ὃ γὰρ οὗτος σήμερον τριβώνιον ἢ ἐξωμίδα φέρει, αὔριον ἴδοις ἂν ἕτερον ἀμπεσχόμενον· ὡς λογίζεσθαι ἑνὸς καὶ μίαν εἶναι τὴν πάντων ἐσθῆτα, καὶ τὴν αὖθις ἑνὸς ἁπάντων. Ἅπασι δὲ κοινὴ τράπεζα πρόκειται, οὐ καρυκείαις τισὶ καὶ ποικίλοις ἐδέσμασι τὰ ὑπογάστρια γαργαλίζουσα, ἀλλὰ βραχέσι λαχάνοις, καί τισιν ὀσπρίοις, καὶ τούτοις, ὅσον ἀποζῆν μόνον δεξιουμένη. Κοιναὶ δὲ αὐτοῖς εἰσι καὶ αἱ πρὸς Θεὸν λιταὶ, δι' ἡμέρας καὶ ὅλης νυκτὸς πολλάκις δέει καὶ κατεσταλμένῳ τῷ ἤθει γινόμεναι. Οὕτω δὲ καὶ τοῖς
B πόνοις σφᾶς αὐτοὺς ἐκπιέζουσιν, ὡς ἄντικρυς ζῶντας εἶναι νεκροὺς ὑπὲρ γῆν. Οὗτοι δὲ πολλάκις καὶ δὶς καὶ τρὶς ὑπερθέμενοι τῶν ἡμερῶν· εἰσὶ δὲ οἳ καὶ πεμπταῖοι καὶ πρὸς διατελοῦσιν ἄγευστοι· μόλις δὲ τῶν ἀναγκαίων καὶ τούτων φειδοῖ πολλῇ ἅπτονται. Ἄλλοι δ' ἀπ' ἐναντίας τοῖς ὁμιλαδὸν συνοικοῦσιν ἰόντες, σφᾶς αὐτοὺς τῶν πολλῶν ἀποκρίνοντες, καθ' ἑαυτοὺς διαζῶσιν, οἰκίσκοις τισὶ βραχυτάτοις ἑαυτοὺς εἴργοντες, ἐπὶ τόσον εὐρυνομένοις καὶ εἰς ὕψος ἐκφερομένοις, ὡς μηδ' ἀνορθοῦσθαι οἵόν τε καὶ τὰς κλίσεις εὐχερῶς πράττειν· σπηλαίοις δέ τισι καὶ τῆς γῆς ταῖς ὀπαῖς, ᾗ φησιν ὁ Ἀπόστολος, ἐμφωλεύοντες· οἱ δ' ὕπαιθροι θηρίοις συνοικίαν ποιοῦντες· οἱ δὲ καὶ ἀτεκμάρτοις ὑπὸ γῆν οἰκίαις κεχρημένοι, ἐκεῖ δὴ μόνοι μόνῳ προσλαλοῦσι Θεῷ.
C Ἀτὰρ δὴ καὶ ἕτερον εἶδος τῇ περὶ Θεὸν στροφῇ τούτοις ἐπινενόηται, δεῖγμα πάσης ἀνδρίας καὶ καρτερίας ἐν δευτέρῳ τιθέν. Ἐπὶ γάρ τινι ἐρήμῳ τῷ φλογμῷ τοῦ ἡλίου ἐκκεκαυμένοι σφᾶς διαφέντες, καὶ τὰ τῆς φύσεως ἐξ ἀναγκαίου περιστέλλεσθαι εἰωθότα μόνα περικαλύπτοντες, οὐκ ἄνδρες μόνον, ἀλλὰ καὶ γύναια πρὸς τὴν ἴσην πολιτείαν ἀνθαμιλλώμενα, τὸ λοιπὸν ἐῶσι σῶμα προμηθείας πάσης ἐκτὸς, κρυμοῖς ἐξαισίοις καὶ καύσωνι καὶ ταῖς ποικίλαις τοῦ ἀέρος μεταβολαῖς ἑαυτοὺς ἐκδιδόντες, ἐν ἴσῳ καὶ κρύος καὶ θάλπος καὶ στάσιν καὶ κλίσιν ἐπὶ τοῦ τυχόντος ποιούμενοι· πᾶσαν δ' ἀνθρωπίνην ἀποσειόμενοι τέλεον, πόαις τισὶ καὶ ῥίζαις ἃς ἡ γῆ αὐτομάτως ἐκδίδωσι τρέφονται· οἳ καὶ Βοσκοὶ ὄνομα ἔσχον τῷ τοιῷδε τῆς ζωῆς πορισμῷ. Καί γε θηρίοις
D τῷ χρόνῳ ἀφομοιοῦνται, παρατρεπομένης μὲν τῆς ἰδέας, τῆς δὲ γνώμης μηδαμῶς συμβαινούσης τοῖς λοιποῖς τῶν ἀνθρώπων· οὓς καὶ εἴ ποτε συμβαίη θεάσασθαι, διαδιδράσκουσιν· εἰ δὲ καὶ γνοῖεν ὅτι διώκοιντο, ἐπιμᾶλλον τῷ τάχει κέχρηνται τῶν ποδῶν ἄντικρυς αἰθέριοι τῇ λεπτότητι διιπτάμενοι. Ἔστι δ' ὅτε καὶ δυσεμβόλοις χωρίοις τῶν ὑπὸ γῆν ἀφανεῖς γίνονται, τὸ λαθεῖν οὕτω βιοῦντες περὶ πλείστου ποιούμενοι· καὶ ἕτερον δὲ εἶδος ἀσκήσεως διηγήσομαι, ὃ μικροῦ με διέδρασε, καίτοι γε τὰ πρεσβεῖα κατὰ πάντων φέρεσθαι δίκαιον ἔχον· ἐν ἐλαχίστοις δὲ μάλιστα τὸ τοιοῦτον ἐγγίνεται. Εἰσὶ γὰρ δή τινες οἳ, ἐπὰν διὰ πολλῶν μόχθων τῆς ἀρετῆς τὸ ἀπαθὲς

[1] Hebr. XI, 37.

εἶναι κληρώσαιντο, πρὸς τὸν κόσμον ἐπανήκουσιν A αὖθις. Παραφόρους δ' ἑαυτοὺς εἶναι σχήμασί τισιν ἀτάκτοις ἐπαγγελλόμενοι, οὕτω τὴν κενὴν δόξαν περιφρονοῦσιν. Ὃν τελευταῖον χιτῶνα, Πλάτων φησὶν ὁ φιλόσοφος, ἡ ψυχὴ πέφυκεν ἀποτίθεσθαι. Καί γε φιλοσοφοῦσιν ἀπάθειαν, ἀπαθῶς δῆθεν ἐσθίοντες, κἂν ἐν καπηλείῳ ἢ μαστροπείῳ εἰ τοῦτο δεήσοι δρᾷν, οὔτε πρόσωπον οὔτοι δι' αἰδοῦς τιθέμενοι. Προσβάλλουσι δὲ ἀθρόον καὶ βαλανείοις γυναιξὶ συλλούμενοι, πολλάκις εὑρισκομέναις καὶ ὡς ἔχουσι φύσεως, καὶ σὺν ἐκείναις αὐλίζονται. Οὕτω δὲ τῶν παθῶν περιγίνονται, ὡς καὶ τῆς φυσικῆς ὑπερκεῖσθαι δυνάμεως, καὶ τυραννεῖν αὐτήν· οὔτ' ὄψει, οὔτε ἁφῇ, πολλῷ γε μὴν αὐτοῖς φιλήμασι τεχνικοῖς καὶ περιπλοκαῖς ταῖς τοῦ θήλεος πρὸς τὰ τῆς φύσεως ἀποκρίνεσθαι ἰδιώματα· ἀλλ' ὡσανεὶ μετ' ἀνδρῶν B διατρίβοντας, ἄνδρας εἶναι, γυναιξὶ δ' αὖθις προσομιλοῦντας, γυναῖκας· φύσεώς τε ἑκατέρας μετέχοντας, δοκεῖν εἶναι ἐπὶ μιᾶς· καὶ τέλος εἰπεῖν, ἐν τῷ τοιούτῳ ὑπερφυεῖ βίῳ τὴν ἀρετὴν ἀντιπράττουσαν φύσει καταπῆξαι νόμους, ὥστ' ἐν μηδενὶ τῶν ἀναγκαίων ἐφεῖναι αὐτὴν κόρον σχεῖν. Πεινῆν δὲ πάντα καὶ διψῆν, καὶ δι' ἐγκρατείας ἥκειν ἁπάσης ὁ σφῶν νόμος νομοθετεῖ. Ἐπὶ τόσον δὲ καὶ τὸ σῶμα περιστέλλειν ὁρίζει, ὅσον βίᾳ τὴν ἀνάγκην συνέχειν. Καὶ ἐπὶ τόσον αὐτοῖς ἠκριβωμένοις σταθμοῖς ἀντιταλαντεύεται, ὡς ἐκ διαμέτρου χωροῦσιν, ἀνεπαίσθητον αὐτοῖς τὴν ῥοπὴν καθεστάναι. Καὶ τόσον δὴ τἀναντία κρατεῖ παρ' αὐτοῖς καὶ ὑπερφυῶς κέκραται, τῆς θείας χάριτος εἰς ἓν συναγούσης τὰ ἄμικτα, C καὶ αὖ πάλιν καιρῷ προσήκοντι διαιρούσης, ὥστε τὸ ξένον εἰς ἀκοὴν ζωὴν ἐν ταυτῷ καὶ νέκρωσιν αὐτοῖς κατοικεῖν, φύσει ἐναντιώτατα καὶ λόγῳ καὶ πράγματι. Ὅπου μὲν γάρ τι τῶν παθῶν ὑφέρπει, ἴδοις ἂν σῶμα νεκρὸν μηδὲν δρῶν ὅσα καὶ τάφῳ κείμενον· ἔνθα δ' ἀρετῆς ἐργασίᾳ καὶ πρὸς Θεὸν ἱκετείᾳ ῥώμην καινὴν καὶ σῶμα ξένως σφριγῶν τὴν ἀκμήν· κἂν καὶ γεγηρακὼς εἴη σφόδρα καὶ ἔξωρον. Καί γ' ἑκάτερος βίος οὕτως ἐκείνοις συμπλέκεται, ὥστ' ἀμέλει καὶ τὴν σάρκα πάμπαν νεκρώσαντές τε καὶ ἀποθέμενοι, ζῶσιν ἀεί· καὶ μετὰ τῶν ζώντων ὡσανεὶ συνδιάγουσι, τὰ ἐκείνων παντοίως θεραπεύοντες σώματα, καὶ τὰς τῶν δεομένων λιτὰς Θεῷ ἀναφέρουσιν, ἐπίσης τῇ προτέρᾳ βιοτῇ διαζῶντες, πλὴν ὅσῳ μὴ τῶν ἀναγκαίων ἐνδεεῖς εἶναι καὶ τόπῳ D περιορίζεσθαι, πᾶσι δ' ἀχαρεῖ συνεῖναι, καὶ τὰς ἁπάντων ἀκούειν φωνάς, καὶ πᾶσι συγγίνεσθαι· ὧν συχναὶ γονάτων κλίσεις τὸ ἔργον, σύμπονοί τε ἐπαναστάσεις, τῆς ἐφέσεως μόνης τὴν ἡλικίαν ὑπανεχούσης, καὶ τὴν ἑκούσιον ἀσθένειαν ἀναζωπυρούσης· ἄσαρκοί τινες ἀθληταὶ καὶ ἀναίμονες παλαισταί. Οἷς ἀρίστη πανδαισία καὶ τρυφὴ νηστείας τὸ κράτιστον, καὶ σφριγῶσα τράπεζα τὸ μηδὲν ἑλέσθαι ὡς οἷόν τε ἀπογεύεσθαι. Εἰ δέ που ξένος ἐπιδημοίη κἂν ἐξ ἑωθινοῦ, οὕτω φιλοφρόνως διάκεινται φιλοτησίαις καιναῖς δεξιούμενοι, ὡς εἰκάσαι μηδὲν ἄλλο σφᾶς διὰ βίου σπουδάσαι, ἢ αὐτὸ δὴ τοῦτο τρυφᾶν· παρηλλαγμένον εἶδος νηστείας ἐπινοοῦντες· ἀδεῶς ὅθεν ἐσθίειν μὴ βουλομένους· ὡς ἔκπληξιν τὸ

que id, si ita vitam ducentes lateant, faciunt. Aliud præterea monastici exercitii genus, quod parum abfuit quin præterirem, commemorabo. Id præ aliis merito primas ferre censetur, et apud paucissimos reperitur. Sunt namque nonnulli, qui cum per multos virtutis labores eo evaserint, ut ἀπαθεῖς, hoc est, indolentes, et affectionibus perpessionibusque omnibus liberi sint, in mundum recurrunt. Et gestibus quibusdam incompositis dementes se esse assimulantes, ita vanam contemnunt gloriam, quam extremam tunicam (juxta Platonem philosophum) anima deponere solet. In ἀπαθείᾳ, hoc est, indolentia philosophantur, **557** sine affectione atque animi commotione, in caupona aut, si opus sit, in lupanari cibum capientes, et neque conspectum cujusquam, neque locum aliquem reverentes. Balnea quoque ingrediuntur, et cum mulierculis sæpe etiam, ut natura fert, nudis lavant, et cum eisdem habitant. Adeo vero affectionibus perpessionibusque superiores sunt, ut naturæ vim superent, et tyrannidem in eam exerceant: denique ut neque aspectu, neque contactu, neque adeo ab arte petitis osculis, atque muliebribus complexibus, ad eam quæ propria naturæ est concupiscentiam commoveantur. Cum viris illi versantes viri sunt, cum mulieribus mulieres. Et cum utriusque sexus vim obtinere videantur, unum obtinent. Atque ut semel dicam, in hoc vitæ genere, quod captum naturæ superat, virtus naturæ adversas leges fixit, ut in nulla earum rerum quæ necessariæ sunt, satietas ipsa locum habeat. Ita illi semper esuriunt et sitiunt, temperantiamque et continentiam in rebus omnibus retinere leges eorum jubent. Adeo etiam illæ corpus constringere præcipiunt, ut vi etiam necessitas comprimatur. Tam æqua etiam per exactissimam rationem statera vita eis libratur, ut dum lanx utraque per diametrum et lineam mediam inter se distat, nullum sentiatur momentum. Et tantopere res inter se contrariæ in eis et exstant et miscentur, divina gratia ea quæ misceri nequeunt conjungente, et tempore rursum suo disjungente, ut quod auditu mirum est, in eodem corpore et vita simul et mortificatio habitet, quæ natura, ratione et re ipsa inter se maxime sunt pugnantia. Cum enim affectio quæpiam seu perpessio subrepsit, tum corpus videas mortuum et nihil agens, perinde atque in sepulcro repositum esset. Cum autem egregium virtutis opus peragendum, et preces ad Deum fundendæ sunt, tum robur novum et corpus mirifice vividum cernas, etiamsi id senio jam confectum et exoletum admodum sit. Vitam utraque illi, præsentem videlicet et futuram, ita complicant et conjungunt, ut carne prorsus in obitu mortificata atque deposita, semper vivant, et quodammodo cum viventibus simul conversentur, corpora illorum varie curantes, et supplicantium preces ad Deum referentes: itidem ut in priore vita degentes, præterquam quod rebus necessariis non indi-

geant, et loco nullo circumscribantur. Omnibus in momento adsunt, omnium voces audiunt, et cum omnibus versantur. **558** Horum opus est frequentes genuum inclinationes et graves rursum stationes, desiderio solo corpora eorum sustinente, et voluntariam imbecillitatem recreante. Illi athletæ quidam sunt carne carentes, et luctatores sanguinis expertes. Illis convivia splendida et deliciæ summæ sunt, assiduum jejunium : et mensa opipara, ut quoad ejus fieri potest, nihil cibi degustent. Quod si alicunde hospes adveniat, matutino etiam tempore, tam benigne et amanter novo hospitalitatis genere eum excipiunt, ut nihil aliud eos per vitam, quam ad eum modum deliciari studuisse putes : aliud mox rursus jejunii genus excogitantes, cibumque arbitratu suo capere nolentes, adeo ut res ea omnibus in stuporem evadat, cum ad victum sufficientem tantum eis desit, quomodo tam exiguo alimento vivere possint. Inimici ii sibi ipsis sunt, voluntatisque propriæ et naturæ destinatione animi jamdudum concepta, proditores, ut in rebus omnibus delicias carnis longe a se rejiciant, et anima eis in statu suo pulcherrime consistat : quæcunque Deo placita sunt, prudenter deligens atque conservans. Felices illi prorsus ejuscemodi conversatione et vitæ instituto : longe autem feliciores sua ex hac vita migratione, ad quam illi semper aspirant, ad optatum illum desideratumque vivendum anhelantes. Itaque Eudocia Augusta cum multis id genus monachis collocuta est, et multa (sicuti dictum est) monachorum domicilia et habitationes construxit. Hierosolymorum etiam muros protulit et renovavit. Episcopalem præterea domum ibi ex fundamentis ipsis erectam pulcherrime exornavit, eidemque mille numismatum reditum attribuit. In Phordisiis pauperum domicilium ædificavit, ubi quadringenti sacro morbo laborantes habitarent. Alia item pauperum hospitum et viduarum diversoria condidit, eisque substantiam suam donavit. Ecclesiis, nosocomiis seu ægrorum domibus, sacrosanctis ædibus, et monasticis virorum et mulierum domiciliis, vicesies mille quandringentas et octoginta aureæ monetæ libras dedicavit : præter alios quos alio convertit sacros proventus, et varii generis donaria, quæ sanctis quibusdam locis consecravit. Et aliquando die festo Paschæ templum ad sanctam Christi Resurrectionem celebrandam ingressa, in lucernarum rationem decies mille sextarios olei retulit. **559** Et choris memoriam sacræ Christi Resurrectionis colentibus, annuum proventum quadringentorum numismatum constituit. Postremo templum ingens amplitudine et forma præclarum, ex ipsis fundamentis, admirando illi et primo diacono simul et martyri Stephano stadio uno ab Hierosolymis erexit : quo loco a percussoribus Domini saxis ille obrutus, immarcescibilem coronam reportasse dicitur. In quo templo aliquo post tempore et ipsa, cum ad

A πραττόμενον εἶναι, πόσον ἐς τροφὴν αὐτάρκη δεόμενοι, κομιδῇ βραχυτάτῃ διαζῶσι τροφῇ· ἐχθροὶ ἑαυτοῖς καθεστῶτες, καὶ τῶν ἰδίων βουλήσεων καὶ τῆς φύσεως ἔκδοτοι τοῖς πάλαι θελήμασιν· ὡς ἂν διὰ πάντων αὐτοῖς τὸ ἧδον τῆς σαρκὸς ἀποσφαιρισθείη, καὶ ψυχὴ διεξάγῃ τὰ κάλλιστα, ὅσα δὴ Θεῷ πρὸς ἀρέσκειαν νουνεχῶς ἐπιλεγομένη καὶ διασώζουσα. Μακάριοι οὕτως τῆς τ' ἐνταυθοῖ διαίτης καὶ πολιτείας· πολλῷ δὲ μᾶλλον μακαριώτεροι τῆς ἐντεῦθεν μεταναστάσεως, ἐς ἣν διὰ παντὸς χαίνουσι τὸ ποθούμενον ἰδεῖν ἐπειγόμενοι. Καὶ τοίνυν ἡ βασιλὶς Εὐδοκία πολλοῖς τοιούτοις περιτυχοῦσα, πολλά τε, ὡς εἴρηται, μοναστῶν ἐνδιαιτήματά τε καὶ καταγώγια δειμαμένη, καὶ τὰ τῶν Ἱεροσολύμων τείχη εὐρύνασα καὶ ἀνανεώσασα, καὶ πρὸς τὸ εὐπρε- B πέστερον διασκευασαμένη, καὶ τὸ ἐπισκοπεῖον ἐκ βάθρων αὐτῶν ἀνίστα, ἀποχαρισαμένη τούτῳ καὶ πρόσοδον νομισμάτων χιλίων. Ἐν δὲ Φορδισίοις πτωχεῖον ἀνίστη, ἐν ᾧ τετρακόσιοι τῇ ἱερᾷ νόσῳ προσειλημμένοι ἐνδιαίτημα εἶχον. Καὶ ἄλλα δὲ πτωχεῖα καὶ ξενῶνας καὶ γηροκομεῖα ἀνήγειρε· καὶ τὸ περιὸν αὐτῇ τῆς οὐσίας τοῖς τοιούτοις ἀπεκλήρωσεν· ἐκκλησίαις, νοσοκομείοις καὶ σεμνείοις εὐαγέσι, καὶ διαιτήμασι μοναχῶν ἀνδρῶν τε καὶ γυναικῶν, δύο μυριάδας καὶ τετρακόσια καὶ ὀγδοήκοντα χρυσίου λίτρας νομισμάτων τούτοις ἀφιερώσασα, ἄνευ τῶν ἄλλοτε προσαφιερωθέντων θείων προσόδων, καὶ τῶν διαφόρως αὐτῇ κειμηλίων ἱερῶν γεγενημένων, τόποις εὐαγέσι τισί. C Καί ποτε τῇ τοῦ Πάσχα ἡμέρᾳ εἰς τὴν ἁγίαν τοῦ Χριστοῦ ἀνάστασιν εἰσελθοῦσα, εἰς λόγον φώτων ἐδωρεῖτο ἐλαίου ξέστας μυρίους· καὶ τοῖς χοροῖς τῶν σπουδαστῶν τῆς ἁγίας Χριστοῦ ἡμῶν ἀναστάσεως πρόσοδον ἐνιαύσιον νομίσματα τετρακόσια. Τελευταῖον δὲ πάντων τέμενος μέγα ἀνίστη, ἐξοχῇ τε καὶ κάλλει προὔχον, τῷ πρώτῳ ἐν διακόνοις καὶ μάρτυσι Στεφάνῳ τῷ θαυμαστῷ ἐξ ἐσχάτων κρηπίδων αὐτῶν, οὐ πάνυ τι διεστὼς Ἱεροσολύμων, πλὴν ὅσον σταδίου ἑνός· ἔνθα λόγος ὑπὸ τῶν Κυριοκτόνων βληθέντα λίθοις, τὸν ἀμαράντινον κομίσασθαι στέφανον· ἐν ᾧ καὶ αὐτὴ πολλῷ κατατίθεται ὕστερον, πρὸς τὴν ἀγήρω μεταχωρήσασα βιοτήν, τετάρτῳ ἔτει τῆς τοῦ μεγάλου Λέοντος βασιλείας, εὐσεβῶς καὶ θεαρέστως βιώσασα. Ἐτελεύτα δὲ τὸν βίον D ἐτῶν ἑξήκοντα καὶ ἑπτὰ γενομένη· εἰκοστὸν γὰρ ἔτος ἄγουσα, τῷ βασιλεῖ Θεοδοσίῳ συνήφθη· καὶ διεβίω τοῖς ἀνακτόροις, ὑπὸ μητρὶ καὶ Αὐγούστῃ τῇ Πουλχερίᾳ ἔτη εἰκοσιεννέα· καὶ μόνη Πουλχερίας ἄνευ τὴν βασιλείαν διΐθυνεν ἐπὶ ἔτη ἑπτά· καὶ ἕνδεκα ἔτη ἐν Ἱεροσολύμοις διήγαγεν. Ἐκ τούτων δὲ τέσσαρα διεβίβασεν ἔτη τὴν ἐν Χαλκηδόνι μηδαμῶς παραδεχομένη σύνοδον οἰκουμενικήν, ὡς προϊόντες δηλώσομεν. Μετὰ δὲ τὸ τὴν σύνοδον παραδέξασθαι, καὶ ἄλλα τέσσαρα ἐπιβίω ἔτη· ἔπειτα ἐτελεύτα· περὶ ἧς φασι καὶ τὸν προφήτην εἰρηκέναι Δαυΐδ· *Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών· καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.* Ἀλλὰ τὰ μὲν κατὰ τὴν βασίλισσαν Εὐδοκίαν τοῦτον γενέσθαι ξυνηνέχθη τὸν τρόπον.

immortalem emigrasset vitam, condita est, quarto magni Leonis imperii anno, cum hic piam Deoque placitam exegisset vitam. Defuncta autem est ætatis sexagesimo septimo anno: nam viginti annos nata, imperatori Theodosio conjuncta est. Et in aula imperiali sub matre, eademque Augusta Pulcheria, viginti novem transegit. Ipsa vero sola, absque Pulcheria, imperium annis septem administravit. Porro Hierosolymis undecim transegit. Ex eo tempore quatuor vixit annos, universalis Chalcedonis synodi acta non approbans, sicuti postea dicemus. Postquam autem synodi ejus decreta rata grataque habuit, alios etiam transegit quatuor; et tandem mortua est. De qua prophetam Davidem illud etiam dixisse ferunt: *Bene fac, Domine, in bona voluntate tua Sion, et ædificentur muri Jerusalem* [1]. Res Eudociæ imperatricis ad hunc se habuere modum.

ΚΕΦΑΛ. ΝΑ'.

Περὶ τοῦ ἁγίου Συμεὼν, ὃς πρῶτος τὴν ἐπὶ τοῦ κίονος ἐπενόησε στάσιν.

Κατὰ δὲ τοῦτον τὸν χρόνον καὶ Συμεώνης ὁ πάνυ, ὁ τῆς ὁσίας καὶ ἀοιδίμου μνήμης, πρῶτος τὴν ἐπὶ κίονος στάσιν ἐπινοῆσαι, ἤκμαζέ τε καὶ ἐγνωρίζετο, ἔχων τὸ ἄνωθεν τοῦ κίονος ἐνδιαίτημα, δίπηχυ τὸ ὅλον περίμετρον· ὁπηνίκα Δόμνος τὰς ἱερὰς ἡνίας τῆς Ἀντιόχου διεχειρίζετο. Ὃς καὶ ἐπειδὴ ἀκούσας τὸ ἔργον παρ' αὐτὸν ἐγεγόνει, ἐκπληκτος ὅλος ἦν, καὶ μυστικωτέρως ἐφίετο συνελθεῖν. Ἐπεὶ δ' οὖν ἄμφω συνῆλθον, τὴν ἄχραντον καὶ ἀναίμακτον θυσίαν τελέσαντες, τῆς ζωοποιοῦ κοινωνίας ἀλλήλοις μετέδοσαν. Καὶ τοίνυν ὁ μέγας οὗτος μετὰ τοῦ κάτω βρίθοντος σώματος, τὴν τῶν ἀγγέλων πολιτείαν ἐκμιμησάμενος, πᾶσιν ἀποτάσσεται πράγμασι· βίᾳ δὲ φύσεως τὰ μετέωρα καταλαβεῖν ἐπειγόμενος, μέσον οὐρανοῦ καὶ γῆς τὸ ἐνδιαίτημα πήγνυσιν, ὥστε Θεὸν ἀταράχως δοξολογεῖν, καὶ μετ' ἀγγέλων ἀσίγητον ἐκείνῳ πλέκειν τὴν ὑμνῳδίαν· ἐκ μὲν γῆς τὰς τῶν ἀνθρώπων δεήσεις οἷά τις μέσος καθεστηκὼς, προσάγων Θεῷ, ἐκεῖθεν δὲ τὴν ἄφθονον χάριν καὶ τὸ ἄπειρον τῆς εὐμενείας κατάγων αὐτοῖς. Οὗ τὰ παράδοξα τῶν ἔργων πολλοῖς μὲν ἱστόρηται αὐτόπταις τῶν παραδόξων γεγενημένοις· ἐπαξίως δὲ μάλα καὶ λογίως καὶ Θεοδώρητος καθιστόρησεν ὁ τὴν Κυρεστηνῶν ἐκκλησίαν ἐπισκοπήσας ἐν τῇ παρ' αὐτῷ *Φιλοθέῳ ἱστορίᾳ* ἐπιγραφείσῃ. Ὅτε τοίνυν ὁ ἐπίγειος οὗτος ἄγγελος Συμεώνης, καὶ ἐν σαρκὶ τῇ ἀνωτάτω πολιτευσάμενος Ἱερουσαλὴμ, τὴν ἀτριβῆ καὶ ξένην ταυτηνὶ τρίβον ἀνύειν ἐπέβαλε, φιλανθρώπως οἱ τὰς τῶν ὀρέων κορυφὰς κατειληφότες Πατέρες διατεθέντες, τῶν τινας ἑαυτῶν ἀποκρίναντες, στέλλουσι παρ' αὐτὸν, ταῦτ' εἰπεῖν ἐντειλάμενοι· Τί σοι βούλεται ἡ ξενοπρεπὴς αὕτη οἴκησις; Τί τὴν τετριμμένην καὶ σχεδὸν τοῖς πᾶσιν ἁγίοις πεπατημένην ὁδὸν διαφεὶς, παρηλλαγμένην τινὰ καὶ ἀγνῶτα καθάπαξ εἵλου ὁδεύειν; Πρὸς δὴ τούτοις ἐπιτετράφασι, καταβαίνειν ἐκεῖθεν κελεῦσαι, καὶ τὴν τῶν ἐκλεκτῶν Πατέρων ὁδεύειν αἱρεῖσθαι· κἂν μὲν πρόθυμος γένοιτο πρὸς τὴν ἐκεῖθεν κατάβασιν ἑαυτὸν ἐκδιδόναι, συγχωρεῖν ἐκέλευον, καὶ τρέχειν ἣν ᾑρετίσατο· δῆλον γὰρ τῇ ὑπακοῇ ὡς Θεὸς ὁδηγός ἐστιν ὧδε διαθλεῖν ᾑρημένῳ· εἰ δέ γε δοῦλος ἰδίας ὀρέξεως γένοιτο, καὶ ἀντιβαίνειν πειρῷτο, καὶ μὴ πρὸς τὴν ἐπιτροπὴν ὀξέως εὐθυδρομήσειε πρὸς βίαν ἐκ ποδὸς ἕλκειν, καὶ εἰς

CAPUT LI.

De sancto Symeone, qui primus vitam et stationem in columna invenit.

Hoc ipso tempore etiam magnus Symeones, sanctæ et celebris recordationis, qui primus stationem in columna invenit, viguit: et celebre consecutus est nomen, domicilium super columna bicubitale undequaque habens, quo tempore Domnus sacras Antiochenæ urbis habenas tenuit: qui etiam ea re audita, cum ad eum venisset, totus consternatus est, et cum eo mystico arcanoque congressu convenire exoptavit. Convenerunt que adeo ambo, et sacrificio immaculato atque incruento peracto, alter alteri vivificam communionem porrexit. **560** Magnus igitur vir iste, etiam in corpore deorsum versum vergente, angelorum vivendi institutum imitatus, rebus negotiisque omnibus nuntium remisit: et vi naturæ illata, ad sublimia aspiravit, atque medium inter cœlum et terram domicilium sibi fixit, ut extra turbam et tumultum omnem positus, Deum glorificaret, et perpetuis cum angelis hymnorum laudibus celebraret. Hinc quidem veluti mediator quidam supplicantium hominum preces ad Deum referens, inde autem affluentem atque immensam benignitatis gratiam illis impertiens. Cujus admiranda opera a multis quidem, qui ea oculis ipsi suis viderunt, memoriæ prodita sunt. Commode autem et pulchre ea Theodoritus Cyri episcopus, in Dei amantum historia est prosecutus. Sed enim ubi terrenus iste angelus, atque etiamnum in carne supremæ illius Jerusalem civis et incola Symeones, a nemine antea tritam novamque plane viam ingressus est, summos montium vertices incolentes Patres perbenigne erga eum animati, delectos ex eorum numero quosdam ad eum misere, eique hæc renuntiare jussere: Quid sibi vult insolens hæc et peregrina habitatio? Cur tritam hanc et a sanctis fere omnibus calcatam viam relinquens, aliam quamdam et prorsus ignotam semitam iniisti? Illud præterea mandatum eis dedere, ut descendere illum, et electorum Patrum vestigia sequi juberent. Ac siquidem promptum se, ut ex columna descenderet, præberet: permittere ei, ut quam vellet vivendi rationem persequeretur, præceperunt. Obedientiam namque ejus, si Deus instituti ejuscemodi dux esset, declaraturam esse censuerunt.

[1] Psal. L, 20.

Sin cupiditati ipse suæ inserviret, et contra sibi nitendum esse duceret, neque celeriter statim mandatum hujusmodi exsequeretur, pedibus vi arreptum illico detrahere jusserunt. Ut illi ad eum venerunt, et Patrum mandatum exposuerunt, confestim ille altero pede prolato, ad descendendum, et absque ulla deliberatione et dissensione, ad præceptum eorum implendum promptus paratusque fuit : et gratias illis egit, qui tantam de eo gererent curam, veluti quidquam præter voluntatem et sententiam Dei facere occœpisset. Porro illi cum in instituto, quod sibi proposuerat, permanere sunt passi : potestati ejus permittentes, ut quem cepisset cursum teneret : illud insuper adjicientes, **561** Fortis esto, et viriliter age. Videris namque divinitus ad hanc vivendi viam perductus esse, antea ignotam. Itaque deinceps magna ille concepta fiducia, cœptum id magis est prosecutus. Tam prolixe autem divina in eo viro enituit gratia, ut cum Theodosius sanctione quadam Judæis synagogas in urbe Antiochena a Christianis eis ademptas restituere jussisset, et Symeones magna dicendi et objurgandi libertate usus, litteras ad eum dedisset, princeps is, jussionibus suis abolitis, ea quæ sancto viro et Christianis placuissent, fecerit, atque præfecto ei, cujus suasu res ea instituta fuerat, tum dignitatem ademerit : precatoresque maximos ad aereum martyrem miserit, qui illum ut pro se Deum exoraret et preces suas secum communicaret, rogarent. Quæ autem ille admiranda ediderit facinora, et quam commode cum quibusque collocutus sit, quis sigillatim exponat? Quæ si quis nosse velit, eum ad historiam ejus legendam remittimus, quam post magnum Theodoritum optime cognominis ei Symeon Metaphrastes conscripsit, novum quoddam et admirandum in ea ex omnis generis cibariis convivium omnibus proponens. In hoc vitæ instituto decertans, quinquaginta et sex peregit annos. Novem enim in priore, ubi principiis sacræ religionis imbutus est, schola consumpsit : quadraginta autem et septem, in ea quæ dicitur Mandra : sive ut alii tradunt, decem hic in angustiis quibusdam peregit; septem vero in minoribus columnis, et tandem in columna quadraginta cubitorum longitudinis undetriginta transegit annos. Cujus sacrum cadaver post tot certamina, et mortem ipsam obitam, postea sub Leonis Magni imperio Antiochiam est perlatum, Martyrio, qui tum ibi episcopatum gerebat, atque Ardaburio Orientalium copiarum ductore, cum militibus suis, et aliis plurimis magistratibus præsentibus. Qui simul omnes, maximo eos comitante exercitu, ad divinum illud tuguriolum advenere, et venerandum illius cadaver cum reverentia et comitatu multo (multi namque etiam ex monasticis philosophis undequaque ex vicinis locis ad sacram corporis illius productionem et pompam eo se contulerant) **562** asservarunt, ne finitimæ urbes confluentes id raperent : quod illæ inter se, quænam illud sortire-

A γῆν εὐθὺς κατασπᾷν. Ὡς δὲ πρὸς αὐτὸν ἐγένοντο, καὶ τὴν τῶν Πατέρων ἐντολὴν ἤγγελλον, εὐθὺς θάτερον τῶν ποδῶν προτείνας, κατιέναι τοῦ στύλου ἕτοιμος ἦν, καὶ τὴν τῶν Πατέρων ἐπιτροπὴν ἀδιστάκτως ἀνύειν· καὶ χάριν εἰδέναι τούτοις διωμολόγει, οὕτω κηδομένοις ἐκείνου, μὴ κατὰ τὸ δόξαν Θεῷ ὡσανεὶ πράττοντος. Οἱ δ' οὕτως ἔχοντα μᾶλλον, ὥς γε ἦν ὡρισμένον, εἴων, ἐπιτρέποντες τὴν ἣν προὔθετο πορείαν ἀνύτειν· ἐπειπόντες, Ἴσχυε καὶ ἀνδρίζου· ἔοικας γὰρ θεόθεν πρὸς τὴν τρίβον ταύτην ποδηγηθῆναι, ἀγνῶτα πρότερον οὖσαν. Ὁ μὲν οὖν τουλοιποῦ θαῤῥήσας, ἐπιμᾶλλον τῷ ἔργῳ ἐπέβαλε. Τόσον δ' ἡ θεία χάρις ἐνέσκηψε τῷ ἀνδρὶ, ὡς καὶ Θεοδόσιον, γράμματι θεσπίσαντα τὰς ἀφαιρεθείσας πάλαι Ἰουδαίων συν-
B αγωγὰς κατὰ τὴν Ἀντιόχου παρὰ Χριστιανῶν αὖθις ἀποδοθῆναι, οὕτω σὺν παῤῥησίᾳ πολλῇ γράψαι καὶ ἐπιτιμῆσαι σφοδρότερον, ὡς καὶ αὐτὸν ἐκεῖνον τὸν κρατοῦντα τὰς σφετέρας ἀνακαλεσάμενον προσταγὰς, τὰ πρὸς χάριν τῷ ὁσίῳ καὶ Χριστιανοῖς ἐκτελέσαι· παραλῦσαι δὲ καὶ τὸν τηνικαῦτα ὕπαρχον τῆς ἀξίας, τὴν πρᾶξιν εἰσηγησάμενον· καὶ μεγίστην ἐπιπέμψαι τῷ ἀερίῳ μάρτυρι δέησιν, ὥσθ' ὑπὲρ αὐτοῦ Θεὸν δυσωπεῖν, καὶ τῶν οἰκείων μεταδιδόναι εὐχῶν. Ὅσα δὲ κατὰ μέρος ἔπραξε τῶν ἔργων παράδοξα, καὶ ὡμίλει ἑκάστῳ τὰ πρόσφορα, τίς ἂν κατὰ μέρος ἐκδιηγήσαιτο; Τῷ γε μὴν βουλομένῳ τῇ κατ' αὐτὸν ἱστορίᾳ ἐντυχεῖν προτρεπόμεθα, ἣν ἄριστα μετὰ τὸν πολὺν Θεοδώρητον ὁ ὁμώνυμος
C αὐτῷ Συμεὼν ὁ Μεταφραστὴς ἐπεξῆλθε, πᾶσι καινήν τινα καὶ ξένην πανδαισίαν τὰ ἐκείνου προθέμενος. Ἐπὶ δὲ ταύτῃ τῇ διατριβῇ ἀεθλεύων, ἓξ καὶ πεντήκοντα διετέλεσεν ἔτη· ἐννέα μὲν τῷ προτέρῳ φροντιστηρίῳ ἔνθα κατήχηται, ἑπτὰ δ' ἐν τῇ καλουμένῃ Μάνδρᾳ καὶ τεσσαράκοντα· δέκα μὲν ἔτεσι στενωπῷ τινι τὸν ἀγῶνα διηνυκὼς, κίοσι δὲ βραχυτέροις ἑπτά· ἐπὶ δὲ τὸν τεσσαρακοντάπηχυν ἔτη τριάκοντα. Οὗ τὸ ἱερὸν καὶ πολύαθλον σῶμα μετὰ τὴν ἐνθένδε ἀπαλλαγὴν χρόνῳ ὕστερον Λέοντος τοῦ μεγάλου τὰ σκῆπτρα Ῥωμαίων διέποντος κατὰ τὸν Ἀντιόχου εἰσήχθη, Μαρτυρίου τε ἐπὶ τῶν ἱερῶν οἰάκων προκαθημένου, Ἀρδαβουρίου δὲ τῶν Ἑῴων ἡγουμένου ταγμάτων μετὰ τῶν ἀμφ' αὐτὸν στρατιωτῶν, καὶ ἄλλων πλείστων τῶν ἐν τέλει παρόντων.
D Οἳ δὴ πάντες ἅμα καὶ ἀπείρου στίφους ἑφεπομένου, κατὰ τὴν θείαν μάνδραν γενόμενοι, τὸν πάνσεπτον ἐκείνου νεκρὸν σὺν αἰδοῖ καὶ δορυφορίᾳ πολλῇ διεσώσαντο (πολλοῦ δὴ πλήθους φιλοσόφων ἀνδρῶν ἐκ τῶν περικύκλῳ καταφοιτησάντων τῇ τοῦ ἱεροῦ ἐκείνου σκήνους ἱερᾷ προπομπῇ), ὡς ἂν μὴ αἱ πέριξ πόλεις ἐπιῤῥυεῖσαι τὸν ζωηφόρον νεκρὸν διαρπάσωσι, φιλονεικοῦσαι, ποία ποτὲ γένοιτο τοῦτον κληρώσασθαι. Μόλις δὲ διαφυγὼν τοὺς ἁρπάζοντας σὺν θαύμασι κατὰ τὴν ὁδοιπορίαν γεγενημένοις, κατὰ τὴν Ἀντιόχου ἐτέθη. Ὃ καὶ Λέων ὕστερον ὁ αὐτοκράτωρ Ἀντιοχέων ἐδεῖτο λήψεσθαι. Οἱ δὲ δέησιν ἐπιπέμψαντες, πρὸς τοῖς ἄλλοις καὶ ταῦτα τῇ δεήσει γεγράφασι· « Διὰ τὸ μὴ ὑπάρχειν τεῖχος τῇ πόλει (πέπτωκε γὰρ ἐν ὀργῇ σεισμοῦ μεγάλου γεγενημέ-

νου) ἠγάγομεν τὸ πανάγιον σῶμα τοῦ Συμεὼν, ὅπως ἡμῖν γένηται τεῖχος καὶ ὀχύρωμα· » οἷς μόλις δυσωπηθεὶς, ἐνδούς τε τῇ δεήσει ἐκείνων, τὸ σεπτὸν ἐκείνοις εἴασε σῶμα τοῦ Συμεὼν, ὃ καὶ μέχρι τῶν κατωτέρω χρόνων ἐκεῖσε δὴ φυλάττεσθαι καὶ ἐς δεῦρο ἔγνων. Ἐφ' ᾧ δὴ καί τι παράδοξον ἱστορεῖται τοῖς θεωρήσασι. Τὰς γὰρ κατὰ τῆς κεφαλῆς καὶ τοῦ πώγωνος προσούσας τρίχας μὴ διαπεσεῖν, μήτε μὴν τῷ χρόνῳ διαφθαρῆναι, φασί· νικήσασαι δὲ τὸν χρόνον, ἔτι διαφαίνονται σώζουσαι τῷ ὁσίῳ τὸν χαρακτῆρα, ὥσπερ ζῶντι καὶ ἀνθρώποις διομιλοῦντι· περισώζεσθαι δὲ αὐτῷ καὶ ἅπαν τὸ δέρμα, τῷ μακρῷ πόνῳ καὶ χρόνῳ ἐῤῥυτιδωμένον τε καὶ ἀπεσκληκός· πρὸς δὲ καὶ οἱ κατὰ τοῦ στόματος ὀδόντες, πλὴν ἐκείνων ὅσοι πιστῶν χερσὶν ἀνεσπάσθησαν φίλτρῳ τῷ πρὸς αὐτόν. Ἃ δὴ πάντα κηρύττουσι διὰ τοῦ σχήματος, οἷός τε καὶ πόσος, πηλίκος τε ὁ τοῦ Θεοῦ ἄνθρωπος ἦν Συμεών. Παράκειται δὲ τῷ σώματι καὶ ὁ ἐκ σιδήρου πεποιημένος κλοιός· ὃς καὶ αὐτὸς, σύναμα τῷ καρτερικῷ ἐκείνου καὶ πολυάθλῳ σώματι συναεθλεύων, καὶ τῶν ἐκ Θεοῦ μετέσχηκε δωρεῶν. Οὐδὲ γὰρ καίπερ ἀποθανόντα τὸν Συμεὼν ὁ ἐραστὴς αὐτῷ, εἴπω δ' ὅτι καὶ ἐρώμενος σίδηρος ἀπολέλοιπεν, ὥσπερ ἀποσκιρτήσας τῆς καλῆς ξυναυλίας· ἀλλ' ἐκείνῳ παράκειται, ὅσα δὴ καὶ τὸ ἐκείνου σῶμα διαπραττόμενος. Οὕτως ἔμοιγε τοῖς καθέκαστον τῶν ἐκείνου ἔρως ἐπεξελθεῖν, ὠφέλειαν προξενήσουσι διηγουμένῳ καὶ τοῖς ἐντυγχάνουσιν, εἰ μὴ προειρημένοις θείοις ἀνδράσιν ἀξίως καὶ μάλα λαμπρῶς καὶ εἰς πλάτος πάντα πεπόνηται· ἄλλως τε καὶ πρὸς ἄλλα τῆς ἐπαγγελίας ἐμοὶ προκειμένης, τέως ὅπερ ἐκείνοις παραλέλειπται διηγήσομαι. Μάνδραν μὲν, ὡς εἴρηται, τὸν χῶρον καλοῦσιν οἱ ἐπιχώριοι τῆς ἀσκήσεως, τοῦ ὁσίου τὴν κλῆσιν αὐτῷ ἐπιδεδωκότος. Διέστηκε δὲ Θεουπόλεως σταδίοις μάλιστα τριακοσίοις πρὸς αὐτὸ τὸ ἄναντες τῆς κορυφῆς τοῦ ὄρους διακειμένη· τὸ δ' ἐπέκεινα πρόσαντες διήκει σταδίοις εἴκοσιν· ἐφ' ὃ καὶ νεὼς ἀνέστη τῷ ἁγίῳ ἐς σταυροῦ σχῆμα διατυπούμενος, ἐκ τεσσάρων πλευρῶν θόλοις κοσμούμενος. Κίονες δὲ ξεστοῦ λίθου πεποιημένοι παρατετάχαται ταῖς στοαῖς πρὸς τὸ εὐπρεπέστερον, εὖ μάλα τὴν ὀροφὴν εἰς ὕψος ἐπαίροντες· τὸ δὲ μέσον αὐλή τίς ἐστιν ὑπαίθριος, τέχνῃ δή τινι πλείστῃ ἄκρως ἐξειργασμένη· ὅπου κατὰ μέσον ὁ τεσσαρακοντάπηχυς ἐκεῖνος ἵδρυτο κίων· ᾧ χρησάμενος ὁ ὅσιος κλίμακι, ὁ ἔνσαρκος ἄγγελος πρὸς τὸν οὐράνιον ἀνέδραμε χῶρον. Τῶν δ' εἰρημένων μοι στοῶν πρὸς τῇ κορυφῇ κλειθρίδιά τινα καθεστᾶσιν, ἅπερ ἔνιοι θυρίδας καλεῖν εἰώθασι. Πρὸς αὐταῖς δὴ ταῖς στοαῖς καὶ τὸ ῥηθὲν προαύλιον ὕπαιθρον ἀποκρίνεται, καὶ χώραν διδούσαις τοῖς ἠρημένοις ἐκτὸς ὁρᾶν ἔσωθεν, καὶ ἔσω πάλιν ἀπὸ τῶν ἔξωθεν. Ἔνθα τὸν παρακύπτοντα ὁρᾶν ἔστιν ἀστέρα τινὰ ὑπερμεγέθη καθ' ἅπαν τὸ θυρίδιον διαθέοντα καὶ περιφανῶς σελαγίζοντα, καὶ ὡσανεὶ παυ-

tur, decertarent : atque id vix tandem salvum, multis in itinere miraculis exhibitis, Antiochiæ repositum est. Id etiam postea imperator is ab Antiochenis sibi dari petiit. At illi precatoribus ad eum missis, inter alia et hæc precibus suis addidere : « Propterea quod urbs nostra murum non haberet, qui magno terræmotus impetu corruit, sacrosanctum Symeonis corpus huc adduximus, ut nobis pro muro et vallo esset. » Quibus verbis ægre Leo exoratus, precibus eorum cessit, et sanctum Symeonis corpus eis reliquit. Quod ibi posterioribus temporibus ad hoc usque tempus servatum esse scimus (1). De hoc mirandum quiddam, qui id viderunt, memorant. Nam capitis ejus et barbæ capillos non excidisse, neque tempore longissimo intercidisse aiunt : qui vi temporis superata, formam adhuc viri sancti veluti viventis et inter homines versantis conservarint. Integra etiam ejus dicta est fuisse cutis omnis, atque in fronte præcipue labore et tempore multo rugosior atque durior facta. Oris item dentes, illis exceptis quos fidelium manus propter egregium in eum amorem abstulere. Quæ sane omnia staturam ejus et habitum, qualis et quantus Dei homo Symeones fuerit, declarat. Juxta corpus ejus etiam torques ferreus positus est : qui et ipse, quod constanti illi et forti in certaminibus variis corpori adfuerit, honorem eum a Deo consecutus est. Nam quantumvis defunctum Symeonem amans illius, dicam etiam amatum ab illo ferrum, non reliquit, tanquam ab illius pulchra consuetudine resiliens : sed juxta illum situm est, veluti corpus illius perficiens. Ingens vero mihi cupido incesserat, res ejus sigillatim recensendi, utilitatem et mihi commemoranti, et historiam hanc legenti allaturas : nisi ab eis, quos dixi, sanctis viris pro eo atque decet, luculenter et copiose essent descriptæ : præcipue cum ad alia quæ instituti promissique nostri sunt referenda nobis properandum sit. Quare unum saltem quod ab illis prætermissum est, nunc commemorabo. Mandram, sicuti dictum est, monastici exercitii ejus locum incolæ nominant, appellatione tali ei a sancto ipso viro imposita. **563** Distat a Theopoli stadiis plurimum trecentis, ad acclivem montis verticem sita. Ascensus arduus stadiorum viginti est, ubi et templum viro sancto, in crucis speciem conformatum, et ex quatuor partibus porticibus exornatum, excitatum est. Juxta porticus eas ex saxo polito columnæ decentissime constructæ sunt, quæ summam testudinem perpulchre in sublime attollunt. In medio hypæthra, sive subdialis aula est, arte exquisita ad summum elaborata. In media ea, columna illa quadraginta cubitorum stat, qua sanctus ille vir et carnalis angelus tanquam scalis usus, ad cœlestem conscendit regio-

(1) Corpus Simeonis usque ad Evagrii Scholastici tempora integrum duravit. Hujus caput se cum multis sacerdotibus vidisse scribit Evagrius episcopum Antiochiæ agente celeberrimo Gregorio, cum Philippicus orientalium copiarum dux præsidii causa sibi sacras sanctorum reliquias mitti postularet.

nem. In eis quas dixi porticibus, ad fastigium summum cancelli (quidam fenestras appellare consuevere) sunt, porticibus ipsis et subdiali quæ dicta est aulæ respondentes, locumque volentibus dantes, ut ex ipso templo extra, et rursum ab exteriori templi parte in templum prospicere possint. Ubi ad Lævum columnæ latus in cancellorum uno emicantem cernere est immensam quamdam stellam (1), per fenestram discurrentem et splendide coruscantem, et modo veluti cessantem, mox vero rursum derepente affulgentem. Id quod eis tantum diebus fit, quibus memoria sancti viri colitur. Sunt etiam qui memoriæ prodiderunt, ipsius quoque Symeonis faciem illam huc atque illuc volitantem, ad columnam videri, barba, sicuti eam gestaverat, submissiore, et capite tiara tecto; nam sic quoque ille incedere solitus fuerat. Miraculum hoc spectant omnes, mulieres quoque, sed extra templum ac postes stantes. Janua enim una ex adverso stellæ fulgenti locata est. Ne enim mulier quæpiam sacram ædem forte ingrediatur, etiam atque etiam nescio quam ob causam per custodiam loco ei impositam cavetur. Viri autem, etiam ex rusticis, una cum jumentis suis ingrediuntur, sæpius columnam ipsam circumeuntes. Hæc de Symeone.

A όμενον, καὶ αὖθις ἐξαπίνης ἀναφαινόμενον· τοῦτο δ᾽ ἐν τῇ μνήμῃ μόνον τοῦ ἁγίου ἐγγίνεσθαι. Εἰσὶ δὲ οἳ καθιστόρησαν, καὶ αὐτὸ ἐκεῖνο τὸ τοῦ ὁσίου πρόσωπον ὧδε κἀκεῖσε περιιπτάμενον, ἀνὰ τὸν στῦλον θεᾶσθαι, τὴν ὑπήνην καθειμένον ὡς σχήματος εἶχε, καὶ τιάρᾳ τὴν κεφαλὴν καλυπτόμενον, ὥς γε ἦν εἰωθός. Ὁρῶσι δὲ πάντες τὸ θαῦμα, καὶ γυναῖκες ἔξω περὶ τὰς φλιὰς ἑστῶσαι· ἡ γὰρ μία τῶν θυρίδων ἀντικρὺ τοῦ σελαγίζοντος ἀστέρος ἐστί. Πολλὴ γάρ τις ἔνεστι φυλακὴ τῷ χώρῳ, ὡς ἂν μὴ λάθῃ γυνὴ τῶν ἱερῶν περιβόλων ἔσω φοιτήσασα. Οἱ δ᾽ ἄνδρες καὶ τῶν ἀγροίκων εἰσίασιν ἔνδον μετὰ τῶν νωτοφόρων σφίσι, πολλάκις περιπολοῦντες τὸν κίονα. Τοσαῦτα περὶ τοῦ Συμεών.

564 CAPUT LII.

De sancto et magno Euthymio, aliisque qui sancte pieque vitam exegerunt.

Sub eodem imperio magnus etiam ille et inclytus Euthymius in Palæstina excelluit. Qui sub Valente quidem ex promissione natus, a magno autem Otreio Acacio Melitinensis Ecclesiæ episcopis rite doctus atque eductus: deinde in presbyterorum ordinem allectus, sacrarum tantum rerum curam gessit. Postea in Palæstina una cum admirando Theoctisto in antro quodam virtutis statuit officinam: multisque et variis cellis, sanctioris philosophiæ mellis stipandi gratia constructis, ingens condidit monasterium. In tantum autem virtute enituit, ut cum canon esset, et formula instituti monastici, tum miraculis etiam edendis præclarum obtineret nomen. Nam Persarum cujusdam tribuni filium morbo liberatum ad incolumitatem reduxit, et cœli januas aperuit, atque sterili terræ fertilitatem orationibus conciliavit. Effecit etiam, ut ex paucissimis plurimi panes fierent, quibus quadringenti viri refecti sunt: mulieres steriles fecundas reddidit. Cum sacris mysticis operaretur, lux cœlitus perinde atque columna affulgens, eum circumdedit: veluti voce emissa, quanta vitæ puritate vir is esset indicans. Et quo quisque eorum animo esset, qui ad sacram communionem percipiendam accedebant, per arcanam revelationem perspiciebat, quod clarissimum prorsus sanctimoniæ ejus summæ indicium fuit. Migravit autem vir beatus ad Dominum, cum nonaginta et septem annos exegisset, Leone magno imperante. Vita moderatus et moribus perquam simplex fuit: colore candidus, et ad femora usque promissam, eamque densam habens barbam. De quo illud historiæ memorant: cum monachus quidam moreretur, qui egregiam virtutis et castitatis famam obtineret,

B

ΚΕΦΑΛ. ΙΒ΄.

Περὶ τοῦ ἁγίου καὶ μεγάλου Εὐθυμίου, καὶ ἄλλων θεοφιλῶς τὸν βίον διηνυκότων.

Ἐπὶ δὲ τῆς αὐτῆς ἡγεμονίας καὶ Εὐθύμιος ἐκεῖνος ὁ μέγας καὶ περιβόητος ἀνὰ τὴν Παλαιστίνην διέλαμπεν· ἐξ ἐπαγγελίας μὲν γεγεννημένος κατὰ τοὺς χρόνους Οὐάλεντος, Ὀτρηΐῳ δὲ τῷ πάνυ καὶ Ἀκακίῳ τοῖς τῆς Μελιτινῶν ἐκκλησίας θείοις καθηγεμόσι τραφεὶς ἀξίως καὶ παιδείας μετειληχώς· εἶτα τὴν τοῦ πρεσβυτέρου δέχεται χειροτονίαν, καὶ τῶν ἱερῶν μονῶν τὴν ἐπιμέλειαν ἐκληροῦτο. Ἔπειτα κατὰ Παλαιστίνην γενόμενος, ἔν τινι σπηλαίῳ σύναμα τῷ θαυμαστῷ Θεοκτίστῳ τὸ τῆς ἀρετῆς πήγνυται ἐργαστήριον, καὶ τὸ τῆς φιλοσοφίας ἐκπονεῖται σὺν ἐκείνῳ μέλι ὑπὸ πολλοῖς καὶ διαφόροις καταγωC γίοις· καὶ λαύραν ὑπερμεγέθη συνίστησι· καὶ ἐπὶ τόσον προελθεῖν ἀρετῆς, ὡς κανόνα καὶ τύπον γενέσθαι τὸν βίον μοναδικῆς καταστάσεως· περιφανῆ δὲ γενέσθαι τοῖς θαύμασι. Τοῦ γὰρ Περσῶν φυλάρχου τὸν παῖδα ἀρτιμελῆ καὶ σῶον ἐδείκνυ, καὶ τὰς τοῦ οὐρανοῦ θύρας ἀνέῳξε, καὶ γόνιμον τὴν γῆν ἀκαρπίαν νοσοῦσαν παρεσκευάσατο ταῖς εὐχαῖς. Πλῆθος δὲ ἄρτων ἐκ πάνυ βραχυτάτων πηγάσαι ἐποίησεν, ἐξ ὧν καὶ τετρακόσιοι ἄνδρες ἐτράφησαν· γυναιξὶ δ᾽ ἐστειρωμέναις τὰς μήτρας εὐτεκνούσας καθίστα. Τὴν δ᾽ ἱερὰν ἐπιτελοῦντος μυσταγωγίαν, φῶς οὐρανόθεν οἷάπερ στῦλος περιλάμπον ἐπ᾽ αὐτὸν καθεῖτο συμπαρεστώς· καὶ οἱονεὶ φωνὴν ἀφιείς, οἷος τῇ τοῦ βίου λαμπρότητι ὁ ἀνήρ· καὶ τῶν προσιόντων τῇ D θείᾳ κοινωνίᾳ οἷος ἕκαστος τὴν διάθεσιν νοερῶς ἐμυεῖτο, ὃ τεκμήριον ἐμφανέστατον ἀτεχνῶς τῆς εἰς ἄκρον ἐκείνου καθάρσεως. Ἐξεδήμει δὲ πρὸς Κύριον ὁ μακάριος ἑκατὸν ἐτῶν γεγονὼς δεόντων μόνων τριῶν, Λέοντος τοῦ μεγάλου τὴν ἀρχὴν διιθύνοντος· μέτριος ὢν τὸ ἦθος, καὶ τὸν τρόπον μάλα ἁπλούστατος· τὸ δὲ χρῶμα λευκός, ἄχρι τῶν μηρῶν δασεῖαν καθειμένην τὴν ὑπήνην ἔχων. Ἱστόρηται μέντοι

(1) Hanc stellam se vidisse scribit Evagrius, lib. I, cap. 14.

περὶ αὐτοῦ, ὡς τινὸς τελευτᾷν μοναχοῦ μέλλοντος, A ὃς δόξαν ἀρετῆς μάλιστα καὶ τὸ πλέον σωφροσύνης δῆθεν εἶχε, μὴ τοιοῦτός γε ὢν, ἀλλὰ τοὐναντίον μᾶλλον ἀκόλαστος, ὁρᾷν τὸν μακάριον ἄγγελόν τινα φοβερὸν ἐν τριαίνῃ δεινῇ τὴν ἐκείνου ψυχὴν ἀπηνῶς ἀνασπῶντα· καὶ ἅμα φωνῆς ἄνωθεν ἐπαισθάνεσθαι, τὰ κρυπτὰ τῆς αἰσχύνης ἔργα διαῤῥήδην ἐκκαλυπτούσης. Ἄλλον δέ τινα πένητα γυμνὸν ἐπ' ἐδάφους ἐῤῥιμμένον καὶ διεῤῥωγότα πάμπαν καὶ δύστηνα ῥάκια ἠμφιεσμένον σὺν αἰδοῖ τὴν ψυχὴν ἐκκαλεῖσθαι πολλῶν παρόντων ἀγγέλων· παρεῖναι δὲ καὶ Δαυῒδ τῇ παναρμονίῳ κιθάρᾳ χρώμενον, καὶ οἱονεὶ καταχηλοῦντα ταύτην καὶ σὺν ᾠδαῖς παραπέμποντα. Ὑπὸ δὲ τὸν ἐκεῖνον χρόνον καὶ ἄλλοι πλεῖστοι συνήκμασαν· οἷος ἐκεῖνος Θεόκτιστος καὶ Γεράσιμος, κοινοβίων μεγάλων ἡγεμονεύοντες, κα- B νόνι τε ξένῳ κεχρημένοι· ἃ πρὸς λεπτὸν καταγράφειν οὔ μοι καιρός. Ὑπὸ δὴ τούτῳ καὶ ἡ βασιλὶς Εὐδοκία, τῆς ὀρθῆς πρότερον παρατραπεῖσα δόξης, τἀληθὲς ὕστερον διαγνοῦσα, τῆς τῶν Εὐτυχιανιστῶν συμμορίας διέστη. Τούτῳ δὴ καὶ ὁ τὴν ἀρετὴν πολὺς Σάββας νέος ἔτι ὢν πρόσεισιν· ὃν ἰδὼν, ὁποῖος ἔσται σαφῶς προεφοίβασε. Καὶ Τίτος δ' ὁ Βόστρων ἐπ' ἐκείνοις ἤκμαζε τοῖς καιροῖς· Βάσσα τε καὶ Τατιανὴ καὶ Μελάνη ἡ θαυμαστή· πρὸς δὲ καὶ Ξένη ἡ περιβόητος, ἧς τὴν τῆς ἀρετῆς τελείωσιν ἐδείκνυ στέφανος ἄστρασιν ἐπισήμοις περιπλακείς· πρὸς δὲ καὶ Ξενοφῶν ἐκεῖνος ὁ πολυύμνητος τῆς συγκλήτου τὰ πρῶτα τελῶν, οὐχ ἧττον τῷ ἔξωθεν πλούτῳ ἢ τῷ ἔνδοθεν μᾶλλον ὡραϊζόμενος. Ἐπὶ δὲ μίαν τῶν C κατὰ Φοινίκην πόλεων Βήρυτον ἐπὶ παιδείᾳ καὶ μελέτῃ νόμων τοὺς οἰκείους παῖδας Ἀρκάδιον καὶ Ἰωάννην ἐκπέμψας, ἐπεὶ τῷ κατὰ θάλατταν περιέπεσον ναυαγίῳ, πρὸς τὴν ἐκείνων ζήτησιν σύναμα γυναικὶ ἐξιὼν, ἐπεὶ τὰ μοναχῶν μυηθέντας ἐν Ἱεροσολύμοις ἐνέτυχε, τὸ τῆς ἡσυχίας ἔνδυμα καὶ αὐτὸς καὶ ἡ σύζυγος ὑποδύονται. Ἐπὶ τόσον δ' ἐπιδοῦναι συνέβη πάντας πρὸς ἀρετὴν, ὡς καὶ θαύματα δρᾷν γέρας εἰληφέναι παρὰ Θεοῦ. Διὰ βίου δ' εὐάρεστοι Θεῷ γεγονότες, πρὸς αὐτὸν μετεχώρησαν. Προσεχώρει δὲ τηνικαῦτα τῇ ἀρετῇ ἐπαυξάνων καὶ Αὐξέντιος ἐκεῖνος ὁ πολυύμνητος ἀσκητὴς, κατὰ τὸ ἀντικρὺ Βυζαντίου διακείμενον ὄρος ἀνὰ τὴν Βιθυνῶν, πάντας τοὺς περικύκλῳ βουνοὺς ὑπερκείμενον.

impudicus autem prorsus esset, sanctum hunc virum angelum horrenda specie tridente gravi animam illius, crudelem in modum, e corpore extrahentem vidisse : et vocem simul cœlitus, occulta turpitudinis facinora aperte revelantem, audisse. **565** Alium quoque pauperem quemdam nudum in solo jacentem ab eo conspectum esse, lacerum prorsus et pannis vilibus obsitum : cujus animam, qui multi ei præsto aderant angeli, reverenter evocarint; cui David quoque cum summi concentus cithara sua adfuerit, carminibus illam veluti demulcens atque producens. Sub idem tempus alii itidem plurimi floruerunt : qualis ille fuit Theoctistus et Gerasimus, magnorum cœnobiorum præsides, qui ad novum quemdam canonem vitæ suæ rationem instituerunt. De his singula scribendi nunc locus non est. Tum quoque Eudocia Augusta, quæ a recta via aberraverat, veritate rursus cognita ab Eutychianorum factione secessit. Ad Euthymium etiam virtute præclarus Sabbas, adolescens adhuc, venit : quem ubi ille vidisset, qualis futurus esset clare prædixit. Eisdem temporibus et Titus Bostrensis viguit : item Bassa, Tatiana et admiranda Melana. Præterea celebris illa Xena, in qua virtutis perfectionem satis corona illa insignibus stellis contexta declarat. Decantatus quoque Xenophon ille, qui in senatorum ordine prius fuerat, non minus internis animi dotibus, quam externis divitiarum opibus enitens. Miserat is Berytum, quæ Phœniciæ urbs est disciplinæ et legum discendarum gratia, Arcadium et Joannem filios suos. Cum autem naufragium eos in mari passos esse intellexisset, ad inquirendos eos una cum conjuge sua profectus est. Porro ubi eos Hierosolymis monasticam exercentes reperit, ipse quoque, et una cum illo uxor, tranquillioris vitæ vestitum sumpsit. Ad eam vero omnes virtutem pervenere, ut a Deo miraculorum edendorum honorem et præmium acceperint; et cum per vitam placiti Deo fuerunt, tum ea exacta ad illum emigrarunt. Eodem etiam tempore virtutis incrementis longe processit celeberrimus ille monachus Auxentius, in monte Bithyniæ eo qui ex adverso Constantinopoli situs, omnes circumcirca colles D altitudine superat.

ΚΕΦΑΛ. ΙΓ'.

Περὶ τοῦ ἁγίου Ἰσιδώρου τοῦ Πηλουσιώτου· καὶ οἷα Κυρίλλῳ καὶ ἄλλοις ὑπὲρ τοῦ ἱεροῦ Χρυσοστόμου γράφει.

Οὐκ ἀρετῆς δὲ μόνον ἄνδρες τηνικαῦτα διέλαμπον, ἀλλὰ καὶ λόγος ἐν ταυτῷ συνᾴδων τοῖς ἔργοις ἐκείνοις διέπρεπε. Διττὴ γὰρ φιλοσοφία συνδραμοῦσα θᾶττον ἀνάγει τὸν νοῦν, καὶ τῷ ποθουμένῳ ἑνοῖ. Οἷα γάρ τισι δυσὶ πτέρυξιν, ᾧ καὶ ἄμφω συγγένοιντο, χρῆσθαι συμβαίνει· καὶ πρὸς οὐρανὸν ἀνίπτασθαι ἑλικαῖς ἀναβάσεσιν ὡς τάχος ἐπαίρει. Οἵους ἄνδρας καὶ ὁ τηνικαῦτα χρόνος πρoὐήνεγκεν, ἀρετῇ καὶ λόγῳ τὸ εὐδόκιμον ἐσχηκότας· οἷος ἐκεῖνος Ἰσίδωρος ὁ τοῦ Πηλουσίου ὄρους καθηγησάμενος,

566 CAPUT LIII.

De sancto Isidoro Pelusiota. Et quæ Cyrillus, et item alii de sacro Chrysostomo scripserunt.

Non virtute tantum egregii tum floruere viri, sed et doctrina factis ipsis consona enituit. Utraque enim philosophia si concurrat, celerius mentem in sublime tollit, et bono ei quod desiderio votoque omni expetimus, unit atque conjungit. Nam veluti duabus alis, cui utraque illa contigit, utitur : atque in cœlum evolans, quam celerrime progressu pleno pervenit. Quales viros ea tempestas protulit, virtute et doctrina magnam gloriam consecutos : talis Isidorus ille fuit, qui in Pelusio

monte monachis præfuit: Nilus et Marcus præclari A ascetæ, et sapiens item Cyri (1) ecclesiæ antistes Theodoritus, quorum magna gloria est, ut poetæ verbis utar. Præceptore ii in utraque philosophia magno usi sunt Chrysostomo. Igitur divinus Isidorus jam inde ab adolescentia ita in monasticis laboribus desudavit, et ita carnem, animam arcanis sublimioribusque doctrinis fovens, maceravit, ut evangelicam prorsus degeret vitam; et viva animataque monastici instituti divinæque contemplationis columna, et veluti primarium quoddam exemplum flagrantis æmulationis doctrinæque spiritualis esset. Multa ab eo scripta sont, variæ utilitatis plena: potissimum autem, epistolarum omnis generis divina simul et humana gratia refertarum, prope millia decem, in quibus Scri- B pturam omnem clarius exponit, et omnes omnium hominum mores instituit, quippe qui dicendi genere ad docendum accommodato in eis utatur. Satis quoque ille declarat, quo ardore erga honestatem, erga Ecclesiam, et eos qui temere injuria afficerentur, flagravit. Multum præterea in lucubrationibus suis invehitur in eos qui non rite episcopali sacerdotalique munere fungerentur. Et quod aperte Chrysostomum defenderet, vehementer Arcadium et Cyrillum, atque hujus patruum Theophilum perstringit, eorumque sinistras adversus virum eum susceptas molitiones taxat: quæ illum eodem cum eis tempore viguisse testantur. Cyrillum sane quidem ut hominem turbulentum refellens, C hæc quoque scribit: « Favoris quidem affectio acutum non videt, hostilis vero animi odium nihil prorsus cernit. **567** Quod si utroque hoc vitio te purgare ipsum et liberare vis, ne violentas sententias extorqueto, sed justo judicio causas committito. Quandoquidem et Deo, qui omnia priusquam fiant novit, perhumaniter et benigne placitum fuit ut descenderet, et clamorem Sodomorum videret, certæ et exactæ inquisitionis nobis proponens exemplum. Multi namque qui Ephesi tecum congregati fuere, publice te traducunt, quod inimicitias tuas persecutus sis: et non rite atque ordine, juxta rectæ fidei sententiam, ea quæ Jesu Christi sunt, quæsiveris. Theophili, inquiunt, cum fratris filius sit, mentem ac sententiam quoque D illius imitatur. Quemadmodum enim ille apertam insaniam in sanctum et Deo dilectum Joannem effudit, ita et iste gloriam eodem affectat modo, quamvis causæ ipsæ et res de quibus controversia est magnopere inter se dissideant. » In alia rursus epistola hæc scribit: « Terrent me quæ in divinis Scripturis prodita sunt exempla, et quæ opus est necessario scribere cogor. Sive enim pater, sicuti

A Νεῖλός τε καὶ Μάρκος οἱ περιβόητοι ἀσκηταί· ἔτι δὲ καὶ ὁ τὴν σοφίαν πολὺς Θεοδώρητος τῆς Κυρεστῶν ἐκκλησίας ἱερατεύσας· ὧν εὐρὺ κλέος κατὰ τὴν ποίησιν· διδασκάλῳ τῷ μεγάλῳ Χρυσοστόμῳ καὶ κατ' ἄμφω φιλοσοφίας χρησάμενοι. Ὁ μὲν οὖν θεῖος Ἰσίδωρος ἐξ ἔτι νέου τοῖς ἀσκητικοῖς οὕτω πόνοις ἐνίδρωσε, καὶ τὴν σάρκα κατέτηξε, τὴν ψυχὴν τοῖς ἀναγωγικοῖς πιάνας τῶν λόγων, ὡς ἀγγελικὸν ἄντικρυς μετελθεῖν βίον, καὶ στήλην ζῶσάν τε καὶ ἔμψυχον τῆς τε μοναστικῆς διαίτης καὶ τῆς εἰς Θεὸν θεωρίας, καὶ οἷόν τι ἀρχέτυπον ζήλου καὶ διδασκαλίας πνευματικῆς ἐγγενέσθαι. Καὶ δὴ πολλὰ μὲν αὐτῷ ἐγράφη ὠφελείας ἁπάσης ἔμπλεω· μάλιστα δ' ἐπιστολαί, χάριτος παντοίας μεσταί, θείας τε ἅμα καὶ ἀνθρωπίνης, ὡσεὶ χιλιάδες δέκα· δι' ὧν B πᾶσάν τε Γραφὴν σαφηνίζει, καὶ σύμπαν ἦθος παιδεύει, διδασκαλικώτερον ποιούμενος τὴν ὑφήγησιν. Ἐμφαίνει δὲ καὶ ὃν εἶχεν ὑπὲρ τοῦ καλοῦ ζῆλον ὑπέρ τε τῆς Ἐκκλησίας καὶ τῶν ἄλλως ἀδικουμένων. Πολλὴν δὲ καὶ καταδρομὴν ἔστι τοῖς ἐκείνῳ πονηθεῖσιν εὑρεῖν οἷς ἱερᾶσθαι παρ' ἀξίαν συνέβη. Ἄντικρυς δ' ὑπὲρ τοῦ Χρυσοστόμου πνέων, πολλά τε Ἀρκαδίου καὶ Κυρίλλου καὶ τοῦ θείου ἐκείνῳ Θεοφίλου καθάπτεται, διελέγχων τὴν κατὰ τοῦ ἀνδρὸς αὐτῶν σκαιωρίαν· δι' ὧν δείκνυται καὶ κατὰ τὸν αὐτὸν ἐκείνοις συνακμάσαι χρόνον. Κύριλλον γοῦν ὡς ταραχώδη δῆθεν ἀναστέλλων, καὶ τάδ' ἐπιστέλλει· « Προσπάθεια μὲν οὐκ ὀξυδορκεῖ· ἀντιπάθεια δὲ ὅλως οὐχ ὁρᾷ. Εἰ τοίνυν ἑκατέρας λύμης C βούλει σαυτὸν καθαρεῦσαι, μὴ βιαίας ἀποφάσεις ἐκβίαζε, ἀλλὰ κρίσει δικαίᾳ τὰς αἰτίας ἐπίτρεψον. Ἐπειδὴ καὶ Θεὸς ὁ πάντα εἰδὼς πρὸ γενέσεως καταβῆναι καὶ τὴν κραυγὴν ἰδεῖν Σοδόμων φιλανθρώπως ηὐδόκησεν, ἡμᾶς ἀκριβοῦς ἐρεύνης διδάσκων ὑπόθεσιν. Πολλοὶ γάρ σε κωμῳδοῦσι τῶν συνειλεγμένων εἰς Ἔφεσον, ὡς οἰκείαν ἀμυνόμενον ἔχθραν, ἀλλ' οὐ τὰ Ἰησοῦ Χριστοῦ ὀρθοδόξως ζητοῦντα. Ἀδελφιδοῦς ἐστι, φασί, Θεοφίλου μιμούμενος ἐκείνου τὴν γνώμην. Ὥσπερ γὰρ ἐκεῖνος μανίαν σαφῆ κατεσκέδασε κατὰ τοῦ θεοφόρου καὶ θεοφιλοῦς Ἰωάννου, οὕτως ἐπιθυμεῖ καυχήσασθαι καὶ οὗτος, εἰ καὶ πολὺ τῶν κρινομένων ἐστὶ τὸ διάφορον. » Καὶ αὖθι, ἐν ἑτέρῳ, « Φοβεῖ με, φησί, τὰ τῆς θείας Γραφῆς ὑποδείγματα, καὶ γράφειν τὰ χρεὼν ἀναγκάζομαι. D Εἴτε γὰρ πατήρ εἰμι, ὡς ἔφης αὐτός, δέδια τοῦ Ἠλεὶ τὴν κατάκρισιν, ὅτι τοὺς υἱοὺς ἁμαρτόντας οὐκ ἐσωφρόνισεν· εἴτε υἱός σου τυγχάνω, ὡς μᾶλλον ἐπίσταμαι τὸν μέγαν σχηματίζοντος Μάρκον, ἀγωνιῶ τοῦ Ἰωνάθαν τὸ ἐπιτίμιον· ὅτι τὸν πατέρα ζητήσαντα ἐγγαστρίμυθον οὐκ ἐκώλυσε· καὶ πρότερος τοῦ ἁμαρτήσαντος ὁ κωλῦσαι δυνάμενος τέθνηκεν εἰς τὸν πόλεμον. Ἵνα τοίνυν κἀγὼ μὴ κατακριθῶ, καὶ αὐτὸς παρὰ Θεοῦ μὴ κριθῇς, παῦσον τὰς ἐρι-

(1) Cyri oppidi, ubi Theodoritus ecclesiasticus historicus episcopatum gessit, sæpe in his libris facta est mentio. Situm est in Syria, a Judæis, cum ex Palæstina a Medorum exercitu in captivitatem abducti, et a Cyro rege Persarum in patriam restituti essent, ut aliquam illi pro tanto beneficio memoris animi referrent gratiam, conditum. Id admodum aliquandiu neglectum, Justinianus postea instauravit, munivit et exornavit, propter duos Cosmam et Damianum, qui ad id oppidum sepulti erant. (Procop.)

qui dederit, et filios qui acceperint imperium, quod laudatorem talem sint consecuti. » Hæc Libanius. Plutarchus vero orationem dilucidam et facilem vere et germane Atticam esse censet. « Sic enim, inquit ille, oratores dixerunt. Gorgias autem Leontinus primus vitium hoc in orationes civiles, sublime et figuratum dicendi genus affectans, invexit, et perspicuitatis luminibus obstruxit. Vitium hoc etiam admirandum Platonem contigit. » Quod si hac in re Plutarcho credendum est, ut profecto est credendum, multis modis alios omnes præclarus superat Joannes, qui in orationibus suis Atticismum refert, et perspicuitatem ita, ut haud sciam an alius quisquam magis, retinet. » Hæc divinus Isidorus.

569 CAPUT LIV.

De sancto Nilo : de Marco monacho et de Theodoreto Cyri episcopo.

Admirando autem Nilo patria Constantinopolis fuit, cujus etiam propter egregiam generis nobilitatem præfectus fuit. Potentia autem et opibus affluens, asceticam illis prætulit vitam; quippe qui ad exemplum divini Davidis, ad domum Dei abjici, quam in tabernaculis peccatorum habitare maluerit. Et cum eloquentiæ vi polleret, divinæque gratiæ nervis validus esset, scripta varia, quæ vitæ monasticæ exercitium instruunt, reliquit, verbis et sententiis ita composita, ut lectoris animum gratia incredibili recreent. Scripsit quoque divinorum Patrum in monte Sina obitum martyrium, B facundia et affectu tanto, ut satis inde colligere liceat, quam eximia doctrina juxta et virtute vir is fuerit: ubi etiam suas et filiorum res paucis commemorat, miserabiliter veluti in tragœdia captivitatem eorum exponens, cum Barbari Blemmyæ excursione sua cædem ingentem fecere: quod opusculum tanquam spirituale quoddam oblectamentum studiosis reliquit. Alios item libros optimos edidit, spiritualis gratiæ non expertes: inter quos primas eum ferre puto, quem adversus gentiles scripsit, et rursum qui ab eo ad Eulogium compositi sunt. Capita autem collegit aliqua quidem fusius, multa autem compendiosius tractata, in quibus spiritualem fructum, perinde atque nectar aut ambrosiam aliquam, oculis subjectum, ita ut facile C percipi posset, proposuit. Quem vita defunctum, Justinus posterior inde translatum, in fundamento sacratioris mensæ, in eo quod ab ipso, Petro et Paulo apostolorum principibus, ad orphanotrophium constructum est, templo reposuit. Ipse quoque Marcus in monastica prius versatus, multa post se reliquit scripta. Eorum qui ad nos pervenerunt, libri octo sunt, universalium affectionum numerum æquantes: et alii triginta et duo, in quibus vias totius asceticæ vitæ omnes prosequitur, ad quæ loca secedendum, et quomodo ad voluntatem Dei gressus dirigendi sint: **570** quomodo etiam homo dæmonum tentationes superet, mentemque repurget, atque ad veterem dignitatem progrediatur, et cum Deo cœleste institutum D sectatus vivat. Theodoretus vero natione quidem Syrus fuit, sectator autem magni Joannis Chrysostomi, illumque sibi quasi primarium exemplar stylo conformando propositum habuit. Etenim fluidus admodum et copiosus, in elocutione facilius, et *Atticam* gratiam redolens. Lucubrationes ab eo

A

ΚΕΦΑΛ. ΝΔʹ.

Περὶ τοῦ ἁγίου Νείλου, καὶ Μάρκου τοῦ ἀσκητοῦ καὶ Θεοδωρήτου τοῦ ἐπισκόπου Κύρου.

Τῷ δὲ θεσπεσίῳ Νείλῳ πατρὶς μὲν ἡ τῆς Κωνσταντίνου ἐτύγχανε πόλις, ἧς τῷ περιόντι τῆς εὐγενείας καὶ ἔπαρχος ἐχρημάτισε· πλούτῳ δὲ βαθεῖ καὶ δυναστείᾳ περιῤῥεόμενος, ἀσκητικὴν ἀντηλλάττετο ἀγωγὴν, κατὰ τὸν θεῖον Δαυῒδ, οἴκῳ μᾶλλον Θεοῦ παρεῤῥίφθαι αἱρούμενος ἢ σκηνώμασιν ἁμαρτωλῶν κατοικεῖν. Λόγου δὲ δυνάμει κρατῶν, καὶ τῇ θείᾳ νευρούμενος χάριτι, συγγράμματα διάφορα καταλείπει πρὸς ἄσκησιν ὑπαλείφοντα, οὕτω φράσεως καὶ νοημάτων μετέχοντα, ὡς τὸν ἀναγινώσκοντα χάριτος ἀφράστου ἔμπλεω καθεστάναι. B Μεθ' ὧν καὶ τὸ ἐν τῷ Σιναίῳ ὄρει τῶν θείων Πατέρων μαρτύριον ἀναγράφεται, οὕτω λαμπρῶς τε ἅμα καὶ περιπαθῶς, ὡς ἱκανὸν εἶναι ἐντεῦθεν θηρᾶσαι, οἷος κατ' ἄμφω γέγονεν ὁ ἀνὴρ, ἔν τε λόγων καὶ ἀρετῆς περιουσίᾳ. Ἐκεῖ δὴ καὶ τὰ κατ' αὐτὸν καὶ τοὺς παῖδας μετρίως διέξεισιν, ἐκτραγῳδῶν λίαν περιπαθῶς τὴν αἰχμαλωσίαν αὐτῶν, βαρβάρων καταδραμόντων οἳ Βλέμμυες ἐκαλοῦντο, καὶ φόνον οὐκ ἐλάχιστον δεδρακότων· ὃ καὶ ἥδυσμά τι πνευματικὸν τοῖς φιλομαθέσι καταλέλοιπεν. Ἄριστοι δὲ αὐτῷ καὶ ἕτεροι λόγοι πεπόνηνται, πνευματικῆς οὐκ ἄμοιροι χάριτος· ὧν οἶμαι πάντων τὰ πρῶτα φέρεσθαι, ὃν πρὸς Ἕλληνας ἐπιγράφει, καὶ τὰ πρὸς Εὐλόγιον Κεφάλαια δὲ συντάττει, ἄλλα μὲν εἰς πλάτος ἡπλωμένα, πολλὰ δὲ συντεμὼν, εὐσύνοπτον οἷον καὶ C πρόχειρον τὸν πνευματικὸν καρπὸν, οἷά τι νέκταρ ἢ ἀμβροσίαν, προβάλλεται. Ὃν τέλει βίου χρησάμενον, Ἰουστῖνος ὁ ὕστερος ἐκεῖθεν ἀνακομίσας, ἐπὶ τῷ βάθρῳ τῆς ἱερᾶς τραπέζης τοῦ παρ' αὐτῷ δομηθέντος οἴκου Πέτρῳ καὶ Παύλῳ τοῖς κορυφαίοις τῶν ἀποστόλων τῷ ὀρφανοτροφείῳ κατέθετο. Μάρκος δὲ καὶ αὐτὸς πολλὰ μὲν συγγράμματα καταλέλοιπεν, ἀσκητικῇ πρότερον πολιτείᾳ ἐγγυμνασάμενος· ἃ δ' οὖν ἡμῖν συνέπεσεν ἐντυχεῖν, λόγοι ὀκτὼ, ἰσάριθμοι τοῖς καθολικοῖς πάθεσιν εἰς χεῖρας ἧκον· καὶ ἕτεροι δύο πρὸς τοῖς τριάκοντα, δι' ὧν πᾶσαν ἀσκητικῆς πολιτείας ὁδὸν διεξέρχεται, διδάσκων ἢ χρεών τε τὰς ἀναχωρήσεις ποιεῖν, πῶς τε ῥυθμίζειν τὰ κατὰ Θεὸν διαβήματα· καὶ ὡς περιγίνεται τῆς τῶν δαιμόνων πείρας ὁ ἄνθρωπος· D ὅπως τε ὁ νοῦς καθαίρεται, καὶ πρὸς τὸ ἀρχαῖον ἀξίωμα πρόεισι, καὶ Θεῷ συγγίνεται, ἐπὶ γῆς τὴν οὐράνιον μετιὼν πολιτείαν. Θεοδώρητος δὲ Σύρος μὲν ἦν γένος· τῷ μεγάλῳ δὲ φοιτήσας Ἰωάννῃ τῷ Χρυσοστόμῳ, ἀρχέτυπον οἷον ὅσον τὰ ἐς λόγους ἐγένετο. Εὔρους γάρ ἐστι μάλα καὶ γόνιμος, τήν τε φράσιν λεῖος, μετὰ τῆς Ἀττικῆς χάριτος προηγμέ-

νος. Ἃ δὲ συνεγράψατο, ταῦτά ἐστιν· Ἐξηγήσεις εἰς τὴν παλαιὰν Γραφήν· ἧς καὶ τὰ ἄπορα λύων, εἰς ἴδιον βιβλίον ἐγκαθιστᾷ. Εἰς τοὺς δεκαὲξ Προφήτας ἕτερον τεῦχος ποιεῖ, ὡσαύτως καὶ εἰς τὸν Ψαλτῆρα ἕτερον σύγγραμμα καταλείπει. Καὶ περὶ προνοίας ἕτερον συντάττει βιβλίον· καὶ εἰς τὸν Ἀπόστολον· καὶ κατὰ πασῶν τῶν αἱρέσεων ἕτερον, ὃ *Ψεύδους καὶ ἀληθείας* ἐπιγράφει *διάγνωσιν*. Ἀντιλέγει Κυρίλλῳ ἑτέρῳ συντάγματι κατὰ τῶν ιβ' κεφαλαίων ἐκφωνηθέντι. Ἐπονήθη αὐτῷ καὶ ἕτερα· δύο, ὧν τὸ μὲν *Ἐκκλησιαστικήν*, *Φιλόθεον* δὲ *ἱστορίαν* λέγει τὸ ἕτερον, ἐν ᾧ βίους τῶν τηνικαῦτα ὁσίως βεβιωκότων διέξεισιν. Ὡσαύτως καὶ λόγοις τρισὶ περὶ θείων δογμάτων, οἵπερ αὐτῷ διαλογικῶς συνετάχθησαν. Καὶ ἐπιστολαῖς δὲ τούτου ὑπὲρ πεντακοσίας ἐνέτυχον, ἀρίστως καὶ κατὰ λόγον Ἕλληνα συγκειμέναις. Ἐν τούτοις μὲν καὶ ὁ Θεοδώρητος· οἷα δὲ τούτῳ ξυνέπεσεν, ἡ ἱστορία προϊοῦσα δηλώσει.

compositæ hæ sunt: Enarrationes in Vetus Testamentum, cujus etiam obscurorum locorum expositiones in peculiarem contulit librum. Opus aliud in sedecim prophetas, aliud itidem in Psalterium. De Providentia liber alius. Alius in Apostolum. Adversus hæreses omnes volumen, quod *Mendacii et veritatis discrimen* inscripsit. Liber quem contra duodecim capita Cyrilli conscripsit. Item, *Ecclesiastica historia*. Et rursum Φιλόθεος, hoc est, *Dei amantium Historia*: in qua institutum eorum qui ætate sua vitam sancte transegerunt, persequitur. Libri tres de divinis dogmatibus in dialogo conscripti. Legi præterea supra quingentas ejus epistolas, Græco sermone optime compositas. Hæc de Theodorito. Quæ autem ei acciderint, postea indicabimus.

ΚΕΦΑΛ. ΝΕ'.

Περὶ Συνεσίου τοῦ Κυρήνης ἐπισκόπου, καὶ ὅπως δόξης ἔχων, εἰς τὴν ἱερωσύνην προήχθη.

Ἐπὶ τούτοις δὲ καὶ Συνέσιος, οὗ κλέος ἅπασαν τὴν ὑφήλιον διατρέχει, συνήκμαζεν· ὃς ἦν, εἴπερ τις τῶν κατ' ἐκεῖνο καιροῦ λόγιος. Οὕτω δὲ τῇ Πλατωνικῇ προσεχώρησε φιλοσοφίᾳ, καὶ εἰς τὸν ἀκρότατον ὅρον ἧκεν αὐτῆς, ὡς μὴ μόνον παρ' Ἕλλησι θαυμασθῆναι, ἀλλὰ δὴ καὶ παρὰ Χριστιανοῖς, ὅσοις μὴ προσπαθείᾳ κρίνειν συμβαίνει τὰ πράγματα. Τοιοῦτον δὲ ὄντα καὶ ἄλλως ἥμερον τὸν τρόπον καὶ μέτριον, πείθει τοῦτον Θεόφιλος ὁ τῆς Ἀλεξάνδρου καὶ τῆς σωτηριώδους παλιγγενεσίας ἀξιωθῆναι. Ὡς δὲ τοῦτ' ἔδρασεν, ἔπειτα ἐπειρᾶτο καὶ τὸ τῆς ἱερωσύνης ἐκεῖνον δέξασθαι χρίσμα. Ὁ δ' ἐν τοῖς ἄλλοις, ἃ δοξάζειν θέμις Χριστιανούς, πρόχειρος ἦν. Ἔκ γε μὴν τῶν Πλατωνικῶν δογμάτων παρατρεπόμενος, ἥκιστα τὸν τῆς ἀναστάσεως λόγον προσίετο, ἀπόῤῥητον τὸ τοιοῦτον δόγμα καὶ ἀποτρόπαιον μάλα ἡγούμενος. Ἡ δ' Ἐκκλησία, καὶ οὕτω γνώμης ἔχοντα, ξυνεχώρει τὸ ἱερᾶσθαι· εὐθυβόλως στοχασαμένη, ὡς ταῖς λοιπαῖς τἀνδρὸς ἀρεταῖς μόλις καὶ πρὸς τοῦτο δὴ μαλαχθεὶς κατανεύσει. Μηδὲ γὰρ ἂν τὴν θείαν χάριν οὕτως ἐλλιπῆ γε εἶναι ἀνέξεσθαι, πολλοῖς καὶ μεγάλοις κομῶντα τοῖς προτερήμασι. Καὶ τῆς ἐλπίδος οὐμενοῦν οὐκ ἠστόχησαν· μικρῷ γὰρ ὕστερον καὶ ἔστερξε καὶ ἀνωμολόγησε βεβαίαν εἶναι μάλα καὶ προσήκουσαν τὴν δόξαν ταύτην τῇ Ἐκκλησίᾳ. Ὅσος γὰρ καὶ ὁποῖος γέγονε, τεκμηριοῦσιν αἱ μετὰ τὴν ἱερωσύνην κομψῶς γεγενημέναι τούτῳ ἐπιστολαί, καὶ τἄλλα τῶν συγγραμμάτων, τῷ ἀπαραμίλλῳ τῆς συνθήκης καὶ ἁρμονίας καὶ φράσεως, καὶ τῇ τῶν νοημάτων πυκνότητι, ἐν δευτέρῳ πάντα τιθεῖσαι. Ἃ δ' οὖν καταλέλοιπε, ταῦτά εἰσιν· Ἐπιστολῶν βιβλίον, αἵπερ εἰσὶ πρὸς ταῖς ἑκατὸν καὶ ἑξήκοντα· ὁ περὶ βασιλείας πρὸς Θεοδόσιον ἐκπεφωνημένος τὸν νέον, ἄντικρυς διδασκαλία καὶ τύπος βασιλικῆς ὢν καταστάσεως· ὁ *Περὶ ἐνυπνίων* ἔχων ἐπιγραφήν· ὁ πρὸς Παιόνιον *Περὶ τοῦ δώ-*

CAPUT LV.

De Synesio Cyrenensi episcopo: et quam is opinionem obtinens, ad sacerdotalem provectus sit dignitatem.

Cum his et Synesius, cujus magna toto terrarum orbe gloria est, floruit: qui, si quisquam alius, et ipse ætate ea doctus fuit. Tantum vero operæ navavit philosophiæ Platonicæ, et adeo ad summum ejus pervenit fastigium, ut eum non solum gentiles, verum etiam Christiani sint admirati, qui de rebus nulla affectione infecti sincere judicant. Huic tanto viro, qui præterea placidus et modestus esset, Theophilus Alexandrinus, ut salutarem susciperet regenerationem, persuasit: postea vero etiam, ut idem sacerdos ungeretur, cum eo egit. Atque ille ad alia quæ Christiani profitentur, promptum se et facilem præbuit: **571** Platonicis autem sententiis seductus, resurrectionis doctrinam primum minime recepit, nefandam eam et detestandam esse judicans; et quamvis ea esset opinione, Ecclesia tamen, ut sacerdotii obiret munus, homini permisit. Quæ hoc tum fecit, illa certa conjectura adducta, quod propter reliquas ejus virtutes, eum etiam aliquando tandem flexum resurrectionis professionem comprobaturum, divinamque gratiam rem illi tantam deesse, qui multis magnisque primariis donis eniteret, passuram non esse putaret. Neque illa opinione et spe sua falsa est. Paulo namque post resurrectionem et credidit, et professus est, certam hanc esse, maximeque convenire Ecclesiæ ipsi sententiam. Qualis autem et quantus vir fuerit, testantur quæ ab eo post sacerdotalem susceptam dignitatem perquam eleganter scriptæ sunt epistolæ; et alii insuper libri, qui incomparabili ipsa compositione, dictione et sententiarum frequentia scripta alia omnia longe post se relinquunt. Lucubrationes ab eo editæ hæ sunt: Epistolarum volumen centum et sexaginta. Theodosio juniori de imperio administrando dicatus liber, doctrinam et

formam reipublicæ ab imperatore regendæ complectens. Opusculum *De insomniis*. Ad Pæonium *De dono* liber. De Providentia libri duo, quos *Ægyptios* nominat. Item *Laus calvitii*. Et hymni quidam ad Deum perquam scite ab eo compositi. Cæterum ego, qui veritatem proferre studeo, epistolam ipsius hic apponam, quam ad fratrem Evopium dedit: unde intelligere licet, de quibusnam rebus illi ambigenti, per commodam dispensationem sacerdotii dignitatem suscipere permissum est. Ea est talis: « Inconsideratus sane essem, nisi multam haberem Ptolemaidis civibus gratiam, qui me honore eo, quo meipsum indignum puto, honestum esse volunt. Verum non an illi magna tribuant, sed potius an ea a me recipienda sint, spectare convenit. Quod si enim homo divino prope fruatur honore, siquidem justus sit, dulcissimum percipit fructum: sin dignitate ea longe sit indignior, acerbam futuri sustinet exspectationem. Porro non novus hic, sed vetustus admodum est metus, ne quid in Deum committens, honorem ab hominibus commissum feram. Ego sane qui meipsum novi, ineptiorem omnino comperio, quam ut sacerdotali dignitati gerendæ idoneus sim. **572** Proinde apud te de animi mei motibus et cogitationibus agam. Non enim alium habeo, apud quem id rectius faciam, quam te, percharum mihi mecumque educatum caput. Te namque æquum est participem esse curarum mearum, ac noctu vigilantem deliberare, et interdiu cogitantem considerare, ut et boni mihi aliquid contingat, et mali quid, iam effugiam. Accipe igitur quo loco res meæ sint, quæ tibi etiam majore ex parte, opinor, cognitæ sunt. Fasce exiguo sublato, pulchre mihi videor hucusque philosophiam ipsam pertulisse. Cum vero ab hominibus non prorsus perperam in ea versatus esse censear, laudatum a quibusdam, ampliore nunc honore me ornatum esse volunt, qui de idoneis animi mei viribus judicare non possunt. Vereor autem ne si per ineptam ambitionem dignitatem oblatam recipiam, neutrum consequar: videlicet neque laudem ex honore contempto, neque gloriam ex dignitate minus recte gesta. Rem ipsam sic mecum considera. Rebus duabus semper tempus omne tribuo, studiis et ludo. Litteris vacans, et præcipue divinis, solus sum. Ludo operam dans, quam plurimos admitto. Nosti enim, cum a libris exsurgo, totum me in ludis esse, a civilibus autem curis et natura et animi destinatione abhorrere. Sacerdotem autem oportet esse virum divinum, et ad ludum omnem perinde atque Deum difficilem et durum, qui ut propositum institutumque suum teneat, innumeros in se plurimorum conversos habet oculos. Ad quos nulla ut certe parva pervenit utilitas, nisi aliquis probe instructus et cordatus sit, et a suavitate animi omni alienus. In iis autem quæ ad Deum pertinent, non privatim solus esse potest, sed in communi conventu inter plurimos versatur, cum legis

A ρου· οἱ δύο περὶ προνοίας, οὓς *Αἰγυπτίους* καλεῖ· καὶ ὃν ἐπιγράφει *Φαλάκρας ἐγκώμιον*· καί τινες πρὸς Θεὸν ὕμνοι εὐτόνως τούτῳ πεποιημένοι. Ἐγὼ δὲ τἀληθὲς ἀεὶ πρυτανεύων, καὶ αὐτὴν ἐκείνην αὐτοῦ τὴν ἐπιστολὴν παραθήσομαι, ἣν πρὸς Εὐόπιον γράφει τὸν ἀδελφὸν, τίνα ζητῶν ἐξεχωρήθη κατ' οἰκονομίαν τὴν ἱερωσύνην λαβεῖν. Ἔστι δὲ αὕτη· « Ἀνόητος ἂν εἴην, εἰ μὴ πολλὴν χάριν εἰδείην Πτολεμαίοις, ὅτι με τοσούτων ἀξιοῦσιν ὅσον οὐδ' ἂν αὐτὸς ἐμαυτόν. Ἀλλ' οὐχ εἰ μεγάλα χαρίζονται, τοῦτο προσήκει σκοπεῖν· ἀλλ' εἰ λαβεῖν ἐμοὶ δυνατά· τὸ γὰρ ἄνθρωπον ὄντα μικροῦ θείας καρποῦσθαι τιμὰς, δικαίῳ μὲν ὄντι τυγχάνειν, ἥδιστον εἰς ἀπόλαυσιν ἔρχεται, λειπομένῳ δὲ παραπολὺ τῆς ἀξίας, ἐλπίδα πικρὰν ὑποτείνει τοῦ μέλλοντος· οὐ γὰρ νεώτερόν B ἐστι τὸ δέος, ἀλλὰ λίαν ἀρχαῖον· τὸ μή τι περὶ Θεὸν ἀμπλακὼν, τιμὰς πρὸς ἀνθρώπων ἐφεύρω. Ἐγὼ δὲ καταμανθάνων ἐμαυτὸν, εὑρίσκω παντάπασιν ἐνδεέστερον, ἢ ὡς ἁρμόσαι τῇ τῆς ἱερωσύνης σεμνότητι. Καὶ δῆτα διαλέξομαι πρός σε περὶ τῶν τῆς ἐμαυτοῦ ψυχῆς κινημάτων· οὐ γὰρ ἔχω πρὸς ὅντινα ἄλλον ἀντὶ τῆς σῆς φίλης καὶ συντρόφου μοι κεφαλῆς. Σὲ γὰρ εἰκὸς καὶ μετέχειν μοι τῶν ἴσων φροντίδων· καὶ νύκτωρ ἀγρυπνεῖν, καὶ μεθημέραν σκοπεῖν, ὅπως ἂν ἀγαθόν τί μοι γένοιτο, καὶ ὅπως ἂν κακόν τι διαφύγοιμι. Ἄκουε τοίνυν ὡς ἔχει τἀμά· τὰ πλείω δ' ἂν αὐτῶν καὶ εἰδείης. Μικρὸν ἀράμενος φορτίον, καλῶς ἐνεγκεῖν μοι δοκῶ τὸ μέχρι τοῦδε φιλοσοφίαν. Διὰ δὲ τὸ δόξαι μὴ παντάπασιν αὐτοῖς ἁμαρτάνειν, ἐπαινεθεὶς ὑπ' ἐνίων, ἀξιοῦ- C μαι μειζόνων παρὰ τῶν οὐκ εἰδότων κρῖναι ψυχῆς ἐπιτηδειότητα. Φοβοῦμαι δὲ, μὴ χαῦνος γενόμενος καὶ προσέμενος τὴν τιμὴν, ἀμφοῖν διαμάρτω· τοῦ μὲν ὑπεριδὼν, τοῦ δὲ τῆς ἀξίας οὐκ ἐφικόμενος· σκόπει γὰρ οὕτω. Δύο τούτοις ἑκάστοτε μερίζω τὸν χρόνον, παιδιᾷ καὶ σπουδῇ. Καὶ σπουδάζων, ἴδιός εἰμι, μάλιστά γε τὰ θεῖα· καὶ παίζων, κοινότατος. Οἶσθα γὰρ ὡς ὅταν ἀνακύψω τῶν βιβλίων, ἐπιῤῥεπὴς εἰμι πρὸς ἅπασαν παιδιὰν, πολιτικῆς δὲ φροντίδος ἀμοιρῶ καὶ φύσει καὶ μελέτῃ. Τὸν δὲ ἱερέα ἄνδρα δεῖ θεσπέσιον εἶναι, πρὸς μὲν παιδιὰν ἅπασαν, ἴσα καὶ Θεῷ ἀμείλικτον εἶναι χρὴ, ὃς ἵνα τηρῇ τὴν ὑπόθεσιν ὑπὸ μυρίων ὀμμάτων φρουρεῖται· ὧν οὐδὲν ἢ μικρὸν ὄφελος, εἰ μή τις εἴη κατεσκευα- D σμένος, σύννους τε καὶ πρὸς ἅπασαν γλυκυθυμίαν ἀνένδοτος. Τὰ δέ γε πρὸς τὸν Θεὸν οὐκ ἂν ἴδιος, ἀλλὰ κοινότατος εἴη νομοδιδάσκαλος ὤν, καὶ νενομισμένα φθεγγόμενος. Χρὴ δὲ αὐτὸν καὶ πράγματα πράττειν ὁπόσα πάντες ἅμα. Τὰ γὰρ ἁπάντων μόνον δεῖ πράττειν, ἢ πάσαις αἰτίαις ἐνέχεσθαι. Πῶς οὖν οὐκ εὐμεγέθους ψυχῆς καὶ κρατίστης ἐνέγκαι τοσοῦτον ὄγκον φροντίδων, καὶ μὴ κατακλύσαι τὸν νοῦν, καὶ μὴ κατασβεσθεῖσαν ἐν τῇ ψυχῇ περιιδεῖν τὴν θείαν, οὕτω παντοδαπῶν ἐπιτηδευμάτων ἀπαγόντων αὐτόν; Εὖ οἶδ' ὅτι δυνατὸν ἐνίοις τοῦτο, καὶ μακαρίζω τὰς φύσεις αὐτῶν· κἀκείνους ἀληθῶς εἶναι ἡγοῦμαι τοὺς θείους ἄνδρας, οὓς τὸ ὁμιλεῖν πάνυ πράγμασιν ἀνθρωπίνοις μὴ ἀποκόπτοι τοῦ Θείου. Ἀλλὰ καὶ ἐμαυτὸν οἶδα εἰς ἄστυ τε κατιόντα, καὶ ἐπ' ἄστεος

ἀνιόντα, καὶ ἐνειλούμενον τοῖς πρὸς τὰ γεώδη με ἕλκουσιν, καὶ ἐμπιπλάμενον κηλίδος οὐκ ἂν εἴποι τις ὅσης· τῷ γὰρ οἰκείους εἶναί μοι καὶ μάλα μολυσμοὺς, καὶ τὸ τυχὸν μέρος ἐπιγενόμενον, εἰς προσθήκην συμβάλλεται. Ῥώμη δ' οὐκ ἔστι μοι, τά τε ἔνδον οὐχ ὑγιῆ, καὶ τὰ πρὸς ἐκτὸς ἀρκεῖν οὐχ οἷός τέ εἰμι· καὶ πολλοῦ δέω τὴν ἐκ τοῦ συνειδότος φέρειν ἀνίαν. Καὶ ὁσάκις ἄν μέ τις ἔρηται, διαῤῥήδην λέγειν οὐκ ἀναδύομαι, ὡς τὸν ἱερέα διὰ πάντων ἀκηλίδωτον εἶναι προσήκει πολλῷ τῷ περιόντι, ὡς καὶ ἑτέροις τῶν μιασμάτων ἐκπλύνοντα κἀκεῖνο δεῖ προσεῖναι τοῖς πρὸς τὸν ἀδελφὸν γράμμασι. Πάντως δὲ ἀναγνώσονται συχνοὶ τὴν ἐπιστολήν. Καὶ γὰρ οὐχ ἥκιστα τούτου χάριν αὐτὴν ὑπηγόρευσα τοῦ πᾶσι καταφανὲς εἶναι τὸ πρᾶγμα, ἵν' ὅ τι ἂν ἀποβῇ καὶ πρὸς Θεοῦ καὶ ἀνθρώπων, ἀναίτιος ὦ, καὶ ἥκιστα πρὸς τοῦ πατρὸς Θεοφίλου. Τιθεὶς γὰρ ἐν μέσῳ τἀμὰ, καὶ διδοὺς ἐξ ἁπάντων αὐτῷ βουλεύσασθαι περὶ ἡμῶν, πῶς ἂν ὑπαίτιος εἴην; Ἐμοὶ τοιγαροῦν ὅ τε Θεὸς, καὶ ὁ νόμος, ἥ τε ἱερὰ Θεοφίλου χεὶρ γυναῖκα ἐπέδωκε. Προαγορεύω τοίνυν ἅπασι καὶ μαρτύρομαι, ὡς ἔγωγε ταύτης οὔτε ἀλλοτριώσομαι καθάπαξ, οὔθ' ὡς μοιχὸς αὐτῇ λάθρα συνέσομαι· τὸ μὲν γὰρ ἥκιστα εὐσεβὲς, τὸ δὲ ἥκιστα νόμιμον. Ἀλλὰ βουλήσομαί τε καὶ εὔξομαι, συχνά μοι πάνυ καὶ χρηστὰ γενέσθαι παιδία. Ἓν δὴ τοῦτο δεῖ τὸν κύριον τῆς χειροτονίας μὴ ἀγνοῆσαι. Μαθέτω δὲ αὐτὸ παρὰ τῶν ἀμφὶ τὸν ἑταῖρον Παῦλον καὶ Διονύσιον· οὓς πρεσβευτὰς ᾑρῆσθαι παρὰ τοῦ δήμου πυνθάνομαι. Ἐκεῖνο δὲ οὐδὲν δεῖ μαθεῖν αὐτὸν, ἀλλ' ὑπομνησθῆναι. Διαλέξομαι δὲ πλείω περὶ αὐτοῦ. Καὶ γὰρ ἂν ἅπαντα τἄλλα μικρὰ πρὸς ἕν τις τοῦτο θεῖτο, χαλεπόν ἐστιν, εἰ μὴ καὶ λίαν ἀδύνατον, εἰς ψυχὴν τὰ δι' ἐπιστήμης εἰς ἀπόδειξιν ἐλθόντα δόγματα σαλευθῆναι. Οἶσθα δ' ὅτι πολλὰ φιλοσοφία τοῖς θρυλλουμένοις τούτοις ἀντιτάττεται δόγμασιν. Ἀμέλει καὶ τὴν ψυχὴν οὐκ ἀξιώσω ποτὲ σώματος ὑστερογενῆ νομίζειν. Τὸν κόσμον οὐ φήσω καὶ τἄλλα μέρη διαφθείρεσθαι. Τὴν καθωμιλημένην ἀνάστασιν ἱερόν τι καὶ ἀπόῤῥητον ἥγημαι· καὶ πολλοῦ δέω ταῖς τοῦ πλήθους ὑπολήψεσιν ὁμολογῆσαι. Νοῦς μὲν οὖν φιλόσοφος, ἐπόπτης ὢν τἀληθοῦς, συγχωρεῖ τῇ χρείᾳ τοῦ ψεύδεσθαι· ἀνάλογον γάρ ἐστι φῶς πρὸς ἀλήθειαν, καὶ ὄμμα πρὸς δῆμον. Ἡ οὖν ὀφθαλμὸς εἰς κακὸν ἂν ἀπολαύσειεν ἀπλήστου φωτὸς, ᾗ ἢ τοῖς ὀφθαλμιῶσι τὸ σκότος ὠφελιμώτερον, ταύτῃ καὶ τὸ ψεῦδος ὄφελος τίθεμαι δήμῳ· καὶ βλαβερὸν τὴν ἀλήθειαν τοῖς οὐκ ἰσχύουσιν ἐνατενίσαι πρὸς τὴν τῶν ὄντων ἐνάργειαν. Εἰ ταῦτα καὶ οἱ τῆς καθ' ἡμᾶς ἱερωσύνης συγχωροῦσιν ἐμοὶ, δυναίμην ἂν ἱερᾶσθαι, τὰ μὲν οἴκοι φιλοσοφῶν, τὰ δ' ἔξω φιλομυθῶν· εἰ μὴ διδάσκων, ἀλλ' οὐδὲ μέντοι μεταδιδάσκων· μένειν δ' ἐῶν ἐπὶ τῆς προλήψεως. Εἰ δέ φασιν οὕτω δεῖν καὶ κινεῖσθαι καὶ δῆμον εἶναι τὸν ἱερέα ταῖς δόξαις, οὐκ ἂν φθάνοιμι φανερὸν ἅπασι καθιστάς· δήμῳ γὰρ δὴ καὶ φιλοσοφίᾳ τί πρὸς ἄλληλα; Τὴν μὲν ἀλήθειαν ἀπόῤῥητον τῶν θείων εἶναι δεῖ· τὸ δὲ πλῆθος, ἑτέρας ἕξεως δεῖται. Αὖθις δὲ καὶ πολλάκις ἐρῶ· μηδεμιᾶς

A doctor sit, et nihil aliud quam quod legitimum sit, sonet. Negotia eum gerere oportet, quæ simul omnes tangunt. Quæ enim communia omnium sunt, unum ipsum curare opus est, nisi criminibus omnibus obnoxius esse velit. Quomodo igitur non maximi fortissimique animi sit, tantam curarum molem ita ferre, ut mens non obruatur, et exstincta in anima particula divina non negligatur, si quis tot studiis et actionibus variis distineatur? Neque ignoro esse quosdam, qui hoc præstare possint: et felicem eorum naturam atque beatam, ipsosque vere divinos viros esse censeo, qui cum in multis humanis versentur negotiis, non tamen divini Numinis cura excidant. Ego vero meipsum qui in urbem descendere et ab urbe ascendere B soleam, **573** rebus involutum quæ ad terrenas curas trahunt, atque inquinationibus repletum esse, quarum non facile quisquam magnitudinem dixerit, scio. Nam quæ ad nativa et propria aliunde adveniunt piacula, in accessionis rationem conferuntur. Corporis robur mihi non est, interiora mea non recte se habent. Ab externis etiam aliqua ex parte destituor: tum autem conscientiæ mœrorem ferre nequeo. Et quotiescunque me quispiam rogat, disertis verbis statim dico, sacerdotem in rebus omnibus maxime a probris debere esse alienum, multum ut ei supersit, quippe qui aliorum quoque sordes expiet. Verum enimvero illud quoque litteris ad fratrem datis inserere convenit. Permulti enim epistolam hanc legent, et ea gratia C illam potissimum dictavi, ut cum res ipsa nota omnibus fiat, tum utcunque ea procedat, et apud Deum et apud homines, nec minus apud ipsum patrem Theophilum culpa caream. Siquidem cum res meas in medium protulerim, et potestati ejus quidquid velit de me statuendi permiserim, quomodo crimini alicui obnoxius sim? Mihi et Deus ipse, et leges, ipsaque sacra Theophili manus uxorem dedit. Quapropter omnibus prædico, testatumque esse volo, me illam prorsus deserturum non esse, neque cum illa veluti mœchum clandestinam consuetudinem habiturum. Alterum enim minime pium, alterum minime legitimum est. Quin potius et volo et opto, plures mihi et probos nasci D liberos. Hoc ipsum ordinationis auctorem et principem ignorare non oportet. Sciant id amici etiam nostri Paulus et Dionysius, quos legatos hanc ob causam a populo lectos esse audio. Illam vero rem Theophilo non significari, sed in memoriam tantum revocari opus est. De ea autem pluribus dicam, cum qua quidem una quisquam alia omnia collata parva esse judicet. Difficile est, atque adeo fieri omnino non potest, ut animus dogmata, quæ per eruditionem et scientiam in certam necessariamque persuasionem evaserint, fluctuare et in dubium vocari sinat. Nosti porro, philosophiam admodum divulgatis istis Christianorum adversari opinionibus. Itaque haud unquam adducar, ut posterius animam quam corpus gigni

credam, neque mundum ipsum et partes ejus alias interituras esse dicam. Resurrectionem deprædicatam sacrum quiddam et minime vulgandum esse duco, neque conceptis vulgi opinionibus assentiri possum. **574** Mens philosophia exculta verum perspicit. Ea necessitate adducta, mendacium permittit. Et habet rationem seu proportionem suam lumen ad veritatem et oculus ad populum. Quatenus ergo oculus lumine copiosiore in deterius abutatur, aut lippis tenebræ commodiores sint, hactenus mendacium quoque populo utile esse, et veritatem noxiam eis puto, qui aciem mentis in evidentem rerum claritatem intendere nequeunt. Quod si sacerdotes nostri hæc mihi permittunt, potero sane ego quoque sacerdotis munere fungi, qui domi quidem philosophiæ incumbo, in publicum autem progressus sermonibus et colloquiis hominum delector, ac neque docens neque dedocens, sed in anticipata opinione quemque persistere permittens. Sin illi sacerdotem ita animatum et opinionibus manifestum esse oportere dicant, omnibus me palam ostendere intermiserim. Quid enim rei est populo cum philosophia? Rerum quippe divinarum veritatem minime vulgari oportet. Populus autem more et assuetudine alia indiget. Rursum igitur et sæpius repetens dicam, nulla cogente necessitate, neque arguere neque argui sapientis esse. In sacerdotum autem ordinem cooptatus, non committam ut dogmata præter animi sententiam assimulem. De his Deum, de his homines testes invoco. Veritas Dei propria est, apud quem in rebus omnibus inculpatus esse volo. Hoc unum tantum non dissimulo. Quandoquidem joci et ludorum studiosus sum: ita ut jam inde a puero crimen illud sustinuerim, plus quam deceret, armis me et equis delectatum esse, tristis quidem ero. Quid enim cum charissimos canes feras nullas persequi, et sagittas a teredinibus exesas esse videro, faciam aliud? Sed tamen constantiam, si Deus voluerit, obtinebo: atque, quamvis a curis alienus, macerabor, causarumque et negotiorum quantumvis grave ministerium hoc, Deo serviens, sustinebo. Dogmata autem per dissimulationem non tegam, neque mihi mens a lingua dissentiet. Hoc sic cum et sentiam et dicam, Deo placere puto: neque sermonis illius de me occasionem relinquere volo me quod qui fuerim ignoratus sim, ordinationis suffragia rapuisse. Cæterum Dei amantissimus pater Theophilus, cum me norit, postquam mihi se id scire significaverit: sic tandem de me consilium, quid statuat, capiat. Tum enim aut in instituto meo vivere me et philosophari patietur, aut postea ut me in judicium vocet, vel sacerdotum ordine moveat, **575** sibi ipsi potestatem non relinquet. Aliæ insuper opiniones et sententiæ omnes nugæ fuerint. Veritatem enim satis scio Deo esse gratissimam. Sed enim sacrum caput tuum, atque in primis veritatis tutorem et inspectorem Deum testor, ægre mihi esse. Quomodo enim non sit, cum quodammodo ex vita solita in vitam aliam transeundum mihi sit? Quod si rebus his in publicum prolatis (latere enim eas et premi nolo) is cui potestatem hanc concessit Deus, in ordinem sacerdotum me legerit, subibo eam necessitatem, et veluti tesseram divinitus oblatam suscipiam. Sic enim existimo, si vel imperatore, vel infelici Deoque inviso Augustali quopiam jubente, imperata non facerem, inobedienti e pœnas me datu-

A ἀνάγκης παρούσης, οὔτ' ἐλέγχειν σοφὸν οὔτ' ἐλέγχεσθαι. Καλούμενος δ' εἰς ἱερωσύνην, οὐκ ἀξιῶ προσποιεῖσθαι δόγματα. Ταῦτα Θεὸν, ταῦτα ἀνθρώπους μαρτύρομαι. Οἰκεῖον ἀλήθεια Θεῷ, ᾧ διὰ πάντων ἀναίτιος εἶναι βούλομαι. Ἓν τοῦτο μόνον οὐχ ὑποκρίνομαι· ἐπεὶ καὶ φιλοπαίγμων ὢν, ὥς γε παιδόθεν αἰτίαν ἔσχον ὁπλομανεῖν τε καὶ ἱππομανεῖν πέρα τοῦ δέοντος, ἀνιάσομαι μέν· τί γὰρ καὶ πάθω τὰς φιλτάτας κύνας ἀθήρους ὁρῶν, καὶ τὰ τόξα θριπηδέστατα; Καρτερήσω δὲ, ἂν ἐπιτάττῃ Θεός· καὶ μισόφροντις ὤν, ὀδυνήσομαι μὲν, ἀνέξομαι δὲ δικιδίων καὶ πραγμάτων λειτουργίαν τινὰ ταύτην εἰ καὶ βαρεῖαν ἐμπιπλὰς τῷ Θεῷ. Δόγματα δὲ οὐκ ἐπηλυγάσομαι· οὐδὲ στασιάσει μοι πρὸς τὴν γλῶσσαν ἡ γνώμη. Οὕτω φρονῶν, οὕτω λέγων, ἀρέσκειν
B οἶμαι Θεῷ. Οὐ βούλομαι δὲ καταλελεῖφθαι περὶ ἐμοῦ λόγον, ὡς ἀγνοηθεὶς ἥρπασα τὴν χειροτονίαν. Ἀλλ' εἰδὼς ὁ θεοφιλέστατος πατὴρ Θεόφιλος, καὶ ὡς ἐπίσταται σαφές μοι ποιήσας, οὕτω βουλευσάσθω περὶ ἐμοῦ. Ἢ γὰρ κατὰ χώραν ἐάσει με ἐπ' ἐμαυτοῦ φιλοσοφοῦντα, ἢ τοῦ μετὰ ταῦτα κρίνειν καὶ διαγράφειν τοῦ χοροῦ τῶν ἱερέων ἡμᾶς, ἑαυτῷ χώραν οὐχ ὑπολείψει. Πρὸς ταῦτα λῆρός ἐστιν ἅπασα γνώμη· τὸ γὰρ ἀληθὲς εὖ οἶδ' ὅτι τῷ Θεῷ προσφιλέστατον. Καὶ νὴ τὴν ἱεράν σου κεφαλὴν, καὶ ἔτι πρὸ ταύτης νὴ τὸν ἔφορον τῆς ἀληθείας Θεὸν, ἄχθομαι μὲν, πῶς γὰρ οὐ μέλλω, δεῆσαν ὥσπερ εἰς βίον ἀπὸ βίου μετασκευάζεσθαι; Εἰ δὲ τούτων φανερῶν γενομένων, ἅπερ οὐκ ἀξιῶ λανθάνειν ἐγκρί-
C νειεν ἡμᾶς ἱερεῦσιν ᾧ τοῦτο δέδωκεν ὁ Θεὸς, ὑποδύσομαι τὴν ἀνάγκην, καὶ ὡς θεῖον σύνθημα καταδέξομαι. Λογίζομαι γὰρ ὅτι καὶ βασιλέως ἂν ἐπιτάξαντος, καὶ κακοδαίμονός τινος Αὐγουσταλίου δίκην ἂν ἔδωκα μὴ πειθόμενος. Τῷ Θεῷ δ' ἐθελοντὴν δεῖ πείθεσθαι. Εἰ δὴ προσίεταί με λειτουργεῖν ὁ Θεὸς, ἐκ προοιμίων δεῖ τὸ θειότατον ἀγαπᾷν τὴν ἀλήθειαν· ἀλλὰ μὴ διὰ τῶν ἐναντιωτάτων ὁποῖόν ἐστι τὸ ψεῦδος, εἰς τὴν ὑπηρεσίαν αὐτοῦ παραδύεσθαι. Γενοῦ δὴ τοῦ τοὺς σχολαστικοὺς εἰδέναι τε ταῦτα, καὶ πρὸς ἐκεῖνον ἐξαγγεῖλαι. » Ὁ μὲν οὖν τοιαῦτα λέγων καὶ ἐμφανῶς παραιτούμενος οὐδ' οὕτω διέδρα τὸ ἱερᾶσθαι· ταῦτα δ' ἐγὼ παρεθέμην, ἵν' εἰδέναι ἔχοιμεν ὅσα λόγοις οἰκονομίας διαφόρως ἡ Ἐκκλησία ἐτέλεσεν, οὐ νόμοις ταῦτα τιθεῖσα, ἀλλὰ τοῖς και-
D ροῖς τὰ προσήκοντα πράττουσα. Τοιαῦτα καὶ τὰ κατὰ τὸν πολὺν ἐν φιλοσοφίᾳ Συνέσιον. Πολλοὶ δὲ καὶ ἕτεροι τηνικαῦτα ἐφιλοσόφουν λόγῳ καὶ ἀρετῇ διαπρέποντες· ὧν πρὸς λεπτὸν μνείαν ἐποιησάμην, εἰ μὴ πόῤῥω τοῦ προκειμένου βαίνειν ἐλογιζόμην.

rum esse : Deo autem ipsi volentes nos parere convenit. Sin me ad sacrum obeundum ministerium non admittit Deus, ab ipso statim initio in me rem divinissimam veritatem ipsam complecti· neque per id quod illi maxime repugnat, mendacium scilicet, functionem ipsius suscipere decet. Fac igitur ut scholastici hæc sciant, et ad illum referant. » Synesius quidem hæc scribens, aperte sacerdotalem dignitatem aversatus est, sed tamen sacrum munus non effugit. Hæc ego eo consilio hic adjeci, ut scire possimus quæ varie per dispensationis rationem Ecclesia egerit, non illa leges certas statuens, sed prout tempus ferret, quæ decerent et commoda essent faciens. Hæc de eximio philosopho Synesio. Multi vero præterea alii tum philosophati sunt, doctrina simul et virtute celebres : quorum omnium mentionem facerem, nisi me longe ab instituto digressurum esse scirem.

ΚΕΦΑΛ. ΝϚʹ.

A

Περὶ Οὐαλεντινιανοῦ τοῦ ἐν Ῥώμῃ βασιλεύοντος· καὶ περὶ τοῦ ἔθνους τῶν Γότθων, εἰς πόσα διῄρηνται, καὶ ποίους ἔσχον τόπους· ἔτι δὲ καὶ περὶ Βονιφατίου καὶ Ἀετίου καὶ Ἄσπαρος τῶν στρατηγῶν· καὶ ὡς ἡ πρὸς ἑσπέραν Λιβύη ὑπὸ Οὐανδήλους ἐγένετο.

Οὐαλεντινιανὸς δὲ ὁ Πλακιδίας μὲν υἱὸς, Θεοδοσίου δὲ γαμβρὸς ἐπὶ τῇ θυγατρὶ Εὐδοξίᾳ, ἣν αὐτῷ Εὐδοκία ἐγέννα, καὶ τῆς ἑσπερίου λήξεως αὐτοκράτωρ, οὐδαμῇ μὲν τῶν Ἐκκλησίας ὑγιῶν δογμάτων ἐξέκλινε, λίαν δὲ καὶ τῆς εὐσεβοῦς θρησκείας ἀντεποιεῖτο. Ἐπὶ μέντοι τὴν δίαιταν πολλῇ τῇ ἀδιαφορίᾳ ἐχρῆτο· συχνῶς γὰρ γόησιν ὁμιλῶν, φαρμακείαις ἔχαιρε. Καὶ δῆθ' ὑπὸ τοιούτων καὶ ἑτέρων παθῶν ὀχλούμενος, οὐ μόνον Βρετταννίαν, Ἱσπανίαν τε ἅμα καὶ Γαλλίας τῆς ἀρχῆς πρὸ βραχέος ἀφαιρεθείσας ἀνασώσασθαι ἴσχυσεν· ἀλλὰ πρὸς ταύταις καὶ τὴν ἑσπερίαν πᾶσαν Λιβύην, ἣ δὴ τῶν Ἄφρων καλεῖται, προσαπώλεσεν, ἔτει πεντεκαιδεκάτῳ τῆς ἐκείνου ἀρχῆς, αἰτίας ἡγησαμένης τοιᾶσδε. Στρατηγὼ δύο ἤστην ἐν Κωνσταντινουπόλει· Βονιφάτιος καὶ Ἀέτιος τούτοις ἡ κλῆσις· οὓς Θεοδόσιος βασιλεὺς Οὐαλεντινιανῷ αἰτησαμένῳ εἰς Ῥώμην ἀπέστειλεν. Ἐπεὶ δὲ Βονιφατίῳ εἰς ἀρχὴν ἡ πρὸς ἑσπέραν ἐκληροῦτο Λιβύη, μετρίως ἐνεγκεῖν τοῦτ' Ἀέτιος οὐχ οἷός τε ἦν. Κέντροις τοίνυν φθόνου βληθεὶς, διαβολὴν ἐκείνῳ συνέῤῥαπτεν, ὡς εἴη ἀνταρσίαν μὲν μελετῶν, οὐκ ἀγαθὰ δὲ καὶ τοῖς κρατοῦσι διανοούμενος. Καὶ ταῦτα μὲν τῇ τοῦ βασιλέως μητρὶ Πλακιδίᾳ κρύφα εἰσῆγε, καὶ τῆς ἀρχῆς ἐκεῖνον μεθιστᾷν συνεβούλευεν· ἐκείνῳ δ' αὖθις ἕτερα γράφων εἰσηγεῖτο, μηδαμῶς ἑλέσθαι ὀπίσω ἐλθεῖν, εἴγε δόξει τοῖς κρατοῦσιν αὐτὸν μεταστέλλεσθαι· διαβληθῆναι γὰρ, καὶ πανουργίᾳ τῶν κρατούντων ἀνάγκην εἶναι διαφθαρῆναι. Ἃ δὴ γράμματα εἰς χεῖρας λαβὼν Βονιφάτιος, καὶ οἷα παρ' ἀνδρὸς φίλου τε καὶ γνησίως μάλα ἔχοντος πιστεύσας αὐτοῖς, οὐδαμῶς ὑπήκουε τῆς ἀρχῆς ἀποστῆναι, καίπερ πολλάκις ὑπὸ τοῦ βασιλέως μεταστελλόμενος. Ἐντεῦθεν οἱ βασιλεῖς οἷα πιστῷ καὶ εὔνῳ τὰ μάλιστα Ἀετίῳ προσεῖχον, ἐκ πολλοῦ τὴν ἐκείνου δυσμένειαν προμηνύσαντι, καὶ δὴ σὺν ἐκείνῳ τὴν κατὰ Βονιφατίου ὅπως ἀποβαίη συσκευὴν ὕφαινον. Τηνικαῦτα δὲ πολλά τε καὶ μέγιστα Γοτθικὰ ἔθνη κατὰ τὸ πέραν τοῦ Ἴστρου ἀνὰ τὰ ὑπερβόρεα μέρη πανταχοῦ διεσκέδαστο· ὧν τὰ μάλιστα παρ' ἐκείνοις λόγου πολλοῦ ἄξια τέσσαρά εἰσι, ταύταις ὠνομασμένα ταῖς

CAPUT LVI.

De Valentiniano, qui Romæ imperavit. De gente Gotthorum : in quas nationes divisa, et quæ tenuerint loca. Præterea de Bonifacio, Aetio et Aspare ducibus : et ut Libya occidentalis Vandalis subdita fuerit.

Porro Valentinianus Placidiæ filius et Theodosii gener (nam Eudoxiam filiam ejus, quam ei Eudocia genuerat, in matrimonio habuit), Occidentalis imperii habenas obtinens, haudquaquam a sanis Ecclesiæ dogmatibus descivit, verioris pietatis atque religionis acer sectator. Quod autem in consuetudine et vita quotidiana nullum certum servaret modum, multisque uteretur impostoribus, B atque incantationibus gauderet, et aliis ejuscemodi vitiis transversim ageretur, **576** non solum Britanniam, Hispaniam et Gallias, quæ imperio ejus ademptæ fuerant, recuperare non potuit, sed Libyam etiam omnem et Africam perdidit, quindecimo imperii sui anno, ob causam hujusmodi. Duo belli duces Constantinopoli fuerunt, Bonifacius et Aetius, quos Theodosius imperator ad Valentinianum, qui hoc petierat, misit. Cum autem Bonifacio Occidentalis Libya provincia obtigisset, Aetius id æquo animo ferre non potuit : sed invidiæ stimulis actus, calumniam adversus eum concinnavit, ad rebellionem eum spectare, imperatoribusque parum fidum esse, criminatus. Hoc sic clam apud imperatoris matrem Placidiam, C ut provincia ei adimeretur suadens, egit. Atque interim etiam longe alia ad illum scripsit : videlicet ne provincia, si principes eum revocarent, decederet. Delatum enim cum apud illos esse, necessitatemque illi eam incumbere, ut fraude eorum pereundum sibi esset, affirmavit. Litteris talibus Bonifacius acceptis, Aetio, quem sibi verum et fidum amicum esse putabat, credidit : et quamvis sæpius ab imperatore revocatus, haudquaquam tamen ut provinciam relinqueret, jussionibus ejus paruit. Quapropter principes Aetio, tanquam homini fido et benevolo, qui dudum hostilem illius animum indicasset, faverunt, et cum eo contra Bonifacium dolum texuere. Ea tempestate plurimæ maximæque Gotthicæ gentes in D septentrionali parte ad Istrum passim dispersæ erant. Inter quas præcipuæ quatuor judicio ipsorum celebres fuere. Gotthi scilicet, Vissegotthi,

Gepides et Vandali, non alia re quam nominibus solis inter se dissidentes. Omnes enim lingua una et eodem vivendi instituto utebantur, detestandam Arii doctrinam sequentes, sicuti in historia Valentis commemoravimus. Hi Honorio et Arcadio imperantibus Danubium transgressi, in finibus Romani Orientalis imperii consederunt. Gepides quidem, qui in duos populos divisi sunt, Longobardos et Abares, oram eam quæ ad Singidonem et Sirmium est, incoluere: **577** Vissegotthi autem Alaricho, de quo supra diximus, duce, Romam et Italiam populati, atque in Galliam inde profecti, cum omnia isthic in potestatem suam redegerunt, tum Constantinum Britanniæ tyrannum occiderunt. Porro Gotthi, qui antea Pannoniam eique circumquaque vicina loca occupaverant, Theodosii junioris decimum nonum annum imperantis permissu, in finitima Thraciæ regione habitarunt. Atque ubi isthic annos quinquaginta octo transegere, Zenone Romanum imperium administrante, atque jubente, Theuderichi principis eorum ductu inde transeuntes, Occidentale occuparunt imperium. Vandali vero Alanis sibi et Germanis, qui nunc Franci dicuntur, conjunctis, Gongidisclum (1) ducentem habentes, amnem Rhenum transierunt, atque in Hispania sedes fixerunt: quæ prima ab Hesperio Oceano Europæ regio est. Bonifacius igitur jam memoratus, Occidentalem Libyam obtinens, ubi quæ contra eum struerentur intellexit, profectus inde fretum trajecit, atque in Hispania cum Vandalis fuit: et quod Gongidisclus vita defunctus fuerat, filios ejus Gontarem et Gensericum (2), qui paternum regnum administrabant, ut communiter secum bellum gererent, hortatus est: occidentalem Libyam eis se daturum pollicitus, in tres ita divisam partes, ut cuique eorum pars una sorte cederet. Sive autem ob hanc, seu aliam ob causam bellum motum est, frater certe uterque se ei conjunxit: et ejusmodi societatis conditionibus acceptis, Vandali freto transmisso, ex Hispania in Africam venere: camque ab Oceano ipso ad Tripolim usque in ditionem suam redegere. Cæterum illis digressis, Vissegotthi ex Gallia in Hispaniam profecti, eam cepere: postea vero Galliam etiam rursus occupavere. In senatu imperiali Bonifacii amici quidam dolum Aetii, quem adversus illum struxerat, **578** Placidiæ et Valentiniano indicarunt, epistolamque illam ad Bonifacium ab eo scriptam exhibuere. Illi ad tantam fraudem et improbitatem Aetii consternati, apud illum quidem se quidquam ejus rei scire dissimularunt: ad Bonifacium vero jusjurandum in scriptum relatum, quo injuriarum præteritarum omnium oblivionem induxerunt, misere. Interea Gontare mortuo, Vandalorum regnum ad unum Gensericum pervenit. Bonifacius imperatoris juramento recepto, bellum

A κλήσεσι· Γότθοι, Οὐεσίγοτθοι, Γήπεδες καὶ Οὐάνδηλοι· ὀνόμασι μόνοις καὶ ἄλλῳ οὐδενὶ παραλλάσσοντα. Ἅπαντες γὰρ μιᾷ διαλέκτῳ καὶ διαίτῃ κεχρημένοι, τοῖς μυσαροῖς Ἀρείου συνεπήχθησαν δόγμασιν, ὡς ἐν τῇ κατὰ τὸν Οὐάλεντα διελάβομεν ἱστορίᾳ. Οἳ δὴ πάντες Ὀνωρίου καὶ Ἀρκαδίου τῶν Ῥωμαϊκῶν σκήπτρων ἐπειλημμένων, τὸν Δάνουβιν εἴτουν Ἴστρον διαπεραιωσάμενοι, τοῖς καθ' ἡμᾶς τῶν Ῥωμαίων διεσώθησαν ὅροις. Ἀμέλει τοι καὶ Γήπεδες μὲν, ἐξ ὧν δύο διῃρέθησαν γένη, Λαγγόβαρδοί τε καὶ Ἄραβες, τὰ περὶ Σιγγιδόνα τε καὶ Σέρμιον χωρία κατῴκησαν. Οἱ δὲ Οὐεσίγοτθοι, σὺν Ἀλλαρίχῳ τῷ προειρημένῳ στρατηγούμενοι, Ῥώμην καὶ Ἰταλίαν πορθήσαντες, εἰς Γαλλίας ἐκεῖθεν ἐχώρησαν, καὶ τῶν ἐκεῖ πάντων ἐκράτησαν, τὸν B ἐκεῖσε Κωνσταντῖνον τύραννον τῆς Βρεττανίας διαχρησάμενοι. Γότθοι δ' ἐπὶ τούτοις πρότερον μὲν Παννονίαν καὶ τὰ πέριξ πάντα κατεσχηκότες, Θεοδοσίου τοῦ νέου ἐπιτροπαῖς ἐννεακαιδέκατον ἔτος τῇ ἀρχῇ ἔχοντος, τὰς περὶ Θρᾴκην ᾤκησαν χώρας· ὀκτὼ δὲ καὶ πεντήκοντα ἔτη τῇ Θρᾴκῃ διαγαγόντες, Θευδερίχου τὴν αὐτῶν ἡγεμονίαν κεκληρωμένου, Ζήνωνος τὴν Ῥωμαίων ἀρχὴν διέποντος καὶ κελεύοντος, ἐκεῖθεν μετασκηνώσαντες, τὴν ἑσπέριον κατέσχον ἀρχήν. Οἱ δὲ Οὐάνδηλοι Ἀλανούς τε καὶ Γερμανοὺς, οἳ νῦν Φράγγοι καλοῦνται, προσεταιρισάμενοι, τὸν ποταμὸν Ῥῆνον διαπεράσαντες, ἡγεῖτο δὲ αὐτῶν τηνικαῦτα Γογγίδισκλος, ἐν Ἱσπανίᾳ τὰς οἰκήσεις ἐποίουν. Πρώτη δὲ αὕτη χώρα τῆς Εὐρώπης C ἀπὸ τοῦ ἑσπερίου Ὠκεανοῦ. Ὁ τοίνυν ῥηθεὶς Βονιφάτιος καὶ τῆς ἐν ἑσπέρᾳ Λιβύης τὴν ἀρχὴν ἔχων, τὰ κατ' αὐτοῦ μαθὼν τυρευόμενα, ἀπάρας ἐκεῖθεν, τὸν πορθμὸν διέβη, καὶ πρὸς Οὐανδήλους ἐγένετο κατὰ Ἱσπανίαν. Ἐπεὶ δὲ Γογγιδίσκλου τὸ βιοῦν ἐκμετρήσαντος οἱ ἐκείνου παῖδες τὴν πατρικὴν ἀρχὴν διεῖπον, Γόνθαρις δὲ καὶ Γιζέριχος ἦσαν αὐτοῖς τὰ ὀνόματα, προὐτρέπετο συμμαχεῖν· καὶ τὴν ἑσπέριον Λιβύην αὐτοῖς ἐπιδοῦναι καθυπισχνεῖτο, εἰς μέρη ταύτην διελόμενος τρία, ὡς ἂν ἑκάστῳ μία εἴη μερὶς ἐκείνων τῷ κλήρῳ. Εἰ δέ που διὰ τοῦτο ἢ καὶ ἄλλοθι πόλεμος συμβαίη γενέσθαι, πρὸς τοῦτον καὶ ἄμφω πάντας κοινῶς ἀπαντᾶν. Ἐπὶ δὴ ταῖς τοιαύταις ὁμολογίαις τὸν πορθμὸν διαβάντες Οὐάνδηλοι, ἀπὸ Ἱσπανίας ἐπὶ Λιβύην ἐχώρησαν, D καὶ ἀπὸ Ὠκεανοῦ μέχρι Τριπόλεως κατεκράτησαν. Οἱ δὲ Οὐεσίγοτθοι ἐκείνων μεταχωρησάντων ἀπὸ Γαλλίας τὴν Ἱσπανίαν ἐχειρώσαντο, ὕστερον δὲ καὶ τῶν Γαλλιῶν πάλιν ἐκράτησαν. Τινὲς δὲ τῶν Βονιφατίου φίλων τῆς συγκλήτου τυγχάνοντες, τὴν Ἀετίου ῥᾳδιουργίαν κατὰ Βονιφατίου τῇ βασιλίδι Πλακιδίᾳ καὶ Οὐαλεντινιανῷ δήλην ἐποίουν, καὶ τὴν ἣν Βονιφατίῳ ἔστελλεν ἐπιστολὴν ἐπιδεικνύμενοι. Οἱ δὲ τὸ δρᾶμα τῆς Ἀετίου πονηρίας καταπληττόμενοι, ἐκείνῳ μὲν ὡς οὐδὲ εἰδότες εἴησαν τὸ πραχθὲν ἐσχηματίζοντο· Βονιφατίῳ δὲ ὅρκον ἔστελλον, ἀμνηστίαν κακῶν μνηστευόμενοι. Ἐν δὲ τῷ μεταξὺ τοῦ Γόνθαρι τελευτήσαντος, ἐπὶ μόνον Γιζέριχον τῶν

(1) Alii *Madogisclum* vocant.

(2) Alis *Gizericus*.

Οὐανδήλων ἦλθε τὸ κράτος. Βονιφάτιος δὲ τῶν ἐκ βασιλέως ὅρκων πεμφθέντων, κατὰ Οὐανδήλων ἐστράτευσε, στρατοῦ μεγάλου ἔκ τε Ῥώμης καὶ Βυζαντίου ἐπιγενομένου Βονιφατίῳ πρὸς ἀρωγὴν, ἡγουμένου τούτων τοῦ Ἄσπαρος. Πολέμου δὲ συῤῥαγέντος μεγάλου ἡ νίκη πρὸς Οὐανδήλους ἐχώρει· Ῥωμαῖοι δὲ κατακράτος ἡττῶντο φυγῇ τὴν σωτηρίαν πραγματευόμενοι. Βονιφάτιος δὲ σὺν ἅμα τῷ Ἄσπαρι καὶ τοῖς ἀποδράσασι τοῦ στρατοῦ, εἰς Ῥώμην διασωθεὶς, τὴν ὑποψίαν διέλυσε. Λιβύη δὲ ἡ καὶ Ἀφρικὴ πᾶσα ὑπὸ Οὐανδήλους ἐγένετο, Γιζερίχου μόνου, ὡς εἴρηται, τὴν ἐκείνων διεζωσμένου ἀρχήν. Καὶ τοῦτον μὲν τὸν τρόπον τῇ Ἀφρικῇ ὑπὸ Οὐανδήλοις ξυνηνέχθη γενέσθαι.

ΚΕΦΑΛ. ΝΖʹ.

Περὶ Ἀττίλα, Ἀλλαρίχου τε καὶ Γιζερίχου τῶν Γότθων· καὶ ὡς τῆς αὐτῶν ἐπιθέσεως ἥ τε πρεσβυτέρα καὶ νεωτέρα Ῥώμη ἀπήλλακται. Καὶ περὶ ἄλλων πολέμων, οὓς ποιηταὶ διάφοροι συνεγράψαντο.

Γιζέριχος δ' οὕτω τῷ Οὐανδαλικῷ πλήθει κραταιωθεὶς, καὶ πολλὴν γῆν καὶ θάλασσαν ἐντεῦθεν περιβαλλόμενος, ῥῆγα πρῶτος ἑαυτὸν ἀνεῖπε· καὶ οὐ Ῥώμην μόνον τὴν πρεσβυτέραν, ἀλλὰ καὶ αὐτὴν ἐλύπει τὴν νεωτέραν, καὶ τὸν ταύτης κατάρχοντα Θεοδόσιον. Καὶ ὃς τὴν παροινίαν μὴ ἐνεγκὼν, στόλον ηὐτρέπιζεν ἀξιόμαχον, ἑβδομήκοντα καὶ ἑκατὸν καὶ χιλίαις ναυσὶ συμπληρούμενον. Ἐξηγεῖσθαι δὲ τούτου ἐπέταττεν Ἀρεόβινδόν τε καὶ Γερμανὸν τοὺς ἀρίστους τῶν στρατηγῶν. Ὧν δὴ καὶ ἐν Σικελίᾳ γενομένων, δείσας Γιζέριχος, περὶ σπονδῶν Θεοδοσίῳ λόγους ἔπεμπε. Τοῦ δὲ στόλου ἐκεῖ παραπλέοντος, ἕως οὗ ὁ βασιλεὺς τὸ ποιητέον κελεύσειεν, ἄλλης ἐπιῤῥυείσης ἀνάγκης, τὰς μὲν σπονδὰς προσίετο Θεοδόσιος, ὀπίσω δ' ἀναστρέφειν τὸν στόλον ἐκέλευεν. Ἀττίλας γὰρ ὁ Γότθος ἐκ τοῦ τῶν Γηπέδων καταγόμενος ἔθνους, Νουμιδίου δὲ παῖς ἦν, καὶ τὸ κράτος μόνος ἔχων τῶν Οὔννων, μυριάσι πλείσταις στρατοῦ ὁρμηθεὶς, ὁμόσε κατὰ τῶν δύο ἐχώρει ἀρχῶν· ὑφ' ἑαυτῷ καὶ ἄμφω τήν τε πρεσβυτέραν καὶ νεωτέραν Ῥώμην θεῖναι διανοούμενος ἀμυθήτῳ φρυάγματι. Θρασὺς δὲ καὶ ἀνδρεῖος μάλα γενόμενος, τὴν Θρᾳκῶν ἐπιὼν, ἔκειρε· καὶ τὰς πόλεις πάσας ὅσαι τε ἠπειρώτιδες καὶ περὶ θάλατταν, ὑφ' αὑτὸν ἐποιεῖτο, ἄχρις Ἀθύρος ἅπαντα ληϊσάμενος. Ἀνθίστα δὲ αὐτῷ Θεοδόσιος στρατῷ ἀξιομάχῳ Ἄσπαρά τε καὶ Ἀρεόβινδον. Ἐπεὶ δ' ἐκεῖνος ἰσημέραι κραταιότερος ἦν, Θεοδόσιος εἴγε τῶν οἰκείων ὅρων ἀποχωρήσειεν, ἑξακισχιλίας λίτρας χρυσοῦ δοῦναι κατεπηγγέλλετο. Προσωμολόγει δὲ καὶ ἐτήσιον ἄλλο διδόναι χιλίων μνῶν, εἰ τοῦ λοιποῦ ἐφ' ἑαυτοῦ μένειν καὶ ἠρεμεῖν ἕλοιτο. Ἀττίλας μὲν οὖν τὰ εἰρημένα λαβὼν, ἀνεχώρει τῆς Θρᾴκης· ἐπεὶ δὲ τοῖς ὅροις τῆς πρεσβυτέρας Ῥώμης πολὺς

Vandalis intulit. Nam exercitus ingens Romæ simul et Byzantio, Aspare duce, qui Bonifacio auxilium ferret, missus fuerat. Et pugna forti commissa, victoria Vandalis favit, et Romani devicti, fuga saluti suæ consuluere. Bonifacius autem cum Aspare et aliis qui se fugæ commiserant, Romam salvus pervenit, atque ibi conceptam de se suspicionem diluit. At Libya, quæ et Africa dicitur, omnis in potestate Vandalorum fuit, Genserico solo, quemadmodum dictum est, regnum apud eos obtinente. Ita a Vandalis Africa occupata est.

CAPUT LVII.

De Attila, Alaricho et Giserico Gotthis: et ut ab eorum expeditione bellica vetus simul et nova Roma sit liberata. Et de aliis bellis, quæ varii scriptores memoriæ commendarunt.

Genserichus (1), ubi Vandali ad tantas vires pervenere, et tantum terræ atque maris sibi subjecere, regem se primus renuntiavit: et non veterem solum, sed et novam ipsam Romam, et qui ei imperavit Theodosium afflixit. Theodosius insolentem Barbarorum audaciam non ferens, classem maximam mille centum et septuaginta navium instruxit, eique Areobindum et Germanum præstantissimos belli duces præfecit: qui cum in Sicilia essent, Genserichus sibi metuens, ad Theodosium legatos, qui de pace cum eo agerent, misit: et classis Africam prænavigavit, quid imperator faciendum statueret, exspectans. Verum cum necessitas alia supervenisset, Theodosius pacem cum Genserico fecit, et classem retrocedere jussit. Attilas enim Gotthus ex Gepidum gente originem ducens, Numidii filius apud quem Hunnorum imperium erat, **579** cum multorum millium exercitu simul contra utrumque imperium bellum movit, expeditione et impetu incredibili, et veterem et novam Romam potestati suæ subjicere aggressus. Et quod vir fortis et confidens admodum esset, Thraciam ingressus vastavit, urbibusque omnibus, quæ vel maritimæ, vel in continenti sitæ essent, subactis, ad Athyrem amnem usque omnia depopulatus est. Adversus quem cum copiis non pœnitendis Theodosius Asparem et Areobindum misit. Postquam autem Attilas quotidie viribus validior factus est, Theodosius ei sexies mille auri libras, ut ditionis suæ finibus excederet, se daturum, atque insuper mille minarum stipendium annuum pensurum esse pollicitus est, si de cætero sorte sua contentus quietusque esset. Ille auro eo accepto, Thraciam reliquit. Ubi autem vi magna in fines veteris Romæ

(1) Genserichus in Africa Carthaginem et urbes alias expugnavit: Hipponem quoque regium obsedit. Obsidionis ejus mense tertio, divus Augustinus, ejus civitatis episcopus, Deum precatus, ut vel urbem Hipponensem ærumna expugnationis liberaret, vel si hoc non fieret, e vivorum se numero eximeret, ætatis septuagesimo sexto anno, clericatus quadragesimo, in Christo obdormivit. (Paul. Diaconus.)

irrupit, Aetius, quem antea diximus, primum Romæ dignitatis locum tenens, et barbari insolentiam non ferens, ad Alaricum Galliam administrantem, quamvis Romanis, pro eo atque supra diximus, inimicum, se contulit: magnisque et variis promissis barbaro persuasit, ut ingentes vires suas cum copiis suis conjungeret. Itaque ex improviso Attilam ultra Danubium castra habentem aggressus, ingentem cædem (1) fecit, multaque hominum millia interemit. Ubi etiam (2) Attilas (3) hasta confossus interiit, siculi et ipse Alaricus sagitta ictus occubuit. Ita ope divina eo tempore et vetus et nova Roma Gotthorum impressione liberata est. Et Gensericlius solus nationibus eis imperavit. Verum enimvero plurimi quoque alii motus sub Theodosio in Oriente et Occidente exstitere, quos terrestribus et navalibus copiis oppressit. A Persis quoque magnam illam quam retulimus reportavit victoriam: quibus etiam cum legationem ad se misissent, pacem concessit. Quo bello Ardazanes Persa et Areobindus Gotthus singulari certamine congressi, prælium diremere: et Gotthus Persam in æquo campo equo insidentem et cataphractum vicit et occidit. Ea pax ad longum duravit tempus, usque ad duodecimum videlicet imperii Anastasii annum. De quibus rebus cum multi alii scripserunt, tum eleganter eas in compendium redegit Eustathius Epiphaniensis (4) Syrus, **580** qui etiam Amidæ expugnationem descripsit. Quo tempore Claudianus et Cyrus poetæ floruere. Cyrum vero fama est summum etiam præfecturæ honorem gessisse, qui præfectus aulæ antea dictus erat, et Occidentalium copiarum dux fuerat, Carthagine a Vandalis capta, cum Genserichus Barbaros eos regeret. Plurima porro et magnifica ædificia in urbe imperante et alibi imperator iste construxit (5), et Alexandriæ maximum templum erexit.

κατεῤῥάγη, ὁ προειρημένος Ἀέτιος τῆς Ῥώμης τὰ πρῶτα φερόμενος, καὶ τὴν ὕβριν τοῦ βαρβάρου μὴ ἐνεγκὼν, πρὸς τὸν τῶν Γαλλιῶν κατάρχοντα Ἀλλάριχον ἀφικνεῖται, καίπερ Ῥωμαίοις εἰς ἔχθραν ὄντα οἷς πρότερον διελάβομεν. Ὅμως πολλαῖς καὶ διαφόροις ἐπαγγελίαις πείσας τὸν βάρβαρον, στρατῷ γενναίῳ τούτῳ συστρατευσάμενος, αἴφνης τῷ Ἀττίλᾳ πέραν Ἴστρου ἐσκηνωμένῳ συνεπιτίθεται· καὶ πολὺν ἐκείνῳ φόνον ἐποίει, ὡς πολλὰς χιλιάδας διαφθαρῆναι. Ἔνθα δὴ καὶ Ἀττίλας αὐτῶν δόρατι κεντηθεὶς διεφθάρη· ἀλλὰ μὴν καὶ αὐτὸς Ἀλλάριχος τόξῳ βληθείς. Καὶ οὕτω Θεοῦ νεύμασι τῷ τότε ἥ τε παλαιὰ καὶ νέα Ῥώμη τῆς τῶν Γότθων ὁρμῆς ἀπηλλάττοντο, Γιζερίχου τῶν ἐθνῶν τουτωνὶ μοναρχήσαντος. Πλεῖσται δὲ καὶ ἄλλαι ἐπαναστάσεις ἐπὶ Θεοδοσίου ἐγένοντο ἔν τε ἑῴᾳ καὶ ἑσπερίᾳ τῇ λήξει, ἃς καθεῖλε πεζικῷ καὶ νηΐτῃ στρατῷ. Καὶ πρὸς Πέρσας δὲ τὴν μεγάλην ἐκείνην ἤρατο νίκην· οἷς καὶ συμπρεσβευσαμένοις, τὴν εἰρήνην ἀπεχαρίζετο, Ἀρδαζάνου Πέρσου καὶ Γότθου Ἀρεοβίνδου μονομαχίᾳ τὴν μάχην διαλυσάντων, τοῦ Γότθου καταχράτος τὸν Πέρσην νικήσαντός σε καὶ ἀνελόντος ἐν πεδίῳ, ἔφιππον ὄντα καὶ ἔνοπλον. Ἣ καὶ μέχρι πολλοῦ προῆλθεν ἄχρι δυοκαιδεκάτου ἔτους Ἀναστασίου. Ἃ δὴ πολλοῖς μὲν ἱστόρηται, ἐπιτέτμηται δὲ μάλα κομψῶς καὶ Εὐσταθίῳ τῷ ἐξ Ἐπιφανείας τῷ Σύρῳ, ὃς καὶ τὴν Ἀμίδης ἅλωσιν συνεγράψατο· ἐν ᾧ συνήκμασαν Κλαυδιανός τε καὶ Κῦρος οἱ ποιηταί. Κῦρον δὲ λόγος ἔχει καὶ τὸν ὑπέρτατον τῶν ὑπάρχων ἀναβῆναι θρόνον· ὃς καὶ τῆς αὐλῆς ἐλέγετο ὕπαρχος πρότερον, καὶ τῶν ἑσπερίων δυνάμεων καθηγήσατο, Καρχηδόνος ὑπὸ Βανδίλων κρατηθείσης, Γιζερίχου τῶν βαρβάρων ἡγουμένου. Πλείστας δὲ καὶ περιφανεῖς οἰκοδομίας, ἀνά τε τὴν βασιλίδα καὶ ἀλλαχοῦ, ὁ βασιλεὺς οὗτος ἤγειρε· καὶ τῇ Ἀλεξάνδρου δὲ μέγιστον ἀνίστη νεών.

CAPUT LVIII.

De obitu Theodosii junioris, ut in monumento patris sui sit sepultus, in celeberrimo sanctorum Apostolorum templo.

Et cum obitus ejus appropinquaret, Ephesum venit, divum Joannem illum virginem et evangelistam honoraturus: templumque illius ingressus, orationi sese dedidit: in qua etiam, quis ei in imperio Romano successurus esset, edoceri se a Deo petiit. Quod ubi per visionem ei Deus ostendit, Constantinopolim rediit. Nec ita multo post exercitu ex bello adversus Attilam gesto reverso,

ΚΕΦΑΛ. ΝΗʹ.

Περὶ τῆς τελευτῆς Θεοδοσίου τοῦ νέου, ὡς ἐν τῇ θήκῃ τοῦ πατρὸς αὐτοῦ ἐτάφη, τῷ περιωνύμῳ νεῷ τῶν ἁγίων Ἀποστόλων.

Ἤδη δὲ τῆς τελευτῆς ἐγγιζούσης αὐτῷ, εἰς Ἔφεσον ἧκεν Ἰωάννῃ τῷ παρθένῳ καὶ εὐαγγελιστῇ συνταξόμενος. Καὶ τὸν ἐκείνου νεὼν εἰσιὼν, προσευχῇ ἑαυτὸν ἐδίδου· ἐν ᾗ καὶ ὅστις μετ' αὐτὸν τὴν Ῥωμαίων ἀρχὴν ἰθυνεῖ, ἐδεῖτο μαθεῖν τοῦ Θεοῦ. Καὶ δὴ τοῦτο Θεοῦ ἐν ὁράματι χρήσαντος, ἐπανῆκε τῇ Κωνσταντίνου. Καὶ μετὰ μικρὸν τοῦ στρατοῦ ἐκ τῆς πρὸς Ἀττίλαν μάχης ἐπαναστρέ-

(1) In campis Catalaunicis sive Gottalanicis. (Egnat.)

(2) Certamen et prælium hoc, cujus post hominum memoriam simile nullum reperitur, circiter nonam diei horam cœptum est. Et utrinque centum octoginta millia hominum cecidere, Gotthorum rege cæso, et Attila fugato. Romani Aetio duce vicere. (Diac.)

(3) Attilas deinde viribus recuperatis, Aquileiam expugnavit, Honeriam Valentiniani germanam uxorem sibi dari postulavit. Atque insuper aliam Ildiconem nomine duxit: novisque nuptiis crapulæ et vino indulgens, in Pannoniis mortuus est. (Cass., Diac.)

(4) Eustathius Epiphaniensis compendium sive Epitomen Chronicam novem tomis condidit, ab Ænea usque ad Anastasium imperatorem. (Suid.)

(5) Sub Theodosio Venetiæ mediis in aquis habitari cœptæ. (Egnat.)

φαντος, Θεοδόσιος τῆς πόλεως ἐξῆλθεν ἱππάσασθαι, καὶ κυνηγίοις ἑαυτὸν ἀνεῖναι. Ἐν οἷς δ' ἱππάζετο τοῦ ἵππου ἐκσφαιρισθεὶς, τὰ περὶ τὸν σπόνδυλον πλήττεται· καὶ κατακλιθεὶς λεκτικίῳ, εἰσῄει τὴν πόλιν. Ἐπεὶ δὲ ᾔσθετο ἀπιὼν, ἐν ἀποῤῥήτῳ τὴν ἀδελφὴν Πουλχερίαν μεταστειλάμενος, περὶ Μαρκιανοῦ τοῦ ἀπὸ τριβούνων αὐτῇ διελέγετο, ὡς ἄρα φίλον εἴη Θεῷ μετ' αὐτὸν ἐκεῖνον τὴν Ῥωμαίων ἀρχὴν διοικεῖν. Καὶ ὁ μὲν ταῦτ' εἰπὼν, ἐτελεύτα. Ἔτι δ' ἀγνοουμένης τῆς ἀποβιώσεως τῷ κρατοῦντι, τὸν Μαρκιανὸν Πουλχερία ποιησαμένη μετάπεμπτον, ἄνδρα σωφροσύνῃ καὶ σεμνότητι βίου διαπρεπῆ, καὶ γήρᾳ ἤδη κοσμούμενον, περὶ τῆς ἀρχῆς ἐκοινοῦτο· Καὶ σὲ, φησὶν, ἐγὼ τῶν ἄλλων τῆς συγκλήτου ἄρχειν προκρίνω. Ὅρκῳ τοίνυν ἀσφαλισάμενος ὡς οὐκ ἂν ἐπίβουλον ἐμοὶ τῆς ζωῆς τε καὶ τῆς ἀρχῆς καὶ μάλιστα τῆς παρθενίας φρονήσῃς, ἣν ἐκ νέου ἀνεθέμην Θεῷ, λάμβανε τὴν ἀρχήν. Τοῦ δέ γ' ὡς ἐδόκει τῇ βασιλίδι πράξαντος, τὸν πατριάρχην Ἀνατόλιον (οὗτος γὰρ μετὰ Φλαβιανὸν ἐγεγόνει), μεταστειλαμένη καὶ τὴν σύγκλητον ἅπασαν, κατὰ τὸ Ἕβδομον, βασιλέα Ῥωμαίων εὐθὺς ἀνηγόρευε. Θεοδόσιος δ' ἐξ αὐτῆς ἐν τῇ πατρῴᾳ θήκῃ ἐτέθαπτο, κατὰ τὸ δεξιὸν ὑπερῷον τοῦ τῶν Ἀποστόλων σηκοῦ ἐν λίθῳ Ῥωμαίῳ, ᾧ δηλαδὴ ὑπερῴῳ τῷ ἴσῳ λίθῳ καὶ ὁ πατὴρ Ἀρκάδιος, καὶ ἡ μήτηρ Εὐδοξία, καὶ ὁ πάππος αὐτοῦ Θεοδόσιος κατετέθησαν. Ἐν δὲ τῷ καταντικρὺ καὶ ἀριστερῷ ὑπερῴῳ τοῦ θείου τεμένους Ἰουλιανός τε καὶ Ἰοβιανὸς κεῖνται. Τελευτᾷ δὲ ὁ βασιλεὺς Θεοδόσιος, ἐτῶν γενόμενος ἑνὸς καὶ πεντήκοντα· ἀφ' ὧν τὰ δύο καὶ τεσσαράκοντα εὐσεβέστατα ἦρξεν, ὅρον βασιλείας τὸν βίον καὶ τὴν ἀρχὴν ἄντικρυς καταλελοιπώς. Περιέχει δὲ καὶ ἡ παροῦσα τεσσαρεσκαιδεκάτη μοι τῶν ἱστοριῶν χρόνον ἐτῶν τεσσαράκοντα πρὸς δυσίν· ὁπηνίκα κόσμου μὲν ἔτος ,ε϶ξε', ἀπὸ δὲ τῆς θείας τοῦ Κυρίου γεννήσεως τετρακοσιοστὸν καὶ ἑξηκοστὸν ἐπεραίνετο.

urbe egressus est, ut equitatione et venatione se recrearet. Atque inter equitandum equo delapsus, spinæ vertebram luxavit. Quapropter lectica in urbem relatus est. Atque ubi se moriturum esse sensit, cum Pulcheria sorore secreto ad se evocata, de Martiano ex tribunis locutus est: Deo gratum placitumque esse dicens, ut ille post se Romanam administraret ditionem. Et ille quidem cum hæc dixisset mortuus est. Nondum autem imperatoris morte comperta, Pulcheria Martianum accersit, virum temperantia et gravitate morum præclarum, et senio jam venerandum, et consilio de imperii successione cum eo communicato,
581 Te, inquit, ego ex senatu omni præ cæteris imperio dignum judico. Proinde jurisjurandi religione interposita, te vitæ et potestati, maxime autem virginitati meæ, quam a prima adolesentia Deo consecravi, non insidiaturum esse, imperium ipsum cape. Postquam ille quod Augusta volebat peregit, patriarcha Anatolio, qui Flaviano successerat, et universo senatu convocatis ad Septimum, statim eum imperatorem creavit. Theodosius autem postea mox in paterno monumento Romani lapidis repositus est, in dextra sublimi sanctorum Apostolorum templi porticu: in qua porticu, eodemque lapide, pater quoque Arcadius, et mater Eudoxia, necnon avus Theodosius siti sunt. In sinistra autem, quæ ex adverso est porticu sacri ejus templi, Julianus et Jovinianus jacet. Mortuus est imperator Theodosius annos quinquaginta et unum natus: ex quibus quadraginta et duos maxima cum pietate imperavit, ita ut vitam ipse et posteritati administrationem suam tanquam imperii formam reliquerit. Complectitur decimus quartus iste liber annos quadraginta duos, cum a mundo condito quinquies millesimus noningentesimus sexagesimus quintus (1), a divina autem Domini nativitate quadringentesimus et sexagesimus ageretur annus.

(1) Secundum neotericos 4431.

ORDO RERUM

QUÆ IN HOC TOMO CONTINENTUR.

NICEPHORUS CALLISTUS CPOLITANUS PATRIARCHA.

ECCLESIASTICA HISTORIA (*Continuatio*).

LIBER OCTAVUS.

LIBER NONUS.

LIBER DECIMUS.

LIBER UNDECIMUS. 585

LIBER DUODECIMUS.

LIBER DECIMUS TERTIUS

LIBER DECIMUS QUARTUS.

FINIS TOMI CENTESIMI QUADRAGESIMI SEXTI.

Parisiis. — Ex Typis J.-P. MIGNE.

[redacted]